This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

KG
10284
NEDL TRANSFER
HN 6A9U 9

KG
10284

Harvard College
Library

FROM THE FUND GIVEN BY
Stephen Salisbury
Class of 1817
OF WORCESTER, MASSACHUSETTS
For Greek and Latin Literature



ΠΛΟΥΤΑΡΧΟΥ ΣΥΓΓΡΑΜΜΑΤΩΝ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

PLUTARCHI OPERUM

VOLUMEN PRIMUM.

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

ΠΛΟΥΤΑΡΧΟΥ

ΒΙΟΙ.

PLUTARCHI

VITÆ.

SECUNDUM CODICES PARISINOS RECOGNOVIT

THEOD. DŒHNER.

GRÆCE ET LATINE

VOLUMEN PRIMUM.

PARISIIS,

EDITORE AMBROSIO FIRMIN DIDOT,

INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO,

VIA JACOB, 56.

M DCCC LVII.

K610284
Eg.86.139
/
HARVARD COLLEGE
JAN 6 1921
LIBRARY
SALISBURY FUND

MONITUM.

Qui summæ rei litterariæ et institutioni publicæ præsunt in Gallia nostra, ut omni tempore faverunt studiis græcis, ita in uno Plutarcho recte dicantur exstitisse duplicem in modum φιλέλληνες. Nam quum decreverunt ut Κόνδος quicquid contineret Regia bibliotheca codicum Plutarcheorum conferret cum editione Reiskiana, simul et litteras Græcas et Græcum hominem liberaliter adjuverunt. Hujus igitur copiis dum Dübnerus utebatur ad Moralia quæ vocantur emendanda, J. M. Schultzius nobis per litteras significavit se Vitarum editionem prope jam paratam habere. Sed postea virum doctissimum, ad quem variantes lectiones statim miseramus, otium defecisse videtur quin opus ea quam institutum nostrum postulat ratione perageret. Biennio per hanc moram exacto *Dœhnerum* ei negotio præfecimus, illud petentes, ut et Parisinorum codicum collatione secum communicata uteretur et Crusianæ interpretationi, quæ omnes editiones græco-latinas obsidet, substitueret egregium opus Xylandri, ubi res posceret correctum. Quibus mandatis quam diligenter satisfecerit vir doctissimus, hoc volumen ostendit : in alterius autem limine exponet ipse quam sit in singulis rationem secutus. In prima vero Vitarum et secunda, jam de J. M. Schultzii recognitione et cum Crusiana interpretatione expressis quum ipse ad peragendum opus accederet, Dœhnerus hæc mutanda esse significavit.

Thesei cap. 1, lin. 7 legendum γραφὴν pro eo quod est συγγραφήν. Ibid. lin. 20 εἴη μὲν οὖν ἡμῖν addita particula. Cap. 2, l. 27 delendum γάρ. Cap. 3, § 9 initio, Ἄδηλον οὖν ὅ τι νοήσας ὁ Π. Cap. 8 et 29 Σίνιν et Σίνιδι pro Σιννι. Cap. 10, l. 21 hoc ordine, πολεμοῦντες οὔτε ὑβριστὴν οὔτε λῃστὴν γεγονέναι. Cap. 11, l. 39 Ἕρμει pro Ἐρινεῷ, l. 47 κεφαλὴν pro κεφαλῇ. Pag. 6, l. 4 et 5 leg. καλοῦσι, κατελθεῖν. (3) Κατελθὼν δὲ

εἰς τὴν πόλιν εὗρε τά τε κοινὰ παρ. Lin. 10 τοῦ δὲ Αἰγ. pro μὲν. Cap. 20, § 8 init. Ἐπελθόντα pro ἐπανελθ. Cap. 21, l. 50 παραλλάξεις pro περιελίξεις Cap. 22, l. 23, ἐπιφωνεῖν δὲ ἐν ταῖς σπ., addita præpositione. Cap. 26, l. 45 γέρας ἀριστείας pro ἀριστεῖον. Cap. 27, l. 48 τῷ δὲ δεξιῷ πρὸς pro τὸ δὲ δεξιὸν πρ. Cap. 29 extr. Ἱκετίδων καὶ οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς ταῦτα, transposita particula. Cap. 32, l. 49 dele οἱ. Et in fine, l. 14, Οὐ μὴν εἰκὸς αὐτοῦ Θησέως, addito pronomine. Cap. 34, l. 44-5 hoc ordine, Ἀλέξανδρον μὲν τὸν Πάριν ἐν Θεσσαλίᾳ. C. 35, l. 33 τῶν μὲν Ἀθηναίων, addita particula. Item additis præpositione et articulo cap. 26, l. 47 ἐν τοῖς περὶ ἐκείνου, et l. 54 εἰς τὸ ἄστυ.

Romuli cap. 2, l. 36 μαστὸν ἐνδιδοῦσαν pro διδ. Cap. 6, l. 49 ordine inverso διαίταις καὶ διατριβαῖς. Cap. 8, § 14 initio, Ἅμα δὲ, δὴ addito δέ. Cap. 12, § 10, l. 24 dele οὐ. Ibidem et alibi Βάρρων. Cap. 16, l. 22 seq. καὶ τῷ πραχθέντι pro κ. τὸ πραχθέν. Cap. 17, l. 21 τὴν χώραν. Et in fine κόσμον ἔθεντο φόνον, pro φόνου. Cap. 18 fine Ῥήγειαν. Cap. 20, § 11, l. 46 ὡς ὅν τι τῶν, deleto ἕν. Cap. 21, l. 48 τοῦ τε δρόμου pro τότε. Cap. 22, l. 21 inverse θεοσεβῆ διαφερόντως, l. 31 ἐκβαλεῖν pro præsenti, l. 41 Ἀννιβιακόν. Cap. 23, § 8, l. 15, οἱ δ' ὡς θεῶν χρώμενον εἰς πάντα εὐνοίᾳ pro θεῷ ... εὔνοιαν. Cap. 24, l. 42 Φερεντίνης ὕλης pro πύλης. Cap. 25, § 2, l. 6 inverse πόλιν μεγάλην. Ib. l. 24 ὑπερημίσεις conjunctim. Cap. 26, § 5, l. 9 πρότερον λιτώρεις, Ἑλληνιστὶ δὲ λειτουργοὺς ὄντας· λήιτον γὰρ τὸ δημ. ἔτι νῦν καὶ Ἕλληνες καὶ λ. Cap. 27, l. 52 Αἰγὸς [ἡ ζορκὸς] ἔλος. Cap. 28, § 15, l. 16 τὸ γάρ ἐστι μόνον ἐκ θ. pro μόνον ἐστὶν ἐκ θ. Cap. 29, § 9, l. 9 inverse πρὸς Σαβίνους πρότερον. Ib. l. 38 ἔρχεσθαι ὡς ἐπὶ θυσίαν pro ἔρχ. ἐπὶ θάλατταν.

Comparationis cap. 2, l. 27 πλεύσας pro πλεῦσαι. Cap. 3, l. 53 διαφθορὰς pro διαφοράς. Cap. 6, § 6, l. 25 dele τὴν.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΑΡΑΛΛΗΛΑ

Η ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

ΘΗΣΕΥΣ.

I. Ὥσπερ ἐν ταῖς γεωγραφίαις, ὦ Σόσσιε Σενεκίων, οἱ ἱστορικοὶ τὰ διαφεύγοντα τὴν γνῶσιν αὐτῶν τοῖς ἐσχάτοις μέρεσι τῶν πινάκων πιεζοῦντες ἐνίοις παραγράφουσιν ὅτι « τὰ δ' ἐπέκεινα, θῖνες ἄνυδροι καὶ θηριώδεις, ἢ πηλὸς ἀϊδνὴς, ἢ Σκυθικὸν κρύος, ἢ πέλαγος πεπηγός· » (2) οὕτως ἐμοὶ περὶ τὴν τῶν βίων τῶν παραλλήλων συγγραφὴν τὸν ἐφικτὸν εἰκότι λόγῳ καὶ βάσιμον ἱστορίᾳ πραγμάτων ἐχομένῃ χρόνον διελθόντι περὶ τῶν ἀνωτέρω καλῶς εἶχεν εἰπεῖν, « τὰ δ' ἐπείκεινα, τερατώδη καὶ τραγικὰ, ποιηταὶ καὶ μυθογράφοι νέμονται, καὶ οὐκέτ' ἔχει πίστιν οὐδὲ σαφήνειαν. » (3) Ἐπεὶ δὲ τὸν περὶ Λυκούργου τοῦ νομοθέτου καὶ Νομᾶ τοῦ βασιλέως λόγον ἐκδόντες ἐδοκοῦμεν οὐκ ἂν ἀλόγως τῷ Ῥωμύλῳ προσαναβῆναι, πλησίον τῶν χρόνων αὐτοῦ τῇ ἱστορίᾳ γεγονότες· σκοποῦντι δέ μοι,

— τοιῷδε φωτὶ (κατ' Αἰσχύλον) τίς ξυμβήσεται;
τίν' ἀντιτάξω τῷδε; τίς φερέγγυος;

ἐφαίνετο τὸν τῶν καλῶν καὶ ἀοιδίμων οἰκιστὴν Ἀθηνῶν ἀντιστῆσαι καὶ παραβαλεῖν τῷ πατρὶ τῆς ἀνικήτου καὶ μεγαλοδόξου Ῥώμης· (4) εἴη μὲν ἡμῖν ἐκκαθαιρόμενον λόγῳ τὸ μυθῶδες ὑπακοῦσαι καὶ λαβεῖν ἱστορίας ὄψιν· ὅπου δ' ἂν αὐθαδῶς τοῦ πιθανοῦ περιφρονῇ, καὶ μὴ δέχηται τὴν πρὸς τὸ εἰκὸς μίξιν, εὐγνωμόνων ἀκροατῶν δεησόμεθα καὶ πράῳ τὴν ἀρχαιολογίαν προσδεχομένων.

II. Ἐδόκει δ' οὖν ὁ Θησεὺς τῷ Ῥωμύλῳ κατὰ πολλὰς ἐναρμόττειν ὁμοιότητας· ἄμφω μὲν γὰρ ἀνεγγύω καὶ σκοτίω γενόμενοι δόξαν ἔσχον ἐκ θεῶν γεγονέναι·

Ἄμφω δ' αἰχμητά, τό γε δὴ καὶ ἴδμεν ἅπαντες·

καὶ μετὰ τοῦ δυνατοῦ τὸ συνετὸν ἔχοντες. (2) Πόλεων δὲ τῶν ἐπιφανεστάτων, ὁ μὲν ἔκτισε τὴν Ῥώμην, ὁ δὲ συνῴκισε τὰς Ἀθήνας. Ἁρπαγὴ δὲ γυναικῶν ἑκατέρῳ πρόσεστιν. (3) Οὐδέτερος δὲ δυστυχίαν περὶ τὰ οἰκεῖα καὶ νέμεσιν ἐγγενῆ διέφυγεν· ἀλλὰ καὶ τελευτῶντες ἀμφότεροι λέγονται τοῖς ἑαυτῶν προσκροῦσαι πολίταις, εἴ τι τῶν ἥκιστα τραγικῶς εἰρῆσθαι δοκούντων ὄφελός ἐστι πρὸς ἀλήθειαν.

III. * Θησέως τὸ μὲν πατρῷον γένος εἰς Ἐρεχθέα καὶ τοὺς πρώτους αὐτόχθονας ἀνήκει· τῷ δὲ μητρῴῳ Πελοπίδης ἦν. (2) Πέλοψ γὰρ οὐ χρημάτων πλή-

PLUTARCHI

PARALLELA

SEU VITÆ PARALLELÆ.

Ed. Wech. pag. 1, 2.

THESEUS.

1. Quod faciunt in situ orbis describendo, Sossi Senecio, historici, qui, si qua cognitionem ipsorum fugiant, ea extremis tabularum partibus prementes et in arctum cogentes adscribunt nonnullis, ulteriores regiones arena et siccitate squalidas ferasque esse, aut tenebricosum limum, aut Scythicum gelu, aut mare glaciatum : (2) id mihi, in Vitarum parallelarum commentatione illud persequenti tempus, quod veri similis oratio attingere et intenta rebus gestis historia transire possit, opportunum est dicere de superioribus, « Ulteriora monstrosa sunt et tragica, poetæ et fabularum scriptores colunt, neque ibi fides est aut certa et perspicua relatio. » (3) Verum quum Lycurgi legislatoris et Numæ regis edita historia videamur non abs re ad Romulum ascendisse, cujus tempora narratione nostra attigerimus; dispicienti autem mihi,

Tali viro (ut Æschyli verbis utar) quis par erit?
quem ego huic opponam? quis certare idoneus?

visum sit, illum, qui præclaras et decantatas civibus frequentavit Athenas, parenti invictæ et inclytæ Romæ opponere et comparare: (4) jam illud contingat nobis ut rationis ope purgata fabula sese submittat et historiæ capiat imaginem : ubi vero præfracte illa contemnet quod probabile est, neque consortium accipiet verisimilitudinis, ibi benevolis mihi opus erit lectoribus, qui placide antiquarum rerum narrationem accipiant.

II. Itaque videbatur Romulo Theseus multis nominibus congruere : ambo enim, extra matrimonium geniti et spurii, fidem acceperunt natalium divinorum :

Pugnaces ambo, quod certe novimus omnes :

et conjunctam cum viribus corporis animi habebant prudentiam. (2) Deinde urbes clarissimas, ille Romam condidit, hic cultoribus frequentavit Athenas. Raptor uterque feminarum. (3) Neuter denique domestica incommoda et invidiam familiarem declinavit : immo vero sub exitum vitæ uterque suos cives graviter offendisse fertur, si eorum, quæ minime tragice dicta videntur, usus aliquis est in rerum vere gestarum relatione.

III. Thesei genus paternum ad Erechthea et primos indigenas pertingit : maternum ad Pelopem refertur. (2)

θει μᾶλλον ἢ παίδων μέγιστον ἴσχυσε τῶν ἐν Πελοποννήσῳ βασιλέων, πολλὰς μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις, πολλοὺς δὲ ταῖς πολιτείαις υἱοὺς ἐγκατασπείρας ἄρχοντας· (3) ὧν εἷς γενόμενος Πιτθεὺς ὁ Θησέως πάππος πόλιν μὲν οὐ μεγάλην τὴν Τροιζηνίων ᾤκισε, δόξαν δὲ μάλιστα πάντων ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος ἔσχεν. (4) Ἦν δὲ τῆς σοφίας ἐκείνης τοιαύτη τις, ὡς ἔοικεν, ἰδέα καὶ δύναμις, οἵᾳ χρησάμενος Ἡσίοδος εὐδοκίμει μάλιστα περὶ τὰς ἐν τοῖς Ἔργοις γνωμολογίας. (5) Καὶ μίαν γε τούτων ἐκείνην λέγουσι Πιτθέως εἶναι,

Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.

Τοῦτο μὲν οὖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν. (6) Ὁ δ' Εὐριπίδης τὸν Ἱππόλυτον ἀγνοῦ Πιτθέως παίδευμα προσειπὼν ἐμφαίνει τὴν περὶ τὸν Πιτθέα δόξαν. (7) Αἰγεῖ δὲ παίδων δεηθέντι τὴν Πυθίαν ἀνελεῖν λέγουσι τὸν θρυλούμενον χρησμὸν, διακελευομένην μηδεμιᾷ γυναικὶ συγγενέσθαι, πρὶν ἐλθεῖν εἰς Ἀθήνας· οὐ πάνυ δὲ τοῦτο φράζειν εὐδήλως δοκοῦσαν· (8) ὅθεν εἰς Τροιζῆνα παρελθὼν ἀνεκοινοῦτο Πιτθεῖ τὴν τοῦ θεοῦ φωνὴν οὕτως ἔχουσαν·

Ἀσκοῦ τὸν προῦχοντα πόδα, μέγα φέρτατε λαῶν,
μὴ λύσῃς, πρὶν δῆμον Ἀθηνέων εἰσαφικέσθαι.

(9) Ἃ δηλονότι νοήσας ὁ Πιτθεὺς ἔπεισεν αὐτὸν, ἢ διεπάτησε τῇ Αἴθρᾳ συγγενέσθαι. Συνελθὼν δὲ καὶ γνοὺς ἐκεῖνος, ὅτι τῇ Πιτθέως θυγατρὶ συγγέγονε, καὶ κύειν αὐτὴν ὑπονοήσας ἀπέλιπε ξίφος καὶ πέδιλα κρύψας ὑπὸ πέτραν μεγάλην ἐντὸς ἔχουσαν κοιλότητα συμμέτρως ἐμπεριλαμβάνουσαν τὰ κείμενα· (10) φράσας δὲ πρὸς μόνην ἐκείνην καὶ διακελευσάμενος, ἂν υἱὸς ἐξ αὐτοῦ γένηται καὶ λαβὼν ἀνδρὸς ἡλικίαν δυνατὸς ᾖ τὴν πέτραν ἀναστῆσαι καὶ ὑφελεῖν τὰ καταλειφθέντα, πέμπειν πρὸς αὐτὸν ἔχοντα ταῦτα, μηδενὸς εἰδότος, ἀλλ' ὡς ἔνεστι μάλιστα λανθάνοντα πάντας (11) (ἰσχυρῶς γὰρ ἐδεδοίκει τοὺς Παλλαντίδας ἐπιβουλεύοντας αὐτῷ, καὶ διὰ τὴν ἀπαιδίαν καταφρονοῦντας· ἦσαν δὲ πεντήκοντα παῖδες ἐκ Πάλλαντος γεγονότες), ἀπῆει.

IV. Τεκούσης δὲ τῆς Αἴθρας υἱὸν οἱ μὲν εὐθὺς ὀνομασθῆναι Θησέα λέγουσι διὰ τὴν τῶν γνωρισμάτων θέσιν· οἱ δὲ ὕστερον Ἀθήνησι, παῖδα θεμένου τοῦ Αἰγέως αὐτόν. (2) Τρεφόμενον δὲ ὑπὸ τοῦ Πιτθέως, ἐπιστάτην ἔχειν καὶ παιδαγωγὸν, ὄνομα Κοννίδαν, ᾧ μέχρι νῦν Ἀθηναῖοι μιᾷ πρότερον ἡμέρᾳ τῶν Θησείων κριὸν ἐναγίζουσι μεμνημένοι καὶ τιμῶντες πολὺ δικαιότερον, ἢ Σιλανίωνα τιμῶσι καὶ Παῤῥάσιον, εἰκόνων Θησέως γραφεῖς καὶ πλάστας γενομένους.

V. Ἔθους δὲ ὄντος ἔτι τότε τοὺς μεταβαίνοντας ἐκ παίδων, ἐλθόντας εἰς Δελφοὺς, ἀπάρχεσθαι τῷ θεῷ τῆς κόμης, ἦλθε μὲν εἰς Δελφοὺς ὁ Θησεὺς, καὶ τόπον ἀπ' αὐτοῦ τὴν Θησηίδα ἔτι νῦν ὀνομάζεσθαι λέγουσιν· (2) ἐκείρατο δὲ τῆς κεφαλῆς τὰ πρόσθεν μόνον, ὥσπερ Ὅμηρος ἔφη τοὺς Ἄβαντας· καὶ τοῦτο τῆς κουρᾶς τὸ γένος

rimum inter Peloponnesios pollebat reges, quod et filias multas summis viris collocasset, et multos filios in civitatium principatum genuisset: (3) ex quibus unus Pittheus Thesei avus, oppidum non amplum quidem illud Trœzeniorum incolis auxit, sed præ omnibus nomen obtinuit docti pro illis temporibus et sapientissimi viri. (4) Erat autem sapientiæ illius talis fere, ut credere par est, species et vis, quali Hesiodus quum uteretur, celebritatem adeptus est præcipue ex sententiis in libro, quem Opera appellavit, scriptis. (5) Unam harum Pitthei ferunt fuisse, hanc videlicet,

Sufficiat merces quæ decernatur amico.

Atque hoc Aristoteles quoque philosophus tradidit. (6) Euripides vero, dum Hippolytum sacri Pittlei appellat alumnum, ostendit cujusmodi fuerit de Pittheo existimatio. (7) Ægeo, quum sobolem desideraret, Pythiam perhibent celebre illud oraculum edidisse, quo præcepit, ne ullam mulierem prius attingeret, quam appulisset Athenas. Verum quum id præscribere non admodum liquide videretur, (8) Trœzenem profectus, cum Pittheo communicavit Apollinis sortes; quarum hæc sunt verba,

Utre pedem extantem, vir præstantissime popli,
tu ne solve prius, quam sis ingressus Athenas.

(9) Quæ quum intellexisset Pittheus, induxit eum, aut circumvenit, ut se jungeret Æthræ. Cujus ille usus consuetudine, et certior factus concubuisse se cum Pitthei filia, suspicatusque prægnantem, ensem reliquit ibi et calceos, sub ingenti abditos saxo, quod sinum habebat ad complectenda deposita congruentem. (10) Id soli illi quum indicasset, præcepissetque, si filium ex se edidisset, et in ætatem virilem adultus saxum valeret attollere et auferre relicta, eum ad se ut conscio nemine, sed, quoad ejus fieri posset, maxime clam omnibus, mitteret cum depositis (11) (vehementer quippe formidabat Pallantidas, qui insidiis ipsum petebant, despiciebantque propter orbitatem: erant autem ex Pallante nati filii quinquaginta), discessit.

IV. Edito ab Æthra filio, alii statim inditum nomen Thesea, ex illorum indiciorum positione [θέσει], referunt; alii, postquam Ægeus eum Athenis filium adoptavit [ἔθετο]. (2) Quum educaretur a Pittheo, rectorem eum habuisse narrant et pædagogum nomine Connidam, cui ad hoc usque tempus pridie Theseorum arietem immolant, memoriam ejus celebrantes et honorantes justius, quam Silanionem honorant et Parrhasium, Thesei imaginum pictores et plastas.

VI. Quum solemne etiam tum esset, ut ex pueris qui excedebant, profecti Delphos comæ primitias Apollini sacrarent, adiit Delphos Theseus, et locum ab eo nostra quoque memoria dici Theseam autumant. (2) Tonsum est autem sinciput modo ipsius, ut de Abantibus memorat Homerus: atque est tonsuræ hoc genus Theseis ab illo nominatum. (3) Abantes autem primi hunc in modum tonsi

Θησηὶς ὠνομάσθη δι' ἐκεῖνον. (3) Οἱ δὲ Ἄβαντες ἐκείραντο πρῶτοι τὸν τρόπον τοῦτον, οὐχ ὑπ' Ἀράβων διδαχθέντες, ὡς ἔνιοι νομίζουσιν, οὐδὲ Μυσοὺς ζηλώσαντες, ἀλλ' ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι, καὶ μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τούτοις·

(4) * Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται, οὐδὲ θαμειαὶ
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον.
Ταύτης γὰρ κεῖνοι δαίμονες εἰσὶ μάχης
δεσπόται Εὐβοίας δουρικλυτοί. . . . . .

Ὅπως οὖν μὴ παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις, ἀπεκείραντο. (5) Τοῦτο δὲ ἀμέλει καὶ Ἀλέξανδρον τὸν Μακεδόνα ἐννοήσαντά φασι προστάξαι τοῖς στρατηγοῖς ξυρεῖν τὰ γένεια τῶν Μακεδόνων, ὡς λαβὴν ταύτην ἐν ταῖς μάχαις οὖσαν προχειροτάτην.

VI. Τὸν μὲν οὖν ἄλλον χρόνον ἔκρυπτεν ἡ Αἴθρα τὴν ἀληθινὴν τοῦ Θησέως γένεσιν· ἦν δὲ λόγος ὑπὸ τοῦ Πιτθέως διαδοθεὶς, ὡς ἐκ Ποσειδῶνος τεκνωθείη. (2) Ποσειδῶνα γὰρ Τροιζήνιοι σέβουσι διαφερόντως, καὶ θεὸς οὗτός ἐστιν αὐτοῖς πολιοῦχος, ᾧ καὶ καρπῶν ἀπάρχονται, καὶ τρίαιναν ἐπίσημον ἔχουσι τοῦ νομίσματος. (3) Ἐπεὶ δὲ μειράκιον ὢν ἅμα τῇ τοῦ σώματος ῥώμῃ διέφαινεν ἀλκὴν καὶ φρόνημα μετὰ νοῦ καὶ συνέσεως βέβαιον, οὕτως αὐτὸν ἡ Αἴθρα πρὸς τὴν πέτραν προσαγαγοῦσα καὶ φράσασα περὶ τῆς γενέσεως [τἀληθὲς] ἐκέλευσεν ὑφελεῖν τὰ πατρῷα σύμβολα, καὶ πλεῖν εἰς Ἀθήνας. (4) Ὁ δὲ τὴν μὲν πέτραν ὑπέδυ, καὶ ῥᾳδίως ἀνέωσε, πλεῖν δὲ ἀπέγνω, καίπερ οὔσης ἀσφαλείας, καὶ δεομένων τοῦ τε πάππου καὶ τῆς μητρός. (5) Χαλεπὸν γὰρ ἦν πεζῇ πορεύεσθαι τὴν εἰς Ἀθήνας ὁδὸν οὐδὲν μέρος καθαρὸν οὐδὲ ἀκίνδυνον ὑπὸ λῃστῶν καὶ κακούργων ἔχουσαν. (6) Ὁ γὰρ δὴ χρόνος ἐκεῖνος ἤνεγκεν ἀνθρώπους χειρῶν μὲν ἔργοις καὶ ποδῶν τάχεσι καὶ σωμάτων ῥώμαις, ὡς ἔοικεν, ὑπερφυεῖς καὶ ἀκαμάτους, πρὸς οὐδὲν δὲ τῇ φύσει χρωμένους ἐπιεικὲς, οὐδὲ ὠφέλιμον, ἀλλ' ὕβρει τε χαίροντας ὑπερηφάνῳ, καὶ ἀπολαύοντας τῆς δυνάμεως ὠμότητι καὶ πικρίᾳ καὶ τῷ κρατεῖν βιάζεσθαί τε καὶ διαφθείρειν τὸ παραπῖπτον· (7) αἰδῶ δὲ καὶ δικαιοσύνην, καὶ τὸ ἴσον καὶ τὸ φιλάνθρωπον, ὡς ἀτολμίᾳ τοῦ ἀδικεῖν, καὶ φόβῳ τοῦ ἀδικεῖσθαι, τοὺς πολλοὺς ἐπαινοῦντας, οὐδὲν οἰομένους προσήκειν τοῖς πλέον ἔχειν δυναμένοις. (8) Τούτων Ἡρακλῆς τοὺς μὲν ἐξέκοπτε καὶ ἀνῄρει περιών, οἱ δὲ λανθάνοντες ἐκείνου παριόντος ἔπτησσον καὶ ἀνεδύοντο, καὶ παρημελοῦντο ταπεινὰ πράττοντες. (9) Ἐπεὶ δὲ Ἡρακλῆς ἐχρήσατο συμφορᾷ, καὶ κτείνας Ἴφιτον εἰς Λυδίαν ἀπῆρε, καὶ συχνὸν ἐκεῖ χρόνον ἐδούλευε παρ' Ὀμφάλῃ δίκην τοῦ φόνου ταύτην ἐπιθεὶς αὐτῷ, τότε τὰ μὲν Λυδῶν πράγματα πολλὴν ἔσχεν εἰρήνην καὶ ἄδειαν· ἐν δὲ τοῖς περὶ τὴν Ἑλλάδα τόποις αὖθις ἐξήνθησαν αἱ κακίαι καὶ ἀνερράγησαν οὐδενὸς πιεζοῦντος οὐδὲ κατείργοντος. (10) Ἦν οὖν ὀλέθριος ἡ πορεία τοῖς Ἀθήναζε πεζῇ βαδίζουσιν ἐκ Πελοποννήσου· καὶ

sunt, non ab Arabibus, ut quorundam fert opinio, docti, neque æmulantes Mysos : sed quod bellatores essent, eominusque pugnarent, et præter ceteros proxime cum hostibus conserere manus didicissent, ut hisce versibus testatur Archilochus quoque :

(4) Nec multos sinuant arcus, nec verbera fundæ
torta volant crebro, quum fera bella furens
scilicet in campo Mavors contraxit aperto :
at strictis gladiis flebile flet opus.
Hujus enim doctos constat certaminis illos,
quos Eubœa viros fortis in arma tulit.

Ne igitur hostibus capillos prehendendi commoditatem præberent, tonsi fuere. (5) Nempe id Alexandrum quoque Macedonem animadvertisse atque edixisse aiunt ducibus suis, ut barbas Macedonum raderent; quod ansa sit hæc in prœliis promptissima.

VI. Porro igitur occultabat veram Thesei originem Æthra. Rumor autem fuit per Pittheum vulgatus, esse eum ex Neptuno prognatum : (2) siquidem colunt eximie Trœzenii Neptunum, atque est hic tutelaris iis deus, cui et primitias frugum libant, et tridentem habent nummi notam. (3) Postquam vero adolevit, et præter corporis robur elucescebat in eo fortitudo, animusque solidus cum sapientia et prudentia conjunctus; ibi Æthra eum ad saxum duxit, edoctumque ortus sui veritatem auferre jussit paterna pignora, atque Athenas navigare. (4) Qui saxum subiit, et facile sustulit : verum navigare abnuit, quamvis essent tuta omnia, avus insuper et mater instarent. (5) Arduum erat enim itinere terrestri commeare Athenas, quod intutum undequaque infestumque latronibus et facinorosis esset. (6) Nam seculum illud homines edidit manuum strenuitate, pedum pernicitate, et viribus corporum, ut ex rebus gestis constat, eximios atque invictos, sed qui hasce naturæ dotes nullam in rem bonam aut utilem converterent, immo arroganti improbitate gauderent, fruerenturque robore suo per feritatem, violentiam, oppressionem, dum vi subigerent et perderent quicquid in manus ipsorum incidebat : (7) pudorem vero, justitiam, æquitatem, humanitatem, quasi has timiditate alicujus lædendi, et ne læderentur, formidine plerique homines laudent, nihil attinere ducebant ad eos qui plus possent. (8) Horum Hercules in vagatione sua exscindebat de medioque tollebat partem; alii delitescentes eo præsente trepidabant latitabantque, et despiciebantur in humili jam conditione versantes. (9) Verum postquam in calamitatem Hercules incidit, et Iphito cæso recessit in Lydiam, ubi in diuturna hæsit servitute apud Omphalen, quam pœnam ipse sibi cædis injunxerat, res tunc quidem Lydorum magna in quiete erant et securitate : per Græciam vero suppullularant interea et eruperant de integro scelera, quod qui ea reprimeret vel coerceret, esset nemo. (10) Erat igitur iter ex Peloponneso terra commeantibus Athenas infestum : at-

τῶν λῃστῶν καὶ κακούργων ἐξηγούμενος ἕκαστον ὁ Πιτθεὺς ὁποῖος εἴη, καὶ ὁποῖα δρῴη περὶ τοὺς ξένους, ἔπειθε τὸν Θησέα νομίζεσθαι διὰ θαλάττης. (11) Τὸν δὲ πάλαι μὲν, ὡς ἔοικε, λεληθότως διέκαιεν ἡ δόξα τῆς Ἡρακλέους ἀρετῆς, καὶ πλεῖστον ἐκείνου λόγον εἶχε, καὶ προθυμότατος ἀκροατὴς ἐγίνετο τῶν διηγουμένων ἐκεῖνον, οἷος εἴη, μάλιστα δὲ τῶν αὐτὸν ἑωρακότων, καὶ πράττοντι καὶ λέγοντι προστετυχηκότων. (12) Τότε δὲ παντάπασιν ἦν φανερὸς πεπονθὼς, ὅπερ ὕστερον χρόνοις πολλοῖς Θεμιστοκλῆς ἔπαθε, καὶ εἶπεν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ Μιλτιάδου τρόπαιον. (13) Οὕτως ἐκείνῳ τοῦ Ἡρακλέους θαυμάζοντι τὴν ἀρετὴν, καὶ νύκτωρ ὄνειρος ἦσαν αἱ πράξεις, καὶ μεθ' ἡμέραν ἐξῆγεν αὐτὸν ὁ ζῆλος, καὶ ἀνηρέθιζε ταὐτὰ πράττειν διανοούμενον.

VII. Ἐτύγχανον δὲ καὶ γένους κοινωνοῦντες, ἐξ ἀνεψιῶν ὄντες. Αἴθρα μὲν γὰρ ἦν Πιτθέως θυγάτηρ· Ἀλκμήνη δὲ Λυσιδίκης· Λυσιδίκη δὲ καὶ Πιτθεὺς ἀδελφοὶ, γεγονότες ἐξ Ἱπποδαμείας καὶ Πέλοπος. (2) Δεινὸν οὖν ἐποιεῖτο καὶ οὐκ ἀνεκτὸν, ἐκεῖνον μὲν ἐπὶ τοὺς πανταχοῦ πονηροὺς βαδίζοντα καθαίρειν γῆν καὶ θάλατταν, αὐτὸς δὲ τοὺς ἐμποδὼν ἄθλους ἀποδιδράσκειν, τὸν μὲν δόξῃ καὶ λόγῳ πατέρα καταισχύνων, διὰ θαλάττης φυγῇ κομιζόμενος, τῷ δὲ ὄντι προσφέρων γνωρίσματα, πέδιλα καὶ ξίφος ἀναίμακτον, οὐκ ἔργοις εὐθὺς ἀγαθοῖς καὶ πράξεσι παρέχων ἐμφανῆ χαρακτῆρα τῆς εὐγενείας. (3) Τοιούτῳ φρονήματι καὶ τοιούτοις λογισμοῖς ἐξώρμησεν, ὡς ἀδικήσων μὲν οὐδένα, τοὺς δὲ ὑπάρχοντας βίας ἀμυνούμενος.

VIII. Καὶ πρῶτον μὲν ἐν τῇ Ἐπιδαυρίᾳ Περιφήτην ὅπλῳ χρώμενον κορύνῃ, καὶ διὰ τοῦτο Κορυνήτην ἐπικαλούμενον, ἀπτόμενον αὐτοῦ καὶ κωλύοντα προάγειν συμβαλὼν ἀπέκτεινεν· ἡσθεὶς δὲ τῇ κορύνῃ λαβὼν ὅπλον ἐποιήσατο, καὶ διετέλει χρώμενος, ὥσπερ ὁ Ἡρακλῆς τῷ δέρματι τοῦ λέοντος. (2) Ἐκείνῳ μὲν οὖν ἐπίδειξις ἦν φορούμενον, ἡλίκου τὸ μέγεθος θηρίου κρατήσειεν· οὗτος δὲ τὴν κορύνην ἐπεδείκνυεν ἡττημένην μὲν ὑπ' αὐτοῦ, μετ' αὐτοῦ δὲ ἀήττητον οὖσαν. (3) Ἐν δ' Ἰσθμῷ Σίννιν τὸν πιτυοκάμπτην, ᾧ τρόπῳ πολλοὺς ἀνῄρει, τούτῳ διέφθειρεν αὐτὸς, οὐ μεμελετηκὼς, οὐδ' εἰθισμένος, ἐπιδείξας δὲ τὴν ἀρετὴν, ὅτι καὶ τέχνης περίεστι καὶ μελέτης ἅπάσης. (4) Ἦν δὲ τῷ Σίννιδι καλλίστη καὶ μεγίστη θυγάτηρ, ὄνομα Περιγούνη. Ταύτην τοῦ πατρὸς ἀνῃρημένου φυγοῦσαν ἐζήτει περιὼν ὁ Θησεύς· (5) ἡ δ' εἰς τόπον ἀπελθοῦσα λόχμην ἔχοντα πολλὴν, στοιβήν τε πλείστην καὶ ἀσφάραγον, ἀκάκως πάνυ καὶ παιδικῶς, ὥσπερ αἰσθανομένων, δεομένη προσηύχετο μεθ' ὅρκων, ἂν σώσωσιν αὐτὴν καὶ ἀποκρύψωσι, μηδέποτε λυμανεῖσθαι, μηδὲ καύσειν. (6) Ἀναλουμένου δὲ τοῦ Θησέως καὶ πίστιν διδόντος, ὡς ἐπιμελήσεται καλῶς αὐτῆς, καὶ οὐδὲν ἀδικήσει, προῆλθε· καὶ τῷ μὲν Θησεῖ συγγενομένη Μελάνιππον ἔτεκε· Δηϊονεῖ δὲ τῷ Εὐρύτου τοῦ Οἰχαλιέως ὕστερον συνῴκησε, Θησέως δόντος. (7) Ἐκ δὲ Μελανίππου τοῦ Θησέως γενόμενος Ἴωξος, Ὀρνύτῳ τῆς εἰς Καρίαν ἀποικίας μετέσχεν· ὅθεν Ἰωξίδαις καὶ

que hos latrones et improbos Pittheus singulos quales essent exponens, et qualia patrarent in peregrinos, auctor erat Theseo, mari ut pergeret. (11) At hunc nimirum jam pridem, ut facile est ad existimandum, clam incenderat virtutis in Hercule gloria, plurimique illum faciebat, et promptissime aures præbebat, qualis esset ille, commemorantibus, præcipue iis qui viderant eum, et ejus factis dictisque interfuerant. (12) Tunc vero omnino palam tenebatur eodem ardore, qui multis ætatibus post tenuit Themistoclem, qui dixit somnum sibi adimere Miltiadis tropæum : (13) ita illi Herculis stupenti virtutem et noctu in somniis gesta ejus occurrebant, et interdiu concitabat eum æmulatio stimulabatque edere paria cogitantem.

VII. Erant autem genere quoque propinqui, ex consobrinis nati. Quippe erat Pitthei Æthra filia, Alcmena vero Lysidices : Lysidice autem et Pittheus ex Hippodamia et Pelope germani. (2) Turpe igitur ducebat, neque ferendum, illum in omnes ubique improbos pergentem terram mareque purgare, dum ipse offerentia se certamina defugeret, parentem, quem opinio ipsi et fama dederat, dehonestans, si per mare fugitans veheretur, et vero patri notas et pignora afferret, calceos et gladium incruentum, non statim egregiis operibus factisque claram imaginem exhiberet nobilitatis suæ. (3) His animis atque his consiliis erupit, statuitque lædere neminem, sed vim inferentes ulcisci.

VIII. Ac primum in finibus Epidauri Peripheten, qui pro armis utebatur clava, ideoque Corynetes (*Clavator*) appellabatur, apprehendentem ipsum et vetantem progredi, congressus cum eo, interfecit. Oblectatus clava, cepit eam pro armis : qua deinceps est usus, ut pelle leonis Hercules. (2) Atque illi id erat tegumen, quam immanem belluam superasset, argumentum : hic vero clavam ostentabat ab se victam, secum dum esset, invictam. (3) In Isthmo Sinnin Pityocampten, quo modo multos ille peremerat, eodem eum sustulit ipse, non meditatus neque assuetus, sed virtutem demonstrans quavis arte et exercitatione esse potentiorem. (4) Erat Sinnidi excellentissimæ formæ et staturæ filia, Perigune nomine : hanc perempto patre Theseus fugientem circumquaque requirebat. (5) Ea in locum secesserat frequentibus virgultis plurimaque stœbe et asparagis obsitum : quæ illa admodum simpliciter et pueriliter precata, velut sentientia, vota cum jurejurando nuncupavit, si servarent et tegerent se, nunquam læsuram se ea, nec crematuram. (6) Quam quum revocaret Theseus, fidemque daret se ejus gesturum curam, neque re ulla violaturum, prodiit : atque ex Thesei complexu edidit Melanippum. Post hæc Deioneo Euryti Œchaliensis filio, Theseo elocante, nupsit. (7) Ex Melanippo Thesei genitus Ioxus, Ornyto socius deducendæ in Cariam coloniæ fuit : hinc Ioxi posteris et maribus et fe-

Ἰωξίσι πάτριον κατέστη, μήτε ἄχανθαν ἀσφοράγου, μήτε στοιβὴν καίειν, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν.

IX. Ἡ δὲ Κρομμυωνία σῦς, ἣν Φαιὰν προσωνόμαζον, οὐ φαῦλον ἦν θηρίον, ἀλλὰ μάχιμον καὶ χαλεπὸν κρατηθῆναι. (2) Ταύτην, ὁδοῦ πάρεργον, ὡς μὴ δοκοίη πάντα πρὸς ἀνάγκην ποιεῖν, ὑποστὰς ἀνεῖλε· καὶ ἅμα, τῶν μὲν ἀνθρώπων τοῖς πονηροῖς ἀμυνόμενον οἰόμενος δεῖν τὸν ἀγαθὸν προσφέρεσθαι, τῶν δὲ θηρίων καὶ προεπιχειροῦντα τοῖς γενναίοις μάχεσθαι καὶ διακινδυνεύειν. (3) Ἔνιοι δέ φασι τὴν Φαιὰν λῃστρίδα γενέσθαι γυναῖκα, φονικὴν καὶ ἀκόλαστον, αὐτόθι κατοικοῦσαν ἐν Κρομμυῶνι, Σῦν δὲ ἐπονομασθεῖσαν διὰ τὸ ἦθος καὶ τὸν βίον, εἶτα ὑπὸ Θησέως ἀποθανεῖν.

X. Σκείρωνα δὲ πρὸ τῆς Μεγαρικῆς ἀνεῖλε ῥίψας κατὰ τῶν πετρῶν, ὡς μὲν ὁ πολὺς λόγος, λῃστεύοντα τοὺς παριόντας· ὡς δ' ἔνιοι λέγουσιν, ὕβρει καὶ τρυφῇ προτείνοντα τὼ πόδε τοῖς ξένοις, καὶ κελεύοντα νίπτειν, εἶτα λακτίζοντα καὶ ἀπωθοῦντα νίπτοντας εἰς τὴν θάλασσαν. (2) Οἱ δὲ Μεγαρόθεν συγγραφεῖς δμόσε τῇ φήμῃ βαδίζοντες καὶ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, πολεμοῦντες οὔτε λῃστὴν, οὔτε ὑβριστὴν γεγονέναι τὸν Σκείρωνά φασιν, ἀλλὰ λῃστῶν μὲν κολαστήν, ἀγαθῶν δὲ καὶ δικαίων οἰκεῖον ἀνδρῶν καὶ φίλον. (3) * Αἰακόν τε γὰρ Ἑλλήνων δσιώτατον νομίζεσθαι, καὶ Κυχρέα τιμᾶς θεῶν ἔχειν Ἀθήνησι τὸν Σαλαμίνιον, τὴν δὲ Πηλέως καὶ Τελαμῶνος ἀρετὴν ὑπ' οὐδενὸς ἀγνοεῖσθαι· (4) Σκείρωνα τοίνυν Κυχρέως μὲν γενέσθαι γαμβρὸν, Αἰακοῦ δὲ πενθερὸν, Πηλέως δὲ καὶ Τελαμῶνος πάππον, ἐξ Ἐνδηίδος γεγονότων, τῆς Σκείρωνος καὶ Χαριτλοῦς θυγατρός. (5) Οὔκουν εἰκὸς εἶναι τῷ κακίστῳ τοὺς ἀρίστους εἰς κοινωνίαν γένους ἐλθεῖν, τὰ μέγιστα καὶ τιμιώτατα λαμβάνοντας καὶ διδόντας. (6) Ἀλλὰ Θησέα φασὶν, οὐχ ὅτε τὸ πρῶτον ἐβάδιζεν εἰς Ἀθήνας, ἀλλ' ὕστερον, Ἐλευσῖνά τε λαβεῖν, Μεγαρέων ἐχόντων, παρακρουσάμενον Διοκλέα τὸν ἄρχοντα, καὶ Σκείρωνα ἀποκτεῖναι. Ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀντιλογίας.

XI. Ἐν δὲ Ἐλευσῖνι Κερκυόνα τὸν ἐξ Ἀρκαδίας καταπαλαίσας ἀνεῖλε· καὶ μικρὸν προελθὼν Δαμάστην ἐν Ἐρινεῷ τὸν Ἠροκρούστην, ἀναγκάσας αὐτὸν ἁπισοῦν τοῖς κλιντῆρσιν, ὥσπερ τοὺς ξένους ἐκεῖνος. (2) Ἔπραττε δὲ ταῦτα μιμούμενος τὸν Ἡρακλέα. Καὶ γὰρ ἐκεῖνος, οἷς ἐπεβουλεύετο τρόποις, ἀμυνόμενος τοὺς προειπιχειροῦντας ἔθυσε τὸν Βούσιριν, καὶ κατεπάλαισε τὸν Ἀνταῖον, καὶ τὸν Κύκνον κατεμονομάχησε, καὶ τὸν Τέρμερον συῤῥήξας τὴν κεφαλὴν ἀπέκτεινεν. (3) Ἀφ' οὗ δὴ καὶ τὸ Τερμέρειον κακὸν ὀνομασθῆναι λέγουσι· παίων γὰρ, ὡς ἔοικε, κεφαλῇ τοὺς ἐντυγχάνοντας ὁ Τέρμερος ἀπώλλυεν. (4) Οὕτω δὴ καὶ Θησεὺς κολάζων τοὺς πονηροὺς ἐπεξῆλθεν, οἷς μὲν ἐβιάζοντο τοὺς ἄλλους, ὑπ' ἐκείνου καταβιαζομένους; ἐν δὲ τοῖς τρόποις τῆς ἑαυτῶν ἀδικίας τὰ δίκαια πάσχοντας.

XII. Προϊόντι δὲ αὐτῷ καὶ γενομένῳ κατὰ τὸν Κηφισὸν ἄνδρες ἐκ τοῦ Φυταλιδῶν γένους ἀπαντήσαντες ἠσπάσαντο πρῶτοι, καὶ δεομένου καθαρθῆναι, τοῖς νεminis antiquitus solenne est, neque spinam asparagi, neque stœben comburere, sed venerari hæc et honorare.

IX. Crommyonia sus, quam Phœam cognomine dicebant, fera erat non contemnenda, sed pugnax et haudquaquam facilis superatu. (2) Hanc obiter, ne omnes labores necessitate coactus subire videretur, exceptam occidit, existimans juxta decere fortem virum, homines improbos ut ad vindicandum se aggrediatur, feras autem generosas ultro lacessat cum iisque depugnet. (3) Sunt, Phœam qui mulierem latronem fuisse cruentam et lascivam referant, quæ ibidem habitaret in Crommyone, Suem appellatam ex moribus et vita, deinde a Theseo trucidatam.

X. Scironem pro finibus Megaricis sustulit, præcipitavitque de saxo : qui, ut frequens fama obtinet, latrocinatione utebatur in viatores; ut alii aiunt, per insolentiam et fastum pedes porrigebat peregrinis jussis eos abluere, mox impellebat hos calcibus inter lavandum, et deturbabat in pelagum. (2) Megarenses vero scriptores, famæ se opponentes, et cum longo tempore, ut ait Simonides, pugnantes, neque latronem fuisse, neque flagitiosum contendunt Scironem, immo latronum vindicem, virorumque familiarem atque amicum bonorum et rectorum. (3) Namque Græcorum haberi Æacum sanctissimum, et Cychreum Salaminium divinis honoribus coli apud Athenienses; item Pelei et Telamonis nulli esse obscuram virtutem : (4) atqui fuisse Scironem Cychrei generum, Æaci socerum, Pelei autem Telamonisque avum ex Endeide progenitorum, Scironis et Charicli filia. (5) Neque ergo cum deterrimo probabile esse optimos viros societatem coiisse generis, et maxima carissimaque pignora accepisse et dedisse. (6) Verum Theseum narrant, non quum primum Athenas contenderet, sed post, tum Eleusina cepisse de Megarensibus eam obtinentibus, Diocle, qui in summo magistratu ibi erat, fraude circumvento, tum Scironem interfecisse. Atque in his ea est dissensio.

XI. Eleusine Cercyona Arcadem lucta victum interfecit : paulumque progressus, Erinei Damasten Procrusten dictum, compellens eum ut lectis se ipse adæquaret, sicut hospites. (2) His peragendis operibus insistebat Herculis vestigiis. Etenim ille, quibus ipse petebatur insidiis, iisdem pœnas expetens ab aggressoribus, immolavit Busirim, Antæum lucta oppressit, Cygnum, quocum provocatus conseruit manus, obtrivit, Termerum capite in eum incurrens confecit : (3) a quo Termerium malum ferunt dictum : quippe feriens capite, ut fama constat, obvios Termerus necabat. (4) Itidem puniebat Theseus improbos, ulciscebaturque eos eadem vi, qua alios illi, opprimens, ad modum suæ improbitatis justas pœnas pendentes.

XII. Quum progressus Cephisum attigisset, viri ex Phytalidarum stirpe occurrentes, salutaverunt eum primi. Quos quum oraret, ut expiarent se, illi lustrarunt eum solenni

νομισμένοις ἀγνίσαντες καὶ μειλίχια θύσαντες εἱστίασαν οἶκοι, μηδενὸς πρότερον αὐτῷ φιλανθρώπου καθ' ὁδὸν ἐντυχόντος. (2) Ἡμέρᾳ μὲν οὖν ὀγδόῃ λέγεται Κρονίου μηνός, ὃν νῦν Ἑκατομβαιῶνα καλοῦσι, κατελθεῖν εἰς τὴν πόλιν. (3) Εὗρε δὲ τά τε κοινὰ ταραχῆς μεστὰ καὶ διχοφροσύνης, καὶ τὰ περὶ τὸν Αἰγέα καὶ τὸν οἶκον ἰδίᾳ νοσοῦντα. (4) Μήδεια γὰρ ἐκ Κορίνθου φυγοῦσα, φαρμάκοις ὑποσχομένη τῆς ἀτεκνίας ἀπαλλάξειν Αἰγέα, συνῆν αὐτῷ. (5) Προαισθομένη δὲ περὶ τοῦ Θησέως αὖτη, τοῦ μὲν Αἰγέως ἀγνοοῦντος, ὄντος δὲ πρεσβυτέρου καὶ φοβουμένου πάντα διὰ τὴν στάσιν, ἔπεισεν αὐτὸν, ὡς ξένον ἑστιῶντα, φαρμάκοις ἀνελεῖν. (6) Ἐλθὼν οὖν ὁ Θησεὺς ἐπὶ τὸ ἄριστον οὐκ ἐδοκίμαζε φράζειν αὐτὸν, ὅστις εἴη, πρότερος, ἐκείνῳ δὲ βουλόμενος ἀρχὴν ἀνευρέσεως παρασχεῖν, κρεῶν παρακειμένων, σπασάμενος τὴν μάχαιραν, ὡς ταῦτα τέμνων, ἐδείκνυεν ἐκείνῳ. (7) Ταχὺ δὲ καταμαθὼν ὁ Αἰγεὺς τὴν μὲν κύλικα τοῦ φαρμάκου κατέβαλε, τὸν δὲ υἱὸν ἀνακρίνας ἠσπάζετο, καὶ συναγαγὼν τοὺς πολίτας ἐγνώριζεν ἡδέως δεχομένους διὰ τὴν ἀνδραγαθίαν. (8) Λέγεται δὲ τῆς κύλικος πεσούσης ἐκχυθῆναι τὸ φάρμακον, ὅπου νῦν ἐν Δελφινίῳ τὸ περίφρακτόν ἐστιν. Ἐνταῦθα γὰρ ὁ Αἰγεὺς ᾤκει· καὶ τὸν Ἑρμῆν, τὸν πρὸς ἕω τοῦ ἱεροῦ, καλοῦσιν ἐπ' Αἰγέως πύλαις.

XIII. Οἱ δὲ Παλλαντίδαι πρότερον μὲν ἤλπιζον αὐτοὶ τὴν βασιλείαν καθέξειν Αἰγέως ἀτέκνου τελευτήσαντος· ἐπεὶ δὲ Θησεὺς ἀπεδείχθη διάδοχος, χαλεπῶς φέροντες, εἰ βασιλεύει μὲν Αἰγεὺς, θετὸς γενόμενος Πανδίονι, καὶ μηδὲν Ἐρεχθείδαις προσήκων, βασιλεύσει δ' ὁ Θησεὺς, πάλιν ἔπηλυς ὢν καὶ ξένος, εἰς πόλεμον καθίσταντο. (2) Καὶ διελόντες ἑαυτοὺς οἱ μὲν * ἐμφανῶς Σφηττόθεν ἐχώρουν ἐπὶ τὸ ἄστυ μετὰ τοῦ πατρὸς, οἱ δὲ Γαργηττοῖ κρύψαντες ἑαυτοὺς ἐνήδρευον, ὡς διχόθεν ἐπιθησόμενοι τοῖς ὑπεναντίοις. (3) Ἦν δὲ κῆρυξ μετ' αὐτῶν ἀνὴρ Ἀγνούσιος, ὄνομα Λεώς. Οὗτος ἐξήγγειλε τῷ Θησεῖ τὰ βεβουλευμένα τοῖς Παλλαντίδαις. (4) Ὁ δὲ ἐξαίφνης ἐπιπεσὼν τοῖς ἐνεδρεύουσι πάντας διέφθειρεν. Οἱ δὲ μετὰ τοῦ Πάλλαντος πυθόμενοι διεσπάρησαν. (5) Ἐκ τούτου φασὶ τῷ Παλληνέων δήμῳ πρὸς τὸν Ἀγνουσίων ἐπιγαμίαν μὴ εἶναι, μηδὲ κηρύττεσθαι τοὐπιχώριον παρ' αὐτοῖς, Ἀκούετε λεώ· μισοῦσι γὰρ τοὔνομα διὰ τὴν προδοσίαν τοῦ ἀνδρός.

XIV. Ὁ δὲ Θησεὺς ἐνεργὸς εἶναι βουλόμενος, ἅμα δὲ καὶ δημαγωγῶν, ἐξῆλθεν ἐπὶ τὸν Μαραθώνιον ταῦρον οὐκ ὀλίγα πράγματα τοῖς οἰκοῦσι τὴν Τετράπολιν παρέχοντα· καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα, διὰ τοῦ ἄστεος ἐλάσας εἶτα τῷ Ἀπόλλωνι τῷ Δελφινίῳ κατέθυσεν. (2) Ἡ δὲ Ἑκάλη, καὶ τὸ περὶ αὐτὴν μυθολόγημα τοῦ ξενισμοῦ καὶ τῆς ὑποδοχῆς, ἔοικε μὴ πάσης ἀμοιρεῖν ἀληθείας. (3) Ἔθυον γὰρ Ἑκαλήσια οἱ πέριξ δῆμοι συνιόντες Ἑκαλείῳ Διΐ, καὶ τὴν Ἑκάλην ἐτίμων Ἑκαλήνην ὑποκοριζόμενοι, διὰ τὸ κἀκείνην νέον ὄντα κομιδῇ τὸν Θησέα ξενίζουσαν ἀσπάσασθαι πρεσβυτικῶς καὶ φιλοφρονεῖσθαι τοιούτοις ὑποκορισμοῖς. (4) Ἐπεὶ δὲ ἡῦ-

more, hostiisque ad placandos deos immolatis invitaverunt domum; quum nihil ante humaniter aut hospitaliter in itinere ei contigisset. (2) Octavo tandem die fertur mensis Cronii, quem nunc Hecatombæonem dicunt, in urbem venisse. (3) Rempublicam autem offendit tumultu et seditione plenam, res etiam Ægei domi privatim ægras. (4) Nam Medea Corintho profuga, medicamentis Ægeum se orbitate pollicita liberaturam, in contubernio ejus agebat. (5) Quæ de Theseo quum præsensisset, imprudentem Ægeum, ætate gravem omniaque propter seditionem timentem, perpulit ut illum, tanquam hospitem, invitatum ad convivium tolleret medicamentis. (6) Theseus, quum ad prandium accessisset, non putavit faciendum ut ipse, qui esset, declararet se prior, sed illi volens initium sui cognoscendi præbere, districtum cultrum, quasi carnes, quæ appositæ erant, dissecturus, ostendit ei. (7) Quo Ægeus statim animadverso veneni calicem projecit, filiumque, quum interrogasset, salutavit, et advocata civium concione, agnovit; quem propter fortitudinem illi receperunt libenter. (8) Prolapso poculo venenum ibi effusum dicitur, ubi nunc in Delphinio septa sunt. Illic enim habebat domicilium Ægeus, atque Mercurium, qui ad orientem est fani positus vocant Mercurium ad Ægei portas.

XIII. At Pallantidæ, qui ante speraverant regnum se, orbo defuncto Ægeo, occupaturos, ut declaratus Theseus successor ejus est, iniquo animo id ferentes regnare adoptatum a Pandione Ægeum, neque ulla contingentem Erechthidas cognatione, nunc autem iterum advenam Theseum et hospitem regnaturum, bellum moverunt. (2) Partiti copias, alii aperte ex Sphetto urbem cum parente petierunt, pars in Gargetto in insidiis occulti consederunt, ut utrinque in inimicos coorturi. (3) Erat caduceator in cœtu illorum Agnusius, Leos nomine. Hic detulit ad Theseum consilia Pallantidarum, (4) qui repente insidiatores adortus, cunctos oppressit. Ea re nunciata, Pallantis cohors dissipata est. (5) Inde aiunt Pallenensium tribui cum Agnusiis connubium non esse, neque pronunciari apud illos quod ex more est, Audite, Leo (*populi*)! nam ob illius proditionem est nomen hoc iis exsecrabile.

XIV. Porro Theseus quum res agere vellet, simul auram popularem captans, exivit in taurum Marathonium, qui non parum negotii Tetrapolim incolentibus præbebat. Hunc captum exhibuit vivumque, et per urbem actum inde Apollini Delphinio immolavit. (2) Neque Hecale et quæ de illius hospitio et convivio fabula commemoratur, omnino apparet veri expers esse. (3) Sacrum enim Hecalesium circumjecti populi coeuntes Jovi Hecaleo faciebant, et Hecalen colebant, diminutivo nomine Hecalenen appellantes: quod illa quoque juvenem admodum hospitio excipiens Theseum, senili more salutasset et blandita fuisset ei diminutivis ejusmodi nominibus. (4) Quæ quia pro eo ad pugnam pro-

ξατο μὲν ὑπὲρ αὐτοῦ τῷ Διΐ, βαδίζοντος ἐπὶ τὴν μάχην, εἰ σῶς παραγένοιτο, θύσειν, ἀπέθανε δὲ, πρὶν ἐκεῖνον ἐπανελθεῖν, ἔσχε τὰς εἰρημένας ἀμοιβὰς τῆς φιλοξενίας, τοῦ Θησέως κελεύσαντος, ὡς Φιλόχορος ἱστόρηκεν.

XV. Ὀλίγῳ δὲ ὕστερον ἦκον ἐκ Κρήτης τὸ τρίτον οἱ τὸν δασμὸν ἀπάξοντες. Ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους, καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· (2) ἀφορία τε γὰρ καὶ νόσος ἐνέσκηψε πολλὴ, καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τοῦ θεοῦ προστάξαντος, ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ μήνιμα, καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, (3) ἐπικηρυκευσάμενοι καὶ δεηθέντες ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν δασμὸν, ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. (4) Τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ Λαβυρίνθῳ διαφθείρειν, ἢ πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους ἐκεῖ καταθνήσκειν· (5) τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησὶ,

Σύμμικτον εἶδος κἀποφώλιον βρέφος

γεγονέναι, καὶ

Ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει

XVI. Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν, ὅτι φρουρὰ μὲν ἦν ὁ Λαβύρινθος οὐδὲν ἔχων κακὸν, ἀλλ' ἢ τὸ μὴ διαφυγεῖν τοὺς φυλαττομένους· ἀγῶνα δὲ ὁ Μίνως ἐπ' Ἀνδρόγεῳ γυμνικὸν ἐποίει, καὶ τοὺς παῖδας ἆθλα τοῖς νικῶσιν ἐδίδου, τέως ἐν τῷ Λαβυρίνθῳ φυλαττομένους· (2) ἐνίκα δὲ τοὺς πρότερους ἀγῶνας ὁ μέγιστον παρ' αὐτῷ δυνάμενος τότε καὶ στρατηγῶν, ὄνομα Ταῦρος, ἀνὴρ οὐκ ἐπιεικὴς καὶ ἥμερος τὸν τρόπον, ἀλλὰ καὶ τοῖς παισὶ τῶν Ἀθηναίων ὑπερηφάνως καὶ χαλεπῶς προσφερόμενος. (3) Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· (4) καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν· τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐγχωρίους ἐκείνων συνεξελθεῖν· (5) ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι, * πρῶτον μὲν εἰς Ἰταλίαν διαπερᾶσαι, κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν· (6) ἐκεῖθεν δὲ αὖθις εἰς Θράκην κομισθῆναι, καὶ κληθῆναι Βοττιαίους· διὸ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν, Ἴωμεν εἰς Ἀθήνας. (7) Ἔοικε γὰρ ὄντως χαλεπὸν εἶναι φωνὴν ἐχούσῃ πόλει καὶ μοῦσαν ἀπεχθάνεσθαι. Καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς Ἀττικοῖς θεάτροις. (8) Καὶ οὔτε Ἡσίοδος αὐτὸν ὤνησε, βασιλεύτατον, οὔτε Ὅμηρος, ἀριστῆν Διὸς προσαγορεύσας· ἀλλ' ἐπικρατήσαντες οἱ τραγικοὶ πολλὴν ἀπὸ τοῦ λογείου καὶ τῆς σκηνῆς ἀδοξίαν αὐτοῦ κατεσκέδασαν, ὡς χαλεποῦ καὶ βιαίου γενομένου· (9) καίτοι

grediente, si sospes revertisset, Jovi voverat hostias, diem autem suum ante illius reditum oblerat, ea quæ dixi retulit: hospitalitatis Thesei jussu præmia, ut Philochorus tradidit.

XV. Paulo post aderant tertio ex Creta qui vectigal ablaturi erant. Quum enim Androgeos in Attica dolo diceretur peremptus, tum Minos multis calamitatibus per bellum affecit incolas, tum dii regionem fœdarunt: (2) sterilitas enim et morbus passim incubuerunt, ac flumina exaruerunt: quum autem præcepisset Apollo, si Minoem placassent et fuissent cum eo reconciliati, divinam iram cessaturam, requiemque fore malorum: (3) hi missis legatis cum precibus fœdus fecerunt, ut tributum nono quoque anno mitterent septenos impuberes adolescentes, totidemque virgines. Id fere convenit inter scriptores plerosque. (4) Pueros autem in Cretam deportatos fama ea, quæ maxime tragica est, refert in Labyrintho a Minotauro perimi solitos, vel vagantes, nec invenire valentes exitum, ibidem mortuos: (5) Minotaurum vero, ut ait Euripides,

Mixtum genus prolemque monstrosam simul

fuisse, et

Gemina ex natura hominisque taurique editum.

XVI. Sed Cretenses Philochorus auctor est hæc infitias ire, ac dicere, custodiam Labyrinthum fuisse, qui nihil mali, nisi quod non possent inde effugere custoditi, haberet: et Minoem, in Androgei memoriam ludos gymnicos fecisse, victoribusque præmio dedisse illos liberos, interim in Labyrintho asservatos. (2) Vicisse autem prioribus ludis eum, cujus erat id temporis prima apud illum auctoritas, et ducem belli, nomine Taurum, feris et duris hominem moribus, qui liberos Atheniensium superbe et crudeliter haberet. (3) Ipse quoque Aristoteles in Bottiæorum republica fatetur non arbitrari se a Minoe interfectos fuisse liberos, sed mercenariam vitam agentes in Creta consenuisse: (4) ac Cretenses aliquando ad vetera persolvenda vota hominum misisse primitias Delphos, atque cum his qui mittebantur, mistam illorum Atheniensium sobolem una emigrasse. (5) Qui quum victum sibi quærere in illis locis non valerent, in Italiam transmisisse primum, atque illic sedes circa Iapygiam collocasse: (6) inde rursus delatos in Thraciam, et dictos Bottiæos: quapropter Bottiæorum virgines sacris quibusdam accinere soleant: Pergamus Athenas. (7) Profecto grave videtur, exercere cum civitate, quæ linguam habet et litteras, inimicitias. Etenim perpetuo Minos male audiebat apud illos, et in theatris Atticis proscindebatur: (8) neque ei vel Hesiodus profuit, summum eum regem, vel Homerus, Jovis appellans colloquio usum: verum prævalentes Tragici magna ex pulpito et scena macula aspersere, quasi ferus fuisset et violentus; (9) quamvis Minoem ferant regem

φασὶ τὸν μὲν Μίνω βασιλέα καὶ νομοθέτην, δικαστὴν δὲ τὸν Ῥαδαμανθυν εἶναι καὶ φύλακα τῶν ὡρισμένων ὑπ' ἐκείνου δικαίων.

XVII. Ἐπεὶ δ' οὖν καθῆκεν ὁ χρόνος τοῦ τρίτου δασμοῦ, καὶ παρέχειν ἔδει τοὺς πατέρας ἐπὶ τὸν κλῆρον, οἷς ἦσαν ἡίθεοι παῖδες, αὖθις ἀνεφύοντο τῷ Αἰγεῖ διαβολαὶ πρὸς τοὺς πολίτας ὀδυρομένους καὶ ἀγανακτοῦντας, ὅτι πάντων αἴτιος ὢν ἐκεῖνος οὐδὲν μέρος μετέχει τῆς κολάσεως μόνος, ἀλλ' ἐπὶ νόθῳ καὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποιημένος αὐτοὺς περιορᾷ γνησίων ἐρήμους καὶ ἀπαιδας ἀπολειπομένους. (2) Ταῦτ' ἠνία τὸν Θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν, ἀλλὰ κοινωνεῖν τῆς τύχης τοῖς πολίταις ἐπέδωκεν ἑαυτὸν ἄνευ κλήρου προσελθών. (3) Καὶ τοῖς μὲν ἄλλοις τό τε φρόνημα θαυμαστὸν ἐφάνη, καὶ τὸ δημοτικὸν ἠγάπησαν· ὁ δὲ Αἰγεὺς, ἐπεὶ δεόμενος καὶ καθικετεύων ἀμετάπειστον ἑώρα καὶ ἀμετάτρεπτον, ἀπεκλήρωσε τοὺς ἄλλους παῖδας. (4) Ἑλλάνικος δέ φησιν οὐ τοὺς λαχόντας ἀπὸ κλήρου καὶ τὰς λαχούσας ἐκπέμπειν τὴν πόλιν, αὐτὸν δὲ τὸν Μίνω παραγινόμενον ἐκλέγεσθαι, καὶ τὸν Θησέα πάντων ἑλέσθαι πρῶτον ἐπὶ τοῖς ὁρισθεῖσιν· (5) ὡρισμένον δ' εἶναι, τὴν μὲν ναῦν Ἀθηναίους παρέχειν, ἐμβάντας δὲ πλεῖν σὺν αὐτῷ τοὺς ἡϊθέους μηδὲν ὅπλον ἀρήϊον ἐπιφερομένους· ἀπολομένου δὲ τοῦ Μινωταύρου πέρας ἔχειν τὴν ποινήν. (6) Πρότερον μὲν οὖν οὐδεμία σωτηρίας ἐλπὶς ὑπέκειτο· διὸ καὶ μέλαν ἱστίον ἔχουσαν, ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν ναῦν ἔπεμπον· (7) τότε δὲ τοῦ Θησέως τὸν πατέρα θαῤῥύνοντος καὶ μεγαληγοροῦντος, ὡς χειρώσεται τὸν Μινώταυρον, ἔδωκεν ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ κελεύσας ὑποστρέφοντα σωζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν· εἰ δὲ μὴ, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος. (8) Ὁ δὲ Σιμωνίδης οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τοῦ Αἰγέως, ἀλλὰ « φοινίκεον ἱστίον ὑγρῷ πεφυρμένον πρίνου ἄνθει ἐριθάλλου· » καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. (9) Ἐκυβέρνα δὲ τὴν ναῦν Ἀμαρσυάδας Φέρεκλος, ὥς φησι Σιμωνίδης. (10) Φιλόχορος δὲ παρὰ Σκίρου φησὶν ἐκ Σαλαμῖνος τὸν Θησέα λαβεῖν κυβερνήτην μὲν Ναυσίθοον, πρῳρέα δὲ Φαίακα, μηδέπω τότε τῶν Ἀθηναίων προσεχόντων τῇ θαλάσσῃ· καὶ γὰρ εἶναι τῶν ἡϊθέων ἕνα Μενέσθην Σκίρου θυγατριδοῦν. (11) Μαρτυρεῖ δὲ τούτοις ἡρῷα Ναυσιθόου καὶ Φαίακος εἰσαμένου Θησέως Φαληροῖ πρὸς τῷ τοῦ Σκίρου ἱερῷ, καὶ τὴν ἑορτὴν τὰ Κυβερνήσια φησὶν ἐκείνοις τελεῖσθαι.

XVIII. Γενομένου δὲ τοῦ κλήρου παραλαβὼν τοὺς λαχόντας ὁ Θησεὺς ἐκ τοῦ πρυτανείου καὶ παρελθὼν εἰς Δελφίνιον ἔθηκεν ὑπὲρ αὐτῶν τῷ Ἀπόλλωνι τὴν ἱκετηρίαν. Ἦν δὲ κλάδος ἀπὸ τῆς ἱερᾶς ἐλαίας ἐρίῳ λευκῷ κατεστεμμένος. (2) Εὐξάμενος δὲ κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν ἱσταμένου Μουνυχιῶνος, ᾗ καὶ νῦν ἔτι τὰς κόρας πέμπουσιν ἱλασομένας εἰς Δελφίνιον. (3) Λέγεται δὲ αὐτῷ τὸν μὲν ἐν Δελφοῖς ἀνελεῖν * θεὸν, Ἀφροδίτην καθηγεμόνα ποιεῖσθαι καὶ παρακαλεῖν συν-

XVII. Ut ergo tempus tertii tributi adfuit, et sortito præbere debebant patres, qui impuberes liberos habebant, Ægeo recruduerunt denuo querelæ cum civibus, lugentibus atque indignantibus illum totius mali auctorem solum non participem esse pœnarum; sed qui regnum in nothum transtulisset et hospitem filium, ipsos pateretur in justorum solitudine liberorum et orbitate relinqui. (2) Angebant hæc Theseum : qui quum non vellet contemnere, sed in consortium venire fortunæ publicæ, semet ipsum obtulit, extra sortem se adjungens. (3) Ac ceteri quidem spiritus ejus obstupuerunt et delectati sunt tanto civium amore : Ægeus vero quum precibus et obsecrationibus urgens immotum videret et inflexibilem, reliquos pueros sorte duxit. (4) Ceterum Hellanicus refert, non sorte ductos pueros puellasque misisse civitatem, sed Minoem eos delegisse præsentem, ac Theseum omnium cepisse primum de præfinita lege : (5) præfinitum autem fuisse, ut navem præberent Athenienses, et impositi impuberes nulla secum ferentes arma bellica cum illo navigarent, sublatoque Minotauro finem fore pœnæ. (6) Ac prius quidem nulla spes suberat salutis : hinc cum atro velo, ut in certam perniciem, navem mittebant. (7) Tunc vero, quum parentem Theseus confirmaret, et domiturum se jactaret Minotaurum, aliud velum gubernatori Ægeus candidum dedit cum præcepto, ut in reditu sospite Theseo attolleret candidum : alias navigaret cum atro atque ita signum cladis ederet. (8) Simonides negat candidum ab Ægeo datum, sed « puniceum velum ilicis eximie virescentis flore tinctum liquido » : atque id signum constituisse eorum salutis. (9) Navis gubernator Amarsyadas erat Phereclus, ut refert Simonides. (10) Philochorus ab Sciro narrat ex Salamine Theseum gubernatorem Nausithoum accepisse, et Phæacem proræ rectorem, quod nondum Athenienses rem maritimam tractarent : etenim fuisse unum ex impuberibus Menesthen, Sciri ex filia nepotem. (11) His adstipulantur Nausithoi et Phæacis posita in Phalero a Theseo apud Scironis sacellum fana; ad hæc Cybernesia solennia in honorem horum tradit agi.

XVIII. Sorte ducta quum accepisset ex Prytaneo Theseus eos, quorum nomina exierant, profectus in Delphinium supplicia Apollini pro iis posuit. Ea ramus erant sacræ oleæ candida revinctus lana. (2) Votis nuncupatis sexto die mensis Munychionis, quo die adhuc virgines Delphinium mittunt ad placandos deos, descendit ad mare. (3) Fama est Apollinem Delphicum ei mandasse, ut ducem Venerem caperet, invocaretque itineris sociam : atque sacrificanti in

ἐμπορον· θύοντι δὲ πρὸς θαλάσσῃ τὴν αἶγα θήλειαν οὖσαν αὐτομάτως τράγον γενέσθαι· διὸ καὶ καλεῖσθαι τὴν θεὸν Ἐπιτραγίαν.

XIX. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κρήτην, ὡς μὲν οἱ πολλοὶ γράφουσι καὶ ᾄδουσι, παρὰ τῆς Ἀριάδνης ἐρασθείσης τὸ λίνον λαβὼν καὶ διδαχθείς, ὡς ἔστι τοῦ λαβυρίνθου τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν Μινώταυρον, καὶ ἀπέπλευσε τὴν Ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠῖθέους. (2) Φερεκύδης δὲ καὶ τὰ ἐδάφη τῶν Κρητικῶν νεῶν φησιν ἐκκόψαι τὸν Θησέα τὴν δίωξιν ἀφαιρούμενον. (3) Δήμων δὲ καὶ τὸν Ταῦρον ἀναιρεθῆναι φησὶ τὸν τοῦ Μίνω στρατηγὸν ἐν τῷ λιμένι διαναυμαχοῦντα τοῦ Θησέως ἐκπλέοντος. (4) Ὡς δὲ Φιλόχορος ἱστόρηκε, τὸν ἀγῶνα τοῦ Μίνω συντελοῦντος ἐπίδοξος ὢν ἅπαντας πάλιν νικήσειν ὁ Ταῦρος ἐφθονεῖτο. Καὶ γὰρ ἡ δύναμις αὐτοῦ διὰ τὸν τρόπον ἦν ἐπαχθὴς καὶ διαβολὴν εἶχεν ὡς τῇ Πασιφάῃ πλησιάζων. Διὸ καὶ τοῦ Θησέως ἀξιοῦντος ἀγωνίσασθαι συνεχώρησεν ὁ Μίνως. (5) Ἔθους δὲ ὄντος ἐν Κρήτῃ θεᾶσθαι καὶ τὰς γυναῖκας, Ἀριάδνη παροῦσα πρός τε τὴν ὄψιν ἐξεπλάγη τοῦ Θησέως, καὶ τὴν ἄθλησιν ἐθαύμασε πάντων κρατήσαντος. (6) Ἡσθεὶς δὲ καὶ ὁ Μίνως, μάλιστα τοῦ Ταύρου καταπαλαισθέντος καὶ προπηλακισθέντος, ἀπέδωκε τῷ Θησεῖ τοὺς παῖδας, καὶ ἀνῆκε τῇ πόλει τὸν δασμόν. (7) Ἰδίως δέ πως καὶ περιττῶς ὁ Κλείδημος ἀπήγγειλε περὶ τούτων ἄνωθέν ποθεν ἀρξάμενος· ὅτι δόγμα κοινὸν ἦν Ἑλλήνων μηδεμίαν ἐκπλεῖν τριήρη μηδαμόθεν ἀνδρῶν πέντε πλείονας δεχομένην· (8) τὸν δὲ ἄρχοντα τῆς Ἀργοῦς Ἰάσονα μόνον περιπλεῖν ἐξείργοντα τῆς θαλάσσης τὰ ληστήρια. (9) Δαιδάλου δὲ πλοίῳ φυγόντος εἰς Ἀθήνας Μίνως παρὰ τὰ δόγματα μακραῖς ναυσὶ διώκων ὑπὸ χειμῶνος εἰς Σικελίαν ἀπηνέχθη, κἀκεῖ κατέστρεψε τὸν βίον. (10) Ἐπεὶ δὲ Δευκαλίων ὁ υἱὸς αὐτοῦ πολεμικῶς ἔχων πρὸς τοὺς Ἀθηναίους ἔπεμψεν ἐκδιδόναι Δαίδαλον αὐτῷ κελεύων, ἢ τοὺς παῖδας ἀποκτενεῖν ἀπειλῶν, οὓς ἔλαβεν ὁμήρους ὁ Μίνως· τούτῳ μὲν ἀπεκρίνατο πράως ὁ Θησεὺς, παραιτούμενος ἀνεψιὸν ὄντα Δαίδαλον κἀκείνῳ κατὰ γένος προσήκοντα, μητρὸς ὄντα Μερόπης τῆς Ἐρεχθέως, αὐτὸς δὲ ναυπηγίᾳ ἐπεβάλλετο, τῇ μὲν ἐν Θυμαιταδῶν αὐτόθι, μακρὰν τῆς ξενικῆς ὁδοῦ, τῇ δὲ διὰ Πιτθέως ἐν Τροιζῆνι, βουλόμενος λανθάνειν. (11) Γενομένων δὲ ἑτοίμων ἐξέπλευσε τόν τε Δαίδαλον ἔχων καὶ φυγάδας ἐκ Κρήτης καθηγεμόνας· οὐδενὸς δὲ προειδότος, ἀλλὰ ναῦς φιλίας οἰομένων τῶν Κρητῶν προσφέρεσθαι, τοῦ λιμένος κρατήσας καὶ ἀποβὰς ἔφθασεν εἰς τὴν Κνωσσὸν παρελθὼν, καὶ μάχην ἐν πύλαις τοῦ Λαβυρίνθου συνάψας ἀπέκτεινε τὸν Δευκαλίωνα καὶ τοὺς δορυφόρους. (12) Ἐν δὲ τοῖς πράγμασι τῆς Ἀριάδνης γενομένης, σπεισάμενος πρὸς αὐτὴν, τούς τε ἠῖθέους ἀνέλαβε, καὶ φιλίαν ἐποίησε τοῖς Ἀθηναίοις πρὸς τοὺς Κρῆτας ὀμόσαντας μηδέποτε πολέμου κατάρξειν.

XX. Πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται καὶ περὶ τῆς Ἀριάδνης οὐδὲν ὁμολογούμενον ἔχοντες.

littore capram subito hircum evasisse : inde deam hanc Epitragiam nominari.

XIX. Postquam Cretam appulit, ut plures scriptores tradunt canuntque poetæ, ab Ariadna, quæ amare ipsum cœperat, accepto filo, doctus quemadmodum evolvere se Labyrinthi ambagibus posset, Minotaurum occidit, solvitque inde, Ariadnam et impuberes secum avehene. (2) Pherecydes fundos etiam a Theseo Creticarum navium prodit, ne insequi possent ipsum, excisos. (3) Demon etiam Taurum interfectum ait, Minois ducem, cum Theseo, dum enavigaret, in portu commisso prœlio navali. (4) Ut vero Philochorus scriptum reliquit, ludos edente Minoe, Taurus, quod putaretur iterum omnes victurus, invidia flagrabat : quippe potentia ejus ob mores molesta erat, et crimen ei impingebatur, quod consuetudinem haberet cum Pasiphae. Unde quum peteret certamen Theseus, admisit Minos. (5) Ac solenne quum esset apud Cretenses, ut spectaculis interessent feminæ, præsens conspectu obstupuit Ariadna Thesei, et virtutem in certando admirata est omnes superantis. (6) Lætus Minos quoque, maxime quod victus esset in lucta Taurus contumeliaque affectus, restituit Theseo pueros, et civitati Atheniensi tributum remisit. (7) Peculiari vero modo et curiosius de his Clidemus disseruit, alte repetens, Decretum fuisse Græcorum commune, ne quo navigaret triremis ulla, quæ plus quinque viros caperet; (8) sed solus navis Argus dux circumveheretur Iason ad latrocinia mari summovenda. (9) Quum Dædalus autem navigio perfugisset Athenas, Minoem, qui præter decreta persequeretur eum longis navibus, in Siciliam tempestate ejectum, vitæ ibi finem fecisse. (10) Postquam vero filius ejus Deucalion, infensus Atheniensibus, per legatos dedi sibi jusserit Dædalum, alioqui quos accepisset obsides Minos pueros interfecturum se denuntians, huic quidem leniter respondisse Theseum, excusantem consobrinum suum esse Dædalum et sanguine junctum, ut pote cujus esset mater Erechthei filia Merope : verum naves ædificare instituisse, partim inter Thymætadas, apud se (*Athenis*), procul via publica, partim per Pittheum Trœzene, quo rem occultam haberet. (11) Hinc comparatis omnibus solvisse, Dædalumque et exules Cretenses secum assumsisse duces; tum exspectante nemine, sed naves socias arbitrantibus advenire Cretensibus, portum occupavisse, et descensione facta contendisse cursu Cnossum, prœlioque in porta Labyrinthi conserto, Deucalionem cum satellitibus interfecisse. (12) Quum vero regni procurationem suscepisset Ariadna, fœdere cum ea icto, impuberes recepisse, amicitiamque Atheniensibus conciliasse cum Cretensibus, juratis nunquam se bellum illis moturos.

XX. Jam vero multæ præterea de his et de Ariadna referuntur fabulæ, quæ nihil habent certi. Alii enim laqueo

φασὶ τὸν μὲν Μίνω βασιλέα καὶ νομοθέτην, δικαστὴν δὲ τὸν Ῥαδαμανθυν εἶναι καὶ φύλακα τῶν ὡρισμένων ὑπ' ἐκείνου δικαίων.

XVII. Ἐπεὶ δ' οὖν καθῆκεν ὁ χρόνος τοῦ τρίτου δασμοῦ, καὶ παρέχειν ἔδει τοὺς πατέρας ἐπὶ τὸν κλῆρον, οἷς ἦσαν ἠίθεοι παῖδες, αὖθις ἀνεφύοντο τῷ Αἰγεῖ διαβολαὶ πρὸς τοὺς πολίτας ὀδυρομένους καὶ ἀγανακτοῦντας, ὅτι πάντων αἴτιος ὢν ἐκεῖνος οὐδὲν μέρος μετέχει τῆς κολάσεως μόνος, ἀλλ' ἐπὶ νόθῳ καὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποιημένος αὐτοὺς περιορᾷ γνησίων ἐρήμους καὶ ἀπαιδας ἀπολειπομένους. (2) Ταῦτ' ἠνία τὸν Θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν, ἀλλὰ κοινωνεῖν τῆς τύχης τοῖς πολίταις ἐπέδωκεν ἑαυτὸν ἄνευ κλήρου προσελθών. (3) Καὶ τοῖς μὲν ἄλλοις τό τε φρόνημα θαυμαστὸν ἐφάνη, καὶ τὸ δημοτικὸν ἠγάπησαν· ὁ δὲ Αἰγεὺς, ἐπεὶ δεόμενος καὶ καθικετεύων ἀμετάπειστον ἑώρα καὶ ἀμετάτρεπτον, ἀπεκλήρωσε τοὺς ἄλλους παῖδας. (4) Ἑλλάνικος δέ φησιν οὐ τοὺς λαχόντας ἀπὸ κλήρου καὶ τὰς λαχούσας ἐκπέμπειν τὴν πόλιν, αὐτὸν δὲ τὸν Μίνω παραγινόμενον ἐκλέγεσθαι, καὶ τὸν Θησέα πάντων ἑλέσθαι πρῶτον ἐπὶ τοῖς ὁρισθεῖσιν· (5) ὡρισμένον δ' εἶναι, τὴν μὲν ναῦν Ἀθηναίους παρέχειν, ἐμβάντας δὲ πλεῖν σὺν αὐτῷ τοὺς ἠϊθέους μηδὲν ὅπλον ἀρήϊον ἐπιφερομένους· ἀπολομένου δὲ τοῦ Μινωταύρου πέρας ἔχειν τὴν ποινήν. (6) Πρότερον μὲν οὖν οὐδεμία σωτηρίας ἐλπὶς ὑπέκειτο· διὸ καὶ μέλαν ἱστίον ἔχουσαν, ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν ναῦν ἔπεμπον· (7) τότε δὲ τοῦ Θησέως τὸν πατέρα θαῤῥύνοντος καὶ μεγαληγοροῦντος, ὡς χειρώσεται τὸν Μινώταυρον, ἔδωκεν ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ κελεύσας ὑποστρέφοντα σωζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν· εἰ δὲ μή, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος. (8) Ὁ δὲ Σιμωνίδης οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τοῦ Αἰγέως, ἀλλὰ « φοινίκεον ἱστίον ὑγρῷ πεφυρμένον πρίνου ἄνθει ἐριθάλλου· » καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. (9) Ἐκυβέρνα δὲ τὴν ναῦν Ἀμαρσυάδας Φέρεκλος, ὥς φησι Σιμωνίδης. (10) Φιλόχορος δὲ παρὰ Σκίρου φησὶν ἐκ Σαλαμῖνος τὸν Θησέα λαβεῖν κυβερνήτην μὲν Ναυσίθοον, πρῳρέα δὲ Φαίακα, μηδέπω τότε τῶν Ἀθηναίων προσεχόντων τῇ θαλάσσῃ· καὶ γὰρ εἶναι τῶν ἠϊθέων ἕνα Μενέσθην Σκίρου θυγατριδοῦν. (11) Μαρτυρεῖ δὲ τούτοις ἡρῷα Ναυσιθόου καὶ Φαίακος εἰσαμένου Θησέως Φαληροῖ πρὸς τῷ τοῦ Σκίρου ἱερῷ, καὶ τὴν ἑορτὴν τὰ Κυβερνήσια φησὶν ἐκείνοις τελεῖσθαι.

XVIII. Γενομένου δὲ τοῦ κλήρου παραλαβὼν τοὺς λαχόντας ὁ Θησεὺς ἐκ τοῦ πρυτανείου καὶ παρελθὼν εἰς Δελφίνιον ἔθηκεν ὑπὲρ αὐτῶν τῷ Ἀπόλλωνι τὴν ἱκετηρίαν. Ἦν δὲ κλάδος ἀπὸ τῆς ἱερᾶς ἐλαίας ἐρίῳ λευκῷ κατεστεμμένος. (2) Εὐξάμενος δὲ κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν ἱσταμένου Μουνυχιῶνος, ᾗ καὶ νῦν ἔτι τὰς κόρας πέμπουσιν ἱλασομένας εἰς Δελφίνιον. (3) Λέγεται δὲ αὐτῷ τὸν μὲν ἐν Δελφοῖς ἀνελεῖν * θεὸν, Ἀφροδίτην καθηγεμόνα ποιεῖσθαι καὶ παρακαλεῖν συν-

et legislatorem, judicem Rhadamanthum fuisse, et juris ab eo sanciti custodem.

XVII. Ut ergo tempus tertii tributi adfuit, et sortito præbere debebant patres, qui impuberes liberos habebant, Ægeo recruduerunt denuo querelæ cum civibus, lugentibus atque indignantibus illum totius mali auctorem solum non participem esse pœnarum; sed qui regnum in nothum transtulisset et hospitem filium, ipsos pateretur in justorum solitudine liberorum et orbitate relinqui. (2) Angebant hæc Theseum: qui quum non vellet contemnere, sed in consortium venire fortunæ publicæ, semet ipsum obtulit, extra sortem se adjungens. (3) Ac ceteri quidem spiritus ejus obstupuerunt et delectati sunt tanto civium amore: Ægeus vero quum precibus et obsecrationibus urgens immotum videret et inflexibilem, reliquos pueros sorte duxit. (4) Ceterum Hellanicus refert, non sorte ductos pueros puellasque misisse civitatem, sed Minoem eos delegisse præsentem, ac Theseum omnium cepisse primum de præfinita lege: (5) præfinitum autem fuisse, ut navem præberent Athenienses, et impositi impuberes nulla secum ferentes arma bellica cum illo navigarent, sublatoque Minotauro finem fore pœnæ. (6) Ac prius quidem nulla spes suberat salutis: hinc cum atro velo, ut in certam perniciem, navem mittebant. (7) Tunc vero, quum parentem Theseus confirmaret, et domiturum se jactaret Minotaurum, aliud velum gubernatori Ægeus candidum dedit cum præcepto, ut in reditu sospite Theseo attolleret candidum: alias navigaret cum atro atque ita signum cladis ederet. (8) Simonides negat candidum ab Ægeo datum, sed « puniceum velum ilicis eximie virescentis flore tinctum liquido »: atque id signum constituisse eorum salutis. (9) Navis gubernator Amarsyadas erat Phereclus, ut refert Simonides. (10) Philochorus ab Sciro narrat ex Salamine Theseum gubernatorem Nausithoum accepisse, et Phæacem proræ rectorem, quod nondum Athenienses rem maritimam tractarent: etenim fuisse unum ex impuberibus Menesthen, Sciri ex filia nepotem. (11) His adstipulantur Nausithoi et Phæacis posita in Phalero a Theseo apud Scironis sacellum fana; ad hæc Cybernesia solennia in honorem horum tradit agi.

XVIII. Sorte ducta quum accepisset ex Prytaneo Theseus eos, quorum nomina exierant, profectus in Delphinium supplicia Apollini pro iis posuit. Ea ramus erant sacræ oleæ candida revinctus lana. (2) Votis nuncupatis sexto die mensis Munychionis, quo die adhuc virgines [redacted] mittunt ad placandos deos, descendit ad [redacted] est Apollinem Delphicum ei mam' caperet, invocaretque itineris soc

ἔμπορον· θύοντι δὲ πρὸς θαλάσσῃ τὴν αἶγα θήλειαν οὖσαν αὐτομάτως τράγον γενέσθαι· διὸ καὶ καλεῖσθαι τὴν θεὸν Ἐπιτραγίαν.

XIX. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κρήτην, ὡς μὲν οἱ πολλοὶ γράφουσι καὶ ᾄδουσι, παρὰ τῆς Ἀριάδνης ἐρασθείσης τὸ λίνον λαβὼν καὶ διδαχθεὶς, ὡς ἔστι τοῦ λαβυρίνθου τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν Μινώταυρον, καὶ ἀπέπλευσε τὴν Ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠϊθέους. (2) Φερεκύδης δὲ καὶ τὰ ἐδάφη τῶν Κρητικῶν νεῶν φησιν ἐκκόψαι τὸν Θησέα τὴν δίωξιν ἀφαιρούμενον. (3) Δήμων δὲ καὶ τὸν Ταῦρον ἀναιρεθῆναι φησὶ τὸν τοῦ Μίνω στρατηγὸν ἐν τῷ λιμένι διαναυμαχοῦντα τοῦ Θησέως ἐκπλέοντος. (4) Ὡς δὲ Φιλόχορος ἱστόρηκε, τὸν ἀγῶνα τοῦ Μίνω συντελοῦντος ἐπίδοξος ὢν ἅπαντας πάλιν νικήσειν ὁ Ταῦρος ἐφθονεῖτο. Καὶ γὰρ ἡ δύναμις αὐτοῦ διὰ τὸν τρόπον ἦν ἐπαχθὴς καὶ διαβολὴν εἶχεν ὡς τῇ Πασιφάῃ πλησιάζων. Διὸ καὶ τοῦ Θησέως ἀξιοῦντος ἀγωνίσασθαι συνεχώρησεν ὁ Μίνως. (5) Ἔθους δὲ ὄντος ἐν Κρήτῃ θεᾶσθαι καὶ τὰς γυναῖκας, Ἀριάδνη παροῦσα πρός τε τὴν ὄψιν ἐξεπλάγη τοῦ Θησέως, καὶ τὴν ἄθλησιν ἐθαύμασε πάντων κρατήσαντος. (6) Ἡσθεὶς δὲ καὶ ὁ Μίνως, μάλιστα τοῦ Ταύρου καταπαλαισθέντος καὶ προπηλακισθέντος, ἀπέδωκε τῷ Θησεῖ τοὺς παῖδας, καὶ ἀνῆκε τῇ πόλει τὸν δασμόν. (7) Ἰδίως δέ πως καὶ περιττῶς ὁ Κλείδημος ἀπήγγειλε περὶ τούτων ἄνωθέν ποθεν ἀρξάμενος· ὅτι δόγμα κοινὸν ἦν Ἑλλήνων μηδεμίαν ἐκπλεῖν τριήρη μηδαμόθεν ἀνδρῶν πέντε πλείονας δεχομένην· (8) τὸν δὲ ἄρχοντα τῆς Ἀργοῦς Ἰάσονα μόνον περιπλεῖν ἐξείργοντα τῆς θαλάσσης τὰ λῃστήρια. (9) Δαιδάλου δὲ πλοίῳ φυγόντος εἰς Ἀθήνας Μίνως παρὰ τὰ δόγματα μακραῖς ναυσὶ διώκων ὑπὸ χειμῶνος εἰς Σικελίαν ἀπηνέχθη, κἀκεῖ κατέστρεψε τὸν βίον. (10) Ἐπεὶ δὲ Δευκαλίων ὁ υἱὸς αὐτοῦ πολεμικῶς ἔχων πρὸς τοὺς Ἀθηναίους ἔπεμψεν ἐκδιδόναι Δαίδαλον αὐτῷ κελεύων, ἢ τοὺς παῖδας ἀποκτενεῖν ἀπειλῶν, οὓς ἔλαβεν ὁμήρους ὁ Μίνως· τούτῳ μὲν ἀπεκρίνατο πρᾴως ὁ Θησεὺς, παραιτούμενος ἀνεψιὸν ὄντα Δαίδαλον κἀκείνῳ κατὰ γένος προσήκοντα, μητρὸς ὄντα Μερόπης τῆς Ἐρεχθέως, αὐτὸς δὲ ναυπηγίᾳ ἐπεβάλλετο, τῇ μὲν ἐν Θυμαιταδῶν αὐτόθι, μακρὰν τῆς ξενικῆς ὁδοῦ, τῇ δὲ διὰ Πιτθέως ἐν Τροιζῆνι, βουλόμενος λανθάνειν. (11) Γενομένων δὲ ἑτοίμων ἐξέπλευσε τόν τε Δαίδαλον ἔχων καὶ φυγάδας ἐκ Κρήτης καθηγεμόνας· οὐδενὸς δὲ προειδότος, ἀλλὰ ναῦς φιλίας οἰομένων τῶν Κρητῶν προσφέρεσθαι, τοῦ λιμένος κρατήσας καὶ ἀποβὰς ἔφθασεν εἰς τὴν Κνωσ[illegible] παρελθὼν, καὶ μάχην ἐν τ[illegible] ψας ἀπέκτεινε τὸν Δευ[illegible] (12) Ἐν δὲ τοῖς πράγμ[illegible] σπεισάμενος πρὸς αὐτ[illegible] φιλίαν ἐποίησε τοῖς Ἀ[illegible]

littore capram subito hircum evasisse : [illegible] Epitragiam nominari.

XIX. Postquam Cretam appulit, ut [illegible] dunt canuntque poetæ, ab Ariadna, [illegible] perat, accepto filo, doctus quemadmodum [illegible] byrinthi ambagibus posset, Minotaurum [illegible] inde, Ariadnam et impuberes secum [illegible] cydes fundos etiam a Theseo Creticarum [illegible] ne insequi possent ipsum, excisos. [illegible] Taurum interfectum ait, Minois [illegible] enavigaret, in portu commisso prœlio navali. [illegible] Philochorus scriptum reliquit, [illegible] quod putaretur iterum omnes [illegible] quippe potentia ejus ob mores [illegible] impingebatur, quod [illegible] Unde quum peteret certamen [illegible] Ac solenne quum esset apud [illegible] essent feminæ, [illegible] sei, et virtutem in [illegible] (6) Lætus Minos [illegible] lucta Taurus [illegible] ros, et civitati [illegible] vero modo et [illegible] petens, [illegible] vigaret triremis [illegible] sed solus navis Argus [illegible] cinia mari [illegible] perfugisset [illegible] retur cum [illegible] vitæ ibi [illegible] Deucalion, [illegible] jussisset [illegible] pueros [illegible] respondisse [illegible]

Οἱ μὲν γὰρ ἀπάγξασθαι φασὶν αὐτὴν ἀπολειφθεῖσαν ὑπὸ τοῦ Θησέως, (2) οἱ δὲ εἰς Νάξον ὑπὸ ναυτῶν κομισθεῖσαν Οἰνάρῳ τῷ ἱερεῖ τοῦ Διονύσου συνοικεῖν, ἀπολειφθῆναι δὲ τοῦ Θησέως ἐρῶντος ἑτέρας·

Δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης.

(3) Τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς· ὥσπερ αὖ πάλιν ἐμβαλεῖν εἰς τὴν Ὁμήρου νεκυίαν τὸ,

* Θησέα, Πειρίθοόν τε, θεῶν ἀριδείκετα τέκνα,

χαριζόμενον Ἀθηναίοις. (4) Ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον· ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶ, περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων·

Τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.

(5) Ἃ δ' ἐστὶν εὐφημότατα τῶν μυθολογουμένων, πάντες, ὡς ἔπος εἰπεῖν, διὰ στόματος ἔχουσιν. Ἴδιον δέ τινα περὶ τούτων λόγον ἐκδέδωκε Παίων ὁ Ἀμαθούσιος. (6) Τὸν γὰρ Θησέα φησὶν ὑπὸ χειμῶνος εἰς Κύπρον ἐξενεχθέντα, καὶ τὴν Ἀριάδνην ἔγκυον ἔχοντα, φαύλως δὲ διακειμένην ὑπὸ τοῦ σάλου καὶ δυσφοροῦσαν ἐκβιβάσαι μόνην· αὐτὸν δὲ τῷ πλοίῳ βοηθοῦντα πάλιν εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς φέρεσθαι. (7) Τὰς οὖν ἐγχωρίους γυναῖκας τὴν Ἀριάδνην ἀναλαβεῖν καὶ περιέπειν ἀθυμοῦσαν ἐπὶ τῇ μονώσει, καὶ γράμματα πλαστὰ προσφέρειν, ὡς τοῦ Θησέως γράφοντος αὐτῇ, καὶ περὶ τὴν ὠδῖνα συμπονεῖν καὶ βοηθεῖν· ἀποθανοῦσαν δὲ θάψαι, μὴ τεκοῦσαν. (8) Ἐπανελθόντα δὲ τὸν Θησέα καὶ περίλυπον γενόμενον τοῖς μὲν ἐγχωρίοις ἀπολιπεῖν χρήματα, συντάξαντα θύειν τῇ Ἀριάδνῃ· δύο δὲ μικροὺς ἀνδριαντίσκους ἱδρύσασθαι, τὸν μὲν ἀργυροῦν, τὸν δὲ χαλκοῦν. (9) Ἐν δὲ τῇ θυσίᾳ τοῦ Γορπιαίου μηνὸς ἱσταμένου δευτέρᾳ, κατακλινόμενόν τινα τῶν νεανίσκων φθέγγεσθαι καὶ ποιεῖν, ἅπερ ὠδίνουσαι γυναῖκες· καλεῖν δὲ τὸ ἄλσος Ἀμαθουσίους, ἐν ᾧ τὸν τάφον δεικνύουσιν, Ἀριάδνης Ἀφροδίτης. (10) Καὶ Ναξίων δέ τινες ἰδίως ἱστοροῦσι δύο Μίνωας γενέσθαι καὶ δύο Ἀριάδνας, ὧν τὴν μὲν Διονύσῳ γαμηθῆναι φασὶν ἐν Νάξῳ καὶ τοὺς περὶ Στάφυλον τεκεῖν· τὴν δὲ νεωτέραν ἁρπασθεῖσαν ὑπὸ τοῦ Θησέως καὶ ἀπολειφθεῖσαν εἰς Νάξον ἐλθεῖν· καὶ τροφὸν μετ' αὐτῆς ὄνομα Κορκύνην, ἧς δείκνυσθαι τάφον. (11) Ἀποθανεῖν δὲ καὶ τὴν Ἀριάδνην αὐτόθι, καὶ τιμὰς ἔχειν οὐχ ὁμοίως τῇ προτέρᾳ· τῇ μὲν γὰρ ἡδομένους καὶ παίζοντας ἑορτάζειν, τὰς δὲ ταύτῃ δρωμένας θυσίας εἶναι πένθει τινὶ καὶ στυγνότητι μεμιγμένας.

XXI. Ἐκ δὲ τῆς Κρήτης ἀποπλέων εἰς Δῆλον κατέσχε, καὶ τῷ θεῷ θύσας καὶ ἀναθεὶς τὸ Ἀφροδίσιον, ὃ παρὰ τῆς Ἀριάδνης ἔλαβεν, ἐχόρευσε μετὰ τῶν ἡϊθέων χορείαν, ἣν ἔτι νῦν ἐπιτελεῖν Δηλίους λέγουσι, μίμημα τῶν ἐν τῷ Λαβυρίνθῳ περιόδων καὶ διεξόδων, ἔν τινι ῥυθμῷ περιελίξεις καὶ ἀνελίξεις ἔχοντι γιγνομένην. (2) Καλεῖται δὲ τὸ γένος τοῦτο τῆς χορείας ὑπὸ Δηλίων γέρανος, ὡς ἱστορεῖ Δικαίαρχος. Ἐχόρευσε δὲ περὶ

periisse a Theseo destitutam aiunt; (2) alii ab nautis Naxum deportatam, sacerdoti Bacchi Œnaro consuevisse, relictam autem a Theseo, quod aliam amaret:

Dirus eum vexabat amor Panopeidis Ægles.

(3) Nam hunc versum ex Hesiodi carminibus Pisistratum subduxisse Hereas Megarensis narrat; sicut contra in Homeri Necyiam (*Odysseæ librum* 11) hunc,

Thesea Pirithoumque, illustria pignora divûm,

in gratiam Atheniensium infersisse. (4) Alii peperisse quoque ex Theseo Ariadnam Œnopionem et Staphylum, in quibus Chius est Ion, qui de patria sua refert,

Quondam hanc Theseides condidit Œnopion.

(5) Quæ vero in fabulis sunt maxime decantata, omnes pæne in ore habent. Singularem vero de his famam vulgavit Pæon Amathusius. (6) Nam Theseum ait tempestate Cyprum delatum, quum gravidam secum haberet Ariadnam, maleque ex jactatione affectam et languentem solam exposuisset, succurrentem navigio in pelagus rursus a terra ablatum: (7) feminas autem indigenas excepisse Ariadnam, mœstamque, quod relicta esset sola, fovisse, ac literas ohtulisse ei fictas, velut a Theseo ad eam missas, adjuvisse etiam et præsto fuisse in partu, atque defunctam non edito partu, funerasse. (8) Post hæc reversum Theseum et dolore confectum indigenis argentum reliquisse, instituisseque ut sacra facerent Ariadnæ: præterea duo ei exigua simulacra posuisse, argenteum unum, alterum æneum. (9) In sacris autem, quæ altero die mensis Gorpiæi celebrantur, decumbentem quendam adolescentem voce et gestu feminas parturientes exprimere; et appellare Amathusios lucum, in quo tumulum ostendunt, Ariadnæ Veneris. (10) Jam vero Naxii quidam aliter atque alii duos Minoas, duasque scribunt fuisse Ariadnas: quarum alteram nupsisse Baccho in Naxo, et Staphylum memorant peperisse: minorem raptam a Theseo, desertamque in Naxum delatam, nutricemque una Corcynea nomine, cujus exstare sepulcrum: (11) Ariadnam esse illic defunctam, et dispares superiori obtinere honores; priori enim hilares et ludibundos festum diem celebrare; quæ vero huic agitent sacra, luctu quodam mista et mœstitia esse.

XXI. Solvens ex Creta Delum appulit, ubi rem divinam fecit Apollini, dedicatoque Veneris signo, quod ab Ariadna acceperat, tripudium saltavit cum impuberibus, quod hac etiam memoria ferunt Delios servare; quod in imitationem anfractuum Labyrinthi et ambagium ad modos quosdam musicos peragitur, qui implicationes et evolutiones referunt. (2) Hoc genus saltationis Grus dicitur a Deliis, ut memoriæ prodidit Dicæarchus. Saltavit autem circum aram Cerato-

τὸν Κερατῶνα, βωμὸν ἐκ κεράτων συνηρμοσμένον εὐωνύμων ἁπάντων. (3) Ποιῆσαι δὲ καὶ ἀγῶνα φασὶν αὐτὸν ἐν Δήλῳ, καὶ τοῖς νικῶσι τότε πρῶτον ὑπ' ἐκείνου φοίνικα δοθῆναι.

XXII. Τῇ δὲ Ἀττικῇ προσφερομένων ἐκλαθέσθαι μὲν αὐτὸν, ἐκλαθέσθαι δὲ καὶ τὸν κυβερνήτην ὑπὸ χαρᾶς ἐπάρασθαι τὸ ἱστίον, ᾧ τὴν σωτηρίαν αὐτῶν ἔδει γνώριμον τῷ Αἰγεῖ γενέσθαι· τὸν δὲ ἀπογνόντα ῥῖψαι κατὰ τῆς πέτρας ἑαυτὸν καὶ διαφθαρῆναι. (2) Καταπλεύσας δὲ ὁ Θησεὺς ἔθυε μὲν αὐτὸς ἃς ἐκπλέων θυσίας ηὔξατο τοῖς θεοῖς Φαληροῖ, κήρυκα δὲ ἀπέστειλε τῆς σωτηρίας ἄγγελον εἰς ἄστυ. (3) Οὗτος ἐνέτυχεν ὀδυρομένοις τε πολλοῖς τὴν τοῦ βασιλέως τελευτὴν, καὶ αὖ χαίρουσιν, ὡς εἰκὸς, ἑτέροις καὶ φιλοφρονεῖσθαι καὶ στεφανοῦν αὐτὸν ἐπὶ τῇ σωτηρίᾳ προθύμοις οὖσι. (4) Τοὺς μὲν οὖν στεφάνους δεχόμενος τὸ κηρύκειον ἀνέστεφεν· ἐπανελθὼν δὲ ἐπὶ θάλασσαν, οὔπω πεποιημένου σπονδὰς τοῦ Θησέως, ἔξω περιέμεινε μὴ βουλόμενος τὴν θυσίαν ταράξαι. (5) Γενομένων δὲ τῶν σπονδῶν ἀπήγγειλε τὴν τοῦ Αἰγέως τελευτήν. * Οἱ δὲ σὺν κλαυθμῷ καὶ θορύβῳ σπεύδοντες ἀνέβαινον εἰς τὴν πόλιν. (6) Ὅθεν καὶ νῦν ἐν τοῖς ὠσχοφορίοις στεφανοῦσθαι μὲν οὐ τὸν κήρυκα λέγουσιν, ἀλλὰ τὸ κηρύκειον· ἐπιφωνεῖν δὲ ταῖς σπονδαῖς, « Ἐλελεῦ, Ἰοὺ, Ἰοὺ, » τοὺς παρόντας· ὧν τὸ μὲν σπεύδοντες ἀναφωνεῖν καὶ παιωνίζοντες εἰώθασι, τὸ δὲ ἐκπλήξεως καὶ ταραχῆς ἐστι. (7) Θάψας δὲ τὸν πατέρα τῷ Ἀπόλλωνι τὴν εὐχὴν ἀπεδίδου τῇ ἑβδόμῃ τοῦ Πυανεψιῶνος μηνὸς ἱσταμένου· ταύτῃ γὰρ ἀνέβησαν εἰς ἄστυ σωθέντες. (8) Ἡ μὲν οὖν ἕψησις τῶν ὀσπρίων λέγεται γενέσθαι διὰ τὸ σωθέντας αὐτοὺς εἰς ταὐτὸ συμμῖξαι τὰ περιόντα τῶν σιτίων, καὶ μίαν χύτραν κοινὴν ἑψήσαντας συνεστιαθῆναι, καὶ συγκαταφαγεῖν ἀλλήλοις. (9) Τὴν δὲ εἰρεσιώνην ἐκφέρουσι, κλάδον ἐλαίας ἐρίῳ μὲν ἀνεστεμμένον, ὥσπερ τότε τὴν ἱκετηρίαν, παντοδαπῶν δὲ ἀνάπλεων καταργμάτων, διὰ τὸ λῆξαι τὴν ἀφορίαν, (10) ἐπᾴδοντες·

> Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους
> καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι
> καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.

(11) Καίτοι ταῦτά τινες ἐπὶ τοῖς Ἡρακλείδαις γενέσθαι λέγουσιν, οὕτω διατρεφομένους ὑπὸ τῶν Ἀθηναίων· οἱ δὲ πλείονες, ὡς προείρηται.

XXIII. Τὸ δὲ πλοῖον, ἐν ᾧ μετὰ τῶν ἠἰθέων ἔπλευσε, καὶ πάλιν ἐσώθη, τὴν τριακόντορον, ἄχρι τῶν Δημητρίου τοῦ Φαληρέως χρόνων διεφύλαττον οἱ Ἀθηναῖοι, τὰ μὲν παλαιὰ τῶν ξύλων ὑφαιροῦντες, ἄλλα δὲ ἐμβάλλοντες ἰσχυρὰ καὶ συμπηγνύντες οὕτως, ὥστε καὶ τοῖς φιλοσόφοις εἰς τὸν αὐξόμενον λόγον ἀμφιδοξούμενον παράδειγμα τὸ πλοῖον εἶναι, τῶν μὲν, ὡς τὸ αὐτὸ, τῶν δὲ, ὡς οὐ τὸ αὐτὸ διαμένει, λεγόντων. (2) Ἄγουσι δὲ καὶ τὴν τῶν ὠσχοφορίων ἑορτὴν Θησέως καταστήσαντος. Οὐ γὰρ ἁπάσας αὐτὸν ἐξαγαγεῖν τὰς λαχούσας τότε παρθένους, ἀλλὰ τῶν συνήθων νεανίσκων δύο θηλυφανεῖς μὲν ὀφθῆναι καὶ νεαροὺς, ἀνδρώδεις δὲ τὰς ψυχὰς καὶ προ-

nem, quæ ex cornibus erat, sinistris omnibus, compacta. (3) Ludos quoque edidisse eum aiunt in Delo, ac victores ab illo tunc primum palmæ ramis donatos.

XXII. Quum Atticæ appropinquarent, memoria excidisse ipsi, excidisse etiam gubernatori præ gaudio, ut velum, quod erat salutem ipsorum significaturum Ægeo, erigerent; unde despondentem animum de rupe se illum præcipitavisse et exstinctum fuisse. (2) Invectus portum Theseus sacra illa fecit, quæ diis, quum solveret, voverat in Phalero, nunc tiumque incolumitatis suæ misit in urbem caduceatorem. (3) Hic in multos incidit regis fatis illacrimantes, et rursus in exsultantes, ut probabile est, alios, promptosque ad læte eum, quod incolumis adesset, excipiendum et coronis ornandum. (4) Quas coronas accepit, iisque adornavit caduceum : regressus autem ad mare, nondum re divina a Theseo perpetrata, ne sacrificium turbaret, restitit foris. (5) Quo peracto, renuntiavit Ægei mortem. Ita illi cum gemitu et animo commoto in urbem citato gradu ascenderunt. (6) Unde nunc quoque in Oschophoriis coronari non caduceatorem aiunt, sed caduceum, et acclamare inter libamina præsentes, Eia, heu, heu! quorum solent illud festinantes et ovantes exclamare, hoc consternationis est et trepidationis. (7) Elato patre, Apollini vota reddidit die septimo mensis Pyanepsionis : eo enim sospites urbem iniere. (8) Ac leguminum elixatio inde orta dicitu, quod incolumes ciborum reliquias in unum confuderint, unaque coctas communi olla, epulati simul inter se manducaverint. (9) Iresionen vero proferunt, oleæ ramum lana obvolutum, quemadmodum tunc erant supplicia, variis fructuum primitiis onustum, quia desierat tunc sterilitas; (10) accinentes,

> Iresione fers ficus et pinguia farra,
> et pateram mellis, cum fructu dulcis olivæ
> fœcundum calicem, sopiatur ut ebria somno.

(11) Quamvis hæc quidam in memoriam facta ferant Heraclidarum, qui ita ab Atheniensibus aliti fuerunt : sed major pars adstipulatur ante dictis.

XXIII. Navigium, quo cum impuberibus navigavit et salvus rediit, remorum triginta, usque ad Demetrii Phalerei ætatem Athenienses conservaverunt, veteri materiæ sensim ablatæ integram aliam sufficientes, itaque coagmentantes, ut etiam philosophis ambiguitatis, quæ in λόγῳ αὐξομένῳ inest, exemplum hæc navis præbuerit, quam alii eandem manere, alii non eandem, contendant. (2) Etiam Oschophoriorum solenne celebrant ex Thesei instituto : neque enim omnes eum sorte lectas virgines ferunt eduxisse, sed familiares sibi adolescentes duos, quorum, quum muliebri quidem vultu et fere immaturo, sed virilibus forent pectoribus et impigri, speciem balneis, umbratili vita, unctioni-

θύμους, λουτροῖς τε θερμοῖς καὶ σκιατροφίαις, καὶ ταῖς περὶ τὴν κόμην καὶ λειότητα καὶ χροιὰν ἀλοιφαῖς καὶ κοσμήσεσιν, ὡς ἔστιν, ἐξαλλάξαντα κομιδῇ, καὶ διδάξαντα φωνὴν καὶ σχῆμα καὶ βάδισιν, ὡς ἐνι μάλιστα, παρθένοις ὁμοιοῦσθαι, καὶ μηδὲν φαίνεσθαι διαφέροντας, ἐμβαλεῖν εἰς τὸν τῶν παρθένων ἀριθμὸν, καὶ διαλαθεῖν ἅπαντας· (3) ἐπεὶ δὲ ἐπανῆλθεν, αὐτόν τε πομπεῦσαι καὶ τοὺς νεανίσκους οὕτως ἀμπεχομένους, ὡς νῦν ἀμπέχονται τοὺς ὤσχους φέροντες. (4) Φέρουσι δὲ, Διονύσῳ καὶ Ἀριάδνῃ χαριζόμενοι, διὰ τὸν μῦθον· ἢ μᾶλλον ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆλθον· αἱ δὲ δειπνοφόροι παραλαμβάνονται, καὶ κοινωνοῦσι τῆς θυσίας ἀπομιμούμεναι τὰς μητέρας ἐκείνων τῶν λαχόντων. (5) Ἐπεφοίτων γὰρ αὐτοῖς ὄψα καὶ σιτία κομίζουσαι· καὶ μῦθοι λέγονται, διὰ τὸ κἀκείνας εὐθυμίας ἕνεκα καὶ παρηγορίας μύθους διεξιέναι τοῖς παισί. Ταῦτα μὲν οὖν καὶ Δήμων ἱστόρηκεν. (6) Ἐξῃρέθη δὲ καὶ τέμενος αὐτῷ, καὶ τοὺς ἀπὸ τῶν παρασχόντων τὸν δασμὸν οἴκων ἔταξεν εἰς θυσίαν αὐτῷ τελεῖν ἀποφοράς· καὶ τῆς θυσίας ἐπιμελοῦντο Φυταλίδαι, Θησέως ἀποδόντος αὐτοῖς ἀμοιβὴν τῆς φιλοξενίας.

XXIV. Μετὰ δὲ τὴν Αἰγέως τελευτὴν μέγα καὶ θαυμαστὸν ἔργον εἰς νοῦν βαλόμενος συνῴκισε τοὺς τὴν Ἀττικὴν κατοικοῦντας εἰς ἕν ἄστυ, καὶ μιᾶς πόλεως ἕνα δῆμον ἀπέφηνε τέως σποράδας ὄντας καὶ δυσανακλήτους πρὸς τὸ κοινὸν πάντων συμφέρον, ἔστι δ' ὅτε καὶ διαφερομένους ἀλλήλοις καὶ πολεμοῦντας. (2) Ἐπιὼν οὖν ἀνέπειθε κατὰ δήμους καὶ γένη, τῶν μὲν ἰδιωτῶν καὶ πενήτων ἐνδεχομένων ταχὺ τὴν παράκλησιν αὐτοῦ, * τοῖς δὲ δυνατοῖς ἀβασίλευτον πολιτείαν προτείνων καὶ δημοκρατίαν, αὐτῷ μόνον ἄρχοντι πολέμου καὶ νόμων φύλακι χρησομένην, τῶν δὲ ἄλλων παρέξουσαν ἅπασιν ἰσομοιρίαν· (3) τοὺς μὲν ταῦτα ἔπειθεν· οἱ δὲ τὴν δύναμιν αὐτοῦ δεδιότες μεγάλην οὖσαν ἤδη καὶ τὴν τόλμαν, ἐβούλοντο πειθόμενοι μᾶλλον ἢ βιαζόμενοι ταῦτα συγχωρεῖν. (4) Καταλύσας οὖν τὰ παρ' ἑκάστοις πρυτανεῖα καὶ βουλευτήρια καὶ ἀρχὰς, ἓν δὲ ποιήσας ἅπασι κοινὸν ἐνταῦθα πρυτανεῖον καὶ βουλευτήριον, ὅπου νῦν ἵδρυται τὸ ἄστυ, τήν τε πόλιν Ἀθήνας προσηγόρευσε, καὶ Παναθήναια θυσίαν ἐποίησε κοινήν. (5) Ἔθυσε δὲ καὶ Μετοίκια τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Ἑκατομβαιῶνος, ἣν ἔτι νῦν θύουσι. (6) Καὶ τὴν βασιλείαν ἀφεὶς, ὥσπερ ὡμολόγησε, διεκόσμει τὴν πολιτείαν ἀπὸ θεῶν ἀρχόμενος· ἦκε γὰρ αὐτῷ χρησμὸς ἐκ Δελφῶν μαντευομένῳ περὶ τῆς πόλεως·

Αἰγείδη Θησεῦ, Πιτθηίδος ἔκγονε κούρης,
πολλαῖς τοι πολίεσσι πατὴρ ἐμὸς ἐγκατέθηκε
τέρματα καὶ κλωστῆρας ἐν ὑμετέρῳ πτολιέθρῳ.
Ἀλλὰ σὺ μή τι λίην πεπονημένος ἔνδοθι θυμὸν
βουλεύειν· ἀσκὸς γὰρ ἐν οἰδματι ποντοπορεύσει.

(7) Τοῦτο δὲ καὶ Σίβυλλαν ὕστερον ἀποστοματίσαι πρὸς τὴν πόλιν ἱστοροῦσιν ἀναφθεγξαμένην·

Ἀσκὸς βαπτίζῃ· δῦναι δέ τοι οὐ θέμις ἐστίν.

bus comæ et lævium partium colorem extenuantibus, denique cultu vehementer immutaverat, et finxerat vocem, gestum et incessum, ut quam maxime virgines repræsentarent, neque usquam viderentur ab iis discrepare : hos inseruisse in virginum numerum, atque omnes fefellisse. (3) Postquam redux fuit, et illum et adolescentes illos pompam duxisse eo quo nunc amiciuntur cultu qui palmites cum racemis ferunt. (4) Hos ferunt in Bacchi et Ariadnæ honorem, propter fabulam : aut potius quod ea tempestate redlissent, qua colliguntur fructus. Feminæ vero, Dipnophoræ dictæ, adsistunt et adhibentur sacrificio, illorumque sortitorum matres imitantur : (5) portaverunt enim iis obsonia et epulas; ac narrantur fabulæ, eo quod et illæ consolandi liberos et erigendi causa, fabulas iis recensuerint. Atque hæc Demon quoque prodidit. (6) Locus etiam ipsi sacer lectus septusque est, *et templum tibi exstructum;* illisque familiis, quæ tributum pependerant, imposuit ut ad sacrificium inferrent vectigal. Sacrificio Phytalidæ præerant : qua re Theseus hospitalitatem eorum remuneravit.

XXIV. Ab Ægei excessu grande et mirificum opus agitans animo, collegit Atticæ cultores in unam urbem, uniusque civitatis unum reddidit populum, qui tunc erant passim sparsi, et ægre ad agendum in communi de republica conciri poterant : nonnunquam etiam dissidebant inter se belloque certabant. (2) Hos igitur adiit, persuasitque eam rem singulis populis et familiis. Cujus consilium privati et inopes cito acceperunt : opulentis autem et potentibus quum rempublicam rege fore liberam proponeret, in qua omnis penes populum esset futura potestas, ipse vero moderator tantum belli, et legum foret custos, cetera paria omnibus, (3) partim iis hæc persuasit : alii potentiam ejus veriti jam magnam, atque audaciam, malebant sponte his, quam vi compulsi, assentiri. (4) Igitur dissolvit vicatim prytanea et curias et magistratus, unoque statuto omnibus communi illic prytaneo et curia, ubi hoc tempore situm est Astu, et urbem Athenas appellavit, et Panathenæa sacrificium instituit commune. (5) Celebravit etiam Metœcia (id est festum immigrationis, *aliis Synœcia*), sexto decimo die mensis Hecatombæonis, quem etiam nunc festum agunt : (6) depositoque, ut receperat, regno, rempublicam digessit ab diis auspicatus ; nam consulenti deum de ea urbe, sortes Delphis allatæ sunt hæ, .

Ægide Thesèu, Pittheidis edite partu,
fata pater multis meus et finem urbibus olim
constituit, voluitque hac in vestra urbe teneri.
Tuque invicte malis animo ne cede labori,
Uter ut insanis pelagi jactaberis undis.

(7) Hoc oraculum post civitati Atheniensi repetiisse scribunt Sibyllam, hoc versu,

Immergi poteris, sed submergi tibi non fas.

XXV. Ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις, καὶ τὸ, Δεῦρ' ἴτε πάντες λεῴ, κήρυγμα Θησέως γενέσθαι φασὶ πανδημίαν τινὰ καθιστάντος. (2) Οὐ μὴν ἄτακτον οὐδὲ μεμιγμένην περιεῖδεν ὑπὸ πλήθους ἐπιχυθέντος ἀκρίτου γενομένην τὴν δημοκρατίαν· ἀλλὰ πρῶτος ἀπακρίνας χωρὶς Εὐπατρίδας καὶ Γεωμόρους καὶ Δημιουργούς, (3) Εὐπατρίδαις δὲ γνώσκειν τὰ θεῖα, καὶ παρέχειν ἄρχοντας ἀποδοὺς, καὶ νόμων διδασκάλους εἶναι, καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητὰς τοῖς ἄλλοις πολίταις, ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν Εὐπατριδῶν, χρείᾳ δὲ Γεωμόρων, πλήθει δὲ τῶν Δημιουργῶν ὑπερέχειν δοκούντων. (4) Ὅτι δὲ πρῶτος ἐπέκλινε πρὸς τὸν ὄχλον, ὡς Ἀριστοτέλης φησὶ, καὶ ἀφῆκε τὸ μοναρχεῖν, ἔοικε μαρτυρεῖν καὶ Ὅμηρος ἐν νεῶν καταλόγῳ μόνους Ἀθηναίους δῆμον προσαγορεύσας. (5) Ἔκοψε δὲ καὶ νόμισμα βοῦν ἐγχαράξας, ἢ διὰ τὸν Μαραθώνιον ταῦρον, ἢ διὰ τὸν Μίνω στρατηγὸν, ἢ πρὸς γεωργίαν τοὺς πολίτας παρακαλῶν. (6) Ἀπ' ἐκείνου δέ φασι τὸ ἑκατόμβοιον καὶ τὸ δεκάβοιον ὀνομασθῆναι. (7) Προσκτησάμενος δὲ τῇ Ἀττικῇ τὴν Μεγαρικὴν βεβαίως, τὴν θρυλουμένην ἐν Ἰσθμῷ στήλην ἔστησεν ἐπιγράψας τὸ διορίζον ἐπίγραμμα τὴν χώραν δυσὶ τριμέτροις, ὧν ἔφραζε τὰ μὲν πρὸς ἕω,

Τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία·

τὰ δὲ πρὸς ἑσπέραν,

Τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰωνία.

(8) Καὶ τὸν ἀγῶνα πρῶτος ἔθηκε κατὰ ζῆλον Ἡρακλέους, ὡς δι' ἐκεῖνον Ὀλύμπια τῷ Διΐ, καὶ δι' αὐτὸν Ἴσθμια τῷ Ποσειδῶνι φιλοτιμηθεὶς ἄγειν τοὺς Ἕλληνας. (9) Ὁ γὰρ ἐπὶ Μελικέρτῃ τεθεὶς αὐτόθι νυκτὸς ἑδρᾶτο τελετῆς ἔχων μᾶλλον ἢ θέας καὶ πανηγυρισμοῦ τάξιν. (10) Ἔνιοι δέ φασιν ἐπὶ Σκείρωνι τὰ Ἴσθμια τεθῆναι τοῦ Θησέως ἀφοσιουμένου τὸν φόνον διὰ τὴν συγγένειαν· Σκείρωνα γὰρ υἱὸν εἶναι Κανήθου καὶ Ἡνιόχης τῆς Πιτθέως. (11) Οἱ δὲ Σίνιν, οὐ Σκείρωνα· καὶ τὸν ἀγῶνα τεθῆναι διὰ τοῦτον ὑπὸ Θησέως, οὐ δι' ἐκεῖνον. (12) * Ἔταξεν οὖν καὶ διωρίσατο πρὸς τοὺς Κορινθίους, Ἀθηναίων τοῖς ἀφικνουμένοις ἐπὶ τὰ Ἴσθμια παρέχειν προεδρίαν, ὅσον ἂν τόπον ἐπίσχῃ καταπεταθὲν τὸ τῆς θεωρίδος νεὼς ἱστίον, ὡς Ἑλλάνικος καὶ Ἄνδρων ὁ Ἁλικαρνασσεὺς ἱστορήκασιν.

XXVI. Εἰς δὲ τὸν πόντον ἔπλευσε τὸν Εὔξεινον, ὡς μὲν Φιλόχορος καί τινες ἄλλοι λέγουσι, μεθ' Ἡρακλέους ἐπὶ τὰς Ἀμαζόνας συστρατεύσας, καὶ γέρας ἀριστεῖον Ἀντιόπην ἔλαβεν· (2) οἱ δὲ πλείους, ὧν ἐστὶ καὶ Φερεκύδης καὶ Ἑλλάνικος καὶ Ἡρόδωρος, ὕστερον φασὶν Ἡρακλέους ἰδιόστολον πλεῦσαι τὸν Θησέα, καὶ τὴν Ἀμαζόνα λαβεῖν αἰχμάλωτον, πιθανώτερα λέγοντες. (3) Οὐδεὶς γὰρ ἄλλος ἱστόρηται τῶν μετ' αὐτοῦ στρατευσάντων Ἀμαζόνα λαβεῖν αἰχμάλωτον. (4) Βίων δὲ, καὶ ταύτην παρακρουσάμενον οἴχεσθαι λαβόντα· φύσει γὰρ οὔσας τὰς Ἀμαζόνας φιλάνδρους οὔτε φυγεῖν

XXV. Quo autem magis civitatem amplificaret, invitavit omnes pari proposito jure : et edictum, Huc pergite omnes populi, Thesei autumant fuisse, concilium quoddam populorum constituentis commune. (2) Non permisit tamen, ut respublica popularis, ab affluente et indiscreta colluvie incondita evaderet et confusa, sed primus discrevit seorsum patricios, agricolas, et opifices. (3) Atque quum patriciis jus concessisset res divinas cognoscendi, magistratus ex suo ordine creandi, et ut leges docerent, sacra et cærimonias reliquis civibus interpretarentur, quasi ad æquabilitatem constituit rempublicam, quod dignitate patricii, utilitate agricolæ, artifices numero viderentur præcellere. (4) Nam eum primum fuisse in plebem, ut auctor est Aristoteles, propensum, et dominatum deposuisse, testari Homerum quoque in Navium Catalogo apparet, qui solos Athenienses populum vocat. (5) Signavit etiam nummum inciso bove, vel ob taurum Marathonium, vel ob Minois ducem, vel ad agriculturam cives incitans. (6) Hinc ferunt Hecatombœon et Decabœon dictum *quod centum, quod decem nummis aureis æstimabile est.* (7) Quum agro Attico Megaricum solide adjunxisset, celebrem illam collocavit in Isthmo columnam, inscripsitque ad determinandum agrum epigramma duobus trimetris : quorum id, quod orientem spectabat, ita habebat,

Hæc non sunt Peloponnesus, ast Ionia :

quod vero ad occidentem, hujusmodi erat,

Sunt ista Peloponnesus, haud Ionia.

(8) Ac ludos Herculis imitatione primus statuit, ambiens ut, sicut in illius memoriam Jovi Olympia, ita Isthmia Neptuno Græci in honorem suum agerent. (9) Quod enim in Melicertes honorem institutum nocte illic peragebatur, initiatoria cæremonia potius, quam spectaculum et celebritas publica censebatur. (10) Sunt tamen qui dicant Scironi Isthmia dicata, ut ob propinquitatem expiaret illius cædem Theseus : Scironem enim filium Canethi fuisse et Henioches Pitthei filiæ. (11) Alii Sinnin dicunt, non Scironem, atque hujus gratia ludos, non illius, a Theseo statutos. (12) Constituit certe et convenit ei cum Corinthiis ut Atheniensibus, qui ad Isthmia venissent, attribuerent prima subsellia tanto spatio, quantum navis theoridis expansum humi velum occupasset : quod Hellanicus et Andron Halicarnasseus scriptum reliquerunt.

XVI. In pontum Euxinum navigavit, ut Philochorus et nonnulli alii referunt, Herculem in bellum adversus Amazonas secutus, et præmium virtutis ergo accepit Antiopam (2) At major pars, in quibus est Pherecydes, Hellanicus et Herodorus, post Herculem aiunt cum propria classe navigasse Theseum, et captivam duxisse hanc Amazonem; quod quidem est probabilius. (3) Nemo enim alius proditur illius commilitonum Amazonem captivam duxisse : (4) Bion etiam hac dolo capta, se recepisse : quippe natura cupidas virorum Amazonas, neque refugisse delatum ad

τὸν Θησέα προσβαλόντα τῇ χώρᾳ, ἀλλὰ καὶ ξένια πέμπειν· τὸν δὲ τὴν κομίζουσαν ἐμβῆναι παρακαλεῖν εἰς τὸ πλοῖον· ἐμβάσης δὲ ἀναχθῆναι. (5) Μενεκράτης δέ τις ἱστορίαν περὶ Νικαίας τῆς ἐν Βιθυνίᾳ πόλεως ἐκδεδωκὼς Θησέα φησὶ τὴν Ἀντιόπην ἔχοντα διατρῖψαι περὶ τούτους τοὺς τόπους· τυγχάνειν δὲ συστρατεύοντας αὐτῷ τρεῖς νεανίσκους ἐξ Ἀθηνῶν, ἀδελφοὺς ἀλλήλων, Εὔνεων καὶ Θόαντα καὶ Σολόεντα. (6) Τοῦτον οὖν ἐρῶντα τῆς Ἀντιόπης καὶ λανθάνοντα τοὺς ἄλλους ἐξειπεῖν πρὸς ἕνα τῶν συνήθων· ἐκείνου δὲ περὶ τούτων ἐντυχόντος τῇ Ἀντιόπῃ, τὴν μὲν τὴν πεῖραν ἰσχυρῶς ἀποτρίψασθαι, τὸ δὲ πρᾶγμα σωφρόνως ἅμα καὶ πράως ἐνεγκεῖν, καὶ πρὸς τὸν Θησέα μὴ κατηγορῆσαι. (7) Τοῦ δὲ Σολόεντος, ὡς ἀπέγνω, ῥίψαντος ἑαυτὸν εἰς ποταμόν τινα καὶ διαφθαρέντος, ἠσθημένον τότε τὴν αἰτίαν καὶ τὸ πάθος τοῦ νεανίσκου τὸν Θησέα βαρέως ἐνεγκεῖν καὶ δυσφοροῦντα λόγιόν τι πυθόχρηστον ἀνενεγκεῖν πρὸς ἑαυτόν· (8) εἶναι γὰρ αὐτῷ προστεταγμένον ἐν Δελφοῖς ὑπὸ τῆς Πυθίας, ὅταν ἐπὶ ξένης ἀνιαθῇ μάλιστα καὶ περίλυπος γένηται, πόλιν ἐκεῖ κτίσαι, καὶ τῶν ἀμφ' αὐτὸν τινὰς ἡγεμόνας καταλιπεῖν. (9) Ἐκ δὲ τούτου τὴν μὲν πόλιν, ἣν ἔκτισεν, ἀπὸ τοῦ θεοῦ Πυθόπολιν προσαγορεῦσαι· Σολόεντα δὲ τὸν πλησίον ποταμὸν ἐπὶ τιμῇ τοῦ νεανίσκου. (10) Καταλιπεῖν δὲ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οἷον ἐπιστάτας καὶ νομοθέτας, καὶ σὺν αὐτοῖς Ἕρμον, ἄνδρα τῶν Ἀθήνησιν Εὐπατριδῶν· ἀφ' οὗ καὶ τόπον Ἑρμοῦ καλεῖν οἰκίαν τοὺς Πυθοπολίτας οὐκ ὀρθῶς τὴν δευτέραν συλλαβὴν περισπῶντας καὶ τὴν δόξαν ἐπὶ θεὸν ἀπὸ ἥρωος μετατιθέντας.

XXVII. Πρόφασιν μὲν οὖν ταύτην ὁ τῶν Ἀμαζόνων πόλεμος ἔσχε. Φαίνεται δὲ μὴ φαῦλον αὐτοῦ, μηδὲ γυναικεῖον γενέσθαι τὸ ἔργον. (2) Οὐ γὰρ ἂν ἐν ἄστει κατεστρατοπέδευσαν, οὐδὲ τὴν μάχην συνῆψαν ἐν χρῷ περὶ τὴν Πνύκα καὶ τὸ Μουσεῖον, εἰ μὴ κρατοῦσαι τῆς χώρας, ἀδεῶς τῇ πόλει προσέμιξαν. (3) Εἰ μὲν οὖν, ὡς Ἑλλάνικος ἱστόρηκε, τῷ Κιμμερικῷ Βοσπόρῳ παγέντι διαβᾶσαι περιῆλθον, ἔργον ἐστὶ πιστεῦσαι. (4) Τὸ δὲ ἐν τῇ πόλει σχεδὸν αὐτὰς ἐνστρατοπεδεῦσαι μαρτυρεῖται καὶ τοῖς ὀνόμασι τῶν τόπων καὶ ταῖς θήκαις τῶν πεσόντων. (5) Πολὺν δὲ χρόνον ὄκνος ἦν καὶ μέλλησις ἀμφοτέροις τῆς ἐπιχειρήσεως· τέλος δὲ Θησεὺς κατά τι λόγιον τῷ Φόβῳ σφαγιασάμενος συνῆψεν αὐταῖς. (6) Ἡ μὲν οὖν μάχη Βοηδρομιῶνος ἐγένετο μηνός, ἐφ' ᾗ τὰ Βοηδρόμια μέχρι νῦν Ἀθηναῖοι θύουσιν. (7) Ἱστορεῖ δὲ καὶ Κλείδημος ἐξακριβοῦν τὰ καθ' ἕκαστα βουλόμενος, τὸ μὲν εὐώνυμον τῶν Ἀμαζόνων κέρας ἐπιστρέφειν πρὸς τὸ νῦν καλούμενον Ἀμαζόνειον, τὸ δὲ δεξιὸν πρὸς τὴν Πνύκα κατὰ τὴν Χρύσαν ἥκειν. (8) * Μάχεσθαι δὲ πρὸς τοῦτο τοὺς Ἀθηναίους ἀπὸ τοῦ Μουσείου ταῖς Ἀμαζόσι συμπεσόντας· καὶ τάφους τῶν πεσόντων περὶ τὴν πλατεῖαν εἶναι τὴν φέρουσαν ἐπὶ τὰς πύλας, παρὰ τὸ Χαλκώδοντος ἡρῷον, ἃς νῦν Πειραϊκὰς ὀνομάζουσι. (9) Καὶ ταύτῃ μὲν ἐκβιασθῆναι μέχρι τῶν Εὐμενίδων, καὶ ὑποχωρῆσαι ταῖς γυναιξίν· ἀπὸ δὲ Ηαλ-

oram illam Theseum, immo et munera ei misisse : illum vero invitasse eam, quæ hospitalia munera afferebat, ut navigium conscenderet, et postquam illa conscendit, solvisse. (5) Sed Menecrates quidam, qui historiam Nicææ urbis Bithyniæ edidit, Theseum memorat, quum Antiopam teneret, demoratum aliquamdiu illis in oris : habuisse autem eum secum commilitones, tres Athenienses juvenes, fratres inter se, Euneum, Thoantem, et Soloenta. (6) Hunc Antiopæ amore inflammatum, quum ardorem suum celaret alios, uni ex familiaribus detexisse : qui quum Antiopam hac de re appellaret, eam attentationem hujus repulisse acriter, prudenter id tamen et leniter tulisse, neque ad Theseum detulisse. (7) At Solois, abscissa spe quum in amnem quendam se abjecisset et interiisset, explorata tunc causa et adolescentis amore, tulisse Theseum rem graviter, discruciatumque oraculum quoddam Apollinis ad se applicasse. (8) Nam a Pythia sibi Delphis præceptum, quum peregre gravissime angeretur et esset pertristis, urbem ibi ut conderet, et aliquos de suis relinqueret ejus rectores. (9) Hinc urbem, quam condidit, a dei nomine Pythopolin nuncupasse : atque in honorem adolescentis, propinquum flumen, Soloentem : (10) reliquisse etiam illius fratres velut rectores et legislatores, cum iisque Hermum, Atheniensem ex patriciis; a quo locum quendam Ἑρμοῦ οἰκίαν (*id est* ædes Hermæ [Mercurii], *quum deberent* Ἑρμου, Hermi) dicere Pythopolitas : qui parum recte circumflectunt secundam syllabam, honoremque ad deum Mercurium ab heroe traducunt.

XXVII. Hinc traxit bellum Amazonicum originem. Apparet autem gestum esse impigre, minimeque ut cum mulieribus. (2) Neque enim in Astu metatæ castra fuissent, neque pugnam conseruissent circa Pnyca et Museum, nisi regione in potestatem redacta, movissent ad urbem intrepide. (3) Porro tam longe venisse eas, ut Bosporum Cimmericum congelatum (quod scriptum reliquit Hellanicus) permeaverint, id difficile creditu est. (4) Sed intra ipsam pæne urbem castra eas habuisse comprobatur et locorum vocabulis et tumulis eorum qui ceciderunt. (5) Perdiu dubitavit et cunctata utraque est acies signa conferre. Tandem ex quodam oracuło Theseus, quum sacrificasset Pavori, congressus cum illis est. (6) Pugnatum est mense Boedromione, in cujus pugnæ memoriam Boedromia hodieque celebrant Athenienses. (7) Scribit Clidemus, singula exsequi ad unguem laborans, sinistrum Amazonum cornu ad Amazonion quod nunc vocatur declinasse, dextrum secundum Chrysam ad Pnyca pertinuisse : (8) conflixisse autem adversus hoc Athenienses a Museo concurrentes cum Amazonibus : et sepulchra esse cæsorum in plateæ quæ fert ad portam secundum Chalcodontis fanum, quam Piraicam nunc nominant. (9) Qua pugna pulsos fuisse usque ad Eumenidum, et terga feminis dedisse : sed a Palladio, Ardetto

λαδίου καὶ Ἀρδηττοῦ καὶ Λυκείου προσβαλόντας ὥσασθαι τὸ δεξιὸν αὐτῶν ἄχρι τοῦ στρατοπέδου καὶ πολλὰς καταβαλεῖν. (10) Τετάρτῳ δὲ μηνὶ συνθήκας γενέσθαι διὰ τῆς Ἱππολύτης· Ἱππολύτην γὰρ οὕτος ὀνομάζει τὴν τῷ Θησεῖ συνοικοῦσαν, οὐκ Ἀντιόπην. (11) Ἔνιοι δέ φασι μετὰ τοῦ Θησέως μαχομένην πεσεῖν τὴν ἄνθρωπον ὑπὸ Μολπαδίας ἀκοντισθεῖσαν· καὶ τὴν στήλην τὴν παρὰ τὸ τῆς Γῆς τῆς Ὀλυμπίας ἱερὸν, ἐπὶ ταύτῃ κεῖσθαι. (12) Καὶ θαυμαστὸν οὐκ ἔστιν ἐπὶ πράγμασιν οὕτω παλαιοῖς πλανᾶσθαι τὴν ἱστορίαν· ἐπεὶ καὶ τὰς τετρωμένας φασὶ τῶν Ἀμαζόνων ὑπ' Ἀντιόπης εἰς Χαλκίδα λάθρα διαπεμφθείσας, τυγχάνειν ἐπιμελείας, καὶ ταφῆναι τινὰς ἐκεῖ περὶ τὸ νῦν Ἀμαζόνειον καλούμενον. (13) Ἀλλὰ τοῦ γε τὸν πόλεμον εἰς σπονδὰς τελευτῆσαι μαρτύριόν ἐστιν ἥ τε τοῦ τόπου κλῆσις τοῦ παρὰ τὸ Θησεῖον, ὅπερ Ὁρκωμόσιον καλοῦσιν, ἥ τε γινομένη πάλαι θυσία ταῖς Ἀμαζόσι πρὸ τῶν Θησείων. (14) Δεικνύουσι δὲ καὶ Μεγαρεῖς Ἀμαζόνων θήκην παρ' αὐτοῖς, ἐπὶ τὸν καλούμενον Ῥοῦν βαδίζουσιν ἐξ ἀγορᾶς, ὅπου τὸ Ῥομβοειδές. (15) Λέγεται δὲ καὶ περὶ Χαιρώνειαν ἑτέρας ἀποθανεῖν καὶ ταφῆναι παρὰ τὸ ῥευμάτιον, ὃ πάλαι μὲν, ὡς ἔοικε, Θερμώδων, Αἵμων δὲ νῦν καλεῖται· περὶ ὧν ἐν τῷ Δημοσθένους βίῳ γέγραπται. (16) Φαίνονται δὲ μηδὲ Θεσσαλίαν ἀπραγμόνως αἱ Ἀμαζόνες διελθοῦσαι· τάφοι γὰρ αὐτῶν ἔτι καὶ νῦν δείκνυνται περὶ τὴν Σκοτουσσαίαν καὶ τὰς Κυνὸς κεφαλάς.

et Lyceo aggressos pepulisse dextrum earum cornu usque ad castra, multasque stravisse. (10) Quarto mense ictum esse Hippolyta interprete fœdus: Hippolytam enim hic eam quæ in Thesei contubernio erat, non Antiopam appellat. (11) Alii volunt illam a Thesei parte prœliantem cecidisse, cum jaculo fuisset a Molpadia icta, et pilam propter Telluris Olympiæ ædem super hanc positam fuisse. (12) Neque est mirandum in antiquitate tanta vagari historiam: quando etiam saucias tradunt Amazonas Chalcidem ab Antiopa occulte dimissas curationem nactas fuisse, et sepultas nonnullas ibi apud Amazonion nunc appellatum. (13) Celerum fuisse diremptum pace bellum testatur tam loci juxta templum Thesei appellatio, quod vocant Horcomosion (jurisjurandi locum), quam vetus sacrificium, quod ante Thesea fit Amazonibus. (14) Commonstrant etiam Megarenses apud se Amazonum monumentum, qua ad locum, quem Rhun dicunt, ex foro itur, ubi est Rhomboides. (15) Fama est prope Chæroneam quoque occubuisse alias, conditasque fuisse secundum rivulum, qui olim, ut traditur, Thermodon, Hæmon nunc vocatur, de quibus in Vita Demosthenis verba fecimus. (16) Nec vero Thessaliam apparet peragrasse Amazonas sine opere bellico: quippe tumuli earum vel hac memoria juxta Scotosseam et Cynocephalas exstant.

XXVIII. Ταῦτα μὲν οὖν ἄξια μνήμης περὶ τῶν Ἀμαζόνων. Ἦν γὰρ ὁ τῆς Θησηίδος ποιητὴς Ἀμαζόνων ἐπανάστασιν γέγραφε, Θησεῖ γαμοῦντι Φαίδραν τῆς Ἀντιόπης ἐπιθεμένης, καὶ τῶν μετ' αὐτῆς Ἀμαζόνων ἀμυνομένων, καὶ κτείνοντος αὐτὰς Ἡρακλέους, περιφανῶς ἔοικε μύθῳ καὶ πλάσματι. (2) Τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε Φαίδραν ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης· ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα. (3) Τὰς δὲ περὶ ταύτην καὶ τὸν υἱὸν αὐτοῦ δυστυχίας, ἐπεὶ μηδὲν ἀντιπίπτει παρὰ τῶν ἱστορικῶν τοῖς τραγικοῖς, οὕτως ἔχειν θετέον, ὡς ἐκεῖνοι πεποιήκασιν ἅπαντες.

XXVIII. Hæc memoratu digna de Amazonibus fuere. Nam quem poeta Theseidis auctor motum Amazonum descripsit, quod quum jungeret sibi matrimonio Phædram, adorta sit Theseum Antiopa, et sequentes eam Amazones pœnas ab illo expetiverint, Hercules autem eas occiderit, hæc manifesto habent fabulæ effigiem et commenti. (2) Defuncta Antiopa Theseus Phædram duxit, quum sustulisset filium ex Antiopa Hippolytum, ut vero Pindarus ait, Demophontem. (3) Porro calamitates quæ Theseo ex hac et ex filio suo acciderunt, quia nihil hic discrepant ab historicis tragici, ut omnes illi scripsere, ita evenisse statuendum est.

XXIX. Εἰσὶ μέντοι λόγοι περὶ γάμων Θησέως καὶ ἕτεροι, τὴν σκηνὴν διαπεφευγότες, οὔτε ἀρχὰς εὐγνώμονας οὔτε εὐτυχεῖς τελευτὰς ἔχοντες. (2) Καὶ γὰρ Ἀναξώ τινα Τροιζηνίαν ἁρπάσαι λέγεται, καὶ Σίννιν ἀποκτείνας καὶ Κερκυόνα συγγενέσθαι βίᾳ ταῖς θυγατράσιν αὐτῶν· (3) γῆμαι δὲ καὶ Περίβοιαν τὴν Αἴαντος μητέρα καὶ Φερέβοιαν αὖθις καὶ Ἰόπην τὴν Ἰφικλέους· (4) καὶ διὰ τὸν Αἴγλης ἔρωτα τῆς Πανοπέως, ὥσπερ εἴρηται, τὴν Ἀριάδνης ἀπόλειψιν αἰτιῶνται μὴ καλὴν γενέσθαι μηδὲ πρέπουσαν· (5) ἐπὶ πᾶσι δὲ τὴν Ἑλένης ἁρπαγὴν πολέμου μὲν ἐμπλῆσαι τὴν Ἀττικὴν, αὐτῷ δὲ εἰς φυγὴν καὶ ὄλεθρον τελευτῆσαι· περὶ ὧν ὀλίγον ὕστερον εἰρήσεται. (6) Πολλῶν δὲ τότε τοῖς ἀρίστοις ἆθλων γενομένων, Ἡρόδωρος μὲν οὐδενὸς οἴεται τὸν Θησέα μετασχεῖν, ἀλλὰ μόνοις Λαπίθαις τῆς κεν-

XXIX. Sunt tamen famæ de Thesei nuptiis aliæ, quæ in scenam non venerunt: quæ neque initia honesta, neque faustos habuerunt exitus. (2) Etenim Anaxo quandam fertur Trœzeniam rapuisse, Sinnideque et Cercyone peremptis, vi constuprasse filias eorum; (3) duxisse etiam Periboeam Ajacis matrem; rursus Pherebœam, et Iphiclis filiam Iopam: (4) præterea ob Ægles Panopei filiæ amorem, ut supra diximus, Ariadnam exprobrant parum eum recte vel honeste repudiavisse: (5) Helenæ denique raptum implevisse bello terram Atticam, atque in exilium ejus evasisse et exitium, de quibus infra verba faciemus. (6) At quum multa clarissimi quique viri certamina ea tempestate obirent, existimat Herodorus nullius Theseum, nisi solis adversus Centauros depugnantibus Lapithis, fuisse consortem

ταυρομαχίας· (7) ἕτεροι δὲ καὶ μετὰ Ἰάσονος ἐν Κόλχοις γενέσθαι καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον· * καὶ διὰ τοῦτο παροιμίαν εἶναι τὴν, Οὐκ ἄνευ Θησέως· (8) αὐτὸν μέντοι μηδενὸς συμμάχου δεηθέντα πολλοὺς καὶ καλοὺς ἆθλους κατεργάσασθαι· καὶ τὸν, Ἄλλος οὗτος Ἡρακλῆς, λόγον ἐπ' ἐκείνου κρατῆσαι. (9) Συνέπραξε δὲ καὶ Ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, οὐχ, ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος· οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι· Φιλόχορος δὲ καὶ σπονδὰς περὶ νεκρῶν ἀναιρέσεως γενέσθαι πρώτας ἐκείνας. (10) Ὅτι δὲ Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις, ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται. (11) Ταφαὶ δὲ τῶν μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δὲ ἡγεμόνων περὶ Ἐλευσῖνα καὶ τοῦτο Θησέως Ἀδράστῳ χαρισαμένου. (12) Καταμαρτυροῦσι δὲ τῶν Εὐριπίδου Ἱκετίδων οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς καὶ ταῦτα λέγων ὁ Θησεὺς πεποίηται.

XXX. Τὴν δὲ πρὸς Πειρίθουν φιλίαν τοῦτον τὸν τρόπον αὐτῷ γενέσθαι λέγουσι. Δόξαν εἶχεν ἐπὶ ῥώμῃ καὶ ἀνδρείᾳ μεγίστην· βουλόμενος οὖν ὁ Πειρίθους ἐξελέγξαι καὶ λαβεῖν διάπειραν ἠλάσατο βοῦς ἐκ Μαραθῶνος αὐτοῦ· καὶ πυθόμενος διώκειν μετὰ τῶν ὅπλων ἐκεῖνον οὐκ ἔφυγεν, ἀλλ' ἀναστρέψας ἀπήντησεν. (2) Ὡς δὲ εἶδεν ἄτερος τὸν ἕτερον, καὶ τὸ κάλλος ἐθαύμασε καὶ τὴν τόλμαν ἠγάσθη, μάχης μὲν ἔσχοντο, Πειρίθους δὲ πρότερος τὴν δεξιὰν προτείνας ἐκέλευσεν αὐτὸν γενέσθαι δικαστὴν τὸν Θησέα τῆς βοηλασίας· ἐκὼν γὰρ ὀφέξειν, ἣν ἂν ὁρίσῃ δίκην ἐκεῖνος. (3) Θησεὺς δὲ καὶ τὴν δίκην ἀφῆκεν αὐτῷ, καὶ προὐκαλεῖτο φίλον εἶναι καὶ σύμμαχον· ἐποιήσαντο δὲ τὴν φιλίαν ἔνορκον. (4) Ἐκ δὲ τούτου γαμῶν ὁ Πειρίθους Δηϊδάμειαν ἐδεήθη τοῦ Θησέως ἐλθεῖν καὶ τὴν χώραν ἱστορῆσαι καὶ συγγενέσθαι τοῖς Λαπίθαις. (5) Ἐτύγχανε δὲ καὶ τοὺς Κενταύρους κεκληκὼς ἐπὶ τὸ δεῖπνον. Ὡς δὲ ἠσέλγαινον ὕβρει, καὶ μεθύοντες οὐκ ἀπείχοντο τῶν γυναικῶν, ἐτράποντο πρὸς ἄμυναν οἱ Λαπίθαι· (6) καὶ τοὺς μὲν ἔκτειναν αὐτῶν, τοὺς δὲ πολέμῳ κρατήσαντες ὕστερον ἐξέβαλον ἐκ τῆς χώρας τοῦ Θησέως αὐτοῖς συμμαχομένου καὶ συμπολεμοῦντος. (7) Ἡρόδωρος δὲ ταῦτα πραχθῆναι φησὶν οὐχ οὕτως, ἀλλὰ τοῦ πολέμου συνεστῶτος ἤδη τὸν Θησέα βοηθοῦντα τοῖς Λαπίθαις παραγενέσθαι, καὶ τότε πρῶτον ὄψει γνωρίσαι τὸν Ἡρακλέα ποιησάμενον ἔργον ἐντυχεῖν αὐτῷ περὶ Τραχῖνα πεπαυμένῳ πλάνης ἤδη καὶ ἄθλων· γενέσθαι δὲ μετὰ τιμῆς καὶ φιλοφροσύνης καὶ πολλῶν ἐπαίνων ἀμφοτέροις τὴν ἔντευξιν. (8) Οὐ μὴν ἀλλὰ μᾶλλον ἄν τις πρόσχοι τοῖς πολλάκις ἐντυχεῖν αὐτοὺς ἀλλήλοις ἱστοροῦσι· καὶ τὴν μύησιν Ἡρακλεῖ γενέσθαι Θησέως σπουδάσαντος καὶ τὸν πρὸ τῆς μυήσεως καθαρμὸν, ὡς δεομένῳ διά τινας πράξεις ἀβουλήτους.

XXXI. Ἤδη δὲ πεντήκοντα ἔτη γεγονὼς, ὡς φησὶν Ἑλλάνικος, ἔπραξε τὰ περὶ τὴν Ἑλένην, οὐ καθ' ὥραν. Ὅθεν ὡς δὴ μέγιστον ἐπανορθούμενοι τοῦτο τῶν ἐγκλημάτων ἔνιοι, λέγουσιν οὐκ αὐτὸν ἁρπάσαι τὴν

conflictus : (7) alii Iasonis eum fuisse in Colchis socium, et expugnavisse cum Meleagro aprum, atque hinc in proverbio esse, Non sine Theseo : (8) illum quippe socio nullo crebras patrasse et egregias dimicationes; atque hoc dictum, Alter hic Hercules, de eo obtinuisse. (9) Ad hæc adjutor Adrasto fuit ad recuperanda illorum corpora, qui sub Cadmea ceciderant; non, ut finxit in tragœdia Euripides, fusis prælio Thebanis, sed ad inducias faciendas persuasione inductis : nam ita maxima pars tradunt : Philochorus etiam hoc, inducias de tollendis cæsis illas fuisse omnium primas. (10) Verum Herculem primum mortuorum cadavera hostibus concessisse, in Vita Herculis scriptum est. (11) At vulgi Eleutheris sepulchra extant, ducum apud Eleusinem, quum hoc etiam gratiæ dederit Theseus Adrasti. (12) Premunt autem suo testimonio Euripidis Supplices Eleusinii Æschyli, in quibus hæc commemorans ipse inducitur Theseus.

XXX. Amicitiam cum Pirithoo eum contraxisse hoc modo referunt. Celebratissimum erat ejus robur et virtus : quam Pirithous cupidine captus explorandi et tentandi, abegit boves ejus ex Marathone; allatoque nuntio insequi armis illum, non consuluit fugæ, sed regressus obvium se ei objecit. (2) Ut alter alterum conspexit, speciem admiratus est, et obstupuit audaciam : a pugna temperarunt, ac prior porrecta dextra Pirithous ipsum voluit Theseum de abactis bobus arbitrum esse; ultro enim se, quas ille definisset, subiturum pœnas. (3) Theseus vero et mulctam ei condonavit, ad ineundamque secum societatem et amicitiam invitavit. Ita amicitiam jurejurando sanxere. (4) Inde ducens uxorem Pirithous Deidamiam, Theseum rogavit, ut veniret ad regionem visendam et ad contrahendam cum Lapithis consuetudinem. (5) Forte autem Centauros quoque ad cœnam invitaverat : qui ut in procacitatem et insolentiam eruperunt, et vino incalescentes non temperaverunt a mulieribus, verterunt se Lapithæ ad ultionem, (6) atque alios eorum statim obtruncaverunt, alios posterius bello victos, socio Theseo et suppetias ferente, regione exegerunt. (7) Herodorus negat hæc ita gesta, sed bello jam commisso, tulisse opem Theseum Lapithis, atque tunc primum in conspectum venisse Herculis, cujus conveniendi copiam studiose quæsiverit circa Trachinem, postquam errores jam ille et certamina deposuisset. Congressum autem eorum honorificum fuisse cum mutua comitate et laudibus utrimque multis. (8) Verum iis potius assentiendum, qui crebro congressos inter se memoriæ tradiderunt, atque initiationem Herculis factam opera Thesei, et ante initiationem lustrationem, utpote cujus ille egeret ob facta quædam inconsulto admissa.

XXXI. Annos jam natus, ut Hellanicus refert, quinquaginta, illa in Helenam designavit, ætate non opportuna. Unde ad sublevandum hoc quasi gravissimum crimen negant nonnulli Helenam illum rapuisse ipsum, sed raptam ab Ida

Ἑλένην, ἀλλὰ Ἴδα καὶ Λυγκέως ἁρπασάντων, παρακαταθήκην λαβόντα τηρεῖν, καὶ μὴ προΐεσθαι τοῖς Διοσκούροις ἀπαιτοῦσιν· (2) ἢ νὴ Δία Τυνδάρεω παραδόντος αὐτοῦ, φοβηθέντος Ἐναρσφόρον τὸν Ἱπποκόωντος, ἔτι νηπίαν οὖσαν βιαζόμενον τὴν Ἑλένην λαβεῖν. (3) Τὰ δὲ εἰκότα καὶ πλείστους ἔχοντα μάρτυρας τοιαῦτά ἐστιν. Ἦλθον μὲν εἰς Σπάρτην ἀμφότεροι, καὶ τὴν κόρην ἐν ἱερῷ Ἀρτέμιδος Ὀρθίας χορεύουσαν ἁρπάσαντες ἔφυγον. (4) Τῶν δὲ πεμφθέντων ἐπὶ τὴν δίωξιν, οὐ προῤῥωτέρω Τεγέας ἐπακολουθησάντων, ἐν ἀδείᾳ γενόμενοι, καὶ διελθόντες τὴν Πελοπόννησον, * ἐποιήσαντο συνθήκας, τὸν μὲν λαχόντα κλήρῳ τὴν Ἑλένην ἔχειν γυναῖκα, συμπράττειν δὲ θατέρῳ γάμον ἄλλον. (5) Ἐπὶ ταύταις δὲ κληρουμένων ταῖς ὁμολογίαις, ἔλαχε Θησεύς· καὶ παραλαβὼν τὴν παρθένον οὔπω γάμων ὥραν ἔχουσαν εἰς Ἀφίδνας ἐκόμισε· καὶ τὴν μητέρα καταστήσας μετ' αὐτῆς Ἀφίδνῳ παρέδωκεν ὄντι φίλῳ διακελευσάμενος φυλάττειν καὶ λανθάνειν τοὺς ἄλλους. (6) Αὐτὸς δὲ Πειρίθῳ τὴν ὑπουργίαν ἀποδιδοὺς εἰς Ἤπειρον συναπεδήμησεν ἐπὶ τὴν Ἀϊδωνέως θυγατέρα τοῦ Μολοσσῶν βασιλέως· ὃς τῇ γυναικὶ Φερσεφόνην ὄνομα θέμενος, Κόρην δὲ τῇ θυγατρὶ, τῷ δὲ κυνὶ Κέρβερον, ἐκέλευε τούτῳ διαμάχεσθαι τοὺς μνωμένους τὴν παῖδα, καὶ λαβεῖν τὸν κρατήσαντα. (7) Τοὺς μέντοι περὶ τὸν Πειρίθουν, οὐ μνηστῆρας ἥκειν, ἀλλ' ἁρπασομένους πυθανόμενος συνέλαβε, καὶ τὸν μὲν Πειρίθουν εὐθὺς ἠφάνισε διὰ τοῦ κυνὸς, τὸν δὲ Θησέα καθείρξας ἐφύλαττεν.

XXXII. Ἐν δὲ τῷ χρόνῳ τούτῳ Μενεσθεὺς ὁ Πετεὼ τοῦ Ὀρνέως τοῦ Ἐρεχθέως πρῶτος, ὥς φασιν, ἀνθρώπων ἐπιθέμενος τῷ δημαγωγεῖν καὶ πρὸς χάριν ὄχλῳ διαλέγεσθαι, τούς τε δυνατοὺς συνίστη καὶ παρώξυνε πάλαι βαρυνομένους τὸν Θησέα καὶ νομίζοντας ἀρχὴν καὶ βασιλείαν ἁφῃρημένον ἑκάστου τῶν κατὰ δῆμον εὐπατριδῶν, εἰς ἓν ἄστυ συνείρξαντα πάντας, ὑπηκόοις χρῆσθαι καὶ δούλοις· (2) τούς τε πολλοὺς διετάραττε καὶ διέβαλλεν, ὡς ὄναρ ἐλευθερίας ὁρῶντας, ἔργῳ δὲ ἀπεστερημένους πατρίδων καὶ ἱερῶν, ὅπως ἀντὶ πολλῶν καὶ ἀγαθῶν καὶ γνησίων βασιλέων πρὸς ἕνα δεσπότην ἕπηλυν καὶ ξένον ἀποβλέπωσι. (3) Ταῦτα δὲ αὐτοῦ πραγματευομένου μεγάλην ῥοπὴν ὁ πόλεμος τῷ νεωτερισμῷ προσέθηκε τῶν Τυνδαριδῶν ἐπελθόντων· οἱ δὲ καὶ ὅλως φασὶν ὑπὸ τούτου πεισθέντας ἐπελθεῖν. (4) Τὸ μὲν οὖν πρῶτον οὐδὲν ἠδίκουν, ἀλλ' ἀπῄτουν τὴν ἀδελφήν. Ἀποκριναμένων δὲ τῶν ἐν ἄστει μήτε ἔχειν μήτε γινώσκειν, ὅπου καταλέλειπται, πρὸς πόλεμον ἐτράποντο. (5) Φράζει δὲ αὐτοῖς Ἀκάδημος, ᾐσθημένος ᾗ δή τινι τρόπῳ, τὴν ἐν Ἀφίδναις κρύψιν αὐτῆς. Ὅθεν ἐκείνῳ τε τιμαὶ ζῶντι παρὰ τῶν Τυνδαριδῶν ἐγένοντο, καὶ πολλάκις ὕστερον εἰς τὴν Ἀττικὴν ἐμβαλόντες οἱ Λακεδαιμόνιοι καὶ πᾶσαν δηοῦ τὴν χώραν τέμνοντες τῆς Ἀκαδημίας ἀπείχοντο διὰ τὸν Ἀκάδημον. (6) Ὁ δὲ Δικαίαρχος Ἐχεδήμου φησὶ καὶ Μαράθου συστρατευσάντων τότε τοῖς Τυνδαρίδαις ἐξ Ἀρκαδίας, ἀφ' οὗ μὲν Ἐχεδημίαν προσαγορευθῆναι τὴν νῦν Ἀκαδημίαν, ἀφ'

et Lynceo, apud se servasse depositam, neque reposcentibus Castori et Polluci restituisse : (2) vel traditam adeo illam ab ipso esse Tyndaro, quod Enarsphorum timeret Hippocoontis filium, qui parvulam adhuc capere Helenam vi instabat. (3) At vero propiora et pluribus nixa testibus hoc modo se habent. Venerunt ambo, Theseus et Pirithous, Spartam, puellaque, quæ in templo Dianæ Orthiæ saltabat, rapta fugam capessivere. (4) Ad quos insectandos qui missi erant, quum non ultra Tegeam essent progressi, illi autem pervenissent in tutum locum atque Peloponnesum transmisissent, pacti sunt inter se, ut cui sors obtigisset, Helenam haberet uxorem, et alteri ad nuptias quærendas alias præsto esset. (5) His legibus missa sorte obvenit illa Theseo, ac virginem nondum nubilem Aphidnas deportavit, matremque ei adjunctam amico suo tradidit Aphidno, præcipiens, eas ut servaret, et rem celaret alios. (6) Inde ad præstandum Pirithoo officium suum, profectus in Epirum cum eo est ad Aidonei filiam petendam, Molossorum regis, qui uxori Phersephonen nomen indiderat, filiæ Coren, cani Cerberum : ac cum hoc pugnare jussit procos puellæ, promittens eam victori. (7) Verum quum Pirithoum non procatum venisse, sed raptum intellexisset, corripuit eos, ac Pirithoum extemplo interemit per canem, Theseum in vinculis servavit.

XXXII. Interea Menestheus Petei, qui filius fuit Ornei et nepos Erechthei, primus, ut fama est, inter mortales auram popularem captare aggressus et blandiri plebi, hinc primores sollicitavit et incendit, jam pridem pertæsos Thesei atque existimantes illum imperio et regno singulis in populo nobilitate præcellentibus extorto, in unam ipsos conclusos urbem pro subjectis prorsus et servis habere : (2) hinc vulgus concitavit exprobravitque, libertatis objecto somnio, revera patria et sacris spoliatos esse, ut multorum bonorum loco et justorum regum, unum respicerent advenam et hospitem dominum. (3) Hæc illo moliente, magnum momentum seditioni Tyndaridarum ingruentium bellum adjecit. Sunt adeo qui plane dicant ab illo eos invitatos ingruisse. (4) Ac primum quidem injuria abstinuerunt : tantum repetierunt sororem. At quum respondissent cives, neque penes se esse illam, neque ubi esset relicta, se scire, ad bellum conversi sunt. (5) Verum aperit eis Academus, re qualicunque demum modo comperta, Aphidnis eam abdi. Unde quum illi honores vivo habiti sunt a Tyndaridis, tum Lacedæmonii, qui sæpius postmodum incursaverunt Atticam, universosque fines perpopulati sunt, Academia tamen se abstinuerunt, Academi causa. (6) Dicæarchus vero tradit, quum Echedemus et Marathus Tyndaridas ex Arcadia essent ad bellum illud sequuti, nomen ab illo habuisse Echedemiam quæ nunc appellatur Acade-

οὗ δὲ Μαραθῶνα τὸν δῆμον, ἐπιδόντος ἑαυτὸν ἑκουσίως κατά τι λόγιον σφαγιάσασθαι πρὸ τῆς παρατάξεως. (7) Ἐλθόντος οὖν ἐπὶ τὰς Ἀφίδνας καὶ μάχῃ κρατήσαντες ἐξεῖλον τὸ χωρίον. Ἐνταῦθα φασὶ καὶ Ἄλυκον πεσεῖν τὸν Σκείρωνος υἱὸν συστρατευόμενον τότε τοῖς Διοσκούροις· (8) ἀφ' οὗ καὶ τόπον τῆς Μεγαρικῆς Ἄλυκον καλεῖσθαι τοῦ σώματος ἐνταφέντος. (9) Ἥρέας δ' ὑπὸ Θησέως αὐτοῦ περὶ Ἀφίδνας ἀποθανεῖν τὸν Ἄλυκον ἱστόρηκε· καὶ μαρτύρια ταυτὶ τὰ ἔπη παρέχεται περὶ τοῦ Ἀλύκου·

.... τὸν ἐν εὐρυχόρῳ ποτ' Ἀφίδνῃ
μαρνάμενον Θησεὺς Ἑλένης ἕνεκ' ἠϋκόμοιο
κτεῖνεν.

Οὐ μὴν εἰκὸς Θησέως παρόντος ἁλῶναι τήν τε μητέρα καὶ τὰς Ἀφίδνας.

XXXIII. Ἐχομένων δ' οὖν τῶν Ἀφιδνῶν καὶ τῶν ἐν ἄστει δεδιότων, ἔπεισε τὸν δῆμον ὁ Μενεσθεὺς δέχεσθαι τῇ πόλει καὶ φιλοφρονεῖσθαι τοὺς Τυνδαρίδας ὡς μόνῳ Θησεῖ βίας ὑπάρξαντι πολεμοῦντας, τῶν δὲ ἄλλων εὐεργέτας ὄντας ἀνθρώπων καὶ σωτῆρας. (2)* Ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ παρ' ἐκείνων· οὐδὲν γὰρ ἠξίωσαν ἁπάντων κρατοῦντες, ἀλλ' ἢ μυηθῆναι, μηδὲν ἧττον Ἡρακλέους τῇ πόλει προσήκοντες. (3) Καὶ τοῦτο οὖν ὑπῆρξεν αὐτοῖς Ἀφίδνου ποιησαμένου παῖδας, ὡς Πύλιος Ἡρακλέα· καὶ τιμὰς ἰσοθέους ἔσχον Ἄνακες προσαγορευθέντες, ἢ διὰ τὰς γενομένας ἀνοχὰς, ἢ διὰ τὴν ἐπιμέλειαν καὶ κηδεμονίαν τοῦ μηδένα κακῶς παθεῖν, στρατιᾶς τοσαύτης ἔνδον οὔσης. (4) Ἀνακῶς γὰρ ἔχειν τοὺς ἐπιμελομένους ἢ φυλάττοντας ὁτιοῦν· καὶ τοὺς βασιλεῖς ἴσως ἄνακτας διὰ τοῦτο καλοῦσιν. (5) Εἰσὶ δὲ οἱ λέγοντες διὰ τὴν τῶν ἀστέρων ἐπιφάνειαν Ἄνακας ὀνομάζεσθαι· τὸ γὰρ ἄνω τοὺς Ἀττικοὺς ἄνεκας ὀνομάζειν, καὶ ἀνέκαθεν, τὸ ἄνωθεν.

XXXIV. Αἴθραν δὲ τὴν Θησέως μητέρα γενομένην αἰχμάλωτον ἀπαχθῆναι λέγουσιν εἰς Λακεδαίμονα κἀκεῖθεν εἰς Τροίαν μετὰ Ἑλένης· (2) καὶ μαρτυρεῖν Ὅμηρον ἕπεσθαι τῇ Ἑλένῃ φάμενον·

Αἴθρην Πιτθῆος θύγατρα Κλυμένην τε βοῶπιν.

(3) Οἱ δὲ τοῦτο τὸ ἔπος διαβάλλουσι, καὶ τὴν περὶ Μουνίτου μυθολογίαν, ὃν ἐκ Δημοφῶντος Λαοδίκης κρύφα τεκούσης ἐν Ἰλίῳ συνεκθρέψαι τὴν Αἴθραν λέγουσιν. (4) Ἴδιον δέ τινα καὶ παρηλλαγμένον ὅλως λόγον ὁ Ἴστρος ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἀττικῶν ἀναφέρει περὶ Αἴθρας, ὡς ἐνίων λεγόντων, Ἀλέξανδρον μὲν ἐν Θεσσαλίᾳ τὸν Πάριν, ὑπ' Ἀχιλλέως καὶ Πατρόκλου μάχῃ κρατηθῆναι παρὰ τὸν Σπερχειὸν, Ἕκτορα δὲ τὴν Τροιζηνίων πόλιν λαβόντα διαπράσαι, καὶ τὴν Αἴθραν ἀπάγειν ἐκεῖ καταλειφθεῖσαν. Ἀλλὰ τοῦτο μὲν ἔχει πολλὴν ἀλογίαν.

XXXV. Ἀϊδωνέως δὲ τοῦ Μολοσσοῦ ξενίζοντος Ἡρακλέα, καὶ τῶν περὶ τὸν Θησέα καὶ Πειρίθουν κατὰ τύχην μνησθέντος, ἃ τε πράξοντες ἦλθον, καὶ ἃ φωραθέντες ἔπαθον, βαρέως ἤνεγκεν ὁ Ἡρακλῆς, τοῦ μὲν

mia; ab hoc autem pagum Marathonem, quod ultro se ex quodam oraculo obtulisset ante aciem immolandum. (7) Igitur quum movissent Aphidnas et victores essent prœlio, expugnaverunt oppidum. Ibi Alycum quoque ferunt Scironis filium, commilitonem id temporis Castoris et Pollucis, occubuisse: (8) a quo locum quendam agri Megarici, quod corpus ejus ibi sit humatum, Alycum nominatum fuisse. (9) Hereas vero ab ipso Theseo prodidit ad Aphidnas cæsum Alycum, et in testimonium hæc de Alyco producit carmina:

Hunc Helenæ causa formosæ prœlia quondam
miscentem Theseus spatiosa stravit Aphidna.

Haud consonum fuerit tamen veritati, præsente Theseo fuisse matrem ejus et Aphidnas captas.

XXXIII. Occupatis igitur Aphidnis, et Atheniensibus trepidantibus persuasit populo Menestheus, ut admitterent in urbem, et acciperent benigne Tyndaridas; ut qui uni Theseo injuriæ auctori arma inferrent, in ceteros mortales benefici essent et eorum servatores. (2) Hoc ipsum eorum se gerendi ratio comprobavit. Nihil enim omnino victores, quam ut initiarentur, postulaverunt: quod non minus, quam Herculi, propinquitas ipsis cum civitate intercederet. (3) Obtinuerunt hoc, ab Aphidno adoptati, ut a Pylio Hercules: atque honores assequuti divinos sunt, Anaces dicti, vel ob factas inducias (ἀνοχάς), vel ob curam et sollicitudinem, ne cui malum afferretur, quum esset intra muros tantus exercitus. (4) Nam ἀνακῶς ἔχειν dicunt eos, quibus cura vel tuitio alicujus incumbat; et reges appellant fortassis inde ἄνακτας. (5) Sunt qui ob stellarum eorum apparitionem ferant Anacas appellari: quum id quod supra est, ἄνεκας Attici vocent, et ἀνέκαθεν, quod est est superne.

XXXIV. Porro Æthram Thesei matrem captivam perhibent Lacedæmonem abstractam, inde cum Helena Trojam; (2) ac sequutam eam Helenam testari hisce versibus Homerum,

Æthram Pitthei gnatam Clymenenque venustam.

(3) Alii hunc versum rejiciunt et Muniti fabulam, quem ex Demophoonte a Laodice clam editum Trojæ educatum esse ab Æthra memorant. (4) Peculiarem vero quandam et diversam plane ceteris historiam refert de Æthra Istrus in tertio decimo libro Rerum Atticarum, prodi a nonnullis, Alexandrum vel Parin in Thessalia ab Achille et Patroclo pugna ad Sperchium amnem fusum fuisse, Hectorem vero Trœzeniorum oppidum expugnatum diripuisse, et Æthram illic depositam abduxisse. Verum id sanequam est absonum.

XXXV. Quum vero Aidoneus Molossus Herculem hospitio exciperet, et sermonem forte injecisset de Theseo et Piritboo, quæ suscepissent apud se facinora, et detecti, quid essent passi, tulit graviter Hercules alterius turpem exitum,

ἀπολωλότος ἀδόξως, τοῦ δὲ ἀπολλυμένου. (2) Καὶ περὶ Πειρίθου μὲν οὐδὲν ᾠήθη ποιήσειν πλέον ἐγκαλῶν, τὸν δὲ Θησέα παρῃτεῖτο καὶ χάριν ἠξίου ταύτην αὐτῷ δοθῆναι. (3) Συγχωρήσαντος δὲ τοῦ Ἀϊδωνέως λυθεὶς ὁ Θησεὺς ἐπανῆλθε μὲν εἰς τὰς Ἀθήνας, οὔδέπω παντάπασι τῶν φίλων αὐτοῦ κεκρατημένων· καὶ ὅσα ὑπῆρχε τεμένη πρότερον αὐτῷ τῆς πόλεως ἐξελούσης ἅπαντα καθιέρωσεν Ἡρακλεῖ, καὶ προσηγόρευσεν ἀντὶ Θησείων Ἡράκλεια, πλὴν τεσσάρων, ὡς Φιλόχορος ἱστόρηκεν. (4) Εὐθὺς δὲ βουλόμενος, ὡς πρότερον, ἄρχειν καὶ καθηγεῖσθαι τοῦ πολιτεύματος, εἰς στάσεις ἐνέπεσε καὶ ταραχάς, οὓς μὲν ἅπελιπε μισοῦντας αὐτὸν, εὑρίσκων τὸ μὴ φοβεῖσθαι τῷ μισεῖν προσειληφότας, ἐν δὲ τῷ δήμῳ πολὺ τὸ διεφθαρμένον ὁρῶν καὶ θεραπεύεσθαι βουλόμενον ἀντὶ τοῦ ποιεῖν σιωπῇ τὸ προσταττόμενον. (5) Ἐπιχειρῶν οὖν βιάζεσθαι κατεδημαγωγεῖτο καὶ κατεστασιάζετο· καὶ τέλος ἀπογνοὺς τὰ πράγματα τοὺς μὲν παῖδας εἰς Εὔβοιαν ὑπεξέπεμψε πρὸς Ἐλεφήνορα τὸν Χαλκώδοντος, αὐτὸς δὲ Γαργηττοῖ κατὰ τῶν Ἀθηναίων ἀρὰς θέμενος, οὗ νῦν ἐστὶ τὸ καλούμενον Ἀρατήριον, εἰς Σκῦρον ἐξέπλευσεν οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας, ὡς ᾤετο, καὶ χωρίων ἐν τῇ νήσῳ πατρῴων. (6) Ἐβασίλευε δὲ Λυκομήδης τότε τῶν Σκυρίων. Πρὸς τοῦτον οὖν ἀφικόμενος ἐζήτει τοὺς ἀγροὺς ἀπολαβεῖν ὡς αὐτόθι κατοικήσων· ἔνιοι δέ φασι παρακαλεῖν αὐτὸν βοηθεῖν ἐπὶ τοὺς Ἀθηναίους. (7) Ὁ δὲ Λυκομήδης, εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρὸς, εἴτε τῷ Μενεσθεῖ χαριζόμενος, ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀναγαγὼν αὐτὸν ὡς ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγροὺς ὦσε* κατὰ τῶν πετρῶν καὶ διέφθειρεν. (8) Ἔνιοι δ' ἀφ' ἑαυτοῦ πεσεῖν φασι σφαλέντα μετὰ δεῖπνον, ὥσπερ εἰώθει, περιπατοῦντα. (9) Καὶ παραυτίκα μὲν οὐδεὶς ἔσχεν αὐτοῦ λόγον οὐδένα τεθνηκότος· ἀλλὰ τῶν Ἀθηναίων ἐβασίλευσε Μενεσθεὺς, οἱ δὲ παῖδες ἰδιωτεύοντες Ἐλεφήνορι συνεστράτευσαν εἰς Ἴλιον. (10) Ἐκεῖ δὲ Μενεσθέως ἀποθανόντος ἐπανελθόντες αὐτοὶ τὴν βασιλείαν ἀνεκομίσαντο. (11) Χρόνοις δ' ὕστερον Ἀθηναίους ἄλλα τε παρέστησεν ὡς ἥρωα τιμᾶν Θησέα, καὶ τῶν ἐν Μαραθῶνι πρὸς Μήδους μαχομένων ἔδοξαν οὐκ ὀλίγοι φάσμα Θησέως ἐν ὅπλοις καθορᾶν πρὸ αὐτῶν ἐπὶ τοὺς βαρβάρους φερόμενον.

XXXVI. Μετὰ δὲ τὰ Μηδικὰ Φαίδωνος ἄρχοντος μαντευομένοις τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θησέως ἀναλαβεῖν ὀστᾶ καὶ θεμένους ἐντίμως παρ' αὐτοῖς φυλάττειν. (2) Ἦν δὲ καὶ λαβεῖν ἀπορία καὶ γνῶναι τὸν τάφον ἀμιξίᾳ καὶ χαλεπότητι τῶν ἐνοικούντων Δολόπων. (3) Οὐ μὴν ἀλλὰ Κίμων ἑλὼν τὴν νῆσον, ὡς ἐν τοῖς ἐκείνου γέγραπται, καὶ φιλοτιμούμενος ἐξανευρεῖν, ἀετοῦ τινα τόπον βουνοειδῆ κόπτοντος, ὥς φασι, τῷ στόματι καὶ διαστέλλοντος τοῖς ὄνυξι, θείᾳ τινὶ τύχῃ συμφρονήσας ἀνέσκαψεν. (4) Εὑρέθη δὲ θήκη τε μεγάλου σώματος αἰχμή τε παρακειμένη χαλκῆ καὶ ξίφος. (5) Κομισθέντων δὲ τούτων ὑπὸ Κίμωνος ἐπὶ τῆς τριήρους ἡσθέντες οἱ Ἀθηναῖοι πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις, ὥσπερ αὐτὸν ἐπανερχόμενον εἰς ἄστυ.

et alterius periculum. (2) Ac de Pirithoo quidem non putavit operæ pretium se facturum expostulare, verum hoc postulavit beneficii, ut concederet sibi Theseum. (3) Annuente Aidoneo liberatus Theseus vinculis, Athenas est reversus, nondum prorsus amicis ejus oppressis : ac templa quæcunque ante sibi fuerant a civitate assignata, cuncta Herculi, quatuor exceptis, sacravit, dixitque pro Theseis Herculea, ut auctor Philochorus est. (4) Sed quum mox pristino more vellet imperare et præesse reipublicæ, in seditiones incurrit et motus; quos infensos sibi reliquerat, comperiens, præterquam quod se odissent, insuper timorem abjecisse sui, et populum magna ex parte animadvertens corruptum, et pro eo, quod imperata facere debebat silentio, blande postulantem agi secum. (5) Conatus igitur vim adhibere, factionibus est et seditionibus repressus. Tandem rebus desperatis liberos in Eubœam clam ad Elephenorem Chalcodontis filium misit : ipse in Gargetto devotis Athenlensium capitibus, ubi nunc est Araterion quod vocant [*imprecationis locus*], in Scyrum navigavit : quod amicitia ei cum incolis, ut arbitrabatur, et prædia paterna in illa essent insula. (6) Oblinebat ea tempestate regnum in Scyrios Lycomedes. Ad hunc postquam se contulit, postulavit agros reddi sibi, quasi illic commoraturus. Aliqui eum referunt auxilium ab illo contra Athenienses flagitasse. (7) At Lycomedes, sive quod gloriam tanti viri metueret, sive ut studium suum probaret Menestheo, Theseum eduxit in rupem ejus agri, tanquam inde prædia ei monstraturus, et de saxo præcipitatum interemit. (8) Nonnulli sua sponte ferunt prolapsum, offensum quum a cœna pro more suo deambularet. (9) Atque in præsentia quidem nemo ullam habuit mortui rationem : sed regnavit Athenis Menestheus; et filii illius, privatam vitam agentes, Elephenorem ad bellum Trojanum secuti sunt. (10) Defuncto illic Menestheo, reversi regnum resumpsere. (11) Posterioribus seculis visum Atheniensibus est, honorem, ut herot, Theseo tribuere, quum aliis ex causis, tum quod milites, qui in acie Marathonia adversus Medos steterunt, non pauci visi sint speciem in armis Thesei ante signa conspicere in barbaros ruentem.

XXXVI. Post bellum Medicum, Phædone archonte, consulentibus Apollinem Atheniensibus respondit Pythia, ut ossa Thesei colligerent, et collocata apud se servarent honorifice. (2) Erat vero et legere illa et nosse conditorium res difficilis, propter inhospitalitatem et feritatem incolentium Dolopum. (3) Nihilominus tamen Cimon, quum ei, capta hac insula, ut in Vita ejus retulimus, cupido incessisset eruendi ossa illius, et, aquila locum clivosum ore, uti fama est, tundente et fodiente unguibus, divina quadam sorte rem animo pensitaret, aperuit locum. (4) Reperti sunt magni corporis loculi, adjacensque hasta ænea cum gladio. (5) Hæc a Cimone in triremi sua deportata ovantes Athenienses eximia celebritate et sacrificiis, sicut ipsum reducem in urbem, exceperunt. (6) Ac media conditus est in urbe

(6) Καὶ κεῖται μὲν ἐν μέσῃ τῇ πόλει παρὰ τὸ νῦν γυμνάσιον· ἔστι δὲ φύξιον οἰκέταις καὶ πᾶσι τοῖς ταπεινοτέροις καὶ δεδιόσι κρείττονας, ὡς καὶ τοῦ Θησέως προστατικοῦ τινος καὶ βοηθητικοῦ γενομένου καὶ προσδεχομένου φιλανθρώπως τὰς τῶν ταπεινοτέρων δεήσεις. (7) Θυσίαν δὲ ποιοῦσιν αὐτῷ τὴν μεγίστην ὀγδόῃ Πυανεψιῶνος, ἐν ᾗ μετὰ τῶν ἠθέων ἐκ Κρήτης ἐπανῆλθεν. (8) Οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ὀγδόαις τιμῶσιν αὐτὸν, ἢ διὰ τὸ πρῶτον ἐκ Τροιζῆνος ἀφικέσθαι τῇ ὀγδόῃ τοῦ Ἑκατομβαιῶνος, ὡς ἱστόρηκε Διόδωρος ὁ περιηγητής· ἢ νομίζοντες ἑτέρου μᾶλλον ἐκείνῳ προσήκειν τὸν ἀριθμὸν τοῦτον, ἐκ Ποσειδῶνος γεγονέναι λεγομένῳ· καὶ γὰρ Ποσειδῶνα ταῖς ὀγδόαις τιμῶσιν. (9) Ἡ γὰρ ὀγδοὰς κύβος ἀπ' ἀρτίου πρῶτος οὖσα καὶ τοῦ πρώτου τετραγώνου διπλασία τὸ μόνιμον καὶ δυσκίνητον οἰκεῖον ἔχει τῆς τοῦ θεοῦ δυνάμεως, ὃν Ἀσφάλιον καὶ Γαιήοχον προσονομάζομεν.

prope gymnasium quod nunc est. Est autem id perfugium inviolabile servis et humilioribus omnibus, timentibusque potentiores : quippe quod tutelaris Theseus quoque atque auxiliaris fuisset, et benigne humiliorum accepisset preces. (7) Sacrum maximum ei exhibent octavo die mensis Pyanepsionis, quo ex Creta rediit cum impuberibus. (8) Attamen aliorum etiam mensium octavo quoque die colunt eum; vel quod primum ex Trœzene octavo Hecatombæonis, ut memoriæ tradidit Diodorus Periegetes, appulisset, vel quod ad illum præcipue convenire existimarent hunc numerum, qui ortus diceretur ex Neptuno : etenim Neptunum octavis celebrant. (9) Numerus enim octonarius, qui cubus ex pari primus est, et primi quadrati geminus, propriam repræsentat stabilitatem et soliditatem virtutis illius dei, quem Asphalium (*firmiter fundantem*) et Gæeochum (*continentem terram*) appellamus.

ΡΩΜΥΛΟΣ.

I. Τὸ μέγα τῆς Ῥώμης ὄνομα καὶ δόξῃ διὰ πάντων ἀνθρώπων κεχωρηκὸς ἀφ' ὅτου καὶ δι' ἣν αἰτίαν τῇ πόλει γέγονεν, οὐχ ὁμολόγηται παρὰ τοῖς συγγραφεῦσιν. (2) Ἀλλ' οἱ μὲν Πελασγοὺς ἐπὶ πλεῖστα τῆς οἰκουμένης πλανηθέντας ἀνθρώπων τε πλείστων κρατήσαντας αὐτόθι κατοικῆσαι καὶ διὰ τὴν ἐν τοῖς ὅπλοις ῥώμην οὕτως ὀνομάσαι τὴν πόλιν· (3) οἱ δὲ, Τροίας ἁλισκομένης διαφυγόντας ἐνίους καὶ πλοίων ἐπιτυχόντας ὑπὸ πνευμάτων τῇ Τυρρηνίᾳ προσπεσεῖν φερομένους * καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὁρμίσασθαι· (4) ταῖς δὲ γυναιξὶν αὐτῶν ἀπορουμέναις ἤδη καὶ δυσανασχετούσαις πρὸς τὴν θάλασσαν ὑποθέσθαι μίαν, ἣ καὶ γένει προύχειν καὶ φρονεῖν ἐδόκει μάλιστα, Ῥώμην ὄνομα, καταπρῆσαι τὰ πλοῖα· (5) πραχθέντος δὲ τούτου πρῶτον μὲν ἀγανακτεῖν τοὺς ἄνδρας, ἔπειτα δι' ἀνάγκην ἱδρυνθέντας περὶ τὸ Παλλάντιον, ὡς ὀλίγῳ χρόνῳ κρεῖττον ἐλπίδος ἔπραττον, ἀγαθῆς τε πειρώμενοι χώρας καὶ δεχομένων αὐτοὺς τῶν προσοίκων, ἄλλην τε τιμὴν ἀπονέμειν τῇ Ῥώμῃ, καὶ τὴν πόλιν ἀπ' αὐτῆς, ὡς αἰτίας, προσαγορεύειν. (6) Ἐξ ἐκείνου τε παραμένειν λέγουσι τὸ τοὺς συγγενεῖς τὰς γυναῖκας καὶ οἰκείους ἄνδρας ἀσπάζεσθαι τοῖς στόμασι· καὶ γὰρ ἐκείνας, ὅτε τὰ πλοῖα κατέπρησαν, οὕτως ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τοὺς ἄνδρας, δεομένας αὐτῶν καὶ παραιτουμένας τὴν ὀργήν.

I. Ingens Romæ nomen, quod gloria est apud omnes gentes pervagatum, haud convenit inter scriptores, a quo urbs et qua de causa invenerit. (2) Sed Pelasgos, qui maximam partem percursarint orbis, plurimasque devicerint nationes, eam oram quidam auctores sunt tenuisse, atque ex suo in armis robore (ῥώμη) urbem Romam dixisse. (3) Alii, capta Troja nonnullos profugos, quum naves essent nacti, vi ventorum appulsos Etruriæ, circa Tiberim amnem ancoras jecisse : (4) ubi uxoribus eorum jam fatiscentibus, pelagique pertæsis jactationis, unam, quæ et genere clarior ceteris esse et præcellere mente videretur, Romam nomine, ut classem incenderent suggessisse : (5) id viros primum ægre tulisse; deinde quum necessario sedes circa Palatium posuissent, et brevi supra spem succederent omnia, quod et agri fertilitatem miram experirentur, et reciperent ipsos accolæ : quum alios Romæ honores tribuisse, tum vero ejus, ut auctoris, urbi nomen indidisse. (6) Inde posteris quoque morem perhibent traditum, ut propinquos feminæ et viros suos salutent osculo, quod illæ post classem inflammatam deprecantes viros et iram eorum mulcentes, ita eos salutavissent et amplexæ essent.

II. Ἄλλοι δὲ Ῥώμην, Ἰταλοῦ θυγατέρα καὶ Λευκαρίας, οἱ δὲ, Τηλέφου τοῦ Ἡρακλέους, Αἰνείᾳ γαμηθεῖσαν, οἱ δ' αὖ Ἀσκανίῳ τῷ Αἰνείου, λέγουσι τοὔνομα θέσθαι τῇ πόλει· (2) οἱ δὲ, Ῥωμανὸν, Ὀδυσσέως παῖδα καὶ Κίρκης, οἰκίσαι τὴν πόλιν· οἱ δὲ, Ῥῶμον ἐκ Τροίας ὑπὸ Διομήδους ἀποσταλέντα τὸν Ἡμαθίωνος· (3) οἱ δὲ, Ῥῶμον Λατίνων τύραννον, ἐκβαλόντα

II. Sunt qui Romam, Itali et Leucariæ filiam, secundum alios, Telephi Herculis filii filiam, Æneæ nuptam, ut alii autem, Ascanio Æneæ filio, urbi aiunt nomen dedisse : (2) alii Ulyssis et Circes filium Romanum urbem condidisse : alii Remum Emathionis filium ab Diomede ex Troja missum : (3) alii Remum Latinorum tyrannum, quum ejecisset Etruscos, qui in Lydiam ex Thessalia, ex Lydia com-

Τυῤῥηνοὺς, τοὺς εἰς Λυδίαν μὲν ἐκ Θετταλίας, ἐκ δὲ Λυδίας εἰς Ἰταλίαν παραγενομένους. (4) Οὐ μὴν οὐδ' οἱ Ῥωμύλον τῷ δικαιοτάτῳ τῶν λόγων ἀποφαίνοντες ἐπώνυμον τῆς πόλεως ὁμολογοῦσι περὶ τοῦ γένους αὐτοῦ. (5) Οἱ μὲν γὰρ Αἰνείου καὶ Δεξιθέας τῆς Φόρβαντος υἱὸν ὄντα νήπιον εἰς Ἰταλίαν κομισθῆναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ῥῶμον· ἐν δὲ τῷ ποταμῷ πλημμύραντι τῶν ἄλλων σκαφῶν διαφθαρέντων, ἐν ᾧ δὲ ἦσαν οἱ παῖδες, εἰς μαλακὴν ἀποκλινθέντος ὄχθην ἀτρέμα, σωθέντας ἀπροσδοκήτως, ὀνομασθῆναι Ῥώμην. (6) Οἱ δὲ, Ῥώμην θυγατέρα τῆς Τρωάδος ἐκείνης, Λατίνῳ τῷ Τηλεμάχου γαμηθεῖσαν τεκεῖν τὸν Ῥωμύλον· οἱ δὲ, Αἰμυλίαν τὴν Αἰνείου καὶ Λαβινίας, Ἄρει συγγενομένην· (7) οἱ δὲ μυθώδη παντάπασι περὶ τῆς γενέσεως διεξίασι· Ταρχετίῳ γὰρ Ἀλβανῶν βασιλεῖ παρανομωτάτῳ καὶ ὠμοτάτῳ φάσμα δαιμόνιον οἶκοι γενέσθαι· φαλλὸν γὰρ ἐκ τῆς ἑστίας ἀνασχεῖν καὶ διαμένειν ἐπὶ πολλὰς ἡμέρας· (8) εἶναι δὲ Τηθύος ἐν Τυῤῥηνίᾳ χρηστήριον, ἀφ' οὗ κομισθῆναι τῷ Ταρχετίῳ χρησμὸν, ὥστε συμμῖξαι τῷ φάσματι παρθένον· ἔσεσθαι γὰρ ἐξ αὐτῆς παῖδα κλεινότατον, ἀρετῇ καὶ τύχῃ καὶ ῥώμῃ διαφέροντα. (9) Φράσαντος οὖν τὸ μάντευμα τοῦ Ταρχετίου μιᾷ τῶν θυγατέρων καὶ συγγενέσθαι τῷ φαλλῷ προστάξαντος, αὐτὴν μὲν ἀπαξιῶσαι, θεράπαιναν δὲ εἰσπέμψαι. (10) Τὸν δὲ Ταρχέτιον, ὡς ἔγνω, χαλεπῶς φέροντα συλλαβεῖν μὲν ἀμφοτέρας ἐπὶ θανάτῳ· τὴν δ' Ἑστίαν ἰδόντα κατὰ τοὺς ὕπνους ἀπαγορεύουσαν αὐτῷ τὸν φόνον, ἱστόν τινα παρεγγυῆσαι ταῖς κόραις ὑφαίνειν δεδεμέναις, ὡς ὅταν ἐξυφήνωσι, τότε δοθησομένας πρὸς γάμον. (11) Ἐκείνας μὲν οὖν δι' ἡμέρας ὑφαίνειν, ἑτέρας δὲ νύκτωρ τοῦ Ταρχετίου κελεύοντος ἀναλύειν τὸν ἱστόν. (12) Ἐκ δὲ τοῦ φαλλοῦ τῆς θεραπαινίδος τεκούσης δίδυμα δοῦναι τινὶ Τερατίῳ τὸν Ταρχέτιον ἀνελεῖν κελεύσαντα. (13) Τὸν δὲ θεῖναι φέροντα τοῦ ποταμοῦ πλησίον· εἶτα λύκαιναν μὲν ἐπιφοιτᾶν μαστὸν διδοῦσαν, ὄρνιθας δὲ παντοδαποὺς ψωμίσματα κομίζοντας ἐντιθέναι τοῖς βρέφεσιν· ἄχρις οὗ βουκόλον ἰδόντα καὶ θαυμάσαντα τολμῆσαι προσελθεῖν καὶ ἀνελέσθαι τὰ παιδία. (14) Τοιαύτης δὲ τῆς σωτηρίας αὐτοῖς γενομένης ἐκτραφέντας ἐπιθέσθαι τῷ Ταρχετίῳ καὶ κρατῆσαι. * Ταῦτα μὲν οὖν Προμαθίων τις ἱστορίαν Ἰταλικὴν συντεταγμένος εἴρηκε.

III. Τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας, τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας ἐξέδωκε Διοκλῆς ὁ Πεπαρήθιος, ᾧ καὶ Φάβιος Πίκτωρ ἐν τοῖς πλείστοις ἐπηκολούθηκε. (2) Γεγόνασι δὲ καὶ περὶ τούτων ἕτεραι διαφοραί· τύπῳ δὲ εἰπεῖν, τοιοῦτός ἐστι. Τῶν ἀπ' Αἰνείου γεγονότων ἐν Ἄλβῃ βασιλέων εἰς ἀδελφοὺς δύο, Νομήτορα καὶ Ἀμούλιον, ἡ διαδοχὴ καθῆκεν. (3) Ἀμουλίου δὲ νείμαντος τὰ πάντα δίχα τῇ τε βασιλείᾳ τὰ χρήματα καὶ τὸν ἐκ Τροίας κομισθέντα χρυσὸν ἀντιθέντος εἵλετο τὴν βασιλείαν ὁ Νομήτωρ. (4) Ἔχων οὖν ὁ Ἀμούλιος τὰ χρήματα καὶ πλέον ἀπ' αὐτῶν δυνάμενος τοῦ Νομήτο-

migraverant in Italiam. (4) Immo nec inter eos, qui probatissima afferunt, Romulum nempe contendentes urbi nomen posuisse, de origine ejus convenit. (5) Horum enim alii, Æneæ ex Dexithea, gnata Phorbantis, filium cum fratre Remo infantem admodum deportatum in Italiam esse: quum autem scaphæ reliquæ periissent in amne effuso, illa, in qua pueri inessent, ad ripam placide delata mollem, præter spem incolumes evasisse, atque ita eum locum Romam fuisse appellatum. (6) Alii, Romam feminæ illius Trojanæ filiam, quæ Telemachi filio nupta Latino erat, Romuli matrem fuisse: Æmiliam alii, Æneæ et Laviniæ filiam, ex Marte concepisse. (7) Alii fabulosa plane de ejus ortu referunt: spectrum Tarchetio Albanorum regi, homini teterrimo et sævissimo, divinum domi esse oblatum: genitale enim ex foco ejus masculini sexus exstitisse, per multosque dies comparuisse: (8) ab oraculo autem, quod in Etruria fuerit, Tethydis allatum esse Tarchetio responsum, ut virgo cum spectro coiret, ex qua filium nasciturum clarissimum, virtute, fortuna, robore insignem. (9) Hoc responsum Tarchetius quum uni ex filiabus exposuisset, jussissetque cum genitali illo ut jungeret se; eam, quod aspernaretur, summisisse ancillam: (10) Tarchetium vero, ut resciverit, graviter offensum ambas in vincula conjecisse, morte vindicaturum; sed quum Vesta illi in somnis oblata, deterruisset eum a cæde, telam vinctas texere puellas jussisse, ea lege, ut ea detexta in nuptias darentur: (11) atque illas texuisse interdiu, at alias per noctem mandato Tarchetii retexuisse telam. (12) Deinde quum ancilla ex genitali illo geminos esset enixa, Teratio cuidam Tarchetium necandos tradidisse. (13) Illum ad fluvii ripam eos exposuisse; lupam inde commeasse eo et ubera præbuisse, aves autem varii generis alimenta illis minuta ori indidisse: bubulcum tandem, re cum admiratione conspecta, accedere ausum, infantes sustulisse. (14) Ad hunc modum salvos eductos invasisse eos Tarchetium, et superasse. Hæc Promathion quidam in historia, quam scripsit de rebus Italicis, retulit.

III. Ceterum receptissimæ historiæ et a plurimis approbatæ Peparethius Diocles præcipua quæque primus apud Græcos edidit, quem in plerisque secutus est Fabius Pictor. (2) Et quanquam de his quoque aliæ habentur narrandi varietates, lineamenta ejus relationis sunt hujusmodi. Ex Æneæ posteris, qui Albæ regnabant, ad duos fratres regnum devenit, Numitorem et Amulium. (3) Universo patrimonio ab Amulio in sortes diviso duas, ita ut ab altera parte regnum, ab altera opes et advectum Troja aurum poneret, sumpsit regnum Numitor. (4) Amulii igitur quum esset ex divitiis, quam Numitoris, potentia amplior, facile eum

ρος τὴν τε βασιλείαν ἀφείλετο ῥᾳδίως, καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς αὐτοῦ γενέσθαι παῖδας ἱέρειαν τῆς Ἑστίας ἀπέδειξεν, ἄγαμον καὶ παρθένον ἀεὶ βιωσομένην. Ταύτην οἱ μὲν Ἰλίαν, οἱ δὲ Ῥέαν, οἱ δὲ Σιλουίαν ὀνομάζουσι. (5) Φωρᾶται δὲ μετ' οὐ πολὺν χρόνον κυοῦσα παρὰ τὸν καθεστῶτα ταῖς Ἑστιάσι νόμον. (6) Καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν αὐτὴν, ἡ τοῦ βασιλέως θυγάτηρ Ἀνθὼ παρητήσατο, δεηθεῖσα τοῦ πατρός· εἴρχθη δὲ, καὶ δίαιταν εἶχεν ἀνεπίμικτον, ὅπως μὴ λάθῃ τεκοῦσα τὸν Ἀμούλιον. (7) Ἔτεκε δὲ δύο παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. Δι' ὃ καὶ μᾶλλον ὁ Ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτοὺς ὑπηρέτην λαβόντα ῥῖψαι. (8) Τοῦτον ἔνιοι Φαυστύλον ὀνομάζεσθαι λέγουσιν, οἱ δ' οὐ τοῦτον, ἀλλὰ τὸν ἀνελόμενον. (9) Ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη κατέβη μὲν ἐπὶ τὸν ποταμὸν ὡς ῥίψων· ἰδὼν δὲ κατιόντα πολλῷ ῥεύματι καὶ τραχυνόμενον ἔδεισε προσελθεῖν· ἐγγὺς δὲ τῆς ὄχθης καταθεὶς ἀπηλλάσσετο. (10) Τοῦ δὲ ποταμοῦ κατακλύζοντος ἡ πλημμύρα τὴν σκάφην ὑπολαβοῦσα καὶ μετεωρίσασα πρᾴως κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς μαλθακὸν, ὃ νῦν Κερμαλὸν καλοῦσι, πάλαι δὲ Γερμανὸν, ὡς ἔοικεν, ὅτι καὶ τοὺς ἀδελφοὺς γερμανοὺς ὀνομάζουσιν.

IV. Ἦν δὲ πλησίον ἐρινεὸς, ὃν Ῥωμινάλιον ἐκάλουν, ἢ διὰ τὸν Ῥωμύλον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἢ διὰ τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων ἐκεῖ διὰ τὴν σκιὰν ἐνδιάζειν, ἢ μάλιστα διὰ τὸν τῶν βρεφῶν θηλασμόν· (2) ὅτι τήν τε θηλὴν ῥοῦμαν ὠνόμαζον οἱ παλαιοὶ, καὶ θεόν τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν ὀνομάζουσι Ῥουμυλίαν, καὶ θύουσιν αὐτῇ νηφάλια καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. (3) Ἐνταῦθα δὴ τοῖς βρέφεσι κειμένοις τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην καὶ δρυοκολάπτην τινὰ παρεῖναι συνεκτρέφοντα καὶ φυλάττοντα. (4) Νομίζεται δ' Ἄρεος ἱερὰ τὰ ζῷα· τὸν δὲ δρυοκολάπτην καὶ διαφερόντως Λατῖνοι σέβονται καὶ τιμῶσιν· ὅθεν οὐχ ἥκιστα πίστιν ἔσχεν ἡ τεκοῦσα τὰ βρέφη τεκεῖν ἐξ Ἄρεος φάσκουσα. (5) Καίτοι τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν ὑπὸ τοῦ Ἀμουλίου διαπαρθενευθεῖσαν ἐν ὅπλοις ἐπιφανέντος αὐτῇ καὶ συναρπάσαντος. (6) Οἱ δὲ, τοὔνομα τῆς τροφοῦ δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῇ φήμῃ παρασχεῖν. Λούπας γὰρ ἐκάλουν οἱ Λατῖνοι τῶν τε θηρίων τὰς λυκαίνας καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας· εἶναι δὲ τοιαύτην τὴν Φαυστύλου γυναῖκα τοῦ τὰ βρέφη θρέψαντος, Ἄκκαν Λαρεντίαν ὄνομα. (7) Ταύτῃ δὲ καὶ θύουσι Ῥωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ Ἀπριλίου μηνὸς αὐτῇ ὁ τοῦ Ἄρεος ἱερεὺς, καὶ Λαρεντίαν κολοῦσι τὴν ἑορτήν.

V. Ἑτέραν δὲ τιμῶσι Λαρεντίαν ἐξ αἰτίας τοιαύτης. Ὁ νεωκόρος τοῦ Ἡρακλέους ἀλύων, ὡς ἔοικεν, ὑπὸ σχολῆς προὔθετο πρὸς τὸν θεὸν διακυβεύειν, ὑπειπὼν ὅτι νικήσας μὲν αὐτὸς ἕξει τι παρὰ τοῦ θεοῦ χρηστόν· * ἡττηθεὶς δὲ τῷ θεῷ τράπεζαν ἄφθονον παρέξει καὶ γυναῖκα καλὴν συναναπαυσομένην. (2) Ἐπὶ τούτοις τὰς

regno exuit : ejusque filiam, ne prolem haberet veritus, Vestæ sacerdotem constituit, ut perpetuo cœlebs et virgo viveret : quam Iliam alii vocant, alii Rheam ; sunt et qui Silviam. (5) Non multo autem post tempore deprehenditur prægnans, præter legem Vestalibus virginibus constitutam. (6) Quæ ne ultimo supplicio afficeretur, regis filia Antho a patre precibus obtinuit : in custodiam tamen, ne inscio Amulio pareret, data est, et remota ab hominum consortio. (7) Illa gemellos edidit mira corporis proceritate et specie. Qua re magis Amulius commotus imperat ministro, ut ablatos exponat. (8) Huic Faustulo quidam nomen ; alii autem non huic, verum ei, qui hos sustulit, fuisse tradunt. (9) Minister igitur infantes imposuit alveo, ac velut expositurus eos descendit ad fluvium : quem inflatum quum cerneret et rapidum, non est ausus accedere ; sed ad proxima ripæ expositis, recessit. (10) Fluvio evagato, suscipiens alveum alluvies et leniter subvehens in locum detulit satis mollem ; Cermalum vocant nunc, quondam, ut videtur, Germanum, quoniam fratres appellant germanos.

IV. Erat juxta ficus, quam Ruminalem dicebant, ut vulgi est opinio, a Romulo ; vel quia pecora ruminantia illic propter umbram meridiantur ; vel, quod maxime probatur, propter puerorum lactationem : (2) mammam enim vocabant rumam prisci, et deam quandam infantium educationis præsidem Rumiliam dicunt, eique sacrificium faciunt absque vino, lac invergentes victimis. (3) Ibi vero jacuisse pueros, ad quos lupam tradunt lactantem commeasse, et picum Martium nutriendis et servandis præsto fuisse. (4) Marti ea animalia sacra habentur ; et picum Martium præcipuo honore venerantur Latini : unde puerperæ major habita fides ex Marte peperisse se asseveranti. (5) Quamvis in eam opinionem venisse dicatur decepta fraude Amulii, qui armatus ad eam accessisset et raptam virginitate privasset. (6) Sunt qui ferant, nutricis nomen ob vocabuli ambiguitatem gestæ rei famam in fabulositatem extulisse Lupas enim Latini, præter notam significationem, etiam vocabant eas quæ corpus vulgabant : cujuscemodi Faustuli uxorem puerorum nutritii fuisse, Accam Larentiam nomine. (7) Huic etiam sacra Romani faciunt, et mense Aprili flamen Martialis libat, et Larentialia vocant festum.

V. Alteram item colunt Larentiam ex causa hujuscemodi. Herculis ædituus forte otii fallendi gratia, ut fertur, cum deo talis ludere statuit hac lege, si vicisset, ut ille quippiam sibi conferret boni ; victus, ut deo ipse lautum epulum et concubitum præberet formosæ mulieris. (2) In hanc legem

μὲν ὑπὲρ τοῦ θεοῦ τιθεὶς, τὰς δ' ὑπὲρ αὑτοῦ ψήφους ἀνεφάνη νικώμενος. (3) Εὐσυνθετεῖν δὲ βουλόμενος καὶ δικαιῶν ἐμμένειν τοῖς ὁρισθεῖσι δεῖπνόν τε τῷ θεῷ παρεσκεύασε, καὶ τὴν Λαρεντίαν οὖσαν ὡραίαν, οὕτω δὲ ἐπιφανῆ, μισθωσάμενος εἰστίασεν ἐν τῷ ἱερῷ κλίνην ὑποστορέσας· καὶ μετὰ τὸ δεῖπνον συνεῖρξεν, ὡς δὴ τοῦ θεοῦ ἕξοντος αὐτήν. (4) Καὶ μέντοι καὶ τὸν θεὸν ἐντυχεῖν λέγεται τῇ γυναικὶ, καὶ κελεῦσαι βαδίζειν ἕωθεν ἐπὶ τὴν ἀγορὰν καὶ τὸν ἀπαντήσαντα πρῶτον ἀσπασαμένην ποιεῖσθαι φίλον. (5) Ἀπήντησεν οὖν αὐτῇ τῶν πολιτῶν ἀνὴρ ἡλικίας τε πόρρω ἤκων καὶ συνειλοχὼς οὐσίαν ἱκανήν· ἅπαις δὲ καὶ βεβιωκὼς ἄνευ γυναικὸς, ὄνομα Ταρρούτιος. (6) Οὗτος ἔγνω τὴν Λαρεντίαν καὶ ἠγάπησε, καὶ τελευτῶν ἀπέλιπε κληρονόμον ἐπὶ πολλοῖς καὶ καλοῖς κτήμασιν, ὧν ἐκείνη τὰ πλεῖστα τῷ δήμῳ κατὰ διαθήκας ἔδωκε. (7) Λέγεται δὲ αὐτὴν ἔνδοξον οὖσαν ἤδη καὶ θεοφιλῆ νομιζομένην ἀφανῆ γενέσθαι περὶ τοῦτον τὸν τόπον, ἐν ᾧ καὶ τὴν προτέραν ἐκείνην Λαρεντίαν κεῖσθαι. (8) Καλεῖται δὲ νῦν ὁ τόπος Βήλαυρον, ὅτι τοῦ ποταμοῦ πολλάκις ὑπερχεομένου διεπεραιοῦντο πορθμείοις κατὰ τοῦτο τὸ χωρίον εἰς ἀγοράν. Τὴν δὲ πορθμείαν βηλατούραν καλοῦσιν. (9) Ἔνιοι δὲ λέγουσι τὴν εἰς τὸν ἱππόδρομον φέρουσαν ἐξ ἀγορᾶς πάροδον ἱστίοις καταπεταννύναι τοὺς τὴν θέαν παρέχοντας ἐντεῦθεν ἀρχομένους. Ῥωμαῖστὶ δὲ τὸ ἱστίον βῆλον ὀνομάζουσι. (10) Διὰ ταῦτα μὲν ἔχει τιμὰς ἡ δευτέρα Λαρεντία παρὰ Ῥωμαίοις.

VI. Τὰ δὲ βρέφη Φαυστύλος Ἀμουλίου συφορβὸς ἀνείλετο λαθὼν ἅπαντας, ὡς δ' ἔνιοι φασὶ τῶν εἰκότων ἐχόμενοι μᾶλλον, εἰδότος τοῦ Νομήτορος καὶ συγχορηγοῦντος τροφὰς κρύφα τοῖς τρέφουσι. (2) Καὶ γράμματα λέγονται καὶ τἄλλα μανθάνειν οἱ παῖδες εἰς Γαβίους κομισθέντες ὅσα χρὴ τοὺς εὖ γεγονότας. (3) Κληθῆναι δὲ καὶ τούτους ἀπὸ τῆς θηλῆς ἱστοροῦσι Ῥωμύλον καὶ Ῥῶμον, ὅτι θηλάζοντες ὤφθησαν τὸ θηρίον. (4) Ἡ μὲν οὖν ἐν τοῖς σώμασιν εὐγένεια καὶ νηπίων ὄντων εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέᾳ τὴν φύσιν. (5) Αὐξόμενοι δὲ θυμοειδεῖς ἦσαν ἀμφότεροι καὶ ἀνδρώδεις, καὶ φρονήματα πρὸς τὰ φαινόμενα δεινὰ καὶ τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες· (6) ὁ δὲ Ῥωμύλος γνώμῃ τε χρῆσθαι μᾶλλον ἐδόκει, καὶ πολιτικὴν ἔχειν σύνεσιν, ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τοὺς γειτνιῶντας ἐπιμιξίαις πολλὴν ἑαυτοῦ παρέχων κατανόησιν ἡγεμονικοῦ μᾶλλον ἢ πειθαρχικοῦ φύσει γεγονότος. (7) Διὸ τοῖς μὲν ὁμοφύλοις ἢ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιστάτας δὲ καὶ διόπους βασιλικοὺς καὶ ἀγελάρχας, ὡς μηδὲν αὐτῶν ἀρετῇ διαφέροντας, ὑπερφρονοῦντες, οὔτ' ἀπειλῆς ἐφρόντιζον οὔτε ὀργῆς. (8) Ἐχρῶντο δὲ διατριβαῖς καὶ διαίταις ἐλευθερίοις, οὐ τὴν σχολὴν ἐλευθέριον ἡγούμενοι καὶ τὴν ἀπονίαν, ἀλλὰ γυμνάσια καὶ θήρας καὶ δρόμους καὶ τὸ λῃστὰς ἀλέξασθαι καὶ κλῶπας ἐλεῖν καὶ βίας ἐξελέσθαι τοὺς ἀδικουμένους. Ἦσαν δὴ διὰ ταῦτα περιβόητοι.

VII. Γενομένης δέ τινος πρὸς τοὺς Νομήτορος βου-

talos jacit pro deo; inde pro se, quibus victus apparuit. (3) Hinc quum stare pactis et conditioni vellet conventæ satisfacere, cœnam deo instruxit, Larentiamque formosam puellam, nondum famosam, mercede conductam lecto strato convivio excepit in templo; ubi post cœnam conclusit eam, tanquam fruituro ipsa deo. (4) Ac fama tenet Herculem revera cum puella congressum, jussisse eam ad forum mane se conferre, et in quem incidisset primum, eum osculo dato amicitia sibi jungere. (5) Occurrit ei quidam ex civibus magnus natu et satis opulentus, liberis quidem orbus, qui hactenus ætatem in cœlibatu egerat, nomine Tarrutius. (6) Hic Larentiam complexus est ac dilexit, multorumque et lautorum prædiorum reliquit moriens hæredem; quæ illa pleraque populo per testamentum legavit. (7) Hæc quum jam celebri nomine esset, atque a deo dilecta haberetur, traditur ex hominum ablata conspectu circa eundem locum, in quo prior illa Larentia humata est. (8) Eum nunc vocant Velabrum ex eo, quod in crebris fluvii exundationibus trajectus eo loco in forum esset: trajectum autem velaturam vocant. (9) Nonnulli dicunt eos, qui munus populo exhibent, viam a foro in circum maximum ferentem velis obumbrare ab illo ipso loco incipientes. (10) Hac de causa Larentia altera apud Romanos colitur.

VI. Faustulus infantes, Amulii subulcus, clam omnibus sustulit; vel, ut nonnulli narrant, verisimilitudini propinquiores, conscio Numitore et alimenta suppeditante secreto nutritiis. (2) Etiam literis omnique liberali disciplina instituti dicuntur pueri, Gabios translati. (3) Narrant autem vocatos esse Romulum et Remum a ruma, quia sugentes visi essent lupam. (4) Horum illico in prima etiam ætate corporis præstantia indolem ex proceritate et forma ostendit: (5) et quum adolescerent, acres ambo et fortes, atque ad objecta pericula magnanimi fuerunt, planeque intrepidi. (6) Romulus tamen præcellentior consilio, et civili prudentia præditus habebatur, vicinis, quibuscum inter pascua et venationes haberet commercium, magnam de se opinionem præbens, ad imperandum se, quam ad parendum, natum potius esse. (7) Itaque popularibus vel humilioribus grati esse, villicos, regios procuratores et pecoris magistros, ut nihilo se præstantiores, contemnere, nec minis eorum moveri, neque ira: (8) in exercitiis et studiis liberalibus frequentes esse, ab otio et inertia, ut re sordida, abhorrentes; amplecti autem labores, venationem et cursus, latrones propulsare, fures prehendere, et afflictos ab injuria vindicare. Hinc adolescentibus magnum nomen.

VII. Exorta aliquando inter Numitoris et Amulii bubulcos

κόλους τοῖς Ἀμυλίου διαφορᾶς καὶ βοσκημάτων ἐλάσεως, οὐκ ἀνασχόμενοι συγκόπτουσι μὲν αὐτοὺς καὶ τρέπονται, ἀποτέμνονται δὲ τῆς λείας συχνήν. (2) Ἀγανακτοῦντος δὲ τοῦ Νομήτορος ὠλιγώρουν· συνῆγον δὲ καὶ προσεδέχοντο πολλοὺς μὲν ἀπόρους, πολλοὺς δὲ δούλους, θράσους ἀποστατικοῦ καὶ φρονήματος ἀρχὰς ἐνδιδόντες. (3) Τοῦ δὲ Ῥωμύλου πρός τινα θυσίαν ἀποτραπομένου (καὶ γὰρ ἦν φιλοθύτης καὶ μαντικός) οἱ τοῦ Νομήτορος βοτῆρες τῷ Ῥώμῳ μετ' ὀλίγων βαδίζοντι προστυχόντες ἐμάχοντο. (4) * Καὶ γενομένων πληγῶν καὶ τραυμάτων ἐν ἀμφοτέροις ἐκράτησαν οἱ τοῦ Νομήτορος καὶ συνέλαβον ζῶντα τὸν Ῥῶμον. (5) Ἀναχθέντος οὖν αὐτοῦ πρὸς τὸν Νομήτορα καὶ κατηγορηθέντος αὐτὸς μὲν οὐκ ἐκόλασε χαλεπὸν ὄντα δεδιὼς τὸν ἀδελφὸν, ἐλθὼν δὲ πρὸς ἐκεῖνον ἐδεῖτο τυχεῖν δίκης ἀδελφὸς ὢν καὶ καθυβρισμένος ὑπ' οἰκετῶν ἐκείνου βασιλέως ὄντος. (6) Συναγανακτούντων δὲ τῶν ἐν Ἄλβῃ καὶ δεινὰ πάσχειν οἰομένων τὸν ἄνδρα παρ' ἀξίαν κινηθεὶς ὁ Ἀμούλιος αὐτῷ παραδίδωσι τῷ Νομήτορι τὸν Ῥῶμον ὅ τι βούλοιτο χρήσασθαι. (7) Παραλαβὼν δ' ἐκεῖνος, ὡς ἦκεν οἴκαδε, θαυμάζων μὲν ἀπὸ τοῦ σώματος τὸν νεανίσκον ὑπερφέροντα μεγέθει καὶ ῥώμῃ πάντας, ἐνορῶν δὲ τῷ προσώπῳ τὸ θαρραλέον καὶ ἰταμὸν τῆς ψυχῆς, ἀδούλωτον καὶ ἀπαθὲς ὑπὸ τῶν παρόντων, ἔργα δὲ αὐτοῦ καὶ πράξεις ὅμοια τοῖς βλεπομένοις ἀκούων, τὸ δὲ μέγιστον, ὡς ἔοικε, θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος ἀρχὰς μεγάλων πραγμάτων, ἁπτόμενος ἐπινοίᾳ καὶ τύχῃ τῆς ἀληθείας ἀνέκρινεν ὅστις εἴη καὶ ὅπως γένοιτο, φωνῇ τε πραείᾳ καὶ φιλανθρώπῳ βλέμματι πίστιν αὐτῷ μετ' ἐλπίδος ἐνδιδούς. (8) Ὁ δὲ θαρρῶν ἔλεγεν· « Ἀλλ' οὐδὲν ἀποκρύψομαί σε· καὶ γὰρ εἶναι δοκεῖς Ἀμυλίου βασιλικώτερος· ἀκούεις γὰρ καὶ ἀνακρίνεις, πρὶν ἢ κολάζειν· ὁ δ' ἀκρίτους ἐκδίδωσι. (9) Πρότερον μὲν ἑαυτοὺς οἰκετῶν βασιλέως Φαυστύλου καὶ Λαρεντίας ἠπιστάμεθα παῖδες· ἐσμὲν δὲ δίδυμοι· (10) γενόμενοι δὲ ἐν αἰτίᾳ πρός σε καὶ διαβολαῖς καὶ τοῖς περὶ ψυχῆς ἀγῶσιν, ἀκούομεν μεγάλα περὶ ἑαυτῶν· εἰ δὲ πιστὰ, κρίνειν ἔοικε νῦν ὁ κίνδυνος. (11) Τροφαὶ μὲν γὰρ ἡμῶν ἀπόῤῥητοι λέγονται, τροφαὶ δὲ καὶ τιθηνήσεις ἀτοπώτεραι νεογνῶν, οἷς ἐῤῥίφημεν οἰωνοῖς καὶ θηρίοις, ὑπὸ τούτων τρεφόμενοι, μαστῷ λυκαίνης καὶ δρυοκολάπτου ψωμίσμασιν, ἐν σκάφῃ τινὶ κείμενοι παρὰ τὸν μέγαν ποταμόν. (12) Ἔστι δ' ἡ σκάφη καὶ σώζεται χαλκοῖς ὑποζώσμασι γραμμάτων ἀμυδρῶν ἐγκεχαραγμένων· ἃ γένοιτ' ἂν ὕστερον ἴσως ἀνωφελῆ γνωρίσματα τοῖς τοκεῦσιν ἡμῶν ἀπολομένων. » (13) Ὁ μὲν οὖν Νομήτωρ ἔκ τε τῶν λόγων τούτων καὶ πρὸς τὴν ὄψιν εἰκάζων τὸν χρόνον οὐκ ἔφυγε τὴν ἐλπίδα σαίνουσαν, ἀλλ' ἐφρόντιζεν, ὅπως τῇ θυγατρὶ περὶ τούτων κρύφα συγγενόμενος φράσειεν· ἐφρουρεῖτο γὰρ ἔτι καρτερῶς.

contentione, armentisque abactis de suis, non tulerunt eam injuriam, sed cædunt illos et in fugam vertunt, exuuntque magna ex parte præda, (2) nihil Numitoris morati indignationem. Copiam inde inopum et servorum cogunt recipiuntque, ut res iis auctoribus spectare ad defectionem et audax facinus videretur. (3) Quum esset autem sacrificandi et augurandi Romulus studiosus, eo forte in sacrificio occupato, invadunt Numitoris pastores iter cum parvo comitatu facientem Remum. (4) Dum ictus et vulnera utrinque inferuntur, vincunt Numitoris pastores, ac Remum capiunt. (5) Raptum ad se et accusatum Numitor, quia iram verebatur fratris, ipse non punivit, sed profectus ad illum, satisfactionem postulavit, qui frater esset regis et violatus ab ipsius famulis. (6) Quum vero Albani etiam indignarentur et injuria virum affici manifestaria crederent, adductus est Amulius ut Remum Numitori ad supplicium quodvis dederet. (7) Domum reversus ille, adolescentem adduci jussit, et corporis eximiam præter ceteros speciem et robur miratus, simul animadversa in vultu audacia et confidentia animi, imperterrita et invicta præsenti periculo; facta deinde et gesta ejus audiens, quæ congrua essent iis quæ videret; præcipue vero, deo, ut fertur, præsente et moderante magnarum rerum origines, tam sagacitate quam fortuna veritatem assequens interrogat quisnam sit, quæve ejus origo, comique alloquio et humano intuitu spem cum fiducia dat. (8) Ille intrepide, « Nihil, inquit, te celabo; namque regio animo magis mihi videris, quam Amulius, esse; qui ante audias et quæras, quam damnes: ille vero tradit inauditos. (9) Primum regis ministrorum Faustuli et Larentiæ esse filios nos opinabamur: gemini autem sumus. (10) Verum ut accusati apud te sumus et calumnia circumventi, de vita ut periclitemur, mira de nobis accipimus: certane sint, præsens videtur periculum decreturum. (11) Partus enim nostros secretos esse dicunt, incunabula et lactationem infantium etiam maxime insolitam: aves enim et feræ, quibus objecti eramus, hæ nos nutrierunt, lupa uberibus, et picus Martius minutis cibariis, ad magnum fluvium in alveo abjectos. (12) Exstat etiam alveus et salvus est, æneis vinculis circumductus, literis inscriptus exolescentibus, futura fortasse parentibus olim interitus nostri inutilia indicia. » (13) Numitoris ad verba hæc et ætatem ex facie elucentem tempus reputantis blanda spes animum tetigit, subiitque cura, quemadmodum cum filia, quæ in arcta adhuc detinebatur custodia, remotis arbitris de his ageret.

VIII. Ὁ δὲ Φαυστύλος ἀκούσας τήν τε σύλληψιν τοῦ Ῥώμου καὶ τὴν παράδοσιν τὸν μὲν Ῥωμύλον ἠξίου βοηθεῖν, τότε σαφῶς διδάξας περὶ τῆς γενέσεως· πρό-

VIII. At Faustulus, ut captum Remum et deditum accepit, Romuli implorat opem, eique tandem veram originem ipsius aperit, quam obscure ante et obiter hactenus indica-

τερον δὲ ὑπηνίττετο, καὶ παρεδήλου τοσοῦτον, ὅσον προσέχοντας μὴ μικρὸν φρονεῖν. (2) Αὐτὸς δὲ τὴν σκάφην κομίζων ἐχώρει πρὸς τὸν Νομήτορα σπουδῆς καὶ δέους μεστὸς ὢν διὰ τὸν καιρόν. (3) Ὑποψίαν οὖν τοῖς περὶ τὰς πύλας φρουροῖς τοῦ βασιλέως παρέχων καὶ ὑφορώμενος ὑπ' αὐτῶν καὶ ταραττόμενος πρὸς τὰς ἀνακρίσεις οὐκ ἔλαθε τὴν σκάφην τῷ χλαμυδίῳ περικαλύπτων. (4) Ἦν δέ τις ἐν αὐτοῖς ἀπὸ τύχης τῶν τὰ παιδάρια βῖψαι λαβόντων καὶ γεγονότων περὶ τὴν ἔκθεσιν. (5) Οὗτος ἰδὼν τὴν σκάφην τότε καὶ γνωρίσας τῇ κατασκευῇ καὶ τοῖς γράμμασιν ἔτυχεν ὑπονοίᾳ τοῦ ὄντος· καὶ οὐ παρημέλησεν, ἀλλὰ φράσας τὸ πρᾶγμα τῷ βασιλεῖ κατέστησεν εἰς ἔλεγχον. (6) Ἐν δὲ πολλαῖς καὶ μεγάλαις ἀνάγκαις ὁ Φαυστύλος οὔτ' ἀήττητον ἑαυτὸν διεφύλαξεν, οὔτε παντάπασιν ἐκβιασθεὶς σώζεσθαι μὲν ὡμολόγησε τοὺς παῖδας, εἶναι δ' ἄποθεν τῆς Ἄλβης ἔφη νέμοντας· (7) αὐτὸς δὲ τοῦτο πρὸς τὴν Ἰλίαν φέρων βαδίζειν πολλάκις ἰδεῖν καὶ θιγεῖν ἐπ' ἐλπίδι βεβαιοτέρᾳ τῶν τέκνων ποθήσασαν. (8) Ὅπερ οὖν οἱ ταραττόμενοι καὶ μετὰ δέους ἢ πρὸς ὀργὴν πράττοντες ὀτιοῦν ἐπιεικῶς πάσχουσι * συνέπεσε παθεῖν τὸν Ἀμούλιον. (9) Ἄνδρα γὰρ ἄλλῃ τε χρηστὸν καὶ τοῦ Νομήτορος φίλον ὑπὸ σπουδῆς ἔπεμψε διαπυθέσθαι τοῦ Νομήτορος κελεύσας, εἴ τις ἦκοι λόγος εἰς αὐτὸν ὑπὲρ τῶν παίδων ὡς περιγενομένων. (10) Ἀφικόμενος οὖν ὁ ἄνθρωπος καὶ θεασάμενος ὅσον οὔπω τὸν Ῥῶμον ἐν περιβολαῖς καὶ φιλοφροσύναις τοῦ Νομήτορος, τήν τε πίστιν ἰσχυρὰν ἐποίησε τῆς ἐλπίδος, καὶ παρεκελεύσατο τῶν πραγμάτων ὀξέως ἀντιλαμβάνεσθαι· καὶ συνῆν αὐτοῖς ἤδη καὶ συνέπραττεν. (11) Ὁ δὲ καιρὸς οὐδὲ βουλομένοις ὀκνεῖν παρεῖχεν. Ὁ γὰρ Ῥωμύλος ἐγγὺς ἦν ἤδη, καὶ πρὸς αὐτὸν ἐξέθεον οὐκ ὀλίγοι τῶν πολιτῶν μίσει καὶ φόβῳ τοῦ Ἀμουλίου. (12) Πολλὴν δὲ καὶ σὺν αὐτῷ δύναμιν ἦγε συλλελογισμένην εἰς ἑκατοστύας· ἑκάστης δὲ ἀνὴρ ἀφηγεῖτο χόρτου καὶ ὕλης ἀγκαλίδα κοντῷ περικειμένην ἀνέχων. (13) Μανίπλα ταύτας Λατῖνοι καλοῦσιν. Ἀπ' ἐκείνου δὲ καὶ νῦν ἐν τοῖς στρατεύμασι τούτους μανιπλαρίους ὀνομάζουσιν. (14) Ἅμα δὴ τοῦ μὲν Ῥώμου τοὺς ἐντὸς ἀφιστάντος, τοῦ δὲ Ῥωμύλου προσάγοντος ἔξωθεν, οὔτε πρᾶξαι οὐδὲν ὁ τύραννος οὔτε βουλεύσας σωτήριον ἑαυτῷ διὰ τὸ ἀπορεῖν καὶ ταράττεσθαι καταληφθεὶς ἀπέθανεν. (15) Ὧν τὰ πλεῖστα καὶ Φαβίου λέγοντος καὶ τοῦ Πεπαρηθίου Διοκλέους, ὃς δοκεῖ πρῶτος ἐκδοῦναι Ῥώμης κτίσιν, ὕποπτον μὲν ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες· (16) οὐ δεῖ δὲ ἀπιστεῖν, τὴν τύχην ὁρῶντας, οἷων ποιημάτων δημιουργός ἐστι, καὶ τὰ Ῥωμαίων πράγματα λογιζομένους, ὡς οὐκ ἂν ἐνταῦθα προὔβη δυνάμεως, μὴ θείαν τινὰ ἀρχὴν λαβόντα, καὶ μηδὲν μέγα μηδὲ παράδοξον ἔχουσαν.

verat, quatenus illis, si animum adverterent, animos facere posset. (2) Simul ipse temporis necessitate festinabundus et perculsus, cum alveo contendit ad Numitorem. (3) Venti autem in suspicionem regiæ ad portam stationi; et quum oculos in eum intenderent, atque ille trepidaret ad interrogata, detectus est, quem pallio operuerat, alveus. (4) Erat forte inter eos quidam ex illis, qui projiciendos acceperant pueros, et exponendis interfuerant. (5) Hic ut alveum aspexit, agnovit eum ex forma et literis, remque suspicione attigit; quam non neglexit, sed aperuit regi, et ad quæstionem vocavit. (6) Tantis et tam multis circumventus periculis Faustulus non omnino quidem infractus stetit, neque omnia tamen expressa ei sunt : pueros enim fatetur esse superstites, sed procul Alba pascere : (7) alveum se ad Iliam latum ire, quæ ob certiorem de liberis spem videre et contrectare eum sæpe cupierat. (8) Igitur id quod usu venire perplexis solet, et illis qui metum vel iram in consilium adhibent, tum accidit Amulio. (9) Virum enim et ceteroqui probum et Numitoris amicum festinato ad eum misit quæsitum, ecquid de incolumitate puerorum intellexisset. (10) Ille accedens, ut pene hærentem jam Remum in complexibus et osculis Numitoris vidit, et spei fiduciam addidit, et ut rem gnaviter aggrederetur, auctor fuit; simulque se illis adjunxit eosque adjuvit. (11) Nec tempus ullam concedebat vel volentibus prolatationem : nam Romulus jam aderat, ad quem odio et metu Amulii copia se effuderat civium. (12) Manum etiam non contemnendam secum ipse adducebat in centurias distributam. Singulas unus ducebat, graminis et fruticum manipulum conto alligatum sursum tenens. (13) Manipulos Latini vocant : atque inde manet in hodiernum diem, ut in exercitibus hos manipulares appellent. (14) Simul igitur Remus quum eos, qui intus erant, ad se traheret, Romulus vero adoriretur foris, torpidus tyrannus et attonitus, nihil est contra molitus, nec quicquam salubris consilii cepit : itaque deprehensus obtruncatur. (15) Horum pleraque quamquam et Fabius refert et Peparethius Diocles, qui de condita Roma primus memoriæ mandasse videtur, suspecta quidam habent ob speciem dramaticam et commenti similem : (16) sed quum cernamus quantarum rerum opifex sit fortuna, non debemus ei fidem derogare, reputantes animo, rem Romanam sine divino aliquo auspicio et magno miraculo non fuisse eo potentiæ progressuram.

IX. Ἀμουλίου δὲ ἀποθανόντος καὶ τῶν πραγμάτων καταστάντων Ἄλβην μὲν οὔτ' οἰκεῖν μὴ ἄρχοντες οὔτ' ἄρχειν ἐβούλοντο τοῦ μητροπάτορος ζῶντος· (2) ἀποδόντες δὲ τὴν ἡγεμονίαν ἐκείνῳ καὶ τῇ μητρὶ τιμὰς

IX. Amulio interfecto rebusque compositis, neque Albæ habitare sine imperio, neque vivo regnare avo volebant. (2) Quare permisso illi regno, matrique debito habito honore, ipsis consilium fuit seorsum urbis, ubi primum fuerant

μαθηματικὸς, ἁπτόμενος δὲ καὶ τῆς περὶ τὸν πίνακα μεθόδου θεωρίας ἕνεκα καὶ δοκῶν ἐν αὐτῇ περιττὸς εἶναι. (6) Τούτῳ προὔβαλεν ὁ Οὐάρρων ἀναγαγεῖν τὴν Ῥωμύλου γένεσιν εἰς ἡμέραν καὶ ὥραν, ἐκ τῶν λεγομένων ἀποτελεσμάτων περὶ τὸν ἄνδρα ποιησάμενον τὸν συλλογισμὸν, ὥσπερ αἱ τῶν γεωμετρικῶν ὑφηγοῦνται προβλημάτων ἀναλύσεις. (7) Τῆς γὰρ αὐτῆς θεωρίας εἶναι χρόνον τε λαβόντας ἀνθρώπου γενέσεως βίου προειπεῖν καὶ βίῳ δοθέντι θηρεῦσαι χρόναν. (8) Ἐποίησεν οὖν τὸ προσταχθὲν ὁ Ταρούτιος, καὶ τά τε πάθη καὶ τὰ ἔργα τοῦ ἀνδρὸς ἐπιδὼν καὶ χρόνον ζωῆς καὶ τρόπον τελευτῆς καὶ πάντα τὰ τοιαῦτα συνθεὶς εὖ μάλα τεθαρρηκότως καὶ ἀνδρείως ἀπεφήνατο τὴν μὲν ἐν τῇ μητρὶ τοῦ Ῥωμύλου γεγονέναι αὐλλῆψιν ἔτει πρώτῳ τῆς δευτέρας ὀλυμπιάδος, ἐν μηνὶ κατ' Αἰγυπτίους Χοιὰκ, τρίτῃ καὶ εἰκάδι, τρίτης ὥρας, καθ' ἣν ὁ ἥλιος ἐξέλιπε παντελῶς· τὴν δ' ἐμφανῆ γένεσιν, ἐν μηνὶ Θωὺθ ἡμέρᾳ πρώτῃ μετ' εἰκάδα περὶ ἡλίου ἀνατολάς. (9) Κτισθῆναι δὲ τὴν Ῥώμην ὑπ' αὐτοῦ τῇ ἐνάτῃ Φαρμουθὶ μηνὸς ἱσταμένου, μεταξὺ δευτέρας ὥρας καὶ τρίτης· ἐπεὶ καὶ πόλεως τύχην, ὥσπερ ἀνθρώπου, κύριον ἔχειν οἴονται χρόνον, ἐκ τῆς πρώτης γενέσεως πρὸς τὰς τῶν ἀστέρων ἐποχὰς θεωρούμενον. (10) Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τὰ τοιαῦτα οὐ τῷ ξένῳ καὶ περιττῷ προσάξεται μᾶλλον, ἢ διὰ τὸ μυθῶδες ἐνοχλήσει τοὺς ἐντυγχάνοντας αὐτοῖς.

maticus, verum idem genethliacus : cui scientiæ ita se speculandi gratia dederat, ut in ea videretur excellere. (6) Huic proposuit Varro, ut Romuli natalem diem, immo horam designaret, ex iis quæ viro illi cœlitus evenisse tradebantur, ducens rationes, sicut quæstionum geometricarum monstrant analyses. (7) Ejusdem esse enim disciplinæ, quum diem natalem acceperis, vitam cujuspiam qualis futura sit prænuntiare, ac vita proposita exquirere natalem. (8) Fecit quod mandatum erat Tarutius, positisque ob oculos Romuli casibus, factisque, ac vitæ spatio et mortis genere, atque hujusmodi comparatis omnibus, satis audacter et confidenter pronuntiavit conceptum a matre Romulum anno secundæ Olympiadis primo, mensis, quem vocant Ægyptii Choeac, tertio et vicesimo die, ad tertiam horam, qua sol omni ex parte defecit; in lucem editum mensis Thoyth vicesimo primo, circa solis ortum. (9) Romam vero fundatam die nono mensis Pharmuthi inter secundam et tertiam horam : siquidem non minus urbis, quam hominis fortunæ certum esse tempus opinantur, quod ex primis incunabulis ad stellarum exigitur positiones. (10) Verum hæc fortassis et similia novitate sua et curiositate non tam ducent lectores, quam odiosa erunt ipsis ob fabulositatem.

XIII. Κτισθείσης δὲ τῆς πόλεως πρῶτον μὲν ὅσον ἦν ἐν ἡλικίᾳ πλῆθος, εἰς συντάγματα στρατιωτικὰ διεῖλεν· ἕκαστον δὲ σύνταγμα πεζῶν τρισχιλίων ἦν, καὶ τριακοσίων ἱππέων. Ἐκλήθη δὲ λεγεὼν, τῷ λογάδας εἶναι τοὺς μαχίμους ἐκ πάντων. (2) Ἔπειτα τοῖς μὲν ἄλλοις ἐχρῆτο δήμῳ, καὶ ποπούλους ὠνομάσθη τὸ πλῆθος· ἑκατὸν δὲ τοὺς ἀρίστους ἀπέδειξε βουλευτὰς, καὶ αὐτοὺς μὲν πατρικίους, τὸ δὲ σύστημα σενάτον προσηγόρευσεν. (3) Ὁ μὲν οὖν σενάτος ἀτρεκῶς γερουσίαν σημαίνει· πατρικίους δὲ τοὺς βουλευτὰς κληθῆναι λέγουσιν, οἱ μὲν, ὅτι παίδων γνησίων πατέρες ἦσαν, οἱ δὲ μᾶλλον, ὡς αὐτοὺς ἔχοντας ἑαυτῶν ἀποδείξαι πατέρας, ὅπερ οὐ πολλοῖς ὑπῆρξε τῶν πρώτων εἰς τὴν πόλιν συῤῥεόντων· (4) οἱ δὲ, ἀπὸ τῆς πατρωνείας· οὕτω γὰρ ἐκάλουν τὴν προστασίαν, καὶ καλοῦσιν ἄχρι νῦν, οἰόμενοι Πάτρωνά τινα τῶν σὺν Εὐάνδρῳ παραγενομένων, κηδεμονικὸν τῶν ὑποδεεστέρων ὄντα καὶ βοηθητικὸν, ἀφ' αὐτοῦ τῷ πράγματι ταύτην τὴν προσηγορίαν ἀπολιπεῖν. (5) Μάλιστα δ' ἄν τις τυγχάνοι τοῦ εἰκότος, εἰ νομίζοι, τὸν Ῥωμύλον ἀξιοῦντα τοὺς πρώτους καὶ δυνατωτάτους πατρικῇ κηδεμονίᾳ καὶ φροντίδι προσήκειν ἐπιμελεῖσθαι τῶν ταπεινοτέρων, ἅμα δὲ τοὺς ἄλλους διδάσκοντα μὴ δεδιέναι, μηδ' ἄχθεσθαι ταῖς τῶν κρειττόνων τιμαῖς, ἀλλὰ χρῆσθαι μετ' εὐνοίας καὶ νομίζοντας καὶ προσαγορεύοντας πατέρας, οὕτως ὀνομάσαι. (6) Καὶ γὰρ ἄχρι νῦν τοὺς ἐν συγκλήτῳ τελοῦντας οἱ μὲν ἔξωθεν ἄνδρας ἡγεμόνας καλοῦσιν, αὐτοὶ δὲ Ῥωμαῖοι πατέρας συγγεγραμμένους,

XIII. Urbe jam condita primum omnem juventutem adultam in militares ordines distribuit : singuli ordines peditum habebant terna millia, tricenos equites. Hæc dicta est Legio, quia legebantur ex omnibus qui essent bello apti. (2) Hinc reliquum cœtum habuit pro multitudine inhabitantium, et dixit Populum. Centum præstantissimos delegit in consilium, quos Patricios vocavit, et collegium eorum Senatum. (3) Per Senatum cœtus seniorum intelligitur : senatores vero Patricios dictos ferunt, hi, quod liberorum ingenuorum essent parentes; alii vero, quod parentes suos edere possent, id quod ex colluvie illa civitatis prima licebat paucis. (4) Sunt qui a patrocinio dictos statuant : sic enim vocabant et adhuc vocant tutelam (clientium), Patronem quendam, qui sequutus fuerat Evandrum, advenam, defensorem inopum et vindicem, hoc illi rei nomen arbitrantes tribuisse. (5) Ad verum ille potissimum accesserit, qui statuat Romulum principum et potentissimorum censentem partes esse, ut paterna cura et sollicitudine complecterentur demissiores, simulque docentem plebem, ne timerent præstantiores, neve inviderent eorum honoribus, sed uterentur iis cum benevolentia, ac ducerent patres appellarentque, id nomen his dedisse. (6) Nam nunc quoque eos, qui in senatu sunt, exteræ nationes, dominos ducesque, ipsi Romani quum amplissimo et honoratissimo, tum maxime invidioso nomine

τῷ μέγιστον μὲν ἀξίωμα καὶ τιμὴν, ἥκιστα δὲ φθόνον ἔχοντι χρώμενοι τῶν ὀνομάτων. (7) Ἐν ἀρχῇ μὲν οὖν πατέρας αὐτοὺς μόνον, ὕστερον δὲ πλειόνων προσαναλαμβανομένων πατέρας συγγεγραμμένους προσηγόρευσαν. (8) Καὶ τοῦτο μὲν ἦν ὄνομα σεμνότερον αὐτῷ τῆς πρὸς τὸ δημοτικὸν τοῦ βουλευτικοῦ διαφορᾶς· ἑτέρως δὲ τοὺς δυνατοὺς ἀπὸ τῶν πολλῶν διῄρει πάτρωνας ὀνομάζων, ὅπερ ἐστὶ προστάτας, ἐκείνους δὲ κλίεντας, ὅπερ ἐστὶ πελάτας· ἅμα δὲ πρὸς ἀλλήλους θαυμαστὴν εὔνοιαν αὐτοῖς καὶ μεγάλων δικαίων ὑπάρξουσαν ἐνεποίησεν. (9) Οὗτοι μὲν γὰρ ἐξηγητάς τε τῶν νομίμων καὶ προστάτας δικαζομένοις συμβούλους τε πάντων καὶ κηδεμόνας ἑαυτοὺς παρεῖχον. (10) Ἐκεῖνοι δὲ τούτους ἐθεράπευον οὐ μόνον τιμῶντες, ἀλλὰ καὶ πενομένοις θυγατέρας συνεκδιδόντες καὶ χρέα συνεκτίνοντες. (11) Καταμαρτυρεῖν τε πελάτου προστάτην ἢ προστάτου πελάτην οὔτε νόμος οὐδεὶς οὔτε ἄρχων ἠνάγκαζεν. (12) Ὕστερον δὲ τῶν ἄλλων δικαίων μενόντων τὸ λαμβάνειν χρήματα τοὺς δυνατοὺς παρὰ τῶν ταπεινοτέρων αἰσχρὸν ἐνομίσθη καὶ ἀγεννές. Ταῦτα μὲν οὖν περὶ τούτων.

XIV. Τετάρτῳ δὲ μηνὶ μετὰ τὴν κτίσιν, ὡς Φάβιος ἱστορεῖ, τὸ περὶ τὴν ἁρπαγὴν ἐτολμήθη τῶν γυναικῶν. (2) Καὶ λέγουσι μὲν ἔνιοι τὸν Ῥωμύλον αὐτὸν τῇ φύσει φιλοπόλεμον ὄντα καὶ πεπεισμένον ἔκ τινων ἄρα λογίων, ὅτι τὴν Ῥώμην πέπρωται πολέμοις τρεφομένην καὶ αὐξομένην γενέσθαι μεγίστην, βίας ὑπάρξαι πρὸς τοὺς Σαβίνους· οὐδὲ γὰρ πολλὰς, ἀλλὰ τριάκοντα μόνας παρθένους λαβεῖν αὐτὸν ἅτε δὴ πολέμου μᾶλλον, ἢ γάμων δεόμενον. (3) Τοῦτο δὲ οὐκ εἰκός· ἀλλὰ τὴν μὲν πόλιν ὁρῶν ἐποίκων εὐθὺς ἐμπιπλαμένην, ὧν ὀλίγοι γυναῖκας εἶχον, οἱ δὲ πολλοὶ μιγάδες ἐξ ἀπόρων καὶ ἀφανῶν ὄντες ὑπερεωρῶντο καὶ προσεδοκῶντο μὴ συμμένειν βεβαίως· (4) ἐλπίζων δὲ πρὸς τοὺς Σαβίνους τρόπον τινὰ συγκράσεως καὶ κοινωνίας ἀρχὴν αὐτοῖς τὸ ἀδίκημα ποιήσειν ἡμερωσαμένοις τὰς γυναῖκας, ἐπεχείρησε τῷ ἔργῳ τόνδε τὸν τρόπον. (5) Διεδόθη λόγος ὑπ' αὐτοῦ πρῶτον, ὡς θεοῦ τινος ἀνευρήκοι βωμὸν ὑπὸ γῆς κεκρυμμένον. (6) Ὠνόμαζον δὲ τὸν θεὸν Κῶνσον, εἴτε βουλαῖον ὄντα· κωνσίλιον γὰρ ἔτι νῦν τὸ συμβούλιον καλοῦσι καὶ τοὺς ὑπάτους κωνσούλας, οἷον προβούλους· εἴτε ἵππιον Ποσειδῶ. (7) Καὶ γὰρ ὁ βωμὸς ἐν τῷ μείζονι τῶν ἱπποδρόμων ἐστὶν ἀφανὴς τὸν ἄλλον χρόνον, ἐν δὲ τοῖς ἱππικοῖς ἀγῶσιν ἀνακαλυπτόμενος. (8) Οἱ δὲ καὶ ὅλως φασὶ τοῦ βουλεύματος ἀπορρήτου καὶ ἀφανοῦς ὄντος ὑπόγειον οὐκ ἀλόγως τῷ θεῷ βωμὸν γενέσθαι κεκρυμμένον. (9) Ὡς δ' ἀνεφάνη, θυσίαν τε λαμπρὰν ἐπ' αὐτῷ καὶ ἀγῶνα καὶ θέαν ἐκ καταγγελίας ἐπετέλει πανηγυρικήν. (10) Καὶ πολλοὶ μὲν ἄνθρωποι συνῆλθον, αὐτὸς δὲ προὐκάθητο μετὰ τῶν ἀρίστων ἁλουργίδι κεκοσμημένος. (11) Ἦν δὲ τοῦ καιροῦ τῆς ἐπιχειρήσεως σύμβολον ἐξαναστάντα τὴν ἁλουργίδα πτύξαι καὶ περιβαλέσθαι πάλιν. (12) Ἔχοντες οὖν ξίφη πολλοὶ προσεῖχον αὐτῷ, καὶ τοῦ σημείου γενομένου σπασάμενοι τὰ ξίφη καὶ μετὰ βοῆς ὁρμήσαν-

Patres Conscriptos vocant. (7) Principio Patres tantum, post, pluribus adscitis, Patres conscriptos appellavere. (8) Atque eo tam venerando vocabulo populum a senatu distinxit. Aliis quoque modis potentiores secrevit a plebe, appellans Patronos illos, hoc est, curatores; hos Clientes, id est, tutelæ commendatos. Simul inter eos mutuam benevolentiam excitavit, eamque admirabilem et quæ maximi momenti officia in posterum constituerit. (9) Patroni enim ita se parabant, ut de jure responderent, atque advocati adessent in judicio litigantibus omnibusque in rebus consilio eos et studio foverent: (10) clientes illos vicissim non honorando solum, verum dote etiam tenuiorum filiabus conferenda et ære alieno solvendo, obsequiose prosequebantur. (11) Testimonii adversus patronum clienti, vel patrono adversus clientem dicendi nulla legis, nulla magistratus coactio erat. (12) Postea reliquis officiis nihil imminutis, hoc tamen, si pecuniam accepissent potentiores a demissioribus, turpe haberi cœpit et sordidum. Sed hactenus de his.

XIV. Ab Urbe condita quarto mense, ut tradit Fabius, raptus mulierum commissus est. (2) Romulum ipsum quidam auctores sunt, utpote ad arma natum, et quibusdam inde oraculis, in fatis esse ut Roma re militari enutrita in immensum cresceret, adductum Sabinos invasisse priorem: neque sane multas, sed rapuisse triginta duntaxat virgines, ut qui non tam connubia, quam bellum quæreret. (3) Atqui id parum congruit. Verum urbem quum statim videret refertam advenis, quorum haberent pauci conjuges, reliqui ex egenis conflati et obscuris contemnerentur, neque putarentur in firma societate mansuri; (4) speraret autem vinculum aliquod suis, ubi mulieres demulsissent, cum Sabinis et commercium ex ea injuria nasciturum, rem ad hunc modum aggressus est. (5) Primo famam divulgavit, dei cujuspiam defossam se sub terra aram reperisse. (6) Consum vocabant deum, sive consiliorum ille præses a consilio dictus, uti etiam nunc summos magistratus consules vocant; sive Neptunus equestris fuit. (7) Ara enim illa in Circo maximo est alias operta, ludis Circensibus vero aperitur. (8) Alii dictitant, quia plane arcanum debeat esse et tectum consilium, recte ejus deo aram, quæ sub terra esset abdita, sacratam fuisse. (9) Ob eam igitur inventam magnificum sacrificium, ludos et spectaculum solenn finitimis indixit et concelebravit. (10) Multi mortales convenere. Ipse cum principibus trabea amictus præsedit (11) Signum convenerat adoriendi, quum ipse exsurgens complicasset trabeam rursusque indueret. (12) Quare multi gladiis accincti oculos tenebant in eum intentos. Dato signo stringunt enses, et magno clamore ad rapiendas Sabinorum filias

τες ἥρπαζον τὰς θυγατέρας τῶν Σαβίνων, αὐτοὺς δὲ φεύγοντας εἶων καὶ παρίεσαν. (13) Ἁρπασθῆναι δέ φασιν, οἱ μὲν, τριάκοντα μόνας, ἀφ' ὧν καὶ τὰς φρατρίας ὀνομασθῆναι· Οὐαλλέριος δὲ Ἀντίας ἑπτὰ καὶ εἴκοσι καὶ πεντακοσίας· Ἰόβας δὲ τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑξακοσίας παρθένους· (14) ὁ μέγιστον ἦν ἀπολόγημα τῷ Ῥωμύλῳ· γυναῖκα γὰρ οὐ λαβεῖν ἀλλ' ἢ μίαν, Ἑρσιλίαν, διαλαθοῦσαν αὐτούς, ἅτε δὴ μὴ μεθ' ὕβρεως, μηδ' ἀδικίας ἐλθόντας ἐπὶ τὴν ἁρπαγὴν, * ἀλλὰ συμμῖξαι καὶ συναγαγεῖν εἰς ταὐτὸ τὰ γένη ταῖς μεγίστοις ἀνάγκαις διανοηθέντας. (15) Τὴν δ' Ἑρσιλίαν οἱ μὲν Ὁστιλλίων γῆμαι λέγουσιν, ἄνδρα Ῥωμαίων ἐπιφανέστατον· οἱ δὲ αὐτὸν Ῥωμύλον, καὶ γενέσθαι καὶ παῖδας αὐτῷ, μίαν μὲν θυγατέρα Πρίμαν, τῇ τάξει τῆς γενέσεως οὕτω προσαγορευθεῖσαν, (16) ἕνα δ' υἱὸν μόνον, ὃν Ἀόλλιον μὲν ἐκεῖνος ἀπὸ τῆς γενομένης ἀθροίσεως ὑπ' αὐτοῦ τῶν πολιτῶν ὠνόμασεν, οἱ δ' ὕστερον, Ἀβίλλιον. Ἀλλὰ ταῦτα μὲν ἱστορῶν Ζηνόδοτος ὁ Τροιζήνιος πολλοὺς ἔχει τοὺς ἀντιλέγοντας.

XV. Ἐν δὲ τοῖς ἁρπάζουσι τὰς παρθένους τότε τυχεῖν λέγουσι τῶν οὐκ ἐπιφανῶν τινας ἄγοντας κόρην τῷ τε κάλλει πολὺ καὶ τῷ μεγέθει διαφέρουσαν. (2) Ἐπεὶ δὲ ἁπαντῶντες ἔνιοι τῶν κρειττόνων ἐπεχείρουν ἁφαιρεῖσθαι, βοᾶν τοὺς ἄγοντας, ὡς Ταλασίῳ κομίζοιεν αὐτὴν, ἀνδρὶ νέῳ μὲν, εὐδοκίμῳ δὲ καὶ χρηστῷ. (3) Τοῦτ' οὖν ἀκούσαντας εὐφημεῖν καὶ κροτεῖν ἐπαινοῦντας, ἐνίους δὲ καὶ παρακολουθεῖν ἀναστρέψαντας εὐνοίᾳ καὶ χάριτι τοῦ Ταλασίου μετὰ βοῆς τοὔνομα φθεγγομένους. (4) Ἀφ' οὗ δὴ τὸν Ταλάσιον ἄχρι νῦν, ὡς Ἕλληνες τὸν Ὑμέναιον, ἐπᾴδουσι Ῥωμαῖοι τοῖς γάμοις· καὶ γὰρ εὐτυχίᾳ φασὶ χρήσασθαι περὶ τὴν γυναῖκα τὸν Ταλάσιον. (5) Σέξτιος δὲ Σύλλας ὁ Καρχηδόνιος, οὔτε μουσῶν οὔτε χαρίτων ἐπιδεὴς ἀνὴρ, ἔλεγεν ἡμῖν, ὅτι τῆς ἁρπαγῆς σύνθημα τὴν φωνὴν ἔδωκε ταύτην ὁ Ῥωμύλος. (6) Ἅπαντες οὖν ἐβόων τὸν Ταλάσιον οἱ τὰς παρθένους κομίζοντες· καὶ διὰ τοῦτο τοῖς γάμοις παραμένειν τὸ ἔθος. (7) Οἱ δὲ πλεῖστοι νομίζουσιν, ὧν καὶ ὁ Ἰόβας ἐστὶ, παράκλησιν εἶναι καὶ παρακέλευσιν εἰς φιλεργίαν καὶ ταλασίαν οὕπω τότε τοῖς Ἑλληνικοῖς ὀνόμασι τῶν Ἰταλικῶν ἐπικεχυμένων. (8) Εἰ δὲ τοῦτο μὴ λέγεται κακῶς, ἀλλ' ἐχρῶντο Ῥωμαῖοι τότε τῷ ὀνόματι τῆς ταλασίας, καθάπερ ἡμεῖς, ἑτέραν ἄν τις αἰτίαν εἰκάσειε πιθανωτέραν. (9) Ἐπεὶ γὰρ οἱ Σαβῖνοι πρὸς τοὺς Ῥωμαίους πολεμήσαντες διηλλάγησαν, ἐγένοντο συνθῆκαι περὶ τῶν γυναικῶν, ὅπως μηδὲν ἄλλο ἔργον τοῖς ἀνδράσιν ἢ τὰ περὶ τὴν ταλασίαν ὑπουργῶσι. (10) Παρέμεινεν οὖν καὶ τοῖς αὖθις γαμοῦσι, τοὺς διδόντας ἢ παραπέμποντας ἢ ὅλως παρόντας ἀναφωνεῖν τὸν Ταλάσιον μετὰ παιδιᾶς, μαρτυρομένους, ὡς ἐπ' οὐδὲν ἄλλο ὑπούργημα τῆς γυναικὸς ἢ ταλασίαν εἰσαγομένης. (11) Διαμένει δὲ μέχρι νῦν τὸ τὴν νύμφην αὐτὴν ἀφ' αὑτῆς μὴ ὑπερβαίνειν τὸν οὐδὸν εἰς τὸ ᾠμάτιον, ἀλλ' αἰρομένην εἰσφέρεσθαι, διὰ τὸ καὶ τότε κομισθῆναι βιασθείσας, μὴ εἰσελθεῖν. (12) Ἔνιοι δὲ λέγουσι καὶ

discurrunt, ipsos autem fugere Sabinos sinebant nec persequebantur. (13) Raptas aiunt hi triginta tantum, et ab eis nominatas Curias; Valerius Antias quingentas viginti septem : Juba octoginta tres supra sexcentas virgines. (14) Id Romulum excusavit potissimum, quod matronam non rapuissent, nisi unam Hersiliam, idque imprudentes : quippe quos non libido, non injuria ad rapiendum instigavisset, sed ut commiscerent conjungerentque utramque gentem arctissimis vinculis. (15) Hersiliam nupsisse Hostilio quidam tradunt, viro inter Romanos nobilissimo : alii ipsi Romulo, cui etiam illam liberos peperisse, filiam Primam, ex ordine nascendi ita nominatam; (16) unicum præterea filium, quem ab concursu sub se civium frequentium (ἀολλέων) Aollium ille vocavit, posteri Abillium. At qui hæc narrat, Trœzenius Zenodotus, multos habet adversarios.

XV. Inter virginum raptores fuisse aiunt plebeios quosdam, qui puellam alias specie et statura longe præcellentem duxerant : (2) quam quum quidam obvii ex primoribus eripere conarentur, Talasio ferri illi clamitaverunt, juveni claro proboque. (3) Quo audito, gratulatione et plausu eos collaudasse : fuisse etiam qui regressi comitarentur gratia et favore Talasii nomen clamantes. (4) Inde Romanis in hunc usque diem mos obtinuit, ut talasionem accinant nuptiis, sicut Hymenæum Græci. Nam prospere Talasio cessisse hoc matrimonium aiunt. (5) Sextius vero Sylla, Carthaginiensis, vir et doctus et elegans, nobis dixit eam vocem pro signo dedisse Romulum ad raptum. (6) Itaque qui virgines abducebant, conclamabant omnes Talasio : atque hinc relictum hunc morem nuptiis. (7) Ceterum plerique, inter quos etiam Juba, adhortationem et incitationem ad laboris sedulitatem et lanificium, quod Græci ταλασίαν dicunt, censent, quamquam nondum id temporis Italica verba cum Græcis confusa erant. (8) Quodsi hoc placet, et Romani tum ταλασίας vocabulum nobiscum usurpabant, aliam conjicias magis probabilem rationem. (9) Nam in fœdere, quod Sabini post bellum pepigerunt cum Romanis, convenit ne aliam operam viris, quam quæ esset circa lanificium, præstarent uxores. (10) Permansit igitur nuptiis etiam postea hic mos, ut qui elocarent puellas, vel deducerent, vel adeo quicunque præsentes essent, omnino Talasio acclamarent per lusum, testantes, ad nullum aliud munus, quam lanificium, ταλασίαν, sponsam adduci. (11) Servatur hinc etiam hodie, ne limen sponsa ipsa transcendat in cubiculum, sed sublata inferatur, quod tunc etiam vi illatæ, non ingressæ essent. (12) Addunt qui-

τὸ τὴν κόμην τῆς γαμουμένης αἰχμῇ διακρίνεσθαι δορατίου σύμβολον εἶναι τοῦ μετὰ μάχης καὶ πολεμικῶς τὸν πρῶτον γάμον γενέσθαι· περὶ ὧν ἐπιπλέον ἐν τοῖς Αἰτίοις εἰρήκαμεν. (13) Ἐτολμήθη μὲν οὖν ἡ ἁρπαγὴ περὶ τὴν ὀκτωκαιδεκάτην ἡμέραν τοῦ τότε Σεξτιλίου μηνὸς, Αὐγούστου δὲ νῦν, ἐν ᾗ τὴν τῶν Κωνσαλίων ἑορτὴν ἄγουσιν.

XVI. Οἱ δὲ Σαβῖνοι πολλοὶ μὲν ἦσαν καὶ πολεμικοὶ, κώμας δὲ ᾤκουν ἀτειχίστους, ὡς προσῆκον αὐτοῖς μέγα φρονεῖν καὶ μὴ φοβεῖσθαι, Λακεδαιμονίων ἀποίκοις οὖσιν. (2) Οὐ μὴν ἀλλ' ὁρῶντες αὐτοὺς ἐνδεδεμένους μεγάλοις ὁμηρευμασι καὶ δεδιότες περὶ τῶν θυγατέρων πρέσβεις ἀπεστειλαν, ἐπιεικῆ καὶ μέτρια προκαλούμενοι, τὸν Ῥωμύλον ἀποδιδόντα τὰς κόρας αὐτοῖς καὶ λύσαντα τὸ τῆς βίας ἔργον, εἶτα πειθοῖ καὶ νόμῳ πράττειν τοῖς γένεσι φιλίαν καὶ οἰκειότητα. (3) Τοῦ δὲ Ῥωμύλου τὰς μὲν κόρας μὴ προϊεμένου, παρακαλοῦντος δὲ τὴν κοινωνίαν δέχεσθαι τοὺς Σαβίνους, οἱ μὲν ἄλλοι βουλευόμενοι καὶ παρασκευαζόμενοι διέτριβον· (4) Ἄκρων δὲ βασιλεὺς Κενινητῶν, ἀνὴρ θυμοειδὴς καὶ δεινὸς ἐν τοῖς πολεμικοῖς, τά τε πρῶτα τολμήματα τοῦ Ῥωμύλου δι' ὑποψίας εἶχε, * καὶ τὸ πραχθὲν περὶ τὰς γυναῖκας ἤδη φοβερὸν ἡγούμενος πᾶσιν εἶναι καὶ οὐκ ἀνεκτὸν, εἰ μὴ κολασθείη, προεξανέστη τῷ πολέμῳ καὶ μετὰ πολλῆς ἐχώρει δυνάμεως ἐπ' αὐτὸν, καὶ ὁ Ῥωμύλος ἐπ' ἐκεῖνον. (5) Γενόμενοι δ' ἐν ὄψει καὶ κατιδόντες ἀλλήλους προὐκαλοῦντο μάχεσθαι τῶν στρατευμάτων ἐν τοῖς ὅπλοις ἀτρεμούντων. (6) Εὐξάμενος οὖν ὁ Ῥωμύλος, εἰ κρατήσειε καὶ καταβάλοι, τῷ Διὶ φέρων ἀναθήσειν αὐτὸς τὰ ὅπλα τοῦ ἀνδρὸς, (7) αὐτόν τε καταβάλλει κρατήσας καὶ τρέπεται τὸ στράτευμα μάχης γενομένης, αἱρεῖ δὲ καὶ τὴν πόλιν· οὐ μὴν ἠδίκησε τοὺς ἐγκαταληφθέντας, ἀλλ' ἢ τὰς οἰκίας ἐκέλευσε καθελόντας ἀκολουθεῖν εἰς Ῥώμην, ὡς πολίτας ἐπὶ τοῖς ἴσοις ἐσομένους. (8) Τούτου μὲν οὖν οὐκ ἔστιν ὅ τι μᾶλλον ἠὔξησε τὴν Ῥώμην, ἀεὶ προσποιοῦσαν ἑαυτῇ καὶ συννέμουσαν ὧν κρατήσειεν. (9) Ὁ δὲ Ῥωμύλος, ὡς ἂν μάλιστα τὴν εὐχὴν τῷ τε Διὶ κεχαρισμένην καὶ τοῖς πολίταις ἰδεῖν ἐπιτερπῆ παράσχοι, σκεψάμενος ἐπὶ στρατοπέδου δρῦν ἔτεμεν ὑπερμεγέθη καὶ διεμόρφωσεν ὥσπερ τρόπαιον καὶ τῶν ὅπλων τοῦ Ἄκρωνος ἕκαστον ἐν τάξει περιήρμοσε καὶ κατήρτησεν· αὐτὸς δὲ τὴν μὲν ἐσθῆτα περιεζώσατο, δάφνῃ δὲ ἐστέψατο τὴν κεφαλὴν κομῶσαν. (10) Ὑπολαβὼν δὲ τῷ δεξιῷ τὸ τρόπαιον ὤμῳ προσερειδόμενον ὀρθὸν ἐβάδιζεν ἐξάρχων ἐπινικίου παιᾶνος ἐν ὅπλοις ἑπομένῃ τῇ στρατιᾷ δεχομένων τῶν πολιτῶν μετὰ χαρᾶς καὶ θαύματος. (11) Ἡ μὲν οὖν πομπὴ τῶν αὖθις θριάμβων ἀρχὴν καὶ ζῆλον παρέσχεν· τὸ δὲ τρόπαιον ἀνάθημα Φερετρίου Διὸς ἐπωνομάσθη. Τὸ γὰρ πλῆξαι φερῖρε Ῥωμαῖοι καλοῦσιν· εὔξατο δὲ πλῆξαι τὸν ἄνδρα καὶ καταβαλεῖν. (12) Ὀπίμια δὲ τὰ σκῦλα, φησὶν Οὐάρρων, καθότι καὶ τὴν περιουσίαν ὄπεμ λέγουσι. Πιθανώτερον δ' ἄν τις εἴποι διὰ τὴν πρᾶξιν· ὄπους γὰρ

dam, morem sponsæ capillos hastæ discriminandi cuspide, primas nuptias denotare vi et hostiliter contractas : de quibus prolixius in Quæstionibus diximus. (13) Admissus denique hic raptus est octavo decimo die Sextilis, quem nunc vocant Augustum, quo Consualia festum celebrant.

XVI. Sabinorum magna gens quidem et bello bona erat, sed vicatim habitabant sine mœnibus : scilicet quos fortes esse nihilque timere decuerit, coloni quum essent Lacedæmoniorum. (2) Verum quia magnis se pignoribus cernebant adstrictos, timentes de filiabus, legatos miserunt ad Romulum æqua et moderata postulaturos : redderet sibi puellas, et vim illatam resolveret, tum cum bona gratia et lege amicitiam et affinitatem inter utramque gentem contraheret. (3) Romulus autem quum non remitteret puellas, sed hortaretur Sabinos, ut hanc necessitudinem comprobarent, ceteri in deliberando et apparatu lente agebant; (4) Ceninensium vero rex Acron, magno vir animo et bellator insignis, qui jamdudum Romuli cœpta habebat suspecta, et hoc facinus in mulieres commissum formidandum cunctis existimans neque tolerabile, si auferretur impune, primus in bellum prorupit magnisque copiis movit in Romulum, et in illum Romulus. (5) Quum jam in conspectu essent, et vicissim se contuerentur, provocaverunt se mutuo ad pugnam, copiis in acie quiescentibus. (6) Ibi Jovi Romulus, si hostem vicisset fudissetque, vovit arma illius semetipsum allaturum ei et dedicaturum. (7) Acronem superat et occidit, exercitum ejus pugna coorta in fugam pellit, eodemque impetu oppidum eorum capit; nec violat tamen eos, qui illic capti erant : nisi quod demoliri ædificia jussos Romam attrahit, in civitatem æquo jure recipiendos. (8) Neque res alia ulla perinde amplificavit civitatem Romanam, quam quod connecteret sibi et in corpus suum insereret victos. (9) Romulus, ut votum Jovi redderet quam gratissimum et oculis civium speciosissimum, quercum, quam in castris viderat miræ proceritatis, succidit et adornavit instar tropæi, Acronis armis omnibus ex ordine suspensis in ea adaptatisque : deinde veste ipse incincta, et caput fluente coma lauro coronavit. (10) Hinc tropæum dextro innixum humero rectum gerens incessit, carmen victoriale exercitui præcinens in armis sequenti, civibus cum gratulatione et laudibus eum excipientibus. (11) Triumphorum fuit hæc celebritas in posterum origo et exemplum. Tropæum sive feretrum Jovis Feretrii donum appellatum est a feriendo : precatus enim deum erat, ut Acronem feriret et cæderet. (12) Opima autem hæc spolia dicta sunt, auctore Varrone, quod divitias opes appellent. Rectius mihi videtur, ab eo quod gestum erat : opus

ὀνομάζεται τὸ ἔργον. Αὐτουργῷ δὲ ἀριστείας στρατηγῷ στρατηγὸν ἀνελόντι δέδοται καθιέρωσις ὀπιμίων. (13) Καὶ τρισὶ μόνοις τούτου τυχεῖν ὑπῆρξε Ῥωμαίοις ἡγεμόσι, πρώτῳ Ῥωμύλῳ κτείναντι τὸν Κενινήτην Ἄκρωνα· δευτέρῳ Κορνηλίῳ Κόσσῳ Τυῤῥηνὸν ἀνελόντι Τολούμνιον· ἐπὶ πᾶσι δὲ Κλαυδίῳ Μαρκέλλῳ Βριτομάρτου κρατήσαντι Γαλατῶν βασιλέως. (14) Κόσσος μὲν οὖν καὶ Μάρκελλος ἤδη τεθρίπποις εἰσήλαυνον αὐτοὶ τὰ τρόπαια φέροντες· Ῥωμύλον δ' οὐκ ὀρθῶς φησὶν ἅρματι χρήσασθαι Διονύσιος. (15) Ταρκύνιον γὰρ ἱστοροῦσι τὸν Δημαράτου τῶν βασιλέων πρῶτον εἰς τοῦτο τὸ σχῆμα καὶ τὸν ὄγκον ἐξᾶραι τοὺς θριάμβους· ἕτεροι δὲ πρῶτον ἐφ' ἅρματος θριαμβεῦσαι Ποπλικόλαν. (16) Τοῦ δὲ Ῥωμύλου τὰς εἰκόνας ὁρᾷν ἔστιν ἐν Ῥώμῃ τὰς τροπαιοφόρους πεζὰς ἁπάσας.

XVII. Μετὰ δὲ τὴν Κενινητῶν ἅλωσιν ἔτι τῶν ἄλλων Σαβίνων ἐν παρασκευαῖς ὄντων συνέστησαν οἱ Φιδήνην καὶ Κρουστουμέριον καὶ Ἀντέμναν οἰκοῦντες ἐπὶ τοὺς Ῥωμαίους· (2) καὶ μάχης γενομένης ἡττηθέντες ὁμοίως τάς τε πόλεις Ῥωμύλῳ παρῆκαν ἑλεῖν καὶ χώραν δάσασθαι καὶ μετοικίσαι σφᾶς αὐτοὺς εἰς Ῥώμην. (3) Ὁ δὲ Ῥωμύλος τὴν μὲν ἄλλην κατένειμε χώραν τοῖς πολίταις, ὅσην δ' εἶχον οἱ τῶν ἡρπασμένων παρθένων πατέρες, αὐτοὺς ἔχειν ἐκείνους εἴασεν. (4) Ἐπὶ τούτοις βαρέως φέροντες οἱ λοιποὶ Σαβῖνοι Τάτιον ἀποδείξαντες στρατηγὸν ἐπὶ τὴν Ῥώμην ἐστράτευσαν· ἦν δὲ δυσπρόσοδος ἡ πόλις ἔχουσα πρόβλημα τὸ νῦν Καπιτώλιον, ἐν ᾧ φρουρὰ καθειστήκει καὶ Ταρπήϊος ἡγεμὼν αὐτῆς, οὐχὶ Ταρπηΐα παρθένος, ὡς ἔνιοι λέγουσιν, εὐήθη τὸν Ῥωμύλον ἀποδεικνύοντες. (5) Ἀλλὰ θυγάτηρ ἡ Ταρπηΐα τοῦ ἄρχοντος οὖσα προὔδωκε τοῖς Σαβίνοις, ἐπιθυμήσασα τῶν χρυσῶν βραχιονιστήρων, * οὓς εἶδε περικειμένους, καὶ ᾔτησε μισθὸν τῆς προδοσίας, ἃ φοροῖεν ἐν ταῖς ἀριστεραῖς χερσί. (6) Συνθεμένου δὲ τοῦ Τατίου νύκτωρ ἀνοίξασα πύλην μίαν ἐδέξατο τοὺς Σαβίνους. (7) Οὐ μόνος οὖν, ὡς ἔοικεν, Ἀντίγονος ἔφη προδιδόντας μὲν φιλεῖν, προδεδωκότας δὲ μισεῖν· οὐδὲ Καῖσαρ, εἰπὼν ἐπὶ τοῦ Θρᾳκὸς Ῥυμιτάλκου, φιλεῖν μὲν προδοσίαν, προδότην δὲ μισεῖν· ἀλλὰ κοινόν τι τοῦτο πάθος ἐστὶ πρὸς τοὺς πονηροὺς τοῖς δεομένοις αὐτῶν, ὥσπερ ἰοῦ καὶ χολῆς ἐνίων θηρίων δέονται· τὴν γὰρ χρείαν ὅτε λαμβάνουσιν, ἀγαπῶντες, ἐχθαίρουσι τὴν κακίαν, ὅταν τύχωσι. (8) Τοῦτο καὶ πρὸς τὴν Ταρπηΐαν τότε παθὼν ὁ Τάτιος ἐκέλευσε μεμνημένους τῶν ὁμολογιῶν τοὺς Σαβίνους μηδενὸς αὐτῇ φθονεῖν, ὧν ἐν ταῖς ἀριστεραῖς ἔχουσι. (9) Καὶ πρῶτος ἅμα τὸν βραχιονιστῆρα τῆς χειρὸς περιελὼν καὶ τὸν θυρεὸν ἐπέῤῥιψε. Πάντων δὲ αὐτὸ ποιούντων βαλλομένη τε τῷ χρυσῷ καὶ καταχωσθεῖσα τοῖς θυρεοῖς ὑπὸ πλήθους καὶ βάρους ἀπέθανεν. (10) Ἑάλω δὲ καὶ Ταρπήϊος προδοσίας ὑπὸ Ῥωμύλου διωχθείς, ὡς Ἰόβας φησὶ Γάλβαν Σουλπίκιον ἱστορεῖν. (11) Τῶν δ' ἄλλα περὶ Ταρπηΐας λεγόντων ἀπίθανοι μέν εἰσιν οἱ Τατίου θυγατέρα τοῦ ἡγεμόνος τῶν Σαβίνων οὖσαν αὐτήν,

enim vocant rem gestam; et quum manu sua dux ducem interfecerit, ipsi virtutis eximiæ causa permittitur opima spolia consecrare. (13) Ac tribus modo Romanis imperatoribus hic honos contigit: primo Romulo, interfecto Ceninensi Acrone, secundo, Cornelio Cosso, qui Tolumnium Tuscorum ducem occidit; postremo Claudio Marcello, a quo Gallorum rex cæsus est Viridomarus. (14) Cossus demum et Marcellus quadrigis invecti sunt, quum ipsi opima spolia ferrent: Romulum vero fallitur Dionysius qui usum dicit curru. (15) Siquidem Tarquinium Demarati filium, proditum memoriæ est, regum primum eam in speciem et fastum evexisse triumphos; ab aliis, Poplicolam primum curru triumphantem invectum. (16) Ceterum Romuli statuas triumphales Romæ videre est pedestres omnes.

XVII. Devictis Ceninensibus, dum reliqui Sabini tempus in apparatu terunt, Fidenates, Crustumini et Antemnates coierunt contra Romanos. (2) Qui item acie fusi, similiter oppida sua ab Romulo capi, agrosque dividi, ac se Romam passi sunt transferri. (3) Romulus, reliquum agri partitus populo, raptarum tantum parentibus, quod eorum fuisset, ipsos habere concessit. (4) Molesta hæc ceteris erant Sabinis. Itaque imperatore creato Tatio infestum agmen Romam moverunt. Haud expeditus erat ad urbem accessus, quod is collis, ubi nunc Capitolium est, propugnaculum ipsius erat. Ibi præsidium constitutum, cui præerat Tarpeius, non Tarpeia virgo, ut nonnulli tradunt, qui stultum faciunt Romulum; (5) verum filia illa erat præfecti Tarpeia, quæ cupidine capta aurearum armillarum, quas gerentes videbat Sabinos, prodidit iis arcem, pacta proditionis mercedem, quæ lævis manibus ferrent. (6) Probata Tatio conditione, unam noctu reseravit portam, qua recepit Sabinos. (7) Non unus autem, ut apparet, Antigonus dixit, prodentes amare se, odisse quum prodiderint; neque solus de Rhymitalce Thrace Cæsar; amare se proditionem, proditorem odisse: sed communiter hoc in sceleratos animo sunt illi, qui eorum operam requirunt, velut qui veneno et felle quarundam maleficarum bestiarum opus habent: quippe operam eorum, dum ex usu est, amplectuntur; exsecrantur scelus, ubi voto potiti sunt. (8) Perinde tum Tatius erga Tarpeiam affectus præcepit suis, ut conventorum memores, nihil eorum, quæ sinistris ferrent, illi inviderent. (9) Ipse ante alios detraxit brachio armillam, unaque cum hac scutum ei injecit. Quum id facerent omnes, auro illa injecto scutisque obruta est: itaque numero et pondere oppressa periit. (10) Damnatus est etiam Tarpeius proditionis a Romulo accusatus, ut Juba auctor est Sulpicium Galbam in historia prodere. (11) Inter reliquos, qui Tarpeiæ meminerunt, absurdi sunt qui tradunt ducis Sabinorum eam filiam Tatii fuisse; et quum invita esset cum Romulo, hoc perpetrasse,

Ῥωμύλῳ δὲ βίᾳ συνοικοῦσαν ἱστοροῦντες ταῦτα ποιῆσαι καὶ παθεῖν ὑπὸ τοῦ πατρός· ὧν καὶ Ἀντίγονός ἐστι. (12) Σιμύλος δ' ὁ ποιητὴς καὶ παντάπασι ληρεῖ μὴ Σαβίνοις οἰόμενος, ἀλλὰ Κελτοῖς τὴν Ταρπηΐαν προδοῦναι τὸ Καπιτώλιον ἐρασθεῖσαν αὐτῶν τοῦ βασιλέως. (13) Λέγει δὲ ταῦτα·

Ἡ δ' ἀγχοῦ Τάρπεια παραὶ Καπιτώλιον αἶπος
ναίουσα Ῥώμης ἔπλετο τειχολέτις·
Κελτῶν ἣ στέρξασα γαμήλια λέκτρα γενέσθαι
σκηπτούχῳ, πατέρων οὐκ ἐφύλαξε δόμους.

(14) Καὶ μετ' ὀλίγα περὶ τῆς τελευτῆς·

Τὴν δ' οὔτἂρ Βόϊοί τε καὶ ἔθνεα μυρία Κελτῶν
χηράμενοι ῥείθρων ἐντὸς ἔθεντο Πάδου·
ὅπλα δ' ἐπιπροβαλόντες ἀρειμανέων ἀπὸ χειρῶν
κούρῃ ἐπὶ στυγερῇ κόσμον ἔθεντο φόνου.

XVIII. Τῆς μέντοι Ταρπηΐας ἐκεῖ ταφείσης ὁ λόφος ὠνομάζετο Ταρπήϊος ἄχρι οὗ Ταρκυνίου βασιλέως Διὶ τὸν τόπον καθιεροῦντος, ἅμα τε τὰ λείψανα μετηνέχθη καὶ τοὔνομα τῆς Ταρπηΐας ἐξέλιπε. Πλὴν πέτραν ἔτι νῦν ἐν τῷ Καπιτωλίῳ Ταρπηΐαν καλοῦσιν, ἀφ' ἧς ἐῤῥίπτουν τοὺς κακούργους. (2) Ἐχομένης δὲ τῆς ἄκρας ὑπὸ τῶν Σαβίνων, ὅ τε Ῥωμύλος ὑπ' ὀργῆς εἰς μάχην αὐτοὺς προὐκαλεῖτο καὶ ὁ Τάτιος ἐθάῤῥει καρτερὰν, εἰ βιασθεῖεν, ἀναχώρησιν ὁρῶν αὐτοῖς ὑπάρχουσαν. (3) Ὁ γὰρ μεταξὺ τόπος, ἐν ᾧ συμπίπτειν ἔμελλεν, ὑπὸ πολλῶν λόφων περιεχόμενος ἀγῶνα μὲν ὀξὺν ἐδόκει καὶ χαλεπὸν ὑπὸ δυσχωρίας ἀμφοτέροις παρέξειν, φυγὰς δὲ καὶ διώξεις ἐν στενῷ βραχείας. (4) Ἔτυχε δὲ τοῦ ποταμοῦ λιμνάσαντος οὐ πολλαῖς πρότερον ἡμέραις ἐγκαταλελεῖφθαι τέλμα βαθὺ καὶ τυφλὸν ἐν τόποις ἐπιπέδοις κατὰ τὴν νῦν οὖσαν ἀγοράν· ὅθεν οὐκ ἦν ὄφει προϊδηλον οὐδ' εὐφύλακτον, ἄλλως δὲ χαλεπὸν καὶ ὔπουλον. (5) Ἐπὶ τοῦτο τοῖς Σαβίνοις ἀπειρίᾳ φερομένοις εὐτύχημα γίγνεται. Κούρτιος γὰρ ἀνὴρ ἐπιφανὴς, δόξῃ καὶ φρονήματι γαῦρος, ἵππον ἔχων πολὺ πρὸ τῶν ἄλλων ἐχώρει· (6) δεξαμένου δὲ τοῦ βαράθρου τὸν ἵππον ἄχρι μέν τινος ἐπειρᾶτο πλήσσῃ καὶ παρακελεύσει χρώμενος ἐξελαύνειν· ὡς δ' ἦν ἀμήχανον, ἐάσας τὸν ἵππον ἑαυτὸν ἔσωζεν. (7) Ὁ μὲν οὖν τόπος δι' ἐκεῖνον ἔτι νῦν Κούρτιος λάκκος ὀνομάζεται. (8) Φυλαξάμενοι δὲ τὸν κίνδυνον οἱ Σαβῖνοι μάχην καρτερὰν ἐμαχέσαντο, κρίσιν οὐ λαβοῦσαν καίτοι πολλῶν πεσόντων, ἐν οἷς ἦν καὶ Ὁστίλιος. (9) Τοῦτον Ἐρσιλίας ἄνδρα καὶ πάππον Ὁστιλίου τοῦ μετὰ Νομᾶν βασιλεύσαντος γενέσθαι λέγουσιν. (10) Αὖθις δὲ πολλῶν ἀγώνων ἐν βραχεῖ συνισταμένων, ὡς εἰκὸς, ἑνὸς μάλιστα τοῦ τελευταίου μνημονεύουσιν· ἐν ᾧ Ῥωμύλου τὴν κεφαλὴν πληγέντος λίθῳ καὶ πεσεῖν ὀλίγου δεήσαντος τοῦ τ' ἀντέχειν ὑφεμένου τοῖς Σαβίνοις ἐνέδωκαν οἱ Ῥωμαῖοι καὶ φυγῇ πρὸς τὸ Παλάντιον ἐχώρουν ἐξωθούμενοι τῶν ἐπιπέδων. (11) Ἤδη δὲ ὁ Ῥωμύλος ἐκ τῆς πληγῆς ἀναφέρων ἐβούλετο μὲν εἰς τὰ ὅπλα χωρεῖν τοῖς φεύγουσιν ἐναντίως καὶ μέγα βοῶν ἵστασθαι καὶ μάχεσθαι παρεκάλει. (12) Πολλῆς δὲ τῆς

atque ita esse a patre multatam. Ex his est Antigonus. (12) Poeta vero Simulus plane delirat, qui non Sabinis Tarpeiam, sed Gallis putat Capitolium prodidisse, quum esset regis eorum capta amore. (13) Is ita scribit:

At Capitolinam prope quæ Tarpeia colebat
arcem, Romanis non bene fida fuit:
Gallica dum demens sequitur connubia regis
sceptrigeri, patrum prodidit illa lares.

(14) Mox de ejus morte:

Istam non Boii, non gentes mille puellam
Gallorum in gelidum proripuere Padum:
at sibi nudatis splendentia dona lacertis
injiciunt miseræ, condecorantque necem.

XVIII. Ceterum a Tarpeia illic sepulta collis ille vocatus Tarpeius fuit, donec locum eum Tarquinius rex Jovi consecravit: quo tempore ossa ejus alio sunt delata, nomenque exolevit Tarpeiæ, excepto saxo, quod vocant etiam nunc Tarpeium, ex quo præcipitare sceleratos solebant. (2) Arcem Sabinos insidentes ira stimulante provocavit ad pugnam Romulus: nec Tatius, munitum, si urgerentur, suis receptum videns paratum esse, detrectavit. (3) Quod enim inter frequentes colles planitiei est, ubi pugna committenda erat, ob loci difficultatem utrisque acrem videbatur et gravem dimicationem præbiturum; fugam vero et insectationem in arcto brevem. (4) Forte paucis ante diebus limus ex fluminis eluvie altus et cæcus restiterat in locis planis, quo loco nunc forum est: ita ille quum tectus erat et evitatu difficilis, tum molestus et in imo mollis. (5) Quo quum ferrentur imperitia Sabini, fortuna adfuit iis. Nam Curtius, vir nobilis, claritate et suo spiritu elatus, longe ante signa evectus est equo. (6) Qui quum in voraginem demergeretur, conatus est eum aliquamdiu cædendo et excitando expedire: ubi id parum procedit, omisso equo ipse evadit. (7) Locus ab eo etiam hodie Lacus Curtius dicitur. (8) Illo igitur periculo Sabini vitato acriter capessunt pugnam: in qua neutro inclinavit victoria, licet multis cadentibus; inter quos erat Hostilius. (9) Hunc Hersiliæ virum et avum Hostilii, qui post Numam regnavit, perhibent fuisse. (10) Quum autem certamina de integro multa, ut verisimile est, brevi tempore fierent, unius potissimum meminerunt, novissimi: quo quum in capite esset Romulus saxo ictus, ut pæne in terram prolaberetur, et resistere Sabinis jam desineret, pedem retulerunt Romani, et planis locis excussi, fuga delati ad Palatium sunt. (11) Interea Romulus ex vulnere aliquantum recreatus fugientibus occurrere per arma conabatur, altaque voce, ut resisterent, adhortabatur, certamenque ciebat. (12) Quum vero effusa fuga

φυγῆς αὐτῷ περιχεομένης καὶ μηδενὸς ἀναστρέφειν τολμῶντος ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας εὔξατο τῷ Διὶ στῆσαι τὸ στράτευμα καὶ τὰ Ῥωμαίων πράγματα πεσόντα μὴ περιιδεῖν, ἀλλ' ὀρθῶσαι. (13) Γενομένης δὲ τῆς εὐχῆς αἰδώς τε τοῦ βασιλέως ἔσχε πολλοὺς καὶ θάρσος ἐκ μεταβολῆς πορέστη τοῖς φεύγουσιν. (14) Ἔστησαν οὖν πρῶτον, οὗ νῦν ὁ τοῦ Διὸς τοῦ Στάτωρος ἵδρυται νεώς, ὃν ἐπιστάσιον ἄν τις ἑρμηνεύσειεν. (15) Εἶτα συνασπίσαντες πάλιν ἔωσαν ὀπίσω τοὺς Σαβίνους ἐπὶ τὴν νῦν Ῥήγιαν προσαγορευομένην καὶ τὸ τῆς Ἑστίας ἱερόν.

XIX. Ἐνταῦθα δὴ αὐτοὺς ὥσπερ ἐξ ὑπαρχῆς μάχεσθαι παρασκευαζομένους ἐπέσχε δεινὸν ἰδεῖν θέαμα καὶ λόγου κρείττων ὄψις. (2) Αἱ γὰρ ἡρπασμέναι θυγατέρες τῶν Σαβίνων ὤφθησαν ἀλλαχόθεν ἄλλαι μετὰ βοῆς καὶ ἀλαλαγμοῦ διὰ τῶν ὅπλων φερόμεναι καὶ τῶν νεκρῶν, ὥσπερ ἐκ θεοῦ κάτοχοι, πρός τε τοὺς ἄνδρας αὐτῶν καὶ τοὺς πατέρας· (3) αἱ μὲν παιδία κομίζουσαι νήπια πρὸς ταῖς ἀγκάλαις, αἱ δὲ τὴν κόμην προϊσχόμεναι λελυμένην, πᾶσαι δὲ ἀνακαλούμεναι τοῖς φιλτάτοις ὀνόμασι, ποτὲ μὲν τοὺς Σαβίνους, ποτὲ δὲ τοὺς Ῥωμαίους. (4) Ἐπεκλάσθησαν οὖν ἀμφότεροι καὶ διέσχον αὐταῖς ἐν μέσῳ καταστῆναι τῆς παρατάξεως, καὶ κλαυθμὸς ἅμα διὰ πάντων ἐχώρει καὶ πολὺς οἶκτος ἦν πρός τε τὴν ὄψιν καὶ τοὺς λόγους ἔτι μᾶλλον, εἰς ἱκεσίαν καὶ δέησιν ἐκ δικαιολογίας καὶ παῤῥησίας τελευτῶντας. (5) « Τί γὰρ, ἔφασαν, ὑμᾶς δεινὸν ἢ λυπηρὸν ἐργασάμεναι, τὰ μὲν ἤδη πεπόνθαμεν, τὰ δὲ πάσχομεν τῶν σχετλίων κακῶν; (6) Ἡρπάσθημεν ὑπὸ τῶν νῦν ἐχόντων βίᾳ καὶ παρανόμως, ἁρπασθεῖσαι δ' ἠμελήθημεν ὑπ' ἀδελφῶν καὶ πατέρων καὶ οἰκείων χρόνον τοσοῦτον, ὅσος ἡμᾶς πρὸς τὰ ἔχθιστα κεράσας ταῖς μεγίσταις ἀνάγκαις, πεποίηκε νῦν ὑπὲρ τῶν βιασαμένων καὶ παρανομησάντων δεδιέναι μαχομένων καὶ κλαίειν θνησκόντων. (7) Οὐ γὰρ ἤλθετέ τιμωρήσοντες ἡμῖν παρθένοις οὔσαις ἐπὶ τοὺς ἀδικοῦντας, ἀλλὰ νῦν ἀνδρῶν ἀποσπᾶτε γαμετὰς καὶ τέκνων μητέρας, οἰκτροτέραν βοήθειαν ἐκείνης τῆς ἀμελείας καὶ προδοσίας βοηθοῦντες ἡμῖν ταῖς ἀθλίαις. Τοιαῦτα μὲν ἠγαπήθημεν ὑπὸ τούτων, τοιαῦτα δὲ ὑφ' ὑμῶν ἐλεούμεθα. (8) Καὶ γὰρ εἰ δι' ἄλλην αἰτίαν ἐμάχεσθε, παύσασθαι δι' ἡμᾶς πενθερούς γεγονότας καὶ πάππους καὶ οἰκείους ὄντας ἐχρῆν· εἰ δ' ὑπὲρ ἡμῶν ὁ πόλεμός ἐστι, κομίσασθε ἡμᾶς μετὰ γαμβρῶν καὶ τέκνων καὶ ἀπόδοτε ἡμῖν πατέρας καὶ οἰκείους μηδὲ ἀφέλησθε παῖδας καὶ ἄνδρας. Ἱκετεύομεν ὑμᾶς, μὴ πάλιν αἰχμάλωτοι γενέσθαι. » (9) Τοιαῦτα πολλὰ τῆς Ἐρσιλίας προαγορευούσης καὶ τῶν ἄλλων δεομένων ἐσπείσθησαν ἀνοχαὶ καὶ συνῆλθον εἰς λόγους οἱ ἡγεμόνες. (10) Αἱ δὲ γυναῖκες ἐν τούτῳ τοῖς πατράσι καὶ τοῖς ἀδελφοῖς τοὺς ἄνδρας προσῆγον καὶ τέκνα, προσέφερόν τε τροφὴν καὶ ποτὸν τοῖς δεομένοις καὶ τοὺς τετρωμένους ἐθεράπευον οἰκαδε κομίζουσαι· (11) καὶ παρεῖχον ὁρᾶν ἀρχούσας μὲν αὐτὰς τοῦ οἴκου, προσέχοντας δὲ τοὺς ἄνδρας αὐταῖς, καὶ μετ' εὐνοίας τιμὴν

circa eum fieret, neque quisquam reverti sustineret, tensis ad cœlum manibus precatus Jovem est, fugam exercitus ut sisteret, ac rem Romanam ruentem sustineret restitueretque. (13) Hæc orantis multos regis repressit verecundia, animumque, ablato timore, denuo addidit fugientibus. (14) Restiterunt primum, ubi nunc Jovis Statoris templum est, a stando vocati. (15) Tum collatis iterum armis impulerunt Sabinos ad Regiam quam nunc vocant, et Vestæ ædem.

XIX. Hic eos iterare pugnam molientes, terribile visu et narrationem omnem superans cohibuit spectaculum. (2) Sabinorum filiæ, quæ raptæ fuerant, aliæ aliis ex locis apparuerunt per infesta arma et cadavera cum clamore et ululatu, tanquam numine quodam correptæ, currentes ad viros et patres, (3) partim infantes in ulnis gestantes, partim resolutos crines prætendentes, omnes blandissimis nominibus, hinc Sabinos, hinc Romanos appellantes. (4) Confestim flectebantur utrinque, atque inter ambas acies datus est iis locus. Jam ejulatus ab omnibus pariter perceptus, et multa hinc miseratio, dum species commovit eos, multo autem maxime oratio in obsecrationem et precationem ex disceptatione et querimonia desinens. (5) « Quo nostro, inquiunt, merito in miserias tantas et nuper et hoc tempore incidimus? (6) Vi sumus et injuria ab illis, qui nunc habent, raptæ : injuria nostra a fratribus, parentibus, propinquis per tantum tempus neglecta, quod vinculis nos cum inimicissimis constrinxit arctissimis, ut nos jam cogat timere raptoribus et violatoribus præliantibus, et lugere cadentes. (7) Neque enim vindicatum nos, dum virgines fuimus, advolastis a violatoribus, sed nunc a viris avellitis conjuges, et a liberis matres, qui miseris nobis tristius auxilium, quam neglectus ille fuit et proditio, fertis : ita horum amore, ita vestra miseratione affectæ sumus. (8) Nam si alia belli causa esset, dandum hoc erat nobis, quæ vos soceros, avos atque affines effecimus, arma ut poneretis : sin nos in causa, abducite nos quæsumus cum generis et liberis, ac reddite nobis parentes cognatosque, neu abstrahite a prole atque viris. Supplices precamur, ne iterum nos reddatis captivas » (9) Quum talia multa Hersilia diceret, orarentque ceteræ, induciis factis procedunt ad colloquium duces. (10) Interea mulieres ad parentes et fratres adducere viros liberosque, cibum ferre et potum iis qui opus haberent, saucios domum deportatos curare, (11) ostendere domi se præesse, quanta virorum in se indulgentia esset, quantaque caritate et honore ipsas illi proseque-

ἅπασαν νέμοντας. (12) * *Ἐκ τούτου συντίθενται τῶν μὲν γυναικῶν τὰς βουλομένας συνοικεῖν τοῖς ἔχουσιν, ὥσπερ εἴρηται, παντὸς ἔργου καὶ πάσης λατρείας, πλὴν ταλασίας, ἀφειμένας· (13) οἰκεῖν δὲ κοινῇ τὴν πόλιν Ῥωμαίους καὶ Σαβίνους· καὶ καλεῖσθαι μὲν Ῥώμην ἐπὶ Ῥωμύλῳ τὴν πόλιν, Κυρίτας δὲ Ῥωμαίους ἅπαντας ἐπὶ τῇ Τατίου πατρίδι· βασιλεύειν δὲ κοινῇ καὶ στρατηγεῖν ἀμφοτέρους. (14) Ὅπου δὲ ταῦτα συνέθεντο, μέχρι νῦν Κομίτιον καλεῖται· κομίρε γὰρ Ῥωμαῖοι τὸ συνελθεῖν καλοῦσι.

XX. Διπλασιασθείσης δὲ τῆς πόλεως ἑκατὸν μὲν ἐκ Σαβίνων πατρίκιοι προσκατελέχθησαν, αἱ δὲ λεγεῶνες ἐγένοντο πεζῶν μὲν ἑξακισχιλίων, ἱππέων δὲ ἑξακοσίων. (2) Φυλὰς δὲ τρεῖς καταστήσαντες ὠνόμασαν τοὺς μὲν ἀπὸ Ῥωμύλου Ῥαμνήνσης, τοὺς δὲ ἀπὸ Τατίου Τατιήνσης, τρίτους δὲ Λουκερήνσης διὰ τὸ ἄλσος, εἰς ὃ πολλοὶ καταφυγόντες, ἀσυλίας δεδομένης, τοῦ πολιτεύματος μετέσχον· τὰ δ' ἄλση λούκους ὀνομάζουσιν. (3) Ὅτι δ' ἦσαν αἱ φυλαὶ τοσαῦται, τοὔνομα μαρτυρεῖ· τρίβους γὰρ ἔτι νῦν τὰς φυλὰς καλοῦσι καὶ τριβούνους τοὺς φυλάρχους. (4) Ἑκάστη δὲ φυλὴ δέκα φρατρίας εἶχεν, ἃς ἔνιοι λέγουσιν ἐπωνύμους εἶναι ἐκείνων τῶν γυναικῶν. (5) Τοῦτο δὲ δοκεῖ ψεῦδος εἶναι· πολλαὶ γὰρ ἔχουσιν ἀπὸ χωρίων τὰς προσηγορίας. Ἄλλα μέντοι πολλὰ ταῖς γυναιξὶν εἰς τιμὴν ἀπέδωκαν, ὧν καὶ ταῦτά ἐστιν· (6) ἐξίστασθαι μὲν ὁδοῦ βαδιζούσαις, αἰσχρὸν δὲ μηδένα μηδὲν εἰπεῖν παρούσης γυναικὸς, μηδ' ὀφθῆναι γυμνὸν, ἢ δίκην φεύγειν παρὰ τοῖς ἐπὶ τῶν φονικῶν καθεστῶσι, φορεῖν δὲ καὶ τοὺς παῖδας αὐτῶν τὴν καλουμένην βούλλαν ἀπὸ τοῦ σχήματος, ὅμοιον πόμφολυγι περιδέρραιόν τι, καὶ περιπόρφυρον. (7) Ἐβουλεύοντο δὲ οἱ βασιλεῖς οὐκ εὐθὺς ἐν κοινῷ μετ' ἀλλήλων, ἀλλ' ἑκάτερος πρότερον ἰδίᾳ μετὰ τῶν ἑκατὸν, εἶτα οὕτως εἰς ταὐτὸν ἅπαντας συνῆγον. (8) Ἔχει δὲ Τάτιος μὲν ὅπου νῦν ὁ τῆς Μονήτης ναός ἐστι, Ῥωμύλος δὲ παρὰ τοὺς λεγομένους βαθμοὺς καλῆς ἀκτῆς. Οὗτοι δέ εἰσι περὶ τὴν εἰς τὸν ἱππόδρομον τὸν μέγαν ἐκ Παλαντίου κατάβασιν. (9) Ἐνταῦθα δὲ καὶ τὴν κράνειαν ἔφασαν τὴν ἱερὰν γεγονέναι μυθολογοῦντες, ὅτι πειρώμενος ὁ Ῥωμύλος αὐτοῦ λόγχην ἀκοντίσειεν ἀπὸ τοῦ Ἀβεντίνου τὸ ξυστὸν ἔχουσαν κρανείας· καταδύσης δὲ τῆς αἰχμῆς εἰς βάθος ἀνασπάσαι μὲν οὐδεὶς πειρωμένων πολλῶν ἴσχυσε. (10) Τὸ δὲ ξύλον ἔστεξεν ἡ γῆ ζώφυτος οὖσα καὶ βλαστοὺς ἀνῆκε καὶ στέλεχος εὐμέγεθες κρανείας ἔθρεψε. (11) Τοῦτο δ' οἱ μετὰ Ῥωμύλον ὡς ἦν ἕν τι τῶν ἀγιωτάτων ἱερῶν φυλάττοντες καὶ σεβόμενοι περιετείχισαν. (12) Ὅτῳ δὲ προσιόντι δόξειε μὴ θαλερὸν εἶναι μηδὲ χλωρὸν, ἀλλ' οἷον ἀτροφεῖν καὶ φθίνειν, ὁ μὲν εὐθὺς ἔφραζε κραυγῇ τοῖς προστυγχάνουσιν· οἱ δ' ὥσπερ ἐμπρησμῷ βοηθοῦντες ἑδόων ὕδωρ καὶ συνέτρεχον πανταχόθεν ἀγγεῖα πλήρη κομίζοντες ἐπὶ τὸν τόπον. (13) Γαΐου δὲ Καίσαρος, ὥς φασι, τὰς ἀναβάσεις ἐπισκευάζοντος καὶ τῶν τεχνιτῶν περιορυτ-

rentur. (12) Ita pax fit, ut quæ vellent mulieres, manerent apud eos, a quibus tenebantur, ab omni opere, servitute omni, præterquam lanificio, immunes, uti supra dictum est: (13) communem haberent Romani et Sabini urbem: Roma urbs a Romulo, Romani omnes Quirites a Tatii patria vocarentur; regnum domi militiæque consociaretur utrisque. (14) Locus ubi fœdus ictum fuit, hodie quoque a coeundo Comitium vocatur.

XX. Geminata urbe, centum ex Sabinis senatores allecti, legiones autem constitutæ ex peditum senis millibus, equitibus sexcenis. (2) Tribus tres factæ nominantur Ramnenses a Romulo, a Tatio Tatienses, tertia, Luceres a luco, quo, postquam incolumitas concessa, confugerant multi et in civitatem recepti erant: lucos autem nemora vocant. (3) Ac tot numero fuisse, nomen ipsum declarat tribus et tribuni, qui est tribui præfectus. (4) Singulæ denis constabant curiis, quibus Sabinarum illarum imposita nomina narrant quidam fuisse. (5) Verum id, quia a regionibus cognomina complures habent, falsum videtur: quamvis multa constituerint alia in honorem feminarum, ex quibus hæc sunt, (6) decedere illis via, ab omni obsceno dicto præsente muliere abstinere, non conspici nudum, aut apud judices rerum capitalium illas causam dicere, earum liberos gestare bullam ex figura et similitudine ita dictam, colli quoddam ornamentum, et prætextam. (7) Consilia non statim ambo reges communiter habebant, sed separata primo cum suis uterque centenis, inde in unum convocabant senatores omnes. (8) Tatius habitabat, ubi ædes nunc Monetæ est; Romulus ad pulchri littoris quos vocant gradus, circa descensum ex Palatio in Circum maximum. (9) Quo loco etiam sacram cornum referunt fuisse, et fabulam attexunt, exercentem se Romulum torsisse ex Aventino lanceam, cujus esset corneum hastile: alte defixam cuspidem convellere quum multi niterentur, neminem valuisse. (10) Verum luxuriantem, quæ lignum erat amplexa, humum ramos emisisse et stipitem corni eximia nutrivisse proceritate. (11) Eam posteri, ut rem unam omnium sanctissimam, servant et magna religione venerantes muro cinxerunt. (12) Quæ si cui visa esset minus frondescere vel virescere, sed marcescere et exarescere, id clamore ille illico significabat obviis quibusque: qui sicut ad restinguendum incendium aquam conclamabant; simul concursus fiebat undique vasa plena eo aquæ portantium. (13) Caio autem Cæsare (sic narrant) gradus instaurante, quum opifices tellurem adhærentem arbori cir-

τόντων τὰ πλησίον, ἔλαθον αἱ ῥίζαι κακωθεῖσαι παντάπασι καὶ τὸ φυτὸν ἐμαράνθη.

XXI. Μῆνας μὲν οὖν οἱ Σαβῖνοι τοὺς Ῥωμαίων ἐδέξαντο καὶ περὶ αὐτῶν ὅσα καλῶς εἶχεν ἐν τῷ Νομᾶ βίῳ γέγραπται. (2) Θυρεοῖς δὲ τοῖς ἐκείνων ὁ Ῥωμύλος ἐχρήσατο καὶ μετέβαλε τὸν ὁπλισμὸν ἑαυτοῦ τε καὶ τῶν Ῥωμαίων Ἀργολικὰς πρότερον ἀσπίδας φορούντων. (3) Ἑορτῶν δὲ καὶ θυσιῶν ἀλλήλοις μετεῖχον, ἃς μὲν ἦγε τὰ γένη πρότερον οὐκ ἀνελόντες, ἑτέρας δὲ θέμενοι καινὰς, ὧν ἥ τε τῶν Ματρωναλίων ἐστὶ, δοθεῖσα ταῖς γυναιξὶν ἐπὶ τῇ τοῦ πολέμου καταλύσει, καὶ ἡ τῶν Καρμενταλίων. (4) Τὴν δὲ Καρμένταν οἱονταί τινες μοῖραν εἶναι κυρίαν ἀνθρώπων γενέσεως· διὸ καὶ τιμῶσιν αὐτὴν αἱ μητέρες. (5) * Οἱ δὲ τὴν τοῦ Εὐάνδρου τοῦ Ἀρκάδος γυναῖκα, μαντικήν τινα καὶ φοιβαστικὴν ἐμμέτρων χρησμῶν γενομένην, Καρμένταν ἐπονομασθῆναι (τὰ γὰρ ἔπη κάρμενα καλοῦσι), Νικοστράτῃ δὲ ἦν ὄνομα κύριον αὐτῇ. (6) Καὶ τοῦτο μὲν ὁμολογεῖται· τὴν δὲ Καρμένταν ἔνιοι πιθανώτερον ἀφερμηνεύουσιν οἷον ἐστερημένην νοῦ διὰ τὰς ἐν τοῖς ἐνθουσιασμοῖς παραφροσύνας. Τὸ μὲν γὰρ στέρεσθαι κάρηρε, μέντεμ δὲ τὸν νοῦν ὀνομάζουσι. (7) Περὶ δὲ τῶν Παρηλίων προείρηται. Τὰ δὲ Λουπερκάλια τῷ μὲν χρόνῳ δόξειεν ἂν εἶναι καθάρσια· δρᾶται γὰρ ἐν ἡμέραις ἀποφράσι τοῦ Φεβρουαρίου μηνὸς, ὃν καθάρσιον ἄν τις ἑρμηνεύσειε καὶ τὴν ἡμέραν ἐκείνην τὸ παλαιὸν ἐκάλουν Φεβράτην· (8) τοὔνομα δὲ τῆς ἑορτῆς ἑλληνιστὶ σημαίνει Λύκαια καὶ δοκεῖ διὰ τοῦτο παμπάλαιος ἀπ' Ἀρκάδων εἶναι τῶν περὶ Εὔανδρον. (9) Ἀλλὰ τοῦτο μὲν κοινόν ἐστι· δύναται γὰρ ἀπὸ τῆς λυκαίνης γεγονέναι τοὔνομα. Καὶ γὰρ ἀρχομένους τῆς περιδρομῆς τοὺς Λουπέρκους ὁρῶμεν ἐντεῦθεν, ὅπου τὸν Ῥωμύλον ἐκτεθῆναι λέγουσι. (10) Τὰ δὲ δρώμενα τὴν αἰτίαν ποιεῖ δυστόπαστον· σφάττουσι γὰρ αἶγας, εἶτα μειρακίων δυοῖν ἀπὸ γένους προσαχθέντων αὐτοῖς, οἱ μὲν ἡμαγμένῃ μαχαίρᾳ τοῦ μετώπου θιγγάνουσιν, ἕτεροι δὲ ἀπομάττουσιν εὐθὺς ἔριον βεβρεγμένον γάλακτι προσφέροντες. Γελᾶν δὲ δεῖ τὰ μειράκια μετὰ τὴν ἀπόμαξιν. (11) Ἐκ δὲ τούτου τὰ δέρματα τῶν αἰγῶν κατατεμόντες διαθέουσιν ἐν περιζώσμασι γυμνοὶ τοῖς σκύτεσι τὸν ἐμποδὼν παίοντες. (12) Αἱ δ' ἐν ἡλικίᾳ γυναῖκες οὐ φεύγουσι τὸ παίεσθαι νομίζουσαι πρὸς εὐτοκίαν καὶ κύησιν συνεργεῖν. (13) Ἴδιον δὲ τῆς ἑορτῆς τὸ καὶ κύνα θύειν τοὺς Λουπέρκους. (14) Βούτας δέ τις αἰτίας μυθώδεις ἐν ἐλεγείοις περὶ τῶν Ῥωμαϊκῶν ἀναγράφων φησὶ, τοῦ Ἀμουλίου τοὺς περὶ τὸν Ῥωμύλον κρατήσαντας ἐλθεῖν δρόμῳ μετὰ χαρᾶς ἐπὶ τὸν τόπον, ἐν ᾧ νηπίοις οὖσιν αὐτοῖς ἡ λύκαινα θηλὴν ὑπέσχε· (15) καὶ μίμημα τοῦ τότε δρόμου τὴν ἑορτὴν ἄγεσθαι καὶ τρέχειν τοὺς ἀπὸ γένους, τοὺς

Ἐμποδίους τύπτοντας, ὅπως τότε φάσγαν' ἔχοντες
ἐξ Ἄλβης ἔθεον Ῥωμύλος ἠδὲ Ῥέμος.

(16) Καὶ τὸ μὲν ξίφος ἡμαγμένον προσφέρεσθαι τῷ μεcumfoderent, imprudentes plane corruperunt radices, ac contabuit arbor.

XXI. Menses acceperunt Sabini Romanorum, de quibus quæ dici decebat, in Vita Numæ retulimus. (2) Ab illis Romulus est scuta mutuatus, suamque ac Romanorum, qui ferre ante parmas Argolicas solebant, armaturam mutavit. (3) Festos dies et sacra inter se promiscua habuere: quæ afferrent gentes ante fieri solita, ea non antiquarunt; sed nova instituerunt; ex quibus Matronalia sunt, ob bellum diremptum concessa feminis; et Carmentalia. (4) Carmentam aiunt quidam Parcam esse, hominum generationis præsidem: unde colitur a matribusfamilias. (5) Alii Arcadis Evandri memorant conjugem fuisse, fatidicam et divino spiritu oracula versibus reddere solitam: atque inde dictam Carmentam a carminibus, quum verum nomen ei esset Nicostratæ. (6) Hoc quidem omnibus in confesso est: probabilius tamen alii Carmentam interpretantur, quasi « carentem mente » ex furore fanatico. (7) De Parilibus supra est dictum. Lupercalia ex tempore conjicias lustralia esse, qui diebus nefastis aguntur mensis Februarii, quem interpreteris lustralem; diem ipsum antiquitus Februatam vocabant. (8) Nomen vero festi Græce sonat Lycæa, ideoque admodum vetustum, ab Arcadibus Evandri comitibus acceptum videtur. (9) Ceterum hæc vulgata est fama: nam deduci nomen potuit a lupa; quod inde Lupercos, ubi expositum Romulum ferunt, auspicari cernamus cursum per urbem. (10) Verum quæ aguntur, causam præbent conjectu difficilem: jugulant enim capras, inde nobilibus duobus adolescentibus adductis, alii gladio cruento frontem illorum tingunt, alii statim imbuta lacte lana detergunt eam: post detersionem ridere adolescentes oportet. (11) Hinc pellibus dissectis caprarum, cum subligaculo discurrunt nudi, obvium quemque scuticis cædentes. (12) Quæ verba mulieres adultæ non declinant, proficere ea ad conceptionem et partum ratæ. (13) Celebritas ea hoc quoque habet peculiare, canem quod immolent Luperci. (14) Butas quidam, qui causas fabulosas rerum Romanarum in Elegiis scripto mandavit, ait Romulum devicto Amulio cursu se cum suis exsultantem contulisse in locum eum ubi lupa infantibus ipsis summiserat mammam, (15) atque hac solemnitate eum cursum imitatione referri, in quo nobiles adolescentes

Pulsare oblatos, strictis velut ensibus Alba
tunc sese extulerunt Romulus atque Remus.

(16) Ensem igitur cruentum fronti admotum cædis illius no-

τώπῳ, τοῦ τότε φόνου καὶ κινδύνου σύμβολον, τὴν δὲ διὰ τοῦ γάλακτος ἀποκάθαρσιν, ὑπόμνημα τῆς τροφῆς αὐτῶν εἶναι. (17) Γάϊος δὲ Ἀκίλιος ἱστορεῖ, πρὸ τῆς κτίσεως τὰ θρέμματα τῶν περὶ τὸν Ῥωμύλον ἀφανῆ γενέσθαι· τοὺς δὲ τῷ Φαύνῳ προσευξαμένους ἐκδρασμεῖν γυμνοὺς ἐπὶ τὴν ζήτησιν, ὅπως ὑπὸ τοῦ ἱδρῶτος μὴ ἐνοχλοῖντο· καὶ διὰ τοῦτο γυμνοὺς περιτρέχειν τοὺς Λουπέρκους. (18) Τὸν δὲ κύνα φαίη τις ἄν, εἰ μὲν ἡ θυσία καθαρμός ἐστι, θύεσθαι καθαρσίῳ χρωμένων αὐτῷ. Καὶ γὰρ Ἕλληνες ἔν τε τοῖς καθαρσίοις σκύλακας ἐκφέρουσι καὶ πολλαχοῦ χρῶνται τοῖς λεγομένοις περισκυλακισμοῖς. (19) Εἰ δὲ τῇ λυκαίνῃ χαριστήρια ταῦτα καὶ τροφεῖα καὶ σωτήρια Ῥωμύλου τελοῦσιν, οὐκ ἀτόπως ὁ κύων σφάττεται· λύκοις γάρ ἐστι πολέμιος· εἰ μὴ νὴ Δία κολάζεται τὸ ζῷον ὡς παρενοχλοῦν τοὺς Λουπέρκους ὅταν παριθέωσι.

XXII. Λέγεται δὲ καὶ τὴν περὶ τὸ πῦρ ἁγιστείαν Ῥωμύλον καταστῆσαι πρῶτον ἀποδείξαντα παρθένους ἱερὰς Ἑστιάδας προσαγορευομένας. (2) Οἱ δὲ τοῦτο μὲν εἰς Νομᾶν ἀναφέρουσι, τὰ δ' ἄλλα τὸν Ῥωμύλον διαφερόντως θεοσεβῆ, ἔτι δὲ μαντικὸν ἱστοροῦσι γενέσθαι καὶ φορεῖν ἐπὶ μαντικῇ τὸ καλούμενον λίτυον. (3) Ἔστι δὲ καμπύλη ῥάβδος, ᾗ τὰ πλινθία καθεζομένους ἐπ' οἰωνῶν διαγράφειν. Τοῦτο δ' ἐν Παλαντίῳ φυλαττόμενον ἀφανισθῆναι περὶ τὰ Κελτικὰ τῆς πόλεως ἁλούσης· εἶτα μέντοι τῶν βαρβάρων ἐκπεσόντων εὑρεθῆναι κατὰ τέφρας βαθείας ἀπαθὲς ὑπὸ τοῦ πυρὸς ἐν πᾶσι τοῖς ἄλλοις ἀπολωλόσι καὶ διεφθαρμένοις. (4) Ἔθηκε δὲ καὶ νόμους τινὰς, ὧν σφοδρὸς μέν ἐστιν ὁ γυναικὶ μὴ διδοὺς ἀπολείπειν ἄνδρα, γυναῖκα δὲ διδοὺς ἐκβάλλειν ἐπὶ φαρμακείᾳ τέκνων * ἢ κλειδῶν ὑποβολῇ καὶ μοιχευθεῖσαν· (5) εἰ δ' ἄλλως τις ἀποπέμψαιτο τῆς οὐσίας αὐτοῦ τὸ μὲν τῆς γυναικὸς εἶναι, τὸ δὲ τῆς Δήμητρος ἱερὸν κελεύων· τὸν δ' ἀποδόμενον γυναῖκα θύεσθαι χθονίοις θεοῖς. (6) Ἴδιον δὲ τὸ μηδεμίαν δίκην κατὰ πατροκτόνων ὁρίσαντα, πᾶσαν ἀνδροφονίαν πατροκτονίαν προσειπεῖν· ὡς τούτου μὲν ὄντος ἐναγοῦς, ἐκείνου δὲ ἀδυνάτου. (7) Καὶ μέχρι χρόνων πολλῶν ἔδοξεν ὀρθῶς ἀπογνῶναι τὴν τοιαύτην ἀδικίαν· οὐδεὶς γὰρ ἔδρασε τοιοῦτον οὐδὲν ἐν Ῥώμῃ σχεδὸν ἐτῶν ἑξακοσίων διαγενομένων· ἀλλὰ πρῶτος μετὰ τὸν Ἀννιβαϊκὸν πόλεμον ἱστορεῖται Λεύκιος Ὄστιος πατροκτόνος γενέσθαι. Ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων.

XXIII. Ἔτει δὲ πέμπτῳ τῆς Τατίου βασιλείας οἰκεῖοί τινες αὐτοῦ καὶ συγγενεῖς πρέσβεσιν ἀπὸ Λαυρεντοῦ βαδίζουσιν εἰς Ῥώμην ἐντυχόντες καθ' ὁδὸν ἐπεχείρουν ἁφαιρεῖσθαι τὰ χρήματα βίᾳ καὶ μὴ προϊεμένους, ἀλλ' ἀμυνομένους ἀνεῖλον. (2) Ἔργου δὲ δεινοῦ τολμηθέντος ὁ μὲν Ῥωμύλος εὐθὺς δεῖν ᾤετο κολάζεσθαι τοὺς ἀδικήσαντας, ὁ δὲ Τάτιος ἐξέκρουε καὶ παρῆγε. (3) Καὶ τοῦτο μόνον αὐτοῖς ὑπῆρξεν αἴτιον ἐμφανοῦς διαφορᾶς· τὰ δ' ἄλλα κατακοσμοῦντες ἑαυτοὺς ὡς ἔνι μάλιστα κοινῶς ἐχρῶντο καὶ μεθ' ὁμονοίας τοῖς πράγμασιν. (4) Οἱ δὲ τῶν ἀνῃρημένων οἰκεῖοι

tam esse et periculi; abstersionem per lac ipsorum monumentum nutrimentorum. (17) Caius Acilius ante conditam urbem auctor est Romuleorum pecus amissum fuisse: quos votis Fauno factis nudos, ne molestus ipsis sudor foret, ad requirendum id excurrisse: hinc nudos discurrere Lupercos. (18) Canem autem dixerit aliquis, si quidem lustratio id sacrum est, immolari, quod eo utantur inter lustrandum. Etenim Græci tum in sacris lustralibus efferunt catulos, tum sæpius iisdem utuntur in ea ceremonia quam vocant περισκυλακισμόν (*canis circumlationem*). (19) Sin ad gratiam lupæ referendam hoc sacrum faciunt, ob eductum et servatum Romulum, non absurde canem jugulant, quia lupis inimicus est: nisi sane hoc animal, quod interpellet in discurrendo Lupercos, ita punitur.

XXII. Fama est Romulum etiam ignem primum consecrasse, virginesque legisse quas Vestales vocant. (2) Alii hoc quidem tribuunt Numæ: alioqui tamen Romulum fuisse tradunt eximie religiosum, præterea augurandi peritum, atque eam ob scientiam lituum gestasse. (3) Est lituus baculum incurvum, quo qui auspicantur, regiones cœli definiunt. Hunc in Palatio ferunt servari solitum, sed capta a Gallis urbe perditum; mox, ejectis illis, inter cetera incensa omnia et corrupta, multo obrutum cinere inventum fuisse, ab igne intactum. (4) Leges quoque Romulus nonnullas tulit, ex quibus illa dura est, quæ mulieri non permittit discedere a marito, permittit autem marito illam repudiare, vel veneficio sublatis liberis, vel subditis clavibus, vel adulterio admisso. (5) Sin alia de causa domo exegerit eam, partem mariti bonorum attribuit mulieri, partem Cereri consecrari jussit. Qui repudiasset uxorem suam, deos manes placaret. (6) Singulare est autem quod pœnam in eos, qui parentes necaverunt, nullam sanxerit, sed homicidium quodvis parricidii designaverit nomine, tanquam hoc nefario facinore, illo inaudito. (7) Ac per multa sane secula visus est merito id scelus censuisse non exstiturum: nam annis prope integris sexcentis nemo Romæ se isti facinori obligavit: sed post bellum cum Hannibale Lucius Hostius primus patrem interemisse fertur. Hactenus de illis satis.

XXIII. Anno quinto postquam Tatius regnavit, familiares quidam et propinqui ejus Laurentum legatos, in quos proficiscentes Romam inciderant in itinere, vi spoliare sunt aggressi; quos repugnantes et defendentes obtruncaverunt. (2) Romulus facinore perpetrato tam atroci, confestim supplicio afficiendos censebat auctores: Tatius rem rejiciebat ac dissimulabat. (3) Atque hinc solum aperta est inter eos dissensio exorta, quum alioqui summa moderatione et concordia regnum administrarent communiter. (4) Cæsorum

πάσης ἐξειργόμενοι δίκης νομίμου διὰ τὸν Τάτιον ἀποκτιννύουσιν αὐτὸν ἐν Λαβινίῳ θύοντα μετὰ Ῥωμύλου προσπεσόντες. Τὸν δὲ Ῥωμύλον ὡς δίκαιον ἄνδρα προὔπεμψαν εὐφημοῦντες. (5) Ὁ δὲ τὸ μὲν σῶμα τοῦ Τατίου κομίσας ἐντίμως ἔθαψε, καὶ κεῖται περὶ τὸ καλούμενον Ἀρμιλούστριον ἐν Ἀβεντίνῳ· τῆς δὲ δίκης τοῦ φόνου παντάπασιν ἠμέλησεν. (6) Ἔνιοι δὲ τῶν συγγραφέων ἱστοροῦσιν τὴν μὲν πόλιν τῶν Λαυρεντίων φοβηθεῖσαν ἐκδιδόναι τοὺς αὐτόχειρας Τατίου, τὸν δὲ Ῥωμύλον ἀφεῖναι φήσαντα φόνον φόνῳ λελύσθαι. (7) Τοῦτο δὲ λόγον μέν τινα παρέσχε καὶ ὑποψίαν ὡς ἀσμένῳ γέγονεν αὐτῷ τὸ τοῦ συνάρχοντος ἀπαλλαγῆναι, τῶν δὲ πραγμάτων οὐδὲν διετάραξεν οὐδὲ διεστασίασε τοὺς Σαβίνους· (8) ἀλλ' οἱ μὲν εὐνοίᾳ τῇ πρὸς αὐτὸν, οἱ δὲ φόβῳ τῆς δυνάμεως, οἱ δ' ὡς θεῷ χρώμενοι εἰς πᾶσαν εὔνοιαν θαυμάζοντες διετέλουν. (9) Ἐθαύμαζον δὲ πολλοὶ καὶ τῶν ἐκτὸς ἀνθρώπων τὸν Ῥωμύλον· οἱ δὲ προγενέστεροι Λατῖνοι πέμψαντες αὐτῷ φιλίαν ἐποιήσαντο καὶ συμμαχίαν. (10) Φιδήνας δὲ εἷλεν, ἀστυγείτονα τῆς Ῥώμης πόλιν, ὡς μὲν ἔνιοι φασὶν, ἐξαίφνης τοὺς ἱππέας πέμψας καὶ κελεύσας ὑποτεμεῖν τῶν πυλῶν τοὺς στρόφιγγας, εἶτα ἐπιφανεὶς αὐτὸς ἀπροσδοκήτως· (11) ἕτεροι δὲ λέγουσι προτέρους ἐκείνους ἐμβαλόντας ἐλάσασθαί τε λείαν καὶ καθυβρίσαι πολλὰ τὴν χώραν καὶ τὸ προάστειον· ἐνέδρας δὲ τὸν Ῥωμύλον θέμενον αὐτοῖς καὶ διαφθείραντα πολλοὺς λαβεῖν τὴν πόλιν. (12) Οὐ μὴν ἀνεῖλεν οὐδὲ κατέσκαψεν, ἀλλὰ Ῥωμαίων ἐποίησεν ἀποικίαν δισχιλίους καὶ πεντακοσίους ἀποστείλας οἰκήτορας εἰδοῖς Ἀπριλλίαις.

XXIV. Ἐκ τούτου λοιμὸς ἐμπίπτει θανάτους μὲν αἰφνιδίους ἀνθρώποις ἄνευ νόσων ἐπιφέρων, ἀπτόμενος δὲ καὶ καρπῶν ἀφορίας καὶ θρεμμάτων ἀγονίας. (2) Ὑσθη δὲ καὶ σταγόσιν αἵματος ἡ πόλις, ὥστε πολλὴν προσγενέσθαι τοῖς ἀναγκαίοις πάθεσι δεισιδαιμονίαν. (3) Ἐπεὶ δὲ καὶ τοῖς τὸ Λαυρεντὸν οἰκοῦσιν ὅμοια συνέβαινεν, ἤδη παντάπασιν ἐδόκει τῶν ἐπὶ Τατίῳ συγκεχυμένων δικαίων ἐπί τε τοῖς πρέσβεσι φονευθεῖσι, μήνιμα δαιμόνιον ἀμφοτέρας ἐλαύνειν τὰς πόλεις. (4) Ἐκδοθέντων δὲ τῶν φονέων καὶ κολασθέντων παρ' ἀμφοτέροις ἐλώφησεν ἐπιδήλως τὰ δεινά· καὶ καθαρμοῖς ὁ Ῥωμύλος ἥγνισε τὰς πόλεις, οὓς ἔτι νῦν ἱστοροῦσιν ἐπὶ τῆς Φερεντίνης πύλης συντελεῖσθαι. (5) Πρὶν δὲ λῆξαι τὸν λοιμὸν ἐπέθεντο Καμέριοι Ῥωμαίοις * καὶ κατέδραμον τὴν χώραν ὡς ἀδυνάτων ἀμύνεσθαι διὰ τὸ πάθος. (6) Εὐθὺς οὖν ὁ Ῥωμύλος ἐστράτευσεν ἐπ' αὐτοὺς καὶ μάχῃ κρατήσας ἐξακισχιλίους ἀπέκτεινε· καὶ τὴν πόλιν ἑλὼν τοὺς μὲν ἡμίσεις τῶν περιγενομένων εἰς Ῥώμην ἐξῴκισε, τῶν δ' ὑπομενόντων διπλασίους ἐκ Ῥώμης κατῴκισεν εἰς τὴν Καμερίαν Σεξτιλίαις καλάνδαις. (7) Τοσοῦτον αὐτῷ περιῆν πολιτῶν ἑκκαίδεκα ἔτη σχεδὸν οἰκοῦντι τὴν Ῥώμην. (8) Ἐν δὲ τοῖς ἄλλοις λαφύροις καὶ χαλκοῦν ἑκόμισε τέθριππον ἐκ Καμερίας· τοῦτο δὲ ἀνέστησεν ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου ποιησάμενος ἑαυτὸν ὑπὸ Νίκης στεφανούμενον.

vero necessarii, quum pœnas justas per Tatium non consequerentur, sacrificantem cum Romulo Lavinii adorti interfecere: Romulum vero ut virum justum honorifice sunt cum favore prosequuti. (5) Ille corpus Tatii magno honore Romam delatum sepelivit in Aventino ad Armilustrium; cædis ultionem tamen plane neglexit persequi. (6) Sunt qui scribant metu perculsos Laurentes Tatii percussores tradidisse, sed Romulum, cæde pensatam cædem præfatum, eos noxa solvisse. (7) Ideo sermonibus jactitatum et creditum est, ut a regni socio liberaretur, accidisse id eo non invito. Verum nihil hinc tumultus, nihil seditionis ortum ab Sabinis est: (8) sed partim favore in illum, partim metu potentiæ, alii quod eum quasi deum in omni beneficiorum genere experiebantur, perpetuo colebant. (9) Multæ etiam exteræ nationes suspiciebant Romulum: ac prisci Latini missis legatis amicitiam cum eo et societatem junxere. (10) Fidenas cepit, vicinam Romæ urbem, ut quidam auctores sunt, ex improviso immisso equitatu; quibus in mandatis dederit, ut cardines exscinderent portarum; mox ipsum oppressisse necopinantes. (11) Alii tradunt, quum cœpissent illi invadere fines Romanos, populabundique agrum et suburbium fœde vastassent, insidiis Romulum circumventos plurimos occidisse, atque urbe eorum potitum esse. (12) Non excidit eam tamen, neque solo æquavit, sed coloniam Romanam ad eam incolendam, bis mille quingentos cives, idibus Aprilibus illuc deduxit.

XXIV. Inde pestilentia ingruit, mortes subitas inferens sine morbis, etiam frugum pecudumque magnam sterilitatem inducens. (2) Sanguine quoque pluit in urbe: unde præter fatales calamitates incessit gravis superstitio. (3) Enimvero ubi eadem Laurentes infestarunt, tum pro certo jam habitum, ob necem tam Tatii quam legatorum jure non vindicatam, ultionem divinam utramque persequi civitatem. (4) Deditis post ea homicidis et supplicio utrinque affectis perspicue malum est mitigatum; lustravitque Romulus urbes expiationibus, quas hodie quoque tradunt ad portam Ferentinam celebrari. (5) Ceterum pestilentia etiamnum grassante, Camerii fecerunt in fines Romanos incursionem, quasi peste Romanis ad vim propulsandam impeditis. (6) At Romulus statim infesto exercitu movit, ac prœlio iis fusis, occidit sex millia, expugnatoque eorum oppido, dimidium ejus quod bellum reliquum fecerat, Romam habitatum traduxit; Cameriam autem colonos Romanos bis totidem, quam ibi relicti fuerant, Kalendis Sextilibus scripsit. (7) Tantum illi sedecim prope annis a condita urbe supererat civium. (8) Inter ceteram prædam Cameria æneas quadrigas adduxit quas in templo Vulcani dedicavit, et suam statuam a Victoria coronatam imposuit.

XXV. Οὕτω δὲ ῥωννυμένοις τοῖς πράγμασιν οἱ μὲν ἀσθενέστεροι τῶν προσοίκων ὑπεδύοντο καὶ τυγχάνοντες ἀδείας ἠγάπων· οἱ δὲ δυνατοὶ δεδιότες καὶ φθονοῦντες οὐκ ᾤοντο δεῖν περιορᾶν, ἀλλ' ἐνίστασθαι τῇ αὐξήσει καὶ κολούειν τὸν Ῥωμύλον. (2) Πρῶτοι δὲ Τυῤῥηνῶν Οὐήϊοι χώραν κεκτημένοι πολλὴν καὶ μεγάλην πόλιν οἰκοῦντες ἀρχὴν ἐποιήσαντο πολέμου Φιδήνας ἀπαιτεῖν ὡς προσήκουσαν αὐτοῖς. (3) Τὸ δὲ οὐκ ἄδικον ἦν μόνον, ἀλλὰ καὶ γελοῖον, ὅτι κινδυνεύουσι τότε καὶ πολεμουμένοις οὐ προσαμύναντας, ἀλλ' ἐάσαντες ἀπολέσθαι τοὺς ἄνδρας οἰκίας καὶ γῆν ἀπαιτοῖεν ἄλλων ἐχόντων. (4) Καθυβρισθέντες οὖν ὑπὸ τοῦ Ῥωμύλου ἐν ταῖς ἀποκρίσεσι δίχα διεῖλον ἑαυτοὺς καὶ τῷ μὲν ἐπέκειντο τῷ Φιδηνῶν στρατεύματι, τῷ δὲ πρὸς Ῥωμύλον ἀπήντων. (5) Πρὸς μὲν οὖν Φιδήναις δισχιλίους Ῥωμαίων κρατήσαντες ἀπέκτειναν· ὑπὸ Ῥωμύλου δὲ νικηθέντες ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον. (6) Αὖθις δὲ περὶ Φιδήνην ἐμαχέσαντο καὶ τὸ μὲν πλεῖστον ἔργον αὐτοῦ Ῥωμύλου γενέσθαι, τέχνην τε μετὰ τόλμης πᾶσαν ἐπιδειξαμένου, ῥώμῃ τε καὶ ποδωκείᾳ πολὺ δόξαντος ἀνθρωπίνης κρείττονι κεχρῆσθαι, πάντες ὁμολογοῦσι· (7) τὸ δ' ὑπ' ἐνίων λεγόμενον κομιδῇ μυθῶδές ἐστι, μᾶλλον δὲ ὅλως ἄπιστον, ὅτι μυρίων καὶ τετρακισχιλίων πεσόντων ὑπὲρ ἡμίσεις ἦσαν, οὓς αὐτὸς ἰδίᾳ χειρὶ Ῥωμύλος ἔκτεινεν· ὅπου καὶ Μεσσήνιοι κόμπῳ χρήσασθαι δοκοῦσι περὶ Ἀριστομένους λέγοντες, ὡς τρὶς ἑκατομφόνια θύσειεν ἀπὸ Λακεδαιμονίων. (8) Γενομένης δὲ τῆς τροπῆς ἀφελὶς φεύγειν τοὺς περιόντας ὁ Ῥωμύλος ἐπ' αὐτὴν ἐχώρει τὴν πόλιν· οἱ δ' οὐκ ἠνέσχοντο μεγάλης συμφορᾶς γενομένης, ἀλλὰ δεηθέντες ὁμολογίαν ἐποιήσαντο καὶ φιλίαν εἰς ἔτη ἑκατὸν χώραν τε πολλὴν προέμενοι τῆς ἑαυτῶν, ἣν Σεπτεμπάγιον καλοῦσιν, ὅπερ ἐστὶν ἑπταμόριον, καὶ τῶν παρὰ τὸν ποταμὸν ἑκστάντες ἁλοπηγίων καὶ πεντήκοντα τῶν ἀρίστων δμήρους ἐγχειρίσαντες. (9) Ἐθριάμβευσε δὲ καὶ ἀπὸ τούτων εἰδοῖς Ὀκτωβρίαις ἄλλους τε πολλοὺς αἰχμαλώτους ἔχων καὶ τὸν ἡγεμόνα τῶν Οὐηΐων ἄνδρα πρεσβύτην ἀφρόνως δόξαντα καὶ παρ' ἡλικίαν ἀπείρως τοῖς πράγμασι κεχρῆσθαι. (10) Διὸ καὶ νῦν ἔτι θύοντες ἐπινίκια γέροντα μὲν ἄγουσι δι' ἀγορᾶς εἰς Καπιτώλιον ἐν περιπορφύρῳ βούλλαν αὐτῷ παιδικὴν ἄψαντες· κηρύττει δ' ὁ κῆρυξ Σαρδιανοὺς ὠνίους. Τυῤῥηνοὶ γὰρ ἄποικοι Σαρδιανῶν λέγονται· Τυῤῥηνικὴ δὲ πόλις οἱ Οὐήϊοι.

XXVI. Τοῦτον ἔσχατον πόλεμον ὁ Ῥωμύλος ἐπολέμησεν. Εἶθ', ὃ πολλοί, μᾶλλον δὲ πλὴν ὀλίγων πάσχουσι πάντες οἱ μεγάλαις καὶ παραλόγοις ἀρθέντες εὐτυχίαις εἰς δύναμιν καὶ ὄγκον, οὐδ' αὐτὸς διέφυγε παθεῖν, ἀλλ' ἐκτεθαῤῥηκὼς τοῖς πράγμασι καὶ βαρυτέρῳ φρονήματι χρώμενος, ἐξίστατο τοῦ δημοτικοῦ, καὶ παρήλλαττεν εἰς μοναρχίαν ἐπαχθῆ καὶ λυποῦσαν ἀπὸ τοῦ σχήματος πρῶτον, ᾧ κατεσχημάτιζεν ἑαυτόν. (2) * Ἀλουργῆ μὲν γὰρ ἐνεδύετο χιτῶνα καὶ τήβεννον ἐφόρει περιπόρφυρον· ἐν θρόνῳ δ' ἀνακλίτῳ καθήμενος ἐχρημάτιζεν. (3) Ἦσαν δὲ περὶ αὐτὸν ἀεὶ τῶν νέων οἱ

XXV. Ita convalescente Romana re, imbecilliores accolæ observabant Romanos, contenti ea qua fruebantur securitate : validiores vero partim metu, partim invidia non negligendum, sed occurrendum ducebant incremento eorum Romulumque reprimendum. (2) Veientes igitur, qui latum agrum possidebant et amplam colebant urbem inter Etruscos, bellum facere occupant Fidenis repetendis, quas asserebant pro suis. (3) Id vero non modo iniquum, sed erat ridiculum etiam ; qui laborantibus et bello pressis auxilium non tulissent, sed opprimi sivissent hommes, ut tecta nunc et agrum ab aliis reposcerent dominis. (4) Itaque a Romulo cum contumelioso responso dimissi, bipertito exercitu hinc adorti sunt Fidenatium copias, illinc Romulo occurrerunt. (5) Apud Fidenas victores interemerunt duo millia civium Romanorum : ab Romulo fusi amplius octo millia desiderave re. (6) Deinde iterum ad Fidenas conflixerunt, ubi victoriam Romuli præcipue virtute partam esse, cujus consilium cum pari audacia maximum eluxit, roburque et pernicitas plus quam humana, omnes fatentur. (7) Quod autem narrant nonnulli, sanequam est fabulosum, atque adeo a fide abhorrens prorsus, quatuordecim millium cæsorum suamet manu amplius dimidium interfecisse Romulum. Quandoquidem simile commentum jactant de Aristomene Messenii, ter centum victimas eum mactasse a Lacedæmoniis. (8) Versa acie, superstites qui fugiebant non persecutus Romulus infestum exercitum urbi eorum admovit. Illi ubi tanta fracti calamitate fuerunt, ad preces conversi, fœdus et amicitiam in centum annos pepigere, dimittentes agri sui portionem magnam, quam Septempagium, id est, septimam portionem, vocant, et quæ juxta fluvium scaturiebant salinas : præterea obsides tradiderunt ex primoribus quinquaginta. (9) Ob hanc quoque victoriam triumphavit idibus Octobribus. Duxit in eo triumpho quum alios multos captivos, tum Veientium ducem jam senem, qui imprudenter visus est et præter ætatem imperite res gessisse. (10) Unde mansit, quum ob partam victoriam sacrificant, ut senem per forum ad Capitolium traducant prætextatum, cui bullam puerilem appendunt, et proclamat præco, Sardianos venales : nam Sardianorum fama est Etruscos colonos esse ; sunt autem Veii urbs Etruriæ.

XXVI. Hoc novissimum, quod gessit Romulus, bellum fuit. Inde id, quod multi, adeoque præter pauca exempla fecerunt omnes, qui magno et mirabili fortunæ successu ad amplas evecti sunt opes et fastigium, nec ille declinavit : verum rebus gestis elatus animoque insolescens, deseruit comitatem illam popularem, quam odioso commutavit dominatu, qui ex habitu etiam, quo ornavit se, pupugit cives. (2) Siquidem tunica vestiebatur purpurea ac toga prætexta : responsa dabat ex solio reclivi. (3) Stipabat eum perpe-

καλούμενοι Κέλερες ἀπὸ τῆς περὶ τὰς ὑπουργίας ὀξύτητος. (4) Ἐβάδιζον δὲ πρόσθεν ἕτεροι βακτηρίαις ἀνείργοντες τὸν ὄχλον, ὑπεζωσμένοι δὲ ἱμάντας, ὥστε συνδεῖν εὐθὺς οὓς προστάξειε. Τὸ δὲ δῆσαι Λατῖνοι πάλαι μὲν λιγᾶρε, νῦν δὲ ἀλλιγᾶρε καλοῦσιν· ὅθεν οἵ τε ῥαβδοῦχοι λικτώρεις αἵ τε ῥάβδοι βάκυλα καλοῦνται, διὰ τὸ χρῆσθαι τότε βακτηρίαις. (5) Εἰκὸς δὲ λικτώρεις ἐντιθεμένου τοῦ κάππα νῦν ὀνομάζεσθαι, πρότερον δὲ λιτώρεις, Ἑλληνιστὶ δὲ λειτουργούς· λήϊτον γὰρ τὸ δημόσιον ἔτι νῦν Ἕλληνες καὶ λαὸν τὸ πλῆθος ὀνομάζουσιν.

XXVII. Ἐπεὶ δὲ τοῦ πάππου Νομήτορος ἐν Ἄλβῃ τελευτήσαντος, αὐτῷ βασιλεύειν προσῆκον, εἰς μέσον ἔθηκε τὴν πολιτείαν δημαγωγῶν καὶ κατ' ἐνιαυτὸν ἀπεδείκνυεν ἄρχοντα τοῖς Ἀλβανοῖς, ἐδίδαξε καὶ τοὺς ἐν Ῥώμῃ δυνατοὺς ἀβασίλευτον ζητεῖν καὶ αὐτόνομον πολιτείαν, ἀρχομένους ἐν μέρει καὶ ἄρχοντας. (2) Οὐδὲ γὰρ οἱ καλούμενοι πατρίκιοι πραγμάτων μετεῖχον, ἀλλ' ὄνομα καὶ σχῆμα περιῆν ἔντιμον αὐτοῖς, ἔθους ἕνεκα μᾶλλον ἢ γνώμης ἀθροιζομένοις εἰς τὸ βουλευτήριον. (3) Εἶτα σιγῇ προστάττοντος ἠκροῶντο· καὶ τῷ πρότεροι τὸ πεπραγμένον ἐκείνου πυθέσθαι τῶν πολλῶν πλέον ἔχοντες, ἀπηλλάττοντο. (4) Καὶ τἆλλα μὲν ἦν ἐλάττονα, τῆς δὲ γῆς τὴν δορίκτητον αὐτὸς ἀφ' ἑαυτοῦ δασάμενος τοῖς στρατιώταις, καὶ τοὺς ὁμήρους τοῖς Οὐηΐοις ἀποδοὺς, οὔτε πεισθέντων οὔτε βουλομένων ἐκείνων, ἔδοξε κομιδῇ τὴν γερουσίαν προπηλακίζειν. (5) Ὅθεν εἰς ὑποψίαν καὶ διαβολὴν ἐνέπεσε, παραλόγως ἀφανισθέντος αὐτοῦ μετ' ὀλίγον χρόνον. (6) Ἠφανίσθη δὲ νώναις Ἰουλίαις, ὡς νῦν ὀνομάζουσιν, ὡς δὲ τότε, Κυντιλίαις· οὐδὲν εἰπεῖν βέβαιον οὐδὲ ὁμολογούμενον πυθέσθαι περὶ τῆς τελευτῆς ἀπολιπὼν, ἀλλ' ἢ τὸν χρόνον, ὡς προείρηται. (7) Δρᾶται γὰρ ἔτι νῦν ὅμοια τῷ τότε πάθει πολλὰ κατὰ τὴν ἡμέραν ἐκείνην. (8) Οὐ δεῖ δὲ θαυμάζειν τὴν ἀσάφειαν, ὅπου καὶ Σκηπίωνος Ἀφρικανοῦ μετὰ δεῖπνον οἴκοι τελευτήσαντος οὐκ ἔσχε πίστιν οὐδ' ἔλεγχον ὁ τρόπος τῆς τελευτῆς· ἀλλ' οἱ μὲν αὐτομάτως ὄντα φύσει νοσώδη καμεῖν λέγουσιν, οἱ δ' αὐτὸν ὑφ' ἑαυτοῦ φαρμάκοις ἀποθανεῖν, οἱ δὲ τοὺς ἐχθροὺς τὴν ἀναπνοὴν ἀπολαβεῖν αὐτοῦ νύκτωρ παρεισπεσόντας. (9) Καίτοι Σκηπίων ἔκειτο νεκρὸς ἐμφανὴς ἰδεῖν πᾶσι καὶ τὸ σῶμα παρεῖχε πᾶσιν ὁρώμενον ὑποψίαν τινὰ τοῦ πάθους καὶ κατανόησιν· Ῥωμύλου δὲ ἄφνω μεταλλάξαντος οὔτε μέρος ὤφθη σώματος οὔτε λείψανον ἐσθῆτος. (10) Ἀλλ' οἱ μὲν εἴκαζον ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου τοὺς βουλευτὰς ἐπαναστάντας αὐτῷ καὶ διαφθείραντας, νείμαντας τὸ σῶμα καὶ μέρος ἕκαστον ἐνθέμενον εἰς τὸν κόλπον ἐξενεγκεῖν· (11) ἕτεροι δ' οἴονται μήτε ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου μήτε μόνων τῶν βουλευτῶν παρόντων γενέσθαι τὸν ἀφανισμὸν, ἀλλὰ τυχεῖν μὲν ἔξω περὶ τὸ καλούμενον αἰγὸς ἢ ζορκὸς ἕλος ἐκκλησίαν ἄγοντα τὸν Ῥωμύλον, ἄφνω δὲ θαυμαστὰ καὶ κρείττονα λόγου περὶ τὸν ἀέρα πάθη γενέσθαι καὶ μεταβολὰς ἀπίστους. (12) Τοῦ μὲν

tuo globus juvenum, qui a ministerii velocitate dicti sunt Celeres. (4) Præcedebant alii, qui baculis turbam summovebant, loris item succincti, ut illico vincirent eos, quos ille juberet : unde Lictores dicti, a ligando, quod hodie potius dicunt alligare ; et virgæ, quas gestabant, dicebantur baculi, quia illis tum pro scipionibus utebantur. (5) Potuit etiam vox Lictores, interposita nunc litera c dici, quum olim Litores dicerentur, quasi λειτουργοί, id est, ministri publici : nam λήϊτον vocant etiam hodie Græci, quod populi est, et λαὸν, plebem.

XXVII. At quum avo Albæ defuncto Numitore, licet regnum ad ipsum pertineret, rempublicam in populi gratiam jussisset liberam esse, ac magistratum supremum Albanis quotannis crearet : docuit eadem opera Romanos quoque primores rempublicam quærere quæ sine rege et sui juris esset, et in qua vicissim imperarent parerentque. (2) Neque enim adhibebantur ad rempublicam gerendam patricii, sed nomen modo et speciem habebant honorificam ; ac de more potius, quam sententiæ dicendæ causa, cogebantur in senatum : (3) ubi jubenti auscultabant silentio, neque ulla re alia prælati vulgo, quam quod illius acta audirent priores, discedebant. (4) Ac cetera quidem minus curabant : quum vero captum de hostibus agrum militibus divisit solus, Veientibusque obsides reddidit, patribus non probantibus neque auctoribus, tum profecto insigni contumelia visus est afficere senatum. (5) Quamobrem quum non multo post ille de improviso sublatus esset e conspectu, senatus in suspicionem incidit et calumniam. (6) Excessit rebus humanis nonis Juliis, ut nunc appellant, tunc Quintilibus, nihil dictu certum et constans de obitu suo præter tempus, ut modo diximus, relinquens. (7) Eo enim die multa, hac quoque memoria, celebrantur in illius commemorationem casus. (8) Neque vero hæc miranda esse debet obscuritas ; quum Scipionis etiam Africani, qui a cœna domi exstinctus est, ratio mortis neque certa fuerit, neque explorata ; sed quidam, quum esset natura valetudinarius, sine ulla externa vi referant eum obiisse mortem, alii veneno mortem sibimet ipsum obtulisse, alii irruptione in domum noctu facta inimicos spiritum ejus interclusisse. (9) Et quidem Scipionis Africani corpus oculis erat omnium expositum, præbuitque aspicientibus facti suspicionem et sensum : Romuli vero, quum subito decessisset, vestigium nullum corporis comparuit, nec vestium reliquiæ. (10) Unde suspicio fuit aliquorum, in templo Vulcani senatores illi manus attulisse, dissectoque interfecti corpore partem quemque in sinu extulisse. (11) Aliorum opinio est, neque in Vulcani templo, neque patribus tantum præsentibus fuisse ablatum, sed quum extra urbem forte Romulus concionem ad Capræ paludem haberet, stupendam subito coortam et atrocem tempestatem, cœlique miram conversionem ; (12) solis obscu-

γὰρ ἡλίου τὸ φῶς ἐπιλιπεῖν, νύκτα δὲ κατασχεῖν οὐ πραεῖαν οὐδὲ ἥσυχον, ἀλλὰ βροντάς τε δεινὰς καὶ πνοὰς ἀνέμων ζάλην ἐλαυνόντων πανταχόθεν ἔχουσαν. (13) Ἐν δὲ τούτῳ τὸν μὲν πολὺν ὄχλον σκεδασθέντα φυγεῖν, τοὺς δὲ δυνατοὺς συστραφῆναι μετ' ἀλλήλων. (14) Ἐπεὶ δ' ἔληξεν ἡ ταραχὴ καὶ τὸ φῶς ἐξέλαμψε καὶ τῶν πολλῶν εἰς ταὐτὸ πάλιν συνερχομένων, ζήτησις ἦν τοῦ βασιλέως καὶ πόθος· οὐκ ἐᾶν δὲ τοὺς δυνατοὺς ἐξετάζειν οὐδὲ πολυπραγμονεῖν, ἀλλὰ τιμᾶν παρακελεύεσθαι πᾶσι καὶ σέβεσθαι Ῥωμύλον ὡς ἀνηρπασμένον εἰς θεοὺς* καὶ θεὸν εὐμενῆ γενησόμενον αὐτοῖς ἐκ χρηστοῦ βασιλέως. (15) Τοὺς μὲν οὖν πολλοὺς ταῦτα πειθομένους καὶ χαίροντας ἀπαλλάττεσθαι, μετ' ἐλπίδων ἀγαθῶν προσκυνοῦντας· εἶναι δέ τινας, οἳ τὸ πρᾶγμα πικρῶς καὶ δυσμενῶς ἐξελέγχοντες ἐτάραττον τοὺς πατρικίους καὶ διέβαλλον ὡς ἀβέλτερα τὸν δῆμον ἀναπείθοντας, αὐτοὺς δὲ τοῦ βασιλέως αὐτόχειρας ὄντας.

XXVIII. Οὕτως οὖν ἄνδρα τῶν πατρικίων γένει πρῶτον ἤθει τε δοκιμώτατον αὐτῷ τε Ῥωμύλῳ πιστὸν καὶ συνήθη τῶν ἀπ' Ἄλβης ἐποίκων, Ἰούλιον Πρόκλον, εἰς ἀγορὰν προελθόντα καὶ τῶν ἀγιωτάτων ἔνορκον ἱερῶν ἅψάμενον εἰπεῖν ἐν πᾶσιν, (2) ὡς ὁδὸν αὐτῷ βαδίζοντι Ῥωμύλος ἐξ ἐναντίας προσιὼν φανείη καλὸς μὲν ὀφθῆναι καὶ μέγας, ὡς οὔποτε πρόσθεν, ὅπλοις δὲ λαμπροῖς καὶ φλέγουσι κεκοσμημένος. (3) Αὐτὸς μὲν οὖν ἐκπλαγεὶς πρὸς τὴν ὄψιν, « Ὦ βασιλεῦ, φάναι, τί δὴ παθὼν ἢ διανοηθεὶς ἡμᾶς μὲν ἐν αἰτίαις ἀδίκοις καὶ πονηραῖς, πᾶσαν δὲ τὴν πόλιν ὀρφανὴν ἐν μυρίῳ πένθει προλέλοιπας; » (4) ἐκεῖνον δὲ ἀποκρίνασθαι· « Θεοῖς ἔδοξεν, ὦ Πρόκλε, τοσοῦτον ἡμᾶς γενέσθαι μετ' ἀνθρώπων χρόνον ἐκεῖθεν ὄντας καὶ πόλιν ἐπ' ἀρχῇ καὶ δόξῃ μεγίστῃ κτίσαντας αὖθις οἰκεῖν οὐρανόν. (5) Ἀλλὰ χαῖρε καὶ φράζε Ῥωμαίοις, ὅτι σωφροσύνην μετ' ἀνδρείας ἀσκοῦντες ἐπὶ πλεῖστον ἀνθρωπίνης ἀφίξονται δυνάμεως. Ἐγὼ δ' ὑμῖν εὐμενὴς ἔσομαι δαίμων Κυρῖνος. » (6) Ταῦτα πιστὰ μὲν εἶναι τοῖς Ῥωμαίοις ἐδόκει διὰ τὸν τρόπον τοῦ λέγοντος καὶ τὸν ὅρκον· οὐ μὴν ἀλλὰ καὶ δαιμόνιόν τι συνεφάψασθαι πάθος ὅμοιον ἐνθουσιασμῷ· μηδένα γὰρ ἀντειπεῖν, ἀλλὰ πᾶσαν ὑπόνοιαν καὶ διαβολὴν ἀφέντας εὔχεσθαι Κυρίνῳ καὶ θεοκλυτεῖν ἐκεῖνον. (7) Ἔοικε μὲν οὖν ταῦτα τοῖς ὑφ' Ἑλλήνων περί τε Ἀριστέου τοῦ Προκοννησίου καὶ Κλεομήδους τοῦ Ἀστυπαλαιέως μυθολογουμένοις. (8) Ἀριστέαν μὲν γὰρ ἔν τινι κναφείῳ τελευτῆσαι φασὶ καὶ τὸ σῶμα μετιόντων αὐτοῦ τῶν φίλων ἀφανὲς οἴχεσθαι· λέγειν δέ τινας εὐθὺς ἐξ ἀποδημίας ἥκοντας ἐντυχεῖν Ἀριστέᾳ τὴν ἐπὶ Κρότωνος πορευομένῳ. (9) Κλεομήδη δὲ ῥώμῃ καὶ μεγέθει σώματος ὑπερφυᾶ γενόμενον ἔμπληκτόν τε τῷ τρόπῳ καὶ μανικὸν ὄντα πολλὰ δρᾶν βίαια καὶ τέλος ἔν τινι διδασκαλείῳ παίδων τὸν ὑπερείδοντα τὴν ὀροφὴν κίονα πατάξαντα τῇ χειρὶ κλάσαι μέσον, καὶ τὴν στέγην καταβαλεῖν. (10) Ἀπολουμένων δὲ τῶν παίδων διωκόμενον εἰς κιβωτὸν καταφυγεῖν μεγάλην καὶ τὸ πῶμα κατακλείσαντα συνέχειν ἐντὸς,

ratam lucem; noctem ingruisse non placidam neque quietam, sed cum vehementibus tonitribus, ventoque et procella undique incumbente. (13) Ibi multitudinem effusam fugisse, primores se collegisse in globum. (14) Tandem ut ex tam turbido cœlo lux rediit, et plebe in concionem reversa, rex requisitus et desideratus est; non permisisse tamen principes, de eo ut inquirerent curiosius, sed ut omnes colerent Romulum imperasse venerarenturque, tanquam ad superos raptum et qui ex bono rege futurus esset ipsis deus propitius. (15) Vulgus igitur, eo audito, perfusum gaudio et bona cum spe adorans, domum se recepisse : fuisse tamen nonnullos, qui factum in disquisitionem vocarent acerbe et invidiose, patriciosque percellerent et infamia aspergerent, quasi ridicula illi populo persuaderent, quum regem sustulissent ipsi.

XXVIII. Inter hæc memorant virum inter patricios nobilissimum et sanctissimum, Romuloque fidum ac familiarem, ex iis, qui Alba cum eo commigraverant Romam, progressum in forum, Julium Proculum, et tactis sacris sanctissimis, in concione juratum dixisse, (2) Romulum iter facienti sibi augusta specie et adeo magna, ut nunquam ante, armis autem fulgentibus et coruscantibus ornatum, obvium se dedisse : (3) ad eum aspectum horrore se perfusum, dixisse, Quo consilio, rex, quave de causa injustis nos et gravibus calumniis subjecisti, totamque civitatem in immenso destituisti luctu? (4) Respondisse illum, « Diis visum est, Procule, postquam tam diu inter mortales viximus, atque urbem ad summam spem condidimus imperii et gloriæ, ut inter cœlestes, ex quibus eramus, iterum reciperemur. (5) Vale itaque, et nuntia Romanis, ut temperantiam et rem militarem colant, iis artibus ad summam inter mortales potentiam evasuri. Ego vobis propitius deus adero Quirinus. » (6) Hæc nuntianti propter vitæ innocentiam et jusjurandum apud Romanos fides fuit. At enim simul divinum quendam quasi furorem animos vulgi ferunt corripuisse; quippe neminem dixisse contra, sed suspicione deposita omni et calumniis, pacem Quirini precibus expoposcisse, deumque eum consalutavisse. (7) Germana hæc profecto fabulis videntur apud Græcos de Aristea Proconnesio, et Cleomede Astypalensi. (8) Nam Aristeam in fullonis taberna vitam perhibent finiisse, corpusque ejus, quum necessarii adessent ad id auferendum, ex conspectu evasisse : ac quosdam, qui modo peregre veniebant, affirmasse Aristeæ se occurrisse Crotonem tendenti. (9) Cleomedem porro, quum robore et proceritate corporis immani esset, sed stolidus indole et insanus, multa vi perpetrasse : postremo in ludo literario columnam, quæ culmen ædium sustinebat, manu percussisse et fregisse mediam, itaque tectum proruisse. (10) Obtritis pueris quum cives hominem insectarentur, in arcam se magnam conjecisse, atque operculum conclusum intus ita

ὥστε ἀποσπάσαι μὴ δύνασθαι πολλοὺς ὁμοῦ βιαζομένους· κατασχίσαντας δὲ τὴν κιβωτὸν οὔτε ζῶντα τὸν ἄνθρωπον εὑρεῖν οὔτε νεκρόν. (11) Ἐκπλαγέντας οὖν ἀποστεῖλαι θεοπρόπους εἰς Δελφοὺς, οἷς τὴν Πυθίαν εἰπεῖν·

Ἔσχατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς.

(12) Λέγεται δὲ καὶ τὸν Ἀλκμήνης ἐκκομιζομένης νεκρὸν ἄδηλον γενέσθαι· λίθον δὲ φανῆναι κείμενον ἐπὶ τῆς κλίνης. (13) Καὶ ὅλως πολλὰ τοιαῦτα μυθολογοῦσι παρὰ τὸ εἰκὸς ἐκθειάζοντες τὰ θνητὰ τῆς φύσεως ἅμα τοῖς θείοις. (14) Ἀπογνῶναι μὲν οὖν παντάπασι τὴν θειότητα τῆς ἀρετῆς ἀνόσιον καὶ ἀγεννές· οὐρανῷ δὲ μιγνύειν γῆν ἀβέλτερον. (15) Ἑατέον οὖν ἐχομένοις τῆς ἀσφαλείας κατὰ Πίνδαρον, ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γὰρ μόνον ἐστὶν ἐκ θεῶν. (16) Ἥκει γὰρ ἐκεῖθεν, ἐκεῖ δ' ἄνεισιν· οὐ μετὰ σώματος, ἀλλ' ἐὰν ὅτι μάλιστα σώματος ἀπαλλαγῇ καὶ διακριθῇ καὶ γένηται καθαρὸν παντάπασι * καὶ ἄσαρκον καὶ ἀγνόν. (17) Αὕτη γὰρ ψυχὴ ξηρὰ ἀρίστη καθ' Ἡράκλειτον, ὥσπερ ἀστραπὴ νέφους διαπταμένη τοῦ σώματος· ἡ δὲ σώμστι πεφυρμένη καὶ περίπλεως σώματος, οἷον ἀναθυμίασις ἐμβριθὴς καὶ ὁμιχλώδης, δυσέξαπτός ἐστι καὶ δυσανακόμιστος. (18) Οὐδὲν οὖν δεῖ τὰ σώματα τῶν ἀγαθῶν συναναπέμπειν παρὰ φύσιν εἰς οὐρανὸν, ἀλλὰ τὰς ἀρετὰς καὶ τὰς ψυχὰς παντάπασιν οἴεσθαι κατὰ φύσιν καὶ δίκην θείαν ἐκ μὲν ἀνθρώπων εἰς ἥρωας, ἐκ δ' ἡρώων εἰς δαίμονας, ἐκ δὲ δαιμόνων, ἂν τέλεον ὥσπερ ἐν τελετῇ καθαρθῶσι καὶ ὁσιωθῶσιν, ἅπαν ἀποφυγοῦσαι τὸ θνητὸν καὶ παθητικὸν οὐ νόμῳ πόλεως, ἀλλ' ἀληθείᾳ καὶ κατὰ τὸν εἰκότα λόγον εἰς θεοὺς ἀναφέρεσθαι, τὸ κάλλιστον καὶ μακαριώτατον τέλος ἀπολαβούσας.

XXIX. Τὴν δὲ γενομένην ἐπωνυμίαν τῷ Ῥωμύλῳ τὸν Κυρῖνον οἱ μὲν Ἐνυάλιον προσαγορεύουσιν· οἱ δὲ, ὅτι καὶ τοὺς πολίτας Κυρίτας ὠνόμαζον· (2) οἱ δὲ τὴν αἰχμὴν ἢ τὸ δόρυ τοὺς παλαιοὺς κῦριν ὀνομάζειν καὶ Κυρίτιδος Ἥρας ἄγαλμα καλεῖν ἐπ' αἰχμῆς ἱδρυμένον· ἐν δὲ τῇ Ῥηγίᾳ δόρυ καθιδρυμένον Ἄρεα προσαγορεύειν, καὶ δόρατι τοὺς ἐν πολέμοις ἀριστεύοντας γεραίρειν· ὡς οὖν ἀρήιόν τινα τὸν Ῥωμύλον, ἢ αἰχμητὴν θεὸν ὀνομασθῆναι Κυρῖνον. (3) Ἱερὸν μὲν οὖν αὐτοῦ ἐστι κατεσκευασμένον ἐν τῷ λόφῳ τῷ Κυρίνᾳ προσαγορευομένῳ δι' ἐκεῖνον. (4) Ἡ δ' ἡμέρα, ᾗ μετήλλαξεν, ὄχλου φυγὴ καλεῖται καὶ νῶναι Καπρατῖναι διὰ τὸ θύειν εἰς τὸ τῆς αἰγὸς ἕλος ἐκ πόλεως κατιόντας· τὴν γὰρ αἶγα κάπραν ὀνομάζουσιν. (5) Ἐξιόντες δὲ πρὸς τὴν θυσίαν πολλὰ τῶν ἐπιχωρίων ὀνομάτων φθέγγονται μετὰ βοῆς, οἷον Μάρκου, Λουκίου, Γαΐου, μιμούμενοι τὴν τότε τροπὴν καὶ ἀνάκλησιν ἀλλήλων μετὰ δέους καὶ ταραχῆς. (6) Ἔνιοι μέντοι τὸ μίμημα τοῦτο φασὶ μὴ φυγῆς, ἀλλ' ἐπείζεως εἶναι καὶ σπουδῆς εἰς αἰτίαν τοιαύτην ἀναφέροντες τὸν λόγον. (7) Ἐπεὶ Κελτοὶ τὴν Ῥώμην καταλαβόντες ἐξεκρούσθησαν ὑπὸ Καμίλλου καὶ δι' ἀσθένειαν ἡ πόλις οὐκέτι ῥᾳδίως ἑαυτὴν ἀνελάμβανεν,

retinuisse, ut revellere multi simul vi summa connixi non valerent. Post ubi arcam dissecuerunt, neque vivum invenisse, neque mortuum. (11) Attonitos ad consulendum Apollinem Delphos misisse, quibus respondisse vatem,

Ultimus heroum Cleomedes Astypalensis.

(12) Fama est Alcmenæ quoque corpus, quum efferretur, ex oculis subductum, et lapidem in lecto fuisse inventum. (13) Ceterum multa hujuscemodi fabulantur contra probabilitatem, ea quæ in natura sunt mortalia pariter ac divina superis et cœlestibus inserentes. (14) Nimirum virtuti prorsus adimere divinitatem nefas et illiberale; rursus miscere cœlo terram, stultum est. (15) Id igitur missum faciendum, veram et tutam sententiam sequentibus, Pindaricam illam, corpus omnium præpotenti morti obsequi, salvam vero superesse quandam æternitatis effigiem: hæc enim ex diis sola est: (16) inde ejus ortus, eodem est et reditus, non quidem comitante corpore, verum ubi plane a corpore secreta sit et sejuncta, evaseritque jam undequaque pura, carne exuta et sancta. (17) Aridus enim hic animus est, ut vult Heraclitus, præstantissimus, qui ex corpore, ut e nube fulgur, exsilit: commixtus vero corpori eique implicitus undique, velut vapor gravis nebulososque, ægre accenditur ægreque elevatur. (18) Non sunt ergo bonorum corpora contra legem naturæ una cum animo in cœlum mittenda; sed virtutes atque animas secundum naturæ leges et justitiam divinam ex hominibus inter heroas, ex heroibus inter dæmonas, ex dæmonibus, si penitus sicut in initiationibus lustratæ sint et purgatæ, omni deposita conditione mortali et mutabili, non publica civitatis lege, sed re ipsa et consentanea ratione in numerum deorum referri, pulcherrimum et beatissimum finem adeptas, credi oportet.

XXIX. At Quirinum dictum Romulum quidam quasi Martem putant: alii, quod cives Romani etiam Quirites dicerentur: (2) alii spiculum vel hastam veteres vocasse quirin dicunt, et Quiritidis Junonis signum adeo sic appellatum, quod spiculo impositum esset; atque in Regio collocatam hastam, Martem appellare; eosque, qui in bello strenuam operam navassent, donari solitos hasta. Ergo Romulum quasi Martialem, aut hastatum deum nomen invenisse Quirini. (3) Ædes ei in colle consecrata, quem ab illo nominant Quirinalem. (4) Dies, quo vita excessit, Plebis fuga vocatur, et Nonæ Capratinæ; quod sacra extra urbem ad Capræ paludem descendentes faciunt. (5) Quum ad sacrificium pergunt, nomina multa patria proclamant, ut Marcum, Lucium, Caium; illius temporis trepidationem et fugam referentes, quemadmodum mutuo se appellarint in metu illo et tumultu. (6) Aliqui hoc non esse fugæ simulacrum dicunt, sed festinationis et properantiæ, atque ex tali causa rem repetunt. (7) Quum urbe capta ejecti Galli a Camillo essent, neque se facile civitas ex accisis adeo

ἐστράτευσαν ἐπ' αὐτὴν πολλοὶ τῶν Λατίνων ἄρχοντα Λίβιον Ποστούμιον ἔχοντες. (8) Οὗτος δὲ καθίσας τὸν στρατὸν οὐ πρόσω τῆς Ῥώμης ἔπεμπε κήρυκα, βούλεσθαι λέγων τοὺς Λατίνους ἐκλιποῦσαν ἤδη τὴν παλαιὰν οἰκειότητα καὶ συγγένειαν ἐκζωπυρῆσαι, καιναῖς αὖθις ἀναχραθέντων ἐπιγαμίαις τῶν γενῶν. (9) Ἂν οὖν πέμψωσι παρθένους τε συχνὰς καὶ γυναικῶν τὰς ἀνάνδρους, εἰρήνην ἔσεσθαι καὶ φιλίαν αὐτοῖς, ὡς ὑπῆρξε πρότερον πρὸς Σαβίνους ἐκ τῶν ὁμοίων. (10) Ταῦτα ἀκούσαντες οἱ Ῥωμαῖοι τόν τε πόλεμον ἐφοβοῦντο καὶ τὴν παράδοσιν τῶν γυναικῶν οὐδὲν αἰχμαλωσίας ἐπιεικέστερον ἔχειν ἐνόμιζον. (11) Ἀποροῦσι δὲ αὐτοῖς θεράπαινα Φιλωτὶς, ὡς δ' ἔνιοι λέγουσι, Τουτόλα καλουμένη, συνεβούλευσε μηδέτερα ποιεῖν, ἀλλὰ χρησαμένους δόλῳ διαφυγεῖν ἅμα τὸν πόλεμον καὶ τὴν ἐξομήρευσιν. (12) Ἦν δ' ὁ δόλος αὐτήν τε τὴν Φιλωτίδα καὶ σὺν αὐτῇ θεραπαινίδας εὐπρεπεῖς κοσμήσαντας ὡς ἐλευθέρας ἀποστεῖλαι πρὸς τοὺς πολεμίους· εἶτα νύκτωρ τὴν Φιλωτίδα πυρσὸν ἆραι, τοὺς δὲ Ῥωμαίους ἐπελθεῖν μετὰ τῶν ὅπλων καὶ χρήσασθαι κοιμωμένοις τοῖς πολεμίοις. (13) Ταῦτα δ' ἐδρᾶτο πεισθέντων τῶν Λατίνων· καὶ τὸν πυρσὸν ἀνέσχεν ἡ Φιλωτὶς ἔκ τινος ἐρινεοῦ περισχοῦσα προκαλύμματι καὶ παραπετάσμασιν ὄπισθεν, ὥστε τοῖς πολεμίοις ἀόρατον εἶναι τὸ φῶς, τοῖς δὲ Ῥωμαίοις κατάδηλον. (14) Ὡς οὖν ἐπεῖδον, εὐθὺς ἐξῆισαν ἐπειγόμενοι καὶ διὰ τὴν ἔπειξιν ἀλλήλους περὶ τὰς πύλας ἀναχαλοῦντες πολλάκις. (15) Ἐμπεσόντες δὲ τοῖς πολεμίοις ἀπροσδοκήτως καὶ κρατήσαντες ἐπινίκιον ἄγουσι τὴν ἑορτήν. Καὶ Καπρατῖναι μὲν αἱ νῶναι καλοῦνται διὰ τὸν ἐρινεὸν καπρίφικον ὑπὸ Ῥωμαίων ὀνομαζόμενον· ἑστιῶσι δὲ τὰς γυναῖκας ἔξω συκῆς κλάδοις σκιαζομένας. (16) Αἱ δὲ θεραπαινίδες ἀγείρουσι περιοῦσαι καὶ παίζουσιν, * εἶτα πληγαῖς καὶ βολαῖς λίθων χρῶνται πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῖς Ῥωμαίοις παραγενόμεναι καὶ συναγωνισάμεναι μαχομένοις. (17) Ταῦτ' οὐ πολλοὶ προσίενται τῶν συγγραφέων· ἀλλὰ καὶ τὸ μεθ' ἡμέραν χρῆσθαι τῇ ἀνακλήσει τῶν ὀνομάτων καὶ τὸ πρὸς τὸ ἕλος τὸ τῆς αἰγὸς ἔρχεσθαι ἐπὶ θάλατταν βαδίζοντας ἔοικε τῷ προτέρῳ λόγῳ προστίθεσθαι μᾶλλον· εἰ μὴ νὴ Δία τῆς αὐτῆς ἡμέρας ἐν χρόνοις ἑτέροις ἀμφότερα τὰ πάθη συνέτυχε γενέσθαι. (18) Λέγεται δὲ Ῥωμύλος τέσσαρα μὲν ἔτη καὶ πεντήκοντα γεγονὼς, ὄγδοον δὲ βασιλεύων ἐκεῖνο καὶ τριακοστὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι.

viribus colligeret, multi nominis Latini, duce Livio Postumio, eam bello petiere. (8) Hic castra non procul Roma metatus, per caduceatorem significavit Latinos in animo habere exolescentem jam veterem necessitudinem et propinquitatem instaurare, utraque gente novis denuo conglutinata matrimoniis. (9) Si igitur bonum numerum mitterent virginum viduarumque, pacem et amicitiam habituros, uti paulo ante simili ex causa habuissent cum Sabinis. (10) His auditis Romani, etsi a bello abhorrerent, deditionem feminarum tamen nihilo ducebant captivitate leniorem. (11) Hæsitantibus illis ancilla Philotis, vel, ut nonnulli volunt, Tutola nomine, utrumque dissuasit : suggessit autem dolum, ut simul et bellum declinarent, nec darent obsides. (12) Ejus hoc fuit commentum, ut ipsam unaque præstantes forma ancillas ad hostes bene cultas mitterent pro ingenuis : inde si signum ipsa dedisset face, Romani adorirentur armati sopitos, et hostili more tractarent. (13) Ita actum est deceptis Latinis Facem Philotis extulit ex caprifico quadam, stragulis et velamentis a tergo, ut falleret lumen hostes, Romanis esset conspicuum, objectis. (14) Ut signum conspexerunt, citato gradu confestim exierunt, maturandi causa ad portas se mutuo subinde cohortantes. (15) Ita hostes adorti necopinantes fuderunt. In cujus victoriæ memoriam festum celebrant; ac Capratinæ vocantur Nonæ, ab illa caprifico : invitant autem feminas extra urbem fici ramis inumbratas. (16) Ancillæ exsultant circumcurrentes luduntque, mox verberibus et lapidum jactu inter se pugnant; ut quæ tum etiam in certamine præsto pugnantibus Romanis et auxilio fuerint. (17) Hæc a paucis auctoribus recipiuntur : at quod interdiu ita nominibus se mutuo appellant, et ad Capræ paludem mare versus pergunt, convenire magis ei, quæ supra relata est, narrationi videtur : nisi sane diversis tempestatibus gestum utrumque in eundem incidit diem. (18) Romulum fama est quatuor et quinquaginta annos natum, regni sui trigesimo octavo, inter homines non ultra visum.

ΣΥΓΚΡΙΣΙΣ ΘΗΣΕΩΣ ΚΑΙ ΡΩΜΥΛΟΥ.

I. Ἃ μὲν οὖν ἄξια μνήμης πυθέσθαι περὶ Ῥωμύλου καὶ Θησέως συμβέβηκεν ἡμῖν, ταῦτ' ἔστι. (2) Φαίνεται δὲ πρῶτον ὁ μὲν ἐκ προαιρέσεως οὐδενὸς ἀναγκάζοντος, ἀλλ' ἐξὸν ἀδεῶς ἐν Τροιζῆνι βασιλεύειν διαδεξά-

COMPARATIO THESEI CUM ROMULO.

I. Habes quæ de Romulo et Theseo memoria digna scire contigit. (2) Primum apparet consulto hunc, non coactum, quum regnare in otio ei Trœzene liceret, regno accepto non

μενον ἀρχὴν οὐκ ἄδοξον, αὐτὸς ἀφ' ἑαυτοῦ μεγάλων ὀρεχθείς· (3) ὁ δὲ δουλείας φυγῇ παρούσης καὶ τιμωρίας ἐπιφερομένης ἐκεῖνο τὸ τοῦ Πλάτωνος, ἀτεχνῶς ὑπὸ δέους ἀνδρεῖος γενόμενος καὶ φόβῳ τοῦ τὰ ἔσχατα παθεῖν, ἐπὶ τὸ δρᾶν μεγάλα δι' ἀνάγκην παραγενόμενος. (4) Ἔπειτα τούτου μὲν ἔργον ἐστὶ τὸ μέγιστον, ἀνελεῖν ἕνα τὸν Ἄλβης τύραννον· ἐκείνου δὲ πάρεργα καὶ προαγῶνες ἦσαν, ὁ Σκείρων, ὁ Σίννις, ὁ Προκρούστης, ὁ Κορυνήτης· οὓς ἀναιρῶν καὶ κολάζων ἀπήλαττε τὴν Ἑλλάδα δεινῶν τυράννων, πρὶν ὅστις ἐστὶ γινώσκειν τοὺς ὑπ' αὐτοῦ σωζομένους. (5) Καὶ τῷ μὲν παρῆν ἀπραγμόνως κομίζεσθαι διὰ θαλάττης, ἀδικουμένῳ μηδὲν ὑπὸ τῶν λῃστῶν· Ῥωμύλῳ δ' οὐ παρῆν μὴ πράγματα ἔχειν Ἀμουλίου ζῶντος. (6) Μέγα δὲ τούτου τεκμήριον· ὁ μὲν γὰρ οὐδὲν αὐτὸς ἀδικούμενος ὥρμησεν ὑπὲρ ἄλλων ἐπὶ τοὺς πονηρούς· οἱ δ' ὅσον αὐτοὶ κακῶς οὐκ ἔπασχον ὑπὸ τοῦ τυράννου, περιεώρων ἀδικοῦντα πάντας. (7) Καὶ μὴν εἰ μέγα τὸ τρωθῆναι μαχόμενον Σαβίνοις καὶ ἀνελεῖν Ἄκρωνα καὶ πολλῶν μάχῃ κρατῆσαι πολεμίων, τούτοις μέν ἐστι τοῖς ἔργοις κενταυρομαχίαν καὶ τὰ πρὸς Ἀμαζόνας παραβάλλειν.

II. Ὁ δ' ἐτόλμησε Θησεὺς περὶ τὸν Κρητικὸν ὀσμὸν, εἴτε τινὶ θηρίῳ βορὰν εἴτε πρόσφαγμα τοῖς Ἀνδρόγεω τάφοις, εἴθ', ὃ κουφότατόν ἐστι τῶν λεγομένων, λατρεύειν παρ' ἀνδράσιν ὑβρισταῖς καὶ δυσμενέσιν ἀκλεῆ λατρείαν καὶ ἄτιμον ἐπιδοὺς ἑαυτὸν, ἑκουσίως μετὰ παρθένων πλεῦσαι καὶ παίδων νέων, οὐκ ἂν εἴποι τις, ἡλίκης ἐστὶ τόλμης ἢ μεγαλοφροσύνης ἢ δικαιοσύνης περὶ τὸ κοινὸν ἢ πόθου δόξης καὶ ἀρετῆς. (2) Ὥστ' ἔμοιγε φαίνεται μὴ κακῶς ὁρίζεσθαι τοὺς φιλοσόφους τὸν ἔρωτα θεῶν ὑπηρεσίαν πρὸς ἐπιμέλειαν καὶ σωτηρίαν νέων. (3) Ὁ γὰρ Ἀριάδνης ἔρως παντὸς μᾶλλον ἔοικεν ἔργον θεοῦ καὶ μηχανὴ γενέσθαι σωτηρίας ἕνεκα τοῦ ἀνδρός. (4) Καὶ οὐκ ἄξιον αἰτιᾶσθαι τὴν ἐρασθεῖσαν, ἀλλὰ θαυμάζειν, εἰ μὴ πάντες οὕτω καὶ πᾶσαι διετέθησαν· εἰ δ' ἐκείνη μόνη τοῦτ' ἔπαθεν, εἰκότως ἔγωγε φαίην ἂν αὐτὴν ἀξιέραστον θεῷ γεγονέναι, φιλόκαλον καὶ φιλάγαθον καὶ τῶν ἀρίστων ἐρωτικὴν οὖσαν. (5) Ἀμφοτέρων τοίνυν τῇ φύσει πολιτικῶν γεγονότων οὐδέτερος διεφύλαξε τὸν βασιλικὸν τρόπον· ἐξέστη δὲ καὶ μετέβαλε μεταβολὴν, ὁ μὲν δημοτικὴν, ὁ δὲ τυραννικὴν, ταὐτὸν ἀπ' ἐναντίων παθῶν ἁμαρτόντες. (6) Δεῖ γὰρ τὸν ἄρχοντα σώζειν πρῶτον αὐτὴν τὴν ἀρχήν· σώζεται δ' οὐχ ἧττον ἀπεχομένη τοῦ μὴ προσήκοντος ἢ περιεχομένη τοῦ προσήκοντος. (7) Ὁ δ' ἐνδιδοὺς ἢ ἐπιτείνων οὐ μένει βασιλεὺς οὐδὲ ἄρχων, ἀλλ' ἢ δημαγωγὸς ἢ δεσπότης γιγνόμενος ἐμποιεῖ τὸ μισεῖν ἢ καταφρονεῖν τοῖς ἀρχομένοις. (8) Οὐ μὴν ἀλλ' ἐκεῖνο μὲν ἐπιεικείας δοκεῖ καὶ φιλανθρωπίας εἶναι, τοῦτο δὲ φιλαυτίας ἁμάρτημα καὶ χαλεπότητος.

III. Εἰ δὲ δεῖ καὶ τὰ δυστυχηθέντα μὴ παντάπασι ποιεῖσθαι δαίμονος, * ἀλλ' ἠθικὰς καὶ παθητικὰς ζητεῖν ἐν αὐτοῖς διαφορὰς, θυμοῦ μὲν ἀλογίστου καὶ τάχος ἐχούσης ἄβουλον ὀργῆς, μήτε τις ἐκεῖνον ἐν τοῖς πρὸς obscuro, res magnas ultro affectasse; (3) illum, quo præsentem servitutem et impendentem cervicibus declinaret pœnam, secundum illud Platonis, revera fortem per metum evasisse, formidineque extremi supplicii per necessitatem ad res perpetrandas arduas erectum. (4) Deinde, factum hujus est summum, unum quod sustulerit Albanum tyrannum; illius accessoria fuerunt et præludia Sciron, Sinnis, Procrustes, Corynetes: quos interimens et coercens, Græciam ante a violentis eripuit tyrannis, quam ii, quos servabat, quis esset cognoscerent. (5) Jam Theseo integrum erat secure mari vehi, injurias vitanti latronum; Romulo non licebat vacare negotiis vivo Amulio. (6) Id hinc liquet, quod Theseus nihil læsus privatim, pro aliis bellum indixit improbis; illi, quoad illæsi ipsi a tyranno fuerunt, opprimentem alios tulerunt leniter. (7) Jam si magnificum est, vulnus in prælio contra Sabinos accepisse et obtruncasse Acronem, multosque in acie devicisse hostes: cum his factis pugnam cum Centauris et Amazonibus commissam compares.

II. Quod vero ausus Theseus de vectigale fuit Cretico, sive feræ alicujus escam, sive inferiarum victimam apud Androgei tumulum, sive, quod levissimum est eorum quæ narrantur, ad serviendum apud improbos et infestos deformem et fœdam servitutem, se ipse ultro obtulit ut navigaret cum virginibus et pueris: quis consequatur dicendo, quantæ sit audaciæ vel magnanimitatis, vel benignitatis in rempublicam, vel cupiditatis gloriæ et virtutis? (2) Unde mihi quidem haud perperam videntur philosophi amorem definire deorum ministerium ad curam et salutem juventutis. (3) Quippe Ariadnæ amor meo judicio nihil nisi dei opus erat et machina ad hunc conservandum virum: (4) neque reprehendenda illa fuerit, quod amaverit eum, sed mirandum, non omnes eodem fuisse animo juvenes et puellas. Si vero una modo illa sic affecta erat, equidem merito dignam dixero quæ a deo amaretur, cui is honesti et recti optimorumque virorum inesset amor. (5) Porro quum ad rempublicam regendam natura comparatus esset uterque, tenorem regium conservavit neuter: sed evagatus est et mutavit uterque, alter in popularem, alter in tyrannicum statum propensus, eundem in scopulum diversis ex animi motibus impingentes. (6) Debet enim princeps ipsum primum conservare imperium; quod æque conservatur, si abstineat ab indecoro, quam si decorum tueatur. (7) Id qui remittit, vel intendit, non jam rex est, neque princeps, sed aut multitudinis adulator, aut dominus evadit: atque sic aut in odium sui populares adducit, aut in contemptum: (8) nisi quod lenitatis illud et humanitatis, hoc ex nimio sui studio et sævitia profectum peccatum videtur.

III. Quodsi infortunia quoque non undequaque sint sorti attribuenda, sed discrimina in his morum et affectuum statuenda: præfervida bile et ira cum inconsulto conjuncta impetu, neque illum adversus fratrem, neque adversus fi-

τὸν ἀδελφὸν ἀπολυέτω μήτε τοῦτον ἐν τοῖς πρὸς τὸν υἱόν. (2) Ἡ δὲ κινήσασα τὸν θυμὸν ἀρχὴ μᾶλλον παραιτεῖται τὸν ὑπὸ μείζονος αἰτίας ὥσπερ ὑπὸ πληγῆς χαλεπωτέρας ἀνατραπέντα. (3) Ῥωμύλῳ μὲν γὰρ ἐκ βουλῆς καὶ σκέψεως περὶ κοινῶν συμφερόντων διαφορᾶς γενομένης οὐκ ἂν ἠξίωσέ τις ἄφνω τὴν διάνοιαν ἐν τηλικούτῳ πάθει γενέσθαι· Θησέα δὲ πρὸς τὸν υἱόν, ἃ πάμπαν ὀλίγοι τῶν ὄντων διαπεφεύγασιν, ἔρως καὶ ζηλοτυπία καὶ διαβολαὶ γυναικὸς ἔσφηλαν. (4) Ὃ δὲ μεῖζόν ἐστιν, ὁ μὲν Ῥωμύλου θυμὸς εἰς ἔργον ἐξέπεσε καὶ πρᾶξιν οὐκ εὐτυχὲς ἔχουσαν τέλος· ἡ δὲ Θησέως ὀργὴ μέχρι λόγου καὶ βλασφημίας καὶ κατάρας προσβυτικῆς προῆλθε· τὰ δ' ἄλλα φαίνεται τῇ τύχῃ χρήσασθαι τὸ μειράκιον. Ὥστε ταύτας μὲν ἄν τις ἀποδοίη τῷ Θησεῖ τὰς ψήφους.

IV. Ἐκείνῳ δὲ πρῶτον μὲν ὑπάρχει μέγα, τὸ μικροτάτας λαβεῖν ἀρχὰς ἐπὶ τὰ πράγματα. Δοῦλοι γὰρ δὴ καὶ συφορβῶν παῖδες ὀνομαζόμενοι, πρὶν ἐλεύθεροι γενέσθαι, πάντας ὀλίγου δεῖν ἠλευθέρωσαν Λατίνους ἑνὶ χρόνῳ τῶν καλλίστων ὀνομάτων ἅμα τυχόντες, φονεῖς ἐχθρῶν καὶ σωτῆρες οἰκείων καὶ βασιλεῖς ἐθνῶν καὶ οἰκισταὶ πόλεων, οὐ μετοικισταί, (2) καθάπερ ἦν ὁ Θησεὺς ἐκ πολλῶν συντιθεὶς καὶ συνοικοδομῶν ἓν οἰκητήριον, ἀναιρῶν δὲ πολλὰς πόλεις ἐπωνύμους βασιλέων καὶ ἡρώων παλαιῶν. (3) Ῥωμύλος δὲ ταῦτα μὲν ὕστερον ἔδρα, τοὺς πολεμίους ἀναγκάζων τὰ οἰκεῖα καταβάλλοντας καὶ ἀφανίζοντας τοῖς νενικηκόσι προσνέμεσθαι· (4) τὸ δὲ πρῶτον οὐ μετατιθεὶς οὐδ' αὔξων τὴν ὑπάρχουσαν, ἀλλὰ ποιῶν ἐξ οὐχ ὑπαρχόντων καὶ κτώμενος ἑαυτῷ χώραν δμοῦ, πατρίδα, βασιλείαν, γένη, γάμους, οἰκειότητας, ἀνῄρει μὲν οὐδένα οὐδὲ ἀπώλλυεν, εὐεργέτει δὲ τοὺς ἐξ ἀοίκων καὶ ἀνεστίων δῆμον ἐθέλοντας εἶναι καὶ πολίτας. (5) Λῃστὰς δὲ καὶ κακούργους οὐκ ἀπέκτεινεν, ἀλλ' ἔθνη προσηγάγετο πολέμῳ καὶ πόλεις κατεστρέψατο καὶ βασιλεῖς ἐθριάμβευσε καὶ ἡγεμόνας.

V. Καὶ τὸ μὲν Ῥώμου πάθος ἀμφισβητούμενον ἔχει τὸν αὐτόχειρα καὶ τὸ πλεῖστον εἰς ἑτέρους τῆς αἰτίας τρέπουσι· τὴν δὲ μητέρα διολλυμένην ἔσωσε περιφανῶς καὶ τὸν πάππον ἀκλεῶς δουλεύοντα καὶ ἀτίμως εἰς τὸν Αἰνείου θρόνον ἐκάθισε. Καὶ πολλὰ μὲν ἑκὼν εὐεργέτησεν, ἔβλαψε δὲ αὐτὸν οὐδὲ ἄκων. (2) Τὴν δὲ Θησέως λήθην καὶ ἀμέλειαν τῆς περὶ τὸ ἱστίον ἐντολῆς, μόλις ἂν οἶμαι μακρᾷ τινι παραιτήσει καὶ ἐν βαθύμοις δικασταῖς αἰτίαν ἀποφυγεῖν πατροκτονίας· (3) ὃ δὴ καὶ συνιδών τις Ἀττικὸς ἀνὴρ ὡς παγχάλεπόν ἐστι βουλομένοις ἀπολογεῖσθαι, πλάττει τὸν Αἰγέα τῆς νεὼς προσφερομένης ὑπὸ σπουδῆς ἀνατρέχοντα πρὸς τὴν ἀκρόπολιν θέας ἕνεκα καὶ σφαλλόμενον καταπεσεῖν, ὥσπερ ὀπαδῶν ἔρημον, ἢ τῆς ἐπὶ θάλατταν ὁδοῦ σπεύδοντι μὴ παρούσης τινὸς θεραπείας.

VI. Καὶ μὴν τὰ περὶ τὰς ἁρπαγὰς τῶν γυναικῶν ἡμαρτημένα Θησεῖ μὲν εὐσχήμονος ἐνδεᾶ προφάσεως γέγονε· πρῶτον μὲν ὅτι πολλάκις· ἥρπασε γὰρ Ἀριάδνην, Ἀντιόπην, Ἀναξὼ Τροιζηνίαν, δε-

lium hunc liberum fuisse aliquis pronuntiaverit. (2) At principium, unde mota bilis fuit, citius excuset illum, qui majore ex causa tanquam a graviore eversus ictu fuit. (3) Romulo enim, quum esset dissensio ex consilio et deliberatione de bono publico exorta, nemo existimaverit mentem subito tanto affectu esse commotam: Theseum vero in filium ea, quæ pauci mortalium devitarunt, amor, obtrectatio et calumniæ impulerunt uxoris. (4) Quod vero gravius est, Romuli evasit in factum impetus et in rem non lætum sortitam exitum: Thesei indignatio ad verba usque, convicia et devotiones seniles est progressa: de cetero calamitates videntur fortunæ juvenis tribuendæ. Itaque tulerit in his Theseus suffragia.

IV. At Romulo hoc primum suppeditat magnificum, quod tenuissima ad res gerendas fundamenta habuerit: siquidem qui servi et subulcorum dicebantur filii, priusquam liberi ipsi forent, omnes prope liberos effecerant Latinos; atque, uno tempore præstantissima nomina simul sunt adepti, exstinctores hostium, necessariorum conservatores, reges gentium et conditores urbium dicti, non translatores, (2) ut Theseus, ex multis qui unum conflavit et frequentavit domicilium, sustulitque multa oppida, quæ nomina gerebant veterum regum et heroum. (3) Romulus quidem post agebat idem, quum hostes cogeret sua diruere delereque, ac victoribus sese inserere: (4) initio tamen non transtulit, neque amplificavit urbem jam stantem, verum prorsus produxit, quam antea nusquam esset, comparans sibi pariter agrum, patriam, regnum, sobolem, connubia, necessitudines, dum neminem perimeret vel perderet, sed bene meritus de illis, qui sedium et penatium expertes, populus esse et cives volebant. (5) Latrones et maleficos non confecit, sed gentes bello subegit, urbes excidit, reges ducesque in triumphum duxit.

V. Jam Remi cædes controversum habet percussorem, ac culpæ fere plurimum ad alios avertunt: matrem vero ab exitio conservavit haud dubie, avumque turpiter et fœde servientem in Æneæ collocavit solio; ac multa in eum de industria beneficia contulit, nec læsit, ne imprudens quidem. (2) Sed Thesei oblivio et incuria præcepti de velo, vix, meo judicio, quamvis longa excusatione atque apud socordes judices, parricidii crimine eximatur. (3) Quo animadverso Atticus quispiam, nimirum plane difficilem esse vel volentibus defensionem, Ægeum fingit appellente nave, quum festinus curreret in arcem speculandi causa, et offendisset, præcipitem fuisse delatum; quasi comitibus caruisset, aut properantem ad mare nemo esset ex famulitio sequutus.

VI. Ad hæc, quod in raptu mulierum admissum est, honesto caret in Theseo prætextu: primum quia sæpius: rapuit enim Ariadnam, Antiopam, Anaxo Trœzeniam, de-

ὄνην καὶ Ἀντιόπην καὶ Ἀναξὼ τὴν Τροιζηνίαν· ἐπὶ πάσαις δὲ τὴν Ἑλένην, παρηκμακὼς οὐκ ἀκμάζουσαν, ἀλλὰ νηπίαν καὶ ἄωρον, αὐτὸς ὥραν ἔχων ἤδη γάμων πεπαῦσθαι καὶ νομίμων· (2) ἔπειτα διὰ τὴν αἰτίαν· οὐ γὰρ ἀξιώτεραί γε παιδοποιοὶ τῶν Ἀθήνησιν Ἐρεχθηϊδῶν καὶ Κεκροπιδῶν αἱ Τροιζηνίων καὶ Λακώνων καὶ Ἀμαζόνων ἀνέγγυοι θυγατέρες ἦσαν. (3) Ἀλλὰ ταῦτα μὲν ὑποψίαν ἔχει πρὸς ὕβριν καὶ καθ' ἡδονὴν πεπρᾶχθαι. Ῥωμύλος δὲ πρῶτον μὲν ὀκτακοσίων ὀλίγον ἀριθμῷ δεούσας ἁρπάσας, * οὐ πάσας, ἀλλὰ μίαν, ὥς φασιν, Ἑρσιλίαν ἔλαβε, τὰς δ' ἄλλας διένειμε τοῖς ἀγαθοῖς τῶν πολιτῶν· (4) ἔπειτα τῇ μετὰ ταῦτα τιμῇ καὶ ἀγαπήσει καὶ δικαιοσύνῃ περὶ τὰς γυναῖκας ἀπέδειξε τὴν βίαν ἐκείνην καὶ τὴν ἀδικίαν κάλλιστον ἔργον καὶ πολιτικώτατον εἰς κοινωνίαν γενομένην. Οὕτω συνέμιξεν ἀλλήλοις καὶ συνέπηξε τὰ γένη καὶ παρέσχε πηγὴν τῆς εἰς αὖθις εὐνοίας καὶ δυνάμεως τοῖς πράγμασιν. (5) Αἰδοῦς δὲ καὶ φιλίας καὶ βεβαιότητος, ἣν εἰργάσατο περὶ τοὺς γάμους, ὁ χρόνος ἐστὶ μάρτυς. Ἐν γὰρ ἔτεσι τριάκοντα καὶ διακοσίοις οὔτε ἀνὴρ ἐτόλμησε γυναικὸς οὔτε γυνὴ κοινωνίαν ἀνδρὸς ἐγκαταλιπεῖν· (6) ἀλλ' ὥσπερ ἐν Ἕλλησιν οἱ σφόδρα περιττοὶ τὸν πρῶτον ἔχουσιν εἰπεῖν πατροκτόνον ἢ μητροφόνον, οὕτω Ῥωμαῖοι πάντες ἴσασιν, ὅτι Καρβίλιος Σπόριος ἀπεπέμψατο τὴν γυναῖκα πρῶτος ἀπαιδίαν αἰτιασάμενος. (7) Τῷ δὲ τοσούτῳ χρόνῳ συμμαρτυρεῖ καὶ τὰ ἔργα. Καὶ γὰρ ἀρχῆς ἐκοινώνησαν οἱ βασιλεῖς καὶ πολιτείας τὰ γένη διὰ τὴν ἐπιγαμίαν ἐκείνην· (8) ἀπὸ δὲ τῶν Θησέως γάμων Ἀθηναίοις φιλικὸν μὲν οὐδὲν οὐδὲ κοινωνικὸν ὑπῆρξε πρὸς οὐδένα συμβόλαιον, ἔχθραι δὲ καὶ πόλεμοι καὶ φόνοι πολιτῶν καὶ τέλος Ἀφίδνας ἀπολέσαι καὶ μόλις ὑπ' οἴκτου τῶν πολεμίων, προσκυνήσαντας καὶ θεοὺς ἀνειπόντας, μὴ παθεῖν ἃ Τρῶες ἔπαθον δι' Ἀλέξανδρον. (9) Ἡ μέντοι μήτηρ ἡ Θησέως οὐκ ἐκινδύνευσεν, ἀλλ' ἔπαθε τὰ τῆς Ἑκάβης ἐγκαταλιπόντος καὶ προεμένου τοῦ παιδός· εἴ γε μὴ πέπλασται τὰ τῆς αἰχμαλωσίας, ὡς ἔδει γε καὶ τοῦτο ψεῦδος εἶναι καὶ τὰ πλεῖστα τῶν ἄλλων. (10) Ἐπεὶ καὶ τὰ περὶ τοῦ θείου μυθολογούμενα πολλὴν ποιεῖ διαφοράν. Ῥωμύλῳ μὲν γὰρ ἡ σωτηρία μετὰ πολλῆς ὑπῆρξε θεῶν εὐμενείας· ὁ δ' Αἰγεῖ δοθεὶς χρησμὸς ἀπέχεσθαι γυναικὸς ἐπὶ ξένης ἔοικεν ἀποφαίνειν, παρὰ γνώμην θεῶν γεγονέναι τὴν Θησέως τέκνωσιν.

nique Helenam grandævus nondum nubilem, sed parvulam atque immaturam, ea ipse ætate, qua temperandum ei a nuptiis fuit vel justis. (2) Deinde propter causam : neque enim Trœzeniorum, Laconum, Amazonum filiæ, præterquam quod pactæ ei non essent, digniores ad sobolem suscipiendam Atheniensibus Erechtheidarum et Cecropidarum filiabus erant. (3) Verum non carent hæc, quin lasciviæ et libidinis causa fuerint perpetrata. suspicione. At Romulus, primum, raptis paulo minus octingentis, non omnes, sed unam, ut fama est, sumpsit sibi Hersiliam, ceteras inter egregios cives est partitus : (4) deinde insequenti honore, caritate et æquitate in feminas vim illam et injuriam eximium fuisse factum ostendit et prudentissimum ad jungendam societatem : adeo miscuit mutuo et conglutinavit eas gentes, fontemque benevolentiæ et potentiæ in posterum rebus aperuit. (5) Reverentiæ vero et amoris et constantiæ, quibus devinxit connubia, perhibet temporis diuturnitas testimonium. Quippe annis triginta et ducentis, neque maritus uxoris, neque mariti consortium deserere uxor sustinuit. (6) Verum ut apud Græcos valde curiosi primum nuncupare possunt parricidam aut matricidam, ita cuncti norunt Romani Spurium Carvilium uxori nuntium primum remisisse, sterilem causatum. (7) Nec temporis diuturnitas solum, sed testantur idem opera quoque quæ insequuta sunt. Etenim ob necessitudinem illam participaverunt reges inter se regnum, et rempublicam gentes illæ : (8) ex Thesei nuptiis nihil evenit populo Atheniensi ad ullum commercium amicitiæ vel communicationis; sed offensiones, sed bella, sed cædes civium, Aphidnarum postremo amissio : atque ægre devitaverunt ex misericordia hostium, quos supplices ut deos invocarunt, quin in eandem incideret, in quam Paridis causa Trojani, calamitatem. (9) Mater certe Thesei non venit in discrimen tantum, sed Hecubæ experta est fortunam, deserta a filio atque destituta : nisi illud de captivitate commentum est, quod sane oportebat cum ceteris ex hoc genere plerisque pro mendacio haberi. (10) Jam quæ divinitus accidisse circa eos fabulantur, ea magnum habent discrimen. Romulus enim incolumitatem, diis admodum propitiis, consequutus est : at editum Ægeo oraculum, ut feminis abstineret in peregrina terra, non fuisse diis cordi natales Thesei, ostendere videtur.

ΛΥΚΟΥΡΓΟΣ.

Περὶ Λυκούργου τοῦ νομοθέτου καθόλου μὲν οὐδὲν ἔστιν εἰπεῖν ἀναμφισβήτητον, οὗ γε καὶ γένος καὶ ἀποδημία καὶ τελευτὴ καὶ πρὸς ἅπασιν ἡ περὶ τοὺς νόμους e αὐτοῦ καὶ τὴν πολιτείαν πραγματεία διαφόρους ἔσχηκεν ἱστορίας, ἥκιστα δὲ οἱ χρόνοι, καθ' οὓς γέγονεν ὁ ἀνὴρ, ὁμολογοῦνται. (2) Οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν· ὧν ἐστι καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τεκμήριον προσφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοῦνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον. (3) Οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν Σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος, οὐκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης Ὀλυμπιάδος. (4) Τίμαιος δὲ ὑπονοεῖ, δυεῖν ἐν Σπάρτῃ γεγονότων Λυκούργων οὐ κατὰ τὸν αὐτὸν f χρόνον, τῷ ἑτέρῳ τὰς ἀμφοῖν πράξεις διὰ τὴν δόξαν ἀνακεῖσθαι· καὶ τόν γε πρεσβύτερον οὐ πόρρω τῶν Ὁμήρου γεγονέναι χρόνων, ἔνιοι δὲ καὶ κατ' ὄψιν ἐντυγεῖν Ὁμήρῳ. (5) Δίδωσι δὲ καὶ Ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος ἐν οἷς τὸν ἄνδρα λέγει γεγονέναι κατὰ a τοὺς Ἡρακλείδας. Γένει μὲν γὰρ Ἡρακλεῖδαι δήπουθεν ἦσαν καὶ οἱ νεώτατοι τῶν ἐν Σπάρτῃ βασιλέων· ὁ δὲ ἔοικε βουλομένῳ τοὺς πρώτους ἐκείνους καὶ σύνεγγυς Ἡρακλέους ὀνομάζειν Ἡρακλείδας. (6) Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως πεπλανημένης τῆς ἱστορίας, πειρασόμεθα τοῖς βραχυτάτας ἔχουσιν ἀντιλογίας ἢ γνωριμωτάτους μάρτυρας ἑπόμενοι τῶν γεγραμμένων περὶ τοῦ ἀνδρὸς ἀποδοῦναι τὴν διήγησιν.

II. Ἐπεὶ καὶ Σιμωνίδης ὁ ποιητὴς οὐκ Εὐνόμου λέγει τὸν Λυκοῦργον πατρὸς, ἀλλὰ Πρυτάνιδος καὶ τὸν Λυκοῦργον καὶ τὸν Εὔνομον, οἱ δὲ πλεῖστοι σχεδὸν οὐχ οὕτω γενεαλογοῦσιν, ἀλλὰ Προκλέους μὲν τοῦ Ἀριστοδήμου γενέσθαι Σόον· Σόου δὲ Εὐρυπῶντα, τούτου δὲ b Πρύτανιν· ἐκ τούτου δὲ Εὔνομον, Εὐνόμου δὲ Πολυδέκτην ἐκ προτέρας γυναικὸς, Λυκοῦργον δὲ νεώτερον ἐκ Διωνάσσης· ὡς Διευχίδας ἱστόρηκεν, ἕκτον μὲν ἀπὸ Προκλέους, ἐνδέκατον δὲ ἀφ' Ἡρακλέους. (2) Τῶν δὲ προγόνων αὐτοῦ μάλιστα μὲν ἐθαυμάσθη Σόος, ἐφ' οὗ καὶ τοὺς εἵλωτας ἐποιήσαντο δούλους οἱ Σπαρτιᾶται, καὶ χώραν προσεκτήσαντο πολλὴν Ἀρκάδων ἀποτεμόμενοι. (3) Λέγεται δὲ τὸν Σόον ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πολιορκούμενον ὑπὸ Κλειτορίων ὁμολογῆσαι τὴν δορίκτητον γῆν αὐτοῖς ἀφήσειν, εἰ πίοι καὶ αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς. (4) Γενομένων δὲ τῶν ὅρκων τῶν ὁμολογιῶν συναγαγόντα c τοὺς μεθ' ἑαυτοῦ, διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν· οὐδενὸς δὲ καρτερήσαντος, ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ πᾶσι καταβάντα καὶ περιῤῥανάμενον, ἔτι τῶν πολεμίων παρόντων ἀπελθεῖν καὶ τὴν χώραν κατασχεῖν, ὡς μὴ πάντων πιόντων. (5) Ἀλλὰ καίπερ ἐπὶ τούτοις θαυμάζοντες αὐτὸν οὐκ ἀπὸ τούτου τὴν οἰκίαν, ἀλλὰ τοῦ

LYCURGUS.

Nihil omnino, quod non in dubium vocetur, de Lycurgi legislatoris vita dici potest. Nam cum de genere, peregrinatione, obituque ejus, præterea de legum ejus ac reipublicæ institutione diversæ narrationes extant: tum vero quo tempore vixerit, minime omnium in confesso est. (2) Alii enim Iphiti temporibus claruisse, eumque in Olympiacis feriis instituendis adjuvisse tradunt: estque hujus sententiæ etiam Aristoteles philosophus, indicii loco discum Olympicum adducens, in quo nomen Lycurgi incisum adhuc extet. (3) Alii, ut Eratosthenes et Apollodorus, successione regum Spartanorum tempus supputantes, haud paucis annis prima Olympiade superiorem fuisse Lycurgum pronunciant. (4) Timæus duos diversis temporibus Lycurgos Spartæ fuisse suspicatur, alterique eorum propter gloriam suam, alterius quoque acta imputata: priorem aiunt non diu post Homerum vixisse, alii sane visum ab eo Homerum dicunt. (5) Ac Xenophon etiam antiquitatis significationem aliquam dat, cum Lycurgum Heraclidarum ætate fuisse tradit. Nam quamvis etiam novissimi Spartanorum reges genus ab Hercule repeterent: tamen videtur primos illos Heraclidas ille innuisse, qui non multum ab Herculis ævo abfuerint. (6) Enimvero etsi ad hunc modum incerta est historia, nos tamen ea in quibus minimum est controversiarum, aut quæ clarissimis tradita sunt auctoribus, recensere conabimur.

II. Simonides poeta Lycurgi patrem non Eunomum dicit, sed Prytanidem patrem Lycurgi et Eunomi; plerique vero non ita generis seriem deducunt, sed ex Procle, Aristodemi filio, natum tradunt, huic filium fuisse Soum, hujus Eurypontem, hoc natum Prytanim, cujus filius Polydectes fuerit ex priore uxore, ex posteriore, cui Dionassæ nomen, Lycurgus. Dieuchidas Lycurgum a Procle sextum, ab Hercule undecimum numerat. (2) Inter majores ejus præcipue admirationi fuit Sous, sub quo Lacedæmonii et Helotas in servitutem egerunt et Arcadibus multum agri ademerunt. (3) Fama est Soum a Clitoriis loco difficili et aqua carente obsessum, pactum esse, redditurum se iis terram, quam bello ceperat, si ipse suique omnes e proximo fonte bibissent: (4) tum pactione jurejurando confirmata, conductis in unum locum suis, ei qui potu abstinuisset, regnum promisisse: ceterum nemine se continente omnibusque bibentibus, ipsum postremum ad fontem descendisse, et aqua se conspersisse, hostibusque adhuc præsentibus digressum, terram, eo quod non omnes bibissent, retinuisse. (5) Quarum rerum causa etsi magni fecere Soum, non tamen ab

παιδὸς αὐτοῦ προσηγόρευσαν Εὐρυπωντίδας, ὅτι δοκεῖ πρῶτος Εὐρυπῶν τὸ ἄγαν μοναρχικὸν ἀνεῖναι τῆς βασιλείας δημαγωγῶν καὶ χαριζόμενος τοῖς πολλοῖς. (6) Ἐκ δὲ τῆς τοιαύτης ἀνέσεως, τοῦ μὲν δήμου θρασυνο- d μένου, τῶν δ' ὕστερον βασιλέων τὰ μὲν ἀπεχθανομένων τῷ βιάζεσθαι τοὺς πολλοὺς, τὰ δὲ πρὸς χάριν ἢ δι' ἀσθένειαν ὑποφερομένων, ἀνομία καὶ ἀταξία κατέσχε τὴν Σπάρτην ἐπὶ πολὺν χρόνον· ὑφ' ἧς καὶ τὸν πατέρα τοῦ Λυκούργου βασιλεύοντα συνέβη τελευτῆσαι. Διε- ρύκων γὰρ ἁψιμαχίαν τινὰ μαγειρικῇ κοπίδι πληγεὶς ἀπέθανε τῷ πρεσβυτέρῳ παιδὶ Πολυδέκτῃ καταλιπὼν τὴν βασιλείαν.

III. Ἀποθανόντος δὲ καὶ τούτου μετ' ὀλίγον χρόνον ἔδει βασιλεύειν, ὡς πάντες ᾤοντο, τὸν Λυκοῦργον· καὶ πρίν γε τὴν γυναῖκα τοῦ ἀδελφοῦ φανερὰν ἐσεσθαι κύουσαν ἐβασίλευεν. (2) Ἐπεὶ δὲ τοῦτο τάχιστα ᾔσθετο, e τὴν μὲν βασιλείαν ἀπέφηνε τοῦ παιδὸς οὖσαν, ἅνπερ ἄῤῥην γένηται, τὴν δὲ ἀρχὴν αὐτὸς ὡς ἐπίτροπος διεῖπε. Τοὺς δὲ τῶν ὀρφανῶν βασιλέων ἐπιτρόπους Λακεδαιμόνιοι προδίκως ὠνόμαζον. (3) Ὡς δὲ ἡ γυνὴ προσέπεμπε κρύφα καὶ λόγους ἐποιεῖτο, βουλομένη διαφθεῖραι τὸ βρέφος, ἐπὶ τῷ συνοικεῖν ἐκείνῳ βασιλεύοντι τῆς Σπάρτης, τὸ μὲν ἦθος αὐτῆς ἐμίσησε, πρὸς δὲ τὸν λόγον αὐτὸν οὐκ ἀντεῖπεν, ἀλλ' ἐπαινεῖν καὶ δέχεσθαι προσποιούμενος, οὐκ ἔφη δεῖν ἀμβλίσκουσαν αὐτὴν καὶ φαρμακευομένην διαλυμαίνεσθαι τὸ σῶμα καὶ κινδυνεύειν· αὐτῷ γὰρ μελήσειν, ὅπως εὐθὺς ἐκποδὼν f ἔσται τὸ γεννηθέν. (4) Οὕτω δὲ παραγαγὼν ἄχρι τοῦ τόκου τὴν ἄνθρωπον ὡς ᾔσθετο τίκτουσαν, εἰσέπεμψε παρέδρους ταῖς ὠδῖσιν αὐτῆς καὶ φύλακας, οἷς ἦν προστεταγμένον, ἐὰν μὲν θῆλυ τεχθῇ, παραδοῦναι ταῖς γυναιξίν, ἐὰν δὲ ἄῤῥεν, κομίσαι πρὸς ἑαυτὸν ὅ τι ἂν τύχῃ πράττων. (5) Ἔτυχε δὲ δειπνοῦντος αὐτοῦ a μετὰ τῶν ἀρχόντων ἀποκυηθὲν ἄῤῥεν· καὶ παρῆσαν οἱ ὑπηρέται τὸ παιδάριον αὐτῷ κομίζοντες. Ὁ δὲ δεξάμενος, ὡς λέγεται, καὶ πρὸς τοὺς παρόντας εἰπὼν « βασιλεὺς ὑμῖν γέγονεν, ὦ Σπαρτιᾶται, » κατέκλινεν ἐν τῇ βασιλικῇ χώρᾳ καὶ Χαρίλαον ὠνόμασε διὰ τὸ τοὺς πάντας εἶναι περιχαρεῖς ἀγαμένους αὐτοῦ τὸ φρόνημα καὶ τὴν δικαιοσύνην. Ἐβασίλευσε δὲ μῆνας ὀκτὼ τὸ σύμπαν. (6) Ἦν δὲ καὶ τἆλλα περίβλεπτος ὑπὸ τῶν πολιτῶν καὶ πλείονες ἐγένοντο τῶν ὡς ἐπιτρόπῳ βασιλέως καὶ βασιλικὴν ἐξουσίαν ἔχοντι πειθομένων οἱ δι' ἀρετὴν προσέχοντες αὐτῷ καὶ ποιεῖν ἐθέλοντες ἑτοίμως τὸ προσταττόμενον. (7) Ἦν δέ τι καὶ τὸ φθονοῦν καὶ πρὸς b τὴν αὔξησιν ὄντι νέῳ πειρώμενον ἐνίστασθαι· μάλιστα μὲν οἱ συγγενεῖς καὶ οἰκεῖοι τῆς τοῦ βασιλέως μητρὸς ὑβρίσθαι δοκούσης· (8) ὁ δὲ ἀδελφὸς αὐτῆς Λεωνίδας καὶ θρασύτερόν ποτε τῷ Λυκούργῳ λοιδορηθεὶς ὑπεῖπεν, ὡς εἰδείη σαφῶς μέλλοντα βασιλεύειν αὐτόν· ὑπόνοιαν διδοὺς καὶ προκαταλαμβάνων διαβολῇ τὸν Λυκοῦργον, εἴ τι συμβαίη τῷ βασιλεῖ παθεῖν ὡς ἐπιβεβουλευκότα. (9) Τοιοῦτοι δέ τινες λόγοι καὶ παρὰ τῆς γυναικὸς ἐξεφοίτων· ἐφ' οἷς βαρέως φέρων καὶ δεδοικὼς τὸ ἄδηλον

ipso, sed filio ejus familiæ nomen inditum est, ut Eurypontidæ vocarentur. Is enim Eurypon primus populi gratiam captans, regiam potestatem mitigasse, ac remissionem effecisse creditus est. (6) Qua ex remissione et populus ferocire cœpit, et posteriores reges cum vel vim exercentes in odium subditorum incurrerent, vel iis gratificantes aut metu adducti se submitterent: diu Spartæ contra leges et ordinem pleraque acta sunt. In ea confusione etiam Lycurgi pater cum contentionem quandam dirimeret, cultro lanii ictus relicto majori suo filio Polydectæ regno mortuus est.

III. Is quoque non multo post diem suum obiit, ejusque morte ad Lycurgum omnium sententia regnum redierat: idque gessit Lycurgus tantisper, dum fratris sui uxorem relictam in utero habere cognitum est; (2) quod ubi primum comperit Lycurgus, ad fœtum conceptum pertinere regnum, si quidem masculus exsisteret, affirmans, ipse tutoris loco (quales orborum parente regum procuratores Prodici Spartanis appellantur) regnum administravit. (3) Submisit autem ea mulier clam qui suis verbis Lycurgo indicarent, paratam se ad abolendum fœtum, ut ipsi Spartæ regnum tenenti nuberet. Ibi Lycurgus, etsi ingenium mulieris odio habebat, simulavit tamen accipere se et probare consilium, neque contradixit quicquam, nisi hoc, non esse ei abortu aut veneficio corpus lædendum, inque periculum vitæ adducendum: sibi curæ fore, ut infans, quem peperisset, statim e medio tolleretur. (4) Hac ratione feminam usque ad partus diem ducens, cum is appetiisset, misit qui enitenti adessent observarentque eam: et si puellam peperisset, mulieribus traderent; sin puerum, ad se statim, quidquid ipse ageret, adferrent. (5) Cœnante ipso cum principibus, puer natus, et a ministris allatus ad eum est: quem, ut fertur, cum accepisset, iis qui aderant dixit: « Rex vobis, Spartani, natus est: » iude puerum in loco regio deposuit, Charilaoque nomen fecit: quod omnes magnopere gauderent, animique magnitudinem et justitiam ipsius admirarentur. Ceterum Lycurgus regno præfuit spatio mensium octo: (6) eratque in oculis civium, ita ut plures propter virtutem ei intenti essent, paratique omne quod jussisset exsequi, quam qui ei propter tutelam quam gerebat et regiam potestatem obtemperandum putarent. (7) Neque vero deerant invidi ac qui incrementis ejus quamdiu adhuc juvenis esset obsistendum putarent, præcipue cognati et familiares matri regis quæ contumelia affecta sibi videbatur. (8) Cujus frater Leonidas vehementius aliquando Lycurgo faciens convicium, certum dixit eum regno potiturum esse, quo suspicionem injiceret hominibus calumniaque eum factarum regi insidiarum jam ante circumveniret. (9) Id genus sermones etiam a muliere illa proficiscebantur. Hæc graviter ferens Lycurgus, incertaque casuum metuens, peregrinatione su-

ἔγνω φυγεῖν ἀποδημίᾳ τὴν ὑπόνοιαν καὶ πλανηθῆναι, μέχρις ἂν ὁ ἀδελφιδοῦς ἐν ἡλικίᾳ γενόμενος τεκνώσῃ διάδοχον τῆς βασιλείας.

IV. Οὕτως ἀπάρας πρῶτον μὲν εἰς Κρήτην ἀφίκε- c το· καὶ τὰς αὐτόθι πολιτείας κατανοήσας καὶ συγγενόμενος τοῖς πρωτεύουσι κατὰ δόξαν ἀνδράσι, τὰ μὲν ἐζήλωσε καὶ παρέλαβε τῶν νόμων, ὡς οἰκαδε μετοίσων καὶ χρησόμενος, ἔστι δ' ὧν κατεφρόνησεν. (2) Ἕνα δὲ τῶν νομιζομένων ἐκεῖ σοφῶν καὶ πολιτικῶν χάριτι καὶ φιλίᾳ πείσας ἀπέστειλεν εἰς τὴν Σπάρτην, Θάλητα, ποιητὴν μὲν δοκοῦντα λυρικῶν μελῶν καὶ πρόσχημα τὴν τέχνην ταύτην πεποιημένον, ἔργῳ δὲ ἅπερ οἱ κράτιστοι τῶν νομοθετῶν διαπραττόμενον. (3) Λόγοι γὰρ d ἦσαν αἱ ᾠδαὶ πρὸς εὐπείθειαν καὶ ὁμόνοιαν ἀνακλητικοὶ διὰ μελῶν ἅμα καὶ ῥυθμῶν, πολὺ τὸ κόσμιον ἐχόντων καὶ καταστατικόν· ὧν ἀκροώμενοι κατεπραΰνοντο λεληθότως τὰ ἤθη καὶ συνῳκειοῦντο τῷ ζήλῳ τῶν καλῶν ἐκ τῆς ἐπιχωριαζούσης τότε πρὸς ἀλλήλους κακοθυμίας· ὥστε τρόπον τινὰ τῷ Λυκούργῳ προοδοποιεῖν τὴν παίδευσιν αὐτῶν ἐκεῖνον. (4) Ἀπὸ δὲ τῆς Κρήτης ὁ Λυκοῦργος ἐπ' Ἀσίαν ἔπλευσε βουλόμενος, ὡς λέγεται, ταῖς Κρητικαῖς διαίταις, εὐτελέσιν οὔσαις καὶ αὐστηραῖς, τὰς Ἰωνικὰς πολυτελείας καὶ τρυφάς, ὥσπερ ἰατρὸς σώμασιν ὑγιεινοῖς ὕπουλα καὶ νοσώδη, παραβαλὼν ἀποθεωρῆσαι τὴν διαφορὰν τῶν βίων καὶ τῶν πολιτειῶν. (5) Ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἐντυ- e χὼν πρῶτον, ὡς ἔοικε, παρὰ τοῖς ἐκγόνοις τοῖς Κρεωφύλου διατηρουμένοις, καὶ κατιδὼν ἐν αὐτοῖς τῆς πρὸς ἡδονὴν καὶ ἀκρασίαν διατριβῆς τὸ πολιτικὸν καὶ παιδευτικὸν οὐκ ἐλάττονος ἄξιον σπουδῆς ἀναμεμιγμένον, ἐγράψατο προθύμως καὶ συνήγαγεν ὡς θεῦρο κομιῶν. (6) Ἦν γάρ τις ἤδη δόξα τῶν ἐπῶν ἀμαυρὰ παρὰ τοῖς Ἕλλησιν· ἐκέκτηντο δὲ οὐ πολλοὶ μέρη τινὰ σποράδην τῆς ποιήσεως, ὡς ἔτυχε, διαφερομένης· γνωρίμην δὲ αὐτὴν καὶ μάλιστα πρῶτος ἐποίησε Λυκοῦργος. (7) Αἰγύπτιοι δὲ καὶ πρὸς αὐτοὺς ἀφικέσθαι τὸν Λυκοῦργον f οἴονται καὶ τὴν ἀπὸ τῶν ἄλλων γενῶν τοῦ μαχίμου διάκρισιν μάλιστα θαυμάσαντα μετενεγκεῖν εἰς τὴν Σπάρτην καὶ χωρίσαντα τοὺς βαναύσους καὶ χειροτέχνας, ἀστεῖον ὡς ἀληθῶς τὸ πολίτευμα καὶ καθαρὸν ἀποδεῖξαι. (8) Ταῦτα μὲν οὖν Αἰγυπτίοις ἔνιοι καὶ τῶν Ἑλ- a ληνικῶν συγγραφέων μαρτυροῦσιν· ὅτι δὲ καὶ Λιβύην καὶ Ἰβηρίαν ἐπῆλθεν ὁ Λυκοῦργος καὶ περὶ τὴν Ἰνδικὴν πλανηθεὶς τοῖς Γυμνοσοφισταῖς ὡμίλησεν, οὐδένα πλὴν Ἀριστοκράτη τὸν Ἱππάρχου Σπαρτιάτην εἰρηκότα γινώσκομεν.

V. Οἱ δὲ Λακεδαιμόνιοι τὸν Λυκοῦργον ἐπόθουν ἀπόντα καὶ μετεπέμποντο πολλάκις, ὡς τοὺς μὲν βασιλεῖς ὄνομα καὶ τιμὴν, ἄλλο δὲ μηδὲν διαφέρον τῶν πολλῶν ἔχοντας, ἐν ἐκείνῳ δὲ φύσιν ἡγεμονικὴν καὶ δύναμιν ἀνθρώπων ἀγωγὸν οὖσαν. (2) Οὐ μὴν οὐδὲ τοῖς βασιλεῦσιν ἦν ἀδούλητος ἡ παρουσία τοῦ ἀνδρὸς, ἀλλ' ἠλπιζον ἐκείνου συμπαρόντος ἧττον ὑβρίζουσι χρῆσθαι τοῖς πολλοῖς. (3) Ἐπανελθὼν οὖν πρὸς οὕτω διακει- b

spicionem effugere statuit, ac tamdiu vagari, dum fratris filius ad ætatem adultam perveniret, regnique hæredem progeneraret.

IV. Eo consilio profectus, primum in Cretam pervenit: ibi reipublicæ varias constitutiones inspexit, congressusque cum iis, qui gloria maxime alios anteirent, viris quasdam leges probavit, accepitque domum allaturus usurusque iis, quasdam sprevit. (2) Thaleti, qui inter ejus insulæ homines sapientes et ordinandæ reipublicæ idoneos habebatur, gratia et amicitia persuasit ut Spartam iret: poeta is lyricus existimabatur, hocque prætextu utens omnia ea, quæ præstantissimi legum conditores possent, efficiebat. (3) Carmina enim ejus erant ad obedientiam et concordiam adhortationes, modis ac numeris constantes, in quibus multum elegantiæ quodque ad animos sedandos faceret, inerat: quæ qui audiebant, simul et placabantur eorum sensim ingenia, et a malevolentia, qua tunc mutuo laborabant, ad studium honestatis adducebantur ita, ut quodammodo ad institutionem Spartanorum viam Lycurgo Thales straverit. (4) Ex Creta in Asiam abiit Lycurgus, ut, quod fertur, cum Crotensium frugalitate et severitate Ionicum luxum ac delicias contendens (medicos imitatus qui corporibus sanis morbosa comparant) vitæ ac reipublicæ differentias in eo contemplaretur. (5) Ibi cum primum, ut videtur, in Homeri carmina incidisset a posteris Creophyli asservata, conspiciens in illis ea, quæ ad reipublicæ et morum disciplinam conducerent, non minori studio, quam quæ ad voluptatem ac luxuriam pertinerent, admixta, cupide ea exscripsit collegitque, ut in Græciam adportaret. (6) Nam obscura quædam Homericæ poesis fama tum ad Græcos pervenerat, habebantque ejus partes pauci quidam aliquas, temere dispersas: primus Lycurgus præsertim notam reddidit. (7) Ægyptii ad se quoque Lycurgum venisse adserunt, secretionemque militarium hominum a reliquis ordinibus magnopere admiratum Spartam transtulisse et disjunctis a militari genere sedentarias artes exercentibus et opificibus, vere civilem et puram civitatem reddidisse. (8) Testimonium Ægyptiis de hac re etiam nonnulli Græci historici ferunt: sed Africam quoque et Hispaniam a Lycurgo aditas, vagatumque eum per Indiam, cum Gymnosophistis versatum fuisse, præter Aristocratem Hipparchi filium Spartanum qui tradiderit, neminem inveni.

V. At Lacedæmonii absentem Lycurgum desideravere, ac sæpenumero eum invitaverunt: existimabant enim regibus præter nomen et honorem nihil adesse, quo vulgus præstarent, in Lycurgo autem esse naturam principatui gerendo et ad conciliandos sibi homines aptam. (2) Ne regibus quidem adventus ejus non erat acceptus, sperantibus se, si Lycurgus ipsis adesset, minus contumeliis plebis obnoxios futuros. (3) Rediit igitur ad suos eo modo affectos Lycur- b

μένους εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν καὶ μεθιστάναι τὴν πολιτείαν, ὡς τῶν κατὰ μέρος νόμων οὐδὲν ἔργον οὐδὲ ὄφελος, εἰ μή τις ὥσπερ σώματι πονηρῷ καὶ γέμοντι παντοδαπῶν νοσημάτων τὴν ὑπάρχουσαν ἐκτήξας καὶ μεταβαλὼν κρᾶσιν ὑπὸ φαρμάκων καὶ καθαρμῶν, ἑτέρας ἄρξεται καινῆς διαίτης. (4) Διανοηθεὶς δὲ ταῦτα πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφούς· καὶ τῷ θεῷ θύσας καὶ χρησάμενος ἐπανῆλθε, τὸν διαβόητον ἐκεῖνον χρησμὸν κομίζων, ᾧ θεοφιλῆ μὲν αὐτὸν ἡ Πυθία προσεῖπε καὶ θεὸν μᾶλλον ἢ ἄνθρωπον· εὐνομίας δὲ χρήζοντι διδόναι καὶ καταινεῖν ἔφη τὸν θεὸν, ἢ πολὺ κρατίστη τῶν ἄλλων ἔσται πολιτειῶν. (5) Ἐπαρθεὶς δὲ τούτοις προσῆγε τοὺς ἀρίστους καὶ συνεφάπτεσθαι παρεκάλει, κρύφα διαλεγόμενος τοῖς φίλοις πρῶτον, εἶτα οὕτως κατὰ μικρὸν ἁπτόμενος πλειόνων καὶ συνιστὰς ἐπὶ τὴν πρᾶξιν. (6) Ὡς δ' ὁ καιρὸς ἦκε, τριάκοντα τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς ἀγορὰν προελθεῖν ἐκπλήξεως ἕνεκα καὶ φόβου πρὸς τοὺς ἀντιπράττοντας. Ὧν εἴκοσι τοὺς ἐπιφανεστάτους Ἑρμιππος ἀνέγραψε· τὸν δὲ μάλιστα τῶν Λυκούργου ἔργων κοινωνήσαντα πάντων καὶ συμπραγματευσάμενον τὰ περὶ τοὺς νόμους Ἀρθμιάδαν ὀνομάζουσιν. (7) Ἀρχομένης δὲ τῆς ταραχῆς ὁ βασιλεὺς Χαρίλαος φοβηθεὶς, ὡς ἐπ' αὐτὸν ὅλης τῆς πράξεως συνισταμένης, κατέφυγε πρὸς τὴν Χαλκίοικον· εἶτα πεισθεὶς καὶ λαβὼν ὅρκους ἀνέστη καὶ μετεῖχε τῶν πραττομένων, φύσει πρᾷος ὤν· (8) ὥς που καὶ λέγεται συμβασιλεύοντα τὸν Ἀρχέλαον αὐτῷ πρὸς τοὺς ἐγκωμιάζοντας τὸν νεανίσκον εἰπεῖν « Πῶς δ' ἂν οὐκ εἴη Χαρίλαος ἀνὴρ ἀγαθὸς, ὃς οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι; » (9) Πλειόνων δὲ καινοτομουμένων ὑπὸ τοῦ Λυκούργου πρῶτον ἦν καὶ μέγιστον ἡ κατάστασις τῶν γερόντων· ἦν φησιν ὁ Πλάτων τῇ τῶν βασιλέων ἀρχῇ φλεγμαινούσῃ μιχθεῖσαν καὶ γενομένην ἰσόψηφον εἰς τὰ μέγιστα, σωτηρίαν ἅμα καὶ σωφροσύνην παρασχεῖν. Αἰωρουμένη γὰρ ἡ πολιτεία καὶ ἀποκλίνουσα νῦν μὲν ὡς τοὺς βασιλεῖς ἐπὶ τυραννίδα, νῦν δὲ ὡς τὸ πλῆθος ἐπὶ δημοκρατίαν, οἷον ἔρμα τὴν τῶν γερόντων ἀρχὴν ἐν μέσῳ θεμένη καὶ ἰσορροπήσασα, τὴν ἀσφαλεστάτην τάξιν ἔσχε καὶ κατάστασιν· (10) ἀεὶ τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων τοῖς μὲν βασιλεῦσι προστιθεμένων, ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν, αὖθις δὲ ὑπὲρ τοῦ μὴ γενέσθαι τυραννίδα τὸν δῆμον ἀναῤῥωννύντων. (11) Τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων, δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. Ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησι τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας. (12) Εἴη δ' ἄν τι καὶ τὸ τοῦ ἀριθμοῦ δι' ἑβδομάδος τετράδι πολλαπλασιασθείσης ἀποτελούμενον, καὶ ὅτι τοῖς αὐτοῦ μέρεσιν ἴσος ὢν μετὰ τὴν ἑξάδα τέλειός ἐστιν. Ἐμοὶ δὲ δοκεῖ μάλιστα τοσούτους ἀποδεῖξαι τοὺς γέροντας, ὅπως οἱ πάντες εἶεν τριάκοντα, τοῖς ὀκτὼ καὶ εἴκοσι τοῖν δυοῖν βασιλέοιν προστιθεμένοιν.

VI. Οὕτω δὲ περὶ ταύτην ἐσπούδασε τὴν ἀρχὴν ὁ

gus ac statim aggressus est præsentem reipublicæ statum convellere et mutare : ratus, leges de singulis rebus latas nihil effecturas, neque profuturas, nisi tanquam vitiosi et omnis generis morborum pleni corporis totum temperamentum medicando et purgando evacuasset primum, deinde novam diætam instituisset. (4) Hæc secum cogitans, initio Delphos profectus est, et sacris peractis oraculum consuluit, celebre id responsum reportans, quo eum Pythia diis carum, magisque deum quam hominem appellavit : quærentique de bona legum latione, dixit dari ac aponderi a deo eum reipublicæ statum, qui omnium esset longe præstantissimus. (5) His fretus, optimates sibi conciliavit, clandestinoque colloquio primum amicos, deinde plures paulatim aggressus, ad rem suscipiendam auxiliumque ferendum sibi conciliavit. (6) Cum dies negotio destinata venisset, summo mane triginta e primoribus jussit armatos in forum prodire, qui adversariis terrorem incuterent, quorum maxime illustres viginti Hermippus recenset : qui vero præ reliquis omnibus negotiis socius et in ferendis legibus adjutor fuerit, Arthmiadam nominant. (7) Orto tumultu, Charilaus rex metuens contra se id omne inceptum, in Chalcioecum confugit; inde verbis fidem habens, accepto jurejurando concessit, et qua erat animi clementia, socium se iis quæ agebantur præbuit, (8) ferturque Archelaus collega ad eos, qui juvenem istum laudarent, dixisse, « Quidni sit bonus homo Charilaus, qui ne malis quidem novit gravis esse? » (9) Inter multa, quæ nova Lycurgus fecit, prima et potissima est senatus constitutio. Hunc Plato regum imperio fervenți turgescentique commixtum, jusque æquale in sententia dicenda adeptum, mirifice ad salutem urbis et modestiam conduxisse ait. Nam respublica fluctuans ac nunc apud reges ad tyrannidem, nunc apud multitudinem ad populare imperium vergens, senatu quasi saburra interjecto, æquo momento utrinque divisa tutissimam adepta est ordinationem. (10) cum octo et viginti senes (*ita vocabant senatores*) semper in eo regibus auxilio sint, ne ad populum summa rerum deferatur; rursusque populum corroborent, ne ad tyrannidem res deveniat. (11) Numeri autem eam rationem Aristoteles adfert, quod cum Lycurgus triginta instituisset, duo ex his præ metu ordinem deseruerint. At Sphærus initio tantum octo et viginti fuisse ait, qui sententiam dicerent : (12) ea fortasse ratione, quod is numerus ex septenario quaternario multiplicato producitur : aut quod post senarium primus est eorum, qui suis omnibus partibus simul sumptis æquales, perfecti dicuntur. Mihi videtur eo potius Lycurgus hunc senatorum numerum statuisse, ut si duo reges his addantur, in universum triginta sint.

VI. Tanto autem studio in ordine hoc sanciendo usus est,

Λυκοῦργος, ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς, ἣν ῥήτραν καλοῦσιν. (2) Ἔχει δὲ οὕτως· « Διὸς Ἑλλανίου καὶ Ἀθανᾶς Ἑλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα, τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος, καὶ οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι· δάμῳ δὲ κυρίαν ἦμεν καὶ κράτος. » (3) Ἐν τούτοις τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν ἐστι καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλὰς, τὰς δὲ ὠβὰς προσηγόρευκεν. Ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. Τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν· ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. (4) Τὴν δὲ Βαβύκαν καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα ποταμὸν, τὴν δὲ Βαβύκαν γέφυραν. Ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἦγον, οὔτε παστάδων οὐσῶν οὔτε ἄλλης τινὸς κατασκευῆς. (5) Οὐθὲν γὰρ ᾤετο ταῦτα πρὸς εὐβουλίαν εἶναι, μᾶλλον δὲ βλάπτειν φλυαρώδεις ἀπεργαζόμενα καὶ χαύνους φρονήματι κενῷ τὰς διανοίας τῶν συμπορευομένων, ὅταν εἰς ἀγάλματα καὶ γραφὰς ἢ προσκήνια θεάτρων ἢ στέγας βουλευτηρίων ἠσκημένας περιττῶς ἐκκλησιάζοντες ἀποβλέπωσι. (6) Τοῦ δὲ πλήθους ἀθροισθέντος, εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἐρεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. (7) Ὕστερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαστρεφόντων καὶ παραβιαζομένων, Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν· « Αἰ δὲ σκολιὰν ὁ δᾶμος ἕλοιτο, τοὺς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας εἶμεν, » τοῦτ' ἔστι μὴ κυροῦν, ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην παρὰ τὸ βέλτιστον. (8) Ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν, ὡς τοῦ θεοῦ ταῦτα προστάσσοντος, ὥς που Τυρταῖος ἐπιμέμνηται διὰ τούτων·

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἐνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτας ἱμερόεσσα πόλις,
πρεσβύτας τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους.

VII. Οὕτω τὸ πολίτευμα τοῦ Λυκούργου μίξαντος, ὅμως ἄκρατον ἔτι τὴν ὀλιγαρχίαν καὶ ἰσχυρὰν οἱ μετ' αὐτὸν ὁρῶντες σπαργῶσαν καὶ θυμοειδῆ, ὥς φησιν ὁ Πλάτων, οἷον ψάλιον ἐμβάλλουσιν αὐτῇ τὴν τῶν ἐφόρων δύναμιν, ἔτεσί που μάλιστα τριάκοντα καὶ ἑκατὸν μετὰ Λυκοῦργον, πρώτων τῶν περὶ Ἔλατον ἐφόρων καταστάντων ἐπὶ Θεοπόμπου βασιλεύοντος· ὃν καί φασιν ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὀνειδιζόμενον ὡς ἐλάττω παραδώσοντα τοῖς παισὶ τὴν βασιλείαν ἢ παρέλαβε, « Μείζω μὲν οὖν, εἰπεῖν, ὅσῳ χρονιωτέραν. » (2) Τῷ γὰρ ὄντι τὸ ἄγαν ἀποβαλοῦσα μετὰ τοῦ φθόνου διέφυγε τὸν κίνδυνον· ὥστε μὴ παθεῖν ἃ Μεσσήνιοι καὶ Ἀργεῖοι

ut rhetram quoque de eo Delphis attulerit, (2) cujus hic est tenor : « Jovis Hellanii et Minervæ Hellaniæ templum ædificet : populum in phylas et obas dividat, triginta senatores cum archagetis constituat : subinde inter Babycem et Cnacionem concionem populi convocet, itaque de rebus referat aut antiquet ; populo autem jussus erit et auctoritas. » (3) His oraculi verbis φυλὰς φυλάξαι et ὠβὰς ὠβάξαι significat dividere et distribuere popolum in partes, quarum alteras φυλὰς, alteras ὠβὰς appellant : reges autem archagetæ dicuntur, quasi duces : et concionem habere Græce hic exprimitur ἀπελλάζειν, propterea quod ad Apollinem Pythium reipublicæ initium et causam referebat. (4) Babycam et Cnacionem, Œnuntem hodie nominant : Aristoteles vero Cnacionem fluvii, Babycam pontis nomen esse auctor est. Horum in medio conciones agebant, cum neque porticus, neque alius ullus apparatus esset : (5) quippe hæc nihil ad consilium capiendum conducere existimabat, sed obesse verius, quæ eos, qui convenirent, statuis, picturis, prosceniisque theatrorum aut conclavibus curiæ nimio opere adornatis intentos spectandis, futiles efficerent, nugisque et vanis cogitationibus distinerent. (6) Conducta in unum locum multitudine referendi quapiam de re facultas nemini de populo concedebatur : tantum ejus erat ea, quæ seniores regesque proposuissent, jubere. (7) Posterioribus autem temporibus, cum plebs addendo detrahendoque suffragia perverteret atque alio detorqueret, Polydorus et Theopompus reges hæc rhetræ adjecerunt : « Sin pravum populus quid statuerit, seniorum regumque esto discessionem facere, » hoc est, ut ne ratum id faciant, sed protinus concionem dimittant, nimirum populo sententiam depravante, atque id, quod esset optimum, immutante. (8) Atque ita a deo præceptum esse, illi populo persuaserunt : quemadmodum Tyrtæus meminit hujus rei, ita scribens

Pythius ista canit vobis oracula Phœbus :
accipite, haud ullo vana futura die.
Consilii auctores agnoscat concio reges,
qui claræ Spartæ sceptra sacrata tenent :
sanctos inde senes : tum qui de plebe, sequantur,
auctores illi quæ statuere viri.

VII. Enimvero cum ad hunc modum civitatem Lycurgus temperasset, tamen posteri ut animadverterunt paucorum in republica potentiam adhuc turgidiorem ferocire (ita enim Plato tradit), Ephororum imperium fræni loco ei adjecerunt, primique sunt ephori constituti annis circiter post Lycurgum centum et triginta, in quibus Elatus fuit, regnante Theopompo. Hunc ferunt uxori exprobranti quod filiis suis regnum minus quam a majoribus accepisset, relicturus esset, « Imo autem tanto majus, respondisse, quanto diuturnius. » (2) Ac profecto cum nimia potentia, invidia quoque a regibus remota, effectum est ne timendum iis esset id, quod Messenii et Argivi regibus suis fecerunt, cum nihil

τοὺς παρ' αὐτοῖς βασιλεῖς ἔδρασαν μηδὲν ἐνδοῦναι μηδὲ χαλάσαι τῆς ἐξουσίας ἐπὶ τὸ δημοτικὸν ἐθελήσαντας. (3) Ὅτι καὶ μάλιστα τὴν Λυκούργου σοφίαν καὶ πρόνοιαν ἐποίησε φανερὰν, εἰς τὰς Μεσσηνίων καὶ Ἀργείων, συγγενῶν καὶ γειτόνων, δήμων καὶ βασιλέων στάσεις καὶ κακοπολιτείας ἀφορῶσιν· οἳ τῶν ἴσων ἀπ' ἀρχῆς τετυχηκότες, ἐν δὲ τῷ κλήρῳ καὶ πλέον ἔχειν ἐκείνων δόξαντες, οὐκ ἐπὶ πολὺν χρόνον εὐδαιμόνησαν, ἀλλ' ὕβρει μὲν τῶν βασιλέων, οὐκ εὐπειθείᾳ δὲ τῶν ὄχλων, τὰ καθεστῶτα συνταράξαντες ἔδειξαν ὅτι θεῖον ἦν ὡς ἀληθῶς εὐτύχημα τοῖς Σπαρτιάταις ὁ τὴν πολιτείαν ἁρμοσάμενος καὶ κεράσας παρ' αὐτοῖς. Ταῦτα μὲν οὖν ὕστερον.

VIII. Δεύτερον δὲ τῶν Λυκούργου πολιτευμάτων καὶ νεανικώτατον ὁ τῆς γῆς ἀναδασμός ἐστι. Δεινῆς γὰρ οὔσης ἀνωμαλίας καὶ πολλῶν ἀκτημόνων καὶ ἀπόρων ἐπιφερομένων τῇ πόλει, τοῦ δὲ πλούτου παντάπασιν εἰς ὀλίγους συνερρυηκότος ὕβριν καὶ φθόνον καὶ κακουργίαν καὶ τρυφὴν καὶ τὰ τούτων ἔτι πρεσβύτερα καὶ μείζω νοσήματα πολιτείας, πλοῦτον καὶ πενίαν ἐξελαύνων, συνέπεισε τὴν χώραν ἅπασαν εἰς μέσον θέντας, ἐξ ἀρχῆς ἀναδάσασθαι καὶ ζῆν μετ' ἀλλήλων ἅπαντας ὁμαλεῖς καὶ ἰσοκλήρους τοῖς βίοις γενομένους, τὸ δὲ πρωτεῖον ἀρετῇ μετιόντας· ὡς ἄλλης ἑτέρῳ πρὸς ἕτερον οὐκ οὔσης διαφορᾶς οὐδὲ ἀνισότητος, πλὴν ὅσην αἰσχρῶν ψόγος ὁρίζει καὶ καλῶν ἔπαινος. (2) Ἐπάγων δὲ τῷ λόγῳ τὸ ἔργον ἔνειμε τὴν μὲν ἄλλην τοῖς περιοίκοις Λακωνικὴν τρισμυρίους κλήρους, τὴν δὲ εἰς τὸ ἄστυ τὴν Σπάρτην συντελοῦσαν ἐνακισχιλίους· τοσοῦτοι γὰρ ἐγένοντο κλῆροι Σπαρτιατῶν. (3) Ἔνιοι δέ φασι τὸν μὲν Λυκοῦργον ἑξακισχιλίους νεῖμαι, τρισχιλίους δὲ μετὰ ταῦτα προσθεῖναι Πολύδωρον· οἱ δὲ τοὺς μὲν ἡμίσεις τῶν ἐνακισχιλίων τοῦτον, τοὺς δὲ ἡμίσεις Λυκοῦργον. (4) Ὁ δὲ κλῆρος ἦν ἑκάστου τοσοῦτος, ὥστ' ἀποφορὰν φέρειν ἀνδρὶ μὲν ἑβδομήκοντα κριθῶν μεδίμνους, γυναικὶ δὲ δώδεκα, καὶ τῶν ὑγρῶν καρπῶν ἀναλόγως τὸ πλῆθος. Ἀρκέσειν γὰρ ᾤετο τοσοῦτον αὐτοῖς τῆς τροφῆς, πρὸς εὐεξίαν καὶ ὑγείαν ἱκανῆς, ἄλλου δὲ μηδενὸς δεησομένοις. (5) Λέγεται δ' αὐτὸν ὕστερόν ποτε χρόνῳ τὴν χώραν διεξερχόμενον ἐξ ἀποδημίας ἄρτι τεθερισμένην, ὁρῶντα τοὺς σωροὺς παραλλήλους καὶ ὁμαλεῖς μειδιάσαι καὶ εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς ἡ Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων.

IX. Ἐπιχειρήσας δὲ καὶ τὰ ἐπίπλα διαιρεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον, ἐπεὶ χαλεπῶς ἑώρα προσδεχομένους τὴν ἄντικρυς ἀφαίρεσιν, ἑτέρᾳ περιῆλθεν ὁδῷ καὶ κατεπολιτεύσατο τὴν ἐν τούτοις πλεονεξίαν. (2) Πρῶτον μὲν γὰρ ἀκυρώσας πᾶν νόμισμα χρυσοῦν καὶ ἀργυροῦν μόνῳ χρῆσθαι τῷ σιδηρῷ προσέταξε· καὶ τούτῳ δὲ ἀπὸ πολλοῦ σταθμοῦ καὶ ὄγκου δύναμιν ὀλίγην ἔδωκεν, ὥστε δέκα μνῶν ἀμοιβὴν ἀποθήκης τε μεγάλης ἐν οἰκίᾳ δεῖσθαι καὶ ζεύγους ἄγοντος. (3) Τούτου δ' ἐπιχυθέντος ἐξέπεσεν ἀδικημάτων γένη πολλὰ

concedere de sua potentia, neque eam ad popularem rationem inclinare vellent. (3) Quanta autem fuerit Lycurgus sapientia et providentia maxime apparet ex Messeniorum et Argivorum, qui et cognati et vicini populi erant, regumque seditionibus et rebus publicis male administratis, qui etsi eorum reges initio tantumdem, quantum Lacedæmonii, juris, in sortibus ferendis etiam amplius habere videbantur, haud diuturna tamen sunt usi felicitate, sed regum injuriis contumaciaque multitudinis status reipublicæ concussus est: quæ ostendunt eum virum, qui rempublicam ita concinnavit ac temperavit, Lacedæmoniis vere deorum munere oblatum fuisse. Sed hæc postea.

VIII. Alterum in republica institutum Lycurgi, idque audacissimum quidem, est agrorum divisio. Cum enim esset permagna inæqualitas, multique in civitatem inopes egenique confluxissent, divitiæ autem omnes ad perpaucos homines rediissent, superbiam, invidiam, maleficia, ac luxuriam, hisque ipsis antiquiores ac majores reipublicæ morbos, divitias et paupertatem, urbe ut expelleret, persuasit suis, ut omnes agros in commune propositos denuo dividerent, viverentque inter se universi æquales, et quod ad victum attineret, ejusdem sortis, primas autem partes virtute sibi quærerent; neque enim esse aliud discrimen inæqualitatemve inter homines, nisi quam turpitudinis vituperatio, et honestatis laus definiret. (2) Tum rem ipsam aggressus, agrum Lacedæmonium iis qui circum urbem habitabant, per tricies mille sortes divisit; agrum vero, qui ad ipsam urbem Spartam pertinebat, per sortium millia novem: tot enim fuere sortes Spartanorum. (3) Quanquam alii sex millia a Lycurgo divisa, reliqua tria a Polydoro addita perhibent; alii dimidium novem millium huic, reliquum Lycurgo adscribunt. (4) Tantum vero agri unicuique sorte obtigit, ut vir in reditibus haberet septuaginta medimnos hordei, mulier duodecim, eique rationi et liquidorum fructuum proventus responderet. Tantum autem suffecturum ipsis ad victum existimabat, qui sanitati et robori corporis sustentando esset, cum præter hæc nihil essent desideraturi. (5) Traditum est, eum postea temporis peregre redeuntem, cum per agros recens demessos iter faceret, acervos paribus intervallis dispositos et æquales conspicatum subrisisse, atque iis, qui una aderant, dixisse totum agrum Lacedæmonium videri fratrum esse multorum, qui eum nuper inter se diviserint.

IX. Deinde instituens etiam rerum mobilium divisionem, quo omnem prorsus inæqualitatem tolleret, cum eas sibi adimi palam cives suos gravatim passuros intelligeret, alia via harum rerum cupiditatem removere instituit. (2) Primum omnem aureum argenteumque nummum abrogavit, soloque uti ferreo jussit: atque huic ipsi pondus et molem magnam, valorem parvum tribuit, ita ut nummi, quibus decem minarum pretium æquaretur, magna domi penu, et ad ferendum bigis opus haberent. (3) Nummo ad eum modum redacto, multa Lacedæmone flagitiorum ge-

τῆς Λακεδαίμονος. Τίς γὰρ ἢ κλέπτειν ἔμελλεν ἢ δωροδοκεῖν ἢ ἀποστερεῖν ἢ ἁρπάζειν, ὃ μήτε καταχρύψαι δυνατὸν ἦν μήτε κεκτῆσθαι ζηλωτὸν, ἀλλὰ μηδὲ κατακόψαι λυσιτελές; ὄξει γὰρ, ὡς λέγεται, διαπύρου σιδήρου τὸ στόμωμα κατασβέσας ἀφείλετο τὴν εἰς τἄλλα χρείαν καὶ δύναμιν, ἀδρανοῦς καὶ δυσέργου γενομένου. (4) Μετὰ δὲ τοῦτο τῶν ἀχρήστων καὶ περισσῶν ἐποιεῖτο τεχνῶν ξενηλασίαν. Ἔμελλον δέ που καὶ μηδενὸς ἐξελαύνοντος αἱ πολλαὶ τῷ κοινῷ νομίσματι συνεκπεσεῖσθαι διάθεσιν τῶν ἔργων οὐκ ἐχόντων. (5) Τὸ γὰρ σιδηροῦν ἀγώγιμον οὐκ ἦν πρὸς τοὺς ἄλλους Ἕλληνας, οὐδ' εἶχε τιμὴν καταγελώμενον· ὥστε οὐδὲ πρίασθαί τι τῶν ξενικῶν καὶ ῥωπικῶν ὑπῆρχεν· οὐδ' εἰσέπλει φόρτος ἐμπορικὸς εἰς τοὺς λιμένας· οὐδὲ ἐπέβαινε τῆς Λακωνικῆς οὐ σοφιστὴς λόγων, οὐ μάντις ἀγυρτικὸς, οὐχ ἑταιρῶν τροφεὺς, οὐ χρυσῶν τις, οὐκ ἀργυρῶν καλλωπισμάτων δημιουργὸς, ἅτε δὴ νομίσματος οὐκ ὄντος. (6) Ἀλλὰ οὕτως ἀπερημωθεῖσα κατὰ μικρὸν ἡ τρυφὴ τῶν ζωπυρούντων καὶ τρεφόντων, αὐτὴ δι' αὑτῆς ἐμαραίνετο· καὶ πλεῖον οὐδὲν ἦν τοῖς τὰ πολλὰ κεκτημένοις, ὀδὸν οὐκ ἐχούσης εἰς μέσον τῆς εὐπορίας, ἀλλ' ἐγκατῳκοδομημένης καὶ ἀργούσης. (7) Διὸ καὶ τὰ πρόχειρα τῶν σκευῶν καὶ ἀναγκαῖα ταῦτα, κλιντῆρες καὶ δίφροι καὶ τράπεζαι, βέλτιστα παρ' αὐτοῖς ἐδημιουργεῖτο καὶ κώθων ὁ Λακωνικὸς εὐδοκίμει μάλιστα πρὸς τὰς στρατείας, ὡς φησὶ Κριτίας. (8) Τὰ γὰρ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωποῦντα τὴν ὄψιν ἀπεκρύπτετο τῇ χρόᾳ καὶ τοῦ θολεροῦ προσκόπτοντος ἐντὸς καὶ προσισχομένου τοῖς ἄμβωσι καθαρώτερον ἐπλησίαζε τῷ στόματι τὸ πινόμενον. Αἴτιος δὲ καὶ τούτων ὁ νομοθέτης· ἀπηλλαγμένοι γὰρ οἱ δημιουργοὶ τῶν ἀχρήστων, ἐν τοῖς ἀναγκαίοις ἐπεδείκνυντο τὴν καλλιτεχνίαν.

X. Ἔτι δὲ μᾶλλον ἐπιθέσθαι τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου διανοηθεὶς τὸ τρίτον πολίτευμα καὶ κάλλιστον ἐπῆγε, τὴν τῶν συσσιτίων κατασκευὴν, ὥστε δειπνεῖν μετ' ἀλλήλων συνιόντας, ἐπὶ κοινοῖς καὶ τεταγμένοις ὄψοις καὶ σιτίοις, οἴκοι δὲ μὴ διαιτᾶσθαι κατακλιθέντας εἰς στρωμνὰς πολυτελεῖς καὶ τραπέζας, ἐν χερσὶ δημιουργῶν καὶ μαγείρων ὑπὸ σκότος, ὥσπερ ἀδηφάγα ζῷα, πιαινομένους καὶ διαφθείροντας ἅμα τοῖς ἤθεσι τὰ σώματα, πρὸς πᾶσαν ἐπιθυμίαν ἀνειμένα καὶ πλησμονὴν, μακρῶν μὲν ὕπνων, θερμῶν δὲ λουτρῶν, πολλῆς δὲ ἡσυχίας καὶ τρόπον τινὰ νοσηλείας· καθημερινῆς δεομένην. (2) Μέγα μὲν οὖν καὶ τοῦτο ἦν, μεῖζον δὲ τὸ τὸν πλοῦτον ἄζηλον, ὡς φησὶ Θεόφραστος, καὶ ἄπλουτον ἀπεργάσασθαι τῇ κοινότητι τῶν δεῖπνων καὶ τῇ περὶ τὴν δίαιταν εὐτελείᾳ. (3) Χρῆσις γὰρ οὐκ ἦν οὐδὲ ἀπόλαυσις οὐδὲ ὄψις ὅλως ἡ ἐπίδειξις τῆς πολλῆς παρασκευῆς, ἐπὶ τὸ αὐτὸ δεῖπνον τῷ πένητι τοῦ πλουσίου βαδίζοντος· ὥστε τοῦτο δὴ τὸ θρυλούμενον ἐν μόνῃ τῶν ὑπὸ τὸν ἥλιον πολεων τῇ Σπάρτῃ σώζεσθαι, τυφλὸν ὄντα τὸν πλοῦτον καὶ κείμενον, ὥσπερ γραφὴν ἄψυχον καὶ ἀκίνητον.

nera exciderunt. Quis enim vel furto, vel munerum captione, vel fraude, vel rapina eam rem sibi parare cuperet, quam neque occultare posset, neque possessio ejus magnopere expetenda esset, præterea vero ad nullos alios usus concidi possit? Fertur enim ferrum candens aceto restinxisse, itaque ejus rigore perdito, ut invalidum jam et intractabile esset, usum ejus ad alias res sustulisse. (4) Secundum hoc artes inutiles et supervacaneas urbe expulit: quanquam erat futurum, ut pleræque una cum nomismate vulgari excidcrent, quippe cum divendi opera nequirent. (5) Nam ferreus nummus apud alios Græcos risui, neque ullo in pretio erat. Itaque non licebat peregrinum quidquam et futile emere, neque onera mercium navigiis advehebantur in portus Spartæ, neque eo rhetor, neque circumforaneus hariolus, neque leno, neque aureorum argenteorumve ornamentorum opifex quisquam commeabat, non exstante nomismate. (6) Quo efficiebatur ut luxus ipse suapte sponte elanguesceret, sensim destitutus illis, quæ eum suscitarent atque alerent; neque ulla re locupletes aliis præstabant, cum divitiis infra domos conclusis atque otiose detentis in publicum aditus non esset. (7) Itaque ea instrumenta domus, quæ crebro in usu atque necessaria sunt, ut lectuli, ut sellæ, ut mensæ, optime apud eos parabantur, ac Lacedæmonius cothon (poculi id est genus) summam laudem in bello obtinebat ut auctor est Critias. (8) Nam cum aqua bibenda esset, a qua visus abhorreret, color poculi eam speciem occultabat, eoque quod turbidum erat intus ad anfractus ejus sive sinus alliso atque adhærescente, potus ipse tanto purior ori accedebat. Harum rerum causa penes legum latorem fuit: nam opifices ab inutilibus rebus prohibiti, artis præstantiam in necessariis operibus ostendebant.

X. Porro Lycurgus ulterius aggredi luxum, studiumque divitiarum penitus exscindere animo cogitans, tertium atque pulcerrimum institutum introduxit: nempe ut uno in loco cives simul cibum caperent, constitutis ad ea convivia certis ac communibus obsoniis. Ita domi cœnare non licebat, aut veste stragula mensisque pretiosis appositis, opificum et coquorum ministerio in tenebris more voracium belluarum corpus cibo distendere; quæ res simul cum moribus corpora etiam corrumpit, atque ad omnem voluptatem repletionemque laxat, utque longum somnum, calida lavacra, multam quietem, ac quotidianam quodammodo valetudinis curationem requirant, efficit. (2) Magnum sane hoc fuit: majus, quod convictu, ejusque frugalitate divitias despectas et inopes, ut ait Theophrastus, effecit. (3) Usus enim earum, fruitioque erat nulla: imo ne conspectus quidem, aut magni alicujus apparatus ostentatio, euntibus ad eandem cœnam paupere ac divite. Itaque illud tritum, ex omnibus orbis terrarum urbibus Spartæ solum verum fuit, divitias esse cæcas facere tanquam picturam anima motu-

(4) Οὐδὲ γὰρ οἶκοι προδειπνήσαντας ἐξῆν βαδίζειν ἐπὶ τὰ συσσίτια πεπληρωμένους, ἀλλ' ἐπιμελῶς οἱ λοιποὶ παραφυλάττοντες τὸν μὴ πίνοντα μηδὲ ἐσθίοντα μετ' αὐτῶν ἐκάκιζον, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν.

XI. Διὸ καὶ μάλιστά φασι τῷ Λυκούργῳ πρὸς τοῦτο τὸ πολίτευμα χαλεποὺς γενέσθαι τοὺς εὐπόρους καὶ συστάντας ἐπ' αὐτὸν ἀθρόους καταβοᾶν καὶ ἀγανακτεῖν· τέλος δὲ βαλλόμενος ὑπὸ πολλῶν ἐξέπεσε τῆς ἀγορᾶς δρόμῳ. Καὶ τοὺς μὲν ἄλλους ἔφθασεν εἰς ἱερὸν καταφυγών· (2) εἷς δέ τις νεανίσκος, ἄλλως μὲν οὐκ ἀφυὴς, ὀξὺς δὲ καὶ θυμοειδὴς, Ἄλκανδρος, ἐπικείμενος καὶ διώκων, ἐπιστραφέντος αὐτοῦ τῇ βακτηρίᾳ πατάξας τὸν ὀφθαλμὸν ἐξέκοψεν. (3) Ὁ μὲν οὖν Λυκοῦργος οὐδὲν ἐνδοὺς πρὸς τὸ πάθος, ἀλλὰ στὰς ἐναντίος ἔδειξε τοῖς πολίταις τὸ πρόσωπον ἡμαγμένον καὶ διεφθαρμένην τὴν ὄψιν. Αἰδὼς δὲ πολλὴ καὶ κατήφεια τοὺς ἰδόντας ἔσχεν, ὥστε παραδοῦναι τὸν Ἄλκανδρον αὐτῷ, καὶ προπέμψαι μέχρι τῆς οἰκίας συναγαναχτοῦντας. (4) Ὁ δὲ Λυκοῦργος ἐκείνους μὲν ἐπαινέσας ἀφῆκε, τὸν δὲ Ἄλκανδρον εἰσαγαγὼν οἴκαδε κακὸν μὲν οὐδὲν οὔτ' ἐποίησεν οὔτ' εἶπεν, ἀπαλλάξας δὲ τοὺς συνήθεις ὑπηρέτας καὶ θεραπευτῆρας ἐκεῖνον ἐκέλευσεν ὑπηρετεῖν. (5) Ὁ δὲ οὐκ ὢν ἀγεννὴς ἐποίει τὸ προστασσόμενον σωφρῆ καὶ παραμένων ἅμα τῷ Λυκούργῳ καὶ συνδιαιτώμενος ἐν τῷ κατανοεῖν τὴν πραότητα καὶ τὸ ἀπαθὲς αὐτοῦ τῆς ψυχῆς καὶ τὸ περὶ τὴν δίαιταν αὐστηρὸν καὶ τὸ πρὸς τοὺς πόνους ἄκαμπτον, αὐτός τε δεινῶς διετέθη περὶ τὸν ἄνδρα, καὶ πρὸς τοὺς συνήθεις καὶ φίλους ἔλεγεν, ὡς οὐ σκληρὸς οὐδ' αὐθάδης ὁ Λυκοῦργος, ἀλλὰ μόνος ἐκείνος ἥμερος καὶ πρᾷός ἐστι τοῖς ἄλλοις. (6) Οὕτω μὲν οὖν οὗτος ἐκεκόλαστο καὶ τοιαύτην ὑπεσχήκει δίκην, ἐκ πονηροῦ δὴ νέου καὶ αὐθάδους ἐμμελέστατος ἀνὴρ καὶ σωφρονικώτατος γενόμενος. (7) Τοῦ δὲ πάθους ὑπόμνημα Λυκοῦργος ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερὸν, ἣν Ὀπτιλέτιν προσηγόρευσε· τοὺς γὰρ ὀφθαλμοὺς ὀπτίλους οἱ τῇδε Δωριεῖς καλοῦσιν. (8) Ἔνιοι μέντοι τὸν Λυκοῦργον, ὧν καὶ Διοσκορίδης ἐστὶν ὁ συντεταγμένος τὴν Λακωνικὴν πολιτείαν, πληγῆναι μέν φασιν, οὐ τυφλωθῆναι δὲ τὸν ὀφθαλμὸν, ἀλλὰ καὶ τὸ ἱερὸν τῇ θεῷ τῆς ἀκέσεως χαριστήριον ἱδρύσασθαι. Τὸ μέντοι φέρειν βακτηρίαν ἐκκλησιάζοντες οἱ Σπαρτιᾶται μετὰ τὴν συμφορὰν ἐκείνην ἀπέμαθον.

XII. Τὰ δὲ συσσίτια Κρῆτες μὲν ἄνδρια, Λακεδαιμόνιοι δὲ φιδίτια προσαγορεύουσιν, εἴτε ὡς φιλίας καὶ φιλοφροσύνης ὑπαρχόντων, ἀντὶ τοῦ λ τὸ δ λαμβάνοντες, εἴτε ὡς πρὸς εὐτέλειαν καὶ φειδὼ συνεθιζόντων. (2) Οὐδὲν δὲ κωλύει καὶ τὸν πρῶτον ἔξωθεν ἐπικεῖσθαι φθόγγον, ὥσπερ ἔνιοί φασιν, ἐδιτίων παρὰ τὴν δίαιταν καὶ τὴν ἐδωδὴν λεγομένων. Συνήρχοντο δὲ ἀνὰ πεντεκαίδεκα καὶ βραχεῖ τούτων ἐλάττους ἢ πλείους. (3) Ἔφερε δὲ ἕκαστος κατὰ μῆνα τῶν συσσίτων ἀλφίτων μέδιμνον, οἴνου χόας ὀκτὼ, τυροῦ πέντε μνᾶς, σύκων ἡμίμνεα πέντε· πρὸς δὲ τούτοις εἰς ὀψωνίαν μικρόν τι κομιδῇ

que vacuam. (4) Neque vero domi prius cibo impletum licebat ad convivium venire : sed reliqui accurate animadverterunt, si quis cum ipsis non biberet ederetve, atque eum objurgabant ut intemperantem, quique præ mollitie communem victus rationem non ferret.

XI. Propterea hujus instituti causa potissimum infensi Lycurgo opulenti, ut aiunt, frequentesque coitione facta, clamore et indignatione eum exagitarunt : tandem multorum lapidibus impetitus, e foro se proripuit cursuque ad templum contendit : (2) ibi cum reliquos antevertisset juvenis quidam, Alcander nomine, non mali alioquin ingenii, sed præcipitis tamen atque iracundi, insequens eum, urgensque respicientis oculum baculo excussit. (3) Lycurgus nihil eo casu fractus, contra stetit, civibusque faciem cruentatam et oculum erutum ostendit. Movit is conspectus verecundiam ac mœstitiam, ita ut Alcandrum ei dederent, ipsumque communi cum indignatione domum deducerent. (4) Quos Lycurgus collaudatos dimisit : Alcandrum intro abductum, neque re neque verbo læsit, sed remotis suis domesticis famulis, eum sibi administrum esse jussit. (5) Alcander ut erat ingenio minime pravo, silentio mandata exsequens, et cum Lycurgo manens vitamque degens, animum ejus placidum et omni affectuum perturbatione carentem, rationem vitæ severam, summamque laborum tolerantiam ita perspexit, ut et maxima ejus observantia devinciretur et familiaribus amicisque suis diceret, non esse durum neque præfractum hominem Lycurgum, sed solum erga alios placidum illum et mansuetum. (6) Hoc modo castigatus Alcander fuit easque dedit pœnas, ut ex pravo et contumace juvene, civilissimus vir mansuetissimusque exstiterit. (7) Lycurgus ad memoriam ejus rei sanciendam Minervæ templum posuit nomine Optiletidis : nam oculos Dorienses istius regionis ὀπτίλους vocant. (8) Auctores habeo, interque eos Dioscoridem, qui de Republica Spartana scripsit, qui ictum quidem oculum, non tamen eo captum Lycurgum asserant : quinimo gratiarum actionis nomine pro medela deæ fanum id ab eo exstructum. Enimvero ab eo casu Spartani baculos in concionem adferre cessaverunt.

XII. Ceterum syssitia a Cretensibus Andria, Lacedæmoniis ipsis appellantur Phiditia : sive quod amicitiæ sunt sive benevolentiæ, (hoc est Philitia ; nam Græcis amicus φίλος dicitur, litera D in L mutata) : sive quia parsimoniæ, quæ ipsis est φειδώ, causa et frugalitatis discendæ usurpantur : (2) neque obstat quicquam, quominus Editia, a cibo videlicet, nominata putemus, prima litera aliunde adjecta, quæ est quorumdam sententia. Conveniebant autem quindeni, aut eo paulo amplius minusve. (3) Quorum unus singulis mensibus afferebat in commune farinæ medimnum, vini choas octo, casei minas quinque, ficuum minas duas et dimidiam : et præterea perparum pecuniæ ad coemen-

νομίσματος. (4) Ἄλλως δὲ καὶ θύσας τις ἀπαρχὴν καὶ θηρεύσας μέρος ἔπεμψεν εἰς τὸ συσσίτιον. Ἐξῆν γὰρ οἴκοι δειπνεῖν, ὁπότε θύσας τις ἢ κυνηγῶν ὀφείσειε, τοὺς δὲ ἄλλους ἔδει παρεῖναι. (5) Καὶ μέχρι γε πολλοῦ τὰς συσσιτήσεις ἀκριβῶς διεφύλαττον. Ἀγίδος γοῦν τοῦ βασιλέως, ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατείας καταπεπολεμηκὼς Ἀθηναίους, βουλομένου παρὰ τῇ γυναικὶ δειπνεῖν καὶ μεταπεμπομένου τὰς μερίδας, οὐκ ἔπεμψαν οἱ πολέμαρχοι. Τοῦ δὲ μεθ' ἡμέραν ὑπ' ὀργῆς μὴ θύσαντος ἦν ἔδει θυσίαν, ἐζημίωσαν αὐτόν. (6) Εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων, ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι, καὶ λόγων ἠκροῶντο πολιτικῶν καὶ παιδευτὰς ἐλευθερίας ἑώρων, αὐτοί τε παίζειν εἰθίζοντο καὶ σκώπτειν ἄνευ βωμολοχίας καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν. (7) Σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο Λακωνικὸν εἶναι, σκώμματος ἀνέχεσθαι· μὴ φέροντα δὲ ἐξῆν παραιτεῖσθαι καὶ ὁ σκώπτων ἐπέπαυτο. Τῶν δ' εἰσιόντων ἑκάστῳ δείξας ὁ πρεσβύτατος τὰς θύρας « Διὰ τούτων, φησίν, ἔξω λόγος οὐκ ἐκπορεύεται. » (8) Δοκιμάζεσθαι δὲ τὸν βουλόμενον τοῦ συσσιτίου μετασχεῖν οὕτω φασί. Λαβὼν τῶν συσσίτων ἕκαστος ἀπομαγδαλίαν εἰς τὴν χεῖρα τοῦ διακόνου φέροντος ἀγγεῖον ἐπὶ τῆς κεφαλῆς, ἔβαλλε σιωπῇ καθάπερ ψῆφον· ὁ μὲν δοκιμάζων ἁπλῶς, ὁ δ' ἐκκρίνων σφόδρα τῇ χειρὶ πιέσας· ἡ γὰρ πεπιεσμένη τὴν τῆς τετρημένης ἔχει δύναμιν. (9) Κἂν μίαν εὕρωσι τοιαύτην, οὐ προσδέχονται τὸν ἐπεισιόντα βουλόμενοι πάντας ἡδομένους ἀλλήλοις συνεῖναι. Τὸν δὲ οὕτως ἀποδοκιμασθέντα ἐκκεκαδίσθαι λέγουσι· κάδδιχος γὰρ καλεῖται τὸ ἀγγεῖον, εἰς ὃ τὰς ἀπομαγδαλίας ἐμβάλλουσι. (10) Τῶν δὲ ὄψων εὐδοκίμει μάλιστα παρ' αὐτοῖς ὁ μέλας ζωμός, ὥστε μηδὲ κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, ἀλλὰ παραχωρεῖν τοῖς νεανίσκοις, αὐτοὺς δὲ τοῦ ζωμοῦ καταχεομένους ἑστιᾶσθαι. (11) Λέγεται δέ τινα τῶν Ποντικῶν βασιλέων ἕνεκα τοῦ ζωμοῦ καὶ πρίασθαι Λακωνικὸν μάγειρον· εἶτα γευσάμενον δυσχεράναι· καὶ τὸν μάγειρον εἰπεῖν· « Ὦ βασιλεῦ, τοῦτον δεῖ τὸν ζωμὸν ἐν τῷ Εὐρώτᾳ λελουμένους ἐποψᾶσθαι. » (12) Πιόντες δὲ μετρίως ἁπίασι δίχα λαμπάδος. Οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν οὔτε ταύτην οὔτε ἄλλην ὁδὸν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν. Τὰ μὲν οὖν συσσίτια τοιαύτην ἔχει τάξιν.

XIII. Νόμους δὲ γεγραμμένους ὁ Λυκοῦργος οὐκ ἔθηκεν, ἀλλὰ μία τῶν καλουμένων ῥητρῶν ἐστιν αὕτη. Τὰ μὲν οὖν κυριώτατα καὶ μέγιστα πρὸς εὐδαιμονίαν πόλεως καὶ ἀρετὴν ἐν τοῖς ἤθεσιν ὥρτο καὶ ταῖς ἀγωγαῖς τῶν πολιτῶν ἐγκαταστοιχειωμένα μένειν ἀκίνητα καὶ βέβαια, ἔχοντα τὴν προαίρεσιν δεσμὸν ἰσχυρότερον τῆς ἀνάγκης, ἣν ἡ παίδευσις ἐμποιεῖ τοῖς νέοις νομοθέτου διάθεσιν ἀπεργαζομένη περὶ ἕκαστον αὐτῶν. (2) Τὰ δὲ μικρὰ καὶ χρηματικὰ συμβόλαια καὶ μεταπίπτοντα ταῖς χρείαις ἄλλοτε ἄλλως βέλτιον ἦν μὴ καταλαμβάνειν ἐγγράφοις ἀνάγκαις μηδ' ἀκινήτοις ἔθεσιν, ἀλλ' ἐᾶν ἐπὶ τῶν καιρῶν προσθέσεις λαμβάνοντα καὶ ἀφαι-

dum obsonium. (4) Ad hæc si quis primitias divis offerret, aut venationem secundam feciset, partem ejus ad syssitium mittebat: nam qui sacrificando vel venando retardatus esset, ei domi cibum sumere licebat, reliquos interesse syssitio oportebat. (5) Diu sane hæc conviviorum lex observata accurate fuit; nam Agidi regi debellatis Atheniensibus a militia domum redeunti, partesque suas sibi mitti petenti, ut cum uxore cœnaret, Polemarchi eas non miserunt; cumque is ira permotus, postridie sacrificium, quod facere debebat, intermitteret, ab iis multatus est. (6) Ad ea, quæ demonstravimus, convivia pueri etiam, tanquam ad ludum, in quo discerentur temperantia, adducebantur: audiebant sermones de republica, præceptores liberales videbant, ipsique adsuescebant ludere et jocari citra scurrilitatem, jocisque petiti non ægre ferre. (7) Videbatur enim admodum consentaneum esse Spartanis moribus, posse salse dicta aliorum tolerare; si quis non ferret cavillum, licebat deprecari; ita enim alter a jocando desistebat. Intrantium unicuique maximus natu ostendens januam: « Per hanc, inquit, sermo nullus exit. » (8) Eum, qui convictus particeps esse velit, ad hunc modum probari tradunt. Convivarum unusquilibet frustum pauis (ἀπομαγδαλίαν ipsi vocant) accipit; eamque calculi instar in vas, quod minister capiti impositum circumfert, tacitus immittit, id quidem simpliciter, si eum de quo quæstio est, recipiendum putet; sin reprobet, manu admodum compressam: hæc autem vicem calculi perforati habet; (9) ac si una hujusmodi fuerit reperta, ille non recipitur in convictum; volunt enim omnes invicem omnium voluntate convivas esse. Qui ad hunc modum rejicitur, ἐκκεκαδίσθαι (*vasculo ejectum esse*) dicunt; κάδδιχος enim vocant vas illud, in quod apomagdaliæ conjiciuntur. (10) In eduliorum genere primam laudem apud eos obtinuit jus nigrum: ita ut carnem omnino seniores non desiderarint, sed juvenibus eam concesserint, ipsi jus nigrum comederint. (11) Memoriæ proditum est, emptum a quodam Ponti rege juris atri causa coquum Lacedæmonium: ceterum regem, gustato jure isto, aspernatum: ibi ei coquum dixisse, « Hoc jure, o rex, vescendum est, ubi te Eurota prius ablueris. » (12) Porro postquam modice biberunt Spartani, absque facibus domum abeunt. Neque enim vel in hac, vel in alia via lumine eis uti licet, quo consuescant noctu et in tenebris intrepide iter facere. Ac de syssitiis quidem hactenus.

XIII. Leges autem scriptas Lycurgus non posuit; atque hoc ipsum in una rhetrarum quas vocant cautum est. Ita enim judicabat, ea quæ ad felicitatem civitatis et virtutem omnium maximum adferrent momentum, ita demum permanere immobilia, si moribus et educationi civium implantarentur; nam firmam voluntatem ex his elementis oriri, quæ necessitate est validius vinculum: eam porro disciplina, quæ legum conditoris vicem gerit, apud juniores effici. (2) Atqui exiguos illos et pecuniarios contractus, quique propter usum vitæ subinde immutantur, melius consebat scriptis legibus non comprehendi neque immobilibus consuetudinibus illigari, sed permittendum ut pro ra-

ρέσεις, ἃς ἂν οἱ πεπαιδευμένοι δοκιμάσωσι. (3) Τὸ δὲ ὅλον καὶ πάσης νομοθεσίας ἔργον εἰς τὴν παιδείαν ἀνῆψε. Μία μὲν οὖν τῶν ῥητρῶν ἦν, ὥσπερ εἴρηται, μὴ χρῆσθαι νόμοις ἐγγράφοις. (4) Ἑτέρα δὲ πάλιν κατὰ τῆς πολυτελείας, ὅπως οἰκία πᾶσα τὴν μὲν ὀροφὴν ἀπὸ πελέκεως εἰργασμένην ἔχῃ, τὰς δὲ θύρας ἀπὸ πρίονος μόνου καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων. (5) Ὅπερ γὰρ ὕστερον Ἐπαμεινώνδαν εἰπεῖν λέγουσιν ἐπὶ τῆς ἑαυτοῦ τραπέζης, ὡς τὸ τοιοῦτον ἄριστον οὐ χωρεῖ προδοσίαν, τοῦτο πρῶτος ἐνόησε Λυκοῦργος, ὡς οἰκία τοιαύτη τρυφῆς οὐ χωρεῖ πολυτέλειαν. (6) Οὐδ' ἔστιν οὐδεὶς οὕτως ἀπειρόκαλος καὶ ἀνόητος, ὥστ' εἰς οἰκίαν ἀφελῆ καὶ δημοτικὴν εἰσφέρειν κλίνας ἀργυρόποδας καὶ στρωμνὰς ἁλουργεῖς καὶ χρυσᾶς κύλικας καὶ τὴν τούτοις ἑπομένην πολυτέλειαν· ἀλλ' ἀνάγκη ἴσην ἁρμόζεσθαι καὶ συνεξομοιοῦν τῇ μὲν οἰκίᾳ τὴν κλίνην, τῇ δὲ κλίνῃ τὴν ἐσθῆτα, ταύτῃ δὲ τὴν ἄλλην χορηγίαν καὶ κατασκευήν. (7) Ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ Λεωτυχίδην τὸν πρεσβύτερον, ἐν Κορίνθῳ δειπνοῦντα καὶ θεασάμενον τῆς στέγης τοῦ οἴκου τὴν κατασκευὴν πολυτελῆ καὶ φατνωματικήν, ἐρωτῆσαι τὸν ξένον, εἰ τετράγωνα παρ' αὐτοῖς τὰ ξύλα φύεται. (8) Τρίτην δὲ ῥήτραν διαμνημονεύουσι τοῦ Λυκούργου, τὴν κωλύουσαν ἐπὶ τοὺς αὐτοὺς πολεμίους στρατεύειν, ἵνα μὴ πολλάκις ἀμύνεσθαι συνεθιζόμενοι πολεμικοὶ γένωνται. (9) Καὶ τοῦτό γε μάλιστα κατηγοροῦσιν Ἀγησιλάου τοῦ βασιλέως ὕστερον, ὡς ταῖς συνεχέσι καὶ πυκναῖς εἰς τὴν Βοιωτίαν ἐμβολαῖς καὶ στρατείαις τοὺς Θηβαίους ἀντιπάλους τοῖς Λακεδαιμονίοις κατασκευάσαντος. (10) Διὸ καὶ τετρωμένον αὐτὸν ἰδὼν Ἀνταλκίδας, « Καλὰ, ἔφη, τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδὲ εἰδότας μάχεσθαι διδάξας. » (11) Τὰ μὲν οὖν τοιαῦτα νομοθετήματα ῥήτρας ὠνόμασεν, ὡς παρὰ τοῦ θεοῦ νομιζόμενα καὶ χρησμοὺς ὄντα.

XIV. Τῆς δὲ παιδείας, ἣν μέγιστον ἡγεῖτο τοῦ νομοθέτου καὶ κάλλιστον ἔργον εἶναι, πόῤῥωθεν ἀρχόμενος εὐθὺς ἐπεσκόπει τὰ περὶ τοὺς γάμους καὶ τὰς γενέσεις. (2) Οὐ γὰρ, ὡς Ἀριστοτέλης φησὶν, ἐπιχειρήσας σωφρονίζειν τὰς γυναῖκας ἐπαύσατο μὴ κρατῶν τῆς πολλῆς ἀνέσεως καὶ γυναικοκρατίας διὰ τὰς πολλὰς στρατείας τῶν ἀνδρῶν, ἐν αἷς ἠναγκάζοντο κυρίας ἀπολείπειν ἐκείνας καὶ διὰ τοῦτο μᾶλλον τοῦ προσήκοντος αὐτὰς ἐθεράπευον καὶ δεσποίνας προσηγόρευον· ἀλλὰ καὶ τούτων τὴν ἐνδεχομένην ἐπιμέλειαν ἐποιήσατο. (3) Τὰ μέν γε σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ὡς ἥ τε τῶν γεννωμένων ῥίζωσις ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα βλαστάνοι βέλτιον, αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι καλῶς ἅμα καὶ ῥᾳδίως ἀγωνίζοιντο πρὸς τὰς ὠδῖνας. (4) Ἀφελὼν δὲ θρύψιν καὶ σκιατροφίαν καὶ θηλύτητα πᾶσαν οὐδὲν ἧττον εἴθισε τῶν κόρων τὰς κόρας γυμνάς τε πομπεύειν καὶ πρὸς ἱεροῖς τισιν ὀρχεῖσθαι καὶ ᾄδειν τῶν νέων παρόντων καὶ θεωμένων.

tione temporis augerentur, diminuerenturve, secundum prohe institutorum hominum arbitrium. (3) Omnino totius legum lationis negotium ad disciplinam referebat. Itaque, sicuti demonstravimus, ex rhetris hæc una erat, ne legibus scriptis uterentur. (4) Alia fuit de sumptibus, qua præcipiebatur, ut omnis domus fastigium securi tantum, fores sola serra, nullo alio instrumento adornarentur. (5) Quod enim postea temporis Epaminondam de sua mensa dixisse ferunt, hujusmodi prandium proditionis non esse capax; id Lycurgus jam ante intellexit, hujusmodi domum luxui et sumptuoso apparatui locum non dare. (6) Neque enim quemquam ita esse ineptum et stolidum, ut in domum rudem ac plebeiam lectos argenteis pedibus fultos, stragula purpurea, aureos calices, luxumque horum comitem importandum ducat: sed necesse esse, ut domui culcita, ei vestis, huicque reliqua supellex et apparatus æqualis adaptetur. (7) Ex hac consuetudine ductum est id, quod de Leotychida majore traditur: Corinthi eum cœnantem, cum videret tabulata domus sumptuosa et laqueata, quæsivisse ex hospite: ecquid apud ipsos ligna quadrata nascerentur. (8) Tertia rhetra Lycurgus, ut perhibent, vetuit sæpius bellum iisdem hostibus inferre, ne scilicet ii subinde se defendere discentes, bellicosi fierent. (9) Idque posterioribus temporibus regi Agesilao cum primis est vitio datum, quod crebris et continentibus in Bœotiam impressionibus atque expeditionibus Thebanos bello Lacedæmoniis æquales effecisset. (10) Idcirco Antalcidas cum eum vulneratum videret, « Egregiam, inquit, doctrinæ mercedem a Thebanis recipis, quos nolentes ignarosque pugnare docuisti. » (11) Has autem leges rhetras nominavit Lycurgus, tanquam a deo statutas et oracula.

XIV. Disciplinam, quod præcipuum ac pulcerrimum legislatoris opus esse censebat, ut bonam institueret, longe repetito ejus rei principio, ea primo loco consideravit, quæ ad conjugia et liberorum procreationem attinent. (2) Neque enim audiendus Aristoteles, qui eum memorat conatum etiam mulieres modestiam docere, destitisse ab incepto, victum licentia nimia earum inque viros imperio, ex crebris virorum expeditionibus orto: ob quas coacti omnia in earum potestate relinquere, magis quam conveniret, eis obsecuti sint, dominasque appellaverint; sed quantum fieri potuit etiam his diligentiæ adhibuit. (3) Corpora virginum cursu, lucta, discique et missilium jaculationibus exercuit, ut et nascentium exinde in robusto corpore quasi radix firma jacta, germinaret eo melius et ipsæ robore corporis fretæ in pariendo dolores facilius sustinerent. (4) Itaque omni delicata et umbratili educatione mollitieque muliebri sublata puellas, non minus quam pueros, nudas in pompis procedere ac certis quibusdam sacrificiis saltare et canere adsuefecit, adolescentibus præsenti-

(5) Ἔστι δὲ ὅτε καὶ σκώμματα λέγουσαι πρὸς ἕκαστον εὐχρήστως ἐπελαμβάνοντο τῶν ἁμαρτανομένων· καὶ πάλιν εἰς τοὺς ἀξίους αὐτῶν ἐγκώμια μετ' ᾠδῆς πεποιημένα διεξιοῦσαι φιλοτιμίαν πολλὴν καὶ ζῆλον ἐνεποίουν τοῖς νεανίσκοις. (6) Ὁ γὰρ ἐγκωμιασθεὶς ἐπ' ἀνδραγαθίᾳ καὶ κλεινὸς ἐν ταῖς παρθένοις γεγονὼς ἀπῄει μεγαλυνόμενος ὑπὸ τῶν ἐπαίνων· αἱ δὲ μετὰ παιδιᾶς καὶ σκωμμάτων δήξεις οὐδὲν ἀμβλύτεραι τῶν μετὰ σπουδῆς νουθετημάτων ἦσαν· ἅτε δὴ πρὸς τὴν θέαν ὁμοῦ τοῖς ἄλλοις πολίταις, καὶ τῶν βασιλέων καὶ τῶν γερόντων συμπορευομένων. (7) Ἡ δὲ γύμνωσις τῶν παρθένων οὐδὲν αἰσχρὸν εἶχεν, αἰδοῦς μὲν παρούσης, ἀκρασίας δὲ ἀπούσης· ἀλλ' ἐθισμὸν ἀφελῆ καὶ ζῆλον εὐεξίας ἐνεργάζετο καὶ φρονήματος τὸ θῆλυ παρέγευεν οὐκ ἀγεννοῦς, ὡς μηδὲν ἧττον αὐτῷ καὶ ἀρετῆς καὶ φιλοτιμίας μετουσίαν οὖσαν. (8) Ὅθεν αὐταῖς καὶ λέγειν ἐπῄει καὶ φρονεῖν, οἷα καὶ περὶ Γοργοῦς ἱστόρηται τῆς Λεωνίδου γυναικός. Εἰπούσης γάρ τινος, ὡς ἔοικε, ξένης πρὸς αὐτήν, ὡς « Μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ Λάκαιναι· » « Μόναι γάρ, ἔφη, τίκτομεν ἄνδρας. »

XV. Ἦν μὲν οὖν καὶ ταῦτα παρορμητικὰ πρὸς γάμον· λέγω δὲ τὰς πομπὰς τῶν παρθένων καὶ τὰς ἀποδύσεις καὶ τοὺς ἀγῶνας ἐν ὄψει τῶν νέων, ἀγομένων οὐ γεωμετρικαῖς, ἀλλ' ἐρωτικαῖς, ὥς φησιν ὁ Πλάτων, ἀνάγκαις· οὐ μὴν ἀλλὰ καὶ ἀτιμίαν τινὰ προσέθηκε τοῖς ἀγάμοις. (2) Εἴργοντο γὰρ ἐν ταῖς γυμνοπαιδιαῖς τῆς θέας· τοῦ δὲ χειμῶνος οἱ μὲν ἄρχοντες αὐτοὺς ἐκέλευον ἐν κύκλῳ γυμνοὺς περιιέναι τὴν ἀγοράν, οἱ δὲ περιιόντες ᾖδον εἰς αὐτοὺς ᾠδήν τινα πεποιημένην, ὡς δίκαια πάσχοιεν, ὅτι τοῖς νόμοις ἀπειθοῦσι· τιμῆς δὲ καὶ θεραπείας, ἣν νέοι πρεσβυτέροις παρεῖχον, ἐστέροντο (3) Ὅθεν καὶ τὸ πρὸς Δερκυλλίδαν ῥηθὲν οὐδεὶς ἐμέμψατο, καίπερ εὐδόκιμον ὄντα στρατηγόν. Ἐπιόντι γὰρ αὐτῷ τῶν νεωτέρων τις ἕδρας οὐχ ὑπεῖξεν εἰπών « Οὐδὲ γὰρ ἐμοὶ σὺ τὸν ὑπείξοντα γεγέννηκας. » (4) Ἐγάμουν δὲ δι' ἁρπαγῆς, οὐ μικρὰς οὐδὲ ἀώρους πρὸς γάμον, ἀλλὰ καὶ ἀκμαζούσας καὶ πεπείρους. Τὴν δὲ ἁρπασθεῖσαν ἡ νυμφεύτρια καλουμένη παραλαβοῦσα, τὴν μὲν κεφαλὴν ἐν χρῷ περιέκειρεν, ἱματίῳ δὲ ἀνδρείῳ καὶ ὑποδήμασιν ἐνσκευάσασα κατέκλινεν ἐπὶ στιβάδα μόνην ἄνευ φωτός. (5) Ὁ δὲ νυμφίος οὐ μεθύων οὐδὲ θρυπτόμενος, ἀλλὰ νήφων, ὥσπερ ἀεί, δεδειπνηκὼς ἐν τοῖς φιδιτίοις, παρεισελθὼν ἕλυε τὴν ζώνην καὶ μετήνεγκεν ἁράμενος ἐπὶ τὴν κλίνην. Συνδιατρίψας δὲ χρόνον οὐ πολὺν ἀπῄει κοσμίως, οὗπερ εἰώθει τὸ πρότερον, καθευδήσων μετὰ τῶν ἄλλων νέων. (6) Καὶ τὸ λοιπὸν οὕτως ἔπραττε, τοῖς μὲν ἡλικιώταις συνδιημερεύων καὶ συναναπαυόμενος, πρὸς δὲ τὴν νύμφην κρύφα μετ' εὐλαβείας φοιτῶν, αἰσχυνόμενος καὶ δεδοικὼς, μή τις αἴσθοιτο τῶν ἔνδον ἅμα καὶ τῆς νύμφης ἐπιτεχνωμένης καὶ συνευπορούσης, ὅπως ἂν ἐν καιρῷ καὶ λανθάνοντες ἀλλήλοις συμπορεύοιντο. Καὶ τοῦτο ἔπραττον οὐκ ὀλίγον χρόνον, ἀλλ' ὥστε καὶ παῖδας γενέσθαι ἐνίοις, πρὶν ἐς ἡμέραν θεάσασθαι.

bus et spectantibus. (5) Nonnumquam eos, qui aliquid deliquissent, dicteriis eæ incessentes commode adhibitis corrigebant, itemque dignorum præconia cantabant. Qua re in adolescentibus magnam contentionem virtutis æmulationemque excitabant. (6) Qui enim virtutis causa laudatus, gloriam apud virgines invenisset, animo elatus discedebat; verum reprehensiones per ludum et jocum factæ, seriis admonitionibus non minus valebant, quod ad spectacula, præter reliquos cives, etiam reges senioresque convenirent. (7) Jam virginum denudatio nihil in se turpe habebat, ubi petulantia remota, aderat verecundia : præstabatque iis exercitationem innocuam, et contentionem de firma corporis affectione, delibandamque præbebat mulieribus ingenuam quandam animi elationem, ut a virtutis et gloriæ studio se non omnino exclusas intelligerent. (8) Quare dicere illis subibat et cogitare id, quod ferunt Gorgone Leonidæ uxorem respondisse hospitæ cuidam dicenti, « Solæ vos Spartanæ viris vestris imperatis »; « Quia, inquit, solæ etiam viros parimus. »

XV. Præterea illa virginum spectacula, nuditates, certaminaque in conspectu juvenum edita, eos ad matrimonia stimulabant, adigebantque, ut ait Plato, non geometrica, sed amatoria necessitate. Pœnam quoque iis, qui uxores ducere noluissent, Lycurgus constituit, (2) ut a spectandis quæ in Gymnopædiis aguntur certaminibus arcerentur, et hieme jubebantur a magistratibus nudi in orbem circumire forum, atque inter circumeundum cantare carmen quoddam in se compositum, quo indicabant merito se hæc pati, quod legibus obtemperare nollent. Privabantur etiam eo honore, quem juniores senibus exhibent. (3) Unde et illud in Dercyllidam, quantumvis præclarum ducem, dictum a nemine est reprehensum : cui accedenti juvenis quidam loco non cessit; « Quia, inquit, tu quoque nullum genuisti, qui mihi assurgere aliquando possit. » (4) Rapiebant autem eas, quas ducerent, non parvas, neque viro immaturas, sed adultas et viro tempestivas. Raptæ sibique traditæ caput pronuba radit, vesteque virili et calceis adornatam reclinat in torum e foliis congestum solam absque lumine. (5) Sponsus non ebrius, neque luxuria confectus, sed sobrius et pro more cœnatus in phiditiis, ingressus ad eam, zonam solvit, ipsamque sublatam in lectum transfert : paululumque cum ea moratus, modeste abit, ut, sicut consueverat, cum reliquis juvenibus dormiat. (6) Idemque postea agit, ut cum æqualibus interdiu degens noctuque cubans, ad sponsam vero clam caute commeet, verecunde metuens, ne quis eorum, qui in domo ea sunt, ipsum animadvertat; nec non etiam sponsa id machinatur, ut commode et furtim congredi possint. Neque per breve tantum tempus id agebant, sed eo usque, ut nonnullis liberi fuerint nati, priusquam interdiu suas uxores viderint. (7) Hæc

σθαι τὰς ἑαυτῶν γυναῖκας. (7) Ἡ δὲ τοιαύτη σύνοδος οὐ μόνον ἐγκρατείας καὶ σωφροσύνης ἄσκησις ἦν, ἀλλὰ τοῖς τε σώμασι γονίμους καὶ τῷ φιλεῖν ἀεὶ καινοὺς καὶ προσφάτους ἦγεν ἐπὶ τὴν κοινωνίαν, οὐδὲ διακορεῖς οὐδ' ἐξιτήλους ταῖς ἀνέδην κοινωνίαις, ἀλλ' ἀεί τι λείψανον καὶ ὑπέκκαυμα πόθου καὶ χάριτος ἐναπολείποντας ἀλλήλοις. (8) Τοσαύτην δὲ τοῖς γάμοις ἐπιστήσας αἰδῶ καὶ τάξιν, οὐδὲν ἧττον ἐξέβαλε τὴν κενὴν καὶ γυναικώδη ζηλοτυπίαν, ἐν καλῷ καταστήσας ὄβριν μὲν καὶ ἀταξίαν πᾶσαν εἴργειν ἀπὸ τοῦ γάμου, παίδων δὲ καὶ τεκνώσεως κοινωνίαν ἔᾶν τοῖς ἀξίοις, καταγελῶντας τῶν, ὡς ἄμικτα καὶ ἀκοινώνητα, ταῦτα μετιόντων σφαγαῖς καὶ πολέμοις. (9) Ἐξῆν μὲν γὰρ ἀνδρὶ πρεσβυτέρῳ νέας γυναικὸς, εἰ δή τινα τῶν καλῶν καὶ ἀγαθῶν ἀσπάσαιτο νέων καὶ δοκιμάσειεν, εἰσαγαγεῖν παρ' αὐτὴν καὶ πλήσαντα γενναίου σπέρματος ἴδιον αὐτοῖς ποιήσασθαι τὸ γεννηθέν. (10) Ἐξῆν δὲ πάλιν ἀνδρὶ χρηστῷ τῶν εὐτέκνων τινὰ καὶ σωφρόνων θαυμάσαντι γυναικῶν ἑτέρῳ γεγαμημένην πεῖσαι τὸν ἄνδρα συνελθεῖν, ὥσπερ ἐν χώρᾳ καλλικάρπῳ φυτεύοντα καὶ ποιούμενον παῖδας ἀγαθοὺς, ἀγαθῶν ὁμαίμους καὶ συγγενεῖς ἐσομένους. (11) Πρῶτον μὲν γὰρ οὐκ ἰδίους ἡγεῖτο τῶν πατέρων τοὺς παῖδας, ἀλλὰ κοινοὺς τῆς πόλεως ὁ Λυκοῦργος, ὅθεν οὐκ ἐκ τῶν τυχόντων, ἀλλ' ἐκ τῶν ἀρίστων ἐβούλετο γεγονότας εἶναι τοὺς πολίτας. (12) Ἔπειτα πολλὴν ἀβελτηρίαν καὶ τῦφον ἐνεώρα τοῖς περὶ ταῦτα τῶν ἄλλων νομοθετήμασιν· οἱ κύνας μὲν καὶ ἵππους ὑπὸ τοῖς κρατίστοις τῶν ὀχείων βιβάζουσι, χάριτι πείθοντες ἢ μισθῷ τοὺς κυρίους· τὰς δὲ γυναῖκας ἐγκλεισάμενοι φρουροῦσιν, ἐξ αὐτῶν μόνων τίκτειν ἀξιοῦντες, κἂν ἄφρονες ὦσι, κἂν παρήλικες, κἂν νοσώδεις· ὡς οὐχὶ πρώτοις τοῖς κεκτημένοις καὶ τρέφουσι τῶν παίδων γενομένων πονηρῶν, ἐὰν ἐκ πονηρῶν γένωνται καὶ τοὐναντίον χρηστῶν, ἂν τοιαύτης τύχωσι γενέσεως. (13) Ταῦτα δὲ οὕτως πραττόμενα φυσικῶς καὶ πολιτικῶς τότε τοσοῦτον ἀπεῖχε τῆς ὕστερον λεγομένης γενέσθαι περὶ τὰς γυναῖκας εὐχερείας, ὥστε ὅλως ἄπιστον εἶναι τὸ τῆς μοιχείας παρ' αὐτοῖς. (14) Καὶ λόγος ἀπομνημονεύσται Γεράδα τινὸς Σπαρτιάτου τῶν σφόδρα παλαιῶν, ὃς ἐρωτηθεὶς ὑπὸ ξένου, τί πάσχουσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, εἶπεν· « Ὦ ξένε, οὐδεὶς γίνεται μοιχὸς παρ' ἡμῖν. » (15) Ἐκείνου δὲ ὁπολαβόντος, « Ἐὰν οὖν γένηται; » « Ταῦρον, ἔφη ὁ Γεράδας, ἐκτίνει μέγαν, ὃς ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα πίεται. » Θαυμάσαντος δ' ἐκείνου καὶ φήσαντος· « Πῶς δ' ἂν γένοιτο βοῦς τηλικοῦτος; » γελάσας ὁ Γεράδας, « Πῶς δὲ ἂν, ἔφη, ἐν Σπάρτῃ μοιχὸς γένοιτο; » Ταῦτα μὲν οὖν ἱστόρηται περὶ τῶν γάμων.

XVI. Τὸ δὲ γεννηθὲν οὐκ ἦν κύριος ὁ γεννήσας τρέφειν, ἀλλ' ἔφερε λαβὼν εἰς τόπον τινὰ λέσχην καλούμενον· ἐν ᾧ καθήμενοι τῶν φυλετῶν οἱ πρεσβύτατοι καταμαθόντες τὸ παιδάριον, εἰ μὲν εὐπαγὲς εἴη καὶ ῥωμαλέον, τρέφειν ἐκέλευον, κλῆρον αὐτῷ τῶν ἐνακισχιλίων προσνείμαντες· εἰ δ' ἀγεννὲς καὶ ἄμορφον, ἀπέπεμπον εἰς τὰς λεγομένας Ἀποθέτας, παρὰ Ταΰγε-

autem ratio coeundi, non modo continentiæ fuit et modestiæ exercitatio, sed corpora etiam ad generandum apta reddidit, utque recenti semper novoque amore convenirent, qui non satietate obrueretur, neque nimia consuetudine evanesceret, cum nunquam non aliquem desiderii fomitem alter in alterius animo relinqueret. (8) Hujusmodi verecundiam ordinemque nuptiis cum præstituisset Lycurgus, nihilo secius vanam illam ac muliebrem de pudicitia uxorum suspicionem profligavit, egregieque instituit ut omni libidine a conjugio remota, tamen inter dignos societatem liberorum procreationisque eorum sinerent, ridentes eos, qui hæc tanquam nullius consortii ac communionis participia, cædibus et bellis ulciscuntur. (9) Permisit ergo seni, qui uxorem ætate integra habebat, si quem honestorum ac virtute præditorum juvenum probaret, eam ad suam conjugem introducere, cumque is eam generoso semine implevisset, prolem inde prognatam suam facere. (10) Vicissim facultas dabatur viro bono, si quam fecundam atque castam mulierem alii matrimonio junctam in admiratione haberet, ut eam a viro impetraret, congressusque cum ea tanquam in solo fertili bonos liberos sereret, germanos bonorum cognatosque futuros. (11) Primum enim Lycurgus existimabat liberos non esse parentum proprios, sed communes civitatis : itaque non ex quibuscunque hominibus, sed ex optimis nasci cives volebat. (12) Deinde in aliorum de hac re legibus videbat magnam stoliditatem arrogantiamque inesse : qui cum canes et equas præstantissimis id genus animantibus submittant, eorum dominis gratia aut pretio id ut concedant permotis; mulieres contra inclusas in custodia habent, voluntque ut ex ipsis tantum pariant, sive jam ipsi desipiant, sive decrepiti, sive sint valetudinarii : quasi vero non iis, qui primo eos nacti sunt aluntque, mali liberi nascantur, si ex malis nascantur, contraque boni, si ex bonis. (13) Hæc secundum naturam atque ex civili prudentia a Lycurgo ita tum instituta tantum abfuere ab ea, quæ posterioribus temporibus fertur exstitisse, mulierum levitate, ut adulterium apud ipsos ne esse quidem creditum sit. (14) Memoraturque sermo Geradæ unius ex antiquissimis Spartanorum, qui interrogatus a quodam hospite, quonam apud ipsos supplicio adulteri afficerentur; respondit, nullum apud ipsos fieri adulterum : (15) tum illo subjiciente, « quid autem, si quis fieret? » Taurum, inquit Geradas, persolvet ejus magnitudini, ut capite supra Taygetum inclinato Eurotam bibat. Rursus miranti hospiti percunctantique quonam modo tantus bos nasci posset, respondisse Geradam ridentem : « eodem, quo Spartæ adulter exsistere poterat. » Et hæc quidem de matrimonio traduntur.

XVI. Infantem sibi natum nutrire non erat in patris potestate, sed eum portabat in locum, cui Lesche nomen est : ibi sedentes tribulium ætate provectissimi, infantem explorabant; qui si bene compacto et firmo esset corpore, ali jubebant, sortem illi ex novem millibus unam destinantes; sin autem degener atque deformis videretur, mittebant eum ad Apothetas, qui locus est præcipitiis circumcisus

τον βαραθρώδη τόπον, ὡς οὔτε αὐτῷ ζῆν ἄμεινον οὔτε τῇ πόλει, τὸ μὴ καλῶς εὐθὺς ἐξ ἀρχῆς πρὸς εὐεξίαν καὶ ῥώμην πεφυκός. (2) Ὅθεν οὐδὲ ὕδατι τὰ βρέφη, ἀλλ' οἴνῳ περιέλουον αἱ γυναῖκες, βάσανόν τινα ποιούμεναι τῆς κράσεως αὐτῶν. (3) Λέγεται γὰρ ἐξίστασθαι τὰ ἐπιληπτικὰ καὶ νοσώδη πρὸς τὸν ἄκρατον ἀποσφακελίζοντα· τὰ δ' ὑγιεινὰ μᾶλλον στομοῦσθαι καὶ κρατύνεσθαι τὴν ἕξιν. (4) Ἦν δὲ περὶ τὰς τροφὰς ἐπιμέλειά τις μετὰ τέχνης, ὥστ' ἄνευ σπαργάνων ἐκτρεφούσας τὰ βρέφη, τοῖς μέλεσι καὶ τοῖς εἴδεσιν ἐλευθέρια ποιεῖν, ἔτι δὲ εὔκολα ταῖς διαίταις καὶ ἄσικχα καὶ ἀθαμβῆ σκότου καὶ πρὸς ἐρημίαν ἄφοβα καὶ ἄπειρα δυσκολίας ἀγεννοῦς καὶ κλαυθμυρισμῶν. (5) Διὸ καὶ τῶν ἔξωθεν ἔνιοι τοῖς τέκνοις Λακωνικὰς ἐωνοῦντο τιτθάς· καὶ τήν γε τὸν Ἀθηναῖον Ἀλκιβιάδην τιτθεύσασαν Ἀμύκλαν ἱστοροῦσι γεγονέναι Λάκαιναν. Ἀλλὰ τούτῳ μὲν, ὡς Πλάτων φησὶ, Ζώπυρον ἐπέστησε παιδαγωγὸν Περικλῆς, οὐδέν τι τῶν ἄλλων διαφέροντα δούλων· (6) τῶν δὲ Σπαρτιατῶν παῖδας οὐκ ἐπὶ ὠνητοῖς οὐδὲ μισθίοις ἐποιήσατο παιδαγωγοῖς ὁ Λυκοῦργος, οὐδ' ἐξῆν ἑκάστῳ τρέφειν οὐδὲ παιδεύειν ὡς ἐβούλετο τὸν υἱὸν, ἀλλὰ πάντας εὐθὺς ἐπταετεῖς γενομένους παραλαμβάνων αὐτὸς, εἰς ἀγέλας κατελόχιζε καὶ συννόμους ποιῶν καὶ συντρόφους μετ' ἀλλήλων εἴθιζε συμπαίζειν καὶ συσχολάζειν. (7) Ἄρχοντα δ' αὐτοῖς παρίστατο τῆς ἀγέλης τὸν τῷ φρονεῖν διαφέροντα καὶ θυμοειδέστατον ἐν τῷ μάχεσθαι· καὶ πρὸς τοῦτον ἀφεώρων καὶ προστάττοντος ἠκροῶντο καὶ κολάζοντος ἐκαρτέρουν, ὥστε τὴν παιδείαν εἶναι μελέτην εὐπειθείας. (8) Ἐπεσκόπουν δὲ οἱ πρεσβύτεροι παίζοντας αὐτοὺς καὶ τὰ πολλὰ μάχας τινὰς ἐμβάλλοντες ἀεὶ καὶ φιλονεικίας, οὐ παρέργως κατεμάνθανον, ὁποῖός ἐστι τὴν φύσιν ἕκαστος αὐτῶν πρὸς τὸ τολμᾶν καὶ μὴ φυγομαχεῖν ἐν ταῖς ἁμίλλαις. (9) Γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον· ἡ δ' ἄλλη πᾶσα παιδεία πρὸς τὸ ἄρχεσθαι καλῶς ἐγίνετο καὶ καρτερεῖν πονοῦντα καὶ νικᾶν μαχόμενον. Διὸ καὶ τῆς ἡλικίας προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν, ἐν χρῷ τε κείροντες καὶ βαδίζειν ἀνυποδήτους παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες. (10) Γενόμενοι δὲ δωδεκαετεῖς ἄνευ χιτῶνος ἤδη διετέλουν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες αὐχμηροὶ τὰ σώματα καὶ λουτρῶν καὶ ἀλειμμάτων ἄπειροι· πλὴν ὀλίγας ἡμέρας τινὰς τοῦ ἐνιαυτοῦ τῆς τοιαύτης φιλανθρωπίας μετεῖχον. (11) Ἐκάθευδον δὲ δμοῦ κατ' εἴλην καὶ ἀγέλην ἐπὶ στιβάδων, ἃς αὐτοῖς συνεφόρουν, τοῦ παρὰ τὸν Εὐρώταν πεφυκότος καλάμου τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου κατακλάσαντες. (12) Ἐν δὲ τῷ χειμῶνι τοὺς λεγομένους λυκόφονας ὑπεβάλλοντο καὶ κατεμίγνυσαν ταῖς στιβάσι, θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκούσης.

XVII. Ἤδη δὲ τοῖς τηλικούτοις ἐρασταὶ τῶν εὐδοκίμων νέων συνανεστρέφοντο· καὶ προσεῖχον οἱ πρεσβύτεροι καὶ μᾶλλον, ἐπιφοιτῶντες εἰς τὰ γυμνάσια καὶ μαχομένοις καὶ σκώπτουσιν ἀλλήλους παρατυγά-

juxta Taygetum (ab expositione infantium) ita nuncupatus, nimirum quod neque ipsi neque urbi conduceret, id vita frui, cui initio corporis bonam habitudinem roburque natura negasset. (2) Atque ob eam causam non aqua abluebant infantes, sed vino mulieres, quo periculum temperamenti eorum facerent. (3) Aiunt enim infantes morbo comitiali aliisque ægritudinibus obnoxios, vino adhibito, flaccescere; sanorum autem magis adhuc intendi atque firmari bonam corporis affectionem. (4) Circa nutrices utebantur cura cum arte commixta, ut ab iis infantes absque fasciis enutriti, membra atque formam liberalem nanciscerentur, ut faciles ad victum neque delicati essent, neque tenebris aut solitudine perterrerentur, mollisque impatientiæ fletusque essent expertes. (5) Quamobrem exteri nonnulli filiis suis Laconicas nutrices emerunt : atque Amyclam, Alcibiadis Atheniensis nutricem, ferunt Spartanam fuisse; quanquam, ut est apud Platonem, Pericles huic Zopyrum pædagogum præfecit, servis reliquis nulla re præstantiorem : (6) at Spartanorum filios Lycurgus non emptis aut mercede conductis pædagogis subdidit, nec permissum erat ut quivis suos liberos suo pro arbitrio enutriret institueretque; sed simul atque septimum annum attigissent, Lycurgus eos acceptos in greges distribuebat, contubernalesque inter se et convictores faciens, adsuefaciebat ut una colluderent et otium exigerent. (7) Gregi eum præficiebat qui prudentia ceteris præiret inque concertando acerrimus ex ipsis esset. In hunc illi intuebantur, hujus dicto erant audientes, puniri sustinebant ab eo, ita ut disciplina ista esset meditatio obedientiæ. (8) Ludos ipsorum seniores spectabant, injiciebantque frequenter pugnas et rixas, eoque diligenter animadvertebant singulorum ingenia ut essent ad audaciam et non subterfugiendum in certaminibus periculum apposita. (9) Litteras usus gratia discebant; reliqua disciplina eo omnis referebatur, ut obtemperare imperiis, perferre labores, vincere in certamine scirent. Itaque augescente ætate exercitationes quoque eorum intendebantur : radebantur enim tunc, ingrediebantur sine calceis, et nudi plerumque ludere assuefacti sunt. (10) Cum annum duodecimum explevissent, degebant absque tunica, deinceps quotannis unum pallium accipientes, squalidi corpora, lavacrorum unctionisque exsortes, nisi quod paucis aliquot anni diebus ea ipsis indulgebantur. (11) Turmatim atque gregatim somnum capiebant super toris, quos sibi ipsi ex calamis, qui ad Eurotam nascuntur, congerebant, effractis eorum summitatibus opera manuum, absque ferro : (12) hieme lycophonas (*cardui genus*) quos vocant subjiciebant ac calamis admiscebant, quod vis calefaciendi inesse iis aliqua videretur.

XVII. Hujus vero ætatis juvenibus egregiis amatores jam conversabantur, majoremque in modum senes eos observabant, quippe commeantes in gymnasia et assistentes exercentibus se ac certantibus mutuoque se cavillis peten-

νοντες οὐ παρέργως, ἀλλὰ τρόπον τινὰ πάντες οἰόμενοι πάντων καὶ πατέρες εἶναι καὶ παιδαγωγοὶ καὶ ἄρχοντες, ὥστε μήτε καιρὸν ἀπολείπεσθαι μήτε χωρίον ἔρημον τοῦ νουθετοῦντος τὸν ἁμαρτάνοντα καὶ κολάζοντος. (2) Οὐ μὴν ἀλλὰ καὶ παιδονόμος ἐκ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἐτάττετο· καὶ κατ' ἀγέλας αὐτοὶ προίσταντο τῶν λεγομένων εἰρένων ἀεὶ τὸν σωφρονέστατον καὶ μαχιμώτατον. (3) Εἴρενας δὲ καλοῦσι τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας, μελλείρενας δὲ τῶν παίδων τοὺς πρεσβυτάτους. Οὗτος οὖν ὁ εἴρην εἴκοσι ἔτη γεγονὼς ἄρχει τε τῶν ὑποτεταγμένων ἐν ταῖς μάχαις καὶ κατ' οἶκον ὑπηρέταις χρῆται πρὸς τὸ δεῖπνον. (4) Ἐπιτάσσει δὲ τοῖς μὲν ἁδροῖς ξύλα φέρειν, τοῖς δὲ μικροτέροις λάχανα. Καὶ φέρουσι κλέπτοντες οἱ μὲν ἐπὶ τοὺς κήπους βαδίζοντες, οἱ δὲ εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρεισρέοντες εὖ μάλα πανούργως καὶ πεφυλαγμένως· ἂν δ' ἁλῷ, πολλὰς λαμβάνει πληγὰς τῇ μάστιγι, ῥαθύμως δοκῶν κλέπτειν καὶ ἀτέχνως. (5) Κλέπτουσι δὲ καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν ἢ ῥαθύμως φυλάσσουσι. Τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν. (6) Ἰλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι' αὑτῶν ἀμυνόμενοι τὴν ἔνδειαν, ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν. (7) Καὶ τοῦτο μὲν ἔργον τῆς ὀλιγοσιτίας· πάρεργον δέ φασι τὴν τῶν σωμάτων αὔξησιν. Φέρεται γὰρ εἰς μῆκος, ὅταν τὸ πνεῦμα μὴ πολλὴν σχῇ διατριβὴν καὶ ἀσχολίαν ὑπὸ πλήθους τροφῆς εἰς βάθος καὶ πλάτος πιεζόμενον, ἀλλ' ἄνω βαδίζῃ διὰ κουφότητα τοῦ σώματος ἐκλύτως καὶ ῥᾳδίως ἐπιδιδόντος. (8) Τὸ δ' αὐτὸ τοῦτο καὶ καλοὺς δοκεῖ ποιεῖν· αἱ γὰρ ἰσχναὶ καὶ διάκενοι μᾶλλον ἕξεις ὑπακούουσι πρὸς τὴν διάρθρωσιν· αἱ δὲ ὀγκώδεις καὶ πολύτροφοι διὰ βάρος ἀντιβαίνουσιν· ὥσπερ ἀμέλει καὶ τῶν ἐν τῷ κύειν καθαιρομένων γυναικῶν ἰσχνὰ μὲν, εὐειδῆ δὲ καὶ γλαφυρὰ γίνεται τὰ βρέφη, διὰ τὴν ἐλαφρότητα τῆς ὕλης κρατουμένης μᾶλλον ὑπὸ τοῦ τυποῦντος. Ἀλλὰ γὰρ ἡ μὲν αἰτία τοῦ συμβαίνοντος ἐν μέσῳ προκείσθω σκοπεῖν.

XVIII. Οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες, ὥστε λέγεταί τις ἤδη σκύμνον ἀλώπεκος κεκλοφὼς καὶ τῷ τριβωνίῳ περιστέλλων, σπαρασσόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα τοῖς ὄνυξι καὶ τοῖς ὀδοῦσιν ὑπὲρ τοῦ λαθεῖν ἐγκαρτερῶν ἀποθανεῖν. (2) Καὶ τοῦτο μὲν οὐδὲ ἀπὸ τῶν νῦν ἐφήβων ἄπιστόν ἐστιν, ὧν πολλοὺς ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας ἑωράκαμεν ἀποθνήσκοντας ταῖς πληγαῖς. (3) Δειπνήσας δὲ ὁ εἴρην κατακείμενος τῷ μὲν ᾄσαι προσέταξε τῶν παίδων, τῷ δὲ ἐρώτημά τι προὔβαλε πεφροντισμένης δεόμενον ἀποκρίσεως· οἷον, Ὅστις ἄριστος ἐν τοῖς ἀνδράσιν, ἢ Ποία τις ἡ τοῦδε πρᾶξις. (4) Ἐκ τούτου δὲ καὶ κρίνειν τὰ καλὰ καὶ πολυπραγμονεῖν εὐθὺς ἐξ ἀρχῆς εἰθίζοντο περὶ τῶν πολιτῶν. Τὸ γὰρ ἐρωτηθέντα, Τίς πολίτης ἀγαθός, ἢ Τίς οὐκ εὐδόκιμος, ἀπορεῖν τοῦ ἀποκρίνασθαι, νωθρᾶς ἐποιοῦντο καὶ πρὸς ἀρετὴν ἀφιλοτίμου ψυχῆς σημεῖον.

tibus, neque id inutiliter, nimirum cum omnes omnium aliquo modo et parentes, et pædagogi, et magistratus esse viderentur, nusquam deerat qui errantem admoneret atque castigaret. (2) Enimvero et ex probis et honestis viris puerorum magister constituebatur: et singulis gregibus singuli præficiebantur, atque ad id munus temperantissimus et bello optimus quisque Irenum deligebatur. (3) Irenes autem nominabantur ii, qui alterum jam annum ducebant, ex quo ex ephebis excessissent: Mellirenes (i. e. *futuri Irenes*) ii, qui erant inter adolescentes maximi natu. Is ergo Iren, annos natus viginti, iis qui ei subditi sunt, in concertationibus præest, eosque domi cœnæ administros habet: (4) imperat autem robustioribus, ut ligna, debilioribus, ut olera adportent. Adferunt autem ea furto vel ex hortis subrepta, vel ex virorum Syssitiis, in quæ se clanculum admodumque id caute et astute insinuant. Qui enim deprehenditur, ei flagro multa verba ingeruntur, quod negligenter et imperite sit furatus. (5) Cibos etiam quoscunque possunt, furtim auferunt, discuntque in hoc scite observare dormientes aut sua negligentius custodientes: sed deprehensus, plagis et inedia pœnas solvit. (6) Tenuis autem ipsis cœna est, ut defectum ipsi curent sarcire, eoque cogantur audacter et astute rem gerere. (7) Huic parci cibi instituto appendicis quasi loco adhæret corporum incrementum. Nam proceritatem ea adipiscuntur, cum spiritus non diu detentus, neque a multitudine cibi deorsum aut ad latera compulsus, sed propter levitatem summum ascendit, ideoque corpus expedite et facile accrescit. (8) Id ipsum vero etiam venustas reddere videtur formas, siquidem graciles et subtenues corporum constitutiones ad artuum commodam positionem sunt aptiores plenis et tumentibus corporibus, quæ mole sua resistunt. Qua ratione et gravidæ mulieres cum purgantur, partus tener quidem, formosus tamen et elegans, editur: quod materia pauca virtuti formatrici facilius obsequitur. Verum ejus quidem rei causam in medio aliis cogitandam relinquamus.

XVIII. Furantur autem pueri tam accurate, ut fama sit, puerum quendam, cum catulum vulpis clepsisset ac pallio operuisset, laniatum ab eo dentibus et unguibus ventrem, adeo sustinuisse latendi causa omnem dolorem, ut mortem obierit. (2) Cui rei ne fides derogetur, efficiunt pueri quos nostra etiam tempestate vidimus aliquoties ad aram Dianæ Orthiæ verberibus cæsos mori. (3) Ceterum Iren cœnans puerorum alii canere jubet, alii quæstionem proponit, ad quam considerate respondendum erat, veluti, quis virorum optimus, vel, qualis cujuspiam actio esset. (4) Inde fiebat ut statim initio adsuescerent de honestis civium actionibus inquirere, et sententiam ferre; si quis enim interrogatus, quis civis esset bonus, aut, quis illaudatus, non haberet quod responderet, signum id animi ignavi virtutisque parum

μεῖον. (5) Ἔδει δὲ τὴν ἀπόκρισιν καὶ μετ' αἰτίας εἶναι καὶ ἀποδείξεως εἰς βραχύν τινα συνηγμένης λόγον καὶ σύντομον· ὁ δὲ πλημμελῶς ἐπιμελόμενος ἐκολάζετο, δῆγμα λαμβάνων ὑπὸ τοῦ εἴρενος εἰς τὸν ἀντίχειρα. (6) Πολλάκις δὲ καὶ πρεσβυτέρων παρόντων καὶ ἀρχόντων ὁ εἴρην ἐκόλαζε τοὺς παῖδας, ἀπόδειξιν διδοὺς, εἰ μετὰ λόγου καὶ ὡς δεῖ κολάζει. (7) Καὶ κολάζων μὲν οὐκ ἐκωλύετο, τῶν δὲ παίδων ἀπελθόντων εὐθύνας ὑπεῖχεν, εἰ τραχύτερον τοῦ δέοντος ἐπετίμησεν ἢ τοὐναντίον ἐκλελυμένως καὶ ἀτόνως. (8) Ἐκοινώνουν δὲ οἱ ἐρασταὶ τοῖς παισὶ τῆς δόξης ἐπ' ἀμφότερα· καὶ λέγεταί ποτε παιδὸς ἐν τῷ μάχεσθαι φωνὴν ἀγεννῆ προεμένου ζημιωθῆναι τὸν ἐραστὴν ὑπὸ τῶν ἀρχόντων. (9) Οὕτω δὲ τοῦ ἐρᾶν ἐγκεκριμένου παρ' αὐτοῖς, ὥστε καὶ τῶν παρθένων ἐρᾶν τὰς καλὰς καὶ ἀγαθὰς γυναῖκας, τὸ ἀντερᾶν οὐκ ἦν, ἀλλὰ μᾶλλον ἀρχὴν ἐποιοῦντο φιλίας πρὸς ἀλλήλους οἱ τῶν αὐτῶν ἐρασθέντες καὶ διετέλουν κοινῇ σπουδάζοντες, ὅπως ἄριστον ἀπεργάσαιντο τὸν ἐρώμενον.

XIX. Ἐδίδασκον δὲ τοὺς παῖδας καὶ λόγῳ χρῆσθαι πικρίαν ἔχοντι μεμιγμένην χάριτι καὶ πολλὴν ἀπὸ βραχείας λέξεως ἀναθεώρησιν. (2) Τὸ μὲν γὰρ σιδηροῦν νόμισμα μικρὰν ἔχειν ἐποίησεν ἀπὸ πολλοῦ σταθμοῦ δύναμιν ὁ Λυκοῦργος, ὡς εἴρηται· τὸ δὲ τοῦ λόγου νόμισμα τοὐναντίον ἀπ' εὐτελοῦς καὶ ὀλίγης λέξεως εἰς πολλὴν καὶ περιττὴν κατεσκεύασε διάνοιαν, τῇ πολλῇ σωφρῇ τοὺς παῖδας ἀποφθεγματικοὺς καὶ πεπαιδευμένους πρὸς τὰς ἀποκρίσεις μηχανώμενος. (3) Ὡς γὰρ τὸ σπέρμα τῶν πρὸς τὰς συνουσίας ἀκολάστων ἄγονον ὡς τὰ πολλὰ καὶ ἄκαρπόν ἐστιν, οὕτως ἡ πρὸς τὸ λαλεῖν ἀκρασία κενὸν τὸν λόγον ποιεῖ καὶ ἀνόητον. (4) Ἄγις μὲν οὖν ὁ βασιλεὺς, σκώπτοντος Ἀττικοῦ τινος τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα καὶ λέγοντος, ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνουσιν ἐν τοῖς θεάτροις, « Καὶ μὴν μάλιστα, εἶπεν, « ἡμεῖς ἐφικνούμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων. » (5) Ἐγὼ δὲ καὶ τὸν λόγον ὁρῶ τὸν Λακωνικὸν βραχὺν μὲν εἶναι δοκοῦντα, μάλιστα δὲ τῶν πραγμάτων ἐφικνούμενον καὶ τῆς διανοίας ἁπτόμενον τῶν ἀκροωμένων. (6) Καὶ γὰρ ὁ Λυκοῦργος αὐτὸς βραχυλόγος τις ἔοικε γενέσθαι καὶ ἀποφθεγματικὸς, εἰ δεῖ τεκμαίρεσθαι τοῖς ἀπομνημονεύμασιν· οἷόν ἐστι τὸ περὶ τὰς πολιτείας πρὸς τὸν ἀξιοῦντα ποιεῖν δημοκρατίαν ἐν τῇ πόλει· « Σὺ γάρ, ἔφη, πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. » (7) Καὶ περὶ τῶν θυσιῶν πρὸς τὸν πυθόμενον, διὰ τί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξεν, « Ἵνα μή ποτε, ἔφη, « τιμῶντες τὸ θεῖον διαλίπωμεν. » (8) Καὶ περὶ τῶν ἀθλημάτων ταῦτα μόνα μὴ κωλύσαντος ἀγωνίζεσθαι τοὺς πολίτας, ἐν οἷς χεὶρ οὐκ ἀνατείνεται. (9) Φέρονται δὲ αὐτοῦ καὶ δι' ἐπιστολῶν ἀποκρίσεις τοιαῦται πρὸς τοὺς πολίτας. Πῶς ἂν πολεμίων ἔφοδον ἀλεξοίμεθα; « Ἂν πτωχοὶ μένητε καὶ μὴ μέσδων ἕτερος θατέρῳ ἐρᾶτε ἦμεν. » (10) Καὶ πάλιν περὶ τῶν τειχῶν· « Οὐκ ἂν εἴη ἀτείχιστος πόλις, ἅτις ἀνδρείοις καὶ οὐ πλίνθοις

studiosi existimabant. (5) Responsum autem dari oportebat adjecta ejus causa atque demonstratione, paucis inclusa verbis. Qui negligentius aliquid peregerat, morsus pollicem ab Irene pœnas dabat. (6) Sæpenumero ille coram senioribus et magistratibus puerum supplicio afficiebat, specimen exhibens, anne, ut erat consentaneum et oportebat, eos plecteret. (7) Neque is, quo minus id faceret, ab iis impediebatur : ceterum digressis pueris, si quid justo durius, aut contra clementius in eos statuisset, non impune ferebat. (8) Participes puerorum in utramque partem existimationis amatores erant : feruntque aliquando cum puer inter pugnandum vocem parum ingenuam emisisset, amatorem ejus a magistratibus multatum fuisse. (9) Et quanquam apud eos amori tantum loci tribuebatur, ut honestæ matronæ etiam virgines diligerent, tamen rivales nulli inveniebantur. Quin immo amicitiæ hoc initium erat, si qui eundem amarent, communique exinde studio in id incumbebant, ut amasium suum quam optimum efficerent.

XIX. Præterea docebant pueros uti oratione quæ acrimoniam aliquam gratiæ admixtam contineret, paucisque verbis multam in auditoris animo cogitationem excitaret. (2) Nam Lycurgus, uti demonstratum est, ferreum nomisma maximi ponderis, minimi valoris fecit : contra nummum orationis voluit sub tenui et exigua dictione multum adeoque abunde sententiæ complecti : multoque pueros silentio ita instruxit, ut dicta eorum scita responsionesque eruditæ essent. (3) Quemadmodum enim semen eorum, qui rei venereæ intemperantes sunt, fere infecundum infructuosumque est : ita loquacitas sermonem futilem et stultum efficit. (4) Agis sane rex Atheniensi cuidam Lacedæmonios gladios propter brevitatem cavillanti dicentique eos in theatris a circulatoribus nullo negotio deglutiri, « Equidem, inquit, nobis non nullius res laboris est his gladiolis hostes ferire. » (5) Verum ipse orationem etiam Laconicam perspicio brevem quidem videri, maxime autem rem ipsam exprimere cogitationesque auditoris attingere. (6) Lycurgum sane ipsum et breviloquentem fuisse apparet, cujusque dicta essent sententiosa, quantum ejus ex his, quæ memoriæ prodita sunt, conjicere licet. Hujus enim generis est illud de republica, quod cuidam postulanti, ut summam reipublicæ potestatem multitudini traderet, respondit : « Tu scilicet prius domi tuæ imperium domesticis trade. » (7) Et alterum, quod percontanti, cur tam parca et modica sacrificia instituisset, respondit : « Ne unquam deum apud nos cultus deficiat. » (8) Itemque de certaminibus, quod iis solis non interdixit civibus suis, in quibus nemo manus extendens victum se profitetur. (9) Feruntur hujusmodi etiam per epistolas responsa ejus ad cives : percontantibus enim quanam ratione hostium ab impetu sese defendere possent, respondit : « Si pauperes maneatis, neque alius alio plus valere cupiat. » (10) Itemque, urbem nequaquam muris carere, quæ non latericiis mœnibus, sed viris animosis

ἐστεφάνωται. » Περὶ μὲν οὖν τούτων καὶ τῶν τοιούτων ἐπιστολῶν οὔτε ἀπιστῆσαι ῥᾴδιον οὔτε πιστεῦσαι.

XX. Τῆς δὲ πρὸς τὰ μήκη τῶν λόγων διαβολῆς δείγματα τοιαῦτα τῶν ἀποφθεγμάτων ἐστί. Λεωνίδας ὁ βασιλεὺς ἀκαίρως τινὸς περὶ πραγμάτων οὐκ ἀχρήστων διαλεχθέντος, « Ὦ ξένε, εἶπεν, οὐκ ἐν δέοντι χρέῃ τῷ δέοντι. » (2) Χαρίλαος δὲ ὁ ἀδελφιδοῦς τοῦ Λυκούργου περὶ τῆς ὀλιγότητος αὐτοῦ τῶν νόμων ἐρωτηθεὶς εἶπεν ὡς οἱ λόγοις μὴ χρώμενοι πολλοῖς οὐδὲ νόμων δέονται πολλῶν. Ἀρχιδαμίδας δὲ μεμφομένων τινῶν Ἑκαταῖον τὸν σοφιστὴν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον οὐδὲν ἔλεγεν, « Ὁ εἰδὼς, ἔφη, λόγον καὶ καιρὸν οἶδεν. » (3) Ἃ δὲ τῶν πικρῶν ἔφην ἀπομνημονευμάτων οὐκ ἀμοιρεῖν χάριτος, τοιαῦτ' ἐστί. Δημάρατος ἀνθρώπου πονηροῦ κόπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασι καὶ δὴ τοῦτο πολλάκις ἐρωτῶντος, Τίς ἄριστος Σπαρτιατῶν; ἔφη, « Ὁ τὶν ἀνομοιότατος. » Ἄγις δὲ, ἐπαινούντων τινῶν τοὺς Ἠλείους, ὡς καλῶς τὰ Ὀλύμπια καὶ δικαίως ἄγοντας· « Καὶ τί μέγα, ἔφη, Ἠλεῖοι ποιοῦντι, δι' ἐτῶν πέντε ἁμέρᾳ μιᾷ χρώμενοι τᾷ δικαιοσύνᾳ; » (4) Θεόπομπος δὲ ξένου τινὸς εὔνοιαν ἐνδειχνυμένου καὶ φάσκοντος, ὡς παρὰ τοῖς αὐτοῦ πολίταις φιλολάκων καλεῖται, « Καλὸν ἦν τοι, εἶπεν, ὦ ξένε, φιλοπολίταν καλεῖσθαι. » Πλειστῶναξ δὲ ὁ Παυσανίου ῥήτορος Ἀθηναίου τοὺς Λακεδαιμονίους ἀμαθεῖς ἀποκαλοῦντος, « Ὀρθῶς, ἔφη, λέγεις· μόνοι γὰρ Ἑλλήνων ἄμμες οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν. » (5) Ἀρχιδαμίδας δὲ πρὸς τὸν πυθόμενον, πόσοι εἰσὶ Σπαρτιᾶται; « Ἱκανοὶ, εἶπεν, ὦ ξένε, τοὺς κακοὺς ἀπερύκειν. » (6) Ἔστι δὲ καὶ τοῖς μετὰ παιδιᾶς εἰρημένοις ὑπ' αὐτῶν τεκμήρασθαι τὸν ἐθισμόν. Εἰθίζοντο γὰρ μηδέποτε χρῆσθαι τῷ λόγῳ παρέργως μηδὲ ἀφιέναι φωνὴν, ἥτις οὐκ ἀμωσγέπως ἔχει τινὸς θεωρίας ἀξίαν διάνοιαν. (7) Ὁ μὲν γὰρ ἀκοῦσαι τοῦ μιμουμένου τὴν ἀηδόνα παρακαλούμενος, « Αὐτᾶς, ἔφη, ἄκουκα τήνας· » ὁ δὲ ἀναγνοὺς τὸ ἐπίγραμμα τοῦτο,

munita sit. Quanquam his epistolis neque derogare fidem in proclivi est neque adhibere.

XX. Sed vitio datam sermonis prolixitatem hæc apophthegmata ostendunt. Leonidas rex cuidam de rebus non iis quidem inutilibus, intempestive tamen loquenti, « Re-opportuna, inquit, hospes, non opportune uteris. » (2) Charilaus fratris Lycurgi filius, interrogatus cur is tam paucas leges posuisset, « Quia, inquit, non indigent legibus multis qui non multo sermone utuntur. » Archidamidas, reprehendentibus quibusdam Hecatæum rhetorem, quod, adhibitus syssitio, nihil dixisset, « Qui loqui, ait, novit, is et tempus loquendi novit. » (3) Quæ autem dicta acriter et non sine lepore superius indicavi, horum hæc sunt, quæ sequuntur, exempla. Demaratus ab homine improbo importunis interrogationibus vexatus, sæpius percontanti, quis esset Spartanorum optimus, « Tui, respondit, dissimillimus. » Agis, laudantibus Eleos nonnullis, quod Olympia præclare et juste administrarent, « Quid, ait, magnum præstant, quod quinto quoque anno per unum diem justitiam exercent? » (4) Theopompus peregrino cuidam benevolentiam ostentanti, dicentique se a suis civibus amatorem Laconum nominari, « Præstiterat, inquit, hospes, te civium tuorum amatorem appellari. » Plistonax Pausaniæ filius oratori Atheniensi, Lacedæmonios indoctos vocanti, « Recte tu, ait : soli enim ex omnibus nos nihil a vobis mali didicimus. » (5) Archidamidas quærenti quot numero essent Spartani, « Tot, inquit, o hospes, ut malis profligandis sufficiant. » (6) Licet etiam perpendere, quam consuetudinem in jocis tenuerint. Adsueverant enim nunquam abs re uti sermone, neque emittere vocem ullam, cui non quodammodo sensus aliquis consideratione dignus inhæreret. (7) Eo modo quidam invitatus ut audiret hominem, qui cantum lusciniæ imitabatur, « Ipsam, inquit, lusciniam audivi. Alius, cum hoc epigramma legeret, »

Σβεννύντας ποτὶ τούσδε τυραννίδα χάλκεος Ἄρης
εἶλε· Σελινοῦντος δ' ἀμφὶ πύλας ἔθανον.

Hos exstinguentes Mars forte tyrannida sævam
ante Selinuntis mœnia stravit atrox;

« Δικαίως, εἶπε, τεθνάκαντι τοὶ ἄνδρες· ἔδει γὰρ ἀφέμεν ὅλαν αὐτὰν κατακαᾶμεν. » (8) Νεανίσκος δὲ πρὸς τὸν ἐπαγγελλόμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, » Μὴ σύγε, εἶπεν, ἀλλὰ δός μοι τῶν ἀποκτεινόντων ἐν τῷ μάχεσθαι. » Ἕτερος δέ τις ἰδὼν ἐν ἀποχωρήσει θακεύοντας ἐπὶ δίφρων ἀνθρώπους, « Μὴ γένοιτο, εἶπεν, ἐνταῦθα καθίσαι, ὅθεν οὐκ ἔστιν ὑπεξαναστῆναι πρεσβυτέρῳ. » (9) Τὸ μὲν οὖν τῶν ἀποφθεγμάτων εἶδος ἦν τοιοῦτον, ὥστε καὶ λέγειν τινὰς οὐκ ἀτόπως, ὅτι μᾶλλόν ἐστι τὸ φιλοσοφεῖν ἢ τὸ φιλογυμναστεῖν λακωνίζειν.

« Jure, ait, viri hi mortui sunt : debuerant enim permittere ut tota illa tyrannis incendio conflagraret. » (8) Adolescens promittenti daturum se ei gallos qui in pugna morerentur, « Nolim, inquit, illos : sed eos da, qui pugnando necent. » Alius videns homines exonerandæ alvi causa in sellis sedentes, « Absit, inquit, ut ibi sedeam, unde assurgere seni non licet. » (9) Hujusmodi igitur est forma apophthegmatum, quibus illi usi sunt : ita ut haud absurde a quodam dictum sit, imitationem Lacedæmoniorum non magis in exercitationum corporis quam philosophiæ studio consistere.

53 XXI. Ἡ δὲ περὶ τὰς ᾠδὰς καὶ τὰ μέλη παίδευσις οὐχ ἧττον ἐσπουδάζετο τῆς ἐν τοῖς λόγοις εὐζηλίας καὶ καθαριότητος, ἀλλὰ καὶ τὰ μέλη κέντρον εἶχεν ἐγερτικὸν θυμοῦ καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ

XXI. Porro autem non minus operæ in disciplinam canendi quam commode et pure loquendi collocabatur. Itaque et modis stimulus inerat, qui animum excitaret, impetumque in eo et quasi furorem quendam ad strenuitat m

πραγματικῆς· καὶ ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος ἐπὶ πράγμασι σεμνοῖς καὶ ἠθοποιοῖς. (2) Ἔπαινοι γὰρ ἦσαν ὡς τὰ πολλὰ τῶν τεθνηκότων ὑπὲρ τῆς Σπάρτης εὐδαιμονιζομένων, καὶ ψόγοι τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον, ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις· ὧν ἕνεκα δείγματος οὐ χεῖρόν ἐστιν ἕν τι προενέγκασθαι. (3) Τριῶν γὰρ χορῶν κατὰ τὰς τρεῖς ἡλικίας b
συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν,

Ἄμμες πόκ' ἦμες ἅλικιμοι νεανίαι·

ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος ἔλεγεν·

Ἄμμες δέ γ' εἰμές· αἱ δὲ λῇς, πεῖραν λάβε·

ὁ δὲ τρίτος ὁ τῶν παίδων,

Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.

(4) Ὅλως δὲ ἔν τις ἐπιστήσας τοῖς Λακωνικοῖς ποιήμασιν, ὧν ἔτι καθ' ἡμᾶς ἕνια διεσώζετο, καὶ τοὺς ἐμβατηρίους ῥυθμοὺς ἀναλαβών, οἷς ἐχρῶντο πρὸς τὸν αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις, οὐ κακῶς ἡγήσαιτο καὶ τὸν Τέρπανδρον καὶ τὸν Πίνδαρον τὴν ἀνδρείαν τῇ μουσικῇ συνάπτειν. Ὁ μὲν γὰρ οὕτως πεποίηκε περὶ τῶν Λακεδαιμονίων· c

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ Μοῦσα λίγεια
καὶ δίκα εὐρυάγυια...

(5) Πίνδαρος δέ φησιν·

Ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοντι αἰχμαί, καὶ χοροὶ καὶ Μοῦσα καὶ Ἀγλαΐα.

Μουσικωτάτους γὰρ ἅμα καὶ πολεμικωτάτους ἀποφαίνουσιν αὐτούς·

Ἕρπει γὰρ ἄντα τὸ καλῶς κιθαρίσδεν τῷ σιδάρῳ,

ὡς ὁ Λακωνικὸς ποιητὴς εἴρηκε. (6) Καὶ γὰρ ἐν ταῖς μάχαις προεθύετο ταῖς Μούσαις ὁ βασιλεὺς ἀναμιμνήσκων, ὡς ἔοικε, τῆς παιδείας καὶ τῶν κρίσεων, ἵνα ὦσι πρόχειροι παρὰ τὰ δεινὰ καὶ λόγου τινὸς ἀξίας παρέχωσι τὰς πράξεις τῶν μαχῶν. d

XXII. Τότε δὲ καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς ἐπανιέντες οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην καὶ κόσμον ὅπλων καὶ ἱματίων, χαίροντες, ὥσπερ ἵπποις γαυριῶσι καὶ φρυαττομένοις πρὸς τοὺς ἀγῶνας. Διὸ κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας μάλιστα παρὰ τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην λιπαράν τε φαίνεσθαι καὶ διακεκριμένην· ἀπομνημονεύοντές τινα καὶ Λυκούργου λόγον περὶ τῆς κόμης, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. (2) Ἐχρῶντο δὲ καὶ γυμνασίοις μαλακωτέροις e
παρὰ τὰς στρατείας· καὶ τὴν ἄλλην δίαιταν οὐχ οὕτω κεκολασμένην οὐδ' ὑπεύθυνον τοῖς νέοις παρεῖχον, ὥστε μόνοις ἀνθρώπων ἐκείνοις τῆς εἰς τὸν πόλεμον ἀσκήσεως ἀνάπαυσιν εἶναι τὸν πόλεμον. (3) Ἤδη δὲ συντεταγμένης ἅμα τῆς φάλαγγος αὐτῶν καὶ τῶν πολεμίων

crearet : et dictio simplex erat neque delicata, res honestas et ad mores formandos aptas complexa. (2) Erat enim fere laudatio eorum felicitatis, qui pro Sparta vita defuncti essent, et vituperatio eorum, qui idem facere metu prohibiti, nunc vitam miseram infelices degerent; tum adhortatio ad virtutem, ejusque prædicatio singulis ætatibus accommodata. (3) Neque ab re fuerit uno id exemplo declarare. Diebus festis tres chori, secundum ætates distincti, constituebantur. Ibi senum chorus initio facto canebat :

Juvenes eramus olim nos perstrenui.

Tum juvenum chorus respondebat :

Ii nos sumus, fac, si lubet, periculum.

Post tertius chorus puerorum canebat

Nos fortiores erimus olim plurimo.

(4) Et omnino, si quis Laconica carmina, quorum ad nostram ætatem quædam pervenerunt, attente legat, rhythmos embaterios recordatus, quibus utebantur ad tibiam in hostes impetum facientes, judicabit neque Terpandrum, neque Pindarum inepte fortitudinem musicæ adjunxisse, quorum alterius hi sunt de Lacedæmoniis versus :

Hic juvenum viget hasta, hic dulcis carmina Musæ,
Justitia hic, amplas tuto quæ continet urbes.

(5) Pindari autem sunt hæc :

Hic consilia senum juvenumque virtus bellica, hastæ, chori, Musaque et Lætitia.

Simul enim et musica et bello præstantissimos eos pronunciant : quandoquidem, ut ait Spartanus poeta (*Alcman*),

Citharæ sonus doctæ, comes Marti it truci.

(6) Quin et rex, antequam iniret prœlium, Musis rem sacram faciebat, disciplinæ, ut videtur, et judiciorum memoriam renovans, quo promptiores in ipso pugnæ discrimine ita pugnarent, ut res gestæ commemoratione essent dignæ.

XXII. Tum vero austeram vitæ rationem juvenibus remittentes, permiserunt illis, ut comam, arma, vestesque exornarent, gaudentes iis, tanquam equis ad certamina ferocientibus atque gestientibus. Quamobrem cum statim ab ineunte virili ætate comam nutrirent, maxime tamen si prœlium instaret, eam colebant, ut splendida et composita appareret : Lycurgi de coma dictum commemorantes, qui ea formosos pulchriores, deformes autem effici terribiliores dixerat. (2) Utebantur etiam tempore belli exercitationibus levioribus, juvenibusque victus ratio largior atque liberior permittebatur, ita ut solis mortalium illis bellum requiem sese ad bellum exercendi attulerit. (3) Instructa jam acie, atque hostibus præsentibus rex, ma-

παρόντων ὁ βασιλεὺς ἅμα τήν τε χίμαιραν ἐσφαγιάζετο καὶ στεφανοῦσθαι παρήγγελλε πᾶσι καὶ τοὺς αὐλητὰς αὐλεῖν ἐκέλευε τὸ Καστόρειον μέλος· ἅμα δ' ἐξῆρχεν ἐμβατηρίου παιᾶνος· ὥστε σεμνὴν ἅμα καὶ καταπληκτικὴν τὴν ὄψιν εἶναι, ῥυθμῷ τε πρὸς τὸν αὐλὸν ἐμβαινόντων καὶ μήτε διάσπασμα ποιούντων ἐν τῇ φάλαγγι μήτε ταῖς ψυχαῖς θορυβουμένων, ἀλλὰ πρᾴως καὶ ἱλαρῶς ὑπὸ τοῦ μέλους ἀγομένων ἐπὶ τὸν κίνδυνον. Οὔτε γὰρ φόβον οὔτε θυμὸν ἐγγίνεσθαι πλεονάζοντα τοῖς οὕτω διακειμένοις εἰκός ἐστιν, ἀλλ' εὐσταθὲς φρόνημα μετ' ἐλπίδος καὶ θάρσους ὡς τοῦ θεοῦ συμπαρόντος. (4) Ἐχώρει δὲ ὁ βασιλεὺς ἐπὶ τοὺς πολεμίους ἔχων μεθ' ἑαυτοῦ στεφανίτην ἀγῶνα νενικηκότα. Καί φασί γέ τινα χρημάτων πολλῶν ἐν Ὀλυμπίοις διδομένων αὐτῷ μὴ δεξάμενον, ἀλλὰ πολλῷ πόνῳ καταπαλαίσαντα τὸν ἀνταγωνιστὴν, ὥς τις εἶπεν αὐτῷ, « Τί σοι πλέον, ὦ Λάκων, γέγονε διὰ τῆς νίκης; » φάναι μειδιάσαντα « Πρὸ τοῦ βασιλέως τεταγμένος μαχοῦμαι τοῖς πολεμίοις. » (5) Τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον, ὅσον ἐκβεβαιώσασθαι τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων, εἶτα εὐθὺς ἀνεχώρουν οὔτε γενναῖον οὔτε Ἑλληνικὸν ἡγούμενοι κόπτειν καὶ φονεύειν ἀπολεγομένους καὶ παρακεχωρηκότας. (6) Ἦν δὲ οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον, ἀλλὰ καὶ χρήσιμον. Εἰδότες γὰρ οἱ μαχόμενοι πρὸς αὐτοὺς, ὅτι τοὺς ὑφισταμένους ἀναιροῦσι, φείδονται δὲ τῶν ἐνδιδόντων, τοῦ μένειν τὸ φεύγειν ἡγοῦντο λυσιτελέστερον.

XXIII. Αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον στρατειῶν. Φιλοστέφανος δὲ καὶ τὴν κατ' οὐλαμοὺς τῶν ἱππέων νομὴν Λυκούργῳ προστίθησιν· εἶναι δὲ τὸν οὐλαμὸν, ὡς ἐκεῖνος ἔστησεν, ἱππέων πεντήκοντα πλῆθος ἐν τετραγώνῳ σχήματι τεταγμένον. (2) Ὁ δὲ Φαληρεὺς Δημήτριος, οὐδεμιᾶς ἁψάμενον πολεμικῆς πράξεως, ἐν εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν. Ἔοικε δὲ τῆς Ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια πρᾴου καὶ πρὸς εἰρήνην οἰκείως ἔχοντος ἀνδρὸς εἶναι. (3) Καίτοι φασί τινες, ὡς Ἑρμιππος μνημονεύει, τὸν Λυκοῦργον οὐ προσέχειν οὐδὲ κοινωνεῖν ἐν ἀρχῇ τοῖς περὶ τὸν Ἶφιτον, ἀλλὰ τυγχάνειν ἄλλως ἐπιδημοῦντα καὶ θεώμενον· ἀκοῦσαι δὲ φωνὴν ὥσπερ ἀνθρώπου τινὸς ἐξόπισθεν ἐπιτιμῶντος αὐτῷ καὶ θαυμάζοντος, ὅτι τοὺς πολίτας οὐ προτρέπεται κοινωνεῖν τῆς πανηγύρεως· ὡς δὲ, μεταστραφέντος, οὐδαμοῦ φανερὸς ὁ φθεγξάμενος ἦν, θεῖον ἡγησάμενον, οὕτω πρὸς τὸν Ἶφιτον τραπέσθαι καὶ συνδιακοσμήσαντα τὴν ἑορτὴν ἐνδοξοτέραν καὶ βεβαιοτέραν καταστῆσαι.

XXIV. Ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν. Οὐδεὶς γὰρ ἦν ἀφειμένος ὡς ἐβούλετο ζῆν, ἀλλ' οἷον ἐν στρατοπέδῳ τῇ πόλει καὶ δίαιταν ἔχοντες ὡρισμένην καὶ διατριβὴν περὶ τὰ κοινὰ καὶ ὅλως νομίζοντες οὐχ αὑτῶν, ἀλλὰ τῆς πατρίδος εἶναι διετέλουν· εἰ μή τι πράττειν ἕτερον εἴη προστεταγμένον, ἐπισκοποῦντες τοὺς παῖδας καὶ διδάσκοντές τι τῶν χρησίμων, ἢ μανctata capra, coronari universos jubet, Castoreumque carmen a tibicinibus incini; simul ipse exorditur Pæanem embaterium. Quo efficitur ut adspectus hujus aciei simul et honestus sit et formidabilis, cum ipsi motu ad tibiam f composito hostem aggrediantur, neque phalangem a sese divellant, neque animis perturbentur: sed carmine ad prœlium placidi hilaresque adducantur, quippe ita compositis consentaneum est, neque metum, neque iram nimiam adesse, sed tanquam deo præsente, animi constantem magnitudinem spe et audacia fultam. (4) Rex porro cum ad hostes accedit, secum habet unum ex suis, qui in certamine coronam meruerit. Traditumque est, quendam Laconem, cum ei Olympica festivitate grandis pecunia offerretur, eam repudiasse, partaque magno labore victoria adversario lucta superato, cum interrogaretur, quid lucri ea victoria fecisset, subridentem respondisse: « Ut ante regem collocatus contra hostes dimicem. » (5) Fusos hostes insequebantur, eo usque, dum eorum fuga victoriam confirmarent: inde statim se recipiebant, neque generosum neque Græcæ virtutis esse rati, cædere eos qui victoriam concessissent. (6) Neque honestum modo erat hoc et magni animi, sed et utile: qui enim cum ipsis prœlio contenderent, intelligentes resistendo se occisum iri, cedentibus parci, fugam quam dimicationem utiliorem censebant.

XXIII. Lycurgum Hippias sophista bellicosissimum fuisse multasque expeditiones obivisse asserit. Philostephanus etiam in turmas (ulamos Græci vocant) distributionem equitum ei adsignat, ita institutas, ut singulæ quinquaginta equitibus quadrata figura collocatis conficerentur. (2) Demetrius Phalereus nullam eum bellicam actionem attigisse, sed in pace rempublicam constituisse autumat. Sane Olympiacæ festivitatis excogitatio mansueti et pacis perquam studiosi hominis videtur fuisse. (3) Quanquam est apud c Hermippum, esse quosdam, qui Lycurgum tradant initio nullam in ea re cum Iphito societatem habuisse, neque ejus monitu advenisse, sed forte fortuna e peregrinatione ad id spectaculum divertisse: ibi eum audivisse vocem, quasi hominis cujusdam a tergo adsistentis, quæ increparet ipsum, mirarique diceret, quod civibus suis non esset auctor societatis harum feriarum ineundæ; ipsum, cum se obvertisset ad vocem, neque usquam appareret qui erat locutus, ratum divinam eam vocem fuisse, ita demum se ad Iphitum adjunxisse, eique in exornanda stabiliendaque ista solennitate socium præbuisse.

XXIV. Disciplinæ autem subjecti erant Spartani tantisper d dum ad virilem ætatem pervenirent; neque enim cuiquam liberum erat ut suo pro arbitrio viveret, sed in urbe perinde atque in castris præscriptam unusquisque vivendi rationem versandique in publico habebat. Omninoque existimantes, se non sui ipsorum, sed patriæ esse, nisi quid aliud cui esset negotii injunctum, semper vel pueros

θάνοντες αὐτοὶ παρὰ τῶν πρεσβυτέρων. (2) Καὶ γὰρ ἔν τι τοῦτο τῶν καλῶν ἦν καὶ μακαρίων, ἃ παρεσκεύακε τοῖς ἑαυτοῦ πολίταις ὁ Λυκοῦργος, ἀφθονία σχολῆς, οἷς τέχνης μὲν ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἐφίετο· χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος ἐργώδη καὶ πραγματείαν οὐδ' ὁτιοῦν ἔδει, διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον γεγονέναι καὶ ἄτιμον. (3) Οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν, ἀποφορὰν τὴν εἰρημένην τελοῦντες. (4) Ἐπιδημῶν δέ τις Ἀθήνησι δικαστηρίων ὄντων καὶ πυθόμενός τινα δίκην ἀργίας ὠφληκότα βαδίζειν ἀθυμοῦντα καὶ προπεμπόμενον ὑπὸ τῶν φίλων συναχθομένων καὶ βαρέως φερόντων, ἐδεῖτο δεῖξαι τοὺς συμπαρόντας αὐτῷ, τίς ἐστιν ὁ τὴν ἐλευθερίαν ἑαλωκὼς δίκην. (5) Οὕτω δουλοπρεπὲς ἡγοῦντο τὴν περὶ τὰς τέχνας καὶ τὸν χρηματισμὸν ἀσχολίαν. Δίκαι δὲ, ὡς εἰκὸς, ἐξέλιπον ἅμα τῷ νομίσματι, μήτε πλεονεξίας μήτε ἀπορίας αὐτοῖς παρούσης, ἰσότητος δὲ ἐν εὐπορίᾳ καὶ ῥᾳστώνης δι' εὐτέλειαν γεγενημένης. (6) Χοροὶ δὲ καὶ θαλίαι καὶ εὐωχίαι καὶ διατριβαὶ περί τε θήρας καὶ γυμνάσια καὶ λέσχας τὸν ἅπαντα χρόνον ἐπεχωρίαζον, ὅτε μὴ στρατευόμενοι τύχοιεν.

XXV. Οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν τὸ παράπαν οὐ κατέβαινον εἰς ἀγορὰν, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ τῶν ἐραστῶν ἐποιοῦντο τὰς ἀναγκαίας οἰκονομίας. (2) Τοῖς δὲ πρεσβυτέροις αἰσχρὸν ἦν συνεχῶς ὁρᾶσθαι περὶ ταῦτα διατρίβουσιν, ἀλλὰ μὴ τὸ πλεῖστον τῆς ἡμέρας περὶ τὰ γυμνάσια καὶ τὰς καλουμένας λέσχας ἀναστρέφεσθαι. (3) Καὶ γὰρ εἰς ταύτας συνιόντες ἐπιεικῶς ἐσχόλαζον μετ' ἀλλήλων, οὐδενὸς μεμνημένοι τῶν πρὸς χρηματισμὸν ἢ χρείαν ἀγοραῖον συντελούντων· ἀλλὰ τὸ πλεῖστον ἦν τῆς τοιαύτης διατριβῆς ἔργον ἐπαινεῖν τι τῶν καλῶν ἢ τῶν αἰσχρῶν ψέγειν, μετὰ παιδιᾶς καὶ γέλωτος ἐλαφρῶς ὑποφέροντος εἰς νουθεσίαν καὶ διόρθωσιν. (4) Οὐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως αὐστηρὸς ὁ Λυκοῦργος, ἀλλὰ καὶ τὸ τοῦ Γέλωτος ἀγαλμάτιον ἐκεῖνον ἱδρύσασθαι Σωσίβιος ἱστορεῖ, τὴν παιδιὰν ὥσπερ ἡδυσμα τοῦ πόνου καὶ τῆς διαίτης, ἐμβαλόντα κατὰ καιρὸν εἰς τὰ συμπόσια καὶ τὰς τοιαύτας διατριβάς. (5) Τὸ δὲ ὅλον εἴθιζε τοὺς πολίτας μὴ βούλεσθαι μήτε ἐπίστασθαι κατ' ἰδίαν ζῆν, ἀλλ' ὥσπερ τὰς μελίττας τῷ κοινῷ συμφυεῖς ὄντας ἀεὶ καὶ μετ' ἀλλήλων εἱλουμένους περὶ τὸν ἄρχοντα, μικροῦ δεῖν ἐξεστῶτας ἑαυτῶν ὑπ' ἐνθουσιασμοῦ καὶ φιλοτιμίας, ὅλους εἶναι τῆς πατρίδος· ὡς ἔστι καὶ φωναῖς τισιν αὐτῶν ἀποθεωρῆσαι τὴν διάνοιαν. (6) Ὁ μὲν γὰρ Παιδάρητος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους ἀπῆει μάλα φαιδρῶς, ὥσπερ χαίρων, ὅτι βελτίονας αὐτοῦ τριακοσίους ἡ πόλις ἔχει. (7) Πολυκρατίδας δὲ ὁ πρεσβεύων πρὸς τοὺς βασιλέως στρατηγοὺς μεθ' ἑτέρων, ἐρομένων αὐτῶν, πότερον ἰδίᾳ πάρεισιν ἢ δημοσίᾳ πεμφθέντες, εἶπεν, « Αἴκα τύχωμες, δημοσίᾳ· αἴκα ἀποτύχωμες, ἰδίᾳ. » (8) Ἡ δὲ Βρασίδου μήτηρ Ἀργιλεωνὶς, ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν ἐξ Ἀμφιπόλεως εἰσῆλθον πρὸς αὐτὴν, ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας

visebant, eosque aliquid utile docebant, vel ipsi a senioribus discebant. (2) Quippe ex iis, quæ pulchra et beata suis civibus Lycurgus paravit, unum etiam fuit otii abundantia. Nam artes illiberales tractare nemini omnium licebat: neque opus erat pecuniam colligere, quæ res magnam molestiam negotiumque requireret, cum divitiæ omni plane honore admirationeque carerent. (3) At servi (quos Helotas vocabant) agros colebant, constitutosque dominis reditus pendebant. (4) Ideo quidam Spartanus cum Athenis ageret, quo tempore judicia fiebant, audiens quendam otii causa damnatum ægro animo, comitantibus unaque graviter rem ferentibus amicis, incedere, petiisse fertur ab iis qui aderant, ut sibi ostenderent eum hominem, qui libertatis reus esset peractus. (5) Adeo servilem ii judicabant exercendarum artium et rei pecuniariæ procurandæ occupationem. Sublato nummo sublatæ quoque sunt, ut erat consentaneum, controversiæ forenses: cum neque divitiæ neque paupertas adessent, et æqualitatem omniumque rerum copiam frugalitas invexisset. (6) Omni igitur eo tempore, quo a militia vacabatur, in choris, conviviis, festivitatibus, venationibus, gymnicis exercitationibus, confabulationibusque omnes erant.

XXV. Qui annos minus quam triginta nati erant, ii omnino in forum non veniebant, sed res necessarias ministerio cognatorum et amatorum expediebant. (2) Senioribus indecorum erat continenter videri his rebus occupatos, ac non potissimam diei partem apud gymnasia et leschas consumere. (3) Eo enim frequenter conveniebant, otiosique invicem non de paranda pecunia, aut coemendis rebus necessariis mentionem faciebant, sed maxima pars ejus consuetudinis consumebatur in laude honestarum rerum, aut vituperatione turpium, cum joco et risu, qui admonitionem admixtam habens, ad correctionem comiter perduceret. (4) Neque enim usquequaque austerus erat ipse Lycurgus: cum auctor sit Sosibius, dedicatum ab eo Risus simulacrum, ut qui jocum, quasi condimentum severæ vitæ rationis, opportune conviviis et id genus conventibus immiserit. (5) In summa autem ad hoc cives suos condocefaciebat, ut neque vellent neque nossent seorsum vivere, sed apum instar semper cœtui adhærerent, simulque circa principem suum versarentur, totique patriæ essent, propemodum sui ipsorum obliti, præ furore quodam et ardenti honoris studio; quemadmodum eorum sententiam ex dictis quibusdam ipsorum perspicere licet. (6) Pædaretus in numerum trecentorum virorum non cooptatus, sereno vultu discessit, tanquam gaudens, quod se præstantiores viros trecentos patria haberet. (7) Polycratidas cum aliis ad regis præfectos legatus missus, interrogantibus, reipublicæne an suo privatorum nomine adessent, « Si quidem, inquit, impetraverimus, quod volumus, publice; sin minus, privati venimus. » (8) Brasidæ mater Argileonis quosdam Amphipoli ad se Lacedæmonem venientes interrogavit, pulchrene et ut patria dignum erat, Brasidas

ἀπέθανε καὶ τᾶς Σπάρτας ἀξίως· μεγαλυνόντων δὲ ἐκείνων τὸν ἄνδρα καὶ λεγόντων, ὡς οὐκ ἔχει τοιοῦτον ἄλλον ἡ Σπάρτη, « Μὴ λέγετε, εἶπεν, ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας, πολλοὺς δὲ ἄνδρας Λακεδαίμων ἔχει τήνου κάρρονας. »

XXVI. Τοὺς δὲ γέροντας αὐτὸς μέν, ὡς εἴρηται, κατέστησε τὸ πρῶτον ἐκ τῶν μετασχόντων τοῦ βουλεύματος· ὕστερον δὲ ἀντὶ τοῦ τελευτῶντος ἔταξε καθιστάναι τὸν ἄριστον ἀρετῇ κριθέντα τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων. (2) Καὶ μέγιστος ἐδόκει τῶν ἐν ἀνθρώποις ἀγώνων οὗτος εἶναι καὶ περιμαχητότατος· οὐ γὰρ ἐν ταχέσι τάχιστον οὐδὲ ἐν ἰσχυροῖς ἰσχυρότατον, ἀλλ' ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριστον καὶ σωφρονέστατον ἔδει κριθέντα, νικητήριον ἔχειν τῆς ἀρετῆς διὰ βίου τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτου καὶ ἀτιμίας καὶ ὅλως τῶν μεγίστων. (3) Ἐγίνετο δὲ ἡ κρίσις τόνδε τὸν τρόπον. Ἐκκλησίας ἀθροισθείσης ἄνδρες αἱρετοὶ καθείργνυντο πλησίον εἰς οἴκημα, τὴν μὲν ὄψιν οὐχ ὁρῶντες οὐδὲ ὁρώμενοι, τὴν δὲ κραυγὴν μόνον ἀκούοντες ἐκκλησιαζόντων. (4) Βοᾷ γὰρ, ὡς τἄλλα, καὶ τοὺς ἀμιλλωμένους ἔκρινον, οὐχ ὁμοῦ πάντων, ἀλλ' ἑκάστου κατὰ κλῆρον εἰσαγομένου καὶ σιωπῇ διαπορευομένου τὴν ἐκκλησίαν. (5) Ἔχοντες οὖν οἱ κατάκλειστοι γραμματεῖα, καθ' ἕκαστον ἐπεσημαίνοντο τῆς κραυγῆς τὸ μέγεθος, οὐκ εἰδότες, ὅτῳ γένοιτο, πλὴν ὅτι πρῶτος ἢ δεύτερος ἢ τρίτος ἢ ὁποστοσοῦν εἴη τῶν εἰσαγομένων. (6) Ὅτῳ δὲ πλείστη γένοιτο καὶ μεγίστη, τοῦτον ἀνηγόρευον. Ὁ δὲ στεφανωσάμενος περιῄει τοὺς θεούς· εἵποντο δὲ πολλοὶ νέοι ζηλοῦντες τὸν ἄνδρα καὶ μεγαλύνοντες, πολλαί τε γυναῖκες ἐγκωμιάζουσαι δι' ὠδῆς τὴν ἀρετὴν καὶ τὸν βίον εὐδαιμονίζουσαι. (7) Τῶν δὲ ἐπιτηδείων ἕκαστος αὐτῷ δεῖπνον παρατιθεὶς ἔλεγεν, ὅτι ταύτῃ ἡ πόλις τιμᾷ τῇ τραπέζῃ. (8) Περιελθὼν δὲ εἰς τὸ συσσίτιον ἀπῄει· καὶ τὰ μὲν ἄλλα ἐγίνετο συνήθως, δευτέρας δὲ μερίδος αὐτῷ παρατεθείσης ἐφύλαττεν ἁράμενος. Καὶ μετὰ τὸ δεῖπνον ἐπὶ ταῖς θύραις τοῦ φιδιτίου τῶν οἰκείων παρουσῶν γυναικῶν ἦν μάλιστα τυγχάνοι τιμῶν προσεκαλεῖτο· καὶ διδοὺς τὴν μοῖραν ἔλεγεν, ὅτι ταύτην αὐτὸς λαβὼν ἀριστεῖον, ἐκείνῃ δίδωσιν, ὥστε κἀκείνην ζηλουμένην ὑπὸ τῶν ἄλλων προπέμπεσθαι γυναικῶν.

XXVII. Καὶ μὴν καὶ περὶ τὰς ταφὰς ἄριστα διεκόσμησεν αὐτός. Πρῶτον μὲν γὰρ ἀνελὼν δεισιδαιμονίαν ἅπασαν, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς καὶ πλησίον ἔχειν τὰ μνήματα τῶν ἱερῶν οὐκ ἐκώλυσε, συντρόφους ποιῶν ταῖς τοιαύταις ὄψεσι καὶ συνήθεις τοὺς νέους, ὥστε μὴ ταράττεσθαι μηδ' ὀρρωδεῖν τὸν θάνατον, ὡς μιαίνοντα τοὺς ἁψαμένους νεκροῦ σώματος ἢ διὰ τάφων διελθόντας. (2) Ἔπειτα συνθάπτειν οὐδὲν εἴασεν, ἀλλὰ ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέντες τὸ σῶμα περιέστελλον. Ἐπιγράψαι δὲ τοὔνομα θάψαντας οὐκ ἐᾶν τοῦ νεκροῦ, πλὴν ἀνδρὸς ἐν πολέμῳ καὶ γυναικὸς τῶν ἱερῶν ἀποθανόντων. (3) Χρόνον δὲ πένθους ὀλίγον προσώρισεν, ἡμέρας ἕνδεκα· τῇ δὲ δωoccubuisset : ibi virum prædicantibus magnifice illis dicentibusque Spartam ejus similem jam nullum habere, « Nolite, inquit, hoc dicere, hospites; fuit quidem egregius vir Brasidas, sed multos eo præstantiores Sparta habet. »

XXVI. Ceterum seniores sive senatores Lycurgus, quemadmodum supra ostensum est, initio ex iis constituit, quos consilii socios habuit; post autem in defuncti locum jussit eum subrogari, qui inter sexagenario majores virtute reliquis anteire judicatus fuisset. (2) Non fuit apud mortales ullum excellentius certamen, aut cujus victoria magis esset expetenda; non enim inter celeres celerrimo, non inter robustos robustissimo, sed inter bonos ac temperantes optimo temperantissimoque judicato præmium victoriæ virtute partæ dabatur, ut per omnem vitam in republica summam potentiam haberet, dominusque et mortis et ignominiæ civium, aliarumque maximarum rerum esset. (3) Judicium id ita fiebat. Advocato in concionem populo, viri quidam ad hoc delecti in propinquum conclave concludebantur, ita ut neque viderent quenquam eorum qui convenerant, neque ab ullo viderentur, tantum clamorem illorum exaudirent. (4) Nam ut cetera, ita certamen quoque de hac virtutis palma acclamatione dijudicabant. Ibi non simul universi, sed unus post alium sorte ductus in concionem veniebat, tacitusque per eam transibat. (5) Quos conclusos dixi, ii in tabulas inscribebant, quantus ad singulorum transitum clamor fuisset sublatus : neque ad quem is pertineret illis constabat, nisi quod ratione ordinis, quoto acclamaretur, intelligebant. (6) Cui maxime ac frequentissime fuisset acclamatum, eum renunciabant. Isque circumibat coronatus deorum simulacra : sequebantur multi adolescentes, virum observantes ac laudibus extollentes, multæ etiam mulieres, virtutem ejus decantantes, vitamque ejus beatam prædicantes. (7) Necessariorum autem quivis cœnam ei apponens, hanc ei a civitate honoris ergo offerri mensam dicebat. (8) At vero senator ita electus, in syssitium abibat. Ibi cum reliqua de more fierent, altera illi portio præterea apponebatur, quam ille servans, secumque auferens, cœna peracta adstantium ad januam ejus loci mulierum uni, quam ceteris præferret, ad se vocatæ dono dabat, eam se, cum virtutis præmium accepisset, ipsi dare dicens. Proinde hæc quoque admirationi erat reliquis mulieribus, ab iisque domum deducebatur.

XXVII. Sepeliendi quoque ratio a Lycurgo optime est ordinata. Primo omni superstitione sublata, mortuos intra urbem humari, monumentaque prope templa poni non prohibuit : hujusmodi spectaculis adolescentes adsuefaciens, ne mortis recordatione perturbarentur, eamque ne exhorrerent, quasi eos, qui cadaver tetigissent, aut per sepulcretum transiissent, polluentem. (2) Deinde nihil cum mortuo terræ mandari permisit, sed ejus corpus tantum puniceo amiculo et foliis oleæ involutum tumulo componi jussit. Mortui nomen, nisi vir in bello, aut mulier sacerdos mortem obiisset, monumento inscribi passus non est. (3) Luctui tempus exiguum posuit, quippe dierum undecim :

δεκάτῃ θύσαντας ἔδει Δήμητρι λύειν τὸ πένθος. (4) Οὐδὲν γὰρ ἦν ἀργὸν οὐδὲ ἀφειμένον, ἀλλὰ πᾶσι κατεμίγνυε τοῖς ἀναγκαίοις ἀρετῆς τινα ζῆλον ἢ κακίας διαβολήν· καὶ κατεπύκνου παραδειγμάτων πλήθει τὴν πόλιν, οἷς ἀναγκαῖον ἦν ἐντυγχάνοντας ἀεὶ καὶ συντρεφομένους, ἄγεσθαι καὶ κατασχηματίζεσθαι ἰόντας πρὸς τὸ καλόν. (5) Ὅθεν οὐδ' ἀποδημεῖν ἔδωκε τοῖς βουλομένοις καὶ πλανᾶσθαι, ξενικὰ συνάγοντας ἤθη καὶ μιμήματα βίων ἀπαιδεύτων καὶ πολιτευμάτων διαφορᾶν. (6) Ἀλλὰ καὶ τοὺς ἀθροιζομένους ἐπ' οὐδενὶ χρησίμῳ καὶ παρεισρέοντας εἰς τὴν πόλιν ἀπήλαυνεν, οὐχ, ὡς Θουκυδίδης φησί, δεδιὼς, μὴ τῆς πολιτείας μιμηταὶ γένωνται καὶ πρὸς ἀρετήν τι χρήσιμον ἐκμάθωσιν, ἀλλὰ μᾶλλον ὅπως μὴ διδάσκαλοι κακοῦ τινος ὑπάρξωσιν. (7) Ἅμα γὰρ ξένοις σώμασιν ἀνάγκη λόγους ἐπεισιέναι ξένους· λόγοι δὲ καινοὶ κρίσεις καινὰς ἐπιφέρουσιν· ἐξ ὧν ἀνάγκη πάθη πολλὰ φύεσθαι καὶ προαιρέσεις ἀπαδούσας πρὸς τὴν καθεστῶσαν πολιτείαν, ὥσπερ ἁρμονίαν. Διὸ μᾶλλον ᾠήθη χρῆναι φυλάττειν τὴν πόλιν, ὡς ἠθῶν οὐκ ἀναπλησθήσεται πονηρῶν ἢ σωμάτων νοσερῶν ἔξωθεν ἐπεισιόντων.

XXVIII. Ἐν μὲν οὖν τούτοις οὐδέν ἐστιν ἀδικίας ἴχνος οὐδὲ πλεονεξίας, ἣν ἐγκαλοῦσιν ἔνιοι τοῖς Λυκούργου νόμοις, ὡς ἱκανῶς ἔχουσι πρὸς ἀνδρείαν, ἐνδεῶς δὲ πρὸς δικαιοσύνην. (2) Ἡ δὲ καλουμένη κρυπτία παρ' αὐτοῖς, εἴγε δὴ τοῦτο τῶν Λυκούργου πολιτευμάτων ἔν ἐστιν, ὡς Ἀριστοτέλης ἱστόρηκε, ταύτην ἂν εἴη καὶ τῷ Πλάτωνι περὶ τῆς πολιτείας καὶ τοῦ ἀνδρὸς ἐνειργασμένη δόξαν. (3) Ἦν δὲ τοιαύτη· τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα νοῦν ἔχειν δοκοῦντας εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον, ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν· οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλους διασπειρόμενοι τόπους ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδοὺς τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον. (4) Πολλάκις δὲ καὶ τοῖς ἀγροῖς ἐπιπορευόμενοι τοὺς ῥωμαλεωτάτους καὶ κρατίστους αὐτῶν ἀνῄρουν. Ὥσπερ καὶ Θουκυδίδης ἐν τοῖς Πελοποννησιακοῖς ἱστορεῖ, τοὺς ἐπ' ἀνδρείᾳ προκριθέντας ὑπὸ τῶν Σπαρτιατῶν στεφανώσασθαι μὲν ὡς ἐλευθέρους γεγονότας καὶ περιελθεῖν τὰ τῶν θεῶν ἱερὰ, μικρὸν δὲ ὕστερον ἅπαντας ἀφανεῖς γενέσθαι, πλείονας ἢ δισχιλίους ὄντας, ὡς μήτε παραχρῆμα μήτε ὕστερον ἔχειν τινὰ λέγειν, τῷ τρόπῳ διεφθάρησαν. (5) Ἀριστοτέλης δὲ μάλιστά φησι καὶ τοὺς ἐφόρους, ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι πρῶτον, τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν. Καὶ τἆλλα δὲ τραχέως προσεφέροντο καὶ σκληρῶς αὐτοῖς· ὥστε καὶ πίνειν ἀναγκάζοντες πολὺν ἄκρατον, εἰς τὰ συσσίτια παρεισῆγον ἐπιδεικνύμενοι τὸ μεθύειν οἷόν ἐστι τοῖς νέοις. (6) Καὶ ᾠδὰς ἐκέλευον ᾄδειν καὶ χορείας χορεύειν ἀγεννεῖς καὶ καταγελάστους, ἀπέχεσθαι δὲ τῶν ἐλευθερίων. Διὸ καί φασιν ὕστερον ἐν τῇ Θηβαίων εἰς τὴν Λακωνικὴν στρατείᾳ τοὺς ἁλισκομένους εἵλωτας κελευομένους ᾄδειν τὰ Τερπάνδρου

duodecima Cereri sacrificandum, luctusque finiendus erat. (4) Non enim fuit in ejus institutis quicquam vanum aut dissolutum, sed semper rebus necessariis virtutis aliquod præconium, aut vitii vituperationem admiscebat, urbemque multitudine exemplorum implebat, in quæ qui incidissent subinde familiariaque ea haberent, necessario ad honestatem deducebantur, iisque sese conformabant. (5) Quam etiam habuit causam, ut peregrinari atque hinc inde vagari suos vetaret, ne extraneos mores, imitationemque vitæ non probe institutæ diversarumque in republica constitutionum in urbem inveherent. (6) Quinetiam eos, qui Spartam nullius utilis negotii causa confluebant, urbe expulit, non, quod Thucydides scribit, veritus ne reipublicæ formam imitarentur aliquidque ad virtutem faciens discerent, sed verius, ne quid mali docerent. (7) Homines enim peregrini peregrinos etiam secum adferunt sermones, unde rursus nova de rebus judicia oriuntur, ex quibus fieri non potest quin affectus multi consiliaque nascantur, quæ ab instituta reipublicæ ratione dissonent: quamobrem majori cura providendum censuit, ne malis moribus urbs, quam ne extrinsecus irrepentibus corporibus morbosis repleretur.

XXVIII. In his omnibus nullum est injustitiæ aut injuriæ vestigium: quæ vitia nonnulli legibus Lycurgi objiciunt, quasi de fortitudine satis præcipientibus, de justitia non item. (2) At Cryptia, quam ipsi (ab insidiis) ita nominant, si quidem ejus quoque, ut Aristoteles narrat, Lycurgus auctor fuit, Platonem fortassis etiam in eam de Lycurgo et ejus legibus adduxit sententiam. (3) Ea hujusmodi fuit. Magistratus statis temporibus quos juvenum sollertissimos esse censuissent, cum pugionibus et cibo quantum necessitas postulabat, neque ulla alia re instructos, in agros nullo certo proposito emiserunt. Hi interdiu dispersi in loca incognita se abdiderunt, ac quieti se dederunt: noctu in vias digressi omnes Helotas, quos comprehendere potuissent, obtruncaverunt: (4) sæpius etiam in agros profecti, robustissimos eorum optimosque interfecerunt. Ad hunc modum Thucydides quoque in historia belli Peloponnesiaci scribit, servos Spartanorum fortitudinis causa reliquis prælatos, ab iis coronatos fuisse, perinde atque si libertate donati forent, deorumque templa circum iisse, verum paulo post omnes e medio sublatos fuisse, cum amplius duobus millibus essent, ita quidem ut neque tunc neque postea quisquam dicere potuerit, quonam ii modo perierint. (5) Aristoteles autem inprimis auctor est ephoros, ut primum magistratum eum occipiant, bellum servis indicere, ut citra religionem ii occidi possint. Alioqui profecto etiam aspere servos et inhumaniter Spartani tractabant, multum meri eos bibere coactos in syssitia introducentes, eaque ratione adolescentibus ostendentes, ebrietas quid rei esset; (6) jubentesque eos canere cantilenas, et saltare choreas illiberales et ridiculas, liberalibus autem abstinere. Hinc memorant a Thebanis, quo tempore bellum Lacedæmoniorum finibus intulerunt, captos Helotas, cum juberentur cantare Terpandri, Alcmanis et Spendontis Laconis carmi-

καὶ Ἀλκμᾶνος καὶ Σπένδοντος τοῦ Λάκωνος παραιτεῖσθαι φάσκοντας οὐκ ἐθέλειν τοὺς δεσποσύνους. (7) Ὥστε τοὺς λέγοντας, ἐν Λακεδαίμονι καὶ τὸν ἐλεύθερον μάλιστα ἐλεύθερον εἶναι καὶ τὸν δοῦλον μάλιστα δοῦλον, οὐ φαύλως τεθεωρηκέναι τὴν διαφοράν. (8) Τὰς μὲν οὖν τοιαύτας χαλεπότητας ὕστερον γενέσθαι τοῖς Σπαρτιάταις νομίζω, μάλιστα μετὰ τὸν μέγαν σεισμὸν, ᾧ συνεπιθέσθαι τοὺς εἵλωτας μετὰ Μεσσηνίων c ἱστοροῦσι καὶ πλεῖστα κατὰ τὴν χώραν ἐργάσασθαι καὶ μέγιστον τῇ πόλει περιστῆσαι κίνδυνον. (9) Οὐ γὰρ ἂν ἔγωγε προσθείην Λυκούργῳ μιαρὸν οὕτω τῆς κρυπτίας ἔργον, ἀπὸ τῆς ἄλλης αὐτοῦ πρᾳότητος καὶ δικαιοσύνης τεκμαιρόμενος τὸν τρόπον, ᾧ καὶ τὸ δαιμόνιον ἐπεμαρτύρησε.

XXIX. Κατειλημμένων δὲ τοῖς ἐθισμοῖς ἤδη τῶν κυριωτάτων ὑπ' αὐτοῦ καὶ τῆς πολιτείας ἐκτεθραμμένης ἱκανῶς καὶ δυναμένης φέρειν ἑαυτὴν καὶ σώζειν δι' ἑαυτῆς, ὥσπερ ὁ Πλάτων φησὶν, ἐπὶ τῷ κόσμῳ γενομένῳ καὶ κινηθέντι τὴν πρώτην κίνησιν εὐφρανθῆναι τὸν θεὸν, οὕτως ἀγασθεὶς καὶ ἀγαπήσας τὸ τῆς νομοθεσίας d κάλλος καὶ μέγεθος ἐν ἔργῳ γενομένης καὶ ὁδῷ βαδιζούσης ἐπεθύμησεν, ὡς ἀνυστὸν ἐξ ἀνθρωπίνης προνοίας, ἀθάνατον αὐτὴν ἀπολιπεῖν καὶ ἀκίνητον εἰς τὸ μέλλον. (2) Συναγαγὼν οὖν ἅπαντας εἰς ἐκκλησίαν τὰ μὲν ἄλλα μετρίως ἔχειν ἔφη καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν τῆς πόλεως· ὃ δὲ κυριώτατόν ἐστι καὶ μέγιστον οὐκ ἂν ἐξενεγκεῖν πρότερον πρὸς αὐτοὺς ἢ χρήσασθαι τῷ θεῷ. (3) Δεῖν οὖν ἐκείνους ἐμμένειν τοῖς καθεστῶσι νόμοις καὶ μηδὲν ἀλλάσσειν μηδὲ μετακινεῖν, ἕως ἐπάνεισιν ἐκ Δελφῶν αὐτός· ἐπανελθὼν γὰρ ὅ τι ἂν τῷ θεῷ δοκῇ ποιήσειν. (4) Ὁμολογούντων δὲ πάντων καὶ κελευόντων βαδίζειν, e ὅρκους λαβὼν παρὰ τῶν βασιλέων καὶ τῶν γερόντων, ἔπειτα παρὰ τῶν ἄλλων πολιτῶν, ἐμμενεῖν καὶ χρήσεσθαι τῇ καθεστώσῃ πολιτείᾳ, μέχρις ἂν ἐπανέλθῃ ὁ Λυκοῦργος, ἀπῆρεν εἰς Δελφούς. (5) Παραγενόμενος δὲ πρὸς τὸ μαντεῖον καὶ τῷ θεῷ θύσας ἠρώτησεν, εἰ καλῶς οἱ νόμοι καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν πόλεως κείμενοι τυγχάνουσιν. (6) Ἀποκριναμένου δὲ τοῦ θεοῦ καὶ τοὺς νόμους καλῶς κεῖσθαι καὶ τὴν πόλιν ἐνδοξοτάτην διαμενεῖν τῇ Λυκούργου χρωμένην πολιτείᾳ, τὸ μάντευμα γραψάμενος εἰς Σπάρτην ἀπέστειλεν. (7) Αὐτὸς δὲ τῷ θεῷ πάλιν θύσας καὶ τοὺς φίλους ἀσπασάμενος καὶ τὸν υἱὸν, ἔγνω μηκέτι τοῖς πολίταις ἀφεῖναι τὸν ὅρκον, αὐτοῦ f δὲ καταλῦσαι τὸν βίον ἑκουσίως, ἡλικίας γεγονὼς, ἐν ᾗ καὶ βιοῦν ἔτι καὶ πεπαῦσθαι βουλομένοις ὡραῖόν ἐστι, καὶ τῶν περὶ αὐτὸν ἱκανῶς πρὸς εὐδαιμονίαν ἔχειν δοκούντων. (8) Ἐτελεύτησεν οὖν ἀποκαρτερήσας, ἡγούμενος χρῆναι τῶν πολιτικῶν ἀνδρῶν μηδὲ τὸν θάνατον ἀπολίτευτον εἶναι, μηδὲ ἀργὸν τὸ τοῦ βίου τέλος,
58 ἀλλ' ἐν ἀρετῆς μερίδι καὶ πράξεως γενόμενον. (9) Αὐτῷ a τε γὰρ ἐξειργασμένῳ τὰ κάλλιστα, τὴν τελευτὴν ὡς ἀληθῶς ἐπιτελείωσιν εἶναι τῆς εὐδαιμονίας καὶ τοῖς πολίταις, ὧν διὰ τοῦ βίου παρεσκεύασε καλῶν καὶ ἀγα-

na, recusasse, quod dicerent, dominos suos id nolle. (7) Quare qui dixerunt Lacedæmone liberum maxime liberum, et servum maxime servum esse, non male discrimen id perpenderunt. (8) Ego hujusmodi in servos inhumanitatem posterioribus demum temporibus exstitisse arbitror, post magnum illum terræ motum, in quo servos cum Messeniis conspiratione facta ferunt plurimis agrum Laconicum maleficiis infestasse, urbemque in summum periculum conjecisse. (9) Neque enim ego tam sceleratum illud Cryptiæ facinus Lycurgo adscripserim, de cujus moribus ex ejus viri reliqua mansuetudine et justitia conjecturam capio, de quibus etiam numen testimonium tulit.

XXIX. Lycurgus, posteaquam præcipuæ omnes ipsius constitutiones usu jam confirmatæ, resque publica satis adulta se ipsam tolerare atque conservare valuit, quemadmodum Plato scribit, mundo creato ac primum moveri incipiente deum delectatum fuisse, ita ipse etiam legum suarum jam vigentium ac progredientium pulchritudinem amplitudinemque læto animo admiratus, id in animum suum induxit, ut eam formam reipublicæ, quantum ejus humana prudentia consequi posset, perpetuam atque immobilem in posterum relinqueret. (2) Eam ob rem convocatis ad concionem universis suis civibus, omnia dixit mediocriter jam, et quantum ad felicitatem virtutemque civitatis satis esset, composita, unum tamen adhuc esse, quod potissimum sit atque maximum : neque se id, nisi consulto prius oraculo, vulgaturum; (3) petere igitur ab ipsis, ut fixis legibus starent, neque ante suum Delphis reditum quicquam immutarent aut moverent : reversum se id, quod deus jussisset, perfecturum. (4) Assentientibus omnibus, ireque ipsum jubentibus, jurejurando reges, senatores, reliquosque deinde cives sibi obstrinxit, usuros constanter reipublica forma jam constituta donec revertisset Lycurgus, ipse Delphos profectus est. (5) Cum ad oraculum accessisset, sacrisque peractis deum rogasset, rectene leges et ad salutem virtutemque urbis sufficienter positæ essent, (6) ita ei responsum est : leges bene conditas esse, mansuramque urbem eam clarissimam, si Lycurgi institutis insistat. Id oraculum perscriptum Spartam Lycurgus misit. (7) Ipse iterum deo rem sacram cum fecisset, salutatis amicis filioque, statuit cives nunquam sacramenti dicti religione solvere, sed ultro Delphis vitam claudere : cum et felicitatis sibi partum satis esse arbitraretur, et eam ætatem ageret, qua vel vivere ulterius, vel finem vivendi facere opportunum est. (8) Itaque abstinentia cibi vitam finivit : quod existimaret hominis in republica versati mortem quoque ipsam ad illius utilitatem debere pertinere, neque otiose eam, sed cum virtutis aliqua actione obeundam. (9) Sibi quidem, quod res præclarissimas effecisset, mortem vere perfectionem felicitatis, civibus autem eam futuram custodem eorum bonorum, quæ ipsis vivens paravisset, juratis nimi-

θῶν, φύλακα τὸν θάνατον ἀπολείψειν, ὁμωμοκόσι χρῆσθαι τῇ πολιτείᾳ μέχρις ἂν ἐκεῖνος ἐπανέλθῃ. (10) Καὶ οὐ διεψεύσθη τῶν λογισμῶν· τοσοῦτον ἐπρώτευσεν ἡ πόλις τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ, χρόνον ἐτῶν πεν-
5 τακοσίων τοῖς Λυκούργου χρησαμένη νόμοις, οὓς δεκατεσσάρων βασιλέων μετ' ἐκεῖνον εἰς Ἄγιν τὸν Ἀρχιδάμου γενομένων οὐδεὶς ἐκίνησεν. Ἡ γὰρ τῶν ἐφόρων κατάστασις οὐκ ἄνεσις ἦν, ἀλλ' ἐπίτασις τῆς πολιτείας καὶ δοκοῦσα πρὸς τοῦ δήμου γεγονέναι, σφοδροτέραν
10 ἐποίησε τὴν ἀριστοκρατίαν.

XXX. Ἀγίδος δὲ βασιλεύοντος εἰσερρύη νόμισμα πρῶτον εἰς τὴν Σπάρτην καὶ μετὰ τοῦ νομίσματος πλεονεξία καὶ πλούτου ζῆλος ἐπέδη διὰ Λύσανδρον· ὃς αὐτὸς ὢν ἀνάλωτος ὑπὸ χρημάτων ἐνέπλησε τὴν πατρίδα
15 φιλοπλουτίας καὶ τρυφῆς, χρυσὸν καὶ ἄργυρον ἐκ τοῦ πολέμου καταγαγὼν καὶ τοὺς Λυκούργου καταπολιτευσάμενος νόμους. (2) Ὧν ἐπικρατούντων πρότερον οὐ πόλεως ἡ Σπάρτη πολιτείαν, ἀλλ' ἀνδρὸς ἀσκητοῦ καὶ σοφοῦ βίον ἔχουσα, μᾶλλον δ', ὥσπερ οἱ ποιηταὶ τὸν
20 Ἡρακλέα μυθολογοῦσι δέρμα καὶ ξύλον ἔχοντα τὴν οἰκουμένην ἐπιπορεύεσθαι, κολάζοντα τοὺς παρανόμους καὶ θηριώδεις τυράννους, οὕτως ἡ πόλις ἀπὸ σκυτάλης μιᾶς καὶ τρίβωνος ἄρχουσα τῆς Ἑλλάδος ἑκούσης καὶ βουλομένης, κατέλυε τὰς ἀδίκους δυναστείας καὶ τυραν-
25 νίδας ἐν τοῖς πολιτεύμασι καὶ πολέμους ἐβράβευε καὶ στάσεις κατέπαυε, πολλάκις οὐδ' ἀσπίδα κινήσασα μίαν, ἀλλ' ἕνα πέμψασα πρεσβευτήν, ᾧ πάντες εὐθὺς ἐποίουν τὸ προστασσόμενον, ὥσπερ αἱ μέλισσαι φανέντος ἡγεμόνος συντρέχοντες καὶ κατακοσμούμενοι. Το-
30 σοῦτον περιῆν εὐνομίας τῇ πόλει καὶ δικαιοσύνης. (3) Ὅθεν ἔγωγε θαυμάζω τῶν λεγόντων, ὡς ἄρχεσθαι μὲν ἤδεσαν, ἄρχειν δὲ οὐκ ἠπίσταντο Λακεδαιμόνιοι· καὶ τὸν Θεοπόμπου τοῦ βασιλέως ἐπαινούντων λόγον, ὃς εἰπόντος τινὸς, σώζεσθαι τὴν Σπάρτην διὰ τοὺς βασι-
35 λεῖς ἀρχικοὺς γεγονότας, « Μᾶλλον, εἶπε, διὰ τοὺς πολίτας πειθαρχικοὺς ὄντας· » οὐ γὰρ ἀκούειν ὑπομένουσι τῶν προστατεῖν μὴ δυναμένων, ἀλλ' ἡ πειθαρχία μάθημα μέν ἐστιν ἄρχοντος (ἐμποιεῖ γὰρ ὁ καλῶς ἄγων τὸ καλῶς ἕπεσθαι· καὶ καθάπερ ἱππικῆς τέχνης ἀποτέ-
40 λεσμα, πρᾷον ἵππον καὶ πειθήνιον παρασχεῖν, οὕτω βασιλικῆς ἐπιστήμης ἔργον, εὐπείθειαν ἐργάσασθαι), Λακεδαιμόνιοι δὲ οὐκ εὐπείθειαν, ἀλλ' ἐπιθυμίαν ἐνειργάζοντο τοῖς ἄλλοις τοῦ ἄρχεσθαι καὶ ὑπακούειν αὐτοῖς. (4) Ἦτουν γὰρ οὐ ναῦς οὔτε χρήματα παρ' αὐτῶν οὔτε
45 ὁπλίτας πέμποντες, ἀλλὰ ἕνα Σπαρτιάτην ἡγεμόνα· καὶ λαβόντες ἐχρῶντο μετὰ τιμῆς καὶ δέους, ὥσπερ Γυλίππῳ Σικελιῶται καὶ Βρασίδᾳ Χαλκιδεῖς, Λυσάνδρῳ δὲ καὶ Καλλικρατίδᾳ καὶ Ἀγησιλάῳ πάντες οἱ τὴν Ἀσίαν οἰκοῦντες· τοὺς μὲν ἄνδρας ἁρμοστὰς καὶ σω-
50 φρονιστὰς τῶν ἑκασταχοῦ δήμων καὶ ἀρχόντων ὀνομάζοντες, πρὸς δὲ σύμπασαν τὴν τῶν Σπαρτιατῶν πόλιν, ὥσπερ παιδαγωγὸν ἢ διδάσκαλον εὐσχήμονος βίου καὶ τεταγμένης πολιτείας ἀποβλέποντες. (5) Εἷς δ' καὶ Στρατόνικος ἐπισκῶψαι δοκεῖ μετὰ παιδιᾶς νομοθετῶν

rum tantisper usuros se legibus ipsius, donec Spartam revertisset. (10) Neque eum suæ rationes deceperunt. Nam per quingentos deinceps annos Lycurgi legibus usi Lacedæmonii, feliciter et gloriose rempublicam administraverunt: quas, cum per id tempus quattuordecim reges usque ad Agidem Archidami filium imperarint, nullus movit. Ephororum enim creatio non remittebat, sed intendebat eam rei- b publicæ constitutionem: cumque videretur pro populo facere, vehementiorem adhuc potentiam optimatum efficiebat.

XXX. Agide regnante demum nomisma Spartam irrepsit, cumque eo avaritia et studium divitiarum, idque culpa Lysandri. Is enim, quanquam ipse pecuniæ cupiditate superior, tamen bello partum aurum argentumque patriæ inferens, horum amore et luxuria Spartam implevit, Lycurgique leges occulte infregit. (2) Quibus ante valentibus Sparta non civitatis bene institutæ, sed vitæ hominis sapientis exer- c citatique gerebat speciem: imo quemadmodum Herculem poetæ fingunt pelle et clava lignea instructum, puniendis injustis immanibusque tyrannis orbem terrarum peragrasse: ita Lacedæmon scytala et palliolo usa, imperium in Græciam ultro delatum obtinuit, injustas in civitatibus dominationes et tyrannides destruxit, bellorum arbitra fuit et sæpenumero seditiones pacavit: idque ne scuto quidem ullo moto, sed uno tantum misso legato, ad quem confestim omnes, tanquam apes ad regem suum, concurrentes et in ordinem se componentes, mandatis ejus obtemperabant. Tantum ea urbs legum observantia justitiaque reliquis ante- d cellebat. (3) Unde mihi subit mirari eorum judicia, qui Lacedæmoniis parendi, non item imperandi scientiam adfuisse affirmant, laudantque illud Theopompi regis dictum, qui Spartanos eo incolumes esse dicenti, quod reges imperandi peritos haberent, « Potius, inquit, propterea, quod cives obedire norunt. » Non enim dicto audientes homines esse volunt iis qui præesse nesciant, quippe obedientiam a principe discant oportet (qui enim bene ducit, efficit ut recte eum ii, quos ducit, sequantur; atque ut equestris artis e opus est, reddere equum mansuetum, et freno parentem, ita regiæ scientiæ est obedientiam subditorum efficere): at Lacedæmonii non obedientiam, sed cupiditatem obtemperandi sibi apud alios effecerunt. (4) Non enim hi naves, non pecuniam exigebant, non milites, sed unum Lacedæmonium ducem, acceptoque eo cum summo honore et reverentia utebantur. Ita Gylippo Siceliotæ, Brasida Chalcidenses usi sunt, Lysandro, Callicratida et Agesilao Asiæ totius incolæ, viros eos ubique populorum magistratuumque rectores et moderatores nominantes; omnino autem in Spartanorum civitatem, tanquam modestæ vitæ reipubli- f cæque bene ordinatæ præceptorem, intuentes. (5) Quam ad rem videtur Stratonici facetum illud cavillum referri de-

καὶ κελεύων Ἀθηναίους ἄγειν μυστήρια καὶ πομπὰς, Ἠλείους δὲ ἀγωνοθετεῖν, ὡς κάλλιστα τοῦτο ποιοῦντας, Λακεδαιμονίους δὲ ἂν ἁμαρτάνωσιν οὗτοι δέρεσθαι. (6) Καὶ τοῦτο μὲν εἴρηται χάριν τοῦ γελοίου· Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τοὺς Θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.

XXXI. Οὐ μὴν τοῦτό γε τῷ Λυκούργῳ κεφάλαιον ἦν τότε, πλείστων ἡγουμένην ἀπολιπεῖν τὴν πόλιν· ἀλλ' ὥσπερ ἑνὸς ἀνδρὸς βίῳ καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν ἀπ' ἀρετῆς ἐγγίνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὑτὴν, πρὸς τοῦτο συνέταξε καὶ συνήρμοσεν, ὅπως ἐλευθέριοι καὶ αὐτάρκεις γενόμενοι καὶ σωφρονοῦντες ἐπὶ πλεῖστον χρόνον διατελῶσι. (2) Ταύτην καὶ Πλάτων ἔλαβε τῆς πολιτείας ὑπόθεσιν καὶ Διογένης καὶ Ζήνων καὶ πάντες, ὅσοι τι περὶ τούτων ἐπιχειρήσαντες εἰπεῖν ἐπαινοῦνται, γράμματα καὶ λόγους ἀπολιπόντες μόνον. (3) Ὁ δὲ οὐ γράμματα καὶ λόγους, ἀλλ' ἔργῳ πολιτείαν ἀμίμητον εἰς φῶς προενεγκάμενος καὶ τοῖς ἀνύπαρκτον εἶναι τὴν λεγομένην περὶ τὸν σοφὸν διάθεσιν ὑπολαμβάνουσιν ἐπιδείξας ὅλην τὴν πόλιν φιλοσοφοῦσαν, εἰκότως ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. (4) Δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησι τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. Ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ. (5) Λέγεται δὲ καὶ τῶν λειψάνων αὐτοῦ κομισθέντων οἴκαδε κεραυνὸν εἰς τὸν τάφον κατασκῆψαι. Τοῦτο δὲ οὐ ῥᾳδίως ἑτέρῳ τινὶ τῶν ἐπιφανῶν πλὴν Εὐριπίδῃ συμπεσεῖν ὕστερον, τελευτήσαντι καὶ ταφέντι τῆς Μακεδονίας περὶ Ἀρέθουσαν. Ὥστε ἀπολόγημα καὶ μαρτύριον μέγα εἶναι τοῖς ἀγαπῶσι τὸν Εὐριπίδην, τὸ μόνῳ συμπεσεῖν αὐτῷ μετὰ τελευτὴν καὶ γενέσθαι, ἃ τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ πρότερον συνέπεσε. (6) Τελευτῆσαι δὲ τὸν Λυκοῦργον οἱ μὲν ἐν Κίρρᾳ λέγουσιν· Ἀπολλόθεμις δὲ εἰς Ἦλιν κομισθέντα· Τίμαιος δὲ καὶ Ἀριστόξενος ἐν Κρήτῃ καταβιώσαντα· καὶ τάφον Ἀριστόξενος αὐτοῦ δείκνυσθαί φησιν ὑπὸ Κρητῶν τῆς Περγαμίας περὶ τὴν ξενικὴν ὁδόν. (7) Υἱὸν δὲ λέγεται μονογενῆ καταλιπεῖν Ἀντίωρον· οὗ τελευτήσαντος ἀτέκνου τὸ γένος ἐξέλιπεν. Οἱ δ' ἑταῖροι καὶ οἰκεῖοι διαδοχήν τινα καὶ σύνοδον ἐπὶ πολλοὺς χρόνους διαμείνασαν κατέστησαν καὶ τὰς ἡμέρας, ἐν αἷς συνήρχοντο, Λυκουργίδας προσηγόρευσαν. (8) Ἀριστοκράτης δὲ ὁ Ἱππάρχου φησὶ τοὺς ξένους τοῦ Λυκούργου τελευτήσαντος ἐν Κρήτῃ καῦσαι τὸ σῶμα καὶ διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλατταν, αὐτοῦ δεηθέντος καὶ φυλαξαμένου, μή ποτε ἄρα τῶν λειψάνων εἰς Λακεδαίμονα κομισθέντων, ὡς ἐπανήκοντος αὐτοῦ καὶ τῶν ὅρκων λελυμένων, μεταβάλωσι τὴν πολιτείαν. Ταῦτα μὲν οὖν περὶ τοῦ Λυκούργου.

bere, qui Athenienses mysteria celebrare et pompas ducere jussit, Eleos certamina edere, nimirum harum rerum peritissimos, Lacedæmonios autem istis, si quid peccassent, plagas infligere. (6) Atque hoc quidem per jocum dictum. At vero Antisthenes Socraticæ philosophiæ sectator, videns Thebanos a Leuctrica victoria insolentius efferri, nihil eos differre a pueris dixit, qui exsultarent propterea quod pædagogum concidissent.

XXXI. Enimvero non hoc Lycurgus tum temporis agebat, ut urbem quam plurimarum aliarum ducem relinqueret, sed cum ita sentiret, sicuti unius hominis felicitas virtute et concordia paratur, eandem rationem quoque civitatis esse, eo ejus statum ordinavit accommodavitque, ut cives liberi essent, totique ex se ipsis apti et temperantes, atque ita quam diutissime civitas duraret. (2) Ad hoc idem propositum Plato etiam et Diogenes et Zeno rempublicam instituerunt, aliique omnes, qui eo laudem invenerunt, quod de his rebus scribere aliquid conati essent. (3) Noster non libros de republica, sed re ipsa civitatem nulla imitatione æquandam protulit in lucem: atque iis qui opinantur, virum sapientem non re vera exstare posse, ob oculos posuit totam urbem sapientiæ studio occupatam; quare merito omnibus illis, qui unquam apud Græcos rempublicam attigerunt, gloria longe anteponitur. (4) Ideoque et Aristoteles ait minores eum apud Spartanos, quam quos par erat, honores adeptum, cum sit quidem ornatus maximis. Templum enim ei positum est, sacrificaturque ipsi quotannis tanquam deo. (5) Ferunt etiam, cum reliquiæ ejus essent in patriam reportatæ, sepulcrum fulmine ictum fuisse. Non temere id alicui illustri viro evenisse constat, præterquam Euripidi inferioribus temporibus mortuo et in Macedonia apud Arethusam sepulto: ut qui hujus studio tenentur, magnam amoris sui causam testimoniumque hujus præstantiæ afferant, quod soli ei idem post mortem, quod ante sanctissimo et diis acceptissimo Lycurgo, contigit. (6) Mortuum fuisse Lycurgum alii Cirrhæ tradunt, Apollothemis Elide quo tum se contulisset, Timæus et Aristoxenus in Creta vitam cum morte commutasse asserunt, ostendique Aristoxenus a Cretensibus ait sepulcrum ejus in Pergamia, viâ quæ vocatur peregrina. (7) Filium quoque reliquisse traditur unicum, Antiorum nomine, eoque sine liberis defuncto, genus defecisse. Socii autem ejus et familiares instituerunt conventum, qui diu perduravit: diesque quibus coirent, Lycurgides appellatæ sunt. (8) Aristocrates Hipparchi filius, Lycurgo in Creta mortuo, ab hospitibus ejus corpus crematum, cineresque in mare dispersos perhibet; obtemperasse nimirum eos ipsius Lycurgi precibus, id caventis, ne suis reliquiis Spartam allatis, tanquam ipse si rediisset, cives soluta sacramenti religione rempublicam a se institutam mutarent. Atque hæc de Lycurgo.

ΝΟΜΑΣ.

Ἔστι δὲ καὶ περὶ τῶν Νομᾶ τοῦ βασιλέως χρόνων, καθ' οὓς γέγονε, νεανικὴ διαφορὰ, καίπερ ἐξ ἀρχῆς εἰς τοῦτον καταγεσθαι τῶν στεμμάτων ἀκριβῶς δοκούντων. (2) Ἀλλὰ Κλώδιός τις ἐν Ἐλέγχῳ χρόνων (οὕτω. γάρ πως ἐπιγέγραπται τὸ βιβλίον) ἰσχυρίζεται, τὰς μὲν ἀρχαίας ἐκείνας ἀναγραφὰς ἐν τοῖς Κελτικοῖς πάθεσι τῆς πόλεως ἠφανίσθαι· τὰς δὲ νῦν φαινομένας οὐκ ἀληθῶς συγκεῖσθαι δι' ἀνδρῶν χαριζομένων τισὶν, εἰς τὰ πρῶτα γένη καὶ τοὺς ἐπιφανεστάτους οἴκους ἐξ οὐ προσηκόντων εἰσβιαζομένοις. (3) Λεγομένου δ' οὖν, ὡς Νομᾶς γένοιτο Πυθαγόρου συνήθης, οἱ μὲν ὅλως ἀξιοῦσι μηδὲν Ἑλληνικῆς παιδεύσεως Νομᾶ μετεῖναι, καθάπερ ἢ φύσει δυνατὸν καὶ αὐτάρκη γενέσθαι πρὸς ἀρετὴν ἢ βελτίονι Πυθαγόρου βαρβάρῳ τινὶ τὴν τοῦ βασιλέως ἀποδοῦναι παίδευσιν· οἱ δὲ Πυθαγόραν μὲν ὀψὲ γενέσθαι, τῶν Νομᾶ χρόνων ὁμοῦ τι πέντε γενεαῖς ἀπολειπόμενον· Πυθαγόραν δὲ τὸν Σπαρτιάτην Ὀλύμπια νενικηκότα στάδιον ἐπὶ τῆς ἑκκαιδεκάτης Ὀλυμπιάδος, ἧς ἔτει τρίτῳ Νομᾶς εἰς τὴν βασιλείαν κατέστη, πλανηθέντα περὶ τὴν Ἰταλίαν συγγενέσθαι τῷ Νομᾷ καὶ συνδιακοσμῆσαι τὴν πολιτείαν. Ὅθεν οὐκ ὀλίγα τοῖς Ῥωμαϊκοῖς ἐπιτηδεύμασι τῶν Λακώνων ἀναμεμῖχθαι Πυθαγόρου διδάξαντος. (4) Ἄλλως δὲ Νομᾶς γένος μὲν ἦν ἐκ Σαβίνων· Σαβῖνοι δὲ βούλονται Λακεδαιμονίων ἑαυτοὺς ἀποίκους γεγονέναι. Τοὺς μὲν οὖν χρόνους ἐξακριβῶσαι χαλεπόν ἐστι καὶ μάλιστα τοὺς ἐκ τῶν Ὀλυμπιονικῶν ἀναγομένους· ὧν τὴν ἀναγραφὴν ὀψὲ φασὶν Ἱππίαν ἐκδοῦναι τὸν Ἠλεῖον, ἀπ' οὐδενὸς ὁρμώμενον ἀναγκαίου πρὸς πίστιν. (5) Ἃ δὲ παρειλήφαμεν ἄξια λόγου ἡμεῖς περὶ Νομᾶ διέξιμεν ἀρχὴν οἰκείαν λαβόντες.

II. Ἕβδομον ἐνιαυτὸν ἡ Ῥώμη καὶ τριακοστὸν ἤδη Ῥωμύλου βασιλεύοντος ᾠκεῖτο· πέμπτῃ δὲ ἱσταμένου μηνὸς, ἣν νῦν ἡμέραν Νώνας Καπρατίνας καλοῦσι, θυσίαν τινὰ δημοτελῆ πρὸ τῆς πόλεως ὁ Ῥωμύλος ἔθυε περὶ τὸ καλούμενον Αἰγὸς ἕλος, καὶ παρῆν ἥ τε βουλὴ καὶ τοῦ δήμου τὸ πλεῖστον. (2) Ἐξαίφνης δὲ μεγάλης περὶ τὸν ἀέρα τροπῆς γενομένης καὶ νέφους ἐπὶ τὴν γῆν ἐρείσαντος ἅμα πνεύματι καὶ ζάλῃ, τὸν μὲν ἄλλον ὅμιλον ἐκπλαγέντα συνέβη φυγεῖν καὶ σκεδασθῆναι, τὸν δὲ Ῥωμύλον ἀφανῆ γενέσθαι καὶ μήτε αὐτὸν ἔτι μήτε τὸ σῶμα τεθνηκότος εὑρεθῆναι· χαλεπὴν δέ τιν' ὑπόνοιαν ἄψασθαι τῶν πατρικίων καὶ ῥυῆναι λόγον ἐν τῷ δήμῳ κατ' αὐτῶν, ὡς πάλαι βαρυνόμενοι τὸ βασιλεύεσθαι καὶ μεταστῆσαι τὸ κράτος εἰς αὑτοὺς θέλοντες ἀνέλοιεν τὸν βασιλέα. Καὶ γὰρ ἐδόκει τραχύτερον ἤδη προσφέρεσθαι καὶ μοναρχικώτερον αὐτοῖς. (3) Ἀλλὰ ταύτην μὲν τὴν ὑποψίαν ἐθεράπευον εἰς θεῶν τιμὰς ἀνάγοντες ὡς οὐ τεθνηκότα τὸν Ῥωμύλον, ἀλλὰ κρείττονος ὄντα μοίρας· καὶ Πρόκλος, ἀνὴρ ἐπιφανὴς, διωμόσατο Ῥωμύλον ἰδεῖν εἰς οὐρανὸν σὺν τοῖς ὅπλοις ἀναφερόμενον καὶ φωνῆς ἀκοῦσαι κελεύοντος αὐτὸν ὀνομάζεσθαι Κυ-

NUMA.

Quo tempore Numa vixerit, magna etiam est apud scriptores controversia, quanquam generis series ab initio ad eum usque exacte deduci videtur. (2) Ceterum Clodius quidam in Indice temporum (ita enim fere librum suum inscripsit) antiquos illos temporum commentarios contendit in Gallica urbis calamitate periisse, eos autem qui nunc exstent, compositos esse ab aliis, qui in gratiam certorum virorum, genera eorum in præcipuas familias maximeque insignes, nulla omnino ratione ad eos pertinentes, ingesserint. (3) Jam quod Pythagoræ fuisse discipulus Numa fertur, alii omnino Græcæ disciplinæ participem fuisse Numam negant, ut vel natura aptus ad virtutem satisque instructus fuisse, aut regis institutio barbaro cuidam, Pythagora præstantiori, adsignanda videatur. Alii Pythagoram philosophum multo Numa posteriorem, quinque nimirum circiter ætatibus, faciunt, sed Pythagoram Lacedæmonium, qui in Olympico certamine, Olympiade decima sexta, cujus anno tertio Numa rex constitutus fuit, stadium vicerit, in Italia oberrantem cum Numa congressum, eique in constituendo regno socium fuisse, cujus Pythagoræ doctrina effectum sit ut Romanorum institutis multa Spartana sint admixta. (4) Ceterum oriundus fuit Numa ex Sabinis, qui se Lacedæmoniorum colonos esse aiunt. Sane certum aliquid de tempore quo vixerit tradere difficile est, eoque magis, quod id ex Olympicorum certaminum victoribus sit æstimandum, quorum descriptionem sero admodum Hippias Eleus edidit, nullo usus rei fundamento, cui fides necessario esset adhibenda. (5) Nos quæ de Numa memoratu digna accepissemus, stilo statuimus persequi proprio hoc narrationis sumpto initio.

II. Annus urbis conditæ regnique Romuli trigesimus et septimus agebatur, cum Nonis (Quintilibus), quæ nunc Capratinæ vocantur, apud Capræ paludem extra urbem publice Romulus sacrificavit, præsente senatu populique maxima parte. (2) Ibi subito ingenti tempestate coorta nubeque cum grandine et vento in terram delata, reliqua turba sparsim dilapsa, Romulus ita e medio sublatus est, ut neque ipse neque cadaver ejus postea a quoquam sit conspectum; unde gravis de patriciis suspicio coorta, et spargebatur rumor in plebe, quod dudum regnum ægre ferentes, summamque rerum in se transferre cupientes, regem interfecissent, eique fidem faciebat quod ipse insolentius eos et imperiosius tractasse videbatur. (3) Eam tamen opinionem senatores minuerunt, Romulum inter deos referentes, tanquam non mortuus, sed præstantioris conditionis esse cœpisset. Proculus quoque, vir primarius, juramento confirmavit, visum a se Romulum armatum in cœlum adscendentem, vocemque se audivisse ejus, Quirinum se nominari jubentis.

ρῖνον. (4) Ἑτέρα δὲ ταραχὴ καὶ στάσις κατελάμβανε τὴν πόλιν ὑπὲρ τοῦ μέλλοντος ἀποδειχθήσεσθαι βασιλέως, οὔπω τῶν ἐπηλύδων κομιδῇ τοῖς πρώτοις συγκεκραμένων πολίταις, ἀλλ' ἔτι τοῦ τε δήμου πολλὰ e κυμαίνοντος ἐν ἑαυτῷ καὶ τῶν πατρικίων ἐν ὑποψίαις ἐκ τοῦ διαφόρου πρὸς ἀλλήλους ὄντων. Οὐ μὴν ἀλλὰ βασιλεύεσθαι μὲν ἐδόκει πᾶσιν· ἤρισαν δὲ καὶ διέστησαν οὐχ ὑπὲρ ἀνδρὸς μόνον, ἀλλὰ καὶ γένους, ὁπότερον παρέξει τὸν ἡγεμόνα. (5) Καὶ γὰρ οἱ μετὰ Ῥωμύλου πρῶτοι συνοικίσαντες τὴν πόλιν οὐκ ἀνασχετὸν ἐποιοῦντο, πόλεως καὶ χώρας τοὺς Σαβίνους μεταλαβόντας ἄρχειν βιάζεσθαι τῶν ἐπὶ ταῦτα δεξαμένων· καὶ τοῖς Σαβίνοις ἦν τις εὐγνώμων λόγος, ἐπεὶ Τατίου τοῦ βασιλέως αὐτῶν ἀποθανόντος οὐκ ἐστασίασαν πρὸς Ῥωμύλον, ἀλλ' εἴασαν ἄρχειν μόνον, αὖθις ἀξιούντων τὸν ἄρχοντα γενέσθαι παρ' αὐτῶν· (6) οὔτε γὰρ ἐκ ταπεινοτέρων f κρείσσοσι προσγενέσθαι καὶ προσγενόμενοι πλήθει τε ῥῶσαι καὶ προαγαγεῖν εἰς ἀξίωμα πόλεως ἐκείνους μεθ' ἑαυτῶν. Ὑπὲρ μὲν οὖν τούτων ἐστασίαζον. (7) Ὅπως δὲ μὴ σύγχυσιν ἐκ τῆς ἀναρχίας ἡ στάσις ἀπεργάσεται, μετεώρου τοῦ πολιτεύματος ὄντος ἔταξαν οἱ πα- 61 τρίκιοι, πεντήκοντα καὶ ἑκατὸν ὄντων αὐτῶν, ἐν μέρει a ἕκαστον τοῖς βασιλικοῖς παρασήμοις κοσμούμενον θύειν τε τοῖς θεοῖς τὰ νενομισμένα καὶ χρηματίζειν ἓξ μὲν ὥρας τῆς νυκτὸς, ἓξ δὲ τῆς ἡμέρας Κυρίνῳ. (8) Καὶ γὰρ ἡ διανομὴ τῶν καιρῶν ἑκατέρου πρὸς ἰσότητα καλῶς ἔχειν ἐδόκει τοῖς ἄρχουσι καὶ πρὸς τὸν δῆμον ἡ μεταβολὴ τῆς ἐξουσίας ἀφαιρεῖν τὸν φθόνον, ὁρῶντα τῆς αὐτῆς ἡμέρας καὶ νυκτὸς τὸν αὐτὸν ἰδιώτην ἐκ βασιλέως γενόμενον. Τὸ δὲ σχῆμα τοῦτο τῆς ἀρχῆς μεσοβασιλείαν Ῥωμαῖοι καλοῦσιν.

III. Ἀλλὰ καίπερ οὕτω πολιτικῶς καὶ ἀνεπαχθῶς ἀφηγεῖσθαι δοκοῦντες, ὑπονοίαις καὶ θορύβοις περιέπιπτον, ὡς μεθιστάντες εἰς ὀλιγαρχίαν τὰ πράγματα καὶ διαπαιδαγωγοῦντες ἐν σφίσιν αὐτοῖς τὴν πολιτείαν, βασιλεύεσθαι δὲ οὐκ ἐθέλοιεν. (2) Ἐκ τούτου συνέβησαν b ἀμφότεραι πρὸς ἀλλήλας αἱ στάσεις, ὥστε τὴν ἑτέραν ἐκ τῆς ἑτέρας ἀποδεῖξαι βασιλέα. Μάλιστα γὰρ ἂν οὕτως ἔν τε τῷ παρόντι παύσασθαι τὴν φιλονεικίαν καὶ τὸν ἀποδειχθέντα πρὸς ἀμφοτέρους ἴσον γενέσθαι, τοὺς μὲν ὡς ἑλομένους ἀγαπῶντα, τοῖς δὲ εὔνουν ὄντα διὰ συγγένειαν. (3) Ἐπιτρεψάντων δὲ προτέροις τοῖς Ῥωμαίοις τῶν Σαβίνων τὴν αἵρεσιν ἔδοξε μᾶλλον ἑλέσθαι Σαβῖνον αὐτοὺς ἀποδείξαντας ἢ παρασχεῖν Ῥωμαῖον ἐκείνων ἑλομένων. Καὶ βουλευσάμενοι καθ' ἑαυτοὺς ἀποδεικνύουσιν ἐκ Σαβίνων Νομᾶν Πομπίλιον, ἄνδρα c τῶν μὲν εἰς Ῥώμην ἀπῳκισμένων οὐ γενόμενον, γνώριμον δ' οὕτω δι' ἀρετὴν ὄντα πᾶσιν, ὥστε τῶν ἑλομένων προθυμότερον ὀνομασθέντος αὐτοῦ δέξασθαι τοὺς Σαβίνους. (4) Φράσαντες οὖν τῷ δήμῳ τὰ δεδογμένα πρέσβεις ἐκπέμπουσι πρὸς τὸν ἄνδρα κοινῇ τοὺς πρωτεύοντας ἀπ' ἀμφοτέρων, ἥκειν δεησομένους καὶ παραλαβεῖν τὴν βασιλείαν. (5) Ἦν δὲ πόλεως μὲν ὁ Νομᾶς ἐπιφανοῦς ἐν Σαβίνοις τῆς Κυριτῶν, ἀφ' ἧς καὶ

(4) Alius urbem tumultus seditioque excepit de creando rege; necdum enim advenæ satis cum prioribus civibus coaluerant, et cum populus ipse inter sese fluctuabat, tum inter patricios dissensionum causa simultates erant; ac tametsi universis regnum placebat, controversia tamen erat, non modo quis, sed etiam ex utra gente rex deligendus esset. (5) Quippe et hi qui primi cum Romulo urbem incoluissent, nequaquam tolerandum existimabant, ut Sabini urbe agrisque a Romanis recepti, in eos, a quibus hæc accepissent, imperium sibi postularent; et Sabini quoque non inique agere videbantur, quod cum Tatio rege suo mortuo nihil contra Romulum tumultuati, solum eum regnare passi fuissent, nunc iterum ex suo corpore regem constitui poscerent: (6) neque vero se Romanis inferiores eis se adjunxisse, sed accedentes et multitudine sua rem Romanam corroborasse, et urbis dignitatem auxisse. Hæ illis certaminum causæ erant. (7) Ne tamen incerto reipublicæ statu, magistratuum vacatio confusionem pareret, patricii, qui erant centum et quinquaginta numero, inter se diviserunt regiam potestatem, ita quidem ut per ordinem quisque cum regalibus insignibus diis sacra legitima faceret et jus diceret sex horas noctis et sex horas diei. (8) Hæc temporis divisio mutatioque imperii videbatur ad æqualitatem principum facere, et ad minuendam vulgi invidiam, cum viderent spatio unius noctis ac diei, eundem et regem esse et privatum fieri. Istam regni formam Romani interregnum vocant.

III. Sed quanquam videbantur civili admodum minimeque molesta ratione præesse populo, tamen suspicionem ejus turbasque non evitarunt incusantium, quod summam rerum in potestatem paucorum redigere, remque publicam, diviso inter se principatu, eludere, neque sub rege esse vellent. (2) Tandem ita inter partes convenit, ut altera ex altera regem eligeret; ea enim potissimum ratione effici posse, ut et contentio cesset, et rex creatus utrisque ex æquo cupiat: alteris, quod eum elegissent; alteris, quod gentiles ipsius essent. (3) Ergo Romani, cum priores Sabini ipsis optionem dedissent, potius regem ex Sabinis a se creandum, quam eligendum dare Romanum Sabinis suffragantibus rati, re inter se deliberata, ex Sabinis Numam Pompilium regem designant, virum, etsi inter eos Sabinos, qui Romam commigrassent, non fuerat, tamen ita virtutis gloria omnibus notum, ut audito ejus nomine Sabini majori quam qui eum elegerant alacritate eum acciperent. (4) Hac sententia populo exposita, legatos de communi consilio mittunt ad Numam ex primoribus utriusque gentis, qui eum ut veniret, acciperetque regnum, orarent. (5) Curibus Numa natus erat, oppido inter Sabinos præcipuo, et a quo

Κυρίτας Ῥωμαῖοι σφᾶς αὐτοὺς ἅμα τοῖς ἀνακραθεῖσι Σαβίνοις προσηγόρευσαν, υἱὸς δὲ Πομπωνίου, ἀνδρὸς εὐδοκίμου, τεσσάρων ἀδελφῶν νεώτατος· ἡμέρᾳ δὲ γεγονὼς κατὰ δή τινα θείαν τύχην, ἐν ᾗ τὴν Ῥώμην ἔκτισαν οἱ περὶ Ῥωμύλον· αὕτη δέ ἐστι πρὸ δεκαμιᾶς καλανδῶν Μαΐων. (6) Φύσει δὲ πρὸς πᾶσαν ἀρετὴν εὖ κεκραμένος τὸ ἦθος, ἔτι μᾶλλον αὐτὸν ἐξημέρωσε διὰ παιδείας καὶ κακοπαθείας καὶ φιλοσοφίας, οὐ μόνον τὰ λοιδορούμενα πάθη τῆς ψυχῆς, ἀλλὰ καὶ τὴν εὐδοκιμοῦσαν ἐν τοῖς βαρβάροις βίαν καὶ πλεονεξίαν ἐκποδὼν ποιησάμενος, ἀνδρείαν δὲ ἀληθῆ τὴν ὑπὸ λόγου τῶν ἐπιθυμιῶν ἐν αὐτῷ κάθεξιν ἡγούμενος. (7) Ἐκ δὲ τούτου πᾶσαν οἰκοθεν ἅμα τρυφὴν καὶ πολυτέλειαν ἐξελαύνων, παντὶ δὲ πολίτῃ καὶ ξένῳ χρῆσθαι παρέχων ἑαυτὸν ἄμεμπτον δικαστὴν καὶ σύμβουλον, αὐτὸς δ' ἑαυτῷ σχολάζοντι χρώμενος οὐδὲν πρὸς ἡδυπαθείας καὶ πορισμοὺς, ἀλλὰ θεραπείαν θεῶν καὶ θεωρίαν διὰ λόγου φύσεώς τε αὐτῶν καὶ δυνάμεως, ὄνομα μέγα καὶ δόξαν εἶχεν, ὥστε καὶ Τάτιον τὸν ἐν Ῥώμῃ συμβασιλεύοντα Ῥωμύλῳ, μιᾶς αὐτῷ θυγατρὸς οὔσης Τατίας, ποιήσασθαι γαμβρὸν ἐκεῖνον. (8) Οὐ μὴν ἐπήρθη γε τῷ γάμῳ μετοικίσασθαι πρὸς τὸν πενθερὸν, ἀλλ' αὐτοῦ περιέπων πατέρα γηραιὸν ἐν Σαβίνοις ἐπέμενεν, ἅμα καὶ τῆς Τατίας ἑλομένης τὴν τοῦ ἀνδρὸς ἰδιώτου ὄντος ἡσυχίαν πρὸ τῆς ἐν Ῥώμῃ διὰ τὸν πατέρα τιμῆς καὶ δόξης. Αὕτη μὲν οὖν λέγεται τρίτῳ καὶ δεκάτῳ μετὰ τὸν γάμον ἔτει τελευτῆσαι.

IV. Ὁ δὲ Νομᾶς ἐκλιπὼν τὰς ἐν ἄστει διατριβὰς ἀγραυλεῖν τὰ πολλὰ καὶ πλανᾶσθαι μόνος ἤθελεν ἐν ἄλσεσι θεῶν καὶ λειμῶσιν ἱεροῖς καὶ τόποις ἐρήμοις ποιούμενος τὴν δίαιταν. (2) Ὅθεν οὐχ ἥκιστα τὴν ἀρχὴν ὁ περὶ τῆς θεᾶς ἔλαβε λόγος, ὡς ἄρα Νομᾶς ἐκεῖνος οὐκ ἀδημονίᾳ τινὶ ψυχῆς καὶ πλάνῃ τὸν μετὰ ἀνθρώπων ἀπολέλοιπε βίον, ἀλλὰ σεμνοτέρας γεγευμένος ὁμιλίας καὶ γάμων θείων ἠξιωμένος, Ἠγερίᾳ δαίμονι συνὼν ἐρώσῃ καὶ συνδιαιτώμενος, εὐδαίμων ἀνὴρ καὶ τὰ θεῖα πεπνυμένος γέγονεν. (3) Ὅτι μὲν οὖν ταῦτα πολλοῖς τῶν πάνυ παλαιῶν μύθων ἔοικεν, οὓς οἱ Φρύγες τε περὶ Ἄττεω καὶ Βιθυνοὶ περὶ Ἡροδότου καὶ περὶ Ἐνδυμίωνος Ἀρκάδες ἄλλοι τε περὶ ἄλλων εὐδαιμόνων δή τινων καὶ θεοφιλῶν γενέσθαι δοκούντων παραλαβόντες ἠγάπησαν, οὐκ ἄδηλόν ἐστι. (4) Καί που λόγον ἔχει, τὸν θεὸν οὐ φλιππον οὐδὲ φίλορνιν, ἀλλὰ φιλάνθρωπον ὄντα τοῖς διαφερόντως ἀγαθοῖς ἐθέλειν συνεῖναι καὶ μὴ δυσχεραίνειν μηδὲ ἀτιμάζειν ἀνδρὸς θείου καὶ σώφρονος ὁμιλίαν. Ὡς δὲ καὶ σώματος ἀνθρωπίνου καὶ ὥρας ἐστί τις θεῷ καὶ δαίμονι κοινωνία καὶ χάρις, ἔργον ἤδη καὶ τοῦτο πεισθῆναι. (5) Καίτοι δοκοῦσιν οὐκ ἀπιθάνως Αἰγύπτιοι διαιρεῖν, ὡς γυναικὶ μὲν οὐκ ἀδύνατον πνεῦμα πλησιάσαι θεοῦ καί τινας ἐντεκεῖν ἀρχὰς γενέσεως, ἀνδρὶ δὲ οὐκ ἔστι σύμμιξις πρὸς θεὸν οὐδὲ ὁμιλία σώματος. Ἀγνοοῦσι δὲ ὅτι τὸ μιγνύμενον, ᾧ μίγνυται, τὴν ἴσην ἀνταποδίδωσι κοινωνίαν. (6) Οὐ μὴν ἀλλὰ φιλίαν γε πρὸς ἄνθρωπον εἶναι θεῷ καὶ τὸν ἐπὶ ταύτῃ λεγόμενον

se Romani una cum Sabinis sibi adscitis, Quirites appellaverant; filius Pomponii illustris viri, natu de quattuor fratribus minimus : editusque divino quodam casu in lucem eadem die, qua Romulus fundamenta urbis Romæ jecit, quæ fuit dies A. D. XI. Kalendas Maias. (6) Erat autem cum natura compositis ad omnem virtutem moribus, tum vero disciplina, tolerantia, studioque sapientiæ adhuc mansuetiorem sese redegerat, ejectis ex animo non iis modo, quæ apud omnes pro vitiis habentur, animi pravis affectionibus, sed vi etiam et cupiditate, quæ apud barbaros laudi dantur : eam fortitudinem veram esse judicans, qua appetitus ratione coercentur. (7) Hinc factum, ut omnem luxum deliciasque domo exigens, omnibus se civibus hospitibusque incorruptum judicem consiliariumque exhiberet. Cum esset in otio, non delectationi aut quæstui sese dabat, sed cultui deorum, contemplationique, quantum mente consequi poterat, naturæ et potestatis eorum. Itaque tantum ejus nomen, tanta existimatio erat, ut Tatius Romuli in regno collega unicam suam filiam Tatiam ei in matrimonium collocaverit. (8) Neque Numam id conjugium eo extulit, ut ad socerum commigraret, sed in Sabinis mansit, senis patris curam gerens, Tatia quoque tranquillitatem privatæ cum marito vitæ præferente ei gloriæ ac honori, in quo Romæ propter patrem esse poterat. Atque hæc quidem memoratur decimo tertio post nuptias anno decessisse.

IV. At Numa relicta urbe in agris solus vitam ducere ac vagari amabat, inque deorum lucis, sacris pratis et locis desertis commorari. (2) Unde potissimum nata est de dea fama : Numam talem nimirum virum, non animi ægritudine aut errore consuetudinem hominum subterfugisse, sed quod gustavisset diviniorem consuetudinem ac dignus deorum connubio habitus, cum Egeria dea ejus amore capta degeret, virque beatus et rerum divinarum sapiens evasisset. (3) Equidem obscurum non est, cum sermonem similem esse antiquarum illarum fabularum, quas Phryges de Atte, Bithyni de Herodoto, de Endymione Arcades aliique de aliis, quos beatos et a diis amatos putaverunt, acceptos approbaverunt. (4) Sane consentaneum est, deum non equorum aut volucrum, sed hominum amatorem esse, cupereque cum optimis conversari, neque aspernari, aut contemnere viri sapientis ac temperantis consuetudinem : sed vel deum vel genium humani corporis formæve usu delectari, non facile est ostendere. (5) Quanquam enim Ægyptiorum distinctio aliqua ex parte probabilis videtur, qui fieri posse aiunt, ut spiritus dei cum muliere coeat eique sobolis quædam principia ingeneret, viris autem corporum cum deo nihil esse commercii : tamen non animadvertunt illi, id quod miscetur, naturæ suæ communionem impertire. (6) Enimvero absurdum non est, diis erga homines amici-

νον ἔρωτα καὶ φυόμενον εἰς ἐπιμέλειαν ἤθους καὶ ἀρετῆς, πρέπον ἂν εἴη. (7) Καὶ οὐ πλημμελοῦσιν οἱ τὸν Φόρβαντα καὶ τὸν Ὑάκινθον καὶ τὸν Ἄδμητον ἐρωμένους Ἀπόλλωνος γεγονέναι μυθολογοῦντες, ὥσπερ αὖ καὶ τὸν Σικυώνιον Ἱππόλυτον, ὅπου δὴ καί φασιν ὀσάκις τύχοι διαπλέων εἰς Κίρραν ἐκ Σικυῶνος, ἐν τῷ χρᾶν τὴν Πυθίαν, οἷον αἰσθανομένου τοῦ θεοῦ καὶ χαίροντος, ἀποθεσπίζειν τόδε τὸ ἡρῷον·

Καὶ δ' αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει.

(8) Πινδάρου δὲ καὶ τῶν μελῶν ἐραστὴν γενέσθαι τὸν Πᾶνα μυθολογοῦσιν. Ἀπέδωκε δέ τινα τιμὴν καὶ Ἀρχιλόχῳ καὶ Ἡσιόδῳ τελευτήσασι διὰ τὰς Μούσας τὸ δαιμόνιον. (9) Σοφοκλεῖ δὲ καὶ ζῶντι τὸν Ἀσκληπιὸν ἐπιξενωθῆναι λόγος ἐστὶ, πολλὰ μέχρι δεῦρο διασώζων τεκμήρια, καὶ τελευτήσαντι τυχεῖν ταφῆς ἄλλος θεὸς, ὡς λέγεται, παρέσχεν. (10) Ἆρα οὖν ἄξιόν ἐστι, ταῦτα συγχωροῦντας ἐπὶ τούτων ἀπιστεῖν, εἰ Ζαλεύκῳ καὶ Μίνῳ καὶ Ζωροάστρῃ καὶ Νομᾷ καὶ Λυκούργῳ, βασιλείας κυβερνῶσι καὶ πολιτείας διακοσμοῦσιν, εἰς τὸ αὐτὸ ἐφοίτα τὸ δαιμόνιον; Ἢ τούτοις μὲν εἰκὸς ἐστι καὶ σπουδάζοντας θεοὺς ὁμιλεῖν, ἐπὶ διδασκαλίᾳ καὶ παραινέσει τῶν βελτίστων, ποιηταῖς δὲ καὶ λυρικοῖς μινυρίζουσιν, εἴπερ ἄρα, χρῆσθαι παίζοντας; Εἰ δὲ λέγει τις ἄλλως, κατὰ Βακχυλίδην, Πλατεῖα κέλευθος.

(11) Οὐδὲ γὰρ ἄτερος λόγος ἔχει τι φαῦλον, ὃν περὶ Λυκούργου καὶ Νομᾶ καὶ τοιούτων ἄλλων ἀνδρῶν λέγουσιν, ὡς δυσκάθεκτα καὶ δυσάρεστα πλήθη χειρούμενοι καὶ μεγάλας ἐπιφέροντες ταῖς πολιτείαις καινοτομίας, προσεποιήσαντο τὴν ἀπὸ τοῦ θεοῦ δόξαν αὐτοῖς ἐκείνοις, πρὸς οὓς ἐσχημάτιζοντο σωτήριον οὖσαν.

V. Ἀλλὰ γὰρ ἔτος ἤδη διατελοῦντι τῷ Νομᾷ τεσσαρακοστὸν ἦκον ἀπὸ Ῥώμης οἱ πρέσβεις παρακαλοῦντες ἐπὶ τὴν βασιλείαν. (2) Τοὺς δὲ λόγους ἐποιήσατο Πρόκλος καὶ Οὐέλεσος, ὧν πρότερον ἐπίδοξος ἦν ὁ δῆμος αἱρήσεσθαι τὸν ἕτερον βασιλέα, Πρόκλῳ μὲν τῶν Ῥωμύλου λαῶν, Οὐελέσῳ δὲ τῶν Τατίου μάλιστα προσεχόντων. Οὗτοι μὲν οὖν βραχέα διελέχθησαν οἰόμενοι τῷ Νομᾷ τὴν συντυχίαν ἀσπαζομένῳ γεγονέναι· ἦν δὲ οὐ μικρὸν, ὡς ἔοικεν, ἔργον, ἀλλὰ καὶ λόγων πολλῶν καὶ δεήσεως, τὸ πεῖσαι καὶ μεταστῆσαι γνώμην ἀνδρὸς ἡσυχίᾳ καὶ εἰρήνῃ βεβιωκότος εἰς ἀρχὴν πόλεως τρόπον τινὰ γεγεννημένης πολέμῳ καὶ συνηυξημένης.

(3) Ἔλεγεν οὖν τοῦ τε πατρὸς αὐτοῦ παρόντος καὶ Μαρκίου, τῶν συγγενῶν ἑνὸς, ὡς « Πᾶσα μὲν ἀνθρωπίνου βίου μεταβολὴ σφαλερόν· ᾧ δὲ μήτ' ἄπεστί τι τῶν ἱκανῶν μήτε μεμπτόν ἐστι τῶν παρόντων, τοῦτον οὐδὲν ἄλλο πλὴν ἄνοια μετακοσμεῖ καὶ μεθίστησιν ἐκ τῶν συνήθων· οἷς κἂν εἰ μηδὲν ἕτερον προσείη, τῷ βεβαιοτέρῳ διαφέρει τῶν ἀδήλων. (4) Ἀλλ' οὐδὲ ἄδηλα τὰ τῆς βασιλείας τοῖς Ῥωμύλου τεκμαιρομένῳ παθήμασιν, ὡς πονηρὰν μὲν αὐτὸς ἔλαβε δόξαν ἐπιβεβουλεῦσθαι τῷ συνάρχοντι Τατίῳ, πονηρὰν δὲ τοῖς ὁμοτίμοις περιεποίησεν ὡς ἀνηρημένος ὑπ' αὐτῶν. Καὶ Ῥωμύλον

tiam tribuere, amoremque, qui ei præesse dicitur, qui amor ad morum et virtutis studium incitet. (7) Neque peccant qui Phorbantem, Hyacinthum et Admetum ab Apolline dilectos fuisse fabulantur, itemque Hippolytum Sicyonium, siquidem Pythiam inter vaticinandum, quoties Hippolytus Sicyone Cirrham navigaret, tanquam sentiente gaudenteque deo, hunc versum heroicum cantasse narrant:

Dulce iterum caput Hippolyti nunc æquore fertur.

(8) Fingunt etiam Pindarum ejusque carmina a Pane dilecta: etiam Archilocho et Hesiodo fato defunctis divinitus propter Musas honor tributus fertur. (9) Sophoclis etiam viventis hospitio usum Æsculapium rumor est, cujus multa etiamnum exstant indicia, et ab alio deo aiunt curatum ut sepeliretur mortuus. (10) Quæ si vera esse concedamus, negandumne jam erit, cum Zaleuco, Minoe, Zoroastre, Numa, Lycurgoque regna temperantibus resque publicas componentibus deos congressos fuisse? An vero ita potius statuendum, deos cum his serio consuetudinem habuisse, ut de rebus optimis eos docerent atque adhortarentur, poetis autem et lyricis cantillantibus, si quidem adfuerint, joci et animi causa adfuisse? Quod si quis diversum a nobis sentit, id ei per nos est integrum: nam, ut ait Bacchylides, *lata est via*. (11) Etenim ne altera quidem, quæ fertur de Lycurgo, Numa, aliisque eorum similibus viris, sententia quicquam absurdi habet: eos, quod contumaces atque morosas hominum multitudines cicurandas haberent, ingentesque rebus publicis mutationes inferrent, opinionem divinitatis iis, apud quos eam simularint, saluti futuram sibi assumpsisse.

V. Verum enimvero ad Numam, annum agentem quadragesimum, Roma legati venerunt ad regnum suscipiendum eum cohortantes. (2) Oravere Proculus et Velesus (de quibus opinio fuerat fore ut alteruter rex eligeretur, inclinantibus ad Proculum Romanorum, ad Velesum Sabinorum animis), idque paucis, quod eam fortunam Numæ acceptissimam futuram arbitrabantur. At vero non nullius negotii res erat, sed persuaderi viro, qui in otio et pace vitam egisset, ut ab hac ad gubernandam eam urbem transiret, quæ bello quodammodo generata et aucta esset, non nisi longa oratione precibusque poterat. (3) Et Numa, patre suo et Marcio uno cognatorum præsentibus, hanc habuit orationem: « Cum omnis vitæ humanæ mutatio periculosa est, tum qui in præsenti statu nihil quod desideret, nihil quod culpet, habet, is usitatam sibi vitæ rationem nulla alia re quam stultitia adductus mutat atque a consuetis alio transfert, quibus si nihil aliud boni adest, at profecto firmitate ipsa ignotis præstant. (4) At enim quæ res sit regnum, ex Romuli fortuna conjicere licet, qui insidias Tatio collegæ fecisse culpatus, de Patribus etiam sinistram suspicionem, ab iis interfectus esse creditus, excitavit. Atqui Romulum deorum prolem hi cele-

μὲν οὗτοι παῖδα θεῶν ὑμνοῦσι φήμαις καὶ τροφήν τινα δαιμόνιον αὐτοῦ καὶ σωτηρίαν ἄπιστον ἔτι νηπίου λέγουσιν. (5) Ἐμοὶ δὲ καὶ γένος θνητόν ἐστι καὶ τροφὴ καὶ παίδευσις ὑπ' ἀνθρώπων ὧν οὐκ ἀγνοεῖτε γεγενημένη· τὰ δ' ἐπαινούμενα τοῦ τρόπου βασιλεύειν ὑπόρρω μέλλοντος ἀνδρὸς, ἡσυχία τε πολλὴ καὶ διατριβὴ περὶ λόγους ἀπράγμονας, ὅ τε δεινὸς οὗτος καὶ σύντροφος εἰρήνης ἔρως καὶ πραγμάτων ἀπολέμων καὶ ἀνθρώπων ἐπὶ τιμῇ θεῶν καὶ φιλοφροσύναις εἰς τὸ αὐτὸ συνιόντων, τὰ δὲ ἄλλα καθ' ἑαυτοὺς γεωργούντων ἢ νεμόντων. (6) Ὑμῖν δὲ, ὦ Ῥωμαῖοι, πολλοὺς μὲν ἴσως ἀβουλήτους ἀπολέλοιπε πολέμους Ῥωμύλος, (οἷς ἀντερείδοντος ἡ πόλις ἐμπύρου δεῖται βασιλέως καὶ ἀκμάζοντος· πολλὴ δὲ καὶ συνήθεια καὶ προθυμία δι' εὐτυχίαν γέγονε τῷ δήμῳ καὶ οὐδένα λέληθεν αὔξεσθαι καὶ κρατεῖν ἑτέρων βουλόμενος· (7) ὥστε καὶ γέλως ἂν εἴη τἀμὰ θεραπεύοντος θεοὺς καὶ δίκην τιμᾶν, βίαν δὲ καὶ πόλεμον ἐχθραίνειν διδάσκοντος πόλιν, στρατηλάτου μᾶλλον ἢ βασιλέως δεομένην. »

VI. Τοιούτοις λόγοις ἀφοσιουμένου τὴν βασιλείαν τοῦ ἀνδρὸς οἵ τε Ῥωμαῖοι πᾶσαν ἐποιοῦντο σπουδὴν ἀντιβολοῦντες καὶ δεόμενοι μὴ σφᾶς αὖθις εἰς στάσιν ἐμβαλεῖν καὶ πόλεμον ἐμφύλιον, οὐκ ὄντος ἑτέρου, πρὸς ὃν ἀμφότεραι συννεύσουσιν αἱ στάσεις· (2) ὅ τε πατὴρ καὶ ὁ Μάρκιος ἐκείνων μεταστάντων ἰδίᾳ προσκείμενοι τὸν Νομᾶν ἔπειθον δέχεσθαι μέγα καὶ θεῖον δῶρον. (3) « Εἰ δὲ αὐτὸς οὔτε πλούτου δεῇ δι' αὐτάρκειαν οὔτε δόξαν ἀρχῆς καὶ δυναστείας ἐζήλωκας, κρείσσονα τὴν ἀπ' ἀρετῆς ἔχων, ἀλλ' ὑπηρεσίαν γε θεοῦ τὸ βασιλεύειν ἡγούμενος, ὅς γε ἀνίστησι καὶ οὐκ ἐᾷ κεῖσθαι καὶ ἀργεῖν τὴν ἐν σοὶ τοσαύτην δικαιοσύνην, μὴ φεῦγε μηδὲ ἀποδίδρασκε τὴν ἀρχὴν, ἀνδρὶ φρονίμῳ πράξεων καλῶν καὶ μεγάλων οὖσαν χώραν· ἐν ᾗ καὶ θεραπεῖαι θεῶν μεγαλοπρεπεῖς εἰσι καὶ πρὸς εὐσέβειαν ἀνθρώπων ἡμερώσεις ῥᾷστα καὶ τάχιστα μετακοσμουμένων ὑπὸ τοῦ κρατοῦντος. Οὗτοι καὶ Τάτιον ἔστερξαν ἔπηλυν ἡγεμόνα καὶ τὴν Ῥωμύλου μνήμην ἀποθεοῦσι ταῖς τιμαῖς. (4) Τίς δὲ οἶδεν, εἰ καὶ νικῶντι δήμῳ πολέμου κόρος ἔσται καὶ μεστοὶ θριάμβων καὶ λαφύρων γεγονότες, ἡγεμόνα πρᾷον καὶ δίκης ἑταῖρον ἐπ' εὐνομίᾳ καὶ εἰρήνῃ ποθοῦσιν; (5) Εἰ δὲ δὴ καὶ παντάπασιν ἀκρατῶς ἔχουσι καὶ μανικῶς πρὸς πόλεμον, ἆρ' οὐχὶ βέλτιον ἀλλαχόσε τὴν ὁρμὴν αὐτῶν τρέπειν διὰ χειρὸς ἔχοντα τὰς ἡνίας, τῇ δὲ πατρίδι καὶ παντὶ τῷ Σαβίνων ἔθνει σύνδεσμον εὐνοίας καὶ φιλίας πρὸς πόλιν ἀκμάζουσαν καὶ δυνατὴν γενέσθαι; » (6) Τούτοις προσῆν, ὡς λέγεται, σημεῖά τε χρηστὰ καὶ σπουδὴ τῶν πολιτῶν καὶ ζῆλος, ὡς ἐπύθοντο τὴν πρεσβείαν δεομένων βαδίζειν καὶ παραλαμβάνειν τὴν βασιλείαν ἐπὶ κοινωνίᾳ καὶ συγκράσει τῶν πολιτῶν.

VII. Ὡς οὖν ἐδέδοκτο, θύσας τοῖς θεοῖς προῆγεν εἰς τὴν Ῥώμην. Ἀπήντα δὲ ἡ βουλὴ καὶ ὁ δῆμος ἔρωτι θαυμαστῷ τοῦ ἀνδρός· εὐφημίαι τε πρέπουσαι γυναικῶν ἐγίνοντο καὶ θυσίαι πρὸς ἱεροῖς καὶ χαρὰ πάν-

brant divinitusque ei nutritionem, salutemque incredibili modo allatam infanti perhibent. (5) Ego et ex hominibus natus, et ab hominibus, quos nostis ipsi, educatus sum et institutus. Mores, qui in me laudantur, longe ab iis differunt, qui in rege futuro requirantur : summum otium, assiduum philosophiæ, quæ a rebus gerendis est aliena, studium, vehemens pacis amor, qui una cum vita adoleverit, ususque rerum belli expertium et hominum, qui religionis tantum amicitiæque causa in unum convenire soleant, alioquin pro se quisque agriculturæ pecorive pascendo vacet. (6) Vobis autem, Romani, multa fortassis etiam ingrata bella reliquit Romulus, ad quæ propulsanda urbs vestra rege ferventis pectoris ac juvene indiget : bellandi etiam cupiditate populum consuetudo et successus implerunt, qui, quemadmodum neminem latet, augeri aliisque dominari expetit, ita ut risui forent studia mea, qui cultui deorum intentus, justitiam amplecti, vim et bellum odio habere doceam in ea urbe, quæ imperatore magis quam rege opus habeat. »

VI. His illum verbis regnum detrectantem, summopere orare Romani, ne ipsos iterum in seditiones intestinumque bellum conjicere vellet, nullo alio exstante, in quo rege constituendo duo populi essent consensuri. (2) Pater quoque et Marcius, illis digressis, privatim instare adhortarique, uti magnum ac divinitus oblatum munus acciperet. (3) « Si tuis rebus contentus, divitias non requiris, neque gloriam imperii et potentiæ affectasti unquam, virtutis famam potiorem adeptus : saltem regnare cultum dei censens esse, qui tantam in te justitiam excitavit, neque otiosam jacere patitur; noli imperium subterfugere, quod viro prudenti multarum atque præclararum actionum locum dat : in quo et magnifice deos venerari licet, et homines ad religionem facillime principis ductu possunt emolliri atque traduci : certe illi et Tatium ducem advenam dilexerunt, et Romuli memoriam divinis honoribus colunt. (4) Cuinam vero constat, jamne victorem populum bellorum satietas incesserit, triumphisque et spoliis expleti, pacis vitæque secundum leges agendæ causa principem placidum justitiæque deditum exposcant? (5) Quod si penitus insano belli studio æstuant, nonne expedit, ut tu qui in manibus frena es habiturus, alio impetum eorum convertas, patriæ autem Sabinoque universo nomini benevolentiæ amicitiæque cum populo augescente potenteque vinculum confirmes? » (6) Accessisse his ferunt eorum verbis ad persuadendum cum signa prospera, tum ardorem civium ac studium, qui ubi de legatione certiores essent facti, statim ab eo precibus contenderint, iret acceptoque regno societate cives constringeret.

VII. Itaque ut assensit, re sacra diis peracta, Romam ivit. Obviam ei processum est a senatu populoque, miro omnibus viri amore affectis : prosecutæ sunt etiam mulieres cum festis acclamationibus, sacrificatum per templa,

των, ὥσπερ οὐ βασιλέα τῆς πόλεως, ἀλλὰ βασιλείαν δεχομένης. (2) Ἐπεὶ δὲ εἰς τὴν ἀγορὰν κατέστησαν, ὁ μὲν ταῖς ὥραις ἐκείναις συνειληχὼς μεσοβασιλεὺς Σπόριος Οὐέττιος ψῆφον ἐπέδωκε τοῖς πολίταις καὶ πάντες ἤνεγκαν· προσφερομένων δ' αὐτῷ τῶν βασιλικῶν παρασήμων, ἐπισχεῖν κελεύσας ἔφη δεῖσθαι καὶ θεοῦ τὴν βασιλείαν ἐμπεδοῦντος αὐτῷ. (3) Παραλαβὼν δὲ μάντεις καὶ ἱερεῖς ἀνέβαινεν εἰς τὸ Καπιτώλιον· Ταρπήιον αὐτὸ λόφον οἱ τότε Ῥωμαῖοι προσηγόρευον. Ἐνταῦθα τῶν μάντεων ὁ πρωτεύων τὸν μὲν εἰς μεσημβρίαν τρέψας ἐγκεκαλυμμένον, αὐτὸς δὲ παραστὰς ἐξόπισθεν καὶ τῇ δεξιᾷ τῆς κεφαλῆς ἁψαπτόμενος αὐτοῦ κατηύξατο καὶ περιεσκόπει τὰ παρὰ τῶν θεῶν ἐν οἰωνοῖς ἢ συμβόλοις προφαινόμενα, πανταχόσε τὰς ὄψεις περιφέρων. (4) Σιγὴ δὲ ἄπιστος ἐν πλήθει τοσούτῳ τὴν ἀγορὰν κατεῖχε καραδοκούντων καὶ συναιωρουμένων τῷ μέλλοντι, μέχρις οὗ προὐφάνησαν ὄρνιθες ἀγαθοὶ καὶ δεξιοὶ καὶ ἐπέτρεψαν. (5) Οὕτω δὲ τὴν βασιλικὴν ἀναλαβὼν ἐσθῆτα κατέβαινε Νομᾶς εἰς τὸ πλῆθος ἀπὸ τῆς ἄκρας. Τότε δὲ καὶ φωναὶ καὶ δεξιώσεις ἦσαν ὡς εὐσεβέστατον καὶ θεοφιλέστατον δεχομένων. (6) Παραλαβὼν δὲ τὴν ἀρχὴν πρῶτον μὲν τὸ τῶν τριακοσίων σύστημα διέλυσεν, οὓς Ῥωμύλος ἔχων ἀεὶ περὶ τὸ σῶμα Κέλερας προσηγόρευσεν, ὅπερ ἐστὶ ταχεῖς· οὔτε γὰρ ἀπιστεῖν πιστεύουσιν οὔτε βασιλεύειν ἀπιστούντων ἠξίου. Δεύτερον δὲ τοῖς οὖσιν ἱερεῦσι Διὸς καὶ Ἄρεος τρίτον Ῥωμύλου προσκατέστησεν, ὃν Φλαμίνα Κυρινάλιον ὠνόμασεν. (7) Ἐκάλουν δὲ καὶ τοὺς προγενεστέρους Φλαμίνας ἀπὸ τῶν περιχρανίων πίλων, οὓς περὶ ταῖς κεφαλαῖς φοροῦσι, πιλαμένας τινὰς ὄντας, ὡς ἱστοροῦσι, τῶν Ἑλληνικῶν ὀνομάτων τότε μᾶλλον ἢ νῦν τοῖς Λατίνοις ἀνακεκραμένων. (8) Καὶ γὰρ ἃς ἐφόρουν οἱ βασιλεῖς λαίνας ὁ Ἰόβας χλαίνας φησὶν εἶναι καὶ τὸν ὑπηρετοῦντα τῷ ἱερεῖ τοῦ Διὸς ἀμφιθαλῆ παῖδα λέγεσθαι Κάμιλλον, ὡς καὶ τὸν Ἑρμῆν οὕτως ἔνιοι τῶν Ἑλλήνων Κάμιλλον ἀπὸ τῆς διακονίας προσηγόρευον.

VIII. Ταῦτα δὲ ὁ Νομᾶς ἐπ' εὐνοίᾳ καὶ χάριτι τοῦ δήμου πολιτευσάμενος εὐθὺς ἐπεχείρει τὴν πόλιν, ὥσπερ σίδηρον, ἐκ σκληρᾶς καὶ πολεμικῆς μαλακωτέραν ποιῆσαι καὶ δικαιοτέραν. (2) Ἀτεχνῶς γὰρ ἦν Πλάτων ἀποκαλεῖ φλεγμαίνουσαν πόλιν ἐκείνη τότ' ἦν, συστάντων μὲν εὐθὺς ἐξ ἀρχῆς τόλμῃ τινὶ καὶ παραβόλῳ θρασύτητι τῶν θρασυτάτων καὶ μαχιμωτάτων ἐκεῖ πανταχόθεν ὡσαμένων, ταῖς δὲ πολλαῖς στρατείαις καὶ τοῖς συνεχέσι πολέμοις τροφῇ χρησαμένη καὶ αὐξήσει τῆς δυνάμεως καὶ, καθάπερ τὰ καταπηγνύμενα τῷ σείεσθαι μᾶλλον ἑδράζεται, ῥώννυσθαι δοκοῦσα διὰ τῶν κινδύνων. (3) Οὕτω δὲ μετέωρον καὶ τετραχυμένον δῆμον οὐ μικρᾶς οὐδὲ φαύλης οἰόμενος εἶναι πραγματείας μεταχειρίσασθαι καὶ μετακοσμῆσαι πρὸς εἰρήνην, ἐπηγάγετο τὴν ἀπὸ τῶν θεῶν βοήθειαν, τὰ μὲν πολλὰ θυσίαις καὶ πομπαῖς καὶ χορείαις, ἃς αὐτὸς ὠργίασε καὶ κατέστησεν, ἅμα σεμνότητι διαγωγὴν ἐπίχαριν καὶ φιλάν-

omninoque id erat omnium gaudium, tanquam non rex urbi, sed regnum obtigisset. (2) Cum in forum esset perventum, Spurius Vettius, qui per eas horas interrex erat, populum suffragia ferre jussit, omniumque suffragiis Numa rex est declaratus. Insignibus autem regni ad se allatis, exspectare jussit : sibi enim a deo quoque prius regnum confirmari oportere. (3) Tum acceptis secum auguribus et sacerdotibus, in Capitolium, quod tum Romani Tarpeium collem nominabant, adscendit. Ibi qui inter augures primum locum obtinebat, Numam ad meridiem conversum, capite ejus velato, collocavit : ipse a tergo adsistens, dextraque caput ejus tangens, deos comprecatus, oculos in omnes partes obvertit, observans auguria signave, quæ dii oblaturi essent. (4) In tanta hominum, quæ forum occupaverat, multitudine silentium fuit incredibile, suspensis animis eventum exspectantium, donec aves bonæ ac secundæ apparuerunt, regnumque Numæ addixerunt. (5) Ita demum regiis vestibus indutus, ab arce ad populum descendit, acclamantibus civibus piissimumque et diis carissimum regem salutantibus. (6) Regno accepto primum turmam trecentorum juvenum, quibus assiduis sui corporis stipatoribus Celerum nomen Romulus fecerat, dimisit : quod neque diffidere sibi credentibus, neque diffidentium rex esse volebat. Deinde flaminibus Jovis et Martis, tertium Romuli addidit, Quirinalemque dixit. (7) Flaminum nomen etiam majoribus natu tributum tradunt, a pileis quibus capita operiebant, quasi pilamines : quia eo tempore plura quam hodie Græca vocabula fuerint Latinis intermixta. (8) Quemadmodum etiam læenas, regum vestem, Juba χλαίνας esse ait : ac puerum Jovis sacerdoti ministrantem patrimum et matrimum, Camillum dici solitum, sicut et Græcorum nonnulli Mercurium a ministerio Camillum appellaverunt.

VIII. His ita ad gratiam et benevolentiam populi constitutis, Numa confestim aggressus est urbem, tanquam ferream, ex rigida et bellicosa molliorem justioremque efficere. (2) Qualem enim civitatem inflammatione tumentem Plato appellat, talis tum Roma erat, quæ initio ex hominibus audacissimis bellicosissimisque eo temerario impetu confluentibus coaluerat, ac deinde multis expeditionibus continentibusque bellis quasi enutrita potentiam auxerat, et quemadmodum ea, quæ materiæ alicui infixa sunt, si concutiantur, adhuc altius desidunt, corroborata periculis fuerat. (3) Ita æstuantem exasperatumque populum tractare et ad pacem traducere intelligens non negotium parvi neque vilis fore laboris, a religione auxilium petiit : ferocem bellique cupidam multitudinem plerumque sacrificiis, pompis et choreis, quarum ipse dux auctorque esset, et quæ majestati delectationem

θρωπον ἡδονὴν ἐχούσαις, δημαγωγῶν καὶ τιθασεύων τὸ θυμοειδὲς καὶ φιλοπόλεμον. (4) Ἔστι δ' ὅτε καὶ φόβους τινὰς ἀπαγγέλλων παρὰ τοῦ θεοῦ καὶ φάσματα δαιμόνων ἀλλόκοτα καὶ φωνὰς οὐκ εὐμενεῖς, ἐδούλου καὶ ταπεινὴν ἐποίει τὴν διάνοιαν αὐτῶν ὑπὸ δεισιδαιμονίας. (5) Ἐξ ὧν καὶ μάλιστα λόγον ἔσχεν ἡ σοφία καὶ παίδευσις τοῦ ἀνδρὸς, ὡς Πυθαγόρᾳ συγγεγονότος. Μέγα γὰρ ἦν μέρος, ὡς ἐκείνῳ τῆς φιλοσοφίας καὶ τούτῳ τῆς πολιτείας ἡ περὶ τὸ θεῖον ἀγχιστεία καὶ διατριβή. (6) Λέγεται δὲ καὶ τὸν ἔξωθεν ὄγκον καὶ σχηματισμὸν ἀπὸ τῆς αὐτῆς Πυθαγόρᾳ διανοίας περιβάλεσθαι. Καὶ γὰρ ἐκεῖνος ἀετόν τε δοκεῖ πραῦναι φωναῖς τισιν ἐπιστήσας καὶ καταγαγὼν ὑπεριπτάμενον τόν τε μηρὸν ὑποφῆναι χρυσοῦν Ὀλυμπίασι διαπορευόμενος τὴν πανήγυριν. Ἄλλας τε τερατώδεις μηχανὰς αὐτοῦ καὶ πράξεις ἀναγγέλλουσιν· ἐφ' αἷς καὶ Τίμων ὁ Φλιάσιος ἔγραψε,

Πυθαγόρην δὲ γόητας ἀποκλίνοντ' ἐπὶ δόξας,
θήρῃ ἐπ' ἀνθρώποιν, σεμνηγορίης ὀαριστήν.

(7) Τῷ δὲ Νομᾷ δρᾶμα θεᾶς τινος ἡ νύμφης ὀρείας ἔρως ἦν καὶ συνουσία πρὸς αὐτὸν ἀπόῤῥητος, ὥσπερ εἴρηται, καὶ κοιναὶ μετὰ Μουσῶν διατριβαί. Τὰ γὰρ πλεῖστα τῶν μαντευμάτων εἰς Μούσας ἀνῆγε καὶ μίαν Μοῦσαν ἰδίως καὶ διαφερόντως ἐδίδαξε σέβεσθαι τοὺς Ῥωμαίους, Τακίταν προσαγορεύσας, οἷον σιωπηλὴν ἢ ἐνεάν· ὅπερ εἶναι δοκεῖ τὴν Πυθαγόρειον ἀπομνημονεύοντος ἐχεμυθίαν καὶ τιμῶντος. (8) Ἔστι δὲ καὶ τὰ περὶ τῶν ἀφιδρυμάτων νομοθετήματα παντάπασιν ἀδελφὰ τῶν Πυθαγόρου δογμάτων. Οὔτε γὰρ ἐκεῖνος αἰσθητὸν ἢ παθητὸν, ἀόρατον δὲ καὶ ἄκτιστον καὶ νοητὸν ὑπελάμβανεν εἶναι τὸ πρῶτον· οὗτός τε διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα θεοῦ Ῥωμαίους νομίζειν. (9) Οὐδ' ἦν παρ' αὐτοῖς οὔτε γραπτὸν οὔτε πλαστὸν εἶδος θεοῦ πρότερον· ἀλλ' ἐν ἑκατὸν ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς μὲν οἰκοδομούμενοι καὶ καλιάδας ἱερὰς ἱστῶντες, ἄγαλμα δὲ οὐδὲν ἔμμορφον ποιούμενοι διετέλουν, ὡς οὔτε ὅσιον ἀφομοιοῦν τὰ βελτίονα τοῖς χείροσιν οὔτ' ἐφάπτεσθαι θεοῦ δυνατὸν ἄλλως ἢ νοήσει. (10) Κομιδῇ δὲ καὶ τὰ τῶν θυσιῶν ἔχεται τῆς Πυθαγορικῆς ἁγιστείας· ἀναίμακτοι γὰρ ἦσαν αἵ τε πολλαὶ, δι' ἀλφίτου καὶ σπονδῆς καὶ τῶν εὐτελεστάτων πεποιημέναι. (11) Χωρὶς δὲ τούτων ἑτέροις ἔξωθεν ἐπαγωνίζονται τεκμηρίοις οἱ τὸν ἄνδρα τῷ ἀνδρὶ συνοικειοῦντες. Ὧν ἓν μέν ἐστιν, ὅτι Πυθαγόραν Ῥωμαῖοι τῇ πολιτείᾳ προσέγραψαν, ὡς ἱστόρηκεν Ἐπίχαρμος ὁ κωμικὸς ἔν τινι λόγῳ πρὸς Ἀντήνορα γεγραμμένῳ, παλαιὸς ἀνὴρ καὶ τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς· ἕτερον δὲ, ὅτι τεσσάρων υἱῶν βασιλεῖ Νομᾷ γενομένων, ἕνα Μάμερκον ἐπὶ τῷ Πυθαγόρου παιδὶ προσηγόρευσεν. Ἀπ' ἐκείνου δὲ καὶ τὸν Αἰμιλίων οἶκον ἀναμιχθέντα τοῖς πατρικίοις ὀνομασθῆναί φασιν, οὕτως ὑποχοριζομένου τοῦ βασιλέως τὴν ἐν τοῖς λόγοις τοῦ ἀνδρὸς αἰμυλίαν καὶ χάριν. (12) Αὐτοὶ δ' ἀκηκόαμεν

gratam voluptatemque haberent adjunctam blanditiis cicuravit atque delinivit. (4) Nonnunquam terrores a diis oblatos, spectraque geniorum prodigiosa, et voces parum propitias renuncians, animos eorum superstitione captos dejecit. (5) Quæ res cum primis effecit ut sapientiam disciplinamque suam Numa Pythagoræ consuetudine parasse videretur. Nam et hujus philosophiæ, et illius civilis prudentiæ magna pars in congressu cum diis et studio religionis consumebatur. (6) Jam splendorem etiam externum habitumque eodem quo Pythagoras consilio assumpsisse dicitur: qui aquilam cicuratam, cum supervolaret, vocibus quibusdam sistere atque deducere solitus, et in Olympiis per cœtum populi transiens, femur aureum ostendisse, aliisque portentosis machinationibus et actionibus usus fuisse perhibetur, propter quas etiam Timon Phliasius scripserit:

Pythagoram, ad magicas studio qui numinis artes
transit, et impostor tumidis illudere suetus,
verborum ampullis homines venatur inanes.

(7) At Numa deæ cujusdam seu Nymphæ amorem congressusque secum occultos, ut demonstratum supra, et cum Musis consuetudinem prætendebat. Pleraque enim vaticinia Musis accepta referebat, docuitque Romanos unam summo cultu venerari, Tacitæ nomine: quod eo instituisse videri potest, ut Pythagoricum silentium referret atque commendaret. (8) Præterea leges de simulacris positæ, germanæ sunt Pythagoricis placitis. Pythagoras enim principium omnium rerum non sensile aut motui obnoxium, sed invisibile, interitus expers, soloque intellectu perspici quod posset, esse statuit: Numa Romanis usu effigiei alicujus divûm, quæ hominis aut animalis cujuscunque formam haberet, interdixit. (9) Neque priscis illis temporibus fuit apud illos vel picta ulla imago dei, vel ficta; sed primis centum atque septuaginta annis etsi templa ædificaverunt, atque sacras casas exstruxerunt, nullum tamen omnino simulacrum efformavere: nempe eo, quod et nefas esset præstantiora deterioribus adsimilare, neque deum aliter quam mente attingi posse censerent. (10) Sacrificiorum quoque ritus Pythagoricæ religioni proxime accedunt: fiebant enim sine sanguine, et plerumque farina, libatione rebusque vilissimis constabant. (11) Aliunde quoque ductis conjecturis nituntur qui horum virorum familiaritatem fuisse contendunt. Quarum una est, quod suæ reipublicæ Romani Pythagoram adscripserunt, ut Epicharmus comicus poeta, vir antiquus et Pythagoricæ disciplinæ sectator, in libro quodam ad Antenorem scripto narrat. Altera, quod e quattuor suis filiis unum Numa Mamercum a filio Pythagoræ appellaverit; ab eoque Æmiliorum familiam, quæ fuit inter patricias, dictam aiunt, innuente rege ejus viri in dicendo suavitatem et leporem, quæ est Græcis αἰμυλία. (12) Ac nos ipsi etiam

πολλῶν ἐν Ῥώμῃ διεξιόντων, ὅτι χρησμοῦ ποτε Ῥωμαίοις γενομένου τὸν φρονιμώτατον καὶ τὸν ἀνδρειότατον Ἑλλήνων ἱδρύσασθαι παρ' αὐτοῖς, ἔστησαν ἐπὶ τῆς ἀγορᾶς εἰκόνας χαλκᾶς δύο, τὴν μὲν Ἀλκιβιάδου, τὴν δὲ Πυθαγόρου. (13) Ταῦτα μὲν οὖν ἀμφισβητήσεις e ἔχοντα πολλὰς καὶ τὸ κινεῖν διὰ μακροτέρων καὶ τὸ πιστοῦσθαι μειρακιώδους ἐστὶ φιλονεικίας.

IX. Νομᾶ δὲ καὶ τὴν τῶν ἀρχιερέων, οὓς Ποντίφικας καλοῦσι, διάταξιν καὶ κατάστασιν ἀποδιδόασι καί φασιν αὐτὸν ἕνα τούτων τὸν πρῶτον γεγονέναι. Κεκλῆσθαι δὲ τοὺς Ποντίφικας οἱ μέν, ὅτι τοὺς θεοὺς θεραπεύουσι δυνατοὺς καὶ κυρίους ἁπάντων ὄντας· ὁ γὰρ δυνατὸς ὑπὸ Ῥωμαίων ὀνομάζεται ποτής· ἕτεροι δέ φασι, πρὸς ὑπεξαίρεσιν γεγονέναι τοὔνομα τῶν δυνατῶν, ὡς τοῦ νομοθέτου τὰς δυνατὰς ἐπιτελεῖν ἱερουργίας τοὺς ἱερεῖς κελεύοντος, ἂν δὲ ᾖ τι κώλυμα μεῖζον, οὐ συκο- f φαντοῦντος. (2) Οἱ δὲ πλεῖστοι μάλιστα καὶ τὸ γελώμενον τῶν ὀνομάτων δοκιμάζουσιν, ὡς οὐδὲν ἀλλ' ἢ γεφυροποιοὺς τοὺς ἄνδρας ἐπικληθέντας ἀπὸ τῶν ποιουμένων περὶ τὴν γέφυραν ἱερῶν, ἁγιωτάτων καὶ παλαιοτάτων ὄντων· ποντέμ γὰρ οἱ Λατῖνοι τὴν γέφυραν ὀνομάζουσιν. Εἶναι μέντοι καὶ τὴν τήρησιν αὐτὴν καὶ τὴν ἐπισκευὴν, ὥσπερ ἄλλο τι τῶν ἀκινήτων καὶ πατρίων ἱερῶν, προσήκουσαν τοῖς ἱερεῦσιν· οὐ γὰρ θεμιτὸν, a ἀλλ' ἐπάρατον ἡγεῖσθαι Ῥωμαίους τὴν κατάλυσιν τῆς ξυλίνης γεφύρας. (3) Λέγεται δὲ καὶ τὸ πάμπαν ἄνευ σιδήρου κατὰ δή τι λόγιον συγγεγομφῶσθαι διὰ τῶν ξύλων· ἡ δὲ λιθίνη πολλοῖς ὕστερον ἐξειργάσθη χρόνοις ὑπ' Αἰμιλίου τιμητεύοντος. Οὐ μὴν ἀλλὰ καὶ τὴν ξυλίνην τῶν Νομᾶ χρόνων ἀπολείπεσθαι λέγουσιν ὑπὸ Μαρκίου τοῦ Νομᾶ θυγατριδοῦ βασιλεύοντος ἀποτελεσθεῖσαν. (4) Ὁ δὲ μέγιστος τῶν Ποντιφίκων, οἷον ἐξηγητοῦ καὶ προφήτου, μᾶλλον δὲ ἱεροφάντου τάξιν ἔχει οὐ μόνον τῶν δημοσίᾳ δρωμένων ἐπιμελούμενος, ἀλλὰ καὶ τοὺς ἰδίᾳ θύοντας ἐπισκοπῶν καὶ κωλύων παρεκβαίνειν τὰ νενομισμένα καὶ διδάσκων ὅτου τις δέοιτο πρὸς θεῶν τιμὴν ἢ παραίτησιν. (5) Ἦν δὲ καὶ τῶν ἱερῶν b παρθένων ἐπίσκοπος, ἃς Ἑστιάδας προσαγορεύουσιν. Νομᾶ γὰρ δὴ καὶ τὴν τῶν Ἑστιάδων παρθένων καθιέρωσιν καὶ ὅλως τὴν περὶ τὸ πῦρ τὸ ἀθάνατον, ὃ φυλάττουσιν αὗται, θεραπείαν τε καὶ τιμὴν ἀποδιδόασιν, εἴτε ὡς καθαρὰν καὶ ἄφθαρτον τὴν τοῦ πυρὸς οὐσίαν ἀκηράτοις καὶ ἀμιάντοις παρατιθεμένου σώμασιν, εἴτε τὸ ἄκαρπον καὶ ἄγονον τῇ παρθενίᾳ συνοικειοῦντος. (6) Ἐπεί τοι τῆς Ἑλλάδος, ὅπου πῦρ ἀσβεστόν ἐστιν, ὡς Πυθοῖ καὶ Ἀθήνησιν, οὐ παρθένοι, γυναῖκες δὲ πεπαυμέναι γάμων ἔχουσι τὴν ἐπιμέλειαν. (7) Ἐὰν δὲ ὑπὸ c τύχης τινὸς ἐκλίπῃ, καθάπερ Ἀθήνησι μὲν ἐπὶ τῆς Ἀριστίωνος λέγεται τυραννίδος ἀποσβεσθῆναι τὸν ἱερὸν λύχνον, ἐν Δελφοῖς δὲ, τοῦ ναοῦ καταπρησθέντος ὑπὸ Μήδων, περὶ δὲ τὰ Μιθριδατικὰ καὶ τὸν ἐμφύλιον Ῥωμαίων πόλεμον ἅμα τῷ βωμῷ τὸ πῦρ ἠφανίσθη, φασὶ μὴ δεῖν ἀπὸ ἑτέρου πυρὸς ἐναύεσθαι, καινὸν δὲ ποιεῖν καὶ νέον ἀνάπτοντας ἀπὸ τοῦ ἡλίου φλόγα καθαρὰν καὶ

Romæ multorum ex sermone accepimus, Romanos quondam, cum oraculum accepissent ut prudentissimi Græcorum atque fortissimi in urbe statuas ponerent, æreas duas statuas in foro collocasse, unam Alcibiadis, alteram Pythagoræ. (13) Sed hæc quidem multis controversiis implicata, tam agitare prolixius quam probare pro veris, juvenilis est temeritatis.

IX. Porro autem Numæ sacerdotum quoque, quos Pontifices dicunt, creationem adscribunt, ipsumque unum primumque inter eos fuisse affirmant. His autem Pontificibus nomen factum esse, sivè quod deos colunt, qui omnium sunt rerum potentes, ab latino vocabulo *potens;* sive, quod aliis placuit, exceptionem id nomen significat, quod legumlator juberet ab iis ea, quæ possent præstari, sacrificia fieri, neque iniquus esset ipsis, si quod gravius impedimentum intercessisset. (2) Plurimi maxime ridiculam nominis rationem probant : scilicet a ponte tantum faciendo eos pontifices dictos, nimirum a sacrificiis, quæ in ponte fiebant sanctissima omnium et vetutissima; hujus autem pontis conservationem ac procurationem, tanquam unam ex ceremoniis immobilibus atque antiquis, ad sacerdotes pertinere et pontis sublicii dissolutionem apud Romanos pro re nefaria et detestabili habitam. (3) Ferunt autem pontem hunc totum ligneum jussu oraculi cujusdam absque omni ferro compactum fuisse : nam lapideus longo post tempore, censore Æmilio, est confectus. Attamen ligneum quoque pontem post Numæ exitum a Marcio, filiæ ejus filio, constructum invenio. (4) Pontifex autem maximus, interpretis deorum, vatis, adeoque sacrorum enarratoris doctorisque loco est, non modo publicorum sacrificiorum curam gerens, sed privata etiam inspiciens, ac ne quid præter legitima fiat, prohibens, docensque quibus cuique rebus ad honorandos exorandosve deos opus sit. (5) Sacrarum quoque virginum, quas Vestales appellant, custos erat. Nam harum quoque sacerdotii, totiusque de igne perpetuo, quem eæ custodiunt, ritus auctorem Numam faciunt : sive is puram et incorruptam ignis naturam sinceris atque castis corporibus curandam dare voluit, sive rem fructu et fetu carentem virginitati accommodavit. (6) Quanquam in Græcia, ubi ignis perennis conservatur, ut Delphis et Athenis, non virgines, sed mulieres jam per ætatem ad conjugium ineptæ ei præficiuntur. (7) Qui si casu aliquo exstinguatur, veluti Athenis sacram lucernam aiunt, Aristione tyrannidem tenente, exstinctam fuisse, et Delphis incenso a Medis templo, belloque Mithridatico, et civili Romanorum, simul et aram et ignem periisse, accendere eum ab alio igne non licere tradunt, sed renovandum esse, flammamque eliciendam a solis radiis

ἀμίαντον. (8) Ἐξάπτουσι δὲ μάλιστα τοῖς σκαφείοις, ἃ κατασκευάζεται μὲν ἀπὸ πλευρᾶς ἰσοσκελοῦς ὀρθογωνίου τριγώνου κοιλαινόμενα, συννεύει δὲ εἰς ἓν ἐκ τῆς περιφερείας κέντρον. Ὅταν οὖν θέσιν ἐναντίαν λάβῃ d πρὸς τὸν ἥλιον, ὥστε τὰς αὐγὰς πανταχόθεν ἀναπτομένας ἀθροίζεσθαι καὶ συμπλέκεσθαι περὶ τὸ κέντρον, αὐτόν τε διακρίνει τὸν ἀέρα λεπτυνόμενον καὶ τὰ κουφότατα καὶ ξηρότατα τῶν προστιθεμένων ὀξέως ἀνάπτει κατὰ τὴν ἀντέρεισιν σῶμα καὶ πληγὴν πυρώδη τῆς αὐγῆς λαβούσης. (9) Ἔνιοι μὲν οὖν οὐδὲν ὑπὸ τῶν ἱερῶν παρθένων ἀλλ' ἢ τὸ ἄσβεστον ἐκεῖνο φρουρεῖσθαι πῦρ νομίζουσιν· ἔνιοι δὲ εἶναί τινα φασὶν ἀθέατα τοῖς ἄλλοις ἱερὰ κρυπτόμενα, περὶ ὧν ὅσα καὶ πυθέσθαι καὶ φράσαι θεμιτὸν, ἐν τῷ Καμίλλου βίῳ γέγραπται.

X. Πρῶτον μὲν οὖν ὑπὸ Νομᾶ καθιερωθῆναι λέγουσι Γεγανίαν καὶ Βερηνίαν, δεύτερον δὲ Κανουλήιαν καὶ e Ταρπηίαν· ὕστερον δὲ Σερβίου δύο προσθέντος ἄλλας τῷ ἀριθμῷ διατηρῆσαι μέχρι τῶν χρόνων τούτων τὸ πλῆθος. (2) Ὥρισθη δὲ ταῖς ἱεραῖς παρθένοις ὑπὸ τοῦ βασιλέως ἁγνεία τριακονταέτις, ἐν ᾗ τὴν μὲν πρώτην δεκαετίαν, ἃ χρὴ δρᾶν μανθάνουσι, τὴν δὲ μέσην ἃ μεμαθήκασι δρῶσι, τὴν δὲ τρίτην ἑτέρας αὐταὶ διδάσκουσιν. (3) Εἶτα ἀνεῖται τῇ βουλομένῃ μετὰ τὸν χρόνον τοῦτον ἤδη καὶ γάμου μεταλαμβάνειν, καὶ πρὸς ἕτερον τραπέσθαι βίον ἀπαλλαγείσῃ τῆς ἱερουργίας. Λέγονται δὲ οὐ πολλαὶ ταύτην ἀσπάσασθαι τὴν ἄδειαν, οὐδὲ ἀσπασαμέναις χρηστὰ πράγματα συντυχεῖν, ἀλλὰ μετανοίᾳ καὶ κατηφείᾳ συνοῦσαι τὸν λοιπὸν βίον, ἐμβαλεῖν τὰς ἄλλας εἰς δεισιδαιμονίαν, ὥστε μέχρι γήρως καὶ θανάτου διατελεῖν ἐγκαρτερούσας καὶ παρθενευομένας. (4) Τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς, ὧν ἐστι καὶ τὸ διαθέσθαι ζῶντος ἐξεῖναι πατρὸς, καὶ τἄλλα πράττειν ἄνευ προστάτου διαγούσας, ὥσπερ αἱ τρίπαιδες. (5) Ῥαβδουχοῦνται δὲ προϊοῦσαι· κἂν ἀγομένῳ τινὶ πρὸς θάνατον αὐτομάτως συντύχωσιν, οὐκ ἀναιρεῖται· δεῖ δὲ ἀπομόσαι τὴν παρθένον ἀκούσιον καὶ τυχαίαν καὶ οὐκ ἐξεπίτηδες γεγονέναι τὴν ἀπάντησιν. (6) Ὁ δὲ 67 ὑπελθὼν κομιζομένων ὑπὸ τὸ φορεῖον ἀποθνήσκει. Κόλασις δὲ τῶν μὲν ἄλλων ἁμαρτημάτων, πληγαὶ ταῖς παρθένοις, τοῦ μεγίστου Ποντίφικος κολάζοντος ἔστιν ὅτε καὶ γυμνὴν τὴν πλημμελήσασαν ὀθόνης ἐν παλιν-σκίῳ παρατεινομένης. (7) Ἡ δὲ τὴν παρθενίαν καταισχύνασα ζῶσα κατορύττεται παρὰ τὴν Κολλίνην λεγομένην πύλην, ἐν ᾗ ἐστί τις ἐντὸς τῆς πόλεως ὀφρὺς γεώδης παρατείνουσα πόρρω· καλεῖται δὲ χῶμα διαλέκτῳ τῇ Λατίνων. (8) Ἐνταῦθα κατασκευάζεται κατάγειος οἶκος οὐ μέγας ἔχων ἄνωθεν κατάβασιν· κεῖται δὲ ἐν αὐτῷ κλίνη τε ὑπεστρωμένη καὶ λύχνος καιόμενος ἀπαρχαί τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων βραχεῖαί τι-νες, οἷον ἄρτος, ὕδωρ ἐν ἀγγείῳ, γάλα, ἔλαιον, ὥσπερ b ἀφοσιουμένων τὸ μὴ λιμῷ διαφθείρειν σῶμα ταῖς μεγίσταις καθιερωμένων ἁγιστείαις. (9) Αὐτὴν δὲ τὴν κολαζομένην εἰς φορεῖον ἐνθέμενοι καὶ καταστεγάσαντες ἔξωθεν καὶ καταλαβόντες ἱμᾶσιν, ὡς μηδὲ φωνὴν ἐξά-

puram et sinceram. (8) Eam ad rem instrumentis utuntur, quæ scaphia nominant; sunt autem excavata in modum turbinis rectanguli: hæc si adverso soli opponantur, fit ut radii solares in circumferentiam undique incidentes, ad centrum omnes concurrant, itaque et aerem tenuem reddant et materiam quæ levissima siccissimaque instrumentis imponitur, statim inflamment: quia videlicet radii solares a corpore renitente ita coguntur et stipantur, ut naturam ignis accipiat. (9) Quidam a Vestalibus virginibus nihil præter ignem illum perpetuum adservatum opinantur: quidam sacra quædam ab iis occulta custodiri putant, quæ aliis aspicere non liceat, de quibus quantum et audire et dicere fas est, in Camilli vita scripsimus.

X. Primum a Numa sacratas aiunt Geganiam ac Vereniam: deinde Canuleiam et Tarpeiam: postmodo duas a Servio adjectas, numerum istum ad hæc usque tempora retentum. (2) Præscripsit autem rex Vestalibus triginta annorum castimoniam. Primo decennio discunt ea quæ sint sui officii, altero ea exercent, tertio alias ipsæ eadem docent. (3) Secundum hoc tempus permissum est illis, quæ velint, deposito sacerdotio nubere, aut aliud vitæ genus diligere; non multas tamen narrant hac licentia usas et iis, quæ eam amplexæ fuissent, adversas res evenisse, pœnitentiaque et mœstitia reliquum vitæ tempus vexatas, reliquas in eam superstitionem adduxisse, ut ad senectutem potius exitumque vitæ virginitatem conservarent. (4) Magnos honores his sacerdotibus tribuit Numa, e quorum f numero est, quod licebat vivo adhuc patre testamentum condere, quod sine tutore omnia agere poterant, haud secus quam jus trium liberorum adeptæ. (8) Cum in publicum progrediuntur, lictores secum habent, ac si tum forte ad capitale supplicium aliquis ducatur, is non necatur; jusjurandum tamen ab ipsis exigitur, forte fortuna se, non a data opera, intervenisse. (6) Porro autem qui subit lecticæ, qua ipsæ vehuntur, moritur. Si quid deliquerit Vestalis, verbera ei a summo Pontifice infliguntur, aliquando etiam nudæ linteo prætenso, in obscuro et umbroso loco. (7) At quæ virginitatem læsit, viva defoditur juxta portam Collinam. Est ibi intra urbem tumulus quidam terreus, in longum porrectus, quem aggerem Latini vocant. (8) In eo domus subterranea non magna, in quam ex superiori parte descensus fit, paratur: in eaque lectus constratus, lucerna ardens, paucæque eorum, quæ ad vitam fovendam necessaria sunt primitiæ reponuntur, ut panis, aqua, lac in vasculo, et oleum, tanquam nefas putent fore, si corpus summis consecratum sacrimoniis fame perimant. (9) Tum illam, quæ supplicio est afficienda, lecticæ impositam extra opertæ, lorisque revinctam, ita ut ne vox quidem exaudiri

κουστον γενέσθαι, κομίζουσι δι' ἀγορᾶς. (10) Ἐξίστανται δὲ πάντες σιωπῇ καὶ παραπέμπουσιν ἄφθογγοι μετά τινος δεινῆς κατηφείας· οὐδέ ἐστιν ἕτερον θέαμα φρικτότερον, οὐδ' ἡμέραν ἡ πόλις ἄλλην ἄγει στυγνοτέραν
b ἐκείνης. (11) Ὅταν δὲ πρὸς τὸν τόπον κομισθῇ τὸ φορεῖον, οἱ μὲν ὑπηρέται τοὺς δεσμοὺς ἐξέλυσαν, ὁ δὲ τῶν c ἱερέων ἔξαρχος εὐχάς τινας ἀπορρήτους ποιησάμενος καὶ χεῖρας ἀνατείνας θεοῖς πρὸ τῆς ἀνάγκης, ἐξάγει συγκεκαλυμμένην καὶ καθίστησιν ἐπὶ κλίμακος εἰς τὸ
10 οἴκημα κάτω φερούσης. (12) Εἶτα αὐτὸς μὲν ἀποτρέπεται μετὰ τῶν ἄλλων ἱερέων· τῆς δὲ καταβάσης ἥ τε κλίμαξ ἀναιρεῖται καὶ κατακρύπτεται τὸ οἴκημα γῆς πολλῆς ἄνωθεν ἐπιφορουμένης, ὥστε ἰσόπεδον τῷ λοιπῷ χώματι γενέσθαι τὸν τόπον. Οὕτω μὲν αἱ προέμεναι
15 τὴν ἱερὰν παρθενίαν κολάζονται.

XI. Νομᾶς δὲ λέγεται καὶ τὸ τῆς Ἑστίας ἱερὸν ἐγκύκλιον περιβαλέσθαι τῷ ἀσβέστῳ πυρὶ φρουράν· ἀπομιμούμενος οὐ τὸ σχῆμα τῆς γῆς ὡς Ἑστίας οὔσης, ἀλλὰ τοῦ σύμπαντος κόσμου, οὗ μέσον οἱ Πυθαγορικοὶ d
20 τὸ πῦρ ἱδρύσθαι νομίζουσι καὶ τοῦτο Ἑστίαν καλοῦσι καὶ μονάδα· τὴν δὲ γῆν οὔτε ἀκίνητον οὔτ' ἐν μέσῳ τῆς περιφορᾶς οὖσαν, ἀλλὰ κύκλῳ περὶ τὸ πῦρ αἰωρουμένην οὐ τῶν τιμιωτάτων οὐδὲ τῶν πρώτων τοῦ κόσμου μορίων ὑπάρχειν. (2) Ταῦτα δὲ καὶ Πλάτωνά φασι
25 πρεσβύτην γενόμενον διανενοῆσθαι περὶ τῆς γῆς ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεστώσης, τὴν δὲ μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προσήκουσαν.

XII. Οἱ δὲ Ποντίφικες καὶ τὰ περὶ τὰς ταφὰς πάτρια τοῖς χρῄζουσιν ἀφηγοῦνται, Νομᾶ διδάξαντος μη-
30 δὲν ἡγεῖσθαι μίασμα τῶν τοιούτων, ἀλλὰ καὶ τοὺς ἐκεῖ e θεοὺς σέβεσθαι τοῖς νενομισμένοις, ὡς τὰ κυριώτατα τῶν ἡμετέρων ὑποδεχομένους· ἐξαιρέτως δὲ τὴν προσαγορευομένην Λιβίτιναν, ἐπίσκοπον τῶν περὶ τοὺς θνήσκοντας ὁσίων θεὸν οὖσαν, εἴτε Περσεφόνην εἴτε
35 μᾶλλον, ὡς οἱ λογιώτατοι Ῥωμαίων ὑπολαμβάνουσιν, Ἀφροδίτην· οὐ κακῶς εἰς μιᾶς δύναμιν θεοῦ τὰ περὶ τὰς γενέσεις καὶ τὰς τελευτὰς ἀνάπτοντες. (2) Αὐτὸς δὲ καὶ τὰ πένθη καθ' ἡλικίας καὶ χρόνους ἔταξεν, οἷον παῖδα μὴ πενθεῖν νεώτερον τριετοῦς μηδὲ πρεσβύτερον πλεί-
40 ονας μῆνας ὧν ἐβίωσεν ἐνιαυτῶν, μέχρι τῶν δέκα καὶ περαιτέρω μηδεμίαν ἡλικίαν· ἀλλὰ τοῦ μακροτάτου πέν- f θους χρόνον εἶναι δεκαμηνιαῖον, ἐφ' ὅσον καὶ χηρεύουσιν αἱ τῶν ἀποθανόντων γυναῖκες. Ἡ δὲ πρότερον γαμη-
68 θεῖσα βοῦν ἐγκύμονα κατέθυεν ἐκείνου νομοθετήσαντος.
45 (3) Πολλὰς δὲ καὶ ἄλλας Νομᾶ καταδείξαντος ἱερωσύνας ἔτι δυεῖν μνησθήσομαι, τῆς τε Σαλίων καὶ τῆς τῶν Φιτιαλίων, αἳ μάλιστα τὴν εὐσέβειαν τοῦ ἀνδρὸς ἐμφαίνουσιν. (4) Οἱ μὲν γὰρ Φιτιάλιοι εἰρήνης φύλακές a τινες ὄντες, ὡς δ' ἐμοὶ δοκεῖ, καὶ τοὔνομα λαβόντες ἀπὸ
50 τῆς πράξεως, λόγῳ τὰ νείκη κατέπαυον οὐκ ἐῶντες στρατεύειν πρότερον ἢ πᾶσαν ἐλπίδα δίκης ἀποκοπῆναι. Καὶ γὰρ εἰρήνην Ἕλληνες καλοῦσιν, ὅταν λόγῳ, μὴ βίᾳ, πρὸς ἀλλήλους χρώμενοι λύσωσι τὰς διαφοράς. (5) Οἱ δὲ Ῥωμαίων Φιτιαλεῖς πολλάκις μὲν ἐδάδιζον

possit, per forum vehunt. (10) Ei omnes via decedunt taciti et ingenti cum mœstitia silentes transmittunt, neque est horribilius ullum spectaculum, aut dies quam urbs agat tristiorem. (11) Ubi ad locum quem dixi lectica pervenit, vincula lictores solvunt; at princeps sacrorum secreto quædam comprecatus, manibus ad deos sublatis ante supplicium, obvelatam educit et in scalis deorsum in domum deferentibus constituit; tum ipse cum reliquis sacerdotibus revertitur. (12) Postquam damnata descendit, sursum gradus attrahunt, multaque superne terra ingesta domus occulitur complanaturque. Eo modo supplicium de his, quæ deæ sacratam virginitatem prodiderunt, sumitur.

XI. Præterea ferunt Numam custodiæ causa perenni igni Vestæ templum circumdedisse, quod rotundum ab eo exstructum est, non ut terræ, quasi ea Vesta esset, sed ut universi figuram exprimeret, in cujus medio ignem collocatum Pythagorei censent, eumque Vestam et unitatem appellant. Iidem terram neque immobilem neque in medio circumferentiæ sitam autumant, sed in orbem circum ignem ferri, ac neque de præstantissimis neque de primis mundi partibus unam esse. (2) Atque eadem Platonem quoque ætate provectum de terra sensisse aiunt, non eam in medio universi collocatam, sed centrum atque præcipuum situm nobiliori cuipiam deberi.

XII. Ista etiam quæ ad sepulturam pertinent, Pontifices poscentibus expediunt: docuitque Numa, nihil ejus rei pro piaculo habendum, sed et manes qui præcipuam nostri partem accipiunt, suis religionibus colendos, præsertim vero Libitinam, quæ dea mortuorum justa procuret, sive ea Proserpina est, sive Venus, quod doctissimi inter Romanos judicant, haud absurde ejusdem numinis potestati ortus interitusque nostri rationem imputantes. (2) Luctui etiam habita ætatum et temporum ratione modum præscripsit. Nimirum pueros, ac minores triennio non lugendos: majores natu, non plures menses lugere iis quos vixissent annis permisit, usque ad denarium numerum: neque amplius ulli ætati concessum. Itaque longissimum luctus tempus decimo mense fuit terminatum, ac tamdiu etiam mulieres a morte maritorum viduæ permanebant. Quod si qua intra decimum mensem iterum nupsisset, eam leges Numæ vaccam prægnantem immolare jubebant. (3) Enimvero cum alia multa sacerdotia instituerit Numa, duorum adhuc tantum mentionem faciam, Saliorum nimirum atque Fecialium, quæ maxime viri hujus pietatem ostendunt. (4) Feciales pacis erant custodes, nomen, ut mea fert opinio, ab ipsa re habentes; verbis enim ii lites solvebant, nec nisi omni prius spe juris obtinendi præcisa, bellum suscipi sinebant. Pacem enim εἰρήνην ab εἴρειν, *dicendo*, Græci vocant, cum non vi, sed colloquio discordiæ componuntur. (5) Feciales autem Romanorum sæpenumero ad eos qui injuriam

ὡς τοὺς ἀδικοῦντας, αὐτοὶ πείθοντες εὐγνωμονεῖν· ἀγνωμονούντων δὲ, μαρτυρόμενοι θεοὺς καὶ κατευξάμενοι πολλὰ καὶ δεινὰ καθ' αὑτῶν αὐτοὶ καὶ τῆς πατρίδος, εἰ μὴ δικαίως ἐπεξίασιν, οὕτω κατήγγελλον αὐτοῖς τὸν πόλεμον. (6) Κωλυόντων δὲ τούτων ἢ μὴ b συναινούντων οὔτε στρατιώτῃ θεμιτὸν οὔτε βασιλεῖ Ῥωμαίων ὅπλα κινεῖν· ἀλλὰ παρὰ τούτων ἔδει τὴν ἀρχὴν τοῦ πολέμου δεξάμενον ὡς δικαίου τὸν ἄρχοντα, τότε σκοπεῖν περὶ τοῦ συμφέροντος. (7) Λέγεται δὲ καὶ τὸ Κελτικὸν ἐκεῖνο πάθος τῇ πόλει γενέσθαι τούτων τῶν ἱερῶν παρανομηθέντων. (8) Ἔτυχον μὲν γὰρ οἱ βάρβαροι Κλουσίνους πολιορκοῦντες· ἐπέμφθη δὲ πρεσβευτὴς Φάβιος Ἀμβουστος εἰς τὸ στρατόπεδον διαλύσεις πράξων ὑπὲρ τῶν πολιορκουμένων. Λαβὼν δὲ ἀποκρίσεις οὐκ ἐπιεικεῖς καὶ πέρας σχεῖν αὐτῷ τὴν πρεσβείαν οἰόμενος ἐνεανιεύσατο πρὸ τῶν Κλουσίνων ὅπλα λαβὼν προκαλέσασθαι τὸν ἀριστεύοντα τῶν βαρβάρων. Τὰ μὲν οὖν τῆς μάχης εὐτυχεῖτο καὶ c καταβαλὼν ἐσκύλευσε τὸν ἄνδρα· γνωρίσαντες δὲ οἱ Κελτοὶ πέμπουσιν εἰς Ῥώμην κήρυκα τοῦ Φαβίου κατηγοροῦντες ὡς ἔκσπονδον καὶ ἄπιστον καὶ ἀκατάγγελτον ἐξενηνοχότος πρὸς αὐτοὺς πόλεμον. (9) Ἐνταῦθα τὴν μὲν σύγκλητον οἱ Φητιαλεῖς ἔπειθον ἐκδιδόναι τὸν ἄνδρα τοῖς Κελτοῖς· καταφυγὼν δὲ ἐκεῖνος εἰς τὸν πολλοὺς καὶ τῷ δήμῳ σπουδάζοντι χρησάμενος διεκρούσατο τὴν δίκην. Μετ' ὀλίγον δὲ ἐπελθόντες οἱ Κελτοὶ τὴν Ῥώμην πλὴν τοῦ Καπιτωλίου διεπόρθησαν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς περὶ Καμίλλου μᾶλλον ἀκριβοῦται.

XIII. Τοὺς δὲ Σαλίους ἱερεῖς ἐκ τῆς τοιαύτης λέγε- d ται συστήσασθαι προφάσεως. Ἔτος ὄγδοον αὐτοῦ βασιλεύοντος λοιμώδης νόσος περιοῦσα τὴν Ἰταλίαν ἐστρόβησε καὶ τὴν Ῥώμην. (2) Ἀθυμούντων δὲ τῶν ἀνθρώπων ἱστορεῖται χαλκῆν πέλτην ἐξ οὐρανοῦ καταφερομένην εἰς τὰς Νομᾶ πεσεῖν χεῖρας. Ἐπὶ δὲ αὐτῇ θαυμάσιόν τινα λόγον λέγεσθαι ὑπὸ τοῦ βασιλέως Ἠγερίας τε καὶ τῶν Μουσῶν πυθέσθαι. Τὸ μὲν γὰρ ὅπλον ἥκειν ἐπὶ σωτηρίᾳ τῆς πόλεως καὶ δεῖν αὐτὸ φρουρεῖσθαι γενομένων ἄλλων ἕνδεκα καὶ σχῆμα καὶ μέγεθος καὶ μορφὴν ἐκείνῳ παραπλησίων, ὅπως ἄπορον εἴη τῷ κλέπτῃ δι' ὁμοιότητα τοῦ διοπετοῦς ἐπιτυχεῖν· ἔτι δὲ χρῆναι Μούσαις καθιερῶσαι τὸ χωρίον e ἐκεῖνο καὶ τοὺς περὶ αὐτὸ λειμῶνας, ὅπου τὰ πολλὰ φοιτῶσαι συνδιατρίβουσιν αὐτῷ· τὴν δὲ πηγὴν, ἣ κατάρδει τὸ χωρίον, ὕδωρ ἱερὸν ἀποδεῖξαι ταῖς Ἑστιάσι παρθένοις, ὅπως λαμβάνουσαι καθ' ἡμέραν ἁγνίζωσι καὶ ῥαίνωσι τὸ ἀνάκτορον. (3) Τούτοις μὲν οὖν μαρτυρῆσαι λέγουσι καὶ τὰ τῆς νόσου παραχρῆμα παυσάμενα. Τὴν δὲ πέλτην προθέντος αὐτοῦ καὶ κελεύσαντος ἁμιλλᾶσθαι τοὺς τεχνίτας ὑπὲρ τῆς ὁμοιότητος, τοὺς μὲν ἄλλους ἀπειπεῖν, Βετούριον δὲ Μαμούριον, ἕνα τῶν ἄκρων δημιουργῶν, οὕτως ἐφικέσθαι τῆς ἐμφερείας καὶ κατασκευάσαι πάσας ὁμοίας, ὥστε μηδ' αὐτὸν ἔτι τὸν Νομᾶν διαγιγώσκειν. (4) Τούτων οὖν φύλακας f καὶ ἀμφιπόλους ἀπέδειξε τοὺς Σαλίους ἱερεῖς. Σάλιοι

intulissent, proficiscebantur, eosque ad justitiam cohortabantur; quod si ii in iniquitate perstarent, deos contestati, multaque mala sibi ipsis ac patriæ imprecati, nisi juste injuriam defenderent, ita demum bellum iis indicebant. (6) Fecialibus prohibentibus injussuve eorum, neque militi fas erat, neque regi Romanorum arma movere; sed oportebat principem, ab his belli initio tanquam justi accepto, tum considerare quid expediret. (7) Fama etiam tenet, Gallicam calamitatem Romæ accidisse Fecialium jure violato. (8) Oppugnabant Clusinos barbari; ad eos in castra missus legatus Fabius Ambustus, ut pacificatione composita obsessos bello eximeret, cum asperius ei responsum esset, ratus legatione se defunctum, temerario animi ausu pro Clusinis arma cepit, et ad certamen Gallorum fortissimum provocavit. Fecit quidem pugnam secundam et dejectum hostem spoliavit, sed Galli re cognita, præcone Romam misso Fabium accusavere, quod contra fœdera fidemque bellum non denunciatum ipsis intulisset. (9) Ibi cum senatui Feciales persuasissent, ut Fabium Gallis ad supplicium dederent, ad plebem is confugit: ejusque studio usus, judicio sese eripuit. Paulo post Galli, Romam adductis copiis, totam excepto Capitolio urbem vastavere, qua de re in vita Camilli accuratius dictum est.

XIII. Saliorum constituendorum hanc ei fuisse occasionem dicunt oblatam. Regnante eo annum jam octavum pestilens morbus grassatus Italiam afflixit urbemque Romam. (2) Ejus rei causa mœrente populo, ferunt peltam æream e cœlo delapsam, in Numæ manus incidisse. De ea Numam mirabilem orationem habuisse, cujus quidem Egeriam et Musas auctores perhibuerit: eam peltam in salutem urbis missam, oportereque eam asservari, undecim aliis confectis, quæ figura, magnitudine, formaque ejus essent adsimiles, ut propter eam similitudinem furibus eam quæ cœlo delapsa fuisset investigandi facultas adimeretur. Præterea locum istum et prata, ubi secum Musæ frequenter convenirent atque communicarent, deabus istis, et fontem, quo locus is rigatur, Vestalibus consecrandum, ut quotidie inde haurientes, aspergerent ea purgarentque fanum. (3) Confirmatam porro hanc ejus orationem subito luis fine. Cum peltam artificibus proposuisset, ut de similitudine effingenda certarent, reliquis diffidentibus, Veturius Mamurius traditur, qui inter summos eo tempore artifices erat, ita eam expressisse, adeoque omnes inter se peltas conformes fabricatum fuisse, ut ipse etiam Numa discernere nequiverit. (4) Harum peltarum custodes et ministros ille f Salios sacerdotes constituit. Salii nominantur, non ut fabulantur nonnulli, a Salio quodam Samothrace aut Manti-

δὲ ἐκλήθησαν, οὐχ, ὡς ἔνιοι μυθολογοῦσι, Σαμόθρακος ἀνδρὸς ἢ Μαντινέως, ὄνομα Σαλίου, πρώτου τὴν ἐνόπλιον ἐκδιδάξαντος ὄρχησιν, ἀλλὰ μᾶλλον ἀπὸ τῆς ὀρχήσεως αὐτῆς ἁλτικῆς οὔσης, ἣν ὑπορχοῦνται διαπορευόμενοι τὴν πόλιν, ὅταν τὰς ἱερὰς πέλτας ἀναλάβωσιν ἐν τῷ Μαρτίῳ μηνὶ, φοινικοῦς μὲν ἐνδεδυμένοι
69 χιτωνίσκους, μίτραις δὲ χαλκαῖς ὑπεζωσμένοι πλατείαις καὶ κράνη χαλκᾶ φοροῦντες, ἐγχειριδίοις δὲ μικροῖς τὰ ὅπλα κρούοντες. Ἡ δὲ ἄλλη τῆς ὀρχήσεως ποδῶν ἔργον ἐστί· κινοῦνται γὰρ ἐπιτερπῶς ἑλιγμοὺς καὶ μεταβολὰς ἐν ῥυθμῷ τάχος ἔχοντι καὶ πυκνότητα μετὰ ῥώμης καὶ κουφότητος ἀποδιδόντες. (6) Αὐτὰς δὲ τὰς πέλτας ἀγκύλια καλοῦσι διὰ τὸ σχῆμα. Κύκλος γὰρ οὐκ ἔστιν οὐδὲ ἀποδίδωσιν, ὡς πέλτη, τὴν περιφέρειαν, ἀλλ' ἐκτομὴν ἔχει γραμμῆς ἑλικοειδοῦς, ἧς αἱ κεραῖαι καμπὰς ἔχουσαι καὶ συνεπιστρέφουσαι τῇ πυκνότητι πρὸς ἀλλήλας ἀγκύλον τὸ σχῆμα ποιοῦσιν· ἢ διὰ τὸν ἀγκῶνα, περὶ ὃν περιφέρονται. Ταῦτα γὰρ ὁ Ἰόβας εἴρηκε γλιχόμενος ἐξελληνίσαι τοὔνομα. (7) Δύναιτο b δ' ἂν τῆς ἀνέκαθεν φορᾶς πρῶτον ἐπώνυμον γεγονέναι καὶ τῆς ἀκέσεως τῶν νοσούντων καὶ τῆς τῶν αὐχμῶν λύσεως, ἔτι δὲ τῆς τῶν δεινῶν ἀνασχέσεως· καθ' ὃ καὶ τοὺς Διοσκόρους Ἄνακας Ἀθηναῖοι προσηγόρευσαν· εἴ γε δεῖ πρὸς τὴν Ἑλληνικὴν διάλεκτον ἐξάγειν τοὔνομα. (8) Τῷ δὲ Μαμουρίῳ λέγουσι μισθὸν γενέσθαι τῆς τέχνης ἐκείνης μνήμην τινὰ δι' ᾠδῆς ὑπὸ τῶν Σαλίων ἅμα τῇ πυρρίχῃ διαπεραινομένης. Οἱ δὲ οὐ Βετούριον Μαμούριον εἶναί φασι τὸν ᾀδόμενον, ἀλλὰ Οὐετέρεμ μεμορίαμ, ὅπερ ἐστὶ παλαιὰν μνήμην.

30 XIV. Ἐπεὶ δὲ διεκόσμησε τὰς ἱερωσύνας, ἐδείματο πλησίον τοῦ τῆς Ἑστίας ἱεροῦ τὴν καλουμένην Ῥηγίαν, οἷόν τι βασίλειον οἴκημα· καὶ τὸ πλεῖστον αὐτόθι τοῦ c χρόνου διέτριβεν ἱερουργῶν ἢ διδάσκων τοὺς ἱερεῖς ἢ πρὸς ἔννοίᾳ τινὶ τῶν θείων πρὸς αὐτοὺς σχολάζων.
35 (2) Οἰκίαν δ' εἶχεν ἑτέραν περὶ τὸν Κυρίνου λόφον, ἧς ἔτι νῦν τὸν τόπον ἐπιδεικνύουσιν. (3) Ἐν δὲ ταῖς προπομπαῖς καὶ ὅλως τῶν ἱερέων ταῖς πομπαῖς προηγοῦντο κήρυκες ἀνὰ τὴν πόλιν ἐλινύειν κελεύοντες καὶ τὰ ἔργα καταπαύοντες. Ὡς γάρ φασι τοὺς Πυθαγορικοὺς οὐκ
40 ἐᾶν ἐκ παρόδου προσκυνεῖν καὶ προσεύχεσθαι τοῖς θεοῖς, ἀλλ' οἴκοθεν εὐθὺς ἐπὶ τοῦτο γνώμῃ παρασκευασαμένους βαδίζειν· οὕτως ᾤετο Νομᾶς χρῆναι τοὺς πολίτας d μήτε ἀκούειν τι τῶν θείων μήτε ὁρᾶν ἐν παρέργῳ καὶ ἀμελῶς, ἀλλὰ σχολὴν ἄγοντας ἀπὸ τῶν ἄλλων καὶ
45 προσέχοντας τὴν διάνοιαν ὡς πράξει μεγίστῃ τῇ περὶ τὴν εὐσέβειαν, ψόφων τε καὶ πατάγων καὶ στεναγμῶν καὶ ὅσα τοιαῦτα τοῖς ἀναγκαίοις καὶ βαναύσοις πόνοις ἕπεται, καθαρὰς τὰς ὁδοὺς ταῖς ἱερουργίαις παρέχοντας. (4) Ὧν ἴχνος τι μέχρι νῦν διασώζοντες, ὅταν ἄρχων
50 πρὸς ὅρνισιν ἢ θυσίαις διατρίβῃ βοῶσιν, Ὄκ ἄγε· σημαίνει δὲ ἡ φωνὴ, Τοῦτο πρᾶσσε, συνεπιστρέφουσα καὶ κατακοσμοῦσα τοὺς προστυγχάνοντας. (5) Ἦν δὲ e καὶ τῶν παραγγελμάτων αὐτοῦ πολλὰ τοῖς Πυθαγορικοῖς ἐοικότα. Ὡς γὰρ ἐκεῖνοι παρῄνουν ἐπὶ χοίνικος

nensi, qui saltationem armatam docuerit, sed ab ipsa potius chorea, quæ saltibus constat, quam per urbem circumeuntes ducunt, cum mense Martio sacras peltas gestant, puniceas tunicas induti, mitrisque latis æreis cincti, et galeas æreas ferentes, pugionibusque arma pulsantes. (5) Reliqua tripudii pars pedum officio constabat : movebantur a enim eleganter, celeriter atque confertim orbes implicantes evolventesque, multumque in eo roboris et agilitatis ostendentes. (6) Ipsas peltas ancilia appellant a figura; non enim ea est rotunda, neque instar parmæ circulum explet, sed excisæ sunt in modum lineæ volutæ, cujus apices curvitatem habent, ac qua peltæ crassissimæ sunt, in se convertuntur formamque curvam exprimunt : sive a cubito, quo gestantur, quem ἀγκῶνα Græci dicunt. Hæc enim Juba adfert, cupiens vocabulum Græcæ linguæ vindicare. (7) Ac potest etiam nomen inde deductum videri, quod desuper (id ἀνέκαθεν Græci dicunt) delatum sit ancile : aut a remedio morbi, quod est illis ἄκεσις : aut a siccitatis (αὐχμοῦ) solutione : aut denique a mali istius cessatione, quam ἀνάσχεσιν dicunt; unde Castor Polluxque gemini Ἄνακες sunt ab Atheniensibus cognominati : si quidem omnino nomen ancilium Græco sermoni sit adserendum. (8) At Mamurio mercedis nomine datum aiunt, ut eum Salii inter pyrrhicham saltationem cantarent. Alii non Veturium Mamurium eum, qui caneretur, fuisse tradunt, sed « veterem memoriam ».

XIV. Numa, sacerdotiis ordinatis, regiam ædificavit prope templum Vestæ : ibi ut plurimum degebat sacra peragens, aut docens sacerdotes, aut una cum illis rerum divinarum considerationi vacans. (2) Aliam quoque domum habuit juxta collem Quirinalem, cujus hodie adhuc locus monstratur. (3) Cum vero sacrorum pompæ ducerentur, præcones per urbem præcedebant, vacare et ab opere desistere jubentes. Nam quemadmodum ferunt Pythagoricos noluisse ut obiter quisquam dîis supplicaret, sed ut domo prius mente ad hoc præparatus adoratum veniret; ita Numa censuit debere cives nihil rerum sacrarum d vel videre vel audire obiter et neglectim, sed vacantes ab omnibus aliis rebus, cultui deorum tanquam maximo negotio animum intendere, et tempore sacrificiorum, vias sonituum, strepituum, gemituum, aliorumque id genus, quæ duros et illiberales labores sequuntur, vacuas exhibere. (4) Cujus rei etiamnum vestigium quoddam Romani servantes, principe circa auguria aut sacrificia occupato, clamant, Hoc age, quæ vox eos qui intersunt, ad rem quæ agitur attentos reddit. (5) Præcepta quoque e Numæ multa Pythagoricis fuere germana. Nam ut ille jussit, supra chœnicem non sedere, ignem gladio non irri-

μὴ καθῆσθαι καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν καὶ βαδίζοντας εἰς ἀποδημίας μὴ μεταστρέφεσθαι καὶ τοῖς μὲν οὐρανίοις περισσὰ θύειν, ἄρτια δὲ τοῖς χθονίοις, ὧν ἑκάστου τὴν διάνοιαν ἀπεκρύπτοντο πρὸς τοὺς πολλούς· b οὕτως ἔνια τῶν Νομᾶ πατρίων ἀπόῤῥητον ἔχει τὸν λόγον· οἷον τὸ μὴ σπένδειν θεοῖς ἐξ ἀμπέλων ἀτιμήτων μηδὲ θύειν ἄτερ ἀλφίτων, καὶ τὸ προσκυνεῖν περιστρεφομένους καὶ τὸ καθῆσθαι προσκυνήσαντας. (6) Τὰ μὲν οὖν πρῶτα δύο τὴν γῆς ἐξημέρωσιν ἔοικε διδάσκειν, f ὡς μόριον εὐσεβείας οὖσαν· ἡ δὲ περιστροφὴ τῶν προσκυνούντων λέγεται μὲν ἀπομίμησις εἶναι τῆς τοῦ κόσμου περιφορᾶς· δόξειε δ' ἂν μᾶλλον ὁ προσκυνῶν, ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων ἀπέστραπται τὰς ἀνατολὰς, μεταβάλλειν ἑαυτὸν ἐνταῦθα καὶ περιστρέφειν ἐπὶ τὸν θεὸν κύκλον ποιῶν καὶ συνάπτων τὴν ἐπιτελείωσιν τῆς εὐχῆς δι' ἀμφοῖν· εἰ μὴ νὴ Δία τοῖς Αἰγυπτίοις τροχοῖς αἰνίττεταί τι καὶ διδάσκει παραπλήσιον ἡ μεταβολὴ τοῦ σχήματος, ὡς οὐδενὸς ἑστῶ- a τος τῶν ἀνθρωπίνων, ἀλλ' ὅπως ἂν στρέφῃ καὶ ἀνελίττῃ τὸν βίον ἡμῶν ὁ θεὸς, ἀγαπᾶν καὶ δέχεσθαι προσῆκον. (7) Τὸ δὲ καθέζεσθαι προσκυνήσαντας οἰωνισμὸν εἶναι λέγουσι τοῦ βεβαιότητα ταῖς εὐχαῖς καὶ διαμονὴν τοῖς ἀγαθοῖς ἐπιγίνεσθαι. Λέγουσι δὲ καὶ πράξεων διορισμὸν εἶναι τὴν ἀνάπαυσιν· ὡς οὖν τῇ προτέρᾳ πράξει πέρας ἐπιτιθέντας καθέζεσθαι παρὰ τοῖς θεοῖς, ἵνα ἑτέρας πάλιν ἀρχὴν παρ' ἐκείνων λάβωσι. (8) Δύναται δὲ καὶ τοῦτο τοῖς εἰρημένοις ὁμολογεῖν, ἐθίζοντος ἡμᾶς τοῦ νομοθέτου μὴ ποιεῖσθαι τὰς πρὸς τὸ θεῖον ἐντεύξεις ἐν ἀσχολίᾳ καὶ παρέργως, οἷον σπεύδοντας, ἀλλ' ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν.

XV. Ἐκ δὲ τῆς τοιαύτης παιδαγωγίας πρὸς τὸ h θεῖον οὕτω ἡ πόλις ἐγεγόνει χειροήθης καὶ κατατεθαμβημένη τὴν τοῦ Νομᾶ δύναμιν, ὥστε μύθοις ἐοικότας τὴν ἀτοπίαν λόγους παραδέχεσθαι καὶ νομίζειν μηδὲν ἄπιστον εἶναι μηδὲ ἀμήχανον ἐκείνου βουληθέντος. (2) Λέγεται γοῦν ποτε καλέσας ἐπὶ τὴν τράπεζαν οὐκ ὀλίγους τῶν πολιτῶν σκεύη τε φαῦλα καὶ δεῖπνον εὐτελὲς πάνυ προθέσθαι καὶ δημοτικόν· ἀρξαμένων δὲ δειπνεῖν ἐμβαλὼν λόγον, ὡς ἡ θεὸς, ᾗ σύνεστιν, ἥκοι πρὸς αὐτὸν, αἰφνίδιον ἐπιδεῖξαι τόν τε οἶκον ἐκπωμάτων πλήρη πολυτελῶν καὶ τὰς τραπέζας ὄψων τε παντοδαπῶν καὶ παρασκευῆς δαψιλοῦς γεμούσας. (3) Πᾶσαν δὲ ὑπερβέβληκεν ἀτοπίαν τὸ ὑπὲρ τῆς τοῦ Διὸς c ὁμιλίας ἱστορούμενον. Μυθολογοῦσι γὰρ, εἰς τὸν Ἀβεντῖνον λόφον οὔπω μέρος ὄντα τῆς πόλεως οὐδὲ συνοικούμενον, ἀλλ' ἔχοντα πηγάς τε δαψιλεῖς ἐν αὐτῷ καὶ νάπας σκιερὰς, φοιτᾶν δύο δαίμονας, Πῖκον καὶ Φαῦνον· οὓς τὰ μὲν ἄλλα Σατύρων ἄν τις ἢ Πανῶν γένει προσεικάσειε, δυνάμει δὲ φαρμάκων καὶ δεινότητι τῆς περὶ τὰ θεῖα γοητείας, λέγονται ταὐτὰ τοῖς ὑφ' Ἑλλήνων προσαγορευθεῖσιν Ἰδαίοις Δακτύλοις σοφιζόμενοι, περιιέναι τὴν Ἰταλίαν. (4) Τούτους φασὶ χειρώσασθαι τὸν Νομᾶν οἴνῳ καὶ μέλιτι κεράσαντα

tare, peregre abeuntes non retrospicere, diis superis impari numero sacrificare, inferis pari, quorum omnium sensum clam vulgo habuit: ita et Numæ quædam instituta rationem habent arcanam; cujus generis sunt, diis non libandum ex vite non putata, neque litandum sine farina, adorantem in orbem sese circumagere et sedere peractis precibus debere. (6) Horum priora duo videntur docere, aliquam pietatis partem in terræ cultura positam esse, conversio autem illa inter precandum, ea quidem motum universi exprimere fertur, sed vero propius est, quoniam deorum templa ad solem orientem spectant, eum qui precatur, inde se in orbem circumvertere, dum ad deum redeat, eoque voti sui perfectionem indicare; nisi potius quod Ægyptiorum rotæ obscure repræsentant, idem hæc positionis mutatio declarat: videlicet nihil in rebus humanis stabile, ideoque conveniens esse, ut quocunque modo vitam nostram deus torqueat atque revolvat, boni consulamus. (7) Quod autem precibus absolutis sedere jussit, augurii vim habere dicunt, quia bonorum vota certa sint et firma futura, præterea quietem actionum esse interstitium; ideo quasi priori actione perfecta, diis assidere eos, ut ab iis alterius initium sumant. (8) Ab his non discrepat, si dicamus, voluisse Numam nos adsuefacere, ut non aliis occupationibus distenti obiter atque festinantes cum diis agamus, sed cum otium sit nobis ad eam rem ac tempus.

XV. Hac religionis disciplina adeo urbs mansueta est reddita, adeoque vim Numæ obstupuit, ut fabularum similes ejus sermones admitteret, nihilque incredibile aut fieri non posse judicaret, quod ille voluisset. (2) Traditum est, invitatum ab eo quodam tempore haud parvum civium numerum, appositaque illis vasa vilia et cœnam tenuem plebeiamque, initio autem cœnæ ab ipso sermonem illatum, deam, cum qua rem haberet, ad se venturam, confestimque ipsum monstrasse domum poculis pretiosis et mensas obsoniis omnis generis apparatuque lauto repletas. (3) Sed quod de ejus cum Jove congressu narratur, id longe c omnium absurdissimum est. Aventinus collis, cum nondum esset urbi additus, neque habitaretur adhuc, fontes habuit largos saltusque umbrosos: eo duos genios frequenter commeasse fingunt Picum et Faunum, ex Satyrorum, ut videri potest, aut Panum genere: sed qui eadem quæ apud Græcos ii profitebantur, qui Dactyli Idæi sunt cognominati, nimirum veneficiorum et magicæ artis divinationisque peritiam tractantes, Italiam peragrarent. (4) Hos a Numa captos esse, qui fontem ex quo bibere con-

τὴν κρήνην, ἀφ' ἧς ἔπινον συνήθως. Ληφθέντας δὲ πολλὰς μὲν ἰδέας τρέπεσθαι καὶ μετεκδύεσθαι τὴν αὐτῶν φύσιν, ἀλλόκοτα φάσματα καὶ φοβερὰ τῆς ὄψεως προβαλλομένους· ἐπεὶ δὲ ἔγνωσαν ἑαλωκότες ἰσχυρὰν καὶ ἄφυκτον ἅλωσιν, ἄλλα τε προθεσπίσαι πολλὰ τῶν μελλόντων καὶ τὸν ἐπὶ τοῖς κεραυνοῖς ἐκδιδάξαι καθαρμὸν, ὃς ποιεῖται μέχρι νῦν διὰ κρομύων καὶ τριχῶν καὶ μαινίδων. (5) Ἔνιοι δὲ οὐ τοὺς δαίμονας φασὶν ὑποθέσθαι τὸν καθαρμὸν, ἀλλ' ἐκείνους μὲν καταγαγεῖν τὸν Δία μαγεύσαντας· τὸν δὲ θεὸν ὀργιζόμενον τῷ Νομᾷ προστάσσειν, ὡς χρὴ γενέσθαι τὸν καθαρμὸν κεφαλαῖς· ὑπολαβόντος δὲ τοῦ Νομᾶ, κρομύων; εἰπεῖν, ἀνθρώπων· τὸν δὲ αὖθις ἐκτρέποντα τὸ τοῦ προστάγματος δεινὸν ἐπερέσθαι, θριξίν; ἀποκριναμένου δὲ τοῦ Διὸς, ἐμψύχοις . . . ἐπαγαγεῖν τὸν Νομᾶν, μαινίσι; Ταῦτα δὲ λέγειν ὑπὸ τῆς Ἠγερίας δεδιδαγμένον. Καὶ τὸν μὲν θεὸν ἀπελθεῖν ἵλεω γενόμενον, τὸν δὲ τόπον Ἰλίκιον ἀπ' ἐκείνου προσαγορευθῆναι καὶ τὸν καθαρμὸν οὕτω συντελεῖσθαι. (6) Ταῦτα μὲν οὖν τὰ μυθώδη καὶ γελοῖα τὴν τῶν τότε ἀνθρώπων ἐπιδείκνυται διάθεσιν πρὸς τὸ θεῖον, ἣν ὁ ἐθισμὸς αὐτοῖς ἐνεποίησεν. Αὐτὸν δὲ τὸν Νομᾶν οὕτω φασὶν εἰς τὸ θεῖον ἀνηρτῆσθαι ταῖς ἐλπίσιν, ὥστε καὶ προσαγγελίας αὐτῷ ποτε γενομένης, ὡς ἐπέρχονται πολέμιοι, μειδιάσαι καὶ εἰπεῖν· Ἐγὼ δὲ θύω.

XVI. Πρῶτον δέ φασι καὶ Πίστεως καὶ Τέρμονος ἱερὸν ἱδρύσασθαι. Καὶ τὴν μὲν Πίστιν ὅρκον ἀποδεῖξαι Ῥωμαίοις μέγιστον, ᾧ χρώμενοι μέχρι νῦν διατελοῦσιν· ὁ δὲ Τέρμων ὅρος ἄν τις εἴη, καὶ θύουσιν αὐτῷ δημοσίᾳ καὶ ἰδίᾳ κατὰ τοὺς τῶν ἀγρῶν περιορισμοὺς, νῦν μὲν ἔμψυχα, τὸ παλαιὸν δὲ ἀναίμακτος ἦν ἡ θυσία. Νομᾶ φιλοσοφήσαντος, ὡς χρὴ τὸν ὅριον θεὸν εἰρήνης φύλακα καὶ δικαιοσύνης μάρτυν ὄντα φόνου καθαρὸν εἶναι. (2) Δοκεῖ δὲ καὶ ὅλως αὐτὸς ὁρίσαι τὴν χώραν ὁ βασιλεὺς, Ῥωμύλου μὴ βουληθέντος ἐξομολογήσασθαι τῷ μέτρῳ τοῦ οἰκείου τὴν ἀφαίρεσιν τοῦ ἀλλοτρίου· δεσμὸν γὰρ εἶναι τῆς δυνάμεως τὸν ὅρον, ἂν φυλάττηται, μὴ φυλαττόμενον δὲ τῆς ἀδικίας ἔλεγχον. (3) Οὐ μὴν οὐδὲ ἦν δαψιλὴς χώρα τῇ πόλει κατ' ἀρχὰς, ἀλλὰ τὴν πολλὴν αἰχμῇ προσεκτήσατο Ῥωμύλος· καὶ ταύτην πᾶσαν ὁ Νομᾶς διένειμε τοῖς ἀπόροις τῶν πολιτῶν, ὡς ἀνάγκην τῆς ἀδικίας ἀφαιρῶν τὴν ἀπορίαν καὶ τρέπων ἐπὶ γεωργίαν τὸν δῆμον ἅμα τῇ χώρᾳ συνεξημερούμενον. (4) Οὐδὲν γὰρ ἄλλο τῶν ἐπιτηδευμάτων οὕτως ἔρωτα δριμὺν εἰρήνης ἐργάζεται καὶ ταχὺν, ὡς ὁ ἀπὸ γῆς βίος, ἐν ᾧ καὶ τῆς πολεμικῆς εὐτολμίας τὸ μὲν ὑπερμαχικὸν τοῦ οἰκείου διαμένει καὶ πάρεστι, τὸ δὲ εἰς ἀδικίαν καὶ πλεονεξίαν ἀνειμένον ἐκκέκοπται. (5) Διὸ καὶ τὴν γεωργίαν ὁ Νομᾶς οἷον εἰρήνης φίλτρον ἐμμίξας τοῖς πολίταις, καὶ μᾶλλον ὡς ἠθοποιὸν ἢ πλουτοποιὸν ἀγαπήσας τέχνην εἰς μέρη τὴν χώραν διεῖλεν, ἃ πάγους προσηγόρευσε, καὶ καθ' ἕκαστον ἐπισκόπους ἔταξε καὶ περιπόλους. (6) Ἔστι δ' ὅτε καὶ αὐτὸς ἐφορῶν καὶ τεκμαιρόμενος ἀπὸ τῶν

suevissent, vino et melle infecerit, deprehensosque, cum in varias formas transiissent oculisque terribilia spectra objecissent, arctius tamen constrictos se cognoscerent, quam ut effugere possent, cum alia multa futura vaticinatos fuisse, tum fulminum expiationem docuisse, quæ nunc quoque cepis, capillis et mænis conficitur. (5) Hanc expiationem alii non ab ipsis geniis demonstratam, sed Jovem eorum incantationibus cœlo detractum, indignatumque Numæ præcepisse, ut eam perageret capitibus. Quum Numa interrogaret, ceparumne? Jovem dixisse, hominum : Numam autem, ut averteret crudelitatem præcepti, subjunxisse, crinibusne? denique Jove, animatis, addente, Numam adjecisse, mænis : hæc Numam ita ab Egeria instructum intulisse; Jovemque propitium factum discessisse : loco nomen inde Ilicium fuisse impositum et expiationem eo modo fieri consuevisse. (6) Hæc ut sunt fabulosa et ridicula, ita ostendunt, quam de diis opinionem consuetudo ejus ætatis hominibus indiderit. Ipsi quidem Numæ tantum in diis fiduciæ fuisse memorant, ut cum ei aliquando renunciaretur hostes ingruere, subridens dixerit : At ego rem sacram facio.

XVI. Primus Numa, ut memoriæ proditum est, Fidei, Terminique fana condidit, Fideique juramentum Romanis maximum proposuit, quo adhuc utuntur. Termino publice et privatim ad agrorum limites immolant, nostro quidem tempore animata, tum vero citra sanguinem. Numæ enim sapientia ita ferebat, ut terminorum deus, custos pacis, justitiæque testis, purus cædis esset. (2) Agrorum quoque per terminos descriptio tota ad Numam referenda est. Romulus enim noluit mensura ejus, quod suum esset, fateri, quantum aliis abstulisset; limitem enim terminum esse potentiæ, si servetur; sin minus, injuriæ documentum. (3) Et sane initio non erat magnus ager Romanus, sed plurimum ejus Romulus bello paravit. Eum omnem Numa inter inopes divisit cives, paupertate, quæ ad maleficia adigeret, sublata, populum ad agriculturam convertens, ut simul cum tellure is mitesceret. (4) Nullum enim est studium, quod tam acrem tamque celerem pacis amorem hominibus ingeneret, quam victus agricultura quærendus : in quo audacia militaris, quæ in defendendis propriis rebus requiritur, permanet atque adest; quæ vero ad invadenda aliorum bona cupiditati licentiam præbet, excidit̃ur. (5) Quamobrem agriculturam civibus suis Numa, tanquam lis poculum amoris misceret, commendandam ratus (quam artem magis bonorum morum, quam divitiarum effectricem probabat), agros in partes distribuit, quos pagos dixit, quibus singulis inspectores præfecit. (6) Ipse quandoque

ἔργων τοὺς τρόπους τῶν πολιτῶν, τοὺς μὲν εἰς τιμὰς καὶ πίστεις ἀνῆγε, τοὺς δὲ ῥᾳθύμους καὶ ἀμελεῖς ψέγων καὶ κακίζων ἐσωφρόνιζε.

XVII. Τῶν δὲ ἄλλων αὐτοῦ πολιτευμάτων ἡ κατὰ τέχνας διανομὴ τοῦ πλήθους μάλιστα θαυμάζεται. (2) Τῆς γὰρ πόλεως ἐκ δυεῖν γενῶν, ὥσπερ εἴρηται, συνεστάναι δοκούσης, διεστώσης δὲ μᾶλλον καὶ μηδενὶ τρόπῳ μιᾶς γενέσθαι βουλομένης μηδὲ οἷον ἐξαλεῖψαι τὴν ἑτερότητα καὶ διαφορὰν, ἀλλὰ συγκρούσεις ἀπαύστους καὶ φιλονεικίας τῶν μερῶν ἐχούσης, διανοηθεὶς ὅτι καὶ τῶν σωμάτων τὰ φύσει δύσμικτα καὶ σκληρὰ καταθραύοντες καὶ διαιροῦντες ἀναμιγνύουσιν, ὑπὸ μικρότητος ἀλλήλοις συμβαίνοντα μᾶλλον, ἔγνω κατατεμεῖν τομὰς πλείονας τὸ σύμπαν πλῆθος· ἐκ δὲ τούτων εἰς ἑτέρας ἐμβαλὼν διαφορὰς τὴν πρώτην ἐκείνην καὶ μεγάλην ἀφανίσαι ταῖς ἐλάττοσιν ἐνδιασπαρεῖσαν. (3) Ἦν δὲ ἡ διανομὴ κατὰ τὰς τέχνας αὐλητῶν, χρυσοχόων, τεκτόνων, βαφέων, σκυτοτόμων, σκυτοδεψῶν, χαλκέων, κεραμέων. Τὰς δὲ λοιπὰς τέχνας εἰς ταὐτὸ συναγαγὼν ἓν αὐτῶν ἐκ πασῶν ἀπέδειξε σύστημα. (4) Κοινωνίας δὲ καὶ συνόδους καὶ θεῶν τιμὰς ἀποδοὺς ἑκάστῳ γένει πρεποῦσας, τότε πρῶτον ἐκ τῆς πόλεως ἀνεῖλε τὸ λέγεσθαι καὶ νομίζεσθαι τοὺς μὲν Σαβίνους, τοὺς δὲ Ῥωμαίους, καὶ τοὺς μὲν Τατίου, τοὺς δὲ Ῥωμύλου πολίτας· ὥστε τὴν διαίρεσιν εὐαρμοστίαν καὶ ἀνάμιξιν πάντων γενέσθαι πρὸς πάντας. (5) Ἐπαινεῖται δὲ τῶν πολιτικῶν αὐτοῦ καὶ τὸ περὶ τὸν νόμον διόρθωμα, τὸν διδόντα τοῖς πατράσι τοὺς παῖδας πιπράσκειν, ὑπεξελομένου τοὺς γεγαμηκότας, εἰ τοῦ πατρὸς ἐπαινοῦντος καὶ κελεύοντος ὁ γάμος γένοιτο. Δεινὸν γὰρ ἡγεῖτο τὴν ὡς ἐλευθέρῳ γεγαμημένην γυναῖκα δούλῳ συνοικεῖν.

XVIII. Ἥψατο δὲ καὶ τῆς περὶ τὸν οὐρανὸν πραγματείας οὔτε ἀκριβῶς οὔτε παντάπασιν ἀθεωρήτως. (2) Ῥωμύλου γὰρ βασιλεύοντος ἀλόγως ἐχρῶντο τοῖς μησὶ καὶ ἀτάκτως, τοὺς μὲν οὐδὲ εἴκοσιν ἡμερῶν, τοὺς δὲ πέντε καὶ τριάκοντα, τοὺς δὲ πλειόνων λογιζόμενοι· τῆς δὲ γινομένης ἀνωμαλίας περὶ τὴν σελήνην καὶ τὸν ἥλιον ἔννοιαν οὐκ ἔχοντες, ἀλλ' ἓν φυλάττοντες μόνον, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται. (3) Νομᾶς δὲ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἑνδεκα γίνεσθαι λογιζόμενος, ὡς τοῦ μὲν σεληνιακοῦ τριακοσίας πεντήκοντα τέσσαρας ἔχοντος ἡμέρας, τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε, τὰς ἑνδεκα ταύτας ἡμέρας διπλασιάζων ἐπήγαγε παρ' ἐνιαυτὸν ἐπὶ τῷ Φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον, ὑπὸ Ῥωμαίων Μερκηδῖνον καλούμενον, εἴκοσι καὶ δυεῖν ἡμερῶν ὄντα. (4) Καὶ τοῦτο μὲν αὐτῷ τὸ ἴαμα τῆς ἀνωμαλίας μειζόνων ἐμελλεν ἰάματων δεήσεσθαι. Μετεκίνησε δὲ καὶ τὴν τάξιν τῶν μηνῶν· τὸν γὰρ Μάρτιον πρῶτον ὄντα τρίτον ἔταξε, πρῶτον δὲ τὸν Ἰανουάριον, ὃς ἦν ἑνδέκατος ὑπὸ Ῥωμύλου, δωδέκατος δὲ καὶ τελευταῖος ὁ Φεβρουάριος, ᾧ

inspectum venit, conjecturaque morum ex operibus civium facta, aliis honores et fidem habuit, alios socordiæ causa increpatos castigavit.

XVII. Inter reliqua ejus statuta, distributio multitudinis secundum artificia meruit summam admirationem. (2) Cum enim urbs ex duabus gentibus, veluti ostensum est, constare videretur, re autem ipsa dissideret, atque in unum coalescere nullo modo vellet, neque diversitatem et differentiam liceret abolere, sed essent perpetuæ inter partes offensæ atque contentiones : cum animo suo reputans, ea corpora, quæ suapte natura difficulter aliis ob duritiem misceri possent, contracta in particulas, propter harum exiguitatem inter se demum coire atque commisceri posse : statuit universam multitudinem in plures portiones partiri, atque ita primum illud et magnum discrimen in minora tributum e medio tollere. (3) Divisit autem secundum artificia, ut suum peculiare corpus haberent tibicines, suum aurifices, architecti, tinctores, sutores, coriarii, fabri ærarii, figuli : reliquas artes omnes in unum corpus redegit. (4) Porro unicuique generi suos peculiares conventus, et religiones præscribens, tum primum ita ex urbe sustulit eam diversitatem, qua alii Romani, alii Sabini, hi Romuli, illi Tatii cives censebantur : suaque divisione id consecutus est, ut omnibus cum omnibus conveniret, ac commercia intercederent. (5) Laudatur etiam legis correctio ab eo facta, qua patri jus filiorum vendendorum conceditur, ex qua exemit maritos, qui patrum voluntate et jussu uxores duxissent, indignum ratus, mulierem, quæ libero nupsisset, cogi ut cum servo viveret.

XVIII. Cælestium quoque motuum rationem Numa non exacte quidem tractavit, neque inerudite tamen attigit. (2) Sub Romulo mensium nulla ratio constabat, nullus ordo : sed alii paucioribus quam viginti, alii triginta quinque, alii pluribus etiam diebus censebantur; neque varietatem cursuum solis et lunæ intelligebant, sed observabant id unum, ut annus trecentis et sexaginta diebus conficeretur. (3) Numa supputans undecim diebus annum lunarem a solari differre, quod ille diebus trecentis quinquaginta quattuor, hic trecentis sexaginta quinque constaret, duplicavit illos dies undecim et alternis annis post Februarium inseruit mensem intercalarem, qui Romanis Mercedinus dicitur habetque dies viginti et duos. (4) Sed futurum erat ut hæc inæqualitatis correctio majora alia remedia requireret. Ordinem etiam mensium immutavit, Martio, qui ante primus fuerat, tertium tribuens locum, Januario primum, Februario secundum, quorum hic ultimus, ille undecimus.

νῦν δευτέρῳ χρῶνται. (5) Πολλοὶ δέ εἰσιν, οἳ καὶ προστεθῆναι τούτους ὑπὸ Νομᾶ τοὺς μῆνας λέγουσι, τόν τε Ἰανουάριον καὶ τὸν Φεβρουάριον, ἐξ ἀρχῆς δὲ χρῆσθαι δέκα μησὶν εἰς τὸν ἐνιαυτόν· ὡς ἔνιοι τῶν βαρβάρων τρισὶ καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν τέσσαρσιν, ἓξ δὲ Ἀκαρνᾶνες· Αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτὸς, εἶτα τετράμηνος, ὥς φασι. (6) Διὸ καὶ νεωτάτην χώραν οἰκοῦντες ἀρχαιότατοι δοκοῦσιν εἶναι καὶ πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ ταῖς γενεαλογίαις διαφέρουσιν, ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι. b

XIX. Ῥωμαῖοι δὲ ὅτι μὲν δέκα μῆνας εἰς τὸν ἐνιαυτὸν ἔταττον, οὐ δώδεκα, τεκμήριον ἡ τοῦ τελευταίου προσηγορία· δέκατον γὰρ αὐτὸν ἄχρι νῦν καλοῦσιν· ὅτι δὲ τὸν Μάρτιον πρῶτον, ἡ τάξις· τὸν γὰρ ἀπ' ἐκείνου πέμπτον ἑκάλουν πέμπτον· ἕκτον δὲ τὸν ἕκτον καὶ τῶν ἄλλων ἑξῆς ὁμοίως ἕκαστον. (2) Ἐπεὶ τὸν Ἰανουάριον καὶ τὸν Φεβρουάριον πρὸ τοῦ Μαρτίου τιθεμένοις συνέβαινεν αὐτοῖς τὸν εἰρημένον μῆνα, πέμπτον μὲν ὀνομάζειν, ἕβδομον δὲ ἀριθμεῖν. Ἄλλως δὲ καὶ λόγον εἶχε, τὸν Μάρτιον Ἄρεϊ καθιερωμένον ὑπὸ τοῦ Ῥωμύλου πρῶτον ὀνομάζεσθαι· δεύτερον δὲ τὸν Ἀπρίλλιον, ἐπώνυμον ὄντα τῆς Ἀφροδίτης, ἐν ᾧ θύουσί τε τῇ θεῷ καὶ ταῖς καλάνδαις ἐστεφανωμέναι αἱ γυναῖκες μυρσίνῃ λούονται. (3) Τινὲς δὲ οὐ διὰ τὴν Ἀφροδίτην τὸν Ἀπρίλλιον φασὶν, ἀλλ' ὥσπερ ἔχει τοὔνομα ψιλὸν, Ἀπρίλλιον κεκλῆσθαι τὸν μῆνα, τῆς ἐαρινῆς ὥρας ἀκμαζούσης ἀνοίγοντα καὶ ἀνακαλύπτοντα τοὺς βλαστοὺς τῶν φυτῶν· τοῦτο γὰρ ἡ γλῶττα σημαίνει. (4) Τῶν δ' ἐφεξῆς τὸν μὲν Μάϊον καλοῦσιν ἀπὸ Μαίας· Ἑρμῇ γὰρ ἀνιέρωται· τὸν δὲ Ἰούνιον ἀπὸ τῆς Ἥρας. Εἰσὶ δέ τινες οἱ τούτους ἡλικίας ἐπωνύμους εἶναι λέγοντες πρεσβυτέρας καὶ νεωτέρας· μαιώρης γὰρ οἱ πρεσβύτεροι παρ' αὐτοῖς, Ἰουνιώρης δὲ οἱ νεώτεροι καλοῦνται. (5) Τῶν δὲ λοιπῶν ἕκαστον ἀπὸ τῆς τάξεως ὥσπερ ἀριθμοῦντες ὠνόμαζον πέμπτον, ἕκτον, ἕβδομον, ὄγδοον, ἔνατον, δέκατον· εἶτα ὁ πέμπτος ἀπὸ Καίσαρος τοῦ καταγωνισαμένου Πομπήϊον, Ἰούλιος· ὁ ἕκτος δὲ Αὔγουστος ἀπὸ τοῦ δευτέρου μὲν ἄρξαντος, Σεβαστοῦ δὲ ἐπικληθέντος ὠνομάσθη. (6) Τοὺς δὲ ἐφεξῆς Δομετιανὸς εἰσεποίησε ταῖς αὐτοῦ ἐπωνυμίαις οὐ πολὺν χρόνον· ἀλλὰ τὰς αὐτῶν ἀναλαβόντες πάλιν ἐκείνου σφαγέντος ὁ μὲν ἕβδομος, ὁ δὲ ὄγδοος καλοῦνται. Μόνοι δὲ οἱ τελευταῖοι δύο τὴν ἀπὸ τῆς τάξεως κλῆσιν, ὥσπερ ἔσχον ἐξ ἀρχῆς, διεφύλαξαν. (7) Τῶν δὲ ὑπὸ Νομᾶ προστεθέντων ἢ μετατεθέντων ὁ μὲν Φεβρουάριος, οἷον καθάρσιος ἄν τις εἴη· καὶ γὰρ ἡ λέξις ἔγγιστα τοῦτο σημαίνει καὶ τοῖς φθιτοῖς ἐναγίζουσι τότε καὶ τὴν τῶν Λουπερκαλίων ἑορτὴν εἰς τὰ πολλὰ καθαρμῷ προσεοικυῖαν τελοῦσιν. (8) Ὁ δὲ πρῶτος Ἰανουάριος ἀπὸ τοῦ Ἰανοῦ. Δοκεῖ δέ μοι τὸν Μάρτιον ὁ Νομᾶς, ἐπώνυμον ὄντα τοῦ Ἄρεος, ἐκ τῆς προεδρίας μεταστῆσαι βουλόμενος ἐν παντὶ τῆς πολεμικῆς δυνάμεως προτιμᾶσθαι τὴν πολιτικήν. Ὁ γὰρ Ἰανος ἐν τοῖς παλαιοῖς πάνυ εἴτε δαίμων εἴτε βασιλεὺς γενόμενος πολιτικὸς καὶ κοινωνικὸς ἐκ τοῦ θηριώδους c d e f

Romuli temporibus fuerat. (5) Multi Januarium ac Februarium additos reliquis a Numa dicunt : Romanos enim initio decem tantum mensibus annum composuisse, ut quidam barbari tribus, de Græcis Arcades quattuor, Acarnanes sex, Ægyptii unico, ac deinde quattuor, ut traditur. (6) Unde fit ut hi quanquam novissimam terram incolunt, vetustissimi tamen putentur esse, ingentem annorum multitudinem in recensionibus generum afferentes, quippe qui menses in annorum numero ponant.

XIX. Romanos porro non duodecim, sed decem principio menses anni unius constituisse, nomen postremi mensis declarat, qui in hunc usque diem December nominatur : itemque Martium primum fuisse in ordine, ex eo liquet, quod quintum ab eo, Quintilem, sextum Sextilem, et sic porro dixerunt. (2) Nam Januario et Februario ante Martium positis, usu veniebat ut Quintilem eum dicerent, qui septimus numeraretur. Alioquin est etiam rationi consentaneum, Martium mensem a Romulo primum nominatum fuisse, quippe Marti consecratum : secundum Aprilem, qui nomen a Venere, quam Aphroditen Græci dicunt, traheret : sacra enim deæ hoc mense fiunt et kalendis hujus mensis mulieres myrto coronatæ lavantur. (3) Alii non a Venere nomen sumptum affirmant, sed ab eo, quod ipsum vocabulum significat : scilicet quod vere augescente germina plantarum *aperiat*. (4) De sequentibus mensibus Majum a Maja nominavere, Mercurio enim sacer est. Junium a Junone. Sunt qui hos duos ab ætatibus vocabula invenisse putent, majorum videlicet et juniorum; dicuntur enim qui provectiores ætate sunt, *majores*; *juniores*, qui minores. (5) Reliqui ab ordine nuncupantur, Quintilis, Sextilis, September, October, November, December. Postmodo Quintilis a Julio Cæsare, qui Pompeium evertit, Julius; Sextilis a secundo Imperatore Augusto, Augustus appellatus fuit. (6) Septembrem et Octobrem Domitianus suis cognomentis insignivit : sed non diu ita vocati sunt, statimque post cædem ejus pristina nomina recuperarunt. Soli postremi duo semper suas appellationes obtinuerunt. (7) Mensium a Numa sive additorum sive transpositorum alter Februarius quasi lustralis quidam dictus est : expiationem enim fere februa significant, et tunc mortuis parentant, et Lupercalia peragunt, purgationis sacrificio quam simillima. (8) At Januarius primus mensis a Jano nomen habet. Videturque mihi Numa Martium, quod a Marte diceretur, primo loco movisse, ut ostenderet omnibus in rebus civilem virtutem bellica potiorem esse. Nam Janus inter antiquissimos, sive deos sive reges, unus fuisse perhibetur civilis societatis et cœtus hominum studiosus,

καὶ ἀγρίου λέγεται μεταβαλεῖν τὴν δίαιταν. (9) Καὶ διὰ τοῦτο πλάττουσιν αὐτὸν ἀμφιπρόσωπον, ὡς ἑτέραν ἐξ ἑτέρας τῷ βίῳ περιποιήσαντα τὴν μορφὴν καὶ διάθεσιν.

qui vitæ rationem belluinam et feram humanam reddiderit.

(9) Ideo eum bifrontem fingunt, ut qui vitæ aliam quam ante fuerit faciem atque formam induxerit.

XX. Ἔστι δὲ αὐτοῦ καὶ νεὼς ἐν Ῥώμῃ δίθυρος, ὃν πολέμου πύλην καλοῦσι. Νομίζεται γὰρ ἀνεῳχθαι μὲν αὐτὸν ὅταν ᾖ πόλεμος, κεκλεῖσθαι δὲ εἰρήνης γενομένης. (2) Ὃ δὴ χαλεπὸν ἦν καὶ σπανίως γινόμενον, ἀεί τινι συνηρτημένης πολέμῳ τῆς ἡγεμονίας, διὰ μέγεθος τοῖς κύκλῳ περιεχυμένοις γένεσι βαρβάροις ἀντερειδούσης. Πλὴν ἐπί γε τοῦ Σεβαστοῦ Καίσαρος ἐκλείσθη καθελόντος Ἀντώνιον· καὶ πρότερον ὑπατευόντων Μάρκου Ἀτιλίου καὶ Τίτου Μαλλίου χρόνον οὐ πολύν· εἶτα εὐθὺς ἀνεῴχθη πολέμου συῤῥαγέντος. (3) Ἀλλ' ἐπί γε τῆς Νομᾶ βασιλείας οὐδεμίαν ἡμέραν ἀνεῳγμένος ὤφθη, τρία δὲ καὶ τετταράκοντα ἔτη συνεχῶς ἔμεινε κεκλεισμένος· οὕτως ἐξήρητο παντελῶς τὰ τοῦ πολέμου καὶ πανταχόθεν. (4) Οὐ γὰρ μόνον ὁ Ῥωμαίων ἡμέρωτο καὶ κατακεκήλητο τῇ δικαιοσύνῃ καὶ πραότητι τοῦ βασιλέως δῆμος, ἀλλὰ καὶ τὰς κύκλῳ πόλεις, ὥσπερ αὔρας τινὸς ἐκεῖθεν ἢ πνεύματος ὑγιεινοῦ φέροντος, ἀρχὴ μεταβολῆς ἔλαβε καὶ πόθος εἰσέρρύη πάντας εὐνομίας καὶ εἰρήνης καὶ γῆν φυτεύειν καὶ τέκνα τρέφειν ἐν ἡσυχίᾳ καὶ σέβεσθαι θεούς. (5) Ἑορταὶ δὲ καὶ θαλίαι καὶ παρ' ἀλλήλους ἀδεῶς ἰόντων καὶ ἀναμιγνυμένων ὑποδοχαὶ καὶ φιλοφροσύναι τὴν Ἰταλίαν κατεῖχον, οἷον ἐκ πηγῆς τῆς Νομᾶ σοφίας τῶν καλῶν καὶ δικαίων ἐπεισρεόντων εἰς ἅπαντας καὶ διαδεχομένης τῆς περὶ ἐκεῖνον γαλήνης· ὥστε καὶ τὰς ποιητικὰς ὑπερβολὰς ἐνδεῖν πρὸς τὴν τότε κατάστασιν λέγουσιν. « Ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν ἀρα« χνᾶν ἔργα, » καὶ « εὐρὼς δάμναται ἔγχεά τε λογχωτὰ « ξίφεά τ' ἀμφήκεα, χαλκέων δὲ οὐκέτι σαλπίγγων κτύ« πος οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων. » (6) Οὔτε γὰρ πόλεμος οὔτε στάσις οὔτε νεωτερισμὸς περὶ πολιτείαν ἱστόρηται Νομᾶ βασιλεύοντος· οὐ μὴν οὐδ' ἐπ' αὐτὸν ἐκεῖνον ἔχθρα τις ἢ φθόνος ἢ δι' ἔρωτα βασιλείας ἐπιβουλὴ καὶ σύστασις ἀνδρῶν. (7) Ἀλλ' εἴτε φόβος θεῶν προκήδεσθαι δοκούντων τοῦ ἀνδρὸς εἴτε τῆς ἀρετῆς αἰδὼς εἴτε δαίμονος τύχη, πάσης κακίας ἄθικτον ἐπ' ἐκείνου καὶ καθαρὸν διαφυλάττουσα τὸν βίον, ἐναργὲς ἐξήνεγκε παράδειγμα καὶ τεκμήριον τῆς Πλατωνικῆς φωνῆς, ἣν ὕστερον ἐκεῖνος οὐκ ὀλίγοις χρόνοις γενόμενος ἐτόλμησεν ἀφεῖναι περὶ πολιτείας, ὡς μία κακῶν παῦλα καὶ λύσις ἀνθρώποις ἐστὶν, ἐκ τινος τύχης θείας εἰς ταὐτὸ διανοίᾳ φιλοσόφῳ βασιλικὴν συμπεσοῦσαν δύναμιν, ἐγκρατῆ καὶ ὑπερδέξιον τῆς κακίας τὴν ἀρετὴν καταστῆσαι. Μακάριος μὲν γὰρ αὐτὸς ὁ σώφρων ὡς ἀληθῶς, μακάριοι δὲ οἱ συνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων. (8) Τάχα γὰρ οὐδὲ ἀνάγκης τινὸς δεῖ πρὸς τοὺς πολλοὺς οὐδὲ ἀπειλῆς· αὐτοὶ δὲ τὴν ἀρετὴν ἐν εὐδήλῳ παραδείγματι καὶ λαμπρῷ τῷ βίῳ τοῦ ἄρχοντος ὁρῶντες, ἑκουσίως σωφρονοῦσι καὶ συμμετασχηματίζονται πρὸς τὸν ἐν φιλίᾳ καὶ

XX. Templum habet Romæ duabus januis clausum, quæ belli portæ dicuntur; statutum est ut, quando bellum geritur, aperiatur id templum, pace reddita claudatur. (2) Hoc posterius difficile fuit et raro contigit, propterea quod Romanum imperium nunquam non aliquo bello occupatum est, cum propter amplitudinem suam a circumfusis in orbem barbaris identidem infestetur. Clausum est tamen sub Augusto Cæsare, cum is Antonium debellasset; et prius etiam M. Atilio, T. Manlio Coss.; mox tamen iterum exarsit bellum, propter quod apertum fuit. (3) Ceterum quamdiu Numa regnavit, nullam omnino diem apertum est, totis quadraginta tribus annis continenter clausum; adeo is omnes ubique belli occasiones exstirpavit. (4) Neque enim Romanus tantum populus justitia et tranquillitate regis mansuefactus et placatus fuit, sed et ad circumjacentes urbes initium mutationis, tanquam ab aura quadam vel spiritu salubri inde dilatum, pervenit, incessitque eorum animis desiderium legum et pacis, agriculturæque, et liberos in otio educandi, deosque colendi. (5) Agebantur per universam Italiam festi dies, tutoque invicem convenientium hospitia et convivia, e sapientia Numæ tanquam fonte aliquo emanante in omnes studio rerum honestarum ac justitiæ tranquillitateque Romana inde ad omnes serpente. Itaque et poetarum nimiæ illæ alioquin et veritatem superantes amplificationes tum nimis parcæ videbantur :

In ferreis hic compedibus ferox
Mavors tenetur; nunc et aranea
suffusca contos hic inani
implicat et fera pila filo:
rubigoque enses exedit hic scabros:
terrent acuto nec litui sono:
non jam tubæ dulcem canoræ
excutiunt oculis soporem.

(6) Neque enim narratur bellum ullum, aut seditio, aut novandarum rerum studium in republica exstitisse Numa regnante : neque adversus ipsum inimicitia, aut invidia, aut propter cupiditatem regni insidiæ conspiratiove oborta est. (7) Sed sive metus deorum, quos viri ejus curam gerere opinarentur, sive reverentia virtutis, sive fortuna, vitam sub eo integram scelerum, puramque a malitia servavit; in quibus omnibus evidens fuit exemplum argumentumque Platonici illius dicti, quod ille haud parvo post tempore ausus fuit de republica pronuntiare : hac nimirum unica ratione homines a malis liberari solvique posse, si divino quodam fato in eodem homine animus philosophicus atque potentia regia concurrant, eaque virtutem improbitate superiorem reddant; nam profecto et ipsum ea virtute præditum regem, beatum fore, et omnes qui sermones ex ejus ore exeuntes audiant. (8) Nam vix ibi vi opus est aut minis ad regendam multitudinem, sed ipsi cum in illustri atque splendido exemplari principis virtutem propositam conspiciant, ultro sapientes evadunt, ac se ad id vitæ genus comparant, in quo cum mutua amicitia et concordia juste

ὁμονοίᾳ τῇ πρὸς αὐτοὺς μετὰ δικαιοσύνης καὶ μετριότητος ἀμύμονα καὶ μακάριον βίον, ἐν ᾧ τὸ κάλλιστον ἁπάσης πολιτείας τέλος ἐστίν· καὶ βασιλικώτατος ἁπάντων ὁ τοῦτον τὸν βίον καὶ ταύτην τὴν διάθεσιν τοῖς ὑπηκόοις ἐνεργάσασθαι δυνάμενος. Ταῦτα μὲν οὖν Νομᾶς παντὸς μᾶλλον φαίνεται συνεωρακώς.

XXI. Περὶ δὲ παίδων αὐτοῦ καὶ γάμων ἀντιλογίαι γεγόνασι τοῖς ἱστορικοῖς. Οἱ μὲν γὰρ οὔτε γάμον f ἄλλον ἢ τὸν Τατίας λαβεῖν αὐτὸν οὔτε παιδὸς ἑτέρου γενέσθαι πατέρα πλὴν μιᾶς θυγατρὸς Πομπιλίας λέγουσιν· οἱ δὲ πρὸς ταύτῃ τέτταρας υἱοὺς ἀναγράφουσιν αὐτοῦ, Πόμπωνα, Πῖνον, Κάλπον, Μάμερκον, ὧν ἕκαστον οἴκου διαδοχὴν καὶ γένους ἐντίμου καταλιπεῖν. Εἶναι γὰρ ἀπὸ μὲν τοῦ Πόμπωνος τοὺς Πομπωνίους, ἀπὸ δὲ Πίνου τοὺς Πιναρίους, ἀπὸ δὲ Κάλπου τοὺς Καλπουρνίους, ἀπὸ δὲ Μαμέρκου τοὺς Μαμερκίους· 74οἷς διὰ τοῦτο καὶ Ῥῆγας γενέσθαι παρωνύμιον, ὅπερ a ἐστὶ βασιλέας. (2) Τρίτοι δέ εἰσιν οἱ τούτων μὲν κατηγοροῦντες, ὡς χαριζομένων τοῖς γένεσι καὶ προστιθέντων οὐκ ἀληθῆ στέμματα τῆς ἀπὸ Νομᾶ διαδοχῆς, τὴν δὲ Πομπιλίαν οὐκ ἐκ Τατίας γεγονέναι λέγοντες, ἀλλ' ἐξ ἑτέρας γυναικὸς, ἣν ἤδη βασιλεύων ἔγημε, Λουκρητίας· πάντες δ' οὖν ὁμολογοῦσι, τὴν Πομπιλίαν Μαρκίῳ γαμηθῆναι. (3) Παῖς δὲ ἦν ὁ Μάρκιος ἐκείνου Μαρκίου τοῦ Νομᾶν παρορμήσαντος ἐπὶ τὴν βασιλείαν. Καὶ γὰρ συμμετῴκησεν εἰς Ῥώμην αὐτῷ καὶ τῆς συγκλήτου μετέσχε τιμώμενος, καὶ μετὰ τὴν Νομᾶ τελευτὴν Ὁστιλίῳ περὶ τῆς βασιλείας εἰς ἀγῶνα καταστὰς καὶ ἡττηθεὶς ἀπεκαρτέρησεν. (4) Ὁ δὲ υἱὸς αὐ- b τοῦ Μάρκιος ἔχων τὴν Πομπιλίαν κατέμεινεν ἐν Ῥώμῃ καὶ Μάρκιον Ἄγκον ἐγέννησεν, ὃς μετὰ Τύλλον Ὁστίλιον ἐβασίλευσε. Τοῦτον, ὡς λέγεται, πενταετῆ καταλιπὼν ὁ Νομᾶς ἐτελεύτησεν, οὐ ταχείας οὐδ' αἰφνιδίου γενομένης αὐτῷ τῆς τελευτῆς, ἀλλὰ κατὰ μικρὸν ὑπὸ γήρως καὶ νόσου μαλακῆς ἀπομαραινόμενος, ὡς ἱστόρηκε Πείσων. Ἐτελεύτησε δὲ χρόνον οὐ πολὺν τοῖς ὀγδοήκοντα προσβιώσας.

XXII. Ζηλωτὸν δὲ αὐτοῦ καὶ τῷ τάφῳ τὸν βίον ἐποίησαν οἵ τε σύμμαχοι καὶ φίλοι δῆμοι συνελθόντες ἐπὶ τὰς ταφὰς ἅμα δημοσίαις ἐπιφοραῖς καὶ στεφάνοις, οἵ τε πα- c τρίκιοι τὸ λέχος ἀράμενοι καὶ συμπαρόντες οἱ τῶν θεῶν ἱερεῖς καὶ παραπέμποντες, ὁ δ' ἄλλος ὅμιλος ἀναμεμιγμένων γυναικῶν καὶ παίδων οὐχ ὡς βασιλέως ταφαῖς γηραιοῦ παρόντες, ἀλλ' ὥς τινα τῶν φιλτάτων ἕκαστος ἐν ἀκμῇ βίου ποθούμενον θάπτων μετ' οἰμωγῆς καὶ κλαυθμῶν ἑπόμενοι. (2) Πυρὶ μὲν οὐκ ἔδοσαν τὸν νεκρὸν αὐτοῦ κωλύσαντος, ὡς λέγεται· δύο δὲ ποιησάμενοι λιθίνας σοροὺς ὑπὸ τὸ Ἰάνοκλον ἔθηκαν, τὴν μὲν ἑτέραν ἔχουσαν τὸ σῶμα, τὴν δὲ ἑτέραν τὰς ἱερὰς βίβλους, ἃς ἐγράψατο μὲν αὐτὸς, ὥσπερ οἱ τῶν Ἑλλήνων νομοθέται τοὺς κύρβεις, ἐκδιδάξας δὲ τοὺς ἱερεῖς d ἔτι ζῶν τὰ γεγραμμένα καὶ πάντων ἔξιν τε καὶ γνώμην ἐνεργασάμενος αὐτοῖς ἐκέλευσε τὰς ἱερὰς βίβλους συνταφῆναι μετὰ τοῦ σώματος, ὡς οὐ καλῶς ἐν ἀψύχοις

et moderate, inculpati atque beati vivere possint, quo in genere vitæ finis pulcherrimus totius reipublicæ constitutus est, isque vere præ omnibus aliis regiæ naturæ homo, qui subditos in hanc sententiam atque hoc vitæ institutum perducere suos potest. Hæc quidem Numa omnium maxime perspecta habuisse videtur.

XXI. Porro autem de liberis ejus atque conjugiis inter scriptores sunt controversiæ. Quidam neque aliam post Tatiam ab eo uxorem ductam, neque præter filiam Pompiliam alios ei fuisse liberos affirmant. Alii præter hanc quattuor ei filios adscribunt, Pomponem, Pinum, Calpum, ac Mamercum, ab iisque singulis illustres familias propagatas fuisse tradunt: a Pompone Pomponiam, a Pino Pinariam, a Calpo Calpurniam, a Mamerco Mamerciam, cui quidem propter hanc ipsam causam Regum cognomen fuerit. (2) Tertia opinio est eorum, qui reprehendentes hos, quod in gratiam earum gentium, earum originem falso ad stirpem Numæ referant: ipsi Pompiliam non Tatia natam, sed Lucretia asserunt, quam rex jam factus Numa duxerit. (3) Hoc apud omnes in confesso est, Pompiliam Marcio nupsisse. Is fuit filius Marcii ejus, qui ad regnum suscipiendum Numam instigavit, cum eoque Romam commigravit, et honoris causa in senatum adscitus, Numa mortuo, cum Hostilio de regno contendit, victusque voluntaria morte obiit. (4) Ejus filius in matrimonio habuit Pompiliam, ex eaque genuit Ancum Marcium, qui Tullo Hostilio in regno successit. Hunc (ita enim traditur) quinquennem reliquit Numa moriens. Concessit autem fato non repente, sed paulatim senio et morbo non acri absumptus, ut Piso narrat; vixit non diu ultra octogesimum ætatis annum.

XXII. Quanta fuerit in admiratione, ex sepultura ejus patuit. Ad eam populi fœdere amicitiaque Romanis juncti cum donis publice missis et coronis convenerunt: lectum patricii tulerunt, sacerdotes adfuere eumque secuti sunt, itemque reliqua multitudo, mulieribus et liberis admixtis; neque intererant, quasi regem senem si humarent, sed unusquisque quasi suorum carissimorum aliquem florente ætate mortuum terræ mandaret, cum ejulatu et fletu funus ducebant. (2) Corpus crematum non est, quod ipse, ut fertur, prohibuerit: duas autem lapideas arcas confecere, et sub Janiculo posuerunt: in quarum altera corpus ejus condebatur, in altera libri sacri; ipse enim eos quemadmodum Græcorum legislatores tabulas, quas Cyrbes vocant, composuerit, ac cum vivus adhuc sacerdotes ea quæ in iis scripserat docuisset intelligentiamque et usum eorum tradidisset, secum sepeliri jusserat, existimans non recte

γράμμασι φρουρουμένων τῶν ἀποῤῥήτων. (3) Ὧ λογισμῷ φασι μηδὲ τοὺς Πυθαγορικοὺς εἰς γραφὴν κατατίθεσθαι τὰ συντάγματα, μνήμην δὲ καὶ παίδευσιν αὐτῶν ἄγραφον ἐμποιεῖν τοῖς ἀξίοις. Καὶ τῆς γε περὶ τὰς ἀπόρους καὶ ἀῤῥήτους λεγομένας ἐν γεωμετρίᾳ μεθόδους πραγματείας πρός τινα τῶν ἀναξίων ἐκδοθείσης ἔφασαν ἐπισημαίνειν τὸ δαιμόνιον μεγάλῳ τινὶ καὶ κοινῷ κακῷ τὴν γεγενημένην παρανομίαν καὶ ἀσέβειαν ἐπερχόμενον. Ὥστε συγγνώμην ἔχειν πολλὴν τοῖς εἰς τὸ αὐτὸ Πυθαγόρᾳ Νομᾶν φιλοτιμουμένοις συνάγειν ἐπὶ τοσαύταις ὁμοιότησιν. (4) Οἱ δὲ περὶ Ἀντίαν ἱστοροῦσι δώδεκα μὲν εἶναι βίβλους ἱεροφαντικὰς, δώδεκα δὲ ἄλλας Ἑλληνικὰς φιλοσόφους τὰς εἰς τὴν σορὸν συντεθείσας. Τετρακοσίων δέ που διαγενομένων ἐτῶν ὕπατοι μὲν ἦσαν Πόπλιος Κορνήλιος καὶ Μάρκος Βαίβιος· ὄμβρων δὲ μεγάλων ἐπιπεσόντων καὶ χώματος περιῤῥαγέντος ἐξέωσε τὰς σοροὺς τὸ ῥεῦμα· καὶ τῶν ἐπιθημάτων ἀποπεσόντων ἡ μὲν ἑτέρα κενὴ παντάπασιν ὤφθη καὶ μέρος οὐδὲν οὐδὲ λείψανον ἔχουσα τοῦ σώματος· ἐν δὲ τῇ ἑτέρᾳ τῶν γραμμάτων εὑρεθέντων ἀναγνῶναι μὲν αὐτὰ λέγεται Πετίλιος στρατηγῶν τότε, πρὸς δὲ τὴν σύγκλητον κομίσαι, μὴ δοκεῖν αὐτῷ θεμιτὸν εἶναι λέγων μηδὲ ὅσιον ἔκπυστα τοῖς πολλοῖς τὰ γεγραμμένα γενέσθαι· διὸ καὶ κομισθείσας εἰς τὸ Κομίτιον τὰς βίβλους κατακαῆναι. (5) Πᾶσι μὲν οὖν ἕπεται τοῖς δικαίοις καὶ ἀγαθοῖς ἀνδράσι μείζων ὧν κατόπιν ὁ μετὰ τὴν τελευτὴν ἔπαινος τοῦ φθόνου πολὺν χρόνον οὐκ ἐπιζώντος, ἐνίων δὲ καὶ προαποθνήσκοντος. Οὐ μὴν ἀλλ' ἐκείνου γε τὴν δόξαν αἱ τῶν ὕστερον βασιλέων τύχαι λαμπροτέραν ἐποίησαν. (6) Πέντε γὰρ γενομένων μετ' αὐτὸν ὁ μὲν ἔσχατος ἐκπεσὼν τῆς ἀρχῆς ἐν φυγῇ κατεγήρασε· τῶν δὲ τεσσάρων οὐδεὶς κατὰ φύσιν ἐτελεύτησεν· ἀλλ' οἱ μὲν τρεῖς ἐπιβουλευθέντες ἐσφάγησαν· (7) Ὁστίλιος δὲ Τύλλος, ὃς μετὰ Νομᾶν ἐβασίλευσε καὶ τὰ πλεῖστα τῶν ἐκείνου καλῶν, ἐν δὲ πρώτοις καὶ μάλιστα τὴν περὶ τὸ θεῖον εὐλάβειαν ἐπιχλευάσας καὶ καθυβρίσας, ὡς ἀργοποιὸν καὶ γυναικώδη, πρὸς πόλεμον ἔτρεψε τοὺς πολίτας, οὐδ' αὐτὸς μὲν οὖν ἐνέμεινε τοῖς νεανιεύμασι τούτοις, ἀλλ' ὑπὸ νόσου χαλεπῆς καὶ πολυτρόπου τὴν γνώμην ἀλλασσόμενος εἰς δεισιδαιμονίαν ἐνέδωκεν οὐδέν τι τῇ κατὰ Νομᾶν εὐσεβείᾳ προσήκουσαν· ἔτι δὲ μᾶλλον ἐνεποίησε τοῖς ἄλλοις τὸ τοιοῦτον πάθος, ὡς λέγεται καταφλεχθεὶς ὑπὸ κεραυνῶν.

arcana inanimatis literis committi. (3) Eodem consilio adducti Pythagorici nihil scriptis mandasse traduntur, sed suam doctrinam memoria et institutione iis, quos dignos judicarent, absque literarum officio tradidisse; doctrina et tractatione geometrica obscura illa et arcana cuidam indigno communicata, dixisse eos portendi divinitus scelus hoc et impietatem magno et communi aliquo malo vindicatum iri: ut hujusmodi inter Pythagoram Numamque similitudines magnopere videantur facere ad eos excusandos, qui hos viros congressos inter se fuisse adseverant. (4) Valerius Antias auctor est, duodecim libros de ceremoniis, totidemque alios Græco sermone de philosophia conscriptos, cum Numa terræ mandatos fuisse: quadringentis autem ab eo tempore elapsis annis, P. Cornelio et M. Bæbio Coss. vehementibus imbribus effusis, tumuloque eorum impetu aperto, arcas illas vi inundationis ejectas, deturbatisque operculis alteram penitus vacuam, nullamque in ea particulam, nullas reliquias corporis repertas; in altera libros inventos, lectosque Petilium, tum prætura gerentem, statim ad senatum detulisse, quod nefas diceret ea, quæ iis in libris continebantur, multitudini innotescere: ita factum ut libri in Comitium allati ac combusti sint. (5) Equidem omnes justos bonosque viros major post mortem sequitur laus, invidia non multum post illos temporis supervivente, nonnunquam etiam ante exitum eorum moriente; sed Numæ gloriam præterea quoque regum succedentium fortuna illustriorem reddidit. (6) Quinque enim eum secuti sunt reges, quorum postremus regno ejectus in exilio consenuit: reliquorum quattuor nullus mortem secundum naturæ leges obiit. Nam tres per insidias sunt jugulati; (7) Tullus Hostilius, qui Numæ regnum excepit, cum pleraque ejus instituta, præsertim quæ ad religionem facerent, risu et contemptu prosequeretur, quod inde homines ignavos reddi effeminarique putaret, ad bellum cives suos convertit; neque tamen ipse in suo audaci instituto perrexit, sed morbo gravi ac multiplici ad mutandam sententiam compulsus, superstitioni sese dedidit a Numæ religione prorsus alienæ: impertiitque etiam populo eo magis talem superstitionem, siquidem traditur fulmine percussus conflagrasse.

ΛΥΚΟΥΡΓΟΥ ΚΑΙ ΝΟΜΑ ΣΥΓΚΡΙΣΙΣ.

Ἀλλ' ἐπεὶ τὸν Νομᾶ καὶ Λυκούργου διεληλύθαμεν βίον, ἐκκειμένων ἀμφοῖν, εἰ καὶ χαλεπὸν ἔργον, οὐκ ἀποκνητέον συναγαγεῖν τὰς διαφοράς. (2) Αἱ μὲν γὰρ κοινότητες ἐπιφαίνονται ταῖς πράξεσιν, οἷον ἡ σωφροσύνη τῶν ἀνδρῶν, ἡ εὐσέβεια, τὸ πολιτικὸν, τὸ παιδευ-

LYCURGI ET NUMÆ COMPARATIO.

Proinde quoniam Lycurgi et Numæ vitas exposuimus, difficultate rei nos absterreri non convenit, quo minus quid inter illos fuerit discriminis, colligamus. (2) Nam quæ inter se communia habuerint, ex ipsis eorum actionibus apparet, ut est moderatio, ut pietas, ut prudentia civilis, ut disciplinæ

τεκὸν, τὸ μίαν ἀρχὴν παρὰ τῶν θεῶν ἀμφοτέρους λαβεῖν τῆς νομοθεσίας· τῶν δὲ ἰδίᾳ ἑκατέρου καλῶν πρῶτόν ἐστι Νομᾶ μὲν ἡ παράληψις τῆς βασιλείας, Λυκούργῳ δὲ ἡ παράδοσις. Ὁ μὲν γὰρ οὐκ αἰτῶν ἔλαβεν, ὁ δὲ ἔχων ἀπέδωκε. (3) Καὶ τὸν μὲν ἕτεροι κύριον αὐτῶν κατέστησαν ἰδιώτην καὶ ξένον ὄντα· ὁ δὲ αὐτὸς αὑτὸν ἰδιώτην ἐκ βασιλέως ἐποίησε. (4) Καλὸν μὲν οὖν τὸ κτήσασθαι δικαιοσύνῃ τὴν βασιλείαν, καλὸν δὲ τὸ προτιμῆσαι τὴν δικαιοσύνην τῆς βασιλείας. Ἡ γὰρ ἀρετὴ τὸν μὲν οὕτως ἔνδοξον κατέστησεν, ὥστε βασιλείας ἀξιωθῆναι, τὸν δὲ οὕτω μέγαν ἐποίησεν, ὥστε βασιλείας καταφρονῆσαι. (5) Δεύτερον τοίνυν, ἐπεὶ καθάπερ ἁρμονικοῖ λύρας, ὁ μὲν ἐκλελυμένην καὶ τρυφῶσαν ἐπέτεινε περὶ τὴν Σπάρτην, ὁ δὲ τῆς Ῥώμης τὸ σφοδρὸν ἀνῆκε καὶ σύντονον, ἡ μὲν χαλεπότης τοῦ ἔργου τῷ Λυκούργῳ πρόσεστιν. (6) Οὐ γὰρ θώρακας ἐκδῦναι καὶ ξίφη τοὺς πολίτας καταθέσθαι ἔπειθεν, ἀλλὰ χρυσὸν καὶ ἄργυρον ἀφεῖναι καὶ στρωμνὰς ἐκβαλεῖν πολυτελεῖς καὶ τραπέζας· οὐδὲ παυσαμένους πολέμων ἑορτάζειν καὶ θύειν, ἀλλὰ δεῖπνα καὶ πότους ἐάσαντας ἐν τοῖς ὅπλοις καὶ ταῖς παλαίστραις διαπονεῖσθαι καὶ ἀσκεῖν. (7) Ὅθεν ὁ μὲν δι' εὐνοίας καὶ τιμῆς ἅπαντα πείθων ἔπραξεν, ὁ δὲ κινδυνεύων καὶ βαλλόμενος μόγις ἐπεκράτησεν. Ἥμερος μέντοι καὶ φιλάνθρωπος ἡ τοῦ Νομᾶ μοῦσα πρὸς εἰρήνην καὶ δικαιοσύνην μεθαρμοσαμένου καὶ καταπραΰναντος ἐξ ἀκράτων καὶ διαπύρων ἠθῶν τοὺς πολίτας. (8) Εἰ δὲ καὶ τὸ περὶ τοὺς Εἵλωτας ἀναγκάσει τις ἡμᾶς εἰς τὴν Λυκούργου θέσθαι πολιτείαν, ὠμότατον ἔργον καὶ παρανομώτατον, μακρῷ τινι τὸν Νομᾶν ἑλληνικώτερον γεγονέναι νομοθέτην φήσομεν, ὅς γε καὶ τοὺς ὡμολογημένους δούλους ἔγευσε τιμῆς ἐλευθέρας, ἐν τοῖς Κρονίοις ἑστιᾶσθαι μετὰ τῶν δεσποτῶν ἀναμεμιγμένους ἐθίσας. (9) Καὶ γὰρ τοῦτο τῶν Νομᾶ πατρίων ἓν εἶναι λέγουσιν, ἐπὶ τὰς τῶν ἐτησίων ἀπολαύσεις καρπῶν τοὺς συνεργοὺς παραλαμβάνοντος. Ἔνιοι δὲ τοῦτο ὑπόμνημα τῆς Κρονικῆς ἐκείνης ἰσονομίας ἀποσώζεσθαι μυθολογοῦσιν, ὡς μηδενὸς δούλου μηδὲ δεσπότου, πάντων δὲ συγγενῶν καὶ ἰσοτίμων νομιζομένων.

II. Ὅλως δὲ φαίνονται πρὸς τὴν αὐτάρκειαν ἀμφότεροι καὶ σωφροσύνην ὁμοίως ἄγοντες τὰ πλήθη· τῶν δὲ ἄλλων ἀρετῶν ὁ μὲν τὴν ἀνδρείαν μᾶλλον, ὁ δὲ τὴν δικαιοσύνην ἠγαπηκώς· εἰ μὴ νὴ Δία διὰ τὴν ὑποκειμένην τῶν πολιτευμάτων ἑκατέρου φύσιν ἡ συνήθειαν οὐχ ὁμοίαν οὖσαν, ἀνομοίας ἔδει παρασκευῆς. (2) Οὔτε γὰρ Νομᾶς διὰ δειλίαν κατέλυσε τὸ πολεμεῖν, ἀλλ' ἐπὶ τῷ μὴ ἀδικεῖν, οὔτε Λυκοῦργος εἰς ἀδικίαν κατεσκεύασε πολεμικοὺς, ἀλλ' ὑπὲρ τοῦ μὴ ἀδικεῖσθαι. Τὰς οὖν ὑπερβολὰς ἀφαιροῦντες ἀμφότεροι καὶ τὰς ἐνδείας ἀνεπλήρουν τῶν ὑπαρχόντων περὶ τοὺς πολίτας ἠναγκάζοντο μεγάλαις χρῆσθαι μεταβολαῖς. (3) Καὶ μὴν τῆς τε διατάξεως καὶ τῆς διαιρέσεως τῶν πολιτευμάτων, ὀχλικὴ μὲν ἀκράτως ἡ τοῦ Νομᾶ καὶ θεραπευτικὴ τοῦ πλήθους, ἐκ χρυσοχόων καὶ αὐλητῶν καὶ σκυ-

instituendæ peritia, et quod uterque suarum legum condendarum principium a deo sumpserit. Quibus vero alter alteri antecelluit, ex eorum numero est primum, quod Numa regnum accepit, Lycurgus dimisit; alter non petitum inivit, alter cum haberet in sua potestate, tradidit. (3) Alterum dominum sibi alii, privatum atque peregrinum quantumvis, delegerunt; alter ex rege se ipsum privatum fecit. (4) Pulchrum quidem est, justitia regnum adipisci, pulchrum etiam, regno justitiam anteponere; nam virtus alterum ita illustrem reddidit, ut regno dignus judicaretur, alterum ita magnum, ut id contemneret. (5) Deinde quasi lyram musicus oblatam, alter laxam nimisque lascivientem intendit Spartam, alter nimis intensam Romam remisit. Qua tamen in re majorem Lycurgus difficultatem expertus est. (6) Non enim civibus ut thoraces exuerent gladiosque deponerent, suasit, sed ut aurum argentumque, vestem stragulam, mensasque pretiosas e domibus ejicerent; neque bello omisso dies festos agere eos ac sacrificare jussit, sed conviviis potationibusque relictis, in bello et palæstra elaborare et se exercere. (7) Itaque Numa benevolentia et auctoritate in persuadendo adjutus, omnia confecit. Lycurgus periculis vulneribusque conflictatus ægre propositum tenuit. Fuit ergo mansueta benignaque Numæ musica, qui cives emolliens a nimia ferocia ad pacem et justitiam traduxit. (8) Jam si in servos admissum facinus Lycurgo est imputandum, crudelissimum quidem illud et injustissimum, utique Numam in legibus ferendis longe Græcorum ingeniis similiorem fuisse quam Lycurgum fatebimur: cum etiam iis, qui manifesto erant servi, introducta consuetudine ut Saturnalibus cum dominis epularentur, libertatis honoris aliquem gustum præbuit. (9) Hoc enim etiam ex Numæ institutis fuisse tradunt, qui ad annuas fruges perfruendas operarios aliquando adhibere voluerit. Quidam hoc monumentum pristinæ illius, quæ sub Saturno fuerit, æqualitatis relictum ferunt, ubi nemo servus, nemo liber, sed omnes ejusdem generis dignitatisque habiti sint.

II. Omnino autem apparet hoc utrique curæ fuisse, ut populum rebus suis contentum esse, temperanterque vivere condocefacerent. De reliquis virtutibus Lycurgus fortitudinem, Numa justitiam prætulit. Nisi ita sit statuendum, propter diversam civitatum, quas sibi propositas habebant, naturam et consuetudinem, diversa ipsos ratione opus habuisse. (2) Nam neque Numa timiditate adductus bella sustulit, sed tollendæ injustitiæ causa, neque Lycurgus injuriarum inferendarum, sed propulsandarum causa, bellicosos suos effecit, et uterque ut exsuperantiam eorum, quæ apud suos in usu erant, adimeret, defectumque expleret, magnis mutationibus uti coacti sunt. (3) Jam quod ad divisionem multitudinis ordinationemque attinet, nimis plebi grata Numæ fuit atque popularis, qui ex aurifabris,

τοτόμων συμμιγῆ τινα καὶ παμποίκιλον ἀποφαίνοντος δῆμον· αὐστηρὰ δὲ ἡ Λυκούργειος καὶ ἀριστοκρατική, τὰς μὲν βαναύσους ἀποκαθαίρουσα τέχνας εἰς b
οἰκετῶν καὶ μετοίκων χεῖρας, αὐτοὺς δὲ τοὺς πολίτας
εἰς τὴν ἀσπίδα καὶ τὸ δόρυ συνάγουσα, πολέμου χειροτέχνας καὶ θεράποντας Ἄρεος ὄντας, ἄλλο δὲ οὐδὲν εἰδότας οὐδὲ μελετῶντας ἢ πείθεσθαι τοῖς ἄρχουσι καὶ κρατεῖν τῶν πολεμίων. (4) Οὐδὲ γὰρ χρηματίζεσθαι τοῖς ἐλευθέροις ἔξῆν, ἵνα ἐλεύθεροι παντελῶς καὶ καθάπαξ ὦσιν, ἀλλ' ἦν ἡ περὶ τὰ χρήματα κατασκευὴ δεδομένη δούλοις καὶ Εἵλωσιν, ὥσπερ ἡ περὶ τὸ δεῖπνον καὶ ὄψον διακονία. (5) Νομᾶς δὲ οὐδὲν διέκρινε τοιοῦτον, ἀλλὰ τὰς μὲν στρατιωτικὰς ἔπαυσε πλεονεξίας, τὸν δὲ ἄλλον c
οὐκ ἐκώλυσε χρηματισμὸν, οὐδὲ τὴν τοιαύτην κατεστόρεσεν ἀνωμαλίαν, ἀλλὰ καὶ πλούτῳ προϊέναι μέχρι παντὸς ἐφῆκε καὶ πενίας πολλῆς ἀθροιζομένης καὶ ὑπορρεούσης εἰς τὴν πόλιν ἠμέλησε, δέον εὐθὺς ἐν ἀρχῇ, μηδέπω πολλῆς μηδὲ μεγάλης ἀνισότητος οὔσης, ἀλλὰ τοῖς βίοις ὁμαλῶν καὶ παραπλησίων ὄντων, ἐνστῆναι πρὸς τὴν πλεονεξίαν, ὥσπερ Λυκοῦργος, καὶ φυλάξασθαι τὰς ἀπ' αὐτῆς βλάβας, οὐ μικρὰς γενομένας, ἀλλὰ τῶν πλείστων καὶ μεγίστων κακῶν, ὅσα συνηνέχθη, σπέρμα καὶ ἀρχὴν παρασχούσας. (6) Ὁ δὲ τῆς γῆς ἀναδασμὸς d
οὔτε τὸν Λυκοῦργον, ἐμοὶ δοκεῖν, ποιεῖ ψεκτὸν γενόμενος οὔτε τὸν Νομᾶν μὴ γενόμενος. Τῷ μὲν γὰρ ἔδραν καὶ κρηπῖδα τῆς πολιτείας ἡ ἰσότης αὐτὴ παρέσχε, τὸν δὲ προσφάτου τῆς κληρουχίας οὔσης, οὐδὲν ἤπειγεν ἄλλον ἐμβαλεῖν ἀναδασμὸν οὐδὲ κινεῖν τὴν πρώτην νέμησιν, ὡς εἰκός ἐστι, κατὰ χώραν μένουσαν.

III. Τῆς δὲ περὶ τοὺς γάμους καὶ τὰς τεκνοτροφίας κοινωνίας τὸ ἀζηλότυπον ὀρθῶς καὶ πολιτικῶς ἐμποιούσης ἀμφοτέροις τοῖς ἀνδράσιν οὐ κατὰ πᾶν εἰς τοῦτο συνηνέχθησαν. (2) Ἀλλ' ὁ Ῥωμαῖος μὲν ἀνὴρ ἱκανῶς ἔχων παιδοτροφίας, ὑφ' ἑτέρου δὲ πεισθεὶς δεομένου τέκνων, ἐξίστατο τῆς γυναικὸς, ἐκδόσθαι καὶ μετεκδόσθαι κύριος ὑπάρχων· ὁ δὲ Λάκων, οἶκοι τῆς γυναικὸς e
ὕσης παρ' αὐτῷ καὶ τοῦ γάμου μένοντος ἐπὶ τῶν ἐξ ἀρχῆς δικαίων, μετεδίδου τῷ πείσαντι τῆς κοινωνίας εἰς τέκνωσιν. (3) Πολλοὶ δὲ, ὥσπερ εἴρηται, καὶ παρακαλοῦντες εἰσῆγον ἐξ ὧν ἂν ἐδόκουν μάλιστα παῖδας εὐειδεῖς καὶ ἀγαθοὺς γενέσθαι. (4) Τίς οὖν ἡ διάκρισις τῶν ἐθισμῶν; ἢ ταῦτα μὲν ἰσχυρὰ καὶ ἄκρατος ἀπάθεια πρὸς γαμετὴν, ἐκταράττοντα καὶ κατακαίοντα λύπαις καὶ ζηλοτυπίαις τοὺς πολλοὺς, ἐκεῖνα δὲ, ὥσπερ αἰσχυνομένη ἀτυφία τις, παρακάλυμμα τὴν ἐγγύην ἐφελκομένη καὶ τὸ δυσκαρτέρητον ἑξομολογουμένη τῆς κοινωνίας; (5) Ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς παρθένους φυλακὴ κατέσταλται τῷ Νομᾷ πρὸς τὸ θῆλυ καὶ κόσμιον· ἡ δὲ τοῦ Αὐκούργου παντάπασιν ἀναπεπταμένη καὶ ἄθηλυς οὖσα τοῖς ποιηταῖς λόγον παρέσχηκε. Φαινομηρίδας τε γὰρ αὐτὰς ἀποκαλοῦσιν, ὡς Ἴβυκος, καὶ ἀνδρομανεῖς ἱστοροῦσιν, ὡς Εὐριπίδης, λέγων,

Αἳ σὺν νέοισιν ἐξερημοῦσιν δόμους,
γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις.

tibicinibus, et sutoribus confusum admodum variumque populum composuit : Lycurgi austera fuit ratio et grata optimatibus qui sordidis artificiis secretis, famulorumque et advenarum manu relegata, ad scutum et hastam cives conduxit, eosque bellatores et Martis ministros effecit, nihil aliud scientes neque meditantes, quam ut obedirent magistratibus et hostes vincerent. (4) Nam et quæstum pecuniarium facere liberis non permisit, ut omnino essent liberi : eam vero rem servis et Helotis mandavit, quemadmodum et cœnæ ciborumque administrationem. (5) Numa hæc non discrevit, sed sublata militari modo cupiditate, reliquo pecuniæ conficiendæ studio non interdixit, neque tantam æqualitatem paravit, sed et ad summas divitias pervenire suos passus est, et magnam pauperiem in urbe insinuantem ac serpentem neglexit. Necesse vero erat, statim ab initio, quum inæqualitas adhuc parva esset, vitæ rationibus omnium ad æqualitatem similitudinemque adductis, avaritiæ et iis quæ ab eo vitio proficiscuntur malis, quemadmodum Lycurgus, occurrere atque prævertere, non levibus illis, sed quæ omnibus, quæ unquam evenerunt, maximis incommodis semen et originem præbuerint. (6) Agrorum divisio neque facta Lycurgo, neque omissa Numæ vitio dari potest : alteri enim ipsa æqualitas fundamentum sui consilii exsequendi dedit, alteri, cum recens essent agri divisi, eaque distributio adhuc exstaret, nihil erat necesse novam moliri.

III. Quanquam societate conjugiorum et liberorum educationis recte et prudenter æmulatio ex sententia utriusque viri sublata erat, tamen non prorsus hac in re concordarunt. (2) Nam apud Romanos maritus si liberorum satis sustulisset, persuasus ab alio prolem desiderante, uxorem suam ei concedendi et recuperandi jus habebat : at Spartanus huic, qui a se petiisset, usum propriæ uxoris ad suscipiendos liberos permittebat, manente ea secum domi suæ ac conjugii jure pristino nihil labefactato. (3) Multi etiam, ut diximus, eos, quorum ex concubitu suas uxores formosam et bonam sobolem sperabant concepturas, exoratos ad eas introducebant. (4) Itaque recte differentiam horum institutorum censebimus, Lycurgi institutum afferre vehementem atque immodicam omnis conjugalis erga uxorem affectionis privationem, quæ multos alias perturbat animos uritque, ut in dolore et sinistris de fide conjugum suspicionibus vitam exigant : contra in Numæ lege locum esse verecundæ et ab omni fastu remotæ humanitati, quæ pudoris velandi causa desponsionem secum ducat, testeturque societatem alias eam esse intolerabilem. (5) Præterea in f virginum custodia evidentius etiam perspicitur, eam a Numa ad feminei sexus naturam decorumque esse applicatam; at Lycurgi nimium proterva et muliebris verecundiæ expers, poetis quoque virgines Spartanas traducendi causam exhibuit, quas Ibycus *phœnomeridas* appellat, id est exsertis femoribus ambulantes; alii insana cupidine virorum elatas dicant, ut Euripides, cujus et hæc sunt :

Inter adolescentes agunt extra domum
lacerna aperta nudatisque femoribus.

77 (6) Τῷ γὰρ ὄντι τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες a οὐκ ἦσαν συνεῤῥαμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συνανεγύμνουν ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. Καὶ σαφέστατα τὸ γινόμενον εἴρηκε Σοφοκλῆς ἐν τούτοις·

(6) Revera enim tunicarum quas virgines ferebant lacinie in lateribus positæ, inferiori parte non erant consutæ, sed inter eundum apertæ, una totum femur nudabant; quod his versibus apertissime extulit Sophocles:

Καὶ τὰν νέορτον, ἅς ἔτ' ἄστολος χιτὼν
θυραῖον ἀμφὶ μηρὸν
πτύσσεται Ἑρμιόναν.

Et hanc juvencam, tunica cui male sutilis
femur foras videndum
ventilat, Hermionam.

(7) Διὸ καὶ θρασύτεραι λέγονται γίνεσθαι καὶ πρὸς αὐτοὺς πρῶτον ἀνδρώδεις τοὺς ἄνδρας, ἅτε δὴ τῶν μὲν οἴκων ἄρχουσαι κατὰ κράτος, ἐν δὲ τοῖς δημοσίοις πράγμασι καὶ γνώμης μεταλαμβάνουσαι καὶ παῤῥησίας περὶ τῶν μεγίστων. (8) Ὁ δὲ Νομᾶς ταῖς γαμεταῖς τὸ μὲν ἀξίωμα καὶ τὴν τιμὴν ἐτήρησε πρὸς τοὺς ἄνδρας, ἣν εἶχον ἀπὸ Ῥωμύλου θεραπευόμεναι διὰ τὴν ἁρπαγήν· αἰδῶ δὲ πολλὴν ἐπέστησεν αὐταῖς καὶ πολυπραγμοσύνην ἀφεῖλε καὶ νήφειν ἐδίδαξε καὶ σιωπᾶν εἴθισεν, οἴνου μὲν ἀπεχομένας τὸ πάμπαν, λόγῳ δὲ μηδὲ ὑπὲρ τῶν ἀναγκαίων ἀνδρὸς ἄνευ χρωμένας. (9) Λέγεται γοῦν ποτε γυναικὸς εἰπούσης δίκην ἰδίαν ἐν ἀγορᾷ πέμψαι τὴν σύγκλητον εἰς θεοῦ πυνθανομένην, τίνος ἄρα τῇ πόλει σημεῖον εἴη τὸ γεγενημένον. (10) Καὶ τῆς ἄλλης εὐπειθείας καὶ πραότητος αὐτῶν μέγα τεκμήριον ἡ μνήμη τῶν χειρόνων. (11) Ὡς γὰρ παρ' ἡμῖν οἱ ἱστορικοὶ γράφουσι τοὺς πρώτους ἢ φόνον ἐμφύλιον ἐργασαμένους ἢ πολεμήσαντας ἀδελφοῖς ἢ πατρὸς αὐτόχειρας ἢ μητρὸς γενομένους, οὕτω Ῥωμαῖοι μνημονεύουσιν ὅτι πρῶτος μὲν ἀπεπέμψατο γυναῖκα Σπόριος Καρβίλιος, μετὰ τὴν Ῥώμης κτίσιν ἔτεσι τριάκοντα καὶ διακοσίοις οὐδενὸς τοιούτου γεγονότος· πρώτη δὲ γυνὴ Πιναρίου Θαλαία τοὔνομα διηνέχθη πρὸς ἕκυραν αὐτῆς Γετανίαν Ταρκυνίου Σουπέρβου βασιλεύοντος. Οὕτω καλῶς καὶ κοσμίως τεταγμένα τὰ τῶν γάμων ἦν ὑπὸ τοῦ νομοθέτου.

(7) Ideo illæ et ferociores et adversum ipsos quoque viros viriles exstitisse dicuntur, quod domi totum imperium obtinerent, et in publicis negotiis etiam sententiam dicere summaque libertate uti ipsis liceret. (8) At Numa, uxoribus ea dignitate et honore quem a viris, propter raptum iis blandientibus, Romuli permissu habebant, integro relicto, verecundiam magnam imposuit, curiositate interdixit, sobrietatem et silentium præcepit, ita quidem, ut vino abstinerent prorsus, verba autem ne de necessariis quidem rebus absente marito facerent. (9) Memoraturque, quadam aliquando muliere pro se ipsa in foro dicente, missos fuisse a senatu, qui deos consulerent, quidnam ea res urbi portenderet. (10) Magno argumento earum obedientiæ et modestiæ sunt, quæ exempla earum, quæ secus fecissent, memoriæ sunt prodita. (11) Ut enim Græcorum historici recensent eos qui primi cædem intestinam perpetraverint, aut fratres bello petierint, patrem matremve necaverint, sic Romani commemorant, primum Spurium Carvilium cum uxore divortium fecisse, anno U. C. ducentesimo ac trigesimo; primamque Pinarii uxorem Thalæam nomine, altercatam cum socru sua Getania, regnante Tarquinio Superbo: adeo pulchre et decore omnia conjugii jura erant a legislatore posita.

IV. Τῇ δὲ ἄλλῃ τῶν παρθένων ἀγωγῇ καὶ τὰ περὶ τὰς ἐκδόσεις ὁμολογεῖ, τοῦ μὲν Λυκούργου πεπείρους καὶ ὀργώσας νυμφεύοντος, ὅπως ἥ τε ὁμιλία, δεομένης ἤδη τῆς φύσεως, χάριτος ᾖ καὶ φιλίας ἀρχὴ μᾶλλον ἢ μίσους καὶ φόβου παρὰ φύσιν βιαζομένων, καὶ τὰ σώματα ῥώμην ἔχῃ πρὸς τὸ τὰς κυήσεις ὑποφέρειν καὶ τὰς ὠδῖνας, ὡς ἐπ' οὐδὲν ἄλλο γαμουμένων ἢ τὸ τῆς τεκνώσεως ἔργον· (2) τῶν δὲ Ῥωμαίων δωδεκαετεῖς καὶ νεωτέρας ἐκδιδόντων· οὕτω γὰρ ἂν μάλιστα καὶ τὸ σῶμα καὶ τὸ ἦθος καθαρὸν καὶ ἄθικτον ἐπὶ τῷ γαμοῦντι γενέσθαι. Δῆλον οὖν ὅτι τὸ μὲν φυσικώτερον πρὸς τέκνωσιν, τὸ δὲ ἠθικώτερον πρὸς συμβίωσιν. (3) Ἀλλὰ μὴν ἐπιστασίαις τε παίδων καὶ συναγελασμοῖς καὶ παιδαγωγίαις καὶ κοινωνίαις, περί τε δεῖπνα καὶ γυμνάσια καὶ παιδιὰς αὐτῶν ἐμμελείαις καὶ διακοσμήσεσιν, οὐδέν τι τοῦ προστυχόντος νομοθέτου βελτίονα τὸν Νομᾶν ὁ Λυκοῦργος ἀποδείκνυσιν, ἐπὶ ταῖς τῶν πατέρων ποιησάμενον ἐπιθυμίαις ἢ χρείαις τὰς τῶν νέων ἀγωγάς, εἴτε τις ἐργάτην γῆς βούλοιτο ποιεῖν τὸν υἱὸν εἴτε

IV. In reliqua virginum educatione, earumque in matrimonium elocatione, constat Lycurgi maturas ac propter ætatem veneris jam appetentes nuptum dantis consilium fuisse, ut coitus natura jam postulante fieret, ac gratiæ et amoris initium esset, non odii et timoris, quod futurum putabat, si ætate nondum ferente cogerentur nubere, utque corpora earum ad ferendum et edendum partum satis roboris haberent; quippe conjugii nullum alium, quam liberorum procreationem, finem putabat. (2) Romani contra duodecim annos aut minus etiam natas conjugio copulant, ita potissimum et corpus intactum et mores castos incorruptosque se sponso tradituros judicantes. Et est in promptu, Lycurgum liberorum generandorum causa ad naturam, hos propter consuetudinem vitæ jucundiorem, ad morum rationem magis respexisse. (3) Ceterum in his, quæ ad pueros regendos, ad eorum contubernia, convictum, exercitationum communitatem, eorumque jocos ludosque animadvertendos corrigendosque spectant, si Lycurgo conferatur Numa, evidens erit, hunc nihil vulgari quocunque legumlatore majus præstitisse, nimirum qui patribus pro sua voluntate aut commodo filios educare permisit, sive cos

ναυπηγὸν ἢ χαλκέα διδάσκειν ἢ αὐλητήν, ὥσπερ οὐ πρὸς ἓν τέλος ὀφείλοντας ἐξ ἀρχῆς ἄγεσθαι καὶ συνεπιστρέφεσθαι τοῖς ἤθεσιν, ἀλλ' οἷον εἰς ναῦν ἐπιβάτας ἕτερον ἐξ ἑτέρας ἥκοντα χρείας καὶ προαιρέσεως ἐν τοῖς κινδύνοις μόνον φόβῳ τοῦ ἰδίου συνίστασθαι πρὸς τὸ κοινόν, ἄλλως δὲ τὸ καθ' αὑτὸν σκοπεῖν ἕκαστον. (4) Καὶ τοῖς μὲν πολλοῖς οὐκ ἄξιον ἐγκαλεῖν νομοθέταις τοῖς ἐλλείπουσιν ἢ δι' ἄγνοιαν ἢ δι' ἀσθένειαν· ἀνδρὶ δὲ σοφῷ βασιλείαν παραλαβόντι δήμου νεωστὶ συνισταμένου καὶ πρὸς μηδὲν ἀντιτείνοντος περὶ τί πρῶτον ἦν σπουδάσαι προσῆκον, ἢ παίδων ἐκτροφὴν καὶ νέων ἄσκησιν, ὅπως μὴ διάφοροι μηδὲ ταραχώδεις γένοιντο τοῖς ἤθεσιν, ἀλλ' εἰς ἕν τι κοινὸν ἀρετῆς ἴχνος εὐθὺς ἐξ ἀρχῆς πλαττόμενοι καὶ τυπούμενοι συμβαίνοιεν ἀλλήλοις; ὃ δὴ πρός τε τὰ ἄλλα καὶ σωτηρίαν νόμων ὠφέλησε τὸν Λυκοῦργον. (5) Μικρὸς γὰρ ἦν ὁ τῶν ὅρκων φόβος, εἰ μὴ διὰ τῆς παιδείας καὶ τῆς ἀγωγῆς οἷον ἀνέδευσε τοῖς ἤθεσι τῶν παίδων τοὺς νόμους καὶ συνῳκείωσε τῇ τροφῇ τὸν ζῆλον τῆς πολιτείας· ὥστε πεντακοσίων ἐτῶν πλείω χρόνον τὰ κυριώτατα καὶ μέγιστα διαμεῖναι τῆς νομοθεσίας, ὥσπερ βαφῆς ἀκράτου καὶ ἰσχυρᾶς καθαψαμένης. (6) Νομᾷ δὲ, ὅπερ ἦν τέλος τῆς πολιτείας, ἐν εἰρήνῃ καὶ φιλίᾳ τὴν Ῥώμην ὑπάρχειν, εὐθὺς συνεξέλειπε· καὶ μετὰ τὴν τελευτὴν ἐκείνου τὸν ἀμφίθυρον οἶκον, ὃν κεκλειμένον αὐτὸς συνεῖχεν, ὥσπερ ὄντως ἐν αὐτῷ τιθασεύων καθειργμένον τὸν πόλεμον, ἐξ ἀμφοτέρων ἀναπετάσαντες αἵματος καὶ νεκρῶν τὴν Ἰταλίαν ἐνέπλησαν· καὶ οὐδὲ ὀλίγον χρόνον ἡ καλλίστη καὶ δικαιοτάτη κατάστασις ἔμεινεν, ἅτε δὴ καὶ τὸ συνδετικὸν ἐν αὐτῇ, τὴν παιδείαν, οὐκ ἔχουσα. (7) Τί οὖν, φήσει τις, οὐκ ἐπὶ τὸ βέλτιον ἡ Ῥώμη προῆλθεν τοῖς πολεμικοῖς; ἐρωτῶν ἐρώτημα μακρᾶς ἀποκρίσεως δεόμενον πρὸς ἀνθρώπους τὸ βέλτιον ἐν πλούτῳ καὶ τρυφῇ καὶ ἡγεμονίᾳ μᾶλλον ἢ σωτηρίᾳ καὶ πραότητι καὶ τῇ μετὰ δικαιοσύνης αὐταρκείᾳ τιθεμένους. (8) Οὐ μὴν ἀλλὰ καὶ τοῦτο Λυκούργῳ που δόξει βοηθεῖν, τὸ Ῥωμαίους μὲν τὴν ἐπὶ Νομᾶ κατάστασιν ἐξαλλάξαντας ἐπιδοῦναι τοῖς πράγμασι τοσοῦτον· Λακεδαιμονίους δὲ ἅμα τῷ πρῶτον ἐκβῆναι τὴν Λυκούργου διάταξιν, ἐκ μεγίστων ταπεινοτάτους γενέσθαι καὶ τὴν τῶν Ἑλλήνων ἡγεμονίαν ἀποβαλόντας κινδυνεῦσαι περὶ ἀναστάσεως. (9) Ἐκεῖνο μέντοι τῷ Νομᾷ μέγα καὶ θεῖον ὡς ἀληθῶς ὑπάρχει, τὸ ξένῳ μεταπέμπτῳ γενέσθαι καὶ πάντα πειθοῖ μεταβαλεῖν καὶ κρατῆσαι πόλεως οὕπω συμπεπνευκυίας μήτε ὅπλων δεηθέντα μήτε βίας τινός, ὡς Λυκοῦργος ἐπὶ τὸν δῆμον ἦγε τοὺς ἀρίστους, ἀλλὰ σοφίᾳ καὶ δικαιοσύνῃ πάντας οὐκ ἄλλως συναγαγόμενον καὶ συναρμόσαντα.

vellent rusticos, sive navium, sive ærarios fabros, sive tibicines facere, quasi vero non ad unum finem ab initio statim omnium mores sint formandi deligendique, sed perinde agendum, ac si multi homines in unam navim sua unusquisvis necessitate aut consilio convenientes, tantum periculo imminente sui quilibet timoris causa de communi salute rationes ineant, alioquin suas singuli res agentes. (4) Quanquam plerique legumlatores eo minus sunt accusandi, quod vel scientia vel vires eos destituerunt, viro autem sapienti et qui regnum populi recens collecti nihilque quicquam reluctantis accepisset, in quamnam aliam rem primum erat studium suum conferendum, quam in puerorum educationem, adolescentumque exercitationes, ne mores diversos ii turbulentosque addiscerent, sed a principio confestim ad communem quandam virtutis speciem, qua inter se convenirent, effingerentur conformarenturque? Quod sane ipsum Lycurgo cum ad alia conduxit, tum vero, ut leges ejus permanerent. (5) Nam juramenti metus parum valuisset, nisi disciplina atque educatione mores puerorum legibus illis quasi imbuisset eosque in studio institutæ a se reipublicæ enutrivisset. Itaque præcipue ac potissima ejus instituta ultra annum quingentesimum duraverunt, tanquam constanti et ad diluendum haud facili tinctura infectis civium animis. (6) Contra quod Numa in republica ordinanda spectaverat, ut in pace et amicitia esset Roma, id statim cum eo intercidit: nam statim post mortem ejus templum Jani, quod ipse clusum tenuerat, quasi revera ibi inclusum bellum cicurans, ejus utrumque ostium apertum cædibusque et sanguine repleta Italia fuit. Ita ne paululum quidem temporis pulcherrima ea atque justissima reipublicæ forma perduravit, quippe disciplina, quæ copula est hujus rei, carens. (7) Quid ergo, inquiet aliquis, an non bellis Romana res profecit? quæ quidem quæstio prolixam solutionem requirat, si apud eos homines agitetur, qui magis in divitiis, luxu et principatu, quam in salute, tranquillitate, vitaque suis rebus contenta et justa bonum collocatum esse judicant. (8) At tamen hoc ipsum quoque pro Lycurgo facere videtur, quod Romani Numæ institutis mutatis tanta incrementa fecerunt; Lacedæmonii autem, simulatque a Lycurgi sanctionibus desciverunt, ex maximis abjectissimi facti sunt, amissoque Græcorum imperio etiam in perdendæ patriæ periculum venerunt. (9) In Numa id magnum divinumque est, quod peregrinus evocatus ad regnum est, omniaque persuadendo mutavit, urbemque in sua potestate habuit eam, cujus nondum inter se unanimes erant facti cives: quos nihil ipse armis indigens aut vi, quemadmodum Lycurgus optimates in auxilium contra populum adduxit, sapientia modo justitiaque in unum corpus redegit atque composuit.

ΣΟΛΩΝ.

Δίδυμος ὁ γραμματικὸς ἐν τῇ περὶ τῶν ἀξόνων τῶν Σόλωνος ἀντιγραφῇ πρὸς Ἀσκληπιάδην Φιλοκλέους τινὸς τέθεικε λέξιν, ἐν ᾗ τὸν Σόλωνα πατρὸς Εὐφορίωνος ἀποφαίνει παρὰ τὴν τῶν ἄλλων δόξαν, ὅσοι μέμνηνται Σόλωνος. (2) Ἐξηκεστίδου γὰρ αὐτὸν ἅπαντες ὁμαλῶς γεγονέναι λέγουσιν, ἀνδρὸς οὐσίᾳ μὲν, ὡς φασι, καὶ δυνάμει μέσου τῶν πολιτῶν, οἰκίας δὲ πρώτης κατὰ γένος· ἦν γὰρ Κοδρίδης ἀνέκαθεν. (3) Τὴν δὲ μητέρα τοῦ Σόλωνος Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ τῆς Πεισιστράτου μητρὸς ἀνεψιὰν γενέσθαι. Καὶ φιλία τὸ πρῶτον ἦν αὐτοῖς πολλὴ μὲν διὰ τὴν συγγένειαν, πολλὴ δὲ διὰ τὴν εὐφυίαν καὶ ὥραν, ὡς ἔνιοί φασιν, ἐρωτικῶς τὸν Πεισίστρατον ἀσπαζομένου τοῦ Σόλωνος. (4) Ὅθεν ὕστερον, ὡς ἔοικεν, εἰς διαφορὰν αὐτῶν ἐν τῇ πολιτείᾳ καταστάντων οὐδὲν ἤνεγκεν ἡ ἔχθρα σκληρὸν οὐδ' ἄγριον πάθος, ἀλλὰ παρέμεινεν ἐκεῖνα τὰ δίκαια ταῖς ψυχαῖς καὶ παρεφύλαξε « τυφομένην ἀδροῦ πυρὸς ἔτι ζῶσαν φλόγα » τὴν ἐρωτικὴν μνήμην καὶ χάριν. (5) Ὅτι δὲ πρὸς τοὺς καλοὺς οὐκ ἦν ἐχυρὸς ὁ Σόλων οὐδ' ἔρωτι θαῤῥαλέος ἀνταναστῆναι,

πύκτης ὅπως ἐς χεῖρας,

ἔκ τε τῶν ποιημάτων αὐτοῦ λαβεῖν ἐστι, καὶ νόμον ἔγραψε διαγορεύοντα δοῦλον μὴ ξηραλοιφεῖν μηδὲ παιδεραστεῖν, εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων τιθέμενος τὸ πρᾶγμα καὶ τρόπον τινὰ τοὺς ἀξίους προκαλούμενος ὧν τοὺς ἀναξίους ἀπήλαυνε. (6) Λέγεται δὲ καὶ Πεισίστρατος ἐραστὴς Χάρμου γενέσθαι καὶ τὸ ἄγαλμα τοῦ Ἔρωτος ἐν Ἀκαδημίᾳ καθιερῶσαι, ὅπου τὸ πῦρ ἀνάπτουσιν οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες.

II. Ὁ δ' οὖν Σόλων τὴν οὐσίαν τοῦ πατρὸς ἐλαττώσαντος εἰς φιλανθρωπίας τινὰς, ὥς φησιν Ἕρμιππος, καὶ χάριτας οὐκ ἂν ἀπορήσας τῶν βουλομένων ἐπαρκεῖν, αἰδούμενος δὲ λαμβάνειν παρ' ἑτέρων ἐξ οἰκίας γεγονὼς εἰθισμένης ἑτέροις βοηθεῖν, ὥρμησε νέος ὢν ἔτι πρὸς ἐμπορίαν. (2) Καίτοι φασὶν ἔνιοι, πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱστορίας ἢ χρηματισμοῦ πλανηθῆναι τὸν Σόλωνα. Σοφίας μὲν γὰρ ἦν ὁμολογουμένως ἐραστὴς, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε

Γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος·

πλοῦτον δ' οὐκ ἐθαύμαζεν, ἀλλὰ καί φησιν ὁμοίως πλουτεῖν ᾧτε

πολὺς ἄργυρός ἐστι
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
γαστρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν·
παιδός τ' ἠδὲ γυναικὸς, ἐπὴν καὶ ταῦτ' ἀφίκηται,
ἥδη· σὺν δ' ὥρη γίγνεται ἁρμοδία.

Ἀλλ' ἑτέρωθι λέγει·

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.

Didymus grammaticus in libro de tabulis legum Solonis, qui Axones dicuntur, quo Asclepiadi Philoclis filio respondit, Solonis patrem Euphorionem appellat contra omnium aliorum sententiam, qui quidem Solonis mentionem fecerint. (2) Uno enim ore ii omnes patrem ejus Execestidam dicunt, qui inter cives suos opibus et potentia medium locum tenuerit, familia vero inter præcipuas natus fuerat, a Codro genus deducens. (3) Matrem Solonis consobrinam fuisse matris Pisistrati Heraclides Ponticus tradit. Inter Solonem ac Pisistratum initio magna fuit amicitia, partim propter propinquitatem, partim propter ingenium et formam, quin et a Solone hunc adamatum nonnulli affirmant. (4) Unde factum videtur ut, cum postea temporis de republica dissentirent, nihil ob eam inimicitiam durius aut inhumanius alter statuerit, sed in animis eorum etiamnum jus benevolentiæ remanserit, servaveritque adhuc veluti flammam vehementis ignis gliscentem, pristini amoris recordationem atque gratiam. (5) Sane adversus formosos parum obfirmato animo Solonem neque fuisse ausum amori

in pugilis morem fortis obluctarier,

cum ex ejus carminibus est intelligere, tum ex lege, quam posuit ne quis servus citra lotionem unguentis uteretur, neve pueros amaret: scilicet hæc in honestorum studiorum numero reponens dignosque ad ea quodammodo provocans, a quibus indignos repelleret. (6) Pisistratum quoque Charmi amatorem fuisse tradunt, simulacrumque Amoris in Academia dedicasse, ubi hi, qui inter se certant cursu sacræ lampadis, ignem accendunt.

III. Solon, cum pater ipsius, ut Hermippus narrat, aliis gratificando ac benefaciendo rem familiarem imminuisset, etsi non deerant qui eum suis fortunis sublevare vellent; quia tamen puderet ipsum ab aliis accipere, natum ea familia, quæ aliis opitulari consuevisset, juvenis admodum mercaturæ se dedit. (2) Ceterum alii eum non lucri, sed multarum rerum experiendarum cognoscendarumque causa peregrinationem suscepisse ferunt. Erat enim omnino sapientiæ studiosus, ut qui etiam ætate provecta dixerit se

Discentem assidue multa, senem fieri.

Divitias autem non magni fecit, sed æque divitem eum dicit, cui

argenti copia et auri
et sunt frugiferi jugera multa soli,
multi et equi mulique; et cui sunt hæc data sola,
ut ventri et lateri sit pedibusque bene,
cui pueri flos et mulier, quando huc quoque ventum est,
grata, simulque ætas congrua contigerit.

Verum alio loco dicit:

Ut mihi sit, cupio, sed parta pecunia juste,
nam culvis ultrix stat sua pœna malo.

(3) Κωλύει δὲ οὐδὲν τὸν ἀγαθὸν καὶ πολιτικὸν ἄνδρα μήτε τῶν περιττῶν τὴν κτῆσιν ἐν σπουδῇ τίθεσθαι μήτε τῆς χρείας τῶν ἀναγκαίων καὶ ἱκανῶν καταφρονεῖν. Ἐν δὲ τοῖς τότε χρόνοις, καθ' Ἡσίοδον, « ἔργον οὐδὲν ἦν ὄνειδος », οὐδὲ τέχνη διαφορὰν ἔφερεν· ἐμπορία δὲ καὶ δόξαν εἶχεν οἰκειουμένη τὰ βαρβαρικὰ καὶ προξενοῦσα φιλίας βασιλέων καὶ πραγμάτων ἐμπείρους ποιοῦσα πολλῶν. (4) Ἔνιοι δὲ καὶ πόλεων οἰκισταὶ γεγόνασι μεγάλων, ὡς καὶ Μασσαλίας Πρῶτις ὑπὸ Κελτῶν τῶν περὶ τὸν Ῥοδανὸν ἀγαπηθείς. Καὶ Θαλῆν δέ φασιν ἐμπορίᾳ χρήσασθαι καὶ Ἱπποκράτη τὸν μαθηματικὸν καὶ Πλάτωνι τῆς ἀποδημίας ἐφόδιον ἐλαίου τινὸς ἐν Αἰγύπτῳ διάθεσιν γενέσθαι.

III. Τὸ δ' οὖν εὐδάπανον τῷ Σόλωνι καὶ ὑγρὸν πρὸς τὴν δίαιταν καὶ τὸ φορτικώτερον ἢ φιλοσοφώτερον ἐν τοῖς ποιήμασι διαλέγεσθαι περὶ τῶν ἡδονῶν τὸν ἐμπορικὸν οἴονται βίον προστετρῖφθαι· πολλοὺς γὰρ ἔχοντα κινδύνους καὶ μεγάλους ἀνταπαιτεῖν πάλιν εὐπαθείας τινὰς καὶ ἀπολαύσεις. (2) Ὅτι δ' αὐτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων·

Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

(3) Τῇ δὲ ποιήσει κατ' ἀρχὰς μὲν εἰς οὐδὲν ἄξιον σπουδῆς, ἀλλὰ παίζων ὡς ἔοικε προσχρήσασθαι καὶ παράγων ἑαυτὸν ἐν τῷ σχολάζειν· ὕστερον δὲ καὶ γνώμας ἐνέτεινε φιλοσόφους καὶ τῶν πολιτικῶν πολλὰ συγκατέπλεκε τοῖς ποιήμασιν, οὐχ ἱστορίας ἕνεκεν καὶ μνήμης, ἀλλ' ἀπολογισμούς τε τῶν πεπραγμένων ἔχοντα καὶ προτροπὰς ἐνιαχοῦ καὶ νουθεσίας καὶ ἐπιπλήξεις πρὸς τοὺς Ἀθηναίους. (4) Ἔνιοι δέ φασιν, ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν·

Πρῶτα μὲν εὐχώμεσθα Διὶ Κρονίδῃ βασιλῆι,
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

(5) Φιλοσοφίας δὲ τοῦ ἠθικοῦ μάλιστα τὸ πολιτικόν, ὥσπερ οἱ πλεῖστοι τῶν σοφῶν, ἠγάπησεν. Ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων·

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης·
βροντὴ δ' ἐκ λαμπρᾶς γίνεται ἀστεροπῆς.
Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

(6) Καὶ ὅλως ἔοικεν ἡ Θάλεω μόνου σοφία τότε περαιτέρω τῆς χρείας ἐξικέσθαι τῇ θεωρίᾳ· τοῖς δὲ ἄλλοις ἀπὸ τῆς πολιτικῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε.

IV. Γενέσθαι δὲ μετ' ἀλλήλων ἔν τε Δελφοῖς ὁμοῦ λέγονται καὶ πάλιν ἐν Κορίνθῳ, Περιάνδρου σύλλογόν τινα κοινὸν αὐτῶν καὶ συμπόσιον κατασκευάσαντος. (2) Ἔτι δὲ μᾶλλον εἰς ἀξίωμα καὶ δόξαν αὐτοὺς κατέστη-

(3) Minime vero vetat, quin bonus quilibet atque reipublicæ studiosus vir neque nimias divitias expetat et rerum necessariarum atque ad tolerandam vitam sufficientium curam non spernat. Sed præterea eo tempore labor, quod et apud Hesiodum est, vitio nemini dabatur, neque artes cives in classes dirimebant aliis honestiores. At mercatura etiam gloriosa erat, cujus opera cum barbaris consuetudo, amicitiæ cum regibus conjungerentur, peritia multarum rerum pararetur. (4) Ac nonnulli mercatores civitatum magnarum conditores exstiterunt, ut Protis Massiliæ auctor a Gallis apud Rhodanum habitantibus in honore habitus. (5) Thaletem quoque et mathematicum Hippocratem mercaturam exercuisse aiunt, et Platoni pro viatico fuisse olei in Ægypto venditionem. e

III. Enimvero lautitias in victu et mollitiem, quodque in carminibus suis licentius de voluptatibus, quam philosophiæ convenientius disseruerit, id ex mercatoria vita ei inolevisse vitii putant; quæ cum multa et gravia subeat pericula, delectationes vicissim quasdam et voluptates requirat. (2) Quod se in pauperum potius quam divitum numero ipse collocaverit, hæc ejus verba indicant : f

Multi quippe boni cum paupertate premantur,
crebrius est quicquam vix locuplete malo.
At nos virtutem nunquam mutabimus horum
divitiis, neque sic pœnitet esse probos.
Virtutis semper stabilis possessio perstat,
incertæ varia sorte feruntur opes.

(3) Poesi videtur initio ad nullam rem seriam, sed animi tantum fallendique temporis causa usus fuisse, post autem carminibus sententias inseruit philosophicas, intexuitque præcepta civilis sapientiæ, non ut eam memoriæ traderet, sed ut actionum rationes ita redderet : ac nonnullis in locis Athenienses adhortabatur, monebat, increpabat. (4) Sunt qui scribant, intendisse eum etiam leges suas versibus edere, memorantque hoc ejus operis principium : a

Principio te, rex Saturno nate, precamur,
fortunamque bonam, famamque his legibus addas. b

(5) Ex omnibus partibus philosophiæ moralis, eam maxime amplexus fuit, quæ est de civitate instituenda : quod ei cum majori parte sapientum erat commune. In ea vero, quæ est de cognitione naturæ, rudis admodum fuit, et simplex, quod hi versus demonstrant :

Vis nivis ex nebula, nec non et grandinis exstat,
et tonitru a nitidi fulguris igne venit.
Et pelagus venti perturbant : quod nisi quisquam
commoveat, nihil hoc æquius orbis habet.

(6) Atque omnino verisimile est, solam tunc Thaletis philosophiam ultra usum sese ad contemplandum extulisse : reliquos sapientis nomen a civili prudentia invenisse.

IV. Porro famosos illos sapientes Delphis convenisse perhibent, rursusque Corinthi a Periandro ad convivium coactos. (2) Auxit eorum dignitatem famamque tripodis c

σεν ἡ τοῦ τρίποδος περίοδος καὶ διὰ πάντων ἀνακύκλησις καὶ ἀνθύπειξις μετ' εὐμενείας φιλοτίμου γινομένη. Κώων γὰρ, ὡς φασι, καταγόντων σαγήνην καὶ ξένων ἐκ Μιλήτου πριαμένων τὸν βόλον οὔπω φανερὸν ὄντα, χρυσοῦς ἐφάνη τρίπους ἑλκόμενος, ὃν λέγουσιν Ἑλένην πλέουσαν ἐκ Τροίας αὐτόθι καταθεῖναι χρησμοῦ τινος ἀναμνησθεῖσαν παλαιοῦ. (3) Γενομένης δὲ τοῖς ξένοις πρῶτον ἀντιλογίας πρὸς τοὺς ἁλιέας περὶ τοῦ τρίποδος, εἶτα τῶν πόλεων ἀναδεξαμένων τὴν διαφορὰν ἄχρι πολέμου προελθοῦσαν, ἀνεῖλεν ἀμφοτέροις ἡ Πυθία, τῷ σοφωτάτῳ τὸν τρίποδα ἀποδοῦναι. (4) Καὶ πρῶτον μὲν ἀπεστάλη πρὸς Θαλῆν εἰς Μίλητον, ἑκουσίων Κώων ἑνὶ δωρουμένων ἐκείνῳ περὶ οὗ πρὸς ἅπαντας ὁμοῦ Μιλησίους ἐπολέμησαν. Θάλεω δὲ Βίαντα σοφώτερον ἀποφαίνοντος αὐτοῦ πρὸς ἐκεῖνον ἦκεν. (5) Ὑπ' ἐκείνου δ' αὖθις ἀπεστάλη πρὸς ἄλλον ὡς σοφώτερον. Εἶτα περιιὼν καὶ ἀναπεμπόμενος οὕτως ἐπὶ Θαλῆν τὸ δεύτερον ἀφίκετο· καὶ τέλος εἰς Θήβας ἐκ Μιλήτου κομισθεὶς, τῷ Ἰσμηνίῳ Ἀπόλλωνι καθιερώθη. (6) Θεόφραστος δέ φησι, πρῶτον μὲν εἰς Πριήνην Βίαντι τὸν τρίποδα πεμφθῆναι, δεύτερον δ' ἐπὶ Μίλητον Θαλῆ Βίαντος ἀποπέμψαντος· οὕτω δὲ διὰ πάντων πάλιν εἰς Βίαντα περιελθεῖν, τέλος δὲ εἰς Δελφοὺς ἀποσταλῆναι. (7) Ταῦτα μὲν οὖν ὑπὸ πλειόνων τεθρύληται, πλὴν ὅτι τὸ δῶρον ἀντὶ τοῦ τρίποδος οἱ μὲν φιάλην ὑπὸ Κροίσου πεμφθεῖσαν, οἱ δὲ ποτήριον Βαθυκλέους ἀπολιπόντος εἶναι λέγουσιν.

V. Ἰδίᾳ δ' Ἀναχάρσεώς τε πρὸς Σόλωνα καὶ πάλιν Θάλεω συνουσίαν τινὰ καὶ λόγους ἀναγράφουσι τοιούτους. (2) Ἀνάχαρσιν μὲν εἰς Ἀθήνας φασὶν ἐπὶ τὴν Σόλωνος ἐλθόντα οἰκίαν κόπτειν καὶ λέγειν ὡς ξένος ὢν ἀφῖκται φιλίαν ποιησόμενος καὶ ξενίαν πρὸς αὐτόν. Ἀποκρινομένου δὲ τοῦ Σόλωνος « οἴκοι βέλτιόν ἐστι ποιεῖσθαι φιλίας », « Οὐκοῦν, φάναι τὸν Ἀνάχαρσιν, αὐτὸς ὢν οἴκοι σὺ ποίησαι φιλίαν καὶ ξενίαν πρὸς ἡμᾶς. » (3) Οὕτω δὴ θαυμάσαντα τὴν ἀγχίνοιαν τοῦ ἀνδρὸς τὸν Σόλωνα δέξασθαι φιλοφρόνως καὶ χρόνον τινὰ σχεῖν παρ' αὑτῷ ἤδη τὰ δημόσια πράττοντα καὶ συνταττόμενον τοὺς νόμους. (4) Τὸν οὖν Ἀνάχαρσιν πυθόμενον καταγελᾶν τῆς πραγματείας τοῦ Σόλωνος, οἰομένου γράμμασιν ἐφέξειν τὰς ἀδικίας καὶ πλεονεξίας τῶν πολιτῶν, ἃ μηδὲν τῶν ἀραχνίων διαφέρειν, ἀλλ' ὡς ἐκεῖνα, τοὺς μὲν ἀσθενεῖς καὶ λεπτοὺς τῶν ἁλισκομένων καθέξειν, ὑπὸ δὲ τῶν δυνατῶν καὶ πλουσίων διαῤῥαγήσεσθαι. (5) Τὸν δὲ Σόλωνα πρὸς ταῦτά φασιν εἰπεῖν, ὅτι καὶ συνθήκας ἄνθρωποι φυλάττουσιν, ἃς οὐδετέρῳ λυσιτελές ἐστι παραβαίνειν τῶν θεμένων· καὶ τοὺς νόμους αὐτὸς οὕτως ἁρμόζεται τοῖς πολίταις, ὥστε πᾶσι τοῦ παρανομεῖν βέλτιον ἐπιδεῖξαι τὸ δικαιοπραγεῖν. Ἀλλὰ ταῦτα μὲν, ὡς Ἀνάχαρσις εἴκαζεν, ἀπέβη μᾶλλον ἢ κατ' ἐλπίδα τοῦ Σόλωνος. Ἔφη δὲ κἀκεῖνο θαυμάζειν ὁ Ἀνάχαρσις ἐκκλησίᾳ παραγενόμενος, ὅτι λέγουσι μὲν οἱ σοφοὶ παρ' Ἕλλησι, κρίνουσι δὲ οἱ ἀμαθεῖς.

inter eos in orbem circuitus, benevole et studiose uno alteri eum concedente. Ferunt enim, Cois nassam jacientibus, eam capturam a Milesiis hospitibus, cum adhuc incerta ejus esset fortuna, emptam fuisse : extractumque reti tripodem aureum, quem eo Helena cum a Troja navigaret, vetusto oraculo quodam admonita, dejecerit. (3) Ibi principio altercatos cum piscatoribus Milesios, post civitates eam controversiam suam fecisse, deventumque ad bellum : tum utrisque Pythiam oraculo præcepisse, ut hominum sapientissimo eum tripodem darent. (4) Ita eum primo Miletum Thaleti missum, ultro donantibus uni viro Cois eum, cujus causa cum universis bello contendissent. Thalete Bianti sapientiæ palmam deferente, ad hunc pervenisse tripodem. (5) Ab hoc ad alium, tanquam sapientiorem indeque ab eo rursus alii transmissum, atque ita denuo ad Thaletem rediisse : denique Mileto Thebas transportatum atque Apollini Ismenio consecratum fuisse. (6) Theophrastus tripodem missum primo Bianti Prienam, ab hoc Miletum Thaleti, inde per ordinem ad omnes, ac postremo ad Biantem relatum, itaque ad extremum Delphos missum. (7) Hæc a multis auctoribus vulgata sunt : nisi quod id donum quidam non tripodem fuisse, sed alii pateram a Crœso missam, alii poculum a Bathycle relictum dicunt.

V. Privatim vero de Anacharsidis, itemque de Thaletis cum Solone congressu hæc traduntur. (2) Anacharsidem, cum Athenas ad Solonis domum venisset, januam pulsasse indicasseque hospitem se adesse, cupereque cum ipso amicitiam et jus hospitii conjungere; Solonem vero respondisse, domi potius amicitias parandas esse, tum illum subjecisse : « Ergo tu, qui domi tuæ es, me amicum tuum fac et hospitem. » (3) Ita Solonem acumen ingenii in Anacharside miratum, comiter hominem accepisse et aliquamdiu secum detinuisse, cum jam ipse rempublicam legesque componeret. (4) Anacharsidem, cum e Solone quam is rem ageret intellexisset, risisse hominis institutum, qui se cives suos ab injustitia et cupiditatibus revocare posse putaret scriptis legibus, quæ nihil ab aranearum telis differrent; sed perinde atque illæ tenerent si quos infirmos et tenues cepissent, a valentioribus et potentibus autem perrumperentur. (5) Ei ita a Solone responsum : Sicut pactis stent homines, eo quod neutris horum, inter quos ea convenissent, expediret ea violare, sic se leges suas civibus ita concinnaturum, ut omnes justitiam injustitia utiliorem perspiciant. (6) Et tamen magis Anacharsidis opinioni, quam Solonis spei, exitus respondit. Id quoque miratum ferunt Anacharsidem, cum forte concioni interfuisset, quod apud Græcos sapientium esset dicere, indoctorum judicare.

VI. Πρὸς Θαλῆν δ' εἰς Μίλητον ἐλθόντα τὸν Σόλωνα θαυμάζειν, ὅτι γάμου καὶ παιδοποιίας τὸ παράπαν ἠμέληκε. (2) Καὶ τὸν Θαλῆν τότε μὲν σιωπῆσαι, διαλιπόντα δ' ὀλίγας ἡμέρας ἄνδρα παρασκευάσαι ξένον, ἀρτίως ἥκειν φάσκοντα δεκαταῖον ἐξ Ἀθηνῶν. (3) Πυθομένου δὲ τοῦ Σόλωνος, εἰ δή τι καινὸν ἐν ταῖς Ἀθήναις, δεδιδαγμένον ἃ χρὴ λέγειν τὸν ἄνθρωπον c « οὐδέν, εἰπεῖν, ἕτερον, εἰ μὴ νὴ Δία νεανίσκου τινὸς ἦν ἐκφορὰ καὶ προύπεμπεν ἡ πόλις· ἦν γὰρ υἱός, ὡς ἔφασαν, ἀνδρὸς ἐνδόξου καὶ πρωτεύοντος ἀρετῇ τῶν πολιτῶν· οὐ παρῆν δέ, ἀλλ' ἀποδημεῖν ἔφασαν αὐτὸν ἤδη πολὺν χρόνον. » (4) « Ὡς δυστυχὴς ἐκεῖνος, φάναι τὸν Σόλωνα. Τίνα δὲ ὠνόμαζον αὐτόν; » Ἤκουσα, φάναι, τοὔνομα, τὸν ἄνθρωπον, ἀλλ' οὐ μνημονεύω· πλὴν ὅτι πολὺς λόγος ἦν αὐτοῦ σοφίας καὶ δικαιοσύνης. (5) Οὕτω δὴ καθ' ἑκάστην ἀπόκρισιν τῷ φόβῳ προσαγόμενον τὸν Σόλωνα καὶ τέλος ἤδη συντεταραγμένον αὐτὸν ὑποβάλλειν τοὔνομα τῷ ξένῳ πυνθανόμενον, μὴ Σόλωνος ὁ τεθνηκὼς υἱὸς ὠνομάζετο. d (6) Φήσαντος δὲ τοῦ ἀνθρώπου τὸν μὲν ὁρμῆσαι παίειν τὴν κεφαλήν, καὶ τἆλλα ποιεῖν καὶ λέγειν, ἃ συμβαίνει τοῖς περιπαθοῦσι. Τὸν δὲ Θαλῆν ἐπιλαβόμενον αὐτοῦ καὶ γελάσαντα, « ταῦτά τοι, φάναι, ὦ Σόλων, ἐμὲ γάμου καὶ παιδοποιίας ἀφίστησιν, ἃ καὶ σὲ κατερείπει τὸν ἐρρωμενέστατον. Ἀλλὰ θάρρει τῶν λόγων ἕνεκα τούτων· οὐ γάρ εἰσιν ἀληθεῖς. » (7) Ταῦτα μὲν οὖν Ἕρμιππος ἱστορεῖν φησι Πάταικον, ὃς ἔφασκε τὴν Αἰσώπου ψυχὴν ἔχειν.

VII. Ἄτοπος δὲ καὶ ἀγεννὴς ὁ τῷ φόβῳ τῆς ἀποβο- e λῆς τὴν κτῆσιν ὧν χρὴ προϊέμενος· οὕτω γὰρ ἂν τις οὐ πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπήσειε παραγενομένην δεδιὼς στέρεσθαι. (2) Καὶ γὰρ ἀρετὴν, ἧς κτῆμα μεῖζον οὐδὲν οὐδ' ἥδιον, ἐξισταμένην ὑπὸ νόσων καὶ φαρμάκων ὁρῶμεν· αὐτῷ τε Θαλῆ μὴ γήμαντι πλέον οὐδὲν εἰς ἀφοβίαν, εἰ μὴ καὶ φίλων κτῆσιν ἔφυγε καὶ οἰκείων καὶ πατρίδος. Ἀλλὰ καὶ παῖδα θετὸν ἔσχε ποιησάμενος αὐτὸς τὸν τῆς ἀδελφῆς, ὥς φασι, Κύβισθον. (3) Ἐχούσης γάρ τι τῆς ψυχῆς ἀγαπητικὸν ἐν ἑαυτῇ καὶ πεφυκυίας, ὥσπερ αἰσθάνεσθαι καὶ διονοεῖσθαι καὶ μνημονεύειν, οὕτω καὶ φιλεῖν ἐνδύεταί τι τούτῳ καὶ προσφύεται τῶν ἐκτὸς οἷς οἰκεῖον οὐδέν ἐστι, f καὶ καθάπερ οἶκον καὶ χώραν γνησίων ἔρημον διαδόχων, τὸ φιλόστοργον ἀλλότριοι ἢ νόθοι θεράποντες εἰσοικισάμενοι καὶ καταλαβόντες, ἅμα τῷ φιλεῖν τὸ φροντίζειν καὶ δεδιέναι περὶ αὐτῶν ἐνεποίησαν. (4) Ὥστ' ἴδοις ἂν ἀνθρώπους στερρότερα τῇ φύσει περὶ γάμου 82 καὶ γενέσεως παίδων διαλεγομένους, εἶτα τοὺς αὐτοὺς a ἐπὶ παισὶν οἰκοτρίβων ἢ θρέμμασι παλλακῶν νοσοῦσι καὶ θνήσκουσι παρατεινομένους πόθῳ καὶ φωνὰς ἀγενεῖς ἀφιέντας. Ἔνιοι δὲ καὶ κυνῶν θανάτῳ καὶ ἵππων αἰσχρῶς καὶ ἀδιώτως ὑπὸ λύπης διετέθησαν. (5) Ἀλλ' ἕτεροί γε παῖδας ἀγαθοὺς ἀποβαλόντες οὐδὲν ἔπαθον δεινὸν οὐδ' ἐποίησαν αἰσχρόν, ἀλλὰ καὶ χρώμενοι τῷ λοιπῷ βίῳ κατὰ λόγον διετέλεσαν. (6) Ἀσθένεια γὰρ,

VI. Porro cum ad Thaletem Solon venisset Miletum, mirum sibi videri ostendit, quod is vir omnino conjugii procreationisque liberorum nullam rationem habuisset. (2) Thales tum quidem tacuit; interjectis vero paucis diebus peregrinum subornavit, qui se proximis decem diebus venisse Athenis simularet. (3) Is percontanti Soloni, ecquid novæ rei Athenis evenisset: nihil aliud, quemadmodum edoctus erat, respondit, quam « funus fuisse eo tempore adolescentis alicujus ductum a civitate: eum enim adolescentem filium fuisse viri illustris ac virtute inter cives primi, qui diu jam peregre abesse diceretur. » (4) « Quam miser, inquit Solon, ille: sed quod ei nomen? » ibi hospes: « Equidem audivi ex illis, sed memoria excidit: id unum memini, de sapientia ejus atque justitia multum fuisse sermonem. « (5) His singulis responsionibus majorem ad metum adductus Solon, jamque perturbatus plane, ipse nomen hospiti subjecit, interrogavitque: « Solonisne ille filius fuisset? » (6) Affirmanteque illo, verbera capiti suo intentavit, statimque ad ea prolapsus est dicenda et facienda, quæ solent qui gravi aliquo dolore sunt perculsi. At Thales eum inhibuit ridensque, « Hæc, inquit, o Solon, nuptiis me et liberorum procreatione absterrent, quæ te quoque, etiam firmissimi hominem animi, dejiciunt. Ceterum hujus quidem sermonis causa bono sis animo; est enim confictus. » (7) Tota hæc narratio est, si Hermippo credimus, Patæci, qui animam Æsopi in se transiisse dixit.

VII. Verum enimvero ineptus est et ignavus homo, qui metu amittendi a parandis rebus necessariis abstineat. Ita enim neque divitias, neque gloriam, neque sapientiam præsentem quispiam gratam habebit, quod privatum ea se iri timeat. Quando ipsam etiam virtutem, qua nihil neque majus neque jucundius possidemus, morbis et medicamentis auferri videmus. Neque vero Thales eo se omnis metus securum præstitit, quod conjugium vitavit, nisi forte et amicos et necessarios, et patriam omnino nullam habuit: quin etiam adoptasse sibi filium sororis Cybisthum traditur. (3) Quippe cum in animo hominis insit quiddam, quod ad diligendum nos incitet, utque vis sentiendi, cogitandi, memorandique, ita etiam amandi in ea sit insita: fit ut qui nihil proprium habeant quod ament, iis aliquid externum se insinuet sibique eos devinciat. Itaque hujusmodi animum, tanquam domum aut agrum legitimis hæredibus carentem, alieni aut non genuini subeunt demerendo, occupantque, et efficiunt ut is simul cum amore curam quoque sollicitudinemque pro ipsis suscipiat. (4) Estque adeo videre homines, qui cum obfirmato admodum animo de conjugio et suscipienda prole disserant, mox vernarum liberis aut pellicum ægrotantibus morientibusve, desiderio eorum excrucientur, vocesque parum viriles emittant, quidam mortem canum aut equorum ita tulerunt, ut turpiter in posterum vixerint, vitam ipsam præ dolore acerbam sibi habentes. (5) Contra inventi sunt, qui amissis egregiis liberis, nihil turpe aut indignum in se admiserunt, sed vitæ reliquum recte et prudenter exegerunt. (6) Non

οὐκ εὔνοια, λύπας ἀπεράντους ἐπάγεται καὶ φόβους ἀνθρώποις ἀνασκήτοις ὑπὸ λόγου πρὸς τύχην, οἷς οὐδ' ἀπόλαυσις ἐγγίνεται τοῦ ποθουμένου παρόντος, τοῦ μέλλοντος ὠδῖνας ἀεὶ καὶ τρόμους καὶ ἀγῶνας, εἰ στε-
5 ρήσονται, παρέχοντος αὐτοῖς. (7) Δεῖ δὲ μήτε πενίᾳ b πρὸς χρημάτων πεπαῦσθαι στέρησιν μήτε ἀφιλίᾳ πρὸς φίλων ἀποβολὴν μήτ' ἀπαιδίᾳ πρὸς τέκνων θάνατον, ἀλλὰ τῷ λογισμῷ πρὸς πάντα. Καὶ ταῦτα μέν, ὡς ἐν τῷ παρόντι, πλείονα τῶν ἱκανῶν.

10 VIII. Ἐπεὶ δὲ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν ἄστει περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες ἐξέκαμον καὶ νόμον ἔθεντο, μήτε γράψαι τινὰ μήτ' εἰπεῖν αὖθις, ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν
15 ἀδοξίαν ὁ Σόλων καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομέ- νους ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαρροῦντας c ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας διεδόθη παρακινητικῶς ἔχειν αὐτόν. (2) Ἐλεγεῖα δὲ κρύφα
20 συνθεὶς καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. Ὄχλου δὲ πολλοῦ συνδραμόντος ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστιν ἀρχὴ

25 Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

(3) Τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν ἐστι χαριέντως πάνυ πεποιημένων. Τότε δὲ ἀσθέντος αὐτοῦ καὶ τῶν φίλων τοῦ Σόλωνος ἀρξα-
30 μένων ἐπαινεῖν, μάλιστα δὲ τοῦ Πεισιστράτου τοῖς d πολίταις ἐγκελευομένου καὶ παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον αὖθις ἥπτοντο τοῦ πολέμου, προστησάμενοι τὸν Σόλωνα. (4) Τὰ μὲν οὖν δημώδη τῶν λεγομένων τοιαῦτ' ἐστίν, ὅτι πλεύσας ἐπὶ
35 Κωλιάδα μετὰ τοῦ Πεισιστράτου καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιστὸν εἰς Σαλαμῖνα, προσποιούμενον αὐτόμολον εἶναι, κελεύοντα τοὺς Μεγαρεῖς, εἰ βούλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν
40 γυναῖκας, ἐπὶ Κωλιάδα μετ' αὐτοῦ πλεῖν τὴν ταχίστην. (5) Ὡς δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν e τῷ πλοίῳ καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων τοὺς μηδέπω γενειῶντας
45 ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένους καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ, παίζειν καὶ χορεύειν προσέταξε πρὸς τῇ θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν οἱ πολέμιοι καὶ γένηται τὸ πλοῖον ὑποχείριον. (6) Οὕτω δὴ τούτων πραττομένων ὑπαχθέντες οἱ Με-
50 γαρεῖς τῇ ὄψει καὶ προσμίξαντες ἐγγὺς ἐξεπήδων ὡς f ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλους· ὥστε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τοὺς Ἀθηναίους.

enim benevolentia, sed animi imbecillitas mœrores sine carentes metusque incutit hominibus, ad ferendam ratione fortunam non exercitatis, quos futurorum timor tantis doloribus ac trepidationibus sollicitudinibusque afflictat, dum se ea, quæ habent, amissuros metuunt, ut præsentibus iis, quæ expetebant, nulla afficiantur delectatione. (7) At vero non paupertate pecuniæ, non solitudine amicorum, non cœlibatu liberorum amissio effugienda est, sed contra hæc omnia consilio animus obfirmandus. Ceterum hæc quidem in præsentia plus satis.

VIII. Athenienses diuturno ac gravi bello de Salamine insula contra Megarenses confecti, legem sanxerant, ut qui vel scripto vel dicto de ea insula obtinenda retulisset, capite plecteretur. Id patriæ dedecus graviter ferens Solon, vidensque compluribus juvenibus tantum initio belli opus esse, quod ipsi metu legis facere non auderent, insaniam simulavit, divulgatusque est per urbem rumor ex ipsius domo, Solonem ad furorem inclinare. (2) Interim ipse elegiacos versus componebat meditabaturque ita ut memoriter recitare posset: ita paratus subito in forum se proripuit pileolo obtectus. Cum magna hominum turba eo advolasset, lapidem præconis conscendit, elegiamque cantavit, cujus initium hoc est:

Ipse ego ab optata præco Salamine profectus
carmina jam celebro, non ego verba fori

(3) Poema id Salamis inscriptum est, constatque centum versibus eleganter admodum compositis. Quod cum esset recitatum, laudarique ab amicis Solonis cœptum esset, Pisistrato præcipue civibus instante adhortanteque ut Solonis monitis obtemperarent, abrogata lege Athenienses bellum instauraverunt, Solone ejus duce electo. (4) Vulgaris fama tenet, Solonem adscito sibi Pisistrato socio, ad Coliadem navigasse, deprehensisque ibi omnibus mulieribus, quæ Cereri sacrum ritu a majoribus accepto faciebant, hominem exploratæ fidei misisse Salaminem, qui se perfugam simulans, juberet Megarenses statim secum ad Coliadem navigare, ut ibi præcipuas Atheniensium matronas caperent. (5) Cui cum fidem habentes Megarenses, viros navigio impositos eo misissent, Solonem, cum id videret ab insula provehi, remotis mulieribus juvenes imberbes earum vestibus, mitris atque calceis induisse, occulteque pugionibus armatos jussisse propter mare per ludum saltare, donec hostibus in terram egressis, navis in suam potestatem veniret. (6) Quæ cum ita agerentur, Megarenses aspectu deceptos, cum propius accessissent, certatim e navi tanquam ad rapiendas mulieres exsiluisse, eoque ad unum omnes ibi interfectos fuisse, Athenienses vero statim ad insulam contendisse eamque cepisse.

IX. Ἄλλοι δέ φασιν, οὐ τοῦτον τὸν τρόπον γενέσθαι τὴν κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν χρῆσαι

Ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
Ἵλασο, τοὺς κόλποις Ἀσωπιὰς ἀμφικαλύπτει,
83 οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα. a

Τὸν δὲ Σόλωνα διαπλεύσαντα νυκτὸς εἰς τὴν νῆσον ἐντεμεῖν σφάγια Περιφήμῳ καὶ Κυχρεῖ τοῖς ἥρωσιν. (2) Εἶτα παρὰ τῶν Ἀθηναίων ἑθελοντὰς λαβεῖν πεντακοσίους, δόγματος γενομένου τούτους, ἂν κατάσχωσι τὴν νῆσον, κυρίους εἶναι τοῦ πολιτεύματος. (3) Ἀναχθέντα δὲ συχναῖς ἁλιάσιν ἅμα τριακοντόρου συμπαραπλεούσης ὑφορμίσασθαι τῇ Σαλαμῖνι κατὰ χηλήν τινα πρὸς τὴν Νίσαιαν ἀποβλέπουσαν. (4) Πυθομένους δὲ τοὺς ἐν Σαλαμῖνι Μεγαρεῖς ἔκ τινος φήμης οὐδὲν βέβαιον, αὐτοὺς μὲν εἰς τὰ ὅπλα θορυβουμένους βαδίζειν, ναῦν δ' ἀποστεῖλαι κατασκεψομένην τῶν πολεμίων· ἧς ἐγγὺς b ἐλθούσης κρατῆσαι τὸν Σόλωνα καὶ καθεῖρξαι τοὺς Μεγαρεῖς. Ἐμβιβάσαι δὲ τῶν Ἀθηναίων τοὺς κρατίστους κελεύσαντα πλεῖν ἐπὶ τὴν πόλιν, ὡς ἂν ἐνδέχηται μάλιστα κρύπτοντας ἑαυτούς· ἅμα δὲ τοὺς ἄλλους Ἀθηναίους ἀναλαβόντα πεζῇ συμφέρεσθαι τοῖς Μεγαρεῦσι· καὶ τῆς μάχης ἔτι συνεστώσης φθάσαι τοὺς ἀπὸ τῆς νεὼς καταλαβόντας τὴν πόλιν. (5) Ἔοικε δὲ τῷ λόγῳ τούτῳ καὶ τὰ δρώμενα μαρτυρεῖν. Ναῦς γάρ τις Ἀττικὴ προσέπλει σιωπῇ τὸ πρῶτον, εἶτα κραυγῇ καὶ ἀλαλαγμῷ προσφερομένων, εἷς ἀνὴρ ἔνοπλος ἐξαλόμενος μετὰ βοῆς ἔθει πρὸς ἄκρον τὸ Σκιράδιον *** ἐκ γῆς προσφερομένοις. (6) Πλησίον δὲ τοῦ Ἐνυαλίου τὸ ἱερόν ἐστιν ἱδρυσαμένου Σόλωνος. Ἐνίκησε γὰρ τοὺς Μεγαρέας καὶ ὅσοι μὴ διεφθάρησαν ἐν τῇ μάχῃ, πάντας ὑποσπόνδους ἀφῆκεν.

X. Οὐ μὴν ἀλλὰ τῶν Μεγαρέων ἐπιμενόντων, πολλὰ κακὰ καὶ δρῶντες ἐν τῷ πολέμῳ καὶ πάσχοντες ἐποιήσαντο Λακεδαιμονίους διαλλακτὰς καὶ δικαστάς. (2) Οἱ μὲν οὖν πολλοὶ τῷ Σόλωνι συναγωνίσασθαι λέγουσι τὴν Ὁμήρου δόξαν· ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον, ἐπὶ τῆς δίκης ἀναγνῶναι· d

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

(3) Αὐτοὶ δ' Ἀθηναῖοι ταῦτα μὲν οἴονται φλυαρίαν εἶναι· τὸν δὲ Σόλωνά φασιν ἀποδεῖξαι τοῖς δικασταῖς, ὅτι Φιλαῖος καὶ Εὐρυσάκης, Αἴαντος υἱοί, Ἀθήνησι πολιτείας μεταλαβόντες παρέδοσαν τὴν νῆσον αὐτοῖς καὶ κατῴκησαν, ὁ μὲν ἐν Βραυρῶνι τῆς Ἀττικῆς, ὁ δὲ ἐν Μελίτῃ· καὶ δῆμον ἐπώνυμον Φιλαίου τῶν Φιλαϊδῶν ἔχουσιν, ὅθεν ἦν Πεισίστρατος. (4) Ἔτι δὲ μᾶλλον ἐξελέγξαι τοὺς Μεγαρέας βουλόμενον ἰσχυρίσασθαι περὶ τῶν νεκρῶν, ὡς οὐχ ὃν τρόπον ἐκεῖνοι θάπτουσι κεκηδευμένων, ἀλλ' ὃν αὐτοί. Θάπτουσι δὲ Μεγαρεῖς πρὸς e ἕω τοὺς νεκροὺς στρέφοντες, Ἀθηναῖοι δὲ πρὸς ἑσπέραν. (5) Ἡρέας δὲ ὁ Μεγαρεὺς ἐνιστάμενος λέγει καὶ Μεγαρεῖς πρὸς ἑσπέραν τετραμμένα τὰ σώματα τῶν

X. Alii non hoc modo captam Salaminem scribunt, sed Delphis primo datum Soloni oraculum:

Ductores patrios sacris placare memento
heroes, tumulo quos terra Asopia condit,
solis ad occasum qui spectant lumine cassi;

itaque Solonem noctu trajecisse Ægiuam, atque hostias Periphemo et Cychreo heroibus mactasse. (2) Secundum hæc accepisse secum quingentos Athenienses, qui sua sponte se ei adjunxerant, quod decretum erat, ut insulam si cepissent, principes essent in republica. (3) Cum his eum avectum esse multis lembis piscatoriis, simul eunte navi una triginliremi, Salaminique appulisse juxta promontorium quoddam Nisææ obversum. (4) Qua de re cum Megarensibus, qui erant in Salamine, incertus rumor accidisset, tumultu facto eos ad arma concurrisse navimque emisisse speculatum; hanc appropinquantem jam hostibus, a Solone captam, eumque, Megarensibus in custodiam datis, imposuisse in eam fortissimos Atheniensium, mandato, ut quam maxime fieri posset se ipsos abscondentes ad urbem adveherentur: ipsum acceptis secum reliquis Atheniensibus, pedestri prœlio cum Megarensibus conflixisse; et adhuc incerta victoria ab iis, qui navi advecti jam in terram exierant, urbem occupatam fuisse. (5) Huic narrationi etiam ritus deinde usurpati videntur testimonium ferre. Primo enim navis Atheniensium appellebat silentio, deinde tumultuantibus ac cum clamore irruentibus ipsis, c vir unus armatus exiliebat, vociferansque, ad promontorium Sciradium currebat *** e terra proruentibus. (6) Pone est templum Martis, a Solone conditum. Vicit enim pugna Megarenses, cujus fortunam qui effugerunt conditionibus pacis acceptis dimissi sunt.

X. Ceterum Megarensibus in contentione perseverantibus, multis ultro citroque illatis acceptisque cladibus, Lacedæmenios arbitros controversiæ sumpserunt. (2) Hic plerique Homeri existimationem Soloni opitulatam dicunt: inseruisse enim versum navium recensioni apud Homerum et in judicio recitasse: d

At cum bis senis Ajax Salamine profectus
navibus Æacides, illic sua castra locavit,
signa ubi Cecropiæ statuebant Martia turmæ.

(3) Ipsi autem Athenienses nugas esse hæc putant, demonstravisseque Solonem judicibus affirmant, quod Philæus et Eurysaces Ajacis filii, cum jus civitatis Atheniensis accepissent, insulam ei civitati tradiderint: alterumque Braurone, alterum Melitæ (vicus uterque est Atticæ) habitasse; estque Atheniensis tribus Philaidarum a Philæo dicta, e qua fuit Pisistratus. (4) Præterea quo magis Megarenses refelleret, contendit, cadavera non Megarensium, sed Atheniensi more humata esse; ea enim in sepeliendo illi orienti obvertunt, hi occidenti. (5) Id Hereas Megarensis impugnans, affirmat Megarenses non modo cadavera ita

νεκρῶν τιθέναι· καὶ μεῖζον ἔτι τούτου, μίαν ἕκαστον Ἀθηναίων ἔχειν θήκην, Μεγαρέων δὲ καὶ τρεῖς καὶ τέσσαρας ἐν μιᾷ κεῖσθαι. (6) Τῷ μέντοι Σόλωνι καὶ Πυθικούς τινας βοηθῆσαι λέγουσι χρησμοὺς, ἐν οἷς ὁ θεὸς Ἰαονίαν τὴν Σαλαμῖνα προσηγόρευσε. (7) Ταύτην τὴν δίκην ἐδίκασαν Σπαρτιατῶν πέντε ἄνδρες, Κριτολαΐδας, Ἀμομφάρετος, Ὑψηχίδας, Ἀναξίλας, Κλεομένης.

XI. Ἤδη μὲν οὖν καὶ ἀπὸ τούτων ἔνδοξος ἦν ὁ Σόλων καὶ μέγας. Ἐθαυμάσθη δὲ καὶ διεβοήθη μᾶλλον ἐν τοῖς Ἕλλησιν εἰπὼν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς, ὡς χρὴ βοηθεῖν καὶ μὴ περιορᾶν Κιρραίους ὑβρίζοντας εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ θεοῦ Δελφοῖς. (2) Πεισθέντες γὰρ ὑπ' ἐκείνου πρὸς τὸν πόλεμον ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Πυθιονικῶν ἀναγραφῇ, Σόλωνι τὴν γνώμην ἀνατιθείς. (3) Οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν Ἕρμιππος Εὐάνθη τὸν Σάμιον. Οὔτε γὰρ Αἰσχίνης ὁ ῥήτωρ τοῦτ' εἴρηκεν, ἔν τε τοῖς Δελφῶν ὑπομνήμασιν Ἀλκμαίων, οὐ Σόλων, Ἀθηναίων στρατηγὸς ἀναγέγραπται.

XII. Τὸ δὲ Κυλώνειον ἄγος ἤδη μὲν ἐκ πολλοῦ διετάραττε τὴν πόλιν, ἐξ οὗ τοὺς συνωμότας τοῦ Κύλωνος ἱκετεύοντας τὴν θεὸν Μεγακλῆς ὁ ἄρχων ἐπὶ δίκῃ κατελθεῖν ἔπεισεν· ἐξάψαντας δὲ τοῦ ἕδους κρόκην κλωστὴν καὶ ταύτης ἐχομένους, ὡς ἐγένοντο περὶ τὰς σεμνὰς θεὰς καταβαίνοντες, αὐτομάτως τῆς κρόκης ῥαγείσης ὥρμησε συλλαμβάνειν ὁ Μεγακλῆς καὶ οἱ συνάρχοντες, ὡς τῆς θεοῦ τὴν ἱκεσίαν ἀπολεγομένης· καὶ τοὺς μὲν ἔξω κατέλευσαν, οἱ δὲ τοῖς βωμοῖς προσφυγόντες ἀπεσφάγησαν· μόνοι δ' ἀφείθησαν οἱ τὰς γυναῖκας αὐτῶν ἱκετεύσαντες. (2) Ἐκ τούτου δὲ κληθέντες ἐναγεῖς ἐμισοῦντο· καὶ τῶν Κυλωνείων οἱ περιγενόμενοι πάλιν ἦσαν ἰσχυροὶ καὶ στασιάζοντες ἀεὶ διετέλουν πρὸς τοὺς ἀπὸ τοῦ Μεγακλέους. Ἐν δὲ τῷ τότε χρόνῳ τῆς στάσεως ἀκμὴν λαβούσης μάλιστα καὶ τοῦ δήμου διαστάντος, ἤδη δόξαν ἔχων ὁ Σόλων παρῆλθεν εἰς μέσον ἅμα τοῖς ἀρίστοις τῶν Ἀθηναίων καὶ δεόμενος καὶ διδάσκων ἔπεισε τοὺς ἐναγεῖς λεγομένους δίκην ὑποσχεῖν καὶ κριθῆναι τριακοσίων ἀριστίνδην δικαζόντων. Μύρωνος δὲ τοῦ Φλυέως κατηγοροῦντος ἑάλωσαν οἱ ἄνδρες καὶ μετέστησαν οἱ ζῶντες· τῶν δ' ἀποθανόντων τοὺς νεκροὺς ἀνορύξαντες ἐξέῤῥιψαν ὑπὲρ τοὺς ὅρους. (4) Ταύταις δὲ ταῖς ταραχαῖς καὶ Μεγαρέων συνεπιθεμένων ἀπέβαλόν τε Νίσαιαν οἱ Ἀθηναῖοι καὶ Σαλαμῖνος ἐξέπεσον αὖθις. Καὶ φόβοι τινὲς ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν· οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν προφαίνεσθαι διὰ τῶν ἱερῶν ἠγόρευον. (5) Οὕτω δὲ μετάπεμπτος αὐτοῖς ἦκεν ἐκ Κρήτης Ἐπιμενίδης ὁ Φαίστιος, ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν ἔνιοι τῶν οὐ προσιεμένων τὸν Περίανδρον. Ἐδόκει δέ τις εἶναι θεοφιλὴς καὶ σοφὸς περὶ τὰ θεῖα τὴν ἐνθουσιαστικὴν καὶ

terræ condere, ut ad occasum solis spectent, sed etiam trina aut quaterna in uno sepulcro, cum singulis Athenienses utantur. (6) Pro Solone etiam quædam Pythica oracula fecisse dicunt, inter quæ fuit quod Salaminem deus Ioniam cognominavit. (7) Arbitrium hujus causæ obierunt quinque Lacedæmonii viri, Critolaidas, Amomphare-tus, Hypsechidas, Anaxilas, Cleomenes.

XI. Hæc jam tum Soloni magnam gloriam paraverant : f
auxit tamen admirationem famamque ejus apud Græcos quod suasit non esse negligendam injuriam quam Cirrhæi Delphico oraculo inferrent, sed pro deo Delphis succurrendum. (2) Ejus enim auctoritate moti Amphictyones, bellum susceperunt, quod et alii testantur, et Aristoteles in enumeratione eorum, qui Pythia vicerunt, Solonem auctorem
84 hujus sententiæ facit. (3) Non tamen, quod Evanthem a
scripsisse Samium Hermippus ait, dux huic bello præfectus est Solon : nam neque Æschines orator id dicit, et in Delphicis commentariis Alcmæon, non Solon, dux Athenienses scriptus est.

XII. Ceterum Cylonium piaculum jam dudum magnas turbas in urbe excitavit. Res ita habet : Megacles archon conjuratis cum Cylone supplicibus deæ factis persuasit, ut se judicio sisterent : qui cum filum textum simulacro Minervæ annexum tenentes a templo descenderent et forte fortuna filum rumperetur, cum ad fanum Furiarum venissent, Megacles cum collegis, quasi supplicationem eorum dea non admitteret, impetum in eos fecerunt, ac qui extra fores templi deprehensi fuerant, lapidibus obruerunt; qui ad aras confugerant, jugularunt : solis iis dimissis, qui ipsorum uxoribus supplicassent. (2) Ab hoc facto dicti scelerati, odio sunt habiti; et qui supererant de factione Cylonia, reparatis viribus continenter adversus Megaclis sectam seditionem movebant. (3) Quæ cum eo tempore jam invaluisset, populumque in duas partes distraxisset, Solon, qui jam auctoritatem sibi apud cives peperisset, in medium cum optimatibus Atheniensium progressus, orando docendoque eo rem deduxit, ut qui scelerati appellabantur, rem judicio trecentorum, qui erant ex optimatibus delecti, civium permitterent : damnatique sunt accusante Myrone Phlyensi, et qui adhuc erant in vivis, solum vertere jussi; defunctorum cadavera effossa et extra limites civitatis projecta. (4) Inter hos tumultus etiam a Megarensibus impetiti Athenienses, rursus amiserunt Nisæam ac Salaminem : metuque propter ostenta et superstitionem objecto urbs terrebatur, renunciaruntque vates, piacula lustrationis egentia sacrificiis indicari. (5) His de causis accitus venit Athenas Epimenides Phæstius, quem in numero sapientum septimum ponunt nonnulli eorum, qui Periandrum excludunt; judicabatur autem diis carus homo et rerum divinarum peritus, eaque sapientia, quæ afflatum numinis requi-

τελεστικὴν σοφίαν. Διὸ καὶ παῖδα νύμφης ὄνομα Βάλτης καὶ Κούρητα νέον αὐτὸν οἱ τότε ἄνθρωποι προσηγόρευον. (6) Ἐλθὼν δὲ καὶ τῷ Σόλωνι χρησάμενος φίλῳ πολλὰ προσυπειργάσατο καὶ προωδοποίησεν αὐτῷ τῆς νομοθεσίας. (7) Καὶ γὰρ εὐσταλεῖς ἐποίησε τὰς ἱερουργίας καὶ περὶ τὰ πένθη πραοτέρους, θυσίας τινὰς εὐθὺς ἀναμίξας πρὸς τὰ κήδη καὶ τὸ σκληρὸν ἀφελὼν καὶ τὸ βαρβαρικόν, ᾧ συνείχοντο πρότερον αἱ πλεῖσται γυναῖκες. Τὸ δὲ μέγιστον, ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας καὶ καθοσιώσας τὴν πόλιν, ὑπήκοον τοῦ δικαίου καὶ μᾶλλον εὐπειθῆ πρὸς δμόνοιαν κατέστησε. (8) Λέγεται δὲ τὴν Μουνυχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος· ἐκφαγεῖν γὰρ ἂν Ἀθηναίους τοῖς αὐτῶν ὀδοῦσιν, εἰ προῇδεσαν, ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον. (9) Ὅμοιον δέ τι καὶ Θαλῆν εἰκάσαι λέγουσι· κελεῦσαι γὰρ αὐτὸν ἔν τινι τόπῳ τῆς Μιλησίας φαύλῳ καὶ παρορωμένῳ τελευτήσαντα θεῖναι, προειπὼν ὡς ἀγορά ποτε τοῦτο Μιλησίων ἔσται τὸ χωρίον. (10) Ἐπιμενίδης μὲν οὖν μάλιστα θαυμασθεὶς καὶ χρήματα διδόντων πολλὰ καὶ τιμὰς μεγάλας τῶν Ἀθηναίων, οὐδὲν ἢ θαλλὸν ἀπὸ τῆς ἱερᾶς ἐλαίας αἰτησάμενος καὶ λαβὼν ἀπῆλθεν.

XIII. Αἱ δ' Ἀθῆναι τῆς Κυλωνείου πεπαυμένης ταραχῆς καὶ μεθεστώτων, ὥσπερ εἴρηται, τῶν ἐναγῶν τὴν παλαιὰν αὖθις στάσιν ὑπὲρ τῆς πολιτείας ἐστασίαζον, ὅσας ἡ χώρα διαφορὰς εἶχεν, τοσαῦτα μέρη τῆς πόλεως διαστάσης. (2) Ἦν γὰρ τὸ μὲν τῶν Διακρίων γένος δημοκρατικώτατον, ὀλιγαρχικώτατον δὲ τὸ τῶν Πεδιέων· τρίτοι δ' οἱ Πάραλοι μέσον τινὰ καὶ μεμιγμένον αἱρούμενοι πολιτείας τρόπον, ἐμποδὼν ἦσαν καὶ διεκώλυον τοὺς ἑτέρους κρατῆσαι. (3) Τότε δὲ τῆς τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας ὥσπερ ἀκμὴν λαβούσης παντάπασιν ἐπισφαλῶς ἡ πόλις διέκειτο καὶ μόνως ἂν ἐδόκει καταστῆναι καὶ παύσασθαι ταραττομένη τυραννίδος γενομένης. (4) Ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. Ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες· ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύοντες, οἱ δ' ἐπὶ τῇ ξένῃ πιπρασκόμενοι. (5) Πολλοὶ δὲ καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν (οὐδεὶς γὰρ νόμος ἐκώλυε) καὶ τὴν πόλιν φεύγειν διὰ τὴν χαλεπότητα τῶν δανειστῶν. (6) Οἱ δὲ πλεῖστοι καὶ ῥωμαλεώτατοι συνίσταντο καὶ παρεκάλουν ἀλλήλους μὴ περιορᾶν, ἀλλ' ἑλομένους ἕνα προστάτην ἄνδρα πιστὸν ἀφελέσθαι τοὺς ὑπερημένους καὶ γῆν ἀναδάσασθαι καὶ ὅλως μεταστῆσαι τὴν πολιτείαν.

XIV. Ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι συνορῶντες τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμε-

rit et initiationibus consistit, præditus. Itaque ejus temporis homines filium eum nymphæ Baltes et novum Curetem vocabant. (6) Qui ubi advenit, Solone familiariter usus est, et multis in rebus eum adjuvit viamque ei ad leges ferendas struxit. (7) Contraxit enim splendorem cæremoniarum luctumque additis ipsi funeri quibusdam sacrificiis mitigavit, duro ac barbaro more, quo ante pleræque utebantur mulieres, sublato : et quod fuit potissimum placationibus deorum, expiationibus dedicationibusque rerum sacrarum urbem ita lustravit, ut eam justitiæ obtemperantiorem facilioremque ad concordiam reddiderit. (8) Fertur, cum Munychiam inspexisset diuque contemplatus fuisset, dixisse adstantibus : Quam cæci sunt homines in prævidendis rebus futuris ! si Athenienses scirent, quanta huic locus mala est urbi daturus, dentibus profecto suis eum eroderent. (9) Simile quiddam Thaletem conjectura præcepisse memorant, qui sui defuncti corpus jusserit poni in abjecto quodam et contempto loco agri Milesii, prædicentem ibi quondam forum Milesiorum fore. (10) Epimenides cum ita in summam admirationem sui homines adduxisset, magnam pecuniam offerentibus honoresque Atheniensibus, nihil præter ramum sacræ oleæ poposcit, eoque accepto abiit.

XIII. At vero Athenienses, sedato tumultu Cylonio pulsisque, ut narratum est, in exilium sceleratis, rursus in antiquam seditionem de republica prolapsi sunt, divulsa in tot partes urbe, quot erant agri divisa genera. (2) Diacrii enim popularem statum, paucorum principatum Pedienses enixe efflagitabant, Parali medium quendam et commixtum reipublicæ statum cupiebant, reliquisque obstantes, neutros prævalere sinebant. Sed eo jam tum inter pauperes ac divites inæqualitas excreverat, ut in summo urbs esset periculo, neque aliter nisi tyrannide in ea constituta, videbatur finis turbarum futurus. (4) Totus enim populus ære alieno divitibus erat obstrictus, et aut colebant agros, sextantem fructuum illis pendentes, unde Hectemorii ac Thetes vocabantur; aut corpora debito opponentes, a creditore in servitutem abduci poterant ita, ut aut in patria servirent aut divenditi peregrinis. (5) Multi suos liberos vendere nulla lege obstante aut ob inhumanitatem fœneratorum ab urbe profugere cogebantur. (6) At plurimi ac robustissimi facta coitione adhortabantur se mutuo ne ea amplius tolerarent, sed certo aliquo viro duce sibi præfecto, eos qui præstituta die non solvissent in libertatem vindicarent, agrum dividerent, omninoque rempublicam immutarent.

XIV. Eo rerum statu prudentissimi Atheniensium cernentes Solonem unum ab utroque vitio esse intactum, ac neque injuriarum divitibus neque miseriarum pauperibus socium, oravere hominem, ut communis utilitatis curam

νον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς. (2) Καίτοι Φανίας ὁ Λέσβιος αὐτὸν ἱστορεῖ τὸν Σόλωνα χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως ὑποσχέσθαι κρύφα τοῖς μὲν ἀπόροις τὴν νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν τῶν συμβολαίων. (3) Ἀλλ' αὐτὸς ὁ Σόλων ὀκνῶν φησι τὸ πρῶτον ἅψασθαι τῆς πολιτείας καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν. (4) Ἡρέθη δὲ ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης, δεξαμένων προθύμως αὐτὸν ὡς μὲν εὔπορον τῶν πλουσίων, ὡς δὲ χρηστὸν τῶν πενήτων. (5) Λέγεται δὲ καὶ φωνή τις αὐτοῦ περιφερομένη πρότερον εἰπόντος, ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ καὶ τοῖς κτηματικοῖς ἀρέσκειν καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετῇ, τῶν δὲ μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων· (6) ὅθεν ἐπ' ἐλπίδος ἑκατέρων μεγάλης γενομένων οἱ προϊστάμενοι προσέκειντο τῷ Σόλωνι τυραννίδα προξενοῦντες καὶ ἀναπείθοντες εὐτολμότερον ἅψασθαι τῆς πόλεως ἐγκρατῆ γενόμενον. (7) Πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν τὴν ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ χαλεπὴν οὖσαν, οὐκ ἔφυγον ἕνα τὸν δικαιότατον καὶ φρονιμώτατον ἐπιστῆσαι τοῖς πράγμασιν. (8) Ἔνιοι δέ φασι καὶ μαντείαν γενέσθαι τῷ Σόλωνι Πυθοῖ τοιαύτην·

Ἧσο μέσην κατὰ νῆα, κυβερνητήριον ἔργον
εὐθύνων· πολλοί τοι Ἀθηναίων ἐπίκουροι.

(9) Μάλιστα δὲ οἱ συνήθεις ἐκάκιζον, εἰ διὰ τοὔνομα δυσωπεῖται τὴν μοναρχίαν, ὥσπερ οὐκ ἀρετῇ τοῦ λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην· καὶ γεγενημένην πρότερον μὲν Εὐβοεῦσι Τυννώνδαν, νῦν δὲ Μιτυληναίοις Πιττακὸν ἠρημένοις τύραννον. (10) Τούτων οὐδὲν ἐξέκρουσε τὸν Σόλωνα τῆς αὑτοῦ προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δὲ ἀπόβασιν. (11) Πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων,

Εἰ δὲ γῆς (φησὶν) ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

Ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. (12) Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως·

Οὐκ ἄφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο.
Περιβαλὼν δ', ἄγραν ἀγασθείς οὐκ ἀνέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς.
Ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸν ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.

XV. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας. Οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασι

susciperet controversiamque dissolveret. (2) Phanias quidem Lesbius narrat, utrisque eum imposuisse, quod saluti publicæ consuleret, clanculum pauperibus agrorum divisionem, divitibus confirmationem pactionum pollicendo. (3) At ipse ait se ægre initio rempublicam attigisse, quod et horum cupiditatem et illorum superbiam metueret. (4) Electus est archon post Philombrotum, simulque et arbiter, et legum conditor, accipientibus eum utrisque libenter plane, divitibus tanquam locupletem, egenis ut mitem. (5) Ferunt etiam dictum ejus jam ante omnium in ore fuisse, ab æqualitate nullum bellum oriri, ita quidem, ut et opulentis hoc et inopibus probatum fuerit, alteris æqualitatem virtute ac merito uniuscujusvis, alteris mensura et numero eodem sperantibus æstimatum iri. (6) Quare utrisque in magnam spem adductis, qui primas agebant in populo, tyrannidem Soloni offerebant, instantes suadentesque, ut omnibus rebus in suam potestatem acceptis, negotium eo majore animo aggrederetur. (7) Complures etiam eorum qui neutri factioni adhærebant, videntes difficulter mutationem eam verbis et legibus posse effici, haud inviti ad unum justissimum ac prudentissimum summam rerum deferri videbant. (8) Sunt qui hoc Soloni oraculum Pythiam cecinisse asserant:

In media residens, age, navim dirige clavo:
multi Cecropidum tua fidi cœpta juvabunt.

(9) Præsertim vero a familiaribus suis objurgabatur, ut qui propter nomen a tyrannide abhorreret, quasi vero non statim eam in regnum virtus ejus, qui occepisset, mutare posset: quod ante Euboensibus evenisset, cum Tynnondæ, et recens Mitylenæis, cum Pittaco tyrannidem obtulissent. (10) Nihil horum suo a consilio deduxit Solonem: sed amicis fertur respondisse, tyrannidem quidem locum esse pulcrum, exitum autem nullum habere. (11) Ad Phocum autem in carminibus suis ita scripsit:

Quod peperci patriæ
ego meæ, tyrannidemque et vitam inexorabilem
respui contaminari non ferens laudem meam,
nil pudet. Nam sic opinor præstiturum me omnibus.

Unde satis liquet, etiam ante legum lationem magnum fuisse ejus nomen. (12) Quæ vero de ipso tyrannidem detrectante multi deridentes dixerint, ita ipse perscripsit:

Non quidem est Solon cordatus, aut vir consilio valens;
nam deo bona largiente tanta accipere noluit:
tam bona eum incidisset præda, trahere rete noluit,
mentis impos et rationis expers sensuumque homo.
Ipse non recusem adeptus amplas divitias prius,
imperavissem si Athenis unicum tantum diem,
utris instar excoriari et exscindi meum genus.

XV. Talia multitudinem perversam de ipso loquentem introduxit. Neque vero quia tyrannidem a se rejecerat, ideo rem ipsam summa cum lenitate confecit, aut mollem se

σιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους, ἀλλ' ἢ μὲν ἀρεστὸν ἦν οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν, φοβηθεὶς μὴ

συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν

ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον· ἃ δὲ καὶ λέγων ἤλπιζε c πειθομένοις καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσασθαι, ταῦτ' ἔπραττεν, ὡς φησιν αὐτὸς,

Ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας.

Cum jure vim, cum vique jus conjungeret.

(2) Ὅθεν ὕστερον ἐρωτηθεὶς, εἰ τοὺς ἀρίστους Ἀθηναίοις νόμους ἔγραψεν, « ὧν ἂν, ἔφη, προσεδέξαντο τοὺς ἀρίστους. » (3) Ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέγουσι τὰς τῶν πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις ἐπικαλύπτοντας ἀστείως ὑποκορίζεσθαι, τὰς μὲν πόρνας ἑταίρας, τοὺς δὲ φόρους συντάξεις, φυλακὰς δὲ τὰς φρουρὰς τῶν πόλεων, οἴκημα δὲ τὸ δεσμωτήριον καλοῦντας, πρώτου Σόλωνος ἦν, ὡς ἔοικε, σόφισμα τὴν τῶν χρεῶν ἀποκοπὴν σεισά- d χθειαν ὀνομάσαντος. (4) Τοῦτο γὰρ ἐποιήσατο πρῶτον πολίτευμα γράψας τὰ μὲν ὑπάρχοντα τῶν χρεῶν ἀνεῖσθαι, πρὸς δὲ τὸ λοιπὸν ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν. (5) Καίτοι τινὲς ἔγραψαν, ὧν ἐστιν Ἀνδροτίων, οὐκ ἀποκοπῇ χρεῶν, ἀλλὰ τόκων μετριότητι κουφισθέντας ἀγαπῆσαι τοὺς πένητας καὶ σεισάχθειαν ὀνομάσαι τὸ φιλανθρώπευμα τοῦτο καὶ τὴν ἅμα τούτῳ γενομένην τῶν τε μέτρων ἐπαύξησιν καὶ τοῦ νομίσματος τιμήν. (6) Ἑκατὸν γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν· ὥστ' ἀριθμῷ μὲν ἴσον, δυνάμει δ' ἔλαττον ἀποδιδόντων ὠφελεῖσθαι μὲν τοὺς ἐκτίνοντας μεγάλα, μηδὲν δὲ βλάπτεσθαι τοὺς κομιζο- e μένους. (7) Οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν καὶ τούτοις συνᾴδειν μᾶλλον τὰ ποιήματα. (8) Σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς

Ὅρους ἀνεῖλε πολλαχῇ πεπηγότας
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα·

καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν τοὺς μὲν ἀνήγαγεν ἀπὸ ξένης

γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους·
Τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας

ἐλευθέρους φησὶ ποιῆσαι. (9) Πρᾶγμα δ' αὐτῷ συμπεσεῖν λέγεται πάντων ἀνιαρότατον ἀπὸ τῆς πράξεως ἐκείνης. f Ὡς γὰρ ὥρμησεν ἀνιέναι τὰ χρέα καὶ λόγους ἁρμόττοντας ἐζήτει καὶ πρέπουσαν ἀρχήν, ἐκοινώσατο τῶν φίλων οἷς μάλιστα πιστεύων καὶ χρώμενος ἐτύγχανε, τοῖς περὶ Κόνωνα καὶ Κλεινίαν καὶ Ἱππόνικον· ὅτι γῆν μὲν a οὐ μέλλει κινεῖν, χρεῶν δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν. (10) Οἱ δὲ προλαβόντες εὐθὺς καὶ φθάσαντες ἐδανείσαντο συχνὸν ἀργύριον παρὰ τῶν πλουσίων καὶ μεγάλας συνεω-

potentibusque obsequentem præbuit, aut accommodavit se in sanciendis legibus voluntati eorum, qui eum principem elegissent : sed quoad non displicebat populo, nullum remedium, nullam mutationem iis adhibebat, nimirum metuens ne si omnia confudisset, totumque reipublicæ statum conturbasset, post ad eum denuo constituendum inque optimam formam redigendum haud satis esset virium habiturus et quibus in rebus cives vel suadenti sibi vel cogenti obtemperaturos existimabat, eas ita tractavit, ut quod ipse ait,

(2) Itaque post interrogatus, optimasne leges Atheniensibus dedisset, « De iis quidem, inquit, rebus, de quibus optimas ipsi admiserunt. » (3) Jam quod recentiores aiunt, Athenienses rerum ipsarum invidiam urbane inditis nominibus mollibus atque mitioribus obtegere et diminuere, ut cum meretrices amicarum, tributa collatæ in usum reipublicæ pecuniæ, urbium præsidia custodiæ, carcerem domicilii vocabulis efferunt, id apparet primo arte a Solone esse excogitatum, qui æris alieni remissioni σεισάχθειαν, *i. e. onerum sublevationem* nomen imposuit. (4) Hæc enim prima ejus fuit in republica constitutio, quod lege lata æs alienum omne remisit debitoribus, vetuitque ne quis in posterum corporis obligatione id contraheret. (5) Quanquam nonnulli, quorum in numero est Androtion, pauperes non novis tabulis, sed fœnoris diminutione sublevatos, contentos fuisse idque beneficium, ac quod mensuram et pretium nomismatis simul mutavit, σεισάχθειαν appellatam esse aiunt. (6) Minam enim, cum ante esset septuaginta trium drachmarum, ad centenarium earum numerum extendit, ut cum numerus idem, pretium tamen minus persolveretur, et hi magnum commodum sentirent, qui solvebant, et qui accipiebant, nihil damni inde haberent. (7) Plerique putant sisachthia omnes simul obligationes abolitas fuisse, huicque sententiæ magis astipulari carmina Solonis. (8) Gloriatur enim in iis se multos prioris agri

Hinc inde fixos sustulisse terminos :
et ante servum, nunc solum esse liberum ;

et quod civium æris alieni causa nexorum ; alios adduxerit ab exteris regionibus,

Qui vocibus non uterentur Atticis,
hinc inde tam variis vagati casibus :

alios autem Athenis

Indigna quos tenuerat ante servitus,
exemeritque feceritque liberos.

(9) Hoc in negotio traditum est accidisse Soloni rem longe omnium adversissimam. Cum enim statuisset æs alienum remittere sermonemque ei proposito aptum commodumque initium circumspiceret, amicis suis, quibus et maxime fidebat et summopere utebatur, Cononi, Cliniæ et Hipponico indicavit, agros se intactos relicturum, novas autem tabulas facturum. (10) Huic rei antevertentes illi magna pecuniæ vi a divitibus mutuo sumpta, multos agros coeme-

νήσαντο χώρας· εἶτα τοῦ δόγματος ἐξενεχθέντος τὰ μὲν κτήματα καρπούμενοι, τὰ δὲ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες, εἰς αἰτίαν τὸν Σόλωνα μεγάλην καὶ διαβολήν, ὥσπερ οὐ συναδικούμενον, ἀλλὰ συναδικοῦντα κατέστησαν. (11) Ἀλλὰ τοῦτο μὲν εὐθὺς ἐλύθη τὸ ἔγκλημα τοῖς πέντε ταλάντοις· τοσαῦτα γὰρ εὑρέθη δανείζων καὶ ταῦτα πρῶτος ἀφῆκε κατὰ τὸν νόμον. (12) Ἔνιοι δὲ πεντεκαίδεκα λέγουσιν, ὧν καὶ Πολύζηλος ὁ Ῥόδιός ἐστι. Τοὺς μέντοι φίλους αὐτοῦ χρεωκοπίδας καλοῦντες διετέλεσαν.

XVI. Ἤρεσε δ' οὐδετέροις, ἀλλ' ἐλύπησε καὶ τοὺς πλουσίους ἀνελὼν τὰ συμβόλαια καὶ μᾶλλον ἔτι τοὺς πένητας, ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς, οὐδὲ παντάπασιν, ὥσπερ ὁ Λυκοῦργος, ὁμαλοὺς τοῖς βίοις καὶ ἴσους κατέστησεν. (2) Ἀλλ' ἐκεῖνος μὲν ἐνδέκατος ὢν ἀφ' Ἡρακλέους καὶ βεβασιλευκὼς ἔτη πολλὰ τῆς Λακεδαίμονος ἀξίωμα μέγα καὶ φίλους καὶ δύναμιν, οἷς ἔγνω καλῶς περὶ τῆς πολιτείας, ὑπηρετοῦσαν εἶχε καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ χρησάμενος, ὥστε καὶ τὸν ὀφθαλμὸν ἐκκοπῆναι, κατειργάσατο τὸ μέγιστον εἰς σωτηρίαν πόλεως καὶ ὁμόνοιαν, μηδένα πένητα μηδὲ πλούσιον εἶναι τῶν πολιτῶν· (3) Σόλων δὲ τούτου μὲν οὐκ ἐφίκετο τῇ πολιτείᾳ δημοτικὸς ὢν καὶ μέσος, ἐνδεέστερον δὲ τῆς ὑπαρχούσης δυνάμεως οὐδὲν ἔπραξεν, ὁρμώμενος ἐκ μόνου τοῦ βούλεσθαι καὶ πιστεύειν αὐτῷ τοὺς πολίτας. (4) Ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δῄοι.

Καίτοι φησίν, ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν,

Οὔτ' ἂν κατέσχε θυμὸν οὔτ' ἐπαύσατο,
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

(5) Ταχὺ μέντοι τοῦ συμφέροντος αἰσθόμενοι καὶ τὰς ἰδίας αὐτῶν μέμψεις ἀφέντες ἔθυσάν τε κοινῇ, Σεισάχθειαν τὴν θυσίαν ὀνομάσαντες καὶ τὸν Σόλωνα τῆς πολιτείας διορθωτὴν καὶ νομοθέτην ἀπέδειξαν· οὐ τὰ μέν, τὰ δ' οὐχί, πάντα δ' ὁμαλῶς ἐπιτρέψαντες, ἀρχὰς, ἐκκλησίας, δικαστήρια, βουλάς· καὶ τίμημα τούτων ἑκάστου καὶ ἀριθμὸν καὶ καιρὸν ὁρίσαι, λύοντα καὶ φυλάττοντα τῶν ὑπαρχόντων καὶ καθεστώτων ὅ τι δοκοίη.

XVII. Πρῶτον μὲν οὖν τοὺς Δράκοντος νόμους ἀνεῖλε πλὴν τῶν φονικῶν ἅπαντας διὰ τὴν χαλεπότητα καὶ τὸ μέγεθος τῶν ἐπιτιμίων. (2) Μία γὰρ ὀλίγου δεῖν ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία θάνατος· ὥστε καὶ τοὺς ἀργίας ἁλόντας ἀποθνήσκειν καὶ τοὺς λάχανα κλέψαντας ἢ ὀπώραν ὁμοίως κολάζεσθαι τοῖς ἱεροσύλοις καὶ ἀνδροφόνοις. (3) Διὸ Δημάδης ὕστερον εὐδοκίμησεν εἰπὼν, ὅτι δι' αἵματος, οὐ διὰ μέλανος, τοὺς νόμους ὁ Δράκων ἔγραψεν. Αὐτὸς δ' ἐκεῖνος, ὥς φασιν, ἐρωτώ-

runt: post decreto publicato, cum ipsi fructus ex agris perciperent, creditoribus autem debitum non redderent, magnis criminibus calumniisque Solonem objecerunt, tanquam non ferendæ, sed faciendæ injuriæ particeps ipse fuisset. (11) Hanc tamen infamiam ipse statim diluit, quinque talentis (tot enim ei debebantur) secundum legem a se primo omnium condonatis. (12) Quidam, in quibus est Polyzelus Rhodius, quindecim talenta in nominibus habuisse Solonem scribunt; amici vero ejus semper χρεωκοπίδαι, *hoc est novarum tabularum auctores*, cognominati sunt.

XVI. Interim Solon neutri factioni placebat: sed et divites sublatis pactionibus offendebat, et pauperes, quod ab iis speratam agrariam legem non tulisset, neque eandem quam Lycurgus vitæ æqualitatem instituisset. (2) Sed hic quidem undecimus ab Hercule cum esset multisque annis Lacedæmone regnasset, magnam auctoritatem, amicos multos ac potentiam, quæ iis quæ præclare de republica statuisset exsequendis suppeditaret, habuit: isque vi magis quam persuadendo usus, ita ut oculum quoque amiserit in contentione, id confecit, quod ad salutem et concordiam civium faciebat maxime, ut nemo inter eos dives esset, nemo pauper. (3) At Solon id quidem consecutus non est, de populo unus ac medii status homo: nihil tamen ea quam obtinebat potentia inferius egit, cum quidem ei nulla præter consilium et fidem apud cives præsidia fuerint. (4) Quod incurrerit in plerorumque offensiones, diversa exspectantium, ipse de eis ait:

Gaudium putabant ante me suum: infensi mihi
nunc ut hostem obliquis intuentur oculis me suum.

Itemque affirmat, si quispiam alius eandem potentiam nactus fuisset,

Non temperasset aut cessasset, quam prius,
tumultuans lac pingue exemisset sibi.

(5) Mox tamen ipsi suam utilitatem sentientes, omissis reprehensionibus publice sacrificarunt, quod sacrificium Sisachthiam dixerunt, Solonem autem reipublicæ correctorem, legumque latorem declaraverunt, non alia ejus permittentes potestati, alia eximentes, sed libere magistratus, conciones, judicia, consilia, horum singulorum dignitatem, pretium, numerum, tempus, ut ejus arbitrio omnia vel abrogarentur vel servarentur, concesserunt.

XVII. Primum igitur omnes Draconis leges, præter eam quæ erat de cædibus, abrogavit, propter duritiem et magnitudinem suppliciorum. (2) Nam omnibus fere delictis capitalis pœna erat constituta, ita ut morte etiam multarentur qui otii damnati essent, et olus aut poma furati non alio quam sacrilegi et homicidæ supplicio afficerentur. (4) Itaque illud Demadis postea laudem invenit, Draconem non atramento, sed sanguine leges suas scripsisse dicentis. Ipse autem Draco interrogatus cur plerisque peccatis mortem

μενος, διὰ τί τοῖς πλείστοις ἀδικήμασι ζημίαν ἔταξε θάνατον, ἀπεκρίνατο, τὰ μὲν μικρὰ ταύτης ἄξια νομίζειν, τοῖς δὲ μεγάλοις οὐκ ἔχειν μείζονα.

XVIII. Δεύτερον δὲ Σόλων τὰς μὲν ἀρχὰς ἁπάσας, ὥσπερ ἦσαν, τοῖς εὐπόροις ἀπολιπεῖν βουλόμενος, τὴν δ' ἄλλην μῖξαι πολιτείαν, ἧς ὁ δῆμος οὐ μετεῖχεν, ἔλαβε τὰ τιμήματα τῶν πολιτῶν καὶ τοὺς μὲν ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας, πρώτους ἔταξε καὶ Πεντακοσιομεδίμνους προσηγόρευσε· δευτέ- 88ρους δὲ τοὺς ἵππον τρέφειν δυναμένους ἢ μέτρα ποιεῖν a τριακόσια· καὶ τούτους ἱππάδα τελοῦντας ἐκάλουν· Ζευγῖται δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν, οἷς μέτρον ἦν συναμφοτέρων διακοσίων. Οἱ δὲ λοιποὶ πάντες ἐκαλοῦντο Θῆτες, οἷς οὐδεμίαν ἀρχὴν ἔδωκεν ἄρχειν, ἀλλὰ τῷ συνεκκλησιάζειν καὶ δικάζειν μόνον μετεῖχον τῆς πολιτείας. (2) Ὃ κατ' ἀρχὰς μὲν οὐδὲν, ὕστερον δὲ παμμέγεθες ἐφάνη· τὰ γὰρ πλεῖστα τῶν διαφόρων ἐνέπιπτεν εἰς τοὺς δικαστάς. Καὶ γὰρ ὅσα ταῖς ἀρχαῖς ἔταξε κρίνειν, ὁμοίως καὶ περὶ ἐκείνων εἰς τὸ δικαστήριον ἐφέσεις ἔδωκε τοῖς βουλομένοις. (3) Λέγεται δὲ καὶ τοὺς νόμους ἀσαφέστερον γράψας καὶ πολλὰς ἀντιλήψεις ἔχοντας αὐξῆσαι τὴν τῶν δικαστηρίων ἰσχύν· μὴ δυναμένους γὰρ ὑπὸ τῶν νόμων διαλυθῆναι b περὶ ὧν διεφέροντο, συνέβαινεν ἀεὶ δεῖσθαι δικαστῶν καὶ πᾶν ἄγειν ἀμφισβήτημα πρὸς ἐκείνου τρόπον τινὰ τῶν νόμων κυριεύοντας. (4) Ἐπισημαίνεται δ' αὐτὸς αὑτῷ τὴν ἐξίσωσιν οὕτως·

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος.
Οἱ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
Ἕστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

(5) Ἔτι μέντοι μᾶλλον οἰόμενος δεῖν ἐπαρκεῖν τῇ τῶν πολλῶν ἀσθενείᾳ, παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ κακῶς πεπονθότος ἔδωκε. (6) Καὶ γὰρ πληγέντος ἑτέρου καὶ βλαβέντος καὶ βιασθέντος ἐξῆν τῷ δυναμένῳ καὶ βουλομένῳ γράφεσθαι τὸν ἀδικοῦντα καὶ διώκειν· ὀρθῶς ἐθίζοντος τοῦ νομοθέτου τοὺς πολίτας ὥσπερ ἑνὸς μέρους συναισθάνεσθαι καὶ συναλγεῖν ἀλλήλοις. (7) Τούτῳ δὲ τῷ νόμῳ συμφωνοῦντα λόγον αὐτοῦ διαμνημονεύουσιν. Ἐρωτηθεὶς γὰρ, ὡς ἔοικεν, ἥτις οἰκεῖται κάλλιστα τῶν πόλεων, « Ἐκείνη, εἶπεν, ἐν ᾗ τῶν ἀδικουμένων οὐχ ἧττον οἱ μὴ ἀδικούμενοι προβάλλονται καὶ κολάζουσι τοὺς ἀδικοῦντας. »

XIX. Συστησάμενος δὲ τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴν d ἐκ τῶν κατ' ἐνιαυτὸν ἀρχόντων, ἧς διὰ τὸ ἄρξαι καὶ αὐτὸς μετεῖχεν, ἔτι δ' ὁρῶν τὸν ὄχλον οἰδοῦντα καὶ θρασυνόμενον τῇ τῶν χρεῶν ἀφέσει, δευτέραν προσκατένειμε βουλὴν, ἀπὸ φυλῆς ἑκάστης, τεττάρων οὐσῶν, ἑκατὸν ἄνδρας ἐπιλεξάμενος, οὓς προβουλεύειν ἔταξε τοῦ δήμου καὶ μηδὲν ἐᾶν ἀπροβούλευτον εἰς ἐκκλησίαν εἰσφέρεσθαι. (2) Τὴν δ' ἄνω βουλὴν ἐπίσκοπον πάντων καὶ φύλακα τῶν νόμων ἐκάθισεν, οἰόμενος ἐπὶ δυσὶ βου-

pœnam constituisset, fertur respondisse, eo id a se factum, quod parva delicta mortem mereri censeret, magnis autem quod majus irrogaret, nullum haberet.

XVIII. Secundo loco cum statuisset Solon magistratus omnes divitibus, penes quos tum erant, relinquere, reliquam f vero partem reipublicæ etiam pauperibus (exclusi enim erant) communem facere, censum civium instituit. Qui aridorum simul liquidorumque medimnos quingentos in reditibus habebant, eos primos inter cives statuit, vocavitque Πεντακοσιομεδίμνους. Secundo loco eos, qui equum alere possent, aut perciperent medimnos fructuum trecentos : hos ἱππάδα τελοῦντας (*i. e. equestris census homines*) appellavit. Tertio censui ζευγιτῶν (*i. e. jugum mularum alentium*) nomen fecit, quod binis census esset trecentorum medimnorum. Reliqui omnes Θῆτες, *hoc est, capite censi*, nuncupabantur : his nullum magistratum gerere concessit, sed tantum ad conciones et judicia admissi, in partem reipublicæ veniebant. (2) Quod etsi initio nullius momenti videbatur, tamen permagnum esse posterius apparuit, quod pleræque controversiæ ad judices deferebantur; nam et quarum causarum judicia magistratibus tribuit, earum concedebatur iis qui vellent a magistratibus ad judices provocatio. (3) Traditur etiam eo vim judiciorum auxisse, quod leges nonnihil obscuras, et in quibus multa in diversas partes exponi possent, conscripserit : quippe cum legibus dissolvere litem nequirent, usu veniebat ut semper judicum operam requirerent, ad eosque controversias suas deferrent qui legum domini quodammodo erant. (4) Ipse hanc æquationem his versibus indicat :

Quas sat erat vires populo, non protinus aucto,
sed neque sublato prorsus honore, dedi.
Divitibus quanquam potior concessa potestas,
his tamen indignum nil, neque turpe licet.
c Sic corpus valida munivimus aspide utrumque,
ne vinci alterutrum, vincere neve queat.

(5) Quo magis autem plebeiorum infirmitati opitularetur, injuriam alicui illatam unicuique, qui voluisset, persequendi potestatem fecit. (6) Itaque si cui plaga imposita, aut damnum datum, aut vis facta esset, licebat ei, qui poterat et volebat, eum, qui injuriam intulisset, in jus vocare. Qua re cives suos egregie adsuefecit, ut singuli cum singulis, tanquam unius corporis partes, dolorem participarent. (7) Memoraturque dictum ejus, quod huic legi consonat; interrogatus enim, ut videtur, quænam urbs optime habitaretur, « Ea, inquit, in qua eos qui injuriam alicui fecerunt, non minus hi qui læsi non sunt, ulciscuntur, quam ii quibus vis est illata. »

XIX. Deinde cum ex annuis magistratibus senatum instituisset Areopagitarum, quo in concilio ipse etiam, ut qui magistratum gereret, fuit : sentiens plebem nihilominus fremere, æris alieni abolitione inflatam, alterum senatorum concilium ordinavit, delectis ex singulis (erant autem quattuor) tribubus, viris centum, qui senatores, antequam populus suffragia de re quapiam iniret, auctores fierent, neque in concione de re ulla referri liceret, nisi auctores ipsi facti fuissent. (2) Areopagitarum vero senatum præsidem omnium custodemque legum voluit esse : existimans rempu-

λαῖς ὥσπερ ἀγκύραις ὁρμοῦσαν ἧττον ἐν σάλῳ τὴν πόλιν ἔσεσθαι καὶ μᾶλλον ἀτρεμοῦντα τὸν δῆμον παρέξειν. (3) Οἱ μὲν οὖν πλεῖστοι τὴν ἐξ Ἀρείου πάγου βουλὴν, ὥσπερ εἴρηται, Σόλωνα συστήσασθαί φασι καὶ μαρτυρεῖν αὐτοῖς δοκεῖ μάλιστα τὸ μηδαμοῦ τὸν Δράκοντα λέγειν, μηδ' ὀνομάζειν Ἀρεοπαγίτας, ἀλλὰ τοῖς Ἐφέταις ἀεὶ διαλέγεσθαι περὶ τῶν φονικῶν. (4) Ὁ δὲ τρισκαιδέκατος ἄξων τοῦ Σόλωνος τὸν ὄγδοον ἔχει τῶν νόμων οὕτως αὐτοῖς ὀνόμασι γεγραμμένον· « Ἀτίμων ὅσοι ἄτιμοι ἦσαν, πρὶν ἢ Σόλωνα ἄρξαι, ἐπιτίμους εἶναι, πλὴν ὅσοι ἐξ Ἀρείου πάγου ἢ ὅσοι ἐκ τῶν Ἐφετῶν ἢ ἐκ Πρυτανείου καταδικασθέντες ὑπὸ τῶν βασιλέων ἐπὶ φόνῳ ἢ σφαγαῖσιν ἢ ἐπὶ τυραννίδι ἔφυγον, ὅτε θεσμὸς ἐφάνη ὅδε. » (5) Ταῦτα δὴ πάλιν ὡς πρὸ τῆς Σόλωνος ἀρχῆς καὶ νομοθεσίας τὴν ἐξ Ἀρείου πάγου βουλὴν οὖσαν ἐνδείκνυται. Τίνες γὰρ ἦσαν οἱ πρὸ Σόλωνος ἐν Ἀρείῳ πάγῳ καταδικασθέντες, εἰ πρῶτος Σόλων ἔδωκε τῇ ἐξ Ἀρείου πάγου βουλῇ τὸ κρίνειν; εἰ μὴ νὴ Δία γέγονέ τις ἀσάφεια τοῦ γράμματος ἢ ἔκλειψις, ὥστε τοὺς ἁλόντας ἐπ' αἰτίαις, ἃς κρίνουσιν οἱ Ἀρεοπαγῖται καὶ Ἐφέται καὶ Πρυτάνεις, ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε, μένειν ἀτίμους τῶν ἄλλων ἐπιτίμων γενομένων. Ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐπισκόπει.

XX. Τῶν δ' ἄλλων αὐτοῦ νόμων ἴδιος μὲν μάλιστα καὶ παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν στάσει μηδετέρας μερίδος γενόμενον. (2) Βούλεται δ', ὡς ἔοικε, μὴ ἀπαθῶς μηδ' ἀναισθήτως ἔχειν πρὸς τὸ κοινὸν, ἐν ἀσφαλεῖ θέμενον τὰ οἰκεῖα τῷ μὴ συναλγεῖν μηδὲ συννοσεῖν τῇ πατρίδι καλλωπιζόμενον, ἀλλ' αὐτόθεν τοῖς τὰ βελτίω καὶ δικαιότερα πράττουσι προσθέμενον συγκινδυνεύειν καὶ βοηθεῖν μᾶλλον ἢ περιμένειν ἀκινδύνως τὰ τῶν κρατούντων. (3) Ἄτοπος δὲ καὶ γελοῖος δοκεῖ ὁ τῇ ἐπικλήρῳ διδοὺς, ἂν ὁ κρατῶν καὶ κύριος γεγονὼς κατὰ τὸν νόμον αὐτὸς μὴ δυνατὸς ᾖ πλησιάζειν, ὑπὸ τῶν ἐγγιστα τοῦ ἀνδρὸς ὀπύεσθαι. (4) Καὶ τοῦτο δ' ὀρθῶς ἔχειν τινές φασι πρὸς τοὺς μὴ δυναμένους συνεῖναι, χρημάτων δ' ἕνεκα λαμβάνοντας ἐπικλήρους καὶ τῷ νόμῳ καταβιαζομένους τὴν φύσιν. Ὁρῶντες γὰρ ᾧ βούλεται τὴν ἐπίκληρον συνοῦσαν ἢ προήσονται τὸν γάμον ἢ μετ' αἰσχύνης καθέξουσι φιλοπλουτίας καὶ ὕβρεως δίκην διδόντες. (5) Εὖ δ' ἔχει καὶ τὸ μὴ πᾶσιν, ἀλλὰ τῶν συγγενῶν τοῦ ἀνδρὸς ᾧ βούλεται διαλέγεσθαι τὴν ἐπίκληρον, ὅπως οἰκεῖον ᾖ καὶ μετέχον τοῦ γένους τὸ τικτόμενον. (6) Εἰς τοῦτο δὲ συντελεῖ καὶ τὸ τὴν νύμφην τῷ συμβίῳ συγκαθείργνυσθαι μήλου κυδωνίου κατατραγοῦσαν καὶ τὸ τρὶς ἑκάστου μηνὸς ἐντυγχάνειν πάντως τῇ ἐπικλήρῳ τὸν λαβόντα. (7) Καὶ γὰρ εἰ μὴ γίγνοιντο παῖδες, ἀλλὰ τιμή τις ἀνδρὸς αὕτη πρὸς σώφρονα γυναῖκα καὶ φιλοφροσύνη, πολλὰ τῶν συλλεγομένων ἑκάστοτε δυσχερῶν ἀφαιροῦσα καὶ ταῖς διαφοραῖς οὐκ ἐῶσα παντάπασιν ἀποστραφῆναι. (8) Τῶν δ' ἄλλων γάμων ἀφεῖλε τὰς φερνὰς, ἱμάτια τρία καὶ σκεύη μικροῦ νομίσματος ἄξια κελεύσας, ἕτερον δὲ μηδὲν, ἐπιφέρεσθαι τὴν γα-

blicam duobus senatibus quasi duabus in ancoris stantem minus fluctuaturam, foreque populum eo quietiorem. (3) Atque hujus quidem de Areopagitis sententiæ sunt plerique, nimirum Solonis esse id opus : quibus maximo testimonio esse videtur, quod in legibus suis Draco Areopagitarum ne verbo quidem usquam meminit, sed de cæde semper ad Ephetas loquitur. (4) Atque legis octavæ e decima tertia Solonis tabula hæc sunt verba : « Omnes qui ante Solonis magistratum ignominia fuere notati, liberi ignominia sunto, exceptis iis, qui apud Areopagitas aut Ephetas, aut in Prytaneo a regibus clandestinæ cædis, vel homicidii, vel affectatæ tyrannidis damnati fuere, cum hæc lex lata est. » (5) Quibus verbis ostenditur, antequam Solon rempublicam gereret legesque ferret, jam tum Areopagitarum fuisse senatum. Qui enim fuissent ante Solonem in Areopago damnati, si ei senatui Solon demum judicandi facultatem dedisset? Nisi fortasse dicendum sit, legem eam obscure aut aliquibus vocabulis omissis scriptam fuisse, ut intelligatur eos, qui damnati eorum criminum fuissent, de quibus hoc tempore, quo lex ea lata est, Areopagitarum erat vel Ephetarum vel Prytanium cognitio, infames manere juberi, ceteris ignominia liberatis. Sed hæc lectori consideranda relinquimus.

XX. Reliquarum Solonis legum hæc peculiare aliquid habet et communi opinioni contrarium, quæ infamia eum notat, qui in seditione neutri se parti adjunxerit. (2) Probabile tamen est, voluisse eum innuere, non debere civem non affici communis reipublicæ casibus, cum suas res in tuto collocaverit; neque eo sibi gratulari, quod non una cum patria male habeat, sed statim his, quorum causa sit melior ac justior, accedere, unaque cum his periculum juvandæ reipublicæ gratia subire potius, quam extra discrimen exspectare, quo victoria sit inclinatura. (3) Absurda etiam et ridicula lex videtur, qua mulieri ἐπικλήρῳ (*i. e. filiæ heredi*) permittitur, si maritus ejus, qui ei secundum legem obtigit, coire non posset, rem cum ejus propinquis habere. (4) At hanc quoque recte latam alii asserunt, contra eos nimirum, qui ad rem veneream inepti, tamen pecuniæ causa dotatas ducunt mulieres et naturam lege opprimere nituntur : qui cum videant eas cum quibus ipsæ velint coire, aut omittent id matrimonium, aut in eo cum dedecore permanebunt, avaritiæ cupiditatisque pœnas dantes. (5) Bene autem præceptum est ut non cum quovis ea, sed cum mariti propinquo, quem ipsa delegerit, concumbat, ut liberi ita nati consanguinei tamen sint. (6) Huc pertinet id quoque quod sponsam cum sponso includentes, malum cydonium eos una comedere jubent : quodque maritus ter minimum singulis mensibus cum dotata uxore congredi jubetur. (7) Nam eo modo, etsi liberi nulli nascuntur, tamen is honor mulieri pudicæ exhibitus atque comitas utrosque multis, quæ in conjugio incidere solent, molestiis liberat, neque abalienari eorum prorsus a se invicem propter dissidium animos patitur. (8) Reliquarum autem nuptiarum dotem Solon sustulit, neque nuptam ad sponsum quicquam præter tres vestes et supellectilem non

μουμένην. Οὐ γὰρ ἐβούλετο μισθοφόρον οὐδ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι καὶ φιλότητι γίνεσθαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν. (9) Ὁ μὲν γὰρ Διονύσιος ἀξιούσης τῆς μητρὸς αὐτοῦ δοθῆναί τινι τῶν πολιτῶν πρὸς γάμον, ἔφη τοὺς μὲν τῆς πόλεως νόμους λελυκέναι τυραννῶν, τοὺς δὲ τῆς φύσεως οὐκ εἶναι δυνατὸς βιάζεσθαι γάμους νυμφαγωγῶν παρ' ἡλικίαν. Ἐν δὲ ταῖς πόλεσι τὴν ἀταξίαν ταύτην οὐ δοτέον, οὐδὲ περιοπτέον ἀώρους καὶ ἀχαρίτους ἐπιπλοκὰς καὶ μηδὲν ἔργον γαμήλιον ἐχούσας μηδὲ τέλος. (10) Ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην,

magni pretii adferre voluit; non enim mercedis causa contrahi, venalesque esse nuptias debere, sed prolis suscipiendæ gratiæque et amoris causa conjungi virum cum muliere. (9) Sane Dionysius matri petenti, ut se alicui civium uxorem daret, respondit leges quidem civitatis per tyrannidem se evertisse, sed non posse item naturæ legem ipsa in matrimonium collocanda violare. In civitatibus vero nequaquam toleranda est ea confusio, ut connubia hujusmodi jungantur ætate a nuptiis aliena et in quibus neque gratia, neque actio, neque finis conjugii sit futurus. (10) Itaque magistratum aliquis apte gerens aut legislator seni puellam ducenti recte ita dixerit, ut alicubi Philocteta compellatur:

Εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας·

Ecquid conjugium appetis miser?

καὶ νέον ἐν δωματίῳ πλουσίας πρεσβύτιδος, ὥσπερ οἱ πέρδικες, ἀπὸ συνουσίας παχυνόμενον ἑξανευρὼν μετοικίσει πρὸς παρθένον νύμφην ἀνδρὸς δεομένην. Ταῦτα μὲν οὖν περὶ τούτων.

et juvenem in uxoris vetulæ domo, quemadmodum perdices, concubitus causa pinguem factum inveniens, transferet ad virginem viri indigentem. Sed de his satis.

XXI. Ἐπαινεῖται δὲ τοῦ Σόλωνος καὶ ὁ κωλύων νόμος τὸν τεθνηκότα κακῶς ἀγορεύειν. Καὶ γὰρ ὅσιον τοὺς μεθεστῶτας ἱεροὺς νομίζειν καὶ δίκαιον ἀπέχεσθαι τῶν οὐχ ὑπαρχόντων καὶ πολιτικὸν ἀφαιρεῖν τῆς ἔχθρας τὸ ἀίδιον. (2) Ζῶντα δὲ κακῶς λέγειν ἐκώλυσε πρὸς ἱεροῖς καὶ δικαστηρίοις καὶ ἀρχείοις καὶ θεωρίας οὔσης ἀγώνων, ἢ τρεῖς δραχμὰς τῷ ἰδιώτῃ, δύο δ' ἄλλας ἀποτίνειν εἰς τὸ δημόσιον ἔταξε. Τὸ γὰρ μηδαμοῦ κρατεῖν ὀργῆς ἀπαίδευτον καὶ ἀκόλαστον· τὸ δὲ πανταχοῦ χαλεπὸν, ἴσως δὲ ἀδύνατον· δεῖ δὲ πρὸς τὸ δυνατὸν γράφεσθαι τὸν νόμον, εἰ βούλεται χρησίμως ὀλίγους, ἀλλὰ μὴ πολλοὺς ἀχρήστως κολάζειν. (3) Εὐδοκίμησε δὲ κἀν τῷ περὶ διαθηκῶν νόμῳ· πρότερον γὰρ οὐκ ἐξῆν, ἀλλ' ἐν τῷ γένει τοῦ τεθνηκότος ἔδει τὰ χρήματα καὶ τὸν οἶκον καταμένειν, ὁ δ' ᾧ βούλεταί τις ἐπιτρέψας, εἰ μὴ παῖδες εἶεν αὐτῷ, δοῦναι τὰ αὑτοῦ φιλίαν τε συγγενείας ἐτίμησε μᾶλλον καὶ χάριν ἀνάγκης, καὶ τὰ χρήματα κτήματα τῶν ἐχόντων ἐποίησεν. (4) Οὐ μὴν ἀνέδην γε πάλιν οὐδ' ἁπλῶς τὰς δόσεις ἐφῆκεν, ἀλλ' εἰ μὴ νόσων ἕνεκεν ἢ φαρμάκων ἢ δεσμῶν ἢ ἀνάγκῃ κατασχεθεὶς ἢ γυναικὶ πειθόμενος· εὖ πάνυ καὶ προσηκόντως τὸ πεισθῆναι παρὰ τὸ βέλτιστον οὐδὲν ἡγούμενος τοῦ βιασθῆναι διαφέρειν, ἀλλ' εἰς ταὐτὸ τὴν ἀπάτην τῇ ἀνάγκῃ καὶ τῷ πόνῳ τὴν ἡδονὴν θέμενος, ὡς οὐχ ἧττον ἐκστῆσαι λογισμὸν ἀνθρώπου δυναμένων. (5) Ἐπέστησε δὲ καὶ ταῖς ἐξόδοις τῶν γυναικῶν καὶ τοῖς πένθεσι καὶ ταῖς ἑορταῖς νόμον ἀπείργοντα τὸ ἄτακτον καὶ ἀκόλαστον· ἐξιέναι μὲν ἱματίων τριῶν μὴ πλέων ἐχούσας κελεύσας μηδὲ βρωτὸν ἢ ποτὸν πλείονος ἢ ὀβολοῦ φερομένην, μηδὲ κάνητα πηχυαίου μείζονα, μηδὲ νύκτωρ πορεύεσθαι πλὴν ἁμάξῃ κομιζομένην λύχνου προφαίνοντος. (6) Ἀμυχὰς δὲ κοπτομένων καὶ τὸ θρηνεῖν πεποιημένα καὶ τὸ κωκύειν ἄλλον ἐν ταφαῖς ἑτέρων ἀφεῖλεν. Ἐναγίζειν δὲ βοῦν οὐκ εἴασεν οὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν· οὐδ' ἐπ' ἀλλότρια μνήματα βαδίζειν χωρὶς ἐκ-

XXI. Porro autem Solonis ea etiam lex laudatur, qua vetuit mortuis maledicere; pietatis est enim, vita defunctos sacros existimare, justumque abstinere ab iis qui non sint; ex reipublica etiam est, perpetuitatem odiis adimere. (2) Prohibuit etiam vivis obtrectare in templis, judiciis, et curia, et cum spectacula ederentur: qui contra fecisset, tres ei, cui convicium dixisset, drachmas, duas ærario solvere cogebatur; prave enim educatorum et incontinentium hominum est nusquam posse iræ moderari: ubique autem eam reprimere difficile est et fortasse fieri plane non potest. At qui legem sancit, id quod fieri potest respicere debet, siquidem paucos utiliter, non multos absque emolumento punire velit. (3) Etiam lex de testamentis lata laudi ei fuit; ante enim testari licebat nemini, sed necesse erat pecuniam et domum in familia defuncti permanere. At Solon, permittens ut is qui liberis careret, sua cui vellet legaret, amicitiam consanguinitate, gratiamque necessitate potiorem habuit, bonorumque integram possessionem dominis tribuit. (4) Non tamen absque omni conditione legandi plenam licentiam admisit, sed ejus modo ratum esse testamentum voluit, qui non morbo, veneficio, vinculis, aliave necessitate coactus, aut uxoris suasionibus inductus, id condidisset; recte admodum et convenienter judicans, nihil interesse discriminis, persuadeaturne alicui secus quam expediat, an vero is cogatur, eodemque numero habens fraudem voluptatemque cum necessitate et morbo: quod in pervertenda hominis ratione tantundem utraque valerent. (5) Legem etiam de exitu mulierum e domo, de luctibus, deque festis diebus posuit, qua id, quod contra ordinem et pudicitiam erat, amputabat. Exire autem eas jubebat non plura tribus vestimenta secum ferentes, nec cibum potumque pluris quam obolo constantem neque calathum cubito majorem, neque noctu ire nisi curru, prælucente lucerna. (6) In funeribus corpus laniare, lamentationemque meditatam edere, alienoque in funere alium ejulare prohibuit: bovem immolare, plura tribus vestimenta cum mortuo terræ condere, ire ad aliorum sepulcra, nisi cum funus ducere-

κομιδῆς. (7) Ὧν τὰ πλεῖστα καὶ τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται· πρόσκειται δὲ τοῖς ἡμετέροις, ζημιοῦσθαι τοὺς ταῦτα ποιοῦντας ὑπὸ τῶν γυναικονόμων, ὡς ἀνάνδροις καὶ γυναικώδεσι τοῖς περὶ τὰ πένθη πάθεσι καὶ ἁμαρτήμασιν ἐνεχομένους.

XXII. Ὁρῶν δὲ τὸ μὲν ἄστυ πιμπλάμενον ἀνθρώπων ἀεὶ συῤῥεόντων πανταχόθεν ἐπ' ἀδείας εἰς τὴν Ἀττικήν, τὰ δὲ πλεῖστα τῆς χώρας ἀγεννῆ καὶ φαῦλα, τοὺς δὲ χρωμένους τῇ θαλάττῃ μηδὲν εἰωθότας εἰσάγειν τοῖς μηδὲν ἔχουσιν ἀντιδοῦναι, πρὸς τὰς τέχνας ἔτρεψε τοὺς πολίτας καὶ νόμον ἔγραψεν, υἱῷ τρέφειν τὸν πατέρα μὴ διδαξάμενον τέχνην ἐπάναγκες μὴ εἶναι. (2) Τῷ μὲν γὰρ Λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ καὶ χώραν κεκτημένῳ

Πολλοῖσι πολλὴν, δὶς τοσοῖσδε πλείονα

κατ' Εὐριπίδην καὶ, τὸ μέγιστον, εἵλωτικοῦ πλήθους, ὃ βέλτιστον ἦν μὴ σχολάζειν, ἀλλὰ τριβόμενον ἀεὶ καὶ πονοῦν ταπεινοῦσθαι, περικεχυμένου τῇ Λακεδαίμονι, καλῶς εἶχεν ἀσχολίῶν ἐπιπόνων καὶ βαναύσων ἀπαλλάξαντα τοὺς πολίτας συνέχειν ἐν τοῖς ὅπλοις, μίαν τέχνην ταύτην ἐκμανθάνοντας καὶ ἀσκοῦντας. (3) Σόλων δὲ τοῖς πράγμασι τοὺς νόμους μᾶλλον ἢ τὰ πράγματα τοῖς νόμοις προσαρμόζων καὶ τῆς χώρας τὴν φύσιν ὁρῶν τοῖς γεωργοῦσι γλίσχρως διαρκοῦσαν ἀργόν τε καὶ σχολαστὴν ὄχλον οὐ δυναμένην τρέφειν, ταῖς τέχναις ἀξίωμα περιέθηκε· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔταξεν ἐπισκοπεῖν, ὅθεν ἕκαστος ἔχει τὰ ἐπιτήδεια καὶ τοὺς ἀργοὺς κολάζειν. (4) Ἐκεῖνο δ' ἤδη σφοδρότερον τὸ μηδὲ τοῖς ἐξ ἑταίρας γενομένοις ἐπάναγκες εἶναι τοὺς πατέρας τρέφειν, ὡς Ἡρακλείδης ἱστόρηκεν ὁ Ποντικός. Ὁ γὰρ ἐν γάμῳ παρορῶν τὸ καλὸν οὐ τέκνων ἕνεκα δῆλός ἐστιν, ἀλλ' ἡδονῆς ἀγόμενος γυναῖκα τόν τε μισθὸν ἀπέχει καὶ παῤῥησίαν αὐτῷ πρὸς τοὺς γενομένους οὐκ ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος.

XXIII. Ὅλως δὲ πλείστην ἔχειν ἀτοπίαν οἱ περὶ τῶν γυναικῶν νόμοι τῷ Σόλωνι δοκοῦσι. (2) Μοιχὸν μὲν γὰρ ἀνελεῖν τῷ λαβόντι ἔδωκεν· ἐὰν δ' ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς ἔταξε· κἂν προαγωγεύῃ, δραχμὰς εἴκοσι, πλὴν ὅσαι πεφασμένως πωλοῦνται, λέγων δὴ τὰς ἑταίρας· αὗται γὰρ ἐμφανῶς φοιτῶσι πρὸς τοὺς διδόντας. (3) Ἔτι δ' οὔτε θυγατέρας πωλεῖν οὔτ' ἀδελφὰς δίδωσι, πλὴν ἂν μὴ λάβῃ παρθένον ἀνδρὶ συγγεγενημένην. (4) Τὸ δ' αὐτὸ πρᾶγμα ποτὲ μὲν πικρῶς καὶ ἀπαραιτήτως κολάζειν, ποτὲ δ' εὐκόλως καὶ παίζοντα πρόστιμον ζημίαν τὴν τυχοῦσαν ὁρίζοντα ἄλογόν ἐστι· πλὴν εἰ μὴ σπανίζοντος τότε τοῦ νομίσματος ἐν τῇ πόλει μεγάλας ἐποίει τὰς ἀργυρικὰς ζημίας τὸ δυσπόριστον. (5) Εἰς μέν γε τὰ τιμήματα τῶν θυσιῶν λογίζεται πρόβατον καὶ δραχμὴν ἀντὶ μεδίμνου, τῷ δ' Ἰσθμια νικήσαντι δραχμὰς ἔταξεν ἑκατὸν δίδοσθαι, τῷ δ' Ὀλύμπια πεντακοσίας, λύκον δὲ τῷ κομίσαντι πέντε δραχμὰς

tur, prohibuit. (7) Quorum de plerisque etiam nostræ leges caverunt; additumque est in nostris, ut qui hac in re deliquissent, iis a mulierum censoribus multa irrogaretur, quippe quod effeminati essent, qui hæc in se crimina admitterent.

XXII. Præterea cum videret urbem hominum undique propter securitatem in Atticam confluentium multitudine repleri, plerosque autem agros magna ex parte inutiles, tum qui mare exercebant nihil solere importare ad eos quibus nihil erat quod redderent: cives ad artes discendas ut converteret, legem tulit, quæ filium necessitate alendi patris, qui eum nullam artem docendum curasset, solvebat. (2) Lycurgo quidem urbem habenti peregrinæ turbæ puram, tantumque agri possidenti, quantum, ut est apud Euripidem, esset

Multis satis, duploque abunde pluribus,

ac quod maximum fuit, magnam helotum multitudinem Spartæ circumfusam, quam optimum erat non otiari, sed continentibus laboribus confici atque deprimi: facile erat cives ab omnibus laboriosis et illiberalibus occupationibus exemptos in armis continere, ad eamque solam artem discendam et exercendam traducere. (3) At Solon, qui non tam res legibus, quam leges rebus accommodaret, cum animadverteret solum Atticum ejus esse naturæ, ut parcum agricolis victum sufficeret, nedum ignavam otiosamque turbam alere posset, artibus dignitatem addidit mandavitque Areopagitis, ut inspicerent qua quivis ratione victum suum sumeret otiantesque punirent. (4) Hæc autem ejus lex fuit adhuc severior, qua eos etiam, qui e scortis essent nati, necessitate alendi patris solvit, ut Heraclides Ponticus narrat. Qui enim in ducenda uxore honestatis nullam habet rationem, satis ostendit, non liberorum, sed libidinis causa id se facere: itaque et mercedem suam habet, et jus in natos nullum sibi reliquum fecit, quibus ut genitos esse sit opprobrio effecit.

XXIII. Sed leges Solonis de mulieribus omnium absurdissimæ videntur. (2) Jus enim adulterum occidendi deprehendenti concessit; quod si quis liberam mulierem raperet et vim ei inferret, mulctam ei centum drachmas constituit, sin prostituisset (exceptis iis, quæ palam venduntur, hoc est meretricibus, quæ pretium danti obsequuntur), viginti. (3) Filias vendere, sororesque prohibuit, nisi quæ in stupro deprehensæ essent. (4) Enimvero rationi consentaneum non est, idem facinus modo acri et extremo supplicio plectere, modo leviter, et quasi per jocum quacunque multa proposita. Nisi fortasse rara tum Athenis pecunia, mulctam difficultas nummi parandi magnam effecerit. (5) Nam et sacrificia ove æstimabantur, et pro medimno denarius: et qui Isthmia vicisset, ei centum denarios dari jussit Solon, qui Olympia, quingentos: qui lupum attulis-

ἔδωκε, λυκιδέα δὲ μίαν, ὧν φησιν ὁ Φαληρεὺς Δημήτριος, τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτου τιμήν. (6) Ὡς γὰρ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἀξόνων ὁρίζει τιμὰς τῶν ἐκκρίτων ἱερείων, εἰκὸς μὲν εἶναι πολλαπλασίας, ἄλλως δὲ κἀκεῖναι πρὸς τὰ νῦν εὐτελεῖς εἰσιν. (7) Ἀρχαῖον δὲ τοῖς Ἀθηναίοις τὸ πολεμεῖν τοῖς λύκοις, βελτίονα νέμειν ἢ γεωργεῖν χώραν ἔχουσι. (8) Καὶ τὰς φυλὰς εἰσὶν εἱ λέγοντες οὐκ ἀπὸ τῶν Ἴωνος υἱῶν, ἀλλ' ἀπὸ τῶν γενῶν, εἰς ἃ διῃρέθησαν οἱ βίοι τὸ πρῶτον, ὠνομάσθαι, τὸ μὲν μάχιμον Ὁπλίτας, τὸ δ' ἐργατικὸν Ἐργάδεις, δυεῖν δὲ τῶν λοιπῶν Γεδέοντας μὲν τοὺς γεωργοὺς, Αἰγικορεῖς δὲ τοὺς ἐπὶ νομαῖς καὶ προβατείαις διατρίβοντας. (9) Ἐπεὶ δὲ πρὸς ὕδωρ οὔτε ποταμοῖς ἐστιν ἀενάοις οὔτε λίμναις τισὶν οὔτ' ἀφθόνοις πηγαῖς ἡ χώρα διαρκὴς, ἀλλ' οἱ πλεῖστοι φρέασι ποιητοῖς ἐχρῶντο, νόμον ἔγραψεν, ὅπου μέν ἐστι δημόσιον φρέαρ ἐντὸς ἱππικοῦ, χρῆσθαι τούτῳ· τὸ δ' ἱππικὸν διάστημα τεσσάρων ἦν σταδίων· ὅπου δὲ πλεῖον ἀπεῖχε, ζητεῖν ὕδωρ ἴδιον· ἐὰν δὲ ὀρύξαντες ὀργυιῶν δέκα βάθος παρ' ἑαυτοῖς μὴ εὕρωσι, τότε λαμβάνειν παρὰ τοῦ γείτονος ἑξάχουν ὑδρίαν δὶς ἑκάστης ἡμέρας πληροῦντας· ἀπορίᾳ γὰρ ᾤετο δεῖν βοηθεῖν, οὐκ ἀργίαν ἐφοδιάζειν. (10) Ὥρισε δὲ καὶ φυτειῶν μέτρα μάλ' ἐμπείρως, τοὺς μὲν ἄλλο τι φυτεύοντας ἐν ἀγρῷ, πέντε πόδας ἀπέχειν τοῦ γείτονος κελεύσας, τοὺς δὲ συκῆν ἢ ἐλαίαν ἐννέα. Πορρωτέρω γὰρ ἐξικνεῖται ταῦτα ταῖς ῥίζαις· καὶ οὐ πᾶσι γειτνιᾷ τοῖς φυτοῖς ἀσινῶς, ἀλλὰ καὶ τροφὴν παραιρεῖται καὶ βλάπτουσαν ἐνίοις ἀπορρο[ὴν] ἀφίησι. (11) Βόθρους δὲ καὶ τάφρους τὸν βουλόμενον ἐκέλευσεν ὀρύσσειν, ὅσον ἐμβάλλει βάθος ἀφιστάμενον μῆκος τἀλλοτρίου· καὶ μελισσῶν σμήνη καθιστάμενον ἀπέχειν τῶν ὑφ' ἑτέρου πρότερον ἱδρυμένων πόδας τριακοσίους.

XXIV. Τῶν δὲ γινομένων διάθεσιν πρὸς ξένους ἐλαίου μόνον ἔδωκεν, ἄλλα δ' ἐξάγειν ἐκώλυσε· καὶ κατὰ τῶν ἐξαγόντων ἀρὰς τὸν ἄρχοντα ποιεῖσθαι προσέταξεν ἢ ἐκτίνειν αὐτὸν ἑκατὸν δραχμὰς εἰς τὸ δημόσιον. (2) Καὶ πρῶτος ἄξων ἐστὶν ὁ τοῦτον περιέχων τὸν νόμον. Οὐκ ἂν οὖν τις ἡγήσαιτο παντελῶς ἀπιθάνους τοὺς λέγοντας, ὅτι καὶ σύκων ἐξαγωγὴν τὸ παλαιὸν ἀπείρητο καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας κληθῆναι συκοφαντεῖν. (3) Ἔγραψε δὲ καὶ βλάβης τετραπόδων νόμον, ἐν ᾧ καὶ κύνα δακόντα παραδοῦναι κελεύει κλοιῷ τριπήχει δεδεμένον· τὸ μὲν ἐνθύμημα χάριεν πρὸς ἀσφάλειαν. (4) Παρέχει δ' ἀποῥίαν καὶ ὁ τῶν δημοποιήτων νόμος, ὅτι γενέσθαι πολίταις οὐ δίδωσι πλὴν τοῖς φεύγουσιν ἀειφυγίᾳ τὴν ἑαυτῶν ἢ πανεστίοις Ἀθήναζε μετοικιζομένοις ἐπὶ τέχνῃ. (5) Τοῦτο δὲ ποιῆσαί φασιν αὐτὸν οὐχ οὕτως ἀπελαύνοντα τοὺς ἄλλους, ὡς μετακαλούμενον Ἀθήναζε τούτους ἐπὶ βεβαίῳ τῷ μεθέξειν τῆς πολιτείας, καὶ ἅμα πιστοὺς νομίζοντα, τοὺς μὲν ἀποβεβληκότας τὴν ἑαυτῶν διὰ τὴν ἀνάγκην, τοὺς δ' ἀπολελοιπότας διὰ τὴν γνώμην. (6) Ἴδιον δὲ τοῦ Σόλωνος καὶ τὸ περὶ τῆς ἐν δημοσίῳ σιτήσεως, ὅπερ αὐτὸς παρασιτεῖν κέχληκε.

set, quinque, qui catulum lupi, unum, quorum hoc ovis, illud bovis pretium esse Demetrius Phalereus asserit. (5) Quæ autem in decima sexta tabula sacrificiorum eximiorum ponit Solon, probabile est multis modis majora ceteris fuisse, quanquam ad nostri temporis comparata, sint tenuia. (7) Ceterum antiquitus Athenienses lupis bellum factitabant, quod eorum ager pascuis quam cultui esset aptior. (8) Porro tribus sunt qui dicant non ab Ionis filiis, sed a generibus vitæ, in quæ principio distincti erant, nomina habere, scilicet bellatores ab armis Ὁπλίτας, operarios ab operis Ἐργάδεις, reliquas duas alteram ab agricultura Γεδέοντας alteram, a pecoribus pascendis Αἰγικορεῖς dictas. (9) Ac quoniam regio ista neque fluviis, neque paludibus, neque fontium uberibus scaturiginibus ita est prædita, ut aqua satis suppeditet, ideoque plerique puteis manu factis utebantur, legem perscripsit, ut ubi publicus esset puteus, eo aquatum intra spatium equestris cursus (is habetur stadiorum quattuor) venire liceret: qui vero longius abessent, propriam sibi aquam quærerent; quod si acto ad decem ulnarum altitudinem puteo aquam non invenissent, tum a vicino aquam peterent, quotidie urnam sex choarum capacem bis implentes; nam penuriæ succurrendum, non ignaviam alendam putabat. (10) Plantationis quoque mensuras peritissime definivit: ut qui aliud quam oleam aut ficum plantarent in agro, quinque pedum spatio a vicino id removerent: qui autem oleam, vel ficum, novem; nam stirpes latius suas radices extendunt, neque innoxia omnibus aliis plantis est earum vicinitas, quod et alimentum iis subtrahant et humorem illis infestum exhalent. (11) Scrobes et fossas ita jussit demitti, ut quanta esset earum altitudo, tantum ab alieno distarent: qui alveos apium conderet, is ab eo qui ante instituisset idem, pedes trecentos discederet.

XXIV. E fructibus autem nihil præter oleum vendi peregrinis permisit: cetera exportari vetuit, jussitque principem reipublicæ in caput ejus, qui alio fruges avexisset, exsecrari, aut ærario pendere centum drachmas. (2) Hæc lex prima tabula continetur: ne jam fidem omnino abrogandam quispiam putet illis, qui dicunt ficuum quoque antiquitus auctionem prohibitam, indeque sycophantas primum nominatos, qui ficuum exportatores indicarent. (3) Legem etiam de damno quod quadrupes dedisset, posuit, in qua jubet canem, qui momorderit, dedi alligata ei numella trium cubitorum: quod ejus inventum securitatis causa gratiosum est. (4) Dubitationem affert etiam lex de iis, qui in populum recipiendi essent, posita: neminem enim civem fieri patitur, nisi qui perpetuo exilio damnati a sua patria abessent, aut cum tota familia artificii causa Athenas commigrassent. (5) Id autem fecisse traditur, non tam ut alios a sua civitate arceret, quam ut alliceret, cum scirent constanter se civitatis ejus participes futuros, simulque ratos fidos fore illos, quod necessitate coacti, hos, quod consilio adducti patrias suas amisissent. (6) Peculiaris quoque ejus lex fuit de convictu in publico, quod inde παρασιτεῖν ipse appellavit: uni sæpius illic epulari non con-

Τὸν γὰρ αὐτὸν οὐκ ἐᾷ σιτεῖσθαι πολλάκις· ἐὰν δὲ ᾧ καθήκῃ μὴ βούλεται, κολάζει, τὸ μὲν ἡγούμενος πλεονεξίαν, τὸ δ' ὑπεροψίαν τῶν κοινῶν.

XXV. Ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε· καὶ κατεγράψησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους· ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα μικρὰ διασώζετο· καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησὶ, κύρβεις. Καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που·

Πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν
ῥρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν.

Ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι. (2) Κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ, τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων, εἴ τι παραβαίη τῶν θεσμῶν, ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς. (3) Συνιδὼν δὲ τοῦ μηνὸς τὴν ἀνωμαλίαν καὶ τὴν κίνησιν τῆς σελήνης, οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως οὔτ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην ἕνην καὶ νέαν καλεῖσθαι, τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς τῷ παυομένῳ μηνὶ, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος· (4) πρῶτος, ὡς ἔοικεν, ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος,

Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο·

τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσε. Τὰς δ' ἀπ' εἰκάδος οὐ προστιθεὶς, ἀλλ' ἀφαιρῶν καὶ ἀναλύων, ὥσπερ τὰ φῶτα τῆς σελήνης ἑώρα, μέχρι τριακάδος ἠρίθμησεν. (5) Ἐπεὶ δὲ τῶν νόμων εἰσενεχθέντων ἔνιοι τῷ Σόλωνι καθ' ἑκάστην προσῄεσαν ἡμέραν ἐπαινοῦντες ἢ ψέγοντες ἢ συμβουλεύοντες ἐμβάλλειν τοῖς γεγραμμένοις ὅ τι τύχοιεν ἢ ἀφαιρεῖν· πλεῖστοι δ' ἦσαν οἱ πυνθανόμενοι καὶ ἀνακρίνοντες καὶ κελεύοντες αὐτὸν, ὅπως ἕκαστον ἔχει καὶ πρὸς ἣν κεῖται διάνοιαν, ἐπεκδιδάσκειν καὶ σαφηνίζειν, ὁρῶν, ὅτι ταῦτα καὶ τὸ πράττειν ἄτοπον καὶ τὸ μὴ πράττειν ἐπίφθονον, ὅλως δὲ ταῖς ἀπορίαις ὑπεκστῆναι βουλόμενος καὶ διαφυγεῖν τὸ δυσάρεστον καὶ τὸ φιλαίτιον τῶν πολιτῶν·

Ἔργμασι γὰρ ἐν μεγάλοις πᾶσιν ἀδεῖν χαλεπὸν,

ὡς αὐτὸς εἴρηκε· πρόσχημα τῆς πλάνης τὴν ναυκληρίαν ποιησάμενος ἐξέπλευσε δεκαετῆ παρὰ τῶν Ἀθηναίων ἀποδημίαν αἰτησάμενος. Ἤλπιζε γὰρ ἐν τῷ χρόνῳ τούτῳ καὶ τοὺς νόμους αὐτοῖς ἔσεσθαι συνήθεις.

XXVI. Πρῶτον μὲν οὖν εἰς Αἴγυπτον ἀφίκετο καὶ διέτριψεν, ὡς καὶ [πρότερον] αὐτός φησι,

Νείλου ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς.

(2) Χρόνον δέ τινα καὶ τοῖς περὶ Ψένωφιν τὸν Ἡλιουπολίτην καὶ Σῶγχιν τὸν Σαΐτην, λογιωτάτοις οὖσι τῶν

cedens, eum vero, qui recusaret, cum sors eum posceret, plectens, quod illum plus æquo sibi vindicare, hunc contemnere publicum munus existimaret.

XXV. Legibus suis omnibus auctoritatem in centum esse annos voluit: suntque inscriptæ ligneis tabulis, qui ἄξονες *dicti*, quadrangulis lignis inserti convertuntur, eorumque etiamnum reliquiæ quædam in Prytaneo adservantur. Aristoteles κύρβεις cognominatos auctor est, et Cratinus Comicus dixit alicubi:

Per pol Solonem, per Draconem, jam quibus
torrent ipsorum cyrbibus nunc hordeum.

Nonnulli seorsum cyrbes vocatos dicunt, quibus continebantur statuta sacrorum et victimarum, ceteras axonas fuisse appellatas. (2) Universus senatus simul juravit, se leges Solonis ratas habiturum; seorsum autem unusquilibet Thesmothetarum, in foro apud lapidem obtestatus, se, si quid contra leges has admisisset, auream statuam æqualis sibi ponderis Delphis dedicaturum. (3) Porro autem Solon conspicatus mensis rationem male constare motumque lunæ neque cum oriente, neque cum occidente sole concurrere, utque sæpe eadem die luna solem et assequeretur, et præverteret, eam ipsam diem ἕνην καὶ νέαν vocavit (*i. e. extremam et summam lunam*), partem ejus, quæ esset prior coitu solis et lunæ, mensi jam desinenti, reliquam ineunti attribuens. (4) Primus enim intellexisse videtur Homeri hunc versum,

Jam cessante alio mense, atque alio incipiente.

Sequentem diem Novilunium appellavit; post vigesimum diem numero dierum nihil jam addidit, sed subinde detrahendo, quemadmodum et de lumine lunæ videbat diminutionem sensim fieri, usque ad trigesimum diem numeravit. (5) Legibus ita latis quotidie nonnulli ad Solonem ventitabant, laudantes aut reprehendentes, aut aliquid forte repertum ut adderet legibus consulentes: plurimi vero erant qui percontarentur eum, legesque examinarent, singulaque sibi exponi, et in quam sententiam ita statutum esset, ostendi peterent; videnque si ea faceret rem absurdam fore, si non faceret invidiosam, omninoque has difficultates declinare offensasque civium et calumnias effugere cupiens, nam ut ipse inquit,

In magnis rebus cuique placere nequis;

instituto suo negotiationem prætexens, ex Attica navi avectus est, impetrato in peregrinationem ab Atheniensibus decennio. Sperabat enim hoc temporis spatio cives legibus adsueturos.

XXVI. Primum igitur in Ægyptum venit, ibique commoratus est, ut ipse testatur:

Ostia apud Nili, prope litora clara Canopo

(2) Aliquandiu autem ibi apud Psenophin Heliopolitam et Sonchin Saitam, doctissimos inter sacerdotes viros, philo-

ἱερέων, συνεφιλοσόφησε· παρ' ὧν καὶ τὸν Ἀτλαντικὸν ἀκούσας λόγον, ὡς Πλάτων φησὶν, ἐπεχείρησε διὰ ποιήματος ἐξενεγκεῖν εἰς τοὺς Ἕλληνας. (3) Ἔπειτα f πλεύσας εἰς Κύπρον ἠγαπήθη διαφερόντως ὑπὸ Φιλοκύπρου τινὸς τῶν ἐκεῖ βασιλέων, ὃς εἶχεν οὐ μεγάλην πόλιν ὠκισμένην ὑπὸ Δημοφῶντος τοῦ Θησέως, περὶ τὸν Κλάριον ποταμὸν ἐν χωρίοις ὀχυροῖς μὲν, ἄλλως 93 δὲ δυσχερέσι καὶ φαύλοις κειμένην. (4) Ἔπεισεν οὖν a αὐτὸν ὁ Σόλων, ὑποκειμένου καλοῦ πεδίου μεταθέντα τὴν πόλιν ἡδίονα καὶ μείζονα κατασκευάσαι. Καὶ παρὼν ἐπεμελήθη τοῦ συνοικισμοῦ καὶ συνδιεκόσμησε πρός τε διαγωγὴν ἄριστα καὶ πρὸς ἀσφάλειαν· ὥστε πολλοὺς μὲν οἰκήτορας τῷ Φιλοκύπρῳ συνελθεῖν, ζηλῶσαι δὲ τοὺς ἄλλους βασιλέας· διὸ καὶ τῷ Σόλωνι τιμὴν ἀποδιδοὺς, Αἰπειαν τὴν πόλιν καλουμένην πρότερον ἀπ' ἐκείνου Σόλους προσηγόρευσε. (5) Καὶ αὐτὸς δὲ μέμνηται τοῦ συνοικισμοῦ. Προσαγορεύσας γὰρ ἐν ταῖς ἐλεγείαις τὸν Φιλόκυπρον

Νῦν δὲ (φησὶ) σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσ- [σων
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον· b
αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

XXVII. Τὴν δὲ πρὸς Κροῖσον ἔντευξιν αὐτοῦ δοκοῦσιν ἔνιοι τοῖς χρόνοις ὡς πεπλασμένην ἐλέγχειν. Ἐγὼ δὲ λόγον ἔνδοξον οὕτω καὶ τοσούτους μάρτυρας ἔχοντα καὶ, ὃ μεῖζόν ἐστι, πρέποντα τῷ Σόλωνος ἤθει καὶ τῆς ἐκείνου μεγαλοφροσύνης καὶ σοφίας ἄξιον, οὐ μοι δοκῶ προήσεσθαι χρονικοῖς τισι λεγομένοις κανόσιν, c οἷς μυρίοι διορθοῦντες ἄχρι σήμερον εἰς οὐδὲν αὐτοῖς ὁμολογούμενον δύνανται καταστῆσαι τὰς ἀντιλογίας. (2) Τὸν δ' οὖν Σόλωνα φασὶν εἰς Σάρδεις δεηθέντι τῷ Κροίσῳ παραγενόμενον, παθεῖν τι παραπλήσιον ἀνδρὶ χερσαίῳ κατιόντι πρῶτον ἐπὶ θάλατταν· (3) ἐκεῖνός τε γὰρ ὁρῶν ἄλλον ἐξ ἄλλου ποταμὸν ᾤετο τὴν θάλασσαν εἶναι· καὶ τῷ Σόλωνι τὴν αὐλὴν διαπορευομένῳ καὶ πολλοὺς ὁρῶντι τῶν βασιλικῶν κεκοσμημένους πολυτελῶς καὶ σοβοῦντας ἐν ὄχλῳ προπομπῶν καὶ δορυφόρων, ἕκαστος ἐδόκει Κροῖσος εἶναι· μέχρι πρὸς αὐτὸν ἦχθη πᾶν ὅσον ἐν λίθοις, ἐν βαφαῖς ἐσθῆτος, ἐν τέχναις d χρυσοῦ περὶ κόσμον ἐκπρεπὲς ἔχειν ἢ περιττὸν ἢ ζηλωτὸν ἐδόκει περικείμενον, ὡς δὴ θέαμα σεμνότατον ὀρθείη καὶ ποικιλώτατον. (4) Ἐπεὶ δ' ὁ Σόλων ἀντικρυς καταστὰς οὔτ' ἔπαθεν οὐδὲν οὔτ' εἶπε πρὸς τὴν ὄψιν, ὧν ὁ Κροῖσος προσεδόκησεν, ἀλλὰ καὶ δῆλος ἦν τοῖς εὖ φρονοῦσι τῆς ἀπειροκαλίας καὶ μικροπρεπείας καταφρονῶν, ἐκέλευσεν αὐτῷ τούς τε θησαυροὺς ἀνοῖξαι τῶν χρημάτων καὶ τὴν ἄλλην ἄγοντας ἐπιδεῖξαι μηδὲν δεομένῳ κατασκευὴν καὶ πολυτέλειαν. Ἦρκει γὰρ αὐτὸς ἐν ἑαυτῷ τοῦ τρόπου κατανόησιν παρασχεῖν. (5) Ὡς δ' οὖν αὖθις ἦχθη γεγονὼς ἁπάντων θεατὴς, ἠρώ- e τησεν αὐτὸν ὁ Κροῖσος, εἴ τινα οἶδεν ἀνθρώπων αὐτοῦ

sophiæ operam navavit : ex iisque audivit Atlanticum sermonem, ut Plato scribit, eumque aggressus est carmine Græcis interpretari. (3) Inde in Cyprum advectus, a Philocypro uno ex insulæ ejus regibus amantissime est habitus. Urbem is possidebat haud magnam, a Demophonte Thesei filio conditam, ad Clarium fluvium sitam in loco munito quidem, alioquin tamen difficili et incommodo. (4) Cui cum subjecta esset pulchra planities, in hanc ut urbem transferret, amœnioremque et majorem efficeret, regi auctor fuit Solon : præsensque ipse eum in condenda urbe adornandaque, ut simul et amœna fieret et tuta, adjuvit; quo factum est ut multi habitatores Philocypro accederent, eumque alii reges imitarentur. Quamobrem ut honorem Soloni haberet, urbem Solos appellavit, cum ante Æpea esset dicta. (5) Ipse etiam Solon hujus urbis conditæ mentionem facit in elegiis ad Philocyprum ita scribens :

In Solios regnum multos urbemque per annos
sit tibi, et in gentem sceptra beata tuam.
At me evincta caput viola Paphia alma, celebri
a Cypro et navim devehat incolumem ;
detque mihi ad patrios claros remeare penates :
auctori hæc urbis det sua dona Venus.

XXVII. Congressum ejus cum Cræso nonnulli supputatione temporum commentitium ostendere nituntur. Atqui ego tam illustrem narrationem totque testibus confirmatam, et quod majus est, moribus Solonis congruentem magnanimitateque et sapientia ejus dignam, nequaquam puto propter annalium quasdam ratiocinationes projiciendam, quas cum infiniti hactenus sint emendare conati, tamen controversias earum nunquam potuerunt explicare. (2) Proinde res ita tradita est : Solon precibus Crœsi adductus, Sardes venit; ibi fere idem usu ei venit, quod homini in terra semper versato, cum primum ad mare iter facit; (3) ut enim is, quoties fluvium aliquem conspicit, eum mare esse putat, ita Solon, cum per regiam transiens, multos aulicos videret sumptuose exornatos, splendide stipatos comitum et satellitum caterva, unumquemque eorum Crœsum esse putavit : donec tandem ad ipsum regem adductus est, circa quem omne id conspiciebat, quod in lapidibus pretiosis, in venustis vestium tincturis, in auro omnique ornatu vel splendidum, vel subtili artificio confectum, vel admirabile existimari posset : nimirum ut spectaculum rex sese quam maxima dignitate et varietate insigne præberet. (4) Quarum rerum adspectu postquam nihil commotus Solon adstitit, neque eorum quæ Crœsus exspectabat quicquam dixit, sed satis aperte ostendit sani judicii hominibus, contemni a se hujusmodi ineptias viliumque rerum admirationem : commonstrari ei thesauros jussit Crœsus, reliquumque apparatum ac luxum; at nihil ista opus erant Soloni; satis enim in semet ipso Crœsus quo esset ingenio demonstravit. (5) Ut his omnibus inspectis rediit Solon, quæsivit ex eo Crœsus, ecquid ullum unquam

μακαριώτερον. Ἀποφηναμένου δὲ τοῦ Σόλωνος, ὅτι οἶδε Τέλλον αὐτοῦ πολίτην καὶ διεξελθόντος, ὅτι χρηστὸς ἀνὴρ ὁ Τέλλος γενόμενος καὶ παῖδας εὐδοκίμους ἀπολιπὼν καὶ βίον οὐδενὸς ἐνδεᾶ ἐτελεύτησεν ἐνδόξως ἀριστεύσας ὑπὲρ τῆς πατρίδος, ἤδη μὲν ἀλλόκοτος ἐδόκει εἶναι τῷ Κροίσῳ καὶ ἄγροικος, εἰ μὴ πρὸς ἀργύριον πολὺ μηδὲ χρυσίον τῆς εὐδαιμονίας ποιεῖται τὴν ἀναμέτρησιν, ἀλλὰ δημοτικοῦ καὶ ἰδιώτου βίον καὶ θάνατον ἀνθρώπου μᾶλλον ἢ τοσαύτην ἀγαπῴη δύναμιν καὶ ἀρχήν. (6) Οὐ μὴν ἀλλὰ πάλιν ἠρώτησεν αὐτὸν, εἰ μετὰ f Τέλλον ἄλλον ἔγνωκεν ἀνθρώπων εὐδαιμονέστερον. Πάλιν δὲ τοῦ Σόλωνος εἰπόντος Κλέοβιν καὶ Βίτωνα, φιλαδέλφους καὶ φιλομήτορας διαφερόντως ἄνδρας, οἳ τὴν μητέρα τῶν βοῶν βραδυνόντων ὑποδύντες αὐτοὶ τῷ ζυγῷ τῆς ἁμάξης ἐκόμισαν πρὸς τὸ τῆς Ἥρας ἱε- 94 a ρὸν, εὐδαιμονιζομένην ὑπὸ τῶν πολιτῶν καὶ χαίρουσαν, εἶτα θύσαντες καὶ πιόντες οὐκ ἔτι μεθ' ἡμέραν ἀνέστησαν, ἀλλὰ τεθνηκότες ἀναλγῆ καὶ ἄλυπον ἐπὶ δόξῃ τοσαύτῃ θάνατον ὤφθησαν, (7) « Ἡμᾶς δ', εἶπεν ἤδη πρὸς ὀργὴν ὁ Κροῖσος, εἰς οὐδένα τίθης εὐδαιμόνων ἀριθμὸν ἀνθρώπων; » Καὶ ὁ Σόλων οὔτε κολακεύειν βουλόμενος αὐτὸν οὔτε περαιτέρω παροξύνειν, « Ἕλλησιν, εἶπεν, ὦ βασιλεῦ Λυδῶν, πρός τε τἆλλα μετρίως ἔχειν ὁ θεὸς ἔδωκε καὶ σοφίας τινὸς εὐθαρσοῦς, ὡς ἔοικε, καὶ δημοτικῆς, οὐ βασιλικῆς οὐδὲ λαμπρᾶς, ὑπὸ μετριότητος ἡμῖν μέτεστιν, ἡ τύχαις ὁρῶσα παντοδαπαῖς χρώμενον ἀεὶ τὸν βίον, οὐκ ἐᾷ τοῖς παροῦσιν ἀγα- b θοῖς μέγα φρονεῖν οὐδὲ θαυμάζειν ἀνδρὸς εὐτυχίαν μεταβολῆς χρόνον ἔχουσαν. (8) Ἔπεισι γὰρ ἑκάστῳ ποικίλον ἐξ ἀδήλου τὸ μέλλον· ᾧ δ' εἰς τέλος ὁ δαίμων ἔθετο τὴν εὐπραξίαν, τοῦτον εὐδαίμονα νομίζομεν. Ὁ δὲ ζῶντος ἔτι καὶ κινδυνεύοντος ἐν τῷ βίῳ μακαρισμὸς, ὥσπερ ἀγωνιζομένου κήρυγμα καὶ στέφανος, ἐστὶν ἀβέβαιος καὶ ἄκυρος. » Ταῦτ' εἰπὼν ὁ Σόλων ἀπηλλάττετο λυπήσας μὲν, οὐ νουθετήσας δὲ τὸν Κροῖσον.

XXVIII. Ὁ δὲ λογοποιὸς Αἴσωπος, ἐτύγχανε γὰρ εἰς Σάρδεις γεγονὼς μετάπεμπτος ὑπὸ Κροίσου καὶ τιμώμενος, ἠχθέσθη τῷ Σόλωνι μηδεμιᾶς τυχόντι φιλανθρωπίας· καὶ προτρέπων αὐτὸν, « Ὦ Σόλων, ἔφη, c τοῖς βασιλεῦσι δεῖ ὡς ἥκιστα ἢ ὡς ἥδιστα ὁμιλεῖν. » Καὶ ὁ Σόλων, « Μὰ Δί', εἶπεν, ἀλλ' ὡς ἥκιστα ἢ ὡς ἄριστα. » (2) Τότε μὲν οὖν ὁ Κροῖσος οὕτω τοῦ Σόλωνος κατεφρόνησεν· ἐπεὶ δὲ Κύρῳ συμβαλὼν ἐκρατήθη μάχῃ καὶ τὴν πόλιν ἀπώλεσε καὶ ζῶν ἁλοὺς αὐτὸς ἔμελλε καταπίμπρασθαι καὶ γενομένης πυρᾶς ἀνεβιβάσθη δεδεμένος θεωμένων Περσῶν ἁπάντων καὶ Κύρου παρόντος, ἐφ' ὅσον ἐξικνεῖτο καὶ δυνατὸς ἦν τῇ φωνῇ φθεγξάμενος ἀνεβόησε τρὶς, « Ὦ Σόλων. » (3) Θαυμάσας οὖν ὁ Κῦρος ἔπεμψε τοὺς ἐρησομένους, ὅστις d ἀνθρώπων ἢ θεῶν οὗτός ἐστιν ὁ Σόλων, ὃν τύχαις ἀπόροις μόνον ἀνακαλεῖται. (4) Καὶ ὁ Κροῖσος οὐδὲν ἀποκρυψάμενος εἶπεν ὅτι « Τῶν παρ' Ἕλλησι σοφῶν εἷς οὗτος ἦν ἀνὴρ, ὃν ἐγὼ μετεπεμψάμην οὐκ ἀκοῦσαί τι βουλόμενος οὐδὲ μαθεῖν ὧν ἐνδεὴς ἦμην, ἀλλ' ὡς δή

se beatiorem vidisset hominem. Cum respondisset Solon nosse se Tellum suum civem, et narrasset eum, cum vir bonus fuisset, liberosque egregios post se reliquisset et rem familiarem sufficientem, re præclare gesta pro patria occubuisse, ibi cœpit eum Crœsus hominem parum compotem mentis et rusticum putare, qui non argenti aurique multitudine felicitatem ponderaret, sed plebeii ac privati hominis vitam mortemque tantis opibus regnoque anteponeret. (6) Nihilominus tamen percontatus est, si quem alium præter Tellum vidisset hominem Crœso feliciorem. Tum Cleobin et Bitonem Solon nominavit, eximia in matrem atque inter se pietate viros, qui bobus moram facientibus, ipsi jugum currus subivissent, matremque eo ad fanum Junonis adduxissent, lætantem, et a civibus beatam prædicatam; deinde sacris peractis epulati nunquam ab illo die surrexissent, sed tantam gloriam morte doloris mœrorisque secura clausissent. (7) « Nos vero, inquit jam in iram prolapsus Crœsus, in numero beatorum hominum non habes? » Ad quæ Solon, cum neque adulari vellet, neque ulterius irritare: « Cum de ceteris rebus, inquit, deus Græcis, o rex Lydorum, mediocriter sentire dedit, tum sapientiæ nos cujusdam fiducia impertiit, quæ mediocritatem respiciens, popularibus magis hominibus quam regio splendori sit commoda. Ea cum videat hominum vitam nunquam non variis casibus esse obnoxiam, non patitur quenquam præsentium bonorum cogitatione efferri, neque admirari hominis alicujus felicitatem, quam immutare tempus possit. (8) Unicuique enim variæ res futuræ, de quibus certi nihil constet, ingruunt. Cui vero res secundas ad finem usque deus prorogavit, hunc felicem esse statuimus: at viventi adhuc et in discrimine versanti felicitas quæ tribuitur, non magis certa atque rata est, quam si victoriam coronamque alicui adhuc decertanti adscribamus. » His dictis Solon abiit, non emendato, sed dolore affecto Crœso.

XXVIII. Erat tum Sardibus Æsopus fabularum conditor, accersitus a Crœso. Is habitus in honore, ægre ferebat, Solonem nullam regis esse expertum humanitatem, adhortansque hominem: « O Solon, ait, cum regibus aut quam minime, aut quam suavissime colloquendum est. » « Nequaquam vero, inquit Solon, sed vel minime, vel rectissime. » (2) Crœsus autem, qui eo tempore Solonem contemptui habuisset, postquam cum Cyro pugna congressus, inferior fuit, amissis Sardibus vivus in hostium venit potestatem, ignique est addictus: rogo exstructo impositus, injectis vinculis, universis Persis spectantibus, Cyro præsente, ter quanta potuit maxima vocis contentione exclamavit, « o Solon. » (3) Id miratus Cyrus, misit qui interrogarent, quisnam homo vel deus ille Solon esset, quem unum rebus plane desperatis invocavisset. (4) Crœsus nihil dissimulans, respondit, fuisse unum e sapientum numero apud Græcos Solonem, eumque se accivisse, non audiendi discendive eorum quæ ex usu fuissent, sed ostentandæ suæ felicitatis

μοι θεατὴς γένοιτο καὶ μάρτυς ἀπίοι τῆς εὐδαιμονίας ἐκείνης, ἣν ἀποβαλεῖν ἄρα μεῖζον ἦν κακὸν ἢ λαβεῖν ἀγαθόν. Λόγος γὰρ ἦν καὶ δόξα τἀγαθὸν παρούσης· αἱ μεταβολαὶ δέ μοι αὐτῆς εἰς πάθη δεινὰ καὶ συμφορὰς ἀνηκέστους ἔργῳ τελευτῶσι. (5) Καὶ ταῦτ' ἐκεῖνος ὁ ἀνὴρ ἐκ τῶν τότε τὰ νῦν τεκμαιρόμενος ἐκέλευσε τὸ τέλος τοῦ βίου σκοπεῖν καὶ μὴ θρασυνόμενον ἀβεβαίοις ὑπονοίαις ὑβρίζειν. » (6) Ἐπεὶ δὲ τοῦτ' ἀνηνέχθη πρὸς τὸν Κῦρον, ἅτε δὴ σοφώτερος ὢν τοῦ Κροίσου καὶ τὸν λόγον τοῦ Σόλωνος ἰσχυρὸν ἐν τῷ παραδείγματι βλέπων, οὐ μόνον ἀφῆκε τὸν Κροῖσον, ἀλλὰ καὶ τιμῶν ἐφ' ὅσον ἔζη διετέλεσε· καὶ δόξαν ἔσχεν ὁ Σόλων ἑνὶ λόγῳ τὸν μὲν σώσας, τὸν δὲ παιδεύσας τῶν βασιλέων.

XXIX. Οἱ δὲ ἐν ἄστει πάντες ἐστασίαζον ἀποδημοῦντος τοῦ Σόλωνος· καὶ προειστήκει τῶν μὲν Πεδιέων Λυκοῦργος, τῶν δὲ Παράλων Μεγακλῆς ὁ Ἀλκμαίωνος, Πεισίστρατος δὲ τῶν Διακρίων· ἐν οἷς ἦν ὁ θητικὸς ὄχλος καὶ μάλιστα τοῖς πλουσίοις ἀχθόμενος· ὥστε χρῆσθαι μὲν ἔτι τοῖς νόμοις τὴν πόλιν, ἤδη δὲ πράγματα νεώτερα προσδοκᾶν καὶ ποθεῖν ἅπαντας ἑτέραν κατάστασιν, οὐκ ἴσον ἐλπίζοντας, ἀλλὰ πλέον ἕξειν ἐν τῇ μεταβολῇ καὶ κρατήσειν παντάπασι τῶν διαφερομένων. (2) Οὕτω δὲ τῶν πραγμάτων ἐχόντων ὁ Σόλων παραγενόμενος εἰς τὰς Ἀθήνας, αἰδῶ μὲν εἶχε καὶ τιμὴν παρὰ πᾶσιν, ἐν δὲ κοινῷ λέγειν καὶ πράσσειν ὁμοίως οὐκ ἔτ' ἦν δυνατὸς οὐδὲ πρόθυμος ὑπὸ γήρως, ἀλλ' ἐντυγχάνων ἰδίᾳ τοῖς προεστῶσι τῶν στάσεων ἀνδράσιν ἐπειρᾶτο διαλύειν καὶ συναρμόττειν, μάλιστα τοῦ Πεισίστρατου προσέχειν δοκοῦντος αὐτῷ. (3) Καὶ γὰρ αἰμύλον τι καὶ προσφιλὲς εἶχεν ἐν τῷ διαλέγεσθαι καὶ βοηθητικὸς ἦν τοῖς πένησι καὶ πρὸς τὰς ἔχθρας ἐπιεικὴς καὶ μέτριος. Ἃ δὲ φύσει μὴ προσῆν αὐτῷ καὶ ταῦτα μιμούμενος ἐπιστεύετο μᾶλλον τῶν ἐχόντων, ὡς εὐλαβὴς καὶ κόσμιος ἀνὴρ καὶ μάλιστα δὴ τὸ ἴσον ἀγαπῶν καὶ δυσχεραίνων, εἴ τις τὰ παρόντα κινοῖ ἢ νεωτέρων ὀρέγοιτο· τούτοις γὰρ ἐξηπάτα τοὺς πολλούς. (4) Ὁ δὲ Σόλων ταχὺ τὸ ἦθος ἐφώρασεν αὐτοῦ καὶ τὴν ἐπιβουλὴν πρῶτος ἐγκατεῖδεν· οὐ μὴν ἐμίσησεν, ἀλλ' ἐπειρᾶτο πραΰνειν καὶ νουθετεῖν καὶ πρὸς αὐτὸν ἔλεγε καὶ πρὸς ἑτέρους, ὡς εἴ τις ἐξέλοι τὸ φιλόπρωτον αὐτοῦ τῆς ψυχῆς καὶ τὴν ἐπιθυμίαν ἰάσαιτο τῆς τυραννίδος, οὐκ ἔστιν ἄλλος εὐφυέστερος πρὸς ἀρετὴν οὐδὲ βελτίων πολίτης. (5) Ἀρχομένων δὲ τῶν περὶ Θέσπιν ἤδη τὴν τραγῳδίαν κινεῖν καὶ διὰ τὴν καινότητα τοὺς πολλοὺς ἄγοντος τοῦ πράγματος, οὕπω δ' εἰς ἅμιλλαν ἐναγώνιον ἐξηγμένου, φύσει φιλήκοος ὢν καὶ φιλομαθὴς ὁ Σόλων, ἔτι μᾶλλον ἐν γήρᾳ, σχολῇ καὶ παιδιᾷ καὶ νὴ Δία πότοις καὶ μουσικῇ παραπέμπων ἑαυτὸν, ἐθεάσατο τὸν Θέσπιν αὐτὸν ὑποκρινόμενον, ὥσπερ ἔθος ἦν τοῖς παλαιοῖς. (6) Μετὰ δὲ τὴν θέαν προσαγορεύσας αὐτὸν ἠρώτησεν, εἰ τοσούτων ἐναντίον οὐκ αἰσχύνεται τηλικαῦτα ψευδόμενος. Φήσαντος δὲ τοῦ Θέσπιδος, μὴ δεινὸν εἶναι τὸ μετὰ παιδιᾶς λέγειν τοιαῦτα καὶ πράσσειν, σφόδρα τῇ βακτηρίᾳ τὴν γῆν ὁ Σόλων πατάξας, « Ταχὺ μέντοι τὴν

studio, eumque ejus testem dimittendi causa : in qua sane felicitate amittenda plus fuerit mali, quam in potiendo boni, ut quæ præsens opinionem tantum ac nomen boni attulerit, ejus vero amissio in summas mihi miserias calamitatesque extremas re ipsa evasit. (5) Itaque eum virum, qui ex præsenti tum conditione futura conjecisset, mandasse sibi, ut ad finem vitæ respiceret, neque incertis inductus opinionibus superbius se efferret. (6) Quæ verba cum essent Cyro renuntiata, ut erat vir Crœso sapientior, veritatemque orationis in exemplo efficacem intuebatur, non tantum ignovit Crœso, sed et quamdiu vixit, honorifice habuit secum : judicatumque est ita de Solone, uno eum dicto e duobus regibus alterum servasse, alterum erudivisse.

XXIX. Interim per absentiam Solonis tota civitas in factiones discesserat. Pediensium dux erat Lycurgus, Paralorum Megacles Alcmæonis filius, Diacriorum Pisistratus, quibus se conjunxerat turba mercenariorum maxime divitibus infensa : et quamvis adhuc uteretur civitas Solonis legibus, omnes tamen studium rerum novandarum incesserat, cupiditasque status reipublicæ mutandi : quod in ea immutatione non æquas modo, sed et potiores partes se habituros, omninoque adversariis superiores futuros existimabant. (2) Ea rerum forma Solon Athenas reversus, reverenter quidem et in honore ab omnibus habitus est, ad loquendum tamen et agendum in publico, sicut antea, minus promptum efficacemque eum senectus reddiderat : tantum seorsum cum principibus factionum congressus, componere dissidia studebat : idque eo magis, quod Pisistratus animum ipsi advertere videbatur. (3) Erat is vir in colloquio blandus, juvandorum pauperum studiosus, circa inimicitias moderatus : præterea vero imitatione eorum, quæ natura ipsi non aderant, effecerat, ut probitatis ac modestiæ opinione eos etiam, qui revera tales erant, vinceret, putareturque æqualitatis amans et iniquissime præsentis rerum status mutationem novasque res laturus : hocque modo vulgus hominum decipiebat. (4) At Solon ingenium hominis statim deprehendit, primusque omnium insidias ejus conspexit, neque odio eum prosecutus tamen est, sed mollire et ad sanam mentem revocare intendit : dixitque cum ipsi, tum aliis, non esse eo quenquam magis aptum natura ad virtutem, neque meliorem civem, si modo studium principatus ex animo ejus eximeretur cupiditasque tyrannidis pelleretur. (5) Eo tempore, cum Thespis jam tragœdiam proferret eaque res novitate sua animos civium alliceret, nondum tamen ad certamina pervenisset : Solon, homo audiendi discendique natura studiosus, quique senectutem suam otio et ludicris rebus adeoque compotationibus jam et musica transigeret, spectavit Thespin, ipsum, qui mos antiquus fuit, personam agentem. (6) Finito spectaculo compellavit eum ac sciscitatus est, ecquid eum non puderet coram tanta multitudine tantopere mentiri : qui cum respondisset, nihil mali esse, cum hæc animi causa ita agerentur atque dicerentur, terram graviter scipione percutiens Solon, « Mox, inquit, fiet, ut cum hunc ludum

παιδιὰν, ἔφη, ταύτην ἐπαινοῦντες καὶ τιμῶντες εὑρήσομεν ἐν τοῖς συμβολαίοις. »

XXX. Ἐπεὶ δὲ κατατρώσας αὐτὸς ἑαυτὸν ὁ Πεισίστρατος ἦκεν εἰς ἀγορὰν ἐπὶ ζεύγους κομιζόμενος καὶ παρώξυνε τὸν δῆμον ὡς διὰ τὴν πολιτείαν ὑπὸ τῶν ἐχθρῶν ἐπιβεβουλευμένος καὶ πολλοὺς εἶχεν ἀγαναχτοῦντας καὶ βοῶντας, προσελθὼν ἐγγὺς ὁ Σόλων καὶ παραστὰς, « Οὐ καλῶς, εἶπεν, ὦ παῖ Ἱπποκράτους, ὑποκρίνῃ τὸν Ὁμηρικὸν Ὀδυσσέα· ταῦτα γὰρ ποιεῖς τοὺς πολίτας παρακρουόμενος, οἷς ἐκεῖνος τοὺς πολεμίους ἐξηπάτησεν αἰκισάμενος ἑαυτόν. » (2) Ἐκ τούτου τὸ μὲν πλῆθος ἦν ἕτοιμον ὑπερμαχεῖν τοῦ Πεισιστράτου καὶ συνῆλθεν εἰς ἐκκλησίαν ὁ δῆμος· Ἀρίστωνος δὲ γράψαντος, ὅπως δοθῶσι πεντήκοντα κορυνηφόροι τῷ Πεισιστράτῳ φυλακὴ τοῦ σώματος, ἀντεῖπεν ὁ Σόλων ἀναστὰς καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις, οἷς διὰ τῶν ποιημάτων γέγραφεν·

Εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός.
Ὑμῶν δ' εἰς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

(3) Ὁρῶν δὲ τοὺς μὲν πένητας ὁρμωμένους χαρίζεσθαι Πεισιστράτῳ καὶ θορυβοῦντας, τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ἀπῆλθεν εἰπὼν, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος· σοφώτερος μὲν τῶν μὴ συνιέντων τὸ πραττόμενον, ἀνδρειότερος δὲ τῶν συνιέντων μέν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων. (4) Τὸ δὲ ψήφισμα κυρώσας ὁ δῆμος οὐδὲ περὶ τοῦ πλήθους ἔτι τῶν κορυνηφόρων διεμικρολογεῖτο πρὸς τὸν Πεισίστρατον· ἀλλ' ὅσους ἐβούλετο τρέφοντα καὶ συνάγοντα φανερῶς περιεώρα, μέχρι τὴν ἀκρόπολιν κατέσχε. (5) Γενομένου δὲ τούτου καὶ τῆς πόλεως συνταραχθείσης ὁ μὲν Μεγακλῆς εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων Ἀλκμαιωνιδῶν. (6) Ὁ δὲ Σόλων ἤδη μὲν ἦν σφόδρα γέρων καὶ τοὺς βοηθοῦντας οὐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν καὶ διελέχθη πρὸς τοὺς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν· ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν. (7) Οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ καὶ λαβὼν τὰ ὅπλα καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν στενωπὸν, « Ἐμοὶ μὲν, εἶπεν, ὡς δυνατὸν ἦν βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις. » Καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε· καὶ τῶν φίλων φεύγειν παραινούντων οὐ προσεῖχεν, ἀλλὰ ποιήματα γράφων ὠνείδιζε τοῖς Ἀθηναίοις·

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τούτους ηὐξήσατ' ἐρύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.

XXXI. Ἐπὶ τούτοις δὲ πολλῶν νουθετούντων αὐτὸν

laudemus et honore afficiamus, eum in commerciis inveniamus. »

XXX. Ubi Pisistratus impositis sibi ipsi vulneribus bigis in forum provectus animos civium irritavit, tanquam reipublicæ causa ita ab hostibus per insidias acceptus: multis indignantibus ac vociferantibus, proxime ad eum accedens Solon et assistens, « Non bene, inquit, o fili Hippocratis, Homericum Ulyssem agis: ut enim ille ad decipiendos hostes corpus suum male mulcavit, ita tu idem facis ad inducendos in fraudem cives. » (2) Ceterum hoc facto Pisistratus id consecutus est, ut multitudo ad eum defendendum esset parata: populoque in concionem congregato cum Aristo rogationem tulisset, ut Pisistrato custodiæ corporis causa quinquaginta clavis armati stipatores darentur, surrexit Solon, ac multis verbis id impugnavit, in eam sententiam, quæ in carminibus ipsius ita perscripta est:

Linguæ et blandiloqui verbis vos creditis oris.
Vestrum quisque vafræ sequitur vestigia vulpis:
vanus et imprudens omnibus est animus.

(3) Videns autem egenos ad gratificandum Pisistrato concitatos tumultuari, divites vero aufugere metu consternatos, discessit dicens, alteris se sapientiorem esse, alteris fortiorem: sapientiorem iis, qui quid ageretur non intelligerent; fortiorem iis, qui cum sentirent, tyrannidi se opponere non auderent. (4) Ceterum populus cum legem jussisset, nihil ultra de numero clavigerorum inquisivit, sed passus est Pisistratum quotquot vellet alere et conducere, donec is arcem occupavit. (5) Quo facto, conturbataque civitate Megacles et reliqui Alcmæonidæ ex urbe fugerunt. (6) At Solon, etsi jam admodum senex et auxiliariis destitutus, nihilominus in concionem progressus, verba ad cives fecit, partim eorum prudentiam et mollitiem increpans, partim irritans eos et adhortans, ne libertatem sibi eripi paterentur. Dixitque tum celebratum illud, ante quidem facilius ipsis factu fuisse, ut tyrannidem nascentem prohiberent, nunc præclarius esse splendidiusque, constitutam jam et natam exscindere. (7) Sed cum metus causa nemo ei auscultaret, domum suam abiit, armaque sua ante ædes in vico posuit, « Ego quidem, inquiens, patriæ legibusque, quantum in me fuit, opitulatus sum. » (8) Atque exinde quieti se dedit, amicisque ut fugeret hortantibus, non obtemperavit, sed carmina condens, in Athenienses invectus est:

Jam mala si vestra toleratis tristia culpa,
non accepta bonis illa referte deis.
Præsidio vestros munistis namque tyrannos:
vestra hinc servitium nunc grave colla premit.

XXXI. Horum carminum causa cum nulli eum mone-

ὡς ἀποθανούμενον ὑπὸ τοῦ τυράννου καὶ πυνθανομένων, τίνι πιστεύων οὕτως ἀπονοεῖται; « Τῷ γήρᾳ », εἶπεν. (2) Οὐ μὴν ἀλλ' ὁ Πεισίστρατος ἐγκρατὴς γενόμενος τῶν πραγμάτων οὕτως ἐξεθεράπευσε τὸν Σόλωνα, τιμῶν καὶ φιλοφρονούμενος καὶ μεταπεμπόμενος, ὥστε καὶ σύμβουλον εἶναι καὶ πολλὰ τῶν πρασσομένων ἐπαινεῖν. (3) Καὶ γὰρ ἐφύλαττε τοὺς πλείστους νόμους τοῦ Σόλωνος, ἐμμένων πρῶτος αὐτὸς καὶ τοὺς φίλους ἀναγκάζων· ὅς γε καὶ φόνου προσκληθεὶς εἰς Ἄρειον πάγον ἤδη τυραννῶν, ἀπήντησε κοσμίως ἀπολογησόμενος· ὁ δὲ κατήγορος οὐχ ὑπήκουσε. (4) Καὶ νόμους αὐτὸς ἑτέρους ἔγραψεν, ὧν ἐστι καὶ ὁ τοὺς πηρωθέντας ἐν πολέμῳ δημοσίᾳ τρέφεσθαι κελεύων. (5) Τοῦτο δέ φησιν Ἡρακλείδης καὶ πρότερον ἐπὶ Θερσίππῳ πηρωθέντι τοῦ Σόλωνος ψηφισαμένου, μιμήσασθαι τὸν Πεισίστρατον. (6) Ὡς δὲ Θεόφραστος ἱστόρηκε, καὶ τὸν τῆς ἀργίας νόμον οὐ Σόλων ἔθηκεν, ἀλλὰ Πεισίστρατος, ᾧ τήν τε χώραν ἐνεργεστέραν καὶ τὴν πόλιν ἡρεμαιοτέραν ἐποίησεν. (7) Ὁ δὲ Σόλων ἁψάμενος μεγάλης τῆς περὶ τὸν Ἀτλαντικὸν λόγον ἢ μῦθον πραγματείας, ὃν διήκουσε τῶν περὶ Σαΐν λογίων προσήκοντα τοῖς Ἀθηναίοις, ἐξέκαμεν οὐ δι' ἀσχολίαν, ὡς Πλάτων φησὶν, ἀλλὰ μᾶλλον ὑπὸ γήρως φοβηθεὶς τὸ μέγεθος τῆς γραφῆς. Ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί·

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος·

καὶ,

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

XXXII. Ὡς δὲ χώρας καλῆς ἔδαφος ὁ Πλάτων ἔρημον, αὐτῷ δέ πως κατὰ συγγένειαν προσῆκον, ἐξεργάσασθαι καὶ διακοσμῆσαι φιλοτιμούμενος τὴν Ἀτλαντικὴν ὑπόθεσιν, πρόθυρα μὲν μεγάλα καὶ περιβόλους καὶ αὐλὰς τῇ ἀρχῇ περιέθηκεν, οἷα λόγος οὐδεὶς ἄλλος ἔσχεν οὐδὲ μῦθος οὐδὲ ποίησις· ὀψὲ δὲ ἀρξάμενος προκατέλυσε τοῦ ἔργου τὸν βίον, ὅσῳ μᾶλλον εὐφραίνει τὰ γεγραμμένα, τοσούτῳ μᾶλλον τοῖς ἀπολειφθεῖσιν ἀνιάσας. (2) Ὡς γὰρ ἡ πόλις τῶν Ἀθηναίων τὸ Ὀλυμπιεῖον, οὕτως ἡ Πλάτωνος σοφία τὸν Ἀτλαντικὸν ἐν πολλοῖς καλοῖς μόνον ἔργον ἀτελὲς ἔσχηκεν. (3) Ἐπεβίωσε δ' οὖν ὁ Σόλων ἀρξαμένου τοῦ Πεισιστράτου τυραννεῖν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, συχνὸν χρόνον, ὡς δὲ Φανίας ὁ Ἐρέσιος, ἐλάττονα δυεῖν ἐτῶν. Ἐπὶ Κωμίου μὲν γὰρ ἤρξατο τυραννεῖν Πεισίστρατος· ἐφ' Ἡγεστράτου δὲ Σόλωνά φησιν ὁ Φανίας ἀποθανεῖν, τοῦ μετὰ Κωμίαν ἄρξαντος. (4) Ἡ δὲ δὴ διασπορὰ καταξανθέντος αὐτοῦ τῆς τέφρας περὶ τὴν Σαλαμινίων νῆσον, ἔστι μὲν διὰ τὴν ἀτοπίαν ἀπίθανος παντάπασι καὶ μυθώδης· ἀναγέγραπται δ' ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων καὶ Ἀριστοτέλους τοῦ φιλοσόφου.

rent ut sibi caveret, ne a tyranno interficeretur, quæreretque qua re fretus ita confidenter nullum periculum horreret : « Senectute » inquit. (2) At vero Pisistratus rerum potitus, ita demereri Solonem perrexit, omnique honore et observantia colere, ut eum et consiliarium habuerit, et multarum suarum actionum laudatorem. (3) Plerasque enim Solonis leges retinuit, ipse iis stans, amicosque ut idem facerent cogens : adeoque homicidii causa in jus apud Areopagitas vocatus, cum jam tyrannidem gereret, moderate tamen ad dicendam causam adfuit : actor autem non respondit ad nomen. (4) Ipse etiam alias leges sanxit, quarum e numero est ea, qua ii qui in bello membrorum aliquod amisissent, publice ali jubentur. (5) Heraclides hoc ante a Solone de Thersippo mutilato decretum, tum Pisistratum imitatum tradit. (6) Legem quoque de otio, si Theophrastum audimus, non Solon, sed Pisistratus tulit, qua et agrum coli diligentius et urbem tranquilliorem fecit. (7) Porro autem Solon cum aggressus esset opus de sermone Atlantico, quem a doctis apud Sain urbem Ægypti audiverat, idque conducturum Atheniensibus speraret, defecit, non, ut Plato dixit, occupationibus, verum senectute impeditus, magnitudineque scriptionis deterritus. Abundasse enim eum otio, hæ ejus voces indicant :

Discenti semper multa, senecta subit,

et,

Nunc Veneris mihi grata et læti munera Bacchi
Musarumque : viris dant ea lætitiam.

XXXII. Plato Atlantici sermonis argumentum, tanquam boni agri solum cultoris egens, excepit, cognationis causa ad ipsum quodammodo pertinens, idque opus absolvere et exornare cum intendisset, initio vestibula, mœnia, atriaque magna posuit, qualia nulli unquam nec disputationi nec fabulæ nec poesi obtigerunt ; sed cum sero incepisset, vitæ prius, quam libri pensum absolvit, quanto majus gaudium propter hæc quæ perscripsit, tanto majorem ob ea quæ imperfecta reliquit tristitiam nobis adferens. (2) Nam ut Athenis inter multa præclara opera Jovis Olympii templum non absolutum ita in Platonis philosophia Atlanticus sermo imperfectus est. (3) Proinde Solon occupata a Pisistrato tyrannide, vixit adhuc permultum temporis, ut quidem Heraclides Ponticus est auctor ; ut Phanias Eresius, non totum biennium : siquidem Pisistratum invasisse tyrannidem Comia archonte, Solonem autem sub Hegestrato, qui Comiæ successit, vita defunctum. (4) Cremati Solonis cineres sparsos fuisse apud Salaminem insulam tantum habet absurdi, ut omnino fidem non mereri, sed commentum judicari possit : tamen id factum scripsere cum alii fide digni auctores, tum Aristoteles etiam philosophus.

ΠΟΠΛΙΚΟΛΑΣ.

Τοιούτῳ δὲ γενομένῳ τῷ Σόλωνι τὸν Ποπλικόλαν παραβάλλομεν· ᾧ τοῦτο μὲν ὕστερον ὁ Ῥωμαίων δῆμος ἐξεῦρεν ἐπὶ τιμῇ τοὔνομα, πρὸ τοῦ δὲ Πόπλιος Οὐαλλέριος ἐκαλεῖτο, Οὐαλλερίου δοκῶν ἀπόγονος εἶναι τῶν παλαιῶν ἀνδρὸς αἰτιωτάτου γενομένου Ῥωμαίους καὶ Σαβίνους ἐκ πολεμίων ἕνα γενέσθαι δῆμον. Ὁ γὰρ μάλιστα τοὺς βασιλεῖς εἰς ταὐτὸ πείσας συνελθεῖν καὶ διαλλάξας ἐκεῖνός ἐστι. (2) Τούτῳ δὴ κατὰ γένος προσήκων Οὐαλλέριος, ὥς φασι, βασιλευομένης μὲν ἔτι τῆς Ῥώμης, ἐπιφανὴς ἦν διὰ λόγον καὶ πλοῦτον· ὧν τῷ μὲν ὀρθῶς καὶ μετὰ παῤῥησίας ἀεὶ χρώμενος ὑπὲρ τῶν δικαίων, ἀφ' οὗ δὲ τοῖς δεομένοις ἐλευθερίως καὶ φιλανθρώπως ἐπαρκῶν δῆλος ἦν εὐθύς, εἰ γένοιτο δημοκρατία, πρωτεύσων. (3) Ἐπεὶ δὲ Ταρκύνιον Σούπερβον οὔτε λαβόντα τὴν ἀρχὴν καλῶς, ἀλλ' ἀνοσίως καὶ παρανόμως, οὔτε χρώμενον αὐτῇ βασιλικῶς, ἀλλ' ὑβρίζοντα καὶ τυραννοῦντα μισῶν ὁ δῆμος καὶ βαρυνόμενος, ἀρχὴν ἀποστάσεως ἔλαβε τὸ Λουκρητίας πάθος, αὐτὴν ἐπὶ τῷ βιασθῆναι διεργασαμένης, Λεύκιος Βροῦτος ἁπτόμενος τῶν πραγμάτων καὶ τῆς μεταβολῆς, ἐπὶ πρῶτον ἦλθε τὸν Οὐαλλέριον καὶ χρησάμενος αὐτῷ προθυμοτάτῳ συνεξέβαλε τοὺς βασιλεῖς. (4) Καὶ μέχρι μὲν ἐπίδοξος ἦν ὁ δῆμος ἕνα χειροτονήσειν ἀντὶ τοῦ βασιλέως στρατηγὸν, ἡσυχίαν ἦγεν ὁ Οὐαλλέριος, ὡς τῷ Βρούτῳ μᾶλλον ἄρχειν προσῆκον ἡγεμόνι τῆς δημοκρατίας γεγενημένῳ· δυσχεραινομένου δὲ τοῦ τῆς μοναρχίας ὀνόματος καὶ δοκοῦντος ἂν ἀλυπότερον τοῦ δήμου μερισθεῖσαν ὑπομεῖναι τὴν ἀρχὴν καὶ δύο προβαλλομένου καὶ καλοῦντος, ἐλπίζων μετὰ τοῦ Βρούτου αἱρεθήσεσθαι καὶ συνυπατεύσειν διήμαρτεν. (5) Ἠρέθη γὰρ ἄκοντι τῷ Βρούτῳ συνάρχων ἀντὶ τοῦ Οὐαλλερίου Ταρκύνιος Κολλατῖνος, ὁ Λουκρητίας ἀνὴρ, οὐδὲν ἀρετῇ Οὐαλλερίου διαφέρων, ἀλλ' οἱ δυνατοὶ δεδιότες τοὺς βασιλεῖς ἔτι πολλὰ πειρῶντας ἔξωθεν καὶ μαλάσσοντας τὴν πόλιν ἐβούλοντο τὸν ἐντονώτατον αὐτοῖς ἐχθρὸν ἔχειν στρατηγὸν, ὡς οὐχ ὑφησόμενον.

II. Ἀγαναχτῶν οὖν ὁ Οὐαλλέριος, εἰ μὴ πιστεύεται πάντα πράττειν ἕνεκα τῆς πατρίδος, ὅτι μηδὲν ἰδίᾳ κακὸν ὑπὸ τῶν τυράννων πέπονθε, τῆς τε βουλῆς ἀπέστη καὶ τὰς συνηγορίας ἀπεῖπε καὶ τὸ πράττειν τὰ κοινὰ παντελῶς ἐξέλιπεν, ὥστε καὶ λόγον τοῖς πολλοῖς παρασχεῖν καὶ φροντίδα, φοβουμένοις, μὴ δι' ὀργὴν προσθέμενος τοῖς βασιλεῦσιν ἀνατρέψῃ τὰ πράγματα καὶ τὴν πόλιν ἐπισφαλῶς ἔχουσαν. (2) Ἐπεὶ δὲ καὶ πρὸς ἑτέρους τινὰς ὑποψίαν ἔχων ὁ Βροῦτος ἐβούλετο διὰ σφαγίων ὁρκῶσαι τὴν βουλὴν καὶ προεῖπεν ἡμέραν, κατέδη μάλα φαιδρὸς εἰς ἀγορὰν ὁ Οὐαλλέριος καὶ πρῶτος ὀμόσας μηδὲν ἐνδώσειν μηδ' ὑφήσεσθαι Ταρκυνίῳ, ἀλλὰ πολεμήσειν κατὰ κράτος ὑπὲρ τῆς ἐλευθερίας, ἡδονήν τε τῇ βουλῇ καὶ θάρσος ἅμα τοῖς ἄρχουσι παρέσχεν. Εὐθὺς δὲ καὶ τὰ ἔργα τὸν ὅρκον ἐβεβαίου.

POPLICOLA.

Cum Solone tali viro Poplicolam comparabimus : cui quidem id cognomentum honoris ergo populus Romanus excogitavit, cum ante Publius Valerius vocaretur, credereturque genus referre ad Valerium illum priscum, qui maxime in causa fuit, ut Romani et Sabini ex hostibus unus populus fierent : quippe is fuit, qui præsertim regibus persuasit ut convenirent, eosque inter se conciliavit. (2) Ab hoc, ut fertur, ortus noster, cum adhuc sub regibus esset Roma, eloquentia et divitiis claruit : quorum altero recte et libere semper pro justitia defendenda utebatur, altero liberaliter et benigne opem egentibus ferendo, ut satis jam tum perspicuum fuerit, eum in republica, si summa ejus ad populum aliquando deferretur, principem fore. (3) Proinde cum populo jam dudum Tarquinium Superbum regem indigne graviterque ferenti, quippe qui neque legitime, sed per scelus et impie regnum occupasset, neque ut regem decebat, sed contumeliose et crudeliter eo fungeretur, deficiendi occasionem casus Lucretiæ obtulisset, quæ propter vim pudicitiæ suæ factam manus sibi ipsa intulerat : L. Brutus rerum mutationem aggressus, Valerium primo adiit, summoque ejus studio operaque in ejiciendis regibus usus est. (4) Ac quamdiu videbatur populus unum aliquem ducem in regis locum designaturus, continuit sese in otio Valerius, meliore jure principatum Bruto deberi, qui popularis in republica status auctor fuisset, sentiens. Cum autem imperii, quod penes unum esset, vel nomen populus exosus, faciliusque existimans id divisum se posse pati, duos ad summam rerum vocaret : sperans Valerius se cum Bruto delectum iri, et consulem futurum, repulsam tulit. (5) Collega enim Bruto, invito quamlibet, datus est loco Valerii Tarquinius Collatinus, Lucretiæ maritus : nihil quidem Valerium virtute præstans, sed potentiores cum metuerent adhuc reges multa foris tentantes, urbique blandientes, ducem habere volebant eum, qui vehementissime iis inimicus, nihil concederet.

II. At Valerius iniquo animo ferens, si, quod nulla privatim injuria esset a regibus affectus, idcirco non crederetur omnia patriæ causa acturus, senatu se abstinuit, patrocinia repudiavit, omninoque a reipublicæ cura sese abduxit : quæ res sermonum multis sollicitudinisque causam præbuit, metuentibus ne ira commotus regibus se adjungeret, civitatemque nondum confirmatis plane rebus everteret. (2) Et Brutus, cum alios quoque eodem nomine suspectos haberet, sacris factis statuit sacramento adigere senatum, eique rei diem dixit; tum Valerius admodum hilari vultu in forum descendit, primusque omnium juravit, nihil se concessurum nec largiturum Tarquinio, sed totis viribus pro libertate propugnaturum : quod ejus factum et voluptatem senatui, et fiduciam magistratibus attulit. Idque sacramentum mox re ipsa est ab eo confirmatum. (3)

(2) Πρέσβεις γὰρ ἦκον ἀπὸ Ταρκυνίου γράμματα κομίζοντες ἐπαγωγὰ τοῦ δήμου καὶ λόγους ἐπιεικεῖς, οἷς μάλιστα τοὺς πολλοὺς ᾠοντο διαφθείρειν λεγομένους παρὰ βασιλέως, ἀφεικέναι τὸ φρόνημα καὶ μετρίων δεῖσθαι δοκοῦντος. (4) Τούτους εἰς τὸ πλῆθος οἰομένων δεῖν τῶν ὑπάτων προάγειν οὐκ εἴασεν ὁ Οὐαλλέριος, ἀλλ' ἐνέστη καὶ διεκώλυσεν ἀνθρώποις πένησι καὶ μᾶλλον βαρυνομένοις τῆς τυραννίδος τὸν πόλεμον, ἀρχὰς καὶ προφάσεις νεωτερισμῶν ἐγγενέσθαι.

III. Μετὰ δὲ ταῦτα πρέσβεις ἦκον ἕτεροι τῆς τε βασιλείας ἀφίστασθαι καὶ πολεμοῦντα παύσασθαι τὸν Ταρκύνιον λέγοντες, ἀπαιτεῖν δὲ τὰ χρήματα καὶ τὰς οὐσίας αὐτῷ καὶ φίλοις καὶ οἰκείοις ἀφ' ὧν διαβιώσονται φεύγοντες. (2) Ἐπικλωμένων δὲ πολλῶν καὶ μάλιστα τοῦ Κολλατίνου συναγορεύοντος, ἄτρεπτος ὢν ἀνὴρ καὶ τραχὺς ὀργὴν ὁ Βροῦτος ἐξέδραμεν εἰς ἀγορὰν προδότην ἀποκαλῶν τὸν συνάρχοντα, πολέμου καὶ τυραννίδος ἀφορμὰς χαριζόμενον, οἷς δεινὸν ἦν ὄντως ἐφόδια φυγῆς ψηφίσασθαι. (3) Συνελθόντων δὲ τῶν πολιτῶν πρῶτος ἰδιώτης ἀνὴρ εἶπεν ἐν δήμῳ τότε Γάϊος Μινούκιος, τῷ τε Βρούτῳ διακελευόμενος καὶ τοῖς Ῥωμαίοις παραινῶν ὁρᾶν, ὅπως τὰ χρήματα μετ' αὐτῶν ὄντα πολεμοίη πρὸς τοὺς τυράννους μᾶλλον ἢ μετ' ἐκείνων πρὸς αὐτούς. (4) Οὐ μὴν ἀλλ' ἔδοξε τοῖς Ῥωμαίοις τὴν ἐλευθερίαν ἔχουσιν, ὑπὲρ ἧς ἐπολέμουν, μὴ προέσθαι τὴν εἰρήνην ἕνεκα χρημάτων, ἀλλὰ συνεκβάλλειν καὶ ταῦτα τοῖς τυράννοις. (5) Ἦν δὲ ἄρα Ταρκυνίῳ λόγος μὲν ἐλάχιστος τῶν χρημάτων, ἡ δ' ἀπαίτησις ἅμα πεῖρα τοῦ δήμου καὶ κατασκευὴ προδοσίας. Καὶ ταῦτ' ἔπραττον οἱ πρέσβεις ὑπομένοντες ἐπὶ τῇ τῶν χρημάτων προφάσει, τὰ μὲν ἀποδίδοσθαι, τὰ δὲ φυλάττειν, τὰ δ' ἀποπέμπειν φάσκοντες, ἄχρις οὗ διέφθειραν οἶκους δύο τῶν καλῶν κἀγαθῶν νομιζομένων τὸν Ἀκυλλίων τρεῖς ἔχοντα βουλευτὰς καὶ δύο τὸν Οὐιτελλίων. (6) Οὗτοι πάντες ἦσαν ἀπὸ μητέρων ἀδελφιδοῖ Κολλατίνου τοῦ ὑπατεύοντος· ἰδίᾳ δὲ Οὐιτελλίοις ἑτέρα πρὸς Βροῦτον οἰκειότης ὑπῆρχεν. Ἀδελφὴν γὰρ αὐτῶν ὁ Βροῦτος εἶχε καὶ παῖδας ἐξ αὐτῆς πλείονας· (7) ὧν δύο τοὺς ἐν ἡλικίᾳ συγγενεῖς ὄντας ἅμα καὶ συνήθεις οἱ Οὐιτέλλιοι προσηγάγοντο καὶ συνέπεισαν ἐν τῇ προδοσίᾳ γενέσθαι καὶ καταμίξαντας ἑαυτοὺς εἰς γένος μέγα τὸ τῶν Ταρκυνίων καὶ βασιλικὰς ἐλπίδας, ἀπαλλαγῆναι τῆς τοῦ πατρὸς ἀβελτερίας καὶ χαλεπότητος· (8) χαλεπότητα μὲν τὸ ἀπαραίτητον αὐτοῦ πρὸς τοὺς πονηροὺς λέγοντες, τῇ δ' ἀβελτερίᾳ προσποιήματι καὶ παρακαλύμματι πολὺν χρόνον, ὡς ἔοικε, χρησάμενος ἀσφαλείας ἕνεκα πρὸς τοὺς τυράννους οὐδ' ὕστερον ἔφυγεν αὐτῆς τὴν ἐπωνυμίαν.

IV. Ὡς δ' οὖν συνεπείσθη τὰ μειράκια καὶ τοῖς Ἀκυλλίοις εἰς λόγους ἦλθεν, ὅρκον ὁμόσαι μέγαν ἔδοξε πᾶσι καὶ δεινόν, ἀνθρώπου σφαγέντος ἐπισπείσαντας αἷμα καὶ τῶν σπλάγχνων θιγόντας. (2) Ἐπὶ τούτοις εἰς τὴν Ἀκυλλίων οἰκίαν συνῆλθον. Ἦν δ' ὁ οἶκος, ἐν ᾧ ταῦτα δράσειν ἔμελλον, οἷον εἰκὸς, ὑπέρημος καὶ

Venerunt enim a Tarquinio legati, literas ferentes, in quibus erant multa, quæ ad pelliciendum populum facerent, sermonesque probabiles, quibus omnino corrumpi animos plebis posse rex putabat : submisisse se jam animum et æqua postulare præ se ferens. (4) Hoc cum ad multitudinem producendos censerent consules, prohibuit Valerius, neque passus est hominibus pauperibus et qui bellum tyrannide gravius putarent, initia et occasiones rerum novandarum objici.

III. Post hos alii venerunt legati, dicentes, Tarquinium regno et bello desistere velle, repetere autem suas ac suorum amicorum et necessariorum pecunias atque bona, ut ex illis in exsilio vivere possent. (2) Fractis ea petitione multorum animis, præsertim qui Collatinum etiam astipulari ei viderent, Brutus, ut erat vir imperterritus atque iracundus, in forum procurrit, collegam suum proditorem vocitans, qui belli et tyrannidis occasiones iis largiatur, quibus exsilii viaticum decernere perniciosum utique fuerit. (3) Convenientibus porro ibi civibus primus omnium C. Minucius, homo privatus, in populo verba fecit, Brutumque et cives cohortatus est, curarent, ut pecuniæ ipsis in bello contra tyrannos potius, quam his in oppugnanda civitate auxilio essent. (4) Veruntamen Romani libertatem, cujus causa bellum susceperant, adepti, statuerunt pacem pecuniæ causa non amittendam, sed hanc una cum tyrannis urbe exterminandam esse. (5) At vero Tarquinio de pecunia res minime agebatur, sed ea petitione et populi animus explorabatur et proditio adornabatur. Et hæc quidem moliebantur legati, ac dum se bona partim vendere, partim custodire, partim mittere domum simulant, tantisper Romæ commorati sunt, dum duas familias, quæ honestæ cum primis habebantur, corrupere, Aquilliorum in qua tres senatores, et Vitelliorum in qua duo erant. (6) Atque horum omnium avunculus erat Collatinus consul, sed Vitellii alia privatim etiam necessitudine Brutum contingebant : sororem enim is eorum in matrimonio, ex eaque complures liberos habebat. (7) Ex his quoque duos illi adultos jam, ut sanguine et quotidiana consuetudine junctos, ad se pertraxerunt persuaseruntque ut in societatem proditionis venirent, ac sese generi Tarquiniorum præclaro spesque regias habenti inserirent, patrisque sui duritiem et stultitiam abdicarent. (8) Duritiei enim vocabulo summam ejus in malos severitatem appellabant : idemque stultitiæ, cujus simulatione se diu occultaverat, ut a tyrannis tutus esset, cognomentum ne in posterum quidem effugit.

IV. Postquam assensere adolescentes et cum Aquilliis collocuti sunt, communi consilio statutum est, ut magno ac gravi jurejurando sese omnes invicem obstringerent, occisi hominis sanguine libato ac visceribus degustatis. (2) Ejus rei gratia in domum Aquilliorum convenerunt, quæ cum deserta esset atque tenebricosa, servus, Vindicius nomine,

σκοτώδης. Ἔλαθεν οὖν αὐτοὺς οἰκέτης ὄνομα Οὐινδί-
99 κιος, ἔνδον κατακρύψας ἑαυτὸν οὐ κατ' ἐπιβουλὴν ἢ a
προαίσθησίν τινα τοῦ μέλλοντος, ἀλλ' ἔνδον ὢν ἔτυχε
καὶ προσιοῦσιν αὐτοῖς μετὰ σπουδῆς ὀφθῆναι φοβηθείς
ὑπέστη, λάρνακα κειμένην πρὸ αὐτοῦ ποιησάμενος,
ὥστε καὶ τῶν πραττομένων θεατὴς γενέσθαι καὶ τῶν
βουλευμάτων ἐπήκοος. (3) Ἔδοξε δ' αὐτοῖς τοὺς ὑπά-
τους ἀναιρεῖν καὶ ταῦτα δηλούσας γράψαντες ἐπιστο-
λὰς πρὸς τὸν Ταρκύνιον ἔδωκαν τοῖς πρέσβεσι. Καὶ
γὰρ ᾤκουν αὐτόθι τῶν Ἀκυλλίων ξένοι γεγονότες καὶ
τότε τῇ συνωμοσίᾳ παρῆσαν. (4) Ὡς δὲ ταῦτα πρά-
ξαντες ἀπηλλάγησαν, ὑπεξελθὼν ὁ Οὐινδίκιος λάθρα
χρήσασθαι τοῖς προσπεσοῦσιν οὐκ εἶχεν, ἀλλ' ἠπορεῖτο
δεινὸν μὲν ἡγούμενος, ὥσπερ ἦν, πρὸς πατέρα Βροῦτον b
υἱῶν ἐξάγιστα κατηγορεῖν ἢ πρὸς θεῖον ἀδελφιδῶν τὸν
Κολλατῖνον, ἰδιώτην δὲ Ῥωμαίων οὐδένα νομίζων
ἐχέγγυον ἀποῤῥήτων τηλικούτων. (5) Πᾶν δ' αὖ μᾶλ-
λον ἢ δυνατὸς ὢν ἡσυχίαν ἄγειν, ἑλαυνόμενος δὲ τῷ συν-
ειδότι τοῦ πράγματος, ὥρμησέ πως πρὸς τὸν Οὐαλ-
λέριον μάλιστα τοῖς κοινοῖς καὶ φιλανθρώποις ἐπαχθεὶς
τοῦ ἀνδρὸς, ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις καὶ
τὴν οἰκίαν ἀεὶ παρεῖχεν ἀνεῳγμένην καὶ λόγον οὐδενὸς
οὐδὲ χρείαν ἀπερρίπτει τῶν ταπεινῶν.

V. Ὡς οὖν ἀνέβη πρὸς αὐτὸν ὁ Οὐινδίκιος καὶ
κατεῖπε πάντα Μάρκου τε τοῦ ἀδελφοῦ παρόντος αὐτῷ
μόνου καὶ τῆς γυναικὸς, ἐκπλαγεὶς καὶ δείσας ὁ Οὐαλ- c
λέριος οὐκέτι προήκατο τὸν ἄνθρωπον, ἀλλὰ κατακλεί-
σας εἰς τὸ οἴκημα καὶ φύλακα τὴν ἑαυτοῦ γυναῖκα ταῖς
θύραις ἐπιστήσας, τὸν μὲν ἀδελφὸν ἐκέλευσε τὴν βασι-
λικὴν ἔπαυλιν περισχόντα τὰ γράμματα λαβεῖν, ἂν
δυνατὸν ᾖ, καὶ τοὺς οἰκέτας παραφυλάττειν· αὐτὸς δὲ
πελατῶν τε πολλῶν καὶ φίλων ἀεὶ περὶ αὐτὸν ὄντων
καὶ θεραπείας συχνῆς, ἐβάδιζε πρὸς τὴν οἰκίαν τῶν
Ἀκυλλίων οὐκ ἔνδον ὄντων. (2) Διὸ μηδενὸς ἂν
προσδοκήσαντος ὠσάμενος διὰ θυρῶν ἐντυγχάνει τοῖς
γράμμασι κειμένοις, ὅπου κατέλυον οἱ πρέσβεις.
(3) Ταῦτα δ' αὐτοῦ πράττοντος οἱ Ἀκύλλιοι δρόμῳ d
προσεφέροντο καὶ περὶ τὰς θύρας συμμίξαντες, ἐζή-
τουν ἀφελέσθαι τὰς ἐπιστολάς. (4) Οἱ δ' ἠμύνοντο
καὶ τὰ ἱμάτια περιβαλόντες αὐτῶν τοῖς τραχήλοις, ὑπὸ
βίας καὶ μόλις ὠθούμενοι καὶ ὠθοῦντες διὰ τῶν στενω-
πῶν εἰς τὴν ἀγορὰν ἐνέβαλον. (5) Τὰ δ' αὐτὰ καὶ περὶ
τὴν ἔπαυλιν ἅμα τὴν βασιλικὴν ἐγίνετο, τοῦ Μάρκου
γραμμάτων ἑτέρων ἐν τοῖς σκεύεσι κομιζομένων ἐπιλα-
βομένου καὶ τῶν βασιλικῶν ὅσους δυνατὸς ἦν ἕλκοντος
εἰς τὴν ἀγοράν.

VI. Ἐπεὶ δὲ τὸν θόρυβον κατέπαυσαν οἱ ὕπατοι,
καὶ τοῦ Οὐαλλερίου κελεύσαντος ἐκ τῆς οἰκίας ὁ Οὐιν-
δίκιος προήχθη καὶ γενομένης κατηγορίας ἀνεγνώσθη e
τὰ γράμματα καὶ πρὸς οὐδὲν ἐτόλμησαν ἀντειπεῖν οἱ
ἄνδρες· ἦν μὲν κατήφεια καὶ σιωπὴ τῶν ἄλλων, ὀλίγοι
δὲ βουλόμενοι τῷ Βρούτῳ χαρίζεσθαι φυγῆς ἐμέμνην-
το. Καί τι καὶ Κολλατῖνος αὐτοῖς ἐλπίδος ἐπιεικοῦς
ἐνεδίδου δεδακρυμένος καὶ Οὐαλλέριος σιωπῶν. (2)

qui sane non insidiandi causa aut futuri providens eo ve-
nerat : sed cum forte fortuna intus esset, veritus se ipsis
subito intrantibus in conspectum dare, post objectam ante
se arcam sese abdiderat, et quæ agerentur vidit, et consilia
eorum inaudivit. (3) Decrevere autem consules interficere
ac litteras, quibus id indicaretur, ad Tarquinium scriptas
legatis dedere : qui hospitio Aquilliorum tunc utebantur et
conjurationi intererant. (4) His ita confectis cum discessis-
sent, Vindicius clanculum inde se subduxit, incertus quid-
nam ageret, ut cui ea res forte oblata ancipitem cogitandi
curam attulisset; nam vel apud Brutum patrem filios tanti
piaculi accusare, vel sororis filios apud avunculum Colla-
tinum, existimabat, ut erat, rem esse gravem, et privatim,
cui tuto res arcana tanti momenti posset aperiri, noverat
neminem. (5) Nihil vero minus quam silentio eam involvere valebat. Tandem conscientia rei actus, instituit Valerio eam exponere, maxime viri ejus facilitate humanitateque adductus, ad quem omnibus qui vellent aditus esset, cujusque fores omnibus paterent, et qui nullius quantumvis abjectæ sortis hominis sermonem usumque aspernaretur.

V. Ad quem postquam Vindicius ascendit omniaque ei enarravit fratre Valerii Marco et uxore præsentibus : perterritus et obstupefactus Valerius hominem a se non dimisit, sed in conclavi inclusit, custodiendumque uxori suæ ostium mandavit : fratrem misit, ut aula regis circumdata, literas, si posset, deprehenderet servosque observaret. Ipse cum clientibus et amicis, quos circa se plurimos semper habebat famulorumque magno numero, ad domum Aquilliorum perrexit. (2) Qui cum domi tum non essent, nemine id cogitante, per fores irrupit litterasque eo loco, quo divertebant legati, invenit. (3) Hoc eo agente cursu domum sese Aquillii corripuerunt et ad januam manus conferentes, literas eripere conati sunt. (4) Comites Valerii vim propulsaverunt, collaque eorum vestimentis injectis implicantes, vi et ægre pulsantes pulsatique per angiportus in forum cum iis sese proripuerunt. (5) Idem apud aulam regiam accidit, ubi Marcus literis, quæ cum supellectile portabantur, manum injecerat, et ex regiis ministris quotquot poterat secum in forum rapiebat.

VI. Postquam tumultus a consulibus sedatus est, jussu Valerii Vindicius in publicum productus est, accusationeque peracta, recitatæ sunt litteræ. Cum nihil haberent rei quod contradicerent, reliquis omnibus tristitia perculsis et tacentibus : a nonnullis, qui rem Bruto gratam se facere putabant, exsilii mentio illata est; et Collatinus etiam effusis lacrimis bonam spem reis ostendebat, quam Valerii silentium augebat. (2) Sed Brutus utrumque filiorum no-

Ὁ δὲ Βροῦτος ὀνομαστὶ τῶν υἱῶν ἑκάτερον προσειπών, « Ἄγε ὦ Τίτε, εἶπεν, ἄγε ὦ Οὐαλλέριε, τί οὐκ ἀπολογεῖσθε πρὸς τὴν κατηγορίαν; » Ὡς δ' οὐδὲν ἀπεκρίναντο τρὶς ἐρωτηθέντες, οὕτω πρὸς τοὺς ὑπηρέτας ἀποστρέψας τὸ πρόσωπον, « Ὑμέτερον ἤδη, εἶπε, τὸ λοιπὸν ἔργον. » (3) Οἱ δὲ εὐθὺς συλλαβόμενοι τοὺς νεανίσκους περιερρήγνυον τὰ ἱμάτια, τὰς χεῖρας ἀπῆγον ὀπίσω, ῥάβδοις ἔξαινον τὰ σώματα· τῶν μὲν ἄλλων οὐ δυναμένων προσορᾶν οὐδὲ καρτερούντων, ἐκεῖνον δὲ λέγεται μήτε τὰς ὄψεις ἀπαγαγεῖν ἀλλαχόσε μήτ' οἴκτῳ τι τρέψαι τῆς περὶ τὸ πρόσωπον ὀργῆς καὶ βαρύτητος, ἀλλὰ δεινὸν ἐνορᾶν καλαζομένοις τοῖς παισὶν, ἄχρις οὗ κατατείναντες αὐτοὺς ἐπὶ τοῦδαφος πελέκει τὰς κεφαλὰς ἀπέκοψαν. (4) Οὕτω δὲ τοὺς ἄλλους ἐπὶ τῷ συν- a
ἄρχοντι ποιησάμενος ᾤχετ' ἐξαναστάς· ἔργον εἰργασμένος οὔτ' ἐπαινεῖν βουλομένοις ἀξίως οὔτε ψέγειν ἐφικτόν. (5) Ἡ γὰρ ἀρετῆς ὕψος εἰς ἀπάθειαν ἐξέστησε τὴν ψυχὴν ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν. Οὐδέτερον δὲ μικρὸν οὐδ' ἀνθρώπινον, ἀλλ' ἢ θεῖον ἢ θηριῶδες. (6) Δίκαιον δὲ τῇ δόξῃ τοῦ ἀνδρὸς τὴν κρίσιν ἕπεσθαι μᾶλλον ἢ τὴν ἀρετὴν ἀσθενείᾳ τοῦ κρίνοντος ἀπιστεῖσθαι. Ῥωμαῖοι γὰρ οὐ τοσοῦτον ἔργον οἴονται Ῥωμύλου γενέσθαι τῆς πόλεως τὴν ἵδρυσιν, ὅσον Βρούτου τὴν κτίσιν τῆς πολιτείας καὶ κατάστασιν.

VII. Ὡς δ' οὖν ἀπῆλθεν ἐξ ἀγορᾶς τότε πολὺν μὲν χρόνον ἔκπληξις εἶχε καὶ φρίκη καὶ σιωπὴ πάντας ἐπὶ τοῖς διαπεπραγμένοις· πρὸς δὲ τὴν Κολλατίνου μαλα- b
κίαν καὶ μέλλησιν ἀνεθάρρησαν οἱ Ἀκύλλιοι καὶ χρόνον ἠξίουν λαβόντες ἀπολογήσασθαι καὶ τὸν Οὐινδίκιον αὐτοῖς ἀποδοθῆναι δοῦλον ὄντα καὶ μὴ παρὰ τοῖς κατηγόροις εἶναι. Βουλομένου δὲ ταῦτα συγχωρεῖν καὶ διαλύοντος ἐπὶ τούτοις τὴν ἐκκλησίαν ὁ Οὐαλλέριος οὔτε τὸν ἄνθρωπον οἷός τ' ἦν ἀφεῖναι τῷ περὶ αὐτὸν ὄχλῳ καταμεμιγμένον οὔτε τὸν δῆμον εἶα προέμενον τοὺς προδότας ἀπελθεῖν. (2) Τέλος δὲ τοῖς σώμασιν ἐπιβαλὼν τὰς χεῖρας ἐπεκαλεῖτο τὸν Βροῦτον καὶ τὸν Κολλατῖνον ἐβόα δεινὰ ποιεῖν, εἰ τῷ συνάρχοντι παιδο- c
φονίας ἀνάγκην προστριψάμενος, αὐτὸς οἴεται δεῖν καταχαρίζεσθαι ταῖς γυναιξὶ τοὺς προδότας καὶ πολεμίους τῆς πατρίδος. (3) Ἀγανακτοῦντος δὲ τοῦ ὑπάτου καὶ κελεύοντος ἀπάγεσθαι τὸν Οὐινδίκιον, οἱ μὲν ὑπηρέται διωσάμενοι τὸν ὄχλον ἥπτοντο τοῦ ἀνθρώπου καὶ τοὺς ἀφαιρουμένους ἔτυπτον, οἱ δὲ φίλοι τοῦ Οὐαλλερίου προέστησαν ἀμυνόμενοι· καὶ ὁ δῆμος ἐβόα κελεύων παρεῖναι τὸν Βροῦτον. (4) Ἦκεν οὖν αὖθις ὑποστρέψας· καὶ γενομένης αὐτῷ σιωπῆς εἶπεν, ὅτι τοῖς μὲν υἱοῖς αὐτὸς ἀποχρῶν ἦν δικαστὴς, περὶ δὲ τῶν ἄλλων τοῖς πολίταις ἐλευθέροις οὖσι ψῆφον δίδωσι· λεγέτω δὲ ὁ βουλόμενος καὶ πειθέτω τὸν δῆμον. (5) Οὐκέτι μέντοι d
λόγων ἐδέησεν, ἀλλὰ τῆς ψήφου δοθείσης πάσαις ἁλόντες ἐπελεκίσθησαν. (6) Ὁ δὲ Κολλατῖνος ἦν μὲν, ὡς ἔοικεν, ἐν ὑποψίᾳ τινὶ καὶ διὰ συγγένειαν τῶν βασιλέων, ἤχθοντο δ' αὐτοῦ καὶ τῷ δευτέρῳ τῶν ὀνομάτων ἀφοσιούμενοι τὸν Ταρκύνιον. Ὡς δὲ ταῦτα συνέβη πανminatim compellans : « Age, dicebat, Tite, age Valeri, cur ad objectum crimen nihil respondetis? » ubi tertio interrogati nihil responderunt, ibi demum conversa ad lictores facie, « Vestrum, inquit, jam est reliqua exsequi. » (3) Hi f statim correptos adolescentes vestibus spoliaverunt, manus in terga retorserunt, corpora virgis ceciderunt. Fama est reliquis id spectare non sustinentibus, ipsum neque oculos alio avertisse, neque miserationem quicquam de ira severitateque vultus ejus diminuisse : sed filiorum supplicium iracundis oculis inspexisse, tantisper dum in terram prostrati ac securi percussi fuerint. (4) Tum reliquis collegæ judicio permissis, eum discessisse eo edito facinore, quod neque laudare pro merito, neque vituperare satis
quisquam possit. (5) Nam aut virtutis excellentia animo omnes affectus exclusit, aut magnitudo perturbationis doloris penitus expertem eundem effecit : quorum neutrum parvum, aut humanæ naturæ est, sed divinum alterum, alterum belluinum. (6) Et tamen sequius est in judicando existimationem ejus viri sequi, quam propter imbecillitatem ejus, qui judicet, virtutem in dubium vocari. Sane Romani majus opus existimant Bruti, quod rempublicam recuperarit atque constituerit, quam Romuli, quod urbem condiderit.

VII. Ceterum digresso Bruto, rei gestæ admiratione aliquamdiu omnes stupor, horror, silentiumque tenuit. At b
Collatini mollities et cunctatio Aquillius animum reddit, ut et spatium sui excusandi peterent, utque ipsis Vindicius servus ipsorum redderetur, neque esset penes accusatores. Quæ cum concedere jam vellet Collatinus, et concionem propterea solveret, Valerius neque dimittere hominem, suorum stipatorum turbæ immixtum, volebat, neque sinebat populum missis factis proditoribus abire. (2) Tandem manus Aquillius injiciens, Brutum invocavit, clamitans, c
inique Collatinum agere, qui cum necandorum filiorum necessitatem collegæ imposuisset, ipse mulieribus proditores et hostes patriæ condonandos putet. (3) Indignante ibi consule, Vindiciumque abduci jubente, lictores turba discussa manus ei injecerunt, eisque qui eum eripere conabantur, verbera imposuerunt, Valerii amici pro eo propugnaverunt : populus clamore Brutum in rem præsentem advocavit. (4) Is igitur reversus est, factoque ei silentio, « De filiis, inquit, meis ipse satis amplæ potestatis judex fui, de reliquis suffragia liberis civibus permitto : dicat qui velit, et populo persuadeat. » (5) Tum vero nihil oratione fuit opus, d
sed misso in suffragium populo omnium sententiis damnati proditores, securi percussi sunt. (6) At Collatinus, qui jam ante propter necessitatem, quæ cum regibus ipsi intercedebat, in suspicionem venerat, cujusque etiam nomen civibus Tarquinium abominantibus invisum erat, his actis

τάπασι προσκρούσας ἀφῆκε τὴν ἀρχὴν ἑκὼν καὶ τῆς πόλεως ὑπεξῆλθεν. (7) Οὕτω δὴ πάλιν ἀρχαιρεσιῶν γενομένων ὕπατος ἀνεδείχθη λαμπρῶς Οὐαλλέριος ἀξίαν ἀπολαβὼν τῆς προθυμίας χάριν· ἧς οἰόμενός τι δεῖν ἀπολαῦσαι τὸν Οὐινδίκιον, ἐψηφίσατο πρῶτον ἀπελεύθερον ἐκεῖνον ἐν Ῥώμῃ γενέσθαι πολίτην καὶ φέρειν ψῆφον, ἣ βούλοιτο φρατρίᾳ προσνεμηθέντα. Τοῖς δ' ἄλλοις ἀπελευθέροις ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐξουσίαν ψήφου δημαγωγῶν ἔδωκεν Ἄππιος· ἡ δὲ παντελὴς ἀπελευθέρωσις ἄχρι νῦν οὐινδίκτα λέγεται δι' ἐκεῖνον, ὥς φασι, τὸν Οὐινδίκιον.

VIII. Ἐκ τούτου τὰ μὲν χρήματα τῶν βασιλέων διαρπάσαι τοῖς Ῥωμαίοις ἔδωκαν, τὴν δὲ οἰκίαν κατέσκαψαν καὶ τὴν ἔπαυλιν. Τοῦ δ' Ἀρείου πεδίου τὸ ἥδιστον ἐκέκτητο Ταρκύνιος καὶ τοῦτο τῷ θεῷ καθιέρωσαν. (2) Ἔτυχε δὲ τεθερισμένον ἄρτι καὶ κειμένων ἔτι τῶν δραγμάτων οὐκ ὄντο δεῖν ἁλοᾶν οὐδὲ χρῆσθαι διὰ τὴν καθιέρωσιν, ἀλλὰ συνδραμόντες ἐφόρουν τὰς ἁμάλλας εἰς τὸν ποταμόν. Ὡς δ' αὕτως καὶ τὰ δένδρα κόπτοντες ἐνέβαλλον, ἀργὸν παντάπασι τὸ χωρίον ἀνιέντες τῷ θεῷ καὶ ἄκαρπον. (3) Ἀθουμένων δὲ πολλῶν ἐπ' ἀλλήλοις καὶ ἀθρόων ὑπήγαγεν ὁ ῥοῦς οὐ πολὺν τόπον, ἀλλ' ὅπου τὰ πρῶτα συνενεχθέντα καὶ περιπεσόντα τοῖς στερεοῖς ὑπέστη, τῶν ἐπιφερομένων διέξοδον οὐκ ἐχόντων, ἀλλ' ἐνισχομένων καὶ περιπλεκομένων, ἐλάμβανεν ἡ σύμπηξις ἰσχὺν καὶ ῥίζωσιν αὐξανομένην ὑπὸ τοῦ ῥεύματος. Ἴλύν τε γὰρ ἐπήγαγε πολλὴν, ἣ προσισταμένη τροφὴν παρεῖχεν ἅμα καὶ κόλλησιν, αἵ τε πληγαὶ σάλον οὐκ ἐποίουν, ἀλλὰ μαλακῶς πιέζουσαι συνήλαυνον εἰς ταὐτὸ πάντα καὶ συνέπλαττον. (4) Ὑπὸ δὲ μεγέθους καὶ στάσεως ἕτερον αὐτὸ μέγεθος ἐκτᾶτο καὶ χώραν ἀναδεχομένην τὰ πλεῖστα τῶν ὑπὸ τοῦ ποταμοῦ καταφερομένων. (5) Τοῦτο νῦν νῆσός ἐστιν ἱερὰ κατὰ τὴν πόλιν, ἔχει δὲ ναοὺς θεῶν καὶ περιπάτους, καλεῖται δὲ φωνῇ τῇ Λατίνων Μέση δυοῖν γεφυρῶν. (6) Ἔνιοι δὲ τοῦτο συμπεσεῖν ἱστοροῦσιν, οὐχ ὅτε Ταρκυνίου καθιερώθη τὸ πεδίον, ἀλλὰ χρόνοις ὕστερον ἄλλο χωρίον ὁμοροῦν ἐκείνῳ Ταρκυνίας ἀνείσης. (7) Ἡ δὲ Ταρκυνία παρθένος ἦν ἱέρεια μία τῶν Ἑστιάδων, ἔσχε δὲ τιμὰς ἀντὶ τούτου μεγάλας, ἐν αἷς ἦν καὶ τὸ μαρτυρίαν αὐτῆς δέχεσθαι μόνης γυναικῶν· τὸ δὲ ἐξεῖναι γαμεῖσθαι ψηφισαμένων, οὐ προσεδέξατο. Καὶ ταῦτα μὲν οὕτω γενέσθαι μυθολογοῦσι.

IX. Ταρκύνιον δὲ τὴν ἐκ προδοσίας ἀπογνόντα τῆς ἀρχῆς ἀνάληψιν ἐδέξαντο Τυρρηνοὶ προθύμως καὶ μεγάλῃ δυνάμει κατῆγον. (2) Ἀντεξῆγον δὲ τοὺς Ῥωμαίους οἱ ὕπατοι καὶ παρέταξαν ἐν χωρίοις ἱεροῖς, ὧν τὸ μὲν Οὔρσον ἄλσος, τὸ δὲ Αἰσούειον λειμῶνα προσαγορεύουσιν. (3) Ἀρχομένων δὲ αὐτῶν συνάγειν εἰς χεῖρας Ἄρρων ὁ Ταρκυνίου παῖς καὶ Βροῦτος ὁ Ῥωμαίων ὕπατος οὐ κατὰ τύχην ἀλλήλοις περιπεσόντες, ἀλλ' ὑπ' ἔχθους καὶ ὀργῆς, ὁ μὲν ὡς ἐπὶ τύραννον καὶ πολέμιον τῆς πατρίδος, ὁ δὲ τῆς φυγῆς ἀμυνόμενος ὥρμησαν

cum plane offendisset populum, ultro magistratu se abdicavit, urbeque excessit. (7) Eam ob causam iterum comitiis habitis, Valerius cum magno honore consul est creatus, dignam sui in civitatem studii gratiam adeptus. Cujus ille existimans deberi fructum etiam Vindicio aliquem, decrevit ut is primus omnium libertorum civis Romanus esset, et in quam ipse voluisset curiam adscitus suffragium ferendi jus haberet. (8) Reliquis libertis longo post tempore Appius gratiam populi captans idem permisit. Perfecta autem manumissio in hunc usque diem *vindicta* dicitur, ab isto, ut aiunt, Vindicio.

VIII. His actis, bona regia diripienda civibus dederunt, domum solo æquaverunt, aulamque campi Martii partem, quam amœnissimam possederat Tarquinius, Marti consecrarunt. (2) Erat tum forte ibi seges demessa jacentibusque adhuc in agro manipulis, cum vel triturare eam, vel ullos alios ad usus adhibere propter consecrationem religio esset; concursu facto manipulos in flumen deportaverunt: arboresque etiam excisas eodem abjecerunt, solumque deo protinus vacuum et fructu carens dedicarunt. (3) Fluvius ea, ut erant confertim alia supra alia immissa, seque impellebant, non procul avexit, sed eo usque tantum, dum quæ primo erant injecta, solidæ materiæ impacta substiterunt, ita cum quæ subsequebantur exitum non invenirent, sed prioribus tenerentur implicarenturque, congeriem eam vis fluminis auxit, corroboravitque, ingesto multo limo, qui et fundamentum moli præbuit, et eam inter se conglutinavit, et quæ eo allidebantur, molem non labefactarunt, sed leviter tantum materiam compresserunt atque compegerunt. (4) Hac amplitudine et cohærentia effectum est, ut major moles accederet, fieretque area, quæ pleraque secundo flumine delata exciperet. (5) Nunc ea moles insula est sacra infra urbem, habetque templa deorum, et porticus, et vocatur latina lingua, Media inter duos pontes. (6) Quidam accidisse hoc tradunt non tum, cum campus Tarquinii consecratus est, sed postea temporis, Tarquinia finitimum ei loco agrum concedente. (7) Fuisseque eam Tarquiniam ex Vestalibus unam, et adeptam hujus rei gratia magnos honores, quorum in numero fuerit, quod soli mulierum ipsi licebat testimonium ferre, et nubere permissum erat, quam tamen licentiam ipsa repudiavit. Hæc sunt quæ illi de his fabulantur.

IX. At Tarquinium, cum spem proditione recuperandi regni dimisisset, Etrusci prompte receptum, reduxerunt cum magnis copiis. (2) Contra eos Romani consules cum exercitu civium profecti, aciem in locis sacris instruxerunt, quorum alterius Ursus lucus, alterius Æsuvium pratum nomen fertur. (3) Commisso prœlio Aruns Tarquinii filius et Brutus Romanorum consul, infestis equis concurrerunt, non fortuito, sed odio iraque incitati, alter auctorem sui exsilii, alter tyrannum patriæ ulturus: magisque animi

δμόσε τοῖς ἵπποις. Θυμῷ δὲ μᾶλλον ἢ λογισμῷ προσμίξαντες ἠφείδησαν αὐτῶν καὶ συναπέθανον ἀλλήλοις. (4) Οὕτω δὲ δεινοῦ γενομένου τοῦ προάγωνος οὐκ ἔσχεν ὁ ἀγὼν τέλος ἐπιεικέστερον, ἀλλὰ καὶ δράσαντες ἴσα καὶ παθόντες οἱ στρατοὶ διεκρίθησαν ὑπὸ χειμῶνος. (5) Ἦν οὖν ἐν ἀπόροις ὁ Οὐαλλέριος οὐκ εἰδὼς τὸ τῆς μάχης πέρας, ἀλλὰ τοὺς στρατιώτας ὁρῶν τοῖς μὲν αὑτῶν νεκροῖς ἀθυμοῦντας, ἐπαιρομένους δὲ τοῖς τῶν πολεμίων· οὕτως ἄκριτος ἦν καὶ παράλληλος ὑπὸ πλήθους ὁ φόνος. Οὐ μὴν ἀλλ' ἑκατέροις ἐγγύθεν ὁρώμενα τὰ οἰκεῖα μᾶλλον ἐβεβαίου τὴν ἧτταν ἢ τὴν νίκην εἰκαζόμενα τὰ τῶν πολεμίων. (6) Ἐπελθούσης δὲ νυκτὸς οἵαν εἰκὸς οὕτω μεμαχημένοις καὶ γενομένων ἐν ἡσυχίᾳ τῶν στρατοπέδων, λέγουσι σεισθῆναι τὸ ἄλσος, ἐκ δ' αὐτοῦ φωνὴν ἐκπεσεῖν μεγάλην φράζουσαν, ὡς ἑνὶ πλείους ἐν τῇ μάχῃ τεθνήκασι Τυρρηνῶν ἢ Ῥωμαίων· ἦν δ' ἄρα θεῖόν τι τὸ φθεγξάμενον. (7) Εὐθύς τε γὰρ ὑπ' αὐτοῦ τοῖς μὲν ἀλαλάξαι παρέστη μέγα καὶ θαρραλέον· οἱ δὲ Τυρρηνοὶ περίφοβοι γενόμενοι καὶ συνταραχθέντες, ἐξέπεσον ἐκ τοῦ στρατοπέδου καὶ διεσπάρησαν οἱ πλεῖστοι. Τοὺς δὲ καταλειφθέντας ὀλίγῳ πεντακισχιλίων ἐλάσσους ἐπελθόντες εἷλον οἱ Ῥωμαῖοι καὶ τἆλλα διήρπασαν. (8) Οἱ δὲ νεκροὶ διαριθμηθέντες εὑρέθησαν τριακόσιοι μὲν ἐπὶ χιλίοις καὶ μυρίοις οἱ τῶν πολεμίων, οἱ δὲ Ῥωμαίων παρ' ἕνα τοσοῦτοι. Ταύτην τὴν μάχην λέγουσι γενέσθαι πρὸ μιᾶς καλανδῶν Μαρτίων. (9) Ἐθριάμβευσε δ' ἀπ' αὐτῆς Οὐαλλέριος εἰσελάσας τεθρίππῳ πρῶτος ὑπάτων. Καὶ τὸ πρᾶγμα σεμνὴν καὶ μεγαλοπρεπῆ παρέσχεν ὄψιν, οὐκ ἐπίφθονον οὐδ' ἀνιάσασαν, ὡς ἔνιοι λέγουσι, τοὺς ὁρῶντας· οὐ γὰρ ἂν ἔσχε ζῆλον τοσοῦτον οὐδὲ φιλοτιμίαν εἰς ἔτη πάμπολλα διαμένουσαν. (10) Ἀπεδέξαντο δὲ τοῦ Οὐαλλερίου καὶ τὰς εἰς τὸν συνάρχοντα τιμάς, αἷς ἐκκομιζόμενον καὶ θαπτόμενον ἐκόσμησε καὶ λόγον ἐπ' αὐτῷ διεξῆλθεν ἐπιτάφιον, ὃς οὕτως ὑπὸ Ῥωμαίων ἠγαπήθη καὶ τοσαύτην ἔσχε χάριν, ὥστε πᾶσι τοῖς ἀγαθοῖς καὶ μεγάλοις ὑπάρχειν ἐξ ἐκείνου τελευτήσασιν ὑπὸ τῶν ἀρίστων ἐγκωμιάζεσθαι. (11) Λέγεται δὲ καὶ τῶν Ἑλληνικῶν ἐπιταφίων ἐκεῖνος γενέσθαι πρεσβύτερος· εἴγε μὴ καὶ τοῦτο Σόλωνός ἐστιν, ὡς Ἀναξιμένης ὁ ῥήτωρ ἱστόρηκεν.

X. Ἀλλὰ δι' ἐκεῖνα μᾶλλον ἤχθοντο τῷ Οὐαλλερίῳ καὶ προσέκρουον, ὅτι Βροῦτος μὲν, ὃν πατέρα τῆς ἐλευθερίας ἐνόμιζεν ὁ δῆμος, οὐκ ἠξίωσε μόνος ἄρχειν, ἀλλὰ καὶ πρῶτον αὑτῷ συνάρχοντα προσείλετο καὶ δεύτερον· οὗτοσὶ δ', ἔφασαν, εἰς αὑτὸν ἅπαντα συνενεγκάμενος οὐκ ἔστι τῆς Βρούτου κληρονόμος ὑπατείας μηδὲν αὑτῷ προσηκούσης, ἀλλὰ τῆς Ταρκυνίου τυραννίδος. (2) Καίτοι τί δεῖ λόγῳ μὲν Βροῦτον ἐγκωμιάζειν, ἔργῳ δὲ μιμεῖσθαι Ταρκύνιον, ὑπὸ ῥάβδοις δμοῦ πάσαις καὶ πελέκεσι κατιόντα μόνον, ἐξ οἰκίας τοσαύτης τὸ μέγεθος, ὅσην οὐ καθεῖλε τὴν τοῦ βασιλέως; (3) Καὶ γὰρ ὄντως ὁ Οὐαλλέριος ᾤκει τραγικώτερον ὑπὸ τὴν καλουμένην Οὐελίαν οἰκίαν ἐπικρεμαμένην τῇ ἀγορᾷ καὶ

erdore, quam ratione in congressu usi, neutro corporis sui tegendi curam habente, simul occiderunt. (4) Initium certaminis tam dirum nihilo mitior finis subsecutus est: æqualibus utrinque datis acceptisque cladibus, tempestas prœlium solvit. (5) Hic incertus pugnæ eventus sollicitum animi tenuit Valerium, cum videret suorum cædibus militum animos concidisse, hostiumque eosdem strage extolli: adeo occisorum multitudo dubiam æqualemque calamitatem reddiderat: et tamen utrosque sua damna, quæ propius cernebant, certiores faciebant de clade, quam de victoria damna quæ conjectura tantum assequebantur adversariorum. (6) Nox ea quieta utrique exercitui fuit, ut par erat tanto confecto prœlio. Tum perhibent, concusso luco, magnam ex eo vocem excidisse, quæ indicaverit, uno plures de Etruscis quam de Romanis cecidisse. Fuitque sane ea vox divina. (7) Confestim enim ea audita Romani clamorem ingentem audacter sustulerunt, Etrusci magno terrore percussi, e castris sese proripuere ac majore ex parte dispersi sunt: reliquos, quorum numerus erat paulo quinque millibus inferior, Romani supervenientes ceperunt et reliqua diripuerunt. (8) Cadaveribus dinumeratis, undecim millia ac trecentos hostium occubuisse inventum est: Romanorum uno minus. Pugnatum tradunt pridie Kalendas Martias. (9) Triumphavit de hoc bello Valerius primus omnium consulum quadrigis invectus in urbem: fuitque hujus triumphi aspectus splendidus atque magnificus, non, quod quidam dixerunt, odiosus et spectatoribus molestus; non enim tanto studio eum posteri æmulati essent idque per tam multos deinceps annos. (10) Gratus fuit populo etiam honor, quem Valerius habuit collegæ in funere ejus sepulturaque exornanda. Tam vero accepta fuit funebris ejusdem oratio, tamque cara, ut inde tractum sit, ut omnes boni ac magni viri, cum fato concesserint, ab optimis laudentur. (11) Affirmant etiam hanc Valerii funebrem orationem Græcis ejusdem generis antiquiorem fuisse: nisi hoc quoque Solonis est inventum, ut Anaximenes rhetor autumat.

X. Enimvero id contra majus Valerio odium offensionemque parabat, quod Brutus, quem libertatis parentem populus censebat, solus imperare noluerat, sed primum collegam sibi et alterum assumpserat: hic vero, dicebant, omnia ad se unum referens, non Bruti consulatum, nihil ad se pertinentem, sed Tarquinii regnum excepit. (2) Quid autem attinebat oratione laudare Brutum, re ipsa Tarquinium imitari, solumque cum omnibus fascibus ac securibus progredi e tam magna domo, quanta ne regis quidem fuit, quam iste dejecit? (3) Nam profecto Valerius domum nimis insolenter ædificatam habitabat sub Velia imminentem foro,

καθορῶσαν ἐξ ὕψους ἅπαντα, δυσπρόσοδον δὲ πελάσαι καὶ χαλεπὴν ἔξωθεν, ὥστε καταβαίνοντος αὐτοῦ τὸ σχῆμα μετέωρον εἶναι καὶ βασιλικὸν τῆς πομπῆς τὸν ὄγκον. (4) Ὅσον οὖν ἐν ἀρχῇ καὶ πράγμασι μεγάλοις ἀγαθὸν ἦν ἔχειν ὦτα παρρησίαν ἀντὶ κολακείας προσιέμενα καὶ λόγους ἀληθεῖς ἔδειξεν. (5) Ἀκούσας γὰρ, ὅτι τοῖς πολλοῖς ἁμαρτάνειν ἐδόκει τῶν φίλων διεξιόντων οὐκ ἐφιλονείκησεν οὐδ' ἠγανάκτησεν, ἀλλὰ ταχὺ πολλοὺς συναγαγὼν τεχνίτας ἔτι νυκτὸς οὔσης, κατέβαλε τὴν οἰκίαν καὶ κατέσκαψεν εἰς ἔδαφος πᾶσαν· ὥστε μεθ' ἡμέραν τοὺς Ῥωμαίους ὁρῶντας καὶ συνισταμένους τοῦ μὲν ἀνδρὸς ἀγαπᾶν καὶ θαυμάζειν τὴν μεγαλοφροσύνην, ἄχθεσθαι δὲ τῆς οἰκίας καὶ ποθεῖν τὸ μέγεθος καὶ τὸ κάλλος, ὥσπερ ἀνθρώπου διὰ φθόνον οὐ δικαίως καταλελυμένης, τοῦ δὲ ἄρχοντος, ὥσπερ ἀνεστίου, παρ' ἑτέροις οἰκοῦντος. (6) Ἐδέχοντο γὰρ οἱ φίλοι τὸν Οὐαλλέριον ἄχρις οὗ τόπον ἔδωκεν ὁ δῆμος αὐτῷ καὶ κατεσκεύασεν οἰκίαν ἐκείνης μετριωτέραν, ὅπου νῦν ἱερόν ἐστιν Οὐίκας πόκας ὀνομαζόμενον. (7) Βουλόμενος δὲ μὴ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τὴν ἀρχὴν ἀντὶ φοβερᾶς χειροήθη καὶ προσφιλῆ ποιεῖν τοῖς πολλοῖς, τούς τε πελέκεις ἀπέλυσε τῶν ῥάβδων αὐτάς τε τὰς ῥάβδους εἰς ἐκκλησίαν παριὼν, ὑφῆκε τῷ δήμῳ καὶ κατέκλινε μέγα ποιῶν τὸ πρόσχημα τῆς δημοκρατίας. Καὶ τοῦτο μέχρι νῦν διαφυλάττουσιν οἱ ἄρχοντες. (8) Ἐλάνθανε δὲ τοὺς πολλοὺς οὐχ ἑαυτὸν, ὡς ᾤοντο, ποιῶν ταπεινὸν, ἀλλὰ τὸν φθόνον τῇ μετριότητι ταύτῃ καθαιρῶν καὶ κολούων, αὐτῷ δὲ προστιθεὶς τοσοῦτον μέγεθος δυνάμεως, ὅσον ἀφαιρεῖν ἐδόκει τῆς ἐξουσίας ὑποδυομένου μεθ' ἡδονῆς αὐτῷ τοῦ δήμου καὶ φέροντος ἑκουσίως. Ὥστε καὶ Ποπλικόλαν ἀνηγόρευσεν αὐτόν· σημαίνει δὲ τοὔνομα δημοκηδῆ· καὶ τοῦτο μᾶλλον ἴσχυσε τῶν ἀρχαίων ὀνομάτων, ᾧ καὶ ἡμεῖς χρησόμεθα τὸν λοιπὸν βίον τοῦ ἀνδρὸς ἱστοροῦντες.

XI. Ὑπατείαν μὲν γὰρ ἔδωκε μετιέναι καὶ παραγγέλλειν τοῖς βουλομένοις· πρὸ δὲ τῆς καταστάσεως τοῦ συνάρχοντος οὐκ εἰδὼς τὸ γενησόμενον, ἀλλὰ καὶ δεδιὼς ἀντίπραξιν ὑπὸ φθόνου τινὸς ἢ ἀγνοίας ἐχρήσατο τῇ μοναρχίᾳ πρὸς τὰ κάλλιστα καὶ μέγιστα τῶν πολιτευμάτων. (2) Πρῶτον μὲν γὰρ ἀνεπλήρωσε τὴν βουλὴν ὀλιγανδροῦσαν· ἐτεθνήκεσαν γὰρ οἱ μὲν ὑπὸ Ταρκυνίου πρότερον, οἱ δὲ ἐναγχος ἐν τῇ μάχῃ. Τοὺς δ' ἐγγραφέντας ὑπ' αὐτοῦ λέγουσιν ἑκατὸν καὶ ἑξήκοντα καὶ τέσσαρας γεγενῆσθαι. (3) Μετὰ δὲ ταῦτα νόμους ἔγραψεν, ὧν μάλιστα μὲν ἰσχυροὺς ἐποίησε τοὺς πολλοὺς ὁ τὸν δῆμον ἀπὸ τῶν ὑπάτων τῷ φεύγοντι δίκην ἐπικαλεῖσθαι διδούς· δεύτερος ὁ τοὺς ἀρχὴν λαβόντας, ἣν ὁ δῆμος οὐκ ἔδωκεν, ἀποθνήσκειν κελεύων· τρίτος δὲ μετὰ τούτους, ὃς ἐβοήθησε τοῖς πένησιν, ᾧ τὰ τέλη τῶν πολιτῶν ἀφεῖλε καὶ προθυμότερον ἅπτεσθαι τῶν ἐργασιῶν ἐποίησεν ἅπαντας. (4) Ὁ δὲ γραφεὶς κατὰ τῶν ἀπειθούντων τοῖς ὑπάτοις οὐχ ἧττον ἔδοξε δημοτικὸς εἶναι καὶ πρὸς τῶν πολλῶν μᾶλλον ἢ δυνατῶν γεγράφθαι. Ζημίαν γὰρ ἀπειθείας ἔταξε βοῶν πέντε καὶ

et de qua propter altitudinem prospectus usquequaque pateret, ad quam difficulter posset accedi extrinsecus, itaque cum descenderet, sublimis ejus erat conspectus, fastusque in incessu et comitatu regius. (4) Hac in re manifestum reddidit ille, quantum expediat homini in imperio et magnis rebus administrandis constituto, aures habere quæ non adulationem, sed ejus loco liberam et veram orationem admittant. (5) Narrantibus enim ei amicis, quod plerisque videretur præter officium suum agere, non contendit cum iis, neque stomachatus est, sed e vestigio eadem ipsa nocte conductis multis fabris, demolitus est domum suam, et solo protinus æquavit. Itaque facto die Romani cum id vidissent atque eo convenissent, caram habuere et admirati sunt viri ejus magnanimitatem, indignantes simul ædium et desiderantes molem ac pulcritudinem, utpote hominis ob invidiam immerito dejectarum; et quod consul apud alios, tanquam proprio lare carens, habitabat. (6) Accipiebant enim amici Valerium, donec populus locum ei dedit, domumque priore minus splendidam ædificavit, quo loco nunc templum est Vicæ potæ dictum. (7) Porro autem volens non modo se ipsum, sed et magistratum de terribili mansuetum et gratum populo reddere, secures a fascibus sustulit, ipsosque fasces, si quando in concionem prodiret, populo submisit atque inclinavit: eo indicans, omne in populi manu esse imperium, eumque morem adhuc tenent ii qui magistratus gerunt. (8) Neque animadvertit vulgus, non eum deprimere se ipsum, sed hac moderatione invidiam amoliri, et quantum videretur sibi licentiæ ipse auferre, tantum potentiæ eo sibi adjicere: quippe populus perlibenter se ei submittebat, eumque ferebat, adeo ut et Poplicolæ nomen ei fecerit, quo cognomento studiosus et cultor populi significatur: idque nomen priscis ejus nominibus quia prævaluit deinde, nos quoque eo in vita ejus viri narranda deinceps utemur.

XI. Proinde Poplicola facultatem dedit ambiendi consulatus liberam iis qui vellent: ante tamen, quam collega ei daretur, incertus futuri metuensque ne is vel ob invidiam vel per inscitiam ipsi refragaretur, ad constitutiones optimas præclarissimasque suam unius potestatem adhibuit. (2) Primo senatum supplevit, paucitate hominum laborantem: nam partim sub Tarquinio, partim in pugna proxima multi obierant. Dicunt autem adscriptos in eum ordinem ab ipso fuisse centum et sexaginta quattuor. (3) Deinde leges condidit, ex quibus ea maximam vim multitudini adjecit, qua reo a consulibus ad populum provocationem concessit; altera, quæ eos qui injussu populi magistratum occepissent, morte mulctari jubebat; tertia, qua opitulatus est pauperibus, vectigalibus civium sublatis, effecitque ut promptiores omnes ad opificia accederent. (4) Lex autem lata contra eos, qui consulibus dicto audientes non fuissent, ipsa quoque popularis, et non minus in rem populi quam potentium scripta videbatur; mulctam autem contumaciæ

δυεῖν προβάτων ἀξίαν. (5) Ἦν δὲ τιμὴ προβατίου μὲν ὀβολοὶ δέκα, βοὸς δὲ ἑκατὸν οὔπω νομίσματι χρωμένων πολλῷ τότε Ῥωμαίων, ἀλλὰ προβατείαις καὶ κτηνοτροφίαις εὐθηνούντων. (6) Διὸ καὶ τὰς οὐσίας ἄχρι νῦν ἀπὸ τῶν προβάτων πεκούλια καλοῦσι καὶ τῶν νομισμάτων τοῖς παλαιοτάτοις βοῦν ἐπεχάραττον ἢ πρόβατον ἢ σῦν. Ἐτίθεντο δὲ καὶ παισὶν αὐτῶν Συλλους καὶ Βουβούλκους καὶ Καπραρίους ὀνόματα καὶ Πορκίους· κάπρας μὲν τὰς αἶγας, πόρκους δὲ τοὺς χοίρους ὀνομάζοντες.

XII. Οὕτω δὲ περὶ ταῦτα δημοτικὸς γενόμενος νομοθέτης καὶ μέτριος ἐν τῷ μὴ μετρίῳ τὴν τιμωρίαν ὑπερέτεινεν. Ἔγραψε γὰρ νόμον ἄνευ κρίσεως κτεῖναι διδόντα τον βουλόμενον τυραννεῖν· κτείναντα δὲ φόνου καθαρὸν ἐποίησεν, εἰ παράσχοιτο τοῦ ἀδικήματος τοὺς ἐλέγχους. (2) Ἐπεὶ γὰρ οὐ δυνατὸν ἐπιχειροῦντα τηλικούτοις λαθεῖν ἅπαντας, οὐκ ἀδύνατον δὲ τὸ μὴ λαθόντα τοῦ κριθῆναι φθάσαι κρείττονα γενόμενον, ἦν ἀναιρεῖ τὸ ἀδίκημα κρίσιν προλαβεῖν ἔδωκε τῷ δυναμένῳ κατὰ τοῦ ἀδικοῦντος. (3) Ἐπηνέθη δὲ καὶ διὰ τὸν ταμιευτικὸν νόμον. Ἐπεὶ γὰρ ἔδει χρήματα εἰς τὸν πόλεμον εἰσενεγκεῖν ἀπὸ τῶν οὐσιῶν τοὺς πολίτας, οὔτ' αὐτὸς ἄψασθαι τῆς οἰκονομίας οὔτε φίλους ἐᾶσαι βουλόμενος οὔθ' ὅλως εἰς οἶκον ἰδιώτου παρελθεῖν δημόσια χρήματα, ταμιεῖον μὲν ἀπέδειξε τὸν τοῦ Κρόνου ναὸν, ᾧ μέχρι νῦν χρώμενοι διατελοῦσι· ταμίας δὲ τῷ δήμῳ δύο τῶν νέων ἔδωκεν ἀποδεῖξαι, καὶ ἀπεδείχθησαν οἱ πρῶτοι Πούπλιος Οὐετούριος καὶ Μινούκιος Μάρκος, καὶ χρήματα συνήχθη πολλά. (4) Τρισκαίδεκα γὰρ ἀπεγράψαντο μυριάδες, ὀρφανοῖς παισὶ καὶ χήραις γυναιξὶν ἀνεθείσης τῆς εἰσφορᾶς. (5) Ταῦτα δὲ διοικήσας ἀπέδειξεν ἑαυτῷ συνάρχοντα τὸν Λουκρητίας πατέρα, Λουκρήτιον, ᾧ τῆς ἡγεμονικωτέρας ἐξιστάμενος ὄντι πρεσβυτέρῳ τάξεως, παρέδωκε τοὺς καλουμένους φάσκης· καὶ τοῦτο διέμεινεν εἰς ἡμᾶς τὸ πρεσβεῖον ἀπ' ἐκείνου τοῖς γεραιτέροις φυλαττόμενον. (6) Ἐπεὶ δ' ὀλίγαις ἡμέραις ὕστερον ἐτελεύτησεν ὁ Λουκρήτιος, πάλιν ἀρχαιρεσιῶν γενομένων, ᾑρέθη Μάρκος Ὡράτιος καὶ συνῆρχε τῷ Ποπλικόλᾳ τὸν ὑπολειπόμενον χρόνον τοῦ ἐνιαυτοῦ.

XIII. Ταρκυνίου δὲ Ῥωμαίοις δεύτερον πόλεμον ἐν Τυρρηνίᾳ κινοῦντος μέγα σημεῖον λέγεται γενέσθαι· βασιλεύων γὰρ ἔτι καὶ τὸν νεὼν τοῦ Καπιτωλίου Διὸς ἔχων ὁ Ταρκύνιος ὅσον οὔπω συντετελεσμένον, εἴτε μαντείας γενομένης εἴτ' αὐτῷ δόξαν ἄλλως, ἅρμα κατὰ κορυφὴν ἐπιστῆσαι κεραμεοῦν ἐξέδωκε Τυρρηνοῖς τισιν ἐξ Οὐηίων δημιουργοῖς, εἶτ' ὀλίγον ὕστερον ἐξέπεσε τῆς ἀρχῆς. (2) Τῶν δὲ Τυρρηνῶν διαπεπλασμένον τὸ τέθριππον ἐμβαλόντων εἰς κάμινον οὐκ ἔπαθεν, ἃ προσῆκε πάσχειν πηλὸν ἐν πυρὶ πυκνοῦσθαι καὶ συνιζάνειν, ἐκτηκομένης τῆς ὑγρότητος· ἀλλ' ἐξέστη καὶ ᾠδησε καὶ μέγεθος ἔσχεν ἅμα ῥώμῃ καὶ σκληρότητι τοσοῦτον, ὥστε μόλις ἐξαιρεθῆναι τὴν ὀροφὴν ἀποσκευασαμένων τῆς καμίνου καὶ τῶν τοίχων περιαιρεθέντων. (3) Ὡς οὖν

pretium quinque boum et duarum ovium statuit. (5) Pretium ovis erat oboli decem, bovis centum : nondum enim eo tempore in frequenti usu apud Romanos erat pecunia, sed pecoris et jumenti copia divites abundabant. (6) Itaque adhuc facultates a pecudibus peculia nominantur et antiquissimo nomismati bos erat insculptus aut ovis aut sus : nomina quoque suis filiis inde imposuerunt Suilliorum, Bubulcorum, Caprariorum, Porciorum, a suibus, bubus, capris, porcis.

XII. Cum autem ad hunc modum popularis exstitisset legislator moderatus, in una tamen haud sane mediocri re gravius statuit : lege enim sanxit, ut qui tyrannidem affectaret, eum cuilibet indicta causa liceret occidere : occisorem autem cædis absolvebat, si demonstrasset occisi delictum. (2) Quoniam enim fieri non potest ut, qui tantam rem molitur, omnes lateat, et tamen fieri potest ut deprehensus judicio se vi eripiat, quod judicium vi aliquando impediri posset, ejus loco cuivis volenti sontem puniendi potestatem dedit. (3) Laudatus est etiam quæstoriæ legis gratia. Cum enim necessario cives ad bellum gerendum pecunias de suis facultatibus conferrent, neque ipse eas administrare neque amicis id munus dare voluit, noluitque omnino pecunias publicas in privati domum deferri : ita que Saturni templum ærarium fecit, quo etiam nunc utuntur, duosque juvenes quæstores creare populum jussit. Primi quæstores facti sunt P. Veturius, M. Minucius. Magna vis pecuniæ tum in ærarium illata est. (4) Censa enim sunt hominum millia centum et triginta, viduis et orbis parentum liberis remissa pensione. (5) Secundum hæc collegam sibi assumpsit Lucretiæ patrem Lucretium, eique ut seniori, prioribus partibus cedens, fasces concessit : mansitque is honor majoribus natu ab eo usque ad hæc tempora. (6) Paucis post diebus Lucretio vita functo, iterum habitis comitiis, consul creatus est M. Horatius, isque reliquo anni tempore Poplicolæ collega fuit.

XIII. Tarquinio autem alterum in Etruria contra Romanos bellum movente, magnum ostentum factum traditur. Cum regnaret adhuc Romæ Tarquinius, templumque Jovis Capitolini jam fere absolvisset, quadrigas fictiles, quas in culmine ejus ponere sive augurio aliquo sive consilio suo adductus statuisset, Veientibus (sunt autem hi in Etruria) fabris faciendas locaverat : paulo post ipse regno excidit. (2) Fabri quadrigas cum effinxissent et in fornacem posuissent, non id accidit, quod solet luto, ut in igne positum humore absumpto densetur atque in se coeat : sed intumuerunt seque extulerunt, et cum robore ac duritie tantam molem adeptæ sunt, ut ægre, ablato fornaci culmine et destructis parietibus, eximi inde potuerint. (3) Quod si-

ἐδόκει τοῖς μάντεσι θεῖον εἶναι σημεῖον εὐτυχίας καί δυνάμεως, παρ' οἷς ἔσοιτο τὸ τέθριππον, ἔγνωσαν οἱ Οὐήιοι μὴ προέσθαι τοῖς Ῥωμαίοις ἀπαιτοῦσι καὶ ἀπεκρίναντο τοῦτο Ταρκυνίῳ, οὐ τοῖς Ταρκύνιον ἐκ-
104 βαλοῦσι προσήκειν. (3) Ὀλίγαις δ' ὕστερον ἡμέραις a ἦσαν ἵππων ἀγῶνες αὐτοῖς. Καὶ τὰ μὲν ἄλλα θέαν καὶ σπουδὴν τὴν εἰωθυῖαν παρεῖχε, τὸ δὲ νικῆσαν τέθριππον ὁ μὲν ἡνίοχος ἐξήλαυνε τοῦ ἱπποδρόμου σχέδην ἐστεφανωμένος, οἱ δὲ ἵπποι πτοηθέντες ἀπ' οὐδεμιᾶς
10 ἐμφανοῦς προφάσεως, ἀλλὰ κατά τι δαιμόνιον ἢ τύχην ἔεντο παντὶ τάχει πρὸς τὴν Ῥωμαίων πόλιν ἔχοντες τὸν ἡνίοχον, ὡς οὐδὲν ἦν ἔργον αὐτοῦ κατατείνοντος οὐδὲ παρηγοροῦντος, ἀλλ' ἥρπαστο, δόντα τῇ ῥύμῃ καὶ φερόμενον ἄχρις οὗ τῷ Καπιτωλίῳ προσμίξαντες ἐξέ-
15 βαλον αὐτὸν ἐνταῦθα περὶ τὴν πύλην, ἣν νῦν Ῥατουμέναν καλοῦσι. (5) Γενομένου δὲ τούτου θαυμάσαν- b τες οἱ Οὐήιοι καὶ φοβηθέντες ἐπέτρεψαν τὸ ἅρμα ἀποδοῦναι τοῖς τεχνίταις.

XIV. Τὸν δὲ νεὼν τοῦ Καπιτωλίου Διὸς εὔξατο
20 μὲν ἀναθήσειν Ταρκύνιος ὁ Δημαράτου πολεμῶν Σαβίνοις, ᾠκοδόμησε δὲ Ταρκύνιος ὁ Σούπερβος υἱὸς ὢν ἢ υἱωνὸς τοῦ εὐξαμένου· καθιερῶσαι δὲ οὐκ ἔφθασεν, ἀλλὰ μικρὸν ἀπελείπετο τοῦ τέλος ἔχειν, ὅτε Ταρκύνιος ἐξέ-
25 πιπτεν. (2) Ὡς οὖν ἀπείργαστο τελέως καὶ τὸν προσήκοντα κόσμον ἀπεῖχεν, ἦν τῷ Ποπλικόλᾳ φιλοτιμία πρὸς τὴν καθιέρωσιν. (3) Ἐφθόνουν δὲ πολλοὶ τῶν δυνατῶν καὶ ἤχθοντο ταῖς μὲν ἄλλαις τιμαῖς ἧττον, ἃς νομοθετῶν καὶ στρατηγῶν ἐκ προσηκόντων ἔσχε· ταύτην c
30 δ' οὖσαν ἀλλοτρίαν οὐκ ᾤοντο δεῖν αὐτῷ προσγενέσθαι καὶ τὸν Ὡράτιον προετρέποντο καὶ παρώξυνον ἀντιποιεῖσθαι τῆς καθιερώσεως. (4) Γενομένης οὖν τῷ Ποπλικόλᾳ στρατείας ἀναγκαίας ψηφισάμενοι τὸν Ὡράτιον καθιεροῦν ἀνῆγον εἰς τὸ Καπιτώλιον, ὡς οὐκ ἂν
35 ἐκείνου περιγενόμενοι παρόντος. (5) Ἔνιοι δέ φασι, κλήρῳ τῶν ὑπάτων λαχεῖν ἐκεῖνον ἐπὶ τὴν στρατείαν ἄκοντα, τοῦτον δὲ ἐπὶ τὴν καθιέρωσιν. Ἔξεστι δὲ περὶ τούτων ὡς ἔσχεν εἰκάζειν τοῖς πραχθεῖσι περὶ τὴν καθιέρωσιν. (6) Εἰδοῖς οὖν Σεπτεμβρίαις, ὃ συν- d
40 τυγχάνει περὶ τὴν πανσέληνον μάλιστα τοῦ Μεταγειτνιῶνος, ἠθροισμένων ἁπάντων εἰς τὸ Καπιτώλιον, ὁ μὲν Ὡράτιος σιωπῆς γενομένης τά τ' ἄλλα δράσας καὶ τῶν θυρῶν ἁψάμενος, ὥσπερ ἔθος ἐστίν, ἐπεφθέγγετο τὰς νενομισμένας ἐπὶ τῇ καθιερώσει φωνάς· ὁ δ' ἀδελ-
45 φὸς τοῦ Ποπλικόλα Μάρκος ἐκ πολλοῦ παρὰ τὰς θύρας ὑφεστὼς καὶ παραφυλάττων τὸν καιρόν, « Ὦ ὕπατε, εἶπεν, ὁ υἱός σου τέθνηκεν ἐν τῷ στρατοπέδῳ νοσήσας. » (7) Τοῦτο πάντας ἠνίασε τοὺς ἀκούσαντας· ὁ δὲ Ὡράτιος οὐδὲν διαταραχθείς, ἀλλ' ἢ τοσοῦτον μόνον εἰπών,
50 « Ῥίψατε τὸν νεκρὸν τοίνυν, ὅποι βούλεσθε, ἐγὼ γὰρ οὐ προσίεμαι τὸ πένθος », ἐπέραινε τὴν λοιπὴν καθιέρωσιν. (8) Ἦν δὲ τὸ προσηγγελμένον οὐκ ἀληθὲς, ἀλλ' ὁ Μάρκος e ὡς ἀποστήσων τὸν Ὡράτιον ἐψεύσατο. Θαυμαστὸς οὖν ὁ ἀνὴρ τῆς εὐσταθείας εἴτε τὴν ἀπάτην ἐν καιρῷ βραχεῖ συνεῖδεν εἴτε πιστευθεὶς ὁ λόγος οὐκ ἐκίνησεν αὐτόν.

gnum cum essent interpretati haruspices felicitatem potentiamque iis portendere, apud quos quadrigæ eæ essent, reposcentibus eas Romanis, Veientes decrevere non reddere, responderuntque, Tarquinii eas esse, non eorum qui Tarquinium expulissent. (4) Paucis interjectis diebus, equorum certamina Veiis sunt edita. Et cetera quidem solito studio spectata sunt : verum is qui quadrigis vicerat, currum victorem coronatus ipse paulatim e circo agebat : equi autem consternati, nulla ejus rei apparente causa, sive divinitus acti sive id fortuito accidit, auriga abrepto summa celeritate Romam versus contenderunt : qui cum nihil neque contendendo habenas, neque adhortando equos proficeret, impetui eorum concedens, usque ad Capitolium ab illis est raptatus, ibique abjectus apud portam, cui nunc Ratumenæ nomen est. (5) Hujus rei miraculo metu que compulsi Veientes fabris ut quadrigas traderent Romanis mandaverunt.

XIV. Ceterum templum Jovis Capitolini Tarquinius Priscus vovit in bello adversus Sabinos, ædificavit autem Tarquinius Superbus, sive filius sive nepos ejus qui voverat : neque tamen dedicavit, sed parum adhuc a perfectione id tum aberat, cum ipse regno excidit. (2) Posteaquam absolutum plane et, ut debuerat, exornatum fuit, cupiditas ejus dedicandi Poplicolam incessit. (3) Sed id multi optimates ei invidebant, et licet eos honores quos erat leges ferendo magistratusque gerendo adeptus, tanquam debitos et proprios minus moleste ferrent, hunc tamen alienum non putabant debere addi, et auctores fuerunt Horatio, ut dedicationem ipse sibi vindicaret. (4) Cum vero necessitas in militiam proficisci coegisset Poplicolam, Horatio ex plebiscito dedicationem injunxerunt eumque in Capitolium adduxerunt, quippe qui intelligerent, se Poplicola præsente potiores non fuisse futuros. (5) Quidam dicunt in sortitione consulum Poplicolæ invito militiam, huic dedicationem obtigisse. Quomodo res ea habuerit, licet vel ex his conjectari, quæ inter dedicandum acta sunt. (6) Idibus Septembribus, quæ dies incidit fere in plenilunium Metagitnionis mensis, dedicationis causa cum frequentes in Capitolium omnes convenissent, Horatius facto silentio, peractis pro more omnibus, fores tangens, verba dedicationis solennia dixit. Ibi frater Poplicolæ Marcus, jamdudum foribus adstans et occasionem captans, « Filius, o consul, inquit, tuus in castris ex morbo decessit. » (7) Omnibus hoc auditu grave fuit. At Horatius nihil perturbatus, hoc tantum dicto, « Projicitote ergo, quo volueritis, mortuum; ego enim luctum non admitto, » cetera peregit. (8) Neque erat verum id quod nunciabatur, sed Marcus finxerat, quo a dedicatione Horatium deterreret. Admiratione igitur digna viri constantia est, sive fraudem statim sensit, sive fidem dicto habens, non commotus tamen est.

XV. Ἔοικε δὲ καὶ περὶ τὸν δεύτερον ναὸν ὁμοία τύχη γενέσθαι τῆς καθιερώσεως. (2) Τὸν μὲν γὰρ πρῶτον, ὡς εἴρηται, Ταρκυνίου κατασκευάσαντος, Ὡρατίου δὲ καθιερώσαντος, ἐν τοῖς ἐμφυλίοις πολέμοις πῦρ ἀπώλεσε· τὸν δὲ δεύτερον ἀνέστησε μὲν Σύλλας, ἐπεγράφη δὲ τῇ καθιερώσει Κάτουλος Σύλλα προαποθανόντος. (3) Τούτου δὲ πάλιν ἐν ταῖς κατὰ Οὐιτέλλιον στάσεσι διαφθαρέντος, τρίτον τῇ πρὸς τἄλλα καὶ τοῦτο χρησάμενος εὐποτμίᾳ, Οὐεσπεσιανὸς ἐξ ἀρχῆς ἄχρι τέλους ἀναγαγὼν ἐπεῖδε γενόμενον καὶ φθειρόμενον μετ' ὀλίγον οὐκ ἐπεῖδεν, ἀλλὰ τοσοῦτον εὐτυχίᾳ Σύλλαν παρῆλθεν, ὅσον ἐκεῖνον μὲν τῆς ἀφιερώσεως τοῦ ἔργου, τοῦτον δὲ τῆς ἀναιρέσεως προαποθανεῖν. Ἅμα γὰρ τῷ τελευτῆσαι Οὐεσπεσιανὸν ἐνεπρήσθη τὸ Καπιτώλιον. (4) Ὁ δὲ τέταρτος οὗτος ὑπὸ Δομετιανοῦ καὶ συνετελέσθη καὶ καθιερώθη. (5) Λέγεται δὲ Ταρκύνιον εἰς τοὺς θεμελίους ἀναλῶσαι λίτρας ἀργυρίου τετρακισμυρίας· τούτου δὲ τοῦ καθ' ἡμᾶς, τὸν μέγιστον ἐν Ῥώμῃ τῶν ἰδιωτικῶν πλοῦτον ἐκλογισθέντα τὸ τῆς χρυσώσεως μὴ τελέσαι ἀνάλωμα, πλέον ἢ δισχιλίων καὶ μυρίων ταλάντων γενόμενον. (6) Οἱ δὲ κίονες ἐκ τοῦ Πεντέλησιν ἐτμήθησαν λίθου κάλλιστα τῷ πάχει πρὸς τὸ μῆκος ἔχοντες· εἴδομεν γὰρ αὐτοὺς Ἀθήνησιν. Ἐν δὲ Ῥώμῃ πληγέντες αὖθις καὶ ἀναξυσθέντες οὐ τοσοῦτον ἔσχον γλαφυρίας, ὅσον ἀπώλεσαν συμμετρίας καὶ τοῦ καλοῦ, διάκενοι καὶ λαγαροὶ φανέντες. (7) Ὁ μέντοι θαυμάσας τοῦ Καπιτωλίου τὴν πολυτέλειαν, εἰ μίαν εἶδεν ἐν οἰκίᾳ Δομετιανοῦ στοὰν ἢ βασιλικὴν ἢ βαλανεῖον ἢ παλλακίδων δίαιταν, οἷόν ἐστι τὸ λεγόμενον Ἐπιχάρμου πρὸς τὸν ἄσωτον·

Οὐ φιλάνθρωπος τύ γ' ἐσσ'· ἔχεις νόσον· χαίρεις διδούς·

τοιοῦτον ἄν τι πρὸς Δομετιανὸν εἰπεῖν προήχθη· Οὐκ εὐσεβὴς οὐδὲ φιλότιμος τύ γ' ἐσσί· ἔχεις νόσον· χαίρεις κατοικοδομῶν, ὥσπερ ὁ Μίδας ἐκεῖνος, ἅπαντά σοι χρυσᾶ καὶ λίθινα βουλόμενος γίνεσθαι. Ταῦτα μὲν οὖν περὶ τούτων.

XVI. Ὁ δὲ Ταρκύνιος μετὰ τὴν μεγάλην μάχην, ἐν ᾗ καὶ τὸν υἱὸν ἀπώλεσε μονομαχήσαντα Βρούτῳ, καταφυγὼν εἰς τὸ Κλούσιον ἱκέτευσε Λάραν Πορσίναν, ἄνδρα καὶ δύναμιν μεγίστην ἔχοντα τῶν Ἰταλικῶν βασιλέων καὶ δοκοῦντα χρηστὸν εἶναι καὶ φιλότιμον· (2) ὁ δ' ὑπέσχετο βοηθήσειν. Καὶ πρῶτον μὲν ἔπεμψεν εἰς Ῥώμην κελεύων δέχεσθαι τὸν Ταρκύνιον· ὡς δ' οὐχ ὑπήκουσαν οἱ Ῥωμαῖοι, καταγγείλας αὐτοῖς πόλεμον καὶ χρόνον, ἐν ᾧ, καὶ τόπον, εἰς ὃν ἔμελλεν ἐμβαλεῖν, ἀφίκετο μετὰ πολλῆς δυνάμεως. (3) Ποπλικόλας δ' ἡρέθη μὲν ἀπὼν ὕπατος τὸ δεύτερον καὶ σὺν αὐτῷ Τίτος Λουκρήτιος· ἐπανελθὼν δὲ εἰς Ῥώμην καὶ βουλόμενος τῷ φρονήματι πρῶτον ὑπερβαλέσθαι τὸν Πορσίναν ἔκτιζε πόλιν Σιγλιουρίαν ἤδη πλησίον αὐτοῦ ὄντος. Καὶ τειχίσας μεγάλοις ἀναλώμασιν ἑπτακοσίους ἀποίκους ἀπέστειλεν, ὡς ῥᾳδίως φέρων καὶ ἀδεῶς τὸν πόλεμον. (4) Οὐ μὴν ἀλλὰ προσβολῆς ὀξείας τῷ τείχει

XV. Eadem fortuna dedicationis etiam secundo fuit Capitolini Jovis templo. (2) Primum enim a Tarquinio, uti demonstravimus, ædificatum, ab Horatio dedicatum, ignis bellis civilibus absumpsit, secundum Sylla refecit, eoque ante dedicationem mortuo, Catuli nomen templo inscriptum est. (3) Hoc etiam cum Vitelliana seditione periisset, Vespasianus, eo quoque ad reliquam suam felicitatem addito, tertium denuo exstruxit, perfectumque vidit, non autem vidit idem haud diu post perire : sed in eo fuit quam Sylla fortunatior, quod is ante dedicationem, Vespasianus ante interitum templi vita excessit; statim enim sub mortem ejus Capitolium incendio conflagravit. (4) Quartum quod nostro exstat tempore est a Domitiano et ædificatum et dedicatum. (5) Ferunt Tarquinium impendisse in fundamenta templi librarum argenti quadraginta millia; at ad rependendum inaurationis pretium templi ejus quod nostro tempore est exstructum, non sufficerent ditissimi hominis privati opes : ea enim duodenis talentorum millibus, eoque amplius, æstimatur. (6) Columnæ excisæ sunt ex Pentelico lapide, quas ipsi Athenis vidimus longitudine pulcerrime quadrante ad crassitudinem, sed Romæ iterum dolatæ et expolitæ non tantum adeptæ sunt splendoris, quantum amisere concinnitatis pulcritudinisque, exiles plane et graciles apparentes. (7) Hujus Capitolii magnificentiam qui miratur, idem si in ædibus Domitiani unicam porticum aut basilicam aut balneum aut conclave pellicum vidisset, id quod est dictum Epicharmi in prodigum,

Non humanus tu quidem es : habes morbum, nam gaudes dare,

in Domitianum utique deflecteret ac diceret : Non tu es pius, neque liberalis : habes vitium, quod nimium ædificandi luxu gaudes, visque Midæ instar omnia tua esse aurea ac lapidea. Sed de his hactenus.

XVI. Tarquinius porro post magnum illud prœlium, in quo filium singulari certamine cum Bruto congressum amiserat, Clusium confugit, opemque imploravit Lartis Porsenæ, cujus et potentia inter reges Italiæ maxima et bonitatis liberalitatisque magna erat opinio. (2) Is promisso auxilio, primum Romam legatis missis recipi Tarquinium jussit : post cum Romani non obtemperarent, bellum iis indixit tempusque, quo, et locum, in quem esset cum exercitu invasurus, constituit, eoque venit cum magnis copiis. (3) Erant tum consules creati Poplicola absens iterum et T. Lucretius. Poplicola Romam reversus primo statuit magnanimitate Porsenam superare eoque jam appropinquante, Sigliuriam urbem condidit, magnisque impensis munivit, et septingentos eo colonos misit, tanquam qui bellum facile et intrepide sustineret. (4) Sed Porsena acriter oppugnatis

γενομένης ἐξεώσθησαν οἱ φύλακες ὑπὸ τοῦ Πορσίνα καὶ φεύγοντες ὀλίγου συνεπεσπάσαντο τοὺς πολεμίους εἰς τὴν πόλιν. Ἔφθη δὲ πρὸ τῶν πυλῶν ἐκβοηθήσας ὁ Ποπλικόλας καὶ μάχην συνάψας παρὰ τὸν ποταμὸν ἀντεῖχε πλήθει βιαζομένοις τοῖς πολεμίοις ἄχρις οὗ τραύμασι νεανικοῖς περιπεσὼν ἀπεκομίσθη φοράδην ἐκ τῆς μάχης. (5) Τὸ δ' αὐτὸ καὶ Λουκρητίου, τοῦ συνάρχοντος αὐτῷ, παθόντος, ἀθυμία τοῖς Ῥωμαίοις ἐνέπεσε καὶ φυγῇ πρὸς τὴν πόλιν ἔσωζον ἑαυτούς. Ὠθουμένων δὲ τῶν πολεμίων διὰ τῆς ξυλίνης γεφύρας ἐκινδύνευσεν ἡ Ῥώμη κατὰ κράτος ἁλῶναι. (6) Πρῶτος δὲ Κόκλιος Ὡράτιος καὶ σὺν αὐτῷ δύο τῶν ἐπιφανεστάτων ἀνδρῶν, Ἑρμήνιος καὶ Λάρτιος, ἀντέστησαν περὶ τὴν ξυλίνην γέφυραν. (7) Ὁ δ' Ὡράτιος τὸν Κόκλιον ἐπωνυμίαν ἔσχεν ἐν πολέμῳ τῶν ὀμμάτων θάτερον ἐκκοπείς· ὡς δ' ἔνιοι λέγουσι, διὰ σιμότητα τῆς ῥινὸς ἐνδεδυκυίας, ὥστε μὴ εἶναι τὸ διορίζον τὰ ὄμματα καὶ τὰς ὀφρῦς συγκεχύσθαι, Κύκλωπα βουλόμενοι καλεῖν αὐτὸν οἱ πολλοί, τῆς γλώττης ὀλισθαινούσης, ἐκράτησαν ὑπὸ πλήθους Κόκλιον καλεῖσθαι. (8) Οὗτος ἑστὼς πρὸ τῆς γεφύρας ἠμύνετο τοὺς πολεμίους, ἄχρις οὗ διέκοψαν οἱ σὺν αὐτῷ κατόπιν τὴν γέφυραν. Οὕτω δὲ μετὰ τῶν ὅπλων ἀφεὶς ἑαυτὸν εἰς τὸν ποταμὸν ἀπενήξατο καὶ προσέμιξε τῇ πέραν ὄχθῃ δόρατι Τυῤῥηνικῷ βεβλημένος τὸν γλουτόν. (9) Ὁ δὲ Ποπλικόλας τὴν ἀρετὴν θαυμάσας αὐτίκα μὲν εἰσηγήσατο, Ῥωμαίους ἅπαντας ὅσην ἕκαστος ἐν ἡμέρᾳ τροφὴν ἀνήλισκε, δοῦναι συνεισενεγκόντας, ἔπειτα τῆς χώρας ἣν αὐτὸς περιαρόσειεν ἐν ἡμέρᾳ. (10) Πρὸς δὲ τούτοις εἰκόνα χαλκῆν ἔστησαν αὐτῷ ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου, τὴν γενομένην ἐκ τοῦ τραύματος τῷ ἀνδρὶ χωλότητα μετὰ τιμῆς παρηγοροῦντες.

XVII. Ἐπικειμένου δὲ τοῦ Πορσίνα τῇ πόλει καὶ λιμὸς ἥπτετο τῶν Ῥωμαίων καὶ Τυῤῥηνῶν ἕτερος στρατὸς αὐτὸς καθ' αὑτὸν εἰς τὴν χώραν ἐνέβαλε. (2) Ποπλικόλας δὲ τὸ τρίτον ὑπατεύων, Πορσίνᾳ μὲν ἀτρεμοῦν καὶ φυλάττων τὴν πόλιν ᾤετο δεῖν ἀντέχειν· τοῖς δὲ Τυῤῥηνοῖς ἐπεξῆλθε καὶ συμβαλὼν ἐτρέψατο καὶ πεντακισχιλίους αὐτῶν ἀνεῖλε. (3) Τὸ δὲ περὶ Μούκιον εἰρῆται μὲν ὑπὸ πολλῶν καὶ διαφόρως· λεκτέον δὲ ᾗ μάλιστα πιστεύεται, καὶ ἡμῖν. (4) Ἦν ἀνὴρ εἰς πᾶσαν ἀρετὴν ἀγαθὸς, ἐν δὲ τοῖς πολεμικοῖς ἄριστος· ἐπιβουλεύων δὲ τὸν Πορσίναν ἀνελεῖν παρεισῆλθεν εἰς τὸ στρατόπεδον Τυῤῥηνίδα φορῶν ἐσθῆτα καὶ φωνῇ χρώμενος ὁμοίᾳ. Περιελθὼν δὲ τὸ βῆμα τοῦ βασιλέως καθεζομένου καὶ σαφῶς μὲν αὐτὸν οὐκ εἰδὼς, ἐρέσθαι δὲ περὶ αὐτοῦ δεδιὼς, ὃν ᾠήθη μάλιστα τῶν συγκαθεζομένων ἐκεῖνον εἶναι, σπασάμενος τὸ ξίφος ἀπέκτεινεν. (5) Ἐπὶ τούτῳ δὲ συλληφθεὶς ἀνεκρίνετο· καί τινος ἐσχαρίδος πῦρ ἐχούσης, μέλλοντι τῷ Πορσίνᾳ θύειν κεκομισμένης, ὑπερσχὼν τὴν δεξιὰν χεῖρα καιομένης τῆς σαρκὸς εἱστήκει πρὸς τὸν Πορσίναν ἀποβλέπων ἰταμῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ, μέχρις οὗ θαυμάσας ἀφῆκεν αὐτὸν, καὶ τὸ ξίφος ἀποδιδοὺς ὤρεξεν ἀπὸ τοῦ βήματος· ὁ δὲ τὴν εὐώνυμον προτείνας ἐδέξατο.

muris, custodes repulit, iique fugientes secum hostes in urbem attraxissent, nisi ante portas Poplicola auxilium suis ferre occupasset. Ibi juxta fluvium commisso prœlio, hostes numero urgentes sustinuit, tantisper dum audacius pugnans, acceptis aliquot vulneribus, e prœlio elatus est. (5) Quod idem cum Lucretio collegæ accidisset, Romani animis collapsi, fuga in urbem saluti suæ consuluerunt. Ruentibus autem cum impetu per pontem sublicium hostibus, parum sane abfuit quin Roma caperetur. (6) Primus Horatius Cocles ac cum eo duo viri præclarissimi, Herminius et Lartius, hostibus se in ponte adversos opposuerunt. (7) Coclitis cognomentum Horatio oculorum alter in bello amissus præbuit; alii ita appellatum censent, quod compressum nasum ita habuerit, ut nullum inter oculos interstitium apparuerit, superciliaque inter se coierint, et cum eum vulgo vellent Cyclopem vocare, errore linguæ Coclium dixisse, idque deinde obtinuisse. (8) Is Cocles ante pontem stans hostes tamdiu repulit, dum sui a tergo pontem rescinderent, tum se, ut erat armatus, in fluvium abjecit, enatavitque ad ulteriorem ripam, hasta Etrusca natem sauciatus. (9) Cujus virtutem admiratus Poplicola statim decrevit ut universi Romani victum ei, quanto singulis in unum diem usus erat, conferrent, deinde tantum agri donarent, quantum circumarare uno die posset. (10) Ad hæc statuam ex ære ei in templo Vulcani posuerunt, claudicationem viri, quæ ex vulnere ei accidit, honore compensantes.

XVII. Interim et Porsena urbem urgebat et fames invadebat et alius Etruscorum exercitus sua sponte in agrum impressionem faciebat. (2) Tertium tum consulatum gerebat Poplicola. Is Porsenæ custodia urbis et quiete resistendum censens, contra Etruscos copias eduxit, pugnaque commissa eos fudit, cæsis hostium quinque millibus. (3) Mucii quoque facinus quia a multis varie narratur, exponam eo modo, quo maxime perpetratum credo. (4) Erat Mucius vir omni genere virtutis præditus, belloque optimus. Is cum statuisset Porsenam per insidias interficere, Etrusco habitu sermoneque in castra ejus pervenit, circumiensque regis solium, ut tum consederat cum suis, non satis ipsum cognoscens et percontari veritus, eum quem regem esse inter assidentes regi putabat, stricto gladio occidit. (5) Deprehensus in eo facinore, cum de eo quæreretur, dextram foculo ardenti, qui Porsenæ sacrificaturo tum erat allatus, superposuit : dumque caro ureretur, ipse truci et immoto vultu Porsenam eo usque intuitus est, dum admiratione adductus, missum eum fecit, gladiumque de solio suo porrigens reddidit, quem sinistra manu acce-

(6) Καὶ διὰ τοῦτο φασὶν αὐτῷ γενέσθαι τὸν Σκαιόλαν ἐπίκλησιν, ὅπερ ἐστὶ Λαιόν. Ἔφη δὲ τὸν φόβον τοῦ Πορσίνα νενικηκὼς, ἡττᾶσθαι τῆς ἀρετῆς, καὶ χάριτι μηνύειν, ἃ πρὸς ἀνάγκην οὐκ ἂν ἐξηγόρευσε. (7) « Τριακόσιοι γὰρ Ῥωμαίων, ἔφη, τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντες ἐν τῷ στρατοπέδῳ σου πλανῶνται καιρὸν ἐπιτηροῦντες· ἐγὼ δὲ κλήρῳ λαχὼν καὶ προεπιχειρήσας d οὐκ ἄχθομαι τῇ τύχῃ διαμαρτὼν ἀνδρὸς ἀγαθοῦ καὶ φίλου μᾶλλον ἢ πολεμίου Ῥωμαίοις εἶναι πρέποντος. » (8) Ταῦθ' ὁ Πορσίνας ἀκούσας ἐπίστευσε καὶ πρὸς τὰς διαλύσεις ἥδιον ἔσχεν, οὐ τοσοῦτό, μοι δοκεῖ, φόβῳ τῶν τριακοσίων, ὅσον ἀγασθεὶς καὶ θαυμάσας τὸ φρόνημα καὶ τὴν ἀρετὴν τῶν Ῥωμαίων. (9) Τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ τι πάντων καὶ Σκαιόλαν καλούντων, Ἀθηνόδωρος ὁ Σάνδωνος ἐν τῷ πρὸς Ὀκταουίαν τὴν Καίσαρος ἀδελφὴν καὶ Ὀψίγονον ὠνομάσθαι φησίν.

XVIII. Ὁ μέντοι Ποπλικόλας αὐτὸς, οὐχ οὕτω πολέμιον ὄντα τὸν Πορσίναν βαρὺν ἡγούμενος, ὡς ἄξιον e πολλοῦ τῇ πόλει φίλον γενέσθαι καὶ σύμμαχον, οὐκ ἔφευγεν ἐπ' αὐτοῦ δίκῃ κριθῆναι πρὸς Ταρκύνιον, ἀλλ' ἐθάρρει καὶ προὐκαλεῖτο πολλάκις ὡς ἐξελέγξων κάκιστον ἀνδρῶν καὶ δικαίως ἀφαιρεθέντα τὴν ἀρχήν. (2) Ἀποκριναμένου δὲ τοῦ Ταρκυνίου τραχύτερον, οὐδένα ποιεῖσθαι δικαστὴν, ἥκιστα δὲ Πορσίναν, εἰ σύμμαχος ὢν μεταβάλλεται, δυσχεράνας καὶ καταγνοὺς ὁ Πορσίνας, ἅμα δὲ τοῦ παιδὸς Ἄρροντος δεομένου καὶ σπουδάζοντος ὑπὲρ τῶν Ῥωμαίων, κατελύσατο τὸν πόλεμον, ἐξισταμένοις ἧς ἀπετέμοντο τῆς Τυῤῥηνίδος χώρας, καὶ τοὺς αἰχμαλώτους ἀποπέμπουσι, κομιζο- f μένοις δὲ τοὺς αὐτομόλους. (3) Ἐπὶ τούτοις ὁμήρους ἔδωκαν ἐξ εὐπατριδῶν περιπορφύρους δέκα, καὶ παρθένους τοσαύτας, ὧν ἦν καὶ Ποπλικόλα θυγάτηρ Οὐαλλερία.

XIX. Πραττομένων δὲ τούτων τοῦ τε Πορσίνα πᾶσαν ἤδη τὴν πολεμικὴν ἀνεικότος παρασκευὴν διὰ πίστιν αἱ παρθένοι τῶν Ῥωμαίων κατῆλθον ἐπὶ λουτρὸν, ἔνθα δὴ μηνοειδής τις ὄχθη περιβάλλουσα τὸν ποτα- 107 μὸν, ἡσυχίαν μάλιστα καὶ γαλήνην τοῦ κύματος παρεῖχεν. (2) Ὡς δ' οὔτε τινὰ φυλακὴν ἑώρων οὔτε παριόντας ἄλλως ἢ διαπλέοντας, ὁρμὴν ἔσχον ἀπονήξασθαι πρὸς ῥεῦμα πολὺ καὶ δίνας βαθείας. (3) Ἔνιοι δέ φασιν, αὐτῶν μίαν, ὄνομα Κλοιλίαν, ἵππῳ διεξελάσαι τὸν πόρον, ἐγκελευσαμένην ταῖς ἄλλαις νεούσαις καὶ παραθαῤῥύνουσαν. (4) Ἐπεὶ δὲ σωθεῖσαι πρὸς τὸν Ποπλικόλαν ἦκον, οὐκ ἐθαύμασεν οὐδ' ἠγάπησεν, ἀλλ' ἠνιάθη, ὅτι Πορσίνα κακίων ἐν πίστει φανεῖται καὶ τὸ τόλμημα τῶν παρθένων αἰτίαν ἕξει κακούργημα Ῥωμαίων γεγονέναι. Διὸ συλλαβὼν αὐτὰς πάλιν ἀπέστειλε πρὸς τὸν Πορσίναν. (5) Ταῦτα δ' οἱ περὶ τὸν Ταρκύνιον b προαισθόμενοι καὶ καθίσαντες ἐνέδραν τοῖς ἄγουσι τὰς παῖδας, ἐν τῷ περᾶν ἐπέθεντο πλείονες ὄντες. Ἐκείνων δὲ ὅμως ἀμυνομένων ἡ Ποπλικόλα θυγάτηρ Οὐαλλερία διὰ μέσων ὁρμήσασα τῶν μαχομένων ἔφευγε, καὶ τρεῖς τινες οἰκέται συνδιεκπεσόντες ἔσωζον αὐτήν.

pit Mucius. (6) Atque inde Scævolæ cognomen, quo læva manu utens intelligitur, ei factum aiunt. Seque respondit superatum virtute Porsenæ, cujus minas vicisset, gratificandi causa ea indicaturum, quæ ut renunciaret, nulla potuisset vi adigi. (7) « Trecenti, inquit, Romani eodem consilio in castris tuis oberrant occasionemque captant, ego vero, quem, ut primo rem tentaret, sors destinavit, non iniquo animo fero, quod ab ejus cæde aberravi, viri boni Romanorumque amicitia quam bello dignioris. » (8) Hæc audita et credidit Porsena et ad pacificationem inclinare cœpit, non tam, opinor, metu trecentorum istorum, quam admiratione spirituum ac virtutis Romanæ. (9) Hunc virum omnibus uno ore Mucium et Scævolam appellantibus, Athenodorus, Sandonis filius, in opere quod ad Octaviam Cæsaris sororem scripsit, Postumum quoque nominatum autumat.

XVIII. Equidem Poplicola non tam gravem hostem Porsenam existimans, quam virum cujus amicitia et societas magni facienda esset Romanis, non detrectavit eo judice cum Tarquinio causam disceptare; sæpeque numero confidenter Porsenam provocavit, demonstraturum se promittens, pessimum eum hominem juste regno spoliatum fuisse. (2) Ad quod cum responderet asperius Tarquinius, nullum se rei arbitrum admittere, omnium minime Porsenam, siquidem is auxilium pollicitus nunc fidem mutaret, indignatus Porsena causamque Tarquinii damnans, enixe insuper filio Arunte pro Romanis intercedente, bellum solvit ea conditione, ut Romani terra Etrusca, quam ceperant, decederent et captivos redderent, ipsi perfugas reciperent. (3) Hujus pacis stabiliendæ gratia Romani dederunt obsides prætextatos patricios decem, totidemque virgines, in quibus fuit etiam Poplicolæ filia Valeria.

XIX. Jam fide eo modo interposita, ab omni belli apparatu Porsena destiterat, cum virgines Romanæ lavandi causa ad aquam descenderunt eo loco, quo in lunæ formam curvatum litus maxime placidum ac tranquillum fluvium præbebat. (2) His cum nullam circum se custodiam, neminem adesse, aut navigio ibi vehi animadverterent, per fluvium quantumvis magnum et vortices profundos enatandi ardor eas invasit. (3) Quidam unam ex ipsis Cœliam dicunt equo trajecisse, reliquasque natantes cohortatam fuisse. (4) Postquam salvæ ad Poplicolam redierunt, equidem neque admiratus est earum facinus, neque probavit, fidem quam quam Porsenæ minorem, facinus istud virginum fraude perfidiaque Romanorum perpetratum esse creditum iri dolens: itaque omnes comprehensas, ad Porsenam remisit. (5) Quod ita futurum cum præsensisset Tarquinius, collatis adversum eos, qui virgines ducebant, insidiis, in trajectu pauciores majori numero est adortus; iisque se defendentibus, Valeria Poplicolæ filia per medios pugnantes se proripuit et a tribus servis una elapsis servata est. (6) Reliquæ

(6) Τῶν δ' ἄλλων οὐκ ἀκινδύνως ἀναμεμιγμένων τοῖς μαχομένοις, αἰσθόμενος Ἄρρων ὁ Πορσίνα υἱὸς ὀξέως προσεβοήθησε, καὶ φυγῆς γενομένης τῶν πολεμίων περιεποίησε τοὺς Ῥωμαίους. (7) Ὡς δὲ τὰς παρθένους κομισθείσας ὁ Πορσίνας εἶδε, τὴν καταρξαμένην τῆς πράξεως καὶ παρακελευσαμένην ταῖς ἄλλαις ἐζήτει. Ἀκούσας δὲ τὸ ὄνομα τῆς Κλοιλίας προσέβλεψεν αὐτὴν ἵλεῳ καὶ φαιδρῷ τῷ προσώπῳ, καὶ κελεύσας ἵππον ἀχθῆναι τῶν βασιλικῶν κεκοσμημένον εὐπρεπῶς ἐδώρήσατο. (8) Τοῦτο ποιοῦνται μαρτύριον οἱ μόνην τὴν Κλοιλίαν λέγοντες ἵππῳ διεξελάσαι τὸν ποταμόν. Οἱ δ' οὐ φασιν, ἀλλὰ τιμῆσαι τὸ ἀνδρῶδες αὐτῆς τὸν Τυῤῥηνόν. (9) Ἀνάκειται δὲ τὴν ἱερὰν ὁδὸν πορευομένοις εἰς Παλάτιον ἀνδριὰς αὐτῆς ἔφιππος, ὃν τινες οὐ τῆς Κλοιλίας, ἀλλὰ τῆς Οὐαλλερίας εἶναι λέγουσιν. (10) Ὁ δὲ Πορσίνας διαλλαγεὶς τοῖς Ῥωμαίοις ἄλλην τε ἑαυτοῦ πολλὴν μεγαλοφροσύνην ἐπεδείξατο τῇ πόλει καὶ τὰ ὅπλα τοὺς Τυῤῥηνοὺς ἀναλαβεῖν κελεύσας, ἄλλο δ' οὐδὲν, ἀλλ' ἐκλιπεῖν τὸν χάρακα σίτου τε πολλοῦ καὶ χρημάτων γέμοντα παντοδαπῶν παρέδωκε τοῖς Ῥωμαίοις. (11) Διὸ καὶ καθ' ἡμᾶς ἔτι πωλοῦντες τὰ δημόσια πρῶτα κηρύττουσι τὰ Πορσίνα χρήματα, τιμὴν τῷ ἀνδρὶ τῆς χάριτος ἄξιον ἐν τῇ μνήμῃ διαφυλάττοντες. Εἱστήκει δὲ χαλκοῦς ἀνδριὰς αὐτοῦ παρὰ τὸ βουλευτήριον ἁπλοῦς καὶ ἀρχαϊκὸς τῇ ἐργασίᾳ.

(6) Inter alios non sine periculo pugnantibus permixtæ fuerunt. At Porsenæ filius Aruns eo cognito, celeriter auxilium Romanis tulit, eosque fugatis hostibus conservavit. (7) Porsena cum adductas ad se virgines vidit, quænam tanti facinoris auctor reliquis fuisset, quæsivit: auditoque Clœliæ nomine, placido eam atque hilari vultu intuitus, equum ex regiis pulcre exornatum adduci jussit eoque virginem donavit. (8) Hoc testimonii loco adducitur ab iis, qui solam Clœliam equo flumen transiisse asserunt; alii negant, tantumque in honorem virilis ejus fortitudinis id ab Etrusco factum volunt. (9) Statua equestris Clœliæ posita est eo loco, qua sacra via itur ad Palatium, quam quidam non Clœliæ sed Valeriæ vindicant. (10) Præterea autem Porsena ut cum Romanis in gratiam rediit, cum aliis in rebus suam civitati magnificentiam demonstravit, tum suis præcepit, ut nulla alia re quam armis acceptis secum, castris excederent: eaque cibariis et omnis generis bonis repleta Romanis tradidit. (11) Itaque etiam hodie cum bona publica venduntur, primo omnium Porsenæ bona proclamantur, ad perpetuam conservandam memoriam ejus viri beneficiorum. Posita quoque fuit juxta Curiam statua ejus simpliciter et antiquo modo facta.

XX. Μετὰ δὲ ταῦτα Σαβίνων ἐμβαλόντων εἰς τὴν χώραν ὕπατος μὲν ἀπεδείχθη Μάρκος Οὐαλλέριος, ἀδελφὸς Ποπλικόλα, καὶ Ποστούμιος Τούβερτος. (2) Πραττομένων δὲ τῶν μεγίστων γνώμῃ καὶ παρουσίᾳ Ποπλικόλα δυσὶ μάχαις μεγάλαις ὁ Μάρκος ἐνίκησεν· ὧν ἐν τῇ δευτέρᾳ μηδένα Ῥωμαίων ἀποβαλὼν τρισχιλίους ἐπὶ μυρίοις τῶν πολεμίων ἀνεῖλε. (3) Καὶ γέρας ἔσχεν ἐπὶ τοῖς θριάμβοις, οἰκίαν αὐτῷ γενέσθαι δημοσίοις ἀναλώμασιν ἐν τοῖς Παλατίοις. Τῶν δ' ἄλλων τότε θυρῶν εἴσω τῆς οἰκίας τὸ κλεισίον ἀνοιγομένων, ἐκείνης μόνης τῆς οἰκίας ἐποίησαν ἐκτὸς ἀπάγεσθαι τὴν αὔλειον, ὡς δὴ κατὰ τὸ συγχώρημα τῆς τιμῆς ἀεὶ τοῦ δημοσίου προσεπιλαμβανομένου. (4) Τὰς δ' Ἑλληνικὰς πρότερον οὕτως ἔχειν ἁπάσας λέγουσιν, ἀπὸ τῶν κωμῳδιῶν λαμβάνοντες, ὅτι κόπτουσι καὶ ψοφοῦσι τὰς αὐτῶν θύρας ἔσωθεν οἱ προϊέναι μέλλοντες, ὅπως αἴσθησις ἔξω γένοιτο τοῖς παρερχομένοις ἢ προστῶσι καὶ μὴ καταλαμβάνοιντο προϊούσαις ταῖς κλισιάσιν εἰς τὸν στενωπόν.

XX. Secundum hæc Sabinis in agrum Romanum irrumpentibus, M. Valerius, Poplicolæ frater, et Postumius Tubertus consules creati sunt. (2) Ibi maximis rebus gestis præsentia et consilio Poplicolæ, Marcus duobus prœliis Sabinos superavit, in quorum posteriore nullo Romano amisso tredecim hostium millia cecidit. (3) Quare præter triumphos hoc ei honori tributum est, ut in Palatio ei domus publicis ædificaretur sumtibus. Præterea cum eo tempore ædium fores omnes introrsum ductæ aperirentur, fecerunt ut hujus solius foras janua propelleretur, qua quidem concessione semper in partem honoris venire sibi videretur civitas. (4) Græcorum januas omnes olim foras solitas rejici tradunt testimonio a comœdiis sumpto: ibi enim foras prodituri, intus ostium pulsant et strepitum edunt, ut qui ad domum accedunt aut adstant, strepitu exaudito, caveant sibi, ne lædantur a foribus in vicum dejectis.

XXI. Τῷ δ' ἑξῆς ἔτει πάλιν ὑπάτευε Ποπλικόλας τὸ τέταρτον, ἦν δὲ προσδοκία πολέμου Σαβίνων καὶ Λατίνων συνισταμένων. (2) Καί τις ἅμα δεισιδαιμονία τῆς πόλεως ἥψατο· πᾶσαι γὰρ αἱ κυοῦσαι τότε γυναῖκες ἐξέβαλλον ἀνάπηρα καὶ τέλος οὐδεμία γένεσις ἔσχεν. (3) Ὅθεν ἐκ τῶν Σιβυλλείων ὁ Ποπλικόλας ἱλασάμενος τῷ Ἀδῃ καί τινας ἀγῶνας πυθοχρήστους ἀναλαβὼν καὶ ταῖς ἐλπίσι πρὸς τὸ θεῖον ἡδίονα κατα-
108 στήσας τὴν πόλιν, ἤδη τοῖς ἀπ' ἀνθρώπων φοβεροῖς

XXI. Sequens annus Poplicolam quartum consulem habuit; exspectabaturque bellum a Sabinis et Latinis, qui societatem coiverant. (2) Sed et religio animos populi incesserat, quod omnes tum gravidæ mulieres, mutilos partus abortu edebant, neque quicquam perfectum pariebatur. (3) Quamobrem Poplicola cum ex præscripto Sibyllinorum librorum Ditem placasset et edidisset quædam jussu Pythiæ spectacula, urbe in meliorem de diis spem reducta: etiam terrorum ab hominibus oblatorum curam habuit,

προσεῖχε. Μεγάλη γὰρ ἐφαίνετο κατασκευὴ τῶν πολεμίων καὶ σύστασις. (4) Ἦν οὖν Ἄππιος Κλαῦσος ἐν Σαβίνοις ἀνὴρ χρήμασί τε δυνατὸς καὶ σώματος ῥώμῃ πρὸς ἀλκὴν ἐπιφανής, ἀρετῆς δὲ δόξῃ μάλιστα καὶ λόγου δεινότητι πρωτεύων. Ὃ δὲ πᾶσι συμβαίνει τοῖς μεγάλοις, οὐ διέφυγε παθεῖν, ἀλλ' ἐφθονεῖτο· καὶ τοῖς φθονοῦσιν αἰτίαν παρέσχε, καταπαύων τὸν πόλεμον, αὔξειν τὰ Ῥωμαίων ἐπὶ τυραννίδι καὶ δουλώσει τῆς πατρίδος. (5) Αἰσθόμενος δὲ τοὺς λόγους τούτους b βουλομένῳ τῷ πλήθει λεγομένους καὶ προσκρούοντα τοῖς πολεμοποιοῖς καὶ στρατιωτικοῖς ἑαυτὸν, ἐφοβεῖτο τὴν κρίσιν· ἑταιρείαν δὲ καὶ δύναμιν φίλων καὶ οἰκείων ἔχων ἀμύνουσαν περὶ αὐτὸν ἐστασίαζε. Καὶ τοῦτ' ἦν τοῦ πολέμου διατριβὴ καὶ μέλλησις τοῖς Σαβίνοις. (6) Ταῦτ' οὖν ὁ Ποπλικόλας οὐ μόνον εἰδέναι ποιούμενος ἔργον, ἀλλὰ καὶ κινεῖν καὶ συνεξορμᾶν τὴν στάσιν, εἶχεν ἐπιτηδείους, οἷ τῷ Κλαύσῳ διελέγοντο παρ' αὐτοῦ τοιαῦτα· (7) ὡς « ὁ Ποπλικόλας ἄνδρα σε χρηστὸν ὄντα καὶ δίκαιον οὐδενὶ κακῷ δεῖν οἴεται τοὺς σεαυτοῦ πολί- τας ἀμύνεσθαι, καίπερ ἀδικούμενον· εἰ δὲ βούλοιο c σώζων ἑαυτὸν μεταστῆναι καὶ φυγεῖν τοὺς μισοῦντας, ὑποδέξεταί σε δημοσίᾳ καὶ ἰδίᾳ, τῆς τε σῆς ἀρετῆς ἀξίως καὶ τῆς Ῥωμαίων λαμπρότητος. » (8) Ταῦτα πολλάκις ἀνασκοποῦντι τῷ Κλαύσῳ βέλτιστα τῶν ἀναγ- καίων ἐφαίνετο, καὶ τοὺς φίλους συμπαραλαβὼν, ἐκείνων τε πολλοὺς ὁμοίως συναναπειθόντων, πεντακισχιλίους οἴκους ἀναστήσας μετὰ παιδίων καὶ γυναικῶν, ὅπερ ἦν ἐν Σαβίνοις ἀθόρυβον μάλιστα καὶ βίου πρᾴου καὶ καθεστῶτος οἰκεῖον, εἰς Ῥώμην ἦγε, προειδότος τοῦ Ποπλικόλα καὶ δεχομένου φιλοφρόνως καὶ προθύμως ἐπὶ πᾶσι δικαίοις. (9) Τοὺς μὲν γὰρ οἴκους εὐθὺς ἀνέ- d μιξε τῷ πολιτεύματι καὶ χώραν ἑκάστῳ ἀπένειμε δυεῖν πλέθρων παρὰ τὸν Ἀνίωνα ποταμόν· τῷ δὲ Κλαύσῳ πέντε καὶ εἴκοσι γῆς ἔδωκεν· αὐτὸν δὲ τῇ βουλῇ προσέγραψεν, ἀρχὴν πολιτείας λαβόντα ταύτην, ᾗ χρώμενος ἐμφρόνως, ἀνέδραμεν εἰς τὸ πρῶτον ἀξίωμα καὶ δύναμιν ἔσχε μεγάλην καὶ γένος οὐδενὸς ἀμαυρότερον ἐν Ῥώμῃ τὸ Κλαυδίων ἀφ' αὐτοῦ κατέλιπε.

XXII. Τὰ δὲ Σαβίνων οὕτω διακριθέντα τῷ μετοικισμῷ τῶν ἀνδρῶν οὐκ εἴασαν οἱ δημαγωγοῦντες ἀτρεμῆσαι καὶ καταστῆναι, σχετλιάζοντες, εἰ Κλαῦσος, ἃ παρὼν οὐκ ἔπεισε, διαπράξεται φυγὰς γενόμενος καὶ πολέμιος, μὴ δοῦναι δίκην Ῥωμαίους ὧν ὑβρίζουσιν. (2) Ἅραντες οὖν στρατῷ μεγάλῳ περὶ Φιδήνας e κατηυλίσαντο, καί τινα λόχον θέμενοι πρὸ τῆς Ῥώμης ἐν χωρίοις συνηρεφέσι καὶ κοίλοις δισχιλίους ὁπλίτας, ἔμελλον ἅμ' ἡμέρᾳ φανερῶς ὀλίγοις ἱππεῦσι λείαν ἐλαύνειν. Εἴρητο δ' αὐτοῖς, ὅταν τῇ πόλει προσελάσωσιν, ὑποφεύγειν, ἕως ἐμβάλωσιν εἰς τὴν ἐνέδραν τοὺς πολεμίους. (3) Ταῦθ' ὁ Ποπλικόλας αὐθημερὸν πυθόμενος παρ' αὐτομόλων ταχὺ διηρμόσατο πρὸς πάντα καὶ διένειμε τὴν δύναμιν. Ποστούμιος μὲν γὰρ Βάλβος ὁ γαμβρὸς αὐτοῦ τρισχιλίοις ὁπλίταις ἐσπέρας ἔτι προελθὼν καὶ καταλαβὼν τοὺς ἀκρολόφους, ὑφ'

videbatur enim magnus hostium apparatus, magnaque coitio esse. (4) Erat apud Sabinos Appius Clausus, vir et divitiis potens et robore corporis fortitudineque insignis, præsertim vero virtutis fama præcellens eloquentiaque : sed et is invidiam, quæ omnibus viris magnis infesta est, non effugit, cujus causam arripiebant æmuli quod bellum dissuaderet, ut rebus Romanis auctis patriam in servitutem et sub tyrannidem redigeret. (5) Quos ille sermones cum gratos esse in vulgus seque invisum esse belli turbatoribus militiæque cupidis sentiret, judicio rem committere veritus ac societate et potentia amicorum ac necessariorum fretus, eorum auxilio seditionem movit, atque ea res moram belli Sabinis injecit. (6) Poplicola autem non cognita modo hæc habere operæ esse ducens, sed et seditionem istam excitare et incitare, viros idoneos subornavit, qui Clauso hæc dicerent : (7) « Poplicola tibi, quem virum bonum et justum judicat, nullo malo ulciscendos cives tuos censet, quantumvis iniqua passo : quod si tuæ salutis causa velis homines tibi infensos fugere, et Romam migrare, ita te publice privatimque accipiet, ut tua virtute et splendore Romano dignum est. » (8) Hoc Clauso sæpius secum expendenti maxime opus factu creditum est. Itaque cohortatus amicos, iis quoque multos in eandem sententiam adducentibus, ad transitionem concitatis familiarum, quæ apud Sabinos præ reliquis a tumultibus alienæ et vitæ tranquillæ deditæ erant, quinque millibus, cum his, liberisque et uxoribus, Romam profectus est haud ignaro Poplicolâ, qui benevole eum et prompte in jus civitatemque recipit. (9) Nam et familias statim civitate donavit, et unicuique homini duo agri jugera dedit juxta Anienem fluvium, Clauso autem jugera viginti quinque largitus est, ipsumque inter Senatores adscripsit, quod reipublicæ gerendæ initium ille adeptus, ita prudenter usurpavit, ut in principum post dignationem potentiamque pervenerit, gentemque Claudiam nulla inter Romanos obscuriorem a se reliquerit.

XXII. Ad hunc modum migratione Clausiæ factionis seditione sublata, homines turbulenti popularemque auram captantes non passi sunt rem in otio et pace consistere : quiritantes indignum, si Clausus quod præsens non obtinuisset suadendo, nunc exsul factus hostisque conseqeretur, ut ne darent Romani injuriarum pœnam. (2) Itaque magno cum exercitu profecti, apud Fidenas consederunt : positisque ante Romam in insidiis duobus peditum gravis armaturæ millibus, quos locis umbrosis et cavis abdiderant : decreverunt, ubi primum illuxisset, paucos equites emittere, qui aperte prædas agerent : his imperatum erat, ut cum urbi appropinquassent, fugam simulantes hostes in insidias adducerent. (3) Quæ eodem omnia die cum e transfugis Poplicola cognovisset, celeriter ad omnia se paravit copiasque ita partitus est, ut Postumius Balbus gener ejus cum armatorum peditum tribus millibus eadem

οἷς ἐνήδρευον Σαβῖνοι, παρεφύλαττεν· ὁ δὲ συνάρχων f
Λουκρήτιος ἔχων τὸ κουφότατον ἐν τῇ πόλει καὶ γεν-
ναιότατον ἐτάχθη τοῖς ἐλαύνουσι τὴν λείαν ἱππεῦσιν
ἐπιχειρεῖν. (4) Αὐτὸς δὲ τὴν ἄλλην ἀναλαβὼν στρα-
τιὰν κύκλῳ περιῆλθε τοὺς πολεμίους καὶ κατὰ τύχην
ὁμίχλης βαθείας ἐπιπεσούσης περὶ ὄρθρον ἅμα Ποστού-
μιός τε τοὺς ἐνεδρεύοντας ἐμβοήσας ἔβαλεν ἀπὸ τῶν
109ἄκρων, καὶ τοῖς προϊππασαμένοις ἐφῆκε τοὺς περὶ αὖ- a
τὸν ὁ Λουκρήτιος, καὶ Ποπλικόλας προσέβαλε τοῖς
στρατοπέδοις τῶν πολεμίων. (5) Πάντη μὲν οὖν
ἐκακοῦτο τὰ Σαβίνων καὶ διεφθείρετο· τοὺς δ' ἐνταῦθα
μηδ' ἀμυνομένους, ἀλλὰ φεύγοντας, εὐθὺς ἔκτεινον οἱ
Ῥωμαῖοι τῆς ἐλπίδος αὐτοῖς ὀλεθριωτάτης γενομένης.
Σώζεσθαι γὰρ οἰόμενοι τοὺς ἑτέρους οἱ ἕτεροι τῷ μάχε-
σθαι καὶ μένειν οὐ προσεῖχον· ἀλλ' οἱ μὲν ἐκ τῶν
ἐρυμάτων τοὺς ἐνεδρεύοντας, οἱ δὲ πάλιν ὡς ἐκείνους
εἰς τὸ στρατόπεδον θέοντες, ἐναντίοι φεύγουσιν ἐνέ-
πιπτον πρὸς οὓς ἔφευγον καὶ βοηθείας δεομένοις οὓς
ἤλπιζον αὐτοῖς βοηθήσειν. (6) Τὸ δὲ μὴ πάντας ἀπο-
λέσθαι τοὺς Σαβίνους, ἀλλὰ καὶ περιγενέσθαι τινὰς, ἡ
Φιδηνατῶν πόλις ἐγγὺς οὖσα παρέσχε, καὶ μάλιστα b
τοῖς ἐκ τῶν στρατοπέδων, ὅθ' ἡλίσκετο, διεκπίπτουσιν.
Ὅσοι δὲ Φιδηνῶν διήμαρτον, διεφθάρησαν ἢ ζῶντες
ἀπήχθησαν ὑπὸ τῶν λαβόντων.

XXIII. Τοῦτο τὸ κατόρθωμα Ῥωμαῖοι, καίπερ εἰ-
ωθότες ἅπασι τοῖς μεγάλοις ἐπιφημίζειν τὸ δαιμόνιον,
ἑνὸς ἔργον ἡγοῦντο τοῦ στρατηγοῦ γεγονέναι. Καὶ τῶν
μεμαχημένων πρῶτον ἦν ἀκούειν, ὅτι χωλοὺς καὶ τυ-
φλοὺς αὐτοῖς καὶ μόνον οὐ καθείρξας τοὺς πολεμίους Πο-
πλικόλας παρέδωκε χρῆσθαι τοῖς ξίφεσιν. (2) Ἐῤῥώ-
σθη δὲ καὶ χρήμασιν ὁ δῆμος ἐκ τῶν λαφύρων καὶ τῶν
αἰχμαλώτων. (3) Ὁ δὲ Ποπλικόλας τόν τε θρίαμβον c
ἀγαγὼν καὶ τοῖς μετ' αὐτὸν ἀποδειχθεῖσιν ὑπάτοις πα-
ραδοὺς τὴν πόλιν εὐθέως ἐτελεύτησεν, ὡς ἐφικτόν ἐστιν
ἀνθρώποις μάλιστα τοῖς νενομισμένοις καλοῖς καὶ ἀγα-
θοῖς τὸν ἑαυτοῦ βίον ἐκτελεώσας· ὁ δὲ δῆμος ὥσπερ
οὐδὲν εἰς ζῶντα τῶν ἀξίων πεποιηκὼς, ἀλλὰ πᾶσαν
ὀφείλων χάριν, ἐψηφίσατο δημοσίᾳ ταφῆναι τὸ σῶμα
καὶ τεταρτημόριον ἕκαστος ἐπὶ τιμῇ συνεισήνεγκεν.
(4) Αἱ δὲ γυναῖκες ἰδίᾳ πρὸς αὑτὰς συμφρονήσασαι
ἐπένθησαν ἐνιαυτὸν ὅλον ἐπὶ τῷ ἀνδρὶ πένθος ἔντιμον
καὶ ζηλωτόν. (5) Ἐτάφη δὲ καὶ οὗτος τῶν πολιτῶν
ψηφισαμένων ἐντὸς ἄστεος παρὰ τὴν καλουμένην Οὐε-
λίαν, ὥστε καὶ γένει παντὶ τῆς ταφῆς μετεῖναι. (6)
Νῦν δὲ θάπτεται μὲν οὐδεὶς τῶν ἀπὸ γένους, κομίσαν- d
τες δὲ τὸν νεκρὸν ἐκεῖ κατατίθενται καὶ δᾷδά τις ἡμμέ-
νην λαβὼν ὅσον ὑπήνεγκεν, εἶτα ἀναιρεῖται μαρτυρό-
μενος ἔργῳ τὸ ἐξεῖναι, φείδεσθαι δὲ τῆς τιμῆς καὶ τὸν
νεκρὸν οὕτως ἀποκομίζουσιν.

vespera exiret, tumulisque sub quibus in insidiis positi erant Sabini occupatis, eos observaret : Lucretius autem collega eum civium expeditissimis animosisque equites prædatum missos invaderet. (4) Ipse reliquas copias ita duxit, ut hostes circumdaret. Forte fortuna densa nebula aerem obscuraverat : sub auroram Postumius cum clamore in eos qui in insidiis latebant, ab edito loco tela conjecit, equitibus hostium provectis Lucretius suos immisit, Poplicola castra hostium adortus est. (5) Quo effectum est ut omnibus locis Sabini affligerentur atque interirent; et qui suo in loco non pugnam capessebant, sed fugæ se credebant, eos statim Romani interficiebant. Spesque ipsis fugæ fuit perniciosissima, quod alii alios incolumes putantes, locum suum tuendi pugnandique cura neglecta, pars e castris ad insidiatores, pars ab his ad castra currentes, contraria fuga in eos quos fugiebant incidere, aut in auxilii indigentes eos, quos sibi opem laturos putarant. (6) Ne occidione occiderentur Sabini, Fidenatum propinquitas effecit, iis maxime salutaris, qui e castris, dum ea capiebantur, elapsi erant : qui Fidenas non pervenerunt, omnes aut cæsi sunt aut capti.

XXIII. Hanc victoriam Romani, soliti alioquin omnes magnas actiones deo alicui adscribere, soli duci acceptam tulerunt : eratque audire eos qui pugnaverant dicentes, Poplicolam claudos cæcosque ac pæne carcere inclusos hostes sibi tradidisse, ut gladiis eos conficerent. (2) Ex spoliis etiam captivisque pecunia facta, populi vires auctæ sunt. (3) Poplicola autem acto triumpho, consulibusque designatis reipublicæ cura tradita, statim diem suum obiit vitamque, quantum ejus maxime homini contingere potest, iis quæ honesta bonaque habentur, finivit. Populus tanquam vivo nihil eorum quæ meritus fuerat persolvisset, sed omnem adhuc deberet gratiam, decrevit, ut corpus ejus publica sepultura afficeretur, quadrantemque unusquisque honoris causa ad eam rem contulit. (4) Mulieres quoque communi sententia seorsum inita, totum annum eum luxerunt, quæ res magno ei honori atque decori fuit. (5) Sepultus est ipse quoque, civibus ita decernentibus, intra urbem apud Veliam : isque sepulturæ honor toti ejus genti concessus est. (6) Sed nunc eorum quidem nemo ibi humatur, funus tantum eo ducitur, feretroque deposito ibi, facem aliquis accensam accipiens, ut primum subjecit, mox aufert, ostendens, licere quidem hoc in loco eum terræ mandari, se tamen eum honorem ultro dimittere, eoque facto mortuus inde aufertur.

ΣΟΛΩΝΟΣ ΚΑΙ ΠΟΠΛΙΚΟΛΑ ΣΥΓΚΡΙΣΙΣ.

Ἆρ' οὖν ἴδιόν τι περὶ ταύτην τὴν σύγκρισιν ὑπάρχει καὶ μὴ πάνυ συμβεβηκὸς ἑτέρᾳ τῶν ἀναγεγραμμένων, τὸν ἕτερον γεγονέναι μιμητὴν τοῦ ἑτέρου, τὸν ἕτερον δὲ μάρτυν; (2) Ὅρα γάρ, ἣν ὁ Σόλων ἐξήνεγκε περὶ εὐδαιμονίας ἀπόφασιν πρὸς Κροῖσον, ὡς Ποπλικόλᾳ μᾶλλον ἢ Τέλλῳ προσήκει· Τέλλου μὲν γὰρ, ὃν εἶπε γεγονέναι μακαριώτατον δι' εὐποτμίαν καὶ ἀρετὴν καὶ εὐτεκνίαν, οὔτ' αὐτὸς ἐν τοῖς ποιήμασιν ὡς ἀνδρὸς ἀγαθοῦ λόγον ἔσχεν οὔτε παῖδες οὔτ' ἀρχή τις εἰς δόξαν ἦλθεν· (3) Ποπλικόλας δὲ καὶ ζῶν ἐπρώτευσε δυνάμει καὶ δόξῃ δι' ἀρετὴν Ῥωμαίων καὶ τεθνηκότος ἐν τοῖς ἐπιφανεστάτοις γένεσι καὶ στέμμασιν ἔτι καθ' ἡμᾶς Ποπλικόλαι καὶ Μεσάλαι καὶ Οὐαλλέριοι δι' ἐτῶν ἑξακοσίων τῆς εὐγενείας τὴν δόξαν ἀναφέρουσι. (4) Καὶ Τέλλος μὲν ὑπὸ τῶν πολεμίων ὡς ἀνὴρ ἀγαθὸς ἐν τάξει μένων καὶ μαχόμενος κατέστρεψε· Ποπλικόλας δὲ τοὺς μὲν πολεμίους κτείνας, ὃ τοῦ πεσεῖν εὐτυχέστερόν ἐστι, τὴν δὲ πατρίδα νικῶσαν ἐπιδὼν δι' αὐτὸν τὸν ἄρχοντα καὶ στρατηγοῦντα, τιμηθεὶς δὲ καὶ θριαμβεύσας ἔτυχε τῆς ζηλουμένης ὑπὸ Σόλωνος καὶ μακαριζομένης τελευτῆς. (5) Ἔτι τοίνυν ἃ τοῖς περὶ Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε·

Μηδέ μοι ἀκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχὰς,

εὐδαίμονα τὸν Ποπλικόλαν ποιεῖ. (6) Τελευτήσας γὰρ οὐ φίλοις οὐδ' οἰκείοις μόνον, ἀλλὰ τῇ πόλει πάσῃ, μυριάσι πολλαῖς, δάκρυα καὶ πόθον καὶ κατήφειαν ἐφ' αὑτῷ παρέσχεν· αἱ γὰρ Ῥωμαίων γυναῖκες ἐπένθησαν αὐτὸν, ὥσπερ υἱὸν ἢ ἀδελφὸν ἢ πατέρα κοινὸν ἀποβαλοῦσαι.

(7) Χρήματα δ' ἱμείρω μὲν ἔχειν, φησὶν ὁ Σόλων, ἀδίκως δὲ οὐκ ἐθέλω,
[πεπᾶσθαι

ὡς δίκης ἐπούσης· Ποπλικόλᾳ δ' ὑπῆρχεν οὐ μόνον μὴ κακῶς πλουτεῖν, ἀλλὰ καὶ καλῶς ἀναλίσκειν εὖ ποιοῦντι τοὺς δεομένους. (8) Ὥστ', εἰ σοφώτατος ἁπάντων ὁ Σόλων, εὐδαιμονέστατος ὁ Ποπλικόλας. Ἃ γὰρ εὔξατο τῶν ἀγαθῶν ἐκεῖνος, ὡς μέγιστα καὶ κάλλιστα, ταῦτα καὶ κτήσασθαι Ποπλικόλᾳ καὶ φυλάξαι χρωμένῳ μέχρι τέλους ὑπῆρξεν.

II. Οὕτω μὲν ὁ Σόλων κεκόσμηκε τὸν Ποπλικόλαν, τὸν Σόλωνα δ' αὖ πάλιν ἐκεῖνος ἐν τῇ πολιτείᾳ παραδειγμάτων κάλλιστον ἀνδρὶ κοσμοῦντι δημοκρατίαν θέμενος· τῆς μὲν γὰρ ἀρχῆς τὸν ὄγκον ἀφελὼν εὐμενῆ πᾶσι καὶ ἄλυπον κατέστησε, νόμοις δὲ πολλοῖς ἐχρήσατο τῶν ἐκείνου. (2) Καὶ γὰρ ἀρχόντων καταστάσεως κυρίους ἐποίησε τοὺς πολλοὺς καὶ τοῖς φεύγουσι δίκην, ἐπικαλεῖσθαι τὸν δῆμον, ὥσπερ ὁ Σόλων τοὺς δικαστὰς, ἔδωκε. Καὶ βουλὴν μὲν ἑτέραν οὐκ ἐποίησεν, ὥσπερ

SOLONIS ET POPLICOLÆ COMPARATIO.

I. Nonne igitur in horum comparatione virorum peculiare quippiam, et quod in nulla superiorum acciderit, contingit? Nimirum quod alter alterius imitator, alterque alterius testis fuisse invenitur. (2) Intuenti enim tibi in Solonis de felicitate sententiam ad Crœsum dictam, facile constabit eam Poplicolæ magis quam Tello convenire. Hunc enim cum propter honestum obitum, virtutem, et felicem prolem beatissimum fuisse asserat, tamen neque ipse in suis carminibus ejus tanquam boni viri ullam mentionem fecit, neque filii ejus aut magistratus ullus celebratur. (3) At Poplicola et vivens virtutis causa inter Romanos potentia gloriaque primas obtinuit, et mortuo eo præclarissimæ adhuc prosapiæ Poplicolarum, Messalarum, aliorumque Valeriorum, a sexcentis usque annis nobilitatis suæ splendorem ab ipso repetunt. (4) Ac Tellus quidem ab hostibus locum suum servans et pugnans, quod est viri boni officium, occisus fuit: Poplicola cæsis hostibus, id quod majoris est, quam perire, felicitatis, videns suo ductu suisque auspiciis patriam victricem, honoresque adeptus, actis triumphis eum vitæ finem habuit, quem optandum et beatum Solon prædicat. (5) Jam quod Solon his quæ adversus Mimnermum de vitæ longitudine disputantur, acclamationis loco addidit:

Mors mea ne careat lacrimis: faciamus amicis
mœrorem, ut celebrent funera cum gemitu:

id Poplicolam beatum pronunciat. (6) Is enim moriens non amicis tantum aut necessariis, sed toti civitati, multis millibus hominum, fletum, desiderium sui mœstitiamque reliquit: Romanorum enim mulieres eum haud aliter luxerunt, quam si filium, fratrem, patremve omnes communem amisissent. (7) Solonis sunt hæc quoque:

Ut mihi sit, cupio, sed parta pecunia juste:
non aliam cupio,

utpote instante pœna. Poplicolæ autem contigit, non modo ut dives citra noxam esset, sed et ut divitiis pulcre in egenis juvandis uteretur. (8) Quamobrem si Solon omnium sapientissimus, Poplicola etiam beatissimus omnium habendus est: quæ enim bona ille optavit, tanquam maxima et pulcerrima, ea hic et adeptus, et iis usque ad exitum vitæ usus est.

II. Hæc sunt quibus Poplicolam exornavit Solon. Vicissim Poplicola Solonis gloriam illustravit, habens illum pro exemplo pulcherrimo, quod in republica populari forma constituenda sequeretur. Nam et magistratus fastum amputavit, utque is gratus omnibus, molestus esset nemini, effecit et legibus Solonis usus est multis. (2) Cujus generis sunt, quod populo jus creandorum magistratuum tribuit, quod reis provocationem ad populum, ut Solon ad judices, concessit; et quanquam nullum alium præterea senatum

ὁ Σόλων, τὴν δ' οὖσαν ηὔξησεν ἀριθμῷ μικροῦ διπλασιάσας. (3) Ἡ τε τῶν ταμιῶν ἐπὶ τοῖς χρήμασι κατάστασις ἐκεῖθεν ἦλθεν, ὅπως ὁ ἄρχων μήτ' εἰ χρηστός ἐστιν, ἀσχολίαν ἔχῃ πρὸς τὰ μείζω, μήτ' εἰ φαῦλος, ἀφορμὰς τοῦ ἀδικεῖν μᾶλλον καὶ τῶν πράξεων καὶ τῶν χρημάτων κύριος γενόμενος. (4) Τὸ δὲ μισοτύραννον ἐν τῷ Ποπλικόλᾳ σφοδρότερον. Εἰ γάρ τις ἐπιχειροίη τυραννεῖν, ὁ μὲν ἁλόντι τὴν δίκην ἐπιτίθησιν, ὁ δὲ καὶ πρὸ τῆς κρίσεως ἀνελεῖν δίδωσι. (5) Σεμνυνομένου δὲ τοῦ Σόλωνος ὀρθῶς καὶ δικαίως, ὅτι καὶ τῶν πραγμάτων αὐτῷ διδόντων τυραννεῖν καὶ τῶν πολιτῶν οὐκ ἀκουσίως δεχομένων ἀπεῖπεν, οὐχ ἧττον ὑπάρχει καλὸν τῷ Ποπλικόλᾳ, τὸ λαβόντα τυραννικὴν ἀρχὴν ποιῆσαι δημοτικωτέραν καὶ μηδ' οἷς ἐξῆν ἔχοντα χρήσασθαι. Καὶ τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος

ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίαν ἀνεθεὶς μήτε πιεζόμενος.

III. Ἴδιον δὲ τοῦ Σόλωνος ἡ τῶν χρεῶν ἄνεσις, ἧ μάλιστα τὴν ἐλευθερίαν ἐβεβαίωσε τοῖς πολίταις. Οὐδὲν γὰρ ὄφελος νόμων ἰσότητα παρεχόντων, ἣν ἀφαιρεῖται τὰ χρέα τοὺς πένητας· ἀλλ' ὅπου μάλιστα χρῆσθαι τῇ ἐλευθερίᾳ δοκοῦσι, δουλεύουσι μάλιστα τοῖς πλουσίοις ἐν τῷ δικάζειν καὶ ἄρχειν καὶ λέγειν ἐπιταττόμενοι καὶ ὑπηρετοῦντες. (2) Τούτου δὲ μεῖζον, ὅτι πάσῃ χρεῶν ἀποκοπῇ στάσεως ἑπομένης, ἐκείνῃ μόνῃ, καθάπερ φαρμάκῳ παραβόλῳ μὲν, ἰσχυρῷ δὲ χρησάμενος εὐκαίρως καὶ τὴν οὖσαν στάσιν ἔλυσε, τῇ περὶ αὐτὸν ἀρετῇ καὶ δόξῃ τῆς τοῦ πράγματος ἀδοξίας καὶ διαβολῆς περιγενόμενος. (3) Τῆς δ' ὅλης πολιτείας τῇ μὲν ἀρχῇ λαμπρότερος ὁ Σόλων· ἡγήσατο γὰρ καὶ οὐκ ἠκολούθησε καὶ καθ' αὑτὸν, οὐ μεθ' ἑτέρων, ἔπραξε τὰ πλεῖστα καὶ μέγιστα τῶν κοινῶν· τῷ τέλει δὲ ἄτερος εὐτυχὴς καὶ ζηλωτός. (4) Τὴν μὲν γὰρ Σόλωνος πολιτείαν αὐτὸς ἐπεῖδε Σόλων καταλυθεῖσαν, ἡ δὲ Ποπλικόλα μέχρι τῶν ἐμφυλίων πολέμων διεφύλαξεν ἐν κόσμῳ τὴν πόλιν· ὁ μὲν γὰρ ἅμα τῷ θέσθαι τοὺς νόμους ἀπολιπὼν ἐν ξύλοις καὶ γράμμασιν ἐρήμους τοῦ βοηθοῦντος ᾤχετ' ἀπιὼν ἐκ τῶν Ἀθηνῶν· ὁ δὲ μένων καὶ ἄρχων καὶ πολιτευόμενος ἵδρυσε καὶ κατέστησεν εἰς ἀσφαλὲς τὴν πολιτείαν.

111 (5) Ἔτι δ' ἐκείνῳ μὲν οὐδὲ μέλλοντι κωλῦσαι προαισθομένῳ Πεισίστρατον ὑπῆρξεν, ἀλλ' ἠττήθη συνισταμένης τῆς τυραννίδος· οὗτος δὲ βασιλείαν ἰσχύουσαν ἐκ πολλῶν χρόνων ἤδη καὶ κρατοῦσαν ἐξέβαλε καὶ κατέλυσεν, ἀρετὴν μὲν ἴσην καὶ προαίρεσιν ὁμοίαν παρασχόμενος, τύχῃ δὲ καὶ δυνάμει τελεσιουργῷ πρὸς τὴν ἀρετὴν χρησάμενος.

IV. Τῶν μέντοι πολεμικῶν Σόλωνι μὲν οὐδὲ τὰ πρὸς Μεγαρεῖς Δαΐμαχος ὁ Πλαταιεὺς μεμαρτύρηκεν, ὥσπερ ἡμεῖς διεληλύθαμεν· Ποπλικόλας δὲ τοὺς μεγίστους ἀγῶνας αὐτὸς καὶ μαχόμενος καὶ στρατηγῶν κατώρθωσε. (2) Καὶ μὴν ἔτι πρὸς τὰς πολιτικὰς πράξεις ὁ μὲν ἐν παιδιᾷ τινι τρόπῳ προσποίημα μανίας ἀναλαβὼν ὑπὲρ

constituit, id quod Solon fecerat, tamen eum, qui erat, senatum auxit ac fere duplicavit. (3) Ab eodem etiam quæstorum ærarii institutum manavit: videlicet ne is qui summæ rerum præesset, vel si bonus esset, pecuniæ tractandæ occupatione a majoribus negotiis expediendis detineretur, vel si malus, occasionem peccandi faciliorem haberet, simul et res ipsas et pecuniam in sua potestate tenens. (4) Odium tyrannorum in Poplicola acrius fuit. Solon enim deprehensum in jus trahere jubet, hic etiam indicta causa necari concedit. (5) Et cum recte glorietur Solon, se oblatam sibi ab ipso rerum statu tyrannidem, cum potuisset non invitis etiam civibus suscipere, respuisse: non minus egregium est Poplicolæ factum, qui magistratum tyrannicum cum occepisset, magis popularem reddidit, ac ne ea quidem quam nactus erat potestate uti voluit. Videturque id prior Solon sensisse dicens:

Pareat ut populus ducibus, sic denique fiet,
si nimium haud laxes frena nimisve premas.

III. Hoc Solonis proprium est, quod remissione æris alieni maxime libertatem civibus confirmavit: nihil enim proderat legibus æqualitatem statui, qua æs alienum pauperes excluderet, et ubi maxime libertate frui viderentur, ibi divitibus potissimum servirent, in judiciis, magistratibus et orationibus eorum mandata, tanquam famuli, exsequentes. (2) Id vero majus, quod, cum semper novas tabulas seditio comitetur, Solon tamen ea re loco remedii, extremi quidem ejus, sed tamen efficacis, opportune et cum fructu usus, etiam eos qui erant tumultus sedavit, virtute sua et auctoritate rei infamiam ac calumniam supprimens. (3) Quod ad totam reipublicæ administrationem pertinet, splendidius quidem fuit Solonis principium: dux enim fuit, non alios secutus est, et pleraque suo arbitrio ipse, non cum aliis egit: alter vero finem felicem et optandum consecutus est. (4) Nam et suam ipse Solon reipublicæ constitutionem inspexit everti, Poplicola autem urbem bono in statu usque ad civilia bella conservavit. Et Solon leges suas in ligno incisas et perscriptas, protectorisque indigentes relinquens, simul atque eas condiderat, Athenis discessit: alter Romæ manens, magistratum gerens, remque publicam administrans, fundavit eam et in tuto collocavit. (5) Præterea Solon cum quæ futura essent prævidens, Pisistratum impedire vellet, tamen ei hoc non concessum erat, sed nascenti tyrannidi succubuit. Poplicola regnum, quod vires diuturnitate temporis sumpserat, excidit et demolitus est, parem quidem virtutem et voluntatem præstans, sed præter virtutem fortuna etiam et vi propositorum conficientissima.

IV. In rebus porro bellicis, quæ nos de Solonis in bello Megarico actis supra retulimus, est qui neget Daimachus Platæensis: Poplicola maximas victorias pugnans ducensque exercitum retulit. (2) Ad civiles porro actiones Solon quasi ludens accessit insaniam prætexens cum esset de Sa-

Σαλαμῖνος ἐρῶν προῆλθεν· ὁ δ' αὐτόθεν ἀναῤῥίψας τὸν ἐπὶ μεγίστων κίνδυνον ἐπανέστη Ταρκυνίῳ καὶ τὴν προδοσίαν ἐφώρασε· καὶ τοῦ κολασθῆναι καὶ μὴ διαφυγεῖν τοὺς πονηροὺς αἰτιώτατος γενόμενος οὐ τὰ σώματα μόνον τῶν τυράννων ἐξέβαλε τῆς πόλεως, ἀλλὰ καὶ τὰς ἐλπίδας ἐξέκοψεν. (3) Οὕτω δὲ καὶ τοῖς δεχομένοις πράγμασιν ἀγῶνα καὶ θυμὸν καὶ ἀντίταξιν ἐῤῥωμένως καὶ ἀτενῶς ἀπαντήσας, ἔτι βέλτιον ἐχρήσατο τοῖς ὁμιλίας ἀπολέμου καὶ πειθοῦς ὑπεικούσης δεομένοις, Πορσίναν ἅμαχον ἄνδρα καὶ φοβερὸν ἐμμελῶς προσαγαγόμενος καὶ μεταστήσας εἰς φιλίαν. (4) Καίτοι φήσει τις ἐνταῦθα, τὸν μὲν Σόλωνα προεμένοις ἀναλαβεῖν Ἀθηναίοις Σαλαμῖνα, Ποπλικόλαν δ' ἧς ἐκέκτηντο Ῥωμαῖοι χώρας ἀποστῆναι. Δεῖ δὲ πρὸς τοὺς ὑποκειμένους καιροὺς τὰς πράξεις θεωρεῖν. Ποικίλος γὰρ ὢν ὁ πολιτικὸς ᾧ τρόπῳ τῶν ὄντων ἕκαστον εὐληπτόν ἐστι, μεταχειρίσασθαι καὶ μέρους ἀφέσει πολλάκις ἔσωσε τὸ πᾶν καὶ μικρῶν ἀποστὰς μειζόνων ἔτυχεν. (5) Ὥσπερ ἐκεῖνος ὁ ἀνὴρ τότε τῆς μὲν ἀλλοτρίας χώρας ἀποστάς, ἔσωσε τὴν ἑαυτοῦ βεβαίως ἅπασαν· οἷς δ' ἦν μέγα τὴν πόλιν διαφυλάξαι, προσεκτήσατο τὸ τῶν πολιορκούντων στρατόπεδον. Ἐπιτρέψας δὲ τῷ πολεμίῳ δικαστῇ γενέσθαι καὶ περιγενόμενος τῇ νίκῃ προσέλαβεν ὅσα δόντα ἀγαπητὸν ἦν νικῆσαι· καὶ γὰρ τὸν πόλεμον διέλυσε καὶ τὴν παρασκευὴν τοῦ πολέμου κατέλιπεν αὐτοῖς διὰ πίστιν ἀρετῆς καὶ καλοκαγαθίας, ἣν ὁ ἄρχων ὑπὲρ ἁπάντων ἐνεποίησεν αὐτῷ.

lamina dicturus: alter summum ultro in periculum se dedit contra Tarquinium insurgens ac proditionem deprehendens auctorque præ ceteris ut de improbis supplicium sumeretur neque elaberentur judicio, non ipsos modo tyranno urbe expulit, sed et spes eorum excidit. (3) Cumque ad hunc modum in rebus, quæ certamen, animi fervorem et in resistendo vim requirebant, fortiter se acriterque gessisset, melius adhuc ea confecit, quæ pacato colloquio, et obsequi ad persuadendum indigebant: quod ostendit, cum Porsenam, virum invictum et formidandum, prudenter ad amicitiam perduxit. (4) Atqui Solon, inquies, amissam Salaminem Athenienśibus recuperavit, Poplicola terra, quam Romani ante ceperant, excessit. Enimvero ratione habita temporis actiones expendendæ sunt. Oportet autem eum, qui rempublicam gerit, varia consilia agitare ac perspicere, qua potissimum ratione una quælibet res facillime possit expediri, itaque sæpe ille parte aliqua dimissa totam rei summam conservat, parvoque cedens, majora consequitur; (5) id quod tum Poplicolæ usu venit. Nam agrum allenum concedens, patriam totam tuto conservavit: et quibus magnum erat urbem posse tueri, in eorum potestatem castra ipsa obsidentium hostium redegit: judicioque controversiæ hosti commisso, præter victoriam ea etiam accepit, quibus redimere victoriam operæ pretium fuerat. Nam virtutis ac probitatis suæ opinione, in quam de toto populo adduxerat Porsenam, Poplicola effecit, ut is et pacem cum Romanis jungeret, et omnem belli apparatum tolleret.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε· πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαῤῥίου τῶν δήμων ἐκ τῆς Λεοντίδος φυλῆς· νόθος δὲ πρὸς μητρὸς, ὡς λέγουσιν·

Ἀβρότονον Θρῄσσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιστοκλέα.

(2) Φανίας μέντοι τὴν μητέρα Θεμιστοκλέους οὐ Θρᾷτταν, ἀλλὰ Καρίνην, οὐδ' Ἀβρότονον ὄνομα, ἀλλ' Εὐτέρπην ἀναγράφει· Νεάνθης δὲ καὶ πόλιν αὐτῇ τῆς Καρίας Ἁλικαρνασσὸν προστίθησι. (3) Διὸ καὶ τῶν νόθων εἰς Κυνόσαργες συντελούντων (τοῦτο δ' ἔστιν ἔξω πυλῶν γυμνάσιον Ἡρακλέους, ἐπεὶ κἀκεῖνος οὐκ ἦν γνήσιος ἐν θεοῖς, ἀλλ' ἐνείχετο νοθείᾳ διὰ τὴν μητέρα θνητὴν οὖσαν) ἔπειθέ τινας ὁ Θεμιστοκλῆς τῶν εὖ γεγονότων νεανίσκων καταβαίνοντας εἰς τὸ Κυνόσαργες ἀλείφεσθαι μετ' αὐτοῦ· καὶ τούτου γενομένου δοκεῖ πανούργως τὸν τῶν νόθων καὶ γνησίων διορισμὸν ἀνελεῖν. (4) Ὅτι μέντοι τοῦ Λυκομηδῶν γένους μετεῖχε δῆλός ἐστι· τὸ γὰρ Φλυῆσι τελεστήριον, ὅπερ ἦν Λυκομηδῶν κοινὸν, ἐμπρησθὲν ὑπὸ τῶν βαρβάρων αὐτὸς ἐπεσκεύασε καὶ γοαφαῖς ἐκόσμησεν, ὡς Σιμωνίδης ἱστόρηκεν.

II. Ἔτι δὲ παῖς ὢν ὁμολογεῖται φοβᾶς μεστὸς εἶναι

THEMISTOCLES.

Themistocli genus obscurius fuit, quam quod ad gloriam conferre aliquid posset; patrem enim habuit inter Athenienses non admodum illustrem, nomine Neoclem, de curia Phrearrhiorum, et tribu Leontide. Matre autem non legitima natum tradunt; estque in eam sententiam id carmen:

Abrotonum Threissa fuit genus: at peperisse
me magnum Græcis dico Themistoclea.

(2) Phanias quidem matri Themistoclis non Thraciam patriam, neque Abrotono, sed Euterpe nomen fuisse asserit: Neanthes etiam urbem Cariæ, ubi nata fuerit, Halicarnassum nominat. (3) Ideoque cum spurii in Cynosarges quod est extra urbem gymnasium Herculis (nam is quoque inter deos non legitimus habetur, ut qui mortali matre sit natus) convenire consuevissent, quibusdam ingenuis adolescentibus Themistocles persuasit, ut secum ad Cynosarges descenderent, ibique ungerentur: quo facto videtur callide discrimen spuriorum et legitimorum sustulisse. (4) Lycomedarum genti ipsum cognatum fuisse, in promptu est. Nam Lycomedarum sacellum initiationi destinatum, quod erat apud Phlyenses, ipse a barbaris incensum instauravit ac picturis ornavit, ut Simonides tradit.

II. In confesso est, adhuc puerum ma nos animi impe-

καὶ τῇ μὲν φύσει συνετὸς, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός. Ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γενόμενος οὐκ ἔπαιζεν οὐδ' ἐῤῥᾳθύμει, καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. (2) Ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς ἢ συνηγορία τῶν παίδων. Ὅθεν εἰώθει λέγειν ὁ διδάσκαλος ὡς « Οὐδὲν ἔσῃ, παῖ, σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν. » (3) Ἐπεὶ καὶ τῶν παιδεύσεων τὰς μὲν ἠθοποιοὺς ἢ πρὸς ἡδονὴν καὶ χάριν ἐλευθέριον σπουδαζομένας ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε, τῶν δ' εἰς c σύνεσιν ἢ πρᾶξιν λεγομένων δῆλος ἦν οὐχ ὑπερορῶν παρ' ἡλικίαν ὡς τῇ φύσει πιστεύων. (4) Ὅθεν ὕστερον ἐν ταῖς ἐλευθερίαις καὶ ἀστείαις λεγομέναις διατριβαῖς ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων χλευαζόμενος ἠναγκάζετο φορτικώτερον ἀμύνεσθαι λέγων, ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται, πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι. (5) Καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικὸν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος· Περικλεῖ γὰρ, ὃς πολὺ νεώτε- d ρος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. (6) Μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαῤῥίου ζηλωτὴν γενέσθαι λέγουσιν οὔτε ῥήτορος ὄντος οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικὴν καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου καὶ διασώζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἦν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους σοφισταὶ προσηγορεύθησαν. Τούτῳ μὲν οὖν ἤδη πολιτευόμενος ἐπλησίαζεν. (7) Ἐν e δὲ ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς ἀνώμαλος ἦν καὶ ἀστάθμητος, τῇ φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγου καὶ παιδείας ἐπ' ἀμφότερα μεγάλας ποιουμένη μεταβολὰς τῶν ἐπιτηδευμάτων καὶ πολλάκις ἐξανισταμένη πρὸς τὸ χεῖρον, ὡς ὕστερον αὐτὸς ὡμολόγει καὶ τοὺς τραχυτάτους πώλους ἀρίστους ἵππους γίνεσθαι φάσκων, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως. (8) Ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου f γενομένης, δοκεῖ κατεψεῦσθαι· καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐῤῥιμμένας καὶ παρεωραμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγοὺς, ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων.

III. Ταχὺ μέντοι καὶ νεανικῶς ἔοικεν ἅψασθαι τοῦ Θεμιστοκλέους τὰ πολιτικὰ πράγματα καὶ σφόδρα ἡ πρὸς δόξαν ὁρμὴ κρατῆσαι· δι' ἣν εὐθὺς ἐξ ἀρχῆς πρω- a τεύειν ἐφιέμενος ἰταμῶς ὑφίστατο τὰς πρὸς τοὺς δυνα-

tus habuisse, naturaque intelligentem et magnarum rerum civiliumque studiosum fuisse : ubi a discendo vacaret, non ut reliqui pueri ludicris aut otio sese oblectare, sed orationes secum aliquas meditari et componere deprehendebatur. (2) Erant autem eæ orationes vel accusatio vel defensio alicujus puerorum. Itaque dicere solebat præceptor, nihil eum puerum mediocre, sed magnum omnino vel bonum vel malum futurum. (3) Nam disciplinas quoque eas, quæ vel formandorum morum, vel voluptatis et elegantiæ causa discuntur, ægre et nulla cum alacritate percipiebat : quæ vero ad prudentiam et actiones spectabant, eas satis aperte etiam præter ætatem colebat, veluti natura sua fretus eique obsequens. (4) Itaque postea temporis in liberalibus quas vocant et urbanis studiis derisus ab iis qui se eruditiores ferebant, coactus est insolentiore aliquantum dicto se tueri, lyræ quidem inquiens se concinnandæ aut psalterii tractandi nescium, urbem contra exiguam et ingloriam, quam accepisset, gloriosam et magnam efficere callere. (5) Stesimbrotus Themistoclem auditorem Anaxagoræ fuisse, Melissoque physico operam dedisse ait : sed temporis rationem non observavit. Nam contra Periclem, qui multis post Themistoclem annis natus est, Samios oppugnantem dux fuit Melissus, eidemque Pericli Anaxagoras fuit familiaris. (6) Itaque potius iis accedendum, qui Themistoclem Mnesiphili Phrearrhii imitatorem fuisse perhibent, hunc autem neque rhetoricam neque naturalem philosophiam professum, sed sapientiæ quam vocant (quæ est peritia in republica versandi et prudentia ad actiones accommodata) operam dedisse ac tanquam sectam aliquam a Solone propagatam conservasse : quam qui deinde judicialibus causis adhibuerunt et ab actionibus ad dicendum id studium traduxerunt, Sophistæ sunt appellati. Huic quidem Themistocles, cum jam ad rempublicam accederet, se adjunxit. (7) Sed in primis juventutis suæ conatibus varius fuit atque inconstans, soli naturæ obsequens, quæ doctrina et institutione destituta, magnas in utramque partem studiorum mutationes effecit, sæpiusque ad deteriora deflexit. Neque id dissimulavit ipse postea, e ferocissimis pullis optimos fieri equos dicens, si, qua opus est, disciplina formentur atque institutione. (8) Quæ his annectuntur a nonnullis narrationes, abdicatum fuisse eum a patre matremque præ dolore ignominiæ filio illatæ voluntaria morte vitam finivisse, mendacia videntur : ac sunt contra qui dicant, patrem, quo eum a republica curanda dehortaretur, apud mare ei triremes antiquas ostendisse, projectas jam et neglectas, innuentem eundem esse populi animum in populares, ubi inutiles ii esse cœpissent.

III. Ceterum videtur studium in republica versandi celeriter admodum juvenili ardore elatus Themistocles susa cepisse, cupiditasque gloriæ vehementer apud eum invaluisse, ob quam initio statim primas affectans odia po-

μένους ἐν τῇ πόλει καὶ πρωτεύοντας ἀπεχθείας, μάλιστα δ' Ἀριστείδην τὸν Λυσιμάχου τὴν ἐναντίαν ἀεὶ πορευόμενον αὐτῷ. (2) Καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα μειρακιώδη λαβεῖν ἀρχήν. Ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω, Τηίου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν. Ἐκ δὲ τούτου διετέλουν καὶ περὶ τὰ δημόσια στασιάζοντες. Οὐ μὴν ἀλλ' ἡ τῶν βίων καὶ ἡ τῶν τρόπων ἀνομοιότης ἔοικεν αὐξῆσαι τὴν διαφοράν. (3) Πρᾷος γὰρ ὢν φύσει καὶ καλοκαγαθικὸς τὸν τρόπον ὁ Ἀριστείδης καὶ πολιτευόμενος οὐ πρὸς χάριν οὐδὲ πρὸς δόξαν, ἀλλ' ἀπὸ τοῦ b βελτίστου μετ' ἀσφαλείας καὶ δικαιοσύνης, ἠναγκάζετο τῷ Θεμιστοκλεῖ τὸν δῆμον ἐπὶ πολλὰ κινοῦντι καὶ μεγάλας ἐπιφέροντι καινοτομίας ἐναντιοῦσθαι πολλάκις ἐνιστάμενος αὐτοῦ πρὸς τὴν αὔξησιν. (4) Λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστής, ὥστε νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης καὶ τῆς Μιλτιάδου στρατηγίας διαδοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυτῷ καὶ τὰς νύκτας ἀγρυπνεῖν καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐάῃ τὸ τοῦ c Μιλτιάδου τρόπαιον. (5) Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾠοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφεν ἀεὶ καὶ τὴν πόλιν ἧσκει πόρρωθεν ἤδη προσδοκῶν τὸ μέλλον.

IV. Καὶ πρῶτον μὲν, τὴν Λαυριωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μεταλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. (2) Ἦκμαζε γὰρ οὗτος d ἐν τῇ Ἑλλάδι μάλιστα καὶ κατεῖχον οἱ Αἰγινῆται πλήθει νεῶν τὴν θάλασσαν. Ἧ καὶ βᾶον Θεμιστοκλῆς συνέπεισεν οὐ Δαρεῖον οὐδὲ Πέρσας (μακρὰν γὰρ ἦσαν οὗτοι καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. Ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. (3) Ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλασσαν, ὡς τὰ e πεζὰ μὲν οὐδὲ τοῖς ὁμόροις ἀξιομάχους ὄντας, τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τοὺς βαρβάρους ἀμύνασθαι καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι Πλάτων, ναυβάτας καὶ θαλαττίους ἐποίησε· καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος εἰς ὑπηρέσιον καὶ κώπην συνέστειλε τὸν τῶν Ἀθηναίων δῆμον. (4) Ἔπραξε δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ Στησίμβροτος. Εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τοῦ πολιτεύματος ἔβλα-

tentum et primorum in civitate astis fortiter in se concitavit: maxime autem omnium Aristidis Lysimachi filii, quem in omnibus contrarium habuit. (2) Quanquam creditum est hanc eorum inimicitiam omnino puerile habuisse initium, quod uterque formosum Stasilaum Teium amarent, ut Aristo philosophus refert, eamque æmulationem etiam ad reipublicæ administrationem adferrent. Enimvero vitæ et morum dissimilitudo auxisse eam videtur. (3) Aristides enim placidus natura, et proborum morum studiosus, quique in republica gerenda non gratiam, non gloriam, sed quod optimum, tutissimum justissimumque esset, spectabat, sæpenumero coactus fuit Themistocli populum ad multa concitanti magnasque rerum novationes molienti adversari ejusque incrementis impedimento esse. (4) Tanto enim gloriæ ardore abripi solitum Themistoclem tradunt tantaque æmulatione rerum præclare gestarum flagrasse, ut juvenis adhuc, cum pugna Marathonia contra barbaros facta Miltiadisque ducis gloria omnium in ore esset, cogitabundus plerumque visus sit noctesque insomnes egerit, consuetis compotationibus abstinuerit, mutationemque vitæ admirantibus et causam quærentibus responderit, Miltiadis tropæum sibi somnum adimere. (5) Reliqui enim cladem barbarorum Marathoniam finem belli esse censebant: at Themistocles eam initium majorum certaminum putabat, ad quæ se pro tota Græcia assidue præparabat, et civitatem exercebat, quid futurum esset multo ante prævidens.

IV. Ac primo omnium, cum mos esset Atheniensibus, proventus secturarum argentariarum, quæ erant in Laurio, inter se distribuere: solus ipse ad populum progressus, ausus est dicere, esse omissa divisione ex ista pecunia triremes parandas ad bellum Ægineticum. (2) Id bellum tum in Græcia maxime vigebat, et multitudine navium Æginetæ mare tenebant; quo facilius assensum est Themistocli, non Darii, non Persarum metum obtendenti (procul enim hi aberant, neque magnum sui adventus metum offerebant), sed ira et contentione civium adversus Æginetas opportune ad eum apparatum abutenti. (3) Suntque hac pecunia confectæ centum trirremes, quarum in navali contra Xerxem prœlio usus fuit. Exinde sensim civitatem ad mare exercendum deduxit, quos terrestri bello ne adversus finitimos quidem satis roboris habere, navium vero præsidio et barbaros propulsare, et Græciæ imperium adipisci posse intelligebat: itaque cives ex militibus in acie stare solitis, nautas, ut ait Plato, et maritimos effecit: incurritque in calumnias ejus facti causa, quod cives hasta et clypeo spoliatos, ad transtra et remos detrusisset. (4) Hæc autem confecit Themistocles, Miltiade, qui contradixerat, superato, si Stesimbroto credimus. Puritatemne et integritatem civitatis eo facto læserit, an vero secus, nescio an subtilius

ψεν ἢ μὴ ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν· ὅτι δὲ ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θάλασσης ὑπῆρξε καὶ τὴν Ἀθηναίων πόλιν αὖθις ἀνέστησαν αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα καὶ Ξέρξης αὐτὸς ἐμάρτύρησε. (5) Τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος, καὶ Μαρδόνιον ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως μᾶλλον ἢ δουλωσόμενον αὐτοὺς, ὡς ἐμοὶ δοκεῖ, κατέλιπεν.

114 V. Ἔντονον δὲ γεγονέναι χρηματιστὴν οἱ μέν a φασι δι' ἐλευθεριότητα· καὶ γὰρ φιλοθύτην ὄντα καὶ λαμπρὸν ἐν ταῖς περὶ τοὺς ξένους δαπάναις ἀφθόνου δεῖσθαι χορηγίας· οἱ δὲ τοὐναντίον γλισχρότητα πολλὴν καὶ μικρολογίαν κατηγοροῦσιν, ὡς καὶ τὰ πεμπόμενα τῶν ἐδωδίμων πωλοῦντος. (2) Ἐπεὶ δὲ Διφιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτοῦ πῶλον οὐκ ἔδωκεν, ἠπείλησε τὸν οἶκον αὐτοῦ ταχὺ ποιήσειν δούρειον ἵππον, αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ b ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν. (3) Τῇ δὲ φιλοτιμίᾳ πάντας ὑπερέβαλεν, ὥστ' ἔτι μὲν νέος ὢν καὶ ἀφανὴς Ἐπικλέα τὸν ἐξ Ἑρμιόνης κιθαριστὴν σπουδαζόμενον ὑπὸ τῶν Ἀθηναίων ἐκλιπαρῆσαι μελετᾶν παρ' αὐτῷ, φιλοτιμούμενος πολλοὺς τὴν οἰκίαν ζητεῖν καὶ φοιτᾶν παρ' αὐτῷ. (4) Εἰς δ' Ὀλυμπίαν ἐλθὼν καὶ διαμιλλώμενος τῷ Κίμωνι περὶ δεῖπνα καὶ σκηνὰς καὶ τὴν ἄλλην λαμπρότητα καὶ παρασκευὴν, οὐκ ἤρεσκε τοῖς Ἕλλησιν. (5) Ἐκείνῳ μὲν γὰρ ὄντι νέῳ καὶ ἀπ' οἰκίας μεγάλης ᾤοντο δεῖν τὰ τοιαῦτα συγχωρεῖν· ὁ δὲ μήπω γνώριμος γεγονὼς, ἀλλὰ καὶ δοκῶν ἐξ οὐχ ὑπαρχόντων παρ' ἀξίαν ἐπαίρεσθαι προσωφλίσκανεν ἀλαζονείαν. (6) Ἐνίκησε δὲ καὶ χορηγῶν τραγῳδοῖς, μεc γάλην ἤδη τότε σπουδὴν καὶ φιλοτιμίαν τοῦ ἀγῶνος ἔχοντος. Καὶ πίνακα τῆς νίκης ἀνέθηκε τοιαύτην ἐπιγραφὴν ἔχοντα· « Θεμιστοκλῆς Φρεάριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν, Ἀδείμαντος ἦρχεν. » (7) Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνῆρμοττε, τοῦτο μὲν ἑκάστου τῶν πολιτῶν τοὔνομα λέγων ἀπὸ στόματος, τοῦτο δὲ κριτὴν ἀσφαλῆ περὶ τὰ συμβόλαια παρέχων ἑαυτὸν, ὥστε που καὶ πρὸς Σιμωνίδην τὸν Κεῖον εἰπεῖν αἰτούμενόν τι τῶν οὐ μετρίων παρ' αὐτοῦ στρατηγοῦντος, ὡς οὔτ' ἐκεῖνος ἂν ἐγένετο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος οὔτ' αὐτὸς ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος. (8) Πάλιν δέ ποτε τὸν Σιμωνίδην ἐπισκώπτων ἔλεγε d νοῦν οὐκ ἔχειν, Κορινθίους μὲν λοιδοροῦντα μεγάλην οἰκοῦντας πόλιν, αὐτοῦ δὲ ποιούμενον εἰκόνας οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν. (9) Αὐξόμενος δὲ καὶ τοῖς πολλοῖς ἀρέσκων τέλος κατεστασίασε καὶ μετέστησεν ἐξοστρακισθέντα τὸν Ἀριστείδην.

VI. Ἤδη δὲ τοῦ Μήδου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα καὶ τῶν Ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσιν ἐκπεπληγμένους τὸν κίνδυνον, Ἐπικύδην δὲ τὸν Εὐφημίδου, δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν καὶ χρημάτων ἥττονα, τῆς ἀρχῆς

sit disquirendum; certe salutem Græciæ partam mari, Athenasque jam labefactatas opera illarum triremium stabilitas f fuisse, cum reliqua sunt testimonio, tum ipse Xerxes affirmavit. (5) Naumachia enim victus, integris adhuc, quas in terra habebat, copiis statim sese fugæ commisit, ut ad bellum gerendum impar: reliquitque post se Mardonium, magis, ut mea fert sententia, detinendorum a persequendo Græcorum, quam in servitutem redigendorum causa.

V. Quærendæ pecuniæ studium ejus intentius nonnulli a liberalitatis nomine excusant: quippe virum sacra frequenter facientem, splendidumque in accipiendis hospitibus, magnis opus habuisse sumptibus. Quidam contra sordidum eum magnæque tenacitatis incusant, qui cibos etiam sibi missos vendiderit. (2) Cum Diphilides, qui alendis equis rem faciebat, pullum petenti denegasset, minatus ei fertur, se domum ejus mox equum Trojanum facturum: b obscure innuens, concitaturum se adversus eum lites propinquorum et familiarium ejus. (3) Ceterum ambitione omnes æquales adeo antevertit, ut juvenis etiamnum et obscurus ab Epicle citharœdo Hermionensi, qui Athenis in pretio erat, summis precibus contenderit, ut is apud se artem faceret: id ambiens, ut multi domum suam venirent. (4) Olympiam profectus, cum Cimone de cœnarum, tabernaculorum, reliquique apparatus splendore contendens, Græcos offendit. (5) Cimoni enim adolescenti et illustri domo nato concedendam de his rebus palmam esse judicabant: Themistocles vero nondum cognitus, quique facultatibus non sufficientibus hæc existimaretur ultra quam conveniret conari, arrogantiæ crimen incurrebat. (6) c Vicit tamen tragœdis sumptus suppeditans, cum jam tum id certamen magno studio atque æmulatione ageretur. Et tabulam victoriæ cum hac inscriptione posuit: « Themistoclis Phrearii sumptibus, Phrynichus docuit, Adimantus præfuit. » (7) Interea vero se multitudini probabat, tum quod singulorum civium nomina memoriter recitaret, tum quod in contractibus fidum se judicem præberet. Ferturque, cum esset prætor, Simonidi Ceo petenti aliquid haud modicum respondisse: « Neque vero tu bonus poeta, si præter modos caneres, neque ipse probus prætor essem, si præterquam quod leges permittunt, tibi gratificarer. » (8) Eundemque d Simonidem rursus facete mordens, « Non est, inquit, tibi sana mens qui Corinthiis, magnæ urbis civibus, convicia faciens, temet ipsum sculpendum curas, homo adeo deformis. » (9) Magnus jam factus et multitudini gratus, tandem Aristidem invidia mota vicit, eumque ostracismo extorrem egit.

VI. Jam Persarum rege expeditionem in Græciam facere incipiente, Atheniensibusque de duce deliberantibus, memorant reliquos omnes periculi gravitate perterritos, sua sponte imperii petitione abstinuisse, Epicydem autem Euphemidæ filium, oratorem popularem, disertum quidem, ceterum mollem animo et venalem, eam dignitatem affe-

ἐφίεσθαι καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. (2) Τὸν οὖν Θεμιστοκλέα δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐμπεσούσης, χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι παρὰ τοῦ Ἐπικύδους. (3) Ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωττον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν· ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν, ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι. (4) Ἔτι δὲ καὶ τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην· Θεμιστοκλέους γὰρ εἰπόντος καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἔγραψαν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. (5) Μέγιστον δὲ πάντων τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι· πρὸς ὃ καὶ Χείλεων τὸν Ἀρκάδα μάλιστα συναγωνίσασθαι λέγουσι.

VII. Παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾶν τῷ βαρβάρῳ κατὰ θάλατταν. (2) Ἐνισταμένων δὲ πολλῶν ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ Τέμπη μετὰ Λακεδαιμονίων, ὡς αὐτόθι προκινδυνεύσων τῆς Θετταλίας οὔπω τότε μηδίζειν δοκούσης· ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι καὶ Θετταλῶν βασιλεῖ προσγενομένων ἐμήδιζε τὰ μέχρι Βοιωτίας, μᾶλλον ἤδη τῷ Θεμιστοκλεῖ προσεῖχον οἱ Ἀθηναῖοι περὶ τῆς θαλάσσης καὶ πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ φυλάξων. (3) Ἔνθα δὴ τῶν μὲν Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς αὐτός τε τὴν ἀρχὴν τῷ Εὐρυβιάδῃ παρῆκε καὶ κατεπράϋνε τοὺς Ἀθηναίους ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. (4) Διόπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους. (5) Ἐπεὶ δὲ τοῖς Ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος ἐκπλαγεὶς Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν τάχιστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι Πελοποννήσου καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρώωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες· ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν. (6) Ἐναντιουμένου δ' αὐτῷ τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις

classe, jamque creditum fuisse, fore ut communi suffragio imperium ei deferretur. (2) Ibi Themistoclem veritum, ne omnia disperirent, si ille dux belli creatus esset, Epicydem data pecunia de ambitione ista retraxisse. (3) Laudatur etiam id, quod egit cum interprete misso inter regios nuncios, ad petendam terram et aquam legatos. Hunc enim quamvis præco esset, ex decreto comprehendit ac necavit, quod ausus esset Græcam linguam barbaricis mandatis utendam dare. (4) Item quod Arthmius Zelites eo referente cum liberis et toto genere ignominia notatus est, qui aurum Medicum Græciæ intulisset. (5) Sed maximum est, quod intestina Græciæ bella sustulit civitatesque ad concordiam mutuam reduxit, persuadens eis, ut belli imminentis causa inimicitias in aliud tempus rejicerent: qua in re magnopere Chilei Arcadis auxilio usus esse traditur.

VII. Factus imperator, statim intendit cives triremibus imponere, suasitque ut urbe relicta, quam longissime a Græcia in mari barbaris occurrerent. (2) Multis autem repugnantibus, cum magno exercitu et Lacedæmoniis ad Tempe profectus est, propugnaturus ibi pro Thessalia, quæ nondum ad Medos inclinare putabatur; cum vero Thessali se regi adjunxissent et ad Bœotiam usque omnia Medo faverent, infecta re inde reverti coactus est. Id movit Athenienses, ut Themistoclis consilio de re mari gerenda magia adsentirentur, miseruntque eum cum navibus ad Artemisium, ut fauces custodiret. (3) Ibi cum Græci imperium Lacedæmoniis et Eurybiadi deferrent, Athenienses autem, quia numero navium reliquos propemodum omnes superabant, aliorum ductu bellare recusarent: Themistocles quum intellexisset quod ea ex dissensione periculum impenderet, cum ipse Eurybiadi imperium concessit, tum Athenienses placavit oratione, promittens fore, ut si se viros strenuos in bello præstarent, posthac ultro Græci ipsorum dicto audientes se præberent. (4) Quamobrem existimatum est, Græciæ salutis istum unicam causam fuisse, et qui præsertim hanc famam Atheniensibus conciliarit, fortitudine ab iis hostes, animi moderatione socios victos fuisse. (5) Postquam autem barbarorum classe ad eum locum, cui Aphetæ nomen est, delata, Eurybiades, multitudine navium quæ in fronte apparebant perterritus, insuper audito ducentas alias super Sciathum cursum flectere, id consilium cepit, ut quam celerrime intra Græciam reversus, Peloponnesum adiret ac terrestres copias navibus circumjiceret, posse copiis regiis mari resisti nullo modo putans. Hic Euboenses veriti ne a Græcis destituerentur, clandestinum cum Themistocle colloquium habuerunt, misso cum magna pecunia ad eum Pelagonte: quam Themistocles acceptam Eurybiadi tradidit, ut Herodotus auctor est. (6) Repugnabat autem Themistocli Architeles unus ex civibus ejus, præfectus sacræ triremi: qui cum non haberet pe-

χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐπ' αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. (7) Τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος εἰσέπεμψε Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας, ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. Ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

VIII. Αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ μάχαι κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιστα τοὺς Ἕλληνας ὠνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων οὔτε κραυγαὶ κομπώδεις ἢ βάρβαροι παιᾶνες ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι καὶ μάχεσθαι τολμῶσιν, ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας ἐπ' αὐτὰ τὰ σώματα φέρεσθαι καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. (2) Ὁ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν,

> ὅθι παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν
> κρηπῖδ' ἐλευθερίας·

ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαῤῥεῖν. (3) Ἔστι δὲ τῆς Εὐβοίας τὸ Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑστίαιαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπταμένος· ἀντιτείνει δ' αὐτῷ μάλιστα τῆς ὑπὸ Φιλοκτήτῃ γενομένης χώρας Ὀλιζών. Ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν Προσηώας καὶ δένδρα περὶ αὐτῷ πέφυκε καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν· ὁ δὲ λίθος τῇ χειρὶ τριβόμενος καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν ἀναδίδωσιν. (4) Ἐν μιᾷ δὲ τῶν στηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον·

> Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
> παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
> ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
> σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

(5) Δείκνυται δὲ τῆς ἀκτῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδοὺς ὥσπερ πυρίκαυτον, ἐν ᾧ τὰ ναυάγια καὶ νεκροὺς καῦσαι δοκοῦσι.

IX. Τῶν μέντοι περὶ Θερμοπύλας εἰς τὸ Ἀρτεμίσιον ἀπαγγελθέντων πυθόμενοι Λεωνίδαν τε κεῖσθαι καὶ κρατεῖν Ξέρξην τῶν κατὰ γῆν παρόδων εἴσω τῆς Ἑλλάδος ἀνεκομίζοντο, τῶν Ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων καὶ δι' ἀρετὴν μέγα τοῖς πεπραγμένοις φρονούντων. (2) Παραπλέων δὲ τὴν χώραν ὁ Θεμιστοκλῆς, ᾗ κατάρσεις ἀναγκαίας καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις, ἐνεχάραττε κατὰ τῶν λίθων ἐπιφανῆ γράμματα, τοὺς μὲν εὑρίσκων ἀπὸ τύχης, τοὺς δὲ αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα καὶ τὰς ὑδρείας, ἐπισκήπτων Ἴωσι διὰ γραμμάτων, εἰ μὲν οἷόν τε, μετατάξασθαι πρὸς αὐτοὺς, πατέρας ὄντας καὶ προκινδυνεύοντας ὑπὲρ τῆς ἐκείνων

cuniam unde nautas sustentaret, discessum agitabat. Contra hunc irritatos jam ante animos civium Themistocles magis adhuc concitavit, ita ut ei concursu facto cœnam diriperent. (7) Architeli indigne id animoque ægro ferenti Themistocles in cista misit panem et carnes ad cœnam, subjecto illis argenti talento mandatoque, ut ipse cœnaret, et postridie sociorum navalium curam haberet : ni faceret, delaturum se eum apud cives, quasi pecuniam eam ab hostibus accepisset. Hæc narratio Phaniæ est Lesbii.

VIII. Quæ eo tempore cum navibus barbarorum apud fauces commissæ sunt pugnæ, non eæ quidem ad rem decernendam magnum admodum momentum attulere, experientia tamen maxime Græcis profuerunt, inter pugnam re ipsa comperientibus neque numerosam classem neque signorum ornamenta et splendorem, neque clamores minaces, neque barbaricos pæanes quicquam habere, quod terrorem afferre debeat viris manum conserere scientibus et pugnam audentibus : sed esse his contemptis ipsa hostium corpora invadenda, et in hæc cominus depugnandum. (2) Quod non male intellexisse videtur Pindarus, de pugna ad Artemisium dicens :

> Libertatis ubi splendida condidit
> fundamenta suæ Cecropidum genus.

Audere enim est revera principium victoriæ. (3) Est autem Artemisium littus Eubœæ supra Hestiæam ad Boream spectans (cui e regione fere opponitur Olizon in ea terra posita, cujus dominus fuit quondam Philoctetes), habetque templum exiguum Dianæ Orientalis : circa id arbores exstiterunt et columnæ ex albo lapide circum fixæ sunt, qui lapis si manibus teratur, colorem odoremque croceum emittit. (9) Fuit autem in una istarum columnarum hoc inscriptum carmen :

> Cecropia hoc quondam in pelago cum classe juventus
> vicisset populos omnigenos Asiæ,
> Medorum perilque exercitus : ista tropæa
> fixerunt memores, virgo Diana, tibi.

(5) Monstratur etiam in littore locus inter multos arenæ tumulos, pulverem ab alto cinericium nigrumque eructans, tanquam igne ustum, ubi videntur navium fragmenta et cadavera cremasse.

IX. Sed cum ad Artemisium de re ad Thermopylas gesta cognovissent, videlicet Leonidam occubuisse, Xerxemque eos, qui terra essent, aditus tenere, intra Græciam reversi sunt, Atheniensibus agmen claudentibus et propter virtutem rebus gestis comprobatam altiores sumentibus spiritus. (2) Cum oram continentis legeret Themistocles, quibus in locis portus et perfugia hostibus necessario adeunda videbat, in lapides (qui partim tum forte aderant, partim ab ipso in stationibus navium et aquationibus positi sunt) literis conspicuis inscriptis Iones hortatus est, ut si quidem fieri posset, ad Græcos transitionem facerent, a quibus originem traherent et qui pro ipsorum libertate propugna-

ἐλευθερίας, εἰ δὲ μή, κακοῦν τὸ βαρβαρικὸν ἐν ταῖς μάχαις καὶ συνταράττειν. (3) Ταῦτα δ' ἤλπιζεν ἢ μεταστήσειν τοὺς Ἴωνας ἢ ταράξειν ὑπόπτους τοῖς βαρβάροις γενομένους. (4) Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν Φωκίδα καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολοῦντος οὐ προσήμυνον οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλατταν ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. (5) Μηδενὸς δὲ ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν καὶ διατειχιζόντων τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε τοὺς Ἀθηναίους, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μεμονωμένους. (6) Μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι στρατοῦ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς ναυσὶν, [ὅπερ] οἱ πολλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης δεόμενοι μήτε σωτηρίαν ἐπιστάμενοι, θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων.

X. Ἔνθα δὴ Θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεσθαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς, σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος, ὃς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τοῦ σηκοῦ δοκεῖ γενέσθαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς, ἐξήγγελλον εἰς τοὺς πολλοὺς, Θεμιστοκλέους λόγον διδόντος, ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. (2) Τῷ δὲ χρησμῷ πάλιν ἐδημαγώγει, λέγων μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος ἢ τὰς ναῦς· διὸ καὶ τὴν Σαλαμῖνα θείαν, οὐχὶ δειλὴν οὐδὲ σχετλίαν καλεῖν τὸν θεὸν, ὡς εὐτυχήματος μεγάλου τοῖς Ἕλλησιν ἐπώνυμον ἐσομένην. (3) Κρατήσας δὲ τῇ γνώμῃ ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ, « Ἀθηνάων μεδεούσῃ » τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν. (4) Κυρωθέντος δὲ τοῦ ψηφίσματος οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. Καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάστῳ διδόντες καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. Τὸ δὲ ψήφισμα Νικαγόρας ἔγραψεν. (5) Οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα. (6) Καταβαινόντων γὰρ εἰς Πειραιᾶ τῶν Ἀθηναίων φησὶν ἀπολέσθαι τὸ Γοργόνειον ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος· τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν καὶ διερευνώμενον ἅπαντα χρημάτων εὑρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον, ὧν εἰς μέσον κομισθέντων

rent; sin minus, ut saltem in pugna barbaros læderent et conturbarent. (3) Hoc consilio sperabat se effecturum, ut vel dehcerent Iones, vel barbaris suspiciosi redditi turbarentur. (4) [Porro cum Xerxes superne per Doridem in Phocidem irrumperet urbesque Phocensium incenderet, Græci auxilium non tulerunt regioni, quantumvis Atheniensibus petentibus, ut defendendæ Atticæ causa in Bœotiam proficiscerentur, sicut ipsi mari ad Artemisium hosti occurrerant. (5) Quorum petitioni cum nemo Græcorum satisfaceret, sed omnes Peloponneso intenti in eo essent, ut omnes copias intra Isthmum conducerent Isthmumque ab uno mari ad alterum muro munirent, Athenienses simul et ira, quod proditi, et metus atque mœstitia desertos incessit. (6) Neque enim pugnam inire adversus tot millia hostium videbatur, et unum quod in præsentia facto opus erat, ut urbe relicta navibus se crederent, ejusmodi erat, quod plerisque auditu etiam grave esset, qui si deorum templa majorumque sepulcra prodidissent, neque victoria neque salute quicquam sibi opus esse putarent.

X. Eo rerum statu Themistocles, cum humanis rationibus se permovere posse populum diffideret, tanquam in tragœdia machinam aliquam attollens, signa divinitus missa et oracula suis objecit. In ostentum rapuit draconem, qui illis diebus ferebatur ex templo abiisse: sacerdotesque cum invenirent liba, quæ ei apponebantur quotidie, intacta esse, in populum ea de re rumorem sparserunt, ita interpretante Themistocle, deam urbe excessisse viæque ad mare ducem ipsis factam. (2) Oraculum etiam ad perducendum in suam sententiam populum interpretatus est: nihil aliud ligneo muro, quam naves intelligi; ideoque Salamiuem etiam divinam, non tristem aut miseram, a deo vocari, scilicet quod a magna Græcorum aliqua fortuna in posterum sit nomen habitura. (3) Itaque cum sententia ejus comprobata esset, decretum fecit, quo urbem Minervæ tutelari Athenarum deæ commendandam, omnes qui essent valida ætate, triremes conscendere, unumquemque suos liberos, uxorem, mancipia quo maxime posset modo servare jubebat. (4) Confirmato decreto, plerique suos parentes et mulieres Trœzenem transtulerunt, benigne civibus eos accipientibus: fecerat enim Nicagoras apud eos decretum, ut hospites in singula eorum capita tributis duobus obolis, publice alerentur, ut fruges pueris undecunque vellent, liceret decerpere, ut magistris eorum merces solveretur. (5) Cum autem publica pecunia non esset Atheniensibus, Aristoteles ait per Areopagitas effectum, ut triremes implerentur, qui singulis militibus octo drachmas dederint. Clidemus etiam hoc Themistoclis calliditate confectum tradit. (6) Nimirum descendentibus in Piræeum Atheniensibus amissum fuisse a statua Minervæ os Gorgonis: ibi Themistoclem cum se simularet quærere omniaque perlustraret, magnam vim pecuniæ invenisse, inter impedimenta reconditam, eaque in medium

εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. (7) Ἐκπλεούσης δὲ τῆς πόλεως τοῖς μὲν οἴκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε, γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. (8) Καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν ἔλεον εἶχον, ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. (9) Ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναί λέγουσι.

XI. Ταῦτα δὴ μεγάλα τοῦ Θεμιστοκλέους. Καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην καὶ δεδιότας, μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος (ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ὑπὸ Θεμιστοκλέους), γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. (2) Εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμόν, ὅπου καὶ τὸ πεζὸν ἤθροιστο τῶν Πελοποννησίων, ὁ Θεμιστοκλῆς ἀντέλεγεν· ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. (3) Τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος, « Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι », « Ναί, εἶπεν ὁ Θεμιστοκλῆς, ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν. » Ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος ὁ Θεμιστοκλῆς ἔφη, « Πάταξον μέν, ἄκουσον δέ. » (4) Θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου καὶ λέγειν κελεύσαντος ὁ Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον. Εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον, « Ἡμεῖς τοι, εἶπεν, ὦ μοχθηρέ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουλεύειν, πόλις δ' ἡμῖν ἐστι μεγίστη τῶν Ἑλληνίδων αἱ διακόσιαι τριήρεις, αἳ νῦν μὲν ὑμῖν παρεστᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βουλομένοις· εἰ δ' ἅπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων Ἀθηναίους καὶ πόλιν ἐλευθέραν καὶ χώραν οὐ χείρονα κεκτημένους ἧς ἀπέβαλον. » (5) Ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος ἔννοια καὶ δέος ἔσχε τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολιπόντες οἴχωνται. (6) Τοῦ δ' Ἐρετριέως πειρωμένου τι λέγειν πρὸς αὐτὸν, « Ἦ γὰρ, ἔφη, καὶ ὑμῖν περὶ πολέμου τίς ἐστι λόγος, οἳ καθάπερ αἱ τευθίδες μάχαιραν μὲν ἔχετε, καρδίαν δὲ οὐκ ἔχετε; »

XII. Λέγεται δ' ὑπό τινων τὸν μὲν Θεμιστοκλέα

prolata, suffecisse viatica classiariis. (7) Enavigantium spectaculum aliis misericordiam movit, aliis fortitudinis admirationem, quod uxoribus cum liberis alio dimissis ipsi nihil ad parentium luctus, fletus atque amplexus inflexis animis in illam insulam trajiciebant. (8) Et sane multi cives senectutis causa relicti miserationem ciebant : etiam cicurium ac juxta enutritorum animalium gestus dulcem in animis affectum excitabant, cum ululatu et desiderio eos, a quibus alita essent, comitantium. Inter quæ narratur canis Xanthippi ejus, qui Periclem genuit, non patiens se a domino deseri, in mare insiluisse, juxtaque triremem natando Salaminem pervenisse, ibique statim anima defectum exspirasse, humatumque eo loco, qui adhuc Cynossema, *i. e. canis sepulcrum*, dictus ostenditur.

XI. Magna hæc Themistoclis facta. Neque minus id quod cum a civibus desiderari Aristidem (quem ipse ante bellum factione superatum, ostracismo in exilium egerat) sentiret, eosque vereri, ne propter iram barbaro se adjungeret, resque Græcas everteret, decreto iis, qui ad tempus relegati essent, facultatem dedit revertendi ac cum reliquis civibus salutem Græciæ procurandi. (2) Eurybiadi porro, qui classis præfectus erat propter Spartæ dignitatem, trepidanti periculum adire, statuentique ad Isthmum navigare, quo loco etiam terrestres Peloponnesi copiæ erant congregatæ, Themistocles contra dixit; quo in certamine celebria ista ejus dicta ab eo prolata memorant. (3) Nam Eurybiadi ad se dicenti, in certaminibus qui maturius prodiissent verberibus plecti, respondit, verum id esse, sed et eos qui serius veniant, non coronari; tollentique baculum, et plagam minanti, Themistocles, « Percute sane, inquit, modo audi. » (4) Tum Eurybiades mite ingenium admiratus, dicere eum jussit. Ibi cum ad institutum de pugna ad Salaminem facienda sermonem revertisset, quidam hominem urbe carentem non recte iis, qui patriam haberent, ejus deserendæ auctorem fieri dixit; conversa oratione Themistocles, « Nos quidem, inquit, homo improbe, domos et muros reliquimus rerum inanimatarum causa servitutem subire nolentes. Urbs autem nobis est, qua nulla sit in Græcia major : nimirum ducentæ triremes, quæ nunc adsunt vobis auxilio, salvos vos, si quidem velitis, servaturæ : sin iterum discedatis, nobis proditis, statim audient Græci Athenienses et urbem liberam et agrum eo quem dimiserint nihilo deteriorem adeptos. » (5) Hæc locutus Themistocles, Eurybiadi sollicitudinem attulit atque timorem, ne Athenienses ipsis destitutis discederent. (6) Eretriensi quoque cuidam contradicere conanti Themistocles, « Numnam, inquit, etiam vos de bello verba facitis, qui instar teuthidum piscium, gladium quidem habetis, corde autem caretis? »

XII. Sunt qui referant, Themistoclem in tabulato navis

περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ τῶν νεῶν καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· διὸ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ καὶ παρεσκευάζοντο ναυμαχήσοντες. (2) Ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἄθρους ὤφθη, τῶν δυνάμεων ὁμοῦ γενομένων, ἐξερρύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμὸν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. Ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. (3) Ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν περὶ τὸν Σίκιννον πραγματείαν. (4) Ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκιννος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός· ὃν ἐκπέμπει πρὸς τὸν Πέρσην κρύφα κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς ὁ τῶν Ἀθηναίων στρατηγὸς αἱρούμενος τὰ βασιλέως ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράττονται τῶν πεζῶν χωρὶς ὄντες ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. (5) Ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος ἥσθη καὶ τέλος εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. (6) Τούτων δὲ πραττομένων Ἀριστείδης ὁ Λυσιμάχου πρῶτος αἰσθόμενος ἦκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος, ὥσπερ εἴρηται, προελθόντι δὲ τῷ Θεμιστοκλεῖ φράζει τὴν κύκλωσιν. (7) Ὁ δὲ τήν τε ἄλλην καλοκαγαθίαν τοῦ ἀνδρὸς εἰδὼς καὶ τῆς τότε παρουσίας ἀγάμενος λέγει τὰ περὶ τὸν Σίκιννον αὐτῷ καὶ παρεκάλει τῶν Ἑλλήνων ἐπιλαμβάνεσθαι καὶ συμπροθυμεῖσθαι πίστιν ἔχοντα μᾶλλον, ὅπως ἐν τοῖς στενοῖς ναυμαχήσωσιν. (8) Ὁ μὲν οὖν Ἀριστείδης ἐπαινέσας τὸν Θεμιστοκλέα τοὺς ἄλλους ἐπῆει στρατηγοὺς καὶ τριηράρχους ἐπὶ τὴν μάχην παροξύνων. Ἔτι δ' ὅμως ἀπιστούντων ἐφάνη Τηνία τριήρης αὐτόμολος, ἧς ἐναυάρχει Παναίτιος, ἀπαγγέλλουσα κύκλωσιν, ὥστε καὶ θυμῷ τοὺς Ἕλληνας κινῆσαι μετ' ἀνάγκης πρὸς τὸν κίνδυνον.

XIII. Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίᾳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων, χρυσοῦν δίφρον θέμενος καὶ γραμματεῖς πολλοὺς παραστησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι κατὰ μάχην τὰ πραττόμενα. (2) Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρ-

stantem, desuper de pugna apud Salaminem committenda perorasse; visamque tum noctuam, quæ ad dextram navium partem transvolarit, et in summitate mali consederit: eoque maxime effectum, ut sententia ipsius approbata, ad navalem pugnam Græci se paraverint. (2) Sed postaquam classis hostium juxta Phalerum Atticæ accessit, et vicina circum littora navibus texit, ac rex ipse cum terrestri exercitu ad mare descendens, conjunctis copiis ingentem multitudinem suorum ostentavit: ibi vero Themistoclis oratio ex animis Græcorum effluxit rursusque ad Isthmum oculos Peloponnesii conjecerunt, ægre ferentes, si quicquam aliud a quoquam diceretur; decreverunt autem noctu solvere et erat hoc nautis indicatum. (3) Hic Themistocles, cui dolebat Græcos id agere, ut auxilio loci et angustiarum dimisso, a se invicem divulsi in urbes suas quilibet discederent; consilium iniit, negotiumque, cujus Sicinnum habuit administrum, tale composuit. (4) Erat Sicinnus de Persis captus, Themistoclis studiosus, liberorumque ejus pædagogus: hunc ad regem Persarum furtim mittit, jubetque ei dicere, Themistoclem, Atheniensium ducem, regiam causam Græcorum rebus præferre: eum primum regi nunciare, Græcos fugam parare, hortari eum, ne ejus ipsis facultatem faciat, sed turbatos et ab exercitu terrestri sejunctos adoriatur, atque classem eorum perdat. (5) Delectatus est eo nuncio rex, benevolentiaque Themistoclis allatum credidit; itaque statim navium præfectis edixit milites in reliquas clam imponerent, ducentis vero navibus jam nunc proficiscerentur angustiasque totas et insulas circumdarent, ne cui hostium fuga pateret. (6) Quæ cum ita agi primus omnium Aristides sensisset, ad tentorium Themistoclis accessit (non ille quidem amicus ei, quippe a quo civitate olim pulsum fuisse supra demonstravimus), progressoque indicavit cingi a barbaris fauces et insulas navibus. (7) Cujus cum probitatem jam ante cognitam haberet Themistocles, hunc quoque ipsius tum adventum admiratus, quæ cum Sicinno egisset, ei exponit, hortaturque, ut, quoniam fide et auctoritate plus se posset apud Græcos, conjuncto studio in id incumberet, ut eos ad conserendam in angustiis navalem pugnam adduceret. (8) Aristides, collaudato Themistocle, reliquos duces ac triremium præfectos adiit, et ad pugnam incitavit. Adhuc dubitantibus Tenia triremis, cui præerat Panætius, ab hostibus transfugiens eadem narrat de circumjectis undique barbaris; itaque et ira Græcos et necessitas ad subeundam naumachiæ aleam perpulit.

XIII. Ut primum illuxit, Xerxes spectandæ classis et aciei causa edito loco consedit, supra Herculis fanum, ut ait Phanodemus, qua angustum fretum Euboeam ab Attica dividit: Acestodorus consedisse in confinio Megaricæ scribit, super eum locum, quæ Cornua dicuntur, aureo solio posito, multisque juxta scribis, quibus ut describerent quæ in pugna gererentur, negotium erat. (2) Ad Themisto-

χίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. Ἐλέγοντο δὲ Σανδάκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταύκτου. (3) Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. (4) Ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινόν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. (5) Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

XIV. Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.

Τῶν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν, ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. (2) Δοκεῖ δ' οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς ἢ τὸν τόπον συνιδὼν καὶ φυλάξας μὴ πρότερον ἀντιπρώρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἀλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς τε πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προσπίπτον καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις καὶ τῷ Θεμιστοκλεῖ προσέχουσιν, ὡς δρῶντι μάλιστα τὸ συμφέρον, καὶ ὅτι κατ' ἐκεῖνον ὁ Ξέρξου, ναύαρχος Ἀριαμένης ναῦν ἔχων μεγάλην ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς ὢν καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος. (3) Τοῦτον μὲν οὖν Ἀμεινίας ὁ Δεκελεὺς καὶ Σωσικλῆς ὁ Πεδιεὺς δμοῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσοῦσαι καὶ συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους ὑποστάντες καὶ τοῖς δόρασι τύπτοντες εἰς τὴν θάλασσαν ἐνέβαλον· καὶ τὸ σῶμα μετ' ἄλλων φερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.

XV. Ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν

clem autem juxta prætoriam triremem sacris operantem, tres adducti sunt captivi, forma venustissima, vestium et auri ornatu splendidissimo: ferebanturque nati Sandaca regis sorore et Artaycto. (3) Quos ut vidit Euphrantides aruspex, simulque magnus et clarus ignis e sacris eluxit, et sternutamentum a dextra signum dedit: dextra Themistocli injecta, jussit eum factis Baccho ὠμηστῇ (*i. e. qui crudis carnibus rescitur*) votis juvenes istos immolare: ita enim et victoriam Græcis et salutem constituram. (4) Attonito Themistocle ac grave id vaticinium et immane existimante, Græci, ut fere in summis certaminibus ac rebus adversis salutem magis ab inopinato aliquo casu, quam certo consilio sperare homines solent, uno omnes ore deum invocaverunt, adductisque ad aram captivis, coegerunt sacra ita, uti vates jusserat, perpetrari. (5) Hæc Phanias Lesbius, vir in philosophia et historiis minime rudis, memoriæ prodidit.

XIV. De numero vero navium barbaricarum Æschylus, ut re sibi comperta, in tragœdia Persis ita affirmat:

Xerxique, namque novi, mille navium
fuere numero: celeritate præpetes
bis centum erant septemque; sic constat ratum.

Atticæ naves fuerunt centum et octoginta: harum unaquævis milites habebat decem et octo ex tabulatis pugnantes, ex his sagittarios quattuor, reliquos gravis armaturæ. (2) Videtur autem Themistocles non minus temporis quam loci opportunitatem captasse: non enim ante rostra suarum navium hostili classi obvertit, quam hora ea advenit, quæ semper solebat per fauces ventum validum et fluctum immittere; quæ res Græcis navibus scilicet depressis et humilioribus, nihil damni adferebat: barbaricas autem, quarum et puppes erant altæ et tabulata sublimia ipsæque magnæ molis, idem ventus et fluctus incumbentes impediebant, obliquasque Græcis objiciebant, celeriter hostiles naves adorientibus et Themistoclem attente observantibus, ut qui optime, quid e re esset, intelligeret eoque id magis, quod in ea regione, ubi Themistocles agebat, Ariamenes classis regiæ præfectus, vir strenuus et inter fratres regis longe præstantissimus justissimusque, pugnaret, de ingenti navi tanquam a muro sagittas jaculaque torquens. (3) Hunc Ariamenem Aminias Decelensis et Sosicles Pedieus, qui erant in eadem triremi, cum prora hujus cum prora ipsius concurrissent, rostrisque eæ æratis cohæsissent, in ipsorum triremem transire conatum, hastis excepere et in mare dejecere: corpusque ejus inter alia naufragia salo jactatum Artemisia cognovit et ad Xerxem attulit.

XV. Dum hoc modo certaretur, clarum lumen ab Eleusine effulsisse tradunt: campum etiam Thriasium clamore

τὸ Θριάσιον κατέχειν πεδίον ἐχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον· ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. (2) Ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν ἀπ' Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριήρων· οὓς εἰκαζον Αἰακίδας εἶναι παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. (3) Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Αὐκομήδης, ἀνὴρ Ἀθηναῖος τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. (4) Οἱ δ' ἄλλοι τοῖς βαρ- f βάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ' Ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

120 XVI. Μετὰ δὲ τὴν ναυμαχίαν Ξέρξης μὲν ἔτι θυ- a μομαχῶν πρὸς τὴν ἀπότευξιν ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ πεζὸν εἰς Σαλαμῖνα τοῖς Ἕλλησιν ἐμφράξας τὸν διὰ μέσου πόρον· (2) Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδου λόγῳ γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον, « ὅπως, ἔφη, τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν. » (3) Δυσχεραίνοντος δὲ τοῦ Ἀριστείδου καὶ λέγοντος ὅτι « Νῦν μὲν τρυφῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν καὶ πᾶσιν b αὐτὸς παρὼν διὰ τὸν κίνδυνον ἐπανορθώσεται τὰ παρειμένα καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων· οὐ τὴν οὖσαν οὖν, ἔφη, δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης· » (4) « Οὐκοῦν, εἶπεν ὁ Θεμιστοκλῆς, εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος. » (5) Ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρών, Ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς c μὲν Ἕλλησι δέδοκται τῷ ναυτικῷ κεκρατηκότας ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα καὶ λύειν τὴν γέφυραν· Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως παραινεῖ σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλατταν καὶ περαιοῦσθαι, μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. (6) Ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ γενόμενος περίφοβος διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. Καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως δια-

et sonitu fuisse repletum usque ad mare, perinde ac si multi simul homines mysticum Iacchum deducerent, et a multitudine vociferantium nubem paulatim a terra sursum ferri, deinde reverti et triremibus incumbere visum. (2) Alii spectra se imaginati sunt videre et simulacra armatorum virorum, qui ab Ægina manus Græcorum triremibus prætenderent, quos Æacidas esse conjectati sunt, votis ad auxilium ferendum ante pugnam vocatos. (3) Primus omnium Lycomedes Atheniensis, triremis præfectus, navem cepit, cujus insignia abscisa Apollini laurigero suspendit. (4) Reliqui barbaris pari multitudine occurrerunt et in angustiis singulatim obviam factos mutuoque sese impedientes adorti, resistentes usque ad vesperam, tandem pulerunt, pulcramque illam et celebrem, ut Simonides ait, victoriam obtinuerunt, qua nulla alia præclarior res neque a Græcis neque a barbaris mari gesta est, victoriam partam communi quidem omnium Græcorum, qui depugnavere, fortitudine, consilio tamen et sollertia Themistoclis.

XVI. Secundum hanc navalem pugnam Xerxes, frustrata commodi propositi spe ad bellum redintegrandum instigatus, conatus est per aggeres obturatoque medio freto copias terrestres Salaminem contra Græcos traducere. (2) Tum Themistocles, ut animum Aristidis exploraret, simulavit se statuisse in Hellespontum navigare et pontem demoliri, « ut Asiam, inquit, » in Europa capiamus. (3) Id improbatum graviter Aristidi, dicenti, nunc quidem pugnatum esse cum rege luxu soluto : « quem si incluserimus, inquit, in Græciam ac virum tantas sub se copias habentem metu ad necessitatem extremam compulerimus, non is otiosus subter aureo umbraculo pugnam spectabit, sed periculo motus omnia tentabit omnibusque rebus aderit, ut ea quæ neglexit resarciat, et de tota re meliora consilia inibit. Quapropter non is, qui nunc est pons, dejiciendus nobis, o Themistocles, sed, si fieri possit, alio insuper constructo, barbarus quam primum Europa nobis expellendus est. » (4) « Si hæc, respondit Themistocles, ita profutura videntur, agedum, rationem omnes ineamus, idque machinemur, ut confestim Græcia is excedat. » (5) Probata hac sententia Arnacem, unum ex eunuchis regiis inter captivos repertum, ad Xerxem mittit, eumque regi indicare jubet : statuisse Græcos navali prœlio victores, in Hellespontum navigare et pontem destruere ; Themistoclem autem, cui regis res magnæ sint curæ, suadere, ut propere suum mare repetat trajiciatque in Asiam, dum ipse moram sociis injiciendo, a persequendo eos detineat. (6) His auditis barbarus in summum adductus metum, celeriter discessit. Quam prudenter hoc Themistocles et Aristides egerint, pugna Plataica contra Mardonium evidens factum est : ibi enim de

γωνισάμενοι Πλαταιᾶσιν εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

XVII. Πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί d φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δὲ, καίπερ ἀκοντὶ ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. (2) Ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοὶ, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν Θεμιστοκλέα. (3) Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν θαλλοῦ στέφανον, καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. (4) Λέγεται δ' Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων καὶ παe ρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας ὅλην ἡμέραν ἐκεῖνον θεᾶσθαι καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας, ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

XVIII. Καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. (2) Αἱρεθείς τε γὰρ ναύαρχος ὑπὲρ τῆς πόλεως οὐδὲν οὔτε τῶν ἰδίων οὔτε τῶν κοινῶν κατὰ μέρος ἐχρημάτιζεν, ἀλλὰ πᾶν ἀνεβάλλετο τὸ προσπῖπτον εἰς τὴν ἡμέραν ἐκείf νην, καθ' ἣν ἐκπλεῖν ἔμελλεν, ἵν' ὁμοῦ πολλὰ πράττων πράγματα καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν μέγας εἶναι δοκῇ καὶ πλεῖστον δύνασθαι, τῶν τε νεκρῶν τοὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ τὴν θάλασσαν, ὡς εἶδε περικείμενα ψέλια χρυσᾶ καὶ στρεπτοὺς, αὐτὸς μὲν 121παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας εἶπεν, « Ἀνελοῦ a σαυτῷ· σὺ γὰρ οὐκ εἶ Θεμιστοκλῆς. « (3) Πρὸς δέ τινα τῶν καλῶν γεγονότων, Ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον, ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν, » Ὦ μειράκιον, εἶπεν, ὀψὲ μὲν, ἀμφότεροι δ' ἅμα νοῦν ἐσχήκαμεν. » (4) Ἔλεγε δὲ τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν καὶ κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης τίλλειν καὶ κολούειν. (5) Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν, « Ἀληθεύων λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος. » (6) Ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ b πόλει, θρασυνομένου πρὸς τὸν Θεμιστοκλέα καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος ἔφη τῇ ἑορτῇ τὴν ὑστεραίαν ἐρίσαι λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστὶν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες, τὴν δ' ἑορτὴν πρὸς ταῦτ' εἰπεῖν, « Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης σὺ οὐκ ἂν ἦσθα »· « κἀμοῦ τοίνυν, ἔφη, τότε μὴ γενομένου ποῦ ἂν ἦτε νῦν ὑμεῖς; » (7) Τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ καὶ δι' ἐκείνην αὐτῷ

summa rerum periclitatum fuit, cum tamen adversus exiguam copiarum Xerxis partem dimicaretur.

XVII. Virtutis palmam eo prœlio inter civitates Æginetas meruisse Herodotus auctor est : Themistocli autem, quanquam id invidiæ causa inviti nonnulli faciebant, omnes primam rei bene gestæ gloriam attribuerunt. (2) Nam cum digressi ad Isthmum suffragia de ea re ad aram ferrent duces, unusquisque eorum se ipsum virtute primum, proximum sibi Themistoclem fuisse pronunciavit. (3) Lacedæmonii vero Spartam eum abduxere ibique Eurybiadi fortitudinis, ipsi sapientiæ præmium dederunt, coronam olivæ frondibus contextam, currumque publicorum omnium præstantissimum ei dono dederunt, juvenesque trecentos miserunt, qui eum usque ad fines regionis deducerent. (4) Proximis ab eo Olympicis ludis cum ipse in stadium venisset, ferunt omnes qui tum aderant, decertantium nulla ratione habita, in ipso spectando bospitibusque demonstrando et applaudendo totam diem consumpsisse, adeo ut ipse quoque delectatus ea re, amicis confessus sit, se fructum laborum suorum, quos pro Græcia pertulisset, percepisse.

XVIII. Erat enim natura honoris cupidissimus, quod conjicere est ex iis, quæ de ipso feruntur. (2) Nam cum esset rei navali a civitate præfectus, nihil neque de privatis neque ad rempublicam pertinentibus negotiis sigillatim fecit, sed omnia in eum diem rejecit, quo erat navigaturus, ut multa simul negotia expediens, omnisque generis hominibus colloquens, magnus esse et plurimum posse judicaretur. Cumque inspiceret cadavera apud mare fluctu in littus ejecta, conspicatus quibusdam aurea monilia et torques adesse, ipse præteriens, amico comitanti ea ostendit, dixitque : « Tu tibi ea accipe : non es enim Themistocles. » (3) Antiphati cuidam, qui formosus aliquando insolentem se ipsi exhibuerat, tunc autem gloria hominis adductus colebat, « Heus, inquit, adolescens, sero quidem, sed tamen simul uterque sapuimus. » (4) Dicebat, se ab Atheniensibus neque honore affici neque admirationi ipsis esse, sed eos periculis ingruentibus ad ipsum confugere, quemadmodum sub platanum solent homines tempestate orta, quam facta serenitate carpant atque decurtent. (5) Seriphio quodam ei objiciente, non ipsum sua, sed civitatis gloria illustrem esse, « Vera, inquit, dicis, sed neque ego, si Seriphius fuissem, unquam clarus evasissem, neque tu, si Atlieniensis. » (6) Cum quidam dux belli alius eo, quod rem civitati utilem confecisse videretur, Themistocli se audacter opponeret ac suas res cum ipsius actionibus compararet : « Olim, inquit Themistocles, dies qui festum excipit cum festo contendit, illum occupationum et molestiarum plenum autumans, se autem orto, omnes per otium iis quæ prius essent parata, perfrui bonis. Ad hæc festus dies respondit : Est quidem ita, ut dicis : veruntamen nunquam tu exstitisses, nisi ego præcessissem. Ego quoque, inquit Themistocles, nisi quondam fuissem, ubi vos nunc essetis? » (7) Jocans in filium, insolentius matre atque

σκώπτων ἔλεγε πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν Ἀθηναίους, Ἀθηναίοις δ' αὐτὸν, αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον. (8) Ἴδιος δέ τις ἐν πᾶσι βουλόμενος εἶναι χωρίον μὲν πιπράσκων ἐκέλευε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει· τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας ἔφη ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός. Ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις ἦν.

XIX. Γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς Ἐφόρους, ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. (2) Ἦκε μὲν γὰρ εἰς Σπάρτην ὄνομα πρεσβείας ἐπιγραψάμενος· ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ ἄστυ καὶ Πολιάρχου κατηγοροῦντος ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας τοὺς κατοψομένους, ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς, ἅμα δὲ βουλόμενος ἀντ' αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις. (3) Ὃ καὶ συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς οὐκ ἠδίκησαν αὐτὸν, ἀλλ' ἀδήλως χαλεπαίνοντες ἀπέπεμψαν. (4) Ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε τὴν τῶν λιμένων εὐφυίαν κατανοήσας καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλατταν καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. (5) Ἐκεῖνοι μὲν γὰρ, ὡς λέγεται, πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάττης καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς ἐρίσαντα περὶ τῆς χώρας τοῦ Ποσειδῶ δείξασα τὴν μορίαν τοῖς δικασταῖς ἐνίκησε· (6) Θεμιστοκλῆς δ' οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν, ἀλλὰ τὴν πόλιν ἐξῆψε τοῦ Πειραιῶς καὶ τὴν γῆν τῆς θαλάττης· ὃ καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων καὶ θράσους ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἀφικομένης. (7) Διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ πεποιημένον ὥστ' ἀποβλέπειν πρὸς τὴν θάλασσαν ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι τὴν μὲν κατὰ θάλατταν ἀρχὴν γένεσιν εἶναι δημοκρατίας, ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας.

XX. Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς διενοήθη δυνάμεως. Ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος ἀπηλλαγμένου Ξέρξου κατῆρεν εἰς Παγασὰς καὶ διεχείμαζε, δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινὰ πρᾶξιν ἔχειν ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόρρητον δὲ πρὸς τοὺς πολλούς. Τῶν δ' Ἀθηναίων Ἀριστείδῃ φράσαι μόνῳ κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ περαίνειν, ὁ μὲν Θεμιστοκλῆς ἔφρασε τῷ Ἀριστείδῃ, τὸ νεώριον ἐμπρῆσαι διανοεῖσθαι τῶν Ἑλλήνων. (2) Ὁ δ' εἰς τὸν δῆμον παρελθὼν ἔφη τῆς πράξεως, ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτε λυσιτελεστέραν μήτε ἀδικωτέραν. Οἱ μὲν οὖν

eximde se quoque patre utentem, plurimum eum inter omnes Græcos potentiæ habere inquit : reliquis enim Athenienses Græcis imperare, Atheniensibus se, sibi uxorem, huic filium. (8) Omnino autem omnibus in rebus aliquid peculiare affectabat. Ideo prædium vendens, præconem jussit indicare, bonum esse ejus vicinum. De procis filiæ suæ probum diviti prætulit, malle se inquiens virum pecunia egentem, quam pecuniam viro. Hujusmodi fuere dicta Themistoclis.

XIX. Ceterum iis, quas dixi, rebus confectis, statim urbem instaurare atque muro cingere aggressus est, Ephoris pecunia corruptis, ne id impugnarent institutum : ut quidem Theopompus auctor est, nam plerique eos dolo ab ipso circumventos tradunt. (2) Venisse enim ipsum Lacedæmonem legationis specie prætexta : ibi cum Spartani urbis munitionem ei objicerent, missusque consulto ab Ægina Poliarchus eum accusaret, infitias ibat, mittique jubebat Athenas qui rem inspicerent : ita simul hac interjecta mora tempus muro faciendo prorogans, et hoc agens, ut hi Atheniensibus pro se obsidum loco essent. (3) Neque eum consilium fefellit. Veritate enim rei cognita Lacedæmonii, nulla affectum injuria, dimiserunt, obscure modo indignantes. (4) Secundum hæc Piræeum ædificavit, portuum opportunitatem conspicatus totamque urbem ad mare accommodans, ac quodammodo contra institutum priscorum Atheniensium regum contendens. (5) Hi enim ut a mari cives retraherent, et ad victum omissa navigatione parandum agriculturæ adsuefacerent, feruntur fabulam de Minerva sparsisse, quod in contentione de solo terræ ea contra Neptunum judicibus olea demonstrata vicerit. (6) Themistocles autem non, ut Aristophanes Comicus perhibuit, Piræeum urbi agglutinavit, sed totam urbem ad Piræeum terramque mari adaptavit; quæ res populo vires contra optimates audaciamque addidit, potentia ad nautas, remigum magistros rectoresque navium translata. (7) Itaque tribunal, quod in Pnyce positum mare spectabat, inferiori tempestate triginta tyranni ad terram obverterunt, rati maritimo imperio summam rerum ad populum deferri, paucorum vero principatum agricolis minus esse molestum.

XX. Sed Themistocles de potentia in mari obtinenda etiam majus adhuc aliud excogitavit consilium. Cum enim a discessu Xerxis Græcorum classis Pagasas subducta esset ibique hiemaret, in concione ad Athenienses dixit, habere se consilium utile quidem et salutare ipsis, sed id sciri vulgo, opus non esse : jussusque ab ipsis, ut cum Aristide id communicaret, ac si quidem is approbasset, exsequeretur rem, indicavit ei, se induxisse in animum incendere navale Græcorum. (2) Aristides ad populum progressus, consilio Themistoclis non esse neque utilius aliud ullum,

Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. (3) Ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων εἰσηγουμένων, ὅπως ἀπείργωνται τῆς Ἀμφικτυονίας αἱ μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθεὶς μὴ Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους ἐκβαλόντες τοῦ συνεδρίου παντελῶς ἐπικρατήσωσι τῶν ψήφων καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι καὶ μετέθηκε τὰς γνώμας τῶν Πυλαγόρων διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μετασχοῦσαι τοῦ πολέμου καὶ τούτων αἱ πλείους παντάπασι μικραί· δεινὸν οὖν εἰ τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδου γενομένης ἐπὶ ταῖς μεγίσταις δυσὶν ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. (4) Ἐκ τούτου μὲν οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε· διὸ καὶ τὸν Κίμωνα προήγοντο ταῖς τιμαῖς ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες.

XXI. Ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς περιπλέων τε τὰς νήσους καὶ χρηματιζόμενος ἀπ' αὐτῶν· οἷα καὶ πρὸς Ἄνδριους ἀργύριον αἰτοῦντά φησιν αὐτὸν Ἡρόδοτος εἰπεῖν τε καὶ ἀκοῦσαι. (2) Δύο γὰρ ἥκειν ἔφη θεοὺς κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ. (3) Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένου δι' ἀργύριον. (4) Λέγει δ' οὕτως·

Ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνεῖς
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω
ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον· ἐπεὶ Θεμιστοκλῆ' ἦχθαρε Λατὼ,
ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα
ἀργυρίοισι σκυβαλικοῖσι πεισθείς οὐ κατᾶγεν
εἰς πατρίδ' Ἰάλυσον·
λαβὼν δὲ τρί' ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων
ἀργυρίων ὑπόπλεως, Ἰσθμοῖ δ' ἐπανδόκευε γελοίως
ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γενέσθαι.

(5) Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή·

Μοῦσα τοῦδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

(6) Λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους. Ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν·

Οὐκ ἄρα Τιμοκρέων μοῦνος Μήδοισιν ὀρκιατομεῖ,
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί· οὐκ ἐγὼ μόνα κόλουρις
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

neque injustius dixit; quo sermone moti Athenienses, deponere id Themistoclem jusserunt. (3) In concilio Amphictyonum, cum Lacedæmonii retulissent de excludendis eo consessu urbibus quæ in belli contra Medos societate non fuissent, veritus Themistocles, ne Thessalis, Argivis, Thebanisque ex senatu ejectis, deinde omnino suffragiis Spartani prævalerent eorumque ex voluntate omnia fierent: patrocinatus est istis civitatibus, sententiamque Pylagoræ ut mutarent effecit, cum ostendisset, triginta tantum et unam civitatem belli participes fuisse, earumque plerasque admodum exiguas: fore itaque rem indignam, si omni Græcia a fœdere communi exclusa, duæ modo aut tres maximæ civitates concilium hoc sua in potestate haberent. (4) Hoc præsertim facto Lacedæmonios offendit; ideoque Cimon ab iis ad honores evectus est et adversarius in republica ei constitutus.

XXI. Confœderatis etiam molestus erat, circum insulas navigans, pecuniasque exigens: quod intelligi ex his potest, quæ eum in poscendo ab Andriis argento dixisse et audivisse Herodotus scribit. (2) Dicenti enim se duos secum deos adducere, Suadelam et Vim; responderunt, apud se quoque esse duo magna numina, a quibus pecuniam dare prohibeantur, Paupertatem et Inopiam. (3) Timocreon etiam Rhodius, lyricus poeta, quodam in carmine acerbius in Themistoclem invehitur: quod is, cum accepta pecunia aliis exsulibus reditum in patriam confecerit, ipsum hospitem suum amicumque propter pecuniam projecerit. (4) Versus ipsius sunt hujusmodi:

Quod si Pausanias magna tibi laude feratur,
seu tibi Xanthippus seu tibi Leutychidas:
ast ego Aristiden laudans: sanctis ab Athenis
quisquis eis, dicam, ille optimus unus eis.
Namque Themistoclea est Latona exosa, valentem
impietate, dolo, proditione virum,
hospitem Ialysium spurco qui captus ab auro
reddidit haud patrio Timocreonta solo.
Sed tribus acceptis in pestem abit ille talentis
restituens alios, ejiciens alios,
improbus; atque aliis opulentis ære necatis
quoslibet inde Isthmo ridiculo excipiens,
frigidulas carnes apponit: at illi epulantes
non anni optabant esse Themistoclea.

(5) Idem multo lasciviore ac solutiore usus est in Themistoclem linguæ petulantia, cum is damnatus in exsilium abiisset, composito carmine ejus rei gratia, cujus est initium:

Famam, age, huicce carmini,
Musa, per Græcos para:
namque par est atque justum.

(6) Ferunt autem, Timocreontem ob suspicionem inclinantis ad Medos voluntatis extorrem actum, sententia etiam Themistoclis damnatum. Itaque in Themistoclem, ut is ejusdem criminis insimulatus est, hæc ille scripsit:

Ergo Timocreon non jam, velut ante ferebant,
cum Medis solus jungit amicitiam:
non mihi jam soli mutilanda est cauda misellæ:
debetur pœna et vulpibus hæc aliis.

123 XXII. Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν a ἡδέως τὰς διαβολὰς προσιεμένων ἠναγκάζετο λυπηρὸς εἶναι τῶν αὐτοῦ πράξεων ἐν τῷ δήμῳ πολλάκις μνημονεύων καὶ πρὸς τοὺς δυσχεραίνοντας, « Τί κοπιᾶτε, εἶπεν, ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες; » (2) Ἡνίασε δὲ τοὺς πολλοὺς καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰσάμενος, ἣν Ἀριστοβούλην μὲν προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει καὶ τοῖς Ἕλλησι βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερόν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων οἱ δήμιοι προβάλλουσι καὶ τὰ ἱμάτια καὶ τοὺς βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρουσιν. (3) Ἔκειτο δὲ b καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον ἐν τῷ ναῷ τῆς Ἀριστοβούλης ἔτι καθ' ἡμᾶς· καὶ φαίνεταί τις οὐ τὴν ψυχὴν μόνην, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωικὸς γενόμενος. (4) Τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ καθαιροῦντες τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, οὓς φέροντο τῇ δυνάμει βαρεῖς καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρους εἶναι. (5) Κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμὸς, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμὸς ἡδομένου τῷ ταπεινοῦν τοὺς ὑπερέχοντας καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν ἀποπνέοντος.

XXIII. Ἐκπεσόντος δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος ἐν Ἄργει τὰ περὶ Παυσανίαν συμπεσόντα κατ' ἐκείνου παρέσχε τοῖς ἐχθροῖς ἀφορμάς. (2) Ὁ δὲ c γραψάμενος αὐτὸν προδοσίας Λεωβότης ἦν Ἀλκμαίωνος Ἀγραύλῃθεν, ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. (3) Ὁ γὰρ Παυσανίας πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν πρότερον μὲν ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον· ὡς δ' εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς, ἐθάρρησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν, τὰ γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ καὶ παροξύνων ἐπὶ τοὺς Ἕλληνας ὡς πονηροὺς καὶ ἀχαρίστους. (4) Ὁ δὲ τὴν μὲν δέησιν ἀπετρίψατο τοῦ Παυσανίου d καὶ τὴν κοινωνίαν ὅλως ἀπείπατο, πρὸς οὐδένα δὲ τοὺς λόγους ἐξήνεγκεν οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν, εἴτε παύσασθαι προσδοκῶν αὐτὸν εἴτ' ἄλλως καταφανῆ γενέσθαι σὺν οὐδενὶ λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον. (5) Οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος ἐπιστολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιστοκλέα· καὶ κατεβόων μὲν αὐτοῦ Λακεδαιμόνιοι, κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν, οὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα ταῖς προτέραις κατηγορίαις. (6) Διαβαλλόμενος γὰρ ὑπὸ τῶν ἐχθρῶν e πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκὼς μηδὲ βουλόμενος οὐκ ἄν ποτε βαρβάροις καὶ πολεμίοις αὐτὸν ἀποδόσθαι μετὰ τῆς Ἑλλάδος. (7) Οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ των κατηγορούντων ὁ δῆμος ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν καὶ ἄγειν κριθησόμενον αὐτὸν ἐν τοῖς Ἕλλησιν.

XXII. Jam invidia correpti cives etiam libenter calumnias contra ipsum admittebant: cogebatur itaque crebra suarum actionum apud populum commemoratione molestus vulgo esse, indigneque ferentibus, « Quid, aiebat, indigne fertis eos, quorum sæpe beneficia estis experti? » (2) Animos plebis contra se irritaverat etiam Dianæ templo exstructo, quam Aristobulen cognominaverat, quod ipse optime patriæ et Græcis consuluisset: id autem templum in Melita posuerat prope suam domum, quo loco nostro tempore cadavera supplicio affectorum carnifices projiciunt, vestesque et laqueos eorum qui suspensi et securi percussi fuerunt, eo efferunt. (3) Fuit et imaguncula Themistoclis in eo templo dedicata, mansitque usque ad nostram ætatem, ex qua apparet, eum virum non animo tantum heroico fuisse, sed et vultu eum indicasse. (4) Quapropter ostracismo facto, dignitatem ejus et auctoritatem Athenienses diminuerunt: quemadmodum solebant agere cum omnibus iis, quos potentia nimia graves et ad æqualitatem popularem non satis compositos esse judicabant. (5) Neque enim supplicii genus fuit ostracismus, sed invidiæ adversariorum quodammodo satisfaciebat, eamque mitigabat, cum viros præcellentes deprimendo voluptas æmulis adferretur, odiumque per hanc ignominiam illatam quasi exhalaret.

XXIII. Themistocle urbe ejecto et Argis commorante, Pausaniæ casus inimicis ipsum calumniandi occasionem præbuit. (2) Proditionis accusatus est a Leobote Alcmæonis filio Agraulææ tribus, adstipulantibus huic accusationi Spartanis. (3) Etenim Pausanias cum proditionem omnino istam moliretur, initio clam Themistocle, quantumvis amico, id consilium habuerat: cum autem eum civitate excidisse, idque graviter ferre videret, ausus fuerat eum ad societatem sui instituti ineundam adhortari, litteris eum regis ostensis instigans contra Græcos, improbam et ingratam gentem. (4) At Themistocles et totam Pausaniæ petitionem repudiavit et omne commercium recusavit: rem tamen ipsam neque apud quenquam evulgavit, neque indicium ejus detulit, sive destiturum eum incepto ratus, sive alioquin deprehensum iri, ut qui res absurdas et periculosas nulla cum ratione tentaret. (5) Ceterum Pausania propterea capitali supplicio affecto, repertæ quædam epistolæ et scripta ea de re in suspicionem adduxerunt Themistoclem. Inde Lacedæmonii eum objurgaverunt, inde invidi cives accusaverunt non præsentem, sed per epistolas se purgantem inprimis prioribus criminibus. (6) Nam ad inimicorum calumnias civibus scripsit, se, qui imperare quidem cuperet, ad parendum autem neque natura esset neque voluntate proclivis, nunquam profecto se ipsum ac Græciam barbaro in servitutem fuisse traditurum. (7) Nihilominus accusatores persuaserunt populo, ut viros mitteret, qui eum comprehenderent et in judicium ad Græcos attraherent.

XXIV. Προαισθόμενος δ' ἐκεῖνος εἰς Κέρκυραν διεπέρασεν, οὐσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. Γενόμενος γὰρ αὐτῶν κριτὴς πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε τὴν ἔχθραν εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους καταβαλεῖν καὶ Λευκάδα κοινῇ νέμειν ἀμφοτέρων ἄποικον. (2) Ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων ἔβριψεν αὑτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους καταφυγὼν πρὸς Ἄδμητον, ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεὶ καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος. (3) Ἐν δὲ τῇ τότε φυγῇ μᾶλλον ὁ Θεμιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτὸν ἱκέτης τοῦ Ἀδμήτου καταστὰς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. Ἔχων γὰρ αὐτοῦ τὸν υἱὸν ὄντα παῖδα πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναντίῤῥητον ἡγουμένων ἱκεσίαν τῶν Μολοσσῶν. (4) Ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ, τινὲς δ' αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. (5) Ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν, ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. (6) Εἴτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν εἰς Σικελίαν καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν, ἀποστρεψαμένου δὲ τοῦ Ἱέρωνος οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.

XXV. Ταῦτα δ' οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι. Θεόφραστος γὰρ ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα, πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. (2) Θουκυδίδης δέ φησι καὶ πλεῦσαι αὐτὸν ἐπὶ τὴν ἑτέραν καταβάντα θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος ὅστις εἴη τῶν πλεόντων, μέχρις οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης ὑπ' Ἀθηναίων πολιορκουμένην τότε φοβηθεὶς ἀναδείξειεν ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ καὶ τὰ μὲν δεόμενος, τὰ δ' ἀπειλῶν καὶ λέγων, ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες, ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς ἀναλάβοιεν αὐτὸν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας. (3) Τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει, τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεό-

XXIV. Quod ipse præsentiens, Corcyram trajecit, quam suo jam ante beneficio obstrictam sibi habebat. Judex enim controversiæ eorum contra Corinthios sumptus, ita eam dijudicaverat, ut Corinthios pendere Corcyrensibus viginti talenta, et Leucadem, quæ utrorumque erat colonia, communem ambabus civitatibus esse jusserit. (2) Inde in Epirum fugit: persequentibusque Atheniensibus et Lacedæmoniis, ad Molossorum regem Admetum confugit. Quo quidem tempore in grave se et anceps discrimen dedit. Admetus enim quondam ab Atheniensibus quandam rem petens, Themistoclis tum in republica florentis opera contumeliosam repulsam passus fuerat: ideoque semper ei iratus rex, haud dubie videbatur acceptam injuriam vindicaturus, si quidem eum comprehendisset. (3) Verum in hac sua fuga Themistocles suorum recentem invidiam magis metuens, quam regis antiquam iram, statuit supplicare Admeto, nova quidem et inusitata ratione: filium enim regis puerum amplexus, ad focum ejus se projecit, quem Molossi efficacissimum supplicandi modum existimant et fere solum qui non rejiciatur. (4) Quidam hanc supplicandi rationem edoctum Themistoclem a Phthia uxore Admeti ferunt, quæ filium suum ei ad focum apposuerit: alii contra Admetum ipsum religionis necessitate interposita, ut virum persequentibus ne traderet, hanc supplicationis tragœdiam composuisse partesque suas suscepisse autumant. (5) Eodem Themistocli Epicrates Acharnensis uxorem et liberos ejus misit, quos furtim Athenis abduxerat: ejusque facti causa post a Cimone in judicium pertractum hunc et morte affectum, Stesimbrotus scribit. (6) Idem, nescio quo pacto, horum oblitus, aut oblitum fuisse Themistoclem judicans, postea scribit, eum inde in Siciliam navigasse, pollicitumque Hieroni tyranno, si filiam suam matrimonio sibi jungeret, velle se Græcos in potestatem ejus redigere, recusanteque Hierone, in Asiam abiisse.

XXV. Hæc ita acta fuisse, non est versimile. Nam Theophrastus in opere de Regno scribit, missos ab Hierone ad ludos Olympicos fuisse equos qui certarent, tabernaculumque pretiosum exstructum: ibi Themistoclem Græcis oratione habita ostendisse, tabernaculum id tyranni dejiciendum equosque certamine prohibendos esse. (2) Thucydides narrat, eum ad alterum mare profectum, a Pydna solvisse: ac tam diu quis esset, omnes, qui una in navi essent, celasse, dum navigium vi venti ad Naxum insulam quæ tum ab Atheniensibus oppugnabatur detruderetur: ibi demum timore adductum se nauclero ac gubernatori patefecisse partimque orando partim minando se coram Atheniensibus crimen in ipsos ficturum, quasi non ignotum initio, sed muneribus corrupti in navim accepissent, eo compulisse, ut Naxum prætervecti Asiam peterent. (4) Magna vis pecuniæ furtim ex bonis ejus ab amicis est erepta, eamque is secum in Asiam abduxit. Ceterum istius, quæ inventa et in ærarium redacta est, summam Theopompus indicat cen-

φραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.

XXVI. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην καὶ πολλοὺς ἤσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, μάλιστα δὲ τοὺς περὶ Ἐργοτέλη καὶ Πυθόδωρον (ἦν γὰρ ἡ θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι, διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως), ἔφυγεν εἰς Αἰγὰς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο καὶ τοῖς ἄνω δυνατοῖς γνώριμος ὑπῆρχε. (2) Παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτριψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων γενόμενος καὶ θεοφόρητος ἀνεφώνησε μέτρῳ ταυτί·

Νυκτὶ φωνὴν, νυκτὶ βουλὴν, νυκτὶ τὴν νίκην δίδου.

(3) Καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς ὄναρ ἔδοξεν ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον καὶ προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετὸν, ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδὸν, εἶτα χρυσείου τινὸς κηρυκείου φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτὸν ἀμηχάνου δείματος καὶ ταραχῆς ἀπαλλαγέντα. (4) Πέμπεται δ' οὖν ὑπὸ τοῦ Νικογένους μηχανησαμένου τι τοιοῦτον. Τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ μάλιστα τὸ Περσικὸν εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐστιν· οὐ γὰρ μόνον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας ἰσχυρῶς παραφυλάττουσιν, ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτὸς, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. (5) Τοιαύτης τῷ Θεμιστοκλεῖ κατασκευασθείσης ἀπήνης καταδὺς ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας πρός τινα τῶν ἐπὶ θύραις βασιλέως.

XXVII. Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν, Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. (2) Τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. (3) Ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. (4) Ὁ δέ φησιν, « Ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων, ἄλλα δ' ἄλλοις καλὰ, καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. Ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος, ἡμῖν δὲ πολλῶν

tum talenta, Theophrastus octoginta : cum quidem priusquam rempublicam attigisset, bona ejus ne trium quidem talentorum pretio æstimata fuissent.

XXVI. Cum Cumam appulisset ac multos maritimos animadverteret sibi capiendo intentos, præsertim vero Ergotelem ac Pythodorum (quippe cum rex ducenta talenta pretium ei edixisset, qui eum ad se adduceret, iis qui lucrum quacunque ex re expetunt, admodum commodum videbatur hominem investigare), Ægas, quod est Æoliæ oppidulum, confugit, omnibus ignotus, præterquam Nicogeni hospiti suo viro Æolum ditissimo, et cui cum superioris Asiæ proceribus notitia intercederet. (2) Apud hunc aliquot dies delituit : quibus exactis, secundum cœnam Olbius, filiorum Nicogenis pædagogus, sacris quibusdam peractis furore divinitus concitus, hunc versum exclamavit :

Nocti vocem, eidem consilia, victoriamque adscribito.

(3) Post hoc vaticinium Themistocles, cum se quieti dedisset, vidit in somnis draconem ventrem suum circumplicare, sursumque ad collum serpere, et ubi faciem ipsius attigisset, in aquilam mutari, alisque circumdatis ipsum sublimem magnum spatium auferre, tum aureum caduceum apparere, seque supra eo firmiter constitui, ingente terrore ac pertubatione liberatum. (4) Dimittitur igitur a Nicogene, qui hujusmodi dolum comminiscitur : cum plerique barbari, tum vero præcipue Persæ suspicionibus de mulierum pudicitia natura vehementer obnoxii, in iisque atroces et difficiles sunt, itaque non modo conjuges suas, sed et emptitias concubinas et pellices accurata observant custodia, ita ut a nemine alio conspiciantur, sed domi inclusæ vitam exigant, in itinere autem faciendo eædem sub tentoriis circumcirca obseptis supra curribus vehuntur : (5) hujusmodi rheda confecta Themistocli, in ea tectus ferebatur, comites autem interrogati ab obviis, quid veherent, quoque tempore responderunt, Græcam se mulierculam ex Ionia cuidam regis cubiculario adducere.

XXVII. Thucydides et Charon Lampascenus narrant, Xerxe jam ante defuncto, ad filium ejus venisse Themistoclem : Ephorus, Dino, Clitarchus, Heraclides, aliique complures ad ipsum Xerxem delatum scribunt. (2) Videtur autem Thucydides annales magis secutus, quanquam et hi ipsi non satis accurate inter se congruunt. (3) Themistocles cum jam in præsens discrimen venisset, primo omnium convenit Artabanum militum præfectum, eique exponit, Græcum se esse, cupere autem cum rege de maximis rebus, et in quibus ille plurimum studii poneret, colloqui. (4) Cui Artabanus, « Leges, inquit, o hospes, « aliæ sunt apud alios homines, diversaque apud diversos « honesta judicantur, omnibus tamen ex æquo pulchrum « videtur, suas ornare et conservare leges. Vos audio præ « omnibus aliis rebus libertatem æqualitatemque admirari :

νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. (5) Εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοὶ καὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν, εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν· βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος. » (6) Ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· « Ἀλλ' ἔγωγε τὴν βασιλέως, « ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι « καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ « θεῷ τῷ μεγαλύναντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ « πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν· ὥστε τοῦ- « το μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι « πρὸς ἐκεῖνον εἰπεῖν. » (7) « Τίνα, δ' εἶπεν ὁ Ἀρτάβανος, Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; οὐ γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας. » Καὶ ὁ Θεμιστοκλῆς, « Τοῦτ' οὐκέτ' ἂν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως. » (8) Οὕτω μὲν ὁ Φανίας φησίν· ὁ δ' Ἐρατοσθένης ἐν τοῖς περὶ πλούτου προσιστόρησε διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

XXVIII. Ἐπειδὴ οὖν εἰσήχθη πρὸς βασιλέα καὶ προσκυνήσας ἔστη σιωπῇ, προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος εἶπεν, « Ἥκω σοι, βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ φυγὰς ὑφ' Ἑλλήνων διωχθείς, ᾧ πολλὰ μὲν ὀφείλουσι κακὰ Πέρσαι, πλείω δὲ ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης παρέσχε τὰ οἴκοι σωζόμενα χαρίσασθαί τι καὶ ὑμῖν. (2) Ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστι, καὶ παρεσκευασμένος ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου καὶ παραιτεῖσθαι μνησικακοῦντος ὀργήν. Σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς μάρτυρας θέμενος ὧν εὐεργέτησα Πέρσας ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς· σώσεις μὲν γὰρ ἱκέτην σὸν, ἀπολεῖς 126δ' Ἑλλήνων πολέμιον γενόμενον. » (3) Ταῦτ' εἰπὼν ὁ Θεμιστοκλῆς ἐπεθείασε τῷ λόγῳ προσδιελθὼν τὴν ὄψιν, ἣν εἶδεν ἐν Νικογένους, καὶ τὸ μάντευμα τοῦ Δωδωναίου Διὸς, ὡς κελευσθεὶς πρὸς τὸ ὁμώνυμον τοῦ θεοῦ βαδίζειν συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι· μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγεσθαι βασιλέας. (4) Ἀκούσας δ' ὁ Πέρσης ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο, καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ, μακαρίσας δὲ πρὸς τοὺς φίλους ἑαυτὸν, ὡς ἐπ' εὐτυχίᾳ μεγίστῃ καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαι τοῖς θεοῖς λέγεται καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων βοῆσαι τρὶς « Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον. »

XXIX. Ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους εἰσήγαγεν αὐτὸν μηδὲν ἐλπίζοντα χρηστὸν ἐξ ὧν ἑώρα τοὺς ἐπὶ θύραις, ὡς ἐπύθοντο τοὔνομα, παρόντος αὐτοῦ

« apud nos autem cum multæ sint ac pulcræ leges, ea omni-
« um præstantissima est, quæ honorare regem, adorare-
« que eum, tanquam dei omnia conservantis effigiem, ju-
« bet. (5) Quare si nostros mores probas et genua flectere
« coram rege vis, videndi tibi compellandique ejus facul-
« tas erit : sin aliter sentis, internunciis ad eum utendum
« tibi est. Regi enim leges patriæ non permittunt, ut
« homini qui ipsi non supplicaverit, aures accommodet. »
(6) Ad hæc Themistocles : « Ego vero, Artabane, regis
vestri gloriam atque potentiam augendi causa veni : ita-
que et ipse parebo vestris legibus, quando ita visum deo
qui Persas extollit, et propter me plures, quam nunc sunt,
erunt qui regem adorent; quare nihil hoc impedit quominus
cum rege colloquar. » (6) « Quod autem, inquit Artabanus,
nomen tibi esse regi indicabo? neque enim vulgaris nomi-
nis animum præ te fers. « Tum Themistocles : » Nomen,
Artabane, meum nemo quisquam rege prior audiet. » (8) Hæc
narratio est Phaniæ. Eratosthenes in opere de Divitiis,
narrationi id adjecit, fuisse Themistocli aditum ad Artaba-
num atque congressum paratum ab hujus muliere, quæ
natione fuerit Eretrica.

XXVIII. Ut ad regem introductus est eoque adorato tacitus constitit, interpres jussu regis eum, quis esset, interrogavit. Rogante interprete Themistocles respondit : « Venio ad te, o rex, Themistocles ego ille Atheniensis, in « exsilium pulsus, quem Græci prosequuntur; multa quidem « mihi mala accepta habent ferenda Persæ, plura tamen « iis bona, quod rebus Græciæ jam extra periculum con- « stitutis occasionem salva patria vobis gratificandi non « neglexi, sed meos a persequendis vobis prohibui. (2) Ego « quidem ita me plane composui, ut conveniens est fortunæ « meæ : paratus enim adsum et ad beneficia a te accipienda, « si benigne reconciliatus mihi sis; et si adhuc irascaris « ob accepta damna, ad deprecandum. Tu autem cum « ipsos meos inimicos meorum in vos meritorum testes « habeas, utere fortuna mea potius ad virtutis tuæ testifica- « tionem, quam ad iræ expletionem : illud enim si feceris, « supplicem tuum servabis; sin hoc, Græcorum hostem « perdes. » (3) Ad hæc verba, quo divinitatis etiam aliquo testimonio auctoritatem iis pararet, insomnii in Nicogenis domo visi narrationem adjecit : recitavitque oraculum a Jove Dodonæo sibi datum, nimirum se jussum ad cognominem deo ei proficisci, intellexisse ad regem se mitti : nam huic cum Jove magni regis nomen esse commune. (4) Hæc cum audivisset Persa, etsi admiratus animi magnitudinem in eo viro audaciamque, nihil tamen respondit : se ipsum vero apud amicos cum beatum prædicasset, tanquam maximo sibi fortunæ beneficio oblato, comprecatus Arimanium, ut semper eum hostibus animum daret, quo optimos suorum ejicerent, fertur sacrificasse diis et inde statim ad pocula se contulisse noctuque in medio somno præ lætitia ter exclamasse, « Habeo Themistoclem Atheniensem. »

XXIX. Prima luce convocatis amicis, Themistoclem ad eos introduxit, nihil quidem boni sperantem, quod videret aulicos nomine audito, quod adesset indignari et maledi-

χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. (2) Ἔτι δὲ Ῥωξάνης ὁ χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιστοκλῆς προσιών, καθημένου βασιλέως καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα στενάξας εἶπεν, « Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλέως σε δαίμων δεῦρο ἤγαγεν. (3) Οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος αὐτοῦ καὶ πάλιν προσκυνήσαντος ἀσπασάμενος καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὐτὸν ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι· πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο καὶ παρεθάρρυνε καὶ λέγειν ἐκέλευε περὶ τῶν Ἑλληνικῶν ἃ βούλοιτο παῤῥησιαζόμενον. (4) Ὁ δὲ Θεμιστοκλῆς ἀπεκρίνατο τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη, συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν· ὅθεν αὐτῷ χρόνου δεῖν. (5) Ἐπεὶ δ' ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ καὶ λαμβάνειν κελεύσαντος ἐνιαυτὸν αἰτησάμενος καὶ τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι· πολλῶν δὲ καινοτομουμένων περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ περὶ ἐκείνων παῤῥησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. (6) Οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ ταῖς τῶν ἄλλων ἐοικυῖαι ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέσχε καὶ τῶν οἴκοι διατριβῶν, ὥστε καὶ μητρὶ τῇ βασιλέως εἰς ὄψιν ἐλθεῖν καὶ γενέσθαι συνήθης, διακοῦσαι δὲ καὶ τῶν μαγικῶν λόγων, τοῦ βασιλέως κελεύσαντος. (7) Ἐπειδὴ δὲ Δημάρατος ὁ Σπαρτιάτης αἰτήσασθαι δωρεὰν κελευσθεὶς ᾐτήσατο τὴν κίταριν, ὥσπερ οἱ βασιλεῖς, ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιθροπαύστης μὲν ἀνεψιὸς ὢν βασιλέως εἶπε τοῦ Δημαράτου τῆς χειρὸς ἁψάμενος, « Αὕτη μὲν ἡ κίταρις οὐκ ἔχει ἐγκέφαλον, ὃν ἐπικαλύψει, σὺ δ' οὐκ ἔσῃ Ζεὺς ἂν λάβῃς κεραυνόν· » ἀπωσαμένου δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα τοῦ βασιλέως καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτὸν, ὁ Θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλλαξε. (8) Λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ Περσικαὶ πράξεις ταῖς Ἑλληνικαῖς συνανεκράθησαν, ὁσάκις δεηθεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν ἕκαστον, ὡς μείζων ἔσοιτο παρ' αὐτῷ Θεμιστοκλέους. (9) Αὐτὸν δὲ Θεμιστοκλέα φασὶν ἤδη μέγαν ὄντα καὶ θεραπευόμενον ὑπὸ πολλῶν, λαμπρᾶς ποτε τραπέζης παρατεθείσης, πρὸς τοὺς παῖδας εἰπεῖν, « Ὦ παῖδες, ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα. » (10) Πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα· δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν, εἰς στρωμνὴν καὶ ἀμπεχόνην.

XXX. Καταβαίνοντι δ' αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις ἐπὶ θάλατταν Πέρσης ἀνὴρ Ἐπιξύης ὄνομα

cere. (2) Prætera Roxanes tribunus militum, cum apud se transiret Themistocles, sedente rege aliisque silentibus, tacite cum gemitu dixerat : « Græce serpens varie, te genius regis huc adduxit. » (3) Sed eum rex, cum in conspectum sibi venisset, iterumque in genua procubuisset, comiter salutavit dixitque eum jam quidem sibi ipsi ducenta talenta meruisse; cum enim ipse venerit, par esse ut id præmium, quod fuisset ei-qui adduceret promissum, accipiat : multa autem præterea alia se daturum promisit, bonoque animo esse jussit, libereque de rebus Græcis, quæ vellet, dicere. (4) Ad ea Themistocles respondit : hominis sermonem similem esse aulæorum; quemadmodum enim ea si explicentur, figuras ostendant intextas, sin contrahantur et arctentur, easdem occultent ac corrumpant; itaque petere se dilationem dicendi. (5) Quam cum rex ea comparatione delectatus ipsi concessisset, annuum sibi spatium impetravit, eoque tempore cum Persicam linguam perdidicisset, ipse deinde cum rege suis verbis collocutus est. Etsi autem ii, qui erant extra aulam, credebant, eum de rebus Græcis cum rege communicare, interim tamen, quia multa in aula et de amicis regiis eo tempore novabantur, invidia potentium laborare cœpit, suspicantium eum de ipsis quoque libere quædam regi dicere ausum fuisse. (6) Honores longe quam aliis hospitibus ampliores ipsi a rege habiti; nam et in venationibus aderat et domi conversabatur, adeo ut matrem etiam regis videret familiarisque fieret, magicos etiam sermones jussu regis audiebat. (7) Demaratus Spartanus jussus a rege aliquid muneris petere, postularat ut liceret sibi imposito capiti diademate regio Sardes equo intrare; tum Mitropaustes regis consanguineus, manu Demarati apprehensa, « Hæc quidem, inquit, tiara aliud caput, quod velet, habet nullum, neque tu sane accepto fulmine, ideo Juppiter eris; » et cum rex petitione hac ad iram concitatus, Demaratum a se repulisset, videreturque nullo modo ei reconciliari posse, Themistocles precibus suis eum homini placavit. (8) Ferunt etiam posteriores reges, sub quibus majus rerum Persicarum cum Græcis factum est commercium, cum aliquid a Græco homine peterent, inusu habuisse, ut ei per literas pollicerentur, majorem eum Themistocle apud se futurum. (9) Ipsum Themistoclem memorant, cum jam multum valeret et a multis coleretur, splendido apposito quondam cœnæ apparatu, ad pueros dixisse : « Equidem perieramus, o pueri, nisi periissemus. » (10) Plerique auctores tradunt, datas ei fuisse tres civitates, quarum e reditibus panem, vinum, et obsonia pararet, Magnesiam, Lampsacum et Myuntem : duas addunt ad vestem stragulam et amictum ei concessas Neanth Cyzicenus et Phanias, nimirum Percoten et Palæscepsin.

XXX. Cum rerum Græcarum causa ad mare descenderet, Epixyes Persa, satrapa superioris Phrygiæ, insidiatus

σατραπεύων τῆς ἄνω Φρυγίας ἐπεβούλευσε, παρεσκευακὼς ἔκπαλαι Πισίδας ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει Λεοντοκεφάλῳ γενόμενος καταυλισθῇ. (2) Τῷ δὲ λέγεται καθεύδοντι μεσημβρίας τὴν Μητέρα τῶν θεῶν ὄναρ φανεῖσαν εἰπεῖν, « Ὦ Θεμιστόκλεις, ὑστέρει κεφαλῆς λέοντων, ἵνα μὴ λέοντι περιπέσῃς. Ἐγὼ δὲ ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν. » (3) Διαταραχθεὶς οὖν ὁ Θεμιστοκλῆς προσευξάμενος τῇ θεῷ τὴν μὲν λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν καὶ παραλλάξας τὸν τόπον ἐκεῖνον ἤδη νυκτὸς οὔσης κατηυλίσατο. (4) Τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς αὐλαίας διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον· οἱ δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν Θεμιστοκλέους κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. Ὡς δ' ἐγγὺς γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες καὶ συλλαμβάνουσι. (5) Διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς θεοῦ ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Δινδυμήνης καὶ τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.

XXXI. Ὡς δ' ἦλθεν εἰς Σάρδεις καὶ σχολὴν ἄγων ἐθεάσατο τῶν ἱερῶν τὴν κατασκευὴν καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε καὶ ἐν Μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς, ὅτε τῶν Ἀθήνησιν ὑδάτων ἐπιστάτης ἦν, εὑρὼν τοὺς ὑφῃρημένους τὸ ὕδωρ καὶ παροχετεύσαντας ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος. (2) Εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀναθήματος εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς Ἀθηναίοις, ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν αἰτούμενος ἀποστεῖλαι τὴν κόρην εἰς τὰς Ἀθήνας. (3) Χαλεπαίνοντος δὲ τοῦ βαρβάρου καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιστολήν, φοβηθεὶς ὁ Θεμιστοκλῆς εἰς τὴν γυναικωνῖτιν κατέφυγε καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας χρήμασιν ἐκεῖνόν τε κατεπράϋνε τῆς ὀργῆς καὶ πρὸς τὰ ἄλλα παρεῖχεν ἑαυτὸν εὐλαβέστερον ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. (4) Οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας καὶ τιμώμενος ὁμοια Περσῶν τοῖς ἀρίστοις ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι προσέχοντος τοῦ βασιλέως ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. (5) Ὡς δ' Αἴγυπτός τ' ἀφισταμένη βοηθούντων Ἀθηναίων καὶ τριήρεις Ἑλληνικαὶ μέχρι Κύπρου καὶ Κιλικίας ἀναπλεύσασαι καὶ Κίμων θαλαττοκρατῶν ἐπέστρεψεν αὐτὸν ἀντεπιχειρεῖν τοῖς Ἕλλησι καὶ κωλύειν αὐξανομένους ἐπ' αὐτὸν, ἤδη δὲ καὶ δυνάμεις ἐκινοῦντο καὶ στρατηγοὶ διεπέμποντο καὶ κατέβαινον εἰς Μαγνησίαν ἀγγελίαι πρὸς Θεμιστοκλέα τῶν Ἑλληνικῶν ἐξάπτεσθαι κελεύοντος βασιλέως καὶ βεβαιοῦν τὰς

est, subornatis jampridem Pisidis, qui eum interficerent, si Leontocephali pernoctaret. (2) At ei meridianti perhibent per somnum apparuisse Matrem deûm ac dixisse : « O Themistocles, cave tibi a capite leonum, ne in leonem incidas : ego autem pro hoc beneficio tuam Mnesiptolemam mihi famulam dari postulo. » (3) Themistocles perturbatus, factis deæ votis, via communi relicta aliaque profectus, nocte jam facta, tentorio posito quieti se dedit. (4) Ibi cum forte unum ex jumentis, quæ tabernaculi tapetas portabant, in fluvium decidisset, famuli Themistoclis aulæa madefacta extenderunt et resiccarunt. Interim Pisidæ cum gladiis accurrerunt. Cumque aulæa ad siccandum suspensa non satis recte per lunam viderent, putantes tentorium esse Themistoclis atque in eo se ipsum dormientem reperturos, propius aggressi aulæam sustulerunt, in eoque a custodibus Themistoclis deprehensi et capti sunt. (5) Is hoc periculo evitato visionem deæ admiratus, templum Dindymenes condidit Magnesiæ, eique filiam suam Mnesiptolemam sacerdotem constituit.

XXXI. Postquam Sardes venit, vivens in otio templorum apparatum et donariorum multitudinem contemplatus est. Ibi in Magnæ matris fano conspexit virginem ex ære aquiferam, magnitudine bicubitalem, quam ipse quondam Athenis aquas præfectus confectam ex ea pecunia, qua eos mulctavisset qui aquam subtraxissent aliove derivassent, dedicaverat. (2) Ea visa, sive ejus donarii captivitatem dolens, sive ut ostenderet Atheniensibus quantum honoris et potentiæ apud regem sibi esset, Lydiæ præfectum compellavit, ab eoque flagitavit, ut ea statua Athenas remitteretur. (3) Barbaro exasperato seque regem de hac ejus petitione certiorem per epistolam facturum dicente, territus in gynæceum confugit demeritisque argento dato pellicibus, iram præfecti delinivit : ipse in reliquis rebus eo cautior fuit, quod jam etiam barbarorum metueret invidiam. (4) Non enim per Asiam vagatus est, quod ait Theopompus, sed Magnesiæ habitans, maximorumque donorum fructum percipiens, et non in minore honore, quam Persarum præstantissimi quique, habitus, multum temporis securus ab omni metu transegit : rege ita superioris Asiæ negotiis detento, ut non magnam Græcarum rerum curam gereret. (5) Cujus animum postquam Ægyptiorum defectio, quam auxilio Atheniensium fecerant, triremesque Græcæ usque ad Cyprum et Ciliciam navigantes, Cimonque maris imperium obtinens, ad Græcos vicissim invadendos et adversus ipsum crescentium prohibenda incrementa converterunt : ibi tandem et exercitus contrahi et duces hinc inde dimitti cœperunt ac per nuntios Magnesiam ablegatos Themistocli rex mandavit, ut res Græcorum capesceret et promissis satisfaceret. Quo allato nuntio

ὑποσχέσεις, οὔτε δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν πολιτῶν οὔτε ἐπαρθεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν πόλεμον, ἀλλ' ἴσως μὲν οὐκ ἐφικτὸν ἡγούμενος τὸ ἔργον, ἄλλως τε μεγάλους τῆς Ἑλλάδος ἐχούσης στρα-
128 τηγοὺς τότε καὶ Κίμωνος ὑπερφυῶς εὐημεροῦντος ἐν τοῖς Ἑλληνικοῖς, τὸ δὲ πλεῖστον αἰδοῖ τῆς τε δόξης τῶν πράξεων ἑαυτοῦ καὶ τῶν τροπαίων ἐκείνων ἄριστα βουλευσάμενος ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπουσαν ἔθυσε τοῖς θεοῖς καὶ τοὺς φίλους συναγαγὼν καὶ
10 δεξιωσάμενος, ὡς μὲν ὁ πολὺς λόγος, αἷμα ταύρειον πιὼν, ὡς δ' ἔνιοι, φάρμακον ἐφήμερον προσενεγκάμενος, ἐν Μαγνησίᾳ κατέστρεψε πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη καὶ τὰ πλεῖστα τούτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. (6) Τὴν δ' αἰτίαν τοῦ θανάτου καὶ τὸν
15 τρόπον πυθόμενον βασιλέα λέγουσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα καὶ τοῖς φίλοις αὐτοῦ καὶ οἰκείοις χρώμενον διατελεῖν φιλανθρώπως.

XXXII. Ἀπέλιπε δὲ Θεμιστοκλῆς παῖδας ἐκ μὲν b Ἀρχίππης τῆς Λυσάνδρου τοῦ Ἀλωπεκῆθεν Ἀρχέπτο-
20 λιν καὶ Πολύευκτον καὶ Κλεόφαντον· οὗ καὶ Πλάτων ὁ φιλόσοφος ὡς ἱππέως ἀρίστου, τἆλλα δ' οὐδενὸς ἀξίου γενομένου μνημονεύει. (2) Τῶν δὲ πρεσβυτάτων Νεοκλῆς μὲν ἔτι παῖς ὢν ὑφ' ἵππου δηχθεὶς ἀπέθανε, Διοκλέα δὲ Λύσανδρος ὁ πάππος υἱὸν ἐποιήσατο.
25 (3) Θυγατέρας δὲ πλείους ἔσχεν, ὧν Μνησιπτολέμαν μὲν ἐκ τῆς ἐπιγαμηθείσης γενομένην Ἀρχέπτολις ὁ ἀδελφὸς οὐκ ὢν ὁμομήτριος ἔγημεν, Ἰταλίαν δὲ Πανθοίδης ὁ Χῖος, Σύβαριν δὲ Νικομήδης Ἀθηναῖος· Νι-
κομάχην δὲ Φρασικλῆς ὁ ἀδελφιδοῦς Θεμιστοκλέους c
30 ἤδη τετελευτηκότος ἐκείνου πλεύσας εἰς Μαγνησίαν ἔλαβε παρὰ τῶν ἀδελφῶν, νεωτάτην δὲ πάντων τῶν τέκνων Ἀσίαν ἔθρεψε. (4) Καὶ τάφον μὲν αὐτοῦ λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ Πρὸς
35 τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους (ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς), ὅ τε Φύλαρχος ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας καὶ προα- d
γαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν υἱοὺς Θεμιστο-
40 κλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται. (5) Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς Περὶ τῶν μνημάτων εἴρηκεν, ὡς ὑπονοῶν μᾶλλον ἢ γινώσκων, ὅτι περὶ τὸν λιμένα τοῦ Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἅλκιμον ἀκρωτηρίου πρό-
45 κειταί τις οἷον ἀγκὼν, καὶ κάμψαντι τοῦτον ἐντὸς ᾖ τὸ ὑπεύδιον τῆς θαλάττης κρηπὶς ἐστιν εὐμεγέθης καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους. (6) Οἴεται δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τούτοις·

Themistoclem neque ira adversus cives ad id bellum potuit accendere, neque tantus honor et potentia ad id capessendum impellere: sed fortasse id confici a se posse diffidens, præsertim cum illo tempore præclaros Græcia haberet du-
a ces, et Cimoni supra modum prospere res succederent, maxime vero verecundia gloriæ rerum a se gestarum commotus tropæorumque suorum, rectissime quidem statuit vitæ suæ convenientem finem imponere. Itaque cum deos sacrificiis veneratus esset, conductis in unum locum amicis suis iisque consalutatis, hausto, ut omnis fert fama, tauri sanguine, aut, ut alii perhibent, præsentaneo veneno, mortem obiit Magnesiæ, cum vixisset annos sexaginta quinque, eorumque majorem partem in administratione civitatis ac rei bellicæ exegisset. (6) Memoriæ proditum est, regem audita morte causaque ejus, magis etiam virum admiratum fuisse amicosque ejus et necessarios constanti et perpetua humanitate prosecutum esse.

XXXII. Reliquit Themistocles liberos ex Archippa, Lysandri Alopecensis filia, Archeptolin, Polyeuctum, et Cleophantum: cujus tanquam equitis optimi, alioquin ad nullam rem utilis, Plato philosophus mentionem facit. (2) De maximis natu ejus liberis, Neocles puer adhuc morsus ab equo periit; Dioclem Lysander avus adoptavit. (3) Filias habuit complures, quarum Mnesiptolemam e posteriori uxore natam Archeptolis frater ejus, sed matre alia natus, uxorem duxit, Italiam Panthoides Chius, Sybarin Nicomedes Atheniensis, Nicomachan Phrasicles fratris Themistoclis filius, quam mortuo jam eo Magnesiam navi profectus a
c fratribus ejus in matrimonium accepit, et minimam natu inter omnes patrui liberos Asiam educavit. (4) Sepulcrum Themistoclis splendidum Magnesiæ in foro exstat; de reliquiis ejus fides Andocidæ habenda non est, qui in oratione Ad socios scribit, Athenienses eas furto surreptas disjecisse: mentitur autem studio eos, qui penes paucos imperium esse volunt, adversum populum concitandi. Ne Phylarcho quidem credendum, qui, ut in tragœdia, in historia tantum non machinam attollens producensque Neoclem quendam et
d Demopolin filios Themistoclis, dum vult luctus concitare et miserationem, ea fingit, quæ ficta esse quivis statim intelligat. (5) Diodorus Periegetes in opere de monumentis scribit, ita tamen ut conjectari ea magis, quam certo scire videatur, juxta portum Piræei, a promontorio, quod est pone Alcimum, porrigi quendam veluti cubitum, secundum quem si intro flectat quis cursum, quo loco mare fere tranquillum est, ibi justæ magnitudinis exstare crepidinem, atque ad eam aræ formam habens Themistoclis esse bustum. (6) Censet etiam sibi Platonem Comicum suffragari his versibus:

50 Ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος
τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ
τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται
χὠπόταν ἅμιλλα τῶν νεῶν θεάσεται.

e Qua tumulus est apto editus tibi in loco
negotiatores salutabunt eum
semper: videbit advehi, et discedere
eos; videbit navium certamina.

(7) Τοῖς δ' ἀπὸ γένους τοῦ Θεμιστοκλέους καὶ τιμαί (7) Posteritati Themistoclis ad nostram usque ætatem certi

τινες ἐν Μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων ἦσαν, ἃς ἐκαρποῦτο Θεμιστοκλῆς Ἀθηναῖος, ἡμέτερος συνήθης καὶ φίλος παρ' Ἀμμωνίῳ τῷ φιλοσοφῳ γενόμενος.

quidam honores Magnesiæ habiti perdurant : quos percepit etiam Themistocles Atheniensis, familiaris amicusque noster, cum degeremus una apud Ammonium philosophum.

ΚΑΜΙΛΛΟΣ.

CAMILLUS.

129 Περὶ δὲ Φουρίου Καμίλλου πολλῶν καὶ μεγάλων λεγομένων ἴδιον εἶναι δοκεῖ μάλιστα καὶ παράδοξον, ὅτι πλεῖστα μὲν ἐν ἡγεμονίαις καὶ μέγιστα κατορθώσας, δικτάτωρ δὲ πεντάκις αἱρεθεὶς, θριαμβεύσας δὲ τετράκις, κτίστης δὲ τῆς Ῥώμης ἀναγραφεὶς δεύτερος, οὐδὲ ἅπαξ ὑπάτευσε. (2) Τούτου δ' αἴτιον ἡ τῆς τότε πολιτείας κατάστασις, ἐκ διαφορᾶς τοῦ δήμου πρὸς τὴν σύγκλητον ὑπάτους μὲν ἐρίσαντος μὴ ἀποδεικνύναι, χιλιάρχους δὲ χειροτονοῦντος ἐπὶ τὴν ἡγεμονίαν, ὧν, καίπερ ἀπ' ἐξουσίας καὶ δυνάμεως ὑπατικῆς ἅπαντα πραττόντων, ἧττον ἦν ἐπαχθὴς ἡ ἀρχὴ διὰ τὸ πλῆθος· τὸ γὰρ ἓξ ἄνδρας, ἀλλὰ μὴ δύο, τοῖς πράγμασιν ἐφεστάναι, παρεμυθεῖτο τοὺς βαρυνομένους τὴν ὀλιγαρχίαν. (3) Κατὰ τοῦτο δὴ καιροῦ μάλιστα τῇ δόξῃ καὶ τοῖς πράγμασιν ἀκμάσας ὁ Κάμιλλος ὑπατος μὲν οὐκ ἠξίωσεν ἄκοντι τῷ δήμῳ γενέσθαι, καίπερ ἐν τῷ διὰ μέσου δεξαμένης ὑπατικὰς ἀρχαιρεσίας τῆς πολιτείας πολλάκις, ἐν δὲ ταῖς ἄλλαις ἡγεμονίαις πολλαῖς καὶ παντοδαπαῖς γενομέναις τοιοῦτον αὑτὸν παρέσχεν, ὥστε τὴν μὲν ἐξουσίαν καὶ μοναρχοῦντος εἶναι κοινὴν, τὴν δὲ δόξαν ἰδίαν καὶ μεθ' ἑτέρων στρατηγοῦντος· ὧν τοῦ μὲν ἡ μετριότης αἴτιον ἀνεπιφθόνως ἄρχοντος, τοῦ δ' ἡ φρόνησις, δι' ἣν ὁμολογουμένως ἐπρώτευεν.

II. Οὔπω δὲ τότε περὶ τὸν τῶν Φουρίων οἶκον οὔσης μεγάλης ἐπιφανείας αὐτὸς ἐφ' ἑαυτοῦ πρῶτος εἰς δόξαν προῆλθεν ἐν τῇ μεγάλῃ μάχῃ πρὸς Αἰκανοὺς καὶ Οὐολούσκους ὑπὸ δικτάτωρι Ποστουμίῳ Τουβέρτῳ στρατευόμενος. (2) Προϊππεύων γὰρ τοῦ στρατοῦ καὶ πληγῇ περιπεσὼν εἰς τὸν μηρὸν οὐκ ἀνῆκεν, ἀλλ' ἐγκείμενον τῷ τραύματι παρέλκων τὸ ἀκόντισμα καὶ συμπλεκόμενος τοῖς ἀρίστοις τῶν πολεμίων τροπὴν ἐποίησεν. (3) Ἐκ δὲ τούτου τῶν τ' ἄλλων γερῶν ἔτυχε καὶ τιμητὴς ἀπεδείχθη, μέγα τῆς ἀρχῆς ἀξίωμα ταύτης ἐπὶ τῶν τότε χρόνων ἐχούσης. (4) Μνημονεύεται δὲ τιμητοῦ αὐτοῦ ὄντος καλὸν μὲν ἔργον, τὸ τοὺς ἀγάμους λόγοις τε πείθοντα καὶ ζημίαις ἀπειλοῦντα συγκαταζεῦξαι ταῖς χρηυούσαις γυναιξί (πολλαὶ δ' ἦσαν αὗται διὰ τοὺς πολέμους), ἀναγκαῖον δὲ τὸ καὶ τοὺς ὀρφανοὺς ὑποτελεῖς ποιῆσαι πρότερον ἀνεισφόρους ὄντας. (5) Αἰτίαι δ' ἦσαν αἱ συνεχεῖς στρατεῖαι μεγάλων ἀναλωμάτων δεόμεναι· καὶ μάλιστα κατήπειγεν ἡ Βηΐων πολιορκία. Τούτους ἔνιοι Οὐηιεντανοὺς καλοῦσιν. Ἦν δὲ πρόσχημα τῆς Τυρρηνίας ἡ πόλις, ὅπλων μὲν ἀριθμῷ καὶ πλήθει τῶν στρατευομένων οὐκ ἀποδέουσα τῆς Ῥώμης, πλούτῳ δὲ καὶ βίων ἁβρότητι καὶ τρυφαῖς καὶ

Cum multa atque præclara de Furio Camillo memorentur, tum hoc præ reliquis mirum et peculiare ejus viri videtur, quod ne semel quidem consul fuit, cum tamen magistratus gerens plerasque etiam summas res confecerit, quinquies dictaturam obiverit, triumphos quattuor duxerit, alter Romæ conditor scriptus fuerit. (2) Verum in causa fuit status reipublicæ ejus temporis. Populus enim cum senatu contendens, consules creari noluit, sed tribunos militum, penes quos summa rerum esset, constituit, qui etiamsi omnia pro consulari potestate agebant, tamen numeri causa is magistratus minus erat vulgo molestus : quippe quod sex, non duo tantum viri supremam potestatem obtinerent : id horum etiam, qui paucorum principatum graviter ferebant, animos quodammodo placabat. (3) Quo tempore Camillus cum gloria rerum gestarum maxime vigeret, consul invito populo fieri noluit, quamvis interim non semel comitia consularia essent habita : in reliquis autem magistratibus, quos varios et multos gessit, eum sese exhibuit, ut et potentiam cum omnibus communicaret, quanquam ipse solus rebus præesset, et gloriam ipse sibi cum nemine communem, etsi cum collegis imperans, haberet; quorum alterum eo effecit, quod moderate ac citra invidiam præfuit, alterum prudentia consecutus est, propter quam primas eum tenuisse in confesso est.

II. Cum autem ea tempestate nondum illustris admodum familia Furiorum esset, ipse primus in magna illa contra Æquos Volscosque pugna nomen sibi paravit, sub dictatore Postumio Tuberto stipendia merens. (2) Equo enim ante aciem provectus, vulnere in femur accepto nihil remisit, sed extracto vulneri jaculo, congressus cum hostium fortissimis, in fugam eos conjecit. (3) Ab hoc facto et aliis honoribus ornatus, et censor creatus est, qui magistratus eo tempore in magna erat existimatione. (4) Censuræ ejus egregium hoc opus commemoratur, quod cælibes et oratione et mina mulctæ eo compulit, ut viduas quæ tum propter bella erant multæ matrimonio ducerent : necessarium vero, quod etiam orbos parentum liberos pensionem, a qua prius fuerant immunes, solvere jussit. (5) Ad quod eum institutum adegerunt continentia bella, magnos sumptus requirentia : maxime autem Vejorum obsidio. Veji urbs fuit Etruriæ longe prima, quos quidam Vejentanos appellant, quæ armorum et militum copia Romæ nihil concedebat : cumque cives ejus divitiis, vita delicata, luxuque

πολυτελείαις ἀγαλλομένη πολλοὺς καὶ καλοὺς ἀγῶνας ἠγωνίσατο περὶ δόξης καὶ δυναστείας πολεμοῦσα Ῥωμαίοις. (6) Ἐν δὲ τῷ τότε χρόνῳ τῆς μὲν φιλοτιμίας f ἀφειστήκει συντριβεῖσα μεγάλαις μάχαις· ἐπαράμενοι δὲ τείχη μακρὰ καὶ καρτερὰ καὶ τὴν πόλιν ὅπλων καὶ βελῶν καὶ σίτου καὶ παρασκευῆς ἁπάσης ἐμπλήσαντες ἀδεῶς ὑπέμενον τὴν πολιορκίαν, μακρὰν μὲν οὖσαν, οὐχ ἧττον δὲ τοῖς πολιορκοῦσιν ἐργώδη καὶ χαλεπὴν γενομένην. (7) Εἰθισμένοι γὰρ οὐ πολὺν χρόνον ὥρᾳ a θέρους ἅμα στρατεύειν, οἴκοι δὲ διαχειμάζειν, τότε πρῶτον ἠναγκάσθησαν ὑπὸ τῶν χιλιάρχων φρούρια κατασκευασάμενοι καὶ τὸ στρατόπεδον τειχίσαντες ἐν τῇ πολεμίᾳ χειμῶνα καὶ θέρος συνάπτειν, ἤδη σχεδὸν ἔτους ἑβδόμου τῷ πολέμῳ τελευτῶντος. Ὥστε καὶ τοὺς ἄρχοντας ἐν αἰτίᾳ γενέσθαι καὶ μαλακῶς πολιορκεῖν δοκοῦντας ἀφαιρεθῆναι τὴν ἀρχήν, ἑτέρων αἱρεθέντων ἐπὶ τὸν πόλεμον· ὧν ἦν καὶ Κάμιλλος τότε χιλιαρχῶν τὸ δεύτερον. (8) Ἔπραξε δὲ περὶ τὴν πολιορκίαν οὐδὲν ἐν ἐκείνῳ τῷ χρόνῳ λαχὼν Φαλερίοις καὶ Καπηνάταις πολεμεῖν, οἳ δι' ἀσχολίαν τότε πολλὰ τὴν χώραν καθο- b ρίσαντες καὶ παρὰ πάντα τὸν Τυρρηνικὸν πόλεμον ἐνοχλήσαντες ὑπὸ τοῦ Καμίλλου καὶ συνεστάλησαν εἰς τὰ τείχη πολλοὺς ἀποβαλόντες.

III. Ἐκ τούτου περὶ τὴν Ἀλβανίδα λίμνην πάθος ἀκμάζοντι τῷ πολέμῳ συνενεχθὲν οὐδενὸς ἧττον τῶν ἀπίστων πυθέσθαι θαυμάτων αἰτίας κοινῆς ἀπορίᾳ καὶ λόγου φυσικὴν ἔχοντος ἀρχὴν ἐφόβησεν. (2) Ἦν μὲν γὰρ ὥρα μετοπωρινὴ καὶ τὸ θέρος ἔληγεν οὔτ' ἐπομβρον οὔτε πνεύμασι νοτίοις χαλεπὸν ἐπιδήλως γενόμενον. Πολλὰς δὲ λίμνας καὶ ποταμοὺς καὶ νάματα παντοδαπὰ τῆς Ἰταλίας ἐχούσης τὰ μὲν ἐξέλιπε κομιδῇ, τὰ δ' ἀντεῖχε γλίσχρως καὶ μόλις· οἱ δὲ ποταμοὶ πάντες c ὥσπερ ἀεὶ κοῖλοι καὶ ταπεινοὶ διὰ θέρους ἐρρύησαν. (3) Τὸ δὲ τῆς Ἀλβανίδος λίμνης ἀρχὴν ἔχον ἐν ἑαυτῷ καὶ τελευτὴν, ὄρεσιν εὐγείοις περιεχόμενον, ἀπ' οὐδενὸς αἰτίου, πλὴν εἴ τι θεῖον, αὐξόμενον ἐπιδήλως διωγκοῦτο καὶ προσίστατο ταῖς ὑπωρείαις καὶ τῶν ἀνωτάτω λόφων ὁμαλῶς ἐπέψαυεν ἄνευ σάλου καὶ κλύδωνος ἐξανιστάμενον. (4) Καὶ πρῶτον μὲν ἦν ποιμένων θαῦμα καὶ βοτήρων· ἐπεὶ δὲ τοῦ διείργοντος ἀπὸ τῆς κάτω χώρας οἷον ἰσθμοῦ τὴν λίμνην ὑπεκραγέντος ὑπὸ τοῦ πλήθους καὶ βάρους μέγα ῥεῦμα κατέβαινε διὰ τῶν d ἀρουμένων καὶ φυτευομένων ἐπὶ τὴν θάλατταν, οὐ μόνον αὐτοῖς παρεῖχε Ῥωμαίοις ἔκπληξιν, ἀλλὰ καὶ πᾶσιν ἐδόκει τοῖς τὴν Ἰταλίαν κατοικοῦσι μηδενὸς μικροῦ σημεῖον εἶναι. (5) Πλεῖστος δ' αὐτοῦ λόγος ἦν ἐν τῷ στρατοπέδῳ τῷ πολιορκοῦντι τοὺς Βηίους, ὥστε κἀκείνοις ἔκπυστον γενέσθαι τὸ περὶ τὴν λίμνην πάθος.

IV. Οἷα δ' ἐν πολιορκίᾳ διὰ χρόνου μῆκος ἐπιμιξίας πολλὰς ἐχούσῃ καὶ κοινολογίας πρὸς τοὺς πολεμίους ἐγεγόνει τινὶ Ῥωμαίῳ συνήθεια καὶ παῤῥησία πρὸς ἕνα τῶν πολιτῶν, ἄνθρωπον ἔμπειρόν τε λογίων παλαιῶν καί τι πλέον εἰδέναι τῶν ἄλλων ἀπὸ μαντικῆς δοκοῦντα. (2) Τοῦτον οὖν ὁ Ῥωμαῖος, ὡς ἤκουσε τὴν ἐπίδοσιν τῆς e

pollerent, prioribus temporibus de gloria et potentia adversus Romanos multis ac præclaris certaminibus dimicaverunt. (6) Ea vero tempestate attriti magnis prœliis contentione quidem pugnandi destiterant, arduis tamen ac validis muris exstructis, urbeque armis, jaculis, omnisque generis apparatu repleta, obsidionem securo animo tolerabant, longam sane, sed obsidentibus non minus operosam ac difficilem quam obsessis. (7) Romani enim cum consuevissent tantum per æstatem, quod est non longum adeo tempus, militiæ esse et domi hiemare, tunc primum coacti sunt jussu tribunorum militum castellis ædificatis castrisque munitis, in hostico hiemem cum æstate continuare, cum jam septimus ejus belli annus in exitu esset. Culpam hujus rei sustinere putabantur duces tanquam segniter oppugnantes, ideoque iis magistratu abrogato, alii tribuni militum constituebantur. Fuit inter eos Camillus, eum magistratum iterum tunc gerens. (8) Neque eo tempore in obsidendis Vejis quicquam egit; bellum enim sorte ei obtigit contra Falerienses et Capenates, qui, Romanis alias occupatis, crebro in agrum Romanum incursiones fecerant, totoque Etrusco bello interturbaverant. Hi multis suorum amissis intra muros a Camillo compulsi sunt.

III. Accidit deinde Albani lacus miraculum maxime flagrante bello, quod nulli eorum, quæ incredibilia auditu putantur, inferius animos hominum ignoratione causæ vulgaris et rationis de naturæ rerum scientia depromptæ terruit. (2) Appetebat jam auctumnus finita æstate, quam neque pluviis neque australibus ventis nimiam fuisse constabat. Qui autem sunt in Italia permulti lacus ac fontes, ii partim exaruerant protinus, partim ægre aliquid humoris retinuerant: flumina, ut semper per æstatem solent, cavis et demissis alveis fluebant. (3) At lacus Albanus, qui montibus terrenis septus in se initium exitumque suum continet, nulla evidenti causa nisi divinitus auctus intumuit ac montium circumjacentium radices eorumque cacumina adæquavit, nullo cum æstu aut fluctu in sublime elatus. (4) Id primo pastoribus ac bubulcis mirum videri. Posteaquam vero abrupto obice, qui isthmi instar a terra infra jacente lacum arcebat, ingens ob multitudinem et gravitatem sese fluctus dejecit ac per agros et hortos ad mare proruit: non Romanis modo id terrori esse, sed ab omnibus Italiæ incolis pro maximo ostento haberi; (5) plurimus vero de eo exsistere sermo in castris eorum, qui Vejos obsidebant, adeoque ad obsessos etiam fama de miraculo lacus pervenire.

IV. Contraxerat forte (ut solent in diuturnis obsidionibus multa cum hostibus commercia et colloquia accidere) Romanus miles consuetudinem et colloquia habuit cum Vejente, homine veterum oraculorum perito et qui ob divinationis scientiam ceteris sapientia præstare crederetur. (2) Hunc cum videret Romanus, audito lacus incremento lætitia

λίμνης, ὁρῶν ὑπερηδόμενόν τε καὶ καταγελῶντα τῆς πολιορκίας, οὐ ταῦτα μόνα ἔφη ἐνηνοχέναι θαυμαστὰ τὸν παρόντα χρόνον, ἀλλ' ἕτερα τούτων ἀτοπώτερα σημεῖα Ῥωμαίοις γεγονέναι, περὶ ὧν ἐθέλειν ἐκείνῳ κοινωσάμενος εἴ τι δύναιτο θέσθαι τῶν ἰδίων ἄμεινον ἐν τοῖς κοινοῖς νοσοῦσιν. (3) Ὑπακούσαντος δὲ τοῦ ἀνθρώπου προθύμως καὶ διδόντος ἑαυτὸν εἰς κοινολογίαν, ὡς ἀπορρήτων τινῶν ἀκροατὴν ἐσόμενον, κατὰ μικρὸν οὕτω διαλεγόμενος καὶ ὑπάγων αὐτὸν, ὡς ποῤῥωτέρω τῶν πυλῶν ἐγεγόνεισαν, αἴρει τε μετέωρον εὐρωστότερος ὢν καὶ πλειόνων ἀπὸ στρατοπέδου προσδραμόντων χειρωσάμενος καὶ κρατήσας παρέδωκε τοῖς στρατηγοῖς. (4) Ἐν τούτῳ δ' ἀνάγκης γεγονὼς ὁ ἄνθρωπος καὶ μαθὼν ἄρα τὸ πεπρωμένον ὡς ἄφυκτον εἴη λόγια προὔφαινεν ἀπόῤῥητα περὶ τῆς ἑαυτοῦ πατρίδος, ὡς οὐκ οὔσης ἁλωσίμου πρότερον ἢ τὴν Ἀλβανίδα λίμνην ἐκχυθεῖσαν καὶ φερομένην εἰς ὁδοὺς ἑτέρας ὥσαντες ὀπίσω καὶ περισπάσαντες οἱ πολέμιοι κωλύσουσι μίγνυσθαι τῇ θαλάττῃ. (5) 131Ταῦτα τῇ συγκλήτῳ πυθομένῃ καὶ διαπορούσῃ καλῶς ἔχειν ἔδοξε πέμψαντας εἰς Δελφοὺς ἐρέσθαι τὸν θεόν. (6) Οἱ δὲ πεμφθέντες ἄνδρες ἔνδοξοι καὶ μεγάλοι, Κόσσος Λικίννιος καὶ Οὐαλλέριος Ποτῖτος καὶ Φάβιος Ἄμβουστος, πλῷ τε χρησάμενοι καὶ τῶν παρὰ τοῦ θεοῦ τυχόντες ἦκον ἄλλας τε μαντείας κομίζοντες, αἳ πατρίων τινῶν περὶ τὰς καλουμένας Λατίνας ἑορτὰς ὀλιγωρίαν ἔφραζον αὐτοῖς, καὶ τὸ τῆς Ἀλβανίδος ὕδωρ ἐκέλευον εἴργοντας ὡς ἀνυστόν ἐστι τῆς θαλάσσης ἀνωθεῖν εἰς τὸν ἀρχαῖον πόρον ἢ τοῦτο μὴ δυναμένους ὀρύγμασι καὶ τάφροις παράγειν εἰς τὸ πεδίον καὶ καταναλίσκειν. (7) Ἀπαγγελθέντων δὲ τούτων οἱ μὲν ἱερεῖς τὰ περὶ τὰς θυσίας ἔπραττον, ὁ δὲ δῆμος ἐχώρει πρὸς τὰ ἔργα καὶ τὸ ὕδωρ ἐξέτρεπεν.

V. Ἡ δὲ σύγκλητος εἰς τὸ δέκατον ἔτος τοῦ πολέμου καταλύσασα τὰς ἀρχὰς δικτάτωρα Κάμιλλον ἀπέδειξεν· ἵππαρχον δ' ἐκεῖνος αὐτῷ προσελόμενος Κορνήλιον Σκηπίωνα, πρῶτον μὲν εὐχὰς ἐποιήσατο τοῖς θεοῖς ἐπὶ τῷ πολέμῳ τέλος εὐκλεὲς λαβόντι τὰς μεγάλας θεὰς ἄξειν καὶ νεὼν θεᾶς, ἣν Μητέρα Ματοῦταν καλοῦσι Ῥωμαῖοι, καθιερώσειν. (2) Ταύτην ἄν τις ἀπὸ τῶν δρωμένων ἱερῶν μάλιστα Λευκοθέαν νομίσειεν εἶναι· καὶ γὰρ θεράπαιναν εἰς τὸν σηκὸν εἰσάγουσαι ῥαπίζουσιν, εἶτ' ἐξελαύνουσι καὶ τὰ τῶν ἀδελφῶν τέκνα πρὸ τῶν ἰδίων ἐναγκαλίζονται καὶ δρῶσι περὶ τὴν θυσίαν ἃ ταῖς Διονύσου τροφοῖς καὶ τοῖς διὰ τὴν παλλακὴν πάθεσι τῆς Ἰνοῦς προσέοικε. (3) Μετὰ δὲ τὰς εὐχὰς Κάμιλλος εἰς τὴν Φαλίσκων ἐνέβαλε καὶ μάχῃ μεγάλῃ τούτους τε καὶ Καπηνάτας προσβοηθήσαντας αὐτοῖς ἐνίκησεν. Ἔπειτα πρὸς τὴν πολιορκίαν τῶν Βηίων τραπόμενος καὶ τὸν ἐκ προσβολῆς ἀγῶνα χαλεπὸν καὶ δύσεργον ὁρῶν ὑπονόμους ἔτεμνε, τῶν περὶ τὴν πόλιν χωρίων ἐνδιδόντων τοῖς ὀρύγμασι καὶ καταδεχομένων εἰς βάθος ἄγειν ἄδηλον τοῖς πολεμίοις τὰ ἔργα. (4) Διὸ προϊούσης ὁδῷ τῆς ἐλπίδος αὐτὸς μὲν ἔξωθεν προσέβαλλεν ἐκκαλούμενος ἐπὶ τὰ τείχη τοὺς πολεμίους, ἄλλοι δ' ἀδήλως

ingenti perfusum, obsidionem deridere : non hæc modo, inquit, hoc tempore miracula evenisse, sed et alia his terribiliora Romanis signa oblata esse, ac velle se ea cum ipso communicare, si qua ratione in communi calamitate, privatim suis rebus consulere posset. (3) Vejentem hunc sermonem libenter admittentem ac spe audiendorum arcanorum in colloquium venientem, miles Romanus paulatim dicendo ab urbe deductum, cum procul jam a portis recessissent, arripuit ut erat robustior sublimem, pluribusque ad hoc e castris concurrentibus, vi captum tribunis militum tradidit. (4) In hanc necessitatem constitutus ille, animadvertensque id quod esset in fatis, nulla posse ratione evitari, oracula de sua patria occulta protulit, non ante capi posse Vejos ostendens, quam lacu exundante Albano, hostes aquam ejus alio averterent nec paterentur mari misceri. (5) Hæc senatus cum audivisset ac consilii incertus esset, placuit Delphos sciscitatum sententiam dei mittere. (6) Legati fuere viri illustres, Licinius Cossus, Valerius Potitus, et Fabius Ambustus, qui nave profecti oraculis a deo impetratis redierunt Romam cum alia ferentes, quæ neglectum quorundam rituum in sacris Latinis a majoribus acceptorum edisserebant, tum illud quo aquam Albano a lacu effusam, quoad fieri posset, rursus ad suum locum retorquere juberentur : sin id fieri nequiret, fossis ac puteis in terram demissis, in agros eam derivare, atque ita consumere. (7) His nuntiatis curanda sacra pontifices susceperunt : populus ad opus perficiendum profectus, aquam avertit.

V. Senatus autem magistratibus sublatis, ad decimum belli annum dictatorem fecit Camillum. Is magistro equitum dicto Cornelio Scipione, initio magistratus vovit bello feliciter confecto ludos se Magnos facturum, et templum deæ, quam Matrem Matutam Romani dicunt, dedicaturum. (2) Hanc deam Græcis esse Leucotheam, maxime ex ritu sacrorum ejus aliquis conjiciat; introducunt enim in fanum ancillam, eamque verberibus acceptam expellunt, sororum liberos pro suis in ulnas accipiunt, denique ea agunt, quæ Bacchi nutricibus et illis miseriis, in quas Ino propter pellicem venit, conveniunt. (3) Conceptis votis Camillus in Faliscos profectus, hos et Capenates, auxilio eis venientes, magno prœlio superavit. Deinde Vejos aggressus, cum videret eam urbem oppugnando difficulter capi posse, cuniculos agere instituit, solo circum urbem ad fodiendum commodo et ad tantam altitudinem demitti opera sinente, ut hostium conspectum fallerent. (4) Quapropter successu spei respondente, ipse foris urbem aggressus, hostem in muros elicuit : interim alii per cuniculos imprudentibus rei

ὑποπορευόμενοι διὰ τῶν ὑπονόμων ἔλαθον ἐντὸς γενόμενοι τῆς ἄκρας κατὰ τὸ Ἥρας ἱερὸν, ὃ μέγιστον ἦν ἐν τῇ πόλει καὶ μάλιστα τιμώμενον. (5) Ἐνταῦθα λέγεται τυχεῖν κατ' ἐκεῖνο καιροῦ τὸν ἡγεμόνα τῶν Τυρρηνῶν ἐπὶ ἱεροῖς, τὸν δὲ μάντιν εἰς τὰ σπλάγχνα κατιδόντα καὶ μέγα φθεγξάμενον εἰπεῖν, ὅτι νίκην ὁ θεὸς δίδωσι τῷ κατακολουθήσαντι τοῖς ἱεροῖς ἐκείνοις· ταύτης δὲ τῆς φωνῆς τοὺς ἐν τοῖς ὑπονόμοις Ῥωμαίους ἐπακούσαντας ταχὺ διασπάσαι τὸ ἔδαφος καὶ μετὰ βοῆς καὶ ψόφου τῶν ὅπλων ἀναδύντας, ἐκπλαγέντων τῶν πολεμίων καὶ φυγόντων, ἁρπάσαντας τὰ σπλάγχνα κομίσαι πρὸς τὸν Κάμιλλον. Ἀλλὰ ταῦτα μὲν ἴσως ἐοικέναι δόξει μυθεύμασιν. (6) Ἁλούσης δὲ τῆς πόλεως κατὰ κράτος καὶ τῶν Ῥωμαίων ἀγόντων καὶ φερόντων ἄπειρόν τινα πλοῦτον, ἐφορῶν ὁ Κάμιλλος ἀπὸ τῆς ἄκρας τὰ πραττόμενα πρῶτον μὲν ἑστὼς ἐδάκρυσεν, εἶτα μακαρισθεὶς ὑπὸ τῶν παρόντων ἀνέσχε τὰς χεῖρας τοῖς θεοῖς καὶ προσευχόμενος εἶπε, « Ζεῦ μέγιστε καὶ θεοὶ χρηστῶν ἐπίσκοποι καὶ πονηρῶν ἔργων, αὐτοί που σύνιστε Ῥωμαίοις, ὡς οὐ παρὰ δίκην, ἀλλὰ κατ' ἀνάγκην ἀμυνόμενοι μετερχόμεθα δυσμενῶν ἀνδρῶν καὶ παρανόμων πόλιν. Εἰ δ' ἄρα τις, ἔφη, καὶ ἡμῖν ἀντίστροφος ὀφείλεται τῆς παρούσης νέμεσις εὐπραξίας, εὔχομαι ταύτην ὑπέρ τε πόλεως καὶ στρατοῦ Ῥωμαίων εἰς ἐμαυτὸν ἐλαχίστῳ κακῷ τελευτῆσαι. » (7) Ταῦτ' εἰπὼν, καθάπερ ἐστὶ Ῥωμαίοις ἔθος ἐπευξαμένοις καὶ προσκυνήσασιν ἐπὶ δεξιὰ ἐξελίττειν, ἐσφάλη περιστρεφόμενος. Διαταραχθέντων δὲ τῶν παρόντων πάλιν ἀναλαβὼν ἑαυτὸν ἐκ τοῦ πτώματος εἶπεν, ὡς γέγονεν αὐτῷ κατ' εὐχὴν σφάλμα μικρὸν ἐπ' εὐτυχίᾳ μεγίστῃ.

132 VI. Διαπορθήσας δὲ τὴν πόλιν ἔγνω τὸ ἄγαλμα τῆς Ἥρας μεταφέρειν εἰς Ῥώμην, ὥσπερ ηὔξατο. Καὶ συνελθόντων ἐπὶ τούτῳ τῶν τεχνιτῶν ὁ μὲν ἔθυε καὶ προσηύχετο τῇ θεῷ δέχεσθαι τὴν προθυμίαν αὐτῶν εὐμενῆ τε γενέσθαι σύνοικον τοῖς λαχοῦσι τὴν Ῥώμην θεοῖς. Τὸ δ' ἄγαλμά φασιν ὑποφθεγξάμενον εἰπεῖν, ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ. (2) Λιούιος δέ φησιν εὔχεσθαι μὲν τὸν Κάμιλλον ἀπτόμενον τῆς θεοῦ καὶ παρακαλεῖν, ἀποκρίνασθαι δέ τινας τῶν παρόντων, ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ καὶ συνακολουθεῖ προθύμως. (3) Οἱ δ' ἰσχυριζόμενοι καὶ τῷ παραδόξῳ βοηθοῦντες μεγίστην μὲν ἔχουσι συνήγορον τὴν τύχην τῆς πόλεως, ἣν ἀπὸ σμικρᾶς καὶ καταφρονουμένης ἀρχῆς ἐπὶ μέγα δόξης καὶ δυνάμεως ἐλθεῖν δίχα θεοῦ πολλαῖς καὶ μεγάλαις ἐπιφανείαις ἑκάστοτε συμπαρόντος ἀμήχανον· οὐ μὴν ἀλλὰ καὶ συνάγουσιν ὁμοειδῆ τινα, τοῦτο μὲν ἰδρῶτας ἀγαλμάτων πολλάκις ἐκχυθέντας, τοῦτο δὲ στεναγμοὺς ἀκουσθέντας ἀποστροφάς τε δεικνύντες καὶ καταμύσεις ξοάνων, ἃς ἱστορήκασιν οὐκ ὀλίγοι τῶν πρότερον. Πολλὰ δὲ τῶν καθ' ἡμᾶς ἀκηκοότες ἀνθρώπων λέγειν ἔχομεν ἄξια θαύματος, ὧν οὐκ ἄν τις εἰκῇ καταφρονήσειεν. (4) Ἀλλὰ τοῖς τοιούτοις καὶ τὸ πιστεύειν σφόδρα καὶ τὸ λίαν ἀπιστεῖν ἐπισφαλές ἐστι διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν ὅρον

hostibus in arcem evaserunt, juxta templum Junonis, quod maximum ac religione summa cultum ea in urbe fuit. (5) Memorant forte eo ipso tempore ibi principem Etruscorum sacrificio interfuisse : aruspicemque inspectis extis magna voce pronuntiasse, victoriam a deo dari ei, qui sacra ista perficeret. Eam vocem Romanos in cuniculo latentes audivisse ac confestim terra effossa cum clamore et strepitu armatos erupisse, hostibusque perterritis ac fuga dilapsis, rapta exta ad Camillum attulisse. Verum hæc quidem fabulis similia aliquis esse putet. (6) Urbe vi capta, Romanis immensas divitias diripientibus, Camillus ab arce quæ agerentur videns, primum flevit; deinde, cum beatus ab adstantibus prædicaretur, manus ad deos tetendit, itaque est precatus : « Te, Juppiter maxime, vosque, dii bonorum malorumque factorum inspectores, testor, Romanos non injuste, sed necessitate coactos vindictam de hostibus et urbe juris violatrice expetiisse; quod si tamen hæc quoque nostra felicitas aliquo incommodo sit compensanda, precor ut hæc invidia pro civitate exercituque Romano minimo meo damno placetur. » (7) Hæc locutus cum, qui mos est Romanorum, qui deos precati et venerati ad dextram se convertere solent, se circumageret, concidit : omnibusque eo casu perturbatis, ipse cum se collegisset, voti se compotem factum dixit, minimoque casu summam fortunam compensatam.

VI. Diruta urbe, simulacrum Junonis transferre Romam, uti voverat, statuit : eamque ad rem conductis fabris, ipse sacra deæ fecit, precatusque est, ut studium suum probaret, Romanisque propitia cum aliis ibi habitantibus diis esse vellet. Simulacrum vero deæ aiunt velle se atque assentiri, placide respondisse. (2) Livius narrat, Camillo deam oranti, quosdam ex adstantibus respondisse, velle deam et assentiri, ac libenter Romam sequi. (3) Sed qui hoc miraculum ita accidisse contendunt idque defendunt, magno argumento habent fortunam Urbis, quæ a parvo et vili initio ad tantam gloriam ac potentiam sine numinis præsentia multis et magnis miraculis sese ostendentis pervenire nullo modo potuerit. Porro autem adducunt alia quoque id genus prodigia, ut sudores simulacrorum sæpenumero effusos, gemitus exauditos, avertisse se et oculos connivisse imagines, qualia et superiorum temporum homines multi memoriæ prodiderunt, et nos multa e nostræ ætatis hominibus audivimus mira commemoratu, quæ non sint temere contemnenda a quoquam. (4) Verum in his rebus nimiam et credulitatem et incredulitatem periculosam

οὐκ ἔχουσαν οὐδὲ κρατοῦσαν αὑτῆς, ἀλλ' ἐκφερομένην ὅπου μὲν εἰς δεισιδαιμονίαν καὶ τῦφον, ὅπου δ' εἰς ὀλιγωρίαν τῶν θείων καὶ περιφρόνησιν· ἡ δ' εὐλάβεια καὶ τὸ μηδὲν ἄγαν ἄριστον.

VII. Ὁ δὲ Κάμιλλος εἴτε μεγέθει τοῦ ἔργου, πόλιν ἀντίπαλον τῆς Ῥώμης ἔτει δεκάτῳ τῆς πολιορκίας καθηρηκὼς, εἴτε ὑπὸ τῶν εὐδαιμονιζόντων αὐτὸν εἰς ὄγκον ἐξαρθεὶς καὶ φρόνημα νομίμου καὶ πολιτικῆς ἀρχῆς ἐπαχθέστερον, τά τε ἄλλα σοβαρῶς ἐθριάμβευσε καὶ τέθριππον ὑποζευξάμενος λευκόπωλον ἐπέβη καὶ διεξῆλασε τῆς Ῥώμης, οὐδενὸς τοῦτο ποιήσαντος ἡγεμόνος πρότερον οὐδ' ὕστερον· ἱερὸν γὰρ ἡγοῦνται τὸ τοιοῦτον ὄχημα τῷ βασιλεῖ καὶ πατρὶ τῶν θεῶν ἐπιπεφημισμένον. Ἐκ τε δὴ τούτου διεβλήθη πρὸς τοὺς πολίτας οὐκ εἰθισμένους ἐντρυφᾶσθαι καὶ δευτέραν ἔλαβεν αἰτίαν ἐνιστάμενος νόμῳ διοικίζοντι τὴν πόλιν. (2) Εἰσηγοῦντο γὰρ οἱ δήμαρχοι τόν τε δῆμον καὶ τὴν σύγκλητον εἰς μέρη δύο νεμηθῆναι καὶ τοὺς μὲν αὐτόθι κατοικεῖν, τοὺς δὲ κλήρῳ λαχόντας εἰς τὴν αἰχμάλωτον μεταστῆναι πόλιν, ὡς εὐπορωτέρων ἐσομένων καὶ δυσὶ μεγάλοις καὶ καλοῖς ἄστεσι τήν τε χώραν ὁμοῦ καὶ τὴν ἄλλην εὐδαιμονίαν φυλαξόντων. (3) Ὁ μὲν οὖν δῆμος ἤδη πολὺς γεγονὼς καὶ ἀχρήματος, ἄσμενος ἐδέξατο καὶ συνεχὴς ἦν τοῖς περὶ τὸ βῆμα θορύβοις αἰτῶν τὴν ψῆφον· ἡ δὲ βουλὴ καὶ τῶν ἄλλων οἱ κράτιστοι πολιτῶν, οὐ διαίρεσιν, ἀλλ' ἀναίρεσιν ἡγούμενοι τῆς Ῥώμης πολιτεύεσθαι τοὺς δημάρχους καὶ δυσανασχετοῦντες, ἐπὶ τὸν Κάμιλλον κατέφυγον· κἀκεῖνος ὀρρωδῶν τὸν ἀγῶνα προφάσεις ἐνέβαλλε τῷ δήμῳ καὶ ἀσχολίας, δι' ὧν ἀεὶ τὸν νόμον ἐξέκρουεν. (4) Ἦν μὲν οὖν διὰ ταῦτα λυπηρός. Ἡ δὲ φανερωτάτη καὶ μεγίστη τῶν ἀπεχθειῶν αὐτῷ πρὸς τὸν δῆμον ἐκ τῆς δεκάτης τῶν λαφύρων ὑπῆρξεν, οὐκ ἄλογον, εἰ μὴ καὶ πάνυ δικαίαν, ἀρχὴν τῶν πολλῶν λαβόντων. (5) Ηὔξατο μὲν γὰρ ἐπὶ τοὺς Βηίους, ὡς ἔοικε, βαδίζων, εἰ τὴν πόλιν ἕλοι, τῷ θεῷ τούτων τὴν δεκάτην καθιερώσειν. Ἁλούσης δὲ τῆς πόλεως καὶ διαρπασθείσης, εἴτ' ὀκνήσας ἐνοχλῆσαι τοῖς πολίταις, εἴτε λήθη τις αὐτὸν ὑπὸ τῶν παρόντων πραγμάτων ἔλαβε τῆς εὐχῆς, περιεῖδεν ὠφεληθέντας. (6) Ὕστερον δὲ χρόνῳ τῆς ἀρχῆς ἐκείνης ἤδη πεπαυμένος ἀνήνεγκε περὶ τούτων εἰς τὴν σύγκλητον· οἵ τε μάντεις ἤγγελλον ἐπὶ τοῖς ἱεροῖς προφαίνεσθαι θεῶν μῆνιν ἱλασμοῦ καὶ χαριστηρίων δεομένην.

VIII. Ψηφισαμένης δὲ τῆς βουλῆς τὴν μὲν ὠφέλειαν (χαλεπὸν γὰρ ἦν) ἀνάδαστον μὴ γενέσθαι, τοὺς δὲ λαβόντας αὐτοὺς σὺν ὅρκῳ τὴν δεκάτην παραφέρειν εἰς μέσον, ἐγίνετο πολλὰ λυπηρὰ καὶ βίαια περὶ τοὺς στρατιώτας, ἀνθρώπους πένητας καὶ πολλὰ πεπονηκότας, ἀναγκαζομένους ὧν ἐκέκτηντο καὶ κατεκέχρηντο μέρος εἰσφέρειν τοσοῦτον. (2) Θορυβουμένῳ δ' ὑπ' αὐτῶν τῷ Καμίλλῳ καὶ προφάσεως ἀποροῦντι βελτίονος εἰς τὸν ἀτοπώτατον τῶν λόγων συνέβαινε καταφεύγειν ὁμολογοῦντι ἐπιλαθέσθαι τῆς εὐχῆς. Οἱ δ' ἐχαλέπαινον, εἰ τὰ τῶν πολεμίων δεκατεύσειν εὐξάμενος τότε νῦν δε-

efficit humana imbecillitas, cum ea non intra certos terminos se continet, sed effertur vel ad superstitionem et stuporem, vel ad deorum neglectum et contemptum religionis. Optimum est cautionem adhibere, ac ne quid nimis.

VII. Porro Camillus sive rei gestæ magnitudine, quod urbem Romæ æmulam decimo obsidionis anno expugnavisset, sive ab iis, qui fortunas ipsius laudabant, ad insolentiam evectus fastumque majorem, quam qui in homine magistratum civilem ac legitimum gerente ferri posset, cum alias superbum egit triumphum, tum currum albis quattuor equis junctis tractum conscendit atque eo per urbem invectus est. Nemo id dux neque ante, neque post Camillum fecit, quippe tale vehiculum sacrum censetur regi ac patri deorum dicatum. Itaque in odium offensionemque apud cives venit, non adsuetos insolentiam suorum perferre. Alterum crimen ei exortum est, cum legi latæ de dividendis civibus se opposuit. (2) Rogationem enim tulerant tribuni plebis de distribuendis in duas partes senatu populoque Romano: quarum altera Romæ maneret, altera, cui id sorte obtigisset, in captam urbem transiret; quasi duabus magnis pulcrisque urbibus agrum et reliqua sua bona servantes, ditiores essent futuri. (3) Ac populus quidem jam admodum numerosus et pauper factus, eam rogationem magna cum lætitia probabat frequensque apud tribunal tumultuabatur, postulans ut in suffragium mitteretur: senatus, reliquorumque civium optimus quisque, non divisionem, sed eversionem Romæ moliri tribunos rati indigneque id ferentes, ad Camillum confugiebant. Isque contentionem formidans, prætextibus aliis, occupationibusque populo injectis rem extraxit. (4) Hæc cum jam animos multitudinis a Camillo abalienassent, apertissimam ac maximam odiorum in ipsum causam actio de prædæ decima parte consecranda populo præbuit: nactique sunt, si non omnino justam, probabilem saltem occasionem. (5) Voverat Camillus, cum iret ad oppugnandos Vejos, si quidem eam urbem cepisset, decimam prædæ partem Apollini. Capta urbe ac direpta (incertum civibusne molestiam exhibere veritus, an vero voti oblitus propterinstantia negotia) habere eos passus est. (6) Post cum dictatura se abdicavisset, retulit ea de re ad senatum: ac pontifices etiam renuntiavere, sacrificiis iram deorum indicari, quæ expiari ac donis placari debeat.

VIII. Cum senatus decrevisset ut, quoniam præda semel divisa denuo distribui non facile posset, at singuli tamen jurejurando adacti decimam ejus quod accepissent, in medium conferrent, multa molesta et violenta militibus acciderunt, quod homines paupertate et laboribus attriti cogebantur tantam eorum, quæ adepti in suos usus jam insumpserant, partem pendere. (2) Camillus vero tumultibus eorum agitatus, excusationis melioris inopia confugit ad eam, quæ omnium erat absurdissima, oblitum se voti prætendens. At vero illi indignum dicere, si cives decimas suorum bonorum conferre cogerentur, cum ipse hostium de fa-

κατεύει τὰ τῶν πολιτῶν. Οὐ μὴν ἀλλὰ πάντων ὅσον ἔδει μέρος εἰσενεγκόντων ἔδοξε κρατῆρα χρυσοῦν κατασκευάσαντας εἰς Δελφοὺς ἀποστεῖλαι. (3) Χρυσίου δ' ἦν σπάνις ἐν τῇ πόλει· καὶ τῶν ἀρχόντων σθεν ἂν πορισθείη σκοπούντων αἱ γυναῖκες αὐταὶ καθ' αὑτὰς βουλευσάμεναι τὸν ὄντα χρυσοῦν ἑκάστη περὶ τὸ σῶμα κόσμον ἐπέδωκαν εἰς τὸ ἀνάθημα σταθμῷ χρυσίου γενόμενον ὀκτὼ ταλάντων. (4) Καὶ ταύταις μὲν ἡ σύγκλητος ἀποδιδοῦσα τιμὴν πρέπουσαν ἐψηφίσατο μετὰ θάνατον ὥσπερ ἐπὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ λέγεσθαι τὸν ἄξιον ἔπαινον· οὐ γὰρ ἦν εἰθισμένον πρότερον ἐγκωμιάζεσθαι γυναῖκα δημοσίᾳ τελευτήσασαν. (5) Ἑλόμενοι δὲ τρεῖς ἄνδρας ἐκ τῶν ἀρίστων θεωροὺς καὶ ναῦν μακρὰν εὐανδροῦντι πληρώματι καὶ κόσμῳ πανηγυρικῷ κατασκευάσαντες ἐξέπεμψαν. (6) Ἦν δ' ἄρα καὶ χειμὼν καὶ γαλήνη θαλάσσης ἀργαλέον, ὡς ἐκείνοις συνέτυχε τότε παρ' οὐδὲν ἐλθόντας ἀπολέσθαι διαφυγεῖν αὖθις ἀπροσδοκήτως τὸν κίνδυνον. (7) Ἐπέπλευσαν γὰρ αὐτοῖς Λιπαρέων τριήρεις περὶ τὰς Αἰόλου νήσους, τοῦ πνεύματος ἐκλιπόντος, ὡς λῃσταῖς. Δεομένων δὲ καὶ προϊσχομένων χεῖρας ἐμβολῆς μὲν ἔσχοντο, τὴν δὲ ναῦν ἀναψάμενοι καὶ καταγαγόντες ἐπεκήρυττον ἅμα καὶ τὰ χρήματα καὶ τὰ σώματα πειρατικὰ κρίναντες εἶναι. (8) Μόλις δ' ἑνὸς ἀνδρὸς ἀρετῇ καὶ δυνάμει Τιμησιθέου τοῦ στρατηγοῦ πεισθέντες μεθῆκαν. Ὁ δὲ καὶ προσκαθελκύσας ἴδια πλοῖα παρέπεμψε καὶ συγκαθιέρωσε τὸ ἀνάθημα· δι' ὃ καὶ τιμὰς ἔσχεν ἃς εἰκὸς ἦν ἐν Ῥώμῃ.

IX. Τῶν δὲ δημάρχων αὖθις ἐπεγειρόντων τὸν περὶ τοῦ διοικισμοῦ νόμον ὁ πρὸς Φαλίσκους πόλεμος ἐν καιρῷ παραφανεὶς ἔδωκε τοῖς πρώτοις ἀνδράσιν ἀρχαιρεσιάσαι κατὰ γνώμην καὶ Κάμιλλον ἀποδεῖξαι μεθ' ἑτέρων πέντε χιλίαρχον, ὡς τῶν πραγμάτων ἡγεμόνος δεομένων ἀξίωμα καὶ δόξαν μετ' ἐμπειρίας ἔχοντος. (2) Ψηφισαμένου δὲ τοῦ δήμου λαβὼν δύναμιν ὁ Κάμιλλος εἰς τὴν Φαλίσκων ἐνέβαλε καὶ πόλιν ἐρυμνὴν καὶ κατεσκευασμένην πᾶσιν εἰς πόλεμον καλῶς Φαλερίους ἐπολιόρκει, τὸ μὲν ἑλεῖν οὐ μικρὸν ἔργον οὐδὲ χρόνου τοῦ τυχόντος ἡγούμενος, ἄλλως δὲ τρίβειν τοὺς πολίτας καὶ περισπᾶν βουλόμενος, ὡς μὴ σχολάζοιεν οἶκοι καθήμενοι δημαγωγεῖσθαι καὶ στασιάζειν. (3) Ἐπιεικῶς γὰρ ἀεὶ φαρμάκῳ τούτῳ χρώμενοι διετέλουν ὥσπερ ἰατροὶ, τὰ ταραχτικὰ πάθη τῆς πολιτείας ἔξω τρέποντες.

X. Οὕτως δὲ τῆς πολιορκίας κατεφρόνουν οἱ Φαλέριοι τῷ πανταχόθεν ἐξωχυρῶσθαι πιστεύοντες, ὥστε πλὴν τῶν τὰ τείχη φυλαττόντων τοὺς ἄλλους ἐν ἱματίοις κατὰ τὴν πόλιν ἀναστρέφεσθαι, τοὺς δὲ παῖδας αὐτῶν εἰς τε τὰ διδασκαλεῖα φοιτᾶν καὶ περὶ τὰ τείχη περιπατήσοντας καὶ γυμνασομένους ὑπὸ τοῦ διδασκάλου καταβιβάζεσθαι. (2) Κοινῷ γὰρ ἐχρῶντο τῷ διδασκάλῳ, ὥσπερ Ἕλληνες, οἱ Φαλέριοι βουλόμενοι συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων εὐθὺς ἐξ ἀρχῆς τοὺς παῖδας. (3) Οὗτος οὖν ὁ διδάσκαλος ἐπι-

cultatibus eas vovisset. Veruntamen facta a singulis collatione, uti debebatur, visum est auream crateram facere, eamque Delphos mittere. (3) Ceterum auri erat in urbe penuria. Ibi magistratibus deliberantibus, qua id ratione posset confici, mulieres habito seorsum consilio, mundum omnem suum aureum contulerunt ad donarium faciendum : fuitque auri pondus talenta octo. (4) Quas senatus honore merito remunerandas arbitratus, statuit ut defunctæ, perinde atque viri, in funere laudarentur : ante enim mulierem publice laudari mortuam receptum usu non fuit. (5) Delecti ex optimatibus tres, qui donum Delphos ferrent, missique eo navi longa, classiariis optimis et ornatu splendidissimo instructa. (6) Erat autem, ut aiunt, et hiems et mare tranquillum pariter molestum, ita ut iis acciderit, ut et prope ab interitu abessent et præter spem rursus e discrimine eriperentur. (7) Nam apud Æoli insulas vento deficiente, Liparenses cum triremibus contra ipsos tanquam prædones maritimos impetum fecerunt : deprecantibusque Romanis et manus protendentibus, navem quidem rostris impetere supersederunt, religatam tamen ad littus secum pertraxerunt, ibique et bona et corpora Romanorum, quos piratas judicabant esse, hastæ subjecerunt. (8) Unus Timasitheus, qui tum summum apud Liparenses gerebat magistratum, virtute sua potentiaque ægre obtinuit, ut eos missos facerent, ipseque privatim suis navibus deductis eos Delphos usque comitatus est dedicationique crateræ interfuit : propterea ei honores meriti Romæ sunt habiti.

IX. Ceterum tribunis plebis iterum de diducendis in duas urbes civibus legem referentibus, commode bellum Faliscum incidit : idque effecit ut suo optimates arbitrio magistratus creare possent. Itaque Camillus cum quinque aliis tribunus militum creatus est, quod res viderentur ducem requirere, cui præter peritiam auctoritas etiam et gloria adessent. (2) Accepto populi suffragiis imperio Camillus cum copiis in Faliscos profectus est, ac Falerios obsedit, urbem munitissimam atque omnibus modis ad bellicas res instructam. Quam etsi capi sine magno labore multoque temporis spatio non posse intelligebat, volebat tamen terere cives suos et detinere in eo negotio, ne domi per otium desidentes orationibus turbulentorum hominum ad seditiones concitarentur. (3) Hoc enim remedio fere semper usi sunt Romani medicorum more, motus turbidos ex republica foras avertentes.

X. Adeo nihili faciebant obsidionem oppidani, munitionibus undique circumdatis fidentes, ut præter eos, qui muros custodiebant, reliqui in urbe tunicati oberrarent, pueri autem eorum in literarium ludum commearent et circum muros deambulandi exercendique corporis gratia a præceptore ducerentur. (2) Nam exemplo Græcorum, communem puerorum magistrum habebant, ut ii statim ab initio una quasi gregatim educarentur. (3) Is igitur

βουλεύων τοῖς Φαλερίοις διὰ τῶν παίδων ἐξῆγεν αὐτοὺς ἡμέρας ἑκάστης ὑπὸ τὸ τεῖχος ἐγγὺς τὸ πρῶτον, εἶτ' ἀπῆγεν αὖθις εἴσω γυμνασαμένους. Ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων εἴθισε θαῤῥεῖν, ὡς πολλῆς οὔσης ἀδείας, καὶ τέλος ἔχων ἅπαντας εἰς τοὺς προφύλακας τῶν Ῥωμαίων ἐνέβαλε καὶ παρέδωκεν ἄγειν κελεύσας πρὸς τὸν Κάμιλλον. (4) Ἀχθεὶς δὲ καὶ καταστὰς εἰς μέσον ἔλεγε παιδευτὴς μὲν εἶναι καὶ διδάσκαλος, τὴν δὲ πρὸς ἐκεῖνον χάριν ἀντὶ τούτων ἑλόμενος τῶν δικαίων, ἥκειν αὐτῷ τὴν πόλιν ἐν τοῖς παισὶ κομίζων. (5) Δεινὸν οὖν ἀκού- b σαντι τὸ ἔργον ἐφάνη Καμίλλῳ· καὶ πρὸς τοὺς παρόντας εἰπών, ὡς χαλεπὸν μέν ἐστι πόλεμος καὶ διὰ πολλῆς ἀδικίας καὶ βιαίων περαινόμενος ἔργων, εἰσὶ δὲ καὶ πολέμων ὅμως τινὲς νόμοι τοῖς ἀγαθοῖς ἀνδράσι καὶ τὸ νικᾶν οὐχ οὕτω διωκτέον, ὥστε μὴ φεύγειν τὰς ἐκ κακῶν καὶ ἀσεβῶν ἔργων χάριτας (ἀρετῇ γὰρ οἰκείᾳ τὸν μέγαν στρατηγὸν, οὐκ ἀλλοτρίᾳ θαῤῥοῦντα κακίᾳ χρῆναι στρατεύειν), προσέταξε τοῖς ὑπηρέταις τοῦ μὲν ἀνθρώπου καταῤῥηγνύναι τὰ ἱμάτια καὶ τὰς χεῖρας ὀπίσω περιάγειν, τοῖς δὲ παισὶ διδόναι ῥάβδους καὶ μάστιγας, ὅπως κολάζοντες τὸν προδότην ἐλαύνωσιν εἰς τὴν πόλιν. (6) Ἄρτι δὲ τῶν Φαλερίων ἠσθημένων τὴν τοῦ c διδασκάλου προδοσίαν καὶ τὴν μὲν πόλιν, οἷον εἰκὸς, ἐπὶ συμφορᾷ τηλικαύτῃ θρήνου κατέχοντος, ἀνδρῶν δὲ δοκίμων καὶ γυναικῶν ἐπὶ τὰ τείχη καὶ τὰς πύλας σὺν οὐδενὶ λογισμῷ φερομένων, προσῆγον οἱ παῖδες τὸν διδάσκαλον γυμνὸν καὶ δεδεμένον προπηλακίζοντες, τὸν δὲ Κάμιλλον σωτῆρα καὶ θεὸν καὶ πατέρα ἀναβοῶντες, ὥστε μὴ μόνον τοῖς γονεῦσι τῶν παίδων, ἀλλὰ καὶ τοῖς ἄλλοις πολίταις ταῦθ' ὁρῶσι θαῦμά τε καὶ πόθον ἐμπεσεῖν τῆς τοῦ Καμίλλου δικαιοσύνης. (7) Καὶ συνδρα- d μόντες εἰς ἐκκλησίαν πρέσβεις ἔπεμψαν ἐκείνῳ τὰ καθ' ἑαυτοὺς ἐπιτρέποντες, οὓς ὁ Κάμιλλος ἀπέστειλεν εἰς Ῥώμην. Ἐν δὲ τῇ βουλῇ καταστάντες εἶπον, ὅτι Ῥωμαῖοι τῆς νίκης τὴν δικαιοσύνην προτιμήσαντες ἐδίδαξαν αὐτοὺς τὴν ἧττον ἀγαπῆσαι πρὸ τῆς ἐλευθερίας, οὐ τοσοῦτον τῇ δυνάμει λείπεσθαι δοκοῦντας, ὅσον ἡττᾶσθαι τῆς ἀρετῆς ὁμολογοῦντας. (8) Ἀποδούσης δὲ τῆς βουλῆς πάλιν ἐκείνῳ τὸ κρῖναι καὶ διαιτῆσαι ταῦτα, χρήματα λαβὼν παρὰ τῶν Φαλερίων καὶ φιλίαν πρὸς ἅπαντας Φαλίσκους θέμενος ἀνεχώρησεν.

magister per liberos civibus insidia struens, pueros quotidie sub muros eduxit, principio non procul, inde reducens intro post exercitationes; deinde paulatim ulterius cum ipsis progressus eo adsuefecit, ut crederent omnia esse tuta: tandem cum universis ad excubias Romanorum accessit, seque et ipsos tradidit, ducique ad Camillum jussit. (4) Adductus et in medio constitutus, puerorum se horum magistrum esse dixit, studium tamen gratificandi Camillo officio suo antiquius habuisse, ideoque venire et Falerios per hos pueros ei in manum tradere. (5) Indignum hoc visum facinus Camillo, conversusque ad eos qui aderant, Gravis est, inquit, res bellum, ut quæ multis injustis multisque violentis factis conficiatur: et tamen apud bonos viros habentur etiam belli quædam leges, neque tantopere victoria expetenda est, ut non fugienda sint commoda quæ per scelus ac malitiam offeruntur: magnum enim imperatorem suæ virtutis, non alienæ improbitatis fiducia, convenit bellum gerere. Hæc postquam dixit, lictoribus mandavit, ut proditori vestes deriperent manusque in tergum revincirent, pueris autem virgas flagellaque darent, quibus proditorem ferientes in urbem compellerent. (6) Jam vero oppidanos, simulac proditos se a magistro puerorum senserunt, ingens et quantum comitari tantæ calamitati par est, luctus occupaverat, virique illustres et mulieres ad muros et portas utpote amentes discurrebant: cum pueri magistrum adducentes nudum vinctumque et verberibus afficientes adfuere, Camillum servatorem suum deumque et parentem invocantes. Itaque non parentibus modo puerorum, sed et reliquis civibus hoc videntibus subiit admirari atque amore prosequi justitiam Camilli: (7) concurrentesque in concionem, legatis ad eum missis, deditionem fecerunt. Qui ut jussu Camilli Romam profecti coram senatu constiterunt, a Romanis victoriæ justitiam præferentibus edoctos sese dixerunt esse, uti deditionem libertati anteponerent, confessi non tam viribus inferiores se, quam virtute a Romanis victos esse. (8) Cum senatus judicium ejus rei Camillo mandasset, imperator, accepta a Faleriis pecunia paceque cum tota Faliscorum civitate juncta, exercitum abduxit.

XI. Οἱ δὲ στρατιῶται διαρπάσειν προσδοκήσαντες τοὺς Φαλερίους ὡς ἐπανῆλθον εἰς Ῥώμην κεναῖς χερσὶ, κατηγόρουν τοῦ Καμίλλου πρὸς τοὺς ἄλλους πολίτας e ὡς μισοδήμου καὶ φθονήσαντος ὠφεληθῆναι τοῖς πένησιν. (2) Ἐπεὶ δὲ τὸν περὶ τοῦ διοικισμοῦ νόμον οἱ δήμαρχοι προθέντες αὖθις ἐπὶ τὴν ψῆφον ἐκάλουν τὸν δῆμον, ὁ δὲ Κάμιλλος οὐδεμιᾶς ἀπεχθείας οὐδὲ παῤῥησίας φεισάμενος ἐφάνη μάλιστα πάντων ἐκβιαζόμενος τοὺς πολλοὺς, τὸν μὲν νόμον ἄκοντες ἀπεψηφίσαντο, τὸν δὲ Κάμιλλον δι' ὀργῆς εἶχον, ὥστε καὶ δυστυχήσαντος αὐτοῦ περὶ τὰ οἰκεῖα (τῶν γὰρ υἱῶν ἀπέβαλε τὸν ἕτερον νοσήσαντα) μηδὲν οἰκτῳ τῆς ὀργῆς ὑφέσθαι. Καίτοι τὸ πάθος οὐ μετρίως ἤνεγκεν ἥμερος ἀνὴρ καὶ f

XI. Milites autem, qui prædæ sibi bona Faleriorum cessura speraverant, postquam Romam vacuis manibus est reditum, Camillum apud reliquos cives accusaverunt, tanquam populo infensum, et qui pauperes rem facere maligne prohiberet. (2) Ut vero tribuni plebis iterum de distribuendis in duas urbes civibus rogationem proposuerunt populumque ad ferenda suffragia vocarunt, Camillus neque inimicitiarum rationem habuit, neque in libere dicendo quicquam sibi reliquum fecit, aperteque tantum sua contentione contra plebem valuit, ut legem istam, quantumvis inviti, antiquarent. Quo facto tantam in se populi iram ille concitavit, ut ne domestica quidem calamitas ipsius (filiorum enim alterum vis morbi tum ei abstulit) eam lenire potuerit, et sane casum, ut erat homo ingenii mansueti ac be-

χρηστὸς, ἀλλὰ τῆς δίκης προγεγραμμένης αὐτῷ διὰ πένθος οἰκούρει καθειργμένος μετὰ τῶν γυναικῶν.

XII. Ὁ μὲν οὖν κατήγορος ἦν Λεύκιος Ἀπουλήιος, ἔγκλημα δὲ κλοπῆς περὶ τὰ Τυρρηνικὰ χρήματα· καὶ θῦτα καὶ θύραι τινὲς ἐλέγοντο χαλκαῖ παρ' αὐτῷ φανῆναι τῶν αἰχμαλώτων. (2) Ὁ δὲ δῆμος ἐξηρέθιστο καὶ δῆλος ἦν ἐκ πάσης προφάσεως κατ' αὐτοῦ τῇ ψήφῳ χρησόμενος. Οὕτως οὖν συναγαγὼν τούς τε φίλους καὶ τοὺς συστρατευσαμένους καὶ τοὺς συνάρξαντας οὐκ ὀλίγους τὸ πλῆθος ὄντας, ἐδεῖτο μὴ περιιδεῖν αὐτὸν ἀδίκως ἐπ' αἰτίαις πονηραῖς ὀφλόντα καὶ καταγέλαστον ὑπὸ τῶν ἐχθρῶν γενόμενον. (3) Ἐπεὶ δ' οἱ φίλοι βουλευσάμενοι καὶ διαλεχθέντες ἑαυτοῖς ἀπεκρίναντο, πρὸς μὲν τὴν κρίσιν αὐτῷ μηδὲ οἴεσθαι βοηθήσειν, τὴν δὲ ζημίαν ὀφείλοντι συνεκτίσειν, οὐκ ἀνασχόμενος ἔγνω μεταστῆναι καὶ φυγεῖν ἐκ τῆς πόλεως πρὸς ὀργήν. (4) Ἀσπασάμενος οὖν τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀπὸ τῆς οἰκίας προήει σιωπῇ μέχρι τῆς πύλης· ἐκεῖ δὲ ἐπέστη καὶ μεταστραφεὶς ὀπίσω καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸ Καπιτώλιον ἐπηύξατο τοῖς θεοῖς, εἰ μὴ δικαίως, ἀλλ' ὕβρει δήμου καὶ φθόνῳ προπηλακιζόμενος ἐκπίπτει, ταχὺ Ῥωμαίους μετανοῆσαι καὶ πᾶσιν ἀνθρώποις φανεροὺς γενέσθαι δεομένους αὐτοῦ καὶ ποθοῦντας Κάμιλλον.

XIII. Ἐκεῖνος μὲν οὖν, ὥσπερ ὁ Ἀχιλλεὺς, ἀρὰς θέμενος ἐπὶ τοὺς πολίτας καὶ μεταστὰς ὤφλε τὴν δίκην ἐρήμην τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων ἔχουσαν, ὃ γίνεται πρὸς ἀργυρίου λόγον χίλιαι δραχμαὶ καὶ πεντακόσιαι· ἀσσάριον γὰρ ἦν τὸ ἀργύριον, καὶ τὸ δεκάχαλκον οὕτως ἐκαλεῖτο δηνάριον. (2) Οὐδεὶς δ' ἐστὶ Ῥωμαίων ὃς οὐ νομίζει τὰς εὐχὰς τοῦ Καμίλλου ταχὺ τὴν Δίκην ὑπολαβεῖν καὶ γενέσθαι τιμωρίαν αὐτῷ τῆς ἀδικίας, οὐχ ἡδεῖαν, ἀλλ' ἀναρὰν, ὀνομαστὴν δὲ καὶ περιδόητον· (3) τοσαύτη περιῆλθε τὴν Ῥώμην νέμεσις καὶ τοσοῦτον ἄγων φθόρον καὶ κίνδυνον ἅμα μετ' αἰσχύνης ἐφάνη καιρὸς ἐπὶ τὴν πόλιν, εἴτε τῆς τύχης οὕτω συνελθούσης, εἴτε καὶ θεῶν τινος ἔργον ἐστὶ μὴ παραμελεῖν ἀρετῆς ἀχαριστουμένης.

XIV. Πρῶτον μὲν οὖν ἔδοξε σημεῖον γεγονέναι κακοῦ μεγάλου προσιόντος ἡ Ἰουλίου τοῦ τιμητοῦ τελευτή· μάλιστα γὰρ δὴ Ῥωμαῖοι σέβονται καὶ νομίζουσιν ἱερὰν τὴν τῶν τιμητῶν ἀρχήν. (2) Δεύτερον δὲ πρὸ τῆς Καμίλλου φυγῆς ἀνὴρ οὐκ ἐπιφανὴς μὲν, οὐδὲ ἐκ τῆς βουλῆς, ἐπιεικὴς δὲ καὶ χρηστὸς εἶναι δοκῶν, Μάρκος Κεδίκιος, ἀνήνεγκε πρὸς τοὺς χιλιάρχους πρᾶγμα φροντίδος ἄξιον. (3) Ἔφη γὰρ ἐν τῇ παρῳχημένῃ νυκτὶ καθ' ὁδὸν βαδίζων, ἣν Καινὴν ὀνομάζουσι, κληθεὶς ὑπό τινος φθεγξαμένου μέγα στραφῆναι καὶ θεάσασθαι μὲν οὐδένα, φωνῆς δὲ μείζονος ἢ κατ' ἀνθρωπίνην ἀκοῦσαι τάδε λεγούσης· « Ἄγε, Μάρκε Κεδίκιε, λέγε πρὸς τοὺς ἄρχοντας ἕωθεν ἐλθὼν ὀλίγου χρόνου Γαλάτας προσδέχεσθαι. » (4) Ταῦτ' ἀκούσαντες οἱ χιλίαρχοι γέλωτα καὶ παιδιὰν ἐποιοῦντο· καὶ μετ' ὀλίγον συνέβη τὰ περὶ Κάμιλλον.

nigni, haud mediocriter ipse tulit : vocatusque in jus, domi cum mulieribus inclusus delituit.

XII. Postulatus est a L. Apuleio, quod Etruscam prædam peculatus esset et ferebantur apud eum visæ januæ æreæ quæ bello captæ fuerint. (2) Populi vero animi contra ipsum erant exasperati, ac palam præ se ferebant, quacunque oblata causa suffragia contra eum laturos. Ergo convocatis amicis militiæque collegis ac sociis, quorum erat non exiguus numerus, oravit ne ipsum injuste falsis criminibus circumveniri inimicisque ludibrio proponi paterentur. (3) Qui ut inter se deliberata re, nou posse se ei, quo minus damnaretur, prodesse, mulctam vero pro ipso solvere velle, responderunt : indignitate rei victus, irato animo statuit in exsilium proficisci. (4) Salutatis igitur uxore et filio, tacitus a domo sua ad portas urbis abiit : ibi constitit, conversus retro, sublatis versus Capitolium manibus, comprecatus est deos : ut si injuste, libidine populi invidiaque projectus patria excideret, celeriter Romanos pœnitentia ejus facti corriperet omnibusque hominibus innotesceret, opus eos habere Camillo eumque desiderare.

XIII. Ita Camillus, imprecationibus contra suos cives Achillis exemplo conceptis, patria abiit : damnatusque est absens quindecim millibus æris, quæ summa in argento efficit denarios mille ac quingentos : as enim tunc pro pecunia usurpabatur et denarius inde nomen habet, quod decem asses æris valeret. (2) Neque vero quisquam Romanorum est, qui non ita judicet, vota Camilli continuo rata Justitiam fecisse, vindictamque injuriæ acceptæ eum expertum, non gratam quidem, sed ut molestam, ita illustrem tamen et memorabilem : (3) ita statim ultio Romam divinitus corripuit, tantumque eo tempore cladium, periculorum atque ignominiæ incidit in urbem, sive id fortuito casu evenit, sive quoddam numen est, quod virtutis malam gratiam expertæ curam gerat.

XIV. In primum igitur magni mali signum rapta est mors Julii censoris : maxime enim Romani venerantur ac divinam putant censuram. (2) Deinde M. Cedicius, homo non magni nominis, neque senatorii ordinis, probus tamen ac bonus vir habitus, ante quam in exilium abiret Camillus, rem tribunis militum dignam cura renunciavit : (3) præterita nocte se transeuntem via Nova, vocatum ab aliquo, cum se convertisset, vidisse neminem, vocem vero humana majorem audivisse, ita dicentem : « Age M. Cedici, primo mane indica magistratibus ut brevi Gallos exspectent. » (4) Hæc audita tribuni risum jocumque putaverunt : pauloque post Camillus patria excidit.

XV. Οἱ δὲ Γαλάται τοῦ Κελτικοῦ γένους ὄντες ὑπὸ πλήθους λέγονται τὴν αὐτῶν ἀπολιπόντες οὐκ οὖσαν αὐτάρκη τρέφειν ἅπαντας ἐπὶ ζήτησιν ἑτέρας ὁρμῆσαι· μυριάδες δὲ πολλαὶ γενόμενοι νέων ἀνδρῶν καὶ μαχίμων, ἔτι δὲ πλείους παίδων καὶ γυναικῶν ἄγοντες, οἱ μὲν ἐπὶ τὸν βόρειον Ὠκεανὸν ὑπερβαλόντες τὰ Ῥιπαῖα ὄρη ῥυῆναι καὶ τὰ ἔσχατα τῆς Εὐρώπης κατασχεῖν, οἱ δὲ μεταξὺ Πυρρήνης ὄρους καὶ τῶν Ἄλπεων ἱδρυθέντες ἐγγὺς Σεννώνων καὶ Κελτορίων κατοικεῖν χρόνον πολύν· (2) ὀψὲ δ' οἴνου γευσάμενοι τότε πρῶτον ἐξ Ἰταλίας διακομισθέντος οὕτως ἄρα θαυμάσαι τὸ πόμα καὶ πρὸς τὴν καινότητα τῆς ἡδονῆς ἔκφρονες γενέσθαι πάντες, ὥστε ἁράμενοι τὰ ὅπλα καὶ γενεὰς ἀναλαβόντες ἐπὶ τὰς Ἄλπεις φέρεσθαι καὶ ζητεῖν ἐκείνην τὴν γῆν, ἣ τοιοῦτον καρπὸν ἀναδίδωσι, τὴν δ' ἄλλην ἄκαρπον ἡγεῖσθαι καὶ ἀνήμερον. (3) Ὁ δ' εἰσαγαγὼν τὸν οἶνον παρ' αὐτοὺς καὶ παροξύνας ἐπὶ τὴν Ἰταλίαν μάλιστα καὶ πρῶτος Ἄρρων λέγεται γενέσθαι Τυρρηνός, ἀνὴρ ἐπιφανὴς καὶ φύσει μὲν οὐ πονηρός, συμφορᾷ δὲ τοιαύτῃ χρησάμενος. (4) Ἦν ἐπίτροπος παιδὸς ὀρφανοῦ πλούτῳ τε πρώτου τῶν πολιτῶν καὶ θαυμαζομένου κατ' εἶδος, ὄνομα Λουκούμωνος. Οὗτος ἐκ νέου παρὰ τῷ Ἄρρωνι δίαιταν εἶχε καὶ μειράκιον ὢν οὐκ ἀπέλιπε τὴν οἰκίαν, ἀλλὰ προσεποιεῖτο χαίρειν συνὼν ἐκείνῳ. (5) Καὶ πολὺν χρόνον ἐλάνθανε διεφθαρκὼς αὐτοῦ τὴν γυναῖκα καὶ διεφθαρμένος ὑπ' ἐκείνης· ἤδη δὲ πόρρω τοῦ πάθους ἀμφοτέρων γεγονότων καὶ μήτ' ἀφεῖναι τὴν ἐπιθυμίαν μήτε κρύπτειν ἔτι δυναμένων, ὁ μὲν νεανίσκος ἐπεχείρει φανερῶς ἀποσπάσας ἔχειν τὴν ἄνθρωπον, ὁ δ' ἀνὴρ ἐπὶ δίκην ἐλθὼν καὶ κρατούμενος πλήθει φίλων καὶ χρημάτων δαπάναις ὑπὸ τοῦ Λουκούμωνος ἐξέλιπε τὴν ἑαυτοῦ· καὶ πυθόμενος τὰ τῶν Γαλατῶν ἦκεν ὡς αὐτοὺς καὶ καθηγήσατο τῆς εἰς τὴν Ἰταλίαν στρατείας.

XVI. Οἱ δ' ἐμβαλόντες εὐθὺς ἐκράτουν τῆς χώρας ὅσην τὸ παλαιὸν οἱ Τυρρηνοὶ κατεῖχον ἀπὸ τῶν Ἄλπεων ἐπ' ἀμφοτέρας καθήκουσαν τὰς θαλάσσας, ὡς καὶ τοὔνομα μαρτυρεῖ τῷ λόγῳ. (2) Τὴν μὲν γὰρ βόρειον θάλατταν Ἀδρίαν καλοῦσιν ἀπὸ Τυρρηνικῆς πόλεως Ἀδρίας, τὴν δὲ πρὸς νότον κεκλιμένην ἀντικρυς Τυρρηνικὸν πέλαγος. (3) Πᾶσα δ' ἔστι δενδρόφυτος αὕτη καὶ θρέμμασιν εὔβοτος καὶ κατάρρυτος ποταμοῖς. Καὶ πόλεις εἶχεν ὀκτωκαίδεκα καλὰς καὶ μεγάλας καὶ κατεσκευασμένας πρός τε χρηματισμὸν ἐργατικῶς καὶ πρὸς δίαιταν πανηγυρικῶς, ἃς οἱ Γαλάται τοὺς Τυρρηνοὺς ἐκβαλόντες αὐτοὶ κατέσχον. Ἀλλὰ ταῦτα μὲν ἐπράχθη συχνῷ τινι χρόνῳ πρότερον.

XVII. Οἱ δὲ Γαλάται πρὸς πόλιν τότε Τυρρηνίδα Κλούσιον στρατεύσαντες ἐπολιόρκουν. Οἱ δὲ Κλουσῖνοι καταφυγόντες ἐπὶ τοὺς Ῥωμαίους ἠτήσαντο πρέσβεις παρ' αὐτῶν καὶ γράμματα πρὸς τοὺς βαρβάρους. (2) Ἐπέμφθησαν δὲ τοῦ Φαβίων γένους τρεῖς ἄνδρες εὐδόκιμοι καὶ τιμὰς μεγάλας ἔχοντες ἐν τῇ πόλει. Τούτους ἐδέξαντο μὲν οἱ Γαλάται φιλανθρώπως διὰ τὸ τῆς

XV. Gallos tradunt Celtici generis fuisse : quibus cum propter multitudinem hominum patriæ solum alendis non sufficeret, quæsitum novam habitationem profectos : fuisse autem permulta virorum validæ ætatis et bello utilis, plura adhuc eos millia liberorum et mulierum secum traxisse. Horum alios superato, qui est ad Septentrionem, Oceano, ad Riphæos montes pervenisse et in extremis Europæ finibus consedisse : alios inter Pyrenæos montes atque Alpes, prope Senones et Celtorios diu sedes suas habuisse. (2) Hos multo post tempore, cum vinum gustassent, tum primum ex Italia ad ipsos allatum, adeo omnes ejus potus miraculo incognitaque prius voluptate ad furorem compulsos, ut sublatis armis, suisque secum acceptis, ad Alpes contenderint, terramque illam, omnibus aliis pro sterilibus et incultis habitis, quæsiverint, quæ eum fructum proferret. (3) Id quoque traditum est, ab Arunte Etrusco primum ad eos allatum vinum ab eoque præsertim ad invadendam Italiam concitatos eos esse, viro nobili, et ingenii neutiquam mali, eumque ad hoc factum hic casus, ut aiunt, impulit. (4) Tutelam gesserat Lucumonis pueri parentibus orbi, divitiis inter cives facile primi ac formæ præcipuæ. Hic ab Arunte educatus, cum adolescentiam attigisset, ad domum ejus ventitare non omisit, simulans tutoris sui consuetudine se delectari : interim uxorem ejus clam corrumpebat eumque vicissim ipsa deperibat. (5) Quum amor eorum eo exarsisset, ut jam neque deponere eum neque occultare possent, et Lucumo aperte conatus esset eam a viro abstractam secum habere, Aruns, re ad judices delata, amicorum numero pecuniæque largitione a Lucumone victus, patria excessit : cumque de Gallorum rebus audivisset, ad eos se contulit expeditionique in Italiam dux eis fuit.

XVI. Galli, facta irruptione, statim omnem eam regionem occupaverunt, quæ quondam Etruscorum fuit : quæ nimirum ab Alpibus ad utrumque mare pertinet, quam Etruscos obtinuisse nomen etiam testatur. (2) Mare enim quod ad Septentriones vergit, Adriaticum ab urbe Etrusca Adria dicitur ; alterum quod ad meridiem spectat, aperte Tyrrhenum appellatur. (3) Omnis ea regio arboribus abundans est et pecori pascendo apta, fluviisque rigatur multis, fueruntque in ea urbes octodecim magnæ ac pulcræ, ædificatæ ita, ut et ad pecuniam parandam commode et ad vivendum splendide haberent, quas omnes Galli Etruscis pulsis obtinuerunt. Verum hæc quidem longe superioribus temporibus acta sunt.

XVII. Tunc autem urbem Etruriæ Clusium Galli oppugnabant : cujus cives Romanorum opem implorantes, legatos ab iis et literas ad barbaros petierunt. (2) Missi sunt tres de Fabiorum genere viri illustres, magnisque in urbe honoribus præditi. Eos Galli propter nomen Romæ humani-

Ῥώμης ὄνομα καὶ παυσάμενοι τῆς πρὸς τὰ τείχη μάχης εἰς λόγους συνῆλθον. (3) Πυνθανομένων δ' αὐτῶν, ὅ τι παθόντες ὑπὸ Κλουσίνων ἥκοιεν ἐπὶ τὴν πόλιν, γελάσας ὁ βστιλεὺς τῶν Γαλατῶν Βρέννος, « Ἀδικοῦσιν ἡμᾶς, ἔφη, Κλουσῖνοι γῆν καὶ χώραν ὀλίγην μὲν γεωργεῖν δυνάμενοι, πολλὴν δὲ κατέχειν ἀξιοῦντες καὶ μὴ μεταδιδόντες ἡμῖν ξένοις οὖσι καὶ πολλοῖς καὶ πένησι. Ταῦτα δ' ἄρα καὶ ὑμᾶς ἠδίκουν, ὦ Ῥωμαῖοι, πρότερον μὲν Ἀλβανοὶ καὶ Φιδηνάται καὶ Ἀρδεάται, νῦν δ' Οὐήιοι καὶ Καπηνάται καὶ πολλοὶ Φαλίσκων καὶ Οὐολούσκων, ἐφ' οὓς ὑμεῖς στρατεύοντες, ἐὰν μὴ μεταδιδῶσιν ὑμῖν τῶν ἀγαθῶν, ἀνδραποδίζεσθε, λεηλατεῖτε καὶ κατασκάπτετε τὰς πόλεις αὐτῶν, οὐδὲν οὐδὲ ὑμεῖς γε δεινὸν οὐδ' ἄδικον ποιοῦντες, ἀλλὰ τῷ πρεσβυτάτῳ τῶν νόμων ἀκολουθοῦντες, ὃς τῷ κρείττονι τὰ τῶν ἡττόνων δίδωσιν ἀρχόμενος ἀπὸ τοῦ θεοῦ καὶ τελευτῶν εἰς τὰ θηρία· καὶ γὰρ τούτοις ἐκ φύσεως ἔνεστι τὸ ζητεῖν πλέον ἔχειν τὰ κρείττονα τῶν ὑποδεεστέρων. Κλουσίνους δὲ παύσασθε πολιορκουμένους οἰκτείροντες, ὡς μὴ καὶ Γαλάτας διδάξητε χρηστοὺς καὶ φιλοικτίρμονας γενέσθαι τοῖς ὑπὸ Ῥωμαίων ἀδικουμένοις. » (4) Ἐκ τούτων τῶν λόγων ἔγνωσαν οἱ Ῥωμαῖοι τὸν Βρέννον ἀσυμβάτως ἔχοντα καὶ παρελθόντες εἰς τὸ Κλούσιον ἐθάρρυνον καὶ παρώρμων τοὺς ἄνδρας ἐπεξελθεῖν τοῖς βαρβάροις μετ' αὐτῶν, εἴτε τὴν ἐκείνων ἀλκὴν καταμαθεῖν εἴτε τὴν ἑαυτῶν ἐπιδείξασθαι θέλοντες. (5) Ἐκδρομῆς δὲ τῶν Κλουσίνων καὶ μάχης παρὰ τὰ τείχη γενομένης εἷς τῶν Φαβίων, Κόϊντος Ἀμβουστος, ἵππον ἔχων ἐξήλασεν ἀντίος ἀνδρὶ μεγάλῳ καὶ καλῷ Γαλάτῃ πολὺ προϊππεύοντι τῶν ἄλλων, ἀγνοηθεὶς ἐν ἀρχῇ διὰ τὸ τὴν σύνοδον ὀξεῖαν γενέσθαι καὶ τὰ ὅπλα περιλάμποντα τὴν ὄψιν ἀποκρύπτειν. (6) Ὡς δ' ἐπικρατήσας τῇ μάχῃ καὶ καταβαλὼν ἐσκύλευε τὸν ἄνδρα, γνωρίσας ὁ Βρέννος αὐτὸν ἐπεμαρτύρατο θεοὺς, ὡς παρὰ τὰ κοινὰ καὶ νενομισμένα πᾶσιν ἀνθρώποις ὅσια καὶ δίκαια πρεσβευτοῦ μὲν ἥκοντος, πολέμια δὲ εἰργασμένου. Καταπαύσας δὲ τὴν μάχην αὐτίκα Κλουσίνους μὲν εἶα χαίρειν, ἐπὶ δὲ τὴν Ῥώμην τὸν στρατὸν ἦγεν· οὐ βουλόμενος δὲ ὀφλεῖν τὴν ἀδικίαν αὐτοῖς ὥσπερ ἀσμένοις γεγονέναι καὶ δεομένοις προφάσεως, ἔπεμψεν ἐξαιτῶν ἐπὶ τιμωρίᾳ καὶ προῆγεν ἅμα σχολαίως.

XVIII. Ἐν δὲ Ῥώμῃ τῆς βουλῆς συναχθείσης ἄλλοι τε πολλοὶ τοῦ Φαβίου κατηγόρουν καὶ τῶν ἱερέων οἱ καλούμενοι Φητιαλεῖς ἐνῆγον ἐπιθειάζοντες καὶ κελεύοντες τῶν πεπραγμένων ἄγος τὴν σύγκλητον εἰς ἕνα τὸν αἴτιον τρέψασαν ὑπὲρ τῶν ἄλλων ἀφοσιώσασθαι. (2) Τούτους τοὺς Φητιαλεῖς Πομπίλιος Νομᾶς βασιλέων ἡμερώτατος γενόμενος καὶ δικαιότατος κατέστησε φύλακας μὲν εἰρήνης, ἐπιγνώμονας δὲ καὶ βεβαιωτὰς αἰτιῶν, αἳ σὺν δίκῃ πόλεμον συνάπτουσι. (3) Τῆς δὲ βουλῆς ἐπὶ τὸν δῆμον ἀνενεγκαμένης τὸ πρᾶγμα καὶ τῶν ἱερέων ὅμοια τοῦ Φαβίου κατηγορούντων οὕτω περιύβρισαν αὐτῶν οἱ πολλοὶ τὰ θεῖα καὶ κατεγέλασαν, ὥστε καὶ χιλίαρχον ἀποδεῖξαι τὸν Φάβιον μετὰ τῶν ἀδελ-

ter exceperunt, intermissaque oppugnatione, in colloquium venerunt. (3) Ibi percunctantibus Romanis causam qua Clusinorum injuria commoti, eorum urbem oppugnatum venissent, Brennus rex Gallorum ridens, « Injuria, inquit, Clusinos afficiunt, qui cum agri parum colere possint, possidere plurimum volunt, nobisque peregrinis, qui multi sumus et pauperes, nihil ejus concedunt. Eadem vos Romanos injuria affecerunt olim Albani, Fidenates, Ardeates, nuper Vejentes, Capenates, ac plerique Faliscorum Volscorumque : quos quidem vos, nisi suorum bonorum vobis copiam faciant, bello petitis, in servitutem redigitis, deprædamini, urbesque eorum evertitis : non injuste id quidem, sed antiquissimam omnium legem secuti, quæ bona inferiorum præstantioribus tribuit, atque a deo incipiens, usque ad belluas se extendit, quibus ipsis quoque a natura inest, ut validiores inter eas plus habere infirmioribus velint. Proinde Clusinos in obsidione habitos desinite misericordia prosequi, ne Gallos doceatis humanitate sua opitulari iis, quibus a Romanis est vis facta. » (4) Hoc ex sermone satis intellexerunt legati, Brennum a pacificatione esse alienum, in oppidumque digressi cives confirmaverunt ilisque auctores fuerunt, ut secum contra barbaros in aciem exirent; incertum illorumne fortitudinis periclitandæ aut suæ ostentandæ causa id fecerint. (5) Excursione a Clusinis facta et pugna prope murum commissa, unus ex Fabiis Q. Ambustus nomine, ut equo insederat, Gallo cuidam forma et mole corporis conspicuo, multum ante alios provecto, obviam se dedit. Ac primo quidem quis esset ignoratus est, fervente prœlio aspectumque fulgore armorum circa eripiente. (6) Ut vero victor Gallum dejectum spoliavit, Brennus eum agnovit, deosque testatus, contra jus omnium hominum commune eum, legatus cum venisset, hostis vicem obivisse, statim receptui cecinit, et omissis Clusinis exercitum Romam duxit, ac ne belli cupidus injuriam sibi illatam gratam veluti occasionem ejus arripuisse videretur, misit Romam, qui Fabium sibi ad supplicium dedi poscerent, ipse paulatim progressus est cum suis.

XVIII. Romæ in senatu cum alii multi Fabium accusarent, tum maxime Feciales, religionem prætendentes, senatuique suadentes, ut piaculum perpetrati sceleris in unum auctorem ab omnibus civibus averteret. (2) Feciales istos Pompilius Numa regum placidissimus instituerat, qui et pacis custodes essent et de causis, propter quas jure bellum posset suspici, cognoscerent ac statuerent. (3) Cum senatus judicium causæ ad populum rejecisset ac Feciales itidem Fabium accusarent, adeo multitudini religio contemptui ac deridiculo fuit, ut et Fabium cum fratribus tribunos militum

φῶν. (4) Οἱ δὲ Κελτοὶ πυθόμενοι ταῦτα καὶ χαλεπῶς φέροντες οὐδὲν ἐμποδὼν ἐποιοῦντο τῆς σπουδῆς, ἀλλ' ἐχώρουν παντὶ τάχει· καὶ πρὸς τὸ πλῆθος αὐτῶν καὶ τὴν λαμπρότητα τῆς παρασκευῆς καὶ βίαν καὶ θυμὸν ἐκπεπληγμένων τῶν διὰ μέσου καὶ τήν τε χώραν ἀπολωλέναι πᾶσαν ἤδη καὶ τὰς πόλεις εὐθὺς ἀπολεῖσθαι δοκούντων, παρ' ἐλπίδας οὐδὲν ἠδίκουν οὐδ' ἔλαβον ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ τὰς πόλεις ἐγγὺς παρεξιόντες ἐβόων ἐπὶ τὴν Ῥώμην πορεύεσθαι καὶ μόνοις πολεμεῖν Ῥωμαίοις, τοὺς δ' ἄλλους φίλους ἐπίστασθαι. (5) Τοιαύτῃ δὲ χρωμένων ὁρμῇ τῶν βαρβάρων ἐξῆγον οἱ χιλίαρχοι τοὺς Ῥωμαίους ἐπὶ τὸν ἀγῶνα, πλήθει μὲν οὐκ ἐνδεεῖς (ἐγένοντο γὰρ ὁπλῖται τετρακισμυρίων οὐκ ἐλάσσους), ἀνασκήτους δὲ τοὺς πολλοὺς καὶ τότε πρῶτον ἅπτομένους ὅπλων. (6) Ἔτι δ' ἐξημέλητο τὰ τῶν θεῶν αὐτοῖς οὔτε καλλιερήσασιν οὔτε μάντεις ἃ πρὸ κινδύνου καὶ μάχης εἰκὸς ἦν ἐρομένοις. (7) Οὐδενὸς δὲ ἧττον ἐπετάραττεν ἡ πολυαρχία τὰ πραττόμενα· καίτοι πρότερόν γε καὶ πρὸς ἐλάττονας ἀγῶνας εἵλοντο πολλάκις μονάρχους, οὓς Δικτάτωρας καλοῦσιν, οὐκ ἀγνοοῦντες, ὅσον ἐστὶν εἰς ἐπισφαλῆ καιρὸν ὄφελος μιᾷ χρωμένους γνώμῃ πρὸς ἀνυπεύθυνον ἀρχὴν ἐν χερσὶ τὴν δίκην ἔχουσαν εὐτακτεῖν. (8) Οὐχ ἥκιστα δὲ καὶ Κάμιλλος ἀγνωμονηθεὶς ἔβλαψε τὰ πράγματα, τοῦ μὴ πρὸς χάριν μηδὲ κολακεύοντας ἄρχειν φοβεροῦ γενομένου. (9) Προελθόντες οὖν ἀπὸ τῆς πόλεως σταδίους ἐνενήκοντα παρὰ τὸν Ἁλίαν ποταμὸν ηὐλίσθησαν οὐ πόρρω τοῦ στρατοπέδου τῷ Θύμβριδι συμφερόμενον. Ἐνταῦθα δὲ τῶν βαρβάρων ἐπιφανέντων αἰσχρῶς ἀγωνισάμενοι δι' ἀταξίαν ἐτράποντο. (10) Καὶ τὸ μὲν ἀριστερὸν κέρας εὐθὺς ἐμβαλόντες εἰς τὸν ποταμὸν οἱ Κελτοὶ διέφθειραν· τὸ δὲ δεξιὸν ὑπεκκλῖναν τὴν ἐπιφορὰν ἐκ τοῦ πεδίου πρὸς τοὺς λόφους ἧττον ἐξεκόπη. Καὶ διεξέπεσον ἀπὸ τούτων εἰς τὴν πόλιν οἱ πολλοί· τοῖς δ' ἄλλοις, ὅσοι τῶν πολεμίων ἀπειπόντων πρὸς τὸν φόνον ἐσώθησαν, εἰς Βηίους αἱ φυγαὶ διὰ νυκτὸς ἦσαν, ὡς τῆς Ῥώμης οἰχομένης καὶ τῶν ἐκεῖ πάντων ἀπολωλότων.

XIX. Ἐγένετο δ' ἡ μάχη περὶ τροπὰς θερινὰς περὶ τὴν πανσέληνον, ᾗ καὶ πρότερον ἡμέρᾳ μέγα πάθος συνέβη τὸ περὶ τοὺς Φαβίους· τριακόσιοι γὰρ ἐκ τοῦ γένους ὑπὸ Τυρρηνῶν ἀνῃρέθησαν. (2) Ἐκράτησε δὲ τὴν ἡμέραν ἀπὸ τῆς δευτέρας ἧττης Ἁλιάδα μέχρι νῦν καλεῖσθαι διὰ τὸν ποταμόν. Περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας, εἴτε μή, ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ τὰς μὲν ἀγαθὰς ποιουμένῳ, τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται. (3) Τῇ δ' ὑποκειμένῃ γραφῇ τὸ μνημονεῦσαι παραδειγμάτων ὀλίγων ἴσως ἂν ἁρμόσειε. Τοῦτο μὲν Βοιωτοῖς Ἱπποδρομίου μηνὸς, ὡς δ' Ἀθηναῖοι καλοῦσιν Ἑκατομβαιῶνος, ἱσταμένου πέμπτῃ δύο λαβεῖν συνέβη νίκας ἐπιφανεστάτας, αἷς τοὺς Ἕλληνας ἠλευθέρωσαν, τήν τε περὶ Λεῦκτρα καὶ τὴν ἐπὶ Κερησσῷ ταύτης πρότερον ἔτεσι πλείοσιν ἢ διακοσίοις, ἥτε Λατταμύαν καὶ Θεσσαλοὺς ἐνίκησαν. (4) Τοῦτο

crearent. (4) Galli eo comperto irritati, nihil prius celeritate consilii exsequendi habuerunt. Itaque summa cum properatione profecti, cum essent omnium, per quorum regionem iter faciebant, animi multitudine, splendore apparatus, vi ac ferocia eorum consternati, actumque jam de agris suis esse, interitum urbibus imminere putarent: præter omnium spem nihil hostiliter egerunt, nihil ex agris abstulerunt, urbesque prætereuntes, Romam se petere clamaverunt, solisque Romanis bellum facere, ceteros amicorum numero habere. (5) Tanto impetu barbaris ruentibus, tribuni militum Romanos quoque in bellum eduxerunt, numero quidem non inferiores (erant enim non minores quadraginta millibus armati) plerosque tamen rei bellicæ imperitos, ac qui tum primum arma contrectarent. (6) Præterea religiones quoque neglexerant, neque aut litaverant aut de iis, quæ ante pugnam opus est, haruspices consuluerant. (7) Neque minus multitudo imperatorum rei bene gerendæ obfuit, cum ante quidem sane ad leviora bella dictatorem creassent, haud ignari, quantum periculoso tempore conduceret omnia secundum arbitrium unius hominis agi, qui in suis manibus jus omne haberet magistratumque nulli judicio obnoxium gereret. (8) Neque parum damni rebus attulit injuria Camillo facta, cum jam in imperio subditis non velle gratificari neque adulari, periculosum esset. (9) Progressi ab urbe Romani nonaginta stadia, apud Aliam fluvium consederunt, qui haud procul a castrorum loco in Tiberim influit. Ibi barbaris obviam factis male instructa acie congressi turpiter pugnaverunt ac fusi sunt. (10) Lævum cornu statim a Gallis in flumen compulsum et deletum est: qui in dextro steterant, cedentes impetui hostium a planitie ad tumulos se subduxerunt ac minus incommodum passi sunt et plerique ipsorum Romam inde perfugerunt: reliqui defatigatis cædendo hostibus superstites, noctu Vejos fuga petierunt, Roma jam deplorata, quam cum omnibus, qui ibi essent, interiisse putarent.

XIX. Pugnatum est post solstitium æstivum ac plenilunium, qua die ante etiam Fabiorum clades accidit, qui trecenti ejusdem generis ab Et uscis occisi fuerunt. (2) Obtinuit deinceps, ut ob posterorem hanc cladem ille dies a fluvio Aliensis diceretur. Sintne dies alioqui nefasti statuendi, atque utrum injuria Hesiodum reprehenderit Heraclitus, alios bonos, alios malos dies facientem, velut ignorantem unam omnium esse naturam, alibi a nobis disputatum est. (3) Hoc autem loco videor non inconvenienter aliquot exempla hujus rei subjecturus. Bœoti quinto die ejus mensis qui ipsis Hippodromius, Hecatombæon Atheniensibus est, duas præclarissimas victorias reportaverunt, quibus libertatem Græcis attulerunt, unam in Leuctris, alteram apud Ceressum (amplius ducentis ante annis) devictis cum Lattamya Thessalis. (4) Rursus Persæ

δ' αὖ πάλιν Πέρσαι μηνὸς Βοηδρομιῶνος ἕκτῃ μὲν ἐν Μαραθῶνι, τρίτῃ δ' ἐν Πλαταιαῖς ἅμα καὶ περὶ Μυ- b κάλην ἡττήθησαν ὑπὸ τῶν Ἑλλήνων, πέμπτῃ δὲ φθίνοντος ἐν Ἀρβήλοις. (5) Ἀθηναῖοι τὴν περὶ Νάξον ἐνίκων ναυμαχίαν, ἧς Χαβρίας ἐστρατήγει, τοῦ Βοηδρομιῶνος περὶ τὴν πανσέληνον, ἐν δὲ Σαλαμῖνι περὶ τὰς εἰκάδας, ὡς ἡμῖν ἐν τῷ Περὶ ἡμερῶν ἀποδέδεικται. (6) Ἐνήνοχε δὲ καὶ ὁ Θαργηλιὼν μὴν τοῖς βαρβάροις ἐπιδήλως ἀτυχίας· καὶ γὰρ Ἀλέξανδρος ἐπὶ Γρανικῷ τοὺς βασιλέως στρατηγοὺς Θαργηλιῶνος ἐνίκησε, καὶ Καρχηδόνιοι περὶ Σικελίαν ὑπὸ Τιμολέοντος ἡττῶντο τῇ ἑβδόμῃ φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι, Θαργηλιῶνος ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμά- c στης καὶ Φύλαρχος ἱστορήκασιν. (7) Ἀνάπαλιν δ' ὁ Μεταγειτνιών, ὃν Βοιωτοὶ Πάνεμον καλοῦσιν, Ἕλλησιν οὐκ εὐμενὴς γέγονε. Τούτου γὰρ τοῦ μηνὸς ἑβδόμῃ καὶ τὴν ἐν Κρανῶνι μάχην ἡττηθέντες ὑπ' Ἀντιπάτρου τελέως ἀπώλοντο καὶ πρότερον ἐν Χαιρωνείᾳ μαχόμενοι πρὸς Φίλιππον ἠτύχησαν. Τῆς δ' αὐτῆς ἡμέρας ταύτης ἐν τῷ Μεταγειτνιῶνι κατὰ τὸν αὐτὸν ἐνιαυτὸν οἱ μετ' Ἀρχιδάμου διαβάντες εἰς Ἰταλίαν ὑπὸ τῶν ἐκεῖ βαρβάρων διεφθάρησαν. (8) Καρχηδόνιοι δὲ τὴν ἐνά- d τὴν φθίνοντος ὡς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἀτυχημάτων αὐτοῖς ἀεὶ φέρουσαν παραφυλάττουσιν. (9) Οὐκ ἀγνοῶ δ' ὅτι περὶ τὸν τῶν μυστηρίων καιρὸν αὖθις Θῆβαί τε κατεσκάφησαν ὑπὸ Ἀλεξάνδρου καὶ μετὰ ταῦτα φρουρὰν Ἀθηναῖοι Μακεδόνων ἐδέξαντο περὶ αὐτὴν τὴν εἰκάδα τοῦ Βοηδρομιῶνος, ᾗ τὸν μυστικὸν Ἴακχον ἐξάγουσιν. (10) Ὁμοίως δὲ Ῥωμαῖοι τῆς αὐτῆς ἡμέρας πρότερον μὲν ὑπὸ Κίμβρων τὸ μετὰ Καιπίωνος ἀπέβαλον στρατόπεδον, ὕστερον δὲ Λευκούλλου στρατηγοῦντος Ἀρμενίους καὶ Τιγράνην ἐνίκησαν. (11) Ἄτταλος δ' ὁ βασιλεὺς καὶ Πομπήιος Μάγνος ἐν τοῖς ἑαυτῶν γενεθλίοις ἀπέθανον. Καὶ ὅλως ἐστὶ πολλοὺς ἐπ' e ἀμφότερα ταῖς αὐταῖς χρησαμένους ἀποδεῖξαι περιόδοις. (12) Ἀλλὰ Ῥωμαίοις αὕτη μία τῶν ἀποφράδων ἐστὶ καὶ δι' αὐτὴν ἑκάστου μηνὸς ἕτεραι δύο, τῆς πρὸς τὸ συμβὰν εὐλαβείας καὶ δεισιδαιμονίας ἐπὶ πλεῖον, ὥσπερ εἴωθε, ῥυείσης. Ταῦτα μὲν ἐν τῷ Περὶ αἰτιῶν Ῥωμαϊκῶν ἐπιμελέστερον διῄρηται.

XX. Μετὰ δὲ τὴν μάχην ἐκείνην εἰ μὲν εὐθὺς ἐπηκολούθησαν οἱ Γαλάται τοῖς φεύγουσιν, οὐδὲν ἂν ἐκώλυσε τὴν Ῥώμην ἅρδην ἀναιρεθῆναι καὶ πάντας ἀπολέσθαι τοὺς ἐν αὐτῇ καταλειφθέντας· τοσοῦτον οἱ φεύγοντες f ἐνειργάζοντο δεῖμα τοῖς ὑποδεχομένοις καὶ τοσαύτης πάλιν ἐνεπίμπλαντο ταραχῆς καὶ παραφροσύνης. (2) Νῦν δ' ἀπιστίᾳ τοῦ μεγέθους οἱ βάρβαροι τῆς νίκης καὶ πρὸς εὐπάθειαν ἐκ τοῦ περιχαροῦς ἅμα καὶ νεμήσεις τῶν ἁλωκότων ἐν τῷ στρατοπέδῳ χρημάτων τραπόμενοι τῷ μὲν ἐκπίπτοντι τῆς πόλεως ὄχλῳ ῥᾳστώνην φυγῆς παρέσχον, ἐλπίσαι δ' ἔτι καὶ παρασκευάσασθαι τοῖς ὑπομένουσι. (3) Τὴν γὰρ ἄλλην πόλιν προέμενοι τὸ Καπιτώλιον ἐφράξαντο βέλεσι καὶ διατειχίσμασιν· ἐν πρώτοις δὲ τῶν ἱερῶν ἃ μὲν εἰς τὸ Καπιτώλιον ἀνε-

mensis Boedromionis die sexto in Marathone, tertio apud Platæas simul et Mycalen victi sunt a Græcis, vigesimo quinto in Arbelis. (5) Athenienses navali apud Naxum prœlio, duce Chabria, vicerunt circa plenilunium ejusdem mensis; in Salamine, circiter vigesimum diem, veluti in libro de Diebus demonstravimus. (6) Etiam Thargelion mensis aperte infelix barbaris fuit: eo enim mense Alexander ad Granicum regis duces superavit; ejusque mensis vigesimo septimo Carthaginienses a Timoleonte in Sicilia victi sunt: circa eundemque diem Troja capta censetur, ut est ab Ephoro, Callisthene, Damaste et Phylarcho proditum. (7) Contra Metagitnion, quem Panemum Bœoti dicunt, Græcis inauspicatus fuit: hujus enim die septimo pugna ab Antipatro victi in Cranone protinus perierunt; priusque in Chæronea infeliciter cum Philippo conflixerunt. Eodem die eodemque anno qui cum Archidamo in Italiam trajecissent, a barbaris ibi occisi sunt. (8) Carthaginienses vigesimum nonum cavent, ut qui semper iis plurima ac maxima damna attulerit. (9) Neque sum nescius circa tempus id, quo Mysteria Athenis celebrantur, Thebas ab Alexandro dirutas et Athenienses præsidium Macedonum accepisse circiter vigesimo Boedromionis diem, quo sacra pompa in honorem Bacchi ducitur. (10) Eodem die Romani prius duce Cæpione castris sunt a Cimbris exuti et deinde Luculli ductu Tigranem et Armenios vicerunt. (11) Rex Attalus et Pompeius Magnus suo uterque natali mortuus est; omninoque potest ostendi, multos iisdem diebus utramque fortunam expertos. (12) Ceterum is dies apud Romanos unus inter nefastos habetur, aliæque duæ singulis mensibus, metu et superstitione propter id quod tum accidit, latius, ut fieri solet, propagato. Sed de his rebus disputatum est a nobis accuratius in libro Quæstionum Romanarum.

XX. Secundum Aliensem pugnam, si statim fugientes subsecuti Galli fuissent, nihil obstitisset quo minus Roma cum omnibus, qui in ea erant, funditus periisset; tantum terrorem ii, qui fuga elapsi erant, iis, qui in urbe manserunt, injecere tantaque vicissim perturbatione et insania repleti sunt. (2) Nunc barbari incredibili victoriæ magnitudine attoniti, et ex nimio gaudio in lautitias prolapsi, dum se ad divisionem bonorum in castris repertorum convertunt, spatium effugiendi turbæ se ex urbe propipienti et iis, qui in urbe manebant, sperandi ac sese parandi locum dederunt. (3) Hi igitur relicta urbe, Capitolium telis ac munitionibus firmaverunt, ac in primis sacra pleraque eodem transtulerunt; Vestales autem virgines rapto se-

σκευάσαντο, τὸ δὲ πῦρ τῆς Ἑστίας αἱ παρθένοι μετὰ τῶν ἱερῶν ἁρπασάμεναι ἔφυγον. Καίτοι τινὲς οὐδὲν εἶναι τὸ φρουρούμενον ὑπ' αὐτῶν ἕτερον ἢ πῦρ ἄφθιτον ἱστοροῦσι, Νομᾶ τοῦ βασιλέως καταστήσαντος ὡς ἀρχὴν ἁπάντων σέβεσθαι. (4) Κινητικώτατον γὰρ ἐν τῇ φύσει τοῦτο· κίνησις δέ τις ἢ σὺν κινήσει πάντως ἡ γένεσις· τὰ δ' ἄλλα τῆς ὕλης μόρια θερμότητος ἐπιλιπούσης ἀργὰ κείμενα καὶ νεκροῖς ἐοικότα ποθεῖ τὴν τοῦ πυρὸς δύναμιν ὡς ψυχήν, καὶ προσελθούσης ἀμωγέπως ἐπὶ τὸ δρᾶν τι καὶ πάσχειν τρέπεται. (5) Τοῦτ' οὖν ἅτε δὴ περιττὸν ἄνδρα τὸν Νομᾶν καὶ λόγον ἔχοντα ταῖς Μούσαις συνεῖναι διὰ σοφίαν ἐξοσιῶσαι καὶ φρουρεῖν ἀκοίμητον ἐν εἰκόνι τῆς τὰ πάντα κοσμούσης ἀϊδίου δυνάμεως. (6) Οἱ δὲ τὸ μὲν πῦρ, ὥσπερ παρ' Ἕλλησι, πρὸ ἱερῶν αἴθεσθαι καθάρσιον, ἄλλα δὲ τὰ ἐντὸς ἀθέατα κρύπτεσθαι πᾶσι πλὴν ταύταις ταῖς παρθένοις, ἃς Ἑστιάδας ἐπονομάζουσι. Καὶ πλεῖστος μὲν λόγος κατεῖχε, τὸ Τρωικὸν ἐκεῖνο Παλλάδιον ἀποκεῖσθαι δι' Αἰνείου κομισθὲν εἰς Ἰταλίαν. (7) Εἰσὶ δ' οἱ τὰ Σαμοθρᾴκια μυθολογοῦντες Δάρδανον μὲν εἰς Τροίαν ἐξενεγκάμενον ὀργιάσαι καὶ καθιερῶσαι κτίσαντα τὴν πόλιν, Αἰνείαν δὲ περὶ τὴν ἅλωσιν ἐκκλέψαντα διασῶσαι μέχρι τῆς ἐν Ἰταλίᾳ κατοικήσεως. (8) Οἱ δὲ προσποιούμενοι πλέον ἐπίστασθαί τι περὶ τούτων δύο φασὶν οὐ μεγάλους ἀποκεῖσθαι πίθους, ὧν τὸν μὲν ἀνεῳγότα καὶ κενὸν, τὸν δὲ πλήρη καὶ κατασεσημασμένον, ἀμφοτέρους δὲ ταῖς παναγέσι μόναις παρθένοις ὁρατοὺς εἶναι. (9) Ἄλλοι δὲ τούτους διεψεῦσθαι νομίζουσι τῷ τὰ πλεῖστα τῶν ἱερῶν τότε τὰς κόρας ἐμβαλούσας εἰς πίθους δύο κρύψαι κατὰ γῆς ὑπὸ τὸν νεὼν τοῦ Κυρίνου καὶ τὸν τόπον ἐκεῖνον ἔτι καὶ νῦν τῶν Πιθίσκων φέρεσθαι τὴν ἐπωνυμίαν.

XXI. Τὰ δὲ κυριώτατα καὶ μέγιστα τῶν ἱερῶν αὖται λαβοῦσαι φυγῇ παρὰ τὸν ποταμὸν ἐποιοῦντο τὴν ἀναχώρησιν. (2) Ἐνταῦθα Λεύκιος Ἀλβῖνος, ἀνὴρ δημοτικὸς, ἐν τοῖς φεύγουσιν ἔτυχε τέκνα νήπια καὶ γυναῖκα μετὰ χρημάτων ἀναγκαίων ἐφ' ἁμάξης ὑπεκκομίζων. Ὡς δ' εἶδε τὰς παρθένους ἐν τοῖς κόλποις φερούσας τὰ τῶν θεῶν ἱερὰ θεραπείας ἐρήμους παραπορευομένας καὶ κακοπαθούσας, ταχὺ τὴν γυναῖκα μετὰ τῶν παίδων καὶ τῶν χρημάτων καθελὼν ἀπὸ τῆς ἁμάξης ἐκείναις παρέδωκεν ἐπιβῆναι καὶ διαφυγεῖν εἴς τινα τῶν Ἑλληνίδων πόλεων. (3) Τὴν μὲν οὖν Ἀλβίνου πρὸς τὸ θεῖον εὐλάβειαν καὶ τιμὴν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς ἐκφανῆ γενομένην οὐκ ἄξιον ἦν ἀμνημόνευτον παρελθεῖν. (4) Οἱ δὲ τῶν ἄλλων θεῶν ἱερεῖς οἵ τε γηραιοὶ τῶν ὑπατικῶν καὶ θριαμβικῶν ἀνδρῶν τὴν μὲν πόλιν ἐκλιπεῖν οὐχ ὑπέμειναν, ἱερὰ δὲ καὶ λαμπρὰ ἀναλαβόντες ἐσθῆτας, ἐξηγουμένου Φαβίου τοῦ ἀρχιερέως ἐπευξάμενοι τοῖς θεοῖς, ὡς ἑαυτοὺς ὑπὲρ τῆς πατρίδος τῷ δαίμονι καθιεροῦντες ἐπὶ τῶν ἐλεφαντίνων δίφρων ἐν ἀγορᾷ ἐκάθηντο κεκοσμημένοι τὴν ἐπιοῦσαν τύχην ὑπομένοντες.

XXII. Τρίτῃ δ' ἀπὸ τῆς μάχης ἡμέρᾳ παρῆν ὁ

cum igne et reliquis sacris aufugerunt. Quanquam non desunt qui præter ignem perennem nihil ab iis custodiri tradant, Numamque regem instituisse, ut is, tanquam omnium rerum principium, coleretur. (4) Nam in tota rerum natura nihil majorem vim movendi igne possidet: omnium autem rerum ortus aut motus est aut motu constat, reliquæ vero materiæ partes calore deficiente, otiosæ jacent ac veluti mortuæ ignisque vim, tanquam animam, desiderant, atque ea quocunque modo accedente, ad agendum ipsæ et patiendum aptæ fiunt. (5) Itaque Numam, ut virum solertem ac qui propter sapientiam cum Camenis commercium habere creditus sit, ignem consecrasse et perpetuum custodiisse, tanquam imaginem virtutis æternæ, quæ omnia administrat. (6) Alii ignem, ut et apud Græcos, ante sacra ardere lustrationis causa censent, reliqua sacra intus abscondi, a nemine præter virgines, quas Vestales vocant, conspecta: in iis autem arcanis esse Trojanum illud Palladium, ab Ænea in Italiam allatum, multorum sermonibus est traditum. (7) Alii fabulam addunt, Dardanum Samothracia sacra secum advecta, cum Trojam condidisset, in ea urbe consecrasse; Æneamque, quo tempore Troja capta est, clam sustulisse et usque ad migrationem in Italiam adservasse. (8) Qui sibi majorem harum rerum notitiam arrogant, duo dicunt dolia haud ita magna esse ibi reposita: alterum apertum et inane, alterum plenum et obsignatum, solis autem sacris istis virginibus licitum ea videre. (9) Alii hos errare putant, eo deceptos, quod tum Vestales pleraque sacra in duo dolia conjecta, terra obruerint sub templum Quirini, cui loco etiamnum Doliolorum sit nomen.

XXI. Porro ipsæ iis sacris, quæ potissima habentur et maxima, secum acceptis, præter fluvium fugerunt. (2) Ibi L. Albinus, vir de plebe, qui inter fugientes unus infantes uxoremque suam cum rebus necessariis plaustro vehebat, cum conspexisset virgines Vestales sacra deum in sinibus gestantes absque famulis juxta incedere ac male habere, statim uxore et liberis de plaustro depositis, ipsas imposuit et effugiendi in aliquam Græcarum urbium occasionem præbuit. (3) Eam Albini in deos pietatem adversissimo tempore demonstratam non erat æquum silentio præterire. (4) Aliorum deorum sacerdotes senesque consulares et triumphales, cum urbem relinquere non sustinerent, sacris et splendidis induti vestibus, præeunte carmen Fabio pontifice maximo, se ipsos pro patria diis devoverunt, utque erant ornati in foro eburneis sellis eventum exspectantes consederunt.

XXII. Tertio post prælium die Brennus ad urbem cum

Βρέννος ἄγων ἐπὶ τὴν πόλιν τὸ στράτευμα· καὶ τάς τε πύλας εὑρὼν ἀνεῳγμένας καὶ τὰ τείχη φυλάκων ἔρημα, πρῶτον μὲν ἔδεισεν ἐνέδραν καὶ δόλον, ἀπιστῶν οὕτω παντάπασιν ἀπειρηκέναι τοὺς Ῥωμαίους. Ἐπεὶ δ' ἔγνω τἀληθές, εἰσελάσας διὰ τῆς Κολλίνης πύλης εἷλε τὴν Ῥώμην ἑξήκοντα καὶ τριακοσίων ἐτῶν πλείονα βραχὺ χρόνον ἀπὸ τῆς κτίσεως ἔχουσαν, εἴ τῳ πιστὸν ἀποσώζεσθαί τινα τῶν χρόνων ἀκρίβειαν, οἷς καὶ περὶ νεωτέρων ἄλλων ἀμφισβήτησιν ἡ σύγχυσις ἐκείνη παρέσχε. (2) Τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν Ἑλλάδα φήμη διελθεῖν. Ἡρακλείδης γὰρ ὁ Ποντικὸς οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος ἐν τῷ Περὶ ψυχῆς συγγράμματί φησιν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν, ὡς στρατὸς ἐξ Ὑπερβορέων ἐλθὼν ἔξωθεν ᾑρήκοι πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατῳκημένην περὶ τὴν μεγάλην θάλασσαν. (3) Οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλασματίαν ὄντα τὸν Ἡρακλείδην ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τοὺς Ὑπερβορέους καὶ τὴν μεγάλην θάλατταν. (4) Ἀριστοτέλης δὲ ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς, τὸν δὲ σώσαντα Λεύκιον εἶναι φησίν· ἦν δὲ Μάρκος, οὐ Λεύκιος, ὁ Κάμιλλος. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ λέλεκται. (5) Κατασχὼν δὲ τὴν Ῥώμην ὁ Βρέννος τῷ μὲν Καπιτωλίῳ φρουρὰν περιέστησεν, αὐτὸς δὲ καταβαίνων δι' ἀγορᾶς ἐθαύμαζε τοὺς προκαθημένους ἄνδρας ἐν κόσμῳ καὶ σιωπῇ θεώμενος, ὡς οὔθ' ὑπεξανέστησαν ἐπιόντων πολεμίων, οὔτ' ὄψιν ἢ χρόαν ἔτρεψαν, ἀλλὰ ῥᾳθύμως καὶ ἀδεῶς ἐγκεκλιμένοι τοῖς σκίπωσιν οὓς ἔφερον καὶ προσβλέποντες ἀλλήλους ἡσύχαζον. Ἦν οὖν θαῦμα τοῖς Γαλάταις πρὸς τὴν ἀτοπίαν καὶ πολὺν χρόνον ὀκνοῦντες ἅψασθαι καὶ προσελθεῖν ὡς κρείττοσι διηπόρουν. (6) Ἐπεὶ δὲ τολμήσας τις ἐξ αὐτῶν ἐγγὺς παρέστη Παπειρίῳ Μάρκῳ καὶ προσαγαγὼν τὴν χεῖρα πράως ἥψατο τοῦ γενείου καὶ κατῆγε τὴν ὑπήνην βαθεῖαν οὖσαν· ὁ μὲν Παπείριος τῇ βακτηρίᾳ τὴν κεφαλὴν αὐτοῦ πατάξας συνέτριψεν, ὁ δὲ βάρβαρος σπασάμενος τὴν μάχαιραν ἀπέκτεινεν ἐκεῖνον. Ἐκ δὲ τούτου καὶ τοὺς λοιποὺς ἀνῄρουν προσπεσόντες καὶ τῶν ἄλλων ὅσοις ἐπιτύχοιεν διεχρῶντο καὶ τὰς οἰκίας ἐπόρθουν ἐφ' ἡμέρας πολλὰς ἄγοντες καὶ φέροντες. (7) Εἶτα κατεπίμπρασαν καὶ κατέσκαπτον ὀργιζόμενοι τοῖς ἔχουσι τὸ Καπιτώλιον, ὅτι καλούντων αὐτῶν οὐχ ὑπήκουον, ἀλλὰ καὶ προσβάλλουσι πληγὰς ἔδοσαν ἀπὸ τοῦ διατειχίσματος ἀμυνόμενοι. Διὰ ταῦτα μὲν οὖν ἐλυμήναντο τὴν πόλιν καὶ προσδιέφθειραν τοὺς ἁλισκομένους, ὁμοίως μὲν ἄνδρας καὶ γυναῖκας, ὁμοίως δὲ πρεσβύτας καὶ παῖδας.

XXIII. Τῆς δὲ πολιορκίας μῆκος λαμβανούσης ἐπισιτισμοῦ τοῖς Γαλάταις ἔδει· καὶ διελόντες ἑαυτοὺς οἱ μὲν τῷ βασιλεῖ παραμένοντες ἐφρούρουν τὸ Καπιτώλιον, οἱ δὲ τὴν χώραν περιιόντες ἐληλάτουν καὶ τὰς κώμας ἐπόρθουν προσπίπτοντες, οὐχ ὁμοῦ πάντες, ἄλλοι δ' ἄλλῃ καθ' ἡγεμονίας καὶ συντάγματα, τῷ

f exercitu venit : cumque et portas apertas et muros præsidio vacuos invenisset, primo, quia non credebat adeo penitus de suis rebus Romanos desperasse, insidias et dolum metuit : post rei veritate cognita, porta Collina ingressus, Romam cepit, paulo amplius trecentos ac sexagesimum annos ab ortu habentem, si modo credibile videtur, certam aliquam temporis ejus rationem superstitem esse, cum, quæ eo tempore incidit confusio, etiam de rebus postea gestis controversias præbuerit. (2) Videtur sane calamitatis istius Romanæ obscura quædam statim in Græciam

a pervenisse fama. Heraclides enim Ponticus, qui non diu post illa tempora vixit, in libro de Anima scribit, rumorem ex occidente allatum, quod exercitus ab Hyperboreis advenerit urbemque Græcam, Romam nomine, positam ibi quodam loco ad magnum mare, ceperit. (3) Ceterum Heraclidem fabulas et figmenta scribere alioqui solitum, non miror, vero de capta urbe sermoni, rei exaggerandæ causa, Hyperboreos et magnum mare adjecisse. (4) At Aristoteles philosophus satis testatum fecit, auditu se de Roma

b a Gallis capta percepisse, eamque a Lucio recuperatam scribit : fuit autem servata non a Lucio, sed Marco Camillo. Sed hæ sunt conjecturæ. (5) Brennus Roma occupata, Capitolium custodia cinxit, ipse per forum descendens miratus est viros ibi cum ornatu suo tacitos sedere. Ut visi sunt neque assurgere hostibus venientibus, neque vultum aut colorem mutare, sed otiose ac sine metu scipionibus quos manu gestabant innixos mutuo sese intueri, miraculo fuit hæc rei novitas barbaris, diuque hæsitantes accedere

c et tangere eos utpote numina veriti sunt. (6) Tandem unus ausus est ad Marcum Papirium adire manuque leviter admota, barbam ejus contrectavit, ut erat promissa, ac demulsit; ei Papirius scipione graviter incusso caput comminuit : barbarus vero stricto ense eum interfecit; idque factum reliquorum etiam cum senum, tum obviorum quorumque cædes secuta est, et multi deinde dies diri-

d pienda urbe sunt consumpti. (7) Post eam incenderunt, et diruerunt, irati iis qui Capitolium tenebant, quod et vocantibus non paruissent, sed impetum facientes de munitionibus jaculati sauciassent; promiscue igitur, et urbem perdiderunt, et deprehensos viros et mulieres, senes et pueros trucidarunt.

XXIII. Cum autem obsidio Capitolii longior esset, Galli rei frumentariæ causa, relictis cum rege, qui Capitolium obsiderent, regionem circum depopulari pagosque vastare,

e non simul omnes irruentes, sed ut successu animi ipsis creverant, neque timebant quicquam, alii alio catervatim et

μέγα φρονεῖν ὑπὸ τῶν εὐτυχημάτων καὶ δεδιέναι μηδὲν ἀποσκιδνάμενοι. (2) Τὸ δὲ πλεῖστον αὐτῶν καὶ μάλιστα συντεταγμένον ἐχώρει πρὸς τὴν Ἀρδεατῶν πόλιν, ἐν ᾗ διέτριβε Κάμιλλος ἀργῶν ταῖς πράξεσι μετὰ τὴν φυγὴν καὶ ἰδιωτεύων, ἐλπίδας δὲ λαμβάνων καὶ διαλογισμοὺς, οὐχὶ τὸ λαθεῖν καὶ διαφυγεῖν τοὺς πολεμίους ἀγαπῶντος ἀνδρὸς, ἀλλ' ὅπως, εἰ παραγένοιτο καιρὸς, ἀμυνεῖται σκοποῦντος. (3) Διὸ καὶ τοὺς Ἀρδεάτας ὁρῶν πλήθει μὲν ἱκανοὺς ὄντας, ἐνδεεῖς δὲ τόλμης δι' ἀπειρίαν καὶ μαλακίαν τῶν στρατηγῶν, ἐνέβαλε λόγον εἰς τοὺς νέους πρῶτον, ὡς οὐ χρὴ τὴν Ῥωμαίων ἀτυχίαν ἀνδρίαν Κελτῶν νομίζειν, οὐδ' ἃ κακῶς φρονήσασι συνέβη παθεῖν ἐκείνοις ἔργα τῶν οὐδὲν εἰς τὸ νικῆσαι παρασχόντων, ἀλλὰ τύχης ἐπίδειξιν ἡγεῖσθαι. (4) Καλὸν μὲν οὖν εἶναι καὶ διὰ κινδύνων ἀπώσασθαι πόλεμον ἀλλόφυλον καὶ βαρβαρικὸν, ᾧ τοῦ κρατεῖν πέρας, ὥσπερ τῷ πυρὶ, διαφθαρῆναι τὸ νικώμενον, οὐ μὴν ἀλλὰ καὶ θαρροῦσι καὶ προθυμουμένοις αὐτοῖς ἀκίνδυνον ἐν καιρῷ τὴν νίκην παρέξειν. (5) Τούτους τοὺς λόγους τῶν νέων δεξαμένων ἐπὶ τοὺς ἄρχοντας ἦλθε καὶ τοὺς προβούλους τῶν Ἀρδεατῶν ὁ Κάμιλλος. Ὡς δὲ κἀκείνους συνέπεισεν, ὥπλισε τοὺς ἐν ἡλικίᾳ πάντας καὶ συνεῖχε τοῦ τείχους ἐντὸς ἀγνοεῖσθαι βουλόμενος ὑπὸ τῶν πολεμίων ἐγγὺς ὄντων. (6) Ἐπεὶ δὲ τὴν χώραν ἱππασάμενοι καὶ βαρεῖς ὄντες ὑπὸ πλήθους τῶν ἀγομένων καὶ φερομένων ἀμελῶς καὶ ὀλιγώρως ἐν τῷ πεδίῳ κατεστρατοπέδευσαν, ἐκ δὲ τούτου νὺξ ἐπῆλθε μεθύουσιν αὐτοῖς καὶ σιωπὴ κατέσχε τὸ στρατόπεδον· (7) πυθόμενος ταῦτα παρὰ τῶν κατασκόπων ὁ Κάμιλλος ἐξῆγε τοὺς Ἀρδεάτας καὶ διελθὼν καθ' ἡσυχίαν τὸν μεταξὺ τόπον περὶ μέσας τὰς νύκτας προσέμιξε τῷ χάρακι κραυγῇ τε χρώμενος πολλῇ καὶ ταῖς σάλπιγξι πανταχόθεν ἐκταράττων ἀνθρώπους καὶ κακῶς ὑπὸ μέθης καὶ μόλις ἐκ τῶν ὕπνων ἀναφέροντας πρὸς τὸν θόρυβον. (8) Ὀλίγοι μὲν οὖν ἀνανήψαντες ἐν τῷ φόβῳ καὶ διασκευασάμενοι τοὺς περὶ τὸν Κάμιλλον ὑπέστησαν, ὥστ' ἀμυνόμενοι πεσεῖν· τοὺς δὲ πλείστους ἔτι κρατουμένους ὕπνῳ καὶ οἴνῳ καταλαμβάνοντες ἀνόπλους ἔκτεινον. (9) Ὅσοι δὲ νυκτὸς ἀπέδρασαν ἐκ τοῦ χάρακος οὐ πολλοὶ, τούτους μεθ' ἡμέραν σποράδας ἐν τῇ χώρᾳ διαφερομένους ἐπελαύνοντες ἱππεῖς διέφθειρον.

XXIV. Ἡ δὲ φήμη ταχὺ διαγγέλλουσα τὴν πρᾶξιν ἐπὶ τὰς πόλεις ἐξεκαλεῖτο πολλοὺς τῶν ἐν ἡλικίᾳ συνιστάμενος· μάλιστα δὲ Ῥωμαίων ὅσοι διαφυγόντες ἐκ τῆς ἐπ' Ἀλίᾳ μάχης ἐν Βηίοις ἦσαν καὶ ὠδύροντο κατὰ σφᾶς αὐτοὺς, « Οἷον ἡγεμόνα τῆς Ῥώμης ὁ δαίμων ἀφελόμενος Ἀρδεάτας ἐκόσμησε τοῖς Καμίλλου κατορθώμασιν, ἡ δὲ γειναμένη καὶ θρεψαμένη τοιοῦτον ἄνδρα πόλις οἴχεται καὶ ἀπόλωλεν· ἡμεῖς δ' ἀπορίᾳ στρατηγοῦ ἀλλότρια τείχη περιβαλλόμενοι καθήμεθα προέμενοι τὴν Ἰταλίαν. Φέρε, πέμψαντες Ἀρδεάτας ἀπαιτῶμεν τὸν ἑαυτῶν στρατηγὸν ἢ λαβόντες τὰ ὅπλα αὐτοὶ πρὸς ἐκεῖνον βαδίζωμεν· οὐκέτι γάρ ἐστι φυγὰς οὐθ'

manipulatim dispersi instituerunt. (2) Maximum et compositissimum eorum agmen Ardeam petiit : qua in urbe Camillus otiosam et privatam vitam exsul degebat, idque modo optabat ac cogitabat, non quomodo hostes falleret atque effugeret, sed qua ratione capto tempore eos ulcisceretur. (3) Quare cum videret Ardeates multitudine hostibus pares, nihil tamen audere, propter imperitiam ducum atque mollitiem, primo junioribus ostendit, non debere f eos Romanorum infelicitatem, fortitudinem Gallorum putare ; neque ea, quæ imprudentia sua illi passi essent, horum opus, qui nihil ad victoriam contulerint, sed fortunæ sese ostentantis specimen interpretari. (4) Equidem præclarum esse, etiam cum periculo profligare bellum alienæ et barbaræ gentis, quæ eum victoriæ finem statuat, ut ignis in morem victos aboleat : se autem ipsis, si quidem audere alacresque esse velint, victoriæ nullo cum discrimine parandæ facultatem præbiturum. (5) Hanc orationem ejus cum juventus Ardeas approbasset, ad magistratus et consules Ardeatium se contulit ; his etiam assentientibus, armavit omnes quorum ætas erat militiæ apta, atque intra muros continuit, ut hostes, qui prope jam aderant, lateret. (6) Qui postquam agros populati prædaque ingente onusti, in campo castra secure neque ulla custodia munita posuerunt, noxque ebrios et silentium castra oppressit : (7) Camillus, de his ab exploratoribus certior factus, Ardeates eduxit locumque qui intra urbem ac castra erat, b silentio transgressus, media nocte ad castra venit, magno clamore tubarumque ab omni parte concentu perturbans homines ægre a crapula et somno ad tumultum excitatos. (8) Perpauci, metu excussa crapula, armis sumptis Camillo se objecerunt ac pugnantes ceciderunt : plerique vino adhuc et somno gravati inermesque occisi sunt. (9) Ceteri e castris noctu fuga elapsi, palati per agros interdiu ab equitibus immissis oppressi sunt.

XXIV. Hoc facinus celeriter fama per urbes annunciavit multosque valida ætate milites excitavit, maxime Roma- c nos, qui ab Aliensi strage fuga servati, Vejos se contulerant : hi secum lamentabantur, « fortunam, tanto duce Romanis adempto, ejus præclaris factis Ardeam exornasse, urbe, quæ eum virum genuisset atque educasset, pessundata : Nos vero, dicebant, imperatoris inopia, alienis muris nos tuemur atque Italiam prodimus. Age mittamus Ardeam et nostrum imperatorem poscamus, aut ipsi sublatis armis ad eum proficiscamur : non enim neque is jam exsul,

ἡμεῖς πολῖται, πατρίδος οὐκ οὔσης, ἀλλὰ κρατουμένης d
ὑπὸ τῶν πολεμίων. » (2) Ταῦτ' ἔδοξε, καὶ πέμψαντες
ἐδέοντο τοῦ Καμίλλου δέχεσθαι τὴν ἀρχήν. Ὁ δὲ οὐκ
ἔφη πρότερον ἢ τοὺς ἐν τῷ Καπιτωλίῳ πολίτας ἐπιψη-
φίσασθαι κατὰ τὸν νόμον· ἐκείνους γὰρ ἡγεῖσθαι πα-
τρίδα σωζομένους καὶ κελεύουσι μὲν ὑπακούειν προθύ-
μως, ἀκόντων δὲ μηδὲν πολυπραγμονήσειν. (3) Τῆς μὲν
οὖν εὐλαβείας καὶ καλοκαγαθίας τὸν Κάμιλλον ἐθαύ-
μασαν. Ἦν δ' ἀπορία τοῦ ταῦτα διαγγελοῦντος εἰς
τὸ Καπιτώλιον, μᾶλλον δ' ὅλως ἀδύνατον ἐδόκει τῶν
πολεμίων ἐχόντων τὴν πόλιν ἄγγελον εἰς τὴν ἀκρόπολιν
παρελθεῖν.

XXV. Ἦν δέ τις ἐν τοῖς νέοις Πόντιος Κομίνιος
τῶν μέσων κατὰ γένος πολιτῶν, δόξης δὲ καὶ τιμῆς
ἐραστής· οὗτος ὑπέστη τὸν ἆθλον ἑκουσίως. (2) Καὶ e
γράμματα μὲν οὐκ ἔλαβε πρὸς τοὺς ἐν τῷ Καπιτωλίῳ,
μὴ ληφθέντος αὐτοῦ φωράσωσιν οἱ πολέμιοι δι' αὐτῶν
τοῦ Καμίλλου τὴν διάνοιαν, ἐσθῆτα δὲ φαύλην ἔχων
καὶ φελλοὺς ὑπ' αὐτῇ κομίζων τὴν μὲν ἄλλην ὁδὸν
ἡμέρας ἀδεῶς διῆλθεν· (3) ἐγγὺς δὲ τῆς πόλεως
γενόμενος ἤδη σκοταίος, ἐπεὶ κατὰ γέφυραν οὐκ ἦν τὸν
ποταμὸν περᾶσαι τῶν βαρβάρων παραφυλαττόντων,
τὴν μὲν ἐσθῆτα τῇ κεφαλῇ περισπειράσας οὐ πολλὴν
οὖσαν οὐδὲ βαρεῖαν, τοῖς δὲ φελλοῖς ἐφεὶς τὸ σῶμα καὶ f
συνεπικουφίζων τῷ περαιοῦσθαι πρὸς τὴν πόλιν ἐξέβη.
(4) Καὶ παραλλάττων ἀεὶ τοὺς ἐγρηγορότας τοῖς φέγ-
γεσι καὶ τῷ θορύβῳ τεκμαιρόμενος ἐβάδιζε πρὸς τὴν
Καρμεντίδα πύλην, ἣ πλείστην εἶχεν ἡσυχίαν καὶ
μάλιστα κατ' αὐτὴν ὄρθιος ὁ τοῦ Καπιτωλίου λόφος
ἀνέστηκε καὶ πέτρα κύκλῳ πολλὴ καὶ τραχεῖα περιπέ-
φυκε· δι' ἧς ἀνέβη λαθὼν καὶ προσέμιξε τοῖς φυλάτ-
τουσι τὸ διατείχισμα χαλεπῶς καὶ μόλις κατὰ τὸ λα-
γαρώτατον. Ἀσπασάμενος δὲ τοὺς ἄνδρας καὶ φράσας
ἑαυτὸν ἐξ ὀνόματος ἀναληφθεὶς ἐχώρει πρὸς τοὺς ἐν
τέλει τῶν Ῥωμαίων. (5) Ταχὺ δὲ συγκλήτου γενομέ- a
νης παρελθὼν τήν τε νίκην ἀπήγγειλε τοῦ Καμίλλου
πρότερον οὐ πυθομένοις καὶ τὰ δοκοῦντα τοῖς στρατιώ-
ταις διηγεῖτο καὶ παρεκάλει τῷ Καμίλλῳ βεβαιῶσαι
τὴν ἀρχήν, ὡς μόνῳ πειθομένων ἐκείνῳ τῶν ἔξω πολι-
τῶν. (6) Οἱ δ' ἀκούσαντες καὶ βουλευσάμενοι τόν τε
Κάμιλλον ἀποδεικνύουσι Δικτάτωρα καὶ τὸν Πόντιον
αὖθις ἀποπέμπουσι τὴν αὐτὴν ὁδὸν ὁμοίως ἀγαθῇ τύχῃ
χρησάμενον· ἔλαθε γὰρ τοὺς πολεμίους καὶ τὰ παρὰ
τῆς βουλῆς ἀπήγγειλε τοῖς ἔξω Ῥωμαίοις.

XXVI. Ἐκείνων δὲ δεξαμένων προθύμως ἀφικό- b
μενος ὁ Κάμιλλος ἤδη μὲν ἐν ὅπλοις δισμυρίους κατέ-
λαβε, πλείονας δὲ συνῆγεν ἀπὸ τῶν συμμάχων καὶ
παρεσκευάζετο πρὸς τὴν ἐπίθεσιν. [Οὕτω μὲν ἠρέθη
Δικτάτωρ ὁ Κάμιλλος τὸ δεύτερον καὶ πορευθεὶς εἰς
Οὐηίους ἐνέτυχε τοῖς στρατιώταις καὶ συνῆγε πλείους
ἀπὸ τῶν συμμάχων ὡς ἐπιθησόμενος τοῖς πολεμίοις.]
(2) Ἐν δὲ τῇ Ῥώμῃ τῶν βαρβάρων τινὲς ἐκείνῃ κατὰ
τύχην παρεξιόντες, ᾗ διὰ νυκτὸς ὁ Πόντιος προσέβη τῷ
Καπιτωλίῳ, καταμαθόντες πολλαχῇ μὲν ἴχνη ποδῶν

neque nos cives sumus, patria amissa atque ab hostibus
occupata. » (2) His ita constitutis, miserunt ad Camillum,
qui eum orarent, uti imperium susciperet. At Camillus
non ante id se facturum respondit, quam cives, qui in Ca-
pitolio erant, lege lata id approbassent : se enim eos adhuc
superstites patriæ loco ducere, eorum se jussis obtempera-
turum prompte, injussu nihil acturum. (3) Mirati sunt
omnes religionem probitatemque Camilli. Sed qui nun-
cium in Capitolium perferret, nemo erat, imo vero fieri
omnino non posse putabant ut, cum urbem hostes tene-
rent, nuncius in Capitolium veniret.

XXV. Erat inter juvenes Romanos Pontius Cominius,
medio loco natus, gloriæ et honorum studiosus : is ultro id
negotium suscepit. (2) Ac literas quidem nullas accepit,
ne deprehenso ipso, de consilio Camilli hostes certiores
fierent : abjecto autem vestitu sumpto et suberibus sub
eo occultatis, interdiu prope ad urbem usque citra pericu-
lum accessit. (3) Jam noctis tenebris se intendentibus
cum ad urbem venisset, neque liceret per pontem transire,
quod is præsidio a Gallis tenebatur : vestes (et erant neque
multæ neque graves) capiti circumvolvit corporique sube-
ribus subjectis sublevatus Tiberim tranavit et ad urbem
venit. (4) Observatis luminum et strepitus indicio vigi-
lantibus, iis præteritis, qua altissimum erat silentium, ad
Carmentalem portam venit. Eo loco maxime præruptus
Capitolii collis est et saxo circum arduo atque aspero cir-
cumdatus : per id, qua erat parte acclivius, ægre omnibus
inscientibus ascendit et ad custodes munitionum pervenit.
Quos cum salutasset et se quis esset indicasset, ad magi-
stratus Romanos est ductus. (5) Convocato statim senatu, in-
troductus, Camilli victoriam, de qua nihil resciverant,
edidit, consilium exercitus exposuit, utque Camillo impe-
rium confirmarent, hortatus est : nemini enim alii eorum
qui foris essent cives dicto audientes fore. (6) Re audita
senatus, captoque consilio, Camillum dictatorem dicit,
Cominiumque eadem via remittit; isque feliciter, sicut
ante, insciis hostibus reversus ad suos quæ decrevisset se-
natus, renunciavit.

XXVI. Quod decretum quum illi lubentissime accepissent,
Camillus Vejos venit, invenitque in armis viginti millia ho-
minum : ad hæc contraxit auxilia insuper a sociis alia et se
ad hostes adoriendos comparavit. [Ita Camillus dictator ite-
rum factus, Vejos profectus in milites incidit pluribus-
que copiis ex sociis contractis, hostem invadere statuit.]
(2) Interim Romæ quidam de barbaris forte ea transeuntes,
qua Pontium in Capitolium nocte evasisse demonstravimus,

καὶ χειρῶν, ὡς ἀντελαμβάνετο καὶ περιεδράττετο, πολλαχῇ δὲ τῶν ἐπιπεφυκότων τοῖς κρημνοῖς ἀποτριβὰς καὶ περιολισθήσεις τῶν γεωδῶν, φράζουσι τῷ βασιλεῖ. (3) Κἀκεῖνος ἐπελθὼν καὶ θεασάμενος τότε μὲν ἡσύχα-
5 ζεν, ἑσπέρας δὲ τοὺς ἐλαφροτάτους τοῖς σώμασι καὶ πεφυκότας ὀρειβατεῖν μάλιστα τῶν Κελτῶν συναγαγὼν, « Τὴν μὲν ὁδὸν, εἶπεν, ἡμῖν ἐπ' αὐτοὺς ἀγνοουμένην οἱ πολέμιοι δεικνύουσιν, ὡς οὔτ' ἀπόρευτος οὔτε ἄβατος ἀνθρώποις ἐστὶν, αἰσχύνη δὲ πολλὴ τὴν ἀρχὴν
10 ἔχοντας ἐλλιπεῖν πρὸς τὸ τέλος καὶ προέσθαι τὸν τόπον ὡς ἀνάλωτον, αὐτῶν τῶν πολεμίων ᾗ ληπτός ἐστι διδασκόντων. (4) Ἦ γὰρ ἑνὶ προσβῆναι ῥᾴδιον, οὐδὲ πολλοῖς καθ' ἕνα δύσκολον, ἀλλὰ καὶ ῥώμη καὶ βοήθεια πολλὴ μετ' ἀλλήλων ἐπιχειροῦσι. Δωρεαὶ δὲ καὶ
15 τιμαὶ πρέπουσαι τῆς ἀνδραγαθίας ἑκάστῳ δοθήσονται. »

XXVII. Τοιαῦτα τοῦ βασιλέως διαλεχθέντος ὑπέστησαν οἱ Γαλάται προθύμως καὶ περὶ μέσας νύκτας ἐπιβάντες ἅμα πολλοὶ τῆς πέτρας ἐχώρουν ἄνω μετὰ
20 σιωπῆς συμφυόμενοι τοῖς χωρίοις ἀποτόμοις οὖσι καὶ χαλεποῖς, οὐ μὴν ἀλλὰ καὶ μᾶλλον ἢ προσεδοκήθη πειρωμένων αὐτῶν προσιεμένοις καὶ παρείκουσιν, ὥστε τοὺς πρώτους ἁψαμένους τῶν ἄκρων καὶ διασκευασαμένους ὅσον οὐκ ἤδη τοῦ προτειχίσματος ἅπτεσθαι καὶ
25 τοῖς φύλαξιν ἐπιχειρεῖν κοιμωμένοις· ἧσθετο γὰρ οὔτ' ἄνθρωπος οὔτε κύων. (2) Ἀλλὰ χῆνες ἦσαν ἱεροὶ περὶ τὸν νεὼν τῆς Ἥρας τρεφόμενοι τὸν ἄλλον χρόνον ἀφθόνως, τότε δὲ, τῶν σιτίων ἤδη γλίσχρως καὶ μόλις αὐτοῖς διαρκούντων, ἀμελούμενοι κακῶς ἔπραττον. Ἔστι
30 μὲν δὴ καὶ φύσει πρὸς αἴσθησιν ὀξὺ καὶ ψοφοδεὲς τὸ ζῷον, ἐκεῖνοι δὲ καὶ διὰ λιμὸν ἀγρυπνητικοὶ καὶ θορυβώδεις γεγονότες ταχὺ τὴν εἴσοδον ἤσθοντο τῶν Γαλατῶν καὶ μετὰ δρόμου καὶ κλαγγῆς φερόμενοι πρὸς αὐτοὺς ἀνήγειραν ἅπαντας, ἤδη καὶ τῶν βαρβάρων
35 διὰ τὸ μὴ λανθάνειν ἀφειδούντων θορύβου καὶ βιαιότερον ἐπιτιθεμένων. (3) Ἁρπάσαντες οὖν ὑπὸ σπουδῆς ᾧ τις ἕκαστος ὅπλῳ προσετύγχανεν ἐκ τοῦ παρόντος ἐβοήθουν. (4) Πάντων δὲ πρῶτος Μάλλιος, ἀνὴρ ὑπατικὸς, τό τε σῶμα ῥωμαλέος καὶ φρονήματι ψυχῆς
40 ἐπιφανὴς ἀπαντήσας δυσὶν ὁμοῦ τῶν πολεμίων τοῦ μὲν ἔφθασε διηρμένου κοπίδα τῷ ξίφει τὴν δεξιὰν ἀποκόψας, τὸν δὲ τῷ θυρεῷ πατάξας εἰς τὸ πρόσωπον ὦσεν ὀπίσω κατὰ τῆς πέτρας. (5) Ἐπιστὰς δὲ τῷ τείχει μετὰ τῶν συνδραμόντων καὶ γενομένων περὶ αὐτὸν
45 ἀπέστρεψε τοὺς ἄλλους οὔτε πολλοὺς ἄνω γενομένους
143οὔτε πράξαντάς τι τῆς τόλμης ἄξιον. (6) Οὕτω δὲ τὸν κίνδυνον διεκφυγόντες ἅμ' ἡμέρᾳ τὸν μὲν ἄρχοντα τῶν φυλάκων ἔῤῥιψαν εἰς τοὺς πολεμίους κατὰ τῆς πέτρας, τῷ δὲ Μαλλίῳ τῆς νίκης ἀριστεῖα πρὸς τιμὴν μεγάλην
50 μᾶλλον ἢ χρείαν ψηφισάμενοι συνεισήνεγκαν ὅσον ἡμέρας ἕκαστος ἐλάμβανεν εἰς τροφὴν, σίτου μὲν ἡμίλιτρον ἐπιχωρίου (οὕτω γὰρ καλοῦσιν αὐτό), οἴνου δὲ κοτύλης Ἑλληνικῆς τέταρτον.

XXVIII. Ἐκ τούτου τὰ τῶν Κελτῶν ἦν ἀθυμότε-

cum deprehendissent multa manuum pedumque vestigia, prout loca apprehenderet et complecteretur, etiam illorum quæ præcipitiis adnascerentur multis in locis obtritus et terræ procidua : ad regem ejus rei indicium deferunt. (3) Isque cum accessisset et inspexisset, in præsentia quidem tacuit : vespera facta, conductis in unum levissimis quibusque et ad scandendos montes aptis Gallorum, « Viam quidem, inquit, qua hostes aggrederemur, ipsi nobis ostendunt ignorantibus, docentque eam hominibus non esse inviam, neque insuperabilem. Turpe vero nobis est initio confecto finem non addere, sed eum locum quasi inexpugnabilem relinquere, quem ipsi hostes qua ratione capi posset nobis demonstrant. (4) Qua enim facile fuit uni adscendere, eadem ne multis quidem uni post alium evadere difficile erit, imo multis simul id conantibus et robur et auxilium aderit. Porro autem unicuilibet dona et honores sua virtute meriti dabuntur. »

XXVII. His regis dictis permoti prompte suam operam Galli polliciti sunt. Circa mediam noctem multi simul ad saxum se contulerunt, ac sursum per loca ardua et aspera enixi sunt magno cum silentio : magisque quam sperassent, conatu succedente, eo usque evaserunt, ut primi jam in summo constituti, ad ipsas munitiones invadendas excubitoresque somno captos adoriendos se pararent. Neque enim homo quisquam, neque canis eos sensit. (2) Sed anseres sacri Junoni, qui ibi in templo erant, alias largo cibo nutriti, tum vero ægre ipsis hominibus cibo suppetente, neglecti et male habiti, cum id animal natura etiam auditu acri præditum sit et omni strepitu terreatur, tum fame etiam insomnes irrequietique redditi, confestim introitum Gallorum senserunt et contra eos cum cursu et clangore lati, Romanos somno exciverunt : jam barbaris etiam, cum non fallere se intelligerent, minus strepitu abstinentibus et majori vi irruentibus. (3) Romani ergo, raptis, quod cuique telum forte in promptu erat, obviam hosti currunt. (4) Primus omnium Manlius, vir consularis, robore corporis et viribus animi præstans, duobus simul hostibus occurrens, alterius gladium attollentis dextram gladio amputavit, alterum scuto in faciem percussum de saxo proturbavit. (5) Tum in muro consistens cum iis qui ad eum confluxerant, reliquos hostes repulit, qui neque numero multi ad arcem evaserant, neque quicquam tanto conatu dignum effecerunt. (6) Ad hunc modum evitato periculo, prima luce præfectum excubiarum ad hostes de saxo præcipitem dederunt, Manlio autem præmia victoriæ ejus virtute partæ tribuerunt, magno honori magis quam usui futura : universi enim quantum ad quotidianum victum sumerent, ei contulerunt, frumenti selibram farris et vini quartarium.

XXVIII. Exinde animi barbarorum labare cœperunt. Nam

ρα. Καὶ γὰρ ἐπιτηδείων ἐσπάνιζον εἰργόμενοι προνομῆς φόβῳ τοῦ Καμίλλου καὶ νόσος ὑποικούρησεν αὐτοὺς ἐν νεκρῶν πλήθει καὶ χύδην καταβεβλημένων σκηνοῦντας ἐν ἐρειπίοις, τό τε βάθος τῆς τέφρας ἀέρα ξηρότητι καὶ δριμύτητι φαῦλον ὑπὸ πνευμάτων καὶ καυμάτων ἀναθυμιώσης ἐλυμαίνετο τὰ σώματα διὰ τῆς ἀναπνοῆς. (2) Μάλιστα δ' ἡ μεταβολὴ τῆς συντρόφου διαίτης ἐκ τόπων σκιερῶν καὶ θέρους καταφυγὰς ἀλύπους ἐχόντων ἐμβαλόντας εἰς χώραν ταπεινὴν καὶ κεκραμένην ἀφυῶς πρὸς τὸ μετόπωρον ἐκίνησεν αὐτοὺς ἥ τε πρὸς τῷ Καπιτωλίῳ καθέδρα καὶ σχολὴ γενομένη χρόνιος (ἕβδομον γὰρ ἐκεῖνον οἰκούρουν μῆνα πολιορκοῦντες), ὥστε φθορὰν εἶναι πολλὴν ἐν τῷ στρατοπέδῳ καὶ μηδὲ θάπτεσθαι διὰ πλῆθος ἔτι τοὺς ἀποθνήσκοντας. (3) Οὐ μὴν παρὰ τοῦτο βελτίω τὰ πράγματα τοῖς πολιορκουμένοις ἦν· ἐπέτεινε γὰρ ὁ λιμὸς ἥ τε τῶν περὶ Κάμιλλον ἄγνοια παρεῖχε δυσθυμίαν· οὐδεὶς γὰρ ἐφοίτα παρ' αὐτῶν διὰ τὸ φρουρεῖσθαι τὴν πόλιν ἀκριβῶς ὑπὸ τῶν βαρβάρων. (4) Ὅθεν οὕτω πράττουσιν ἀμφοτέροις ἐγίνοντο συμβατικοὶ λόγοι διὰ τῶν προφυλάκων τὸ πρῶτον ἀλλήλοις ἐντυγχανόντων· εἶτα, ὡς ἔδοξε τοῖς κρατίστοις, συνελθόντος εἰς λόγους Βρέννῳ Σουλπικίου τοῦ χιλιάρχου τῶν Ῥωμαίων, ὡμολογήθη τοὺς μὲν χιλίας λίτρας καταβαλεῖν χρυσοῦ, τοὺς δὲ λαβόντας ἐκ τῆς πόλεως αὐτίκα καὶ τῆς χώρας ἀναχωρεῖν. (5) Ἐπὶ τούτοις γενομένων ὅρκων καὶ τοῦ χρυσίου κομισθέντος, τῶν δὲ Κελτῶν περὶ τὸν σταθμὸν ἀγνωμονούντων κρύφα τὸ πρῶτον, εἶτα καὶ φανερῶς ἀφελκόντων καὶ διαστρεφόντων τὴν ῥοπήν, ἠγανάκτουν οἱ Ῥωμαῖοι πρὸς αὐτούς. Ὁ δὲ Βρέννος, οἷον ἐφυβρίζων καὶ καταγελῶν, ἀπολυσάμενος τὴν μάχαιραν ἅμα καὶ τὸν ζωστῆρα προσέθηκε τοῖς σταθμοῖς. Πυνθανομένου δὲ τοῦ Σουλπικίου, « Τί τοῦτο; » « Τί γὰρ ἄλλο, εἶπεν, ἢ τοῖς νενικημένοις ὀδύνη; » Καὶ τοῦτο μὲν οὖν ἤδη παροιμιώδης λόγος γέγονε. (6) Τῶν δὲ Ῥωμαίων οἱ μὲν ἠγανάκτουν καὶ τὸ χρυσίον ᾤοντο δεῖν λαβόντας αὖθις ἀπιέναι καὶ τὴν πολιορκίαν ὑπομένειν, οἱ δὲ συγχωρεῖν ἐκέλευον ἀδικουμένους μέτρια καὶ μὴ τῷ πλέον διδόναι προσλογίζεσθαι τὸ αἰσχρόν, αὐτό γε τὸ δοῦναι διὰ τὸν καιρὸν οὐ καλῶς, ἀλλ' ἀναγκαίως ὑπομένοντας.

XXIX. Οὔσης δὲ περὶ τούτων πρός τε τοὺς Κελτοὺς καὶ πρὸς αὐτοὺς διαφορᾶς ἄγων τὸν στρατὸν ὁ Κάμιλλος ἐν ταῖς πύλαις ἦν· καὶ πυθόμενος τὰ γινόμενα τοὺς ἄλλους ἐκέλευεν ἐν τάξει καὶ σχέδην ἐπακολουθεῖν, αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἐπειγόμενος εὐθὺς ἐπορεύετο πρὸς τοὺς Ῥωμαίους. (2) Διαστάντων δὲ πάντων καὶ δεξαμένων αὐτὸν ὡς αὐτοκράτορα κόσμῳ καὶ σιωπῇ, τὸν μὲν χρυσὸν ἅρας ἀπὸ τοῦ ζυγοῦ τοῖς ὑπηρέταις ἔδωκε, τὸν δὲ ζυγὸν καὶ τὰ σταθμὰ τοὺς Κελτοὺς λαβόντας ἀποχωρεῖν ἐκέλευσεν εἰπών, ὡς σιδήρῳ πάτριόν ἐστι Ῥωμαίοις, οὐ χρυσῷ τὴν πατρίδα σώζειν. (3) Ἀγανακτοῦντος δὲ τοῦ Βρέννου καὶ φάσκοντος ἀδικεῖσθαι λυομένης τῆς ὁμολογίας, ἀντεῖπε μὴ νομίμως γε-

et inopia commeatuum laborabant, frumentatum ire metu Camilli non ausi, et ex multitudine cadaverum vel acervatim projectorum per urbem, ipsos in ruderibus habitantes pestis intestina urgebat : aerque exitio erat, quem siccitate et acrimonia perniciosum cinis combustæ urbis profundus æstu et ventis exagitatus exhalabat. (2) Maxime autem oberat ipsis mutatio consuetæ habitationis, qui ex opacis locis et æstate tuta refugia habentibus in regionem humilem et autumnali tempore aeris temperiem incommodam ipsis habentem transiverant. Ad hæc diuturna obsidio Capitolii molesta erat, in qua septimum tum mensem agebant : neque jam præ multitudine humare cadavera poterant, tanta in ipsorum castris lues grassabatur. (3) Neque vero cum obsessis melius agebatur, apud quos et fames ingravescebat et ignoratio eorum, quæ Camillus ageret, mœrorem excitabat : barbaris enim accurate urbem custodientibus nemo ab eo Romam commeabat. (4) Quamobrem utrisque ita laborantibus mentio de pactione primo inter excubitores facta est : deinde cum ita optimatibus placuisset, Sulpicius tribunus militum cum Brenno in colloquium venit, transactumque est ut Galli, acceptis auri pondo mille, statim ex urbe et regione Romana decederent. (5) His jurejurando confirmatis, auroque illato, in ponderando primum occulte, post etiam aperte mala fide actum est a Gallis, aurum auferentibus et momentum libræ in diversam partem impellentibus : cumque Romani de eo quererentur, Brennus tanquam insultans et deridens eos, gladium simul et balteum suum detractum in lancem ad pondera addidit : Sulpicioque percontanti, quid hoc rei esset? « Quid, inquit, nisi victis dolor? » quod dictum deinde in proverbium abiit. (6) At Romanorum alii indignari ac suadere, ut auro recepto discederetur et obsidio perferretur; alii mediocrem injuriam tolerandam dicere, neque id turpe putandum, quod amplius darent, quando ipsum hoc aurum tempore postulante turpiter quidem, necessitate tamen compulsi penderent.

XXIX. De quibus cum et inter se et cum Gallis altercarentur, jam cum exercitu ad portas urbis Camillus aderat, auditoque quid ageretur, jussis reliquis composito agmine paulatim sequi, ipse cum proceribus propere ad Romanos contendit. (2) Ibi omnibus locum ei dantibus suscipientibusque ut dictatorem tacite et honorifice, aurum de libra sublatum lictoribus dedit, Gallos autem, accepta secum libra et ponderibus, discedere jussit : addito, Romani moris esse non auro, sed ferro patriam liberare. (3) Indignanti autem Brenno ac pactionem rescindi querenti respondit : Non esse justam eam neque ratam, quam Romani

γονέναι μηδὲ κυρίας εἶναι τὰς συνθήκας· ἤδη γὰρ αὐτοῦ Δικτάτωρος ἠρημένου καὶ μηδενὸς ἄρχοντος ἑτέρου νόμῳ πρὸς οὐκ ἔχοντας ἐξουσίαν ὁμολογηθῆναι. Νυνὶ δὲ χρῆναι λέγειν ὅ τι βούλονται· νόμῳ γὰρ ἥκειν κύριος γεγονὼς συγγνώμην τε δεομένοις δοῦναι καὶ δίκην, εἰ μὴ μετανοοῦσιν, ἐπιθεῖναι τοῖς αἰτίοις. (4) Πρὸς ταῦτα θορυβηθεὶς ὁ Βρέννος ἥψατο μὲν ἀψιμαχίας καὶ παρῆλθον ἄχρι ξιφουλκίας ἑκάτεροι καὶ διωθισμῶν ἀναμεμιγμένοι πρὸς ἀλλήλους, ὥσπερ εἰκὸς, ἐν οἰκίαις καὶ στενωποῖς ἀναστρεφόμενοι καὶ χωρίοις δέξασθαι παράταξιν οὐ δυναμένοις. Ταχὺ δὲ συμφρονήσας ὁ Βρέννος ἀπήγαγε τοὺς Κελτοὺς εἰς τὸ στρατόπεδον οὐ πολλῶν πεσόντων. Καὶ νυκτὸς ἀναστήσας ἅπαντας ἐξέλιπε τὴν πόλιν καὶ προελθὼν ἑξήκοντα σταδίους κατεστρατοπέδευσε παρὰ τὴν Γαβινίαν ὁδόν. (5) Ἅμα δ' ἡμέρᾳ παρῆν ὁ Κάμιλλος ἐπ' αὐτὸν ὡπλισμένος λαμπρῶς καὶ τεθαρρηκότας ἔχων τότε τοὺς Ῥωμαίους· καὶ γενομένης ἰσχυρᾶς μάχης ἐπὶ πολὺν χρόνον αὐτούς τε τρέπεται πολλῷ φόνῳ καὶ λαμβάνει τὸ στρατόπεδον. Τῶν δὲ φευγόντων οἱ μὲν εὐθὺς ἀνῃρέθησαν καταδιωχθέντες, τοὺς δὲ πλείστους διασπαρέντας ἐπεκθέοντες ἐκ τῶν πέριξ κωμῶν καὶ πόλεων ἔκτεινον.

XXX. Οὕτω μὲν ἡ Ῥώμη παραλόγως ἥλω καὶ παραλογώτερον ἐσώθη μῆνας ἑπτὰ τοὺς πάντας ὑπὸ τοῖς βαρβάροις γενομένη. Παρελθόντες γὰρ εἰς αὐτὴν ὀλίγαις ἡμέραις ὕστερον τῶν Κυιντιλλίων εἰδῶν περὶ τὰς Φεβρουαρίας εἰδοὺς ἐξέπεσον. (2) Ὁ δὲ Κάμιλλος ἐθριάμβευσε μὲν, ὡς εἰκὸς ἦν τὸν ἀπολωλυίας σωτῆρα πατρίδος γενόμενον καὶ καταγαγόντα τὴν πόλιν αὐτὴν εἰς ἑαυτήν· οἵ τε γὰρ ἔξωθεν ἅμα παισὶ καὶ γυναιξὶν εἰσελαύνοντος συγκατῄεσαν οἵ τε πολιορκηθέντες ἐν τῷ Καπιτωλίῳ, μικροῦ δεήσαντες ἀπολέσθαι διὰ λιμὸν, ἀπήντων περιβάλλοντες ἀλλήλους καὶ δακρύοντες ἀπιστίᾳ τῆς παρούσης ἡδονῆς, (3) ἱερεῖς τε καὶ ζάκοροι θεῶν ὅσα φεύγοντες αὐτόθι τῶν ἀδεβήλων ἔκρυψαν ἢ σὺν αὐτοῖς ἐξέκλεψαν ἀνασωζόμενα κομίζοντες ἐπεδείκνυντο ποθουμένας ὄψεις τοῖς πολίταις δεχομένοις μετὰ χαρᾶς, ὥσπερ αὐτῶν τῶν θεῶν αὖθις εἰς τὴν Ῥώμην συγκατερχομένων· (4) θύσας δὲ τοῖς θεοῖς καὶ καθάρας τὴν πόλιν, ἐξηγουμένων τῶν περὶ ταῦτα δεινῶν, τὰ μὲν ὄντα τῶν ἱερῶν κατέστησεν, αὐτὸς δὲ ἱδρύσατο νεὼν Φήμης καὶ Κληδόνος ἀνευρὼν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ νύκτωρ ἡ καταγγέλλουσα τὴν τῶν βαρβάρων στρατιὰν ἐκ θεοῦ τῷ Κεδικίῳ Μάρκῳ φωνὴ προσέπεσε.

XXXI. Χαλεπῶς μὲν οὖν καὶ μόλις αἱ τῶν ἱερῶν ἀνεκαλύπτοντο χῶραι φιλοτιμίᾳ τοῦ Καμίλλου καὶ πόνῳ πολλῷ τῶν ἱεροφαντῶν· ὡς δὲ τὴν πόλιν ἀνοικοδομεῖν ἔδει παντάπασι διεφθαρμένην, ἀθυμία πρὸς τὸ ἔργον ἐνέπιπτε τοῖς πολλοῖς καὶ μέλλησις ἦν ἐστερημένοις ἁπάντων καί τινος ἐν τῷ παρόντι ῥᾳστώνης καὶ ἀναπαύσεως ἐκ κακῶν δεομένοις μᾶλλον ἢ κάμνειν καὶ ἀποτρύχειν ἑαυτοὺς οὔτε χρήμασιν οὔτε σώμασιν ἐῤῥωμένους. (2) Οὕτω δὲ ἡσυχῇ πρὸς τοὺς Βηίους ἀποστρεφόμενοι, πόλιν ἅπασι κατεσκευασμένην καὶ

se dictatore jam ante creato nulloque alio magistratu valente, injuste pepigissent : nunc ergo apud se dicerent, si quid vellent : se enim cum justo imperio adesse ac sontibus veniam, si eam peterent, daturum; sin minus, pœnas de eis sumpturum. (4) Hic cum tumultuaretur Brennus ac jam res ad manus perventura videretur strictique utrinque gladii essent, et quod fieri necesse erat inter domorum rudera et vicos versantibus, iisque locis, ubi instruendæ aciei spatium non esset, alteri alteros hinc inde truderent : Brennus celeriter quid agendum esset cognito, paucis amissis, Gallos in castra reduxit, et noctu cum exercitu urbe discessit ac sexaginta stadia progressus, ad Gabinam viam castra posuit. (5) Orto die Camillus institit ei splendide armatus cum Romanis animo confirmatis. Pugnatum est acriter idque diu : tandem barbari magna cæde fusi, castra eorum capta sunt : eorum qui in fugam se conjecerant, alii statim trucidati ab insequentibus, plerique ab incolis circumjacentium pagorum et urbium, excursione facta, necati sunt.

XXX. Ita Roma de improviso capta, magis adhuc, a barbaris septem totos menses obsessa, contra omnium opinionem liberata est : occupaverunt enim paucis post idus Quinctiles diebus, circiter idus Februarias ejecti sunt. (2) At Camillus triumphum egit, ut dignum erat eo, qui patriæ perditæ salutem attulisset, ipsamque sibi civitatem restituisset : nam et qui fugerant, tum cum liberis et uxoribus suis reversi Romam sunt et qui obsessi in Capitolio propemodum enecti fame fuerant, occurrerunt iis, ac voluptatis præsentis incredibilis novitas lacrimas utrisque expressit. (3) Sacerdotes etiam quicunque sacra aut occultaverant, aut secum abstulerant, recuperata attulerunt, civibusque ostenderunt, gratissimum spectaculum magno cum gaudio intuentibus ipsosque deos una secum Romam reverti existimantibus. (4) Sacrificiis peractis, urbeque secundum pontificum præcepta lustrata, templa eorum restituit Camillus, ædemque Aio Locutio posuit, reperto eo loco, ubi nocturna vox divinitus M. Cedicium de adventu barbarorum monuerat.

XXXI. Difficulter sane ægreque areæ templorum repertæ sunt, magno studio Camilli ac sacerdotum labore. Ut vero urbem dirutam penitus instaurari oportuit, ad id opus multitudini parum animi fuit cunctatique sunt, quippe qui omnibus rebus spoliati, et pecunia corporisque viribus destituti, in præsentia magis levatione aliqua post tanta mala et quiete se recreare quam laboribus conficere opus habebant. (2) Itaque paulatim ad Vejos, urbem omnibus rebus instructam incolumemque, animis vulgo inclinatum

διαμένουσαν, ἀρχὰς δημαγωγιῶν ἐνέδοσαν τοῖς πρὸς
χάριν εἰθισμένοις δημιλεῖν καὶ λόγων ἠκροῶντο στασια-
στικῶν πρὸς τὸν Κάμιλλον, ὡς ἐκείνου φιλοτιμίας ἕνεκα
καὶ δόξης ἰδίας ἀποστεροῦντος αὐτοὺς πόλεως ἑτοίμης
καὶ βιαζομένου σκηνοῦν ἐρείπια καὶ πυρκαϊὰν τοσαύτην
ἐγείρειν, ὅπως μὴ μόνον ἡγεμὼν Ῥώμης καὶ στρατη-
γὸς, ἀλλὰ καὶ κτίστης λέγηται παρώσας Ῥωμύλον. (3)
Ἐκ τούτου φοβηθεῖσα τὸν θόρυβον ἡ βουλὴ τὸν μὲν
Κάμιλλον οὐκ εἴασε βουλόμενον ἀποθέσθαι τὴν ἀρχὴν
ἐντὸς ἐνιαυτοῦ, καίπερ ἓξ μῆνας οὐδαμῶς ὑπερβαλόντος f
ἑτέρου Δικτάτωρος· αὐτὴ δὲ παρεμυθεῖτο καὶ κατεπράϋνε
πείθουσα καὶ δεξιουμένη τὸν δῆμον, ἐπιδεικνυμένη μὲν
ἡρῷα καὶ τάφους πατέρων, ὑπομιμνήσκουσα δὲ χωρίων
ἱερῶν καὶ τόπων ἁγίων, οὓς Ῥωμύλος ἢ Νομᾶς ἤ τις
ἄλλος αὐτοῖς τῶν βασιλέων ἐπιθειάσας παρέδωκεν. (4)
Ἐν πρώτοις δὲ τῶν θείων τήν τε νεοσφαγῆ κεφαλὴν
προὔφερον ἐν τῇ θεμελιώσει τῇ τοῦ Καπιτωλίου φανεῖ- a
σαν, ὡς τῷ τόπῳ πεπρωμένον ἐκείνῳ τῆς Ἰταλίας
κεφαλῇ γενέσθαι, καὶ τὸ τῆς Ἑστίας πῦρ, ὃ μετὰ τὸν
πόλεμον ὑπὸ τῶν παρθένων ἀναπτόμενον αὖθις ἀφανί-
ζειν καὶ σβεννύναι τοὺς προλιπόντας τὴν πόλιν, ὄνειδος
αὐτοῖς ἐσόμενον, ἂν τε ὑπ' ἄλλων οἰκουμένην ὁρῶσιν
ἐπηλύδων καὶ ξένων ἄν τ' ἔρημον οὖσαν καὶ μηλόβο-
τον. (5) Τοιαῦτα καὶ πρὸς ἕκαστον ἰδίᾳ καὶ κοινῇ
πολλάκις ἐν τῷ δήμῳ σχετλιάζοντες ἐπεκλῶντο πάλιν
ὑπὸ τῶν πολλῶν τὴν παροῦσαν ὀλοφυρομένων ἀμηχα-
νίαν, καὶ δεομένων μὴ σφᾶς ὥσπερ ἐκ ναυαγίου γυ-
μνοὺς καὶ ἀπόρους συνθέοντας προσδιάζεσθαι τὰ λείψανα
τῆς διεφθαρμένης συμπηγνύναι πόλεως, ἑτέρας ἑτοί-
μης παρούσης.

XXXII. Ἔδοξεν οὖν βουλὴν προθεῖναι τῷ Καμίλλῳ· b
καὶ πολλὰ μὲν αὐτὸς διεξῆλθε παρακαλῶν ὑπὲρ τῆς
πατρίδος, πολλὰ δὲ καὶ τῶν ἄλλων ὁ βουλόμενος·
τέλος δὲ τὸν πρῶτον εἰωθότα λέγειν γνώμην Λεύκιον
Λουκρήτιον ἀναστήσας ἐκέλευσεν ἀποφήνασθαι πρῶτον,
εἶτα τοὺς ἄλλους ἑφεξῆς. (2) Γενομένης δὲ σιωπῆς
καὶ τοῦ Λουκρητίου μέλλοντος ἐνάρχεσθαι κατὰ τύχην
ἔξωθεν ἑκατοντάρχης ἄγων τάγμα φυλακῆς ἡμερινῆς
παρεπορεύετο καὶ τὸν φέροντα πρῶτον τὸ σημεῖον με-
γάλῃ φωνῇ προσαγορεύσας ἐκέλευσεν αὐτοῦ μένειν καὶ
τὸ σημεῖον τίθεσθαι· κάλλιστα γὰρ ἐνταῦθα καθεδεῖσθαι c
καὶ μενεῖν. (3) Ἅμα δὲ τῷ καιρῷ καὶ τῇ περὶ τοῦ
μέλλοντος ἐννοίᾳ καὶ ἀδηλότητι τῆς φωνῆς γενομένης ὅ
τε Λουκρήτιος ἔφη προσκυνήσας τῷ θεῷ προστίθεσθαι
τὴν ἑαυτοῦ γνώμην καὶ τῶν ἄλλων ἕκαστος ἐπηκολού-
θησε. (4) Θαυμαστὴ δὲ καὶ τὸ πλῆθος ἔσχε μεταβολὴ
τῆς ὁρμῆς, ἀλλήλους παρακαλούντων καὶ τρεπομένων
πρὸς ἔργον, οὐκ ἐκ διανομῆς τινος ἢ τάξεως, ἀλλ' ὡς
ἕκαστος ἑτοιμότητος ἢ βουλήσεως εἶχε τῶν χωρίων
καταλαμβανομένων. (5) Διὸ καὶ τεταραγμένην τοῖς
στενωποῖς καὶ συμπεφυρμένην ταῖς οἰκήσεσιν ἀνήγαγον
τὴν πόλιν ὑπὸ σπουδῆς καὶ τάχους· ἐντὸς γὰρ ἐνιαυτοῦ d
λέγεται καὶ τοῖς τείχεσι καινὴ καὶ ταῖς ἰδιωτικαῖς οἰκο-
δομαῖς ἀναστῆναι πάλιν. (6) Οἱ δὲ τοὺς ἱεροὺς τόπους

est et occasiones ambitionum datæ iis, qui ad populi voluntatem concionari solebant: jamque audiebantur sermones, qui plebem contra Camillum concitarent: hunc scilicet ambitione gloriæque privatæ cupiditate adductum, cives urbe jam adornata privare, cogereque habitare eos in parietinis, tantique incendii reliquias de novo ædificare: nimirum ut non modo dux Romæ imperatorque, sed conditor etiam, Romulo ea laude detruso, dici posset. (3) Ergo metuens tumultum senatus, Camillum quum vellet, nisi circumacto eo anno deponere dictaturam non est passus: cum nullus alius dictator ultra sextum mensem eum magistratum gessisset. Ipsi dictis lenire ac consolari populum; ostendereque majorum sacella et sepulcra, locorum sacrorum et templorum memoriam eis renovare, quæ Romulus, quæ Numa, aliusve regum consecrasset. (4) Inter sacra autem in primis caput hominis recens occisi, cum Capitolii fundamenta ponerentur, inventum commemorare; nimirum ei loco fatis portentum, fore ibi caput Italiæ; adhuc ignem Vestæ, quod hunc finito bello a Vestalibus iterum accensum, ipsi exstinguere rursus vellent, urbem deserendo, oppobrio ipsis futuram, sive eam aliis habitari advenis et exteris sive vastam jacere ovesque eo loco pasci contingeret. (5) Hæc et apud singulos privatim et in concione crebro deplorantes, rursus infringebantur multitudinis querelis, præsentem lamentantis inopiam obtestantisque, ne se cogerent, qui tanquam e naufragio nudi et omnium rerum egeni convenissent, reliquias potius urbis exitium passæ compingere, quam alia urbe parata, quam præ manibus haberent, uti.

XXXII. Visum itaque est Camillo rem ad deliberationem referre. Et cum ipse multis pro patria locutus esset, multi etiam alii, quibus erat volentibus, in eandem partem verba fecissent, tandem Lucium Lucretium, cui primo loco dicenda pro more erat sententia, surgere jussit, ac, quid statueret ipse, pronunciare: tum reliquos post illum ordine. (2) Facto silentio ac jam orationem inchoaturo Lucretio, forte fortuna centurio foris adducens cohortem, quæ diurnas egerat custodias, cum per forum transirent, clara voce signiferum jussit eo loco consistere, ac signum statuere: ibi enim optime mansuros. (3) Hæc vox cum opportune eo ipso esset pronunciata tempore, quod ad incertum rei, de qua consultabatur, exitum omnium cogitationes erant suspensæ, Lucretius, adorato, qui id omen obtulisset, deo, assentiri se ei dixit, singulique ejus sententiam sunt secuti. (4) Mirabilis quoque animorum mutatio apud plebem exstitit, mutuo se ad opus cohortantibus civibus. Areæ ædificiorum non divisione nec ordine certo distributæ sunt, sed unusquisque pro suo arbitrio et ad ædificandum facultatibus sibi occupavit. (5) Itaque festinatio et acceleratio in causa fuit, ut vicis non directis, sed domibus inter se promiscue concurrentibus urbs exstrueretur: et intra annum nova tota et muris et privatis ædificiis absoluta fuit. (6) Quos Camillus ad sacra loca reficienda et terminanda adhibuit, his

ἀναλαβεῖν καὶ ὁρίσαι ταχθέντες ὑπὸ τοῦ Καμίλλου, συγκεχυμένων πάντων, ὡς ἦκον ἐπὶ τὴν καλιάδα τοῦ Ἄρεος περιοδεύοντες τὸ Παλάτιον, αὐτὴν μὲν ὡς τὰ ἄλλα διεφθαρμένην καὶ κατακεκαυμένην εὗρον ὑπὸ τῶν βαρβάρων· σκευωρούμενοι δὲ καὶ καθαίροντες τὸ χωρίον ἐντυγχάνουσι τῷ μαντικῷ ξύλῳ τοῦ Ῥωμύλου κατὰ τέφρας πολλῆς καὶ βαθείας καταδεδυκότι. (7) Τοῦτο δ' ἔστι μὲν ἐπικαμπὲς ἐκ θατέρου πέρατος, καλεῖται δὲ λίτυον, χρῶνται δ' αὐτῷ πρὸς τὰς τῶν πλινθίων ὑπο- e γραφὰς, ὅταν ἐπ' ὄρνισι διαμαντευόμενοι καθέζωνται· ᾧ καὶ ἐκεῖνος ἐχρῆτο μαντικώτατος ὤν. (8) Ἐπεὶ δ' ἐξ ἀνθρώπων ἠφανίσθη, παραλαβόντες οἱ ἱερεῖς τὸ ξύλον ὥσπερ ἄλλο τι τῶν ἱερῶν ἄψαυστον ἐφύλαττον. Τοῦτο δὴ τότε τῶν ἄλλων ἀπολωλότων ἀνευρόντες διαπεφευγὸς τὴν φθορὰν ἡδίους ἐγένοντο ταῖς ἐλπίσιν ὑπὲρ τῆς Ῥώμης, ὡς ἀΐδιον αὐτῇ τὴν σωτηρίαν τοῦ σημείου βεβαιοῦντος.

XXXIII. Οὔπω δὲ τῆς περὶ ταῦτα πεπαυμένοις ἀσχολίας αὐτοῖς ἐπιπίπτει πόλεμος, Αἰκανῶν μὲν ἅμα καὶ Οὐολούσκων καὶ Λατίνων εἰς τὴν χώραν ἐμβαλόντων, Τυρρηνῶν δὲ πολιορκούντων Σούτριον, συμμαχίδα Ῥωμαίων πόλιν. (2) Ἐπεὶ δ' οἱ τὴν ἡγεμονίαν ἔχοντες f χιλίαρχοι στρατοπεδευσάμενοι περὶ τὸ Μάρκιον ὄρος ὑπὸ τῶν Λατίνων ἐπολιορκοῦντο καὶ κινδυνεύοντες ἀποβαλεῖν τὸ στρατόπεδον εἰς Ῥώμην ἔπεμψαν, ἀποδείκνυται τὸ τρίτον Κάμιλλος Δικτάτωρ. (3) Περὶ τούτου τοῦ πολέμου διττοὶ λόγοι λέγονται· δίειμι δὲ τὸν μυθώδη πρότερον. (4) Φασὶ τοὺς Λατίνους εἴτε προφάσει χρωμένους εἴτε βουλομένους ὡς ἀληθῶς ἀναμίξασθαι τὰ γένη πάλιν ἐξ ὑπαρχῆς πέμψαντας αἰτεῖν παρὰ a τῶν Ῥωμαίων παρθένους ἐλευθέρας γυναῖκας. (5) Ἀπορούντων δὲ τῶν Ῥωμαίων τί χρὴ ποιεῖν (καὶ γὰρ τὸν πόλεμον ὠῤῥώδουν οὔπω καθεστηκότες οὐδ' ἀνειληφότες αὐτοὺς καὶ τὴν αἴτησιν τῶν γυναικῶν ὑπώπτευον ἐξομήρευσιν εἶναι, τοῦ δ' εὐπρεποῦς χάριν ἐπιγαμίαν καλεῖσθαι), θεραπαινίδα τοὔνομα Τουτούλαν, ὡς δ' ἔνιοι λέγουσι, Φιλωτίδα, τοῖς ἄρχουσι παραινέσαι πέμπειν σὺν αὐτῇ τῶν ὁμωίδων τὰς ἐν ὥρᾳ μάλιστα καὶ ταῖς ὄψεσιν ἐλευθερίους κοσμήσαντας ὡς νύμφας εὐγενεῖς, τὰ λοιπὰ δ' αὐτῇ μελήσειν. (6) Πεισθέντας δὲ τοὺς ἄρχοντας ἐπιλέξασθαι τῶν θεραπαινίδων ὅσας ἐκείνη πρὸς τὴν χρείαν ἐδοκίμασε καὶ κοσμήσαντας b ἐσθῆτι καὶ χρυσῷ παραδοῦναι τοῖς Λατίνοις οὐ πάνυ πόῤῥω τῆς πόλεως στρατοπεδεύουσι. (7) Νύκτωρ δὲ τὰς μὲν ἄλλας ὑφελέσθαι τὰ ἐγχειρίδια τῶν πολεμίων, τὴν δ' εἴτε Τουτούλαν εἴτε Φιλωτίδα προσβᾶσαν ἐρινεῷ μεγάλῳ καὶ παρατείνασαν ὀπίσω τὸ ἱμάτιον ἆραι πυρσὸν εἰς τὴν Ῥώμην, ὥσπερ ἦν συγκείμενον αὐτῇ πρὸς τοὺς ἄρχοντας, οὐδενὸς ἄλλου τῶν πολιτῶν εἰδότος. (8) Δι' ὃ καὶ θορυβώδη γενέσθαι τὴν τῶν στρατιωτῶν ἔξοδον, ὡς κατήπειγον οἱ ἄρχοντες, ἀλλήλους ἀνακαλούντων καὶ μόλις εἰς τὴν τάξιν καθισταμένων. Ἐπελθόντας δὲ τῷ χάρακι τῶν πολεμίων οὐ προσδεχομένων καὶ καθευδόντων ἐλεῖν τὸ στρατόπεδον

omnibus confusis cum Palatium circumeuntes ad Martis pervenissent tugurium, id quidem, sicut et reliqua, incendio barbarico absumptum invenerunt: loco tamen purgato amotis ruderibus, in baculum auguralem Romuli inciderunt inter cineris acervos delitescentem. (7) Is baculus ab altera parte incurvus, lituus nominatur; eoque utuntur ad cœli regiones describendas, cum auspicii capiendi causa conse- e derunt: eoque usus erat Romulus, auguriorum observantissimus. (8) Romulo deinde ex conspectu hominum ablato pontifices, tanquam rem sacram, inter ea, quæ tangi nefas esset, reposuerant, ac tum superstitem ut invenere, reliquis incendio perditis rebus, in bonam spem de Roma adducti sunt, eo signo Romæ perpetuam incolumitatem portendi existimantes.

XXXIII. Nondum plane hoc negotio confecto, bellum incidit, Æquis simul, Volscisque et Latinis in agrum Romanum impressionem facientibus, Etruscisque Sutrium, sociam populi Romani urbem, obsidentibus. (2) Quo in f bello cum tribuni militum, qui rei summæ præerant, castris ad Marcium montem positis, a Latinis in obsidione haberentur, metuque amittendorum castrorum Romam misissent: Camillus tertium dictator creatus est. (3) De hoc bello duæ referuntur narrationes, quarum eam, quæ fabulosa est, priori loco exponam. (4) Latini, ut aiunt, Romam missis legatis, filias eorum virgines ingenuas in matrimonium suis postulaverunt, incertum studione gentes, ut fuerant antiquitus, denuo inter se conjungendi, an ut belli occasionem arriperent. (5) Quæ petitio cum anxios consiliique incertos Romanos teneret (nam et bellum metuebant, quia nondum se recepissent neque a Gallica clade vires recuperassent, et peti non mulieres, sed obsides, reique nomen affinitatis prætendi suspicabantur), ancilla nomine Tutula, sive ut alii volunt Philotis, consilium magistratibus dedit, ut secum juvenculas alias ancillas ac forma liberali præditas, sponsarum nobilium modo exornatas, ad Latinos mitterent, reliqua sibi curæ fore. (6) Senatus ei consilio paruit, delectasque, quæ ad eam rem Philotidi probarentur ancillas, veste et auro ornatas Latinis dedidit, non procul ab urbe castra habentibus. (7) Noctu reliquas quidem gladios Latinis subtraxere: at Tutula sive Philotis caprificum altam conscendit et obtenta retro veste, Romanis face accensa signum dedit: ita enim rem cum primoribus composuerat, nemine civium conscio. (8) Quare etiam tumultuarium militum, cum duces instigarent, fuisse exitum, mutuo se invocantium, vix ut ordines servarentur. Venere autem ad castra, inopinantibus et sopore pressis hostibus:

καὶ διαφθεῖραι τοὺς πλείστους. (9) Τοῦτο δὲ γενέσθαι ταῖς νῦν Ἰουλίαις, τότε δὲ Κυιντιλλίαις Νόναις, καὶ τὴν ἀγομένην ἑορτὴν ὑπόμνημα τῆς πράξεως ἐκείνης εἶναι. (10) Πρῶτον μὲν γὰρ ἐξιόντες ἀθρόοι διὰ τῆς πόλης πολλὰ τῶν ἐπιχωρίων καὶ κοινῶν ὀνομάτων βοῇ φθέγγονται, Γάϊον, Μάρκον, Λούκιον καὶ τὰ τούτοις ὅμοια, μιμούμενοι τὴν τότε γενομένην μετὰ σπουδῆς ἀλλήλων ἀνάκλησιν. (11) Ἔπειτα κεκοσμημέναι λαμπρῶς αἱ θεραπαινίδες περίασι παίζουσαι διὰ σκωμμάτων εἰς τοὺς ἀπαντῶντας. Γίνεται δὲ καὶ μάχη τις αὐταῖς πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῦ πρὸς τοὺς Λατίνους ἀγῶνος συνεπιλαμβανομένας. (12) Ἑστιῶνται δὲ καθέζονται κλάδοις συκῆς σκιαζόμεναι· καὶ τὴν ἡμέραν Νόννας Καπρατίνας καλοῦσιν, ὡς οἴονται, διὰ τὸν ἐρινεόν, ἀφ' οὗ τὴν παιδίσκην τὸν πυρσὸν ἆραι· τὸν γὰρ ἐρινεὸν καπρίφικον ὀνομάζουσιν. (13) Ἕτεροι δὲ τούτων τὰ πλεῖστα δρᾶσθαι καὶ λέγεσθαί φασιν ἐπὶ τῷ τοῦ Ῥωμύλου πάθει. Κατὰ ταύτην γὰρ ἀφανισθῆναι τὴν ἡμέραν αὐτὸν ἔξω πύλης, ζόφου καὶ θυέλλης ἄφνω περισχούσης, ὡς δ' ἔνιοι νομίζουσιν, ἐκλείψεως ἡλίου γενομένης· καὶ τὴν ἡμέραν ἀπὸ τούτου Νόννας Καπρατίνας κληθῆναι· τὴν γὰρ αἶγα κάπραν ὀνομάζουσιν. [Ὁ δὲ Ῥωμύλος ἠφανίσθη δημηγορῶν περὶ τὸ τῆς Αἰγὸς ἕλος προσαγορευόμενον, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται.]

XXXIV. Τὸν δ' ἕτερον λόγον οἱ πλεῖστοι τῶν συγγραφέων δοκιμάζοντες οὕτω λέγουσιν. Ἀποδειχθεὶς Δικτάτωρ τὸ τρίτον ὁ Κάμιλλος καὶ πυθόμενος τὸ μετὰ τῶν χιλιάρχων στράτευμα πολιορκούμενον ὑπὸ τῶν Λατίνων καὶ τῶν Οὐολούσκων ἠναγκάσθη καὶ τοὺς οὐκ ἐν ὥρᾳ τῶν πολιτῶν, ἀλλ' ἤδη προβεβηκότας καθοπλίσαι. (2) Περιελθὼν δὲ μακρὰν περίοδον περὶ τὸ Μάρκιον ὄρος καὶ λαθὼν τοὺς πολεμίους ἵδρυσε τὴν στρατιὰν κατόπιν αὐτῶν καὶ πυρὰ πολλὰ καύσας διεσήμηνε τὴν ἑαυτοῦ παρουσίαν. (3) Οἱ μὲν οὖν πολιορκούμενοι θαῤῥήσαντες ἐπιέναι διενοοῦντο καὶ μάχην συνάπτειν· οἱ δὲ Λατῖνοι καὶ Οὐολοῦσκοι συστείλαντες εἴσω τοῦ χάρακος ἑαυτοὺς ἀπεσταύρουν ξύλοις πολλοῖς καὶ διεφράγνυντο πανταχόθεν τὸ στρατόπεδον ἀμφίβολοι γεγονότες ὑπὸ τῶν πολεμίων καὶ περιμένειν ἐγνωκότες ἑτέραν οἴκοθεν δύναμιν, ἅμα δὲ καὶ Τυῤῥηνῶν προσδεχόμενοι βοήθειαν. (4) Τοῦτο δ' αἰσθόμενος ὁ Κάμιλλος καὶ δεδοικὼς παθεῖν ὅπερ ἐποίησεν αὐτὸς τοὺς πολεμίους κυκλωσάμενος ἔσπευδε προλαβεῖν τὸν καιρόν. Ὄντος δὲ τοῦ περιφράγματος ξυλίνου καὶ πνεύματος μεγάλου κατιόντος ἀπὸ τῶν ὀρέων ἅμα φάει, πυρὰ πολλὰ παρασκευασάμενος καὶ περὶ τὸν ὄρθρον ἐξαγαγὼν τὴν δύναμιν, τοὺς μὲν ἄλλους ἐκέλευσε χρῆσθαι βέλεσι καθ' ἕτερον μέρος καὶ κραυγῇ, αὐτὸς δὲ τοὺς τὸ πῦρ ἀφήσειν μέλλοντας ἔχων ὅθεν εἰώθει μάλιστα προσπίπτειν ὁ ἄνεμος τῷ χάρακι τῶν πολεμίων ἀνέμενε τὴν ὥραν. (5) Ἐπεὶ δὲ συνεστώσης τῆς μάχης ὅ τε ἥλιος ἀνῄει καὶ τὸ πνεῦμα λαμπρὸν ἐξέπιπτε, σημήνας ἐπιδρομὴν κατέσπειρε τοῦ χάρακος ἄφθονα τῶν πυροβόλων. (6)

majorique eorum parte occisa, castris potiti sunt. (9) Factum hoc Nonis Quinctilibus, quæ nunc Juliæ sunt : in memoriamque facinoris solenne illud festum agi. (10) Primo enim confertim urbe exeuntes, multa communium ac tritorum apud Romanos nominum, ut sunt Caii, Marcii, Lucii, et alia id genus, inclamant : imitantes eam quæ tum mutua inter properandum fuit invocatio. (11) Deinde ancillæ eleganti habitu circumeunt, jocisque obvios impetunt : est et pugna inter ipsas, quo indicatur tum quoque ipsas contra Latinos suis auxilio fuisse. (12) Cum epulantur, sedent sub umbraculis ex ficulneis frondibus contextis : et diem Nonas Capratinas nuncupant : nimirum a caprifico, a qua facem illa ardentem sustulerat. (13) Alii pleraque hæc propter Romuli casum instituta et dicta ferunt : is enim ad Capræ paludem extra urbem subito caligine et turbine venti coorto, aut, ut alii putant, solis defectu accidente, e conspectu hominum sublatus est ea ipsa die : ideo Capratinis Nonis a Capræ palude nomen esse putant. [Romulus vero concionem habens ad Capræ paludem ex conspectu hominum ablatus est, ut in vita ejus retulimus.]

XXXIV. Altera narratio, quam plerique auctores probant, talis est : Camillus tertium dictator factus, cum accepisset exercitum cum tribunis militum a Latinis et Volscis obsideri, coactus est etiam eos, quorum ætas jam ad bellum gerendum præteriisset, armare. (2) Longo autem itinere circumiit Marcium montem, ignaris hostibus, atque a tergo eorum cum exercitu consedit, multisque ignibus accensis præsentiam suam suis indicavit. (3) Itaque obsessi animo recepto hostes adoriri ac prœlium committere statuerunt; ac Latini et Volsci ab hostibus circumdati, alias copias domo adventantes simul et Etruscorum auxilium exspectantes, castris sese continuerunt, vallumque multis lignis undique sepserunt atque obstruxerunt. (4) Quod sentiens Camillus veritusque ne, quod ipse fecerat, qui hostes circumvenerat, sibi accideret, occasionem præripere festinat. Itaque multis ignibus præparatis, cum hostium munitiones ligno exstructæ essent et vehemens prima luce a montibus spiraret ventus, summo mane milites eduxit, quorum alteros ex alia parte magno cum clamore hostes missilibus adoriri jussit; ipse cum iis, qui ignem injecturi erant, ea parte, qua potissimum ventus castris hostium accidebat, tempus commodum exspectavit. (5) Commisso prœlio, cum et sol ortus esset et ventus vehementius flaret, dato impetus signo, sepem jaculis ignem ferentibus complevit.

Ταχὺ δὲ τῆς φλογὸς ἐν ὕλῃ πυκνῇ καὶ σταυρώμασι ξυλίνοις ἀνατραφείσης καὶ κύκλῳ περινεμομένης οὐδὲν ἄκος οὐδὲ σβεστήριον ἔχοντες οἱ Λατῖνοι παρεσκευασμένον, ὡς πλῆρες ἦν ἤδη τὸ στρατόπεδον πυρὸς, ἐπ' ὀλίγον συστελλόμενοι τόπον ἐξέπιπτον ὑπ' ἀνάγκης πρὸς ὡπλισμένους καὶ παρατεταγμένους πρὸ τοῦ χάρακος τοὺς πολεμίους. (6) Καὶ τούτων μὲν ὀλίγοι διέφυγον, τοὺς δὲ καταλειφθέντας ἐν τῷ στρατοπέδῳ πάντας διέφθειρε τὸ πῦρ, μέχρις οὗ κατασβέσαντες οἱ Ῥωμαῖοι τὰ χρήματα διήρπασαν.

(6) Flamma a materia copiosa ligneisque munitionibus nutrita, circumcirca omnia corripuit atque hausit; Latini, quibus nihil erat in promptu, quo ignem restinguerent, castris jam totis incendio occupatis in arctum compulsi, coacti sunt se inde in armatos ac pro castris in acie stantes hostes immittere. (6) Pauci eorum cædem effugere : qui in castris manserant, incendio perierunt : tandem Romani, igne exstincto, opes hostium diripuerunt.

XXXV. Γεγονότων δὲ τούτων ἀπολιπὼν ἐπὶ τοῦ στρατοπέδου τὸν υἱὸν Λεύκιον φύλακα τῶν ἁλωκότων ἀνθρώπων καὶ χρημάτων αὐτὸς εἰς τὴν τῶν πολεμίων ἐνέβαλε. Καὶ τὴν Αἰκανῶν πόλιν ἑλὼν καὶ προσαγαγόμενος τοὺς Οὐολούσκους εὐθὺς ἦγε τὴν στρατιὰν πρὸς τὸ Σούτριον, οὕπω τὰ συμβεβηκότα τοῖς Σουτρίνοις πεπυσμένος, ἀλλ' ὡς ἔτι κινδυνεύουσι καὶ πολιορκουμένοις ὑπὸ τῶν Τυῤῥηνῶν βοηθῆσαι σπεύδων. (2) Οἱ δ' ἔτυχον ἤδη τὴν μὲν πόλιν τοῖς πολεμίοις παραδεδωκότες, αὐτοὶ δὲ πάντων ἐνδεεῖς ἐν ἱματίοις μόνον ἀφειμένοι· καὶ καθ' ὁδὸν ὄντι τῷ Καμίλλῳ μετὰ παίδων καὶ γυναικῶν ἀπήντων ὀδυρόμενοι τὰς ἑαυτῶν τύχας. (3) Ὁ δὲ Κάμιλλος αὐτός τε πρὸς τὴν ὄψιν ἐπικλασθεὶς καὶ τοὺς Ῥωμαίους ὁρῶν ἐμφυομένων αὐτοῖς τῶν Σουτρίνων δακρύοντας καὶ δυσανασχετοῦντας ἐπὶ τοῖς γεγενημένοις, ἔγνω μὴ ποιεῖσθαι τῆς τιμωρίας ἀναβολὴν, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τὸ Σούτριον ἐκείνης τῆς ἡμέρας λογιζόμενος ἀνθρώπους εὐδαίμονα καὶ πλουσίαν πόλιν ἄρτι κατειληφότας καὶ μηδένα τῶν πολεμίων ὑπολελοιπότας ἐν αὐτῇ μηδὲ προσδεχομένους ἔξωθεν ἐκλελυμένους παντάπασι καὶ ἀφυλάκτους εὑρήσειν, ὀρθῶς λογισάμενος. (4) Οὐ γὰρ μόνον τὴν χώραν ἔλαθε διελθὼν, ἀλλὰ καὶ πρὸς ταῖς πύλαις γενόμενος καὶ τὰ τείχη καταλαβών· ἐφύλαττε γὰρ οὐδείς, ἀλλ' ἐν οἴνῳ καὶ συνουσίαις ἦσαν ἐσκεδασμένοι κατὰ τὰς οἰκίας. (5) Ἔπει δὲ ἤσθοντο τοὺς πολεμίους κρατοῦντας ἤδη, οὕτω διέκειντο μοχθηρῶς ὑπὸ πλησμονῆς καὶ μέθης, ὡς μηδὲ πρὸς φυγὴν ὁρμῆσαι πολλοὺς, ἀλλ' ἐν ταῖς οἰκίαις αἴσχιστα πάντων ὑπομένοντας ἀποθνήσκειν ἢ παραδιδόναι σφᾶς αὐτοὺς τοῖς πολεμίοις. (6) Τὴν μὲν οὖν Σουτρίνων πόλιν ἐν ἡμέρᾳ μιᾷ δὶς ἁλοῦσαν οὕτω συνέβη καὶ τοὺς ἔχοντας ἀποβαλεῖν καὶ τοὺς ἀφῃρημένους ἀπολαβεῖν διὰ Κάμιλλον.

XXXV. His actis, relicto in castris filio Lucio, qui captivos et prædam custodiret, ipse in fines hostium irrupit, Æquorumque urbe capta et Volscis in deditionem redactis, recta ad Sutrium copias rapuit eo consilio (neque enim de iis quæ ibi acta fuissent cognoverat), ut periclitantibus obsidioneque Etruscorum pressis oppidanis succurreret. (2) At Sutrini, qui urbem jam hostibus dediderant, ipsi omnibus bonis spoliati, singulis tantum cum vestimentis dimissi erant et in itinere cum conjugibus et liberis Camillo occurrerunt suamque apud eum fortunam lamentati sunt. (3) Horum miserabili adspectu Camillus ad misericordiam commotus, cum Romanos quoque Sutrinis supplicantibus lacrimas effundere et casum eorum indigne ferre videret : statuit nulla interposita mora statim calamitatem Sutrinorum ulcisci, eaque ipse die ad Sutrium accedere, cogitans fore, ut in hostes, qui urbem divitem omnibusque bonis abundantem recens cepissent, ac neque in ea quenquam hostem reliquissent, neque aliunde exspectarent adventurum, omnino dissolutos et sine omni custodia securos incideret; idque ejus consilium eventus comprobavit. (4) Non enim proficiscens modo Sutrium hostes fefellit, sed etiam ad portas pervenit murosque occupavit; nullas enim stationes habebant, sed per domos dispersi vino et conviviis indulgebant. (5) Itaque cum jam occupatam a Romanis urbem intelligerent, adeo epulis crapulaque torpebant, ut ne fugam quidem capere possent, sed turpissima morte intra domos deprehensi perirent, aut sese hostibus dederent. (6) Ita Sutrium eadem die bis captum, his, qui cepissent, ademptum et iis, qui amiserant, opera Camilli redditum est.

XXXVI. Ὁ δ' ἀπὸ τούτων θρίαμβος αὐτῷ χάριν οὐκ ἐλάττονα καὶ κόσμον ἤνεγκε τῶν πρώτων δυεῖν· καὶ γὰρ τοὺς πάνυ βασκαίνοντας τῶν πολιτῶν καὶ πάντα βουλομένους εὐτυχίᾳ τινὶ μᾶλλον ἢ δι' ἀρετὴν κατωρθῶσθαι τότ' ἠνάγκαζον αἱ πράξεις τῇ δεινότητι καὶ τῷ δραστηρίῳ τοῦ ἀνδρὸς ἀποδιδόναι τὴν δόξαν. (2) Ἦν δὲ τῶν διαμαχομένων αὐτῷ καὶ προσφθονούντων ἐπιφανέστατος Μάρκος Μάλλιος ὁ πρῶτος ὠσάμενος τοὺς Κελτοὺς ἀπὸ τῆς ἄκρας, ὅτε τῷ Καπιτωλίῳ διὰ νυκτὸς ἐπέθεντο καὶ διὰ τοῦτο Καπιτωλῖνος ἐπικληθείς. (3) Οὗτος γὰρ ἀξιῶν πρῶτος εἶναι τῶν πο-

XXXVI. Triumphus, quem de his bellis duxit, non minorem ei gratiam ac decus, quam duo priores conciliavit : nam etiam qui summa ejus viri invidia flagrabant cives, solitique erant omnes ejus victorias fortunæ magis quam virtuti adscribere, tunc rebus ipsis gestis coacti sunt gloriam hanc prudentiæ atque industriæ ejus acceptam ferre. (2) Inter eos, qui Camillo invidebant atque adversabantur, præcipuus fuit M. Manlius, cui Capitolini cognomen inditum erat, quod Gallos noctu arcem invadentes primus omnium repulisset. (3) Qui quidem cum primum in civitate locum

λιτῶν καὶ μὴ δυνάμενος τὸν Κάμιλλον ἀπὸ τοῦ βελ-
148 τίστου τρόπου τῇ δόξῃ παρελθεῖν ὑπόθεσιν τυραννίδος a
ἐποιήσατο κοινὴν καὶ συνήθη δημαγωγῶν τοὺς πολλούς,
μάλιστα δὲ τῶν ὀφειλόντων χρέα τοῖς μὲν ἀμύνων καὶ
συνδικῶν ἐπὶ τοὺς δανειστάς, τοὺς δ' ἀφαιρούμενος βίᾳ
καὶ κωλύων ἄγεσθαι πρὸς τὸν νόμον, ὥστε πολλοὺς τῶν
ἀπόρων ταχὺ περὶ αὐτὸν γενέσθαι καὶ πολὺν φόβον πα-
ρασχεῖν τοῖς βελτίστοις τῶν πολιτῶν θρασυνομένους
καὶ ταράττοντας τὴν ἀγοράν. (4) Ἐπεὶ δὲ καταστα-
θεὶς ἐπὶ ταῦτα Δικτάτωρ Κούϊντος Καπιτωλῖνος εἰς
τὴν εἱρκτὴν ἐνέβαλε τὸν Μάλλιον, ὁ δὲ δῆμος γενομέ-
νου τούτου μετέβαλε τὴν ἐσθῆτα, πρᾶγμα γινόμενον
ἐπὶ συμφοραῖς μεγάλαις καὶ δημοσίαις, δείσασα τὸν b
θόρυβον ἡ σύγκλητος ἐκέλευσεν ἀφεθῆναι τὸν Μάλλιον.
(5) Ὁ δ' οὐδὲν ἧν ἀφεθεὶς ἀμείνων, ἀλλὰ σοβαρώτερον
ἐδημαγώγει καὶ διεστασίαζε τὴν πόλιν. Αἱροῦνται
δὴ πάλιν χιλίαρχον τὸν Κάμιλλον. (6) Εἰσαγομένων
δὲ τῶν κατὰ τοῦ Μαλλίου δικῶν μεγάλα τοὺς κατηγό-
ρους ἔβλαπτεν ἡ ὄψις. Ὁ γὰρ τόπος, ἐφ' οὗ βεβηκὼς
ὁ Μάλλιος ἐνυκτομάχησε πρὸς τοὺς Κελτούς, ὑπερε-
φαίνετο τῆς ἀγορᾶς ἀπὸ τοῦ Καπιτωλίου καὶ παρεῖχεν
ὄϊκτον τοῖς ὁρῶσιν, αὐτός τε τὰς χεῖρας ὀρέγων ἐκεῖσε
καὶ δακρύων ὑπεμίμνησκε τῶν ἀγώνων, ὥστε τοὺς c
κρίνοντας ἀπορεῖν καὶ πολλάκις ἀναβάλλεσθαι τὴν
δίκην μήτ' ἀφιέναι βουλομένους ἐπὶ τεκμηρίοις φανεροῖς
τὸ ἀδίκημα μήτε χρήσασθαι τῷ νόμῳ δυναμένους ἐν
ὀφθαλμοῖς τῆς πράξεως οὔσης διὰ τὸν τόπον. (7) Ὃ
δὴ συμφρονήσας ὁ Κάμιλλος μετήγαγεν ἔξω πύλης τὸ
δικαστήριον εἰς τὸ Πετηλῖνον ἄλσος· ὅθεν οὐκ ὄντος
τοῦ Καπιτωλίου καταφανοῦς ὅ τε διώκων ἐχρήσατο τῇ
κατηγορίᾳ καὶ τοῖς κρίνουσι παρεχώρησεν ἡ μνήμη
τῶν γεγονότων ἀξίαν λαβεῖν ὀργὴν ἐπὶ τοῖς παροῦσιν
ἀδικήμασιν. (8) Ὁ μὲν οὖν Μάλλιος ἁλοὺς εἰς τὸ
Καπιτώλιον ἀπήχθη καὶ κατὰ τῆς πέτρας ὠσθεὶς τὸν
αὐτὸν τόπον ἔσχε καὶ τῶν εὐτυχεστάτων ἔργων καὶ
τῶν μεγίστων ἀτυχημάτων μνημεῖον. (9) Οἱ δὲ d
Ῥωμαῖοι τὴν οἰκίαν αὐτοῦ κατασκάψαντες ἱερὸν
ἱδρύσαντο θεᾶς, ἣν Μονήταν καλοῦσι, καὶ τὸ λοιπὸν
ἐψηφίσαντο μηδένα τῶν Πατρικίων ἐπὶ τῆς ἄκρας κα-
τοικεῖν.

XXXVII. Ὁ δὲ Κάμιλλος ἐπὶ χιλιαρχίαν ἕκτην
καλούμενος παρῃτεῖτο, γεγονὼς μὲν ἡλικίας ἤδη πρόσω
καί πού τινα καὶ φθόνον δεδιὼς καὶ νέμεσιν ἐπὶ δόξῃ
τοσαύτῃ καὶ κατορθώμασιν· ἡ δὲ φανερωτάτη τῶν αἰτιῶν
ἦν ἀῤῥωστία σώματος· ἐτύγχανε γὰρ νοσῶν περὶ τὰς
ἡμέρας ἐκείνας. (2) Οὐ μὴν παρῆκεν αὐτῷ τὴν ἀρχὴν
ὁ δῆμος, ἀλλὰ βοῶν μήτε ἱππεύοντος αὐτοῦ μήτε
ὁπλομαχοῦντος ἐν τοῖς ἀγῶσι δεῖσθαι, βουλευομένου δὲ
μόνον καὶ προστάττοντος, ἠνάγκασεν ὑποστῆναι τὴν e
στρατηγίαν καὶ μεθ' ἑνὸς τῶν συναρχόντων Λευκίου
Φουρίου τὸν στρατὸν ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους.
(3) Οὗτοι δ' ἦσαν Πραινεστῖνοι καὶ Οὐολοῦσκοι μετὰ
πολλῆς δυνάμεως τὴν συμμαχίδα τῶν Ῥωμαίων πορ-
θοῦντες. Ἐξελθὼν δὲ καὶ παραστρατοπεδεύσας τοῖς

affectaret et Camillum gloria præcedere honesta ratione
non posset, solita illa tritaque via potentiam omnem in
republica ad se unum transferre tentans, popularis esse
cœpit, maximeque debitoribus opitulari, aliorum contra
creditores suos causas defendendo, alios nexos abduci se-
cundum legem, prohibendo; quo effecit ut continuo ege-
norum magnam circa se manum haberet, qui ferociendo
et in foro turbas movendo optimatibus magnum metum
injicerent. (4) Dictator hujus rei causa dictus Quinctius
Capitolinus Manlium in carcerem conjecit: plebe autem ve-
stem mutante, id quod fieri consuevit de magna publicaque
calamitate, senatus tumultum metuens, vinculis eum libe-
rari jussit. (5) Neque is dimissus meliorem se præbuit,
sed vehementius populum suum facere urbemque seditio-
nibus agitare intendit. Rursus tribunus militum creatur
Camillus. (6) At Manlio in jus vocato, accusatoribus ejus
magno impedimento fuit conspectus Capitolii, cum de foro
is locus cerneretur, unde ille nocturno certamine Gallos
propulsaverat, ipseque reus manus eo protendens, ac cum
lacrimis memoriam suæ pugnæ renovans, commiserationem
intuentibus moveret, adeo ut judices, quid agerent, incerti,
sæpius judicium differrent, cum neque aperte convictum
criminis dimittere vellent, neque legibus uti contra reum
possent, re ab eo gesta obtutui omnium eo in loco obver-
sante. (7) Quod cum animadvertisset Camillus, judices
extra portam in lucum Petelinum conduxit, unde Capito-
lium videri non poterat: ibi et accusator reum Manlium
peregit, et memoria factorum, conspectu Capitolii adempto,
debilitata judicibus concessit, ut præsens flagitium justa
ira prosequerentur. (8) Damnatus igitur Manlius inque
Capitolium adductus, de Tarpeio saxo dejectus est: lo-
cusque unus eidem homini et eximiæ gloriæ monumentum,
et summi infortunii fuit. (9) Romani ædibus ejus solo æqua-
tis, templum in ea area Junoni Monetæ posuerunt, in po-
sterumque, ne quis patricius in arce habitaret, publico de-
creto sanxerunt.

XXXVII. Exinde Camillus tribunatum militum sextum
sibi oblatum recusavit, utpote ætate jam admodum pro-
vectus, fortasse etiam invidiam et, quæ tantam gloriam
totque prosperos successus sequitur, mutationem fortunæ
metuens: ad hæc morbo per eosdem dies afflictus, quam
excusationem evidentissimam habebat. (2) Neque vero po-
pulus magistratum ei remisit, sed clamans, neque equitem
se eum, neque pedestri acie pugnantem, sed consiliarium
modo et ducem desiderare, coegit ut imperium susciperet,
et cum uno collegarum L. Furio statim exercitum adversus
hostes duceret. (3) Ii erant Prænestini et Volsci, sociorum
populi Romani agrum magnis copiis depopulantes. Camillus
cum castra hostibus opposuisset, trahendum bellum censuit

πολεμίοις αὐτὸς μὲν ἠξίου τρίβειν τὸν πόλεμον χρόνῳ κἂν εἰ μάχης δεήσειε ῥώσας τὸ σῶμα διαγωνίσασθαι, Λευκίου δὲ τοῦ συνάρχοντος ἐπιθυμίᾳ δόξης φερομένου πρὸς τὸν κίνδυνον ἀκατασχέτως καὶ συνεξορμῶντος ἅμα ταξιάρχους καὶ λοχαγούς, φοβηθεὶς μὴ φθόνῳ δή τινι δοκῇ κατόρθωμα καὶ φιλοτιμίαν ἀφαιρεῖσθαι νέων ἀνδρῶν, συνεχώρησεν ἄκων ἐκείνῳ παρατάξαι τὴν δύναμιν, αὐτὸς δὲ διὰ τὴν ἀσθένειαν ὑπελείφθη μετ' ὀλίγων ἐν τῷ στρατοπέδῳ. (4) Τοῦ δὲ Λευκίου προπετῶς χρησαμένου τῇ μάχῃ καὶ σφαλέντος, αἰσθόμενος τὴν τροπὴν τῶν Ῥωμαίων οὐ κατέσχεν αὐτὸν, ἀλλ' ἀναθορὼν ἐκ τῆς στιβάδος ἀπήντα μετὰ τῶν ὀπαδῶν ἐπὶ τὰς πύλας τοῦ χάρακος διὰ τῶν φευγόντων ὠθούμενος εἰς τοὺς διώκοντας, ὥστε τοὺς μὲν εὐθὺς ἀναστρέφειν καὶ συνακολουθεῖν, τοὺς δὲ προσφερομένους ἔξωθεν ἵστασθαι πρὸ αὐτοῦ καὶ συνασπίζειν παρεγγυῶντας ἀλλήλοις μὴ ἀπολείπεσθαι τοῦ στρατηγοῦ. (5) Τότε μὲν οὖν οὕτως ἀπετράποντο τῆς διώξεως οἱ πολέμιοι· τῇ δ' ὑστεραίᾳ προαγαγὼν τὴν δύναμιν ὁ Κάμιλλος καὶ συνάψας μάχην αὐτούς τε νικᾷ κατὰ κράτος καὶ τὸν χάρακα λαμβάνει συνεισπεσὼν τοῖς φεύγουσι καὶ διαφθείρας τοὺς πλείστους. (6) Ἐκ δὲ τούτου πυθόμενος πόλιν Σατρίαν ὑπὸ Τυρρηνῶν ἑαλωκέναι καὶ τοὺς οἰκήτορας ἀπεσφάχθαι Ῥωμαίους ἅπαντας ὄντας, τὴν μὲν πολλὴν καὶ βρεῖαν τῆς δυνάμεως εἰς Ῥώμην ἀπέστειλεν, αὐτὸς δὲ τοὺς ἀκμάζοντας μάλιστα καὶ προθυμοτάτους ἀναλαβὼν ἐπέβαλε τοῖς τὴν πόλιν ἔχουσι Τυρρηνοῖς καὶ κρατήσας τοὺς μὲν ἐξήλασεν αὐτῶν, τοὺς δὲ ἀπέκτεινεν.

XXXVIII. Ἐπανελθὼν δὲ μετὰ πολλῶν λαφύρων εἰς Ῥώμην ἐπέδειξε φρονιμωτάτους ἁπάντων τοὺς μὴ φοβηθέντας ἀσθένειαν καὶ γῆρας ἡγεμόνος ἐμπειρίαν καὶ τόλμαν ἔχοντος, ἀλλ' ἑλομένους ἐκεῖνον ἄκοντα καὶ νοσοῦντα μᾶλλον ἢ τῶν ἐν ἡλικίᾳ τοὺς δεομένους καὶ σπουδάζοντας ἄρχειν. (2) Διὸ καὶ Τουσκλάνων ἀφεστάναι λεγομένων ἐκέλευον ἐξιέναι τὸν Κάμιλλον ἐπ' αὐτοὺς ἕνα τῶν πέντε συστρατήγων προσελόμενον. Ὁ δὲ, καίπερ ἁπάντων βουλομένων καὶ δεομένων, ἐάσας τοὺς ἄλλους, προσείλετο Λεύκιον Φούριον οὐδενὸς ἂν προσδοκήσαντος. Ἐκεῖνος γὰρ ἦν ὁ παρὰ γνώμην τοῦ Καμίλλου διαγωνίσασθαι προθυμηθεὶς ἐναγχος καὶ δυστυχήσας περὶ τὴν μάχην· ἀλλὰ βουλόμενος, ὡς ἔοικεν, ἀποκρύψαι τὴν συμφορὰν καὶ τὴν αἰσχύνην ἀπαλλάξαι τοῦ ἀνδρὸς ἀντὶ πάντων τοῦτον προῆγεν. (3) Οἱ δὲ Τουσκλάνοι τὴν ἁμαρτίαν ἐπανορθούμενοι πανούργως ἤδη βαδίζοντος ἐπ' αὐτοὺς τοῦ Καμίλλου τὸ μὲν πεδίον ἀνθρώπων ὡς ἐν εἰρήνῃ γεωργούντων καὶ νεμόντων ἐνέπλησαν, τὰς δὲ πύλας εἶχον ἀνεῳγμένας καὶ τοὺς παῖδας ἐν τοῖς διδασκαλείοις μανθάνοντας, τοῦ δὲ δήμου τὸ μὲν βάναυσον ἐπὶ τῶν ἐργαστηρίων ἑωρᾶτο περὶ τὰς τέχνας, τὸ δ' ἀστεῖον ἐπὶ τῆς ἀγορᾶς ἐν ἱματίοις· οἱ δ' ἄρχοντες περιήεσαν σπουδῇ καταλύσεις τοῖς Ῥωμαίοις ἐπαγγέλλοντες, ὡς οὐδὲν κακὸν προσδοκῶντες οὐδὲ συνειδότες. (4) Τούτων

ac se confirmato corpore, ubi tempus pugnae incidisset, adfuturum dixit. L. autem Furio gloriae cupiditate ad prælium committendum ita inflammato, ut ab ea sententia deduci nullo modo posset, eoque etiam tribunos et centuriones instigante, veritus ne juvenes invidia quadam adductus a re bene gerenda et gloria detinuisse judicaretur, invitus quidem ei, ut in aciem educeret, permisit; ipse propter valetudinem cum paucis in castris remansit. (4) Ceterum cum Lucius pugna temere commissa pulsus esset, fugam Romanorum sentiens Camillus non se continuit, quin lecto exiliens cum suis comitibus ad portas castrorum fugientibus obviam rueret ac per eos ad insequentem usque hostem prorumperet: itaque Romani partim pedem statim referentes, ducem secuti sunt, partim, qui ei adhuc occurrerunt, subsistentes ante eum, in orbem coierunt, mutuo sibi fidem dantes, non defuturos esse imperatori. (5) Ita tum hostes a persequendo desistere coacti sunt: postridie Camillus copias eduxit in aciem, et hostes prælio fudit; fugientibusque instans, eodem impetu castra cepit plurimis interfectis. (6) Secundum hoc factum allato nuncio, Satricum coloniam Romanorum ab Etruscis captam colonosque omnes occisos esse, majorem ac graviorem copiarum partem Romam misit, ipse cum iis qui et ætate et animo maxime vigebant, Etruscos urbem habentes adortus vicit et partim cecidit, partim expulit.

XXXVIII. Reversus inde Romam cum ingenti præda, ostendit eos omnium prudentissimos esse, qui imbecillitati et senectuti imperatoris peritia fortitudineque præditi non diffiderent, sed eum potius recusantem languentemque sibi præficerent, quam juvenem imperium affectantem. (2) Itaque cum de Tusculanorum defectione esset renunciatum, missus est ad eos recipiendos Camillus, uno de quinque collegis sibi allecto. Delegit autem præter omnium opinionem, reliquis, licet vellent et peterent omnes, præteritis, L. Furium, eum qui invito nuper ipso cum hostibus congressus, rem male gesserat. Videtur autem hunc ideo omnibus prætulisse, ut et eum casum occultaret et virum hunc ignominiæ eximeret. (3) Porro Tusculani callide peccatum suum correxerunt. Nam cum Camillus jam contra eos proficisceretur, et agros cultoribus et pastoribus haud aliter quam in pace repleverant, et apertis urbis portis, pueri in scholis discebant, artifices in tabernis suo quisque operi incumbebant, multitudo urbana in foro togati obambulabant, magistratus deversoria Romanis sedulo parabant, perinde ac si neque commisissent quicquam mali, neque exspectarent. (4) Camillus rebellionem quidem ab iis

δὲ πραττομένων ἀπιστεῖν μὲν οὐκ ἐπῄει τῷ Καμίλλῳ τὴν προδοσίαν, οἰκτείρας δὲ τὴν ἐπὶ τῇ προδοσίᾳ μετάνοιαν αὐτῶν ἐκέλευσε πρὸς τὴν σύγκλητον ἐλθόντας παραιτεῖσθαι τὴν ὀργήν· καὶ παραιτουμένοις συνέπραξεν αὐτὸς ἀφεθῆναί τε τὴν πόλιν αἰτίας ἁπάσης καὶ μεταλαβεῖν ἰσοπολιτείας. Αὗται μὲν οὖν ἐγένοντο τῆς ἕκτης e χιλιαρχίας ἐπιφανέσταται πράξεις.

XXXIX. Μετὰ δὲ ταῦτα Λικιννίου Στόλωνος ἐν τῇ πόλει μεγάλην στάσιν ἐγείροντος, ἣν ὁ δῆμος ἐστασίαζε πρὸς τὴν σύγκλητον βιαζόμενος δυεῖν ὑπάτων καθισταμένων τὸν ἕτερον ἐκ δημοτῶν εἶναι καὶ μὴ συναμφοτέρους Πατρικίους, δήμαρχοι μὲν ᾑρέθησαν, τὰς δ' ὑπατικὰς ἀρχαιρεσίας ἐπιτελεσθῆναι διεκώλυσαν οἱ πολλοί. (2) Καὶ τῶν πραγμάτων δι' ἀναρχίας φερομένων ἐς μείζονας ταραχὰς ἀποδείκνυται Δικτάτωρ ὁ Κάμιλλος ὑπὸ τῆς βουλῆς ἄκοντι τῷ δήμῳ τὸ τέταρτον, οὐδ' αὐτὸς ὢν πρόθυμος οὐδὲ βουλόμενος ἐναντιοῦσθαι f πρὸς ἀνθρώπους παῤῥησίαν ἔχοντας ἀπὸ πολλῶν καὶ μεγάλων ἀγώνων πρὸς αὐτόν, ὡς πλείονα μετ' αὐτῶν διαπεπραγμένος ἐν στρατηγίαις ἢ μετὰ τῶν Πατρικίων ἐν ταῖς πολιτείαις, καὶ νῦν διὰ φθόνον ἐκείνων ᾑρημένος ὑπ' αὐτῶν, ὅπως ἢ καταλύσειε τὸν δῆμον ἰσχύσας ἢ καταλυθείη μὴ κρατήσας. (3) Οὐ μὴν ἀλλὰ 150 πειρώμενος ἀμύνειν τοῖς παροῦσι τὴν ἡμέραν γνούς, ἐν ᾗ νομοθετεῖν a οἱ δήμαρχοι διενοοῦντο, προέγραψε στρατιᾶς κατάλογον καὶ μετεκάλει τὸν δῆμον ἐκ τῆς ἀγορᾶς εἰς τὸ πεδίον μεγάλας ζημίας ἀπειλῶν κατὰ τοῦ μὴ ὑπακούσαντος. (4) Τῶν δὲ δημάρχων ἐκεῖθεν αὖ πάλιν ἀντανισταμένων ταῖς ἀπειλαῖς καὶ διομνυμένων πέντε μυριάσιν ἀργυρίου ζημιώσειν, εἰ μὴ παύσοιτο τοῦ δήμου τὸν νόμον ἀφαιρούμενος καὶ τὴν ψῆφον, εἴτ' οὖν δείσας φυγὴν ἑτέραν καὶ καταδίκην, ὡς ἂν ἤδη πρεσβύτῃ καὶ κατειργασμένῳ πολλὰ μὴ πρέπουσαν, εἴτε τοῦ πλήθους τὴν βίαν ἄμαχον οὖσαν καὶ δυσνίκητον ὑπερβαλέσθαι μὴ δυνάμενος, τότε μὲν ὑπεχώρησεν οἴκαδε· ταῖς δ' ἑξῆς ἡμέραις σκηψάμενος ἀῤῥωστεῖν b ἐξωμόσατο τὴν ἀρχήν. (5) Ἡ δὲ σύγκλητος ἕτερον Δικτάτορα κατέστησε· κἀκεῖνος ἀποδείξας ἵππαρχον αὐτὸν τὸν ἡγεμόνα τῆς στάσεως Στόλωνα παρῆκεν ἐπικυρῶσαι τὸν νόμον τὸν μάλιστα λυποῦντα τοὺς Πατρικίους. Ἐκέλευσε δ' οὗτος μηδένα πλέθρων πεντακοσίων πλείονα χώραν κεκτῆσθαι. (6) Τότε μὲν οὖν λαμπρὸς ὁ Στόλων ἐγεγόνει τῇ ψήφῳ κρατήσας· ὀλίγῳ δ' ὕστερον αὐτὸς ἑάλω κεκτημένος ὅσην ἔχειν ἐκώλυεν ἑτέρους καὶ κατὰ τὸν αὑτοῦ νόμον δίκην ἔδωκεν.

XL. Ὑπολειπομένης δὲ τῆς περὶ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν φιλονεικίας, ὃ δὴ χαλεπώτατον τῆς στάσεως c ἦν καὶ πρῶτον ἦρξε καὶ πλεῖστα πράγματα τῇ βουλῇ παρέσχε διαφερομένῃ πρὸς τὸν δῆμον, ἀγγελίαι προσέπεσον σαφεῖς, Κελτοὺς αὖθις ἀπὸ τῆς Ἀδριατικῆς ἄραντας θαλάσσης μυριάσι πολλαῖς ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. (2) Ἅμα δὲ τῷ λόγῳ καὶ τὰ ἔργα τοῦ πολέμου παρῆν πορθουμένης τῆς χώρας καὶ τῶν ἀν-

factam nihilominus credebat, pœnitentiam tamen eorum miseratus, jussit ut Romam irent ac senatus iram deprecarentur: ipseque pro eis deprecator ibi factus, impetravit ut non modo delicti gratia ipsis fieret, sed et civitas daretur. Hæc sunt sexto tribunatu militum ejus præclarissima facta.

XXXIX. Postea cum Licinius Stolo in urbe magnam seditionem concitasset, qua plebs contra Patres insurgens contendebat, ut duo consules crearentur, quorum alter ex plebe esset, non uterque patricius, creatis tribunis plebis, comitia consularia ne fierent, multitudo impediit. (2) Quare cum non constitutis magistratibus, majores impenderent turbæ, Camillus quartum dictator a senatu dictus est, invita plebe. Et ipse quoque haud libenter accepit eum magistratum, quod nollet contentionem suscipere contra homines quos tam multis atque arduis in bellis libertatem quandam resistendi parasse intelligebat: plura enim ipse eorum opera militiæ, quam patriciorum domi effecerat, a quibus tunc invidiose dictatorem se dictum sentiebat, ut aut populi potentiam infringeret, aut, si non obtinuisset, ipse opprimeretur. (3) Veruntamen conatus præsentibus malis mederi, cognito die, quo legem perferre suam tribuni plebis in animo habebant, delectum militum eo die præscripsit, vocavitque populum a foro in Campum, magnam mulctam minatus iis, qui non obtemperassent. (4) Reluctantibus tribunis plebis et contra juramento addito minitantibus ei mulctam se quingentûm millium æris irrogaturós, nisi cessaret populum a suffragiis ferendis prohibere: sive aliam damnationem et exilium metuens, turpe sibi post tot præclara facinora exactaque ætate futurum, sive plebis vim insuperabilem pertinaciamque invictam cernens, tunc quidem domum abiit, ac posterioribus diebus morbi specie usus, magistratu se abdicavit. (5) Senatus alium dictatorem dixit, isque magistro equitum dicto ipso hujus seditionis auctore Licinio Stolone, passus est legem maxime patriciis molestam perferri, qua statuebatur, ne quis amplius quingentis jugeribus agri possideret. (6) Atque is quidem Licinius cum sibi magnum nomen ea lege perlata paravisset, paulo post ipse deprehensus tantum agri possidere, quanto aliis interdixisset, sua ipsius lege damnatus pœnas dedit.

XL. Restabat adhuc contentio de comitiis consularibus, quod erat caput totius seditionis, ac maximam senatui molestiam afferebat, cum certis indiciis renunciatum est, Gallos iterum ab Adriatico mari cum multis hominum millibus adversus Romam proficisci. (2) Eum nuncium statim belli effectus comitabatur, vastato agro hominibus,

θρώπων, ὅσοις μὴ ῥᾴδιον ἦν εἰς τὴν Ῥώμην καταφυγεῖν, ἀνὰ τὰ ὄρη σκεδαννυμένων. Οὗτος ὁ φόβος κατέπαυσε τὴν στάσιν καὶ συνελθόντες εἰς ταὐτὸ τοῖς πολλοῖς οἱ κράτιστοι καὶ τῇ βουλῇ τὸ δημοτικὸν εἵλοντο πάντες ἐκ μιᾶς γνώμης Δικτάτορα τὸ πέμπτον τὸν Κάμιλλον. (3) Ὃ δ' ἦν μὲν σφόδρα γέρων καὶ μικρὸν d ἀπέλειπεν ὀγδοήκοντα ἔτη γεγονέναι· συνορῶν δὲ τὴν ἀνάγκην καὶ τὸν κίνδυνον οὔτε ὑποτίμησιν εἰπών, ὡς πρότερον, οὔτε προφάσει χρησάμενος, ἀλλ' αὐτόθεν ὑποστὰς τὴν στρατηγίαν κατέλεγε τοὺς μαχησομένους. (4) Εἰδὼς δὲ τῆς τῶν βαρβάρων ἀλκῆς τὴν βιαιοτάτην ἐν ταῖς μαχαίραις οὖσαν, ἃς βαρβαρικῶς καὶ σὺν οὐδεμιᾷ τέχνῃ καταφέροντες ὤμους μάλιστα καὶ κεφαλὰς διέκοπτον, ἐχαλκεύσατο μὲν κράνη τοῖς πλείστοις ὁλοσίδηρα καὶ λεῖα ταῖς περιφερείαις, ὡς ἀπολισθαίνειν ἢ κατάγνυσθαι τὰς μαχαίρας· τοῖς δὲ θυρεοῖς κύκλῳ e περιήρμοσε λεπίδα χαλκῆν, τοῦ ξύλου καθ' αὑτὸ τὰς πληγὰς μὴ στέγοντος· αὐτοὺς δὲ τοὺς στρατιώτας ἐδίδαξε τοῖς ὑσσοῖς μακροῖς διὰ χειρὸς χρῆσθαι καὶ τοῖς ξίφεσι τῶν πολεμίων ὑποβάλλοντας ἐκδέχεσθαι τὰς καταφοράς.

XLI. Ἐπεὶ δὲ πλησίον ἦσαν οἱ Κελτοὶ περὶ τὸν Ἀνίωνα ποταμὸν στρατόπεδον βαρὺ καὶ μεστὸν ἀφθόνου λείας ἔχοντες, ἐξαγαγὼν τὴν δύναμιν ἵδρυσε κατὰ νάπης μαλακῆς καὶ συγκλίσεις πολλὰς ἐχούσης· ὥστε τὸ μὲν πλεῖστον ἀποκρύπτεσθαι, τὸ δ' ὁρώμενον δοκεῖν ὑπὸ δέους εἰς χωρία προσάντη κατειλεῖσθαι. (2) Ταύτην δὲ τὴν δόξαν αὐτῶν ὁ Κάμιλλος αὔξειν βουλόμενος οὐ προσῆμυνε τῶν ὑπὸ πόδας πορθουμένων, ἀλλὰ τὸν χάρακα φραξάμενος ἠρέμει μέχρις οὗ τοὺς f μὲν ἐν προνομαῖς ἐσκεδασμένους κατεῖδε, τοὺς δ' ἐν τῷ στρατοπέδῳ πᾶσαν ὥραν ἐμπιπλαμένους ἀφειδῶς καὶ μεθύοντας. (3) Τότε δὲ νυκτὸς ἔτι τοὺς ψιλοὺς προεκπέμψας ἐμποδὼν εἶναι τοῖς βαρβάροις εἰς τάξιν καθισταμένοις καὶ διαταράττειν εὐθὺς ἐπεξιόντας, κατεβίβαζεν ὄρθρου τοὺς ὁπλίτας καὶ παρέταττεν ἐν τοῖς 151ἐπιπέδοις πολλοὺς καὶ προθύμους, οὐχ ὥσπερ οἱ βάρ- a βαροι προσεδόκων, ὀλίγους καὶ ἀτόλμους φανέντας. (4) Πρῶτον μὲν οὖν τοῦτο τῶν Κελτῶν ἀνέτρεψε τὰ φρονήματα παρ' ἀξίαν ἐπιχειρεῖσθαι δοκούντων. Ἔπειτα προσπίπτοντες οἱ ψιλοὶ καὶ πρὶν ἢ τὸν συνήθη λαβεῖν κόσμον καὶ διακριθῆναι κατὰ λόχους κινοῦντες αὐτοὺς καὶ βιαζόμενοι πρὸς τὸ συντυχὸν ἀτάκτους ἠνάγκασαν μάχεσθαι. (5) Τέλος δὲ τοῦ Καμίλλου τοὺς ὁπλίτας ἐπάγοντος, οἱ μὲν ἀνατεινάμενοι τὰς μαχαίρας συνδραμεῖν ἔσπευδον, οἱ δὲ τοῖς ὑσσοῖς ἀπαντῶντες καὶ σεσιδηρωμένα μέρη ταῖς πληγαῖς ὑποφέροντες ἀνέστρεφον τὸν ἐκείνων σίδηρον μαλακὸν ὄντα καὶ λεπτῶς ἐληλαμένον, ὥστε κάμπτεσθαι ταχὺ b καὶ διπλοῦσθαι τὰς μαχαίρας, τοὺς δὲ θυρεοὺς συμπεπάρθαι καὶ βαρύνεσθαι τῶν ὑσσῶν ἐφελκομένων. (6) Διὸ καὶ μεθιστάμενοι τῶν ἰδίων ὅπλων ἐπειρῶντο τοῖς ἐκείνων συστρέφεσθαι καὶ τοὺς ὑσσοὺς παραφέρειν ἐπιλαμβανόμενοι ταῖς χερσίν. Οἱ δὲ Ῥωμαῖοι γυμνοὺς

qui Romam perfugere non potuissent, in montes fuga dilapsis. Is terror seditionem composuit collectique in unum optimates cum plebe, et plebeii cum senatu communi sententia Camillum dictatorem quintum dixerunt. (3) Qui etsi parum aberat ab octogesimo ætatis anno, tamen periculum et incumbentem patriæ necessitatem reputans, nulla adducta excusatione, ut paulo ante, nullo prætextu usus, statim imperio accepto delectum militum habuit. (4) Cum autem perspexisset barbarorum vim maximam in usu gladiorum esse, quibus ictum desuper barbaro more et nulla arte inferentes, per capita præsertim et humeros hostium exigebant, plerisque suorum militum ferreas galeas easque læves cudendas curavit, ut iis illisi gladii aut delaberentur, aut frangerentur : scutorum vero orbes laminis æreis inclusit, cum alioquin lignum ictibus cederet : docuitque ipsos milites, ut pila oblonga manu porrecta gladiis hostium subjicerent, ictusque ita exciperent.

XLI. Barbaris jam prope urbem ad fluvium Anienem castra metatis, ingenti præda referta, copias suas eduxit, ac in saltu herbido multisque convallibus intercepto eos collocavit : quo factum est ut plerique ab hoste videri non possent, qui vero viderentur, præ timore crederentur se in loca acclivia subduxisse. (2) Augendæque hujus opinionis gratia, ante oculos suos vastari agros passus est, sed castris munitis conquievit : donec alios hostium prædatum sparsim ivisse vidit, alios gulæ ac crapulæ indulgere. (3) Tum noctu levis armaturæ militibus præmissis, qui barbaros instruere ordines non sinerent, egressosque in aciem statim conturbarent : ipse orta luce suos in planitiem deduxit, instruxitque, non quod Galli putarent, paucos et timidos, sed multos atque alacres. (4) Id primum animos Gallorum consternavit, invadi se ab hoste indignum putantium. Deinde expediti milites irruentes, eos, antequam consuetos ordines instruerent et se in manipulos dividerent, turbantes coegerunt promiscue adversus oblatos pugnare. (5) Postremo Camillus gravis armaturæ militibus eos aggressus est. Hic cum Galli strictis et alte sublatis gladiis accurrerent, Romani pilis occursantes et ferro tectas partes ictibus objicientes gladios eorum hebetaverunt, factos nimirum e ferro molli et ad tenuitatem perducto, ita ut facile flecterentur atque retunderentur; scuta quoque barbarorum pilis confixa, gravabantur. (6) Itaque abjectis suis, Romanorum pila manibus avertere conati sunt : quos ubi Romani nudatos

ὁρῶντες ἤδη τοῖς ξίφεσιν ἐχρῶντο, καὶ φόνος μὲν ἦν πολὺς τῶν προτάκτων, φυγὴ δὲ τῶν ἄλλων ἀπανταχόσε τοῦ πεδίου. Τοὺς γὰρ λόφους καὶ τὰ ὑψηλὰ προκατειλήφει Κάμιλλος, τὸ δὲ στρατόπεδον διὰ τὸ θαρσεῖν ἄφρακτον ἔχοντες ἥδεσαν οὐ χαλεπῶς ἁλωσόμενον. (7) Ταύτην τὴν μάχην ἔτεσιν ὕστερον τρισκαίδεκα γενέσθαι λέγουσι τῆς Ῥώμης ἁλώσεως καὶ βέβαιον ἐξ αὐτῆς φρόνημα κατὰ τῶν Κελτῶν ἐγγενέσθαι Ῥωμαίοις σφόδρα δεδοικόσι τοὺς βαρβάρους, ὡς τὸ πρῶτον διὰ νόσους καὶ τύχας παραλόγους, οὐ κατὰ κράτος, ὑπ' αὐτῶν νενικημένους. (8) Οὕτω δ' οὖν ὁ φόβος ἦν ἰσχυρὸς, ὥστε θέσθαι νόμον ἀφεῖσθαι τοὺς ἱερεῖς στρατείας χωρὶς ἂν μὴ Γαλατικὸς ᾖ πόλεμος.

XLII. Τῶν μὲν οὖν στρατιωτικῶν ἀγώνων οὗτος ἠγωνίσθη τῷ Καμίλλῳ τελευταῖος. Τὴν γὰρ Οὐελιτράνων πόλιν εἷλεν ἐν τῷ παρέργῳ ταύτης τῆς στρατείας ἁμαχεὶ προσχωρήσασαν αὐτῷ. (2) Τῶν δὲ πολιτικῶν ὁ μέγιστος ὑπελείπετο καὶ χαλεπώτερος πρὸς τὸν δῆμον ἰσχυρὸν ἐπανήκοντα τῇ νίκῃ καὶ βιαζόμενον ἐκ δημοτῶν ὑπάτων ἀποδεῖξαι παρὰ τὸν καθεστῶτα νόμον, ἀντιπραττομένης τῆς βουλῆς καὶ τὸν Κάμιλλον οὐκ ἐώσης ἀποθέσθαι τὴν ἀρχὴν, ὡς μετ' ἰσχυρᾶς καὶ μεγάλης ἐξουσίας τῆς ἐκείνου μαχησομένων ἂν βέλτιον ὑπὲρ τῆς ἀριστοκρατίας. (3) Ἐπεὶ δὲ προκαθημένου τοῦ Καμίλλου καὶ χρηματίζοντος ἐπὶ τῆς ἀγορᾶς ὑπηρέτης πεμφθεὶς παρὰ τῶν δημάρχων ἐκέλευσεν ἀκολουθεῖν καὶ τὴν χεῖρα τῷ σώματι προσῆγεν ὡς ἀπάξων, κραυγὴ δὲ καὶ θόρυβος, οἷος οὔπω, κατέσχε τὴν ἀγοράν, τῶν μὲν περὶ τὸν Κάμιλλον ὠθούντων ἀπὸ τοῦ βήματος τὸν δήμιον, τῶν δὲ πολλῶν κάτωθεν ἕλκειν ἐπικελευομένων, ἀπορούμενος τοῖς παροῦσι τὴν μὲν ἀρχὴν οὐ προήκατο, τοὺς δὲ βουλευτὰς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν σύγκλητον. (4) Καὶ πρὶν εἰσελθεῖν μεταστραφεὶς εἰς τὸ Καπιτώλιον ηὔξατο τοῖς θεοῖς καταυθῦναι τὰ παρόντα πρὸς τὸ κάλλιστον τέλος ὑποσχόμενος ναὸν Ὁμονοίας καταστήσειν τῆς ταραχῆς καταστάσης. (5) Μεγάλου δ' ἀγῶνος ἐν τῇ συγκλήτῳ γενομένου πρὸς τὰς ἐναντίας γνώμας, ὅμως ἐνίκησεν ἡ μαλακωτέρα καὶ ὑπείκουσα τῷ δήμῳ καὶ διδοῦσα τῶν ὑπάτων τὸν ἕτερον ἀπὸ τοῦ πλήθους ἀρχαιρεσιάσαι. (6) Ταῦτα δ' ὡς τῇ βουλῇ δοκοῦντα τοῦ Δικτάτορος ἀνειπόντος τῷ δήμῳ παραχρῆμα μὲν, οἷον εἰκὸς, ἡδόμενοι τῇ βουλῇ διηλλάττοντο καὶ τὸν Κάμιλλον οἴκαδε κρότῳ καὶ βοῇ παρέπεμπον. (7) Τῇ δ' ὑστεραίᾳ συνελθόντες ἐψηφίσαντο τῆς μὲν Ὁμονοίας ἱερὸν, ὥσπερ ηὔξατο ὁ Κάμιλλος, εἰς τὴν ἀγορὰν καὶ εἰς τὴν ἐκκλησίαν ἀποπτον ἐπὶ τοῖς γεγενημένοις ἱδρύσασθαι· ταῖς δὲ καλουμέναις Λατίναις μίαν ἡμέραν προσθέντας ἑορτάζειν τέτταρας, παραυτίκα δὲ θύειν καὶ στεφανηφορεῖν Ῥωμαίους ἅπαντας. (8) Τῶν δ' ἀρχαιρεσίων βραβευθέντων ὑπὸ Καμίλλου κατεστάθησαν ὕπατοι Μάρκος μὲν Αἰμίλιος ἐκ Πατρικίων, Λεύκιος δὲ Σέξτιος ἐκ δημοτῶν πρῶτος. Καὶ τοῦτο πέρας αἱ Καμίλλου πράξεις ἔσχον.

XLIII. Ἐν δὲ τῷ κατόπιν ἐνιαυτῷ λοιμώδης νόσος

viderunt, gladiis adorti, magnam eorum, qui primo loco in acie stetissent, stragem ediderunt; reliqui per planitiem diffugerunt, cum et Camillus tumulos locaque edita occupasset, et ipsi satis scirent, castra sua, quæ audacia sua freti non muniverant, facile captum iri. (7) Pugnatum esse traditur anno post captam Romam tredecimo: atque ex hac pugna demum Romanos fiduciam stabilem contra Gallos cepisse, quos ante vehementer metuerant, et quo minus ante occidione deleti essent, morborum vi et insperata fortuna, non virtute ab se effectum crediderant. (8) Tantus autem is metus fuerat, ut lege quoque sacerdotibus militiæ immunitas, præterquam si Gallicum bellum incidisset, data fuerit.

XLII. Hoc ultimum facinus militare Camilli est: nam Velitras citra pugnam se dedentes obiter hoc in bello cepit. (2) Ceterum supererat certamen domi, prioribus longe majus atque difficilius, contra populum, qui victoria confidentior reversus legem illam, quæ alterum consulum plebeium creari vetaret, vehementer impugnabat; refragatus est senatus, qui noluit Camillum dictatura abire, ut si hunc cum summa et valida potentia auxilio haberet, eo melius propugnare pro optimatum in republica imperio posset. (3) Cum Camillus in foro sederet ac responsa daret, missus est viator ad eum a tribunis plebis, sequi se jubens, injiciensque manum tanquam vi tracturus. Clamore autem ingenti tumultuque, quantus nunquam ante alius fuerat, exorto in foro, Camilli comitibus lictorem de tribunali proturbantibus, plebe detrahi eum debere inferius vociferante: Camillus, incertus quid ageret, magistratu quidem se non abdicavit, sed iis, qui consilio aderant, secum acceptis ad senatum perrexit. (4) Ac priusquam in curiam intraret, obversus ad Capitolium, deos precatus est, ut quam optimum finem huic rei imponerent, vovitque sedata seditione templum se Concordiæ dedicaturum. (5) In senatu cum res magna sententiarum diversitate gravique certamine ageretur, vicit tandem mollior, quæ plebi concessit, ut comitiis consularibus alter consulum ex plebe crearetur. (6) Hanc senatus sententiam Camillus populo annunciavit: tum confestim, ut apparet, plebs delectata, quod rem tenuisset, cum Patribus in gratiam rediit, dictatoremque cum applausu et lætis acclamationibus domum deduxit. (7) Postridie concione habita scitum est, ut templum Concordiæ, quod voverat Camillus, ad forum et comitium spectans ædificaretur in rei memoriam, et ad Latinarum feriarum triduum eodem edicto quartus adjectus dies; statimque diis omnes Romani coronati sacram rem facerent. (8) Comitiis præfuit Camillus, factique consules Marcus Æmilius de patriciis, L. Sextius omnium ex plebeiis primus. Hic fuit actionum Camilli finis.

XLIII. Nam anno insequenti gravis pestilentia Romam

ἐμπεσοῦσα τῇ Ῥώμῃ τὸν μὲν ἄλλον ὄχλον οὐ περιληπτὸν ἀριθμῷ διέφθειρε, τῶν δ' ἀρχόντων τοὺς πλείστους. (2) Ἐτελεύτησε δὲ καὶ Κάμιλλος, ἡλικίας μὲν οὔνεκα καὶ βίου τελειότητος, ὡς εἴ τις ἄλλος ἀνθρώπων, ὡραῖος, ἀνιάσας δὲ Ῥωμαίους, ὡς οὐδὲ σύμπαντες οἱ τῇ νόσῳ κατ' ἐκεῖνον τὸν χρόνον ἀποθανόντες.

invasit, quæ cum innumerabilem hominum multitudinem, tum eorum, qui magistratus gerebant, plerosque absumpsit. (2) Camillus quoque tum vitæ finem fecit, ætatis ratione sane, ut quisquam potuit homo, morti maturus, sed cujus mors majorem Romanis, quam reliquorum qui tum perierunt omnium, dolorem attulerit.

ΠΕΡΙΚΛΗΣ.

Ξένους τινὰς ἐν Ῥώμῃ πλουσίους κυνῶν τέκνα καὶ πιθήκων ἐν τοῖς κόλποις περιφέροντας καὶ ἀγαπῶντας ἰδὼν ὁ Καῖσαρ, ὡς ἔοικεν, ἠρώτησεν, εἰ παιδία παρ' αὐτοῖς οὐ τίκτουσιν αἱ γυναῖκες, ἡγεμονικῶς σφόδρα νουθετήσας τοὺς τὸ φύσει φιλητικὸν ἐν ἡμῖν καὶ φιλόστοργον εἰς θηρία καταναλίσκοντας ἀνθρώποις ὀφειλόμενον. (2) Ἆρ' οὖν, ἐπεὶ φιλομαθές τι κέκτηται καὶ φιλοθέαμον ἡμῶν ἡ ψυχὴ φύσει, λόγον ἔχει φέγειν τοὺς καταχρωμένους τούτῳ πρὸς τὰ μηδεμιᾶς ἄξια σπουδῆς ἀκούσματα καὶ θεάματα, τῶν δὲ καλῶν καὶ ὠφελίμων παραμελοῦντας; (3) Τῇ μὲν γὰρ αἰσθήσει κατὰ πάθος τῆς πληγῆς ἀντιλαμβανομένῃ τῶν προστυγχανόντων ἴσως ἀνάγκη πᾶν τὸ φαινόμενον, ἄν τε χρήσιμον ἄν τ' ἄχρηστον ᾖ, θεωρεῖν, τῷ νῷ δ' ἕκαστος εἰ βούλοιτο χρῆσθαι, καὶ τρέπειν ἑαυτὸν ἀεὶ καὶ μεταβάλλειν ῥᾷστα πρὸς τὸ δοκοῦν πέφυκεν, ὥστε χρὴ διώκειν τὸ βέλτιστον, ἵνα μὴ θεωρῇ μόνον, ἀλλὰ καὶ τρέφηται τῷ θεωρεῖν. (4) Ὡς γὰρ ὀφθαλμῷ χρόα πρόσφορος, ἧς τὸ ἀνθηρὸν ἅμα καὶ τερπνὸν ἀναζωπυρεῖ καὶ τρέφει τὴν ὄψιν, οὕτω τὴν διάνοιαν ἐπάγειν δεῖ θεάμασιν ἃ τῷ χαίρειν πρὸς τὸ οἰκεῖον αὐτὴν ἀγαθὸν ἐκκαλεῖ. Ταῦτα δὲ ἐστὶν ἐν τοῖς ἀπ' ἀρετῆς ἔργοις, ἃ καὶ ζῆλόν τινα καὶ προθυμίαν ἀγωγὸν εἰς μίμησιν ἐμποιεῖ τοῖς ἱστορήσασιν. (5) Ἐπεὶ τῶν γ' ἄλλων οὐκ εὐθὺς ἀκολουθεῖ τῷ θαυμάσαι τὸ πραχθὲν ὁρμὴ πρὸς τὸ πρᾶξαι· πολλάκις δὲ καὶ τοὐναντίον χαίροντες τῷ ἔργῳ τοῦ δημιουργοῦ καταφρονοῦμεν, ὡς ἐπὶ τῶν μύρων καὶ τῶν ἁλουργῶν, τούτοις μὲν ἡδόμεθα, τοὺς δὲ βαφεῖς καὶ μυρεψοὺς ἀνελευθέρους ἡγούμεθα καὶ βαναύσους. (6) Διὸ καλῶς μὲν Ἀντισθένης ἀκούσας ὅτι σπουδαῖός ἐστιν αὐλητὴς Ἰσμηνίας, « Ἀλλ' ἄνθρωπος, ἔφη, μοχθηρός· οὐ γὰρ ἂν οὕτω σπουδαῖος ἦν αὐλητής· » ὁ δὲ Φίλιππος πρὸς τὸν υἱὸν ἐπιτερπῶς ἔν τινι πότῳ ψήλαντα καὶ τεχνικῶς εἶπεν, « Οὐκ αἰσχύνῃ καλῶς οὕτω ψάλλων; » Ἀρκεῖ γὰρ, ἂν βασιλεὺς ἀκροᾶσθαι ψαλλόντων σχολάζῃ, καὶ πολὺ νέμει ταῖς Μούσαις ἑτέρων ἀγωνιζομένων τὰ τοιαῦτα θεατὴς γιγνόμενος.

153 II. Ἡ δ' αὐτουργία τῶν ταπεινῶν τῆς εἰς τὰ καλὰ ῥαθυμίας μάρτυρα τὸν ἐν τοῖς ἀχρήστοις πόνον παρέχεται καθ' αὑτῆς· καὶ οὐδεὶς εὐφυὴς νέος ἢ τὸν ἐν Πίσῃ θεασάμενος Δία γενέσθαι Φειδίας ἐπεθύμησεν ἢ τὴν Ἥραν τὴν ἐν Ἄργει Πολύκλειτος, οὐδ' Ἀνακρέων ἢ Φιλητᾶς ἢ Ἀρχίλοχος ἡσθεὶς αὐτῶν τοῖς ποιήμασιν.

Cum peregrinos quosdam divites Romæ forte vidisset Cæsar canum et simiarum catulos in gremiis circumferre iisque sese oblectare, percontatus est, ut fertur, ecquid apud ipsos mulieres liberos non parerent; digna mehercule principe vox, qua erroris admonuit eos, qui a natura inditos nobis affectus, quibus ad amorem hominum incitamur, in bestias absumerent. (2) Nonne igitur, cum animo nostro discendi spectandique aliquid innata sit quædam cupiditas, rationi consentaneum est, eos reprehendere, qui ista cupiditate ad audiendas spectandasque res nullius pretii abutantur, iis neglectis quæ pulchræ sunt et conducibiles? (3) Sensui quidem, cum ab objecto quocunque afficiatur atque moveatur, forsitan necesse sit, omne id quod oculis offertur, sive inutile id sit sive utile, apprehendere: intellectus autem ea est natura, ut quæ velit, possit contemplari, et ab iis, quæ non probat, sese nullo negotio avertere. Ergo ad contemplandum ea sunt deligenda, quorum consideratione mens ipsa quoque alatur: (4) ut enim oculis commodus est color floridus et elegans, qui dum videtur, simul ipsum etiam visum exsuscitat atque alit, ita intelligentia iis rebus considerandis adhibenda est, quæ cum delectatione simul ipsam etiam ad suum bonum appetendum provocent. Hoc inest virtutis actionibus, quæ æmulationem quandam ac studium imitandi excitant in animis spectantium. (5) In ceteris sane rebus non semper admirationem ejus, quod factum est, cupiditas idem efficiendi comitatur, et quidem plerumque contra fit, ut, cum opus laudemus, opificem contemnamus, verbi gratia, unguentis et purpura, delectamur iis quidem, at unguentarios et tinctores pro illiberalibus ac sordidis hominibus ducimus. (6) Quapropter recte Antisthenes, cum Ismeniam egregium tibicinem audiret prædicari, « Atqui homo, inquit, est pravus: alioquin enim tantum in hac arte non præstaret. » Philippus filio suo, quod suaviter et artificiose quodam in loco cecinisset fidibus, « Non te, inquit, pudet tam belle citharam pulsare? « Regi enim satis est tantum otii sibi sumere, ut alios canentes audiat, multumque tribuit Musis, si spectatorem aliis se horum certaminum præbeat.

II Qui vero ipsi in rebus vilibus elaborant, eo ipso testatum faciunt, se non magnam præclararum rerum curam gerere. Neque vero quisquam bonæ indolis adolescens, viso Pisæ Jove, Phidias fieri cupiit, neque visa ea, quæ est Argis, Junone, Polycletus, neque Anacreon aut Philetas aut Archilochus esse optavit, delectatus eorum carmi-

Οὐ γὰρ ἀναγκαῖον, εἰ τέρπει τὸ ἔργον ὡς χάριεν, ἄξιον σπουδῆς εἶναι τὸν εἰργασμένον. (2) Ὅθεν οὐδ' ὠφελεῖ τὰ τοιαῦτα τοὺς θεωμένους, πρὸς ἃ μιμητικὸς οὐ γίνεται ζῆλος οὐδὲ ἀνάδοσις κινοῦσα προθυμίαν καὶ ἀφορμὴν ἐπὶ τὴν ἐξομοίωσιν. (3) Ἀλλ' ἥ γε ἀρετὴ ταῖς πράξεσιν εὐθὺς οὕτω διατίθησιν, ὥστε ἅμα θαυμάζεσθαι τὰ ἔργα καὶ ζηλοῦσθαι τοὺς εἰργασμένους. Τῶν μὲν γὰρ ἐκ τῆς τύχης ἀγαθῶν τὰς κτήσεις καὶ ἀπολαύσεις, τῶν δ' ἀπ' ἀρετῆς τὰς πράξεις ἀγαπῶμεν, καὶ τὰ μὲν ἡμῖν παρ' ἑτέρων, τὰ δὲ μᾶλλον ἑτέροις παρ' ἡμῶν ὑπάρχειν βουλόμεθα. (4) Τὸ γὰρ καλὸν ἐφ' αὑτὸ πρακτικῶς κινεῖ καὶ πρακτικὴν εὐθὺς ὁρμὴν ἐντίθησιν ἠθοποιοῦν οὐ τῇ μιμήσει τὸν θεατήν, ἀλλὰ τῇ ἱστορίᾳ τοῦ ἔργου τὴν προαίρεσιν παρεχόμενον. (5) Ἔδοξεν οὖν καὶ ἡμῖν ἐνδιατρῖψαι τῇ περὶ τοὺς βίους ἀναγραφῇ· καὶ τοῦτο τὸ βιβλίον δέκατον συντετάχαμεν τὸν Περικλέους βίον καὶ τὸν Φαβίου Μαξίμου τοῦ διαπολεμήσαντος πρὸς Ἀννίβαν περιέχον, ἀνδρῶν κατά τε τὰς ἄλλας ἀρετὰς ὁμοίων, μάλιστα δὲ πραότητα καὶ δικαιοσύνην καὶ τῷ δύνασθαι φέρειν δήμων καὶ συναρχόντων ἀγνωμοσύνας ὠφελιμωτάτων ταῖς πατρίσι γενομένων. Εἰ δ' ὀρθῶς στοχαζόμεθα τοῦ δέοντος ἔξεστι κρίνειν ἐκ τῶν γραφομένων.

III. Περικλῆς γὰρ ἦν τῶν μὲν φυλῶν Ἀκαμαντίδης, τῶν δὲ δήμων Χολαργεύς, οἴκου δὲ καὶ γένους τοῦ πρώτου κατ' ἀμφοτέρους. Ξάνθιππος γὰρ ὁ νικήσας ἐν Μυκάλῃ τοὺς βασιλέως στρατηγοὺς ἔγημεν Ἀγαρίστην Κλεισθένους ἔγγονον, ὃς ἐξήλασε Πεισιστρατίδας καὶ κατέλυσε τὴν τυραννίδα γενναίως καὶ νόμους ἔθετο καὶ πολιτείαν ἄριστα κεκραμένην πρὸς ὁμόνοιαν καὶ σωτηρίαν κατέστησεν. (2) Αὕτη κατὰ τοὺς ὕπνους ἔδοξε τεκεῖν λέοντα καὶ μεθ' ἡμέρας ὀλίγας ἔτεκε Περικλέα, τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρον. Ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται, μὴ βουλομένων, ὡς ἔοικε, τῶν τεχνιτῶν ἐξονειδίζειν. (3) Οἱ δ' Ἀττικοὶ ποιηταὶ σχινοκέφαλον αὐτὸν ἐκάλουν· τὴν γὰρ σκίλλαν ἔστιν ὅτε καὶ σχῖνον ὀνομάζουσι. Τῶν δὲ κωμικῶν ὁ μὲν Κρατῖνος ἐν Χείρωσι·

Στάσις δὲ (φησὶ) καὶ πρεσβυγενὴς Κρόνος ἀλλήλοισι μιγέντε τίκτετον τύραννον, [μέγιστον
ὃν δὴ κεφαληγερέταν θεοὶ καλέουσι·

καὶ πάλιν ἐν Νεμέσει·

Μόλ', ὦ Ζεῦ ξένιε καὶ καραιέ·

(4) Τηλεκλείδης δὲ ποτὲ μὲν ὑπὸ τῶν πραγμάτων ἠπορημένων καθῆσθαί φησιν αὐτὸν ἐν τῇ πόλει καρηβαροῦντα, ποτὲ δὲ μόνον ἐκ κεφαλῆς ἑνδεκακλίνου θόρυβον πολὺν ἐξανατέλλειν· ὁ δ' Εὔπολις ἐν τοῖς Δήμοις πυνθανόμενος περὶ ἑκάστου τῶν ἀναβεβηκότων ἐξ ᾅδου δημαγωγῶν, ὡς ὁ Περικλῆς ὠνομάσθη τελευταῖος·

Ὅ τι περ κεφάλαιον τῶν κάτωθεν ἡγαγες;

IV. Διδάσκαλον δ' αὐτοῦ τῶν μουσικῶν οἱ πλεῖστοι

nibus. Non enim necesse est, cum opus ut venustum voluptatem afferat, ideo artificem quoque magni pretii esse hominem. (2) Quare hæc spectatori nihil prosunt, quæ non ardorem quendam imitandi studiumque atque impetum idem efficiendi ingenerant. (3) Verum virtutis actiones eo modo afficiunt contemplantem, ut confestim et miretur eas et auctorem imitari cupiat. (4) Quippe bonorum, quæ fortuna nobis tribuit, possessionem ac perceptionem fructuum, virtutis vero actiones diligimus: et ut illa nobis ab aliis præberi, ita his alios impertire volumus. Ipsa enim honestas ad se allicit, cupiditatemque agendi continuo injicit, spectatorisque animum non imitationi, sed cognitioni ipsius facti intentum, virtutis studio informat. (5) Hæc nobis causa fuit ut in eo opere, quo vitas illustrium virorum describimus, perseverandum duceremus. Hoc igitur decimo libro Periclis vitam et Fabii Maximi, ejus, qui contra Hannibalem bellum gessit, complexi sumus: virorum cum reliquarum virtutum respectu similium, tum mansuetudine in primis ac justitia et eo, quod ferendis populi collegarumque injuriis, patriæ plurimum utilitatis attulerunt. Quod an recte ita putaverimus, ex historiis, quas modo perscribemus, judicare lector poterit.

III. Pericles e tribu Acamantide, curia Cholargensi fuit, familia et genere ab utroque parente clarissimo. Xanthippus enim, qui regios duces apud Mycalen devicit, Agaristam uxorem habuit, Clisthenis neptem, ejus qui, Pisistrati successoribus urbe ejectis, tyrannidem præclare demolitus est, leges condidit, formamque reipublicæ ad concordiam et salutem optime temperatam condidit. (2) Hæc in somnis cum visa sibi esset leonem parere, paucis post diebus Periclem edidit, forma reliqui corporis ea, in qua culpari posset nihil, capite tantum oblongo et inconcinno. Itaque statuæ ejus fere omnes galeatæ conspiciuntur, quod artifices, ut videtur, id ei vitium exprobrare noluerint. (3) Attici vero poetæ, σχινοκέφαλον eum nominaverunt: scillam enim nonnunquam σχῖνον appellant. Et e Comicis Cratinus hæc in fabula, cui Chirones nomen:

Seditio grandævusque Cronos
mixti pariunt summum in nostra
gente tyrannum:
Nephelecephalam vocitant dii.

Idemque in Nemesi:

Veni hospitalis Capitoline Jupiter!

(4) Teleclides ait, aliquando, quid statueret de negotiis incumbentibus, anxium *sedisse in urbe, gravem caput vertigine*, aliquando *solum capite exhendecaclino* (i. e. undecim flexus habente) *multas emittere turbas*. Eupolis in Demis, percontans de uno quolibet oratorum, quos adduci ab inferis finxit, cum Pericles postremo loco esset nominatus, inquit:

Quod hoc ab Orco nunc caput producitur?

IV. In musicis plerisque præceptorem fuisse Pericli Da-

Δάμωνα γενέσθαι λέγουσιν, οὗ φασὶ δεῖν τοὔνομα βραχύνοντας τὴν προτέραν συλλαβὴν ἐκφέρειν· Ἀριστοτέλης δὲ παρὰ Πυθοκλείδῃ μουσικὴν διαπονηθῆναι τὸν ἄνδρα φησίν. (2) Ὁ δὲ Δάμων ἔοικεν ἄκρος ὢν σοφιστὴς καταδύεσθαι μὲν εἰς τὸ τῆς μουσικῆς ὄνομα πρὸς τοὺς πολλοὺς ἐπικρυπτόμενος τὴν δεινότητα, τῷ δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. (3) Οὐ μὴν ἔλαθεν ὁ Δάμων τῇ λύρᾳ παρακαλύμματι χρώμενος, ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος ἐξωστρακίσθη καὶ παρέσχε τοῖς κωμικοῖς διατριβήν. (4) Ὁ γοῦν Πλάτων καὶ πυνθανόμενον αὐτοῦ τινα πεποίηκεν οὕτω·

> Πρῶτον μὲν οὖν μοι λέξον, ἀντιβολῶ· σὺ γάρ,
> ὡς φασιν, ὁ Χείρων ἐξέθρεψας Περικλέα.

(5) Διήκουσε δὲ Περικλῆς καὶ Ζήνωνος τοῦ Ἐλεάτου πραγματευομένου περὶ φύσιν, ὡς Παρμενίδης, ἐλεγκτικὴν δέ τινα καὶ δι' ἀντιλογίας κατακλείουσαν εἰς ἀπορίαν ἐξασκήσαντος ἕξιν, ὥσπερ καὶ Τίμων ὁ Φλιάσιος εἴρηκε διὰ τούτων·

> Ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνὸν
> Ζήνωνος, πάντων ἐπιλήπτορος.

(6) Ὁ δὲ πλεῖστα Περικλεῖ συγγενόμενος καὶ μάλιστα περιθεὶς ὄγκον αὐτῷ καὶ φρόνημα δημαγωγίας ἐμβριθέστερον ὅλως τε μετεωρίσας καὶ συνεξάρας τὸ ἀξίωμα τοῦ ἤθους Ἀναξαγόρας ἦν ὁ Κλαζομένιος, ὃν οἱ τότ' ἄνθρωποι Νοῦν προσηγόρευον, εἴτε τὴν σύνεσιν αὐτοῦ μεγάλην εἰς φυσιολογίαν καὶ περιττὴν διαφανεῖσαν θαυμάσαντες, εἴθ' ὅτι τοῖς ὅλοις πρῶτος οὐ τύχην οὐδ' ἀνάγκην διακοσμήσεως ἀρχὴν, ἀλλὰ νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον ἐν μεμιγμένοις πᾶσι τοῖς ἄλλοις ἀποκρίνοντα τὰς ὁμοιομερείας.

V. Τοῦτον ὑπερφυῶς τὸν ἄνδρα θαυμάσας ὁ Περικλῆς καὶ τῆς λεγομένης μετεωρολογίας καὶ μεταρσιολεσχίας ὑποπιμπλάμενος οὐ μόνον, ὡς ἔοικε, τὸ φρόνημα σοβαρὸν καὶ τὸν λόγον ὑψηλὸν εἶχε καὶ καθαρὸν ὀχλικῆς καὶ πανούργου βωμολοχίας, ἀλλὰ καὶ προσώπου σύστασις ἄθρυπτος εἰς γέλωτα καὶ πρᾳότης πορείας καὶ καταστολὴ περιβολῆς πρὸς οὐδὲν ἐκταραττομένη πάθος ἐν τῷ λέγειν καὶ πλάσμα φωνῆς ἀθόρυβον καὶ ὅσα τοιαῦτα πάντας θαυμαστῶς ἐξέπληττε. (2) Λοιδορούμενος γοῦν ποτε καὶ κακῶς ἀκούων ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων ὅλην ἡμέραν ὑπέμεινε σιωπῇ κατ' ἀγορὰν ἅμα τι τῶν ἐπειγόντων καταπραττόμενος· ἑσπέρας δ' ἀπῄει κοσμίως οἴκαδε παρακολουθοῦντος τῷ ἀνθρώπου καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. Ὡς δὲ ἔμελλεν εἰσιέναι σκότους ὄντος ἤδη, προσέταξε τινὶ τῶν οἰκετῶν φῶς λαβόντι παραπέμψαι καὶ καταστῆσαι πρὸς τὴν οἰκίαν τὸν ἄνθρωπον. (3) Ὁ δὲ ποιητὴς Ἴων μοθωνικὴν φησι τὴν ὁμιλίαν καὶ ὑπότυφον εἶναι τοῦ Περικλέους καὶ ταῖς μεγαλαυχίαις αὐτοῦ πολλὴν ὑπεροψίαν ἀναμεμῖχθαι καὶ περιφρόνησιν τῶν ἄλλων· ἐπαινεῖ δὲ τὸ Κίμωνος ἐμμελὲς καὶ

monem (brevi priore hujus nominis syllaba) tradunt; Aristoteles apud Pythoclidem musicam tractasse memorat. (2) Hic Damon ut videtur, cum esset summus sophista, ut suam vim et artem populum celaret, musicæ professione eam texit, Pericli autem, qui se ad certamina civilia accingebat, aliptæ loco et magistri adfuit. (3) Neque fefellit Damon lyræ prætextu utens, sed, ut homo magnas res moliens tyrannidisque studiosus, ostracismo Athenis ejectus cavillandi materiam Comicis præbuit. (4) Plato quidem fingit, eum a quodam ita interrogari :

> Primum mihi ergo, obtestor, dicas : namque tu
> Periclem alter Chiron educasti, ut inquiunt.

(5) Auditor fuit Pericles etiam Zenonis Eleatæ, de natura more Parmenidis philosophantis, eo doctrinæ genere, quod in redarguendo versabatur, contrariarumque sententiarum propositione rem in summas explicandi difficultates adducebat, de quo est illud Timonis Phliasii :

> Magna atque haud fallax vis partem in utramque diserti
> Zenonis, cunctos soliti reprehendere.

(6) Verum qui maximam cum Pericle consuetudinem habuit maximeque gravitatem et spiritus ad populum tractandum majores in eo excitavit, omninoque ingenii ejus dignitatem ad altum evexit, Anaxagoras fuit Clazomenius. Hunc ejus ætatis homines Mentis cognomine affecerunt, sive admiratione ejus in rerum natura indaganda magnæ exactæque perspicaciæ, sive quod is primus universi dispositionem ordinemque non ad fortunam aut necessitatem retulit, sed mentem puram atque simplicem ejus principium constituit, quæ, confusis omnibus inter se rebus, similes inter se partes secreverit.

V. Hunc virum summopere admiratus Pericles ab eoque sublimi illo de magnis et arduis rebus dicendi genere impletus, non animum modo elatum orationemque sublimem, neque infectam plebeia et impostoria scurrilitate habuit; sed et vultus ei erat ad risum immotus, in incessu modestia, in vestitu mundities; in oratione nihil propter ullum affectum perturbabatur; vox composita ac placida : denique id genus multa alia, quibus ingentem sui apud omnes admirationem excitabat. (2) Aliquando etiam in foro conviciis et opprobriis petitus a quodam spurco atque impudico homine, totum diem tacitus eum sustinuit, interim quod habebat negotii conficiens; vesperi domum modeste abiit, illo comitante et maledicentiæ nihil sibi reliquum faciente : ingressus vero domum, cum jam se tenebræ noctis primæ intendissent, famulo suo mandavit, ut ei domum suam præluceret. (3) Ceterum Ion poeta Periclem in consuetudine superbum fuisse arrogantemque ait, ipsiusque jactantiam multo aliorum contemptu ac superbia permixtam : contra Cimonis in convictu suavitatem gratiosam·

ὑγρὸν καὶ μεμουσωμένον ἐν ταῖς περιφοραῖς. (4) Ἀλλ' Ἴωνα μὲν ὥσπερ τραγικὴν διδασκαλίαν ἀξιοῦντα τὴν ἀρετὴν ἔχειν τι πάντως καὶ σατυρικὸν μέρος ἐῶμεν· τοὺς δὲ τοῦ Περικλέους τὴν σεμνότητα δοξοκομπίαν τε καὶ τῦφον ἀποκαλοῦντας ὁ Ζήνων παρεκάλει καὶ αὐτούς τι τοιοῦτο δοξοκομπεῖν, ὡς τῆς προσποιήσεως αὐτῆς τῶν καλῶν ὑποποιούσης τινὰ λεληθότως ζῆλον καὶ συνήθειαν.

VI. Οὐ μόνον δὲ ταῦτα τῆς Ἀναξαγόρου συνουσίας ἀπέλαυσε Περικλῆς, ἀλλὰ καὶ δεισιδαιμονίας δοκεῖ γενέσθαι καθυπέρτερος, ὅσην πρὸς τὰ μετέωρα θάμβος ἐργάζεται τοῖς αὐτῶν τε τούτων τὰς αἰτίας ἀγνοοῦσι καὶ περὶ τὰ θεῖα δαιμονῶσι καὶ ταραττομένοις δι' ἀπειρίαν αὐτῶν, ἣν ὁ φυσικὸς λόγος ἀπαλλάττων ἀντὶ τῆς φοβερᾶς καὶ φλεγμαινούσης δεισιδαιμονίας τὴν ἀσφαλῆ μετ' ἐλπίδων ἀγαθῶν εὐσέβειαν ἐργάζεται. (2) Λέγεται δέ ποτε κριοῦ μονόκερω κεφαλὴν ἐξ ἀγροῦ τῷ Περικλεῖ κομισθῆναι καὶ Λάμπωνα μὲν τὸν μάντιν, ὡς εἶδε τὸ κέρας ἰσχυρὸν καὶ στερεὸν ἐκ μέσου τοῦ μετώπου πεφυκός, εἰπεῖν, ὅτι δυεῖν οὐσῶν ἐν τῇ πόλει δυναστειῶν, τῆς Θουκυδίδου καὶ Περικλέους, εἰς ἕνα περιστήσεται τὸ κράτος παρ' ᾧ γένοιτο τὸ σημεῖον· τὸν δ' Ἀναξαγόραν τοῦ κρανίου διακοπέντος ἐπιδεῖξαι τὸν ἐγκέφαλον οὐ πεπληρωκότα τὴν βάσιν, ἀλλ' ὀξὺν ὥσπερ ὠὸν ἐκ τοῦ παντὸς ἀγγείου συνωλισθηκότα κατὰ τὸν τόπον ἐκεῖνον, ὅθεν ἡ ῥίζα τοῦ κέρατος εἶχε τὴν ἀρχήν. (3) Καὶ τότε μὲν θαυμασθῆναι τὸν Ἀναξαγόραν ὑπὸ τῶν παρόντων, ὀλίγῳ δ' ὕστερον τὸν Λάμπωνα, τοῦ μὲν Θουκυδίδου καταλυθέντος, τῶν δὲ τοῦ δήμου πραγμάτων ὁμαλῶς ἁπάντων ὑπὸ τῷ Περικλεῖ γενομένων. (4) Ἐκώλυε δ' οὐδὲν, οἶμαι, καὶ τὸν φυσικὸν ἐπιτυγχάνειν καὶ τὸν μάντιν, τοῦ μὲν τὴν αἰτίαν, τοῦ δὲ τὸ τέλος καλῶς ἐκλαμβάνοντος· ὑπέκειτο γὰρ τῷ μὲν, ἐκ τίνων γέγονε καὶ πῶς πέφυκε, θεωρῆσαι· τῷ δὲ, πρὸς τί γέγονε καὶ τί σημαίνει, προειπεῖν. (5) Οἱ δὲ τῆς αἰτίας τὴν εὕρεσιν ἀναίρεσιν εἶναι λέγοντες τοῦ σημείου οὐκ ἐπινοοῦσιν ἅμα τοῖς θείοις καὶ τὰ τεχνητὰ τῶν συμβόλων ἀθετοῦντες, ψόφους τε δίσκων καὶ φῶτα πυρσῶν καὶ γνωμόνων ἀποσκιασμούς· ὧν ἕκαστον αἰτίᾳ τινὶ καὶ κατασκευῇ σημεῖον εἶναί τινος πεποίηται. Ταῦτα μὲν οὖν ἴσως ἑτέρας ἐστὶ πραγματείας.

VII. Ὁ δὲ Περικλῆς νέος μὲν ὢν σφόδρα τὸν δῆμον εὐλαβεῖτο. Καὶ γὰρ ἐδόκει Πεισιστράτῳ τῷ τυράννῳ τὸ εἶδος ἐμφερὴς εἶναι, τήν τε φωνὴν ἡδεῖαν οὖσαν αὐτοῦ καὶ τὴν γλῶτταν εὔτροχον ἐν τῷ διαλέγεσθαι καὶ ταχεῖαν οἱ σφόδρα γέροντες ἐξεπλήττοντο πρὸς τὴν ὁμοιότητα. Πλούτου δὲ καὶ γένους προσόντος αὐτῷ λαμπροῦ καὶ φίλων, οἳ πλεῖστον ἠδύναντο, φοβούμενος ἐξοστρακισθῆναι, τῶν μὲν πολιτικῶν οὐδὲν ἔπραττεν, ἐν δὲ ταῖς στρατείαις ἀνὴρ ἀγαθὸς ἦν καὶ φιλοκίνδυνος. (2) Ἐπεὶ δ' Ἀριστείδης μὲν ἀποτεθνήκει καὶ Θεμιστοκλῆς ἐξεπεπτώκει, Κίμωνα δ' αἱ στρατεῖαι τὰ πολλὰ τῆς Ἑλλάδος ἔξω κατεῖχον, οὕτω δὴ φέρων ὁ Περικλῆς τῷ δήμῳ προσένειμεν ἑαυτὸν

que comitatem laudat. (4) Sed Ionem nos missum facimus, qui in virtute tragicam aliquam et satyricam disciplinam requisiverit; eos autem qui Periclis gravitatem arrogantiæ et fastus nomine notabant, Zenon hortabatur, ut ipsi quoque ejusmodi arrogantiam sibi sumerent: scilicet eam simulationem occulte studium quoddam atque consuetudinem honestatis ingeneraturam.

VI. Non hos modo fructus suæ cum Anaxagora familiaritatis Pericles tulit, sed hunc etiam, quo liber ab ea superstitione evasit, qua hominum causas ignorantium naturæque rerum imperitorum animos ea quæ in aere fiunt miracula terrent, perturbantque et sinistris de diis opinionibus implicant. Hanc naturalium cognitio causarum pellit, et pro terrifica et æstuante superstitione securam pietatem et spes bonas de numinibus creat. (2) Ferunt aliquando allatum ex agro ad Periclem fuisse caput arietis cum unico cornu nati, et Lamponem quidem augurem, cum id cornu solidum atque validum vidisset media de fronte enatum, dixisse, futurum ut, cum eo tempore duo in urbe principatum obtineant, Thucydides nimirum atque Pericles, ad eum, apud quem hoc portentum cœpisset, unum summa rerum devolveretur. Anaxagoram vero dissecta calvaria ostendisse, ejus fundum cerebro expletum non fuisse, sed id acutum ovi instar ex toto eo vase ad eam partem confluxisse, qua radices cornus habent initium. (3) Ac tum quidem in admiratione habitum Anaxagoram: paulo autem postea Lamponem etiam, cum, Thucydide fracto, omnes res populi in potestatem Periclis venerunt. (4) Ego ita judico, nihil obstitisse quo minus et philosophus et vates scopum attingerent, alter causam, alter finem recte prospiciens; nam alteri quidem propositum erat speculari, quibus ex causis, et quomodo id factum esset; alteri, prædicere propter quid ita exstitisset ac quid portendisset. (5) Qui vero causa rei inventa abolitionem portenti effici putant, non intelligunt ii, se una cum divinis istis signis etiam artificiosa indicia tollere: sonitus inquam discorum, facium fulgores et gnomonum umbras, quæ omnia cum causa quadam constent atque parentur, tamen certi aliquid indicant. Verum hæc disputatio non est hujus loci.

VII. Pericles porro adolescens dum esset, admodum metuit populum. Etenim videbatur forma Pisistratum tyrannum repræsentare, suavemque ejus vocem linguæque in disserendo volubilitatem et celeritatem similitudinis cum Pisistrato causa ii, qui magno jam admodum natu erant, suspiciebant: ad hæc divitiis præditus, genere illustri ortus, amicos potentissimos habebat. Itaque ostracismum timens, rempublicam ne attingebat quidem, militiæ strenuum se et in subeundis periculis fortem præbebat. (2) Sed postquam Aristides vita decessit, Themistocles exsulatum abiit, Cimonem bella plerumque extra Græciam detinuerunt: ibi demum populo se Pericles dedit, paucorumque divitum

ἀντὶ τῶν πλουσίων καὶ ὀλίγων τὰ τῶν πολλῶν καὶ πενήτων ἑλόμενος παρὰ τὴν αὐτοῦ φύσιν ἥκιστα δημοτικὴν οὖσαν. (3) Ἀλλ', ὡς ἔοικε, δεδιὼς μὲν ὑποψίᾳ περιπεσεῖν τυραννίδος, ὁρῶν δ' ἀριστοκρατικὸν τὸν Κίμωνα καὶ διαφερόντως ὑπὸ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἀγαπώμενον, ὑπῆλθε τοὺς πολλοὺς ἀσφάλειαν μὲν ἑαυτῷ, δύναμιν δὲ κατ' ἐκείνου παρασκευαζόμενος. Εὐθὺς δὲ καὶ τοῖς περὶ τὴν δίαιταν ἑτέραν τάξιν ἐπέθηκεν. (4) Ὁδόν τε γὰρ ἐν ἄστει μίαν ἑωρᾶτο τὴν ἐπ' ἀγορὰν καὶ τὸ βουλευτήριον πορευόμενος, κλήσεις τε δείπνων καὶ τὴν τοιαύτην ἅπασαν φιλοφροσύνην καὶ συνήθειαν ἐξέλιπεν, ὡς ἐν οἷς ἐπολιτεύσατο χρόνοις μακροῖς γενομένοις πρὸς μηδένα τῶν φίλων ἐπὶ δεῖπνον ἐλθεῖν, πλὴν Εὐρυπτολέμου τοῦ ἀνεψιοῦ γαμοῦντος ἄχρι τῶν σπονδῶν παραγενόμενος εὐθὺς ἐξανέστη. (5) Δειναὶ γὰρ αἱ φιλοφροσύναι παντὸς ὄγκου περιγενέσθαι καὶ δυσφύλακτον ἐν συνηθείᾳ τὸ πρὸς δόξαν σεμνόν ἐστι. Τῆς ἀληθινῆς δ' ἀρετῆς κάλλιστα φαίνεται τὰ μάλιστα φαινόμενα, καὶ τῶν ἀγαθῶν ἀνδρῶν οὐδὲν οὕτω θαυμάσιον τοῖς ἐκτὸς ὡς ὁ καθ' ἡμέραν βίος τοῖς συνοῦσιν. (6) Ὁ δὲ καὶ τοῦ δήμου τὸ συνεχὲς φεύγων καὶ τὸν κόρον, οἷον ἐκ διαλειμμάτων ἐπλησίαζεν, οὐκ ἐπὶ παντὶ πράγματι λέγων οὐδ' ἀεὶ παριὼν εἰς τὸ πλῆθος, ἀλλ' ἑαυτὸν ὥσπερ τὴν Σαλαμινίαν τριήρη, φησὶ Κριτόλαος, πρὸς τὰς μεγάλας χρείας ἐπιδιδοὺς, τἆλλα δὲ φίλους καὶ ῥήτορας καὶ ἑταίρους καθεὶς ἔπραττεν. (7) Ὧν ἕνα φασὶ γενέσθαι τὸν Ἐφιάλτην, ὃς κατέλυσε τὸ κράτος τῆς ἐξ Ἀρείου πάγου βουλῆς πολλὴν, κατὰ τὸν Πλάτωνα, καὶ ἄκρατον τοῖς πολίταις ἐλευθερίαν οἰνοχοῦν· ὑφ' ἧς, ὥσπερ ἵππον, ἐξυβρίσαντα τὸν δῆμον οἱ κωμῳδοποιοὶ λέγουσι « πειθαρχεῖν οὐκέτι τολμᾶν, ἀλλὰ δάκνειν τὴν Εὔβοιαν καὶ ταῖς νήσοις ἐπιπηδᾶν. »

VIII. Τῇ μέντοι περὶ τὸν βίον κατασκευῇ καὶ τῷ μεγέθει τοῦ φρονήματος ἁρμόζοντα λόγον, ὥσπερ ὄργανον, ἐξαρτυόμενος παρενέτεινε πολλαχοῦ τὸν Ἀναξαγόραν, οἷον βαφὴν τῇ ῥητορικῇ τὴν φυσιολογίαν ὑποχεόμενος. (2) Τὸ γὰρ ὑψηλόνουν τοῦτο καὶ πάντη τελεσιουργὸν, ὡς ὁ θεῖος Πλάτων φησὶ, πρὸς τῷ εὐφυὴς εἶναι κτησάμενος ἐκ φυσιολογίας καὶ τὸ πρόσφορον ἑλκύσας ἐπὶ τὴν τῶν λόγων τέχνην πολὺ πάντων διήνεγκε. (3) Διὸ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι λέγουσι· καίτοι τινὲς ἀπὸ τῶν οἷς ἐκόσμησε τὴν πόλιν, οἱ δ' ἀπὸ τῆς ἐν τῇ πολιτείᾳ καὶ ταῖς στρατηγίαις δυνάμεως Ὀλύμπιον αὐτὸν οἴονται προσαγορευθῆναι· καὶ συνδραμεῖν οὐδὲν ἀπέοικεν ἀπὸ πολλῶν προσόντων τῷ ἀνδρὶ τὴν δόξαν. (4) Αἱ μέντοι κωμῳδίαι τῶν τότε διδασκάλων σπουδῇ τε πολλὰς καὶ μετὰ γέλωτος ἀφεικότων φωνὰς εἰς αὐτὸν ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν γενέσθαι δηλοῦσι, βροντᾶν μὲν αὐτὸν καὶ ἀστράπτειν, ὅτε δημηγοροίη, δεινὸν δὲ κεραυνὸν ἐν γλώσσῃ φέρειν λεγόντων. (5) Διαμνημονεύεται δέ τις καὶ Θουκυδίδου τοῦ Μελησίου λόγος εἰς τὴν δεινότητα τοῦ Περικλέους μετὰ παιδιᾶς εἰρημένος. Ἦν μὲν γὰρ ὁ Θουκυδίδης

causae multitudinis et pauperum res praetulit, cum quidem esset natura minime popularis. (3) Enimvero metuens interim ne in suspicionem affectatae tyrannidis incurreret, vidensque Cimonem optimatum partibus studere ac summopere ab iis diligi, multitudinem demereri statuit, securitatis sibi ac potentiae adversus illum parandae causa. Confestim etiam diversam vitae rationem instituit. (4) Unica enim via in urbe deinceps utebatur ea, quae ad forum et curiam ducebat; convivia et omnem id genus comitatem atque convictum plane vitabat, adeo ut tanto temporis spatio, quo in republica versatus est, ad nullius amicorum coenam venerit: quin et ad nuptias Euryptolemi consobrini cum ivisset, statim libatione perfecta discessit. (5) Etenim ea vis est consuetudinis cum amicis atque convictus, ut omnem majestatem deprimere valeat: et in familiaritatibus retineri gravitas, quae ad gloriam requiritur, vix potest. At vera in virtute ea pulcerrima videntur, quae maxime apparent: neque quicquam in viro bono tantopere exteri mirantur, quantum domestici quotidianam vitae rationem. (6) Quinetiam veritus ne continua praesentia sua satietatem sui apud populum gigneret, quasi per intervalla in concionem venit, non quacunque re oblata orationem habens, neque semper ad multitudinem progrediens: sed tum demum sui copiam faciens, cum magna aliqua res operam ipsius requireret, tanquam Salaminiae triremis, ait Critolaus; reliqua amicis et sociis oratoribus submissis expediebat. (7) Horum e numero fuisse memorant Ephialten, qui potestate senatus Areopagitici abolita, civibus, ut est apud Platonem, nimiam atque meram libertatem propinavit: cujus quasi ebrietate quadam populum luxuriasse Comici scribunt ac noluisse « praeterea obedire magistratibus, sed (equi instar frenum excutientis) Euboeam mordicus impetisse, et insulis insultasse. »

VIII. Praeterea Pericles orationem instituto vitae suae animique magnitudini consentaneam instrumenti loco sibi paravit, in qua saepius Anaxagoreum aliquid condimenti loco admiscuit, philosophiam ejus oratoria arte quasi tingens. (2) Nam, ut divinus Plato dicit, ad bonitatem naturae, animum quoque sublimem vimque propositi obtinendi e philosophia addidit, quodque in ea erat utile, transtulit ad artem dicendi; qua re effectum est ut longe omnibus aliis praestaret. (3) Unde et Olympii cognomentum invenit: quanquam id alii a monumentis, quibus urbem decoravit, alii ab efficacitate ejus domi militiaeque demonstrata, tractum censeant; neque quicquam impedit quin eam existimationem ei propter varias suas virtutes obtigisse dicamus. (4) Ex comoediis, quas qui docuerunt eo tempore, multa serio, multa per jocum de eo dixerunt, apparet propter orationem potissimum id ei cognomentum factum: tonare enim eum in concionibus ac fulgurare et horribile fulmen in lingua ferre dicebant. (5) Memoratur etiam Thucydidis Melesiae filii dictum de vi dicendi Periclis jocosum. Fuit is Thucydides ex optimatibus ac diu admodum Pericli.

τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν καὶ πλεῖστον ἀντεπολιτεύσατο τῷ Περικλεῖ χρόνον· Ἀρχιδάμου δὲ τοῦ Λακεδαιμονίων βασιλέως πυνθανομένου, πότερον αὐτὸς ἡ Περικλῆς παλαίει βέλτιον, Ὅταν, εἶπεν, ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος ἀντιλέγων, ὡς οὐ πέπτωκε, νικᾷ καὶ μεταπείθει τοὺς ὁρῶντας. » (6) Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Περικλῆς περὶ τὸν λόγον εὐλαβὴς ἦν, ὥστ' ἀεὶ πρὸς τὸ βῆμα βαδίζων ηὔχετο τοῖς θεοῖς μηδὲ ῥῆμα μηδὲν ἐκπεσεῖν ἄκοντος αὐτοῦ πρὸς τὴν προκειμένην χρείαν ἀνάρμοστον. (7) Ἔγγραφον μὲν οὖν οὐδὲν ἀπολέλοιπε πλὴν τῶν ψηφισμάτων· ἀπομνημονεύεται δ' ὀλίγα παντάπασιν· οἷον τὸ τὴν Αἴγιναν ὡς λήμην τοῦ Πειραιῶς ἀφελεῖν κελεῦσαι, καὶ τὸ τὸν Πόλεμον ἤδη φάναι καθορᾶν ἀπὸ Πελοποννήσου προσφερόμενον. (8) Καί ποτε τοῦ Σοφοκλέους, ὅτε συστρατηγῶν ἐξέπλευσε μετ' αὐτοῦ παῖδα καλὸν ἐπαινέσαντος, « Οὐ μόνον, ἔφη, τὰς χεῖρας, ὦ Σοφόκλεις, δεῖ καθαρὰς ἔχειν τὸν στρατηγὸν, ἀλλὰ καὶ τὰς ὄψεις. » (9) Ὁ δὲ Στησίμβροτος φησὶν, ὅτι τοὺς ἐν Σάμῳ τεθνηκότας ἐγκωμιάζων ἐπὶ τοῦ βήματος ἀθανάτους ἔλεγε γεγονέναι καθάπερ τοὺς θεούς· οὐ γὰρ ἐκείνους αὐτοὺς ὁρῶμεν, ἀλλὰ ταῖς τιμαῖς, ἃς ἔχουσι, καὶ τοῖς ἀγαθοῖς, ἃ παρέχουσιν, ἀθανάτους εἶναι τεκμαιρόμεθα· ταῦτ' οὖν ὑπάρχειν καὶ τοῖς ὑπὲρ τῆς πατρίδος ἀποθανοῦσιν.

IX. Ἐπεὶ δὲ Θουκυδίδης μὲν ἀριστοκρατικήν τινα τὴν τοῦ Περικλέους ὑπογράφει πολιτείαν, λόγῳ μὲν οὖσαν δημοκρατίαν, ἔργῳ δ' ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχὴν, ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ' ἐκείνου φασὶ τὸν δῆμον ἐπὶ κληρουχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι κακῶς ἐθισθέντα καὶ γενόμενον πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων ἀντὶ σώφρονος καὶ αὐτουργοῦ, θεωρείσθω διὰ τῶν πραγμάτων αὐτῶν ἡ αἰτία τῆς μεταβολῆς. (2) Ἐν ἀρχῇ μὲν γὰρ, ὥσπερ εἴρηται, πρὸς τὴν Κίμωνος δόξαν ἀντιτατόμενος ὑπεποιεῖτο τὸν δῆμον· ἐλαττούμενος δὲ πλούτῳ καὶ χρήμασιν, ἀφ' ὧν ἐκεῖνος ἀνελάμβανε τοὺς πένητας δεῖπνόν τε καθ' ἡμέραν τῷ δεομένῳ παρέχων Ἀθηναίων καὶ τοὺς πρεσβυτέρους ἀμφιεννύων τῶν τε χωρίων τοὺς φραγμοὺς ἀφαιρῶν, ὅπως ὁπωρίζωσιν οἱ βουλόμενοι, τούτοις ὁ Περικλῆς καταδημαγωγούμενος τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομὴν, συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἰήθεν, ὡς Ἀριστοτέλης ἱστόρηκε. (3) Καὶ ταχὺ θεωρικοῖς καὶ δικαστικοῖς λήμμασιν ἄλλαις τε μισθοφοραῖς καὶ χορηγίαις συνδεκάσας τὸ πλῆθος ἐχρῆτο κατὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ἧς αὐτὸς οὐ μετεῖχε διὰ τὸ μήτ' ἄρχων μήτε θεσμοθέτης μήτε βασιλεὺς μήτε πολέμαρχος λαχεῖν. Αὗται γὰρ αἱ ἀρχαὶ κληρωταί τε ἦσαν ἐκ παλαιοῦ καὶ δι' αὐτῶν οἱ δοκιμασθέντες ἀνέβαινον εἰς Ἄρειον πάγον. (4) Διὸ καὶ μᾶλλον ἰσχύσας ὁ Περικλῆς ἐν τῷ δήμῳ κατεστασίασε τὴν βουλὴν, ὥστε τὴν μὲν ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' Ἐφιάλτου, Κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι, πλούτῳ μὲν καὶ γένει μηδενὸς ἀπολειπόμενον, νίκας δὲ καλλίστας νενικηκότα τοὺς βαρ-

in republica restitit. Is interroganti Archidamo Lacedæmoniorum regi, uter ipsorum lucta præstaret, Periclesne an Thucydides, « Cum ego, inquit, eum dejicio, negando se cecidisse vincit, idque spectatoribus persuadet ». (6) Enimvero Pericles ipse in dicendo cautus fuit ac quoties ad tribunal dicendi causa accederet, comprecatus est deos, ne quod sibi præter suam voluntatem verbum excideret, quod ad rem propositam non faceret. (7) Scriptum nihil reliquit, exceptis decretis. Memoria feruntur pauca quædam ejus dicta, quale est cum jussit Æginam, tanquam oculis Piræei officientem, auferri; et Polemum se videre dixit a Peloponneso ingruere. (8) Sophocli in prætura collegæ suo, cum quodam tempore simul navigarent, puerum pulcrum laudanti, « O Sophocles, inquit, non manus modo, sed et oculos prætoris abstinentes esse decet. » (9) Stesimbrotus refert eum, cum in Samo mortuos pro concione laudaret, dixisse, immortales eos esse factos ac deorum similes: ut enim hos non videant homines, sed ex honoribus tantum ac bonis quæ largiuntur, esse judicent immortales: ita his quoque evenisse, qui pro patria occubuerint.

IX. Ceterum quoniam quidem Thucydides historicus reipublicæ formam a Pericle institutam talem describit, in qua penes optimates summa rerum, et ubi verbo quidem populare, re ipsa unius principis viri fuerit imperium; ac quando sunt, qui asserant, primum sub Pericle populum, cum ante temperanter vixisset ac suis quisque laboribus terram coluisset, ad divisionem agrorum ac pecuniæ publicæ (quæ a spectaculis, quibus impendebantur, θεωρικὰ dicuntur) mercedisque distributionem, et ad luxum intemperantiamque traductum fuisse: operæ pretium fuerit causam hujus mutationis ex ipsis rebus perspicere. (2) Pericles, uti exposuimus, initio gloriæ Cimonis adversarium se objiciens, demeritus fuerat populum. Ceterum victus Cimonis divitiis atque pecuniis, quibus ille pauperes excepit, cœnam Atheniensium unicuilibet egeno quotidie præbens, seniores vestiens, prædiorum etiam suorum sepes destruens, ut omnibus poma carpendi libera pateret facultas, his in populum gratis ejus institutis superatus Pericles ad publicorum bonorum divisionem animum adjecit, usus, ut Aristoteles auctor est, consilio Damonidis Œensis. (3) Itaque celeriter theatralibus ac præmiis judiciorum aliisque mercedibus et emolumentis multitudine corrupta, usus est ejus opera contra senatum Areopagiticum, in quo ipse non erat, quod neque archon, neque thesmotheta, neque rex sacrorum, neque polemarchus sorte erat lectus; nam hi magistratus sorte antiquitus obveniebant, ac qui se in iis obeundis probassent, ii in senatum Areopagiticum cooptabantur. (4) Ceterum populi auxilio Pericles senatum istum factione sua vicit effecitque opera Ephialtis, ut ei major pars judiciorum adimeretur, Cimonque tanquam Lacedæmoniorum fautor, et infensus populo, ostracismo urbe exigeretur: qui et divitiis et genere nemini secundus, vi-

βάρους καὶ χρημάτων πολλῶν καὶ λαφύρων ἐμπεπληκότα τὴν πόλιν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Τοσοῦτον ἦν τὸ κράτος ἐν τῷ δήμῳ τοῦ Περικλέους.

X. Ὁ μὲν οὖν ἐξοστρακισμὸς ὡρισμένην εἶχε νόμῳ δεκαετίαν τοῖς φεύγουσιν· ἐν δὲ τῷ διὰ μέσου Λακεδαιμονίων στρατῷ μεγάλῳ ἐμβαλόντων εἰς τὴν Ταναγραϊκὴν καὶ τῶν Ἀθηναίων εὐθὺς ὁρμησάντων ἐπ' αὐτοὺς, ὁ μὲν Κίμων ἐλθὼν ἐκ τῆς φυγῆς ἔθετο μετὰ c τῶν φυλετῶν εἰς λόχον τὰ ὅπλα καὶ δι' ἔργων ἀπολύεσθαι τὸν Λακωνισμὸν ἐβούλετο συγκινδυνεύσας τοῖς πολίταις, οἱ δὲ φίλοι τοῦ Περικλέους συστάντες ἀπήλασαν αὐτὸν ὡς φυγάδα. (2) Διὸ καὶ δοκεῖ Περικλῆς ἐρρωμενεστάτην μάχην ἐκείνην ἀγωνίσασθαι καὶ γενέσθαι πάντων ἐπιφανέστατος ἀφειδήσας τοῦ σώματος. Ἔπεσον δὲ καὶ τοῦ Κίμωνος οἱ φίλοι πάντες ὁμαλῶς, οὓς Περικλῆς συνεπῃτιᾶτο τοῦ Λακωνισμοῦ· καὶ μετάνοια δεινὴ τοὺς Ἀθηναίους καὶ πόθος ἔσχε τοῦ Κίμωνος, ἠττημένους μὲν ἐπὶ τῶν ὅρων τῆς Ἀττικῆς, προσδοκῶντας δὲ βαρὺν εἰς ἔτους ὥραν πόλεμον. (3) Αἰσθόμενος οὖν ὁ Περικλῆς οὐκ ὤκνησε χαρίσασθαι τοῖς πολλοῖς, ἀλλὰ τὸ ψήφισμα γράψας αὐτὸς ἐκάλει τὸν ἄνδρα, κἀκεῖνος κατελθὼν εἰρήνην ἐποίησε ταῖς πόλεσιν. Οἰκείως γὰρ εἶχον οἱ Λακεδαιμόνιοι πρὸς αὐτὸν ὥσπερ ἀπήχθοντο τῷ Περικλεῖ καὶ τοῖς ἄλλοις δημαγωγοῖς. (4) Ἔνιοι δέ φασιν οὐ πρότερον γραφῆναι τῷ Κίμωνι τὴν κάθοδον ὑπὸ τοῦ Περικλέους ἢ συνθήκας αὐτοῖς ἀποῤῥήτους γενέσθαι δι' Ἐλπινίκης, τῆς Κίμωνος ἀδελφῆς, ὥστε Κίμωνα μὲν ἐκπλεῦσαι λαβόντα ναῦς διακοσίας καὶ τῶν ἔξω στρατηγεῖν καταστρεφόμενον τὴν βασιλέως χώραν, Περικλεῖ δὲ τὴν ἐν ἄστει δύναμιν ὑπάρχειν. (5) Ἐδόκει δὲ καὶ πρότερον ἡ Ἐλπινίκη τῷ Κίμωνι τὸν Περικλέα πρᾳότερον παρασχεῖν, ὅτε τὴν θανατικὴν δίκην ἔφευγεν. Ἦν μὲν γὰρ εἷς τῶν κατηγόρων ὁ Περικλῆς ὑπὸ τοῦ δήμου προβεβλημένος· ἐλθούσης δὲ πρὸς αὐτὸν τῆς Ἐλπινίκης καὶ δεομένης μειδιάσας εἶπεν· « Ὦ Ἐλπινίκη, γραῦς εἶ, γραῦς εἶ, ὡς πράγματα τηλικαῦτα πράσσειν. » Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν λόγον ἅπαξ ἀνέστη τὴν προβολὴν ἀφοσιούμενος καὶ τῶν κατηγόρων ἐλάχιστα τὸν Κίμωνα λυπήσας ἀπεχώρησε. (6) Πῶς ἂν οὖν τις Ἰδομενεῖ πιστεύσειε κατηγοροῦντι τοῦ Περικλέους, ὡς τὸν δημαγωγὸν Ἐφιάλτην φίλον γενόμενον καὶ κοινωνὸν ὄντα τῆς ἐν τῇ πολιτείᾳ προαιρέσεως δολοφονήσαντος διὰ ζηλοτυπίαν καὶ φθόνον τῆς δόξης; Ταῦτα γὰρ οὐκ οἶδ' ὅθεν συναγαγὼν ὥσπερ χολὴν τἀνδρὶ προσβέβληκε, πάντη μὲν ἴσως οὐκ ἀνεπιλήπτῳ, φρόνημα δ' εὐγενὲς ἔχοντι καὶ ψυχὴν φιλότιμον, οἷς οὐδὲν ἐμφύεται πάθος 158ὠμὸν οὕτω καὶ θηριῶδες. (7) Ἐφιάλτην μὲν οὖν a φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν. Ἐτελεύτησε δὲ Κίμων ἐν Κύπρῳ στρατηγῶν.

XI. Οἱ δ' ἀριστοκρατικοὶ μέγιστον μὲν ἤδη τὸν Πε-

ctorias de barbaris pulcerrimas reportaverat, urbemque magna pecuniæ et spoliorum copia repleverat, ut in ejus vita scripsimus. Tantum favore populi poterat Pericles.

X. Ceterum ostracismo pulsis decennii spatio exsilium terminatur. Interea vero cum Lacedæmonii magno cum exercitu in Tanagræorum regionem irrupissent, Athenienses statim obviam iis tenderent, Cimon ab exsilio veniens, inter tribules suos in acie stare voluit, ac re ipsa suspicionem inclinatæ ad Spartanos voluntatis abolere : sed amici Periclis facta coitione, eum, ut exsulem, repulerunt. (2) Propterea acerrime in hoc prœlio Pericles dimicasse et corpori non parcens supra ceteros enituisse videtur : occubuerunt vero etiam æque omnes amici Cimonis, quos Pericles, tanquam cum Lacedæmoniis facientes, accusaverat. Athenienses vero magna pœnitentia desideriumque Cimonis incessit, victos in ipsis Atticæ limitibus, graveque ad proximum ver bellum exspectantes. (3) Quod ut sensit Pericles, haud cunctanter in gratiam populi decretum fecit, eoque Cimonem ab exsilio revocavit : isque reversus pacem inter Athenienses atque Lacedæmonios composuit, quos sui studiosos, Pericli aliisque popularis auræ captatoribus infensos habebat. (4) Sunt qui scribant, non ante reditum Cimoni a Pericle decretum, quam opera Elpinicæ sororis Cimonis inter eos fuissent arcana pacta inita, in hanc sententiam, ut Cimon acceptis navibus ducentis abiret et foris rem gereret, ditionemque regis subigeret, Pericles autem rebus urbanis præesset. (5) Creditum est ante quoque Cimoni, cum is rei capitalis postularetur, mitiorem redditum precibus Elpinicæ, cum quidem ipse inter alios eum accusare esset a populo jussus : venientique ad se Elpinicæ ac deprecanti, respondisse ferunt, « O Elpinice, anus es, anus es, quam ut tantam rem debeas agere; » veruntamen eum semel tantum, ut mandato populi satisfaceret, ad verba contra Cimonem facienda surrexisse, atque ita discessisse, ut minime omnium accusatorum Cimonem ipse læserit. (6) Qui ergo fidem mereatur Idomeneus, Periclem culpans, quod is Ephialten amicum suum atque ejusdem in republica factionis, æmulatione invidiaque gloriæ adductus per fraudem necaverit? Hanc enim quasi bilem nescio unde collectam ei viro suffudit, qui ut fortasse non fuit extra omnem reprehensionem positus, generosa tamen animi altitudine ingenioque liberali erat, quibus nihil tam crudele ac ferum innascitur. (7) Verum Aristoteles auctor est, Ephialti, quod esset iis qui paucorum in republica principatui studebant, formidabilis, inque eorum qui plebem læsissent criminibus deferendis accusandisque nimis rigidus, inimicos insidias struxisse opera Aristodici Tanagræi ac clam occidisse. Secundum hæc Cimon bellum gerens in Cypro diem suum obiit.

XI. Hinc optimates jam ante Periclem civium potentis-

ρικλέα καὶ πρόσθεν ὁρῶντες γεγονότα τῶν πολιτῶν, βουλόμενοι δ' ὅμως εἶναί τινα τὸν πρὸς αὐτὸν ἀντιτασσόμενον ἐν τῇ πόλει καὶ τὴν δύναμιν ἀμβλύνοντα, ὥστε μὴ κομιδῇ μοναρχίαν εἶναι, Θουκυδίδην τὸν Ἀλωπεκῆθεν, ἄνδρα σώφρονα καὶ κηδεστὴν Κίμωνος, ἀντέστησαν ἐναντιωσόμενον, ὃς ἦττον μὲν ὢν πολεμικὸς τοῦ Κίμωνος, ἀγοραῖος δὲ καὶ πολιτικὸς μᾶλλον, οἰκουρῶν ἐν ἄστει καὶ περὶ τὸ βῆμα τῷ Περικλεῖ συμπλεκόμενος ταχὺ τὴν πολιτείαν εἰς ἀντίπαλον κατέστησεν. (2) Οὐ γὰρ εἴασε τοὺς καλοὺς κἀγαθοὺς καλουμένους ἄνδρας ἐνδιεσπάρθαι καὶ συμμεμῖχθαι πρὸς τὸν δῆμον, ὡς πρότερον, ὑπὸ πλήθους ἠμαυρωμένους τὸ ἀξίωμα, χωρὶς δὲ διακρίνας καὶ συναγαγὼν εἰς ταὐτὸ τὴν πάντων δύναμιν ἐμβριθῆ γενομένην ὥσπερ ἐπὶ ζυγοῦ ροπὴν ἐποίησεν. (3) Ἦν μὲν γὰρ ἐξ ἀρχῆς διπλόη τις ὕπουλος, ὥσπερ ἐν σιδήρῳ, διαφορὰν ὑποσημαίνουσα δημοτικῆς καὶ ἀριστοκρατικῆς προαιρέσεως, ἡ δ' ἐκείνων ἅμιλλα καὶ φιλοτιμία τῶν ἀνδρῶν βαθυτάτην τομὴν τεμοῦσα τῆς πόλεως τὸ μὲν δῆμον, τὸ δ' ὀλίγους ἐποίησε καλεῖσθαι. (4) Διὸ καὶ τότε μάλιστα τῷ δήμῳ τὰς ἡνίας ἀνεὶς ὁ Περικλῆς ἐπολιτεύετο πρὸς χάριν, ἀεί μέν τινα θέαν πανηγυρικὴν ἢ ἑστίασιν ἢ πομπὴν εἶναι μηχανώμενος ἐν ἄστει καὶ διαπαιδαγωγῶν οὐκ ἀμούσοις ἡδοναῖς τὴν πόλιν, ἑξήκοντα δὲ τριήρεις καθ' ἕκαστον ἐνιαυτὸν ἐκπέμπων, ἐν αἷς πολλοὶ τῶν πολιτῶν ἔπλεον ὀκτὼ μῆνας ἔμμισθοι μελετῶντες ἅμα καὶ μανθάνοντες τὴν ναυτικὴν ἐμπειρίαν. (5) Πρὸς δὲ τούτοις χιλίους μὲν ἔστειλεν εἰς Χερρόνησον κληρούχους, εἰς δὲ Νάξον πεντακοσίους, εἰς δὲ Ἄνδρον ἡμίσεις τούτων, εἰς δὲ Θρᾴκην χιλίους Βισάλταις συνοικήσοντας· ἄλλους δ' εἰς Ἰταλίαν οἰκιζομένης Συβάρεως, ἣν Θουρίους προσηγόρευσαν. (6) Καὶ ταῦτ' ἔπραττεν ἀποχουφίζων μὲν ἀργοῦ καὶ διὰ σχολὴν πολυπράγμονος ὄχλου τὴν πόλιν, ἐπανορθούμενος δὲ τὰς ἀπορίας τοῦ δήμου, φόβον δὲ καὶ φρουρὰν τοῦ μὴ νεωτερίζειν τι παρακατοικίζων τοῖς συμμάχοις.

XII. Ὁ δὲ πλείστην μὲν ἡδονὴν ταῖς Ἀθήναις καὶ κόσμον ἤνεγκε, μεγίστην δὲ τοῖς ἄλλοις ἔκπληξιν ἀνθρώποις, μόνον δὲ τῇ Ἑλλάδι μαρτυρεῖ, μὴ ψεύδεσθαι τὴν λεγομένην δύναμιν αὐτῆς ἐκείνην καὶ τὸν παλαιὸν ὄλβον, ἡ τῶν ἀναθημάτων κατασκευή, τούτῳ μάλιστα τῶν πολιτευμάτων τοῦ Περικλέους ἐβάσκαινον οἱ ἐχθροὶ καὶ διέβαλλον ἐν ταῖς ἐκκλησίαις βοῶντες, ὡς ὁ μὲν δῆμος ἀδοξεῖ καὶ κακῶς ἀκούει τὰ κοινὰ τῶν Ἑλλήνων χρήματα πρὸς αὐτὸν ἐκ Δήλου μεταγαγών, ἡ δ' ἔνεστιν αὐτῷ πρὸς τοὺς ἐγκαλοῦντας εὐπρεπεστάτη τῶν προφάσεων, δεῖσαντα τοὺς βαρβάρους ἐκεῖθεν ἀνελέσθαι καὶ φυλάττειν ἐν ὀχυρῷ τὰ κοινά, ταύτην ἀνῄρηκε Περικλῆς· καὶ δοκεῖ δεινὴν ὕβριν ἡ Ἑλλὰς ὑβρίζεσθαι καὶ τυραννεῖσθαι περιφανῶς, ὁρῶσα τοῖς εἰσφερομένοις ὑπ' αὐτῆς ἀναγκαίως πρὸς τὸν πόλεμον ἡμᾶς τὴν πόλιν καταχρυσοῦντας καὶ καλλωπίζοντας ὥσπερ ἀλαζόνα γυναῖκα περιαπτομένην λίθους πολυτελεῖς καὶ ἀγάλματα καὶ ναοὺς χιλιοταλάντους. (2) Ἐδίδασκεν οὖν ὁ Περι-

simum factum videntes, cupientes tamen aliquem ei opponere vimque in republica ejus quodammodo debilitare, ne palam penes unum omnis rerum esset potestas, adversarium ei constituerunt Thucydidem Alopecensem. Erat is vir moderatus atque affinis Cimonis, minus quidem bello atque Cimon præstans, sed in foro ac republica magis versatus : isque se in urbe continens, in suggestu cum Pericle contendebat, statimque rempublicam ad æquilibrium reduxit. (2) Non enim passus est optimates plebi admixtos, interque vulgus hominum dispersos esse sicut ante erant, ubi dignitas eorum magno plebeiorum numero offuscabatur, sed segregavit eos a plebe atque in unum corpus seorsum compegit, ut jam conjuncta eorum potentia quasi in libra contra popularem posita momentum efficeret. (3) Etenim occultæ illæ simultates horum ordinum, indicium modo, veluti in ferro, diversarum sectarum, quarum altera popularem, altera optimatum potentiam præferret, ostendebant : sed horum duorum virorum contentio et ambitio penitus civitatem in duas partes dissecuit, quarum altera populus, altera pauci diceretur. (4) Ideo tum maxime frena populo laxavit Pericles et gratiam ejus captavit in actionibus suis, subinde spectaculum aliquod solenne, aut epulum, aut pompam in urbe instituens et non inelegantibus voluptatibus cives demulcens. Sexaginta quoque triremes quotannis emisit, in quibus navigabat magnus numerus civium octo minarum mercede conductorum : hique simul et exercebant rem nauticam, et discebant. (5) Præterea colonos emisit mille in Chersonesum, quingentos in Naxum, ducentos ac quinquaginta in Andrum, in Thraciam alios mille, qui cum Bisaltis habitarent, alios in Italiam ad inhabitandam, quæ tum condebatur, Sybarim, quam Thurios nominarunt. (6) Hæc agebat, ut otiosa, ob idque inquieta turba urbem levaret, inopiæ populi succurreret, socios in custodia metuque ne quid novi molirentur additis colonis retineret.

XII. Ceterum apparatus donariorum, quibus Athenas exornavit, tale fuit factum, quod et summæ voluptati decorique esset urbi et maximam apud alios admirationem excitaret, uniceque testificaretur, non esse ea conficta, quæ de potentia Græciæ pristinisque divitiis referuntur. Huic autem ejus facto maxime inviderunt adversarii, idque traduxerunt in concionibus, clamantes, populum Atheniensem infamia laborare ac male audire, quod communes Græciæ opes Athenas e Delo transtulisset, cum quidem Pericles eam excusationem rei, quæ videretur in speciem honestissima, scilicet metuentem se, ne a barbaris inde auferrentur, communia bona voluisse loco munito custodire, ipse refellisset. Ac profecto, dicebant, videtur Græcis ingens contumelia illata, iique palam tyrannide a nobis premi, cum quæ illi necessitate impulsi ad bellum gerendum conferunt stipendia, his cernant nos abuti ad exornandam atque inaurandam nostram urbem : cui tanquam impudicæ mulieri appendimus lapides pretiosos, addimus simulacra et templa multis talentorum millibus constantia. (2) Contra hæc Pericles docuit populum, non

κλῆς τὸν δῆμον, ὅτι χρημάτων μὲν οὐκ ὀφείλουσι τοῖς
συμμάχοις λόγον προπολεμοῦντες αὐτῶν καὶ τοὺς βαρ-
159 βάρους ἀνείργοντες, οὐχ ἵππον, οὐ ναῦν, οὐχ ὁπλίτην, a
ἀλλὰ χρήματα μόνον τελούντων· ἃ τῶν διδόντων οὐκ
ἔστιν, ἀλλὰ τῶν λαμβανόντων, ἂν παρέχωσιν ἀνθ' οὗ
λαμβάνουσι· δεῖ δὲ τῆς πόλεως κατεσκευασμένης ἱκα-
νῶς τοῖς ἀναγκαίοις πρὸς τὸν πόλεμον, εἰς ταῦτα τὴν
εὐπορίαν τρέπειν αὐτῆς, ἀφ' ὧν δόξα μὲν γενομένων
ἀΐδιος, εὐπορία δὲ γινομένων ἑτοίμη παρέσται, παντο-
δαπῆς ἐργασίας φανείσης καὶ ποικίλων χρειῶν, αἳ πᾶ-
σαν μὲν τέχνην ἐγείρουσαι, πᾶσαν δὲ χεῖρα κινοῦσαι,
σχεδὸν ὅλην ποιοῦσιν ἐμμισθον τὴν πόλιν ἐξ αὑτῆς
ἅμα κοσμουμένην καὶ τρεφομένην. (3) Τοῖς μὲν γὰρ
ἡλικίαν ἔχουσι καὶ ῥώμην αἱ στρατεῖαι τὰς ἀπὸ τῶν
κοινῶν εὐπορίας παρεῖχον, τὸν δ' ἀσύνταχτον καὶ βάναυ- b
σον ὄχλον οὔτ' ἄμοιρον εἶναι λημμάτων βουλόμενος
οὔτε λαμβάνειν ἀργὸν καὶ σχολάζοντα, μεγάλας κατα-
σκευασμάτων ἐπιβολὰς καὶ πολυτέχνους ὑποθέσεις
ἔργων διατριβὴν ἐχόντων ἐνέβαλε φέρων εἰς τὸν δῆμον,
ἵνα μηδὲν ἧττον τῶν πλεόντων καὶ φρουρούντων καὶ
στρατευομένων τὸ οἰκουροῦν ἔχῃ πρόφασιν ἀπὸ τῶν
δημοσίων ὠφελεῖσθαι καὶ μεταλαμβάνειν. (4) Ὅπου
γὰρ ὕλη μὲν ἦν λίθος, χαλκὸς, ἐλέφας, χρυσὸς, ἔβε-
νος, κυπάρισσος, αἱ δὲ ταύτην ἐκπονοῦσαι καὶ κατερ- c
γαζόμεναι τέχναι, τέκτονες, πλάσται, χαλκοτύποι,
λιθουργοὶ, βαφεῖς χρυσοῦ, μαλακτῆρες ἐλέφαντος,
ζωγράφοι, ποικίλται, τορευταὶ, πομποὶ δὲ τούτων καὶ
κομιστῆρες, ἔμποροι καὶ ναῦται καὶ κυβερνῆται κατὰ
θάλατταν, οἱ δὲ κατὰ γῆν ἁμαξοπηγοὶ καὶ ζευγοτρόφοι
καὶ ἡνίοχοι καὶ καλωστρόφοι καὶ λινουργοὶ καὶ σκυτοτό-
μοι καὶ ὁδοποιοὶ καὶ μεταλλεῖς· ἑκάστη δὲ τέχνη,
καθάπερ στρατηγὸς ἴδιον στράτευμα, τὸν θητικὸν ὄχλον
καὶ ἰδιώτην συντεταγμένον εἶχεν, ὄργανον καὶ σῶμα τῆς
ὑπηρεσίας γινόμενον· εἰς πᾶσαν, ὡς ἔπος εἰπεῖν, ἡλι-
κίαν καὶ φύσιν αἱ χρεῖαι διένεμον καὶ διέσπειρον τὴν
εὐπορίαν.

XIII. Ἀναβαινόντων δὲ τῶν ἔργων ὑπερηφάνων μὲν
μεγέθει, μορφῇ δ' ἀμιμήτων καὶ χάριτι, τῶν δημιουρ- d
γῶν ἁμιλλωμένων ὑπερβάλλεσθαι τὴν δημιουργίαν τῇ
καλλιτεχνίᾳ, μάλιστα θαυμάσιον ἦν τὸ τάχος. Ὧν
γὰρ ἕκαστον ὤοντο πολλαῖς διαδοχαῖς καὶ ἡλικίαις μό-
λις ἐπὶ τέλος ἀφίξεσθαι, ταῦτα πάντα μιᾶς ἀκμῆ πολι-
τείας ἐλάμβανε τὴν συντέλειαν. (2) Καίτοι ποτέ φασιν
Ἀγαθάρχου τοῦ ζωγράφου μέγα φρονοῦντος ἐπὶ τῷ
ταχὺ καὶ ῥᾳδίως τὰ ζῷα ποιεῖν ἀκούσαντα τὸν Ζεῦξιν
εἰπεῖν, « Ἐγὼ δὲ πολλῷ χρόνῳ. » Ἡ γὰρ ἐν τῷ ποιεῖν
εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον
οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ' εἰς τὴν γένεσιν τῷ πόνῳ
προδανεισθεὶς χρόνος ἐν τῇ σωτηρίᾳ τοῦ γενομένου τὴν
ἰσχὺν ἀποδίδωσιν. (3) Ὅθεν καὶ μᾶλλον θαυμάζεται e
τὰ Περικλέους ἔργα πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ γενό-
μενα. Κάλλει μὲν γὰρ ἕκαστον εὐθὺς ἦν τότε ἀρχαῖον,
ἀκμῇ δὲ μέχρι νῦν πρόσφατόν ἐστι καὶ νεουργόν· οὕ-
τως ἐπανθεῖ τις καινότης ἀεὶ ἄθικτον ὑπὸ τοῦ χρόνου

teneri Athenienses ad rationem pecuniæ acceptæ a confœderatis reddendam, pro quibus ipsi bellum gererent, barbarosque arcerent, iis non equos, non naves, non milites, a
pecuniam modo conferentibus, quæ utique non dantis sint, sed accipientis, siquidem is illud, cujus gratia datur, præstet. Porro autem urbe jam ad bellum satis munita rebusque necessariis instructa, divitias in eam esse impendendas rem, qua et urbi gloriam sit allatura perpetuam et effici cum summo civium bono facile possit. Scilicet ad eam absolvendam usum fore omnis generis artium atque operarum, quibus, quia omnes artes excitaturæ et omnium manus labore occupaturæ essent, tota propemodum civitas mercedem accipiat, iisdemque rebus simul et exornetur et alatur. (3) Etenim eo tempore ii, quorum erat valida b
ætas integræque vires, militiæ publicis stipendiis alebantur, reliquam incompositam studiisque illiberalibus deditam turbam Pericles cum neque expertem lucri esse neque ei mercedem otianti et inerti dare vellet, auctor fuit apud populum magnis instituendis apparatibus suscipiendisque operibus cum artifices omnis generis tum longum tempus requirentibus, ut jam iis qui in urbe manerent non minor occasio esset ex publica pecunia partem capiendi, quam iis qui navigabant, in præsidiis erant, aut militabant. (4) Nimirum materia eorum operum requirebatur, c
lapis, æs, ebur, aurum, ebenus, cupressus; deinde artifices qui in ea elaborarent materia, atque opus conficerent: fabri, figuli, ærarii, lapicidæ, tinctores auri, eboris molliendi periti, pictores, plumarii, tornatores; item qui materiam adveherent, in mari mercatores, nautæ, gubernatores, in terra fabri carpentarii, ii qui equos ad currus trahendos alunt, aurigæ, restiones, textores, sutores, viarum paratores, metallorum fossores: sub unaqualibet artium, tanquam suo duce, erat exercitus suus hominum infimæ sortis mercedis causa operantium, tanquam instrumentum et corpus, quo ars suum opus perficeret. Ita hæ operæ ad omnem fere ætatem atque conditionem differebant atque dispergebant capturas.

XIII. Progredientibus operibus mole quidem superbis, d
forma autem et elegantia imitationem omnem superantibus, cum ipsi opifices certatim hoc agerent, ut artificio alter alterum vinceret: tamen celeritas maxime miraculo fuit; quæ enim singuli putabant vix multis ætatibus absolutum iri, ea omnia unius viri principatu vigente ad finem perducta sunt. (2) Ferunt sane quodam tempore Agatharcho pictori jactanti se, quod facile et celeriter sua animalia pingeret, Zeuxin dixisse, sua se multo tempori elaborare; id videlicet innuentem, facilitate et celeritate in efficiendo neque diuturnitatem neque perfectam pulcritudinem operibus conciliari: at tempus ad elaborandum opus mutuo quod sumitur, ipsius operis absoluti firmitate persolvi. (3) Quo majorem Periclis opera admirationem merentur, e
quæ parvo temporis spatio effecta, diutissime durarunt: nam propter elegantiam formæ, unum quodlibet eorum jam tum antiquum videbatur, vigor autem is inest, ut hodie quoque singula nova recensque facta videantur; adeo floret in iis operibus novitas quædam, cujus formæ

διατηροῦσα τὴν ὄψιν, ὥσπερ ἀειθαλὲς πνεῦμα καὶ ψυχὴν ἀγήρω καταμεμιγμένην τῶν ἔργων ἐχόντων. (4) Πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ Φειδίας, καίτοι μεγάλους ἀρχιτέκτονας ἐχόντων καὶ τεχνίτας τῶν ἔργων. (5) Τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος, τὸ δ' ἐν Ἐλευσῖνι τελεστήριον ἦρξατο μὲν Κόροιβος οἰκοδομεῖν καὶ τοὺς ἐπ' ἐδάφους κίονας ἔθηκεν οὗτος καὶ τοῖς ἐπιστυλίοις ἐπέζευξεν· ἀποθανόντος δὲ τούτου Μεταγένης ὁ Ξυπέτιος τὸ διάζωμα καὶ τοὺς ἄνω κίονας ἐπέστησε· τὸ δ' ὀπαῖον ἐπὶ τοῦ Ἀνακτόρου Ξενοκλῆς ὁ Χολαργεὺς ἐκορύφωσε· τὸ δὲ Μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους, ἠργολάβησε Καλλικράτης. (6) Κωμῳδεῖ δὲ τὸ ἔργον Κρατῖνος ὡς βραδέως περαινόμενον·

Πάλαι γὰρ αὐτὸ (φησὶ)
λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ.

(7) Τὸ δ' Ὠδεῖον, τῇ μὲν ἐντὸς διαθέσει πολυέδρον καὶ πολύστυλον, τῇ δ' ἐρέψει περικλινὲς καὶ κάταντες ἐκ μιᾶς κορυφῆς πεποιημένον, εἰκόνα λέγουσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους. (8) Διὸ καὶ πάλιν Κρατῖνος ἐν Θρᾴτταις παίζει πρὸς αὐτόν·

Ὁ σχινοκέφαλος Ζεὺς ὅδε προσέρχεται
Περικλέης τῷδεῖον ἐπὶ τοῦ κρανίου
ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται.

(9) Φιλοτιμούμενος δ' ὁ Περικλῆς τότε πρῶτον ἐψηφίσατο μουσικῆς ἀγῶνα τοῖς Παναθηναίοις ἄγεσθαι καὶ διέταξεν αὐτὸς ἀθλοθέτης αἱρεθεὶς καθότι χρὴ τοὺς ἀγωνιζομένους αὐλεῖν ἢ ᾄδειν ἢ κιθαρίζειν. Ἐθεῶντο δὲ καὶ τότε καὶ τὸν ἄλλον χρόνον ἐν Ὠδείῳ τοὺς μουσικοὺς ἀγῶνας. Τὰ δὲ Προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη μὲν ἐν πενταετίᾳ Μνησικλέους ἀρχιτεκτονοῦντος· τύχη δὲ θαυμαστὴ συμβᾶσα περὶ τὴν οἰκοδομίαν ἐμήνυσε τὴν θεὸν οὐκ ἀποστατοῦσαν, ἀλλὰ συνεφαπτομένην τοῦ ἔργου καὶ συνεπιτελοῦσαν. (10) Ὁ γὰρ ἐνεργότατος καὶ προθυμότατος τῶν τεχνιτῶν ἀποσφαλεὶς ἐξ ὕψους ἔπεσε καὶ διέκειτο μοχθηρῶς ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος. Ἀθυμοῦντος δὲ τοῦ Περικλέους ἡ θεὸς ὄναρ φανεῖσα συνέταξε θεραπείαν, ᾗ χρώμενος ὁ Περικλῆς ταχὺ καὶ ῥᾳδίως ἰάσατο τὸν ἄνθρωπον. Ἐπὶ τούτῳ δὲ καὶ τὸ χαλκοῦν ἄγαλμα τῆς Ὑγείας Ἀθηνᾶς ἀνέστησεν ἐν ἀκροπόλει παρὰ τὸν βωμόν, ὃς καὶ πρότερον ἦν, ὡς λέγουσιν. (11) Ὁ δὲ Φειδίας εἰργάζετο μὲν τῆς θεοῦ τὸ χρυσοῦν ἔδος καὶ τούτου δημιουργὸς ἐν τῇ στήλῃ εἶναι γέγραπται, πάντα δ' ἦν σχεδὸν ἐπ' αὐτῷ καὶ πᾶσιν, ὡς εἰρήκαμεν, ἐπεστάτει τοῖς τεχνίταις διὰ φιλίαν Περικλέους. (12) Καὶ τοῦτο τῷ μὲν φθόνον, τῷ δὲ βλασφημίαν ἤνεγκεν, ὡς ἐλευθέρας τῷ Περικλεῖ γυναῖκας εἰς τὰ ἔργα φοιτώσας ὑποδεχομένου τοῦ Φειδίου. (13) Δεξάμενοι δὲ τὸν λόγον οἱ κωμικοὶ πολλὴν ἀσέλγειαν αὐτοῦ κατεσκέδασαν εἴς τε τὴν Μενίππου γυναῖκα διαβάλλοντες, ἀνδρὸς φίλου καὶ ὑπο-

nulla ætas officere possit, atque inest quasi perpetuo virens quædam et senectæ expers anima. (4) Omnibus his operibus præfuit Phidias : quanquam singula sunt a præstantissimis architectis et artificibus elaborata. (5) Parthenonem Hecatompedon Callicrates et Ictinus ædificarunt. Templum Eleusine Corœbus inchoavit columnasque in pavimento erexit et epistyliis junxit : mortuo eo, Metagenes Xypetius zophorum et columnas superiores addidit; fastigium fenestræ adyti Xenocles Cholargensis adjecit : Longum murum, de quo Socrates se ait audivisse ad populum referentem Periclem, Callicrates faciendum conduxit. (6) Cratinus id opus, ut tarde perfectum, in comœdia subsannat his verbis :

Numque dudum opus
verbis quidem Pericles movet : reapse promovet nil.

(7) Odeum intus multis sedilibus ac columnis distinctum, tecto autem declivi et uno fastigio clauso contentum, dicunt effigiem esse et exemplum regii tabernaculi, ipsum quoque rectore Pericle conditum. (8) Itaque alius Cratini in eum jocus est in Thressis :

En, Juppiter cum capite scillino hic adest
Pericles : atque adeo odeon in calvaria
gestat sua, postquam evitavit testulam.

(9) Tum quoque primum Pericles magnificentiæ ostentandæ causa musica certamina Panathenæo festo haberi jussit, ipseque iis præfectus demonstravit, quomodo qui certarent, tibia, voce vel fidibus canere deberent. Spectata sunt ét tum temporis et alias ea certamina in Odeo. Propylæa arcis quinquennio exstruxit Mnesicles. Mirus autem casus evenit inter ædificandum, qui indicavit, deam non abhorrere ab eo opere, sed id quo melius perficeretur auxilio esse. (10) Qui enim inter omnes fabros diligentissimus atque laboriosissimus habebatur, is de sublimi loco decidit graviterque eo casu afflictus et a medicis pro deplorato relictus est. Pericli autem propterea mœsto, Minerva in somnis apparuit medicinamque edocuit, qua usus, celeriter et non magno labore hominem sanitati restituit. Atque idcirco Hygiæ (*i. e. salutaris*) Minervæ simulacrum æreum statuit in arce ad aram, quæ erat, ut perhibent, jam ante posita. (11) Minervæ aureum signum fabricatus est Phidias inque columna se ejus auctorem inscripsit : omnia autem in ipso posita erant, et, quemadmodum retuli, omnibus præerat artificibus, propter amicitiam Periclis. (12) Atque hæc res alterum invidiæ, alterum calumniis objecit; ferebaturque Phidias Periclis gratia excipere liberas mulieres, quæ operum spectandorum causa ventitabant. (13) Arripuerunt eum sermonem Comici multisque conviciis Periclem insectati sunt, qui cum Menippi amici sui ac legati uxore rem haberet, et Pyrilampem

στρατηγοῦντος, εἴς τε τὰς Πυριλάμπους ὀρνιθοτροφίας, ὃς ἑταῖρος ὢν Περικλέους αἰτίαν εἶχε ταῶνας ὑφιέναι ταῖς γυναιξίν, αἷς ὁ Περικλῆς ἐπλησίαζε. (14) Καὶ τί ἄν τις ἀνθρώπους σατυρικοὺς τοῖς βίοις καὶ τὰς κατὰ τῶν κρειττόνων βλασφημίας ὥσπερ δαίμονι κακῷ τῷ φθόνῳ τῶν πολλῶν ἀποθύοντας ἑκάστοτε θαυμάσειεν, ὅπου καὶ Στησίμβροτος ὁ Θάσιος δεινὸν ἀσέβημα καὶ μυθῶδες ἐξενεγκεῖν ἐτόλμησεν εἰς τὴν γυναῖκα τοῦ υἱοῦ κατὰ τοῦ Περικλέους; (15) Οὕτως ἔοικε πάντη χαλεπὸν εἶναι καὶ δυσθήρατον ἱστορίᾳ τἀληθὲς, ὅταν οἱ μὲν ὕστερον γεγονότες τὸν χρόνον ἔχωσιν ἐπιπροσθοῦντα τῇ γνώσει τῶν πραγμάτων, ἡ δὲ τῶν πράξεων καὶ τῶν βίων ἡλικιῶτις ἱστορία τὰ μὲν φθόνοις καὶ δυσμενείαις, τὰ δὲ χαριζομένη καὶ κολακεύουσα λυμαίνηται καὶ διαστρέφῃ τὴν ἀλήθειαν.

XIV. Τῶν δὲ περὶ τὸν Θουκυδίδην ῥητόρων καταβοώντων τοῦ Περικλέους ὡς σπαθῶντος τὰ χρήματα καὶ τὰς προσόδους ἀπολλύντος, ἠρώτησεν ἐν ἐκκλησίᾳ τὸν δῆμον, εἰ πολλὰ δοκεῖ δεδαπανῆσθαι· φησάντων δὲ πάμπολλα, « Μὴ τοίνυν, εἶπεν, ὑμῖν, ἀλλ' ἐμοὶ δεδαπανήσθω καὶ τῶν ἀναθημάτων ἰδίαν ἐμαυτοῦ ποιήσομαι τὴν ἐπιγραφήν. » (2) Εἰπόντος οὖν ταῦτα τοῦ Περικλέους, εἴτε τὴν μεγαλοφροσύνην αὐτοῦ θαυμάσαντες εἴτε πρὸς τὴν δόξαν ἀντιφιλοτιμούμενοι τῶν ἔργων ἀνέκραγον κελεύοντες ἐκ τῶν δημοσίων ἀναλίσκειν καὶ χορηγεῖν μηδενὸς φειδόμενον. (3) Τέλος δὲ πρὸς τὸν Θουκυδίδην εἰς ἀγῶνα περὶ τοῦ ὀστράκου καταστὰς καὶ διακινδυνεύσας ἐκεῖνον μὲν ἐξέβαλε, κατέλυσε δὲ τὴν ἀντιτεταγμένην ἑταιρείαν.

XV. Ὡς οὖν παντάπασι λυθείσης τῆς διαφορᾶς καὶ τῆς πόλεως οἷον ὁμαλῆς καὶ μιᾶς γενομένης κομιδῇ περιήνεγκεν εἰς ἑαυτὸν τὰς Ἀθήνας καὶ τὰ τῶν Ἀθηναίων ἐξηρτημένα πράγματα, φόρους καὶ στρατεύματα καὶ τριήρεις καὶ νήσους καὶ θάλασσαν καὶ πολλὴν μὲν δι' Ἑλλήνων, πολλὴν δὲ καὶ διὰ βαρβάρων ἤκουσαν ἰσχὺν καὶ ἡγεμονίαν ὑπηκόοις ἔθνεσι καὶ φιλίαις βασιλέων καὶ συμμαχίαις πεφραγμένην δυναστῶν, οὐκέθ' ὁ αὐτὸς ἦν οὐδ' ὁμοίως χειρισθῆς τῷ δήμῳ καὶ ῥᾴδιος ὑπείκειν καὶ συνενδιδόναι ταῖς ἐπιθυμίαις ὥσπερ πνοαῖς τῶν πολλῶν, ἀλλ' ἐκ τῆς ἀνειμένης ἐκείνης καὶ ὑποθρυπτομένης ἕνια δημαγωγίας ὥσπερ ἀνθηρᾶς καὶ μαλακῆς ἁρμονίας ἀριστοκρατικὴν καὶ βασιλικὴν ἐντεινάμενος πολιτείαν καὶ χρώμενος αὐτῇ πρὸς τὸ βέλτιστον ὀρθῇ καὶ ἀνεγκλίτῳ, τὰ μὲν πολλὰ βουλόμενον ἦγε πείθων καὶ διδάσκων τὸν δῆμον, ἦν δ' ὅτε καὶ μάλα δυσχεραίνοντα κατατείνων καὶ προσβιβάζων ἐχειροῦτο τῷ συμφέροντι μιμούμενος ἀτεχνῶς ἰατρὸν ποικίλῳ νοσήματι καὶ μακρῷ κατὰ καιρὸν μὲν ἡδονὰς ἀβλαβεῖς, κατὰ καιρὸν δὲ δηγμοὺς καὶ φάρμακα προσφέροντα σωτήρια. (2) Παντοδαπῶν γὰρ, ὡς εἰκὸς, παθῶν ἐν ὄχλῳ τοσούτῳ τὸ μέγεθος ἀρχὴν ἔχοντι φυομένων, μόνος ἐμμελῶς ἕκαστα διαχειρίσασθαι πεφυκὼς, μάλιστα δ' ἐλπίσι καὶ φόβοις ὥσπερ οἰαξὶ προαναστέλλων τὸ θρασυνόμενον αὐτῶν καὶ τὸ δύσθυμον ἀνιεὶς καὶ παραμυθούμενος ἔδειξε τὴν

propter avium nutritionem exagitarunt, quod is amicus Periclis, mulieribus, quibuscum hic consuetudinem stupri habebat, pavones submitteret. (14) Quanquam quid attinet admirari homines instituto vitæ satyricos, quique obtrectationes potentium invidiæ vulgi, tanquam malo alicui genio, consecrare solerent, quando Stesimbrotus etiam Thasius atrox et fabulosum scelus Periclis in filii uxorem perpetratum ausus fuit comminisci? (15) Adeo difficilis investigatu res est historia vera, cum posterioribus præteritum tempus cognitionem rerum præripiat, qui vero æquales sunt ejus, cujus vitam aut acta describunt, ii partim invidia odioque, partim gratificandi studio et adulatione corrupti, veritati officiant.

XIV. Cum oratores, qui Thucydidis sectæ erant, frequenter contra Periclem clamitarent, profundi ab eo pecunias et accidi reditus publicos, percontatus est populum in concione, an magnos sumptus factos putarent: affirmantibus ingentes factos, « Non igitur, inquit, vestra hæc sint impendia, sed mea, atque ego donariis meum nomen inscribam. » (2) Quod cum dixisset, populus sive magnificentiam ejus admiratus, sive de operum cum eo certantes gloria, sublato clamore de publico impendere jusserunt, neque ulli rei parcere. (3) Ad extremum in certamen de ostracismo descendens contra Thucydidem, vicit, eoque ejecto, adversam factionem evertit.

XV. Proinde omni rixa sublata civitateque ad concordiam reducta, cum plane in suam redegisset potestatem Athenas, reseque ab illis pendentes, nimirum reditus, exercitus, triremes, insulas, mare, magnamque potentiam et principatum partim apud Græcos, partim apud barbaros valentem, subditisque gentibus, amicitiis regum ac fœderibus dynastarum munitum: cœpit minus jam se populo obsequentem præbere neque ita facile libidinibus plebis, sicut ventis, indulgere, sed laxam illam atque nonnihil lascivam popularem rationem, tanquam mollem atque floridam harmoniam intendere, ut principatum optimatium et regalem potestatem in republica efficeret; civitatem ipsam ad optima quæque rectam inconcussamque reddidit, populum autem plerumque persuadendo docendoque, nonnunquam etiam invitum eo adegit, ut communi utilitati obtemperaret. Eaque in re medicos prorsus imitatus est, qui in morbo vario ac diuturno curando, quandoque innoxiam voluptatem afferentia, quandoque mordicantia et violenta remedia adhibent. (2) Nam Pericles quidem, homo unice natus ad tractandos eos animorum motus atque impetus, quos omnis generis exsistere in hominum multitudine tantam dominationem possidente consentaneum est, præsertim ferociam et languorem spe et metu subinde injecto tanquam gubernaculis temperans, illamque reprimens, hunc mulcens laxando atque consolans, ostendit, oratoriam artem esse,

ρητορικὴν κατὰ Πλάτωνα ψυχαγωγίαν οὖσαν καὶ μέγιστον ἔργον αὐτῆς τὴν περὶ τὰ ἤθη καὶ πάθη μέθοδον, ὥσπερ τινὰς τόνους καὶ φθόγγους ψυχῆς μάλ' ἐμμελοῦς d ἁφῆς καὶ κρούσεως δεομένους. (3) Αἰτία δ' οὐχ ἡ τοῦ λόγου ψιλῶς δύναμις, ἀλλ', ὡς Θουκυδίδης φησὶν, ἡ περὶ τὸν βίον δόξα καὶ πίστις τοῦ ἀνδρὸς, ἀδωροτάτου περιφανῶς γενομένου καὶ χρημάτων κρείττονος· ὃς καὶ τὴν πόλιν ἐκ μεγάλης μεγίστην καὶ πλουσιωτάτην ποιήσας καὶ γενόμενος καὶ δυνάμει πολλῶν βασιλέων καὶ τυράννων ὑπέρτερος, ὧν ἔνιοι καὶ ἐπὶ τοῖς υἱέσι διέθεντο, ἐκεῖνος μιᾷ δραχμῇ μείζονα τὴν οὐσίαν οὐκ ἐποίησεν ἢ ὁ πατὴρ αὐτῷ κατέλιπε.

XVI. Καίτοι τὴν δύναμιν αὐτοῦ σαφῶς μὲν ὁ Θουκυδίδης διηγεῖται, κακοήθως δὲ παρεμφαίνουσιν οἱ κω- e μικοὶ, Πεισιστρατίδας μὲν νέους τοὺς περὶ αὐτὸν ἑταίρους καλοῦντες, αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν κελεύοντες, ὡς ἀσυμμέτρου πρὸς δημοκρατίαν καὶ βαρυτέρας περὶ αὐτὸν οὔσης ὑπεροχῆς. (2) Ὁ δὲ Τηλεκλείδης παραδεδωκέναι φησὶν αὐτῷ τοὺς Ἀθηναίους

Πόλεών τε φόρους αὐτάς τε πόλεις, τὰς μὲν δεῖν, τὰς δ' [ἀναλύειν,
λάϊνα τείχη, τὰ μὲν οἰκοδομεῖν τὰ δὲ αὐτὰ πάλιν κατα- [βάλλειν,
σπονδάς, δύναμιν, κράτος, εἰρήνην πλοῦτόν τ' εὐδαιμο- [νίαν τε.

(3) Καὶ ταῦτα καιρὸς οὐκ ἦν οὐδ' ἀκμὴ καὶ χάρις ἀνθούσης ἐφ' ὥρᾳ πολιτείας, ἀλλὰ τεσσαράκοντα μὲν ἔτη f πρωτεύων ἐν Ἐφιάλταις καὶ Λεωκράταις καὶ Μυρωνίδαις καὶ Κίμωσι καὶ Τολμίδαις καὶ Θουκυδίδαις, μετὰ δὲ τὴν Θουκυδίδου κατάλυσιν καὶ τὸν ὀστρακισμὸν οὐκ ἐλάττω τῶν πεντεκαίδεκα ἐτῶν διηνεκῆ καὶ μίαν οὖσαν ἐν ταῖς ἐνιαυσίοις στρατηγίαις ἀρχὴν καὶ δυναστείαν κτησάμενος ἐφύλαξεν ἑαυτὸν ἀνάλωτον ὑπὸ 162 χρημάτων, καίπερ οὐ παντάπασιν ἀργῶς ἔχων πρὸς a χρηματισμὸν, ἀλλὰ τὸν πατρῷον καὶ δίκαιον πλοῦτον, ὡς μήτ' ἀμελούμενος ἐκφύγοι μήτε πολλὰ πράγματα καὶ διατριβὰς ἀσχολουμένῳ παρέχοι, συνέταξεν εἰς οἰκονομίαν, ἣν ᾤετο ῥᾴστην καὶ ἀκριβεστάτην εἶναι. Τοὺς γὰρ ἐπετείους καρποὺς ἅπαντας ἀθρόους ἐπίπρασκεν, εἶτα τῶν ἀναγκαίων ἕκαστον ἐξ ἀγορᾶς ὠνούμενος διῴκει τὸν βίον καὶ τὰ περὶ τὴν ὁίαιταν. (4) Ὅθεν οὐχ ἡδὺς ἦν ἐνηλίκοις παισὶν οὐδὲ γυναιξὶ δαψιλὴς χορηγὸς, ἀλλ' ἐμέμφοντο τὴν ἐφήμερον ταύτην καὶ συνηγμένην εἰς τὸ ἀκριβέστατον δαπάνην, οὐδενὸς, οἷον ἐν οἰκίᾳ μεγάλῃ καὶ πράγμασιν ἀφθόνοις, περιῤῥέοντος, ἀλλὰ παντὸς μὲν ἀναλώματος, παντὸς δὲ λήμματος δι' b ἀριθμοῦ καὶ μέτρου βαδίζοντος. (5) Ὁ δὲ πᾶσαν αὐτοῦ τὴν τοιαύτην συνέχων ἀκρίβειαν εἷς ἦν οἰκέτης, Εὐάγγελος, ὡς ἕτερος οὐδεὶς εὖ πεφυκὼς ἢ κατεσκευασμένος ὑπὸ τοῦ Περικλέους πρὸς οἰκονομίαν. (6) Ἀπηρτημένα οὖν ταῦτα τῆς Ἀναξαγόρου σοφίας, εἴγε καὶ τὴν οἰκίαν ἐκεῖνος ἐξέλιπε καὶ τὴν χώραν ἀφῆκεν ἀργὴν καὶ μηλόβοτον ὑπ' ἐνθουσιασμοῦ καὶ μεγαλοφροσύνης· οὐ ταὐτὸν δ' ἐστὶν, οἶμαι, θεωρητικοῦ φιλοσό-

ut ait Plato, facultatem animos hominum ducendi, maximque ejus partem versari in ratione ac via humani animi mores et affectus regendi, qui cum sint tanquam nervi ac soni quidam animi, concinne admodum pulsari tractarique volunt. (3) Atque ut hoc posset Pericles, non vis nuda dicendi præstitit, sed, quod testatur Thucydides, gloria vitæ auctoritasque hujus viri, quem constabat nulla dona accipere, nulla pecunia corrumpi posse : qui et cum urbem, magnam ante, ad summum fastigium maximasque divitias evexisset, et potentia multis regibus tyrannisque præstaret, quorum nonnulli et filiis superstitibus testamentum fecerunt, opes ne denario quidem ampliores reliquit, quam a patre acceperat.

XVI. Ac potentia quidem ejus quanta fuerit, a Thucydide est perspicue traditum. Comici autem maligne eam notant, sociis ejus Pisistratidarum novorum nomen facientes, et ipsum juramento adigi jubentes ne tyrannidem invadere vellet, quod excellentia ejus gravior esset, quam cui cum populari imperio convenire posset. (2) Teleclides potestati ejus scribit Athenienses permisisse

Urbium reditus ipsasque urbes, has stringere, solvereque [illas,
muros exædificare lapi rursusque evertere eosdem,
fœdera, vires, imperium, pacem, et opes et prosperita- [tem.

(3) Neque vero ad tempus hæc ei nec cum gratia floreret aliquamdiu ejus reipublicæ administratio tributa sunt, sed quadraginta per annos principatum obtinuit, cum essent in eadem civitate Ephialtes, Leocrates, Myronides, Cimones, Tolmidæ, Thucydides ; oppresso et expulso Thucydide, non pauciores quindecim annos continuum et vero unum in annuis magistratibus imperium et arbitrium nactus, invictum se a pecunia præstitit : alioquin non negligens omnino rei familiaris, sed bona paterna, quæ justo titulo possidebat, cum neque injuria dilabi pateretur, neque iis tractandis multum sibi negotii molestiæque exhiberi vellet, eam domesticæ rei rationem iniit, quam et expeditissimam et certissimam putabat, ita ut omnes annuos fructus venderet simul quotannis, quæ autem ad victum et rem familiarem erant necessaria, singula in foro quovis tempore emeret. (4) Ea ratio neque pubescentibus filiis grata erat, neque largum præbitorem eum mulieres habebant : reprehendebantque istam impensarum rationem in dies et accurato calculo computatam, cum in magna familia et opibus splendidis nihil abundaret, sed omnes sumptus, omnes reditus ad certum numerum mensuramque revocarentur. (5) Totam autem rem familiarem ita institutam accuratissime administrabat Euangulus famulus, sive natura sive institutione Periclis ad id negotium ita egregie paratus, ut nemo quisquam. (6) Hæc omnia erant ab Anaxagoræ philosophia aliena, siquidem ille furore quodam animi divino atque elatione impulsus domum suam deseruit agrumque otiosum et pecoribus pascendum reliquit. Quanquam mea sententia non eadem ratio est vitæ ejus qui in

φου καὶ πολιτικοῦ βίος, ἀλλ' ὁ μὲν ἀνόργανον καὶ ἀπροσδεῆ τῆς ἐκτὸς ὕλης ἐπὶ τοῖς καλοῖς κινεῖ τὴν διάνοιαν, τῷ δ' εἰς ἀνθρωπείας χρείας ἀναμιγνύντι τὴν ἀρετὴν ἔστιν οὗ γένοιτ' ἂν οὐ τῶν ἀναγκαίων μόνον, ἀλλὰ καὶ τῶν καλῶν ὁ πλοῦτος, ὥσπερ ἦν καὶ Περικλεῖ βοηθοῦντι πολλοῖς τῶν πενήτων. (7) Καὶ μέντοι γε τὸν Ἀναξαγόραν αὐτὸν λέγουσιν ἀσχολουμένου Περικλέους ἀμελούμενον κεῖσθαι συγκεκαλυμμένον ἤδη γηραιὸν ἀποκαρτεροῦντα· προσπεσόντος δὲ τῷ Περικλεῖ τοῦ πράγματος ἐκπλαγέντα θεῖν εὐθὺς ἐπὶ τὸν ἄνδρα καὶ δεῖσθαι πᾶσαν δέησιν ὀλοφυρόμενον οὐκ ἐκεῖνον, ἀλλ' ἑαυτὸν, εἰ τοιοῦτον ἀπολεῖ τῆς πολιτείας σύμβουλον. Ἐκκαλυψάμενον οὖν τὸν Ἀναξαγόραν εἰπεῖν πρὸς αὐτὸν, « Ὦ Περίκλεις, καὶ οἱ τοῦ λύχνου χρείαν ἔχοντες ἔλαιον ἐπιχέουσιν. »

XVII. Ἀρχομένων δὲ Λακεδαιμονίων ἄχθεσθαι τῇ αὐξήσει τῶν Ἀθηναίων ἐπαίρων ὁ Περικλῆς τὸν δῆμον ἔτι μᾶλλον μέγα φρονεῖν καὶ μεγάλων αὐτὸν ἀξιοῦν πραγμάτων γράφει ψήφισμα, πάντας Ἕλληνας τοὺς ὁπήποτε κατοικοῦντας Εὐρώπης ἢ τῆς Ἀσίας παρακαλεῖν καὶ μικρὰν πόλιν καὶ μεγάλην εἰς σύλλογον πέμπειν Ἀθήναζε τοὺς βουλευσομένους περὶ τῶν Ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι, καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς Ἑλλάδος εὐξάμενοι τοῖς θεοῖς ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο, καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ τὴν εἰρήνην ἄγωσιν. (2) Ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων ἐπέμφθησαν, ὧν πέντε μὲν Ἴωνας καὶ Δωριεῖς τοὺς ἐν Ἀσίᾳ καὶ νησιώτας ἄχρι Λέσβου καὶ Ῥόδου παρεκάλουν, πέντε δὲ τοὺς ἐν Ἑλλησπόντῳ καὶ Θράκῃ μέχρι Βυζαντίου τόπους ἐπῆεσαν, καὶ πέντε ἐπὶ τούτοις εἰς Βοιωτίαν καὶ Φωκίδα καὶ Πελοπόννησον, ἐκ δὲ ταύτης διὰ Λοκρῶν ἐπὶ τὴν πρόσοικον ἤπειρον ἕως Ἀκαρνανίας καὶ Ἀμβρακίας ἀπεστάλησαν· οἱ δὲ λοιποὶ δι' Εὐβοίας ἐπ' Οἰταίους καὶ τὸν Μαλιέα κόλπον καὶ Φθιώτας Ἀχαιοὺς καὶ Θεσσαλοὺς ἐπορεύοντο συμπείθοντες ἰέναι καὶ μετέχειν τῶν βουλευμάτων ἐπ' εἰρήνῃ καὶ κοινοπραγίᾳ τῆς Ἑλλάδος. (3) Ἐπράχθη δὲ οὐδὲν οὐδὲ συνῆλθον αἱ πόλεις Λακεδαιμονίων ὑπεναντιωθέντων, ὡς λέγεται, καὶ τὸ πρῶτον ἐν Πελοποννήσῳ τῆς πείρας ἐλεγχθείσης. Τοῦτο μὲν οὖν παρεθέμην ἐνδεικνύμενος αὐτοῦ τὸ φρόνημα καὶ τὴν μεγαλοφροσύνην.

163 XVIII. Ἐν δὲ ταῖς στρατηγίαις εὐδοκίμει μάλιστα διὰ τὴν ἀσφάλειαν, οὔτε μάχης ἐχούσης πολλὴν ἀδηλότητα καὶ κίνδυνον ἑκουσίως ἁπτόμενος οὔτε τοὺς ἐκ τοῦ παραβάλλεσθαι χρησαμένους τύχῃ λαμπρᾷ καὶ θαυμασθέντας ὡς μεγάλους ζηλῶν καὶ μιμούμενος στρατηγοὺς ἀεί τε λέγων πρὸς τοὺς πολίτας, ὡς ὅσον ἐπ' αὐτῷ μενοῦσιν ἀθάνατοι πάντα τὸν χρόνον. (2) Ὁρῶν δὲ Τολμίδην τὸν Τολμαίου διὰ τὰς πρότερον εὐτυχίας καὶ διὰ τὸ τιμᾶσθαι διαφερόντως ἐκ τῶν πολεμικῶν σὺν οὐδενὶ καιρῷ παρασκευαζόμενον εἰς Βοιωτίαν ἐμβαλεῖν καὶ πεπεικότα τῶν ἐν ἡλικίᾳ τοὺς ἀρί-

contemplando solum et ejus qui in republica versatur : alter enim mentis agitationem, nullius instrumenti rerumque extra se positarum adminiculo indigentem, pulcris rebus adhibet; ei autem, qui virtutem usibus hominum applicat, non in rebus modo necessariis, sed etiam bonis divitiæ quandoque sunt habendæ : et ita res habebat in Pericle, qui multis pauperibus opem ferebat. (7) Sane hoc quoque memoriæ proditum est, Anaxagoram a Pericle occupationibus distracto neglectum, magno jam natu, corpore obvelato jacuisse ac decrevisse vitam inedia finire : Periclem, ut ei rumor hac de re acciderit, territum accurrisse ad hominem, et enixe orasse, deplorasseque non illum, sed se ipsum qui talem in republica consiliarium amitteret : tum Anaxagoram reducta veste dixisse, « O Pericles, qui lucerna opus habent, oleum ei affundunt. »

XVII. Cum jam Lacedæmonii inciperent auctus Atheniensium iniquo animo ferre, populum Pericles excitavit auctorque fuit, ut magnos sibi spiritus sumerent ac magnas sibi res arrogarent. Itaque decretum fecit, quo postulabat ut omnes Græci, ubicunque ii locorum in Europa Asiave habitarent, omnes urbes, cum magnæ tum parvæ, Athenas mitterent legatos deliberaturos de templis Græciæ a barbaris incendio abolitis, de sacrificiis, quæ diis pro salute Græciæ vota in prœlio contra barbaros nondum erant soluta; de mari, quomodo id ab omnibus navigari tuto ac pax constare posset. (2) Hujus rei exsequendæ causa missi sunt viri viginti ex iis qui ætatis annum quinquagesimum excesserant : quinque, ut hortarentur ad hoc Ionas ac Dorienses eos, qui in Asia habitarent insularumque ad Lesbum usque et Rhodum incolas; totidem qui per Hellespontum Thraciamque Byzantium usque mandatum deferrent; quinque in Bœotiam, Phocidem, Peloponnesum, inde per Locros, continentemque finitimam, usque ad Acarnaniam et Ambraciam; reliqui dimissi per Eubœam ad Œtæ accolas, sinum Maliacum, Phthiotas Achivos, et Thessalos, qui persuaderent iis, ut venirent ad consilium de pace ac societate universæ Græciæ capiendum. (3) Neque convenerunt civitates, Lacedæmoniis, ut fertur, repugnantibus, primumque in Peloponneso, quid sibi hic conatus vellet, deprehensum. Adducta autem hæc sunt a me, ut spiritus et magnitudinem animi ejus viri demonstrarem.

XVIII. In militaribus imperiis eo potissimum nomine laudatus est, quod securitati studeret ac neque pugnam libenter consereret incerto eventu et periculosam, neque imitaretur eos duces, qui cum temere in discrimen pugnæ rem adduxissent, prospero usi successu, magni habebantur; solitus etiam crebro ad cives suos dicere, quantum in se positum esset, mansuros ipsos in omne tempus immortales. (2) Cum autem videret, Tolmidam Tolmæi filium elatum gloria prioris fortunæ atque honore, qui ob rem bellicam ei eximius habebatur, alieno tempore in Bœotiam moliri expeditionem ac persuasisse optimo cuivis atque laudis cu-

στους καὶ φιλοτιμοτάτους ἐθέλοντι στρατεύεσθαι χιλίους γενομένους ἄνευ τῆς ἄλλης δυνάμεως, κατέχειν ἐπειρᾶτο καὶ παρακαλεῖν ἐν τῷ δήμῳ τὸ μνημονευόμενον εἰπών, ὡς, εἰ μὴ πείθοιτο Περικλεῖ, τόν γε σοφώτατον οὐχ ἁμαρτήσεται σύμβουλον ἀναμείνας χρόνον. (3) Τότε μὲν οὖν μετρίως εὐδοκίμησε τοῦτ' εἰπών· ὀλίγαις δ' ὕστερον ἡμέραις, ὡς ἀνηγγέλθη τεθνεὼς μὲν αὐτὸς Τολμίδης περὶ Κορώνειαν ἡττηθεὶς μάχῃ, τεθνεῶτες δὲ πολλοὶ καγαθοὶ τῶν πολιτῶν, μεγάλην τοῦτο τῷ Περικλεῖ μετ' εὐνοίας δόξαν ἤνεγκεν, ὡς ἀνδρὶ φρονίμῳ καὶ φιλοπολίτῃ.

XIX. Τῶν δὲ στρατηγιῶν ἡγαπήθη μὲν ἡ περὶ Χερρόνησον αὐτοῦ μάλιστα σωτήριος γενομένη τοῖς αὐτόθι κατοικοῦσι τῶν Ἑλλήνων. (2) Οὐ γὰρ μόνον ἐποίκους Ἀθηναίων χιλίους κομίσας ἔρρωσεν εὐανδρίᾳ τὰς πόλεις, ἀλλὰ καὶ τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασιν ἐκ θαλάττης εἰς θάλατταν ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκῶν περικεχυμένων τῇ Χερρονήσῳ καὶ πόλεμον ἐνδελεχῆ καὶ βαρὺν ἐξέκλεισεν, ᾧ συνείχετο πάντα τὸν χρόνον ἡ χώρα βαρβαρικαῖς ἀναμεμιγμένη γειτνιάσεσι καὶ γέμουσα λῃστηρίων ὁμόρων καὶ συνοίκων· ἐθαυμάσθη δὲ καὶ διεδόθη πρὸς τοὺς ἐκτὸς ἀνθρώπους περιπλεύσας Πελοπόννησον ἐκ Πηγῶν τῆς Μεγαρικῆς ἀναχθεὶς ἑκατὸν τριήρεσιν. (3) Οὐ γὰρ μόνον ἐπόρθησε τῆς παραλίας πολλὴν, ὡς Τολμίδης πρότερον, ἀλλὰ καὶ πόρρω θαλάττης προελθὼν τοῖς ἀπὸ τῶν νεῶν ὁπλίταις τοὺς μὲν ἄλλους εἰς τὰ τείχη συνέστειλε δείσαντας αὐτοῦ τὴν ἔφοδον, ἐν δὲ Νεμέᾳ Σικυωνίους ὑποστάντας καὶ συνάψαντας μάχην κατὰ κράτος τρεψάμενος ἔστησε τρόπαιον. (4) Ἐκ δ' Ἀχαΐας φίλης οὔσης στρατιώτας ἀναλαβὼν εἰς τὰς τριήρεις ἐπὶ τὴν ἀντιπέρας ἦπειρον ἐκομίσθη τῷ στόλῳ καὶ παραπλεύσας τὸν Ἀχελῷον Ἀκαρνανίαν κατέδραμε καὶ κατέκλεισεν Οἰνιάδας εἰς τὸ τεῖχος καὶ τεμὼν τὴν γῆν καὶ κακώσας ἀπῆρεν ἐπ' οἶκου, φοβερὸς μὲν φανεὶς τοῖς πολεμίοις, ἀσφαλὴς δὲ καὶ δραστήριος τοῖς πολίταις. Οὐδὲν γὰρ οὐδ' ἀπὸ τύχης πρόσκρουσμα συνέβη περὶ τοὺς στρατευομένους.

XX. Εἰς δὲ τὸν Πόντον εἰσπλεύσας στόλῳ μεγάλῳ καὶ κεκοσμημένῳ λαμπρῶς ταῖς μὲν Ἑλληνίσι πόλεσιν ὧν ἐδέοντο διεπράξατο καὶ προσηνέχθη φιλανθρώπως, τοῖς δὲ περιοικοῦσι βαρβάροις ἔθνεσι καὶ βασιλεῦσιν αὐτῶν καὶ δυνάσταις ἐπεδείξατο μὲν τῆς δυνάμεως τὸ μέγεθος καὶ τὴν ἄδειαν καὶ τὸ θάρσος ᾗ βούλοιντο πλεόντων καὶ πᾶσαν ὑφ' αὑτοῖς πεποιημένων τὴν θάλασσαν, Σινωπεῦσι δὲ τρισκαίδεκα ναῦς ἀπέλιπε μετὰ Λαμάχου καὶ στρατιώτας ἐπὶ Τιμησιλέων τύραννον. (2) Ἐκπεσόντος δὲ τούτου καὶ τῶν ἑταίρων ἐψηφίσατο πλεῖν εἰς Σινώπην Ἀθηναίων ἑβδομήκοντα ἑξακοσίους καὶ συγκατοικεῖν Σινωπεῦσι νειμαμένους οἰκίας καὶ χώραν, ἣν πρότερον οἱ τύραννοι κατεῖχον. (3) Τἄλλα δ' οὐ συνεχώρει ταῖς ὁρμαῖς τῶν πολιτῶν οὐδὲ συνεξέπιπτεν ὑπὸ ῥώμης καὶ τύχης τοσαύτης ἐπαιρομένων Αἰγύπτου τε πάλιν ἀντιλαμβάνεσθαι καὶ κινεῖν τῆς βα-

pidissimo eorum qui militari erant ætate ut voluntariam militiam subirent, eaque ratione mille viros, præter reliquum exercitum, jam concivisse : conatus est eum retinere monuitque apud populum eo dicto, quod vulgatum deinde est : Eum, si omnino Pericli obtemperare nollet, tamen non male facturum, si tempus consiliariorum optimum præstoletur. (3) Id quidem dictum mediocri cum applausu acceptum fuit. Sed paucis post diebus annuntiato, Tolmidam prœlio apud Coroneam victum occubuisse, cecidisse etiam multos atque egregios cives, Pericli magnam id gloriam benevolentiamque conciliavit, ut viro prudenti ac civium amanti.

XIX. Inter res ejus bello gestas Chersonesiaca fuit grata, quod eo facto Græcis apud Chersonesum habitantibus salutem attulit. (2) Non enim tantum mille Atheniensibus eo in colonias deductis, bonis viris urbes roboravit, sed etiam Isthmum ab uno mari ad alterum munitionibus ac propugnaculis sepsit atque ita Thracum Chersoneso circumfusorum incursiones arcuit, bellumque continens et grave exclusit, quo ea regio nunquam non urgebatur, latrociniis propinquorum ac finitimorum barbarorum vexata. Admirationi fuit apud exteros et omni sermone celebratum, quod centum triremibus avectus Pegis, quæ est urbs Megarica, Peloponnesum circumnavigavit. (3) Neque enim maritimæ modo terræ magnam partem, ut ante eum Tolmidas, vexavit, sed et longe a mari cum suis classiariis militibus progressus, ad quos accederet omnes suo adventu perterrefecit atque intra muros compulit : Nemeæ autem Sicyonios obsistentes et pugnam capessentes fudit ac tropæum erexit. (4) Inde ex Achaia, quæ erat confœderata, militibus in triremes assumptis, classe oppositam continentem petiit, prætervectusque Acheloum, in Acarnaniam incursiones fecit, Œniadisque habitatoribus intra muros compulsis vastato agro, domum versus cursum instituit, cum et hostibus terrorem injecisset et civibus cautum et strenuum se ostendisset. Nam ne fortuito quidem ullam offensionem experti sunt milites.

XX. Post cum magna splendideque ornata classe in Pontum vectus, Græcis urbibus ea, quæ petierant, confecit, humaniterque cum eis egit : vicinis autem circum barbaris populis eorumque regibus et principibus ostendit magnitudinem suarum virium ac securitatem, cum audacter, quocunque libitum esset, navigaret et totum mare in sua potestate haberet; Sinopensibus ad oppugnandum tyrannum Timesilaum tredecim naves præfectumque earum Lamachum reliquit. (2) Cumque is cum sua factione urbe excidisset, decretum fecit, ut Athenienses sexcenti, quibus ultro ita placuisset, Sinopen navigarent, ibique habitarent, divisis inter se domibus et agro, quem tyranni prius possederant. (3) Reliquis in rebus nequaquam obsecutus est cupiditati civium, neque eorum se impetui comitem præbuit, cum jam robore suo atque fortuna adeo animos efferrent, ut de Ægypto iterum tentanda, invadendisque

σιλέως ἀρχῆς τὰ πρὸς θαλάσσῃ. (4) Ἡολλοὺς δὲ καὶ Σικελίας ὁ δύσερως ἐκεῖνος ἤδη καὶ δύσποτμος ἔρως εἶχεν, ὃν ὕστερον ἐξέκαυσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. Ἦν δὲ καὶ Τυῤῥηνία καὶ Καρχηδὼν ἐνίοις ὄνειρος, οὐκ ἄπ' ἐλπίδος διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ἡγεμονίας καὶ τὴν εὔροιαν τῶν πραγμάτων.

XXI. Ἀλλ' ὁ Περικλῆς κατεῖχε τὴν ἐκδρομὴν ταύτην καὶ περιέκοπτε τὴν πολυπραγμοσύνην καὶ τὰ πλεῖστα τῆς δυνάμεως ἔτρεπεν εἰς φυλακὴν καὶ βεβαιότητα τῶν ὑπαρχόντων, μέγα ἔργον ἡγούμενος ἀνείργειν Λακεδαιμονίους καὶ ὅλως ὑπεναντιούμενος ἐκείνοις, ὡς ἄλλοις ἔδειξε καὶ μάλιστα τοῖς περὶ τὸν ἱερὸν πραχθεῖσι b
πόλεμον. (2) Ἐπεὶ γὰρ οἱ Λακεδαιμόνιοι στρατεύσαντες εἰς Δελφοὺς Φωκέων ἐχόντων τὸ ἱερὸν Δελφοῖς ἀπέδωκαν, εὐθὺς ἐκείνων ἀπαλλαγέντων ὁ Περικλῆς ἐπιστρατεύσας πάλιν εἰσήγαγε τοὺς Φωκέας. Καὶ τῶν Λακεδαιμονίων ἣν ἔδωκαν αὐτοῖς Δελφοὶ προμαντείαν εἰς τὸ μέτωπον ἐγκολαψάντων τοῦ χαλκοῦ λύκου, λαβὼν καὶ αὐτὸς προμαντείαν τοῖς Ἀθηναίοις εἰς τὸν αὐτὸν λύκον κατὰ τὴν δεξιὰν πλευρὰν ἐνεχάραξεν.

XXII. Ὅτι δ' ὀρθῶς ἐν τῇ Ἑλλάδι τὴν δύναμιν τῶν Ἀθηναίων συνεῖχεν, ἐμαρτύρησεν αὐτῷ τὰ γενόμενα. Πρῶτον μὲν γὰρ Εὐβοεῖς ἀπέστησαν, ἐφ' οὓς c
διέβη μετὰ δυνάμεως. Εἶτ' εὐθὺς ἀπηγγέλλοντο Μεγαρεῖς ἐκπεπολεμωμένοι καὶ στρατιὰ πολεμίων ἐπὶ τοῖς ὅροις τῆς Ἀττικῆς οὖσα, Πλειστώνακτος ἡγουμένου, βασιλέως Λακεδαιμονίων. (2) Πάλιν οὖν ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον· καὶ συνάψαι μὲν εἰς χεῖρας οὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλουμένοις· ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ, χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβούλων, ὃν οἱ ἔφοροι φύλακα καὶ πάρεδρον αὐτῷ διὰ τὴν ἡλικίαν συνέπεμψαν, ἐπειρᾶτο τούτου κρύφα· καὶ ταχὺ διαd
φθείρας χρήμασιν αὐτὸν ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπαγαγεῖν τοὺς Πελοποννησίους. (3) Ὡς δ' ἀπεχώρησεν ἡ στρατιὰ καὶ διελύθη κατὰ πόλεις, βαρέως φέροντες οἱ Λακεδαιμόνιοι τὸν μὲν βασιλέα χρήμασιν ἐζημίωσαν, ὧν τὸ πλῆθος οὐκ ἔχων ἐκτῖσαι μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος, τοῦ δὲ Κλεανδρίδου φεύγοντος θάνατον κατέγνωσαν. (4) Οὗτος δ' ἦν πατὴρ Γυλίππου τοῦ περὶ Σικελίαν Ἀθηναίους καταπολεμήσαντος. Ἔοικε δ' ὥσπερ συγγενικὸν αὐτῷ προστρίψασθαι νόσημα τὴν φιλαργυρίαν ἡ φύσις, ὑφ' ἧς καὶ αὐτὸς αἰσχρῶς ἐπὶ κακοῖς ἔργοις ἁλοὺς ἐξέπεσε τῆς Σπάρτης. Ταῦτα μὲν e
οὖν ἐν τοῖς περὶ Λυσάνδρου δεδηλώκαμεν.

XXIII. Τοῦ δὲ Περικλέους ἐν τῷ τῆς στρατηγίας ἀπολογισμῷ δέκα ταλάντων ἀνάλωμα γράψαντος ἀνηλωμένων εἰς τὸ δέον, ὁ δῆμος ἀπεδέξατο μὴ πολυπραγμονήσας μηδ' ἐλέγξας τὸ ἀπόῤῥητον. (2) Ἔνιοι δ' ἱστορήκασιν, ὧν ἐστι καὶ Θεόφραστος ὁ φιλόσοφος, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὴν Σπάρτην ἐφοίτα δέκα τάλαντα παρὰ τοῦ Περικλέους, οἷς τοὺς ἐν τέλει πάντας θεραπεύων παρητεῖτο τὸν πόλεμον, οὐ τὴν εἰρήνην

maritimis regis urbibus cogitarent. (4) Multos quoque jam perdita et infelix illa Siciliæ cupido incesserat, quam postea temporis Alcibiades cum suæ factionis oratoribus inflammavit. Somniabant etiam Etruriam nonnulli et Carthaginem : et ut sperarent aliquid, potentiæ præsentis moles successusque rerum secundus faciebat.

XXI. At vero Pericles cum ardorem repressit effrenatamque rerum gerendarum cupiditatem præcidit, et majorem potentiæ partem ad custodienda ea tuto, quæ adepti essent, convertit, quippe cui magnum videbatur, coerceri posse Spartanos ; his enim protinus sese adversarium præbuit, quod cum alias, tum bello sacro demonstravit. (2) Cum enim Lacedæmonii ducto ad Delphos exercitu, templum Phocensibus, qui tum tenebant, ademptum Delphis reddidissent, statim post eorum discessum Pericles eodem cum copiis profectus Phocenses restituit. Cumque Lacedæmonii oraculi prærogativam ipsis a Delphis datam in ærei lupi frontem incidissent, ipse quoque oraculi prærogativam Atheniensibus impetratam in dextrum ejusdem lupi latus insculpsit.

XXII. Enimvero recte ab eo factum fuisse, quod vires Atheniensium in Græcia continuit, testatum fecerunt ea quæ deinde acciderunt. Primum enim Eubœenses defecerunt et eos ipse cum exercitu petiit. Statim deinde annunciatum est Megarenses defecisse, exercitum hostium esse in finibus Atticæ, duce Plistonacte rege Lacedæmoniorum. (2) Igitur Pericles celeriter ad hoc bellum ex Eubœa reversus, conserere manum non ausus est, a multis atque egregiis gravis armaturæ militibus provocatus; videns autem Plistonactem admodum adhuc juvenem, Cleandridæ consilio pleraque agere, quem ephori, ætatis causa regi custodis loco atque consiliarii adjunxerant, hunc clam aggressus pecuniis statim corrupit, ut ex Attica Peloponnesios abduceret. (3) Exercitu digresso et in urbes disperso, ægre id factum ferentes Lacedæmonii mulctam pecuniariam regi irrogavere; cui cum non esset solvendo, Lacedæmone excessit; Cleandridam autem, cum is aufugisset, morte damnaverunt. (4) Fuit hic pater Gylippi ejus, qui in Sicilia Athenienses debellavit : ac videtur avaritiam huic quoque natura, tanquam cognatum vitium, indidisse, propter quam turpiter perpetrato scelere damnatus, Sparta excidit : quam rem in vita Lysandri exposuimus.

XXIII. Porro cum Pericles rationes gesti imperii redcens, decem talenta se in usus necessarios insumpsisse diceret, probavit hoc populus, nihil curiose in arcanum ejus factum inquirens, neque id detegens. (2) Auctores habeo interque eos Theophrastum philosophum, quotannis missa Spartam a Pericle decem talenta, quibus proceres reipublicæ demulcens, bellum averteret : non quidem ut pacem redimeret,

ὠνούμενος, ἀλλὰ τὸν χρόνον, ἐν ᾧ παρασκευασάμενος καθ' ἡσυχίαν ἔμελλε πολεμήσειν βέλτιον. (3) Εὐθὺς f οὖν ἐπὶ τοὺς ἀφεστῶτας τραπόμενος καὶ διαβὰς εἰς Εὔβοιαν πεντήκοντα ναυσὶ καὶ πεντακισχιλίοις ὁπλίταις κατεστρέψατο τὰς πόλεις. (4) Καὶ Χαλκιδέων μὲν τοὺς ἱπποβότας λεγομένους πλούτῳ καὶ δόξῃ διαφέροντας ἐξέβαλεν, Ἑστιαιεῖς δὲ πάντας ἀναστήσας ἐκ τῆς χώρας Ἀθηναίους μόνους κατῴκισε, τούτοις ἀπαιτήσας χρησάμενος ὅτι ναῦν Ἀττικὴν αἰχμάλωτον λαβόντες ἀπέκτειναν τοὺς ἄνδρας. a

XXIV. Ἐκ τούτου γενομένων σπονδῶν Ἀθηναίοις καὶ Λακεδαιμονίοις εἰς ἔτη τριάκοντα ψηφίζεται τὸν εἰς Σάμον πλοῦν αἰτίαν ποιησάμενος κατ' αὐτῶν, ὅτι τὸν πρὸς Μιλησίους κελευόμενοι διαλύσασθαι πόλεμον οὐχ ὑπήκουον. (2) Ἐπεὶ δ' Ἀσπασίᾳ χαριζόμενος δοκεῖ πρᾶξαι τὰ πρὸς Σαμίους, ἐνταῦθα ἂν εἴη καιρὸς διαπορῆσαι μάλιστα περὶ τῆς ἀνθρώπου, τίνα τέχνην ἢ δύναμιν τοσαύτην ἔχουσα τῶν τε πολιτικῶν τοὺς πρωτεύοντας ἐχειρώσατο καὶ τοῖς φιλοσόφοις οὐ φαῦλον οὐδ' ὀλίγον ὑπὲρ αὐτῆς παρέσχε λόγον. (3) Ὅτι μὲν γὰρ ἦν Μιλησία γένος Ἀξιόχου θυγάτηρ ὁμολογεῖται· φασὶ δ' αὐτὴν Θαργηλίαν τινὰ τῶν παλαιῶν Ἰάδων ζηλώσασαν ἐπιθέσθαι τοῖς δυνατωτάτοις ἀνδράσι. (4) Καὶ γὰρ ἡ Θαργηλία τό τ' εἶδος εὐπρεπὴς γενομένη καὶ χάριν ἔχουσα μετὰ δεινότητος πλείστοις μὲν Ἑλλήνων συνώκησεν ἀνδράσι, πάντας δὲ προσεποίησε βασιλεῖ τοὺς πλησιάσαντας αὐτῇ καὶ ταῖς πόλεσι μηδισμοῦ δι' ἐκείνων ὑπέσπειρεν ἀρχὰς δυνατωτάτων ὄντων καὶ μεγίστων. (5) Τὴν δ' Ἀσπασίαν οἱ μὲν ὡς σοφήν τινα καὶ πολιτικὴν ὑπὸ τοῦ Περικλέους σπουδασθῆναι λέγουσι· καὶ γὰρ Σωκράτης ἔστιν ὅτε μετὰ τῶν γνωρίμων ἐφοίτα καὶ τὰς γυναῖκας ἀκροασομένας οἱ συνήθεις ἦγον εἰς αὐτήν, καίπερ οὐ κοσμίου προεστῶσαν ἐργασίας οὐδὲ σεμνῆς, ἀλλὰ παιδίσκας ἑταιρούσας τρέφουσαν. (6) Αἰσχίνης δέ φησι καὶ Λυσικλέα τὸν προβατοκάπηλον ἐξ ἀγεννοῦς καὶ ταπεινοῦ τὴν φύσιν Ἀθηναίων γενέσθαι πρῶτον Ἀσπασίᾳ συνόντα μετὰ τὴν Περικλέους τελευτήν. (7) Ἐν δὲ τῷ Μενεξένῳ τῷ Πλάτωνος, εἰ καὶ μετὰ παιδιᾶς τὰ πρῶτα γέγραπται, τοσοῦτόν γ' ἱστορίας ἔνεστιν, ὅτι δόξαν εἶχε τὸ γύναιον ἐπὶ ῥητορικῇ πολλοῖς Ἀθηναίων ὁμιλεῖν. (8) Φαίνεται μέντοι μᾶλλον ἐρωτική τις ἡ τοῦ Περικλέους ἀγάπησις γενομένη πρὸς Ἀσπασίαν. (9) Ἦν μὲν γὰρ αὐτῷ γυνὴ d προσήκουσα μὲν κατὰ γένος, συνῳκηκυῖα δ' Ἱππονίκῳ πρότερον, ἐξ οὗ Καλλίαν ἔτεκε τὸν πλούσιον· ἔτεκε δὲ καὶ παρὰ τῷ Περικλεῖ Ξάνθιππον καὶ Πάραλον. Εἶτα τῆς συμβιώσεως οὐκ οὔσης αὐτοῖς ἀρεστῆς, ἐκείνην μὲν ἑτέρῳ βουλομένην συνεξέδωκεν, αὐτὸς δὲ τὴν Ἀσπασίαν λαβὼν ἔστερξε διαφερόντως. (10) Καὶ γὰρ ἐξιὼν, ὥς φασι, καὶ εἰσιὼν ἀπ' ἀγορᾶς ἠσπάζετο καθ' ἡμέραν αὐτὴν μετὰ τοῦ καταφιλεῖν. Ἐν δὲ ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα καὶ Δηιάνειρα καὶ πάλιν Ἥρα προσαγορεύεται. Κρατῖνος δ' ἄντικρυς παλλακὴν αὐτὴν εἴρηκεν ἐν τούτοις·

sed tempus, dum se ad bellum rectius aliquando gerendum per otium compararet. (3) Secundum hæc continuo in eos qui defecerant conversus, in Eubœam trajecit quinquaginta naves armatorumque millia quinque, et urbes subegit. (4) Chalcide Hippobotas, divitiis ac gloria præcipuos, ejecit, Hestiæenses omnes regione expulit, solisque eam Atheniensibus habitandam dedit; cur in hos extrema statueret, causa fuit, quod ii navi Atheniensi capta, viros occiderant.

XXIV. Postea induciis inter Athenienses et Lacedæmonios in triginta annos compositis, Samum cum classe decrevit petendam: eo obtento, quod jussi bellum contra Milesios deponere, non paruissent. (2) Ac quoniam bellum contra Samios censetur in gratiam Aspasiæ Pericles suscepisse, locus hic requirere videtur, ut de ea muliere disquiramus, quanam tanta arte aut facultate prædita cum primos in republica viros sibi subjecerit, tum philosophis de se neque vilem neque exiguam loquendi materiam præbuerit. (3) Id quidem in confesso est, Miletum ei patriam, Axiocho filiam fuisse. Fertur autem ea imitatione Thargeliæ cujusdam, quæ fuit inter priscas Ioniæ feminas, potentissimos viros adorta esse. (4) Thargelia enim cum et forma esset egregia et gratiosa atque facunda, cum multis Græcis rem habuit, eorumque omnium regi Medorum conciliavit voluntates, atque ita effecit per eos, quippe cum essent primi ac potentissimi, ut civitates ad Medum inclinarent. (5) Aspasiam alii prudentiæ ac rerum civilium peritiæ gratia cultam a Pericle asserunt: nam et Socrates cum familiaribus quandoque eam accessit et mulieres ad eam audiendam mittere solebant familiares: quanquam parum decoro et honesto se sustentaret artificio, sed puellas corpore quæstum facientes aleret. (6) Æschines ait Lysiclem, ovium cauponem, obscuris et sordidis parentibus natum, principem inter Athenienses locum eo consecutum fuisse, quod post mortem Periclis cum Aspasia rem habuisset. (7) In Menexeno Platonis, quanquam per jocum prima scripta sunt, tantum tamen veræ narrationis inest, cum femina illa artis oratoriæ causa multos Athenienses conversatos esse. (8) Veruntamen magis amatoria causa videtur fuisse, propter quam Pericles eam dilexerit. (9) Cum enim haberet uxorem etiam generis necessitate sibi propinquam, quæ matrimonio prius juncta Hipponico fuerat et ei Calliam divitem pepererat, atque ex ea filios Xanthippum atque Paralum suscepisset: postquam una ætatem conjugibus degere displicuit, uxorem ita volentem alii nuptum tradidit; ipse Aspasiam duxit, summopereque amavit. (10) Etenim, ut fertur, quotidie exiens ac rediens a foro, salutavit eam osculo; in comœdiis quidem *Omphale nova*, et *Dejanira*, *Junoque* ea dicebatur. Cratinus vero palam pellicem nominat his verbis:

Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει Καταπυγοσύνη παλλακὴν κυνώπιδα.

e Huic Junonem parit Aspasiam fœda Voluptas, pellicem caninam.

(11) Δοκεῖ δὲ καὶ τὸν νόθον ἐκ ταύτης τεκνῶσαι, περὶ οὗ πεποίηκεν Εὔπολις ἐν Δήμοις αὐτὸν μὲν οὕτως ἐρωτῶντα·

(11) Videtur et spurium ex hac sustulisse : de quo eum Eupolis in Demis ita quærentem fingit :

Ὁ νόθος δέ μοι ζῇ·

Spuriusne vivit meus?

τὸν δὲ Μυρωνίδην ἀποκρινόμενον,

ac respondet Myronides,

Καὶ πάλαι γ' ἂν ἦν ἀνὴρ,
εἰ μὴ τὸ τῆς πόρνης ὑπωρρώδει κακόν.

Et esset vir quoque
pridem, meretricis subtimeret ni malum.

(12) Οὕτω δὲ τὴν Ἀσπασίαν ὀνομαστὴν καὶ κλεινὴν γενέσθαι λέγουσιν, ὥστε καὶ Κῦρον τὸν πολεμήσαντα βασιλεῖ περὶ τῆς τῶν Περσῶν ἡγεμονίας τὴν ἀγαπωμένην ὑπ' αὐτοῦ μάλιστα τῶν παλλακίδων Ἀσπασίαν ὀνομάσαι καλουμένην Μιλτὼ πρότερον. Ἦν δὲ Φωκαΐς τὸ γένος Ἑρμοτίμου θυγάτηρ· ἐν δὲ τῇ μάχῃ Κύρου πεσόντος ἀπαχθεῖσα πρὸς βασιλέα πλεῖστον ἴσχυσε. (13) Ταῦτα μὲν ἐπελθόντα τῇ μνήμῃ κατὰ τὴν γραφὴν ἀπώσασθαι καὶ παρελθεῖν ἴσως ἀπάνθρωπον ἦν.

(12) Tam porro illustre fuisse nomen Aspasiæ ferunt, ut Cyrus, qui contra regem de Persiæ principatu belligeravit, quam ex pellicibus suis carissimam habebat, Milto ante vocatam, Aspasiam appellaverit. Fuit hæc Phocæa oriunda, Hermotimi filia, et Cyro in pugna interempto, adducta ad f regem, plurimum apud eum valuit. (13) Hæc inter scribendum cum ita memoria nobis suggessisset, videbamur non sine crimine inhumanitatis potuisse rejicere ac præterire.

XXV. Τὸν δὲ πρὸς Σαμίους πόλεμον αἰτιῶνται μάλιστα τὸν Περικλέα ψηφίσασθαι διὰ Μιλησίους Ἀσπασίας δεηθείσης. Αἱ γὰρ πόλεις ἐπολέμουν τὸν περὶ Πριήνης πόλεμον καὶ κρατοῦντες οἱ Σάμιοι παύσασθαι 166 τῶν Ἀθηναίων κελευόντων καὶ δίκας λαβεῖν καὶ δοῦναι παρ' αὐτοῖς οὐκ ἐπείθοντο. (2) Πλεύσας οὖν ὁ Περικλῆς τὴν μὲν οὖσαν ὀλιγαρχίαν ἐν Σάμῳ κατέλυσεν, τῶν δὲ πρώτων λαβὼν ὁμήρους πεντήκοντα καὶ παῖδας ἴσους εἰς Λῆμνον ἀπέστειλε. (3) Καίτοι φασὶν ἕκαστον μὲν αὐτῷ τῶν ὁμήρων διδόναι τάλαντον ὑπὲρ ἑαυτοῦ, πολλὰ δ' ἄλλα τοὺς μὴ θέλοντας ἐν τῇ πόλει γενέσθαι δημοκρατίαν. (4) Ἔτι δὲ Πισσούθνης ὁ Πέρσης ἔχων τινὰ πρὸς Σαμίους εὔνοιαν ἀπέστειλεν αὐτῷ μυρίους χρυσοῦς παραιτούμενος τὴν πόλιν. (5) Οὐ μὴν ἔλαβε τούτων οὐδὲν ὁ Περικλῆς, ἀλλὰ χρησάμενος ὥσπερ ἐγνώκει τοῖς Σαμίοις καὶ καταστήσας δημοκρατίαν ἀπέπλευσεν εἰς τὰς Ἀθήνας. Οἱ δ' εὐθὺς b ἀπέστησαν ἐκκλέψαντος αὐτοῖς τοὺς ὁμήρους Πισσούθνου καὶ τἆλλα παρασκευάσαντος πρὸς τὸν πόλεμον. (6) Αὖθις οὖν ὁ Περικλῆς ἐξέπλευσεν ἐπ' αὐτοὺς οὐχ ἡσυχάζοντας οὐδὲ κατεπτηχότας, ἀλλὰ καὶ πάνυ προθύμως ἐγνωκότας ἀντιλαμβάνεσθαι τῆς θαλάττης. (7) Γενομένης δὲ καρτερᾶς ναυμαχίας περὶ νῆσον, ἣν Τραγίας καλοῦσι, λαμπρῶς ὁ Περικλῆς ἑνίκα τέσσαρσι καὶ τεσσαράκοντα ναυσὶν ἑβδομήκοντα καταναυμαχήσας, ὧν εἴκοσι στρατιώτιδες ἦσαν.

XXV. Ceterum bellum contra Samios Milesiorum gratia maxime precibus Aspasiæ motus Pericles decrevisse traditur. Bellum enim inter civitates has fuerat de Priena, Samiique cum prævalerent, jussi ab Atheniensibus desistere a bello atque apud se causam disceptare, non paruerant. (2) Pericles itaque eo vectus, paucorum principatum, quo tum Samus gubernabatur, evertit : acceptosque obsidum loco quinquaginta urbis proceres, totidemque pueros, in Lemnum amandavit. (3) Traditum est sane, unum quemvis obsidum talentum ad se redimendum obtulisse, ac multa alia pollicitos eos qui nolebant populare in Samo imperium constitui. (4) Pissuthnes quoque Persa, cum Samiis cuperet, per litteras pro eis deprecatus est, aureorum decem millia ei mittens : (5) quorum nihil accepit Pericles, sed cum Samiis ita ut decreverat egit, constitutaque populari reipublicæ forma Athenas rediit. Samii autem statim defecerunt, cum Pissuthnes obsides surripuisset et alia summo studio ad bellum apparasset. (6) Cum Pericles iterum adversum eos cum classe contenderet, nequaquam otiosi aut perterriti, sed alacriter admodum instituerunt mari potiri. (7) Commisso acri navali prælio apud insulam quam Tragias nominant, Pericles quadraginta quattuor navibus suis, hostium naves septuaginta, inter quas quæ milites pedestres portabant viginti, superavit atque egregiam victoriam obtinuit.

XXVI. Ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τοῦ λιμένος κρατήσας ἐπολιόρκει τοὺς Σαμίους ἀμωσγέπως ἔτι τολμῶντας ἐπεξιέναι καὶ διαμάχεσθαι πρὸ τοῦ τείχους. (2) Ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ c παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις ἔπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσφερομένων ἀπαντῆσαι καὶ διαγωνίσασθαι

XXVI. Victor hostes insecutus, simul et portum occupavit et Samios obsedit, adhuc nonnihil audentes exire et pro muro pugnare. (2) Sed postquam alia classis major Athenis venit, undique jam septis Samiis, cum triremibus sexaginta mare exterius petiit, ut Phœnicum navibus (hæc enim est majoris partis auctorum sententia) auxilio Samiis venientibus occurreret, ac quam longissime ab insula de-

πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον στελλόμενος· ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι. Ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν ἁμαρτεῖν ἔδοξε. (3) Πλεύσαντος γὰρ αὐτοῦ Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. (4) Καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες ἐκρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον. (5) Ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον. (6) Οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. Ἡ δὲ σάμαινα ναῦς ἐστιν ὑόπρῳρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδής, ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. Οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτους τυράννου κατασκευάσαντος. Πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ἠνίχθαι·

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος.

XXVII. Πυθόμενος δ' οὖν ὁ Περικλῆς τὴν ἐπὶ στρατοπέδου συμφορὰν ἐβοήθει κατὰ τάχος. Καὶ τοῦ Μελίσσου πρὸς αὐτὸν ἀντιταξαμένου κρατήσας καὶ τρεψάμενος τοὺς πολεμίους εὐθὺς περιετείχιζε, δαπάνῃ καὶ χρόνῳ μᾶλλον ἢ τραύμασι καὶ κινδύνοις τῶν πολιτῶν περιγενέσθαι καὶ συνελεῖν τὴν πόλιν βουλόμενος. (2) Ἐπεὶ δὲ δυσχεραίνοντας τῇ τριβῇ τοὺς Ἀθηναίους καὶ μάχεσθαι προθυμουμένους ἔργον ἦν κατασχεῖν, ὀκτὼ μέρη διελὼν τὸ πᾶν πλῆθος ἀπεκλήρου καὶ τῷ λαβόντι τὸν λευκὸν κύαμον εὐωχεῖσθαι καὶ σχολάζειν παρεῖχε τῶν ἄλλων μαχομένων. (3) Διὸ καί φασι τοὺς ἐν εὐπαθείαις τισὶ γενομένους λευκὴν ἡμέραν ἐκείνην ἀπὸ τοῦ λευκοῦ κυάμου προσαγορεύειν. (4) Ἔφορος δὲ καὶ μηχαναῖς χρήσασθαι τὸν Περικλέα τὴν καινότητα θαυμάσαντα Ἀρτέμωνος τοῦ μηχανικοῦ παρόντος, ὃν χωλὸν ὄντα καὶ φορείῳ πρὸς τὰ κατεπείγοντα τῶν ἔργων προσκομιζόμενον ὀνομασθῆναι Περιφόρητον. (5) Τοῦτο μὲν οὖν Ἡρακλείδης ὁ Ποντικὸς ἐλέγχει τοῖς Ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ Περιφόρητος Ἀρτέμων ὀνομάζεται πολλαῖς ἔμπροσθεν ἡλικίαις τοῦ περὶ Σάμον πολέμου καὶ τῶν πραγμάτων ἐκείνων. (6) Τὸν δ' Ἀρτέμωνά φησι τρυφερόν τινα τῷ βίῳ καὶ πρὸς τοὺς φόβους μαλακὸν ὄντα καὶ καταπλῆγα τὰ πολλὰ μὲν οἴκοι καθέζεσθαι χαλκῆν ἀσπίδα τῆς κεφαλῆς αὐτοῦ δυεῖν οἰκετῶν ὑπερεχόντων, ὥστε μηδὲν ἐμπεσεῖν τῶν ἄνωθεν· εἰ δὲ βιασθείη προελθεῖν ἐν κλινιδίῳ κρεμαστῷ παρὰ τὴν γῆν αὐτὴν περιφερόμενον κομίζεσθαι καὶ διὰ τοῦτο κληθῆναι Περιφόρητον.

XXVIII. Ἐνάτῳ δὲ μηνὶ τῶν Σαμίων παραστάντων ὁ Περικλῆς τὰ τείχη καθεῖλε καὶ τὰς ναῦς παρέλαβε καὶ χρήμασι πολλοῖς ἐζημίωσεν· ὧν τὰ μὲν εὐθὺς

pugnaret, Stesimbrotus in Cyprum eum navigare voluisse ait, quod non videtur verisimile : utracunque ejus fuerit ratio, constat in eo peccasse ipsum. (3) Avecto enim Pericle Melissus Ithagenis filius, philosophus, tunc Samiorum prætor, sive ob navium paucitatem, sive ob ducum imperitiam contemptis hostibus, suis persuasit, ut Athenienses adorirentur : (4) factoque prœlio, Samii victoria potiti sunt, multis hostium captis, multis navibus perditis, et deinde mare tenentes, ad bellum necessaria, quibus ante caruerant, advexerunt. (5) Ipsum quoque Periclem ante prœlio navali victum a Melisso fuisse, Aristoteles scribit. (6) Porro Samii, ut ignominiam acceptam Atheniensibus reponerent, captivis in frontem inussere noctuam, sicut Athenienses ipsos prius Samænam. Samæna navigii est genus, cujus prora suilli rostri instar curvata est, concava autem magis et ventricosa, ut et oneribus vehendis accommodata sit et celeriter curat : sic dicta, quod in Samo primum visa sit, a Polycrate tyranno parata. Eas notas ferunt et Aristophanem per ambages indicasse hoc versu :

Quam litteratus populus incolæ Sami.

XXVII. Pericles audito exercitus casu, celeriter auxilio suis venit, Melissumque acie occurrentem vicit, fuditque hostes et statim muro circumjecto inclusit, urbem potius sumptu et tempore, quam vulneribus et periculis civium expugnare cupiens. (2) Cum vero Athenienses moræ impatientes pugnam poscerent ac difficulter contineri possent, diviso in octo partes exercitu, sortitus est, ut pars, cui alba faba obtigisset, reliquis pugnantibus otio et conviviis indulgeret. (3) Hinc ferunt ab iis, qui voluptate aliqua perfruuntur, diem istum album dici, ad albam fabam alludentibus. (4) Ephorus præterea machinis etiam usum scribit Periclem, novitatis miraculo adductum, præsente Artemone earum fabro, qui cum esset claudus ac lectica ad munia sua obeunda ferretur, inde Periphoreti (quasi dicas circumgestati) nomen invenerit. (5) Hoc Anacreontis carminibus redarguit Heraclides Ponticus, in quibus Periphoretum Artemonem nominaverit, multis ante bellum Samium et has res gestas ætatibus. (6) Artemonem porro fuisse hominem mollis vitæ ac pavidum, qui plerumque domi desederit, supra caput ejus æream parmam duobus famulis tenentibus, ne quid desuper incideret : quod si cogeretur prodire aliquo, lectica pensili prope terram gestari solitum, indeque nomen Periphoreti adeptum.

XXVIII. Nono mense, Samiis deditionem facientibus, muros dejecit Pericles, naves ademit, magnamque pecuniariam mulctam eis imperavit : quarum partem statim depen-

εἰσήνεγκαν οἱ Σάμιοι, τὰ δ' ἐν χρόνῳ ῥητῷ ταξάμενοι κατοίσειν ὁμήρους ἔδωκαν. (2) Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἀριστοτέλης· ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν, ὡς ἄρα τοὺς τριηράρχους καὶ τοὺς ἐπιβάτας τῶν Σαμίων εἰς τὴν Μιλησίων ἀγορὰν ἀγαγὼν καὶ σανίσι προσδήσας ἐφ' ἡμέρας δέκα κακῶς ἤδη διακειμένους προσέταξεν ἀνελεῖν ξύλοις τὰς κεφαλὰς συγκόψαντας, εἶτα προβαλεῖν ἀκήδευτα τὰ σώματα. (3) Δοῦρις μὲν οὖν οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν Ἀθηναίων. (4) Ὁ δὲ Περικλῆς καταστρεψάμενος τὴν Σάμον ὡς ἐπανῆλθεν εἰς τὰς Ἀθήνας, ταφάς τε τῶν ἀποθανόντων κατὰ τὸν πόλεμον ἐνδόξους ἐποίησε καὶ τὸν λόγον εἰπών, ὥσπερ ἔθος ἐστίν, ἐπὶ τῶν σημάτων ἐθαυμαστώθη. (5) Καταβαίνοντα δ' αὐτὸν ἀπὸ τοῦ βήματος αἱ μὲν ἄλλαι γυναῖκες ἐδεξιοῦντο καὶ στεφάνοις ἀνέδουν καὶ ταινίαις ὥσπερ ἀθλητὴν νικηφόρον, ἡ δ' Ἐλπινίκη προσελθοῦσα πλησίον, « Ταῦτ', ἔφη, θαυμαστά, Περίκλεις, καὶ ἄξια στεφάνων, ὃς ἡμῖν πολλοὺς καὶ ἀγαθοὺς ἀπώλεσας πολίτας οὐ Φοίνιξι πολεμῶν οὐδὲ Μήδοις, ὥσπερ οὑμὸς ἀδελφὸς Κίμων, ἀλλὰ σύμμαχον καὶ συγγενῆ πόλιν καταστρεφόμενος. » (6) Ταῦτα τῆς Ἐλπινίκης λεγούσης ὁ Περικλῆς μειδιάσας ἀτρέμα λέγεται τὸ τοῦ Ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν·

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφεο.

(7) Θαυμαστὸν δέ τι καὶ μέγα φρονῆσαι καταπολεμήσαντα τοὺς Σαμίους φησὶν αὐτὸν ὁ Ἴων, ὡς τοῦ μὲν Ἀγαμέμνονος ἔτεσι δέκα βάρβαρον πόλιν, αὐτοῦ δὲ μησὶν ἐννέα τοὺς πρώτους καὶ δυνατωτάτους Ἰώνων ἑλόντος. (8) Καὶ οὐκ ἦν ἄδικος ἡ ἀξίωσις, ἀλλ' ὄντως πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος, εἴπερ, ὡς Θουκυδίδης φησί, παρ' ἐλάχιστον ἦλθε Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίους.

XXIX. Μετὰ ταῦτα κυμαίνοντος ἤδη τοῦ Πελοποννησιακοῦ πολέμου Κερκυραίοις πολεμουμένοις ὑπὸ Κορινθίων ἔπεισε τὸν δῆμον ἀποστεῖλαι βοήθειαν καὶ προσλαβεῖν ἐῤῥωμένην ναυτικῇ δυνάμει νῆσον, ὡς ὅσον οὐδέπω Πελοποννησίων ἐκπεπολεμωμένων πρὸς αὐτούς. (2) Ψηφισαμένου δὲ τοῦ δήμου τὴν βοήθειαν ἀπέστειλε δέκα ναῦς μόνας ἔχοντα Λακεδαιμόνιον, τὸν Κίμωνος υἱόν, οἷον ἐφυβρίζων· πολλὴ γὰρ ἦν εὔνοια καὶ φιλία τῷ Κίμωνος οἴκῳ πρὸς Λακεδαιμονίους. Ὡς ἂν οὖν, εἰ μηδὲν ἔργον μέγα μηδ' ἐκπρεπὲς ἐν τῇ στρατηγίᾳ τοῦ Λακεδαιμονίου γένοιτο, προσδιαβληθείη μᾶλλον εἰς τὸν λακωνισμὸν ὀλίγας αὐτῷ ναῦς ἔδωκε καὶ μὴ βουλόμενον ἐξέπεμψε. (3) Καὶ ὅλως διετέλει κολούων, ὡς μηδὲ τοῖς ὀνόμασι γνησίους, ἀλλ' ὀθνείους καὶ ξένους, ὅτι τῶν Κίμωνος υἱῶν τῷ μὲν ἦν Λακεδαιμόνιος ὄνομα,

derunt, reliquum persoluturos intra certum tempus polliciti, obsides dederunt. (2) Hic Duris Samius res tragico more exaggerat, magnæque Periclem et Athenienses crudelitatis insimulat: de qua neque Thucydides mentionem facit, neque Ephorus, neque Aristoteles, et quæ conficta videtur; nimirum a Pericle triremium præfectos classiariosque Samios in forum Mileti adductos, decemque dies ibi alligatos tabulis relictos, inde jam moribundos jussu ejus illisis in capita ipsorum lignis necatos, corpora insepulta projecta fuisse. (3) Duris sane cum alias quoque, ubi nihil est in re quod ipsum attineat, non soleat narrationi ita moderari, ut ne a vero discrepet, hoc loco etiam amplius videtur calumnia petendorum Atheniensium causa patriæ suæ calamitatem exaggerasse. (4) Pericles subacta Samo Athenas reversus, sepulturam eorum, qui in bello mortui erant, honorifice obiit, habitaque pro more funebri oratione admirationem sui movit. (5) Descendentem a suggestu mulieres dextris datis exceperunt, coronisque et fasciis tanquam athletam victoria potitum exornarunt. At Elpinice propius accedens, « Nimirum vero, o Pericles, inquit, hæc admiranda, et coronis digna, quod nobis multos ac bonos cives perdidisti, non contra Phœnices Medosve bellum gerens, ut Cimon frater meus, sed urbem sociam cognatamque nobis debellans. » (6) Ad hæc Pericles subridens, submissa voce ei Archilochio versu hoc respondisse dicitur:

Non, vetula cum sis, unguinibus te inungeres.

(7) Ion ob debellatos Samios mirifice eum animo elatum fuisse refert, quod, cum Agamemnon decimo tandem anno barbaram urbem, ipse nono mense Ionum primam ac potentissimam cepisset. Neque vero injuria gloriabatur, cum ejus belli adeo dubius exitus, ac tantum in eo periculi fuerit, siquidem, ut Thucydides refert, minimum abfuit quin Samii Atheniensibus maritimam potentiam adimerent.

XXIX. Postea gliscente jam Peloponnesiaco bello, Corcyrensibus a Corinthiis oppugnatis ut auxilium mitterent, populo persuasit, utque insulam re navali potentem sibi adjungerent, jamjam bello ipsis a Peloponnesi incolis imminente. (2) Cum auxilium populus decrevisset, decem solum naves misit Pericles, iisque Lacedæmonium Cimonis filium quasi per ignominiam præfecit. Quia enim Cimonis domus magna sibi benevolentia et amicitia obstrictos habebat Lacedæmonios, paucos ei Pericles naves tribuit, invitumque emisit, ut is nulla præclara re gesta, eo magis videretur Lacedæmoniorum partes prætulisse. (3) Omnino autem impedimento esse filiis Cimonis consueverat, ut qui ne nomina quidem gentilitia, sed aliena atque peregrina fer-

τῷ δὲ Θεσσαλὸς, τῷ δὲ Ἠλεῖος. Ἐδόκουν δὲ πάντες ἐκ γυναικὸς Ἀρκαδικῆς γεγονέναι. (4) Κακῶς οὖν ὁ Περικλῆς ἀκούων διὰ τὰς δέκα ταύτας τριήρεις, ὡς μικρὰν μὲν βοήθειαν τοῖς δεηθεῖσι, μεγάλην δὲ πρόφα-
6 σιν τοῖς ἐγκαλοῦσι παρεσχηκὼς, ἑτέρας αὖθις ἔστειλε πλείονας εἰς τὴν Κέρκυραν, αἳ μετὰ τὴν μάχην ἀφίκοντο. (5) Χαλεπαίνουσι δὲ τοῖς Κορινθίοις καὶ κατηγοροῦσι τῶν Ἀθηναίων ἐν Λακεδαίμονι προσεγένοντο Μεγαρεῖς αἰτιώμενοι πάσης μὲν ἀγορᾶς, πάντων δὲ
10 λιμένων, ὧν Ἀθηναῖοι κρατοῦσιν, εἴργεσθαι καὶ ἀπελαύνεσθαι παρὰ τὰ κοινὰ δίκαια καὶ τοὺς γεγενημένους ὅρκους τοῖς Ἕλλησιν· Αἰγινῆται δὲ κακοῦσθαι δοκοῦντες καὶ βίαια πάσχειν ἐποτνιῶντο κρύφα πρὸς τοὺς Λακεδαιμονίους φανερῶς ἐγκαλεῖν τοῖς Ἀθηναίοις οὐ
15 θαῤῥοῦντες. (6) Ἐν δὲ τούτῳ καὶ Ποτίδαια, πόλις ὑπήκοος Ἀθηναίων, ἄποικος δὲ Κορινθίων, ἀποστᾶσα καὶ πολιορκουμένη μᾶλλον ἐπετάχυνε τὸν πόλεμον. (7) Οὐ μὴν ἀλλὰ πρεσβειῶν τε πεμπομένων Ἀθήναζε καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων Ἀρχιδάμου τὰ πολλὰ
20 τῶν ἐγκλημάτων εἰς διαλύσεις ἄγοντος καὶ τοὺς συμμάχους πραΰνοντος οὐκ ἂν δοκεῖ συμπεσεῖν ὑπό γε τῶν ἄλλων αἰτιῶν ὁ πόλεμος τοῖς Ἀθηναίοις, εἰ τὸ ψήφισμα καθελεῖν τὸ Μεγαρικὸν ἐπείσθησαν καὶ διαλλαγῆναι πρὸς αὐτούς. (9) Διὸ καὶ μάλιστα πρὸς τοῦτο Πε-
25 ρικλῆς ἐναντιωθεὶς καὶ παροξύνας τὸν δῆμον ἐμμεῖναι τῇ πρὸς Μεγαρεῖς φιλονεικίᾳ μόνος ἔσχε τοῦ πολέμου τὴν αἰτίαν.

XXX. Λέγουσι δὲ πρεσβείας Ἀθήναζε περὶ τούτων ἐκ Λακεδαίμονος ἀφιγμένης καὶ τοῦ Περικλέους νόμον
30 τινὰ προβαλλομένου κωλύοντα καθελεῖν τὸ πινάκιον, ἐν ᾧ τὸ ψήφισμα γεγραμμένον ἐτύγχανεν, εἰπεῖν Πολυάλκη τῶν πρέσβεων τινά· « Σὺ δὲ μὴ καθέλῃς, ἀλλὰ στρέψον εἴσω τὸ πινάκιον· οὐ γὰρ ἔστι νόμος ὁ τοῦτο κωλύων. » Κομψοῦ δὲ τοῦ λόγου φανέντος οὐδέν τι
35 μᾶλλον ὁ Περικλῆς ἐνέδωκεν. (2) Ὑπῆν μὲν οὖν τις, ὡς ἔοικεν, αὐτῷ καὶ ἰδία πρὸς τοὺς Μεγαρεῖς ἀπέχθεια· κοινὴν δὲ καὶ φανερὰν ποιησάμενος αἰτίαν κατ' αὐτῶν ἀποτέμνεσθαι τὴν ἱερὰν ὀργάδα, γράφει ψήφισμα κήρυκα πεμφθῆναι πρὸς αὐτοὺς καὶ πρὸς Λακεδαιμονίους
40 τὸν αὐτὸν κατηγοροῦντα τῶν Μεγαρέων. (3) Τοῦτο μὲν οὖν τὸ ψήφισμα Περικλέους ἐστὶν εὐγνώμονος καὶ φιλανθρώπου δικαιολογίας ἐχόμενον· ἐπεὶ δ' ὁ πεμφθεὶς κῆρυξ Ἀνθεμόκριτος αἰτίᾳ τῶν Μεγαρέων ἀποθανεὶν ἔδοξε, γράφει ψήφισμα κατ' αὐτῶν Χαρῖνος, ἄσπονδον
45 μὲν εἶναι καὶ ἀκήρυκτον ἔχθραν, ὃς δ' ἂν ἐπιβῇ τῆς Ἀττικῆς Μεγαρέων θανάτῳ ζημιοῦσθαι, τοὺς δὲ στρατηγοὺς, ὅταν ὀμνύωσι τὸν πάτριον ὅρκον, ἐπομνύειν, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι· ταφῆναι δ' Ἀνθεμόκριτον παρὰ τὰς Θριασίας πύλας,
50 αἳ νῦν Δίπυλον ὀνομάζονται. (4) Μεγαρεῖς δὲ τὸν Ἀνθεμοκρίτου φόνον ἀπαρνούμενοι τὰς αἰτίας εἰς Ἀσπασίαν καὶ Περικλέα τρέπουσι χρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τούτοις ἐκ τῶν Ἀχαρνέων στιχιδίοις

Πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγάραδε

rent, Lacedæmonii, Thessali, Eleique, omnesque Arcadicam malrem habuisse crederentur. (4) Ceterum male audiens ob paucitatem navium missarum, quibus indigentes auxilio parum juvisset, ceterum magnam reprehendendi occasionem malevolis obtulisset, plures his deinde Corcyram misit, quæ post pugnam demum eo pervenerunt. (5) Corinthiis vero rem indignam censentibus, Spartæque Athenienses accusantibus, accesserunt Megarenses, conquerentes omnibus foris, omnibus portubus qui essent in Atheniensium potestate, sese contra jus commune juramentumque Græcorum arceri; Æginetæ etiam vim sibi illatam existimantes, cum palam accusare Athenienses non auderent, clam apud Lacedæmonios injurias suas deplorabant. (6) Interim Potidæa urbs Atheniensibus subdita, Corinthiorum colonia, ob defectionem factam oppugnata, bellum acceleravit. (7) Veruntamen missis Athenas legationibus regeque Spartanorum Archidamo plerasque controversias ad compositionem revocante, sociorumque animos placante, videbantur bellum ceteras quidem ob causas vitare potuisse Athenienses, dummodo contra Megarenses factum decretum abolere, cumque iis gratiam reconciliare voluissent. (8) Ideo Pericles cum, ut ne id fieret, maxime anniteretur, ac in contentione contra Megarenses perseverans populi animos exasperaret, solus ejus belli auctor habitus est.

XXX. Ac ferunt missis Lacedæmone Athenas legatis, cum Pericles citaret legem quandam, qua interdicebatur, ne quis tabulam decreti Megarici tolleret, Polyalcem unum ex legatis ei dixisse: « Ne tu eam igitur de medio abstuleris, tantum introrsum converte: quod nulla lege prohiberis: » idque dictum utcunque scitum, nihil tamen Periclis animum inflexisse. (2) Videtur sane Pericli fuisse privatum quoddam in Megarenses odium, publicam apertamque inimicitiarum causam ipse prætendens, quod Megarenses sacrum lucum cecidissent, decretum fecit, quo mitti ad eos præconem, eumdemque deinde Spartam, ut eosdem accusaret, jubebat. (3) Hoc quidem decretum ad æquam et benignam causæ disceptationem spectabat. Sed cum is qui præco erat ablegatus Anthemocritus, videretur Megarensium fraude interfectus, Charinus decretum contra eos composuit, inimicitiam internecinam et implacabilem capitaleque esse debere Megarensibus, si quis eorum in Attica vestigium posuisset; duces quoque, cum se sacramento a majoribus accepto obstringunt, jurare jussit, bis quotannis se in Megarensem agrum facturos impetum; Anthemocritum vero humandum apud portam Thriasiam, quæ nunc Dipylos (*i. e. biforis*) dicitur. (4) At Megarenses Anthemocriti mortis culpam infitiantes, odiorum causam in Aspasiam et Periclem rejiciunt, tritorum ex Acharnensibus Aristophanis versuum testimonio utentes:

Megaram petentes Simætham meretriculam

νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κἀθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύο.

furto abstulerunt adolescentes ebrii:
inde Megarenses ira turgentes gravi,
duo scorta clam rapuerunt Aspasiæ invicem.

169 XXXI. Τὴν μὲν οὖν ἀρχὴν ὅπως ἔσχεν οὐ ῥᾴδιον a γνῶναι· τοῦ δὲ μὴ λυθῆναι τὸ ψήφισμα πάντες ὡσαύτως τὴν αἰτίαν ἐπιφέρουσι τῷ Περικλεῖ. (2) Πλὴν οἱ μὲν ἐκ φρονήματος μεγάλου μετὰ γνώμης κατὰ τὸ βέλτιστον ἀπισχυρίσασθαι φασὶν αὐτὸν, πεῖραν ἐνδόσεως τὸ πρόσταγμα καὶ τὴν συγχώρησιν ἐξομολόγησιν ἀσθενείας ἡγούμενον· οἱ δὲ μᾶλλον αὐθαδείᾳ τινὶ καὶ φιλονεικίᾳ πρὸς ἔνδειξιν ἰσχύος περιφρονῆσαι Λακεδαιμονίων. (3) Ἡ δὲ χειρίστη μὲν αἰτία πασῶν, ἔχουσα δὲ πλείστους μάρτυρας, οὕτω πως λέγεται. Φειδίας ὁ πλάστης ἐργολάβος μὲν ἦν τοῦ ἀγάλματος, ὥσπερ εἴρηται· φίλος δὲ τῷ Περικλεῖ γενόμενος καὶ μέγιστον b παρ' αὐτῷ δυνηθεὶς τοὺς μὲν δι' αὐτὸν ἔσχεν ἐχθροὺς φθονούμενος, οἱ δὲ τοῦ δήμου ποιούμενοι πεῖραν ἐν ἐκείνῳ, ποίός τις ἔσοιτο Περικλεῖ κριτὴς, Μένωνά τινα τῶν Φειδίου συνεργῶν πείσαντες ἱκέτην ἐν ἀγορᾷ καθίζουσιν αἰτούμενον ἄδειαν ἐπὶ μηνύσει καὶ κατηγορίᾳ τοῦ Φειδίου. (4) Προσδεξαμένου δὲ τοῦ δήμου τὸν ἄνθρωπον καὶ γενομένης ἐν ἐκκλησίᾳ διώξεως κλοπαὶ μὲν οὐκ ἠλέγχοντο· τὸ γὰρ χρυσίον οὕτως εὐθὺς ἐξ ἀρχῆς τῷ ἀγάλματι προσειργάσατο καὶ περιέθηκεν ὁ Φειδίας γνώμῃ τοῦ Περικλέους, ὥστε πᾶν δυνατὸν εἶναι περιελοῦσιν ἀποδεῖξαι τὸν σταθμὸν, ὃ καὶ τότε τοὺς κατηγόρους ἐκέλευσε ποιεῖν ὁ Περικλῆς· (5) ἡ δὲ δόξα c τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν, καὶ μάλισθ' ὅτι τὴν πρὸς Ἀμαζόνας μάχην ἐν τῇ ἀσπίδι ποιῶν αὐτοῦ τινα μορφὴν ἐνετύπωσε πρεσβύτου φαλακροῦ πέτρον ἐπηρμένου δι' ἀμφοτέρων τῶν χειρῶν καὶ τοῦ Περικλέους εἰκόνα παγκάλην ἐνέθηκε μαχομένου πρὸς Ἀμαζόνα. (6) Τὸ δὲ σχῆμα τῆς χειρὸς ἀνατεινούσης δόρυ πρὸ τῆς ὄψεως τοῦ Περικλέους πεποιημένον εὐμηχάνως οἷον ἐπικρύπτειν βούλεται τὴν ὁμοιότητα παραφαινομένην ἑκατέρωθεν. (7) Ὁ μὲν οὖν Φειδίας εἰς τὸ δεσμωτήριον ἀπαχθεὶς ἐτελεύτησε νοσήσας, ὡς δέ φασιν ἔνιοι, φαρμάκοις, ἐπὶ διαβολῇ τοῦ Περικλέους τῶν ἐχθρῶν παρασκευασάντων. Τῷ δὲ μηνυτῇ Μένωνι d γράψαντος Γλύκωνος ἀτέλειαν ὁ δῆμος ἔδωκε καὶ προσέταξε τοῖς στρατηγοῖς ἐπιμελεῖσθαι τῆς ἀσφαλείας τοῦ ἀνθρώπου.

XXXI. Enimvero non satis constat, quod edicti contra Megarenses initium fuerit: Periclem in causa fuisse, quo minus id rescinderetur, uno omnes ore affirmant: (2) nisi quod alii eam ejus in retinendo perseverantiam ab alto animo optimoque profectam consilio judicant, ea petitione suorum tentantis constantiam, ac si concessum fuisset, imbecillitatis confessionem existimantis; alii pertinacia potius ac studio contendendi adversus gloriosam potentiam adductum, Lacedæmoniorum jussa detrectasse putant. (3) Ceterum quæ ejus rei causa et turpissima est, et plurimis testibus confirmatur, ita habet: Phidias deæ simulacrum faciendum conduxerat, uti diximus: idemque propter amicitiam Periclis et cum plurimum apud eum valeret, alios qui propter illum ei inviderent habebat inimicos: alii vero, ut in hoc periculum facerent, qualis populus in Periclem futurus judex esset, Menoni cuidam operarum Phidiæ socio persuadent, ut supplex in foro sedens fidem publicam imploraret, judicium ac crimen de Phidia delaturus. (4) Approbante id populo atque in concione jubente eum Phidiæ accusationem prosequi, furtum quidem argui non potuit (nam initio statim monitus a Pericle Phidias ita aurum fabricatus fuerat atque imagini circumposuerat, ut omne detrahi et in trutina examinari posset, idque actores tunc Pericles ita facere jussit); (5) gloria tamen operum invidia Phidiam premebat, maxime quod pugnam Amazonicam in scuto insculpens, sui ipsius imaginem effinxisset, senis calvi, qui saxum utraque manu efferret, quodque Periclis effigiem oppido elegantem expressisset, pugnantis contra Amazonem. (6) Figura autem manus, qua is hastam intentabat, ita facta erat, ut objecta faciei Periclis, quasi similitudinem, quæ ab utroque manus latere apparebat, obtegeret. (7) Proinde Phidias in carcerem abductus, morbo decessit, alii veneno ab inimicis ad invidiam Pericli movendam exstinctum perhibent. Menoni autem indici decreto Glyconis immunitatem populus tribuit, prætoribusque negotium dedit, ut eum tutum præstarent.

XXXII. Περὶ δὲ τοῦτον τὸν χρόνον Ἀσπασία δίκην ἔφευγεν ἀσεβείας Ἑρμίππου τοῦ κωμῳδοποιοῦ διώκοντος καὶ προσκατηγοροῦντος, ὡς Περικλεῖ γυναῖκας ἐλευθέρας εἰς τὸ αὐτὸ φοιτώσας ὑποδέχοιτο. (2) Καὶ ψήφισμα Διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν. (3) Δεχομένου δὲ τοῦ δήμου καὶ προσιεμένου τὰς διαβολὰς, οὕτως ἤδη ψήφισμα κυροῦται, Δρακοντίδου γράψαντος, ὅπως οἱ λόγοι τῶν χρημάτων ὑπὸ Περικλέους εἰς τοὺς Πρυτάνεις ἀποτεθεῖεν, οἱ δὲ δικασταὶ τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ φέροντες ἐν τῇ e

XXXII. Per idem tempus Aspasia violatæ religionis postulata est ab Hermippo Comico, adjectumque aliud crimen, excipi ab ea liberas mulieres, quibus abuteretur Pericles. (2) Lex quoque a Diopithe promulgata est, ut dies diceretur his qui deos esse negarent, aut de rebus cœlestibus disputarent, quam suspicionem propter Anaxagoram in Periclem conferebat. (3) Admittente has calumnias populo, tandem etiam lex Dracontidæ rata esse jubetur, qua imperabatur Pericli, ut rationes tractatæ publicæ pecuniæ apud Prytanes ederet, judices suffragia ab ara ferentes in urbe ju-

πόλει κρίνοιεν. (4) Ἄγνων δὲ τοῦτο μὲν ἀφεῖλε τοῦ ψηφίσματος, κρίνεσθαι δὲ τὴν δίκην ἔγραψεν ἐν δικασταῖς χιλίοις καὶ πεντακοσίοις εἴτε κλοπῆς καὶ δώρων εἴτ' ἀδικίου βούλοιτό τις ὀνομάζειν τὴν δίωξιν. (5) Ἀσπασίαν μὲν οὖν ἐξητήσατο πολλὰ πάνυ παρὰ τὴν δίκην, ὡς Αἰσχίνης φησίν, ἀφεὶς ὑπὲρ αὐτῆς δάκρυα καὶ δεηθεὶς τῶν δικαστῶν· Ἀναξαγόραν δὲ φοβηθεὶς ἐξέπεμψε καὶ προὔπεμψεν ἐκ τῆς πόλεως. (6) Ὡς δὲ διὰ f Φειδίου προσέπταισε τῷ δήμῳ, φοβηθεὶς τὸ δικαστήριον μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα καὶ ταπεινώσειν τὸν φθόνον ἐν πράγμασι μεγάλοις καὶ κινδύνοις τῆς πόλεως ἐκείνῳ μόνῳ διὰ τὸ ἀξίωμα καὶ τὴν δύνα-
170μιν ἀναθείσης ἑαυτήν. Αἱ μὲν οὖν αἰτίαι, δι' ἃς οὐκ a εἴασεν ἐνδοῦναι Λακεδαιμονίοις τὸν δῆμον, αὗται λέγονται, τὸ δ' ἀληθὲς ἄδηλον.

XXXIII. Οἱ δὲ Λακεδαιμόνιοι γινώσκοντες, ὡς ἐκείνου καταλυθέντος εἰς πάντα μαλακωτέροις χρήσονται τοῖς Ἀθηναίοις, ἐκέλευον αὐτοὺς τὸ ἄγος ἐλαύνειν, ᾧ τὸ μητρόθεν γένος τοῦ Περικλέους ἔνοχον ἦν, ὡς Θουκυδίδης εἴρηκεν. (2) Ἡ δὲ πεῖρα περιέστη τοῖς πέμψασιν εἰς τοὐναντίον· ἀντὶ γὰρ ὑποψίας καὶ διαβολῆς ἔτι μείζονα πίστιν ἔσχε καὶ τιμὴν παρὰ τοῖς πολίταις, ὡς μάλιστα μισούντων καὶ φοβουμένων ἐκεῖνον τῶν πολεμίων. (3) Διὸ καὶ πρὶν ἐμβαλεῖν εἰς τὴν Ἀττικὴν τὸν Ἀρχίδαμον ἔχοντα τοὺς Πελοποννησίους προεῖπε τοῖς Ἀθηναίοις, ἂν ἄρα τἄλλα δῃῶν ὁ Ἀρχίδαμος b ἀπέχηται τῶν ἐκείνου διὰ τὴν ξενίαν τὴν οὖσαν αὐτοῖς ἢ διαβολῆς τοῖς ἐχθροῖς ἐνδιδοὺς ἀφορμάς, ὅτι τῇ πόλει καὶ τὴν χώραν καὶ τὰς ἐπαύλεις ἐπιδίδωσιν. (4) Ἐμβάλλουσιν οὖν εἰς τὴν Ἀττικὴν στρατῷ μεγάλῳ Λακεδαιμόνιοι μετὰ τῶν συμμάχων Ἀρχιδάμου τοῦ βασιλέως ἡγουμένου. Καὶ δῃοῦντες τὴν χώραν προῆλθον εἰς Ἀχαρνὰς καὶ κατεστρατοπέδευσαν, ὡς τῶν Ἀθηναίων οὐκ ἀνεξομένων, ἀλλ' ὑπ' ὀργῆς καὶ φρονήματος διαμαχουμένων πρὸς αὐτούς. (5) Τῷ δὲ Περικλεῖ δεινὸν ἐφαίνετο πρὸς τοὺς ἑξακισμυρίους Πελοποννησίων καὶ Βοιωτῶν ὁπλίτας (τοσοῦτοι γὰρ ἦσαν οἱ τὸ c πρῶτον ἐμβαλόντες) ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι· τοὺς δὲ βουλομένους μάχεσθαι καὶ δυσπαθοῦντας πρὸς τὰ γινόμενα κατεπράϋνε λέγων, ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα ἀναφύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέντων αὖθις τυχεῖν οὐ ῥᾴδιόν ἐστι. (6) Τὸν δὲ δῆμον εἰς ἐκκλησίαν οὐ συνῆγε δεδιὼς βιασθῆναι παρὰ γνώμην, ἀλλ' ὥσπερ νεὼς κυβερνήτης ἀνέμου κατιόντος ἐν πελάγει θέμενος εὖ πάντα καὶ κατατείνας τὰ ὅπλα χρῆται τῇ τέχνῃ δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ φοβουμένων ἐάσας, οὕτως ἐκεῖνος τό d τε ἄστυ συγκλείσας καὶ καταλαβὼν πάντα φυλακαῖς πρὸς ἀσφάλειαν ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς βραχέα φροντίζων τῶν καταβοώντων καὶ δυσχεραινόντων. (7) Καίτοι πολλοὶ μὲν αὐτοῦ τῶν φίλων δεόμενοι προσέκειντο, πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλοῦντες καὶ κατηγοροῦντες, πολλοὶ δ' ᾠδὴν ἄσματα καὶ σκώμματα πρὸς

dicarent. (4) Eam partem detraxit Hagnon, judices tamen esse voluit mille ac quingentos, qui de causa cognoscerent, sive repetundarum sive donorum captorum, sive injuste facti actio intenderetur. (5) Pericles judicio Aspasiam exemit, ut tradit Æschines, multis pro ea effusis lacrimis, multisque judices deprecatus. Anaxagoram autem metuens emisit ex urbe additis qui tuto deducerent. (6) Sed cum in Phidiæ causa populum offendisset, judicium, ut videtur, metuens, bellum, quod differebatur et gliscebat adhuc, inflammavit, sperans se accusationes eo pacto dissipaturum invidiamque imminuturum, cum urbs ipsius auctoritati, ac potentiæ unius in arduis rebus atque periculosis inniteretur. Atque hæ quidem sunt, quæ traduntur, causæ quibus impulsus non sit passus populum Lacedæmoniis concedere : veritas in obscuro est.

XXXIII. At vero Lacedæmonii intelligentes se, dejecto Pericle, habituros ad omnia obsequentiores Athenienses, urbem eos jusserunt piaculo liberare, quo maternum Periclis genus obstrictum fuisse Thucydides tradit. (2) Verum hæc legatio in contrarium vertit : non enim suspiciones ea de Pericle sinistras excitavit, sed autoritatem ejus honoremque apud cives auxit, hostibus odio et metui eum esse sentientes. (3) Sane etiam antequam Archidamus cum Peloponnesiis in Atticam intraret, prædixit civibus, si Archidamus, ceteris vastatis, a suo agro maleficium abstinuisset, sive hospitii gratia, sive ut obtrectationibus inimicorum contra se materiam præberet, se civitati agrum suum atque prædia donare. (4) Porro Lacedæmonii cum auxiliariis in Atticam magnas copias adduxerunt, rege duce Archidamo : depopulatisque agris Acharnas pervenere, ibique castra fecerunt, quod putarent hostem sibi non temperaturum, quin et propter iram, et gloriæ asserendæ causa prœlio decerneret. (5) At Pericli contra sexaginta millia armatorum Peloponnesiorum ac Bœotorum (tot enim aderant, qui primum in Atticam irruperunt) nullo modo videbatur urbem ipsam in discrimen dare, ideo pugnam poscentes indigneque hostium populationes ferentes, verbis mitigabat docendo : arbores quidem amputatas et rescissas celerius progerminare, hominum jacturam reparatu haud ita facilem esse. (6) Præterea populum in concionem nequaquam advocabat, ne aliquid præter animi sui sententiam facere cogeretur, sed quemadmodum navis rector vento mari incumbente, omnibus recte curatis, instructisque armamentis, arte sua utitur, neglectis lacrimis precibusque nauseantium et trepidantium, qui navi vehuntur, ita Pericles urbe tum clausa, omnibusque locis præsidio firmatis, sua consilia secutus est, parvi faciens obtrectationem indignationesque civium. (7) Enimvero et ex amicis multi precibus eum urgebant, et inimici minis ac criminationibus territabant, et multi cantilenis ac dicteriis im-

αἰσχύνην ἐφυβρίζοντες αὐτοῦ τὴν στρατηγίαν ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα τοῖς πολεμίοις. (8) Ἐπεφύετο δὲ καὶ Κλέων ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν, ὡς τἀνάπαιστα ταῦτα δηλοποιεῖ τὰ Ἑρμίππου·

Βασιλεῦ σατύρων, τί ποτ' οὐκ ἐθέλεις
δόρυ βαστάζειν, ἀλλὰ λόγους μὲν
περὶ τοῦ πολέμου δεινοὺς παρέχῃ,
ψυχὴ δὲ Τέλητος ὕπεστιν;
Καγχειριδίου δ' ἀκόνῃ σκληρᾷ
παραθηγομένης βρύχεις κοπίδος,
δηχθεὶς αἴθωνι Κλέωνι.

perium ejus exagitabant, mollitiem et proditionem objicientes. (8) Jamque Cleon etiam indignationem populi in suam rem vertens, adoriebatur ipsum, ut multitudinis animos sibi conciliaret, de qua re exstant anapæstici versus Hermippi:

Rex Satyrorum cur detrectas
hastam gestare, ast sermones
grandes bello super ore cies,
mensque est in corde Teletis?
Pugionis at in dura acuatur
si cote tibi gladius, frendis
torvo mordente Cleone.

XXXIV. Πλὴν ὑπ' οὐδενὸς ἐκινήθη τῶν τοιούτων ὁ Περικλῆς, ἀλλὰ πράως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιστάμενος καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν Πελοπόννησον στόλον ἐκπέμπων αὐτὸς οὐ συνεξέπλευσεν, ἀλλ' ἔμεινεν οἰκουρῶν καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν ἕως ἀπηλλάγησαν οἱ Πελοποννήσιοι. (2) Θεραπεύων δὲ τοὺς πολλοὺς ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ διανομαῖς τε χρημάτων ἀνελάμβανε καὶ κληρουχίας ἀνέγραφεν· Αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας διένειμε f τὴν νῆσον Ἀθηναίων τοῖς λαχοῦσιν. (3) Ἦν δέ τις παρηγορία καὶ ἀφ' ὧν ἔπασχον οἱ πολέμιοι. Καὶ γὰρ οἱ περιπλέοντες τὴν Πελοπόννησον χώραν τε πολλὴν κώμας τε καὶ πόλεις μικρὰς διεπόρθησαν καὶ κατὰ γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν ἔφθειρε πᾶσαν. a (4) Ἦ καὶ δῆλον ἦν, ὅτι πολλὰ μὲν δρῶντες κακὰ τοὺς Ἀθηναίους, πολλὰ δὲ πάσχοντες ὑπ' ἐκείνων ἐκ θαλάττης οὐκ ἂν εἰς μῆκος πολέμου τοσοῦτον προὔβησαν, ἀλλὰ ταχέως ἀπεῖπον, ὥσπερ ἐξ ἀρχῆς ὁ Περικλῆς προηγόρευσεν, εἰ μή τι δαιμόνιον ὑπηναντιώθη τοῖς ἀνθρωπίνοις λογισμοῖς. (5) Νῦν δὲ πρῶτον μὲν ἡ λοιμώδης ἐνέπεσε φθορὰ καὶ κατενεμήθη τὴν ἀκμάζουσαν ἡλικίαν καὶ δύναμιν· ὑφ' ἧς καὶ τὰ σώματα κακούμενοι καὶ τὰς ψυχὰς παντάπασιν ἠγριώθησαν πρὸς τὸν Περικλέα καθάπερ πρὸς ἰατρὸν ἢ πατέρα τῇ νόσῳ παραφρονήσαντες καὶ ἀδικεῖν ἐπεχείρησαν ἀναπεισθέντες ὑπὸ τῶν ἐχθρῶν, ὡς τὴν μὲν νόσον ἡ τοῦ χωριτικοῦ b πλήθους εἰς τὸ ἄστυ συμφόρησις ἐργάζεται, θέρους ὥρᾳ πολλῶν δμοῦ χύδην ἐν οἰκήμασι μικροῖς καὶ σκηνώμασι πνιγηροῖς ἠναγκασμένων διαιτᾶσθαι δίαιταν οἰκουρὸν καὶ ἀργὴν ἀντὶ καθαρᾶς καὶ ἀναπεπταμένης τῆς πρότερον, τούτου δ' αἴτιος ὁ τῷ πολέμῳ τὸν ἀπὸ τῆς χώρας ὄχλον εἰς τὰ τείχη καταχεάμενος καὶ πρὸς οὐδὲν ἀνθρώποις τοσούτοις χρώμενος, ἀλλ' ἐῶν ὥσπερ βοσκήματα καθειργμένους ἀναπίμπλασθαι φθορᾶς ἀπ' ἀλλήλων καὶ μηδεμίαν μεταβολὴν μηδ' ἀναψυχὴν ἐκπορίζων.

XXXIV. Verum his omnibus nihil motus Pericles æquo animo et tacitus ignominiam odiaque toleravit: missaque in Peloponnesum classe centum navium, ipse in urbe remansit, resque domi in manu tenuit, tantisper dum Peloponnesii discesserunt. (2) Ibi multitudinem ob accepta belli incommoda indignantem, pecuniæ largitione et coloniis deducendis recreavit. Æginetis enim insula pulsis, eam sorte ductis Atheniensibus divisit. (3) Quin etiam mala hostes eo bello passi sunt, quæ consolarentur animos Atheniensium; cum et horum classis oram Peloponnesi circumvecta, multum agri, multos pagos oppidaque depopulata esset: et Pericles ipse terrestri manu in Megaricam impressione facta, universam vastasset. (4) Quare futurum erat ut hostes, cum intulissent multa Atheniensibus damna, ipsique mari haud pauciora accepissent, bellum non admodum ducerent (quod ita fore initio Pericles prædixerat), nisi fatum quoddam consiliis humanis adversatum fuisset. (5) Primo enim pestilentia coorta est, quæ juventutem Atheniensium et vires tunc vigentes depascebatur. Qua in peste cum corpora male afficerentur, animis juxta protinus in Periclem exacerbati efferatique sunt, quemadmodum qui morbo insaniunt in medicum vel patrem, atque vim ei facere aggressi sunt. Quippe inimici Periclis populum in eam sententiam adduxerant, multitudinis agrestis in urbem conventu luem excitatam: ubi complures æstivo tempore confertim in ædificiis angustis tabernaculisque aeri imperviis cogerentur, omissa pura et sub dio acta vita, otiosi intra domicilia delitescere: causam autem mali penes istum esse, qui bello excitato turbam hominum ex agris intra muros conduxerit, neque tantum hominum numerum ulli rei agendæ adhibuerit, sed passus sit pecorum instar inclusos contagione luis repleri, neque ullam mutationem iis victus respirationemve concesserit.

XXXV. Ταῦτα βουλόμενος ἰᾶσθαι καί τι παραλυπεῖν τοὺς πολεμίους ἑκατὸν καὶ πεντήκοντα ναῦς ἐπλήρου καὶ πολλοὺς καὶ ἀγαθοὺς ὁπλίτας καὶ ἱππέας ἀναβιβασάμενος ἔμελλεν ἀνάγεσθαι μεγάλην ἐλπίδα τοῖς πολίταις καὶ φόβον οὐκ ἔλαττον τοῖς πολεμίοις ἀπὸ τοσαύτης ἰσχύος παρασχών. (2) Ἤδη δὲ πεπληρωμένων c

XXXV. Huic ergo rei ut adhiberet remedium Pericles simulque hostibus incommodaret, optimis peditibus atque equitibus naves centum et quinquaginta implevit: eoque robore in magnam spem suos, nec minorem hostes in metum adduxit. (2) Jam instructa classe, cum suam ipse

τῶν νεῶν καὶ τοῦ Περικλέους ἀναβεβηκότος ἐπὶ τὴν ἑαυτοῦ τριήρη τὸν μὲν ἥλιον ἐκλιπεῖν συνέβη καὶ γενέσθαι σκότος, ἐκπλαγῆναι δὲ πάντας ὡς πρὸς μέγα σημεῖον. (3) Ὁρῶν οὖν ὁ Περικλῆς περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον ἀνέσχε τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ καὶ παρακαλύψας ἠρώτησε, μή τι δεινὸν ἢ δεινοῦ τινος οἴεται σημεῖον· ὡς δ' οὐκ ἔφη, « Τί οὖν, εἶπεν, ἐκεῖνο τούτου διαφέρει, πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐστὶ τὸ πεποιηκὸς τὴν ἐπισκότησιν; » Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς λέγεται τῶν φιλοσόφων. (4) Ἐκπλεύσας δ' οὖν ὁ Περικλῆς οὔτ' ἄλλο τι δοκεῖ τῆς παρασκευῆς ἄξιον δρᾶσαι πολιορκήσας τε τὴν ἱερὰν Ἐπίδαυρον ἐλπίδα παρασχοῦσαν ὡς ἁλωσομένην ἀπέτυχε διὰ τὴν νόσον. Ἐπιγενομένη γὰρ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν τῇ στρατιᾷ συμμίξαντας προσδιέφθειρεν. (5) Ἐκ τούτου χαλεπῶς διακειμένους τοὺς Ἀθηναίους πρὸς αὐτὸν ἐπειρᾶτο παρηγορεῖν καὶ ἀναθαῤῥύνειν. Οὐ μὴν παρέλυσε τὴν ὀργὴν οὐδὲ μετέπεισε πρότερον ἢ τὰς ψήφους λαβόντας ἐπ' αὐτὸν εἰς τὰς χεῖρας καὶ γενομένους κυρίους ἀφελέσθαι τὴν στρατηγίαν καὶ ζημιῶσαι χρήμασιν, ὧν ἀριθμὸν οἱ τὸν ἐλάχιστον πεντεκαίδεκα τάλαντα, πεντήκοντα δ' οἱ τὸν πλεῖστον γράφουσιν. (6) Ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων, ὡς δὲ Θεόφραστος, Σιμμίας· ὁ δὲ Ποντικὸς Ἡρακλείδης Λακρατίδαν εἴρηκε.

XXXVI. Τὰ μὲν οὖν δημόσια ταχέως ἔμελλε παύεσθαι καθάπερ κέντρον εἰς τοῦτον ἅμα πληγῇ τὸν θυμὸν ἀφεικότων τῶν πολλῶν· τὰ δ' οἰκεῖα μοχθηρῶς εἶχεν αὐτῷ κατά τε τὸν λοιμὸν οὐκ ὀλίγους ἀποβαλόντι τῶν ἐπιτηδείων καὶ στάσει διατεταραγμένῳ πόῤῥωθεν. (2) Ὁ γὰρ πρεσβύτατος αὐτοῦ τῶν γνησίων υἱῶν Ξάνθιππος φύσει τε δαπανηρὸς ὢν καὶ γυναικὶ νέᾳ καὶ πολυτελεῖ συνοικῶν, Τισάνδρου θυγατρὶ, τοῦ Ἐπιλύκου, χαλεπῶς ἔφερε τὴν τοῦ πατρὸς ἀκρίβειαν γλίσχρα καὶ κατὰ μικρὸν αὐτῷ χορηγοῦντος. Πέμψας οὖν πρός τινα τῶν φίλων ἔλαβεν ἀργύριον ὡς τοῦ Περικλέους κελεύσαντος. (3) Ἐκείνου δ' ὕστερον ἀπαιτοῦντος, ὁ μὲν Περικλῆς καὶ δίκην αὐτῷ προσέλαχε, τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τούτῳ χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα, πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἴκοι διατριβὰς αὐτοῦ καὶ τοὺς λόγους, οὓς ἐποίει μετὰ τῶν σοφιστῶν. (4) Πεντάθλου γὰρ Χαρίππου ἀκοντίῳ πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως καὶ καταχτείναντος ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόντιον ἢ τὸν βαλόντα ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. (5) Πρὸς δὲ τούτοις καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τοῦ Ξανθίππου φησὶν ὁ Στησίμβροτος εἰς τοὺς πολλοὺς διασπαρῆναι καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῷ νεανίσκῳ πρὸς τὸν πατέρα παραμεῖναι τὴν διαφοράν· ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας. Ἀπέβαλε δὲ καὶ τὴν ἀδελφὴν ὁ Περικλῆς τότε καὶ τῶν κηδεστῶν καὶ φίλων

triremem conscenderet, solis deliquium accidit, tenebræque obortæ in prodigium magnum tractæ omnium animos consternaverunt. (3) Ibi Pericles cum videret gubernatorem ingenti timore captum anxiumque animi, oculis ejus chlamydem prætendit percontatusque est, an horribile aliquid effectum, aut portentum eo facto putaret; neganti, « At quid interest, ait, inter istas et has tenebras, nisi quod chlamyde est majus id, a quo illæ sunt inductæ? » Verum hæc in philosophorum scholis jactantur. (4) Pericles autem cum classe profectus, nihil videtur tanto apparatu dignum egisse: quin et cum sacram Epidaurum obsedisset spesque jam esset captum iri, ad irritum ea cecidit, ingruente morbo, qui non Athenienses modo, sed omnes, qui quocunque pacto ad exercitum accessissent, perdidit. (5) Atque ejus rei causa iratos sibi Athenienses frustra conatus est placare, animosque eorum nova spe confirmare: neque finis ante indignationis contra eum fuit, quam suffragiis latis eum condemnarunt, ademptoque imperio talentis quindecim (hunc enim numerum referunt ii qui minimum, quinquaginta, qui maximum) mulctaverunt. (6) Accusationi inscriptus est Cleon, si Idomeneum auctorem sequimur; sin Theophrastum, Simmias, Heraclides Ponticus Lacratidam nuncupat.

XXXVI. Et tamen publici accepti mali erat quam primum finis futurus, quod populus iram quasi aculeum in eo uno cum ictu reliquerat: domesticis vero premebatur infortuniis, cum et peste non paucos suorum amisisset et seditione familiæ eminus conturbaretur. (2) Legitimorum enim ipsius filiorum natu maximus Xanthippus, homo tum natura sumptuosus tum mulieris juvenis et prodigæ maritus (erat hæc filia Tisandri, neptis Epilyci), patris parsimoniam ægre ferens, tenuiter ei sumptus et non confertim suppeditantis, misit qui ab amico quodam quasi jussu Periclis pecuniam peteret. (3) Eo deinde datam pecuniam reposcente, Pericles in judicium vocavit. Hoc Xanthippus adolescens indigne ferens, patrem conviciis insectatus est, primo per risum evulgans ejus studia domestica, sermonesque cum rhetoribus habitos. (4) Nempe cum Charippus quinquertio Epitimum Pharsalium jaculo imprudens confixisset, Periclem cum Protagora totum diem absumpsisse disceptando: jaculumne, an qui id jecisset, an vero præfecti ludorum rectius dicerentur causam ei casui præbuisse. (5) Præterea calumniam de uxore sua in vulgus sparsam a Xanthippo Stesimbrotus ait, omninoque implacabilem discordiam usque ad mortem ei cum patre permansisse: peste enim periit Xanthippus; quo tempore sororem etiam Pericles, necessariorumque et amicorum plurimos, eosque ad rempublicam gerendam præcipue utiles

τοὺς πλείστους καὶ χρησιμωτάτους πρὸς τὴν πολιτείαν. (6) Οὐ μὴν ἀπεῖπεν οὐδὲ προὔδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν, ἀλλ' οὐδὲ κλαίων οὐδὲ κηδεύων οὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων, πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτοῦ τῶν γνησίων ἀποβαλεῖν Πάραλον. (7) Ἐπὶ τούτῳ δὲ καμφθεὶς ἐπειρᾶτο μὲν ἐγκαρτερεῖν τῷ ἤθει καὶ διαφυλάττειν τὸ μεγαλόψυχον, ἐπιφέρων δὲ τῷ νεκρῷ στέφανον ἡττήθη τοῦ πάθους πρὸς τὴν ὄψιν, ὥστε κλαυθμόν τε ῥῆξαι καὶ πλῆθος ἐκχέαι δακρύων, οὐδέποτε τοιοῦτον οὐδὲν ἐν τῷ λοιπῷ βίῳ πεποιηκώς.

XXXVII. Τῆς δὲ πόλεως πειρωμένης τῶν ἄλλων στρατηγῶν εἰς τὸν πόλεμον καὶ ῥητόρων, ὡς οὐδεὶς βάρος ἔχων ἰσόρροπον οὐδ' ἀξίωμα πρὸς τοσαύτην ἐχέγγυον ἡγεμονίαν ἐφαίνετο, ποθούσης δ' ἐκεῖνον καὶ καλούσης ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον, ἀθυμῶν καὶ κείμενος οἴκοι διὰ τὸ πένθος ὑπ' Ἀλκιβιάδου καὶ τῶν ἄλλων ἐπείσθη φίλων προελθεῖν. (2) Ἀπολογησαμένου δὲ τοῦ δήμου τὴν ἀγνωμοσύνην πρὸς αὐτὸν ὑποδεξάμενος αὖθις τὰ πράγματα καὶ στρατηγὸς αἱρεθεὶς εἰσηγήσατο λυθῆναι τὸν περὶ τῶν νόθων νόμον, ὃν αὐτὸς εἰσενηνόχει πρότερον, ὡς μὴ παντάπασιν ἐρημίᾳ διαδοχῆς τὸν οἶκον ἐκλίποι τοὔνομα καὶ τὸ γένος. (3) Εἶχε δ' οὕτω τὰ περὶ τὸν νόμον. Ἀκμάζων ὁ Περικλῆς ἐν τῇ πολιτείᾳ πρὸ πάνυ πολλῶν χρόνων καὶ παῖδας ἔχων, ὥσπερ εἴρηται, γνησίους νόμον ἔγραψε, μόνους Ἀθηναίους εἶναι τοὺς ἐκ δυεῖν Ἀθηναίων γεγονότας. (4) Ἐπεὶ δὲ τοῦ βασιλέως τῶν Αἰγυπτίων δωρεὰν τῷ δήμῳ πέμψαντος τετρακισμυρίους πυρῶν μεδίμνους ἔδει διανέμεσθαι τοὺς πολίτας, πολλαὶ μὲν ἀνεφύοντο δίκαι τοῖς νόθοις ἐκ τοῦ γράμματος ἐκείνου τέως διαλανθάνουσαι καὶ παρορώμεναι, πολλοὶ δὲ καὶ συκοφαντήμασι περιέπιπτον. (5) Ἐπράθησαν οὖν ἁλόντες ὀλίγῳ πεντακισχιλίων ἐλάττους, οἱ δὲ μείναντες ἐν τῇ πολιτείᾳ καὶ κριθέντες Ἀθηναῖοι μύριοι καὶ τετρακισχίλιοι καὶ τεσσαράκοντα τὸ πλῆθος ἐξητάσθησαν. (6) Ὄντος οὖν δεινοῦ τὸν κατὰ τοσούτων ἰσχύσαντα νόμον ὑπ' αὐτοῦ πάλιν λυθῆναι τοῦ γράψαντος, ἡ παροῦσα δυστυχία τῷ Περικλεῖ περὶ τὸν οἶκον ὡς δίκην τινὰ δεδωκότι τῆς ὑπεροψίας καὶ τῆς μεγαλαυχίας ἐκείνης ἐπέκλασε τοὺς Ἀθηναίους, καὶ δόξαντες αὐτὸν νεμεσητά τε παθεῖν ἀνθρωπίνως τε δεῖσθαι συνεχώρησαν ἀπογράψασθαι τὸνωνόθον εἰς τοὺς φράτορας ὄνομα θέμενον τὸ αὑτοῦ. (7) Καὶ τοῦτον μὲν ὕστερον ἐν Ἀργινούσαις καταναυμαχήσαντα Πελοποννησίους ἀπέκτεινεν ὁ δῆμος μετὰ τῶν συστρατηγῶν.

173 XXXVIII. Τότε δὲ τοῦ Περικλέους ἔοικεν ὁ λοιμὸς λαβέσθαι λαβὴν οὐκ ὀξεῖαν, ὥσπερ ἄλλων, οὐδὲ σύντονον, ἀλλὰ βληχρᾷ τινι νόσῳ καὶ μήκος ἐν ποικίλαις ἐχούσῃ μεταβολαῖς διαχρωμένην τὸ σῶμα σχολαίως καὶ ὑπερείπουσαν τὸ φρόνημα τῆς ψυχῆς. (2) Ὁ γοῦν Θεόφραστος ἐν τοῖς Ἠθικοῖς διαπορήσας, εἰ πρὸς τὰς τύχας τρέπεται τὰ ἤθη καὶ κινούμενα τοῖς τῶν σωμάτων πάθεσιν ἐξίσταται τῆς ἀρετῆς, ἱστόρη-

amisit. (6) Neque tamen animum despondit, neque calamitatibus victus magnitudinem animi prodidit, neque flens, aut in funere ad sepulcrumve ullius necessariorum inventus est, ante mortem Parali, quem unum ex legitimis liberis superstitem habebat. (7) Hujus demum obitu constantiam inflexit, quanquam conabatur perseverare in consueta patientia, animique altitudine, tamen mortuo coronam imponens, aspectu calamitatis ita fractus est, ut et ejulatum emiserit, et vim lacrimarum effuderit, quod nunquam ab eo ante erat factum.

XXXVII. Postmodo cum urbs, periculo de ceteris belli ducibus oratoribusque facto, neminem ipsorum neque viribus neque auctoritate tanto imperio parem invenisset, ipsumque desideraret, et ad summam rerum forensium et bellicarum vocaret, æger animo ac propter luctum domi residens, Alcibiadis aliorumque amicorum hortatu progressus est in publicum : (2) cumque populus suam in ipsum ingratitudinem excusasset, rursus ad res gerendas se convertit, duxque creatus est. Statim ex eo ad populum tulit de antiquanda lege de spuriis (cujus ipse olim auctor fuerat), ne omnino successorum penuria familiæ suæ nomen et genus interiret. (3) Quod ad legem istam attinet, tale fuit. Multo ante tempore, cum floreret in republica, liberosque ex justo haberet conjugio, quemadmodum retulimus, legem condiderat, ut ii soli Athenienses haberentur qui ex duobus Atheniensibus essent nati. (4) Post cum rex Ægypti quadragiuta millia medimnorum frumenti dono Atheniensibus misisset, essentque hi inter cives distribuendi, multæ ex ea lege lites sunt spuriis intentatæ, quæ hactenus neglectæ fuerant, multi quoque calumniis circumventi sunt. (5) Itaque haud multo pauciores quinque millibus convicti venditique sunt : ac civium numerus, eorum qui Athenienses haberentur, inventus fuit quattuordecim millia et quadraginta. (6) Cum vero iniquum videretur, legem, cujus vis tanto tempore tanta fuisset, ab eo ipso abrogari, qui eam sanxisset, domesticum infortunium Periclis Atheniensium animos movit, ratique eum pœnas fastus sui dedisse, expertumque vindictam numinis æquum petere, passi sunt filium ejus illegitimum assumpto patris nomine inter curiales referri. (7) Hunc post navali victoria contra Peloponnesios apud Arginusas potitum, una cum ceteris ducibus populus necavit.

XXXVIII. Tunc autem Periclem vulgaris lues non acuto, neque vehementi, sed imbecilli (ut videtur) lentoque morbo implicavit, qui inter varias mutationes paulatim corpus confecerit, animique altitudinem subruerit. (2) Nam Theophrastus quidem in Moralibus, disputans, moresne fortunæ mutationem sequantur ac corporis affectionibus

χεν, ὅτι νοσῶν ὁ Περικλῆς ἐπισκοπουμένῳ τινὶ τῶν φίλων δείξειε περίαπτον ὑπὸ τῶν γυναικῶν τῷ τραχήλῳ περιηρτημένον, ὡς σφόδρα κακῶς ἔχων, ὁπότε καὶ ταύτην ὑπομένοι τὴν ἀβελτηρίαν. (3) Ἤδη δὲ πρὸς τῷ τελευτᾶν ὄντος αὐτοῦ περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι καὶ τῶν φίλων οἱ περιόντες λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως, ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετροῦντο καὶ τῶν τροπαίων τὸ πλῆθος· ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ νικῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. (4) Ταῦτα, ὡς οὐκέτι συνιέντος, ἀλλὰ καθηρημένου τὴν αἴσθησιν αὐτοῦ διελέγοντο πρὸς ἀλλήλους· ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχηκὼς καὶ φθεγξάμενος εἰς μέσον ἔφη θαυμάζειν, ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινὰ καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς, τὸ δὲ κάλλιστον καὶ μέγιστον οὐ λέγουσιν· « Οὐδείς γάρ, ἔφη, δι' ἐμὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον περιεβάλετο. »

XXXIX. Θαυμαστὸς οὖν ὁ ἀνὴρ οὐ μόνον τῆς ἐπιεικείας καὶ πραότητος, ἣν ἐν πράγμασι πολλοῖς καὶ μεγάλαις ἀπεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν αὐτοῦ καλῶν ἡγεῖτο βέλτιστον εἶναι τὸ μήτε φθόνῳ μήτε θυμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως μηδὲ χρήσασθαί τινι τῶν ἐχθρῶν ὡς ἀνηκέστῳ. (2) Καί μοι δοκεῖ τὴν μειρακιώδη καὶ σοβαρὰν ἐκείνην προσωνυμίαν ἐν τοῦτο ποιεῖν ἀνεπίφθονον καὶ πρέπουσαν, οὕτως εὐμενὲς ἦθος καὶ βίον ἐν ἐξουσίᾳ καθαρὸν καὶ ἀμίαντον Ὀλύμπιον προσαγορεύεσθαι, καθάπερ τὸ τῶν θεῶν γένος ἀξιοῦμεν αἴτιον μὲν ἀγαθῶν, ἀναίτιον δὲ κακῶν πεφυκὸς ἄρχειν καὶ βασιλεύειν τῶν ὄντων, οὐχ ὥσπερ οἱ ποιηταὶ συνταράττοντες ἡμᾶς ἀμαθεστάταις δόξαις ἁλίσκονται τοῖς αὐτῶν ποιήμασι τὸν μὲν τόπον, ἐν ᾧ τοὺς θεοὺς κατοικεῖν λέγουσιν, ἀσφαλὲς ἕδος καὶ ἀσάλευτον καλοῦντες, οὐ πνεύμασιν, οὐ νέφεσι χρώμενον, ἀλλ' αἰθρίᾳ μαλακῇ καὶ φωτὶ καθαρῷ τὸν ἅπαντα χρόνον ὁμαλῶς περιλαμπόμενον, ὡς τοιαύτης τῷ μακαρίῳ καὶ ἀθανάτῳ διαγωγῆς μάλιστα πρεπούσης, αὐτοὺς δὲ τοὺς θεοὺς ταραχῆς καὶ δυσμενείας καὶ ὀργῆς ἄλλων τε μεστοὺς παθῶν ἀποφαίνοντες οὐδ' ἀνθρώποις νοῦν ἔχουσι προσηκόντων. Ἀλλὰ ταῦτα μὲν ἴσως ἑτέρας δόξει πραγματείας εἶναι. (3) Τοῦ δὲ Περικλέους ταχεῖαν αἴσθησιν καὶ σαφῆ πόθον Ἀθηναίοις ἐνειργάζετο τὰ πράγματα. Καὶ γὰρ οἱ ζῶντος βαρυνόμενοι τὴν δύναμιν ὡς ἀμαυροῦσαν αὐτούς, εὐθὺς ἐκ ποδῶν γενομένου πειρώμενοι ῥητόρων καὶ δημαγωγῶν ἑτέρων ἀνωμολογοῦντο μετριώτερον ἐν ὄγκῳ καὶ σεμνότερον ἐν πραότητι μὴ φῦναι τρόπον· ἡ δ' ἐπίφθονος ἰσχὺς ἐκείνη μοναρχία λεγομένη καὶ τυραννὶς πρότερον ἐφάνη τότε σωτήριον ἔρυμα τῆς πολιτείας γενομένη· τοσαύτη φθορὰ καὶ πλῆθος ἐπέκειτο κακίας τοῖς πράγμασιν, ἣν ἐκεῖνος ἀσθενῆ καὶ ταπεινὴν ποιῶν ἀπέκρυπτε καὶ κατεκώλυεν ἀνήκεστον ἐξουσίᾳ γενέσθαι.

moti a virtute recedant, refert, Periclem ægrotantem, invisenti cuidam amico ostendisse amuletum collo circumligatum sibi a mulieribus : nimirum pessime affectum, qui hanc etiam stultitiam in se admiserit. (3) Cum jam vitæ exitus ei immineret, civium præstantissimi et ex amicis, qui adhuc erant in vivis, circum adsidentes, de virtutis potentiæque ipsius magnitudine collocuti sunt, resque gestas expenderunt, et multitudinem tropæorum : novem enim ipse dux et victor pro patria statuerat. (4) Hæc illis ita loquentibus tanquam ipso non intelligente, jamque omni sensu privato, Pericles, qui omnibus eorum dictis animum attenderat, universos compellavit, mirarique se dixit, commemorare eos hæc et laudare, quæ et communia ipsi cum multis fortuna faceret, et multis jam ducibus contigissent, ejus vero, quod esset maximum ac præclarissimum, nullam mentionem facerent : « Nemo enim, inquit, Atheniensium propter me atram vestem induit. »

XXXIX. Admiratione profecto dignus vir, non æquitatis tantum et mansuetudinis nomine, quam in tot actionibus tantasque inter inimicitias conservavit, sed et propter animi altitudinem istam, qui inter sua bona hoc primum duxerit, in tanta potentia se nihil neque invidiæ neque iræ indulsisse, neque ullum inimicum ita tractasse, ut qui placari non posset. (2) Ac mihi quidem videtur juvenilis arrogantiæ illud superbumque cognomentum hac una ratione ab invidia tutum conveniensque ei fuisse, quod mens adeo placida vitaque in tanta potentia tam pura et immaculata Olympica est vocata. Ita enim deos quoque censemus bonorum nobis, malorum autem nequaquam auctores, regnum omnium rerum obtinere. Neque audiendi sunt poetæ, qui nos indoctissimis opinionibus conturbantes, ipsi se suis carminibus redarguunt; cœlum enim cum dicant esse sedem deorum, inconcussam atque immobilem, ut quæ neque ventis neque nubibus agitetur, sed ubi sit mollis serenitas, et quæ puro semper lumine undiquaque illustretur; hujusmodi enim vitæ degendæ rationem beato et immortali generi convenire : ipsos interim deos perturbationum, inimicitiarum, irarum, aliorumque affectuum, qui ne hominem quidem sanæ mentis compotem deceant, plenos pronunciant. Sed hæc non est hujus fortassis loci disputatio. (3) Porro ipsæ res statim effecerunt, ut, Pericles qui vir fuisset, manifesto cum desiderio Athenienses sentirent. Cujus enim viventis potentiam tanquam suis luminibus officientem gravati erant, statim eo sublato alios oratores et demogagos experti, confessi sunt neminem potuisse in tanto fastigio se moderatiorem, neque in ea mansuetudine graviorem præstare : atque odiosam illam potentiam, quæ prius regiæ et tyrannidis nomine erat affecta, salutare præsidium fuisse reipublicæ : tanta apparuit post eum pravitas molesque malitiæ in omnes res invasit; quam ille debilitans atque deprimens hoc effecit obruendo et inhibendo, ne licentiam nacta omni remedio superior evaderet.

ΦΑΒΙΟΣ ΜΑΞΙΜΟΣ.

FABIUS MAXIMUS.

174 Τοιούτου δὲ τοῦ Περικλέους ἐν τοῖς ἀξίοις μνήμης a γεγονότος, ὡς παρειλήφαμεν, ἐπὶ τὸν Φάβιον τὴν ἱστορίαν μεταγάγωμεν. Νυμφῶν μιᾶς λέγουσιν, οἱ δὲ γυναικὸς ἐπιχωρίας, Ἡρακλεῖ μιγείσης περὶ τὸν Θύμβριν b ποταμὸν γενέσθαι Φάβιον, ἄνδρα πολὺ καὶ δόκιμον ἐν Ῥώμῃ τὸ Φαβίων γένος ἀφ' αὐτοῦ παρασχόντα. (2) Τινὲς δὲ τοὺς ἀπὸ τοῦ γένους τούτου πρώτους τῇ δι' ὀρυγμάτων χρησαμένους ἄγρᾳ Φοδίους ἱστοροῦσιν ὀνομάζεσθαι τὸ παλαιόν· οὕτω γὰρ ἄχρι νῦν αἱ διορυγαὶ φόσσαι καὶ φόδερε τὸ σκάψαι καλεῖται· χρόνῳ δὲ τῶν δυεῖν φθόγγων μεταπεσόντων Φάβιοι προσηγορεύθησαν. (3) Πολλοὺς δὲ καὶ μεγάλους τῆς οἰκίας ἐξενεγκαμένης ἄνδρας ἀπὸ Ῥούλλου τοῦ μεγίστου καὶ διὰ τοῦτο Μαξίμου παρὰ Ῥωμαίοις ἐπονομασθέντος τέταρτος ἦν Φά- c βιος Μάξιμος, περὶ οὗ τάδε γράφομεν. (4) Ἦν δ' αὐτῷ σωματικὸν μὲν παρωνύμιον ὁ Βερούκωσσος· εἶχε γὰρ ἀκροχορδόνα μικρὰν ἐπάνω τοῦ χείλους ἐπιπεφυκυῖαν· ὁ δὲ Ὀυικούλας σημαίνει μὲν τὸ προβάτιον, ἐτέθη δὲ πρὸς τὴν πραότητα καὶ βραδυτῆτα τοῦ ἤθους ἔτι παιδὸς ὄντος. (5) Τὸ γὰρ ἡσύχιον αὐτοῦ καὶ σιωπηλὸν καὶ μετὰ πολλῆς εὐλαβείας τῶν παιδικῶν ἁπτόμενον ἡδονῶν, βραδέως δὲ καὶ διαπόνως δεχόμενον τὰς μαθήσεις, εὔκολον δὲ πρὸς τοὺς συνήθεις καὶ κατήκοον ἀβελτηρίας τινὸς καὶ νωθρότητος ὑπόνοιαν εἶχε παρὰ τοῖς ἐκτός· ὀλίγοι δ' ἦσαν οἱ τὸ δυσκίνητον ὑπὸ βάθους καὶ τὸ μεγαλόψυχον καὶ λεοντῶδες ἐν τῇ φύσει καθορῶντες αὐτοῦ. (6) Ταχὺ δὲ τοῦ χρόνου προϊόντος ὑπὸ d τῶν πραγμάτων ἐγειρόμενος διεσήμαινε καὶ τοῖς πολλοῖς ἀπάθειαν τὴν δοκοῦσαν ἀπραγίαν, εὐβουλίαν δὲ τὴν εὐλάβειαν, τὸ δὲ πρὸς μηδὲν ὀξὺ μηθ' εὐκίνητον ἐν πᾶσι μόνιμον καὶ βέβαιον. (7) Ὁρῶν δὲ καὶ τῆς πολιτείας τὸ μέγεθος καὶ τῶν πολέμων τὸ πλῆθος ἥσκει τὸ μὲν σῶμα πρὸς τοὺς πολέμους, ὥσπερ ὅπλον σύμφυτον, τὸν δὲ λόγον ὄργανον πειθοῦς πρὸς τὸν δῆμον εὖ μάλα πρε- πόντως τῷ βίῳ κατακεκοσμημένον. (8) Οὐ γὰρ ἐπῆν ὡραϊσμὸς οὐδὲ κενὴ καὶ ἀγοραῖος χάρις, ἀλλὰ νοῦς ἴδιον καὶ περιττὸν ἐν γνωμολογίαις σχῆμα καὶ βάθος ἔχων, ἃς μάλιστα ταῖς Θουκυδίδου προσεοικέναι λέγουσι. Διασώζεται γὰρ αὐτοῦ λόγος, ὃν εἶπεν ἐν τῷ δήμῳ, e τοῦ παιδὸς αὐτοῦ μεθ' ὑπατείαν ἀποθανόντος ἐγκώμιον.

II. Πέντε δ' ὑπατειῶν, ἃς ὑπάτευσεν, ἡ πρώτη τὸν ἀπὸ Λιγύων θρίαμβον ἔσχεν. Ἡττηθέντες γὰρ ὑπ' αὐτοῦ μάχῃ καὶ πολλοὺς ἀποβαλόντες εἰς τὰς Ἄλπεις ἀνεστάλησαν καὶ τὴν πρόσοικον ἐπαύσαντο τῆς Ἰταλίας ληιζόμενοι καὶ κακῶς ποιοῦντες. (2) Ἐπεὶ δ' Ἀννίβας ἐμβαλὼν εἰς Ἰταλίαν καὶ μάχῃ πρῶτον περὶ τὸν Τρεβίαν ποταμὸν ἐπικρατήσας αὐτὸς μὲν ἤλαυνε διὰ Τυρρηνίας πορθῶν τὴν χώραν, ἔκπληξιν δὲ δεινὴν καὶ φόβον εἰς τὴν Ῥώμην ἐνέβαλε, σημεῖα δὲ τὰ μὲν συνήθη Ῥωμαίοις ἀπὸ κεραυνῶν, τὰ δ' ὅλως ἐξηλλαγμένα καὶ f πολλὴν ἀτοπίαν ἔχοντα προσέπιπτε (θυρεούς τε γὰρ ἀφ'

Expositis iis, quæ de Pericle digna commemoratu tradita invenimus, ad Fabii jam nunc historiam nos convertemus. Ferunt cum Nympha quadam (alii mulierem ejus loci incolam fuisse scribunt) Herculem apud Tiberim fluvium coivisse, atque inde natum Fabium, qui Fabiorum magnam illustremque Romæ gentem propagaverit. (2) Alii perhibent primos hujus generis viros, eo quod in venatione fossis uterentur, Fodios antiquitus nominatos: tempore duas literas mutatas atque ita Fabiorum nomen exstitisse. (3) Hæc familia cum multos tulerit magnos viros, a Rullo, qui Maximus a Romanis cognominatus est, quartus fuit Fabius de quo scribimus. (4) Cognomentum ei fuit Verrucosus, tractum a corporis habitu; habuit enim verrucam parvam supra labium enatam: Oviculæ vero cognomen propter placidum ingenium tarditatemque ei adhuc puero impositum est. (5) Nam quieta in eo atque taciturna natura et in puerilibus voluptatibus fruendis cautio, ad hæc in percipiendis disciplinis tarditas et difficultas, facilitas vero apud familiares et obedientia, suspicionem exteris stoliditatis alicujus et ignaviæ de eo præbebant; pauci indolem in eo gravem atque immobilem leoninamque magnanimitatem perspiciebant. (6) Ipse mox rebus ipsis exercitatus, non socordem se, quemadmodum vulgo visus erat, verum affectibus vacuum, non timidum, sed cautum, non tardum et in quacunque re suscipienda segnem, sed gravem esse atque constantem demonstravit. (7) Itaque cum magnitudinem reipublicæ bellorumque multitudinem videret, corpus, utpote arma a natura sibi data, ad res bellicas adsuefaciebat, orationem, quo ad persuadendum populum instrumento uteretur, quam maxime suæ vitæ convenientem informabat. (8) Neque enim in ea inerat ornatus, neque inanis illa et forensis gratia, sed peculiaris quædam forma sententiarum, graviumque dictorum maxime Thucydidis, ut aiunt, sententiis similium. Exstat enim oratio ejus, quam in funere filii gesto consulatu mortui dixit.

II. Fabius Maximus quinque gessit consulatus, quorum primo de Liguribus triumphavit, quos prœlio fusos, ac magna strage affectos, in Alpes repulit, finemque populationibus et vexationibus finitimarum Italiæ partium imposuit. (2) Aliquanto post tempore Hannibal in Italiam irrupit, victorque prima apud Trebiam pugna, per Etruriam obvia quæque vastando, progressus, ingentem Romanis terrorem atque stuporem injecit. Accidere tum signa Romanis, partim consueta, ut tactis de cœlo rebus, partim nova prorsus ac plane stupenda; renunciabatur enim scuta ultro

αὐτῶν αἵματι γενέσθαι διαβρόχους ἐλέχθη καὶ θέρη σταχύων περὶ Ἄντιον ἕναιμα κείρεσθαι καὶ λίθους μὲν ἐκ τοῦ ἀέρος διαπύρους καὶ φλεγομένους φέρεσθαι, τοῦ δ' ὑπὲρ Φαλερίους οὐρανοῦ ῥαγῆναι δόξαντος ἐκπίπτειν καὶ διασπείρεσθαι πολλὰ γραμματεῖα καὶ τούτων ἐν ἑνὶ γεγραμμένον φανῆναι κατὰ λέξιν, ΑΡΗΣ ΤΑ ΕΑΥΤΟΥ ΟΠΛΑ ΣΑΛΕΥΕΙ), (3) τὸν μὲν ὕπατον Γάϊον Φλαμίνιον οὐδὲν ἤμβλυνε τούτων, ἄνδρα πρὸς τῷ φύσει θυμοειδεῖ καὶ φιλοτίμῳ μεγάλαις ἐπαιρόμενον εὐτυχίαις, ἃς πρόσθεν εὐτύχησε παραλόγως τῆς τε βουλῆς ἀποκαλούσης καὶ τοῦ συνάρχοντος ἐνισταμένου συμβαλὼν βίᾳ τοῖς Γαλάταις καὶ κρατήσας, Φάβιον δὲ τὰ μὲν σημεῖα, καίπερ ἀπτόμενα πολλῶν, ἧττον ὑπέθραττε διὰ τὴν ἀλογίαν· (4) τὴν δ' ὀλιγότητα τῶν πολεμίων καὶ τὴν ἀχρηματίαν πυνθανόμενος καρτερεῖν παρεκάλει τοὺς Ῥωμαίους καὶ μὴ μάχεσθαι πρὸς ἄνθρωπον ἐπ' αὐτῷ τούτῳ διὰ πολλῶν ἀγώνων ἠσκημένῃ στρατιᾷ χρώμενον, ἀλλὰ τοῖς συμμάχοις ἐπιπέμποντας βοηθείας καὶ τὰς πόλεις διὰ χειρὸς ἔχοντας αὐτὴν ἐᾶν περὶ αὑτὴν μαραίνεσθαι τὴν ἀκμὴν τοῦ Ἀννίβου καθάπερ φλόγα λάμψασαν ἀπὸ μικρᾶς καὶ κούφης δυνάμεως.

III. Οὐ μὴν ἔπεισε τὸν Φλαμίνιον, ἀλλὰ φήσας οὐκ ἀνέξεσθαι προσιόντα τῇ Ῥώμῃ τὸν πόλεμον οὐδ', ὥσπερ ὁ παλαιὸς Κάμιλλος, ἐν τῇ πόλει διαμαχεῖσθαι περὶ αὐτῆς, τὸν μὲν στρατὸν ἐξάγειν ἐκέλευσε τοὺς χιλιάρχους, αὐτὸς δ' ἐπὶ τὸν ἵππον ἀλλόμενος ἐξ οὐδενὸς αἰτίου προδήλου παραλόγως ἐντρόμου τοῦ ἵππου γενομένου καὶ πτυρέντος ἐξέπεσε καὶ κατενεχθεὶς ἐπὶ κεφαλὴν ὅμως οὐδὲν ἔτρεψε τῆς γνώμης, ἀλλ' ὡς ὥρμησεν ἐξ ἀρχῆς ἀπαντῆσαι τῷ Ἀννίβᾳ περὶ τὴν καλουμένην Θρασυνίαν λίμνην τῆς Τυρρηνίας παρετάξατο. (2) Τῶν δὲ στρατιωτῶν συμβαλόντων εἰς χεῖρας ἅμα τῷ καιρῷ τῆς μάχης συνέπεσε σεισμὸς, ὑφ' οὗ καὶ πόλεις ἀνετράπησαν καὶ ῥεύματα ποταμῶν ἐξ ἕδρας μετέστη καὶ κρημνῶν ὑπώρειαι περιερράγησαν. Ἀλλὰ, καίπερ οὕτω γενομένου βιαίου πάθους, οὐδεὶς τὸ παράπαν ἤσθετο τῶν μαχομένων. (3) Αὐτὸς μὲν οὖν ὁ Φλαμίνιος πολλὰ καὶ τόλμης ἔργα καὶ ῥώμης ἐπιδεικνύμενος ἔπεσε καὶ περὶ αὐτὸν οἱ κράτιστοι· τῶν δ' ἄλλων τραπέντων πολὺς ἦν φόνος καὶ πεντακισχίλιοι πρὸς μυρίοις κατεκόπησαν, καὶ ἑάλωσαν ἕτεροι τοσοῦτοι. (4) Τὸ δὲ Φλαμινίου σῶμα φιλοτιμούμενος θάψαι καὶ κοσμῆσαι δι' ἀρετὴν ὁ Ἀννίβας οὐχ εὗρεν ἐν τοῖς νεκροῖς, ἀλλ' ἠγνοεῖτο παράπαν ὅπως ἠφανίσθη. (5) Τὴν μὲν οὖν ἐπὶ τοῦ Τρεβίου γενομένην ἧττων οὔθ' ὁ γράψας στρατηγὸς οὔθ' ὁ πεμφθεὶς ἄγγελος ἀπ' εὐθείας ἔφρασεν, ἀλλ' ἐψεύσατο τὴν νίκην ἐπίδικον αὐτοῖς καὶ ἀμφίδοξον γενέσθαι· (6) περὶ δὲ ταύτης ὡς πρῶτον ἤκουσεν ὁ στρατηγὸς Πομπώνιος συναγαγὼν εἰς ἐκκλησίαν τὸν δῆμον οὐ περιπλοκὰς οὐδὲ παραγωγὰς, ἀλλ' ἄντικρυς ἔφη προσελθών· « Νενικήμεθα, ὦ ἄνδρες Ῥωμαῖοι, μεγάλῃ μάχῃ καὶ διέφθαρται τὸ στρατόπεδον καὶ Φλαμίνιος ὕπατος ἀπόλωλεν. Ἀλλὰ βουλεύεσθε περὶ σωτηρίας αὐτῶν καὶ ἀσφαλείας. » (7) Οὗτος μὲν οὖν ὥσπερ πνεῦμα τὸν λόγον ἐμβαλὼν εἰς

sanguine manasse, apud Antium spicas sanguinolentas demessas, lapides candentes et ardentes ex aere decidisse, cœlum supra Falerios findi visum, delapsasque ex eo hiatu et disjectas multas tabellas, inque earum una scripta hæc verba : MARS SUA CONCUTIT ARMA; (3) nihil his C. Flaminius consul permotus est, homo natura ferox elatusque magnis successibus, quod rem præter omnium opinionem bene gessisset, Gallosque prœlio congressus senatu prohibente invitoque collega vicisset; at Fabium prodigia quidem propter novitatem minus terrebant, quanquam animos ea multorum perculerant : (4) sed percepta hostium paucitate et penuria, Romanos hortabatur ut se continerent neque confligerent cum hoste, qui tot jam dimicationibus ad pugnam suos exercuisset, sociis potius auxilia mitterent, urbes præsidiis munirent, Hannibalisque vigorem ipsum per se paterentur elanguescere, qui, tanquam flamma, a parva et imbecilli potentia elucerat.

III. Neque tamen movit animum Flaminii, quin is præfatus non se passurum ut hostis ad urbem accederet, neque, ut quondam Camillus, de urbe in ipsa urbe decertaturum, tribunis ut exercitum educerent, mandaret; ipse cum in equum insiluisset, consternato exterritoque nulla ex evidenti causa equo, in caput decidit, nihilque ne sic quidem a sententia destitit; sed quo impetu exorsus est aggredi Hannibalem, eo aciem apud Trasimenum lacum Etruriæ instruxit. (2) Cum manus copiæ consererent, ipso conflictus tempore terræ motus accidit, qui et urbes prostravit, et fluvios a suis alveis avertit, montiumque radices proruit : et tam violentam concussionem nemo tum quisquam pugnantium sensit. (3) Eo in prœlio Flaminius cum et audaciam suam et robur præclare ostendisset, ipse ac circum eum optimi ceciderunt : ceteri fusi, et ingenti strage affecti, cæsi quindecim millia, totidemque capti. (4) Flaminii corpus Hannibal propter viri ejus virtutem honestæ sepulturæ causa magna cum cura quæsitum invenire inter cadavera nequivit, neque omnino sciri potuit, quo modo e medio sublatum fuerit. (5) Cladem, quæ erat ad Trebiam accepta, neque consul per litteras, neque nuncius missus aperte annunciaverant, sed dubia victoria discessum fuisse dixerant. (6) De hac autem ut primum rescivit prætor Pomponius, advocato in concionem populo, nullis usus ambagibus et fallaciis, sed aperte, progressus, « Magna, inquit, pugna victi sumus, Quirites, cæsusque est exercitus et Flaminius consul periit : proinde vestra de salute consilium capite. » (7) Hac ille oratione in populum tanquam vento

πέλαγος τοσούτου ὄήμου συνετάραξε τὴν πόλιν, οὐδ' ἑστάναι πρὸς τοσαύτην ἔκπληξιν οἱ λογισμοὶ καὶ διαμένειν ἐδύναντο. (8) Πάντες δ' εἰς μίαν γνώμην συνήχθησαν ἀνυπευθύνου δεῖσθαι τὰ πράγματα μοναρχίας, ἣν δικτατωρίαν καλοῦσι, καὶ τοῦ μεταχειριουμένου ταύτην ἀθρύπτως καὶ ἀδεῶς ἀνδρός· εἶναι δὲ τοῦτον ἕνα Φάβιον Μάξιμον, ἰσόρροπον ἔχοντα τῷ μεγέθει τῆς ἀρχῆς τὸ φρόνημα καὶ τὸ ἀξίωμα τοῦ ἤθους ἡλικίας τε κατὰ τοῦτο γεγενημένον, ἐν ᾧ συνέστηκεν ἔτι πρὸς τὰ f τῆς ψυχῆς βουλεύματα τὸ σῶμα τῇ ῥώμῃ καὶ συγκέκραται τῷ φρονίμῳ τὸ θαῤῥαλέον.

IV. Ὡς οὖν ταῦτ' ἔδοξεν ἀποδειχθεὶς δικτάτωρ Φάβιος καὶ ἀποδείξας αὐτὸς ὕπαρχον Λεύκιον Μινούκιον πρῶτον μὲν ᾐτήσατο τὴν σύγκλητον ἵππῳ χρῆσθαι παρὰ τὰς στρατείας. (2) Οὐ γὰρ ἐξῆν, ἀλλ' ἀπηγόρευτο κατὰ δή τινα νόμον παλαιὸν, εἴτε τῆς ἀλκῆς τὸ πλεῖστον ἐν τῷ πεζῷ τιθεμένων καὶ διὰ τοῦτο τὸν στρατηγὸν οἰομένων δεῖν παραμένειν τῇ φάλαγγι καὶ μὴ 176προλιπεῖν, εἴθ', ὅτι τυραννικὸν εἰς ἅπαντα τἄλλα καὶ a μέγα τὸ τῆς ἀρχῆς κράτος ἐστὶν, ἔν γε τούτῳ βουλομένων τὸν δικτάτωρα τοῦ δήμου φαίνεσθαι δεόμενον. (3) Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Φάβιος εὐθὺς ἐνδείξασθαι θέλων τῆς ἀρχῆς τὸ μέγεθος καὶ τὸν ὄγκον, ὡς μᾶλλον ὑπηκόοις χρῷτο καὶ πειθηνίοις τοῖς πολίταις, προῆλθε συνενεγκάμενος εἰς ταὐτὸ ῥαβδουχίας εἰκοσιτέσσαρας· καὶ τοῦ ἑτέρου τῶν ὑπάτων ἁπάντων αὐτῷ τὸν ὑπηρέτην πέμψας ἐκέλευσε τοὺς ῥαβδούχους ἀπαλλάξαι καὶ τὰ παράσημα τῆς ἀρχῆς ἀποθέμενον ἰδιώτην ἀπαντᾶν. (4) Μετὰ δὲ ταῦτα καλλίστην ἀρχόμενος ἐκ θεῶν ἀρχὴν καὶ διδάσκων τὸν δῆμον ὡς ὀλιγωρίᾳ καὶ περιφρονήσει τοῦ στρατηγοῦ πρὸς τὸ δαιμόνιον, οὐ μο- b χθηρίᾳ τῶν ἀγωνισαμένων σφαλέντα, προὔτρεπε μὴ δεδιέναι τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς θεοὺς ἐξευμενίζεσθαι καὶ τιμᾶν, οὐ δεισιδαιμονίαν ἐργαζόμενος, ἀλλὰ θαῤῥύνων εὐσεβείᾳ τὴν ἀρετὴν καὶ ταῖς παρὰ τῶν θεῶν ἐλπίσι τὸν ἀπὸ τῶν πολεμίων φόβον ἀφαιρῶν καὶ παραμυθούμενος. (5) Ἐκινήθησαν δὲ τότε πολλαὶ καὶ τῶν ἀποῤῥήτων καὶ χρησίμων αὐτοῖς βίβλων, ἃς Σιβυλλείους καλοῦσι· καὶ λέγεται συνδραμεῖν ἔνια τῶν ἀποχειμένων ἐν αὐταῖς λογίων πρὸς τὰς τύχας καὶ τὰς πράξεις ἐκείνας. Καὶ τὸ μὲν γνωστὸν οὐκ ἦν ἑτέρῳ πυθέσθαι. (6) Προσελθὼν δὲ ὁ δικτάτωρ εἰς τὸν ὄχλον c ηὔξατο τοῖς θεοῖς ἐνιαυτοῦ μὲν αἰγῶν καὶ συῶν καὶ προβάτων καὶ βοῶν ἐπιγονὴν, ὅσην Ἰταλίας ὄρη καὶ πεδία καὶ ποταμοὶ καὶ λειμῶνες εἰς ὥραν ἐσομένην θρέψουσι, καταθύσειν ἅπαντα, θέας δὲ μουσικὰς καὶ θυμελικὰς ἄξειν ἀπὸ σηστερτίων τριακοσίων τριάκοντα τριῶν καὶ δηναρίων τριακοσίων τριάκοντα τριῶν ἔτι τριτημορίου προσόντος. Τοῦτο τὸ κεφάλαιόν ἐστιν ὀκτὼ μυριάδες δραχμῶν καὶ δραχμαὶ τρισχίλιαι πεντακόσιαι ὀγδοήκοντα τρεῖς καὶ δύο ὀβολοί. (7) Λόγον δὲ τῆς εἰς τοῦτο τοῦ πλήθους ἀκριβείας καὶ διανομῆς χαλεπόν ἐστιν εἰπεῖν· εἰ μή τις ἄρα βούλοιτο τῆς τριάδος d ὑμνεῖν τὴν δύναμιν, ὅτι καὶ φύσει τέλειος καὶ πρῶτος

in mare immisso, totam urbem conturbavit, neque in tanto terrore constare hominum cogitationes potuere. (8) Omnes in eam sententiam venerunt, res liberum et plenum imperium poscere, quod dicunt dictaturam, virumque qui eum magistratum impavide gereret; solum eum esse Fabium Maximum, cujus et animi excellentia morumque gravitate majestatem dictaturæ adæquari, eaque esse ætate, qua adhuc consiliis animi robur corporis respondet ac prudentia est audaciæ conjuncta.

IV. Hac sententia comprobata, Fabius dictator dictus, magistrum equitum dixit M. Minucium, petiitque primo omnium a senatu, ut militiæ sibi liceret equo vehi. (2) Id enim antiquitus lege prohibitum erat : sive quod prisci Romani plurimum roboris in peditatu ponebant, ideoque ducem volebant in acie ei adstare neque eum deserere; sive quod regia cum esset alioquin dictaturæ potentia, omniaque sub se comprehenderet, volebant tamen hoc pacto ostendere, dictatorem populo esse obnoxium. (3) At vero ut statim imperii sui magnitudinem atque majestatem civibus demonstraret, eoque sibi eos magis dicto audientes haberet, cum viginti quattuor fascibus in publicum progressus est; alterumque consulum obviam sibi venientem, misso lictore, jussit fascibus et magistratus insignibus remotis privatum ad se venire. (4) Tum præclare a diis orsus, populum docuit, a duce rem male gestam non ignavia militum, sed negligentia contemptioneque religionum : hortatusque est, ne metuerent quidem hostem, sed deos quoque placarent atque venerarentur. Neque vero superstitione animos obstrinxit, sed virtutem pietate roboravit, metumque hostilem bona de diis spe sustulit et sedavit. (5) Consulti etiam sunt vaticini et occulti libri, quos Sibyllinos vocant : ferunturque quædam vaticinia in iis recondita, eventibus et actionibus præsentis temporis congruisse; verum ea evulgari non licuit. (6) Dictator inde ad plebem progressus, diis vovit immolaturum se omnem annuum fœtum caprarum, porcorum, ovium, boum, quantum ejus Italiæ montes, campi, flumina et prata usque ad ver proximum produxissent : vovit etiam spectacula et musica certamina, in quæ impenderentur trecenta triginta tria sestertia ac denarii trecenti triginta tres cum denarii triente, quæ summa facit octoginta tria millia denariûm, atque ad hæc quingentos octoginta tres denarios duosque obolos. (7) Rationem hujus summæ ita præcise definitæ et distributæ dicere non facile est, nisi quis ternionis naturam hic prædicare velit : quod is numerus et perfectus natura est, et

τῶν περιττῶν ἀρχή τε πλήθους ἐν αὐτῷ τάς τε πρώτας διαφορὰς καὶ τὰ παντὸς ἀριθμοῦ στοιχεῖα μίξας καὶ συναρμόσας εἰς ταὐτὸν ἀνείληπτε.

V. Τῶν μὲν οὖν πολλῶν ὁ Φάβιος τὴν γνώμην ἀπαρτήσας πρὸς τὸ θεῖον ἡδίω πρὸς τὸ μέλλον ἐποίησεν. Αὐτὸς δὲ πάσας θέμενος ἐν αὐτῷ τὰς τῆς νίκης ἐλπίδας, ὡς καὶ τοῦ θεοῦ τὰς εὐπραξίας δι' ἀρετῆς καὶ φρονήσεως παραδιδόντος, τρέπεται πρὸς Ἀννίβαν, οὐχ ὡς διαμαχούμενος, ἀλλὰ χρόνῳ τὴν ἀκμὴν αὐτοῦ καὶ χρήμασι τὴν ἀπορίαν καὶ πολυανθρωπίᾳ τὴν ὀλιγότητα τρίβειν καὶ ὑπαναλίσκειν βεβουλευμένος. (2) Ὅθεν ἀεὶ μετέωρος ἀπὸ τῆς ἵππου τῶν πολεμίων ἐν τόποις ὀρεινοῖς στρατοπεδεύων ἐπῃωρεῖτο, καθημένου μὲν ἡσυχάζων, κινουμένου δὲ κατὰ τῶν ἄκρων κύκλῳ περιιὼν καὶ περιφαινόμενος ἐκ διαστήματος ὅσον ἀκοντὶ μὴ βιασθῆναι μάχεσθαι καὶ φόβον ὡς μαχησόμενος τοῖς πολεμίοις ἀπὸ τῆς μελλήσεως αὐτῆς παρέχειν. (3) Οὕτω δὲ παράγων τὸν χρόνον ὑπὸ πάντων κατεφρονεῖτο καὶ κακῶς μὲν ἤκουεν ἐν τῷ στρατοπέδῳ, κομιδῇ δὲ τοῖς πολεμίοις ἄτολμος ἐδόκει καὶ τὸ μηδὲν εἶναι πλὴν ἑνὸς Ἀννίβου. Μόνος δ' ἐκεῖνος αὐτοῦ τὴν δεινότητα καὶ τὸν τρόπον, ᾧ πολεμεῖν ἐγνώκει, συνιδὼν καὶ διανοηθείς, ὡς πάσῃ τέχνῃ καὶ βίᾳ κινητέος ἐστὶν εἰς μάχην ὁ ἀνὴρ ἡ διαπέπρακται τὰ Καρχηδονίων, οἷς μέν εἰσι κρείττους ὅπλοις χρήσασθαι μὴ δυναμένων, οἷς δὲ λείπονται σώμασι καὶ χρήμασιν ἐλαττουμένων καὶ δαπανωμένων εἰς τὸ μηδέν, ἐπὶ πᾶσαν ἰδέαν στρατηγικῶν σοφισμάτων καὶ παλαισμάτων τρεπόμενος καὶ πειρώμενος ὥσπερ δεινὸς ἀθλητὴς λαβὴν ζητῶν προσέβαλλε καὶ διετάραττε καὶ μετῆγε πολλαχόσε τὸν Φάβιον ἐκστῆσαι τῶν ὑπὲρ τῆς ἀσφαλείας λογισμῶν βουλόμενος. (4) Τῷ δὲ ἡ μὲν κρίσις πίστιν ἔχοντι τοῦ συμφέροντος ἐν ἑαυτῇ βέβαιος εἱστήκει καὶ ἀμετάπτωτος· ἠνώχλει δ' αὐτὸν ὁ ἵππαρχος Μινούκιος φιλομαχῶν ἀκαίρως καὶ θρασυνόμενος καὶ δημαγωγῶν τὸ στράτευμα μανικῆς φορᾶς καὶ κενῶν ἐλπίδων ὑπ' αὐτοῦ πεπληρωμένον· οἱ τὸν μὲν Φάβιον σκώπτοντες καὶ καταφρονοῦντες Ἀννίβου παιδαγωγὸν ἀπεκάλουν, τὸν δὲ Μινούκιον καὶ μέγαν ἄνδρα καὶ τῆς Ῥώμης ἄξιον ἡγοῦντο στρατηγόν. (5) Ὁ δὲ μᾶλλον εἰς φρόνημα καὶ θράσος ἀνειμένος ἐχλεύαζε μὲν τὰς ἐπὶ τῶν ἄκρων στρατοπεδείας, ὡς καλὰ θέατρα τοῦ δικτάτωρος ἀεὶ παρασκευαζομένου θεωρήσουσι πορθουμένην καὶ φλεγομένην τὴν Ἰταλίαν, ἠρώτα δὲ τοὺς φίλους τοῦ Φαβίου, πότερον εἰς τὸν οὐρανὸν ἄρας ἀναφέρει τὸν στρατὸν ὡς τῆς γῆς ἀπεγνωκὼς, ἢ νέφη καὶ ὁμίχλας προβαλλόμενος ἀποδιδράσκει τοὺς πολεμίους. (6) Ταῦτα τῶν φίλων πρὸς τὸν Φάβιον ἀπαγγελλόντων καὶ τὴν ἀδοξίαν τῷ κινδύνῳ λῦσαι παρακελευόντων, « Οὕτω μέντἂν, ἔφη, δειλότερος ἢ νῦν εἶναι δοκῶ γενοίμην, εἰ σκώμματα καὶ λοιδορίας φοβηθεὶς ἐκπέσοιμι τῶν ἐμαυτοῦ λογισμῶν. Καίτοι τὸ μὲν ὑπὲρ πατρίδος οὐκ αἰσχρὸν δέος· ἡ δὲ πρὸς δόξαν ἀνθρώπων καὶ διαβολὰς καὶ ψόγους ἔκπληξις οὐκ ἀξίου τηλικαύτης ἀρχῆς

inter impares primus, in eoque multitudinis initium, et primæ differentiæ, omniumque numerorum elementa conjuncta continentur.

V. Hoc modo Fabius vulgi ad deorum cultum erectos animos in bonam futurorum spem adduxit. Ipse omnem in se victoriæ fiduciam collocans, ratusque virtutis et prudentiæ causa deos prosperum successum largiri, Hannibalem aggredi statuit, non ut rem prœlio committeret, sed ut impetum ejus mora, pecunia egestatem, copia hominum paucitatem attereret ac consumeret. (2) Itaque ab equitatu hostium sibi cavere, in editis semper locis ac montanis castra habere, sedente in castris hoste quiescere, movente se eo per montes circumire, seque per intervalla hosti ostendere, ut neque ipse invitus ad pugnam compelli posset, et cunctatione hac hostibus pugnæ exspectationem afferret. (3) Eo modo tempus trahens, omnibus contemptui erat, neque in castris modo audiebat male, sed hostibus etiam omnibus timidissimus ac nullius pretii imperator credebatur. Solus Hannibal calliditatem ejus, quoque modo gerere bellum statuisset, perspiciens, omnique arte et vi eum ad conserendum prœlium intelligens eliciendum (quippe actum alioquin de rebus Carthaginiensium, quibus armorum usu, quo præstabant, adempto, corpora et pecuniæ a quibus, quam hostis, erant imparatiores, frustra imminuerentur et consumerentur), omnia imperatoria experiri strategemata et artificia tentare et more periti luctatoris quærere, quanam ratione adversario manus injiceret. Itaque sæpius adoriri, tumultum concitare, atque hinc inde Fabium rapere, si qua eum ratione a tutis consiliis abducere posset. (4) At Fabius suæ utilitatis certus, confirmato judicio immobilis in sua sententia perstabat. Minucius equitum magister eum importune pugnam poscens ac ferociens vexabat, qui militum captans gratiam exercitum insana cupiditate et vana spe implebat. Itaque ii Fabium ludibrio habebant, Hannibalisque pædagogum vocitabant, Minucium magnum virum Romaque dignum imperatorem prædicabant. (5) Quibus ad majorem fastum et audaciam evectus Minucius castra in sublimibus posita locis subsannabat, pulcra dictatorem theatra parasse dictitans, unde populationibus incendiisque vastari Italiam spectarent : ex amicis etiam Fabii sciscitabatur, ecquid Fabius spe terræ tenendæ abjecta, in cœlum efferre exercitum, aut objectis nubibus et nebulis hostem effugere intendisset. (6) Hæc cum amici Fabio renuntiarent, suaderentque ut tentato prœlio ignominiam aboleret : « Ego vero, inquit, infamiam timiditatis ea ratione augerem, si metu reprehensionum et conviciorum meo me detrudi proposito paterer : et quidem pro patriæ salute timidum esse, indecorum non est ; propter hominum de se opinionem, calumnias aut reprehensiones in terrorem venire, id jam non viro, qui tanto sit dignus imperio, convenit, sed qui eorum

ἀνδρὸς, ἀλλὰ δουλεύοντος ὧν κρατεῖν αὐτὸν καὶ δεσπόζειν κακῶς φρονούντων προσήκει. »

VI. Μετὰ ταῦτα γίνεται διαμαρτία τοῦ Ἀννίβου. Βουλόμενος γὰρ ἀποσπάσαι τοῦ Φαβίου πορρωτέρω τὸ στράτευμα καὶ πεδίων ἐπιλαβέσθαι προνομὰς ἐχόντων ἐκέλευσε τοὺς ὁδηγοὺς μετὰ δεῖπνον εὐθὺς ἡγεῖσθαι πρὸς τὸ Κασινάτον. (2) Οἱ δὲ τῆς φωνῆς διὰ βαρβαρισμὸν οὐκ ἐξακούσαντες ἀκριβῶς ἐμβάλλουσιν αὐτοῦ τὴν δύναμιν φέροντες εἰς τὰ καταλήγοντα τῆς Καμπανίας εἰς πόλιν Κασιλίνον, ἣν τέμνει ῥέων διὰ μέσης ὁ Λοθρόνος ποταμὸς, ὃν Οὐουλτοῦρνον οἱ Ῥωμαῖοι καλοῦσιν. (3) Ἔστι δ' ἡ χώρα τὰ μὲν ἄλλα περιστεφὴς ὄρεσιν· αὐλὼν δ' ἀναπέπταται πρὸς τὴν θάλατταν, ἔνθα τὰ ἕλη καταδίδωσι τοῦ ποταμοῦ περιχεομένου καὶ θῖνας ἄμμου βαθείας ἔχει καὶ τελευτᾷ πρὸς αἰγιαλὸν κυματώδη καὶ δύσορμον. (4) Ἐνταῦθα καταβαίνοντος τοῦ Ἀννίβου περιελθὼν ἐμπειρίᾳ τῶν ὁδῶν ὁ Φάβιος τὴν μὲν διέξοδον ὁπλίτας τετρακισχιλίους ἐπιστήσας ἐνέφραξε· τὸν δ' ἄλλον στρατὸν ὑπὲρ τῶν ἄλλων ἄκρων ἐν καλῷ καθίσας διὰ τῶν ἐλαφροτάτων καὶ προχειροτάτων ἐνέβαλε τοῖς ἐσχάτοις τῶν πολεμίων καὶ συνετάραξεν ἅπαν τὸ στράτευμα, διέφθειρε δὲ περὶ ὀκτακοσίους. (5) Ἐκ τούτου βουλόμενος Ἀννίβας ἀπαγαγεῖν τὸ στράτευμα καὶ τὴν διαμαρτίαν τοῦ τόπου νοήσας καὶ τὸν κίνδυνον ἀνεσταύρωσε μὲν τοὺς ὁδηγοὺς, ἐκβιάζεσθαι δὲ τοὺς πολεμίους καὶ προσμάχεσθαι τῶν ὑπερβολῶν ἐγκρατεῖς ὄντας ἀπεγίνωσκε. Δυσθύμως δὲ καὶ περιφόβως διακειμένων ἁπάντων καὶ περιεστάναι σφᾶς πάντοθεν ἀφύκτους ἡγουμένων ἀπορίας ἔγνω δολοῦν ἀπάτῃ τοὺς πολεμίους. (6) Ἦν δὲ τοιόνδε. Βοῦς ὅσον δισχιλίας ἐκ τῶν αἰχμαλώτων ἐκέλευσε συλλαβόντας ἀναδῆσαι δᾷδα πρὸς ἕκαστον κέρας ἢ λύγων ἢ φρυγάνων αὖων φάκελον· εἶτα νυκτὸς, ὅταν ἀρθῇ σημεῖον, ἀνάψαντας ἐλαύνειν ἐπὶ τὰς ὑπερβολὰς παρὰ τὰ στενὰ καὶ τὰς φυλακὰς τῶν πολεμίων. Ἅμα δὲ ταῦτα παρεσκεύαζον οἷς προστέταχτο καὶ τὸν ἄλλον αὐτὸς ἀναστήσας στρατὸν ἤδη σκότους ὄντος ἦγε σχολαίως. (7) Αἱ δὲ βόες ἄχρι μὲν τὸ πῦρ ὀλίγον ἦν καὶ περιέκαιε τὴν ὕλην ἀτρέμα προσεχώρουν ἐλαυνόμεναι πρὸς τὴν ὑπώρειαν, καὶ θαῦμα τοῖς καθορῶσι νομεῦσιν ἀπὸ τῶν ἄκρων καὶ βουκόλοις ἦσαν αἱ φλόγες ἄκροις ἐπιλάμπουσαι τοῖς κέρασιν, ὡς στρατοπέδου καθ' ἕνα κόσμον ὑπὸ λαμπάδων πολλῶν βαδίζοντος. (8) Ἐπεὶ δὲ πυρούμενον τὸ κέρας ἄχρι ῥίζης διέδωκε τῇ σαρκὶ τὴν αἴσθησιν καὶ πρὸς τὸν πόνον διαφέρουσαι καὶ τινάσσουσαι τὰς κεφαλὰς ἀνεπίμπλαντο πολλῆς ἀπ' ἀλλήλων φλογὸς οὐκ ἐνέμειναν τῇ τάξει τῆς πορείας, ἀλλ' ἔκφοβοι καὶ περιαλγεῖς οὖσαι δρόμῳ κατὰ τῶν ὀρῶν ἐφέροντο λαμπόμεναι μὲν οὐρὰς ἄκρας καὶ μέτωπα, πολλὴν δὲ τῆς ὕλης, δι' ἧς ἔφευγον, ἀνάπτουσαι. (9) Δεινὸν οὖν ἦν θέαμα τοῖς παραφυλάττουσι τὰς ὑπερβολὰς Ῥωμαίοις. Καὶ γὰρ αἱ φλόγες ἐῴκεσαν ὑπ' ἀνθρώπων θεόντων διαφερομέναις λαμπάσι καὶ θόρυβος

servus esse velit, quorum eum vel male sentientium et imperatorem et dominum esse oporteat.

VI. Secundum hæc Hannibal in errorem incidit. Ut enim exercitum longius a Fabio in campos pabulo aptos duceret, viæ ducibus mandavit, ut statim a cœna in Casinatem agrum ducerent. (2) Hi ob barbariem non satis percepto Casini vocabulo, in extremas Campaniæ partes duxerunt ad Casilinum, quam urbem Vulturnus amnis dividit. (3) Regio est undique montibus septa et vallis ad mare usque patet, quo se stagna effusi fluvii recipiunt, habentque ripæ tumulos arenæ profundos, et ad litus fluctuosum portuque carens terminantur. (4) Hac descendente Hannibale, Fabius peritia locorum exercitum circumduxit, angustias quattuor millibus peditum occupavit, reliquum exercitum commodo loco in jugis montium collocavit : ipse cum expeditissimis hostium novissimos adortus, universum exercitum conturbavit ac circiter octingentos occidit. (5) Hannibal cognito errore et periculo iis in locis, sublatis in crucem ductoribus, de abducendo inde exercitu deliberavit : cumque vi dejicere hostes superiora loca tenentes posse desperaret, totus vero exercitus omni se effugio interclusum metuens animis concidisset, dolo hujusmodi ex hostibus elabi decrevit. (6) Ex præda captis bobus ad duo millia jussit alligari ad singula cornua facem ac fasciculum virgarum sarmentorumve aridorum : has noctu dato signo agi accensis facibus ad saltus juxta angustias ab hostibus obsessas. Simul et hæc ii, quibus datum erat negotium, apparabant, et ipse primis tenebris reliquum exercitum paulatim duxit. (7) Boves, quam diu ignis exiguus materiam depascebatur, sensim ut agebantur, ad radices montium successere, miraculoque erant pastoribus superne eos inspicientibus, summis cornibus lucem præbentes, perinde ac si totus exercitus cum multis facibus ordinate incederet. (8) At postquam cornu igne ustum usque ad ipsam carnem sensum detulit, bovesque præ dolore capita quatientes multa se invicem flamma oppleverunt, non jam in ordine permansere, sed metu ac dolore consternatæ, cursu montes petierunt, caudis et frontibus fulgentes virgultaque, per quæ se proriperent, undique incendentes. (9) Terribile id erat spectatu Romanis, qui saltus insederant : videbanturque eæ flammæ ab hominibus faces differentibus spargi, terrorque eos ingens occupabat, cum alios aliunde hostes ingruere

ἦν ἐν αὐτοῖς πολὺς καὶ φόβος, ἀλλαχόθεν ἄλλους ἐπιφέρεσθαι τῶν πολεμίων σφίσι καὶ κυκλοῦσθαι παντα-
χόθεν ἡγουμένων. Διὸ μένειν οὐκ ἐτόλμων, ἀλλὰ πρὸς b
τὸ μεῖζον ἀνεχώρουν στρατόπεδον προέμενοι τὰ στενά.
Καὶ κατὰ τοῦτο δὲ καιροῦ προσμίξαντες οἱ ψιλοὶ τοῦ
Ἀννίβου τὰς ὑπερβολὰς κατέσχον, ἡ δ' ἄλλη δύναμις
ἤδη προσέβαινεν ἀδεῶς πολλὴν καὶ βαρεῖαν ἐφελκομένη
λείαν.

VII. Τῷ δὲ Φαβίῳ συνέβη μὲν ἔτι νυκτὸς αἰσθέσθαι
τὸν δόλον (φεύγουσαι γὰρ ἔνιαι τῶν βοῶν σποράδες ἦκον
αὐτῶν εἰς χεῖρας), ἐνέδρας δὲ δεδιὼς σκοταίους ἀτρέμα
τὴν δύναμιν ἐν τοῖς ὅπλοις εἶχεν. (2) Ὡς δ' ἦν ἡμέρα
διώκων ἐξήπτετο τῶν ἐσχάτων καὶ συμπλοκαὶ περὶ τὰς
δυσχωρίας ἐγίνοντο καὶ θόρυβος ἦν πολὺς, ἕως παρ' c
Ἀννίβου τῶν ὀρειβατεῖν δεινῶν Ἰβήρων ἄνδρες ἐλαφροὶ
καὶ ποδώκεις πεμφθέντες ἀπὸ τοῦ στόματος εἰς βαρεῖς
ὁπλίτας τοὺς Ῥωμαίους ἐνέβαλον καὶ διαφθείραντες
οὐκ ὀλίγους ἀπέστρεψαν τὸν Φάβιον. (3) Τότε δὴ μά-
λιστα κακῶς ἀκοῦσαι καὶ καταφρονηθῆναι συνέβη τὸν
Φάβιον. Τῆς γὰρ ἐν τοῖς ὅπλοις τόλμης ὑφιέμενος,
ὡς γνώμῃ καὶ προνοίᾳ καταπολεμήσων τὸν Ἀννίβαν,
αὐτὸς ἡττημένος τούτοις καὶ κατεστρατηγημένος ἐφαί-
νετο. (4) Βουλόμενος δὲ μᾶλλον ἐκκαῦσαι τὴν πρὸς
αὐτὸν ὀργὴν τῶν Ῥωμαίων ὁ Ἀννίβας, ὡς ἦλθεν ἐπὶ
τοὺς ἀγροὺς αὐτοῦ, τὰ μὲν ἄλλα πάντα καίειν καὶ δια-
φθείρειν ἐκέλευσεν, ἐκείνων δ' ἀπεῖπεν ἅπτεσθαι μόνων d
καὶ παρακατέστησε φυλακὴν οὐδὲν ἐῶσαν ἀδικεῖν οὐδὲ
λαμβάνειν ἐκεῖθεν. (5) Ταῦτα προσδιέβαλεν εἰς Ῥώ-
μην ἀναγγελθέντα· καὶ πολλὰ μὲν αὐτοῦ πρὸς τὸν ὄχλον
οἱ δήμαρχοι κατεβόων ἐπάγοντος μάλιστα Μετιλίου
καὶ παροξύνοντος, οὐ κατὰ τὴν πρὸς Φάβιον ἔχθραν,
ἀλλ' οἰκεῖος ὢν Μινουκίου τοῦ ἱππάρχου τιμὴν ᾤετο
καὶ δόξαν ἐκείνῳ φέρειν τὰς τούτου διαβολάς· ἐγεγόνει
δὲ καὶ τῇ βουλῇ δι' ὀργῆς οὐχ ἥκιστα μεμφομένῃ τὰς
περὶ τῶν αἰχμαλώτων πρὸς Ἀννίβαν ὁμολογίας. Ὡμο- e
λογήκει γὰρ αὐτῷ ἄνδρα μὲν ἀνδρὶ λύεσθαι τῶν ἁλι-
σκομένων, εἰ δὲ πλείους οἱ ἕτεροι γένοιντο, διδόναι δρα-
χμὰς ὑπὲρ ἑκάστου τῶν κομιζομένων πεντήκοντα καὶ
διακοσίας. (6) Ὡς οὖν γενομένης τῆς κατ' ἄνδρα δια-
μείψεως εὑρέθησαν ὑπόλοιποι Ῥωμαίων παρ' Ἀννίβᾳ
τεσσαράκοντα καὶ διακόσιοι, τούτων ἡ σύγκλητος ἔγνω
τὰ λύτρα μὴ πέμπειν καὶ προσητιᾶτο τὸν Φάβιον, ὡς
οὐ πρεπόντως οὐδὲ λυσιτελῶς ἄνδρας ὑπὸ δειλίας πο-
λεμίων ἄγραν γενομένους ἀνακομιζόμενον. (7) Ταῦτ'
ἀκούσας ὁ Φάβιος τὴν μὲν ὀργὴν ἔφερε πράως τῶν πο-
λιτῶν, χρήματα δ' οὐκ ἔχων, διαψεύσασθαι δὲ τὸν Ἀν- f
νίβαν καὶ προέσθαι τοὺς πολίτας οὐχ ὑπομένων, ἔπεμψε
τὸν υἱὸν εἰς Ῥώμην κελεύσας ἀποδόσθαι τοὺς ἀγροὺς
καὶ τὸ ἀργύριον εὐθὺς ὡς αὐτὸν ἐπὶ τὸ στρατόπεδον
κομίζειν. (8) Ἀποδομένου δὲ τοῦ νεανίσκου τὰ χωρία
καὶ ταχέως ἐπανελθόντος ἀπέπεμψε τὰ λύτρα τῷ Ἀν-
νίβᾳ καὶ τοὺς αἰχμαλώτους ἀπέλαβε· καὶ πολλῶν ἀπο-
διδόντων ὕστερον παρ' οὐδενὸς ἔλαβεν, ἀλλ' ἀφῆκε
πᾶσι.

seque undique circumdari putarent : itaque manere loco non ausi, angustiis relictis ad majora se castra contulerunt. Eodem tempore levis armaturæ pedites ab Hannibale missi saltus occupavere, reliquo exercitu cum ingenti præda tuto subsequente.

VII. Senserat quidem adhuc noctu fraudem Fabius, deprehensis nonnullis quæ sparsim diffugerant bobus : tamen insidiarum nocturnarum metu, exercitum in armis continuit. (2) Facta luce extremos hostium insecutus, conflictumque in angustiis est magno cum tumultu : donec ab Hannibale missi Hispani, agiles et celeres cursu, scandendorumque montium peritissimi, aggressi Romanos graves armis a fronte, haud paucis cæsis, Fabium averterunt. (3) Ibi vero Fabius male denuo audire, ac summo suis contemptui esse, qui omissa armorum fiducia conatus prudentia et consilio debellare Hannibalem, ipse artibus militaribus ab eo victus videbatur. (4) Quam Romanorum iram quo magis inflammaret Hannibal, ut ad agros Fabii pervenit, hos tantum intactos relinqui, reliqua circum omnia incendi et corrumpi jussit : addita etiam custodia, quæ Fabii bona ab injuria et rapinis defenderet. (5) Hæc Romam annunciata, invidiam dictatoris auxerunt : multique erant in eo apud populum traducendo tribuni plebis, stimulante maxime Metilio, qui non tam odii causa in Fabium, quam ob familiaritatem Minucii magistri equitum gloriæ huic illius infamiam futuram putabat. Invisus etiam senatui erat, quod in permutandis captivis pactus cum Hannibale fuerat, ut captivus pro captivo redderetur, qui plures reddidisset, ducentas et quinquaginta drachmas in militem acciperet. (6) Facta hominum permutatione, cum apud Hannibalem adhuc reperti essent Romani ducenti et quadraginta, mittere pretium redemptionis senatus noluit, Fabiumque culpavit, qui homines propriæ timiditatis causa ab hostibus captos præter decorum et commodum reipublicæ reducere laboraret. (7) His auditis Fabius iram civium moderate tulit : pecunia tamen destitutus, ut neque falleret fidem Hannibali datam, neque proderet captivos, filium Romam misit, agrosque jussit divendere et pecuniam inde factam ad se statim in castra perferri. (8) Adolescens prædiis venditis propere rediit, et Fabius argentum Hannibali persolvit et captivos recepit : omnibusque eam pecuniam, postmodo multis reddere volentibus, condonavit.

VIII. Μετὰ δὲ ταῦτα τῶν ἱερέων καλούντων αὐτὸν
179 εἰς Ῥώμην ἐπί τινας θυσίας παρέδωκε τῷ Μινουκίῳ a
τὴν δύναμιν ὑπὲρ τοῦ μὴ μάχεσθαι μηδὲ συμπλέκεσθαι
τοῖς πολεμίοις οὐ μόνον ὡς αὐτοκράτωρ διαγορεύσας,
ἀλλὰ καὶ παραινέσεις καὶ δεήσεις πολλὰς αὐτοῦ ποιη-
σάμενος· ὧν ἐκεῖνος ἐλάχιστα φροντίσας εὐθὺς ἐνέκειτο
τοῖς πολεμίοις. (2) Καί ποτε παραφυλάξας τὸν Ἀννίβαν
τὸ πολὺ τῆς στρατιᾶς ἐπὶ σιτολογίαν ἀφεικότα καὶ
προσβαλὼν τοῖς ὑπολειπομένοις κατήραξεν εἰς τὸν χά-
ρακα καὶ διέφθειρεν οὐκ ὀλίγους καὶ φόβον περιέστησε
πᾶσιν ὡς πολιορκησομένοις ὑπ' αὐτοῦ. Καὶ συλλε-
γομένης αὖθις εἰς τὸ στρατόπεδον τῷ Ἀννίβᾳ τῆς δυ-
νάμεως ἀσφαλῶς ἀνεχώρησεν αὐτόν τε μεγαλαυχίας
ἀμέτρου καὶ θράσους τὸ στρατιωτικὸν ἐμπεπληκώς.
(3) Ταχὺ δὲ τοῦ ἔργου λόγος μείζων διεφοίτησεν εἰς b
Ῥώμην. Καὶ Φάβιος μὲν ἀκούσας ἔφη μᾶλλον τοῦ
Μινουκίου φοβεῖσθαι τὴν εὐτυχίαν, ὁ δὲ δῆμος ἦρτο καὶ
μετὰ χαρᾶς εἰς ἀγορὰν συνέτρεχε καὶ Μετίλιος ὁ δή-
μαρχος ἐπὶ τοῦ βήματος καταστὰς ἐδημηγόρει μεγα-
λύνων τὸν Μινούκιον, τοῦ δὲ Φαβίου κατηγορῶν οὐ
μαλακίαν οὐδ' ἀνανδρίαν, ἀλλ' ἤδη προδοσίαν, συναι-
τιώμενος ἅμα καὶ τῶν ἄλλων ἀνδρῶν τοὺς δυνατωτάτους
καὶ πρώτους ἐπαγαγέσθαι τὸν πόλεμον ἐξ ἀρχῆς ἐπὶ
καταλύσει τοῦ δήμου τήν τε πόλιν ἐμβαλεῖν εὐθὺς εἰς
μοναρχίαν ἀνυπεύθυνον, ἣ διατρίβουσα τὰς πράξεις c
ἵδρυσιν Ἀννίβᾳ παρέξει καὶ χρόνον αὖθις ἐκ Λιβύης
ἑτέραν δύναμιν προσγενέσθαι ὡς κρατοῦντι τῆς Ἰτα-
λίας.

IX. Ἐπεὶ δ' ὁ Φάβιος προσελθὼν ἀπολογεῖσθαι μὲν
οὐδὲν ἐμέλλησε πρὸς τὸν δήμαρχον, ἔφη δὲ τάχιστα
τὰς θυσίας καὶ τὰς ἱερουργίας γενέσθαι, ὥστ' ἐπὶ τὸ
στράτευμα βαδιεῖσθαι τῷ Μινουκίῳ δίκην ἐπιθήσων,
ὅτι κωλύσαντος αὐτοῦ τοῖς πολεμίοις συνέβαλε, θόρυβος
διῆξε τοῦ δήμου πολύς, ὡς κινδυνεύσοντος τοῦ Μινου-
κίου. (2) Καὶ γὰρ εἶρξαι τῷ δικτάτωρι καὶ θανατῶσαι
πρὸ δίκης ἔξεστι· καὶ τοῦ Φαβίου τὸν θυμὸν ἐκ πολλῆς
πραότητος κεκινημένον ὤφοντο βαρὺν εἶναι καὶ δυσπα-
ραίτητον. Ὅθεν οἱ μὲν ἄλλοι καταδείσαντες ἡσυχίαν d
ἦγον· ὁ δὲ Μετίλιος ἔχων τὴν ἀπὸ τῆς δημαρχίας ἄδειαν
(μόνη γὰρ αὕτη δικτάτωρος αἱρεθέντος ἡ ἀρχὴ τὸ κρά-
τος οὐκ ἀπόλλυσιν, ἀλλὰ μένει τῶν ἄλλων καταλυθει-
σῶν), ἐνέκειτο τῷ δήμῳ πολύς, μὴ προέσθαι δεόμενος
τὸν Μινούκιον μηδ' ἐᾶσαι παθεῖν ἃ Μάλλιος Τουρ-
κουάτος ἔδρασε τὸν υἱόν, ἀριστεύσαντος καὶ στεφανω-
θέντος ἀποκόψας πελέκει τὸν τράχηλον, ἀφελέσθαι δὲ
τοῦ Φαβίου τὴν τυραννίδα καὶ τῷ δυναμένῳ καὶ βου-
λομένῳ σώζειν ἐπιτρέψαι τὰ πράγματα. (3) Τοιούτοις
λόγοις κινηθέντες οἱ ἄνθρωποι τὸν μὲν Φάβιον οὐκ
ἐτόλμησαν ἀναγκάσαι καταθέσθαι τὴν μοναρχίαν, καί-
περ ἀδοξοῦντα, τὸν δὲ Μινούκιον ἐψηφίσαντο τῆς στρα- e
τηγίας ὁμότιμον ὄντα διέπειν τὸν πόλεμον ἀπὸ τῆς
αὐτῆς ἐξουσίας τῷ δικτάτωρι· πρᾶγμα μὴ πρότερον ἐν
Ῥώμῃ γεγονὸς, ὀλίγῳ δ' ὕστερον αὖθις γενόμενον μετὰ
τὴν ἐν Κάνναις ἀτυχίαν. Καὶ γὰρ τότ' ἐπὶ τῶν στρα-

VIII. Secundum hæc Romam a pontificibus sacrorum causa revocatus, Minucio copias tradidit : cum quo non pro imperio solum, ne pugnam cum hostibus consereret, sed multis etiam ejus rei causa adhortationibus, multis precibus agit; quibus ille plane spretis statim hostibus institit. (2) Capto tempore, quo majorem partem copiarum Hannibal frumentatum dimisisset, castra hostium aggressus multis occisis, reliquos intra vallum compulit, metumque obsidionis universis objecit : post cum Hannibal copias in castra collegisset, incolumis discessit : eoque facto et se ipsum immodica jactantia, et milites audacia inflavit. (3) Celeriter ea res inflatius etiam vero Romam est annunciata. Cum Fabius se ob successum istum eo magis jam Minucio timere diceret, populus autem gaudio elatus in forum concurreret, Metilius tribunus plebis eam pro rostris concionem habuit, qua et Minucium laudibus extolleret, et Fabium non jam mollitiei modo timiditatisque, sed proditionis etiam insimularet, simul etiam reliquorum potentissimum quemque et primores incusans, quod ii opprimendæ plebis causa bellum initio concitassent, ut unius rursus viri potestatem nullis legibus subjectam in civitatem inducerent : qui rem extrahendo, Hannibali sedem in Italia collocandi et novas ex Africa copias tuto exspectandi facultatem præberent.

IX. Posteaquam Fabius progressus, respondendum accusationi tribunitiæ nequaquam ratus, sacra se maturasse rediturumque inde ad exercitum dixit et a Minucio pœnas exacturum, quod contra suum edictum cum hostibus pugnasset, ingens populi tumultus est coortus, Minucio timentis. (2) Nam et in vincula conjicere et capite indicta causa plectere, quem velit, dictatori licet et Fabii iram post longam mansuetudinem commotam gravem et implacabilem fore censebant. Ideo ceteris metus causa quiescentibus, Metilius tribunatus nomine tutus (solus enim hic magistratus dictatore creato manet, cum ceteri omnes aboleantur) plebem multis verbis hortatus est, ne Minucium destituerent, neve id ei paterentur evenire, quod Manlius Torquatus in filium perpetrasset, cui victori et coronato collum securi abscidisset, utque Fabio tyrannicam illam potestatem adimerent, eique summam rerum commendarent, qui et vellet suos servare et posset. (3) His sermonibus moti, cum Fabium, quamvis infamia laborantem, non auderent ad abdicandum adigere, imperium Minucio cum dictatore æquarunt, decreveruntque ut pari jure bellum administrarent. Id Romæ prius inauditum, paulo post iterum usurpatum est secundum cladem Cannensem, cum

τοπέδων Μάρκος ἦν Ἰούνιος δικτάτωρ, καὶ κατὰ πόλιν τὸ βουλευτικὸν ἀναπληρῶσαι δεῆσαν, ἅτε δὴ πολλῶν ἐν τῇ μάχῃ συγκλητικῶν ἀπολωλότων, ἕτερον εἵλοντο δικτάτωρα Φάβιον Βουτεῶνα. (4) Πλὴν οὗτος μέν, ἐπεὶ προῆλθε καὶ κατέλεξε τοὺς ἄνδρας καὶ συνεπλήρωσε τὴν βουλήν, αὐθημερὸν ἀφεὶς τοὺς ῥαβδούχους καὶ διαφυγὼν τοὺς προάγοντας εἰς τὸν ὄχλον ἐμβαλὼν καὶ καταμίξας ἑαυτὸν ἤδη τι τῶν ἑαυτοῦ διοικῶν καὶ πραγματευόμενος ὥσπερ ἰδιώτης ἐπὶ τῆς ἀγορᾶς ἀνεστρέφετο.

X. Τὸν δὲ Μινούκιον ἐπὶ τὰς αὐτὰς τῷ δικτάτωρι πράξεις ἀποδείξαντες ᾤοντο κεκολοῦσθαι καὶ γεγονέναι ταπεινὸν παντάπασιν ἐκεῖνον, οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός. (2) Οὐ γὰρ αὐτοῦ συμφορὰν ἡγεῖτο τὴν ἐκείνων ἄνοιαν, ἀλλ' ὥσπερ Διογένης ὁ σοφὸς, εἰπόντος τινὸς πρὸς αὐτὸν, « Οὗτοι σοῦ καταγελῶσιν », « Ἀλλ' a ἐγὼ, εἶπεν, οὐ καταγελῶμαι », μόνους ἡγούμενος καταγελᾶσθαι τοὺς ἐνδιδόντας καὶ πρὸς τὰ τοιαῦτα διαταραττομένους· οὕτω Φάβιος ἔφερεν ἀπαθῶς καὶ ῥᾳδίως ὅσον ἐπ' αὐτῷ τὰ γινόμενα συμβαλλόμενος ἀπόδειξιν τῶν φιλοσόφων τοῖς ἀξιοῦσι μήτε ὑβρίζεσθαι μήτε ἀτιμοῦσθαι τὸν ἀγαθὸν ἄνδρα καὶ σπουδαῖον. (3) Ἡνία δ' αὐτὸν ἡ τῶν πολλῶν ἀβουλία διὰ τὰ κοινὰ, δεδωκότων ἀφορμὰς ἀνδρὸς οὐχ ὑγιαινούσῃ φιλοτιμίᾳ πρὸς τὸν πόλεμον. Καὶ δεδοικὼς, μὴ παντάπασιν ἐκμανεὶς ὑπὸ κενῆς δόξης καὶ ὄγκου φθάσῃ τι κακὸν ἀπεργασάμενος, λαθὼν ἅπαντας ἐξῆλθε· καὶ παραγενόμενος εἰς τὸ στρα- b τόπεδον καὶ καταλαβὼν τὸν Μινούκιον οὐκέτι καθεκτὸν, ἀλλὰ βαρὺν καὶ τετυφωμένον καὶ παρὰ μέρος ἄρχειν ἀξιοῦντα, τοῦτο μὲν οὐ συνεχώρησε, τὴν δὲ δύναμιν διενείματο πρὸς αὐτὸν, ὡς μέρους μόνον ἄρχειν βέλτιόν τι ὂν ἢ πάντων παρὰ μέρος. Καὶ τὸ μὲν πρῶτον τῶν ταγμάτων καὶ τέταρτον αὐτὸς ἔλαβε, τὸ δὲ δεύτερον καὶ τρίτον ἐκείνῳ παρέδωκεν, ἐπίσης καὶ τῶν συμμαχικῶν διανεμηθέντων. (4) Σεμνυνομένου δὲ τοῦ Μινουκίου καὶ χαίροντος ἐπὶ τῷ τὸ πρόσχημα τῆς ἀκροτάτης καὶ μεγίστης ἀρχῆς ὑφεῖσθαι καὶ προπεπηλακίσθαι δι' αὐτὸν, ὑπεμίμνησκεν ὁ Φάβιος, ὡς οὐκ ὄντος c μὲν αὐτῷ πρὸς Φάβιον, ἀλλ', εἰ σωφρονεῖ, πρὸς Ἀννίβαν τοῦ ἀγῶνος· εἰ δὲ καὶ πρὸς τὸν συνάρχοντα φιλονεικεῖ, σκοπεῖν, ὅπως τοῦ νενικημένου καὶ καθυβρισμένου παρὰ τοῖς πολίταις ὁ τετιμημένος καὶ νενικηκὼς οὐ φανεῖται μᾶλλον ὀλιγωρῶν τῆς σωτηρίας αὐτῶν καὶ τῆς ἀσφαλείας.

XI. Ὁ δὲ ταῦτα μὲν εἰρωνείαν ἡγεῖτο γεροντικήν· παραλαβὼν δὲ τὴν ἀποκληρωθεῖσαν δύναμιν ἰδίᾳ καὶ χωρὶς ἐστρατοπέδευσεν, οὐδὲν ἀγνοοῦντος τοῦ Ἀννίβου τῶν γινομένων, ἀλλὰ πᾶσιν ἐφεδρεύοντος. (2) Ἦν δὲ λόφος κατὰ μέσον καταληφθῆναι μὲν οὐ χαλεπὸς, ὀχυρὸς δὲ καταληφθεὶς στρατοπέδῳ καὶ διαρκὴς εἰς ἅπαντα· τὸ δὲ πέριξ πεδίον ὀφθῆναι μὲν ἄπωθεν ὁμαλὸν διὰ d ψιλότητα καὶ λεῖον, ἔχον δέ τινας οὐ μεγάλας τάφρους ἐν αὐτῷ καὶ κοιλότητας ἄλλας. (3) Διὸ καὶ τὸν λόφον ἐκ τοῦ ῥᾴστου κρύφα κατασχεῖν παρὸν οὐκ ἠθέλησεν ὁ

versante in castris M. Junio dictatore, propter necessitatem senatus supplendi (quippe multis in ea strage senatoribus amissis) alius dictator est dictus Fabius Buteo. (4) Hoc tamen interfuit, quod hic, simul atque progressus in publi- f cum senatores legit idque concilium supplevit, eadem die dimissis lictoribus fugiens eos qui deducere ipsum cupiebant, turbæ se immiscuit, privatamque rem privatus in foro egit.

X. Minucio cum jus cum dictatore æquassent illi, Fabii animum se depressisse frustra opinati sunt, non recte facta de eo viro conjectura. (2) Neque enim Fabius eorum inscitiam suum malum putavit, sed ut Diogenes philosophus dicenti cuidam, « Isti te derident, » respondit, « At ego non derideor, » quod eos tantum derideri judicaret, qui ad ejusmodi res animum submittunt et perturbantur; ita Fabius id, quod actum erat, æquo animo tulit, iisque philosophis, qui asserunt bonum et honestum virum contumelia et dedecore affici non posse, evidens argumentum suo exemplo suppeditavit. (3) Sed ut nihil suo nomine, ita reipublicæ causa angebatur, quod multitudinis imprudentia insanæ Minucii pugnandi cupiditati ansam proruendi præbuisset: ideoque metuens, ne is inani gloria fastuque prorsus in furorem actus, maturius aliquid mali reipublicæ afferret, clam omnibus ad exercitum abiit. Ibi Minucium cum offenderet ea superbia elatum, ut nullo jam modo contineri posset, alternisque adeo vicibus imperare postularet: eo denegato, quod præstare arbitrabatur se alteri parti solum, quam utrique per vices, præesse, copias cum eo divisit; primamque et quartam legionem retinuit, secunda et tertia Minucio tradita: eademque ratione sociorum auxilia inter eos divisa sunt. (4) Gestientem etiam Minucium præ gaudio jactantemque sui causa summi magistratus dignitatem imminutam et circumscriptam, Fabius monuit, rem ipsi esse non cum Fabio, sed si sapiat, cum Hannibale, aut si omnino cum collega sibi certamen putaret esse, operam daret, ne qui victoria honoreque esset studio populi potitus, in hujus salute procuranda et incolumitate negligentior deprehenderetur esse eo, qui victus et ignominia notatus a civibus esset.

XI. Hoc senile cavillum dicens Minucius, cum sua parte exercitus castra a castris Fabii separatim fecit. Nihil harum rerum omnium Hannibalem fefellit, omnibus intentum occasionibus. (2) Tumulus erat in medio, occupatu non difficilis et qui occupatus castris munitioni esset futurus, ad omnesque usus suffecturus. Planities circa eum, si e longinquo inspiceretur, æqualis apparebat et, quoniam nihil silvestre habebat, nuda: erant tamen in ea fossæ quædam non magnæ aliæque cavernæ. (3) Hunc tumulum cum posset occulte Hannibal nullo negotio occupare, re-

Ἀννίβας, ἀλλ' ἀπέλιπε μάχης ἐν μέσῳ πρόφασιν. (4) Ὡς δ' εἶδε κεχωρισμένον τοῦ Φαβίου τὸν Μινούκιον, νυκτὸς μὲν εἰς τὰς τάφρους καὶ τὰς κοιλότητας κατέσπειρε τῶν στρατιωτῶν τινὰς, ἅμα δὲ τῇ ἡμέρᾳ φανερῶς ἐπεμψεν οὐ πολλοὺς καταληψομένους τὸν λόφον, ὡς ἐπαγάγοιτο συμπεσεῖν περὶ τοῦ τόπου τὸν Μινούκιον. Ὃ δὴ καὶ συνέβη. (5) Πρῶτον μὲν γὰρ ἀπέστειλε τὴν κούφην στρατιὰν, ἔπειτα τοὺς ἱππεῖς, τέλος δ' ὁρῶν τὸν Ἀννίβαν παραβοηθοῦντα τοῖς ἐπὶ τοῦ λόφου, πάσῃ κατέβαινε τῇ δυνάμει συντεταγμένος. Καὶ μάχην καρτερὰν θέμενος ἠμύνετο τοὺς ἐπὶ τοῦ λόφου βάλλοντας συμπλεκόμενος καὶ ἴσα φερόμενος, ἄχρις οὗ καλῶς ἠπατημένον ὁρῶν Ἀννίβας καὶ γυμνὰ παρέχοντα τοῖς ἐνεδρεύουσι τὰ νῶτα τὸ σημεῖον αἴρει. (6) Πρὸς δὲ τοῦτο πολλαχόθεν ἐξανισταμένων ἅμα καὶ μετὰ κραυγῆς προσφερομένων καὶ τοὺς ἐσχάτους ἀποκτιννύντων ἀδιήγητος κατεῖχε ταραχὴ καὶ πτοία τοὺς Ῥωμαίους, αὐτοῦ τε τοῦ Μινουκίου τὸ θράσος κατακέκλαστο καὶ πρὸς ἄλλον ἄλλοτε τῶν ἡγεμόνων διεπάπταινεν, οὐδενὸς ἐν χώρᾳ μένειν τολμῶντος, ἀλλὰ πρὸς φυγὴν ὠθουμένων οὐ σωτήριον. Οἱ γὰρ Νομάδες ἤδη κρατοῦντες κύκλῳ περιήλαυνον τὸ πεδίον καὶ τοὺς ἀποσκιδναμένους ἔκτεινον.

XII. Ἐν τοσούτῳ δὲ κακῷ τῶν Ῥωμαίων ὄντων οὐκ ἔλαθεν ὁ κίνδυνος τὸν Φάβιον, ἀλλὰ καὶ τὸ μέλλον, ὡς ἔοικεν, ἤδη προειληφὼς τήν τε δύναμιν συντεταγμένην εἶχεν ἐπὶ τῶν ὅπλων καὶ τὰ πραττόμενα γινώσκειν ἐφρόντιζεν οὐ δι' ἀγγέλων, ἀλλ' αὐτὸς ἔχων κατασκοπὴν πρὸ τοῦ χάρακος. (2) Ὡς οὖν κατεῖδε κυκλούμενον καὶ ταραττόμενον τὸ στράτευμα καὶ κραυγὴ προσέπιπτεν οὐ μενόντων, ἀλλ' ἤδη πεφοβημένων καὶ τρεπομένων, μηρόν τε πληξάμενος καὶ στενάξας μέγα πρὸς μὲν τοὺς παρόντας εἶπεν, « Ὦ Ἡράκλεις, ὡς τάχιον μὲν ἡ ἐγὼ προσεδόκων, βράδιον δ' ἢ αὐτὸς ἔσπευδε Μινούκιος ἑαυτὸν ἀπολώλεκε. » (3) Τὰς δὲ σημαίας ἐκφέρειν κατὰ τάχος καὶ τὸν στρατὸν ἕπεσθαι κελεύσας ἀνεβόησε, « Νῦν τις, ὦ στρατιῶται, Λευκίου Μινουκίου μεμνημένος ἐπειγέσθω· λαμπρὸς γὰρ ἀνὴρ καὶ φιλόπατρις. Εἰ δέ τι σπεύδων ἐξελάσαι τοὺς πολεμίους ἥμαρτεν, αὖθις αἰτιασόμεθα. » (4) Πρῶτον μὲν οὖν ἐπιφανεὶς τρέπεται καὶ διασκίδνησι τοὺς ἐν τῷ πεδίῳ περιελαύνοντας Νομάδας· εἶτα πρὸς τοὺς μαχομένους καὶ κατὰ νώτου τῶν Ῥωμαίων ὄντας ἐχώρει καὶ τοὺς ἐμποδὼν ἔκτεινεν, οἱ δὲ λοιποὶ πρὶν ἀποληφθῆναι καὶ γενέσθαι περιπετεῖς οἷς αὐτοὶ τοὺς Ῥωμαίους ἐποίησαν ἐγκλίναντες ἔφυγον. (5) Ὁρῶν δ' ὁ Ἀννίβας τὴν μεταβολὴν καὶ τὸν Φάβιον εὐρώστως παρ' ἡλικίαν διὰ τῶν μαχομένων ὠθούμενον ἄνω πρὸς τὸν Μινούκιον εἰς τὸν λόφον, ἐπέσχε τὴν μάχην καὶ τῇ σάλπιγγι σημήνας ἀνάκλησιν ἀπῆγεν εἰς τὸν χάρακα τοὺς Καρχηδονίους, ἀσμένως καὶ τῶν Ῥωμαίων ἀποτρεπομένων. (6) Λέγεται δ' αὐτὸν ἀπιόντα περὶ τοῦ Φαβίου πρὸς τοὺς φίλους εἰπεῖν τι τοιοῦτον μετὰ παιδιᾶς· « Οὐκ ἐγὼ μέντοι προὔλεγον ὑμῖν πολλάκις τὴν ἐπὶ

linquere ad occasionem prœlii in medio conserendi maluit. (4) Postquam a Fabio segregatum animadvertit Minucium, noctu aliquot milites in fossas istas cavernasque abdidit, prima luce aperte alios non magno numero misit, qui tumulum capere conarentur, ratus fore ut Minucium ad prœlium de colle committendum incitaret; id quod evenit. (5) Primo enim Minucius levem misit armaturam, post equites: tandem cum suis mittere subsidia Hannibalem videret, instructis omnibus copiis descendit, commissoque acri cum iis, qui superne de tumulo jam occupato pugnabant, prœlio, æquo Marte contendit, donec Hannibal eum egregie jam in fraudem inductum vidit, nudaque iis, quos in insidiis posuerat, terga præbentem, signum iis dedit. (6) Qui cum omnibus ex locis exsurgerent ac cum vociferatione hostem invaderent extremosque cæderent, dici non potest quanta perturbatio, quæ trepidatio Romanos incesserit: et Minucii jam fracta erat ferocia oculosque hinc inde ad tribunos militum obvertebat; sed neque horum quisquam locum tenere audebat, omnesque fugam certatim faciebant, nequaquam salutarem: jam enim Numidæ victores campos circum vehebantur et hostes dissipatos trucidabant.

XII. In hac Romanorum calamitate non fefellit Fabium quo loco res essent, qui jam ante haud dubie animo, quid esset futurum, perceperat, ideoque suas copias in armis instructas habebat ac quid rei gereretur scire curabat, non per nuncios, sed ipse ante castra speculans. (2) Ergo ut circumventum Minucii exercitum ordinesque confusos vidit, simulque paventium et fugam quærentium clamor ad eum allatus est, graviter ingemuit, percussoque femore, iis qui aderant, « Pro Juppiter, inquit, mea ergo opinione celerius, sua properatione tardius, perdidit se ipsum Minucius. » (3) Tum celeriter efferri signa militesque sequi se jussit exclamans, « Nunc, milites, si quis meminerit L. Minucii, properet; est enim vir egregius et patriæ studiosus: post tempus erit reprehendendi eum, quod hostes profligare festinans erravit. » (4) Ut primum cum copiis adventare conspectus est, Numidas in campo circumequitantes fudit ac disjecit: inde in eos qui in terga Romanorum pugnabant conversus, obvios cecidit, reliqui, priusquam circumvenirentur idemque quod Romanis acciderat paterentur, in fugam se conjecerunt. (5) Hannibal cum videret pugnæ fortunam mutatam, Fabiumque præter ætatem magno robore per pugnantes sursum in collem ad Minucium eniti, prœlium remisit et receptui cecinit, Romanis quoque libenter pugnam omittentibus. (6) Ferunt Hannibalem, cum se reciperet in castra, per jocum amicis dixisse: « An non ego vobis sæpius prædixi, nebulam istam, quæ in sum-

τῶν ἄκρων ταύτην καθημένην νεφέλην, ὅτι μετὰ ζάλης ποτὲ καὶ καταιγίδων ὄμβρον ἐκρήξει; »

XIII. Μετὰ δὲ τὴν μάχην Φάβιος μὲν ὅσους ἔκτεινε τῶν πολεμίων σκυλεύσας ἀνεχώρησεν οὐδὲν ὑπερήφανον οὐδ' ἐπαχθὲς εἰπὼν περὶ τοῦ συνάρχοντος. (2) Μινούκιος δὲ τὴν αὐτοῦ στρατιὰν ἀθροίσας, « Ἄνδρες, ἔφη, συστρατιῶται, τὸ μὲν ἁμαρτεῖν μηδὲν ἐν πράγμασι μεγάλοις μεῖζον ἢ κατ' ἄνθρωπόν ἐστι· τὸ δ' ἁμαρτόντα χρήσασθαι τοῖς πταίσμασι διδάγμασι πρὸς τὸ λοιπὸν ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος. (3) Ἐγὼ μὲν οὖν ὁμολογῶ μικρὰ μεμφόμενος τὴν τύχην περὶ μειζόνων ἐπαινεῖν. Ἃ γὰρ οὐκ ἠσθόμην χρόνον τοσοῦτον ἡμέρας μέρει μικρῷ πεπαίδευμαι, γνοὺς ἐμαυτὸν οὐκ ἄρχειν ἑτέρων δυνάμενον, ἀλλ' ἄρχοντος ἑτέρου δεόμενον, μὴ φιλοτιμούμενον νικᾶν ὑφ' ὧν ἡττᾶσθαι κάλλιον. Ὑμῖν δὲ τῶν μὲν ἄλλων ἐστὶν ἄρχων ὁ δικτάτωρ, τῆς δὲ πρὸς ἐκεῖνον εὐχαριστίας αὐτὸς ἡγεμὼν ἔσομαι πρῶτον ἐμαυτὸν εὐπειθῆ καὶ ποιοῦντα τὸ κελευόμενον ὑπ' ἐκείνου παρεχόμενος. » (4) Ταῦτ' εἰπὼν καὶ τοὺς αἰετοὺς ἄρασθαι κελεύσας καὶ πάντας ἀκολουθεῖν ἦγε πρὸς τὸν χάρακα τοῦ Φαβίου. Καὶ παρελθὼν ἐντὸς ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνήν, ὥστε θαυμάζειν καὶ διαπορεῖν πάντας. (5) Προελθόντος δὲ τοῦ Φαβίου θέμενος ἔμπροσθεν τὰς σημαίας αὐτὸς μὲν ἐκεῖνον πατέρα μεγάλῃ φωνῇ, οἱ δὲ στρατιῶται τοὺς στρατιώτας πάτρωνας ἠσπάζοντο. Τοῦτο δ' ἔστι τοῖς ἀπελευθέροις προσφώνημα πρὸς τοὺς ἀπελευθερώσαντας. (6) Ἡσυχίας δὲ γενομένης ὁ Μινούκιος εἶπε· « Δύο νίκας, ὦ δικτάτωρ, τῇ σήμερον ἡμέρᾳ νενίκηκας, ἀνδρίᾳ μὲν Ἀννίβαν, εὐβουλίᾳ δὲ καὶ χρηστότητι τὸν συνάρχοντα· καὶ δι' ἧς μὲν σέσωκας ἡμᾶς, δι' ἧς δὲ πεπαίδευκας ἡττωμένους αἰσχρὰν μὲν ἧτταν ὑπ' ἐκείνου, καλὴν δὲ καὶ σωτήριον ὑπὸ σοῦ. (7) Πατέρα δή σε χρηστὸν προσαγορεύω τιμιωτέραν οὐκ ἔχων προσηγορίαν, ἐπεὶ τῆς γε τοῦ τεκόντος χάριτος μείζων ἡ παρὰ σοῦ χάρις αὕτη. Ἐγεννήθην μὲν γὰρ ὑπ' ἐκείνου μόνος, σώζομαι δὲ ὑπὸ σοῦ μετὰ τοσούτων. » (8) Ταῦτ' εἰπὼν καὶ περιβαλὼν τὸν Φάβιον ἠσπάζετο. Τὸ δ' αὐτὸ καὶ τοὺς στρατιώτας ἦν ὁρᾶν πράττοντας· ἐνεφύοντο γὰρ ἀλλήλοις καὶ κατεφίλουν, ὥστε μεστὸν εἶναι χαρᾶς καὶ δακρύων ἡδίστων τὸ στρατόπεδον.

XIV. Ἐκ τούτου Φάβιος μὲν ἀπέθετο τὴν ἀρχήν, ὕπατοι δ' αὖθις ἀπεδείκνυντο. Καὶ τούτων οἱ μὲν πρῶτοι διεφύλαξαν ἣν ἐκεῖνος ἰδέαν τοῦ πολέμου κατέστησε, μάχεσθαι μὲν ἐκ παρατάξεως φεύγοντες πρὸς Ἀννίβαν, τοῖς δὲ συμμάχοις ἐπιβοηθοῦντες καὶ τὰς ἀποστάσεις κωλύοντες. (2) Τερέντιος δὲ Βάρρων εἰς τὴν ὑπατείαν προαχθεὶς ἀπὸ γένους ἀσήμου, βίου δὲ διὰ δημοκοπίαν καὶ προπέτειαν ἐπισήμου, δῆλος ἦν εὐθὺς ἀπειρίᾳ καὶ θρασύτητι τὸν περὶ τῶν ὅλων ἀναρρίψων κύβον. (3) Ἐδόα γὰρ ἐν ταῖς ἐκκλησίαις μένειν τὸν πόλεμον ἄχρι οὗ Φαβίοις χρῆται στρατηγοῖς ἡ πόλις, αὐτὸς δὲ τῆς αὐτῆς ἡμέρας ὄψεσθαί τε καὶ νικήσειν τοὺς πολεμίους. Ἅμα δὲ τούτοις τοῖς λόγοις

mitatibus montium sedebat, aliquando cum procella et turbine imbrem esse daturam? »

XIII. Finito prœlio, Fabius hostium, quos occiderat, spolia legit, reditque in castra, nihil superbum aut odiosum de collega locutus. (2) Minucius vero convocatis suis, « Nihil peccare, inquit, commilitones, in magnis rebus, humana conditione altius est; qui peccaverit, eum errore suo in posterum doctrinæ loco uti, viri boni est et cordati officium. (3) Ego sane confiteor parum me habere quod incusem fortunam, plus aliquanto cur eam laudem : quæ enim hactenus ignoravi, exigua parte diei doctus sum, nimirum ut intelligerem me et imperare nescium et imperatore, cui parerem, opus habere neque contendendum mihi fuisse ut eos vincerem, a quibus me superari præstaret. Proinde in vos imperium teneat dictator, ego in agenda gratia dux vobis ero, meque primum ei subditum et dicto audientem offeram. » (4) Hæc locutus signa suos tollere et sequi se jussit et ad castra Fabii profectus est : ingressusque magna omnium cum admiratione et stupore, ad prætorium ejus contendit. (5) Tum exeunte Fabio, positis ante tabernaculum Fabii signis, ipse eum alta voce patrem, exercitus milites Fabianos patronos suos salutavit, quo nomine liberti manumissores suos compellant. (6) Inde facto silentio Minucius, « Duas, inquit, victorias dictator hodie reportasti, et Hannibale fortitudine et collega prudentia bonitateque superato : quarum altera nos conservasti, altera meliores fecisti, turpiter ab hoste, utiliter a te et in salutem nostram victos. (7) Patrem igitur te benignum ego appello, cum honorificentius nullum suppeditet nomen; plus enim tibi quam parentibus meis debeo, quod hi vitam mihi modo dederint, tu et mihi et his simul salutem tuleris. » (8) His dictis Fabium amplexus atque osculatus est : idemque a militibus factum, amplectentibus se mutuo et deosculantibus, ac per tota castra lætitiæ et dulcissimarum lacrimarum plena erant omnia.

XIV. His ita gestis Fabius dictatura se abdicavit et consules iterum creati sunt. Primi horum Fabii artibus bellum gesserunt, pugnam cum Hannibale detrectando, auxilia sociis ferendo et in fide eos retinendo. (2) Sed postquam Terentius Varro ad consulatum est evectus, homo natus obscuro loco, vitæ ob popularis auræ captationem et temeritatem famosæ, ab initio statim nemo dubitavit, quin is imperitia et audacia totam rem in discrimen pugnæ esset conjecturus. (3) Nam in concionibus vociferabatur duraturum bellum, quam diu respublica Fabiis uteretur ducibus : se quo die hostes vidisset, victoria potiturum, simulque tantas copias conscribebat, quantas

συνῆγε καὶ κατέγραφε δύναμιν τηλικαύτην, ἡλίκη πρὸς οὐδένα πώποτε τῶν πολεμίων ἐχρήσαντο Ῥωμαῖοι. (4) Μυριάδες γὰρ ἐννέα δισχιλίων ἀνδρῶν δέουσαι συνετάχθησαν εἰς τὴν μάχην, μέγα δέος Φαβίῳ καὶ τοῖς νοῦν ἔχουσι Ῥωμαίων· οὐ γὰρ ἤλπιζον ἕξειν ἀναφορὰν τὴν πόλιν ἐν τοσαύτῃ σφαλεῖσαν ἡλικίᾳ. (5) Διὸ καὶ τὸν συνάρχοντα τοῦ Τερεντίου Παῦλον Αἰμίλιον, ἄνδρα πολέμων ἔμπειρον, οὐκ ἀρεστὸν δὲ τῷ δήμῳ καὶ καταπλῆγα [πολλῶν] ἔκ τινος καταδίκης πρὸς τὸ δημόσιον αὐτῷ γεγενημένης, ἀνίστη καὶ παρεθάρρυνεν ἐπιλαμβάνεσθαι τῆς ἐκείνου μανίας, διδάσκων ὡς οὐ πρὸς Ἀννίβαν αὐτῷ μᾶλλον ἢ πρὸς Τερέντιον ὑπὲρ τῆς πατρίδος ὁ ἀγὼν ἔσοιτο· σπεύδειν γὰρ μάχην γενέσθαι τὸν μὲν οὐκ αἰσθανόμενον τῆς δυνάμεως, τὸν δ' αἰσθανόμενον τῆς περὶ αὐτὸν ἀσθενείας. (6) « Ἐγὼ δ', εἶπεν, ὦ Παῦλε, Τερεντίου πιστεύεσθαι δικαιότερός εἰμι περὶ τῶν Ἀννίβου πραγμάτων διαβεβαιούμενος, ὡς, εἰ μηδεὶς αὐτῷ μαχεῖται τοῦτον τὸν ἐνιαυτὸν, ἀπολεῖται μένων ὁ ἀνὴρ ἢ φεύγων ἅπεισιν, ᾧ γε καὶ νῦν νικᾶν καὶ κρατεῖν δοκοῦντι τῶν μὲν πολεμίων οὐδεὶς προσεχώρηκε, τῆς δ' οἴκοθεν δυνάμεως οὐδ' ἡ τρίτη μοῖρα πάνυ περίεστι. » (7) Πρὸς ταῦτα λέγεται τὸν Παῦλον εἰπεῖν· « Ἐμοὶ μὲν, ὦ Φάβιε, τὰ ἐμαυτοῦ σκοποῦντι κρεῖττόν ἐστι τοῖς τῶν πολεμίων ὑποπεσεῖν δόρασιν ἢ πάλιν ταῖς ψήφοις τῶν πολιτῶν· εἰ δ' οὕτως ἔχει τὰ δημόσια πράγματα, πειράσομαι μᾶλλον σοὶ δοκεῖν ἀγαθὸς εἶναι στρατηγὸς ἢ πᾶσι τοῖς ἄλλοις ἐπὶ τἀναντία βιαζομένοις. » Ταύτην ἔχων τὴν προαίρεσιν ὁ Παῦλος ἐξῆλθεν ἐπὶ τὸν πόλεμον.

XV. Ἀλλ' ὁ Τερέντιος ἐμβαλὼν αὐτὸν εἰς τὸ παρ' ἡμέραν ἄρχειν καὶ τῷ Ἀννίβᾳ παραστρατοπεδεύσας περὶ τὸν Αὐφίδιον ποταμὸν καὶ τὰς λεγομένας Κάννας ἅμ' ἡμέρᾳ τὸ τῆς μάχης σημεῖον ἐξέθηκεν (ἔστι δὲ χιτὼν κόκκινος ὑπὲρ τῆς στρατηγικῆς σκηνῆς διατεινόμενος), ὥστε καὶ τοὺς Καρχηδονίους ἐξ ἀρχῆς διαταραχθῆναι τήν τε τόλμαν τοῦ στρατηγοῦ καὶ τὸ τοῦ στρατοπέδου πλῆθος ὁρῶντας, αὐτοὺς οὐδ' ἡμισυ μέρος ὄντας. (2) Ἀννίβας δὲ τὴν δύναμιν ἐξοπλίζεσθαι κελεύσας αὐτὸς ἱππότης μετ' ὀλίγων ὑπὲρ λόφου τινὸς μαλακοῦ κατεσκόπει τοὺς πολεμίους ἤδη καθισταμένους εἰς τάξιν. (3) Εἰπόντος δέ τινος τῶν περὶ αὐτὸν ἀνδρὸς ἰσοτίμου τοὔνομα Γίσκωνος, ὡς θαυμαστὸν αὐτῷ φαίνεται τὸ πλῆθος τῶν πολεμίων, συναγαγὼν τὸ πρόσωπον ὁ Ἀννίβας, » Ἕτερον, εἶπεν, ὦ Γίσκων, λέληθέ σε τούτου θαυμασιώτερον. » Ἐρομένου δὲ τοῦ Γίσκωνος, « Τὸ ποῖον; » « Ὅτι, ἔφη, τούτων ὄντων τοσούτων οὐδεὶς ἐν αὐτοῖς Γίσκων καλεῖται. » (4) Γενομένου δὲ παρὰ δόξαν αὐτοῖς τοῦ σκώμματος ἐμπίπτει γέλως πᾶσι καὶ κατέβαινον ἀπὸ τοῦ λόφου τοῖς ἀπαντῶσιν ἀεὶ τὸ πεπαιγμένον ἀπαγγέλλοντες, ὥστε διὰ πολλῶν πολὺν εἶναι τὸν γέλωτα καὶ μηδ' ἀναλαβεῖν ἑαυτοὺς δύνασθαι τοὺς περὶ τὸν Ἀννίβαν. (5) Τοῦτο τοῖς Καρχηδονίοις ἰδοῦσι θάρρος παρίστη λογιζομένοις ἀπὸ πολλοῦ καὶ ἰσχυροῦ τοῦ καταφρονοῦντος ἐπιέναι

nunquam ullos in hostes Romani habuerant. (4) In acie enim qui starent, erant millia hominum octoginta octo: quod Fabio aliisque Romanorum sapientibus magnum metum afferebat; si enim urbs cladem tanti militaris roboris passa foret, recipere eam vires nullo pacto posse censebant. (5) Quæ causa fuit ut collegam Terentii L. Æmiliun Paulum, virum rei bellicæ peritum, sed populo invisum et timefactum propter publicam damnationem quandam, excitaret et hortaretur, ut insaniam collegæ iuhiberet, cogitaretque sibi non majus contra Hannibalem, quam contra Terentium fore de salute patriæ certamen: utrumque enim pugnam acceleraturum, Terentium, quod vires hostium ignoraret, Hannibalem, quod sibi suæ imbecillitatis esset conscius. (6) « Equidem, inquit, Paule, majorem quam Varro de rebus Hannibalis fidem mereri credo, asseverans, si hoc anno nemo cum ipso confligat, hominem aut manendo absumptum iri, aut fuga sibi consulturum; nunc quoque, cum victor rerum potitus videatur, neminem hostium ad eum descivisse, neque tertiam omnino partem ejus exercitus, quem secum domo abduxerit, ei superesse. » (7) Ad hæc respondisse Æmilium ferunt: « Mihi quidem, Fabi, res meas consideranti, præstat hastas hostium quam populi rursum subire suffragia: verum si is est rerum status, annitar, ut tibi potius boni imperatoris munere functus videar, quam reliquis omnibus in diversam partem vi impellentibus. » Hoc animi proposito Paulus ad bellum est profectus.

XV. At Varro, cum obtinuisset ut alternis diebus imperarent, Hannibali oppositis ad Aufidum atque Cannas castris, prima luce signum pugnæ (id est tunica coccina supra prætorium expansa) proposuit: quæ res initio perterrefecit etiam Carthaginienses, ducis Romani audacia ingentique hostium multitudine obstupefactos, cujus ipsi ne dimidiam quidem partem æquabant. (2) Hannibal armari exercitum jussit, ipse cum paucis equitibus super molli quodam tumulo hostes jam aciem instruentes speculatus est. (3) Ibi cum quidam ex comitibus, Gisco nomine, qui pari erat dignitate, mirabilem sibi videri hostium multitudinem diceret, Hannibal contracto vultu, « Id vero nescis, inquit, quod adhuc magis est mirum; » percontantique quidnam id esset, respondit: « Quod inter tot homines nemo est qui Gisco vocetur. » (4) Qui jocus cum præter opinionem incidisset, omnium est coortus risus: descendentesque a colle obviis eum omnibus exposuerunt, ita ut multus risus invaderet multos ac vix se reciperent qui circa Hannibalem erant. (5) Ea res Carthaginienses audaciores fecit, cogitantes, ex magno acrique hostium con-

γελᾶν οὕτως καὶ παίζειν τῷ στρατηγῷ παρὰ τὸν κίνδυνον.

XVI. Ἐν δὲ τῇ μάχῃ στρατηγήμασιν ἐχρήσατο, πρώτῳ μὲν τῷ ἀπὸ τοῦ τόπου ποιησάμενος κατὰ νώτου τὸν ἄνεμον· πρηστῆρι γὰρ ἐοικὼς φλέγοντι κατερρήγνυτο καὶ τραχὺν ἐκ πεδίων ὑφάμμων καὶ ἀναπεπταμένων αἴρων κονιορτὸν ὑπὲρ τὴν φάλαγγα τῶν Καρχηδονίων ἐπὶ τοὺς Ῥωμαίους ἐώθει καὶ προσέβαλλε τοῖς προσώποις ἀποστρεφομένοις καὶ συνταραττομένοις· δευτέρῳ δὲ τῷ περὶ τὴν τάξιν· ὁ γὰρ ἦν ἰσχυρότατον b αὐτῷ καὶ μαχιμώτατον τῆς δυνάμεως ἑκατέρωσε τοῦ μέσου τάξας, τὸ μέσον αὐτὸ συνεπλήρωσεν ἐκ τῶν ἀχρειοτάτων, ἐμβόλῳ τούτῳ προέχοντι πολὺ τῆς ἄλλης φάλαγγος χρησόμενος· εἴρητο δὲ τοῖς κρατίστοις, ὅταν τούτους διακόψαντες οἱ Ῥωμαῖοι καὶ φερόμενοι πρὸς τὸ εἶκον ἐκφερομένου τοῦ μέσου καὶ κόλπον λαμβάνοντος ἐντὸς γένωνται τῆς φάλαγγος, ὀξέως ἑκατέρωθεν ἐπιστρέψαντας ἐμβαλεῖν τε πλαγίοις καὶ περιπτύσσειν ὄπισθεν συγκλείοντας. (2) Ὃ δὴ καὶ δοκεῖ τὸν πλεῖστον ἀπεργάσασθαι φόνον. Ὡς γὰρ ἐνέδωκε τὸ μέσον c καὶ τοὺς Ῥωμαίους ἐδέξαντο δώκοντας, ἡ δὲ φάλαγξ τοῦ Ἀννίβου μεταβαλοῦσα τὸ σχῆμα μηνοειδὴς ἐγεγόνει καὶ τῶν ἐπιλέκτων οἱ ταξίαρχοι ταχὺ τοὺς μὲν ἐπ' ἀσπίδα, τοὺς δ' ἐπὶ δόρυ κλίναντες προσέπεσον κατὰ τὰ γυμνὰ, πάντας, ὅσοι μὴ τὴν κύκλωσιν ὑπεκκλίναντες ἔφθασαν, ἐν μέσῳ κατειργάσαντο καὶ διέφθειραν. (3) Λέγεται δὲ καὶ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων σύμπτωμα παράλογον γενέσθαι. Τὸν γὰρ Παῦλον, ὡς ἔοικε, τρωθεὶς ὁ ἵππος ἀπεσείσατο, καὶ τῶν περὶ αὐτὸν ἄλλος καὶ ἄλλος ἀπολιπὼν τὸν ἵππον πεζὸς τῷ ὑπάτῳ προσήμυνε. Τοῦτο δ' οἱ ἱππεῖς ἰδόντες, ὡς d παραγγέλματος κοινοῦ δεδομένου, πάντες ἀποπηδήσαντες πεζοὶ συνεπλέκοντο τοῖς πολεμίοις. Ἰδὼν δ' ὁ Ἀννίβας, « Τοῦτ', ἔφη, μᾶλλον ἠβουλόμην ἢ εἰ δεδεμένους παρέλαβον. » Ἀλλὰ ταῦτα μὲν οἱ τὰς διεξοδικὰς γράψαντας ἱστορίας ἀπηγγέλκασι. (4) Τῶν δ' ὑπάτων ὁ μὲν Βάρρων ὀλιγοστὸς ἀφίππευσεν εἰς Οὐενουσίαν πόλιν, ὁ δὲ Παῦλος ἐν τῷ βυθῷ καὶ κλύδωνι τῆς φυγῆς ἐκείνης βελῶν τε πολλῶν ἐπὶ τοῖς τραύμασιν ἐγκειμένων ἀνάπλεως τὸ σῶμα καὶ τὴν ψυχὴν πένθει τοσούτῳ βαρυνόμενος πρός τινι λίθῳ καθῆστο τὸν ἐπισφάξοντα τῶν πολεμίων ἀναμένων. Ἦν δὲ δι' αἵματος πλῆθος, e ᾧ συνεπέφυρτο τὴν κεφαλὴν καὶ πρόσωπον, οὐ πολλοῖς διάδηλος, ἀλλὰ καὶ φίλοι καὶ θεράποντες αὐτὸν ὑπ' ἀγνοίας παρῆλθον. (5) Μόνος δὲ Κορνήλιος Λέντλος, εὐπατρίδης νέος, ἰδὼν καὶ προνοήσας ἀπεπήδησε τοῦ ἵππου καὶ προσαγαγὼν παρεκάλει χρῆσθαι καὶ σώζειν αὐτὸν τοῖς πολίταις ἄρχοντος ἀγαθοῦ τότε μάλιστα χρήζουσιν. (6) Ὁ δὲ ταύτην μὲν ἀπετρίψατο τὴν δέησιν καὶ τὸ μειράκιον αὖθις ἠνάγκασεν ἐπὶ τὸν ἵππον ἀναβῆναι δακρῦον, εἶτα δὲ τὴν δεξιὰν ἐμβαλὼν καὶ συνεξαναστὰς, « Ἀπάγγελλε, εἶπεν, ὦ Λέντλε, Φαβίῳ f Μαξίμῳ καὶ γενοῦ μάρτυς αὐτὸς, ὅτι Παῦλος Αἰμίλιος ἐνέμεινεν αὐτοῦ τοῖς λογισμοῖς ἄχρι τέλους καὶ τῶν

temptu inductum imperatorem adeo ut rideret et jocaretur in præsenti discrimine.

XVI. Ceterum in pugna imperatoriis utebatur artificiis; primo quod eum deligebat locum, ut a tergo ventum haberet, qui turbinis in modum vehementius incubuerat asperumque e campis arenosis et apertis pulverem supra aciem Carthaginiensium efferens in Romanos propellebat et in ipsa ora voltus prospectum ademit eosque perturbavit. Deinde ordines pari artificio instruxit : robustissimam pugnæque scientissimam copiarum partem ex utroque latere collocavit, medium ex minus utilibus quasi cuneum longe cornibus præminentem confecit, mandavitque præstantissimis, ut, cum Romani prærupto cuneo instarent, cedente eo et sinum pandente, receptisque ita in mediam aciem Romanis, celeriter hostem utrinque ex obliquo invaderent et a tergo clausos circumvenirent. (2) Id in causa potissimum fuit, ut tanta Romanorum fieret cædes. Ut enim media pars aciei Carthaginiensis cessit Romanosque instantes admisit et acies Hannibalis mutata figura in lunæ cornuum modum curvata apparuit, tum delectorum in cornibus militum centuriones statim hos in sinistrum, illos in dextrum latus convertentes, nuda latera hostium adorti sunt, ac quicunque Romanorum non, antequam cornibus utrinque reductis clauderentur, subducentes sese effugere, omnes in medio hostium cæsi occubuerunt. (3) Romanos quoque equites casus improvisus afflixisse dicitur. Cum enim consulem Paulum equus vulneratus excussisset, qui erant circa eum unus post alium ab equo descenderunt et pro consule propugnaverunt : id ubi viderunt equites, omnibus ut idem facerent imperatum putantes, universi ab equis desiluere, pedestremque pugnam inivere. Quod Hannibal ut vidit, malle se hoc dixit, quam vinctos eos sibi traditos esse. Verum hæc quidem ab iis memoriæ prodita sunt, qui historias fusius descripserunt. (4) Varro consul cum paucis equitibus Venusiam effugit. Alter consulum Paulus in effusæ fugæ tumultu, magna telorum vi, toto corpore vulneribus inhærentium, gravatus, ingentique luctu animum angens, in saxo quodam cædem ab hostium aliquo exspectans consedit, ita quidem cruore capuj faciemque fœdatus, ut pauci eum possent agnoscere, eumque amici etiam famulique præterirent. (5) Solus hunc Cornelius Lentulus, patricius juvenis, cum conspexisset et agnovisset, ab equo desiluit eumque ad consulem adduxit, orans ut eo insidens, se ipsum civibus nunc maxime bono duce indigentibus conservare vellet. (6) Id vero Paulus renuit, juvenemque lacrimantem, ut iterum conscenderet equum, coegit : dextram injecit, assurgensque, « Nuncia, inquit, Lentule, Fabio Maximo, atque ipse fer testimonium, Paulum Æmilium consiliis ejus usque ad finem vitæ obtempe-

ὁμολογηθέντων πρὸς ἐκεῖνον οὐδὲν ἔλυσεν, ἀλλ' ἐνικήθη πρότερον ὑπὸ Βάρρωνος, εἶθ' ὑπὸ Ἀννίβου. » (7) Τοσαῦτ' ἐπιστείλας τὸν μὲν Λέντλον ἀπέπεμψεν, αὐτὸς δὲ ῥίψας ἑαυτὸν εἰς τοὺς φονευομένους ἀπέθανε. Λέγονται δὲ πεσεῖν μὲν ἐν τῇ μάχῃ Ῥωμαίων πεντακισμύριοι, ζῶντες δ' ἁλῶναι τετρακισχίλιοι καὶ μετὰ τὴν μάχην οἱ ληφθέντες ἐπ' ἀμφοτέροις τοῖς στρατοπέδοις μυρίων οὐκ ἐλάττους.

184 XVII. Τὸν δ' Ἀννίβαν ἐπὶ τηλικούτῳ κατορθώματι a τῶν φίλων παρορμώντων ἅμ' ἕπεσθαι τῇ τύχῃ καὶ συνεισπεσεῖν ἅμα τῇ φυγῇ τῶν πολεμίων εἰς τὴν πόλιν, πεμπταῖον γὰρ ἀπὸ τῆς νίκης ἐν Καπιτωλίῳ δειπνήσειν, οὐ ῥᾴδιον εἰπεῖν ὅστις ἀπέτρεψε λογισμὸς, ἀλλὰ μᾶλλον δαίμονος ἢ θεοῦ τινος ἐμποδὼν στάντος ἔοικεν ἔργον ἡ πρὸς τοῦτο μέλλησις αὐτοῦ καὶ δειλίασις γενέσθαι. Διὸ καὶ Βάρκαν τὸν Καρχηδόνιον εἰπεῖν μετ' ὀργῆς πρὸς αὐτὸν λέγουσι· « Σὺ νικᾶν οἶδας, νίκῃ δὲ χρῆσθαι οὐκ οἶδας. » (2) Καίτοι τοσαύτην μεταβολὴν ἡ νίκη περὶ αὐτὸν ἐποίησεν, ὡς πρὸ τῆς μάχης οὐ πόλιν, οὐκ ἐμπόριον, οὐ λιμένα τῆς Ἰταλίας ἔχοντα, χαλεπῶς δὲ καὶ μόλις τὰ ἐπιτήδεια τῇ στρατιᾷ δι' ἁρ- b παγῆς κομιζόμενον, ὁρμώμενον ἀπ' οὐδενὸς βεβαίου πρὸς τὸν πόλεμον, ἀλλ' ὥσπερ ληστηρίῳ μεγάλῳ τῷ στρατοπέδῳ πλανώμενον καὶ περιφερόμενον, τότε πᾶσαν ὀλίγου δεῖν ὑφ' αὑτῷ ποιήσασθαι τὴν Ἰταλίαν. (3) Τὰ γὰρ πλεῖστα καὶ μέγιστα τῶν ἐθνῶν αὐτῷ προσεχώρησεν ἑκούσια, καὶ Καπύην, ἣ μέγιστον ἔχει μετὰ Ῥώμην ἀξίωμα τῶν πόλεων, προσθεμένην κατέσχεν. (4) Οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησὶν, οὐ σμικρὸν κακὸν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν. Ἡ γὰρ πρὸ τῆς μάχης Φαβίου δειλία c καὶ ψυχρότης λεγομένη μετὰ τὴν μάχην εὐθὺς οὐδ' ἀνθρώπινος ἐδόκει λογισμὸς, ἀλλὰ θεῖόν τι χρῆμα διανοίας καὶ δαιμόνιον ἐκ τοσούτου τὰ μέλλοντα προορωμένης, ἃ μόλις ἦν πιστὰ πάσχουσιν. (5) Ὅθεν εὐθὺς εἰς ἐκεῖνον ἡ Ῥώμη συνενεγκοῦσα τὰς λοιπὰς ἐλπίδας καὶ προσφυγοῦσα τῇ γνώμῃ τοῦ ἀνδρὸς ὥσπερ ἱερῷ καὶ βωμῷ πρώτην καὶ μεγίστην αἰτίαν ἔσχε τοῦ μεῖναι καὶ μὴ διαλυθῆναι τὴν ἐκείνου φρόνησιν, καθάπερ ἐν τοῖς Κελτικοῖς πάθεσιν. (6) Ὁ γὰρ ἐν οἷς οὐδὲν ἐδόκει δεινὸν εἶναι καιροῖς εὐλαβὴς φαινόμενος καὶ δυσέλπιστος, τότε πάντων καταβεβληκότων ἑαυτοὺς εἰς ἀπέραντα πένθη καὶ ταραχὰς ἀπράκτους, μόνος ἐφοίτα διὰ τῆς d πόλεως πρᾴῳ βαδίσματι καὶ προσώπῳ καθεστῶτι καὶ φιλανθρώπῳ προσαγορεύσει κοπετούς τε γυναικείους ἀφαιρῶν καὶ συστάσεις εἴργων τῶν εἰς τὸ δημόσιον ἐπὶ κοινοῖς ὀδυρμοῖς ἐκφερομένων, βουλήν τε συνελθεῖν ἔπεισε καὶ παρεθάρσυνε τὰς ἀρχὰς αὐτὸς ὢν καὶ ῥώμη καὶ δύναμις ἀρχῆς ἁπάσης πρὸς ἐκεῖνον ἀποβλεπούσης.

XVIII. Ταῖς μὲν οὖν πύλαις ἐπέστησε τοὺς τὸν ἐκπίπτοντα καὶ προλείποντα τὴν πόλιν ὄχλον ἀπείρξοντας, πένθους δὲ καὶ τόπον καὶ χρόνον ὥρισε κατ' οἰκίαν ἀποθρηνεῖν κελεύσας ἐφ' ἡμέρας τριάκοντα τὸν

rasse, stetisseque iis, quæ cum ipso pactus erat, sed victum esse prius a Varrone, inde ab Hannibale. » (7) His mandatis Lentulum dimisit, ipse super occisos se projecit, et mortem obiit. Ferunt cæsa Romanorum eo prælio quinquaginta millia, capta quattuor, et in castris ambobus post pugnam non minus decem millia.

XVII. Hannibalem autem cum re tam feliciter gesta hortarentur amici, ut fortunæ impetum subsequeretur, et una cum fugientibus hostibus in urbem Romam irrueret, (posse enim eum die quinto in Capitolio cænare,) incertum est quid animum ejus ab hoc consilio averterit, videturque non tam ratio quam deus aliquis sive genius parum ei propitius eam cunctationem et trepidationem injecisse. Ideoque Barcam etiam Carthaginiensem iratum ei dixisse memorant: « Vincere scis, Hannibal, victoria uti nescis. » (2) Enimvero tantam hæc victoria in rebus Hannibalis mutationem effecit, ut qui prius nullam urbem, nullum forum, nullum portum in Italia habuerat, qui ægre commeatum exercitui prædando paraverat, qui nullum certum belli receptaculum tenuerat, sed copias suas tanquam magnam latronum manum hinc inde errans circumduxerat, is tunc totam fere in suam potestatem redegerit Italiam. (3) Plerique enim et maximi populi ultro se ei adjunxerunt, et Capuam, urbium Italiæ post Romam omnium primam pariter se offerentem accepit. (4) Ceterum non modo quod Euripides dixit, non sine magno malo experimur, quæ res sit bonus amicus, sed idem de prudenti duce belli dici potest. Quæ enim ante hanc pugnam timiditas et torpor Fabii culpabatur, statim post acceptam cladem judicabatur consilium fuisse altius humano et divini ingenii : adeo multo ante ea is præviderat, quæ vix credibilia expertis videbantur. (5) Itaque quod reliquum spei erat, id confestim Roma in ipso omne collocavit et ad ejus viri consilium, tanquam templum aramve confugit : fuitque certe prudentia Fabii in causa, ne, quod Gallica acciderat calamitate, urbs eo tempore dissiparetur. (6) Qui enim tum temporis, cum nihil videbatur imminere periculi, timidus ac diffidens habebatur, idem tunc omnibus ad luctus immensos et inutiles perturbationes sese demittentibus, solus per urbem placido vultu lenique gressu incedebat, humaniter omnes compellabat, planctus muliebres inhibebat, coitiones vetabat eorum qui in publicum lamentandi causa prodibant, senatoribus ut convenirent persuadebat, magistratuum animos dictis confirmabat, ipse is in quo solo omnis vis erat, omne robur cujusque magisterii ad eum respicientis.

XVIII. Itaque custodias portis addidit, quæ turbam effugere et urbem deserere volentem repellerent : luctui et tempus et locum constituit, domi ut fieret, si cui liberet, et trigesimo die omnis finiretur, urbemque porro istius re

βουλόμενον· μετὰ δὲ ταύτας ἔδει πᾶν πένθος λύεσθαι καὶ καθαρεύειν τῶν τοιούτων τὴν πόλιν. (2) Ἑορτῆς e τε Δήμητρος εἰς τὰς ἡμέρας ἐκείνας καθηκούσης βέλτιον ἐφάνη παραλιπεῖν ὅλως τάς τε θυσίας καὶ τὴν πομπὴν ἢ τὸ μέγεθος τῆς συμφορᾶς ὀλιγότητι καὶ κατηφείᾳ τῶν συνερχομένων ἐλέγχεσθαι· καὶ γὰρ τὸ θεῖον ἥδεσθαι τιμώμενον ὑπὸ τῶν εὐτυχούντων. (3) Ὅσα μέντοι πρὸς ἱλασμοὺς θεῶν ἢ τεράτων ἀποτροπὰς συνηγόρευον οἱ μάντεις ἐπράττετο. Καὶ γὰρ εἰς Δελφοὺς ἐπέμφθη θεοπρόπος Πίκτωρ συγγενὴς Φαβίου, καὶ τῶν Ἑστιάδων παρθένων δύο διεφθαρμένας εὑρόντες, τὴν μὲν, ὥσπερ ἐστὶν ἔθος, ζῶσαν κατώρυξαν, ἡ δ' ὑφ' ἑαυτῆς ἀπέθανε. (4) Μάλιστα δ' ἄν τις ἠγάσατο τὸ f φρόνημα καὶ τὴν πραότητα τῆς πόλεως, ὅτε τοῦ ὑπάτου Βάρρωνος ἀπὸ τῆς φυγῆς ἐπανιόντος, ὡς ἄν τις αἴσχιστα καὶ δυσποτμότατα πεπραχὼς ἐπανίοι, ταπεινοῦ καὶ κατηφοῦς, ἀπήντησεν αὐτῷ περὶ τὰς πύλας ἥ τε βουλὴ καὶ τὸ πλῆθος ἅπαν ἀσπαζόμενοι. (5) Οἱ δ' ἐν τέλει καὶ πρῶτοι τῆς γερουσίας, ὧν καὶ Φάβιος 185ἦν, ἡσυχίας γενομένης ἐπῄνεσαν, ὅτι τὴν πόλιν οὐκ a ἀπέγνω μετὰ δυστυχίαν τηλικαύτην, ἀλλὰ πάρεστιν ἄρξων ἐπὶ τὰ πράγματα καὶ χρησόμενος τοῖς νόμοις καὶ τοῖς πολίταις ὡς σώζεσθαι δυναμένοις.

XIX. Ἐπεὶ δ' Ἀννίβαν ἐπύθοντο μετὰ τὴν μάχην ἀποτετράφθαι πρὸς τὴν ἄλλην Ἰταλίαν, ἀναθαρρήσαντες ἐξέπεμπον ἡγεμόνας καὶ στρατεύματα. (2) Τούτων δ' ἐπιφανέστατοι Φάβιός τε Μάξιμος καὶ Κλαύδιος Μάρκελλος ἦσαν, ἀπὸ τῆς ἐναντίας σχεδὸν προαιρέσεως θαυμαζόμενοι παραπλησίως. (3) Ὁ μὲν γὰρ, ὥσπερ ἐν τοῖς περὶ αὐτοῦ γεγραμμένοις εἴρηται, περιλαμπὲς b τὸ δραστήριον ἔχων καὶ γαῦρον, ἅτε δὴ καὶ κατὰ χεῖρα πλήκτης ἀνὴρ καὶ φύσει τοιοῦτος ὤν, οἵους Ὅμηρος μάλιστα καλεῖ φιλοπτολέμους καὶ ἀγερώχους, ἐν τῷ παραβόλῳ καὶ ἰταμῷ καὶ πρὸς ἄνδρα τολμηρὸν τὸν Ἀννίβαν ἀντιτολμῶντι τρόπῳ πολέμου συνίστατο τοὺς πρώτους ἀγῶνας. (4) Φάβιος δὲ τῶν πρώτων ἐχόμενος λογισμῶν ἐκείνων ἤλπιζε μηδενὸς μαχομένου μηδ' ἐρεθίζοντος τὸν Ἀννίβαν αὐτὸν ἐπηρεάσειν ἑαυτῷ καὶ κατατριβήσεσθαι περὶ τὸν πόλεμον, ὥσπερ ἀθλητικοῦ σώματος τῆς δυνάμεως ὑπερτόνου γενομένης καὶ καταπόνου, ταχύτατα τὴν ἀκμὴν ἀποβαλόντα. (5) Διὸ τοῦτον μὲν ὁ Ποσειδώνιος φησὶ θυρεὸν, τὸν δὲ Μάρκελλον ξίφος ὑπὸ τῶν Ῥωμαίων καλεῖσθαι, κιρναμένην c δὲ τὴν Φαβίου βεβαιότητα καὶ ἀσφάλειαν τῇ Μαρκέλλου συνηθείᾳ σωτήριον γενέσθαι τοῖς Ῥωμαίοις. (6) Ὁ δ' Ἀννίβας τῷ μὲν ὡς ῥέοντι σφόδρα ποταμῷ πολλάκις ἅπαντῶν ἐσείετο καὶ παρερρήγνυτο τὴν δύναμιν, ὑφ' οὗ δὲ καὶ κατὰ μικρὸν ὑπορρέοντος ἀψοφητὶ καὶ παρεμπίπτοντος ἐνδελεχῶς ὑπερειπόμενος καὶ δαπανώμενος ἐλάνθανε· καὶ τελευτῶν εἰς ἀπορίαν κατέστη τοσαύτην, ὥστε Μαρκέλλῳ μὲν ἀποκαμεῖν μαχόμενον, Φάβιον δὲ φοβεῖσθαι μὴ μαχόμενον. (7) Τὸ γὰρ πλεῖστον, ὡς εἰπεῖν, τοῦ χρόνου τούτοις διεπολέμησεν ἢ στρατηγοῖς ἢ ἀνθυπάτοις ἢ ὑπάτοις ἀπο-

puram redderet. (2) Cum esset eo tempore Cereri dies festus agendus, potius visum, intermitti sacra pompamque, quam calamitatis magnitudinem paucitate et mœstitia eo convenientium arguere : cum feliciter agentium honoribus numina delectentur. (3) Sed acta sunt ea quæ ad placandos deos et expianda prodigia fieri jusserant aruspices. Missus enim Delphos ad consulendum oraculum Fabius Pictor, Maximi cognatus; et duæ Vestales stupri compertæ, altera viva, ut moris erat, defossa, altera mortem ipsa sibi conscivit. (4) In eo maxime magnanimitatem civitatis et clementiam mirari decet, quod redeuntem a fuga Varronem consulem mœstum atque humilem, uti par erat eum reverti, qui turpissime et infelicissime rem gesserat, obviam ad portas senatus populusque progressi exceperunt : (5) factoque silentio patricii et primores senatus, interque eos Fabius collaudaverunt, quod tanta accepta clade non desperasset de republica, sed servari adhuc existimans posse leges civesque, ad defungendum magistratu advenisset.

XIX. Posteaquam vero allatum est, Hannibalem post prœlium, omissa Roma, alias Italiæ partes petiisse, animo resumpto exercitus et duces emiserunt. (2) Inter duces præ ceteris illustres fuerunt Fabius Maximus et Claudius Marcellus, quorum ut diversa fere instituta, ita æqualis fuit gloria. (3) Marcellus enim, ut in ejus vita expositum est, in rebus gerendis strenuus admodum erat et ferox, vir et manu promptus et talis natura, quales Homerus φιλοπτολέμους καὶ ἀγερώχους, i. e. *belli amantes et gloriæ militaris valde cupidos*, nominat : isque Hannibali audaci et imperterrito viro eadem audacia animoque pariter impavido oppositus, princeps eo bello pugnare cum illo sustinuit. (4) Contra Fabius pristinis suis insistens consiliis, sperabat fore ut Hannibal nemine cum eo pugnante, nemine lacessente, sibi ipsi noceret et bello elanguesceret, quem-admodum athletarum corpora cum nimium roboris adepta sunt, mole sua defatigata celeriter vires amittunt. (5) Itaque huic scuti, Marcello gladii nomen tribui a Romanis solitum Posidonius tradit : ac Fabii in tutis consiliis constantiam, Marcelli consuetudine temperatam, salutarem Romanis fuisse. (6) Sane Hannibal cum Marcello rapidi fluminis instar ruenti sæpius obviam factus esset, pulsus ab eo copiisque exutus non semel est : Fabius eum sensim veluti sine strepitu allabens, continenterque lambens amnis subruit atque absumpsit : ac tandem eo difficultatis pervenit Hannibal, ut et a Marcello prœliis defatigaretur et Fabium non pugnantem timeret. (7) Plurimum enim temporis hi contra ipsum aut prætores, aut proconsules, aut consules bellum gesserunt : uterque enim ipsorum quinquies consul

δεικνυμένοις· ἑκάτερος γὰρ αὐτῶν πεντάκις ὑπάτευ- d
σεν. Ἀλλὰ Μάρκελλον μὲν ὑπατεύοντα τὸ πέμ-
πτον ἐνέδρᾳ περιβαλὼν ἔκτεινε, Φαβίῳ δὲ πᾶσαν ἀπά-
την καὶ διάπειραν ἐπάγων πολλάκις οὐδὲν ἐπέραινε,
πλὴν ἅπαξ ὀλίγου παρακρουσάμενος ἔσφηλε τὸν ἄνδρα.
(8) Συνθεὶς γὰρ ἐπιστολὰς παρὰ τῶν ἐν Μεταποντίῳ
δυνατῶν καὶ πρώτων ἔπεμψε πρὸς τὸν Φάβιον, ὡς τῆς
πόλεως ἐνδοθησομένης, εἰ παραγένοιτο, καὶ τῶν τοῦτο
πραττόντων ἐκεῖνον ἐλθεῖν καὶ φανῆναι πλησίον ἀνα-
μενόντων. (9) Ταῦτ' ἐκίνησε τὸν Φάβιον τὰ γράμματα
καὶ λαβὼν μέρος τι τῆς στρατιᾶς ἔμελλεν ὁρμήσειν
διὰ νυκτός· εἶτα χρησάμενος ὄρνισιν οὐκ αἰσίοις ἀπε- e
τράπη καὶ μετὰ μικρὸν ἐπεγνώσθη τὰ γράμματα πρὸς
αὐτὸν ὑπ' Ἀννίβου δόλῳ συντεθέντα κἀκεῖνος ἐνεδρεύων
αὐτὸν ὑπὸ τὴν πόλιν. Ἀλλὰ ταῦτα μὲν ἄν τις εὐνοίᾳ
θεῶν ἀναθείη.

XX. Τὰς δ' ἀποστάσεις τῶν πόλεων καὶ τὰ κινή-
ματα τῶν συμμάχων ὁ Φάβιος μᾶλλον ᾤετο δεῖν ἠπίως
ὁμιλοῦντα καὶ πράως ἀνείργειν καὶ δυσωπεῖν, μὴ πᾶσαν
ὑπόνοιαν ἐλέγχοντα καὶ χαλεπὸν ὄντα παντάπασι τοῖς
ὑπόπτοις. (2) Λέγεται γάρ, ὅτι στρατιώτην ἄνδρα
Μάρσον ἀνδρείᾳ καὶ γένει τῶν συμμάχων πρῶτον αἰ-
σθόμενος διειλεγμένον τισὶ τῶν ἐν τῷ στρατοπέδῳ περὶ
ἀποστάσεως οὐ διηρέθισεν, ἀλλ' ὁμολογήσας ἠμελῆσθαι f
παρ' ἀξίαν αὐτὸν, νῦν μὲν ἔφη τοὺς ἡγεμόνας αἰτιᾶσθαι
πρὸς χάριν μᾶλλον ἢ πρὸς ἀρετὴν τὰς τιμὰς νέμοντας,
ὕστερον δ' ἐκεῖνον αἰτιάσεσθαι μὴ φράζοντα μηδ' ἐν-
τυγχάνοντα πρὸς αὐτὸν, εἴ του δέοιτο. Καὶ ταῦτ'
εἰπὼν ἵππον τε πολεμιστὴν ἐδωρήσατο καὶ τοῖς ἄλλοις
ἀριστείοις ἐκόσμησεν, ὥστε πιστότατον ἐξ ἐκείνου καὶ
προθυμότατον εἶναι τὸν ἄνδρα. (3) Δεινὸν γὰρ ἡγεῖτο
τοὺς μὲν ἱππικοὺς καὶ κυνηγετικοὺς ἐπιμελείᾳ καὶ συν- a
ηθείᾳ καὶ τροφῇ μᾶλλον ἢ μάστιξι καὶ κλοιοῖς τὴν χαλε-
πότητα τῶν ζώων καὶ τὸ θυμούμενον καὶ τὸ δυσκολαῖνον
ἐξαιρεῖν, τὸν δ' ἀνθρώπων ἄρχοντα μὴ τὸ πλεῖστον ἐν χά-
ριτι καὶ πραότητι τῆς ἐπανορθώσεως τίθεσθαι, σκληρότε-
ρον δὲ προσφέρεσθαι καὶ βιαιότερον ἢπερ οἱ γεωργοῦντες
ἐρινεοῖς καὶ ἀχράσι καὶ κοτίνοις προσφέρονται, τὰ μὲν
εἰς ἐλαίας, τὰ δ' εἰς ἀπίους, τὰ δ' εἰς συκᾶς ἐξημε-
ροῦντες καὶ τιθασεύοντες. (4) Ἕτερον τοίνυν τῷ
γένει Λευκανὸν ἄνδρα προσήγγειλαν οἱ λοχαγοὶ ῥεμβό-
μενον ἀπὸ τοῦ στρατοπέδου καὶ τὴν τάξιν ἐκλείποντα
πολλάκις. Ὁ δ' ἠρώτησε, τἆλλα ποῖόν τινα τὸν ἄνθρω-
πον εἰδεῖεν ὄντα. (5) Μαρτυρούντων δὲ πάντων, ὅτι b
ῥᾳδίως ἕτερος οὐκ εἴη στρατιώτης τοιοῦτος, ἅμα τ'
αὐτοῦ τινὰς ἀνδραγαθίας ἐπιφανεῖς καὶ πράξεις λεγόν-
των, αἰτίαν τῆς ἀταξίας ζητῶν εὗρεν ἐρωτι παιδίσκης
κατεχόμενον τὸν ἄνδρα καὶ κινδυνεύοντα μακρὰς ὁδοὺς
ἑκάστοτε φοιτῶντα πρὸς ἐκείνην ἀπὸ τοῦ στρατοπέδου.
(6) Πέμψας οὖν τινας ἀγνοοῦντος αὐτοῦ καὶ συλλαβὼν
τὸ γύναιον ἔκρυψεν ἐν τῇ σκηνῇ καὶ καλέσας τὸν Λευ-
κανὸν ἰδίᾳ πρὸς αὐτὸν » Οὐ λέληθας, ἔφη, παρὰ τὰ
τῶν Ῥωμαίων πάτρια καὶ τοὺς νόμους ἀπονυκτερεύων
τοῦ στρατοπέδου πολλάκις· ἀλλ' οὐδὲ χρηστὸς ὢν πρό-

fuit. Sed Marcellum quidem Hannibal quintùm consulem per insidias sustulit : Fabio cum omnes dolos intentasset, omnibus modis aggressus esset, frustra laboravit ; nisi quod semel pæne astu eum circumvenit. (8) Scripsit enim literas ad Fabium sub nomine eorum qui Metaponti primas obtinebant, si advenisset, urbem dedituros, eosque qui hoc agerent, adventum ejus exspectare. (9) His litteris motus Fabius, accepta parte exercitus instituit sub noctem eo ire : quia vero aves non addicebant, mutavit consilium, pauloque post cognitum est fraude Hannibalis eas literas scriptas, ipsumque Fabii intercipiendi causa in insidiis prope urbem eam consedisse. Sed hæc ad deorum favorem referri ab aliquo possint.

XX. Ceterum urbium defectiones et sociorum motus censebat Fabius mansueto colloquio et humanitate prohibendos, neque in omnes inquirendum suspiciones aut suspectis succensendum. (2) Fertur enim, cum sensisset quendam Marsum militem, inter socios auxiliares genere et fortitudine primum, cum quibusdam aliis in exercitu de defectione colloquia habuisse ; non irritasse præterea hominem, sed immerito neglectum confessus, Nunc quidem, dixisse, culpa est penes duces, qui non pro merito, sed favore præmia dividunt ; postea tu quoque accusandus, qui si cujus rei indigebas, non me compellaveris. Quibus dictis equum ei bellicum dono dedit, ceterisque ornatum virtutis præcipuæ præmiis, fidissimum exinde promptissimumque habuit. (3) Inique enim comparatum judicabat, si cum equites et venatores cura, consuefactione alimentisque potius quam flagris et numellis contumaciam et ferociam animalibus adimerent ; hominibus aliquis imperans, non maximam castigandi partem in gratia et clementia poneret, asperiusve suos tractandos putaret, quam rustici caprificum, pirum silvestrem aut oleastrum : quas illi arbores cultu mitescere et in ficum, pirum, oleam cicures transire docent. (4) Alium Lucanum natione renuntiabant centuriones sæpenumero a castris abesse et stationem deserere. Fabius percontatus est, qualem eum alioqui virum comperissent. (5) Testantibus omnibus, haud temere similem ejus inter milites inveniri, simulque illustria aliquot virtutis ab eo edita specimina referentibus, causam peccati perscrutatus, invenit puellæ amore hominem duci, utque cum ea posset esse, crebro longa et periculosa itinera eum a castris facere. (6) Misit igitur eo inscio quosdam, qui mulierculam ad se adducerent : eam cum in suo tentorio occultasset, vocato ad se Lucano, Haud clam me est, inquit, te contra legem moresque militiæ Romanæ sæpenumero extra castra pernoctare, sed et ante virum te fuisse

τερον ἐλελήθεις. Τὰ μὲν οὖν ἡμαρτημένα σοι λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἐφ' ἑτέρῳ ποιήσομαι τὴν φρουράν. » (7) Θαυμάζοντος δὲ τοῦ στρατιώτου προαγαγὼν τὴν ἄνθρωπον ἐνεχείρισεν αὐτῷ καὶ εἶπεν· « Αὕτη μὲν ἐγγυᾶταί σε μενεῖν ἐν τῷ στρατοπέδῳ μεθ' ἡμῶν· σὺ δ' ἔργῳ δείξεις, εἰ μὴ δι' ἄλλην τινὰ μοχθηρίαν ἀπέλιπες, ὁ δ' ἔρως καὶ αὕτη πρόφασις ἦν λεγομένη. » Ταῦτα μὲν περὶ τούτων ἱστοροῦσι.

XXI. Τὴν δὲ Ταραντίνων πόλιν ἔσχεν ἁλωκυῖαν ἐκ προδοσίας τὸν τρόπον τοῦτον. (2) Ἐστρατεύετο παρ' αὐτῷ νεανίας Ταραντῖνος ἔχων ἀδελφὴν εἰς Τάραντα πιστῶς πάνυ καὶ φιλοστόργως διακειμένην πρὸς αὐτόν. Ἦρα δὲ ταύτης ἀνὴρ Βρέττιος τῶν τεταγμένων ὑπ' Ἀννίβου τὴν πόλιν φρουρεῖν ἐφ' ἡγεμονίας. (3) Τοῦτο πράξεως ἐλπίδα τῷ Ταραντίνῳ παρέσχε καὶ τοῦ Φαβίου συνειδότος εἰς τὴν πόλιν ἀφείθη, λόγῳ δ' ἀποδεδράκει πρὸς τὴν ἀδελφήν. (4) Αἱ μὲν οὖν πρῶται τῶν ἡμερῶν ἦσαν καὶ καθ' ἑαυτὸν ὁ Βρέττιος ἀνεπαύετο λανθάνειν τὸν ἀδελφὸν οἰομένης ἐκείνης. (5) Ἔπειτα λέγει πρὸς αὐτὴν ὁ νεανίας· « Καὶ μὴν ἐκεῖ λόγος ἐφοίτα πολὺς ἀνδρί σε τῶν δυνατῶν καὶ μεγάλων συνεῖναι. Τίς οὗτός ἐστιν; εἰ γὰρ εὐδόκιμός τις, ὥς φασιν, ἀρετῇ καὶ λαμπρός, ἐλάχιστα φροντίζει γένους ὁ πάντα συμμιγνὺς πόλεμος· αἰσχρὸν δὲ μετ' ἀνάγκης οὐδέν, ἀλλ' εὐτυχία τις ἐν καιρῷ τὸ δίκαιον ἀσθενὲς ἔχοντι πραοτάτῳ χρήσασθαι τῷ βιαζομένῳ. » (6) Ἐκ τούτου μεταπέμπεται μὲν ἡ γυνὴ τὸν Βρέττιον καὶ γνωρίζει τὸν ἀδελφὸν αὐτῷ· ταχὺ δὲ συμπράττων τὴν ἐπιθυμίαν ἐκεῖνος καὶ μᾶλλον ἢ πρότερον εὔνους καὶ χειροήθη τῷ βαρβάρῳ παρέχειν δοκῶν τὴν ἀδελφὴν ἔσχε πιστῶς, ὥστε μὴ χαλεπῶς ἐρῶντος ἀνθρώπου μισθοφόρου μεταστῆσαι διάνοιαν ἐπ' ἐλπίσι δωρεῶν μεγάλων, ἃς ἐπηγγέλλετο παρέξειν αὐτῷ τὸν Φάβιον. (7) Ταῦτα μὲν οὖν οἱ πλεῖστοι γράφουσι περὶ τούτων· ἔνιοι δὲ τὴν ἄνθρωπον, ὑφ' ἧς ὁ Βρέττιος μετήχθη, φασὶν οὐ Ταραντίνην, ἀλλὰ Βρεττίαν τὸ γένος οὖσαν, τῷ δὲ Φαβίῳ παλλακευομένην, ὡς ἤσθετο πολίτην καὶ γνώριμον ὄντα τὸν τῶν Βρεττίων ἄρχοντα τῷ τε Φαβίῳ φράσαι καὶ συνελθοῦσαν εἰς λόγους ὑπὸ τὸ τεῖχος ἐκπεῖσαι καὶ κατεργάσασθαι τὸν ἄνθρωπον.

XXII. Πραττομένων δὲ τούτων ὁ Φάβιος περισπάσαι τὸν Ἀννίβαν τεχνάζων ἐπέστειλε τοῖς ἐν Ῥηγίῳ στρατιώταις τὴν Βρεττίαν καταδραμεῖν καὶ Καυλωνίαν ἐξελεῖν κατὰ κράτος στρατοπεδεύσαντας ὀκτακισχιλίους ὄντας, αὐτομόλους δὲ τοὺς πολλοὺς καὶ τῶν ἐκ Σικελίας ὑπὸ Μαρκέλλου κεκομισμένων ἀτίμων τοὺς ἀχρηστοτάτους καὶ μετ' ἐλαχίστης τῇ πόλει λύπης καὶ βλάβης ἀπολλυμένους. (2) Ἤλπιζε γὰρ τούτους προέμενος τῷ Ἀννίβᾳ καὶ δελεάσας ἀπάξειν αὐτὸν ἀπὸ τοῦ Τάραντος· ὃ καὶ συνέβαινεν. Εὐθὺς γὰρ ἐκεῖ διώκων ὁ Ἀννίβας ἐρρύη μετὰ τῆς δυνάμεως. (3) Ἡμέρᾳ δ' ἕκτῃ τοὺς Ταραντίνους τοῦ Φαβίου περιστρατοπεδεύσαντος ὁ προδιειλεγμένος τῷ Βρεττίῳ μετὰ τῆς ἀδελ-

egregium, me non fefellit : itaque peccatum tuum virtutibus tuis condonatum sit, in posterum te alii custodiendum tradam. (7) Mirante rem milite, feminam produxit, eique in manus tradidit, Hæc quidem, dicens, stipulatur te nobiscum in castris porro mansurum, tu jam nunc re ipsa ostendes, num quod aliud ob facinus abfueris, amorem vero et puellam prætexueris. Hæc ita memorantur.

XXI. Tarentum proditione amissum recuperavit. Res ita acta est. (2) Erat in castris ejus juvenis Tarentinus, qui sororem summa sibi fide et amore obstrictam Tarenti habebat. Hanc quidem e Bruttiis, quos præsidii loco imposuerat Tarento Hannibal, primarius adamabat. (3) Præbuit is amor spem agendi Tarentino communicataque re cum Fabio, simulata transitione ad sororem Tarentum aufugit. (4) Primis aliquot diebus Bruttius venire intermisit, quod ignorare rem fratrem illa existimaret. (5) Post frater sorori, Apud nos in castris rumor erat, inquit, frequens, rem te cum viro præcipuo ac potenti habere : quisnam is est? Si enim sit, ut perhibent, virtute insignis, nihil refert in bello omnia confundente quo genere ortus sit ; quod autem necessario fit, non est turpe : quinimo felicitas est quædam, quo tempore jus parum valet, eo qui vim facere potest, quam humanissimo uti. (6) His adducta mulier Bruttium ad se vocat, eique cum fratre notitiam contrahit : qui Bruttii amorem expediens, ita ut videretur ei sororem suam quam ante benevolentiorem obsequentioremque præstitisse, tantum fidei apud eum invenit, ut hominem amore correptum ac pro mercede militantem spe magnorum munerum, quæ ei a Fabio exspectanda pollicebatur, ad proditionem adduxerit. (7) Ita quidem hæc narrantur a plurimis; alii mulierem, quæ Bruttii fidem perverterit, non Tarentinam, sed ex Bruttiis ipsam quoque oriundam fuisse tradunt Fabiique concubinam : quæ cum Bruttiorum præfectum civem suum et notum esse comperisset, re cum Fabio communicata ad murum accesserit, collocutaque cum Bruttio hominem persuaserit ac plane conciliaverit.

XXII. Dum hæc geruntur, Fabius, a Tarento Hannibalem abducere moliens, militibus qui Rhegii stativa habebant (erant numero millia octo, plerique transfugæ, et ex iis quos ex Sicilia advexerat Marcellus ignominia notatos, inutilissimi bello et quorum interitus minimo urbis dolore jacturaque esset staturus) mandavit, ut Bruttiorum agrum popularentur, et Cauloniam summa vi oppugnarent. (2) Speravit enim, id quod evenit, iis in periculum missis inescare se Hannibalem, Tarentoque avertere posse. Atque is statim in Bruttios cum copiis adversus eos contendit. (3) Sexto die quam obsideri cœptum est a Fabio Tarentum, Tarentinus juvenis, quem sororis interventu rem cum Brut-

φῆς νεανίσκος ἦκε νύκτωρ πρὸς αὐτὸν εἰδὼς ἀκριβῶς καὶ καθεωρακὼς τὸν τόπον, ἐφ' οὗ παραφυλάττων ὁ Βρέττιος ἔμελλεν ἐνδώσειν καὶ παρήσειν τοῖς προσβάλλουσιν. (4) Οὐ μὴν ἁπλῶς γε τῆς προδοσίας ἐξήρτησεν ὁ Φάβιος τὴν πρᾶξιν· ἀλλ' αὐτὸς μὲν ἐκεῖσε παρελθὼν ἡσυχίαν ἦγεν, ἡ δ' ἄλλη στρατιὰ προσέβαλλε τοῖς τείχεσιν ἔκ τε γῆς καὶ θαλάττης ἅμα ποιοῦσα πολλὴν κραυγὴν καὶ θόρυβον, ἄχρις οὗ τῶν πλείστων Ταραντίνων ἐκεῖ βοηθούντων καὶ συμφερομένων τοῖς τειχομαχοῦσιν ἐσήμηνε τῷ Φαβίῳ τὸν καιρὸν ὁ Βρέττιος καὶ διὰ κλιμάκων ἀναβὰς ἐκράτησε τῆς πόλεως. (5) Ἐνταῦθα μέντοι δοκεῖ φιλοτιμίας ἥττων γενέσθαι· τοὺς γὰρ Βρεττίους πρώτους ἀποσφάττειν ἐκέλευσεν, ὡς μὴ προδοσίᾳ τὴν πόλιν ἔχων φανερὸς γένοιτο. Καὶ ταύτης τε διήμαρτε τῆς δόξης καὶ διαβολὴν ἀπιστίας προσέλαβε καὶ ὠμότητος. (6) Ἀπέθανον δὲ πολλοὶ καὶ τῶν Ταραντίνων· οἱ δὲ πραθέντες ἐγένοντο τρισμύριοι, καὶ τὴν πόλιν ἡ στρατιὰ διήρπασεν· ἀνηνέχθη δ' εἰς τὸ δημόσιον τρισχίλια τάλαντα. (7) Πάντων δὲ τῶν ἄλλων ἀγομένων καὶ φερομένων λέγεται τὸν γραμματέα πυθέσθαι τοῦ Φαβίου περὶ τῶν θεῶν τί κελεύει, τὰς γραφὰς οὕτω προσαγορεύσαντα καὶ τοὺς ἀνδριάντας· τὸν οὖν Φάβιον εἰπεῖν· « Ἀπολείπωμεν τοὺς θεοὺς Ταραντίνοις κεχολωμένους. » (8) Οὐ μὴν ἀλλὰ τὸν κολοσσὸν τοῦ Ἡρακλέους μετακομίσας ἐκ Τάραντος ἔστησεν ἐν Καπιτωλίῳ καὶ πλησίον ἔφιππον εἰκόνα χαλκῆν ἑαυτοῦ πολὺ Μαρκέλλου φανεὶς ἀτοπώτερος περὶ ταῦτα, μᾶλλον δ' ὅλως ἐκεῖνον ἄνδρα πραότητι καὶ φιλανθρωπίᾳ θαυμαστὸν ἀποδείξας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται.

XXIII. Ἀννίβαν δὲ λέγεται διώκοντα τεσσαράκοντα μόνοις ἀπολειφθῆναι σταδίοις καὶ φανερῶς μὲν εἰπεῖν· « Ἦν ἄρα καὶ Ῥωμαίοις Ἀννίβας τις ἕτερος· ἀπεβάλομεν γὰρ τὴν Ταραντίνων πόλιν ὥσπερ ἐλάβομεν, » ἰδίᾳ δὲ τὸ πρῶτον αὐτῷ παραστῆναι πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πάλαι μὲν ἑώρα χαλεπὸν αὐτοῖς, νῦν δ' ἀδύνατον κρατεῖν ἀπὸ τῶν ὑπαρχόντων Ἰταλίας. (2) Τοῦτον δεύτερον θρίαμβον ἐθριάμβευσε λαμπρότερον τοῦ προτέρου Φάβιος, ὥσπερ ἀθλητὴς ἀγαθὸς ἐπαγωνιζόμενος τῷ Ἀννίβᾳ καὶ ῥᾳδίως ἀπολυόμενος αὐτοῦ τὰς πράξεις, ὥσπερ ἄμματα καὶ λαβὰς οὐκέτι τὸν αὐτὸν ἐχούσας τόνον. (3) Ἡ μὲν γὰρ ἀνεῖτο τῆς δυνάμεως αὐτῷ διὰ τρυφὴν καὶ πλοῦτον, ἡ δ' ὥσπερ ἐξήμβλυντο καὶ κατατέτριπτο τοῖς ἀλωφήτοις ἀγῶσιν. (4) Ἦν δὲ Μάρκος Λίβιος, οὗ τὸν Τάραντα φρουροῦντος ὁ Ἀννίβας ἀπέστησεν· ὅμως δὲ τὴν ἄκραν κατέχων οὐκ ἐξεκρούσθη καὶ διεφύλαξεν ἄχρι τοῦ πάλιν ὑπὸ Ῥωμαίοις γενέσθαι τοὺς Ταραντίνους. (5) Τοῦτον ἡνία Φάβιος τιμώμενος καί ποτε πρὸς τὴν σύγκλητον ὑπὸ φθόνου καὶ φιλοτιμίας ἐξενεχθεὶς εἶπεν, ὡς οὐ Φάβιος, ἀλλ' αὐτὸς αἴτιος γένοιτο τοῦ τὴν Ταραντίνων ἁλῶναι. Γελάσας οὖν ὁ Φάβιος· « Ἀληθῆ λέγεις, εἶπεν· εἰ μὴ γὰρ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ παρέλαβον. »

XXIV. Οἱ δὲ Ῥωμαῖοι τά τ' ἄλλα τῷ Φαβίῳ προσ-

tiorum præfecto composuisse diximus, noctu ad Fabium rediit, explorato diligenter loco, quem excubiis tenens Bruttius, cessurum se oppugnantibus receperat. (4) Neque totam rem proditioni commisit Fabius, sed eo loci ipse profectus quietum se tenuit : reliquus exercitus magno cum clamore et tumultu simul et a mari et a terra muros oppugnavit, donec concurrentibus eo plerisque ad defendendum Tarentinis, Fabio signum dedit Bruttius, isque scalis admotis adscendens urbem cepit. (5) Videtur autem hac in actione ambitioni succubuisse. Primos enim Bruttios occidi jussit, ne palam fieret, urbem proditione captam ; sed et hæc eum exspectatio frustrata est, et malæ fidei crudelitatisque crimen sibi conflavit. (6) Multi quoque e Tarentinis cæsi sunt, venditi triginta millia, urbs ab exercitu direpta, in publicum tria talentorum millia redacta. (7) Cum omnia agerentur et ferrentur, fertur Fabius scribæ de diis (ita vocabat picturas et statuas) quid vellet fieri interroganti respondisse : Relinquamus Tarentinis deos iratos. (8) Verumtamen colossum Herculis Tarento translatum in Capitolio statuit, ac juxta equestrem sibi statuam posuit æream, multo hac in re quam Marcellus visus ineptior, imo plane ejus humanitatem et clementiam admirabilem reddens, quod ex iis intelligi potest, quæ in hujus Vita scripsimus.

XXIII. Hannibalem ferunt celeriter subsequentem, tantum quinque millibus passuum a Fabio abfuisse, ac palam dixisse, Romanis suum etiam fuisse Hannibalem, eademque qua captum fuisset ratione amissum Tarentum, amicis quoque tum primum seorsim confessum, dudum se vidisse difficulter præsentibus copiis Italiam captum iri, nunc vero intelligere, omnino id fieri non posse. (2) Hunc secundum triumphum priore splendidiorem duxit Fabius, qui in certamine contra Hannibalem, egregium se athletam præstitisset, ejusque consilia, tanquam nexus et ansas non ejusdem jam quam antea roboris, facile irrita fecisset. (3) Jam enim pars copiarum Hannibalis luxu et divitiis enervata erat, pars retusa et attrita continentibus laboribus. (4) M. Livius, quo præfecto Hannibal Tarentum ad defectionem impulerat, quum arcem retinuisset, non fuit inde depulsus, sed tamdiu eam servaverat, dum a Romanis urbs reciperetur. (5) Is adeo invidebat gloriæ Fabii, ut aliquando in senatu livore et arrogantia impulsus diceret non Fabio, sed sibi receptum Tarentum deberi. Ad hoc ridens Fabius, Vera, inquit, narras; nunquam enim, nisi tu urbem amisisses, ego recipere potuissem.

XXIV. Romani autem præter alios Fabio habitos hono-

εφέροντο λαμπρῶς καὶ τὸν υἱὸν αὐτοῦ Φάβιον ἀνέδει-
188ξαν ὕπατον. (2) Παραλαβόντος δὲ τὴν ἀρχὴν αὐ- a
τοῦ καὶ διοικοῦντός τι τῶν πρὸς τὸν πόλεμον ὁ πατὴρ,
εἴτε διὰ γῆρας καὶ ἀσθένειαν εἴτε διαπειρώμενος τοῦ
παιδὸς, ἀναβὰς ἐφ' ἵππον προσῄει διὰ τῶν ἐντυγχα-
νόντων καὶ περιεστώτων. (3) Ὁ δὲ νεανίας κατιδὼν
πόρρωθεν οὐκ ἠνέσχετο, πέμψας δ' ὑπηρέτην ἐκέλευσε
καταβῆναι τὸν πατέρα καὶ δι' αὑτοῦ προσελθεῖν, εἰ δή
τι τυγχάνει τῆς ἀρχῆς δέομενος. (4) Καὶ τοὺς μὲν
ἄλλους ἡνίασε τὸ ἐπίταγμα καὶ σωπῇ πρὸς τὸν Φά-
βιον ὡς ἀνάξια πάσχοντα τῆς δόξης ἀπέβλεψαν· αὐτὸς
δ' ἐκεῖνος ἀποπηδήσας κατὰ τάχος θᾶττον ἢ βάδην πρὸς
τὸν υἱὸν ἐπειχθεὶς καὶ περιβαλὼν καὶ ἀσπασάμενος·
« Εὖ γε, εἶπεν, ὦ παῖ, φρονεῖς καὶ πράττεις αἰσθόμε- b
νος τίνων ἄρχεις καὶ πηλίκης μέγεθος ἀνείληφας ἀρχῆς.
Οὕτω καὶ ἡμεῖς καὶ οἱ πρόγονοι τὴν Ῥώμην ηὐξήσαμεν
ἐν δευτέρῳ καὶ γονεῖς καὶ παῖδας ἀεὶ τῶν τῆς πατρίδος
καλῶν τιθέμενοι. » (5) Λέγεται δ' ὡς ἀληθῶς τοῦ Φα-
βίου τὸν πρόπαππον ἐν δόξῃ καὶ δυνάμει μεγίστῃ Ῥω-
μαίων γενόμενον πεντάκις μὲν ὑπατεῦσαι καὶ θριάμβους
ἐκ πολέμων μεγίστων ἐπιφανεστάτους καταγαγεῖν,
ὑπατεύοντι δ' υἱῷ πρεσβευτὴν συνελθεῖν ἐπὶ τὸν πόλε-
μον, ἐν δὲ τῷ θριάμβῳ τὸν μὲν εἰσελαύνειν ἐπὶ τεθρίππῳ, c
τὸν δ' ἵππον ἔχοντα μετὰ τῶν ἄλλων ἑπακολουθεῖν
ἀγαλλόμενον, ὅτι τοῦ μὲν υἱοῦ κύριος, τῶν δὲ πολιτῶν
μέγιστος καὶ ὢν καὶ προσαγορευόμενος ὕστερον αὐτὸν
τοῦ νόμου καὶ τοῦ ἄρχοντος τίθησιν. (6) Ἀλλὰ γὰρ
ἐκεῖνος οὐκ ἀπὸ τούτων μόνον θαυμαστὸς ἦν. Τοῦ δὲ
Φαβίου τὸν υἱὸν ἀποθανεῖν συνέβη· καὶ τὴν μὲν συμ-
φορὰν ὡς ἀνήρ τε φρόνιμος καὶ πατὴρ χρηστὸς ἤνεγκε
μετριώτατα· τὸ δ' ἐγκώμιον, ὃ ταῖς ἐκκομιδαῖς τῶν
ἐπιφανῶν οἱ προσήκοντες ἐπιτελοῦσιν, αὐτὸς εἶπε κατα-
στὰς ἐν ἀγορᾷ καὶ γράψας τὸν λόγον ἐξέδωκεν.

XXV. Ἐπεὶ δὲ Σκηπίων Κορνήλιος εἰς Ἰβηρίαν d
πεμφθεὶς Καρχηδονίους μὲν ἐξήλασε μάχαις πολλαῖς
κρατήσας, ἔθνη δὲ πάμπολλα καὶ πόλεις μεγάλας καὶ
πράγματα λαμπρὰ Ῥωμαίοις κτησάμενος εὔνοιαν εἶχε
καὶ δόξαν ἐπανελθὼν ὅσην ἄλλος οὐδείς, ὕπατος δὲ κα-
τασταθεὶς καὶ τὸν δῆμον αἰσθόμενος μεγάλην ἀπαι-
τοῦντα καὶ προσδεχόμενον πρᾶξιν αὐτοῦ, τὸ μὲν αὐτόθι
συμπλέκεσθαι πρὸς Ἀννίβαν ἀρχαῖον ἡγεῖτο λίαν καὶ
πρεσβυτικὸν, αὐτὴν δὲ Καρχηδόνα καὶ Λιβύην εὐθὺς
ἐμπλήσας ὅπλων καὶ στρατευμάτων διενοεῖτο πορθεῖν
καὶ τὸν πόλεμον ἐκ τῆς Ἰταλίας ἐκεῖ μεθιστάναι καὶ
πρὸς τοῦτο παντὶ τῷ θυμῷ συνεξώρμα τὸν δῆμον· (2)
ἐνταῦθα δὴ Φάβιος ἐπὶ πᾶν δέος ἄγων τὴν πόλιν, ὡς e
ὑπ' ἀνδρὸς ἀνοήτου καὶ νέου φερομένην εἰς τὸν ἔσχατον
καὶ μέγιστον κίνδυνον, οὔτε λόγου φειδόμενος οὔτ' ἔρ-
γου δοκοῦντος ἀποτρέψειν τοὺς πολίτας τὴν μὲν βουλὴν
ἔπεισε, τῷ δὲ δήμῳ διὰ φθόνον ἐδόκει τοῦ Σκηπίωνος
εὐημεροῦντος ἐπιλαμβάνεσθαι καὶ δεδιέναι, μή τι μέγα
καὶ λαμπρὸν ἐξεργασαμένου καὶ τὸν πόλεμον ἢ παν-
τάπασιν ἀνελόντος ἢ τῆς Ἰταλίας ἐκβαλόντος αὐτὸς
ἀργὸς φανῇ καὶ μαλακὸς ἐν τοσούτῳ χρόνῳ διαπεπολε-

res, filium ejus consulem creaverunt. (2) Qui cum rem
quandam in eo magistratu bellicam administraret, pater, a
sive ætatis et imbecillitatis, sive filii tentandi causa, equo
per adstantes et cum consule agentes advectus est. (3)
Quod juvenis procul conspicatus nequaquam passus est, sed
misso lictore patrem equo descendere, peditemque ad se, si
quid a consule vellet, venire jussit. (4) Indigne id jussum
plerique tulerunt oculosque in Fabium, ut contumelia
affectum, taciti conjecerunt: ipse ab equo desiluit, citatoque
gradu ad filium contendit, amplexusque eum et osculatus:
Recte vero tu, inquit, fili, qui agnoscis, in quos magistra- b
tum, quantumque geras: sic enim et nos et nostri majores
Romam auximus, patriæ bonis parentes liberosque semper
postponentes. (5) Etenim pro vero traditum est, proavum
Fabii gloria et potentia Romanorum facile primum fuisse,
quinquies consulatum gessisse, ac de maximis bellis splendi-
dissime triumphasse: nunc filio consuli legatum quodam
bello fuisse et in triumpho, cum quadrijugo curru filius
inveheretur, equitem ipsum inter reliquos secutum, eo ge-
stientem, quod filii potens, civium maximus re et nomine c
cum esset, se ipsum legibus et magistratibus ultro submitte-
ret. (6) Verum hæc non est summa illius viri laudum. Fa-
bius porro cum filium amitteret, mortem ejus, quod erat viri
prudentis patrisque optimi officium, moderatissime tulit:
ipseque funebrem, ut moris est illustres homines defunctos
vita a suis laudari, orationem in foro stans recitavit ac
deinde eam conscriptam edidit

XXV. Post hæc P. Cornelius Scipio in Hispaniam missus, d
Carthaginienses multis prœliis superatos ea regione expulit,
multasque gentes Romanis, multas urbes magnas subjecit,
magnam vim opum paravit: reversusque tanta, quanta haud
quisquam alius, benevolentia prædicationeque virtutis est
receptus; inde consul factus, cum exspectare a se, et ex-
poscere populum aliquod egregium facinus sentiret, in
Italia cum Hannibale manus conserere, obsoletum nimis
ac senile ratus, ipsam Carthaginem Africamque subito
illatis armis exercitibusque devastare bellumque eo ex
Italia transferre in animum induxit, et ad id consilium
probandum omni conatu populum incitavit. (2) Hic e
Fabius summum civitati metum injiciens, omni oratione
omnique opere cupiens civibus persuadere, ne patriam
a juvene imprudente in extremum et summum periculum
adduci sinerent, senatum quidem commovit; populo autem
visus est invidia compulsus Scipionis felicitatem velle impe-
dire ac vereri ne, si is præclaro aliquo facto perpetrato aut
debellasset aut ex Italia saltem bellum avertisset, ipse
segnis ac mollis existimaretur, qui tantum temporis bel-

μηκώς. (3) Ἔοικε δ' ὁρμῆσαι μὲν ἐξ ἀρχῆς ὁ Φάβιος πρὸς τὸ ἀντιλέγειν ὑπὸ πολλῆς ἀσφαλείας καὶ προνοίας μέγαν ὄντα δεδιὼς τὸν κίνδυνον, ἐντεῖναι δέ πως μᾶλλον ἑαυτὸν καὶ παρρωτέρω προαχθῆναι φιλοτιμίᾳ τινὶ καὶ φιλονεικίᾳ κωλύων τοῦ Σκηπίωνος τὴν αὔξησιν, ὅς γε καὶ Κράσσον ἔπειθε, τὸν συνυπατεύοντα τῷ Σκηπίωνι, μὴ παρεῖναι τὴν στρατηγίαν μηδ' ὑπείκειν, ἀλλ' αὐτὸν, εἰ δόξειεν, ἐπὶ Καρχηδονίους περαιοῦσθαι, καὶ 189χρήματα δοθῆναι πρὸς τὸν πόλεμον οὐκ εἴασε. (4) Χρήματα μὲν οὖν Σκηπίων ἑαυτῷ πορίζειν ἀναγκαζόμενος ἦγειρε παρὰ τῶν ἐν Τυρρηνίᾳ πόλεων ἰδίᾳ πρὸς αὐτὸν οἰκείως διακειμένων καὶ χαριζομένων· Κράσσον δὲ τὰ μὲν ἡ φύσις οὐκ ὄντα φιλόνεικον, ἀλλὰ πρᾷον, οἴκοι κατεῖχε, τὰ δὲ καὶ νόμος θεῖος ἱερωσύνην ἔχοντα τὴν μεγίστην.

XXVI. Αὖθις οὖν καθ' ἑτέραν ὁδὸν ἁπάντων ὁ Φάβιος τῷ Σκηπίωνι κατεκώλυσε τοὺς ὁρμωμένους αὐτῷ συστρατεύεσθαι τῶν νέων καὶ κατεῖχεν ἔν τε ταῖς βουλαῖς καὶ ταῖς ἐκκλησίαις βοῶν, ὡς οὐκ αὐτὸς Ἀννίβαν ἀποδιδράσκοι μόνος ὁ Σκηπίων, ἀλλὰ καὶ τὴν ὑπόλοιπον ἐκπλέοι λαβὼν δύναμιν ἐκ τῆς Ἰταλίας δημαγωγῶν ἐλπίσι τοὺς νέους καὶ ἀναπείθων ἀπολιπεῖν γονέας καὶ γυναῖκας καὶ πόλιν, ἧς ἐν θύραις ἐπικρατῶν καὶ ἀήττητος ὁ πολέμιος κάθηται. (2) Καὶ μέντοι ταῦτα λέγων ἐφόβησε τοὺς Ῥωμαίους καὶ μόνοις αὐτὸν ἐψηφίσαντο χρῆσθαι τοῖς ἐν Σικελίᾳ στρατεύμασι καὶ τῶν ἐν Ἰβηρίᾳ γεγονότων μετ' αὐτοῦ τριακοσίους ἄγειν, οἷς ἐχρῆτο πιστοῖς. (3) Ταῦτα μὲν οὖν ἐδόκει πολιτεύεσθαι πρὸς τὴν ἑαυτοῦ φύσιν ὁ Φάβιος. Ἐπεὶ δὲ Σκηπίωνος εἰς Λιβύην διαβάντος εὐθὺς ἔργα θαυμαστὰ καὶ πράξεις ὑπερήφανοι τὸ μέγεθος καὶ τὸ κάλλος εἰς Ῥώμην ἀπηγγέλλοντο καὶ μαρτυροῦντα ταῖς φήμαις εἵπετο λάφυρα πολλὰ καὶ βασιλεὺς ὁ Νομάδων αἰχμάλωτος καὶ δύο στρατοπέδων ὑφ' ἕνα καιρὸν ἐμπρήσεις καὶ φθορὰ πολλῶν μὲν ἀνθρώπων, πολλῶν δ' ὅπλων καὶ ἵππων ἐν αὐτοῖς συγκατακεκαυμένων καὶ πρεσβεῖαι πρὸς Ἀννίβαν ἐπέμποντο παρὰ Καρχηδονίων καλούντων καὶ δεομένων ἐάσαντα τὰς ἀτελεῖς ἐκείνας ἐλπίδας οἴκαδε βοηθεῖν, ἐν δὲ Ῥώμῃ πάντων ἐχόντων τὸν Σκηπίωνα διὰ στόματος ἐπὶ τοῖς κατορθώμασιν, Φάβιος ᾐξίου πέμπεσθαι Σκηπίωνι διάδοχον, ἄλλην μὲν οὐκ ἔχων πρόφασιν, εἰπὼν δὲ τὸ μνημονευόμενον, ὡς ἐπισφαλές ἐστι πιστεύειν ἀνδρὸς ἑνὸς τύχῃ τηλικαῦτα πράγματα, χαλεπὸν γὰρ ἀεὶ εὐτυχεῖν τὸν αὐτὸν, οὕτω προσέκρουσεν ἤδη πολλοῖς, ὡς δύσκολος ἀνὴρ καὶ βάσκανος ἡ πάμπαν ὑπὸ γήρως ἄτολμος γεγονὼς καὶ δύσελπις περαιτέρω τε τοῦ μετρίου κατατεθαμβημένος τὸν Ἀννίβαν. (4) Οὐδὲ γὰρ ἐκπλεύσαντος αὐτοῦ μετὰ τῶν δυνάμεων ἐξ Ἰταλίας εἴασε τὸ χαῖρον καὶ τεθαρρηκὸς τῶν πολιτῶν ἀθόρυβον καὶ βέβαιον, ἀλλὰ τότε δὴ μάλιστα τὰ πράγματα τῇ πόλει θεούσῃ παρὰ τὸν ἔσχατον κίνδυνον ἐπισφαλῶς ἔχειν ἔλεγε· βαρύτερον γὰρ ἐν Λιβύῃ πρὸ Καρχηδόνος αὐτοῖς Ἀννίβαν ἐμπεσεῖσθαι καὶ στρατὸν ἀπαντήσειν Σκηπίωνι πολλῶν ἔτι

lando consumpsisset. (3) Et crediderim profecto Fabium initio multa tutorum consiliorum prudentique consideratione, metuque ingentis periculi se ad impugnandum Scipionis conatum convertisse: post magis contendisse ulteriusque provectum ambitione et æmulatione, ut incrementis Scipionis obstaret; nam Scipionis quoque collegæ Crasso auctor fuit, ne id imperium ultro concederet, sed ipse, si ita operæ fore videretur, potius classem contra Carthaginienses trajiceret: quin etiam hoc effecit, ne Scipioni sumptus ad bellum suppeditarentur. (4) Itaque Scipio sibi ipse de pecunia prospicere coactus, eam ab Etruriæ urbibus studio quodam in eum peculiari gratificantibus adeptus est: Crassum partim natura (etenim minime contentioso, sed placido ingenio erat), domi detinuit, partim lex sacrorum, quod erat pontifex maximus.

XXVI. Quare alia rursum via Scipionem aggressus Fabius, juvenes cum eo proficisci cupientes detinuit, in senatu et concionibus vociferans, Scipionem non tantum ipsum Hannibalem fugere, sed et accepto secum reliquo Italiæ robore, classe abire, spe animos juvenum lactantem persuadentemque ut parentes, uxores patriamque deserant, cujus ad portas hostis victor et insuperabilis sedeat. (2) Hæc quidem ita perterrefecerunt Romanos, ut tantum iis, qui in Sicilia erant, exercitibus eum uti, abducereque ex his quibus in Iberia usus fuerat trecentos, quorum fidem compertam haberet, permitterent. (3) Atque hæc quidem suum ingenium et suas rationes secutus ita agere tum censebatur. At enim Scipione in Africam transvecto, confestim admiranda ejus facta, resque gestæ præclarissimæ longeque maximæ Romam allatæ, testimoniumque famæ ferentia spolia subsecuta sunt et rex Numidarum captivus, præterea de binis hostium castris eodem tempore incensis, multis hominibus, multis armis, equisque simul incendio absumptis, annunciatum; Carthaginienses autem legatis ad Hannibalem missis orabant, ut omissa incerta illa spe Italiæ potiundæ, patriæ opem ferret. Romæ vero quum Scipio propter has victorias omnium esset in ore, nihilominus mitti successorem Scipioni Fabius volebat, nulla alia, quam afferret, rei causa, nisi quod tritum illud referebat, periculosum esse unius hominis fortunæ tantas res credere; difficulter enim fieri posse ut idem semper prospera utatur fortuna: qua re populum offendit, tanquam invidiosus homo et iniquus, aut omnino ætate ad diffidentiam et timiditatem delapsus atque immodico Hannibalis metu attonitus. (4) Nam ne Hannibale quidem cum copiis suis ex Italia profecto, gaudium civium esse integrum fiduciamque constantem passus est, sed tum maxime urbem postremum hoc discrimen subituram versari in magno periculo dixit: quippe Hannibalem quam ante fuit atrociorem hostem exercitumque mul-

θερμὸν αὐτοκρατόρων αἵματι καὶ δικτατόρων καὶ ὑπάτων· ὥστε τὴν πόλιν αὖθις ὑπὸ τῶν λόγων τούτων ἀναταράττεσθαι καὶ τοῦ πολέμου μεθεστῶτος εἰς Λιβύην ἐγγυτέρω τῆς Ῥώμης οἴεσθαι γεγονέναι τὸν φόβον.

XXVII. Ἀλλὰ Σκηπίων μὲν οὐ μετὰ πολὺν χρόνον αὐτόν τε νικήσας μάχῃ κατὰ κράτος Ἀννίβαν καὶ καταβαλὼν τὸ φρόνημα καὶ καταπατήσας τῆς Καρχηδόνος ὑποπεσούσης ἀπέδωκε μείζονα χαρὰν ἁπάσης ἐλπίδος τοῖς πολίταις καὶ τὴν ἡγεμονίαν ὡς ἀληθῶς

Πολλῷ σάλῳ σεισθεῖσαν ὤρθωσεν πάλιν.

(2) Φάβιος δὲ Μάξιμος οὐ διήρκεσε τῷ βίῳ πρὸς τὸ τοῦ πολέμου τέλος οὐδ' ἤκουσεν Ἀννίβαν ἡττημένον οὐδὲ τὴν μεγάλην καὶ βέβαιον εὐτυχίαν τῆς πατρίδος ἐπεῖδεν, ἀλλὰ περὶ ὃν χρόνον Ἀννίβας ἀπῆρεν ἐξ Ἰταλίας νόσῳ καμὼν ἐτελεύτησεν. (3) Ἐπαμεινώνδαν μὲν οὖν Θηβαῖοι δημοσίᾳ διὰ πενίαν, ἣν ἀπέλιπεν ὁ ἀνήρ, ἔθαψαν· οὐδὲν γὰρ οἴκοι τελευτήσαντος εὑρεθῆναι πλὴν ὀβελίσκου σιδηροῦν λέγουσι· Φάβιον δὲ Ῥωμαῖοι δημοσίᾳ μὲν οὐκ ἐκήδευσαν, ἰδίᾳ δ' ἑκάστου τὸ σμικρότατον αὐτῷ τῶν νομισμάτων ἐπενεγκόντος, οὐχ ὡς δι' ἔνδειαν προσαρκούντων, ἀλλ' ὡς πατέρα τοῦ δήμου θάπτοντος, ἔσχε τιμὴν καὶ δόξαν ὁ θάνατος αὐτοῦ τῷ βίῳ πρέπουσαν.

torum adhuc imperatorum, dictatorum, consulumque calentem cruore Scipioni occursurum, ita ut sermonibus his denuo urbem conturbaverit, belloque in Africam rejecto, periculum Romæ præsentius factum crediderint.

XXVII. Ceterum Scipio haud ita multo post, ipsum Hannibalem pugna devicit, dedentis sese Carthaginis fastum conculcavit, majus omni spe gaudium suis attulit, imperiumque Romanum

Multo salo depressum rursus extulit.

(2) At Fabius vitam non usque ad finem belli produxit, neque audivit Hannibalem esse devictum, neque magnam istam et constantem patriæ felicitatem inspexit, sed sub discessum Hannibalis ex Italia morbo decessit. (3) Sane Epaminondam Thebani propter inopiam, in qua decessit, publica sepultura affecerunt, nam præter obeliscum (*numum*) ferreum nihil in ejus domo repertum fertur : Fabii autem funus Romani non quidem publico sumptu fecerunt, sed privatim unusquisque numorum minimum ad ejus impensas contulit, non ut egeno stipem dare, verum ut patrem populi terræ condere viderentur : itaque mors ejus eum honorem ac decus, quæ vitæ responderent, invenit.

ΠΕΡΙΚΛΕΟΥΣ ΚΑΙ ΦΑΒΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Οἱ μὲν οὖν βίοι τῶν ἀνδρῶν τοιαύτην ἔχουσι τὴν ἱστορίαν. Ἐπεὶ δὲ καὶ πολιτικῆς καὶ πολεμικῆς ἀρετῆς πολλὰ καὶ καλὰ παραδείγματα καταλελοίπασιν ἀμφότεροι, φέρε τῶν πολεμικῶν ἐκεῖνο πρῶτον λάβωμεν, ὅτι Περικλῆς μὲν ἄριστα πράττοντι τῷ δήμῳ καὶ μεγίστῳ καθ' αὑτὸν ὄντι καὶ μάλιστα πρὸς δύναμιν ἀκμάζοντι χρώμενος ὑπὸ κοινῆς ἂν δόξειεν εὐτυχίας καὶ ῥώμης πραγμάτων ἀσφαλὴς διαγενέσθαι καὶ ἄπταιστος· αἱ δὲ Φαβίου πράξεις ἐν αἰσχίστοις καὶ δυσποτμοτάτοις καιροῖς ἀναδεξαμένου τὴν πόλιν οὐκ ἐπ' ἀγαθοῖς ἀσφαλῆ διετήρησαν, ἀλλ' ἐκ κακῶν εἰς βελτίω μετέστησαν. (2) Καὶ Περικλεῖ μὲν αἱ Κίμωνος εὐπραξίαι καὶ τὰ Μυρωνίδου καὶ τὰ Λεωκράτους τρόπαια καὶ πολλὰ καὶ μεγάλα Τολμίδης κατορθῶν ἑορτάσαι μᾶλλον καὶ ἐμπανηγυρίσαι στρατηγοῦντι τὴν πόλιν ἢ κτήσασθαι πολέμῳ καὶ φυλάξαι παρέδωκαν· (3) Φάβιος δ' ὁρῶν πολλὰς μὲν φυγὰς καὶ ἥττας, πολλοὺς δὲ θανάτους καὶ σφαγὰς αὐτοκρατόρων καὶ στρατηγῶν, λίμνας δὲ καὶ πεδία καὶ ὀρυμοὺς νεκρῶν στρατοπέδων πλήθοντας, αἵματι δὲ καὶ φόνῳ ποταμοὺς ἄχρι θαλάττης ῥέοντας, ἐν τῷ καθ' ἑαυτὸν ὁρμωμένῳ καὶ βεβηκότι τὴν πόλιν ἀντιλαμβανόμενος καὶ ὑπερείδων οὐκ εἴασε τοῖς ἐκείνων ὑποφερομένην πταίσμασι τελέως ἐκχυθῆναι. (4) Καίτοι δόξειεν ἂν οὐχ οὕτω χαλεπὸν εἶναι πόλιν ἐν συμφοραῖς μεταχειρίσασθαι ταπεινὴν

PERICLIS CUM FABIO COMPARATIO.

Hæc quidem vitarum utriusque viri est descriptio. Quoniam vero uterque et civilis et bellicæ virtutis multa ac præclara documenta edidit, agedum de rebus bellicis hoc primum sumamus, quod Pericles, cum populus optima fortuna uteretur et per se potentissimus esset summoque in vigore consisteret, communi felicitate rerumque robore tutus evasisse adversas fortunas et inconcussus videri potest : at Fabii actiones, fœdissima infelicissimaque tempestate rempublicam suscipientis, non urbem tutam ne quid bonorum amitteret præstiterunt, sed e malo statu in meliorem collocarunt. (2) Ac Pericli quidem res a Cimone et Myronide prosperrime gestæ et Leocratis tropæa præclaraque et felicia Tolmidæ facinora in magistratu suo magis occasionem festos dies in urbe agendi præbuerunt, quam bello eam recuperandi et custodiendi : (3) Fabius vero cum ante oculos haberet multas suorum clades et fugas, multos imperatorum et ducum obitus et cædes, lacus, campos et silvas exercituum cæsorum plenas, sanguine et cadaveribus flumina usque ad mare undantia, sua ipsius voluntate ac constantia civitatem suffulciit, neque passus et superiorum culpa concussam penitus corruere. (4) Et quamquam probabile est, posse aliquem facilius urbem humilem, si rebus adver-

καὶ τοῦ φρονοῦντος ὑπ' ἀνάγκης κατήκοον γενομένην, ὡς δι' εὐτυχίαν ἐπηρμένῳ καὶ σπαργῶντι τῷ δήμῳ χαλινὸν ἐμβαλεῖν ὕβρεως καὶ θρασύτητος· ᾧ δὴ μάλιστα d φαίνεται τρόπῳ Περικλῆς Ἀθηναίων περιγενόμενος. Ἀλλὰ τῶν Ῥωμαίοις συμπεσόντων τότε κακῶν τὸ μέγεθος καὶ τὸ πλῆθος ἰσχυρόν τινα γνώμην καὶ μέγαν ἔδειξεν ἄνδρα τὸν μὴ συγχυθέντα μηδὲ προέμενον τοὺς αὑτοῦ λογισμούς.

II. Καὶ Σάμῳ μὲν ὑπὸ Περικλέους ἁλοὺσῃ τὴν Τάραντος ἔστι κατάληψιν ἀντιθεῖναι καὶ νὴ Δί' Εὐβοίᾳ τὰς περὶ Καμπανίαν πόλεις· ἐπεὶ αὐτήν γε Καπύην οἱ περὶ Φούλβιον καὶ Ἄππιον ὕπατοι κατέσχον. Ἐκ δὲ παρατάξεως Φάβιος οὐ φαίνεται μάχῃ νενικηκὼς πλὴν ἀφ' ἧς τὸν πρότερον εἰσήλασε θρίαμβον· Περι- κλῆς δ' ἐννέα τρόπαια κατὰ γῆν καὶ κατὰ θάλατταν e ἔστησεν ἀπὸ τῶν πολεμίων. (2) Οὐ μὴν λέγεται τοιαύτη πρᾶξις Περικλέους, οἵαν ἔπραξε Φάβιος Μινούκιον ἐξαρπάσας Ἀννίβου καὶ διασώσας ἐντελὲς στρατόπεδον Ῥωμαίων· καλὸν γὰρ τὸ ἔργον καὶ κοινὸν ἀνδρείας ὁμοῦ καὶ φρονήσεως καὶ χρηστότητος· ὥσπερ αὖ πάλιν οὐδὲ σφάλμα λέγεται Περικλέους οἷον ἐσφάλη Φάβιος διὰ τῶν βοῶν καταστρατηγηθεὶς ὑπ' Ἀννίβου, λαβὼν μὲν αὐτομάτως καὶ κατὰ τύχην ὑπελθόντα τοῖς στενοῖς τὸν πολέμιον, προέμενος δὲ νυκτὸς λαθόντα καὶ μεθ' ἡμέραν βιασάμενον καὶ φθάσαντα μέλλοντος καὶ κρατήσαντα συλλαβόντος. (3) Εἰ δὲ δεῖ μὴ μόνον f χρῆσθαι τοῖς παροῦσιν, ἀλλὰ καὶ τεκμαίρεσθαι περὶ τοῦ μέλλοντος ὀρθῶς τὸν ἀγαθὸν στρατηγόν, Ἀθηναίοις μὲν ὡς Περικλῆς προέγνω καὶ προεῖπεν ἐτελεύτησεν ὁ πόλεμος· πολυπραγμονοῦντες γὰρ ἀπώλεσαν τὴν δύναμιν· Ῥωμαῖοι δὲ παρὰ τοὺς Φαβίου λογισμοὺς ἐκπέμψαντες ἐπὶ Καρχηδονίους Σκηπίωνα πάντων ἐκράτησαν, οὐ τύχῃ, σοφίᾳ δὲ τοῦ στρατηγοῦ καὶ ἀνδρείᾳ κατὰ κράτος νικήσαντος τοὺς πολεμίους. (4) 191 Ὥστε τῷ μὲν τὰ πταίσματα τῆς πατρίδος μαρτυρεῖν, a ὅτι καλῶς ἔγνω, τὸν δὲ ὑπὸ τῶν κατορθωμάτων ἐλέγχεσθαι τοῦ παντὸς ἐσφαλμένον. (5) Ἴση δ' ἁμαρτία στρατηγοῦ κακῷ περιπεσεῖν μὴ προσδοκήσαντα καὶ κατορθώματος καιρὸν ἀπιστίᾳ προέσθαι. Μία γὰρ, ὡς ἔοικεν, ἀπειρία καὶ θράσος γεννᾷ καὶ θάρσος ἀφαιρεῖται. Ταῦτα περὶ τῶν πολεμικῶν.

III. Τῆς δὲ πολιτείας μέγα μὲν ἔγκλημα τοῦ Περικλέους ὁ πόλεμος. Λέγεται γὰρ ἐπακτὸς ὑπ' ἐκείνου γενέσθαι Λακεδαιμονίοις ἐρίσαντος μὴ ἐνδοῦναι. Δοκῶ δὲ μηδ' ἂν Φάβιον Μάξιμον ἐνδοῦναί τι Καρχηδονίοις, ἀλλ' εὐγενῶς ὑποστῆναι τὸν ὑπὲρ τῆς ἡγεμονίας κίνδυνον. (2) Ἡ μέντοι πρὸς Μινούκιον ἐπιείκεια τοῦ b Φαβίου καὶ πραότης ἐλέγχει τὸν πρὸς Κίμωνα καὶ Θουκυδίδην στασιασμὸν, ἄνδρας ἀγαθοὺς καὶ ἀριστοκρατικοὺς εἰς φυγὴν ὑπ' αὐτοῦ καὶ τοὔστρακον ἐκπεσόντας. (3) Ἀλλ' ἥ γε δύναμις μείζων ἡ τοῦ Περικλέους καὶ τὸ κράτος. Ὅθεν οὐδ' ἄλλον εἴασεν ἐνδυστυχῆσαι τῇ πόλει κακῶς βουλευσάμενον στρατηγὸν, ἀλλ' ἢ μόνος αὐτὸν ἐκφυγὼν Τολμίδης καὶ διωσάμενος βίᾳ

sis laboret, erigere, cum eam necessitas cogat sapientis consilio obtemperare, quam populi secundis rebus elati ac ferocientis refrenare petulantiam atque temeritatem: quo maxime modo Pericles videtur Athenienses continuisse: tamen moles ac multitudo calamitatum, quæ tum Romanis inciderant, magnum virum fuisse ingentique robore animi præditum Fabium demonstravit, qui non passus sit de suis se consiliis depelli et confundi.

II. Samo a Pericle captæ, Tarenti recuperationem licet opponere, et vero etiam Euboeæ, urbes Campaniæ; Capuam enim Fulvius et Appius consules recepere. Acie porro semel tantum vicit Fabius, qua de victoria primum triumphum duxit: Pericles terra marique de superatis hostibus novem statuit tropæa. (2) Neque tamen tam egregium Periclis factum memoratur, quam fuit Fabii, quod Minucium Hannibali eripuit, integrumque exercitum Romanum conservavit: præclarum sane factum communeque fortitudinis, prudentiæ et humanitatis; rursus nullum tale erratum Periclis exstat, quale fuit Fabii, boum artificio ab Hannibale delusi, quem ultro et forte fortuna angustiis se committentem ac deprehensum, noctu præventusque ignarus emisit, interdiu ab eo victus dum cunctatur et superatus ab eo quem superaverat. (3) Quod si egregii imperatoris est, non solum præsentibus rebus recte uti, sed et futura prospicere, Athenienses eum, quem prævidit et prædixit Pericles, finem belli habuerunt; nam variis sese rebus implicantes, potentiam suam amiserunt: at Romani, emisso contra sententiam Fabii Scipione, qui Carthaginiensibus bellum inferret, non fortuna, sed sapientia et fortitudine imperatoris devictis hostibus, debellaverunt. (4) Itaque alterum recte futura prospexisse, calamitas patriæ testata est: alterum longissime aberrasse a scopo, felicitas suorum arguit. (5) Est autem idem error in imperatore, vel improvisum in malum incidere, vel propter incredulitatem dimittere rei bene gerendæ occasionem: una enim imperitia, opinor, et temeritatem gignit et eripit audaciam. Hæc de bellicis rebus.

III. In administranda vero republica, quod maxime Pericli vitio vertebatur, bellum fuit, cujus ille, quod Lacedæmoniis nihil quidquam cedere contendit, auctor fuisse dicitur: quanquam ego ne Fabium quidem Carthaginiensibus cessurum, sed pro imperio fortiter propugnaturum fuisse existimo. (2) Sed Fabii in Minucium moderatio atque clementia, Periclis contra Cimonem et Thucydidem factiones vitii coarguit: quos iste viros bonos et optimatium studiosos in exsulium extrusit. (3) Major autem Periclis contra fuit potentia et auctoritas; itaque non passus est ullum alium ducem suis malis consiliis reipublicæ calamitatem inferre; nisi quod solus Tolmidas invito ipso

προσέπταισε Βοιωτοῖς· οἱ δ' ἄλλοι πρασετίθεντο καὶ κατεκοσμοῦντο πάντες εἰς τὴν ἐκείνου γνώμην ὑπὸ μεγέθους αὐτοῦ τῆς δυνάμεως. (4) Φάβιος δὲ τὸ καθ' αὑτὸν ἀσφαλὴς ὢν καὶ ἀναμάρτητος, τῷ πρὸς τὸ κωλύειν ἑτέρους ἀδυνάτῳ φαίνεται λειπόμενος· οὐ γὰρ ἂν τοσαύταις συμφοραῖς ἐχρήσαντο Ῥωμαῖοι Φαβίου παρ' αὐτοῖς ὅσον Ἀθήνησι Περικλέους δυνηθέντος. (5) Καὶ μὴν τήν γε πρὸς χρήματα μεγαλοφροσύνην ὁ μὲν τῷ μηδὲν λαβεῖν παρὰ τῶν διδόντων, ὁ δὲ τῷ προέσθαι πολλὰ τοῖς δεομένοις ἐπεδείξατο λυσάμενος τοῖς ἰδίοις χρήμασι τοὺς αἰχμαλώτους. (6) Πλὴν τούτων μὲν οὐ πολὺς ἦν ἀριθμός, ἀλλ' ὅσον ἓξ τάλαντα· Περικλῆς δ' οὐκ ἂν ἴσως εἴποι τις ὅσα καὶ παρὰ συμμάχων καὶ βασιλέων ὠφελεῖσθαι καὶ θεραπεύεσθαι παρὸν, τῆς δυνάμεως διδούσης, ἀδωρότατον ἑαυτὸν καὶ καθαρώτατον ἐφύλαξεν. (7) Ἔργων γε μὴν μεγέθεσι καὶ ναῶν καὶ κατασκευαῖς οἰκοδομημάτων, ἐξ ὧν ἐκόσμησεν ὁ Περικλῆς τὰς Ἀθήνας, οὐκ ἄξιον ὁμοῦ πάντα τὰ πρὸ τῶν Καισάρων φιλοτιμήματα τῆς Ῥώμης παραβαλεῖν, ἀλλ' ἔξοχόν τι πρὸς ἐκεῖνα καὶ ἀσύγκριτον ἡ τούτων ἔσχε μεγαλουργία καὶ μεγαλοπρέπεια τὸ πρωτεῖον.

elapsus, contra Bœotos rem infeliciter gessit: reliqui omnes ipsius, ut cujus summa esset potestas, consilio et voluntati suam adjunxerunt. (4) Qua in re Fabius eo fuit inferior, quod ipse tutus et nullius peccati auctor, alios prohibere nequivit: nunquam enim tot clades passi fuissent Romani, si tantum Romæ Fabius, quantum Pericles Athenis, valuisset. (5) Liberalitatem Pericles nihil ab iis qui dabant accipiendo, Fabius indigentibus largiendo demonstravit, cum suo ære captivos redemit. (6) Nisi quod hæc pecunia non ita ingens et circiter sex talenta tantum fuit; at Pericles cum incredibiles a sociis et regibus ipsum demerentibus pecunias posset accipere, se ipsum ab omni pecunia invictum et integerrimum conservavit. (7) Denique cum operum, templorum ædificiorumque, quibus exornavit Pericles Athenas, magnificentia ne universa quidem ea, quæ Romæ ante Cæsares sunt exstructa civitatis ornandæ gratia, conferri merentur; adeo magnitudo et splendor operum Periclis præstantiam quandam omni comparatione superiorem habuerunt.

ΑΛΚΙΒΙΑΔΗΣ.

Τὸ Ἀλκιβιάδου γένος ἄνωθεν Εὐρυσάκην τὸν Αἰάντος ἀρχηγὸν ἔχειν δοκεῖ, πρὸς δὲ μητρὸς Ἀλκμαιωνίδης ἦν ἐκ Δεινομάχης γεγονὼς τῆς Μεγακλέους. (2) Ὁ δὲ πατὴρ αὐτοῦ Κλεινίας ἰδιοστόλῳ τριήρει περὶ Ἀρτεμίσιον ἐνδόξως ἐναυμάχησεν, ὕστερον δὲ Βοιωτοῖς μαχόμενος περὶ Κορώνειαν ἀπέθανε. Τοῦ δὲ Ἀλκιβιάδου Περικλῆς καὶ Ἀρίφρων οἱ Ξανθίππου προσήκοντες κατὰ γένος ἐπετρόπευον. (3) Λέγεται δ' οὐ κακῶς, ὅτι τῆς Σωκράτους πρὸς αὐτὸν εὐνοίας καὶ φιλανθρωπίας οὐ μικρὰ πρὸς δόξαν ἀπέλαυσεν, εἴγε Νικίου μὲν καὶ Δημοσθένους καὶ Λαμάχου καὶ Φορμίωνος Θρασυβούλου τε καὶ Θηραμένους ἐπιφανῶν ἀνδρῶν γενομένων κατ' αὐτὸν, οὐδενὸς οὐδ' ἡ μήτηρ ὀνόματος τέτευχεν, Ἀλκιβιάδου δὲ καὶ τίτθην, γένος Λάκαιναν, Ἀμύκλαν ὄνομα, καὶ Ζώπυρον παιδαγωγὸν ἴσμεν, ὧν τὸ μὲν Ἀντισθένης, τὸ δὲ Πλάτων ἱστόρηκε. (4) Περὶ μὲν οὖν τοῦ κάλλους Ἀλκιβιάδου οὐδὲν ἴσως δεῖ λέγειν, πλὴν ὅτι καὶ παῖδα καὶ μειράκιον καὶ ἄνδρα πάσῃ συνανθῆσαν τῇ ἡλικίᾳ καὶ ὥρᾳ τοῦ σώματος ἐράσμιον καὶ ἡδὺν παρέσχεν. (5) Οὐ γὰρ, ὡς Εὐριπίδης ἔλεγε, πάντων τῶν καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν, ἀλλὰ τοῦτο Ἀλκιβιάδῃ μετ' ὀλίγων ἄλλων δι' εὐφυΐαν καὶ ἀρετὴν σώματος ὑπῆρξε. (6) Τῇ δὲ φωνῇ καὶ τὴν τραυλότητα ἐμπρέψαι λέγουσι καὶ τῷ λάλῳ πιθανότητα παρασχεῖν χάριν ἐπιτελοῦσαν. (7) Μέμνηται δὲ καὶ Ἀριστοφάνης αὐτοῦ τῆς τραυλότητος ἐν οἷς ἐπισκώπτει Θέωρον·

ALCIBIADES.

Alcibiadis genus ad Eurysacem Ajacis filium auctorem refertur; matrem ex Alcmæonidarum stirpe habuit Dinomachen Megaclis filiam. (2) Pater Alcibiadis Clinias triremi propriis sumptibus instructa apud Artemisium præclaram bello navali operam navavit, post in prœlio contra Bœotos apud Coroneam cecidit; exinde Xanthippi filios consanguinitate sibi junctos Periclem et Ariphronem, tutores Alcibiades habuit. (3) Non male dicitur huic Socratis benevolentia et amor haud parvum ad gloriam momentum attulisse. Qui enim eodem tempore illustres fuerunt viri, Nicias, Demosthenes, Lamachus, Phormio, Thrasybulus, Theramenes, horum ne matres quidem quæ fuerint, memoriæ proditum est, cum constet Alcibiadis nutricem Lacedæmoniam patria, nomine Amyclam fuisse, pædagogo autem eundem usum Zopyro, quorum alterum Antisthenes, alterum Plato tradit. (4) De pulchritudine ejus nihil fortassis est dicendum, nisi hoc, eam omni unà ætate floruisse, ideoque et puero, et adolescenti, et viro gratiam ac venustatem conciliasse. (5) Neque enim verum est, quod Euripides ait, omnium pulchrorum etiam auctumnum pulchrum esse: sed Alcibiadi hoc, paucisque aliis propter egregium corporis habituin formæque præstantiam contigit. (6) Decoram porro voci ejus balbutiem fuisse ferunt, garrulitatemque in persuadendo gratiosam. (7) Sane vitium linguæ ejus etiam Aristophanes notavit his verbis quibus Theorum cavillatur:

Εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας. Tunc Alcibiades ad me ait balbutiens:

« ὁλᾷς Θέωλον ; τὴν κεφαλὴν κόλακος ἔχει. »
ὀρθῶς γε τοὔτ' Ἀλκιβιάδης ἐτραύλισε.

« Cernin' Theolum ? caput habet colacis. » Bene Alcibiades profecto illud balbutiit.

(8) Καὶ Ἄρχιππος τὸν υἱὸν τοῦ Ἀλκιβιάδου σκώπτων, Βαδίζει, φησί, διακεχλιδὼς, θοἰμάτιον ἕλκων, ὅπως ἐμφερὴς μάλιστα τῷ πατρὶ δόξειεν εἶναι,

(8) Et Archippus filium Alcibiadis insectans :

Incedit ille molliter, vestem trahit,
ut quam simillimus esse videatur patri,
balbutit et cervicibus fractis meat.

Κλασταυχενεύεταί τε καὶ τραυλίζεται.

II. Τὸ δ' ἦθος αὐτοῦ πολλὰς μὲν ὕστερον, ὡς εἰκὸς ἐν πράγμασι μεγάλοις καὶ τύχαις πολυτρόποις, ἀνομοιότητας καὶ πρὸς αὐτὸ μεταβολὰς ἐπεδείξατο. (2) Φύσει δὲ πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ τὸ φιλόνεικον ἰσχυρότατον ἦν καὶ τὸ φιλόπρωτον, ὡς δῆλόν ἐστι τοῖς παιδικοῖς ἀπομνημονεύμασιν. (3) Ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος ὑπὲρ τοῦ μὴ πεσεῖν ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἄμματα τοῦ πιεζοῦντος οἷς ἦν διαφαγεῖν τὰς χεῖρας. Ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου καὶ εἰπόντος· « Δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ αἱ γυναῖκες ». « Οὐκ ἔγωγε, εἶπεν, ἀλλ' ὡς οἱ λέοντες. » (4) Ἔτι δὲ μικρὸς ὢν ἐπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ, τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτὸν ἅμαξα φορτίων ἐπῆλθε. Πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης· μὴ πειθομένου δὲ δι' ἀγροικίαν, ἀλλ' ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον, ὁ δ' Ἀλκιβιάδης καταβαλὼν ἐπὶ στόμα πρὸ τοῦ ζεύγους καὶ παρατείνας ἑαυτὸν ἐκέλευεν οὕτως, εἰ βούλεται, διεξελθεῖν, ὥστε τὸν μὲν ἄνθρωπον ἀνακρουσαι τὸ ζεῦγος ὀπίσω δείσαντα, τοὺς δ' ἰδόντας ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν. (5) Ἐπεὶ δὲ εἰς τὸ μανθάνειν ἦκε, τοῖς μὲν ἄλλοις ὑπήκουε διδασκάλοις ἐπιεικῶς, τὸ δ' αὐλεῖν ἔφευγεν ὡς ἀγεννὲς καὶ ἀνελεύθερον· πλήκτρου μὲν γὰρ καὶ λύρας χρῆσιν οὐδὲν οὔτε σχήματος οὔτε μορφῆς ἐλευθέρῳ πρεπούσης διαφθείρειν, αὐλοὺς δὲ φυσῶντος ἀνθρώπου στόματι καὶ τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόσωπον. (6) Ἔτι δὲ τὴν μὲν λύραν τῷ χρωμένῳ συμφθέγγεσθαι καὶ συνᾴδειν, τὸν δ' αὐλὸν ἐπιστομίζειν καὶ ἀποφράττειν ἑκάστου τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον. « Αὐλείτωσαν οὖν, ἔφη, Θηβαίων παῖδες· οὐ γὰρ ἴσασι διαλέγεσθαι· ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλλων ἐστίν, ὧν ἡ μὲν ἔῤῥιψε τὸν αὐλὸν, ὁ δὲ καὶ τὸν αὐλητὴν ἔξέδειρε. » (7) Τοιαῦτα παίζων ἅμα καὶ σπουδάζων ὁ Ἀλκιβιάδης αὐτόν τε τοῦ μαθήματος ἀπέστησε καὶ τοὺς ἄλλους. Ταχὺ γὰρ διῆλθε λόγος εἰς τοὺς παῖδας, ὡς εὖ ποιῶν ὁ Ἀλκιβιάδης βδελύττοιτο τὴν αὐλητικὴν καὶ χλευάζοι τοὺς μανθάνοντας. Ὅθεν ἐξέπεσε κομιδῇ τῶν ἐλευθέρων διατριβῶν καὶ προεπηλακίσθη παντάπασιν ὁ αὐλός.

II. Mores ejus postea temporis, versante ipso in arduis rebus utenteque varia fortuna, multiplices ipsi quoque, ut consentaneum erat, mutationes et diversitates habuerunt. (2) Cum autem natura inessent ei multi ac magni affectus, omnium vehementissimus fuit studium contendendi et primarum partium appetitio ; quod ex his etiam apparet, quæ ejus, cum puer adhuc esset, dicta ac facta commemorantur. (3) In lucta enim pressus, ne caderet, prementis manus, quibus nexus tenebatur, ad os attraxit, mordicusque impetiit : ille nexu laxato, quum diceret, Mordes, Alcibiades, tanquam mulieres? Nequaquam, inquit, sed ut leones. (4) Parvulus adhuc taxillis in angiporto quodam ludebat : ibi cum ad ipsum jactus ordine pervenisset, forte plaustrum onustum eo advenit. Igitur primum aurigam jussit subsistere Alcibiades : inciderat enim talus in eam viæ partem, qua transeundum erat currui : cum vector, rusticus, nihil motus precibus pergeret, ceteri pueri se dimoverunt, Alcibiades autem in faciem sese ante plaustrum projicit ac transversum per viam extendit, jussitque hominem, si omnino vellet, ita transire : itaque metuens ille, currum retro egit, et qui viderant rem, perterriti cum clamore eo accurrerunt. (5) Ubi ad discendas artes se contulit, omnibus præceptoribus sic satis se morigerum præbuit : tibia tantum canere noluit, illiberalem eam et ingenuo indignam artem judicans : nam plectrum quidem et lyram nihil de figura et forma, quæ liberalem hominem deceret, deminuere ; fistulam autem inflantis vix etiam a familiaribus faciem agnosci. (6) Præterea lyram una eo qui utitur canente sonum suum edere : tibiam ejus qui uteretur os obstruere vocemque intercludere. Proinde, inquit, tibia canant Bœotorum pueri, qui loqui nesciunt ; nobis Atheniensibus, ut a majoribus accepimus, Minerva et Apollo auctores sunt originis, quorum illa fistulam abjecit, hic fistulatorem excoriavit. (7) Hæc seria inter jocandum referens Alcibiades et se et reliquos ea arte abstinuit : celeriter enim eo rumore inter pueros sparso, bene agere Alcibiadem, qui artem istam respuat, et eam discentes rideat : inde factum, ut tibia despecta penitus e liberalibus disciplinis excluderetur.

III. Ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις γέγραπται, ὅτι παὶς ὢν ἐκ τῆς οἰκίας ἀπέδρα πρὸς Δημοκράτη τινὰ τῶν ἐραστῶν· βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος, Περικλῆς οὐκ εἴασεν εἰπών· εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ κήρυγμα φανεῖσθαι πρότερον,

III. In criminationibus Antiphontis præterea scriptum est, Alcibiadem puerum domo aufugisse ad Democratem unum ex amatoribus : Ariphronemque, cum statuisset eum abdicare, inhibitum a Pericle, quod diceret, si mortuus est puer, uno die per istud præconium prius mors ejus in-

εἰ δὲ σῶς ἐστιν, ἄσωστον αὐτῷ τὸν λοιπὸν βίον ἔσεσθαι· καὶ ὅτι τῶν ἀκολουθούντων τινὰ κτείνειεν ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξας. Ἀλλὰ τούτοις μὲν οὐκ ἄξιον ἴσως πιστεύειν, ἄ γε λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν εἶπεν.

IV. Ἤδη δὲ πολλῶν καὶ γενναίων ἀθροιζομένων καὶ περιεπόντων οἱ μὲν ἄλλοι καταφανεῖς ἦσαν τὴν λαμπρότητα τῆς ὥρας ἐκπεπληγμένοι καὶ θεραπεύοντες, ὁ δὲ Σωκράτους ἔρως μέγα μαρτύριον ἦν τῆς ἀρετῆς καὶ εὐφυίας τοῦ παιδὸς, ἣν ἐμφαινομένην τῷ εἴδει καὶ διαλάμπουσαν ἐνορῶν, φοβούμενος δὲ τὸν πλοῦτον καὶ τὸ ἀξίωμα καὶ τὸν προκαταλαμβάνοντα κολακείαις καὶ χάρισιν ἀστῶν καὶ ξένων καὶ συμμάχων ὄχλον οἷος ἦν. ἀμύνειν καὶ μὴ περιορᾶν, ὡς φυτὸν ἐν ἄνθει τὸν οἰκεῖον καρπὸν ἀποβάλλον καὶ διαφθεῖρον. (2) Οὐδένα γὰρ ἡ τύχη περιέσχεν ἔξωθεν καὶ περιέφραξε τοῖς λεγομένοις ἀγαθοῖς τοσοῦτον, ὥστ' ἄτρωτον ὑπὸ φιλοσοφίας γενέσθαι καὶ λόγοις ἀπρόσιτον παῤῥησίαν καὶ δηγμὸν ἔχουσιν· οἷς Ἀλκιβιάδης εὐθὺς ἐξ ἀρχῆς θρυπτόμενος καὶ ἀποκλειόμενος ὑπὸ τῶν πρὸς χάριν ἐξομιλούντων εἰσακοῦσαι τοῦ νουθετοῦντος καὶ παιδεύοντος, ὅμως ὑπ' εὐφυίας ἐγνώρισε Σωκράτη καὶ προσήκατο διασχὼν τοὺς πλουσίους καὶ ἐνδόξους ἐραστάς. (3) Ταχὺ δὲ ποιησάμενος συνήθη καὶ λόγων ἀκούσας οὐχ ἡδονὴν ἀνάνδρον ἐραστοῦ θηρεύοντος οὐδὲ φιλημάτων καὶ ψαύσεως προσαιτοῦντος, ἀλλ' ἐλέγχοντος τὸ σαθρὸν τῆς ψυχῆς αὐτοῦ καὶ πιεζοῦντος τὸν κενὸν καὶ ἀνόητον τῦφον

Ἔπτηξ' ἀλέκτωρ δοῦλον ὡς κλίνας πτερόν.

(4) Καὶ τὸ μὲν Σωκράτους ἡγήσατο πρᾶγμα τῷ ὄντι θεῶν ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν εἶναι καὶ σωτηρίαν· καταφρονῶν δ' αὐτὸς ἑαυτοῦ, θαυμάζων δ' ἐκεῖνον, ἀγαπῶν δὲ τὴν φιλοφροσύνην, αἰσχυνόμενος δὲ τὴν ἀρετὴν, ἐλάνθανεν εἴδωλον ἔρωτος, ὥς φησιν ὁ Πλάτων, ἀντέρωτα κτώμενος, ὥστε θαυμάζειν ἅπαντας ὁρῶντας αὐτὸν Σωκράτει μὲν συνδειπνοῦντα καὶ συμπαλαίοντα καὶ συσκηνοῦντα, τοῖς δ' ἄλλοις ἐρασταῖς χαλεπὸν ὄντα καὶ δυσχείρωτον, ἐνίοις δὲ καὶ παντάπασι σοβαρῶς προσφερόμενον, ὥσπερ Ἀνύτῳ τῷ Ἀνθεμίωνος. (5) Ἐτύγχανε μὲν γὰρ ἐρῶν τοῦ Ἀλκιβιάδου, ξένους δέ τινας ἑστιῶν ἐκάλει κἀκεῖνον ἐπὶ τὸ δεῖπνον. Ὁ δὲ τὴν μὲν κλῆσιν ἀπείπατο, μεθυσθεὶς δ' οἶκοι μετὰ τῶν ἑταίρων ἐκώμασε πρὸς τὸν Ἄνυτον καὶ ταῖς θύραις ἐπιστὰς τοῦ ἀνδρῶνος καὶ θεασάμενος ἀργυρῶν ἐκπωμάτων καὶ χρυσῶν πλήρεις τὰς τραπέζας ἐκέλευσε τοὺς παῖδας τὰ μέρη λαβόντας οἰκαδε κομίζειν. πρὸς αὐτὸν, εἰσελθεῖν δ' οὐκ ἠξίωσεν, ἀλλὰ ταῦτα πράξας ἀπῆλθε. (6) Τῶν οὖν ξένων δυσχερανόντων καὶ λεγόντων, ὡς ὑβριστικῶς καὶ ὑπερηφάνως εἴη τῷ Ἀνύτῳ κεχρημένος ὁ Ἀλκιβιάδης, « Ἐπιεικῶς μὲν οὖν, ὁ Ἄνυτος ἔφη, καὶ φιλανθρώπως· ἃ γὰρ ἐξῆν αὐτῷ λαβεῖν ἅπαντα, τούτων ἡμῖν τὰ μέρη καταλέλοιπεν. »

V. Οὕτω δὲ καὶ τοῖς ἄλλοις ἐρασταῖς ἐχρῆτο· πλὴν ἕνα μετοικικὸν ἄνθρωπον, ὥς φασιν, οὐ πολλὰ κεκτημένον, ἀποδόμενον δὲ πάντα καὶ τὸ συναχθὲν εἰς ἑκα-

notescet; sin salvus est, omnis in posterum ei vita miserrima erit; idemque ait quendam comitum ab Alcibiade in Sibyrtii palæstra ligno ictum et exanimatum esse. Sed homini palam præ se ferenti, odii causa convicia se Alcibiadi facere, fortasse non est credendum.

IV. Cum multi jam ac nobiles Alcibiadi se adjungerent eumque colerent, facile patuit, ceteros id formæ ejus præstantia accensos facere, Socratis vero amor magnum testimonium erat virtutis egregiæque indolis: quam impressam in forma pueri et effulgentem cum animadverteret, suspectas autem haberet divitias, dignitatem et occupans eum adulationibus et leporibus civium, hospitum atque sociorum vulgus, is erat qui eum tueretur ejusque curam ageret ne fructum suum, sicut planta, in ipso flore vitiaret et pessumdaret. (2) Nullum enim usquam adeo externis istis, quæ vocamus bonis fortuna cinxit atque circumsepsit, ut nec vulnerari posset a philosophia nec sermonibus ejus tangi liberis animumque mordentibus; quibus bonis quamvis statim initio delinitus atque ab iis, qui gratiam ipsius in conversando captabant, prohibitus esset, quominus monentem et erudientem audiret, tamen indolis suæ vi Socratem quis esset agnovit, eumque remotis divitibus illis et gloriosis amatoribus admisit. (3) Cujus consuetudine deinde usus, cum audivisset sermones non ejus, qui amorem viro indecorum venaretur, neque oscula et amplexus expeteret, sed vitia animi reprehenderet, inanemque et stultum fastum deprimeret: ibi vero sese,

Trepidas ut alas gallus ille territus,

demisit. (4) Socratis proinde institutum, verum deorum ministerium ad curandos et servandos adolescentes esse censuit, ac dum se ipsum despicit, illum admiratur, ejus comitatem amplectitur, virtutem veneratur, sensim illum amoris repercussum, quem Plato Anterota appellat, in se concepit, ut mirarentur omnes eum cum Socrate cœnare, exercere luctam, habitare, aliis se difficilem et intractabilem præbere, nonnullis etiam insolenter utentem, ut Anyto Anthemionis filio. (5) Is cum amaret Alcibiadem, convivio hospites quosdam excipiens, hunc quoque vocavit ad cœnam. Alcibiades venturum se negavit, domi autem cum sociis inebriatus, post cœnam ad Anyti domum comessatum ivit, ac consistens in ostio aulæ, cum vidisset mensas argenteis aureisque poculis oppletas, pueris suis mandavit, ut suam partem abreptam domum auferrent; atque ingredi non dignatus, eo facto abiit. (6) Hospitibus frementibus, superbeque eum et contumeliose cum Anyto egisse dicentibus, imo autem humaniter et liberaliter, inquit Anytus, actum ab eo est, qui, cum licuisset omnia auferre, horum nobis partem reliquerit.

V. Ad hunc modum omnes suos amatores tractavit, uno inquilino excepto. Hic non magnis, ut aiunt, præditus facultatibus, cum omnia divendidisset et ad centum stateres

τὸν στατῆρας τῷ Ἀλκιβιάδῃ προσφέροντα καὶ δεόμενον λαβεῖν, γελάσας καὶ ἡσθεὶς ἐκάλεσεν ἐπὶ δεῖπνον. (2) Ἑστιάσας δὲ καὶ φιλοφρονηθεὶς τό τε χρυσίον ἀπέδωκεν αὐτῷ καὶ προσέταξε τῇ ὑστεραίᾳ τοὺς ὠνουμένους τὰ τέλη τὰ δημόσια ταῖς τιμαῖς ὑπερβάλλειν ἀντωνούμενον. Παραιτουμένου δὲ τοῦ ἀνθρώπου διὰ τὸ πολλῶν ταλάντων εἶναι τὴν ὠνήν, ἀπεῖλησε μαστιγώσειν εἰ μὴ ταῦτα πράττοι· καὶ γὰρ ἐτύγχανεν ἐγκαλῶν τι τοῖς τελώναις ἴδιον. (3) Ἕωθεν οὖν προσελθὼν ὁ μέτοικος εἰς ἀγορὰν ἐπέθηκε τῇ ὠνῇ τάλαντον. Ἐπεὶ δ' οἱ τελῶναι συστρεφόμενοι καὶ ἀγανακτοῦντες ἐκέλευον ὀνομάζειν ἐγγυητήν, ὡς οὐκ ἂν εὑρόντος, θορυβουμένου τοῦ ἀνθρώπου καὶ ἀναχωροῦντος ἐστὼς ὁ Ἀλκιβιάδης ἄπωθεν πρὸς τοὺς ἄρχοντας « Ἐμὲ γράψατ', ἔφη, ἐμὸς φίλος ἐστίν, ἐγγυῶμαι. » (4) Ταῦτ' ἀκούσαντες οἱ τελῶναι ἐξηπορήθησαν. Εἰωθότες γὰρ ἀεὶ ταῖς δευτέραις ὠναῖς χρεωλυτεῖν τὰς πρώτας οὐχ ἑώρων ἀπαλλαγὴν αὐτοῖς οὖσαν τοῦ πράγματος. (5) Ἐδέοντο δὴ τοῦ ἀνθρώπου ἀργύριον διδόντες· ὁ δ' Ἀλκιβιάδης οὐκ εἴα λαβεῖν ἔλαττον ταλάντου. Διδόντων δὲ τὸ τάλαντον ἐκέλευσεν ἀποστῆναι λαβόντα. Κἀκεῖνον μὲν οὕτως ὠφέλησεν.

VI. Ὁ δὲ Σωκράτους ἔρως πολλοὺς ἔχων καὶ μεγάλους ἀνταγωνιστὰς πῇ μὲν ἐκράτει τοῦ Ἀλκιβιάδου, δι' εὐφυίαν ἁπτομένων τῶν λόγων αὐτοῦ καὶ τὴν καρδίαν στρεφόντων καὶ δάκρυα ἐκχεόντων, ἔστι δ' ὅτε καὶ τοῖς κόλαξι πολλὰς ἡδονὰς ὑποβάλλουσιν ἐνδιδοὺς ἑαυτὸν ἀπωλίσθαινε τοῦ Σωκράτους καὶ δραπετεύων ἀτεχνῶς ἐκυνηγεῖτο πρὸς μόναν ἐκεῖνον ἔχων τὸ αἰδεῖσθαι καὶ τὸ φοβεῖσθαι, τῶν δ' ἄλλων ὑπερορῶν. (2) Ὁ μὲν οὖν Κλεάνθης ἔλεγε τὸν ἐρώμενον ὑφ' ἑαυτοῦ μὲν ἐκ τῶν ὤτων κρατεῖσθαι, τοῖς δ' ἀντερασταῖς πολλὰς λαβὰς παρέχειν ἀθίκτους ἑαυτῷ, τὴν γαστέρα λέγων καὶ τὰ αἰδοῖα καὶ τὸν λαιμόν. Ἀλκιβιάδης δ' ἦν μὲν ἁμέλει καὶ πρὸς ἡδονὰς ἀγώγιμος· ἡ γὰρ ὑπὸ Θουκυδίδου λεγομένη παρανομία εἰς τὸ σῶμα τῆς διαίτης ὑποψίαν τοιαύτην δίδωσιν. (3) Οὐ μὴν ἀλλὰ μᾶλλον αὐτοῦ τῆς φιλοτιμίας ἐπιλαμβανόμενοι καὶ τῆς φιλοδοξίας οἱ διαφθείροντες ἐνέβαλλον οὐ καθ' ὥραν εἰς μεγαλοπραγμοσύνην ἀναπείθοντες ὡς, ὅταν πρῶτον ἄρξηται τὰ δημόσια πράττειν, οὐ μόνον ἀμαυρώσοντα τοὺς ἄλλους στρατηγοὺς καὶ δημαγωγοὺς εὐθύς, ἀλλὰ καὶ τὴν Περικλέους δύναμιν ἐν τοῖς Ἕλλησι καὶ δόξαν ὑπερβαλούμενον. (4) Ὥσπερ οὖν ὁ σίδηρος ἐν τῷ πυρὶ μαλασσόμενος αὖθις ὑπὸ τοῦ ψυχροῦ πυκνοῦται καὶ σύνεισι τοῖς μορίοις εἰς αὐτόν, οὕτως ἐκεῖνον ὁ Σωκράτης θρύψεως διάπλεων καὶ χαυνότητος ὁσάκις ἂν λάβοι πιέζων τῷ λόγῳ καὶ συστέλλων ταπεινὸν ἐποίει καὶ ἄτολμον ἡλίκων ἐνδεής ἐστι καὶ ἀτελὴς πρὸς ἀρετὴν μανθάνοντα.

VII. Τὴν δὲ παιδικὴν ἡλικίαν παραλλάσσων ἐπίστη γραμματοδιδασκάλῳ καὶ βιβλίον ᾔτησεν Ὁμηρικόν. Εἰπόντος δὲ τοῦ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου κονδύλῳ καθικόμενος αὐτοῦ παρῆλθεν. (2) Ἑτέρου δὲ

confecisset, eam pecuniam Alcibiadi obtulit, utque eam acciperet, oravit: is delectatus ea re, ridensque hominem ad cœnam invitavit. (2) Hilariter accepto aurum homini reddidit, mandavit ut postridie in publicorum vectigalium auctione omnes licendo superaret: tergiversantem (quippe multis talentis ista emptio erat constituta) ni obtemperasset, flagris cæsurum minatus est. Erant autem privatim Alcibiadi adversum publicanos simultates. (3) Ubi diluxit, progressus in forum inquilinus, licitationi unum talentum addidit: publicani coire ac fremere, utque vadem nominaret, inquilino dicere, quem inventum iri ab eo non putabant. Turbato homine, et recedente jam, Alcibiades procul stans, magistratibus, Me scribite, inquit, meus est amicus, equidem pro eo spondeo. (4) Quo audito publicani non mediocriter laboraverunt, qui cum semper emptionibus novis de prioribus consuessent satisfacere, rem tunc nullo modo successuram videbant. (5) Itaque hominem oblata pecunia precibus aggressi sunt, sed Alcibiades non permisit, ut minus talento sumeret: quo accepto eum rem relinquere jussit. Huic itaque ea ratione profuit.

VI. Ceterum amor Socratis, cum a tot tantisque rivalibus oppugnaretur, aliquando Alcibiadem tenuit, bonitate indolis adjuvante, quod dicta animum ejus penetrarent corque commoverent et lacrimas extorquerent: nonnunquam adulatoribus multas ei voluptates objicientibus concedens, a Socrate dilabebatur: quem profugientem plane velut venator Socrates persequebatur; eum enim solum Alcibiades venerabatur atque metuebat, ceteros contemnens. (2) Cleanthes quidem suum amasium solis auribus a se teneri dicebat, rivalibus vero suis multas præbere ansas, quas ipse attingere nollet: videlicet ventrem, pudenda, gulam. At Alcibiades erat quidem haud dubie ad voluptates proclivis, idque victus incontinentia, qua eum in corpus peccasse, Thucydides ait, innuere videtur. (3) Multo magis vero hi, qui eum depravabant, ambitionem ejus et gloriæ cupiditatem captabant et alieno tempore ad magnas res suscipiendas incitabant, persuadentes fore ut, cum primum rempublicam gerere cœpisset, statim non aliorum modo ducum et oratorum, sed ipsius quoque Periclis potentiam apud Græcos et gloriam sua obscuraret. (4) Quemadmodum vero ferrum igni mollitum frigore rursus densatum durescit et partibus suis coit, ita Socrates eum mollitie et vanitate totum diffluentem quoties apprehendit, oratione denuo compingens quasi atque solidum reddens, ostendendo quibus adhuc rebus indigeret, quantumque ei ad perfectam virtutem deesset, humilem rursus minusque audacem effecit.

VII. Porro pueritiam egressus Alcibiades, grammaticum accessit librumque Homericum poposcit: cumque is se quicquam Homericum habere negaret, pugno incusso abiit. (2) Alteri dicenti, se Homerum habere, quem ipse

φήσαντος ἔχειν Ὁμηρον ὑφ' αὐτοῦ διωρθωμένον· « Εἶτ', ἔφη, γράμματα διδάσκεις Ὁμηρον ἐπανορθοῦν ἱκανὸς ὤν; οὐχὶ τοὺς νέους παιδεύεις; » (3) Περικλεῖ δὲ βουλόμενος ἐντυχεῖν ἐπὶ θύρας ἦλθεν αὐτοῦ. Πυθόμενος δὲ μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν καθ' ἑαυτὸν, ὅπως ἀποδώσει λόγον Ἀθηναίοις, ἀπιὼν ὁ Ἀλκιβιάδης· « Εἶτα, ἔφη, βέλτιον οὐκ ἦν σκοπεῖν αὐτὸν, ὅπως οὐκ ἀποδώσει λόγον Ἀθηναίοις; » (4) Ἔτι δὲ μειράκιον ὢν ἐστρατεύσατο τὴν εἰς Ποτίδαιαν στρατείαν καὶ Σωκράτη σύσκηνον εἶχε καὶ παραστάτην ἐν τοῖς ἀγῶσιν. (5) Ἰσχυρᾶς δὲ γενομένης μάχης ἠρίστευσαν μὲν ἀμφότεροι, τοῦ δ' Ἀλκιβιάδου τραύματι περιπεσόντος ὁ Σωκράτης προέστη καὶ ἤμυνε καὶ μάλιστα δὴ προδήλως ἔσωσεν αὐτὸν μετὰ τῶν ὅπλων. (6) Ἐγίνετο μὲν οὖν τῷ δικαιοτάτῳ λόγῳ Σωκράτους τὸ ἀριστεῖον· ἐπεὶ δ' οἱ στρατηγοὶ διὰ τὸ ἀξίωμα τῷ Ἀλκιβιάδῃ σπουδάζοντες ἐφαίνοντο περιθεῖναι τὴν δόξαν, ὁ Σωκράτης βουλόμενος αὔξεσθαι τὸ φιλότιμον ἐν τοῖς καλοῖς αὐτοῦ πρῶτος ἐμαρτύρει καὶ παρεκάλει στέφανοῦν ἐκεῖνον καὶ διδόναι τὴν πανοπλίαν. (7) Ἔτι δὲ τῆς ἐπὶ Δηλίῳ μάχης γενομένης καὶ φευγόντων Ἀθηναίων ἔχων ἵππον ὁ Ἀλκιβιάδης, τοῦ δὲ Σωκράτους πεζῇ μετ' ὀλίγων ἀποχωροῦντος, οὐ παρήλασεν ἰδὼν, ἀλλὰ παρέπεμψε καὶ περιήμυνεν, ἐπικειμένων τῶν πολεμίων καὶ πολλοὺς ἀναιρούντων. Καὶ ταῦτα μὲν ὕστερον ἐπράχθη.

VIII. Ἱππονίκῳ δὲ τῷ Καλλίου πατρὶ καὶ δόξαν ἔχοντι μεγάλην καὶ δύναμιν ἀπὸ πλούτου καὶ γένους ἐνέτριψε κόνδυλον, οὐχ ὑπ' ὀργῆς ἢ διαφορᾶς τινος προαχθείς, ἀλλ' ἐπὶ γέλωτι συνθέμενος πρὸς τοὺς ἑταίρους. (2) Περιβοήτου δὲ τῆς ἀσελγείας ἐν τῇ πόλει γενομένης καὶ συναγαναχτούντων, ὥσπερ εἰκὸς, ἁπάντων, ἅμ' ἡμέρᾳ παρῆν ὁ Ἀλκιβιάδης ἐπὶ τὴν οἰκίαν τοῦ Ἱππονίκου καὶ τὴν θύραν κόψας εἰσῆλθε πρὸς αὐτὸν καὶ θεὶς τὸ ἱμάτιον παρεδίδου τὸ σῶμα μαστιγοῦν καὶ κολάζειν κελεύων. Ὁ δὲ συνέγνω καὶ τὴν ὀργὴν ἀφῆκεν, ὕστερον δὲ καὶ τῆς θυγατρὸς Ἱππαρέτης ἐποιήσατο νυμφίον. (3) Ἔνιοι δέ φασιν, οὐχ Ἱππόνικον, ἀλλὰ Καλλίαν, τὸν υἱὸν αὐτοῦ, δοῦναι τῷ Ἀλκιβιάδῃ τὴν Ἱππαρέτην ἐπὶ δέκα ταλάντοις· εἶτα μέντοι τεκούσης ἄλλα πάλιν δέκα προσεισπρᾶξαι τὸν Ἀλκιβιάδην, ὡς τοῦτο συνθέμενον, εἰ γένοιντο παῖδες. Ὁ δὲ Καλλίας ἐπιβουλὴν δεδοικὼς προσῆλθε τῷ δήμῳ τὰ χρήματα διδοὺς καὶ τὸν οἶκον, ἄνπερ αὐτῷ συμπέσῃ μὴ καταλιπόντι γενεὰν ἀποθανεῖν. (4) Εὐταχτος δ' οὖσα καὶ φίλανδρος ἡ Ἱππαρέτη, λυπουμένη δ' ὑπ' αὐτοῦ περὶ τὸν γάμον ἑταίραις ξέναις καὶ ἀστα῀ις συνόντος, ἐκ τῆς οἰκίας ἀπιοῦσα πρὸς τὸν ἀδελφὸν ᾤχετο. (5) Τοῦ δ' Ἀλκιβιάδου μὴ φροντίζοντος, ἀλλὰ τρυφῶντος, ἔδει τὸ τῆς ἀπολείψεως γράμμα παρὰ τῷ ἄρχοντι θέσθαι μὴ δι' ἑτέρων, ἀλλ' αὐτὴν παροῦσαν. (6) Ὡς οὖν παρῆν τοῦτο πράζουσα κατὰ τὸν νόμον, ἐπεξελθὼν ὁ Ἀλκιβιάδης καὶ συναρπάσας αὐτὴν ἀπῆλθε δι' ἀγορᾶς οἰκαδε κομίζων, μηδενὸς ἐναντιωσαμένου.

emendasset, Tu ergo, inquit, literas doces, non juventutem potius informas, si Homerum castigare potes? (3) Periclis conveniendi causa cum ad januam ejus venisset, audiretque eum esse occupatum, quod cogitaret secum, quomodo rationes Atheniensibus redderet, discedens, Atqui, ait, præstabat eum dispicere, qua ratione liceret eas non reddere. (4) Adolescens adhuc expeditioni ad Potidæam interfuit, Socratemque contubernalem et manipularem suum habuit. (5) Acri prœlio commisso, utriusque virtus fuit conspicua : Alcibiademque vulnere corruentem Socrates texit et defendit, atque palam omnibus ipsum armaque eripuit. (6) Quamobrem cum ad hunc præmium virtutis optimo jure pertineret, tamen duces satis aperte propter splendorem generis eum honorem ad Alcibiadem deferebant : et Socrates ut quærendæ ex præclaris rebus gloriæ studium in eo homine augeret, primus omnium testatus est, dignum esse qui coronaretur armaturaque integra donaretur. (7) Deinde in pugna apud Delium cum fugerent Athenienses, Socrate quoque, ut erat pedes, cum paucis discedente, videns id Alcibiades qui eques erat, non prætervectus est, sed Socratem defendit ac deduxit, quanquam instantibus magna cum cæde hostibus. Sed hæc posterioribus temporibus facta sunt.

VIII. Porro autem Alcibiades Hipponico Calliæ patri, gloria, potentia, genere et divitiis præcipuo, colaphum inflixit, non ira aut dissidio aliquo motus, sed quod risus captandi causa id se facturum sociis receperat. (2) Quæ ejus petulantia cum per totam urbem divulgaretur, omnesque, ut æquum erat, indigne id facinus ferrent, summa luce Alcibiades in domum Hipponici venit, pulsatoque ostio admissus, vestem deposuit corpusque suum flagellare eum et pœnas sumere jussit. Hipponicus vero injuriæ ipsi gratiam fecit ac post, locata in matrimonium filia Hippareta, generum sibi adscivit. (3) Quidam non ab Hipponico, sed a Callia ejus filio hanc Alcibiadi nuptum datam cum dote decem talentorum tradunt : post cum ea peperisset, alia decem exegisse maritum, quasi ita conventum esset, si nati essent liberi : et veritum insidias Calliam, progressum ad populum, atque huic bona sua omnia ea conditione legasse, si nulla relicta sobole mortem obiret. (4) Ceterum Hippareta cum esset modesta mulier, virique diligens, injuriis affecta a marito cum urbanis peregrinisque meretricibus consuetudinem habente, domo sua relicta ad fratrem abiit. (5) Alcibiade id flocci pendente nihiloque minus luxuriante, Hippareta discessionis libellum non per alios, sed ipsa præsens apud Archontem deponere debebat. (6) Quo cum ea, ut rem secundum legem perficeret, venisset, supervenit Alcibiades, abreptamque per forum domum suam retulit, nemine re-

θῆναι μηδ' ἀφελέσθαι τολμήσαντος. Ἔμεινε μέντοι παρ' αὐτῷ μέχρι τελευτῆς, ἐτελεύτησε δὲ μετ' οὐ πολὺν χρόνον εἰς Ἔφεσον τοῦ Ἀλκιβιάδου πλεύσαντος. (7) Αὕτη μὲν οὖν οὐ παντελῶς ἔδοξεν ἡ βία παράνομος οὐδ' ἀπάνθρωπος εἶναι· καὶ γὰρ ὁ νόμος δοκεῖ διὰ τοῦτο προάγειν τὴν ἀπολείπουσαν εἰς τὸ δημόσιον αὐτὴν, ὅπως ἐγγένηται τῷ ἀνδρὶ συμβῆναι καὶ κατασχεῖν.

IX. Ὄντος δὲ κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος καὶ τὸ εἶδος, ὃν ἑβδομήκοντα μνῶν ἐωνημένος ἐτύγχανεν, ἀπέκοψε τὴν οὐρὰν πάγκαλον οὖσαν. (2) Ἐπιτιμώντων δὲ τῶν συνήθων καὶ λεγόντων, ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται καὶ λοιδοροῦσιν αὐτὸν, ἐπιγελάσας· « Γίνεται τοίνυν, εἶπεν, ὃ βούλομαι· βούλομαι γὰρ Ἀθηναίους τοῦτο λαλεῖν, ἵνα μή τι χεῖρον περὶ ἐμοῦ λέγωσι. »

X. Πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημάτων ἐπιδόσεως, οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα θορυβούντων Ἀθηναίων ἔρεσθαι τὴν αἰτίαν τοῦ θορύβου, πυθόμενον δὲ χρημάτων ἐπίδοσιν γίνεσθαι παρελθεῖν καὶ ἐπιδοῦναι· τοῦ δὲ δήμου κροτοῦντος καὶ βοῶντος ὑφ' ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ· πτοηθέντος οὖν καὶ διαφυγόντος ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Ἀθηναίους, πολλοὺς δὲ συνθηρᾶν ἀναστάντας, λαβεῖν δ' αὐτὸν Ἀντίοχον τὸν κυβερνήτην καὶ ἀποδοῦναι· διὸ προσφιλέστατον τῷ Ἀλκιβιάδῃ γενέσθαι. (2) Μεγάλας δ' αὐτῷ κλισιάδας ἐπὶ τὴν πολιτείαν ἀνοίγοντος τοῦ τε γένους καὶ τοῦ πλούτου τῆς τε περὶ τὰς μάχας ἀνδραγαθίας φίλων τε πολλῶν καὶ οἰκείων ὑπαρχόντων, ἀπ' οὐδενὸς ἧττον μᾶλλον ἢ τῆς τοῦ λόγου χάριτος ἰσχύειν ἐν τοῖς πολλοῖς. (3) Καὶ ὅτι μὲν δυνατὸς ἦν εἰπεῖν οἵ τε κωμικοὶ μαρτυροῦσι καὶ τῶν ῥητόρων ὁ δυνατώτατος ἐν τῷ κατὰ Μειδίου λέγων τὸν Ἀλκιβιάδην καὶ δεινότατον εἰπεῖν γενέσθαι πρὸς τοῖς ἄλλοις. (4) Εἰ δὲ Θεοφράστῳ πιστεύομεν, ἀνδρὶ φιληκόῳ καὶ ἱστορικῷ παρ' ὀντινοῦν τῶν φιλοσόφων, εὑρεῖν μὲν ἦν τὰ δέοντα καὶ νοῆσαι πάντων ἱκανώτατος ὁ Ἀλκιβιάδης, ζητῶν δὲ μὴ μόνον, ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν, οὐκ εὐπορῶν δὲ, πολλάκις ἐσφάλλετο καὶ μεταξὺ λέγων ἀπεσιώπα καὶ διέλειπε, λέξεως διαφυγούσης αὐτὸν, ἀναλαμβάνων καὶ διασκοπούμενος.

XI. Αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς κατῆκεν Ὀλυμπίασιν ἰδιώτης οὐδὲ βασιλεύς, μόνος δὲ ἐκεῖνος. (2) Καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης φησὶν, ὁ δ' Εὐριπίδης τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. (3) Λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ἄσματι ταῦτα· « Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ. Καλὸν ἁ νίκα· κάλλιστον δ', ὃ μηδεὶς ἄλλος Ἑλλάνων [ἔλαχεν], ἅρματι πρῶτα δραμεῖν καὶ δεύτερα καὶ τρίτα βῆναί τ' ἀπονητὶ δὶς στεφθέντα ἐλαία κάρυκι βοᾷν παραδοῦναι ».

pugnare aut adimere ei feminam audente : atque ex eo Hippareta usque ad finem vitæ suæ cum marito vixit; mortua est autem paulo post, cum is Ephesum navigaret. (7) Hæc vis non omnino injusta videtur neque inhumana fuisse : ideoque, ut apparet, lex jubet ut in publicum ea, quæ divortium est factura, ducatur, uti liceat viro pacisci et in matrimonio eam retinere.

IX. Habebat porro canem Alcibiades magnitudine et forma mirabili, emptum septuaginta minis; huic caudam, perquam elegantem, abscidit. (2) Familiaribus autem culpantibus referentibusque eum canis causa ab omnibus conviciis proscindi, subridens, Hoc est, inquit, quod volo; hunc enim volo sermonem Athenienses habeant, ne quid de me deterius loquantur.

X. Primus ei ad populum accessus traditur cum pecuniæ largitione factus esse, non quod ita in animo habuerit, sed cum transiret ac tumultum populi audiret, causam sciscitatum, accepisse eum exortum ob pecuniarum collationem; itaque ipsum accessisse et pecuniam donasse; populo autem acclamante et plaudente, præ lætitia oblitum coturnicis, quam sub veste gerebat : eaque territa et fuga se propiente, majorem ab Atheniensibus plausum sublatum, multosque ad capiendam avem accurrisse : captam ab Antiocho gubernatore et redditam; ideoque hunc summopere adamatum Alcibiadi. (2) Etsi vero ad rempublicam accedendi magnas ei fores genus, divitiæ, gloria bellica, amicorum necessariorumque copia aperiebant; nulla tamen potius re, quam gratia dicendi potentiam sibi apud populum parandum duxit. (3) Valuisse eum eloquentia, testantur Comici, et oratorum eloquentissimus in oratione contra Midiam, disertissimum inter omnes Alcibiadem fuisse asserit. (4) Quod si Theophrasto credimus, viro variæ cognitionis et, si quisquam alius fuit philosophorum, historico, inveniendis et excogitandis iis, quæ ad rem propositam facerent, omnium aptissimus fuit Alcibiades; sed quum non modo quid dicendum esset quæreret, sed et quibus quæque nominibus et verbis, neque tamen magna in hac re facilitate uteretur, non raro verbis destitutus hæsitavit atque interorandum obticuit, vocabulum quod ei excidisset memoria, requirens et circumspiciens.

XI. Equorum nutritione magnam sibi famam paravit, multitudineque curruum : nemo enim præter ipsum neque rex neque privatus in Olympicos ludos septem currus introduxit. (2) Verum etiam quod vicit, factusque est secundus ac quartus, ut Thucydides testatur, tertius, ut Euripides, omnem in hoc genere æmulationem splendore et magnificentia longe superavit. (3) Dixit autem Euripides in carmine hæcce :

Te canam, sate Clinia! dulce est vincere; maxime dulce est, nec tamen alteri Grajûm contigit ulli, curru vincere principem, curru vincere et alterum, curru vincere tertium. Bis corona oleagina cinctus ingrederis sine sudore atque labore; quod præco rite proclamat.

XII. Τοῦτο μέντοι τὸ λαμπρὸν ἐπιφανέστερον ἐποίησεν ἡ τῶν πόλεων φιλοτιμία. Σκηνὴν μὲν γὰρ αὐτῷ κεκοσμημένην διαπρεπῶς ἔστησαν Ἐφέσιοι, τροφὰς δὲ ἵπποις καὶ πλῆθος ἱερείων παρεῖχεν ἡ Χίων πόλις, οἶνον δὲ Λέσβιοι καὶ τὴν ἄλλην ὑποδοχὴν ἀφειδῶς ἑστιῶντι πολλούς. (2) Οὐ μὴν ἀλλὰ καὶ διαβολή τις ἡ κακοήθεια γενομένη περὶ τὴν φιλοτιμίαν ἐκείνην πλείονα λόγον παρέσχε. (3) Λέγεται γὰρ, ὡς ἦν Ἀθήνησι Διομήδης, ἀνὴρ οὐ πονηρὸς, Ἀλκιβιάδου φίλος, ἐπιθυμῶν δὲ νίκην Ὀλυμπικὴν αὐτῷ γενέσθαι· καὶ πυνθανόμενος ἅρμα δημόσιον Ἀργείοις εἶναι τὸν Ἀλκιβιάδην εἰδὼς ἐν Ἄργει μέγα δυνάμενον καὶ φίλους ἔχοντα πολλοὺς, ἔπεισεν αὐτῷ πρίασθαι τὸ ἅρμα. Πριάμενος δὲ ὁ Ἀλκιβιάδης ἴδιον ἀπεγράψατο, τὸν δὲ Διομήδη χαίρειν εἴασε χαλεπῶς φέροντα καὶ μαρτυρόμενον θεοὺς καὶ ἀνθρώπους. (4) Φαίνεται δὲ καὶ δίκη συστᾶσα περὶ τούτου καὶ λόγος Ἰσοκράτει γέγραπται περὶ τοῦ ζεύγους ὑπὲρ τοῦ Ἀλκιβιάδου παιδὸς, ἐν ᾧ Τισίας ἐστὶν, οὐ Διομήδης, ὁ δικασάμενος.

XIII. Ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὤν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγοὺς, ἀγῶνα δ' εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου καὶ Νικίαν τὸν Νικηράτου, τὸν μὲν ἤδη καθ' ἡλικίαν προήκοντα καὶ στρατηγὸν ἄριστον εἶναι δοκοῦντα, Φαίακα δ' ἀρχόμενον, ὥσπερ αὐτὸς, αὐξάνεσθαι τότε καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τε ἄλλοις καὶ περὶ τὸν λόγον. Ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός. Ἦν γὰρ, ὡς Εὔπολίς φησι,

Ἀλαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

(2) Φέρεται δὲ καὶ λόγος τις κατ' Ἀλκιβιάδου καὶ Φαίακος γεγραμμένος, ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται καὶ ὅτι τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ κεκτημένης Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις πρὸς τὴν καθ' ἡμέραν δίαιταν. (3) Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, οὗ μέμνηται μὲν ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης, τοῖς δὲ κωμικοῖς ὁμοῦ τι πᾶσι διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις παρεῖχεν. (4) Ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν καὶ ἀπαθὴς ὢν ὀλιγωρίᾳ δόξης, ἣν ἀναισχυντίαν καὶ ἀπόνοιαν οὖσαν εὐτολμίαν ἔνιοι καὶ ἀνδρίαν καλοῦσιν, οὐδενὶ μὲν ἤρεσκεν, ἐχρῆτο δ' αὐτῷ πολλάκις ὁ δῆμος ἐπιθυμῶν προπηλακίζειν τοὺς ἐξιώματι καὶ συκοφαντεῖν. (5) Ἀναπεισθεὶς οὖν ὑπ' αὐτοῦ τότε τὸ ὄστρακον ἐπιφέρειν ἔμελλεν, ᾧ κολούοντες ἀεὶ τὸν προὔχοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι παραμυθούμενοι τὸν φθόνον μᾶλλον ἢ τὸν φόβον. (6) Ἐπεὶ δὲ δῆλον ἦν, ὅτι ἑνὶ τῶν τριῶν τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς στάσεις εἰς ταὐτὸν ὁ Ἀλκιβιάδης καὶ διαλεχθεὶς πρὸς τὸν Νικίαν κατὰ τοῦ Ὑπερβόλου τὴν ὀστρακοφορίαν ἔτρεψεν. Ὡς δ' ἔνιοί φασιν, οὐ πρὸς Νικίαν, ἀλλὰ πρὸς Φαίακα διαλεχθεὶς καὶ τὴν ἐκείνου προσλαβὼν ἑταιρίαν ἐξήλασε τὸν Ὑπέρ-

XII. Hunc splendorem auxerunt honores illi certatim ab urbibus habiti. Tabernaculum enim ei pulcherrime exornatum Ephesii statuerunt, pabulum equis et victimarum copiam suppeditavere Chii, vinum et alium conviviorum apparatum Lesbii largiti sunt effuse multis epulum præbenti. (2) Verumtamen intervenit huic ejus magnificentiæ calumnia vel malignitas, quæ plurimis sermonibus occasionem præbuit. (3) Narratur enim fuisse Athenis Diomedes quidam, homo non improbus, amicus Alcibiadis: hunc, cum cuperet Olympico certamine victoriam adipisci et audiret Argis esse publicum currum, qua in urbe Alcibiades plurimum gratia et amicis posset, persuasisse homini, ut currum istum emeret, emisseque Alcibiadem ac sibi inscripsisse, valere jusso Diomede: hunc autem rem indigne tulisse, deosque et homines obtestatum. (4) Hancque rem in judicium tractam apparet; et exstat oratio Isocratis de bigis, pro filio Alcibiadis, in qua tamen actor non est Diomedes, sed Tisias.

XIII. Postquam rem publicam attigit Alcibiades, adolescens adhuc, illico depressis ab eo aliis omnibus populi ducibus, cum Phæace tantum Erasistrati et Nicia Nicerati filio certamen ipsi fuit, quorum hic jam ætate maturior, optimi ducis nomen habebat, Phæax tunc itidem, ut Alcibiades, crescere incipiebat, illustribus natus parentibus, sed cum aliis a rebus, tum ab eloquentia imparatior: aptior enim ad privatos congressus, probabiliterque de re quapiam disserendum, quam ad forensia certamina esse videbatur: nam erat, ut ait Eupolis,

Promptus loquendo, dicendi omnino inscius.

(2) Circumfertur et oratio quædam Phæacis contra Alcibiadem, in qua inter alia est, Alcibiadem aureis atque argenteis pomparum instrumentis, quæ multa urbis erant, tanquam suis in quotidiana vita usum. (3) Erat eodem tempore Hyperbolus quidam Perithoides, cujus ut improbi hominis mentionem etiam Thucydides facit, et continenter conviciis exagitatus, materiam ridendi Comicis omnibus fere in theatris exhibebat. (4) Neque ullis maledictis ille movebatur et ob contemptionem boni nominis (quod vitium cum sit impudentia et insania quædam, nonnulli audaciam et fortitudinem nominant) nemini probabatur; populus autem ejus opera crebro utebatur, si dignitate et auctoritate conspicuos viros contumelia afficere et calumniis impetere vellet. (5) Hujus quoque impetu populus tunc ostracismum erat illaturus, quo subinde cives gloria et potentia præstantiores premunt atque invidiam magis quam metum levant. (6) Neque vero dubium erat, horum, quos dixi, trium uni ostracum intendi; itaque Alcibiades factionibus inter se conjunctis, communicata re cum Nicia, ostracismum in Hyperbolum convertit; alii non cum Nicia, sed cum Phæace rem contulisse, ejusque secta sibi sociata Hyperbolum exsilio affe-

δολον οὐδ' ἂν προσδοκήσαντα. (7) Φαῦλος γὰρ οὐδεὶς ἐνέπιπτεν εἰς τοῦτον τὸν κολασμὸν οὐδ' ἄδοξος, ὡς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε τοῦ Ὑπερβόλου μνησθείς,

Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,
αὐτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια·
οὐ γὰρ τοιούτων εἵνεκ' ὀστρακ' εὑρέθη.

cisse dicunt necopinantem. (7) Nam hoc supplicium non solebat malis aut obscuris hominibus irrogari, ut et Plato comicus ait, quo loco mentionem Hyperboli hujus facit :

Quamquam est perpessus digna moribus suis,
at vero indigna semet ipso et stigmatis :
neque huiusmodi hominibus inventæ sunt testulæ.

Περὶ μὲν οὖν τούτων ἐν ἑτέροις μᾶλλον εἴρηται τὰ ἱστορούμενα.

Sed quæ hac de re memorantur, alio sunt a nobis loco exposita.

XIV. Τὸν δ' Ἀλκιβιάδην ὁ Νικίας οὐχ ἧττον ἠνία θαυμαζόμενος ὑπὸ τῶν πολεμίων ἢ τιμώμενος ὑπὸ τῶν πολιτῶν. (2) Πρόξενος μὲν γὰρ ἦν ὁ Ἀλκιβιάδης τῶν Λακεδαιμονίων καὶ τοὺς ἁλόντας αὐτῶν περὶ Πύλον ἄνδρας ἐθεράπευσεν· ἐπεὶ δ' ἐκεῖνοί τε διὰ Νικίου μάλιστα τῆς εἰρήνης τυχόντες καὶ τοὺς ἄνδρας ἀπολαβόντες ὑπερηγάπων αὐτὸν, ἔν τε τοῖς Ἕλλησι λόγος ἦν, ὡς Περικλέους μὲν συνάψαντος αὐτοῖς, Νικίου δὲ λύσαντος τὸν πόλεμον, οἵ τε πλεῖστοι τὴν εἰρήνην Νικίειον ὠνόμαζον, οὐ μετρίως ἀνιώμενος ὁ Ἀλκιβιάδης καὶ φθονῶν ἐβούλευε σύγχυσιν ὁρκίων. (3) Καὶ πρῶτον μὲν Ἀργείους αἰσθανόμενος μίσει καὶ φόβῳ τῶν Σπαρτιατῶν ζητοῦντας ἀποστροφὴν, ἐλπίδας αὐτοῖς ἐνεδίδου κρύφα τῆς Ἀθηναίων συμμαχίας καὶ παρεθάρρυνε πέμπων καὶ διαλεγόμενος τοῖς προεστῶσι τοῦ δήμου μὴ δεδιέναι μηδ' ὑπείκειν Λακεδαιμονίοις, ἀλλὰ πρὸς Ἀθηναίους τρέπεσθαι καὶ περιμένειν ὅσον οὐδέπω μεταμελομένους καὶ τὴν εἰρήνην ἀφιέντας. (4) Ἐπεὶ δὲ Λακεδαιμόνιοι πρός τε τοὺς Βοιωτοὺς ἐποιήσαντο συμμαχίαν καὶ Πάνακτον οὐχ ἑστῶς, ὥσπερ ἔδει, τοῖς Ἀθηναίοις παρέδωκαν, ἀλλὰ καταλύσαντες, ὀργιζομένους λαβὼν τοὺς Ἀθηναίους ἔτι μᾶλλον ἐξετράχυνε καὶ τὸν Νικίαν ἐθορύβει καὶ διέβαλλεν εἰκότα κατηγορῶν, ὅτι τοὺς ἐν Σφακτηρίᾳ τῶν πολεμίων ἁπολῃφθέντας αὐτὸς μὲν ἐξελεῖν οὐκ ἠθέλησεν στρατηγῶν, ἑτέρων δ' ἐξελόντων ἀφῆκε καὶ ἀπέδωκε χαριζόμενος Λακεδαιμονίοις· εἶτ' ἐκείνους μὲν οὐκ ἔπεισε φίλους ὢν Βοιωτοῖς μὴ συνόμνυσθαι μηδὲ Κορινθίοις, Ἀθηναίους δὲ κωλύειν τὸν βουλόμενον τῶν Ἑλλήνων φίλον εἶναι καὶ σύμμαχον, εἰ μὴ δόξειε Λακεδαιμονίοις. (5) Ἐκ δὲ τούτου κακῶς φερομένῳ τῷ Νικίᾳ παρῆσαν ὥσπερ κατὰ τύχην πρέσβεις ἀπὸ τῆς Λακεδαίμονος αὐτόθεν τε λόγους ἐπιεικεῖς ἔχοντες καὶ πρὸς πᾶν τὸ συμβιβαστικὸν καὶ δίκαιον αὐτοκράτορες ἥκειν φάσκοντες. (6) Ἀποδεξαμένης δὲ τῆς βουλῆς, τοῦ δὲ δήμου τῇ ὑστεραίᾳ μέλλοντος ἐκκλησιάζειν, δείσας ὁ Ἀλκιβιάδης διεπράξατο τοὺς πρέσβεις ἐν λόγοις γενέσθαι πρὸς αὐτόν. (7) Ὡς δὲ συνῆλθον ἔλεγε· « Τί πεπόνθατε, ἄνδρες Σπαρτιᾶται; πῶς ἔλαθεν ὑμᾶς, ὅτι τὰ τῆς βουλῆς ἀεὶ μέτρια καὶ φιλάνθρωπα πρὸς τοὺς ἐντυγχάνοντάς ἐστιν, ὁ δὲ δῆμος μέγα φρονεῖ καὶ μεγάλων ὀρέγεται; 198κἂν φάσκητε κύριοι πάντων ἀφῖχθαι προστάττων καὶ βιαζόμενος ἀγνωμονήσει. Φέρε δὴ, τὴν εὐήθειαν ταύτην ἀφέντες, εἰ βούλεσθε χρήσασθαι μετρίοις

XIV. Alcibiadem vero Niciæ non minus urebat existimatio apud hostes, quam apud cives honores. (2) Intercedebat quidem Alcibiadi jus publici cum Lacedæmoniis hospitii, captosque apud Pylum ex iis comiter tractaverat. Sed postquam illi Niciam, cujus potissimum opera pacem nacti, captivos receperant, summo amore prosequi cœperunt, atque inter Græcos rumor increbuit, bellum inter eos a Pericle conflatum, pacem a Nicia restitutam, quam et Niciacam ab eo nominabant, haud mediocri Alcibiades correptus dolore et invidia, de confundendo eo fœdere cogitare cœpit. (3) Ac primum animadvertens, Argivos odio et metu Spartanorum teneri atque ideo quærere detrectandi fœderis occasionem, clam illis spem societatis cum Atheniensibus futuræ injecit, collocutusque est per nuntios cum eorum primoribus et hortatus, ne sibi metuerent, neve Lacedæmoniis cederent, verum ad Athenienses se converterent, qui ipsi propediem factum essent mutaturi pacemque missam facturi. (4) Deinde cum Lacedæmonii societatem cum Bœotis coiissent Panactumque Atheniensibus, non ut convenerat, integram, sed prius dirutam reddidissent, nactus cives iratos, indignationem eorum magis auxit; Niciam quoque vexavit, criminaque ei objecit probabilia, quod is dux belli hostes apud Sphacteriam comprehensos noluisset capere, captos autem ab aliis gratificandi studio Lacedæmoniis reddidisset; deinde, quod, cum esset amicus eorum, non persuasisset, ne cum Bœotis fœdus facerent et Corinthiis, Athenienses autem, nisi approbantibus Lacedæmoniis, non pateretur quenquam Græcorum sua voluntate ductum se conjungere. (5) Cum inde male sese haberet Nicias, commodum Lacedæmone legati Athenas venerunt, et domo afferentes sermones æquitate plenos, et cum plena se potestate ad omnem justam pacificationem missos dicentes. (6) Cum accepisset eos senatus ac postridie concio esset populi futura, veritus Alcibiades tantum perfecit, ut legati cum ipso colloquerentur. (7) Ut convenere, Quid agitis, inquit, Spartani? oblitine estis, senatum semper moderatum se et humanum his, qui cum ipso agunt, præbere, populi autem magnos esse spiritus, magnarumque rerum cupiditatem? et nunc si omnia in vestra esse potestate dicetis, imperandi et extundendi vobis nullum faciet modum. Agedum, mittite hanc stultitiam,

Ἀθηναίοις καὶ μηδὲν ἐκβιασθῆναι παρὰ γνώμην, οὕτω διαλέγεσθε περὶ τῶν δικαίων, ὡς οὐκ ὄντες αὐτοκράτορες. Συμπράξομεν δ' ἡμεῖς Λακεδαιμονίοις χαριζόμενοι. » (8) Ταῦτα δ' εἰπὼν ὅρκους ἔδωκεν αὐτοῖς καὶ μετέστησεν ἀπὸ τοῦ Νικίου παντάπασι πιστεύοντας αὐτῷ καὶ θαυμάζοντας ἅμα τὴν δεινότητα καὶ σύνεσιν, ὡς οὐ τοῦ τυχόντος ἀνδρὸς οὖσαν. (9) Τῇ δ' ὑστεραίᾳ συνήχθη μὲν ὁ δῆμος, εἰσῆλθον δ' οἱ πρέσβεις. Ἐρωτώμενοι δ' ὑπὸ τοῦ Ἀλκιβιάδου πάνυ φιλανθρώπως, ἐφ' οἷς ἀφιγμένοι τυγχάνουσιν, οὐκ ἔφασαν ἥκειν αὐτοκράτορες. (10) Εὐθὺς οὖν ὁ Ἀλκιβιάδης ἐνέκειτο μετὰ κραυγῆς καὶ ὀργῆς, ὥσπερ οὐκ ἀδικῶν, ἀλλ' ἀδικούμενος, ἀπίστους καὶ παλιμβόλους ἀποκαλῶν καὶ μηδὲν ὑγιὲς μήτε πράξαι μήτε εἰπεῖν ἥκοντας, ἐπηγανάκτει δ' ἡ βουλὴ καὶ ὁ δῆμος ἐχαλέπαινε, τὸν δὲ Νικίαν ἔκπληξις εἶχε καὶ κατήφεια τῶν ἀνδρῶν τῆς μεταβολῆς ἀγνοοῦντα τὴν ἀπάτην καὶ τὸν δόλον.

XV. Οὕτω δὲ τῶν Λακεδαιμονίων ἐκπεσόντων στρατηγὸς ἀποδειχθεὶς ὁ Ἀλκιβιάδης εὐθὺς Ἀργείους καὶ Μαντινεῖς καὶ Ἠλείους συμμάχους ἐποίησε τοῖς Ἀθηναίοις. (2) Καὶ τὸν μὲν τρόπον οὐδεὶς τῆς πράξεως ἐπῄνει, μέγα δ' ἦν τὸ πεπραγμένον ὑπ' αὐτοῦ, διαστῆσαι καὶ κραδᾶναι Πελοπόννησον ὀλίγου δεῖν ἅπασαν καὶ τοσαύτας ἀσπίδας ἐν ἡμέρᾳ μιᾷ περὶ Μαντίνειαν ἀντιτάξαι Λακεδαιμονίοις καὶ ῥᾳδίως τῶν Ἀθηνῶν ἀγῶνα κατασκευάσαι καὶ κίνδυνον αὐτοῖς, ἐν ᾧ μέγα μὲν οὐδὲν ἡ νίκη προσέθηκε κρατήσασιν, εἰ δ' ἐσφάλησαν ἔργον ἦν τὴν Λακεδαίμονα περιγενέσθαι. (3) Μετὰ δὲ τὴν μάχην εὐθὺς ἐπέθεντο καταλύειν ἐν Ἄργει τὸν δῆμον οἱ χίλιοι καὶ τὴν πόλιν ὑπήκοον ποιεῖν· Λακεδαιμόνιοι δὲ παραγενόμενοι κατέλυσαν τὴν δημοκρατίαν. (4) Αὖθις δὲ τῶν πολλῶν ἐξενεγκαμένων τὰ ὅπλα καὶ κρατησάντων ἐπελθὼν ὁ Ἀλκιβιάδης τήν τε νίκην ἐβεβαίωσε τῷ δήμῳ καὶ τὰ μακρὰ τείχη συνέπεισε καθεῖναι καὶ προσμίξαντας τῇ θαλάσσῃ τὴν πόλιν ἐξάψαι παντάπασι· τῆς Ἀθηναίων δυνάμεως. (5) Καὶ τέκτονας καὶ λιθουργοὺς ἐκ τῶν Ἀθηνῶν ἐκόμισε καὶ πᾶσαν ἐνεδείκνυτο προθυμίαν οὐχ ἧττον ἑαυτῷ κτώμενος ἢ τῇ πόλει χάριν καὶ ἰσχύν. Ἔπεισε δὲ καὶ Πατρεῖς ὁμοίως τείχεσι μακροῖς συνάψαι τῇ θαλάσσῃ τὴν πόλιν. (6) Εἰπόντος δέ τινος τοῖς Πατρεῦσιν ὅτι « καταπιοῦνται ὑμᾶς Ἀθηναῖοι », Ἴσως, εἶπεν ὁ Ἀλκιβιάδης, κατὰ μικρὸν καὶ κατὰ τοὺς πόδας, Λακεδαιμόνιοι δὲ κατὰ τὴν κεφαλὴν καὶ ἀθρόως. » (7) Οὐ μὴν ἀλλὰ καὶ τῆς γῆς συνεβούλευεν ἀντέχεσθαι τοῖς Ἀθηναίοις καὶ τὸν ἐν Ἀγραύλου προβαλλόμενον ἀεὶ τοῖς ἐφήβοις ὅρκον ἔργῳ βεβαιοῦν. Ὀμνύουσι γὰρ ὅροις χρήσασθαι τῆς Ἀττικῆς πυροῖς, κριθαῖς, ἀμπέλοις, ἐλαίαις, οἰκείαν ποιεῖσθαι διδασκόμενοι τὴν ἥμερον καὶ καρποφόρον.

XVI. Ἐν δὲ τοιούτοις πολιτεύμασι καὶ λόγοις καὶ φρονήματι καὶ δεινότητι πολλὴν αὖ πάλιν τὴν τρυφὴν τῆς διαίτης καὶ περὶ πότους καὶ ἔρωτας ὑβρίσματά τε καὶ θηλύτητας ἐσθήτων ἁλουργῶν ἑλκομένων δι' ἀγορᾶς

si æquos habere vultis Athenienses, neque vobis extorqueri quicquam invitis, ita de postulatis vestris disserite, quasi non penes vos sit statuendi potestas : ego in gratiam Lacedæmoniorum vobis operam meam dico. (8) Hæc cum jurejurando confirmasset, a Nicia eos prorsus abalienavit, fidem ei in omnibus habentes, mirantesque non minus facundiam quam prudentiam ut non vulgaris hominis. (9) Postridie ubi convenit populus, ingressos legatos Alcibiades admodum humaniter interrogavit, quibusnam conditionibus venissent; responderunt, se non cum plena venisse potestate. (10) Confestim Alcibiades iratus clamore sublato eos maledictis incessit, quasi vero injuriæ non ipse auctor, sed illi essent, infidos et inconstantes vocans ac qui nihil sani actum dictumve venissent; indignabaturque etiam senatus, ac populus valde exacerbatus est : et Niciæ quoque fraudis et doli nescio simul admiratio, simul mœror ob inconstantiam legatorum incessit.

XV. Lacedæmoniis ita repudiatis, dux creatus Alcibiades, statim Argivos, Mantinenses et Eleos fœdere Atheniensibus copulavit. (2) Hujus facti modum laudavit nemo : magnum tamen fuit totam prope exagitasse et a se mutuo divellisse Peloponnesum, totque armatos uno die apud Mantineam contra Lacedæmonios in acie constituere, amoto longissime ab Athenis prœlio, in quo victoria non magnum momentum erat allatura, sin superati fuissent, periculum erat de Spartæ salute. (3) Post eam pugnam mille viri Argis statim aggressi sunt populo oppresso civitatem in suam potestatem redigere, Lacedæmoniique supervenerunt et popularem dominationem everterunt. (4) Rursus autem populus cum arma cepisset et superior esset factus, Alcibiades Argos profectus, populi victoriam confirmavit persuasitque ut longum murum ad mare usque deducerent urbemque omnino Atheniensium potestati contiguam facerent. (5) Et fabros et lapicidas Athenis arcessivit omnique studio promovit, non minorem sibi, quam urbi gratiam et vim parans. Patrensibus quoque consulit, ut et ipsi muris longis exstructis urbem mari annecterent. (6) Cum quidam Patrensibus diceret, Ita Athenienses vos deglutient; Fortassis, inquit Alcibiades, sensim et sumpto a pedibus initio, Lacedæmonii autem a capite et impetu. (7) Quin etiam terræ finium proferendorum Atheniensibus auctor fuit, semperque adolescentes monuit, ut juramento, quo se in Agrauli obstringunt, satisfacerent; jurant autem se fines Atticæ habituros frumentum, hordeum, vites, oleas, quo docerentur, feracem omnem et cultam terram ut in suam potestatem redigerent.

XVI. Enimvero dum hæc ageret ac consuleret tanto animo tantaque calliditate et facundia, ingentem rursus in victu quotidiano ostendebat luxuriam in compotando et amoribus turpitudinem, mollitiem vestium purpurearum inu-

καὶ πολυτέλειαν ὑπερήφανον ἐκτομάς τε καταστρωμάτων ἐν ταῖς τριήρεσιν, ὅπως μαλακώτερον ἐγκαθεύδοι, κειρίαις, ἀλλὰ μὴ σανίσι τῶν στρωμάτων ἐπιβαλλομένων, ἀσπίδος τε διαχρύσου ποίησιν οὐδὲν ἐπίσημον τῶν πατρίων ἔχουσαν, ἀλλ' Ἔρωτα κεραυνοφόρον, ἅπερ ὁρῶντες οἱ μὲν ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν ἐφοβοῦντο τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ ἀλλόκοτα· (2) τοῦ δὲ δήμου τὸ πάθος τὸ πρὸς αὐτὸν οὐ κακῶς ἐξηγούμενος ὁ Ἀριστοφάνης ταῦτ' εἴρηκε·

Ποθεῖ μέν, ἐχθαίρει δέ, βούλεται δ' ἔχειν·

ἔτι δὲ μᾶλλον τῇ ὑπονοίᾳ πιέζων·

Μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

(3) Ἐπιδόσεις γὰρ καὶ χορηγίαι καὶ φιλοτιμήματα πρὸς τὴν πόλιν ὑπερβολὴν μὴ ἀπολείποντα καὶ δόξα προγόνων καὶ λόγου δύναμις καὶ σώματος εὐπρέπεια καὶ ῥώμη μετ' ἐμπειρίας τῶν πολεμικῶν καὶ ἀλκῆς πάντα τἄλλα συγχωρεῖν ἐποίει καὶ φέρειν μετρίως τοὺς Ἀθηναίους ἀεὶ τὰ πραότατα τῶν ὀνομάτων τοῖς ἁμαρτήμασι τιθεμένους, παιδιὰς καὶ φιλανθρωπίας. (4) Οἷον ἦν καὶ τὸ Ἀγάθαρχον εἶρξαι τὸν ζωγράφον, εἶτα γράψαντα τὴν οἰκίαν ἀφεῖναι δωρησάμενον· καὶ Ταυρέαν ἀντιχορηγοῦντα ῥαπίσαι φιλοτιμούμενον ὑπὲρ τῆς νίκης· καὶ τὸ Μηλίαν γυναῖκα ἐκ τῶν αἰχμαλώτων ἐξελόμενον καὶ συνόντα θρέψαι παιδάριον ἐξ αὐτῆς. (5) Καὶ γὰρ τοῦτο φιλάνθρωπον ἐκάλουν· πλὴν ὅτι τοὺς Μηλίους ἡδηδὸν ἀποσφαγῆναι τὴν πλείστην αἰτίαν ἔσχε τῷ ψηφίσματι συνειπών. (6) Ἀριστοφῶντος δὲ Νεμέαν γράψαντος ἐν ταῖς ἀγκάλαις αὐτῆς καθήμενον Ἀλκιβιάδην ἔχουσαν ἐθεῶντο καὶ συνέτρεχον χαίροντες· οἱ δὲ πρεσβύτεροι καὶ τούτοις ἐδυσχέραινον ὡς τυραννικοῖς καὶ παρανόμοις. (7) Ἐδόκει δὲ καὶ Ἀρχέστρατος οὐκ ἄπο τρόπου λέγειν, ὡς ἡ Ἑλλὰς οὐκ ἂν ἤνεγκε δύο Ἀλκιβιάδας. (8) Ἐπεὶ δὲ Τίμων ὁ μισάνθρωπος εὐημερήσαντα τὸν Ἀλκιβιάδην καὶ προπεμπόμενον ἀπὸ τῆς ἐκκλησίας ἐπιφανῶς οὐ παρῆλθεν οὐδ' ἐξέκλινεν, ὥσπερ εἰώθει τοῖς ἄλλοις, ἀλλ' ἀπαντήσας καὶ δεξιωσάμενος· « Εὖ γ', ἔφη, ποιεῖς αὐξόμενος, ὦ παῖ· μέγα γὰρ αὔξῃ κακὸν ἅπασι τούτοις, » οἱ μὲν ἐγέλων, οἱ δ' ἐβλασφήμουν, ἐνίους δὲ καὶ πάνυ τὸ λεχθὲν ἐπέστρεφεν. Οὕτως ἄκριτος ἦν ἡ δόξα περὶ αὐτοῦ διὰ τὴν τῆς φύσεως ἀνωμαλίαν.

XVII. Σικελίας δὲ καὶ Περικλέους ἔτι ζῶντος ἐπεθύμουν Ἀθηναῖοι καὶ τελευτήσαντος ἥπτοντο καὶ τὰς λεγομένας βοηθείας καὶ συμμαχίας ἔπεμπον ἑκάστοτε τοῖς ἀδικουμένοις ὑπὸ Συρακουσίων ἐπιβάθρας τῆς μείζονος στρατείας τιθέντες. (2) Ὁ δὲ παντάπασι τὸν ἔρωτα τοῦτον ἀναφλέξας αὐτῶν καὶ πείσας μὴ κατὰ μέρος μηδὲ κατὰ μικρὸν, ἀλλὰ μεγάλῳ στόλῳ πλεύσαντας ἐπιχειρεῖν καὶ καταστρέφεσθαι τὴν νῆσον Ἀλκιβιάδης ἦν, τόν τε δῆμον μεγάλα πείσας ἐλπίζειν αὐτός τε μειζόνων ὀρεγόμενος. Ἀρχὴν γὰρ εἶναι, πρὸς ἃ

liebriter per forum tractarum, insolentem denique profusionem, maxime circa triremes, quarum tabulata exscindebantur, et quo mollius dormiret, non asseribus, sed fasciis vestis stragulæ injiciebantur; clypeus aureus ei gestabatur, nullis majorum insignibus pictus, sed Amore fulminifero. Quæ cum viderent homines illustres, non modo abominabantur et stomachabantur, sed simul ejus levitatem et injustitiam suspectam habebant, utpote tyrannica et aliena a liberis hominibus vitia. (2) Populi vero qui fuerit de Alcibiade sensus, haud male his verbis exposuit Aristophanes:

Desiderat; sed odio habet; sed habere vult.

Et præterea per ambages ostendens, qualis esset;

Noli leonem omnino in urbe educere,
sin alueris, ejus obsequendum moribus.

(3) Nam largitiones, sumptus scenici, impensæque in urbem ornandam, tum gloria majorum, eloquentia, corporis pulchritudo, robur, peritia rei militaris, fortitudo, hæc, inquam, effecerunt, ut populus Atheniensis reliqua etiam homini condonaret ac moderate ferret, vitiisque semper levissima nomina imponeret, ludos et humanitatem appellans. (4) Ejus generis est, quod Agatharchum pictorem vinxit; deinde vero, cum domum suam pinxisset, liberavit et pecunia donavit; quod Taureæ in præbendis scenæ sumptibus secum certanti colaphum inflixit; quod Meliam mulierem e captivarum numero exemit, puerumque ex ea sustulit et aluit. (5) Hæc omnia humanitatis nomine signabant Athenienses: præterquam id, quod Meliorum omnium puberum occidendorum causa ipse potissimum fuisse creditus est, ei decreto suffragans. (6) Cum Aristophon pinxisset Nemeam, quæ Alcibiadem in ulnis suis sedentem tenebat, concurrit ad id spectaculum læta multitudo. Seniores autem hæc omnia, ut tyrannica et in leges peccata, moleste ferebant. (7) Et videtur Archestratus haud absurde dixisse, Græciam duobus Alcibiadibus ferendis non suffecturam. (8) Quod autem Timon Misanthropus (*i. e. hominum osor*) Alcibiadem, quum omnium plausum tulisset, aliquando splendido cum comitatu a foro redeuntem conspicatus non præteriit, neque ut solebat aliis hominibus facere, fugit, sed occurrens, injecta dextra, Macte, inquit, incremento tuo, adolescens, omnium enim horum magno malo tui auctus stabunt; id aliis risum movit, alii conviciati sunt eum, nonnullorum vero animos magnopere id dictum commovit: adeo propter inæqualitatem ingenii Alcibiadis, nihil certi de eo poterat judicari.

XVII. Siciliæ porro potiundæ et cupiditas Atheniensibus, etiam vivente adhuc Pericle, incesserat, et defuncto eo manus insulæ injecerant, ac subinde auxilia et suppetias (ita enim ipsi nominabant) vim passis a Syracusanis miserant, ut sibi majoribus copiis aditus ad insulam pateret. (2) Et cupiditati faces addidit Alcibiades persuasitque ut non diversis temporibus, aut parva manu, sed magna simul classe Siciliam peterent ac subigerent, magnasque spes injecit populo, majora ipse animo concipiens, quorum non, ut ceteri,

ἠλπίκει, διενοεῖτο τῆς στρατείας, οὐ τέλος, ὥσπερ οἱ λοιποὶ, Σικελίαν. (3) Καὶ Νικίας μὲν ὡς χαλεπὸν ἔργον ὂν τὰς Συρακούσας ἐλεῖν ἀπέτρεπε τὸν δῆμον, Ἀλκιβιάδης δὲ Καρχηδόνα καὶ Λιβύην ὀνειροπολῶν, ἐκ δὲ τούτων προσγενομένων Ἰταλίαν καὶ Πελοπόννησον ἤδη περιβαλλόμενος ὀλίγου δεῖν ἐφόδια τοῦ πολέμου Σικελίαν ἐποιεῖτο. (4) Καὶ τοὺς μὲν νέους αὐτόθεν εἶχεν ἥδη ταῖς ἐλπίσιν ἐπηρμένους, τῶν δὲ πρεσβυτέρων ἠκροῶντο πολλὰ θαυμάσια περὶ τῆς στρατείας περαινόντων, ὥστε πολλοὺς ἐν ταῖς παλαίστραις καὶ τοῖς ἡμικυκλίοις καθέζεσθαι τῆς τε νήσου τὸ σχῆμα καὶ θέσιν Λιβύης καὶ Καρχηδόνος ὑπογράφοντας. (5) Σωκράτην μέντοι τὸν φιλόσοφον καὶ Μέτωνα τὸν ἀστρολόγον οὐδὲν ἐλπίσαι τῇ πόλει χρηστὸν ἀπὸ τῆς στρατείας ἐκείνης λέγουσιν, ὁ μὲν, ὡς ἔοικε, τοῦ συνήθους δαιμονίου γενομένου καὶ προσημαίνοντος, ὁ δὲ Μέτων εἴτε δείσας ἐκ λογισμοῦ τὸ μέλλον εἴτε μαντικῆς τινὶ τρόπῳ χρησάμενος ἐσκήψατο μεμηνέναι καὶ λαβὼν δᾷδα καιομένην οἷος ἦν αὐτοῦ τὴν οἰκίαν ὑφάπτειν. (6) Ἔνιοι δέ φασι προσποίημα μὲν μανίας μηδὲν ἐσκευάσθαι τὸν Μέτωνα, καταπρῆσαι δὲ τὴν οἰκίαν νύκτωρ, εἶθ' ἕωθεν προελθόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἐπὶ συμφορᾷ τηλικαύτῃ τὸν υἱὸν αὐτῷ παρεθῆναι τῆς στρατείας. Ἐκεῖνος μὲν οὖν ἔτυχεν ὢν ἠξίου παρακρουσάμενος τοὺς πολίτας.

XVIII. Ὁ δὲ Νικίας ἄκων μὲν ἡρέθη στρατηγὸς οὐχ ἥκιστα τὴν ἀρχὴν καὶ διὰ τὸν συνάρχοντα φεύγων· ἐφαίνετο γὰρ τοῖς Ἀθηναίοις τὰ τοῦ πολέμου βέλτιον ἕξειν μὴ προεμένοις τὸν Ἀλκιβιάδην ἄκρατον, ἀλλὰ μιχθείσης πρὸς τὴν τόλμαν αὐτοῦ τῆς Νικίου προνοίας· καὶ γὰρ ὁ τρίτος στρατηγὸς Λάμαχος ἡλικίᾳ προήκων ὅμως ἐδόκει μηδὲν ἧττον εἶναι τοῦ Ἀλκιβιάδου διάπυρος καὶ φιλοκίνδυνος ἐν τοῖς ἀγῶσι· βουλευομένων δὲ περὶ πλήθους καὶ τρόπου παρασκευῆς ἐπεχείρησεν αὖθις ὁ Νικίας ἐνίστασθαι καὶ καταπαύειν τὸν πόλεμον. (2) Ἀντειπόντος δὲ τοῦ Ἀλκιβιάδου καὶ κρατήσαντος ἔγραψε τῶν ῥητόρων Δημόστρατος καὶ εἶπεν, ὡς χρὴ τοὺς στρατηγοὺς αὐτοκράτορας εἶναι καὶ τῆς παρασκευῆς καὶ τοῦ πολέμου παντός. (3) Ἐπιψηφισαμένου δὲ τοῦ δήμου καὶ γενομένων ἑτοίμων πάντων πρὸς τὸν ἔκπλουν οὐ χρηστὰ παρῆν οὐδὲ τὰ τῆς ἑορτῆς. Ἀδωνίων γὰρ εἰς τὰς ἡμέρας ἐκείνας καθηκόντων εἴδωλα πολλαχοῦ νεκροῖς ἐκκομιζομένοις ὅμοια προὔκειντο ταῖς γυναιξὶ καὶ ταφὰς ἐμιμοῦντο κοπτόμεναι καὶ θρήνους ἦδον. (4) Ἡ μέντοι τῶν Ἑρμῶν περικοπὴ μιᾷ νυκτὶ τῶν πλείστων ἀκρωτηριασθέντων τὰ πρόσωπα πολλοὺς καὶ τῶν περιφρονούντων τὰ τοιαῦτα διετάραξεν. Ἐλέχθη μὲν οὖν, ὅτι Κορίνθιοι διὰ τοὺς Συρακοσίους ἀποίκους ὄντας, ὡς ἐπισχέσεως ἐσομένης πρὸς τῶν οἰωνῶν ἢ μεταγνώσεως τοῦ πολέμου, ταῦτα δράσειαν. (5) Οὐ μὴν ἥπτετό γε τῶν πολλῶν οὔθ' οὗτος ὁ λόγος οὔθ' ὁ τῶν σημείων δεινὸν εἶναι μηδὲν οἰομένων, ἀλλ' οἷα φιλεῖ φέρειν ἄκρατος ἀκολάστων νέων εἰς ὕβριν ἐκ παιδιᾶς ὑποφερομένων· ὀργῇ δ' ἅμα καὶ φόβῳ τὸ γεγονὸς λαμβάνοντες

finem, sed initium fore Siciliensem expeditionem cogitabat. (3) Quippe cum Nicias populum a Syracusarum capiendarum proposito tanquam arduo deterreret, Alcibiades jam et Carthaginem et Africam somniabat, his captis inde Italiam ac Peloponnesum se subacturum, et quasi ingressu ad eas res Sicilia se usurum sperabat. (4) Jamque eo arrectæ erant juvenum spes, senum quoque multi ac mirabiles de ea expeditione audiebantur sermones multique in gymnasiis et semicirculis sedebant, figuram Siciliæ positumque Africæ et Carthaginis describentes. (5) Ferunt tamen Socratem philosophum et Metonem astrologum nihil boni ex hoc bello urbi futurum prævidisse. Quorum alter videtur a genio, quem sibi familiarem habet, præmonitus, alter, sive rationibus subductis futurum malum deprehendit, sive divinatione quadam id perscrutatus, simulato furore facem ardentem arripuit domumque suam incendit. (6) Alii nullo insaniæ prætextu usum Metonem, noctu domum combussisse narrant, summoque mane progressum orasse supplicem, ut sibi ad tantæ cladis solatium filium militiæ immunem relinquerent; idque impetrasse, deceptis civibus.

XVIII. Nicias vero contra suam voluntatem dux belli est creatus, cui magistratus fugiendi causam etiam collega dabat; Atheniensibus enim videbatur bellum ita rectius administrari posse, si rem non Alcibiadi totam immodico committerent, sed ejus audaciam prudentia Niciæ temperarent; tertius enim horum collega Lamachus, quamquam grandiore jam ætate, videbatur tamen nonnullis in certaminibus Alcibiadi fervore animi et temeritate haud secundus. Deliberatione de numero militum, et apparatu belli proposita, denuo obsistere conatus est Nicias et bellum impedire; (2) sed quum repugnaret Alcibiades et sententia ejus valeret, legem tulit Demostratus orator, ut penes duces esset plena potestas apparatus omnis totiusque belli. (3) Quod cum populus suffragio suo comprobasset, omnibus jam ad navigandum paratis, non fausta aderant Adonidis sacra, quæ in eos ipsos dies incidebant; mulieres enim simulacra, quasi mortuorum cadavera, frequentes efferebant funeraque imitabantur, plangebantque et feralia carmina concinebant. (4) Ad hæc Mercurii statuarum mutilatio, quarum plurimis una nocte facies truncatæ sunt, etiam eorum animos, qui talia despiciebant, perturbavit. Sparsus est rumor, a Corinthiis propter colonos suos Syracusanos id factum fuisse, si religione Atheniensibus objecta aut trahere tempus, aut omnino bellum tollere possent. (5) Sed neque is rumor animos plebis movit neque sermo eorum qui putarent, signum esse haudquaquam terribile, sed talia esse, qualia vinum merum secum ferre soleat a joco ad petulantiam prolapsis adolescentibus; ira vero simul et metu excitati,

ὡς ἀπὸ συνωμοσίας ἐπὶ πράγμασι μεγάλοις τετολμημένον ἅπασαν ἐξήταζον ὑπόνοιαν πικρῶς ἥ τε βουλὴ συνιοῦσα περὶ τούτων καὶ ὁ δῆμος ὡς ἐν ὀλίγαις ἡμέραις πολλάκις.

XIX. Ἐν δὲ τούτῳ δούλους τινὰς καὶ μετοίκους προήγαγεν Ἀνδροκλῆς ὁ δημαγωγὸς ἄλλων τε ἀγαλμάτων περικοπὰς καὶ μυστηρίων παρ' οἶνον ἀπομιμήσεις τοῦ Ἀλκιβιάδου καὶ τῶν φίλων κατηγοροῦντας. (2) Ἔλεγον δὲ Θεόδωρον μέν τινα δρᾶν τὰ τοῦ κήρυκος, Πολυτίωνα δὲ τὰ τοῦ δαδούχου, τὰ δὲ τοῦ ἱεροφάντου e τὸν Ἀλκιβιάδην, τοὺς δ' ἄλλους ἑταίρους παρεῖναι καὶ μυεῖσθαι μύστας προσαγορευομένους. Ταῦτα γὰρ ἐν τῇ εἰσαγγελίᾳ γέγραπται Θεσσάλου τοῦ Κίμωνος εἰσαγγείλαντος Ἀλκιβιάδην ἀσεβεῖν περὶ τὼ θεώ. (3) Τραχυνομένου δὲ τοῦ δήμου καὶ πικρῶς πρὸς Ἀλκιβιάδην ἔχοντος καὶ τοῦ Ἀνδροκλέους (ἦν γὰρ οὗτος ἐχθρὸς ἐν τοῖς μάλιστα τοῦ Ἀλκιβιάδου, παροξύνοντος, ἐν ἀρχῇ μὲν ἐταράχθησαν οἱ περὶ τὸν Ἀλκιβιάδην· (4) αἰσθόμενοι δὲ τούς τε ναύτας, ὅσοι πλεῖν ἔμελλον εἰς Σικελίαν, εὔνους ὄντας αὐτοῖς καὶ τὸ στρατιωτικὸν, Ἀργείων δὲ καὶ Μαντινέων χιλίων ὄντων ὁπλιτῶν ἀκούοντες ἀναφανδὸν λεγόντων, ὡς δι' Ἀλκιβιάδην στρατεύοιντο διαπόντιον καὶ μακρὰν στρατείαν, ἐὰν δέ τις ἀγνωμονῇ περὶ τοῦτον, εὐθὺς ἀποστήσεσθαι, ἀνεθάρρουν καὶ παρίσταντο τῷ καιρῷ πρὸς τὴν ἀπολογίαν, ὥστε τοὺς ἐχθροὺς πάλιν ἀθυμεῖν καὶ φοβεῖσθαι, μὴ περὶ τὴν κρίσιν ὁ δῆμος ἀμβλύτερος αὐτῷ γένηται διὰ τὴν 201χρείαν. (5) Πρὸς ταῦτ' οὖν τεχνάζουσι τῶν ῥητόρων a τοὺς οὐ δοκοῦντας ἐχθροὺς τοῦ Ἀλκιβιάδου, μισοῦντας δὲ αὐτὸν οὐχ ἧττον τῶν ὁμολογούντων ἀνισταμένους ἐν τῷ δήμῳ λέγειν, ὡς ἀτοπόν ἐστιν αὐτοκράτορι στρατηγῷ τηλικαύτης ἀποδεδειγμένῳ δυνάμεως ἠθροισμένης στρατιᾶς καὶ τῶν συμμάχων μεταξὺ συγκληροῦντας δικαστήριον καὶ ὕδωρ διαμετροῦντας ἀπολλύναι τὸν καιρόν· « Ἀλλὰ νῦν μὲν ἀγαθῇ τύχῃ πλεέτω, τοῦ δὲ πολέμου διαπραχθέντος ἐπὶ τοῖς αὐτοῖς νόμοις ἀπολογείσθω παρών. » (6) Οὐκ ἐλάνθανε μὲν οὖν ἡ κακοήθεια τῆς ἀναβολῆς τὸν Ἀλκιβιάδην, ἀλλ' ἔλεγε παριὼν, ὡς δεινόν ἐστιν αἰτίας ἀπολιπόντα καθ' ἑαυτοῦ καὶ διαβολὰς ἐκπέμπεσθαι μετέωρον ἐπὶ τοσαύτης δυνάμεως· ἀποθανεῖν γὰρ αὐτῷ προσήκειν μὴ λύσαντι τὰς κατη- b γορίας, λύσαντι δὲ καὶ φανέντι καθαρῷ τρέπεσθαι πρὸς τοὺς πολεμίους μὴ δεδοικότι τοὺς συκοφάντας.

XX. Ἐπεὶ δ' οὐκ ἔπειθεν, ἀλλὰ πλεῖν ἐκέλευον αὐτὸν, ἀνήχθη μετὰ τῶν συστρατήγων ἔχων τριήρεις μὲν οὐ πολλῷ τῶν τεσσαράκοντα καὶ ἑκατὸν ἀποδεούσας, ὁπλίτας δὲ πεντακισχιλίους καὶ ἑκατὸν, τοξότας δὲ καὶ σφενδονήτας καὶ ψιλοὺς περὶ τριακοσίους καὶ χιλίους καὶ τὴν ἄλλην παρασκευὴν ἀξιόλογον. (2) Προσβαλὼν δ' Ἰταλίᾳ καὶ Ῥήγιον ἑλὼν εἰσηγήσατο γνώμην, ὅτῳ τρόπῳ πολεμητέον ἐστί. Καὶ Νικίου μὲν ἀντιλέγοντος, c Λαμάχου δὲ προσθεμένου, πλεύσας εἰς Σικελίαν προσηγάγετο Κατάνην, ἄλλο δὲ οὐδὲν ἔπραξε, μετάπεμπτος ὑπὸ τῶν Ἀθηναίων ἐπὶ τὴν κρίσιν εὐθὺς γενόμενος. (3)

utpote qui facinus ex conspiratione magnæ rei audendæ susceptum autumarent, acerbe in omnes quocumque modo suspectos inquirebant, et senatus populusque crebro ut in paucis diebus hujus rei causa congregabantur.

XIX. Ibi Androcles demagogus servos quosdam et inquilinos produxit, qui Alcibiadem cum amicis Hermas istos truncasse atque inter potandum mysteria per jocum egisse referrent. (2) Theodorum nempe quendam præconis partes gessisse, Polytionem ejus qui faces gestat, sacerdotis Alcibiadem : reliquos socios adfuisse, sacrisque initiatos et Mystas inde vocatos; hæc enim perscripta sunt in accusatione quam Thessalus Cimonis filius Alcibiadi de profanata religione dearum intendit. (3) Concitato populo animisque multitudinis contra Alcibiadem exasperatis et Androcle, qui unus e summis inimicis ejus erat, magis magisque eos irritante, initio turbatus nonnihil est Alcibiades : (4) sed postquam de nautarum militumque in Siciliam iturorum erga se benevolentia cognovit Argivosque et Mantinenses milites, qui erant numero mille, aperte dicere, maritimam se et longam militiam in gratiam Alcibiadis subiisse ac, si qua esset ei injuria facta, statim discessuros, animum recepit atque se ad defendendam suam causam illico paravit; itaque metus inimicos ejus invasit, ne in judicio populus remissius ageret, propterea quod rei opera indigeret. (5) Submiserunt itaque alios oratores, qui inimicitiam palam non ferebant, neque tamen minus Alcibiadem oderant, quam qui aperte idem agebant, hi populum monuerunt, incommode fieri, si duci, cui in tantas copias liberum esset mandatum imperium, collectis jam exercitibus sociorumque auxiliis, interposita judicum sortitione et aquæ distributione tempus et occasionem rei gerendæ perderent; dimittendum potius nunc bonis avibus, ut bello confecto secundum easdem, quæ nunc propositæ essent, leges causam diceret. (6) Non fefellit malignum prolationis consilium Alcibiadem : progressusque in medium, indignam rem esse dixit, relictis contra se criminibus et calumniis incerta innocentiæ fama cum tantis copiis ad bellum ire; necesse enim esse, nisi innocentem se probasset, capite se plecti, sin insontem se purumque sceleris probasset, spretis calumniatoribus contra hostes proficisci.

XX. Postquam id non obtinuit, sed solvere jubebatur, cum reliquis belli ducibus vela dedit. Classis ea constabat triremibus haud multo, quam centum et quadraginta, paucioribus; gravis armaturæ milites erant quinque millia et centum : sagittarii, funditores et levis armaturæ milites mille ac trecenti, apparatusque belli reliquus satis instructus. (2) Cum his Italiam advectus, Rhegio capto, deliberationem proposuit, quanam potissimum ratione bellum esset gerendum; in qua cum sibi repugnantem Niciam, adstipulantem habuisset Lamachum, in Siciliam navigavit et Catanam occupavit : neque præterea egit quicquam, statim ab Atheniensibus ad dicendam causam accitus. (3) Initio enim, ut ostendi-

Πρῶτον μὲν γὰρ, ὥσπερ εἴρηται, ψυχραί τινες ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ Ἀλκιβιάδου προσέπιπτον ἀπὸ δούλων καὶ μετοίκων· ἔπειτα τῶν ἐχθρῶν ἀπόντος αὐτοῦ καθαπτομένων σφοδρότερον καὶ τοῖς περὶ τοὺς Ἑρμᾶς ὑβρίσμασι καὶ τὰ μυστικὰ συμπλεκόντων, ὡς ἀπὸ μιᾶς ἐπὶ νεωτερισμῷ συνωμοσίας πεπραγμένα, τοὺς μὲν ὁπωσοῦν ἐπαιτιαθέντας ἐνέβαλλον ἀκρίτους εἰς τὸ δεσμωτήριον, ἤχθοντο δὲ τὸν Ἀλκιβιάδην μὴ λαβόντες ὑπὸ τὰς ψήφους τότε μηδὲ κρίναντες ἐπ' αἰτίαις τηλικαύταις. Ὁ δὲ τῇ πρὸς ἐκεῖνον ὀργῇ παραπεσὼν οἰκεῖος ἢ φίλος ἢ συνήθης χαλεπωτέροις αὐτοῖς ἐχρήσατο. (4) Τοὺς δὲ μηνύσαντας ὁ μὲν Θουκυδίδης ὀνομάσαι παρῆκεν, ἄλλοι δ' ὀνομάζουσι Διοκλείδαν καὶ Τεῦκρον, ὧν καὶ Φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκώς·

Ὦ φίλταθ' Ἑρμῆ, καὶ φυλάσσου, μὴ πεσὼν
αὐτὸν παρακρούσῃ καὶ παράσχῃς διαβολὴν
ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν τι δρᾶν·

καὶ,

Φυλάξομαι· Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

(5) Καίτοι βέβαιον οὐδὲν οὐδ' ἰσχυρὸν οἱ μηνύοντες ἐδείκνυσαν. Εἷς δ' αὐτῶν ἐρωτώμενος, ὅπως τὰ πρόσωπα τῶν Ἑρμοκοπιδῶν γνωρίσειε καὶ ἀποκρινάμενος, ὅτι πρὸς τὴν σελήνην, ἐσφάλη τοῦ παντὸς, ἕνης καὶ νέας οὔσης, ὅτε ταῦτ' ἐδρᾶτο· ὁ θόρυβον μὲν παρέσχε τοῖς νοῦν ἔχουσι, τὸν δῆμον δ' οὐδὲ τοῦτο μαλακώτερον ἐποίησε πρὸς τὰς διαβολὰς, ἀλλ' ὥσπερ ὥρμησεν ἐξ ἀρχῆς οὐκ ἐπαύσατο φέρων καὶ ἐμβάλλων εἰς τὸ δεσμωτήριον οὗ τις κατείποι.

XXI. Τῶν οὖν δεθέντων καὶ φυλαττομένων ἐπὶ κρίσει τότε καὶ Ἀνδοκίδης ἦν ὁ ῥήτωρ, ὃν Ἑλλάνικος ὁ συγγραφεὺς εἰς τοὺς Ὀδυσσέως ἀπογόνους ἀνήγαγεν. Ἐδόκει δὲ μισόδημος καὶ ὀλιγαρχικὸς ὁ Ἀνδοκίδης, ὑποπτον δὲ οὐχ ἥκιστα τῆς τῶν Ἑρμῶν περικοπῆς ἐποίησεν ὁ μέγας Ἑρμῆς ὁ πλησίον αὐτοῦ τῆς οἰκίας ἀνάθημα τῆς Αἰγηίδος φυλῆς ἱδρυμένος· ἐν γὰρ ὀλίγοις πάνυ τῶν ἐπιφανῶν μόνος σχεδὸν ἀκέραιος ἔμεινε· διὸ καὶ νῦν Ἀνδοκίδου καλεῖται, καὶ πάντες οὕτως ὀνομάζουσι τῆς ἐπιγραφῆς ἀντιμαρτυρούσης. (2) Συνέβη δὲ τῷ Ἀνδοκίδῃ μάλιστα τῶν τὴν αὐτὴν αἰτίαν ἐχόντων ἐν τῷ δεσμωτηρίῳ γενέσθαι συνήθη καὶ φίλον ἔνδοξον μὲν οὐχ ὁμοίως ἐκείνῳ, συνέσει δὲ καὶ τόλμῃ περιττὸν, ὄνομα Τίμαιον. Οὗτος ἀναπείθει τὸν Ἀνδοκίδην ἑαυτοῦ κατήγορον καί τινων ἄλλων γενέσθαι μὴ πολλῶν· ὁμολογήσαντι γὰρ ἄδειαν εἶναι κατὰ ψήφισμα τοῦ δήμου, τὰ δὲ τῆς κρίσεως ἄδηλα πᾶσι, τοῖς δὲ δυνατοῖς φοβερώτατα· βέλτιον δὲ σωθῆναι ψευδόμενον ἢ μετὰ τῆς αὐτῆς αἰτίας ἀποθανεῖν ἀδόξως· καὶ τὸ κοινῇ σκοποῦντι συμφέρον ὑπάρχειν ὀλίγους καὶ ἀμφιβόλους προέμενον πολλοὺς καὶ ἀγαθοὺς ἐξελέσθαι τῆς ὀργῆς. (3) Ταῦτα τοῦ Τιμαίου λέγοντος καὶ διδάσκοντος ὁ Ἀνδοκίδης ἐπείσθη καὶ γενόμενος μηνυτὴς καθ' αὐτοῦ καὶ καθ' ἑτέρων ἔσχε τὴν ἐκ τοῦ ψηφίσματος ἄδειαν αὐτός· οὓς

mus, leves modo quasdam suspiciones et calumniæ contra Alcibiadem exortæ erant, a servis et inquilinis prolatæ. Post absentem eum majore vi aggressi adversarii, Hermarum violationi mysteria profanata annectentes, quasi hæc ab una eademque rerum novandarum conjuratione profecta essent, eos qui quocunque modo conscii sceleris fuisse putarentur, indicta causa in carcerem conjiciebant, Alcibiademque dolebant non prius suffragiis populi traditum damnatumque propter tanta crimina. Ac si quis ex cognatis vel amicis vel familiaribus flagranti contra illum iræ obviam fiebat, iniquioribus illis usus est. (4) Delatores non recensuit nominatim Thucydides, alii Dioclidam et Teucrum commemorant, inter quos est etiam Phrynichus comicus, cujus hæc sunt :

O Mercuri dilecte, cave ne decidas,
et luxatus calumniæ ansam præbeas
alii Dioclidæ, meditanti agere quid mali;

et,

Cavebo : neque enim volo flagitioso hospiti
delationis Teucro detur præmium.

(5) Et quidem isti indices nihil certum neque constans detulerunt : unus quoque eorum interrogatus, quomodo facies eorum, qui simulacra mutilassent, cognoverit, Ad lunam, respondit : turpissime lapsus, cum actum id fuerit sub ipsum novilunium; et quamquam cordatos viros id mendacium moverat, nihilo tamen molliori animo calumnias accepit populus, quin utcunque delatos in carcerem raperet.

XXI. Fuit inter eos, qui tum judicii causa in vincula conditi asservabantur, Andocides quoque orator (cujus genus Hellanicus historiæ scriptor ad Ulyssem refert), homo populo infensus, paucorumque in republica imperio favere creditus : suspicionem autem simulacrorum præcisorum de eo haud exiguam id præbebat, quod ingens Mercurii statua prope domum ejus posita, quam Ægeis tribus dedicaverat, sola prope omnium aliarum, quæ in conspectum venerant, integra relicta erat, ideoque adhuc ea Andocidis statua dicitur ab omnibus, quantumvis inscriptione reclamante. (2) Inter eos, qui in carcere erant cum Andocide eadem de causa capti, fuit Timæus amicus consuetudine factus Andocidi, non quidem gloria ei comparandus, perspicacia tamen animi audaciaque eximius; is consilium dedit, ut sui ipsius aliorumque non multorum accusator potius esse vellet, quando et ei, qui confessus fuerit, plebiscitum immunitatem pœnæ concedebat et judicii incertus erat exitus, potentibus autem maxime periculosus, mendacioque potius saluti suæ consuleret, quam alioquin eodem crimine damnatus turpem mortem obiret : præstare etiam reipublicæ, ut paucis et dubiæ innocentiæ hominibus projectis, multos bonos viros ira eriperet. (3) His Timæi verbis et monitis commotus est Andocides, delatoque de se ipso et nonnullis aliis indicio, impunitatem ex plebiscito consecutus est;

δ' ὠνόμασε πάντες πλὴν τῶν φυγόντων ἀπώλοντο. Καὶ πίστεως ἕνεκα προσέθηκεν αὐτοῖς οἰκέτας ἰδίους ὁ Ἀνδοκίδης. (4) Οὐ μὴν ὅ γε δῆμος τὴν ὀργὴν ἅπασαν ἀφῆκεν ἐνταῦθα, ἀλλὰ μᾶλλον ἀπαλλαγεὶς τῶν Ἑρμοκοπιδῶν ὥσπερ σχολάζοντι τῷ θυμῷ πρὸς τὸν Ἀλκιβιάδην ὅλος ἐῤῥύη καὶ τέλος ἀπέστειλε τὴν Σαλαμινίαν πρὸς αὐτὸν, οὐ φαύλως αὐτό γε τοῦτο προστάξας, μὴ βιάζεσθαι μηδ' ἅπτεσθαι τοῦ σώματος, ἀλλὰ τῷ μετρίῳ λόγῳ κεχρῆσθαι κελεύοντας ἀκολουθεῖν ἐπὶ κρίσιν καὶ πείθειν τὸν δῆμον. (5) Ἐφοβοῦντο γὰρ ταραχὰς τοῦ στρατεύματος ἐν πολεμίᾳ γῇ καὶ στάσιν, ὃ ῥᾳδίως ἂν ἐξεργάσατο βουληθεὶς ὁ Ἀλκιβιάδης. Καὶ γὰρ ἠθύμουν ἀπιόντος αὐτοῦ καὶ πολλὴν τριβὴν προσεδόκων καὶ μῆκος ἀργὸν ἐν τῇ Νικίᾳ τὸν πόλεμον ἕξειν, καθάπερ ἰμύωπος ἀφῃρημένου τῶν πράξεων· ὁ γὰρ Λάμαχος ἦν μὲν πολεμικὸς καὶ ἀνδρώδης, ἀξίωμα δ' οὐ προσῆν οὐδ' ὄγκος αὐτῷ διὰ πενίαν.

XXII. Εὐθὺς μὲν οὖν ἀποπλέων ὁ Ἀλκιβιάδης ἀφείλετο Μεσσήνην Ἀθηναίους. Ἦσαν γὰρ οἱ μέλλοντες ἐνδιδόναι τὴν πόλιν, οὓς ἐκεῖνος εἰδὼς σαφέστατα τοῖς Συρακοσίων φίλοις ἐμήνυσε καὶ διέφθειρε τὴν πρᾶξιν. (2) Ἐν δὲ Θουρίοις γενόμενος καὶ ἀποβὰς τῆς τριήρους ἔκρυψεν ἑαυτὸν καὶ διέφυγε τοὺς ζητοῦντας. Ἐπιγνόντος δέ τινος καὶ εἰπόντος· « Οὐ πιστεύεις, ὦ Ἀλκιβιάδη, τῇ πατρίδι »; « Τὰ μὲν ἄλλ', ἔφη, πάντα· περὶ δὲ τῆς ψυχῆς τῆς ἐμῆς οὐδὲ τῇ μητρὶ, μήπως ἀγνοήσασα τὴν μέλαιναν ἀντὶ τῆς λευκῆς ἐπενέγκῃ ψῆφον. » (3) Ὕστερον δ' ἀκούσας ὅτι θάνατον αὐτοῦ κατέγνωκεν ἡ πόλις· « Ἀλλ' ἐγὼ, εἶπε, « δείξω αὐτοῖς ὅτι ζῶ. » (4) Τὴν μὲν οὖν εἰσαγγελίαν οὕτως ἔχουσαν ἀναγράφουσι· « Θέσσαλος Κίμωνος Λακιάδης Ἀλκιβιάδην Κλεινίου Σκαμβωνίδην εἰσήγγειλεν ἀδικεῖν περὶ τὼ θεὼ, τὴν Δήμητρα καὶ τὴν Κόρην, ἀπομιμούμενον τὰ μυστήρια καὶ δεικνύοντα τοῖς αὐτοῦ ἑταίροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ ἔχοντα στολὴν οἵανπερ ἱεροφάντης ἔχων δεικνύει τὰ ἱερὰ καὶ ὀνομάζοντα αὐτὸν μὲν ἱεροφάντην, Πολυτίωνα δὲ ὰρδοῦχον, κήρυκα δὲ Θεόδωρον Φηγεέα, τοὺς δ' ἄλλους ἑταίρους μύστας προσαγορεύοντα καὶ ἐπόπτας παρὰ τὰ νόμιμα καὶ τὰ καθεστηκότα ὑπό τε Εὐμολπιδῶν καὶ κηρύκων καὶ τῶν ἱερέων τῶν ἐξ Ἐλευσῖνος. » (5) Ἐρήμην δ' αὐτοῦ καταγνόντες καὶ τὰ χρήματα δημεύσαντες ἔτι καταρᾶσθαι προσεψηφίσαντο πάντας ἱερεῖς καὶ ἱερείας, ὧν μόνην φασὶ Θεανὼ τὴν Μένωνος Ἀγραυλῆθεν ἀντειπεῖν πρὸς τὸ ψήφισμα φάσκουσαν εὐχῶν, οὐ καταρῶν ἱέρειαν γεγονέναι

XXIII. Τοσούτων δὲ κατεψηφισμένων Ἀλκιβιάδου καὶ κατεγνωσμένων ἐτύγχανε μὲν ἐν Ἄργει διατρίβων, ὡς τὸ πρῶτον ἐκ Θουρίων ἀποδρὰς εἰς Πελοπόν-203νησον διεκομίσθη, φοβούμενος δὲ τοὺς ἐχθροὺς καὶ παντάπασι τῆς πατρίδος ἀπεγνωκὼς ἔπεμψεν εἰς Σπάρτην ἀξιῶν ἄδειαν αὐτῷ γενέσθαι καὶ πίστιν ἐπὶ μείζοσι χρείαις καὶ ὠφελείαις ὧν πρότερον αὐτοὺς ἀμυνόμενος ἔβλαψε. (2) Δόντων δὲ τῶν Σπαρτιατῶν

quos autem nominavit, ii omnes morte multati sunt, exceptis iis qui fuga sibi consuluerant; fidei etiam firmandæ causa servos suos cum aliis Andocides detulit. (4) Neque vero in his omnem suam iram populus consumpsit: quin imo simulacrorum violatoribus punitis iram otio. sam nullique jam alii rei intentam omnem in Alcibiadem convertit. Tandem Salaminiam navem ad eum miserunt, non temere mandato nunciis, ne vim ei neve manus afferrent, sed composita oratione juberent venire in judicium populoque se purgare. (5) Verebantur enim tumultum exercitus in hostico versantis et seditionem, quam Alcibiades, si ita voluisset, levi negotio excitasset; mœrebant enim ejus discessu milites, bellumque tractum iri et tardum finem inventurum timebant, Nicia duce, cui calcar ad agendum stimulans nunc adimeretur; nam Lamachus erat ille quidem vir acer et bellicosus, auctoritate tamen propter paupertatem carebat.

XXII. Ceterum Alcibiades cum aveheretur, statim Atheniensibus Messanam ademit; erant enim in urbe, qui eam dedere statuerant, quos cum certissime cognitos haberet, rem Syracusanorum amicis patefecit atque proditionem disjecit. (2) Ut in Thurios venit, egressus triremem, occultavit se et quærentes fuga fefellit. Cumque agnosceretur a quodam, qui dixit: Non fidem habes, Alcibiades, patriæ? Omnia quidem, inquit, alia facile ei credo, vitam ne matri quidem meæ in judicio commiserim, metuens ne forte per errorem nigrum calculum pro alho in urnam demittat. (3) Post audiens se ab Atheniensibus morte damnatum esse: At ego, inquit, ostendam eis me vivere. (4) Accusationem autem ita fuisse perscriptam invenio: Thessalus Cimonis filius, Laciades, Alcibiadem Cliniæ filium Scambonidam postulavit impietatis in deas, Cererem et Proserpinam, quarum mysteria imitatus fuerit eaque domi suæ sociis suis monstraverit, ipse vestem indutus quali sacerdos sacra docet, seque ipsum nomine sacerdotis, Polytionem facigeri, Phegeensem Theodorum præconis nomine insigniverit, reliquos socios mystas et epoptas appellaverit, contra instituta hæc omnia Eumolpidarum, præconum et pontificum Eleusiniorum. (5) Proinde absentem damnaverunt, bona ejus publicarunt, additumque, ut omnes utriusque sexus sacerdotes eum devoverent, idque decretum sola Theano Menonis filia Agraulensis fertur detrectasse, votis, non exsecrationibus se sacerdotem constitutam dicendo.

XXIII. His ita contra Alcibiadem decretis, forte tum ipse Argis erat, quo primum a Thuriis in Peloponnesum perfugiens se contulerat. Desperato autem in patriam reditu, inimicos metuens, Spartam misit atque impunitatem sibi veniamque dari petiit, pollicitus se plus commodi allaturum eorum rebus, quam ante defendendi studio damni ipsis dedisset. (2) Ignoscentibus Spartanis et ad se alacriter venientem

καὶ δεξαμένων παραγενόμενος προθύμως ἓν μὲν εὐθὺς ἐξειργάσατο, μέλλοντας καὶ ἀναβαλλομένους βοηθεῖν Συρακοσίοις ἐγείρας καὶ παροξύνας πέμψαι Γύλιππον ἄρχοντα καὶ θραῦσαι τὴν ἐκεῖ τῶν Ἀθηναίων δύναμιν· ἕτερον δὲ, κινεῖν τὸν αὐτόθεν πόλεμον ἐπὶ τοὺς Ἀθηναίους· τὸ δὲ τρίτον καὶ μέγιστον, ἐπιτειχίσαι Δεκέλειαν, οὗ μᾶλλον οὐδὲν διειργάσατο καὶ κατοικοφθόρησε τὴν πόλιν. (3) Εὐδοκιμῶν δὲ δημοσίᾳ καὶ θαυμαζόμενος b οὐχ ἧττον ἰδίᾳ τοὺς πολλοὺς κατεδημαγώγει καὶ κατεγοήτευε τῇ διαίτῃ λακωνίζων, ὥσθ' ὁρῶντας ἐν χρῷ κουριῶντα καὶ ψυχρολουτοῦντα καὶ μάζῃ συνόντα καὶ ζωμῷ μέλανι χρώμενον ἀπιστεῖν καὶ διαπορεῖν, εἴ ποτε μάγειρον ἐπὶ τῆς οἰκίας οὗτος ἀνὴρ ἔσχεν ἢ προσέβλεψε μυρεψὸν ἢ Μιλησίας ἠνέσχετο θιγεῖν χλανίδος. (4) Ἦν γὰρ, ὡς φασι, μία δεινότης αὕτη τῶν πολλῶν ἐν αὐτῷ καὶ μηχανὴ θήρας ἀνθρώπων, συνεξομοιοῦσθαι καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ὀξυτέρας τρεπομένῳ τροπὰς τοῦ χαμαιλέοντος. (5) Πλὴν c ἐκεῖνος μὲν, ὡς λέγεται, πρὸς ἓν ἐξαδυνατεῖ χρῶμα τὸ λευκὸν ἀφομοιοῦν ἑαυτόν· Ἀλκιβιάδῃ δὲ διὰ χρηστῶν ἰόντι καὶ πονηρῶν ὁμοίως οὐδὲν ἦν ἀμίμητον οὐδ' ἀνεπιτήδευτον, ἀλλ' ἐν Σπάρτῃ γυμναστικὸς, εὐτελὴς, σκυθρωπὸς, ἐν Ἰωνίᾳ χλιδανὸς, ἐπιτερπὴς, ῥᾳθυμος, ἐν Θράκῃ μεθυστικὸς, ἐν Θετταλίᾳ ἱππαστικὸς, Τισαφέρνῃ δὲ τῷ σατράπῃ συνὼν ὑπερέβαλλεν ὄγκῳ καὶ πολυτελείᾳ τὴν Περσικὴν μεγαλοπρέπειαν, οὐχ αὑτὸν ἐξιστὰς οὕτω ῥᾳδίως εἰς ἕτερον ἐξ ἑτέρου τρόπον οὐδὲ πᾶσαν δεχόμενος τῷ ἦθει μεταβολὴν, ἀλλ', ὅτι τῇ φύσει χρώμενος d ἔμελλε λυπεῖν τοὺς ἐντυγχάνοντας, εἰς πᾶν ἀεὶ τὸ πρόσφορον ἐκείνοις σχῆμα καὶ πλάσμα κατεδύετο καὶ κατέφευγεν. (6) Ἐν γοῦν τῇ Λακεδαίμονι πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν· « Οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος εἴη ἂν αὐτὸς, οἷον Λυκοῦργος ἐπαίδευσε· » τοῖς δ' ἀληθινοῖς ἄν τις ἐπεφώνησεν αὐτοῦ πάθεσι καὶ πράγμασιν· « Ἔστιν ἡ πάλαι γυνή. » (7) Τιμαίαν γὰρ τὴν Ἀγιδος γυναῖκα τοῦ βασιλέως στρατευομένου καὶ ἀποδημοῦντος οὕτω διέφθειρεν ὥστε καὶ κύειν ἐξ Ἀλκιβιάδου καὶ μὴ ἀρνεῖσθαι, καὶ τεκούσης παιδάριον ἄῤῥεν ἔζω μὲν Λεωτυχίδην καλεῖσθαι, τὸ δ' ἐντὸς αὐτοῦ ψιθυριζόμενον ὄνομα πρὸς τὰς φίλας καὶ τὰς ὀπαδοὺς ὑπὸ τῆς μητρὸς Ἀλκιβιάδην εἶναι· τοσοῦτος ἔρως κατεῖχε τὴν ἄνθρω- e πον. (8) Ὁ δ' ἐντρυφῶν ἔλεγεν οὐχ ὕβρει τοῦτο πράττειν οὐδὲ κρατούμενος ὑφ' ἡδονῆς, ἀλλ' ὅπως Λακεδαιμονίων βασιλεύσωσιν οἱ ἐξ αὐτοῦ γεγονότες. (9) Οὕτω πραττόμενα ταῦτα πολλοὶ κατηγόρουν πρὸς τὸν Ἄγιν. Ἐπίστευσε δὲ τῷ χρόνῳ μάλιστα, ὅτι σεισμοῦ γενομένου φοβηθεὶς ἐξέδραμε τοῦ θαλάμου παρὰ τῆς γυναικὸς, εἶτα δέκα μηνῶν οὐκέτι συνῆλθεν αὐτῇ, μεθ' οὓς γενόμενον τὸν Λεωτυχίδην ἀπέφησεν ἐξ αὐτοῦ μὴ γεγονέναι. Καὶ διὰ τοῦτο τῆς βασιλείας ἐξέπεσεν ὕστερον ὁ Λεωτυχίδης.

accipientibus, unum illico perfecit, ut cum ante auxilium ferre Syracusanis cunctarentur, Gylippum tunc eo mitterent ducem ad frangendas Atheniensium, quas in Sicilia habebant, vires; deinde ut novum ex Peloponneso bellum contra Athenienses moverent: tertium et maximum, ut Deceleam muris munirent, quo non alia ulla res magis perniciem Athenis attulit. (3) Porro cum publice Spartæ in honore habebatur, tum non in minore apud privatos erat admiratione, rationeque victus Laconica multitudinem fascinavit ejusque benevolentiam sibi parabat, ut cum viderent eum comam in cute alentem, frigida lavantem, hordeaceo pane et jure nigro vescentem, vix crederent ei viro unquam coquum domi fuisse, aut visum unguentum, aut Milesiam chlanidem ab eo tactam. (4) Erat enim hæc una ex multis ejus artibus et ad homines alliciendos aucupium, quod se studiis eorum ac victus rationi adsimilabat, ipso chamæleonte in mutanda forma celerior. (5) Hunc tamen aiunt solum album colorem non posse simulare: at Alcibiadi sive boni sive mali nihil erat, quod non imitando exprimere posset; itaque Spartæ erat exercitationibus deditus, victus sordidi et austerus; in Ionia delicatus, luxui deditus, otiosus; in Thracia ebriosus, in Thessalia assiduo equitans; dum viveret cum Tisapherne satrapa, omnem Persicum splendorem luxu et fastu superabat. Neque vero ita facile moribus suis exutis alios sumebat neque ad omnes mutationes habili erat ingenio, sed cum videret, si suo modo vixisset, iis molestum se futurum, quibuscum versabatur, naturam suam solebat figura aliqua et persona iis accommodata occultare. (6) Itaque ergo quamdiu vixit Spartæ, si exteriorem ejus vitæ habitum quis inspexisset, potuisset dicere: Non est Achillis filius, sed ille ipse, quem Lycurgus instituit: veris autem moribus ejus et factis idem acclamasset: Est mulier eadem quæ prius. (7) Timæam enim Agidis regis uxorem, absente militiæ marito, ita corrupit, ut et conceperit ex ipso, neque infitias iverit, cumque puerum peperisset, palam quidem Leotychidam nominaverit, intus autem amicis sibi mulieribus et pedissequis insusurraverit, esse Alcibiadem; tanto mulier amore ejus laborabat. (8) Ipse vero quasi per ludibrium, non contumeliæ neque voluptatis causa se id fecisse aiebat, sed ut ex se nati Spartæ regnarent. (9) Hæc ita fieri multi ad Agin deferebant, verum is temporis maxime ratione adductus est, ut verum esse crederet; nam terræ motu subito perterritus e thalamo conjugis se cursu proripuerat, neque totis exinde decem mensibus cum ea concubuerat; itaque post id temporis natum Leotychidam professus est non ex se natum, eamque ob causam postmodo Leotychides regno excidit.

XXIV. Μετὰ δὲ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων f δυστυχίαν ἐπρέσβευσαν εἰς Σπάρτην ἅμα Χῖοι καὶ Λέσβιοι καὶ Κυζικηνοὶ περὶ ἀποστάσεως. Πραττόντων

XXIV. Post eam cladem quam Athenienses in Sicilia sunt passi, legatos una Spartam miserunt Chii, Lesbii et Cyziceni, de defectione. Hic cum pro Lesbiis Bœoti, pro Cyzi-

δὲ Βοιωτῶν μὲν Λεσβίοις, Φαρναβάζου δὲ Κυζικηνοῖς, Ἀλκιβιάδῃ πεισθέντες εἵλοντο Χίοις πρὸ πάντων βοηθεῖν. (2) Ἐκπλεύσας δὲ καὶ αὐτὸς ἀπέστησεν ὀλίγου δεῖν ἅπασαν Ἰωνίαν καὶ πολλὰ συνὼν τοῖς τῶν Λακεδαιμονίων στρατηγοῖς ἔβλαπτε τοὺς Ἀθηναίους. (3) Ὁ δ' Ἄγις ἐχθρὸς μὲν ὑπῆρχεν αὐτῷ διὰ τὴν γυναῖκα κακῶς πεπονθὼς, ἤχθετο δὲ καὶ τῇ δόξῃ· τὰ γὰρ πλεῖστα γίνεσθαι καὶ προχωρεῖν δι' Ἀλκιβιάδην λόγος ἦν· τῶν δ' ἄλλων Σπαρτιατῶν οἱ δυνατώτατοι καὶ φιλοτιμότατοι τὸν Ἀλκιβιάδην ἤδη ἐβαρύνοντο διὰ φθόνον. (4) Ἴσχυσαν οὖν καὶ διεπράξαντο τοὺς οἴκοθεν ἄρχοντας ἐπιστεῖλαι πρὸς Ἰωνίαν, ὅπως ἀποκτείνωσιν αὐτόν. (5) Ὁ δ' ἡσυχῇ προγνοὺς καὶ φοβηθεὶς τῶν μὲν πράξεων πασῶν ἐκοινώνει τοῖς Λακεδαιμονίοις, τὸ δ' εἰς χεῖρας ἰέναι παντάπασιν ἔφευγε, Τισαφέρνῃ δὲ, τῷ βασιλέως σατράπῃ, δοὺς ἑαυτὸν ὑπὲρ ἀσφαλείας εὐθὺς ἦν παρ' αὐτῷ πρῶτος καὶ μέγιστος. (6) Τὸ μὲν γὰρ πολύτροπον καὶ περιττὸν αὐτοῦ τῆς δεινότητος οὐκ ὢν ἁπλοῦς, ἀλλὰ κακοήθης καὶ φιλοπόνηρος, ἐθαύμαζεν ὁ βάρβαρος· ταῖς δὲ καθ' ἡμέραν ἐν τῷ συσχολάζειν καὶ συνδιαιτᾶσθαι χάρισιν οὐδὲν ἦν ἄτεγκτον ἦθος οὐδὲ φύσις ἀνάλωτος, ἀλλὰ καὶ θεδιόσι καὶ φθονοῦσιν ὅμως τὸ συγγενέσθαι καὶ προσιδεῖν ἐκεῖνον ἡδονήν τινα καὶ φιλοφροσύνην παρεῖχε. (7) Τἆλλ' οὖν ὢν καὶ μισέλλην ἐν τοῖς μάλιστα Περσῶν ὁ Τισαφέρνης οὕτως ἐνεδίδου τῷ Ἀλκιβιάδῃ κολακευόμενος, ὥσθ' ὑπερβάλλειν αὐτὸν ἀντικολακεύων ἐκεῖνος. (8) Ὧν γὰρ ἐκέκτητο παραδείσων τὸν κάλλιστον καὶ ὑδάτων καὶ λειμώνων ὑγιεινῶν ἕνεκεν καὶ διατριβὰς ἔχοντα καὶ καταφυγὰς ἡσκημένας βασιλικῶς καὶ περιττῶς Ἀλκιβιάδην καλεῖν ἔθετο· καὶ πάντες οὕτω καλοῦντες καὶ προσαγορεύοντες διετέλουν.

XXV. Ἀπογνοὺς οὖν ὁ Ἀλκιβιάδης τὰ τῶν Σπαρτιατῶν ὡς ἄπιστα καὶ φοβούμενος τὸν Ἄγιν ἐκάκου καὶ διέβαλλε πρὸς τὸν Τισαφέρνην οὐκ ἐῶν βοηθεῖν αὐτοῖς προθύμως οὐδὲ καταλύειν τοὺς Ἀθηναίους, ἀλλὰ γλίσχρως χορηγοῦντα θλίβειν καὶ ἀποκναίειν ἀτρέμα καὶ ποιεῖν ἀμφοτέρους βασιλεῖ χειρσήθεις καὶ καταπόνους ὑπ' ἀλλήλων. (2) Ὁ δ' ἐπείθετο ῥᾳδίως καὶ δῆλος ἦν ἀγαπῶν καὶ θαυμάζων· ὥστ' ἀποβλέπεσθαι τὸν Ἀλκιβιάδην ἑκατέρωθεν ὑπὸ τῶν Ἑλλήνων, τοὺς δ' Ἀθηναίους καὶ μεταμέλεσθαι τοῖς γνωσθεῖσι περὶ αὐτοῦ κακῶς πάσχοντας, ἄχθεσθαι δὲ κἀκεῖνον ἤδη καὶ φοβεῖσθαι, μὴ παντάπασι τῆς πόλεως ἀναιρεθείσης ὑπὸ Λακεδαιμονίοις γένηται μισούμενος. (3) Ἐν δὲ τῇ Σάμῳ τότε πάντα τὰ πράγματα τοῖς Ἀθηναίοις σχεδὸν ὑπῆρχε· κἀκεῖθεν ὁρμώμενοι τῇ ναυτικῇ δυνάμει τὰ μὲν ἀνεκτῶντο τῶν ἀφεστώτων, τὰ δ' ἐφύλαττον ἀμωσγέπως ἔτι τοῖς πολεμίοις κατὰ θάλατταν ὄντες ἀξιόμαχοι, Τισαφέρνην δὲ φοβούμενοι καὶ τὰς λεγομένας ὅσον οὔπω παρεῖναι Φοινίσσας τριήρεις πεντήκοντα καὶ ἑκατὸν οὔσας, ὧν ἀφικομένων οὐδεμιᾶς σωτηρίας ἐλπὶς ὑπελείπετο τῇ πόλει. (4) Ταῦτα δ' εἰδὼς Ἀλκιβιάδης ἔπεμπε κρύφα πρὸς τοὺς ἐν Σάμῳ δυνατοὺς τῶν Ἀθηναίων ἐλπίδας ἐνδιδοὺς παρέξειν τὸν Τισαφέρνην φίλον,

cenis Pharnabazus oraret, Alcibiadis consilium obtinuit, ut primis omnium Chiis subveniretur. (2) Ipseque cum classe missus, fere totam Ioniam ab Atheniensibus ut deficeret permovit, multumque cum Spartanis ducibus conversatus, Atheniensibus damna intulit. (3) Agis vero et ob injuriam stupratæ uxoris illi infestus erat, nec minus succensebat propter famam, cum pleraque geri et succedere Alcibiadis ductu rumor teneret; jamque etiam potentissimus honorisque cupidissimus quisque inter Lacedæmonios gloriam ejus graviter tulit. (4) Tantum igitur hi apud magistratus domi impetraverunt et effecerunt, ut ii suis, qui in Ionia erant, de occidendo Alcibiade per literas præciperent. (5) Quod ita fore clanculum ille præsentiens ac sibi metuens, de omnibus quidem rebus cum Lacedæmoniis communicabat, omnino vitabat ne in manus eorum veniret. Tandem accepta fide Tisapherni regis satrapæ se commisit statimque apud eum primum dignitatis locum obtinuit. (6) Namque versutiam ejus insignem atque calliditatem barbarus, homo nequaquam simplex, sed mali ingenii malisque hominibus delectatus, admirabatur; tanta porro inerat Alcibiadi in consuetudine quotidiana et convictu suavitas, ut nulli mores non flecti, nullum non ingenium ea posset capi; adeoque his etiam, qui eum vel metuebant, vel invidebant ei, præsentia ejus et aspectus voluptati lætitiæque erat. (7) Quare Tisaphernes, homo alioquin, ut quisquam Persarum, inhumanus et Græcorum osor, tantopere adulationibus Alcibiadis erat captus, ut vicissim eum blandiendo superaret. (8) Omnium enim suorum hortorum pulcherrimum, aquis pratisque salubribus præstantissimum, receptaculaque habentem in quibus tempestas vitari, et animi causa ludi posset, regio et singulari luxu ædificata, Alcibiadis nomine vocari instituit; itaque eum omnes deinceps appellaverunt.

XXV. Proinde Alcibiades, cognita Spartanorum infidelitate, Agidem, quem timebat, apud Tisaphernem male habuit et traduxit, obsistens, ne Lacedæmoniis solito studio auxilium ferret neve Athenienses opprimeret, sed ut parce auxilia suppeditando, paulatim eos attereret et conficeret et utrosque defatigatos inter se regi faceret mansuetos. (2) Tisaphernes libenter ejus consilio acquievit seque eum amare et admirari satis testatum fecit; quo factum est, ut ab utraque parte Græci in Alcibiadem oculos conjicerent, Atheniensesque præsertim adversam fortunam sentientes pœnitebat eorum, quæ in ipsum statuerant: ipse quoque jam animo angi incipiebat ac metuere, ne Athenis eversis in potestatem Lacedæmoniorum sibi infensorum veniret. (3) In Samo tum temporis erant omnes propemodum res Atheniensium positæ, indeque cum classe profecti, partim ea quæ defecissent recuperabant, partim cetera in fide continebant, utcunque adhuc hostibus mari pares, a Tisapherne autem ac centum quinquaginta triremibus Phœnissis, quæ jamjam adventare ferebantur, sibi metuebant; quæ si advenissent, nulla salutis spes reliqua urbi erat. (4) Id cum haberet compertum Alcibiades, in Samum occulte ad Atheniensium primores mittit, spem facit, conciliaturum se iis amicitiam Tisapherni, non in plebis id quidem gra-

οὐ τοῖς πολλοῖς χαριζόμενος οὐδὲ πιστεύων ἐκείνοις, ἀλλὰ τοῖς ἀρίστοις, εἰ τολμήσειαν ἄνδρες ἀγαθοὶ γενόμενοι καὶ παύσαντες ὑβρίζοντα τὸν δῆμον αὐτοὶ δι' ἑαυτῶν σώζειν τὰ πράγματα καὶ τὴν πόλιν. (5) Οἱ μὲν οὖν ἄλλοι σφόδρα προσεῖχον τῷ Ἀλκιβιάδῃ· τῶν δὲ στρατηγῶν εἷς, Φρύνιχος ὁ Δειραδιώτης, ὑποπτεύσας, ὅπερ ἦν, τὸν Ἀλκιβιάδην οὐδέν τι μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεόμενον, ζητοῦντα δὲ πάντως κατελθεῖν ἐκ διαβολῆς τοῦ δήμου προθεραπεύειν καὶ ὑποδύεσθαι τοὺς δυνατοὺς ἀνθίστατο. (6) Κρατούμενος δὲ τῇ γνώμῃ καὶ φανερῶς ἤδη τοῦ Ἀλκιβιάδου γεγονὼς ἐχθρὸς ἐξήγγειλε κρύφα πρὸς Ἀστύοχον τὸν τῶν πολεμίων ναύαρχον ἐγκελευόμενος φυλάσσεσθαι καὶ συλλαμβάνειν ὡς ἐπαμφοτερίζοντα τὸν Ἀλκιβιάδην. (7) Ἐλελήθει δ' ἄρα προδότης προδότῃ διαλεγόμενος. Τὸν γὰρ Τισαφέρνην ἐκπεπληγμένος ὁ Ἀστύοχος καὶ τὸν Ἀλκιβιάδην ὁρῶν παρ' αὐτῷ μέγαν ὄντα κατεμήνυσε τὰ τοῦ Φρυνίχου πρὸς αὐτούς. (8) Ὁ δ' Ἀλκιβιάδης εὐθὺς εἰς Σάμον ἔπεμψε τοὺς τοῦ Φρυνίχου κατηγορήσοντας. Ἀγανακτούντων δὲ πάντων καὶ συνισταμένων ἐπὶ τὸν Φρύνιχον, οὐχ ὁρῶν ἑτέραν διαφυγὴν ἐκ τῶν παρόντων ἐπεχείρησεν ἰάσασθαι μείζονι κακῷ τὸ κακόν. (9) Αὖθις γὰρ ἔπεμψε πρὸς τὸν Ἀστύοχον ἐγκαλῶν μὲν ὑπὲρ τῆς μηνύσεως, ἐπαγγελλόμενος δὲ τὰς ναῦς καὶ τὸ στρατόπεδον τῶν Ἀθηναίων ὑποχείριον αὐτῷ παρέξειν. Οὐ μὴν ἐξέλαφέ γε τοὺς Ἀθηναίους ἡ τοῦ Φρυνίχου προδοσία διὰ τὴν Ἀστυόχου παλιμπροδοσίαν. Καὶ γὰρ ταῦτα κατεῖπε τοῦ Φρυνίχου πρὸς τοὺς περὶ τὸν Ἀλκιβιάδην. (10) Ὁ δὲ Φρύνιχος προαισθόμενος καὶ προσδεχόμενος δευτέραν κατηγορίαν παρὰ τοῦ Ἀλκιβιάδου, φθάσας αὐτὸς προεῖπε τοῖς Ἀθηναίοις, ὅτι μέλλουσιν ἐπιπλεῖν οἱ πολέμιοι καὶ παρῄνεσε πρὸς ταῖς ναυσὶν εἶναι καὶ περιτειχίσαι τὸ στρατόπεδον. (11) Ἐπεὶ δὲ πραττόντων ταῦτα τῶν Ἀθηναίων ἦκε γράμματα πάλιν παρὰ τοῦ Ἀλκιβιάδου φυλάττεσθαι κελεύοντος τὸν Φρύνιχον ὡς προδιδόντα τοῖς πολεμίοις τὸν ναύσταθμον, ἠπίστησαν οἰόμενοι τὸν Ἀλκιβιάδην εἰδότα σαφῶς τὴν τῶν πολεμίων παρασκευὴν καὶ διάνοιαν ἀποχρῆσθαι πρὸς τὴν τοῦ Φρυνίχου διαβολὴν οὐκ ἀληθῶς. (12) Ὕστερον μέντοι τὸν Φρύνιχον ἑνὸς τῶν περιπόλων Ἕρμωνος ἐν ἀγορᾷ πατάξαντος ἐγχειριδίῳ καὶ διαφθείραντος οἱ Ἀθηναῖοι δίκης γενομένης τοῦ μὲν Φρυνίχου προδοσίαν κατεψηφίσαντο τεθνηκότος, τὸν δ' Ἕρμωνα καὶ τοὺς μετ' αὐτοῦ συστάντας ἐστεφάνωσαν.

XXVI. Ἐν δὲ τῇ Σάμῳ τότε κρατήσαντες οἱ Ἀλκιβιάδου φίλοι πέμπουσι Πείσανδρον εἰς ἄστυ κινήσοντα τὴν πολιτείαν καὶ παραθαρρυνοῦντα τοὺς δυνατοὺς τῶν πραγμάτων ἀντιλαμβάνεσθαι καὶ καταλύειν τὸν δῆμον, ὡς ἐπὶ τούτοις τοῦ Ἀλκιβιάδου Τισαφέρνην αὐτοῖς φίλον καὶ σύμμαχον παρέξοντος. (2) Αὕτη γὰρ ἦν πρόφασις καὶ τοῦτο πρόσχημα τοῖς καθιστᾶσι τὴν ὀλιγαρχίαν. Ἐπεὶ δ' ἴσχυσαν καὶ παρέλαβον τὰ πράγματα οἱ πεντακισχίλιοι λεγόμενοι, τετρακόσιοι δὲ ὄντες, ἐλάχιστα τῷ Ἀλκιβιάδῃ προσεῖχον ἤδη καὶ μαλακώτερον

tiam (neque enim se fidem iis habere), sed optimatum; modo ii auderent se viros strenuos præbere libidineque populi coercita ipsi per se rempublicam et urbem servare aggrederentur. (5) Ac ceteri quidem vehementer hanc promissionem Alcibiadis gratam habebant; unus vero e ducibus, Phrynichus Deiradiotes, suspicatus, id quod res erat, Alcibiadem non magis paucorum quam populi in republica principatum curare, sed reditus sibi conficiendi gratia, traducendo plebem primorum benevolentiam captare et suas ad partes allicere, repugnavit. (6) Superatus autem aliorum sententiis, ideoque aperte jam inimicus Alcibiadis factus, occulte rem Astyocho classis hostium præfecto renunciavit, monens ut Alcibiadem, nutantis in utramque partem fidei hominem, observaret atque caperet. (7) Sed hoc Phrynichum latuit, a se proditore proditorem compellari. Astyochus enim Tisaphernem summopere timens, Alcibiadi, quem noverat plurimum apud illum valere, Phrynichi consilium indicavit. (8) Alcibiades statim in Samum misit, qui Phrynichum accusarent. Hic Phrynichus, omnibus contra se frementibus, cum periculum nulla alia se posse ratione effugere sentiret, statuit hoc malum alio graviori malo sanare. (9) Namque rursus misso ad Astyochum nuntio, expostulavit cum eo de indicio, pollicitusque est juxta, se ei naves et exercitum Atheniensium in manus traditurum. Hæc proditio ne noceret Atheniensibus, altera Astyochi proditione effectum est, qui rursus Phrynichi sententiam Alcibiadi detexit. (10) Phrynichus id prævidens, seque iterum ab Alcibiade accusatum iri intelligens, ipse Atheniensibus antevertit, hostem cum classe impetum in ipsos facturum nuncians, proinde apud naves essent et navalia munirent. (11) Literis ergo Alcibiadis allatis ad Athenienses huic ipsi rei intentos, quibus eos jubebat sibi a Phrynicho cavere, quod is stationem navium prodere constituisset, fidem non habuerunt; existimantes citra veritatem Alcibiadem, quod hostium cœpta et consilia perspecta haberet, iis ad calumnias contra Phrynichum struendas abuti. (12) Postea tamen temporis cum Phrynichum Hermo unus excubitorum in foro pugione ictum interfecisset, Athenienses, re in judicio examinata, Phrynichum proditionis mortuum damnaverunt, Hermonem vero cum sociis coronaverunt.

XXVI. At in Samo amici Alcibiadis tum superiores adversariis facti, Pisandrum Athenas mittunt, qui præsentem reipublicæ statum convelleret optimatesque hortaretur, ut summa rerum potirentur populumque opprimerent; hac enim conditione Alcibiadem Tisaphernis amicitiam et societatem ipsis polliceri. (2) Hoc prætextu utebantur ad statuendum paucorum in republica principatum. Sed postquam rerum administratio in manus eorum pervenit, qui Quinquemilleviri dicebantur, numero autem erant quadringenti, hi quidem nihil omnino Alcibiadem curarunt, bel-

ἥπτοντο τοῦ πολέμου, τὰ μὲν ἀπιστοῦντες ἔτι πρὸς τὴν μεταβολὴν ξενοπαθοῦσι τοῖς πολίταις, τὰ δ' οἰόμενοι μᾶλλον ἐνδώσειν αὐτοῖς Λακεδαιμονίους ἀεὶ πρὸς ὀλιγαρχίαν ἐπιτηδείως ἔχοντας. (3) Ὁ μὲν οὖν κατὰ τὴν πόλιν δῆμος ἄχων ὑπὸ δέους ἡσυχίαν ἦγε· καὶ γὰρ ἀπεσφάγησαν οὐκ ὀλίγοι τῶν ἐναντιουμένων φανερῶς τοῖς τετρακοσίοις· οἱ δ' ἐν Σάμῳ ταῦτα πυνθανόμενοι καὶ ἀγανακτοῦντες ὥρμηντο πλεῖν εὐθὺς ἐπὶ τὸν Πειραιᾶ καὶ μεταπεμψάμενοι τὸν Ἀλκιβιάδην καὶ στρατηγὸν ἀποδείξαντες ἐκέλευον ἡγεῖσθαι καὶ καταλύειν τοὺς τυράννους. (4) Ὁ δ' οὐχ οἷον ἄν τις ἐξαίφνης χάριτι τῶν πολλῶν μέγας γεγονὼς ἔπαθε καὶ ἠγάπησε πάντα δεῖν εὐθὺς οἰόμενος χαρίζεσθαι καὶ μηδὲν ἀντιλέγειν τοῖς ἐκ πλάνητος καὶ φυγάδος αὐτὸν νεῶν τοσούτων καὶ στρατοπέδου καὶ δυνάμεως τηλικαύτης ἀποδείξασιν ἡγεμόνα καὶ στρατηγόν, ἀλλ' ὅπερ ἦν ἄρχοντι μεγάλῳ προσῆκον, ἀνθίστασθαι φερομένοις ὑπ' ὀργῆς, κωλύσας ἐξαμαρτεῖν, τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς ἔσωσεν. (5) Εἰ γὰρ ἅπαντες ἀπέπλευσαν οἴκαδε, τοῖς μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον ἁμαχεὶ καὶ τὰς νήσους, Ἀθηναίοις δὲ πρὸς Ἀθηναίους μάχεσθαι τὸν πόλεμον εἰς τὴν πόλιν ἐμβαλόντας· ὃν μόνος μάλιστα μὴ γενέσθαι διεκώλυσεν ὁ Ἀλκιβιάδης οὐ μόνον πείθων καὶ διδάσκων τὸ πλῆθος, ἀλλὰ καὶ καθ' ἕνα τοὺς μὲν ἀντιβολῶν, τῶν δ' ἐπιλαμβανόμενος. (6) Συνέπραττε δ' αὐτῷ καὶ Θρασύβουλος ὁ Στειριεὺς ἅμα παρὼν καὶ κεκραγώς· ἦν γὰρ, ὡς λέγεται, μεγαλοφωνότατος Ἀθηναίων. (7) Ἐκεῖνό τε δὴ καλὸν τοῦ Ἀλκιβιάδου καὶ δεύτερον, ὅτι ὑποσχόμενος τὰς Φοινίσσας ναῦς, ἃς προσεδέχοντο Λακεδαιμόνιοι βασιλέως πέμψαντος, ἢ μεταστήσειν πρὸς αὐτοὺς ἢ διαπράξεσθαι μηδὲ πρὸς ἐκείνους κομισθῆναι, διὰ ταχέων ἐξέπλευσε. (8) Καὶ τὰς μὲν ναῦς ἐκφανείσας περὶ Ἄσπενδον οὐκ ἤγαγεν ὁ Τισαφέρνης, ἀλλ' ἐψεύσατο τοὺς Λακεδαιμονίους, τὴν δ' αἰτίαν τοῦ ἀποστρέψαι παρ' ἀμφοτέρους ὁ Ἀλκιβιάδης εἶχε καὶ μᾶλλον ἔτι παρὰ τοῖς Λακεδαιμονίοις, ὡς διδάσκων τὸν βάρβαρον αὐτοὺς ὑφ' αὑτῶν περιορᾶν ἀπολλυμένους τοὺς Ἕλληνας. (9) Οὐ γὰρ ἦν ἄδηλον, ὅτι τοῖς ἑτέροις δύναμις τοσαύτη προσγενομένη τοὺς ἑτέρους ἁφῃρεῖτο κομιδῇ τὸ κράτος τῆς θαλάττης.

XXVII. Ἐκ τούτου κατελύθησαν μὲν οἱ τετρακόσιοι τῶν Ἀλκιβιάδου φίλων προθύμως συλλαμβανομένων τοῖς τὰ τοῦ δήμου φρονοῦσι· βουλομένων δὲ τῶν ἐν ἄστει καὶ κελευόντων κατιέναι τὸν Ἀλκιβιάδην αὐτὸς ᾤετο δεῖν μὴ κεναῖς χερσὶ μηδὲ ἀπράκτοις οἴκτῳ καὶ χάριτι τῶν πολλῶν, ἀλλ' ἐνδόξως κατελθεῖν. (2) Διὸ πρῶτον μὲν ὀλίγαις ναυσὶν ἐκ Σάμου περιέπλει τὴν Κνιδίων καὶ Κῴων θάλασσαν· ἐκεῖ δ' ἀκούσας Μίνδαρον τὸν Σπαρτιάτην εἰς Ἑλλήσποντον ἀναπλεῖν τῷ στόλῳ παντὶ καὶ τοὺς Ἀθηναίους ἐπακολουθεῖν ἠπείγετο βοηθῆσαι τοῖς στρατηγοῖς. (3) Καὶ κατὰ τύχην εἰς τοῦτο καιροῦ συνήνυσε πλέων ὀκτωκαίδεκα τριήρεσιν, ἐν ᾧ πάσαις ὁμοῦ ταῖς ναυσὶ συμπεσόντες εἰς τὸ αὐτὸ καὶ διαναυμα-

lumque remissius gesserunt : partim diffidentes civibus, mutatione reipublicæ insolenti adhuc offensis, partim sperantes, Lacedæmonios, qui semper paucorum in civitate principatum prætulerant, eo facilius ipsis concessuros. (3) Et quidem qui Athenis erat populus, invitus propter metum conquiescebat, quod necati essent nonnulli, qui se aperte quadringentis opposuerant; qui vero erant in Samo, audita reipublicæ mutatione, indigne rem ferentes, statuerunt confestim in Piræeum navigare accersiveruntque ad se Alcibiadem, et postquam ducem declararunt, ducere jusserunt et tyrannos evertere. (4) Is vero, etsi subito ad magnum fastigium multitudinis gratia elatus, non tamen, ut alius fortasse, omnia in eorum gratiam agenda, nihilve quicquam iis denegandum censuit, qui ipsum de exsule et errone tantæ classi, exercitui copiisque præficiebant; sed, ut decuit magnum imperatorem, ira accensos inhibuit, atque ab errore retraxit : quo quidem facto evidens est, servatas esse ab eo tunc res Atheniensium. (5) Si enim tum a Samo classem domum abduxisset, hostibus confestim tota licuisset potiri Ionia, Hellesponto insulisque, nemine resistente, bellumque Atheniensibus contra Athenienses in ipsa urbe exstitisset. Quod quominus fieret, unus præcipue Alcibiades impediit, non multitudinem modo verbis flectens et docens, sed et singulos deprecans atque castigans. (6) Adjutorem habuit etiam Thrasybulum Stirensem, cum præsentia sua, tum voce; erat enim, ut aiunt, vocalissimus omnium Atheniensium. (7) Hoc primum fuit præclarum Alcibiadis in patriam beneficium, et alterum, quod pollicitus naves Phœnissas, quas a rege mittendas Lacedæmonii exspectabant, se aut Atheniensibus adjuncturum, aut, ut ne ad Lacedæmonios quidem venirent, effecturum, statim Samo avectus est. (8) Tisaphernes autem naves istas jam apud Aspendum visas deceptis Lacedæmoniis non misit; causa rei ab utrisque est Alcibiadi imputata, maxime autem a Lacedæmoniis, quippe quod is barbaro consilium dedisset, ut sineret ipsos sese intestinis bellis conficere Græcos. (9) Neque vero obscurum erat, utri parti tantæ navales copiæ accessissent, eam alteri summam maris prorsus erepturam fuisse.

XXVII. Post hæc Quadringenti dejecti sunt Athenis, Alcibiadis amicis strenuos se auxiliarios popularibus præbentibus; jubentibus autem iis qui in urbe erant, ut rediret ab exsulio Alcibiades, non voluit ipse vacuis manibus et nulla re gesta, quasi misericordia et studio multitudinis reditum impetrasset, sed cum gloria in patriam reverti. (2) Eo consilio primum cum paucis navibus a Samo per mare Cnidium et Coum navigavit; ibi cum audivisset, Mindarum Spartanum cum tota classe Hellespontum petere, Atheniensesque persequi, ad ferendum horum ducibus auxilium properavit. (3) Ac forte fortuna navigans cum octodecim triremibus eo tempore assecutus est istos, quo omnibus navibus prælium utrique iniverant apud Abydum; ac victi

χοῦντες περὶ Ἄβυδον ἀμφότεροι τοῖς μὲν ἡττώμενοι μέρεσι, τοῖς δὲ νικῶντες ἄχρι δείλης ἀγῶνι μεγάλῳ συν- d εἶχοντο. (4) Καὶ παρέσχε μὲν ἐναντίαν δόξαν ἀμφοτέροις ἐπιφανείς, ὥστε θαρρεῖν μὲν τοὺς πολεμίους, θορυβεῖσθαι δὲ τοὺς Ἀθηναίους. Ταχὺ δὲ σημεῖον ἄρας ἀπὸ τῆς ναυαρχίδος φίλιον ὥρμησεν εὐθὺς ἐπὶ τοὺς κρατοῦντας καὶ διώκοντας τῶν Πελοποννησίων. (5) Τρεψάμενος δ' αὐτοὺς ἐξέωσεν εἰς τὴν γῆν καὶ προσκείμενος ἔκοπτε τὰς ναῦς καὶ συνετίτρωσκε, τῶν ἀνδρῶν ἐκνεόντων καὶ Φαρναβάζου πεζῇ προσβοηθοῦντος αὐτοῖς καὶ μαχομένου παρὰ τὴν θάλατταν ὑπὲρ τῶν νεῶν. Τέλος δὲ τῶν μὲν πολεμίων τριάκοντα λαβόντες, ἀνασώσαντες δὲ τὰς αὑτῶν τρόπαιον ἔστησαν. (6) Οὕτω δὲ λαμπρᾷ e χρησάμενος εὐτυχίᾳ καὶ φιλοτιμούμενος εὐθὺς ἐγκαλλωπίσασθαι τῷ Τισαφέρνῃ ξένια καὶ δῶρα παρασκευασάμενος καὶ θεραπείαν ἔχων ἡγεμονικὴν ἐπορεύετο πρὸς αὐτόν. (7) Οὐ μὴν ἔτυχεν ὧν προσεδόκησεν, ἀλλὰ πάλαι κακῶς ἀκούων ὁ Τισαφέρνης ὑπὸ τῶν Λακεδαιμονίων καὶ φοβούμενος αἰτίαν λαβεῖν ἐκ βασιλέως ἔδοξεν ἐν καιρῷ τὸν Ἀλκιβιάδην ἀφῖχθαι καὶ συλλαβὼν αὐτὸν εἶρξεν ἐν Σάρδεσιν ὡς λύσιν ἐκείνης τῆς διαβολῆς τὴν ἀδικίαν ταύτην ἐσομένην.

XXVIII. Τριάκοντα δ' ἡμερῶν διαγενομένων ὁ Ἀλκιβιάδης ἵππου ποθὲν εὐπορήσας καὶ ἀποδρὰς τοὺς φύλακας εἰς Κλαζομενὰς διέφυγε. (2) Καὶ τὸν μὲν Τι- f σαφέρνην προσδιέβαλλεν, ὡς ὑπ' ἐκείνου μεθειμένος, αὐτὸς δὲ πλεύσας εἰς τὸ στρατόπεδον τῶν Ἀθηναίων καὶ πυθόμενος Μίνδαρον ὁμοῦ καὶ Φαρνάβαζον ἐν Κυζίκῳ γεγονέναι, τοὺς μὲν στρατιώτας παρώρμησεν, ὡς ἀνάγκην οὖσαν αὐτοῖς καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν
207πρὸς τοὺς πολεμίους· χρήματα γὰρ οὐκ εἶναι μὴ πάντη a κρατοῦσι· πληρώσας δὲ τὰς ναῦς καὶ κατάρας εἰς Προικόννησον ἐκέλευσεν ἐντὸς περιβάλλειν τὰ λεπτὰ πλοῖα καὶ παραφυλάσσειν, ὅπως μηδεμία τοῖς πολεμίοις ἐπιπλέοντος αὐτοῦ γένοιτο μηδαμόθεν προαίσθησις. (3) Ἔτυχε δὲ καὶ πολὺν ὄμβρον ἐξαίφνης ἐπιπεσόντα καὶ βροντὰς καὶ ζόφον συνεργῆσαι καὶ συνεπικρύψαι τὴν παρασκευήν. Οὐ γὰρ μόνον τοὺς πολεμίους ἔλαθεν, ἀλλὰ καὶ τοὺς Ἀθηναίους ἀπεγνωκότας ἤδη ἐμβῆναι κελεύσας ἀνήχθη. (4) Καὶ μετὰ μικρὸν δ τε ζόφος διελύθη καὶ κατώφθησαν αἱ τῶν Πελοποννησίων νῆες αἰωρούμεναι πρὸ τοῦ λιμένος τῶν Κυζικηνῶν. (5) Δείσας οὖν ὁ Ἀλκιβιάδης, μὴ διὰ τὸ πλῆθος b αὐτὸν προϊδόντες εἰς τὴν γῆν καταφύγωσι, ταῖς μὲν στρατηγοὺς ἐκέλευσεν ἡσυχῇ πλέοντας ὑπολείπεσθαι, αὐτὸς δὲ τεσσαράκοντα ναῦς ἔχων ἐφαίνετο καὶ προὐκαλεῖτο τοὺς πολεμίους. Ἐπεὶ δ' ἐξηπάτηντο καὶ καταφρονήσαντες ὡς ἐπὶ τοσαύτας ἀντεξήλασαν, αὐτοὶ μὲν εὐθὺς ἐξήπτοντο καὶ συνεπλέκοντο, τῶν δ' ἄλλων ἤδη μαχομένοις ἐπιφερομένων ἐκπλαγέντες ἔφευγον. (6) Ὁ δ' Ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβὰς ἐνέκειτο τοῖς φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρε· Μινδάρου δὲ καὶ Φαρναβάζου προσβοηθούντων κρατήσας, τὸν μὲν Μίν-

utrinque altera parte, altera vincentes, usque ad vesperam acri pugna decertabant. (4) Ut visus est cum suis navibus, utrisque contraria opinio incidit; hostesque animis confirmati sunt, perturbati Athenienses. Celeriter ibi signum Atheniensibus amicum a prætoria navi extulit, Peloponnesiosque jam victores et Atheniensibus instantes adortus est; (5) fusos ad terram expulit, incumbensque naves eorum diffidit ac vulneravit, dum milites enatando salutem quærebant atque Pharnabazus iis in terra auxilium ferebat navesque e littore defendebat; tandem triginta hostilibus navibus captis suisque servatis Athenienses tropæum erexerunt. (6) Hoc tam splendido feliciter perpetrato facinore, cupiens se statim Tisapherni ostentare, abiit ad eum cum comitatu imperatoris, dona ferens et hospitalia munera. (7) Sed præter exspectationem ei res cecidit; Tisaphernes enim jam pridem male audiens apud Lacedæmonios, veritusque ne apud regem etiam accusaretur, Alcibiadem in tempore ad se venisse ratus, captum Sardibus in custodia habuit, hoc se flagitio obtrectationes sublaturum sperans.

XXVIII. Verum Alcibiades triginta diebus elapsis equum forte nactus custodes effugit ac Clazomenas pervenit. (2) Ibi Tisaphernem insuper calumniatus est, se ab eo dimissum, ad exercitum Atheniensem navigavit. Inde audito, Mindarum unaque Pharnabazum Cyzici esse, milites cohortans et navali et pedestri prœlio decertare, imo etiam oppugnare urbes hostis pellendi causa: neque enim, nisi si ubique vicissent, opes habituros. Proinde impositis in naves militibus, in Proconnesum advectus est atque ibi jussit naves minores in mediam classem subduci et caveri, ne ullo modo hostes ipsum contra se cum classe venire sentirent. (3) Repente etiam tum forte effusus imber cum tonitribus et caligine in apparatu eo occultando eum adjuvit, ita ut non hostes modo fefellerit, sed Atheniensibus jam de re gerenda desperantibus naves conscendere jussis, avectus sit. (4) Paulo post et caligo dissipata est et Peloponnesiorum classis in alto ante Cyzicenorum portum conspecta. (5) Alcibiades autem veritus, ne multitudinem suarum navium hostes conspicati ad terram fugerent, ducibus mandato, ut tarde navigantes aliquo ipsum intervallo consequerentur, quadraginta cum navibus hosti in conspectum venit et ad pugnam lacessivit; paucitate vero navium quas contemnerent decepti, in aciem prodierunt et statim impetu facto, pugnam commiserunt; sed, ut reliquæ in pugnantes jam irruebant, perterriti fugam dederunt. (6) Alcibiades cum viginti optimis navibus perrupit celeriterque terræ advectus, navibus egressus cum suis, fugientes e navibus hostes insectatus, magnam stragem edidit; Mindarumque et Pharnabazum auxilio suis venientes, alterum

δαρον ἀνεῖλεν ἐῤῥωμένως ἀγωνιζόμενον, ὁ δὲ Φαρνάβαζος c
ἔφυγε. (7) Πολλῶν δὲ καὶ νεκρῶν καὶ ὅπλων κρατή-
σαντες τάς τε ναῦς ἁπάσας ἔλαβον, χειρωσάμενοι δὲ
καὶ Κύζικον ἐκλιπόντος τοῦ Φαρναβάζου καὶ τῶν Πε-
λοποννησίων διαφθαρέντων οὐ μόνον τὸν Ἑλλήσποντον
εἶχον βεβαίως, ἀλλὰ καὶ τῆς ἄλλης θαλάττης ἐξήλασαν
κατὰ κράτος τοὺς Λακεδαιμονίους. (8) Ἑάλω δὲ καὶ
γράμματα λακωνικῶς φράζοντα τοῖς Ἐφόροις τὴν γε-
γενημένην ἀτυχίαν· « Ἔῤῥει τὰ καλά· Μίνδαρος ἀπεσ-
σούα· πεινῶντι τῶνδρες· ἀπορίομες, τί χρὴ δρᾶν. »

XXIX. Οὕτω δ' ἐπήρθησαν οἱ μετὰ τοῦ Ἀλκιβιά-
δου στρατευσάμενοι καὶ τοσοῦτον ἐφρόνησαν, ὥστ' ἀπα- d
ξιοῦν ἔτι τοῖς ἄλλοις καταμιγνύναι στρατιώταις ἑαυτοὺς
πολλάκις ἡττημένοις ἀηττήτους ὄντας. (2) Καὶ γὰρ
οὐ πολλῷ πρότερον συνεβεβήκει πταίσαντος περὶ Ἔφε-
σον τοῦ Θρασύλλου τὸ χαλκοῦν ἀνεστάναι τρόπαιον
ὑπὸ τῶν Ἐφεσίων ἐπ' αἰσχύνῃ τῶν Ἀθηναίων. (3)
Ταῦτ' οὖν ὠνείδιζον οἱ μετὰ τοῦ Ἀλκιβιάδου τοῖς μετὰ
τοῦ Θρασύλλου μεγαλύνοντες αὐτοὺς καὶ τὸν στρα-
τηγόν, ἐκείνοις δὲ μήτε γυμνασίων μήτε χώρας ἐν
στρατοπέδῳ κοινωνεῖν ἐθέλοντες. (4) Ἐπεὶ δὲ Φαρνά-
βαζος ἱππέας τε πολλοὺς ἔχων καὶ πεζοὺς ἐπῆλθεν αὐ-
τοῖς ἐμβεβληκόσιν εἰς τὴν Ἀβυδηνῶν, ὁ δ' Ἀλκιβιάδης
ἐκβοηθήσας ἐπ' αὐτὸν ἐτρέψατο καὶ κατεδίωξεν ἄχρι e
σκότους μετὰ τοῦ Θρασύλλου, καὶ ἀνεμίγνυντο καὶ
κοινῇ φιλοφρονούμενοι καὶ χαίροντες ἐπανῆεσαν εἰς τὸ
στρατόπεδον. (5) Τῇ δ' ὑστεραίᾳ στήσας τρόπαιον
ἐλεηλάτει τὴν Φαρναβάζου χώραν οὐδενὸς ἀμύνεσθαι
τολμῶντος. Ἱερεῖς μέντοι καὶ ἱερείας ἔλαβε μὲν, ἀλλ'
ἀφῆκεν ἄνευ λύτρων. (6) Χαλκηδονίοις δ' ἀφεστῶσι
καὶ δεδεγμένοις φρουρὰν καὶ ἁρμοστὴν Λακεδαιμονίων
ὡρμημένος πολεμεῖν, ἀκούσας δ' ὅτι τὴν λείαν πᾶσαν
ἐκ τῆς χώρας συναγαγόντες εἰς Βιθυνοὺς ἐκτίθενται φί-
λους ὄντας, ἦκεν ἐπὶ τοὺς ὅρους ἄγων τὸ στράτευμα
καὶ κήρυκα προπέμψας ἐνεκάλει τοῖς Βιθυνοῖς. Οἱ δὲ f
δείσαντες τήν τε λείαν ἀπέδοσαν αὐτῷ καὶ φιλίαν ὡμο-
λόγησαν.

XXX. Ἀποτειχιζομένης δὲ τῆς Χαλκηδόνος ἐκ θα-
λάττης εἰς θάλατταν ὁ Φαρνάβαζος ἦκεν ὡς λύσων τὴν
πολιορκίαν· καὶ Ἱπποκράτης ὁ ἁρμοστὴς ἐκ τῆς πόλεως
συναγαγὼν τὴν σὺν αὐτῷ δύναμιν ἐπεχείρει τοῖς Ἀθη-
208ναίοις. (2) Ὁ δ' Ἀλκιβιάδης ἅμα πρὸς ἀμφοτέρους a
ἀντιτάξας τὸ στράτευμα τὸν μὲν Φαρνάβαζον αἰσχρῶς
φεύγειν ἠνάγκασε, τὸν δ' Ἱπποκράτη διέφθειρε καὶ συ-
χνοὺς τῶν περὶ αὐτὸν ἡττηθέντας. (3) Εἶτ' αὐτὸς μὲν
ἐκπλεύσας εἰς τὸν Ἑλλήσποντον ἠργυρολόγει καὶ Ση-
λυβρίαν εἶλεν ἀφειδήσας ἑαυτοῦ παρὰ τὸν καιρόν. Οἱ
γὰρ ἐνδιδόντες τὴν πόλιν συνέθεντο μὲν ἀνασχήσειν
πυρσὸν αὐτῷ μεσούσης νυκτὸς, ἠναγκάσθησαν δὲ τοῦτο
ποιῆσαι πρὸ τοῦ καιροῦ τῶν συνωμοτῶν τινα φοβηθέν-
τες ἐξαίφνης μεταβαλόμενον. (4) Ἀρθέντος οὖν τοῦ
πυρσοῦ μηδέπω τῆς στρατιᾶς οὔσης ἑτοίμης ἀναλαβὼν
ὅσον τριάκοντα περὶ αὐτὸν ἠπείγετο δρόμῳ πρὸς τὰ
τείχη τοὺς ἄλλους ἕπεσθαι κατὰ τάχος κελεύσας. (5)

fortiter pugnantem occidit, Pharnabazus vero in fugam se
contulit. (7) Athenienses multis interfectis armisque et
omnibus hostium navibus potiti, Cyzicum quoque a Phar-
nabazo relictam, cæsis Peloponnesiis, ceperunt; ac proinde
non Hellespontum solum tuto obtinuerunt, sed et reliquo
mari Lacedæmonios profligarunt. (8) Literæ etiam inter-
ceptæ sunt Laconice scriptæ, quibus Ephoris clades accepta
indicaretur : Actum est; Mindarus periit; exercitus esurit;
quid agendum sit, nescimus.

XXIX. Tantum vero milites Alcibiadis sibi arrogarunt,
adeoque animos extulerunt, ut dedignati sint posthac ipsi d
nunquam victi cum reliquis aliquoties victis commisceri.
(2) Nam non multo ante apud Ephesum Thrasyllus victus
et æreum tropæum ab Ephesiis in dedecus Atheniensium
erat statutum. (3) Hoc milites Alcibiadis, Thrasylli mili-
tibus exprobrabant, se ipsos et ducem laudibus tollentes;
cumque iis neque exercitationes communes habere, neque in
suis castris locum iis dare volebant. (4) Sed postquam Phar-
nabazus cum magno equitatu peditatuque Athenienses Aby-
denorum agrum ingressos adortus est et Alcibiades una cum
Thrasyllo auxilium iis tulit fugatumque hostem usque ad
noctem insecutus est, inde inter se commixti milites, mu-
tuoque humaniter accepti in castra redierunt. (5) Postri-
die fixo tropæo prædam e Pharnabazi regione egit, ne-
mine resistere auso : pontifices tamen sacrisque præfectas
mulieres, quas ceperat, omnes sine pretio dimisit. (6) Inde
bellum parans contra Chalcedonenses, qui defecerant, præ-
sidiumque et præfectum a Spartanis acceperant, audito eos
omnia sua bona ex agris collecta apud Bithynos amicos suos
deponere, in horum fines exercitum adduxit præmissoque
præcone cum Bithynis expostulavit; sic perterriti bona
Chalcedonensium dediderunt fœdusque icerunt cum Athe-
niensibus.

XXX. Deinde Chlacedon munitionibus ab uno mari ad al-
terum porrectis clauditur, Pharnabazus ad obsidionem disji-
ciendam advenit; et Hippocrates præfectus cum suis copiis
urbem egressus, adortus est Athenienses. (2) Alcibiades utri-
que opposita acie, Pharnabazum turpi fuga sibi consulere
coegit, Hippocratem multosque cum eo victos interfecit. (3)
Secundum hæc pecuniæ colligendæ causa in Hellespontum
profectus cepit Selybriam, ubi intempestive in apertum vitæ
periculum se conjecit. Qui enim urbem se in manus ei tradi-
turos polliciti erant, media nocte face signum daturos compo-
suerant; veriti autem, ne unus conjuratorum, qui subito ani-
mum mutaverat, rem detegeret, coacti sunt maturius quam
convenerat ignem edere. (4) Alcibiades nondum parato ad
id, quod agendum erat, exercitu, assumptis triginta tantum
viris ad muros accurrit, celeriter reliquos subsequi jubens.

Ἀνοιχθείσης δὲ τῆς πύλης αὐτῷ καὶ προσγενομένων τοῖς τριάκοντα πελταστῶν εἴκοσι παρεισπεσὼν εὐθὺς ἧσθετο τοὺς Σηλυβριανοὺς ἐξ ἐναντίας μετὰ τῶν ὅπλων ἐπιφερομένους. (6) Ἐπεὶ δ' ὑποστάντι μὲν οὐκ ἐφαίνετο σωτηρία, πρὸς δὲ τὸ φυγεῖν ἀήττητος ἄχρι τῆς ἡμέρας ἐκείνης ἐν ταῖς στρατηγίαις γεγονὼς φιλονεικότερον εἶχε, τῇ σάλπιγγι σημήνας σιωπὴν ἐκέλευσεν ἕνα τῶν παρόντων ἀνειπεῖν, Σηλυβριανοὺς Ἀθηναίοις ἐναντία ὅπλα μὴ τίθεσθαι. (7) Τοῦτο τὸ κήρυγμα τοὺς μὲν ἀμβλυτέρους ἐποίησε πρὸς τὴν μάχην, ὡς τῶν πολεμίων ἔνδον ὄντων ἁπάντων, οἱ δὲ ταῖς ἐλπίσιν ἡδίους ἐγένοντο πρὸς τὰς διαλύσεις. (8) Ἐν ᾧ δὲ συστάντες ἀλλήλοις ἐδίδοσαν λόγον, ἐπῆλθεν ἡ στρατιὰ τῷ Ἀλκιβιάδῃ καὶ τεκμαιρόμενος, ὅπερ ἦν, εἰρηνικὰ φρονεῖν τοὺς Σηλυβριανούς, ἐδεισε μὴ τὴν πόλιν οἱ Θρᾷκες διαρπάσωσιν. (9) Ἦσαν δὲ πολλοὶ χάριτι τοῦ Ἀλκιβιάδου καὶ δι' εὔνοιαν στρατευόμενοι προθύμως. Ἀπέπεμψεν οὖν τούτους ἅπαντας ἐκ τῆς πόλεως, τοὺς δὲ Σηλυβριανοὺς δεηθέντας οὐδὲν ἠδίκησεν, ἀλλὰ χρήματα λαβὼν καὶ φρουρὰν ἐγκαταστήσας, ἀπῆλθεν.

XXXI. Οἱ δὲ πολιορκοῦντες τὴν Χαλκηδόνα στρατηγοὶ σπονδὰς ἐποιήσαντο πρὸς Φαρνάβαζον ἐπὶ τῷ χρήματα λαβεῖν καὶ Χαλκηδονίους ὑπηκόους πάλιν Ἀθηναίοις εἶναι, τὴν δὲ Φαρναβάζου χώραν μὴ ἀδικεῖν, Φαρνάβαζον δὲ πρέσβεσιν Ἀθηναίων πρὸς βασιλέα πομπὴν μετ' ἀσφαλείας παρασχεῖν. (2) Ὡς οὖν ἐπανελθόντα τὸν Ἀλκιβιάδην ὁ Φαρνάβαζος ἠξίου καὶ αὐτὸν ὁμόσαι περὶ τῶν ὡμολογημένων, οὐκ ἔφη πρότερον ἢ ἐκεῖνον αὐτοῖς ὁμόσαι. (3) Γενομένων δὲ τῶν ὅρκων ἐπὶ Βυζαντίους ἀφεστῶτας ἦλθε καὶ περιετείχιζε τὴν πόλιν. (4) Ἀναξιλάου δὲ καὶ Λυκούργου καί τινων ἄλλων συνθεμένων ἐπὶ σωτηρίᾳ παραδώσειν τὴν πόλιν, διαδοὺς λόγον, ὡς ἀνίστησιν αὐτοὺς πράγματα νεώτερα συνιστάμενα περὶ τὴν Ἰωνίαν, ἡμέρας ἀπέπλει ταῖς ναυσὶ πάσαις, νυκτὸς δ' ὑποστρέψας αὐτὸς μὲν ἀπέβη μετὰ τῶν ὁπλιτῶν καὶ προσελθὼν τοῖς τείχεσιν ἡσυχίαν ἦγεν· αἱ δὲ νῆες ἐπὶ τὸν λιμένα πλεύσασαι καὶ βιαζόμεναι κραυγῇ τε πολλῇ καὶ θορύβοις καὶ ψόφοις ἅμα μὲν ἐξέπληττον τῷ ἀπροσδοκήτῳ τοὺς Βυζαντίους, ἅμα δὲ τοῖς ἀττικίζουσι παρεῖχον ἐπ' ἀδείας τὸν Ἀλκιβιάδην δέχεσθαι πάντων ἐπὶ τὸν λιμένα καὶ τὰς ναῦς βοηθούντων. (5) Οὐ μὴν ἀμαχεὶ προσεχώρησαν· οἱ γὰρ παρόντες ἐν τῷ Βυζαντίῳ Πελοποννήσιοι καὶ Βοιωτοὶ καὶ Μεγαρεῖς τοὺς μὲν ἀπὸ τῶν νεῶν ἐτρέψαντο καὶ καθεῖρξαν εἰς τὰς ναῦς πάλιν, τοὺς δ' Ἀθηναίους ἔνδον ὄντας αἰσθόμενοι καὶ συντάξαντες ἑαυτοὺς ἐχώρουν ὁμόσε. (6) Καρτερᾶς δὲ μάχης γενομένης ἐνίκησεν Ἀλκιβιάδης τὸ δεξιὸν κέρας ἔχων, Θηραμένης δὲ τὸ εὐώνυμον, καὶ τῶν πολεμίων τοὺς περιγενομένους ὅσον τριακοσίους ζῶντας ἔλαβε. (7) Βυζαντίων δὲ μετὰ τὴν μάχην οὐδεὶς ἀπέθανεν οὐδ' ἔφυγεν. Ἐπὶ τούτοις γὰρ οἱ ἄνδρες παρέδοσαν τὴν πόλιν καὶ ταῦτα συνέθεντο μηδὲν αὐτοῖς ἴδιον ὑπεξελόμενοι. (8) Διὸ καὶ δίκην προδοσίας ἐν Λακεδαίμονι φεύγων ὁ Ἀναξίλαος ἐφάνη τῷ λόγῳ τὸ

(5) Aperta porta cum triginta his aliisque cetratis viginti, qui tum se adjunxerant, ut in urbem ingressus est, Selybrianos armatos contra se venire animadvertit. (6) Quum vero consistenti spes nulla esset salutis et fugæ dedecus invictus ad eum usque diem dux non sustineret, tuba canere et silentium mandare jussit, atque facto silentio, unum ex suis edicere, Selybriani adversus Athenienses ne arma caperent. (7) Hoc edictum partim ardorem pugnandi exstinxit, omnes hostes intra mœnia esse putantes, partim in majorem pacificationis spem erecti sunt. (8) Dum subsistentes inter se verba faciunt, exercitus Alcibiadis reliquus adfuit; isque conjiciens id quod res erat, Selybrianorum animos non esse alienos a pace, veritus est ne Thraces urbem diriperent. (9) Multos enim in exercitu habebat, qui studio et benevolentia adducti, militiam ejus cupide sequebantur; hos omnes extra mœnia abire jussit, Selybrianis vero deprecantibus nullum maleficium intulit, sed accepta pecunia præsidioque impositio, discessit.

XXXI. Interim duces obsidendæ Chalcedoni relicti, cum Pharnabazo fœdus inierant his conditionibus, ut pecuniam is daret, Chalcedonenses rursus Atheniensibus subditi essent, ac ditio posthac Pharnabazi non infestaretur, isque legatos Atheniensium tuto ad regem, comitatu addito, deduceret. (2) Reversum eo Alcibiadem Pharnabazus monuit, ut ipse quoque pactum juramento confirmaret, is tamen negavit prius se juraturum, nisi ille sibi ipsis juramentum præstitisset. (3) Jurejurando utrinque præstito, Byzantium propter defectionem factam Alcibiades circumsedit, et munitionibus cinxit. (4) Cumque Anaxilaus, Lycurgus et alii nonnulli salute promissa urbem se tradituros recepissent, rumorem spargens, se ab obsidione motibus Ioniæ avocari, interdiu cum tota classe discessit; sed noctu reversus, ipse cum armatis peditibus e navibus exivit, ad murumque progressus se continuit; naves in portum subvectæ, magnoque cum clamore, tumultu et strepitu eum vi occupantes, re inopinata animos Byzantiorum terruerunt, accurrentibusque omnibus ad portum et naves defendendas occasio data est iis qui Atheniensium rebus studebant, ut impunitate proposita Alcibiadem cum suis in urbem reciperent. (5) Non tamen sine certamine res peracta est; qui enim in urbe erant Peloponnesii, Bœoti ac Megarenses, navibus egressos Athenienses in fugam conjecerunt navesque repetere coegerunt; deinde Athenienses in urbem admissos cum intellexissent, composito agmine manus conseruerunt. (6) Pugnatum est acriter, vicitque Alcibiades dextrum cornu, sinistrum Theramenes ducens, et ex hostibus qui cædem evaserant, cepit circiter trecentos. (7) Finito prœlio, nemo Byzantiorum neque cæsus, neque urbe pulsus est; his enim conditionibus illi urbem tradiderant: atque hæc pacti erant, nulla facta sui commodi causa exceptione. (8) Itaque postea proditionis postulatus Anaxilaus Lacedæmone, eam orationem

ἔργον οὐκ αἰσχύνων. Ἔφη γὰρ οὐκ ὢν Λακεδαιμόνιος, ἀλλὰ Βυζάντιος, οὐδὲ τὴν Σπάρτην κινδυνεύουσαν, ἀλλὰ τὸ Βυζάντιον ὁρῶν, τῆς μὲν πόλεως ἀποτετειχισμένης, μηδενὸς δ' εἰσαγομένου, τὸν δ' ὄντα σῖτον ἐν τῇ πόλει Πελοποννησίων καὶ Βοιωτῶν ἐσθιόντων, Βυζαντίων δὲ πεινώντων σὺν τέκνοις καὶ γυναιξίν, οὐ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ πολέμων καὶ κακῶν ἀπαλλάξαι τὴν πόλιν, μιμούμενος τοὺς ἀρίστους Λακεδαιμονίων, οἷς ἓν καλὸν ἁπλῶς καὶ δίκαιόν ἐστι τὸ τῆς πατρίδος συμφέρον. Οἱ μὲν οὖν Λακεδαιμόνιοι ταῦτ' ἀκούσαντες ἠδέσθησαν καὶ ἀπέλυσαν τοὺς ἄνδρας.

XXXII. Ὁ δ' Ἀλκιβιάδης ἰδεῖν τε ποθῶν ἤδη τὰ οἰκοι καὶ ἔτι μᾶλλον ὀφθῆναι βουλόμενος τοῖς πολίταις νενικηκὼς τοὺς πολεμίους τοσαυτάκις ἀνήχθη, πολλαῖς μὲν ἀσπίσι καὶ λαφύροις κύκλῳ κεκοσμημένων τῶν Ἀττικῶν τριήρων, πολλὰς δ' ἑφελκόμενος αἰχμαλώτους, ἔτι δὲ πλείω κομίζων ἀκροστόλια τῶν διεφθαρμένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων. Ἦσαν γὰρ οὐκ ἐλάττους συναμφότεραι διακοσίων. (2) Ὁ δὲ Δοῦρις ὁ Σάμιος Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι προστίθησι τούτοις, αὐλεῖν μὲν εἰρεσίαν τοῖς ἐλαύνουσι Χρυσόγονον τὸν Πυθιονίκην, κελεύειν δὲ Καλλιππίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτήν, στατὸν καὶ ξυστίδα καὶ τὸν ἄλλον ἐναγώνιον ἀμπεχόμενον κόσμον, ἱστίῳ δ' ἁλουργῷ τὴν ναυαρχίδα προσφέρεσθαι τοῖς λιμέσιν, ὥσπερ ἐκ μέθης ἐπικωμάζοντος, οὔτε Θεόπομπος οὔτ' Ἔφορος οὔτε Ξενοφῶν γέγραφεν, οὔτ' εἰκὸς ἦν οὕτως ἐντρυφῆσαι τοῖς Ἀθηναίοις μετὰ φυγὴν καὶ συμφορὰς τοσαύτας κατερχόμενον, ἀλλ' ἐκεῖνος καὶ δεδιὼς κατήγετο καὶ καταχθεὶς οὐ πρότερον ἀπέβη τῆς τριήρους, πρὶν στὰς ἐπὶ τοῦ καταστρώματος ἰδεῖν Εὐρυπτόλεμόν τε τὸν ἀνεψιὸν παρόντα καὶ τῶν ἄλλων φίλων καὶ οἰκείων συχνοὺς ἐκδεχομένους καὶ παρακαλοῦντας. (3) Ἐπεὶ δ' ἀπέβη τοὺς μὲν ἄλλους στρατηγοὺς οὐδ' ὁρᾶν ἐδόκουν ἁπαντῶντες οἱ ἄνθρωποι, πρὸς δ' ἐκεῖνον συντρέχοντες ἐβόων, ἠσπάζοντο, παρέπεμπον, ἐστεφάνουν προσιόντες, οἱ δὲ μὴ δυνάμενοι προσελθεῖν ἄπωθεν ἐθεῶντο καὶ τοῖς νέοις ἐδείκνυσαν οἱ πρεσβύτεροι. (4) Πολὺ δὲ καὶ δάκρυον τῷ χαίροντι τῆς πόλεως ἀνεκέκρατο καὶ μνήμη πρὸς τὴν παροῦσαν εὐτυχίαν τῶν πρόσθεν ἀτυχημάτων λογιζομένοις, ὡς οὔτ' ἂν Σικελίας διήμαρτον οὔτ' ἄλλο τι τῶν προσδοκηθέντων ἐξέφυγεν αὐτοὺς ἐάσαντας Ἀλκιβιάδην ἐπὶ τῶν τότε πραγμάτων καὶ τῆς δυνάμεως ἐκείνης, εἰ νῦν τὴν πόλιν παραλαβὼν ὀλίγου δέουσαν ἐκπεπτωκέναι τῆς θαλάσσης, κατὰ γῆν δὲ μόλις τῶν προαστείων κρατοῦσαν, αὐτὴν δὲ πρὸς ἑαυτὴν στασιάζουσαν, ἐκ λυπρῶν ἔτι λειψάνων καὶ ταπεινῶν ἀναστήσας οὐ μόνον γε τῆς θαλάττης τὸ κράτος ἀποδέδωκεν, ἀλλὰ καὶ πεζῇ νικῶσαν ἀποδείκνυσι πανταχοῦ τοὺς πολεμίους.

XXXIII. Τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο, Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις·

Γνώμη δ' ἣ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν

habuit, qua nihil a se turpe factum ostenderet; se, cum esset non Lacedæmonius, sed Byzantius et in periculo non Spartam, sed Byzantium videret constitutum, urbe circumsessa, cum nihil rerum importaretur, quod autem in urbe esset cibi, id Peloponnesii et Bœoti comederent, esurientibus Byzantiis cum uxoribus ac liberis suis; non prodidisse hostibus urbem, sed bello malisque liberasse, imitatum præstantissimos Spartanorum, qui patriæ commodis nihil antiquius aut justius habuissent; et auditis his pudore suffusi Spartani, viros hos crimine absolverunt.

XXXII. Ceterum Alcibiades et videre jam desiderans patriam, et magis etiam videri se cupiens a civibus suis, quibus tot contra hostes peperisset victorias, Athenas revectus est cum classe; erant autem cum multis clypeis et spoliis undique exornatæ Atticæ triremes, tum magnum post se captivarum numerum trahebat rostraque a se victarum et pessundatarum navium haud pauciorum ducentis secum inferebat. (2) Addit his omnibus Duris Samius, qui genus suum ad Alcibiadem auctorem refert, Chrysogonum Pythionicam tibia præcinuisse remigibus nauticos modos, Callippidem tragœdiarum histrionem, stato et xystide ceteroque habitu instructum, quo uti solent qui docendis fabulis in theatro certant, remigum fuisse hortatorem, navem prætoriam explicato velo purpureo in portum subiisse, quasi ille crapulis plenus ex comessatione rediret. Hæc neque Ephorus, neque Theopompus, neque Xenophon commemorat, neque vero probabile est Alcibiadem adeo per luxum voluisse Athieniensibus insultare, ab exsulio tantisque reversum miseriis. Enimvero et timide reversus est in patriam; et cum tenuisset portum, non ante triremi egressus est, quam in tabulato navis stans, Euryptolemum consobrinum suum, compluresque alios amicos et propinquos adesse vidit, qui sui excipiendi causa adstabant, utque prodiret, hortabantur. (3) Postquam navi exerat, reliquos duces ne adspicere quidem videbantur homines, qui obviam iverant, ita ad unum Alcibiadem concursum est, hunc inclamabant: salutabant, comitabantur, coronabant qui accedere poterant: qui non poterant, eminus spectabant, junioribusque eum seniores demonstrabant. (4) Multis quoque id gaudium urbis temperatum est lacrimis, cum præsentem felicitatem superioribus calamitatibus comparantes, cogitarent, nunquam futurum fuisse, ut vel Siciliense bellum secus caderet, vel ullus alius conatus irritus esset, si eo tempore Alcibiadem imperatorem tantis rebus tantisque copiis præfectum retinuissent; quando is in præsentia urbis propemodum mari toto exclusæ, terraque vix suburbanorum potentis, ad hæc intestinis seditionibus concussæ, res susceptas, ex exiguis et abjectis reliquiis ita excitasset, ut non maris modo imperium redderet, sed et in terra ubique hostes victos propulsatosque ostenderet.

XXXIII. Lex de ejus reditu prius perlata erat, promulgante eam Critia Callæschri filio, ut ipse in Elegiis testatur, memoriam beneficii ejus Alcibiadi renovans:

Ipse tuli ad populum legem primusque rogavi,

εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ' ἡμετέρης γλώττης ἐπὶ τοῖσδεσι κεῖται.

in dulcem reditus qua datus est patriam.
Munlit hanc fidei certo mea lingua sigillo.

(2) Τότε δὲ τοῦ δήμου συνελθόντος εἰς τὴν ἐκκλησίαν παρελθὼν * ὁ Ἀλκιβιάδης καὶ τὰ μὲν αὑτοῦ πάθη a κλαύσας καὶ ὀλοφυράμενος, ἐγκαλέσας δὲ μικρὰ καὶ μέτρια τῷ δήμῳ, τὸ δὲ σύμπαν ἀναθεὶς αὑτοῦ τινι τύχῃ πονηρᾷ καὶ φθονερῷ δαίμονι, πλεῖστα δ' εἰς ἐλπίδας τῶν πολεμίων καὶ πρὸς τὸ θαρρεῖν διαλεχθεὶς καὶ παρορμήσας στεφάνοις μὲν ἐστεφανώθη χρυσοῖς, ἠρέθη δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ στρατηγός. (3) Ἐψηφίσαντο δὲ τὴν οὐσίαν ἀποδοῦναι αὐτῷ καὶ τὰς ἀρὰς ἀφοσιώσασθαι πάλιν Εὐμολπίδας καὶ κήρυκας, ἃς ἐποιήσαντο τοῦ δήμου προστάξαντος. Ἀφοσιουμένων δὲ τῶν ἄλλων Θεόδωρος ὁ ἱεροφάντης, « Ἀλλ' ἐγώ, εἶπεν, οὐδὲ κατηρασάμην αὐτῷ κακὸν οὐδέν, εἰ μηδὲν ἀδικεῖ τὴν πόλιν. »

XXXIV. Οὕτω δὲ τοῦ Ἀλκιβιάδου λαμπρῶς εὐημεροῦντος ὑπέθραττεν ἐνίους ὅμως ὁ τῆς καθόδου καιρός. Ἦι γὰρ ἡμέρᾳ κατέπλευσεν ἐδρᾶτο τὰ Πλυντήρια τῇ θεῷ. Δρῶσι δὲ τὰ ὄργια Πραξιεργίδαι Θαργηλιῶνος ἕκτῃ φθίνοντος ἀπόῤῥητα τόν τε κόσμον καθελόντες καὶ τὸ ἕδος κατακαλύψαντες. Ὅθεν ἐν ταῖς μάλιστα τῶν ἀποφράδων τὴν ἡμέραν ταύτην ἄπρακτον Ἀθηναῖοι νομίζουσιν. (2) Οὐ φιλοφρόνως οὖν οὐδ' εὐμενῶς ἐδόκει προσδεχομένη τὸν Ἀλκιβιάδην ἡ θεὸς παρακαλύπτεσθαι καὶ ἀπελαύνειν ἑαυτῆς. Οὐ μὴν ἀλλὰ πάντων γεγονότων τῷ Ἀλκιβιάδῃ κατὰ γνώμην καὶ πληρουμένων ἑκατὸν τριήρων, αἳ αὖθις ἐκπλεῖν c ἔμελλον, φιλοτιμία τις οὐκ ἀγεννὴς προσπεσοῦσα κατέσχεν αὐτὸν ἄχρι μυστηρίων. (3) Ἀφ' οὗ γὰρ ἐπετειχίσθη Δεκέλεια καὶ τῶν εἰς Ἐλευσῖνα παρόδων ἐκράτουν οἱ πολέμιοι παρόντες, οὐδένα κόσμον εἶχεν ἡ τελετὴ πεμπομένη κατὰ θάλατταν, ἀλλὰ καὶ θυσίαι καὶ χορεῖαι καὶ πολλὰ τῶν δρωμένων καθ' ὁδὸν ἱερῶν, ὅταν ἐξελαύνωσι τὸν Ἴακχον, ὑπ' ἀνάγκης ἐξελείπετο. (4) Καλὸν οὖν ἐφαίνετο τῷ Ἀλκιβιάδῃ καὶ πρὸς θεῶν ὁσιότητα καὶ πρὸς ἀνθρώπων δόξαν ἀποδοῦναι τὸ πάτριον σχῆμα τοῖς ἱεροῖς παραπέμψαντα πεζῇ τὴν τελετὴν καὶ δορυφορήσαντα παρὰ τοὺς πολεμίους· ἦ d γὰρ ἀτρεμήσαντα κομιδῇ κολούσειν καὶ ταπεινώσειν τὸν Ἄγιν, ἢ μάχην ἱερὰν καὶ θεοφιλῆ περὶ τῶν ἁγιωτάτων καὶ μεγίστων ἐν ὄψει τῆς πατρίδος μαχεῖσθαι καὶ πάντας ἕξειν μάρτυρας τοὺς πολίτας τῆς ἀνδραγαθίας. (5) Ὡς δὲ ταῦτ' ἔγνω καὶ προεῖπεν Εὐμολπίδαις καὶ κήρυξι, σκοποὺς μὲν ἐπὶ τῶν ἄκρων ἐκάθισε καὶ προδρόμους τινὰς ἅμ' ἡμέρᾳ προεξέπεμψεν, ἱερεῖς δὲ καὶ μύστας καὶ μυσταγωγοὺς ἀναλαβὼν καὶ τοῖς ὅπλοις περικαλύψας ἦγεν ἐν κόσμῳ καὶ μετὰ σιωπῆς, θέαμα σεμνὸν καὶ θεοπρεπὲς τὴν στρατηγίαν ἐκείνην ἐπιδεικνύμενος ὑπὸ τῶν μὴ φθονούντων ἱεροφαντίαν καὶ μυσταγωγίαν προσαγορευομένην. (6) Μηδενὸς δὲ τῶν πολεμίων e ἐπιθέσθαι τολμήσαντος ἀσφαλῶς ἐπαναγαγὼν εἰς τὴν πόλιν ἦρθη μὲν αὐτὸς τῷ φρονήματι καὶ τὴν στρατιὰν ἐπῆρεν ὡς ἄμαχον καὶ ἀήττητον οὖσαν ἐκείνου στρα-

(2) Tunc vero populo in concionem congregato, progressus Alcibiades, deplorato suo infortunio, leniterque incusato populo, omnem mali ejus causam fortunæ suæ iniquæ, invidiæque numinis adscripsit; et cum copiose de spe hostium (*quam vana sit*) locutus esset et animum ipsorum confirmasset, aureis est coronis ornatus, imperatorque plenæ potestatis terra marique creatus. (3) Decretum etiam factum, ut bona ei redderentur, utque imprecationes, quas contra eum Eumolpidæ et Præcones conceperant jussu populi, expiarentur. Quas cum expiarent ceteri, Theodorus pontifex : Ego vero, inquit, ne imprecatus quidem ei sum quicquam mali, si nulla civitatem injuria affecit.

XXXIV. At enim in tanta Alcibiadis felicitate nonnullos b tamen tempus reditus sollicitos tenuit. Appulit enim ea die, qua Plynteria Minervæ celebrantur. Peraguntur hæc sacra a Praxiergidis mensis Thargelionis die quinta et vicesima, omnisque tum ornatus deæ detrahitur et delubrum operitur; itaque eam diem Athenienses, præ reliquis atram et mali ominis censent. (2) Sic videbatur dea non propitiam se præbuisse, neque comiter accepisse Alcibiadem, sed tecta et obvelata eum ab se repulisse. Alcibiadem autem, omnibus ex animi sententia peractis et jam centum triremibus ad navigationem paratis, cupiditas quædam generosa usque ad mysteriorum peragendorum tempus detinuit. (3) Ab eo enim tempore, quo Decelea fuit ab hoste munita, itineraque Athenis Eleusinem tendentia ab hostibus fuerunt occupata, sacra Eleusinia, mari eo profectis Atheniensibus, nullo cum decore erant celebrata; nam et sacrificia et choreæ et multæ ceremoniæ, quæ in via adhibebantur quando deducunt Iacchum, eo tempore necessario intermittebantur. (4) Itaque et ad cultum deorum et ad laudem hominum facturum videbatur Alcibiadi, si illis sacris antiquos ritus reddidisset, pompamque ejus sacrificli per medios hostes terra deduxisset. Intelligebat etiam fore, ut aut quiescentis auctoritatem magnopere imminueret, aut si is rem impedire aggrederetur, pugnam pro religione deorum sanctissimisque ceremoniis in conspectu patriæ iniens omnibus civibus suam virtutem testatam faceret. (5) Quod cum ita decrevisset, re indicata Eumolpidis et præconibus speculatores in summis locis constituit, summoque mane quosdam præcursores emisit, ipse sacerdotes cum mystis et mystagogis armis tectos composito agmine duxit cum silentio; quæ rejus expeditio venerandum plane ac religiosum præbuit spectaculum, ut ab iis qui invidia non laborabant, sacratissima haberetur pompa mystarumque initiatio. (6) Quia vero nemo hostium ipsos adoriri ausus est, postquam incolumes omnes in urbem reduxit, et ipse animo elatus est, et exercitum in eam evexit opinionem, ut insuperabilis et invictus ipso duce sibi vide-

τηγοῦντος, τοὺς δὲ φορτικοὺς καὶ πένητας οὕτως ἐδημαγώγησεν, ὥστ' ἐρᾶν ἔρωτα θαυμαστὸν ὑπ' ἐκείνου τυραννεῖσθαι καὶ λέγειν ἑνίους καὶ προσιέναι παρακελευμένους, ὅπως τοῦ φθόνου κρείττων γενόμενος καὶ καταβαλὼν ψηφίσματα καὶ νόμους καὶ φλυάρους ἀπολλύντας τὴν πόλιν ὡς ἂν ὑπάρξῃ καὶ χρήσηται τοῖς πράγμασι μὴ δεδιὼς τοὺς συκοφάντας.

XXXV. Αὐτὸς μὲν οὖν ἐκεῖνος ἦν εἶχε διάνοιαν περὶ τῆς τυραννίδος ἄδηλός ἐστιν· οἱ δὲ δυνατώτατοι τῶν πολιτῶν φοβηθέντες ἐσπούδασαν αὐτὸν ἐκπλεῦσαι τὴν ταχίστην τά τ' ἄλλα ψηφισάμενοι καὶ συνάρχοντας, οὓς ἐκεῖνος ἠθέλησεν. (2) Ἐκπλεύσας οὖν ταῖς ἑκατὸν ναυσὶ καὶ προσβαλὼν Ἀνδρῳ μάχῃ μὲν ἐνίκησεν αὐτῶν καὶ Λακεδαιμονίων, ὅσοι παρῆσαν, οὐ a
εἷλε δὲ τὴν πόλιν. Ἀλλὰ τοῦτο τῶν κοινῶν ἐγκλημάτων πρῶτον ὑπῆρξε κατ' αὐτοῦ τοῖς ἐχθροῖς. (3) Ἔοικε δ', εἴ τις ἄλλος, ὑπὸ τῆς αὐτοῦ δόξης καταλυθῆναι καὶ Ἀλκιβιάδης. Μεγάλη γὰρ οὖσα καὶ τόλμης καὶ συνέσεως γέμουσα ἀφ' ὧν κατώρθωσεν ὕποπτον αὐτοῦ τὸ ἐλλεῖπον, ὡς οὐ σπουδάσαντος, ἀπιστίᾳ τοῦ μὴ δυνηθῆναι παρεῖχε· σπουδάσαντα γὰρ οὐδὲν ἂν διαφυγεῖν. (4) Ἤλπιζον δὲ καὶ Χίους ἑαλωκότας ἀκούσεσθαι καὶ τὴν ἄλλην Ἰωνίαν. Ὅθεν ἠγανάκτουν, μὴ ταχὺ πάντα μηδ' εὐθέως, ὡς ἐβούλοντο, πυνθανόμενοι διαπεπραγμένον, οὐχ ὑπολογιζόμενοι τὴν ἀχρηματίαν, ἀφ' ἧς b
πολεμῶν πρὸς ἀνθρώπους βασιλέα μέγαν χορηγὸν ἔχοντας ἠναγκάζετο πολλάκις ἐκπλέων καὶ ἀπολείπων τὸ στρατόπεδον μισθοὺς καὶ τροφὰς πορίζειν. (5) Καὶ γὰρ τὸ τελευταῖον ἔγκλημα διὰ ταύτην ἔλαβε τὴν αἰτίαν. Λυσάνδρου γὰρ ἐπὶ τὴν ναυαρχίαν ἀποσταλέντος ὑπὸ Λακεδαιμονίων καὶ τετρώβολον ἀντὶ τριωβόλου τῷ ναύτῃ διδόντος ἐξ ὧν ἔλαβε παρὰ Κύρου χρημάτων αὐτὸς ἤδη γλίσχρως χορηγῶν καὶ τὸ τριώβολον ἀπῆρεν ἀργυρολογήσων ἐπὶ Καρίας. (6) Ὁ δ' ἀπολειφθεὶς ἐπὶ τῶν νεῶν ἐπιμελητὴς Ἀντίοχος ἀγαθὸς μὲν ἦν κυβερνήτης, ἀνόητος δὲ τἆλλα καὶ φορτικός· ἔχων δὲ c
πρόσταγμα παρὰ τοῦ Ἀλκιβιάδου μηδ' ἂν ἐπιπλέωσιν οἱ πολέμιοι διαναυμαχεῖν, οὕτως ἐξύβρισε καὶ κατεφρόνησεν, ὥστε τὴν αὑτοῦ πληρωσάμενος τριήρη καὶ τῶν ἄλλων μίαν ἐπιπλεῦσαι τῇ Ἐφέσῳ καὶ παρὰ τὰς πρῴρας τῶν πολεμίων νεῶν πολλὰ καὶ πράττων καὶ φθεγγόμενος ἀκόλαστα καὶ βωμολόχα παρεξελαύνειν. (7) Τὸ μὲν οὖν πρῶτον Λύσανδρος ὀλίγαις ναυσὶν ἐπαναχθεὶς ἐδίωκεν αὐτόν, τῶν δ' Ἀθηναίων ἐπιβοηθούντων πάσαις ἀναχθεὶς καὶ κρατήσας αὐτόν τε διέφθειρε τὸν Ἀντίοχον καὶ ναῦς ἔλαβε πολλὰς καὶ ἀνθρώπους καὶ τρόπαιον ἔστησεν. (8) Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ Ἀλκιβιάδης ἐπανελθὼν εἰς Σάμον ἀνήχθη παντὶ τῷ στόλῳ καὶ προὐκαλεῖτο τὸν Λύσανδρον. Ὁ δ' ἠγάπα νενικη- d
κὼς καὶ οὐκ ἀντανήγετο.

XXXVI. Τῶν δὲ μισούντων τὸν Ἀλκιβιάδην ἐν τῷ στρατοπέδῳ Θρασύβουλος ὁ Θράσωνος ἐχθρὸς ὢν ἀπῆρεν εἰς Ἀθήνας κατηγορήσων. Καὶ τοὺς ἐκεῖ παροξύνας ἔλεγε πρὸς τὸν δῆμον, ὡς Ἀλκιβιάδης διέφθαρκε

retur: plebem vero egenosque ita adulatione corrupit, ut tyrannidem ejus in se mirifice exoptarent, nonnullique eum accedentes hortarentur invidia contempta, decretis, legibus nugisque istis urbi perniciem afferentibus abrogatis et deletis, quo modo cunque liceret, summa rerum uteretur neque quicquam calumniatores curaret.

XXXV. Sane non constat, quis ejus sensus de tyrannide f
fuerit: certe potentissimi civium timore perculsi, operam dederunt ut quam primum classem educeret, ejusque rei causa cum alia decrevere, tum ut quos ipse vellet collegas adsciscceret. (2) Profectus ergo cum centum navibus ad Andrum appulit. Ibi Andriis et Lacedæmoniis, qui aderant, victis, urbem tamen non cepit; idque inter publica crimina primum ei ab inimicis illatum est. (3) Quod si quem unquam alium, profecto Alcibiadem videtur sua ipsius gloria evertisse. Rebus enim tam præclare gestis, eam de se audaciæ prudentiæque existimationem excitaverat, ut suspicionem moveret, sicubi Athenienses spe frustrabantur, ei studium defuisse, quod nemo crederet cum perficere, si quid instituisset (nam studiose agentem quodcunque confecturum opinabantur), non potuisse. (4) Sperantes ergo, Chios quoque et totam Ioniam ob eo subactam se audituros, indignati sunt, non statim ita, ut animo ipsi concepe-
rant, omnia ab eo perfecta sibi annunciari, non reputantes quam imparatus a pecunia bellum gereret contra eum hostem, cui rex Persarum sumptus suppeditaret; et vero egestate sæpenumero coactus est Alcibiades relicto exercitu alio navigare, ut stipendia et commeatum suis pararet. (5) Adeo quod ei objectum est ultimo crimen, hanc causam habuit. Lysander a Lacedæmoniis ad regendam classem missus, cum pro ternis quaternos obolos viritim suis nautis distribuisset ex illa pecunia, quam Cyrus suppeditaverat: Alcibiades, cui vix erat unde ternos suis daret, in Cariam pecuniæ parandæ causa profectus est. (6) Mandata erat classis administratio Antiocho, homini nauticæ quidem rei admodum perito, cetera tamen imprudenti et inepto; cui tum præceptum esset ab Alcibiade, ne navali pugna congrederetur, ne tum quidem, si ab hostili classe lacesseretur: Antiochus eo progressus est insolentiæ atque contemptus mandatorum Alcibiadis, ut suam aliamque triremem militibus instruens ad Ephesum navigarit ac multa impudenter scurriliterque dicens faciensque, hostium proras prætervectus sit. (7) Lysander initio cum paucis navibus provectus, insecutus est eum fugientem; deinde tota cum classe Atheniensibus subsidio venientibus, eductis suis ipse etiam triremibus, navalem victoriam obtinuit, Antiochum interfecit, multas naves, multos hostes cepit, tropæumque constituit. (8) Alcibiades reversus Samum ut rem gestam cognovit, tota
cum classe est profectus et Lysandrum ad pugnam provocavit: sed is parta victoria contentus, sese continuit.

XXXVI. At ex inimicis Alcibiadis, qui in castris Atheniensium erant, Thrasybulus Thrasonis filius Athenas profectus est accusator, ibique contra Alcibiadem populum concitavit, res eum perdidisse dicens ludibrioque eum tantum

τὰ πράγματα καὶ τὰς ναῦς ἀπολώλεκεν ἐντρυφῶν τῇ ἀρχῇ καὶ παραδιδοὺς τὴν στρατηγίαν ἀνθρώποις ἐκ πότων καὶ ναυτικῆς σπερμολογίας δυναμένοις παρ' αὐτῷ μέγιστον, ὅπως αὐτὸς ἐπ' ἀδείας χρηματίζηται περιπλέων καὶ ἀκολασταίνῃ μεθυσκόμενος καὶ συνὼν ἑταίραις Ἀβυδηναῖς καὶ Ἰωνίσιν ἐφορμούντων δι' ὀλίγου τῶν πολεμίων. (2) Ἐνεκάλουν δ' αὐτῷ καὶ τὴν e τῶν τειχῶν κατασκευήν, ἃ κατεσκεύασεν ἐν Θρᾴκῃ περὶ Βισάνθην αὐτῷ καταφυγὴν ὡς ἐν τῇ πατρίδι μὴ δυνάμενος βιοῦν ἢ μὴ βουλόμενος. (3) Οἱ δ' Ἀθηναῖοι πεισθέντες ἑτέρους εἵλοντο στρατηγοὺς ἐνδεικνύμενοι τὴν πρὸς ἐκεῖνον ὀργὴν καὶ κακόνοιαν. (4) Ἃ δὴ πυνθανόμενος ὁ Ἀλκιβιάδης καὶ δεδοικὼς ἀπῆλθεν ἐκ τοῦ στρατοπέδου παντάπασι καὶ συναγαγὼν ξένους ἐπολέμει τοῖς ἀβασιλεύτοις Θραξὶν ἰδίᾳ καὶ πολλὰ χρήματα ξυνήγαγεν ἀπὸ τῶν ἁλισκομένων καὶ τοῖς Ἕλλησιν ἅμα τοῖς προσοικοῦσιν ἄδειαν ἀπὸ τῶν βαρβάρων παρεῖχεν. (5) Ἐπεὶ δ' οἱ περὶ Τυδέα καὶ f Μένανδρον καὶ Ἀδείμαντον στρατηγοὶ πάσας ὁμοῦ τὰς ὑπαρχούσας τότε ναῦς τοῖς Ἀθηναίοις ἔχοντες ἐν Αἰγὸς ποταμοῖς εἰώθεσαν ἐπιπλεῖν τῷ Λυσάνδρῳ ναυλοχοῦντι περὶ Λάμψακον ἅμ' ἡμέρᾳ προκαλούμενοι καὶ πάλιν ἀναστρέφειν ὀπίσω καὶ διημερεύειν ἀτάκτως καὶ ἀμε-
212λῶς, ἅτε δὴ καταφρονοῦντες, ἐγγὺς ὢν ὁ Ἀλκιβιάδης a οὐ περιεῖδεν οὐδ' ἠμέλησεν, ἀλλ' ἵππῳ προσελάσας ἐδίδασκε τοὺς στρατηγούς, ὅτι κακῶς ὁρμοῦσιν ἐν χωρίοις ἀλιμένοις καὶ πόλιν οὐκ ἔχουσιν, ἀλλὰ πόρρωθεν ἐκ Σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντες καὶ περιορῶντες τὸ ναυτικὸν, ὅταν ἐπὶ τῆς γῆς γένηται, πλανώμενον ὅποι τις θέλοι καὶ διασπειρόμενον, ἀντεφορμοῦντος αὐτοῖς στόλου πρὸς ἐπίταγμα μοναρχικὸν εἰθισμένου σιωπῇ πάντα ποιεῖν.

XXXVII. Ταῦτα δὲ λέγοντος τοῦ Ἀλκιβιάδου καὶ παραινοῦντος εἰς Σηστὸν μεθορμίσαι τὸν στόλον οὐ προσεῖχον οἱ στρατηγοί· Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἐκέλευσεν ἀποχωρεῖν, οὐ γὰρ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν. (2) Ὁ δ' Ἀλκιβιάδης ὑπονοήσας τι καὶ b προδοσίας ἐν αὐτοῖς ἀπῄει καὶ τοῖς προπέμπουσι τῶν ἀπὸ τοῦ στρατοπέδου γνωρίμων ἔλεγεν, ὅτι μὴ προπηλακισθεὶς οὕτως ὑπὸ τῶν στρατηγῶν ὀλίγαις ἂν ἡμέραις ἠνάγκασε Λακεδαιμονίους διαναυμαχεῖν αὐτοῖς ἄκοντας ἢ τὰς ναῦς ἀπολιπεῖν. (3) Ἐδόκει δὲ τοῖς μὲν ἀλαζονεύεσθαι, τοῖς δ' εἰκότα λέγειν, εἰ Θρᾳκας ἐκ γῆς ἐπαγαγὼν πολλοὺς ἀκοντιστὰς καὶ ἱππεῖς προσμάχοιτο καὶ διαταράττοι τὸ στρατόπεδον αὐτῶν. Ὅτι μέντοι τὰς ἁμαρτίας τῶν Ἀθηναίων ὀρθῶς συνεῖδε ταχὺ τὸ ἔργον ἐμαρτύρησεν. (4) Ἄφνω γὰρ αὐτοῖς c καὶ ἀπροσδοκήτως τοῦ Λυσάνδρου προσπεσόντος ὀκτὼ μόναι τριήρεις ἐξέφυγον μετὰ Κόνωνος, αἱ δ' ἄλλαι μικρὸν ἀπολείπουσαι διακοσίων ἀπήχθησαν αἰχμάλωτοι. Τῶν δ' ἀνθρώπων τρισχιλίους ἑλὼν ζῶντας ἀπέσφαξεν ὁ Λύσανδρος. Ἔλαβε δὲ καὶ τὰς Ἀθήνας ὀλίγῳ χρόνῳ καὶ τὰς ναῦς ἐνέπρησε καὶ τὰ μακρὰ τείχη καθεῖλεν. (5) Ἐκ δὲ τούτου φοβηθεὶς ὁ Ἀλκιβιάδης ἄρχον-

imperium habuisse, idque, cum proxime classis hostium stationem haberet, tradidisse hominibus qui apud ipsum compotationibus nauticaque vanitate plurimum potuissent, ut ipse navigio circumvectus tuto pecuniam corradere, luxuriæque, ebrietati et meretricibus Abydenis Ionicisque vacare posset. (2) Criminabantur etiam locum in Thracia apud Bisanthen, muris ab eo munitum, refugium scilicet sibi, sicubi aut non posset, aut nollet in patria vivere. (3) Athenienses his fidem habentes, ut iram suam atque malevolentiam in ipsum testatam facerent, alios belli duces constituerunt. (4) Quo audito Alcibiades sibi metuens omnino ab exercitu discessit, manuque militum peregrinorum conducta, privatim Thracibus, qui sub rege non erant, bellum fecit; simulque et a captis multum pecuniæ exegit et Græcos vicinos a barbaris tutos præstitit. (5) Interim Tydeus, Menander et Adimantus duces, omnes quotquot tum erant Atheniensibus naves ad Ægospotamos habebant, Lysandrumque, qui classem suam in statione apud Lampsacum tenebat, solebant quotidie sub lucem advecti provocare ad pugnam, indeque rursum avehi, et quod contemnerent hostem nullo ordine, nulla cura adhibita diem exigere; id Alcibiades, ut prope aderat, non neglexit, sed equo advectus monuit duces, mala ipsos esse in statione, utpote in locis importuosis, ubi urbs nulla, omnes res necessariæ Sesto afferendæ essent: delinquere etiam in hoc, quod paterentur, classiarios, ubi terram attigissent, hinc inde pro suo arbitrio vagari ac palare, opposita ipsis præsertim ea classe, cujus milites assuefacti essent unius ducis ad mandatum omnia facere.

XXXVII. Hæc disserenti hortantique, ut classem ad Sestum transferrent, non paruerunt duces; Tydeusque etiam contumeliose abire eum jussit; non enim ipsum, sed alios bello duces constitutos. (2) Alcibiades nonnihil etiam proditionis eos suspectos habens, discessit, et familiaribus iis qui ex castris ipsum comitantur, dixit se nisi hac a ducibus contumelia esset affectus, brevi perfecturum fuisse, ut aut inviti Lacedæmonii navali prœlio decernerent, aut naves suas relinquerent. (3) Hæc ejus verba alii jactantiæ hominis imputabant, alii haud ab re eum id dicere intelligebant, qui potuisset Thraces suos, quod multos jaculatores et multos equites habebat, terra adducere, castraque Lacedæmoniorum oppugnare et turbare. Enimvero in erratis Atheniensium perspiciendis satis eum fuisse sagacem, mox re ipsa compertum est. (4) Subito enim imprudentes adortus Lysander tanta clade affecit, ut octo tantum cum Conone triremes effugerint, reliquæ omnes, ducentis non multo pauciores, in potestatem hostis venerint, triaque hominum millia, quos Lysander omnes interfici jussit: nec multo interjecto tempore ipsas Athenas cepit, naves combussit, longos muros destruxit. (5) Proinde Lacedæmonios terræ

τας ἤδη καὶ γῆς καὶ θαλάττης τοὺς Λακεδαιμονίους εἰς Βιθυνίαν μετέστη πολλὰ μὲν ἄγων χρήματα, πολλὰ δὲ κομίζων, ἔτι δὲ πλείω καταλιπὼν ἐν οἷς ᾤκει τείχεσιν. (6) Ἐν δὲ Βιθυνίᾳ πάλιν οὐκ ὀλίγα τῶν ἰδίων d ἀπολέσας καὶ περικοπεὶς ὑπὸ τῶν ἐκεῖ Θρᾳκῶν ἔγνω μὲν ἀναβαίνειν πρὸς Ἀρταξέρξην ἑαυτόν τε μὴ χείρονα Θεμιστοκλέους πειρωμένῳ βασιλεῖ φανεῖσθαι νομίζων, καὶ κρείττονα τὴν πρόφασιν· (7) οὐ γὰρ ἐπὶ τοὺς πολίτας, ὡς ἐκεῖνον, ἀλλ' ὑπὲρ τῆς πατρίδος ἐπὶ τοὺς πολεμίους ὑπουργήσειν καὶ δεήσεσθαι τῆς βασιλέως δυνάμεως· εὐπορίαν δὲ τῆς ἀνόδου μετὰ ἀσφαλείας μάλιστα Φαρνάβαζον οἰόμενος παρέξειν ᾤχετο πρὸς αὐτὸν εἰς Φρυγίαν καὶ συνδιῆγε θεραπεύων ἅμα καὶ τιμώμενος.

XXXVIII. Ἀθηναῖοι δὲ χαλεπῶς μὲν ἔφερον καὶ τῆς ἡγεμονίας ἀποστερηθέντες· ἐπεὶ δὲ καὶ τὴν ἐλευ- e θερίαν ἀφελόμενος αὐτῶν ὁ Λύσανδρος ἀνδράσι τριάκοντα παρέδωκε τὴν πόλιν, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι λογισμοῖς ἀπολωλότων ἤδη τῶν πραγμάτων συνίεσαν ὁλοφυρόμενοι καὶ διεξιόντες τὰς ἁμαρτίας αὐτῶν καὶ ἀγνοίας ὧν μεγίστην ἐποιοῦντο τὴν δευτέραν πρὸς Ἀλκιβιάδην ὀργήν. (2) Ἀπερρίφη γὰρ οὐδὲν ἀδικῶν αὐτὸς, ἀλλ' ὑπηρέτῃ χαλεπήναντες ὀλίγας ἀποβαλόντι ναῦς αἰσχρῶς αἴσχιον αὐτοὶ τὸν κράτιστον καὶ πολεμικώτατον ἀφείλοντο τῆς πόλεως στρατηγόν. (3) Ἔτι δ' οὖν ὅμως ἐκ τῶν παρόντων ἀνέφερέ τις ἐλπὶς ἀμυδρὰ μὴ παντάπασιν ἔρρειν τὰ πράγματα τῶν Ἀθηναίων Ἀλκιβιάδου περιόντος· οὔτε f γὰρ πρότερον ἠγάπησε φεύγων ἀπραγμόνως ζῆν καὶ μεθ' ἡσυχίας οὔτε νῦν, εἰ τὰ καθ' ἑαυτὸν ἱκανῶς ἔχει, περιόψεται Λακεδαιμονίους ὑβρίζοντας καὶ τοὺς τριάκοντα παροινοῦντας. (4) Ταῦτα δ' οὐκ ἦν ἄλογον οὕτως ὀνειροπολεῖν τοὺς πολλοὺς, ὁπότε καὶ τοῖς τριάκοντα φροντίζειν ἐπῆει καὶ διαπυνθάνεσθαι καὶ λόγον ἔχειν πλεῖστον ὧν ἐκεῖνος ἔπραττε καὶ διενοεῖτο. (5) 213 Τέλος δὲ Κριτίας ἐδίδασκε Λύσανδρον, ὡς Ἀθηναίων a οὐκ ἔστι δημοκρατουμένων ἀσφαλῶς ἄρχειν Λακεδαιμονίοις τῆς Ἑλλάδος· Ἀθηναίους δὲ κἂν πράως πάνυ καὶ καλῶς πρὸς ὀλιγαρχίαν ἔχωσιν οὐκ ἐάσει ζῶν Ἀλκιβιάδης ἀτρεμεῖν ἐπὶ τῶν καθεστώτων. (6) Οὐ μὴν ἐπείσθη γε πρότερον τούτοις ὁ Λύσανδρος ἢ παρὰ τῶν οἴκοι τελῶν σκυτάλην ἐλθεῖν κελεύουσαν ἐκ ποδῶν ποιήσασθαι τὸν Ἀλκιβιάδην, εἴτε κἀκείνων φοβηθέντων τὴν ὀξύτητα καὶ μεγαλοπραγμοσύνην τοῦ ἀνδρὸς, εἴτε τῷ Ἀγιδι χαριζομένων.

XXXIX. Ὡς οὖν ὁ Λύσανδρος ἔπεμψε πρὸς τὸν Φαρνάβαζον ταῦτα πράττειν κελεύων, ὁ δὲ Μαγαίῳ τε τῷ ἀδελφῷ καὶ Σουσαμίθρῃ τῷ θείῳ προσέταξε τὸ ἔργον, ἔτυχε μὲν ἐν κώμῃ τινὶ τῆς Φρυγίας ὁ Ἀλκι- b βιάδης τότε διαιτώμενος ἔχων Τιμάνδραν μεθ' αὑτοῦ τὴν ἑταίραν, ὄψιν δὲ κατὰ τοὺς ὕπνους εἶδε τοιαύτην· ἐδόκει περικεῖσθαι μὲν αὐτὸς τὴν ἐσθῆτα τῆς ἑταίρας, ἐκείνην δὲ τὴν κεφαλὴν ἐν ταῖς ἀγκάλαις ἔχουσαν αὐτοῦ κοσμεῖν τὸ πρόσωπον ὥσπερ γυναικὸς ὑπογράφουσαν

marisque dominium jam adeptos metuens Alcibiades in Bithyniam se contulit, magnam secum ferens vim pecuniæ, majorem in arcibus, in quibus habitabat, relinquens. (6) In Bithynia iterum cum Thraces ibi degentes eum magna bonorum parte spoliassent, statuit ad regem Artaxerxem proficisci, existimans se neque deteriorem Themistocle regi periculum facienti inventum iri, et prætextum habere honestiorem : (7) non enim se quemadmodum illum contra cives agendi causa ad eum venire, sed pro patria contra hostes operam suam præbiturum et auxilium regis imploraturum. Sperans itaque Pharnabazi potissimum opera tuto se perventurum quo intenderat, ad hunc se in Phrygiam contulit; eumque aliquam diu ibi commoratus ita demeruit, ut summo in honore haberetur.

XXXVIII. Ceterum Athenienses, principatum Græciæ ademptum dolentes, cum libertate etiam spoliati essent a Lysandro, qui urbem triginta tyrannis habendam tradiderat, tum demum rebus jam profligatis, in eas devenerunt cogitationes, quibus si usi fuissent ante, se servare potuissent, lamentantesque et errata sua recensentes, maxime omnium a se peccatum in secunda contra Alcibiadem ira intellexerunt. (2) Hunc enim nulla sua culpa projectum, ipsos iratos ministro, quod paucas naves turpiter perdidisset, longe turpius optimo et bellicosissimo duce urbem privasse. (3) Languida tamen adhuc se spes quædam ex præsenti rerum statu ostendebat, non periisse funditus res Atheniensium Alcibiade salvo; hunc neque prius in exsulio vitam otiosam atque quietam delegisse, et nunc quoque, si modo res permitterent, non neglecturum Lacedæmoniorum superbiam et tyrannorum petulantiam. (4) Neque erat absurda hæc multitudinis de Alcibiade spes, quando et tyranni diligentissime, quid is ageret, aut quid moliretur, inquirebant. (5) Tandem Critias Lysandro ostendit, Lacedæmonios tuto Græciæ non posse imperare, dum Athenienses populari imperio uterentur; sed utcunque paucorum in republica dominationem æquo animo ferant Athenienses, numquam profecto Alcibiadem passurum, se vivo eos præsenti rerum statui acquiescere. (6) Neque tamen persuasum est Lysandro, antequam a magistratibus Sparta scytalen accepit, qua tollere e medio Alcibiadem jubebatur : sive ii celeritatem ingenii et ad res magnas gerendas aptissimam naturam ejus hominis metuebant, sive Agidi eam gratiam dabant.

XXXIX. Misit igitur ad Pharnabazum Lysander, qui eum exsequi mandatum Spartanorum juberent. Is Magæo fratri et Susamithræ avunculo suo negotium necandi Alcibiadis injunxit. Degebat tum forte in quodam Phrygiæ pago Alcibiades, habebatque secum Timandram meretricem; in somnis autem visus sibi erat vestem Timandræ induisse, eamque caput ipsius in ulnis tenuisse atque, ut solent mu-

καὶ ψιμυθιοῦσαν. (2) Ἕτεροι δέ φασιν ἰδεῖν τὴν κεφαλὴν ἀποτέμνοντας αὐτοῦ τοὺς περὶ τὸν Μαγαῖον ἐν τοῖς ὕπνοις καὶ τὸ σῶμα καιόμενον. Ἀλλὰ τὴν μὲν ὄψιν οὐ πολὺ γενέσθαι λέγουσι πρὸ τῆς τελευτῆς. (3) Οἱ δὲ πεμφθέντες πρὸς αὐτὸν οὐκ ἐτόλμησαν εἰσελθεῖν, c ἀλλὰ κύκλῳ τὴν οἰκίαν περιστάντες ἐνεπίμπρασαν. (4) Αἰσθόμενος δ' ὁ Ἀλκιβιάδης τῶν μὲν ἱματίων τὰ πλεῖστα καὶ τῶν στρωμάτων συναγαγὼν ἐπέρριψε τῷ πυρί· τῇ δ' ἀριστερᾷ χειρὶ τὴν ἑαυτοῦ χλαμύδα περιελίξας τῇ δεξιᾷ σπασάμενος τὸ ἐγχειρίδιον ἐξέπεσεν ἀπαθὴς ὑπὸ τοῦ πυρὸς πρὶν ἢ διαφλέγεσθαι τὰ ἱμάτια καὶ τοὺς βαρβάρους ὀφθεὶς διεσκέδασεν. (5) Οὐδεὶς γὰρ ὑπέμεινεν αὐτὸν οὐδ' εἰς χεῖρας συνῆλθεν, ἀλλ' ἀποστάντες ἔβαλλον ἀκοντίοις καὶ τοξεύμασιν. (6) Οὕτω δ' αὐτοῦ πεσόντος καὶ τῶν βαρβάρων ἀπελθόντων ἡ Τιμάνδρα τὸν νεκρὸν ἀνείλετο καὶ τοῖς αὑτῆς περιβαλοῦσα καὶ d περικαλύψασα χιτωνίσκοις ἐκ τῶν παρόντων ἐκήδευσε λαμπρῶς καὶ φιλοτίμως. (7) Ταύτης λέγουσι θυγατέρα γενέσθαι Λαΐδα τὴν Κορινθίαν μὲν προσαγορευθεῖσαν, ἐκ δὲ Ὑκκάρων, Σικελικοῦ πολίσματος, αἰχμάλωτον γενομένην. (8) Ἔνιοι δὲ τὰ μὲν ἄλλα περὶ τῆς Ἀλκιβιάδου τελευτῆς ὁμολογοῦσι τούτοις, αἰτίαν δέ φασιν οὐ Φαρνάβαζον οὐδὲ Λύσανδρον οὐδὲ Λακεδαιμονίους παρασχεῖν, αὐτὸν δὲ τὸν Ἀλκιβιάδην γνωρίμων τινῶν διεφθαρκότα γύναιον ἔχειν σὺν αὐτῷ, τοὺς δ' ἀδελφοὺς τοῦ γυναίου τὴν ὕβριν οὐ μετρίως φέροντας ἐμπρῆσαί τε τὴν οἰκίαν νύκτωρ, ἐν ᾗ διαιτώμενος ἐτύγχανεν ὁ Ἀλκιβιάδης, καὶ καταβαλεῖν αὐτόν, ὥσπερ εἴρηται, διὰ τοῦ πυρὸς ἐξαλλόμενον.

lieres, fuco et cerussa faciem pinxisse. (2) Alii imaginatum aiunt caput sibi a Magæo amputatum esse et truncum cremari. Id convenit inter eos, paulo ante interitum hoc ei insomnium apparuisse. (3) Qui ad necandum eum missi erant, non aussi ingredi domum in qua erat, eam in orbem circumsteterunt atque incenderunt. (4) Alcibiades hoc sentiens, vestium et stragulorum magnam partem correptam in ignem conjecit, atque obvoluto chlamyde brachio sinistro, dextra strictum ensem tenens, antequam vestimenta ignis absumpsisset, illæsus per flammas exsiluit et barbaros suo conspectu dissipavit. (5) Nemo enim eum subsistere manumve conserere ausus est, sed eminus conjectis jaculis, sagittisque immissis straverunt. (6) Hoc pacto trucidatum Alcibiadem Timandra digressis barbaris sustulit, et suis tunicis velatum, pro ea, quæ tum ei aderat, copia splendide et honorifice sepelivit. (7) Hujus filia fuisse traditur Lais, quæ Corinthia dicta, Hyccaris Siciliæ oppido captiva abducta fuit. (8) Sunt qui de morte Alcibiadis cum iis, quæ nos retulimus, convenientia scribant, auctorem tamen mortis neque Pharnabazum fuisse neque Lysandrum neque Spartanos dicant, sed Alcibiadem ferunt vitium uxori cujusdam familiarium suorum obtulisse eamque secum detinuisse, fratres autem mulieris ignominiam indigne tulisse, noctuque domum, in qua is habitabat, incendisse, et ipsum per flammas se, ut diximus, proripientem telis confecisse.

ΓΑΙΟΣ ΜΑΡΚΙΟΣ.

Ὁ Μαρκίων οἶκος ἐν Ῥώμῃ τῶν πατρικίων πολλοὺς παρέσχεν ἐνδόξους ἄνδρας, ὧν καὶ Μάρκιος ἦν Ἄγκος ὁ Νομᾶ θυγατριδοῦς καὶ μετὰ Τύλλον Ὁστίλιον βασιλεὺς γενόμενος. (2) Μάρκιοι δ' ἦσαν καὶ Πόπλιος καὶ Κόϊντος, οἱ πλεῖστον ὕδωρ καὶ κάλλιστον ἐν Ῥώμῃ καταγαγόντες, καὶ Κηνσωρῖνος, ὃν δὶς ἀπέδειξε τιμη-214τὴν ὁ Ῥωμαίων δῆμος, εἶτα ὑπ' αὐτοῦ πεισθεὶς ἐκείνου a νόμον ἔθετο καὶ ἐψηφίσατο μηδενὶ τὴν ἀρχὴν δὶς ἐξεῖναι μετελθεῖν. (3) Γάϊος δὲ Μάρκιος, ὑπὲρ οὗ τάδε γέγραπται, τραφεὶς ὑπὸ μητρὶ χήρᾳ πατρὸς ὀρφανὸς ἀπέδειξε τὴν ὀρφανίαν ἄλλα μὲν ἔχουσαν κακά, πρὸς δὲ τὸ γενέσθαι σπουδαῖον ἄνδρα καὶ διαφέροντα τῶν πολλῶν οὐδὲν ἐμποδὼν οὖσαν, ἄλλως δὲ τοῖς φαύλοις αἰτιᾶσθαι καὶ ψέγειν παρέχουσαν αὐτὴν ὡς ἀμελείᾳ διαφθείρουσαν. (4) Ὁ δ' αὐτὸς ἀνὴρ ἐμαρτύρησε καὶ τοῖς τὴν φύσιν ἡγουμένοις, ἐὰν οὖσα γενναία καὶ ἀγαθὴ παιδείας ἐνδεὴς γένηται, πολλὰ τοῖς χρηστοῖς ὁμοῦ φαῦλα συναποτίκτειν, ὥσπερ εὐγενῆ χώραν ἐν γεωργίᾳ θεραπείας μὴ τυχοῦσαν. (5) Τὸ γὰρ ἰσχυρὸν αὐτοῦ πρὸς ἅπαντα b τῆς γνώμης καὶ καρτερὸν ὁρμάς τε μεγάλας καὶ τελεσιουργοὺς τῶν καλῶν ἐξέφερε θυμοῖς τε αὖ πάλιν χρῶ-

MARCIUS CORIOLANUS.

Marciorum familia Romæ patricia fuit multosque illustres viros produxit, inter quos fuit etiam Ancus Marcius, filia Numæ natus, qui Tullo Hostilio in regno successit. (2) Publius quoque et Quintus Marcii fuerunt, qui maximum atque pulcherrimum aquæductum Romæ fecerunt; et Censorinus e Marcia gente fuit, quem Romani iterum censorem creaverunt, ipsumque deinde auctorem secuti legem tulerunt, ne cui eum magistratum bis petere liceret. (3) Caius autem Marcius, de quo hic nobis sermo habetur, post mortem patris, a matre vidua educatus, suo exemplo docuit, orbitatem nonnulla quidem mala habere, non tamen impedimento esse quominus in egregium aliquis et præstantem multis aliis virum evadere possit, nec justam causam nisi nequam hominibus præbere criminandi et reprehendendi quod indiligentiâ corrumpat; (4) idemque vir testimonium tulit iis, qui arbitrantur naturam, si generosa et bona cum sit, non recte instituatur, inter bonos fructus multa etiam vitia proferre, perinde atque bonum agrum, si non accurate colatur. (5) Robur enim animi in hoc viro ac constantia magnos impetus motusque ad res præclare gerendas efficaces

μενον ἀκράτοις καὶ φιλονεικίαις ἀτρέπτοις οὐ ῥᾴδιον οὐδ' εὐάρμοστον ἀνθρώποις συνεῖναι παρεῖχεν, ἀλλὰ τὴν ἐν ἡδοναῖς καὶ πόνοις καὶ ὑπὸ χρημάτων ἀπάθειαν αὐτοῦ θαυμάζοντες καὶ ὀνομάζοντες ἐγκράτειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν, ἐν ταῖς πολιτικαῖς αὖ πάλιν ὁμιλίαις ὡς ἐπαχθῆ καὶ ἄχαριν καὶ ὀλιγαρχικὴν ἐδυσχέραινον. (6) Οὐδὲν γὰρ ἄλλο Μουσῶν εὐμενείας ἀπολαύουσιν ἄνθρωποι τοσοῦτον, ὅσον ἐξημερῶσαι τὴν φύσιν ὑπὸ λόγου καὶ παιδείας, τῷ λόγῳ δεξαμένην τὸ μέτριον καὶ τὸ ἄγαν ἀποβαλοῦσαν. (7) Ὅλως μὲν οὖν ἐν τοῖς τότε χρόνοις ἡ Ῥώμη μάλιστα τῆς ἀρετῆς τὸ περὶ τὰς πολεμικὰς καὶ στρατιωτικὰς ἐκύδαινε πράξεις, καὶ μαρτυρεῖ τὸ τὴν ἀρετὴν ὑπ' αὐτῶν ἑνὶ τῷ τῆς ἀνδρείας ὀνόματι προσαγορεύεσθαι καὶ τοῦτο τοῦ γένους ὄνομα κοινὸν ὑπάρχειν, ᾧ τὴν ἀνδρείαν ἰδίᾳ καλοῦσιν.

II. Ὁ δὲ Μάρκιος ἑτέρων μᾶλλον ἐμπαθὴς γεγονὼς πρὸς τοὺς πολεμικοὺς ἀγῶνας εὐθὺς ἐκ παιδὸς τὰ ὅπλα διὰ χειρὸς εἶχε. Καὶ τῶν ἐπικτήτων οὐδὲν ἔργον οἰόμενος εἶναι τοῖς μὴ τὸ σύμφυτον ὅπλον καὶ συγγενὲς ἐξηρτυμένον ἔχουσι καὶ παρεσκευασμένον οὕτως ἤσκησε τὸ σῶμα πρὸς ἅπασαν ἰδέαν μάχης, ὥστε καὶ θεῖν ἐλαφρὸν εἶναι καὶ βάρος ἔχειν ἐν λαβαῖς καὶ ἐν διαπάλαις πολέμου δυσεκβίαστον. (2) Οἱ γοῦν ἔριν ἔχοντες εὐψυχίας ἀεὶ καὶ ἀρετῆς πρὸς αὐτὸν ἐν οἷς ἐλείποντο τὴν τοῦ σώματος ἠτιῶντο ῥώμην ἄτρεπτον οὖσαν καὶ πρὸς μηδένα πόνον ἀπαγορεύουσαν.

III. Ἐστρατεύσατο δὲ πρώτην στρατείαν ἔτι μειράκιον, ὅτε Ταρκυνίῳ τῷ βασιλεύσαντι τῆς Ῥώμης, εἶτα ἐκπεσόντι, μετὰ πολλὰς μάχας καὶ ἥττας ὥσπερ ἔσχατον κύβον ἀφιέντι πλεῖστοι μὲν Λατίνων, πολλοὶ δὲ καὶ τῶν ἄλλων Ἰταλιωτῶν συνελάμβανον καὶ συγκατῆγον ἐπὶ τὴν Ῥώμην, οὐκ ἐκείνῳ χαριζόμενοι μᾶλλον ἢ φόβῳ τὰ Ῥωμαίων αὐξόμενα καὶ φθόνῳ καταβάλλοντες. (2) Ἐν ταύτῃ τῇ μάχῃ πολλὰς τροπὰς ἐπ' ἀμφότερα λαμβανούσῃ Μάρκιος ἀγωνιζόμενος εὐρώστως ἐν ὄψει τοῦ δικτάτωρος ἄνδρα Ῥωμαῖον πεσόντα πλησίον ἰδὼν οὐκ ἠμέλησεν, ἀλλ' ἔστη πρὸ αὐτοῦ καὶ τὸν ἐπιφερόμενον τῶν πολεμίων ἀμυνόμενος ἀπέκτεινεν. (2) Ὡς οὖν ἐκράτησεν ὁ στρατηγὸς ἐν πρώτοις ἐκεῖνον ἐστεφάνωσε δρυὸς στεφάνῳ. Τοῦτον γὰρ ὁ νόμος τῷ πολίτην ὑπερασπίσαντι τὸν στέφανον ἀποδέδωκεν, εἴτε δὴ μάλιστα τιμήσας δι' Ἀρκάδας τὴν δρῦν βαλανηφάγους ὑπὸ τοῦ θεοῦ χρησμῷ προσαγορευθέντας, εἴτε ὡς ταχὺ καὶ παντα χοῦ δρυὸς οὖσαν εὐπορίαν στρατευομένοις, εἴτε Διὸς Πολιέως ἱερὸν ὄντα τὸν τῆς δρυὸς στέφανον οἰόμενος ἐπὶ σωτηρίᾳ πολίτου δίδοσθαι πρεπόντως. (3) Ἔστι δὲ ἡ δρῦς τῶν μὲν ἀγρίων καλλικαρπότατον, τῶν δὲ τιθασῶν ἰσχυρότατον. Ἦν δὲ καὶ σιτίον ἀπ' αὐτῆς ἡ βάλανος καὶ ποτὸν τὸ μελίτιον, ὄψον δὲ παρεῖχε τὰ πλεῖστα τῶν νεμομένων τε καὶ πτηνῶν θήρας ὄργανον φέρουσα τὸν ἰξόν. (5) Ἐν ἐκείνῃ δὲ τῇ μάχῃ καὶ τοὺς Διοσκόρους ἐπιφανῆναι λέγουσι καὶ μετὰ τὴν μάχην εὐθὺς ὀφθῆναι ῥεομένοις ἱδρῶτι τοῖς ἵπποις ἐν ἀγορᾷ τὴν νίκην ἀπαγγέλλοντας, οὗ νῦν παρὰ τὴν κρήνην νεώς ἐστιν αὐτοῖς

edidit; contra iræ immodicus studioque contendendi pertinax hominibus suam consuetudinem difficilem intolerabilemque præbuit; et qui ob voluptatum pecuniæque despectum atque in ferendis laboribus patientiam laudabatur ac temperantiæ, justitiæ, et fortitudinis nomine commendabatur, hujus vicissim in civilibus negotiis rigor et paucorum in republica dominationis constituendæ suspecta durities invisa omnibus molestaque erat. (6) Adeo nullum est majus donum, quod acceptum bonitati Musarum homines ferre debeant, quam quod doctrina et disciplina emolliuntur ingenia, modumque tenere, et nimia omnia vitare discunt. (7) Ceterum ea tempestate, qua vixit C. Marcius, Romæ inter omnes virtutes bellica seu militaris maxime in honore habebatur fortitudo; cui rei documento est, quod unius fortitudinis nomine apud ipsos universum illud, quod virtutis vocabulo comprehenditur, afficiebatur, generisque ea appellatio totius usurpabatur, quæ virtutis uni speciei propria erat.

II. Itaque Marcius cum natura esset militarium certaminum præ ceteris cupidus, statim a puero arma tractavit; ratusque nihil prodesse ea quæ aliunde compararentur, nisi ea quæ nobiscum ad eam rem arma instrumentaque nascuntur, probe adornata apparataque in promptu haberentur, ita corpus suum ad omne pugnandi genus exercuit, ut et cursu velox et in lucta validus esset et in omni bellica colluctatione inexpugnabili se inferret impetu. (2) Quo effectum est, ut qui cum eo de animi virtute fortitudineque contenderent, superati causam in robur corporis ipsius invictum nulloque labore fatigabile conjicerent.

III. Prima ei adolescenti etiamnum militia fuit, quo tempore Tarquinium, qui regnaverat Romæ, deinde regno ejectum ac post multas pugnas cladesque extremam quasi aleam hanc jacientem, plurimi Latinorum ac permulti ex reliqua Italia adjuverunt, Romamque reducere, non tam gratia Tarquinii, quam metu rei Romanæ crescentis invidiaque impulsi, conati sunt. (2) Eo in prœlio fortuna varie ultro citroque inclinante, Marcius in conspectu dictatoris strenue pugnans, virum Romanum cum sterni videret, neglecto suo periculo prosiluit ac pro eo propugnavit hostemque irruentem necavit. (3) Imperator victoria potitus, hujus facti causa eum inter primos querna corona donavit; quam lex ei defert qui civem ab hostibus defenderit: sive quercum propter Arcades, glandivoros dei effato nominatos, in honore habuerint, sive quia ubique in promptu militantibus ea arbor, sive quod Jovi urbium tutori sacra sit querna corona, ideoque propter servatum civem apte donari censuerint. (4) Est autem quercus inter arbores silvestres fructus bonitate præstantissima, inter cultas robustissima, præbebatque ad cibum glandes, ad potum mulsum, atque loco obsonii suppeditat magnum animalium glandibus vescentium et avium numerum, quia instrumentum venationis viscum exhibet. (5) Feruntur eo in prœlio Castor et Pollux apparuisse, statimque eo finito visi esse in foro victoriam annunciantes, equis sudore fluentibus insidentes, quo loco nunc juxta fontem templum est iis exstructum; eademque

ὁρυμένος. Ὅθεν καὶ τὴν ἡμέραν ἐπινίκιον οὖσαν, ἐν τῷ Ἰουλίῳ μηνὶ τὰς εἰδοὺς, Διοσκόροις ἀνιερώκασι.

IV. Νέων δὲ, ὡς ἔοικεν, ἀνδρῶν ἐπιφάνεια καὶ τιμὴ τὰς μὲν ἐλαφρῶς φιλοτίμους φύσεις πρωϊαίτερον παραγενομένη σβέννυσι καὶ ἀπομπίπλησι ταχὺ τὸ διψῶδες αὐτῶν καὶ ἄψικορον· τὰ δ' ἐμβριθῆ καὶ βέβαια φρονήματα αὔξουσιν αἱ τιμαὶ καὶ λαμπρύνουσιν ὥσπερ ὑπὸ πνεύματος ἐγειρόμενα πρὸς τὸ φαινόμενον καλόν. (2) Οὐ γὰρ ὡς μισθὸν ἀπολαμβάνοντες, ἀλλ' ὡς ἐνέχυρον διδόντες αἰσχύνονται τὴν δόξαν καταλιπεῖν καὶ μὴ τοῖς αὐτοῖς ἔργοις ὑπερβαλέσθαι. (3) Τοῦτο παθὼν καὶ ὁ Μάρκιος αὐτὸς αὑτῷ ζῆλον ἀνδραγαθίας προύθηκε, καινός τε ἀεὶ βουλόμενος εἶναι ταῖς πράξεσιν ἀριστείαις ἀριστείας συνῆπτε καὶ λάφυρα λαφύροις ἐπέφερε καὶ τοῖς προτέροις ἀεὶ τοὺς ὑστέρους ἡγεμόνας εἶχε περὶ τῆς ἐκείνου τιμῆς ἐρίζοντας καὶ μαρτυρίας ὑπερβαλέσθαι. (4) Πολλῶν γέ τοι τότε Ῥωμαίοις ἀγώνων καὶ πολέμων γενομένων ἐξ οὐδενὸς ἀστεφάνωτος ἦλθεν οὐδ' ἀγέραστος. (5) Ἦν δὲ τοῖς μὲν ἄλλοις ἡ δόξα τῆς ἀρετῆς τέλος, ἐκείνῳ δὲ τῆς δόξης ἡ τῆς μητρὸς εὐφροσύνη. Τὸ γὰρ ἐκείνην ἐπαινούμενον ἀκοῦσαι καὶ στεφανούμενον ἰδεῖν καὶ περιβαλεῖν δακρύουσαν ὑφ' ἡδονῆς ἐντιμότατον αὐτὸν ἐνόμιζε ποιεῖν καὶ μακαριώτατον. (6) Τοῦτο δ' ἀμέλει καὶ τὸν Ἐπαμεινώνδαν φασὶν ἐξομολογήσασθαι τὸ πάθος εὐτυχίαν ποιούμενον αὐτοῦ μεγίστην, ὅτι τὴν ἐν Λεύκτροις στρατηγίαν αὐτοῦ καὶ νίκην ὁ πατὴρ καὶ ἡ μήτηρ ἔτι ζῶντες ἐπεῖδον. (7) Ἀλλ' ἐκεῖνος μὲν ἀμφοτέρων ἀπέλαυσε τῶν γονέων συνηδομένων καὶ συνευημερούντων, Μάρκιος δὲ τῇ μητρὶ καὶ τὰς τοῦ πατρὸς ὀφείλειν χάριτας οἰόμενος οὐκ ἐνεπίμπλατο τὴν Οὐολουμνίαν εὐφραίνων καὶ τιμῶν, ἀλλὰ καὶ γυναῖκα βουλομένης καὶ δεομένης ἔγημε καὶ τὴν οἰκίαν ᾤκει γενομένων παίδων ὁμοῦ μετὰ τῆς μητρός.

V. Ἤδη δὲ καὶ δόξαν αὐτοῦ καὶ δύναμιν ἀπὸ τῆς ἀρετῆς ἐν τῇ πόλει μεγάλην ἔχοντος ἡ βουλὴ τοῖς πλουσίοις ἀμύνουσα πρὸς τὸν δῆμον ἐστασίασε πολλὰ καὶ δεινὰ πάσχειν ὑπὸ τῶν δανειστῶν δοκοῦντα. (2) Τοὺς μὲν γὰρ κεκτημένους μέτρια πάντων ἁφῃροῦντο τῶν ὄντων ἐνεχυρασμοῖς καὶ πράσεσι, τοὺς δὲ παντελῶς ἀπόρους αὐτοὺς ἀπῆγον καὶ τὰ σώματα καθείργνυσαν αὐτῶν ὠτειλὰς ἔχοντα τετρωμένων πολλὰς καὶ πεπονηκότων ἐν ταῖς ὑπὲρ τῆς πατρίδος στρατείαις, ὧν τὴν τελευταίαν ἐδέξαντο πρὸς Σαβίνους τῶν τε πλουσιωτάτων ἐπαγγειλαμένων μετριάσειν καὶ τῆς βουλῆς τὸν ἄρχοντα Μάνιον Οὐαλλέριον ἐγγυήσασθαι ψηφισαμένης. (3) Ἐπεὶ δὲ κἀκείνην ἀγωνισαμένοις τὴν μάχην προθύμως καὶ κρατήσασι τῶν πολεμίων οὐδὲν ἐγίνετο παρὰ τῶν δανειστῶν ἐπιεικὲς οὐδ' ἡ βουλὴ προσεποιεῖτο μεμνῆσθαι τῶν ὁμολογημένων, ἀλλ' ἀγομένους πάλιν περιεώρα καὶ ῥυσιαζομένους, θόρυβοι δὲ καὶ συστάσεις ἦσαν ἐν τῇ πόλει πονηραὶ καὶ τοὺς πολεμίους οὐκ ἔλαθε ταραχωδῶς ἔχων ὁ δῆμος, ἀλλ' ἐμβαλόντες ἐπυρπόλουν τὴν χώραν, τῶν δ' ἀρχόντων εἰς τὰ ὅπλα τοὺς ἐν ἡλικίᾳ καλούντων οὐδεὶς ὑπήκουεν, οὕτω διέστησαν αἱ γνῶμαι πάλιν τῶν ἐν

de causa Idus Quintiles, utpote dies victoriæ, Castori et Polluci sunt consecratæ.

IV. Enimvero ut decus et honor maturius collatus in juvenes levi tantum gloriæ cupiditate affectos ardorem eum exstinguit, sitique statim expleta satietatem affert; ita eadem gravis ac constantis ingenii juvenibus tributa augent apud eos studium gloriæ auræque instar afflantis impellunt ad honestatem persequendam. (2) Non enim quasi accepto præmio, sed ut si pignore sese obligassent, turpe sibi putant fore, si existimationi suæ desint ac non aliis factis eam vincant. (3) Hoc modo affectus Marcius se ipsum fortitudinis laude superandum sibi proposuit, novisque subinde facinoribus priora cumulare statuit; itaque rebus præclare gestis res egregie gestas, spolia ex hostibus relatis nova semper addidit, semperque posterioribus ducibus de se honoribus et virtutis testimoniis afficiendo certandi materiam præbuit, (4) Cumque eo tempore continenter bella Romani gererent, ex nullo sine corona et ornamento rediit. (5) Ut autem alii gloriam virtutis sibi finem statuunt, sic matris ille gaudium gloria sua quærebat; nullum enim majorem se honorem, nullam majorem felicitatem adipisci posse arbitrabatur quam si coram matre sua laudaretur atque coronaretur, eique præ lætitia lacrimanti in amplexum veniret. (6) Nimirum hoc erat, quod et Epaminondas confessus esse dicitur summæ se felicitatis loco ducere, quod victoriam ipsius Leuctricam pater et mater vivi inspexissent. (7) Verum hic quidem utrunque parentem lætitiæ suæ et felicitatis socium ac testem habuit: Marcius autem matri Volumniæ partem quoque patri debitam esse persolvendam ratus, eam delectando et colendo sibi non satisfecit ante, quam uxorem quoque ejus jussu duxerit unaque habitaret, et liberos procreaverit.

V. Increbrescente jam et valente ejus per totam urbem virtutis existimatione, senatui divitum causam foventi contra plebem contentio incidit, quæ multis et gravibus injuriis se a fœneratoribus premi putabat. (2) Nam ii, quorum modicæ fuerant facultates, plane omnibus spoliabant per oppignerationes et venditiones, prorsus autem egenos abducebant et in vincula condebant, qui cicatrices pro patria acceptorum vulnerum multas gererent, passi ea præsertim postremo bello Sabino, in quo locupletiores polliciti erant, se moderatius acturos et dictator Manius Valerius jussu senatus id plebi stipulatus fuerat. (3) Hoc quoque bello fortiter et feliciter confecto hostibusque victis, neque remiserant de pristina duritie quicquam fœneratores, et senatus memoriam omnem pactorum dissimulans, patiebatur nexos abripi et pignora eripi pauperibus. Ergo turbæ iterum malæque coitiones Romæ exsistebant; neque fefellit hostes, tumultuari plebem; itaque impressione in agrum Romanum facta, incendio et vastatione grassati sunt, neque quisquam militum vocantibus ad arma consulibus nomen dedit. Inde rursum inter magistratus discordia est oborta. (4) Alii con-

τέλει. (4) Καί τινες μὲν ὤοντο δεῖν ὑφίεσθαι τοῖς πένησι καὶ χαλάσαι τὸ σύντονον ἄγαν καὶ νόμιμον, ἕνιοι δ' ἀντέτεινον, ὧν ἦν καὶ Μάρκιος, οὐ τὸ τῶν χρημάτων μέγιστον ἡγούμενος, ἀρχὴν δὲ καὶ πεῖραν ὕβρεως ὄχλου καὶ θρασύτητος ἐπανισταμένου τοῖς νόμοις, εἰ σωφρονοῦσι, παύειν καὶ σβεννύειν παρακελευόμενος.

VI. Συνιούσης δὲ περὶ τούτων πολλάκις ἐν ὀλίγῳ χρόνῳ τῆς βουλῆς καὶ μηδὲν τέλος ἐκφερούσης συστάντες οἱ πένητες ἄφνω καὶ παρακαλέσαντες ἀλλήλους ἀπέλιπον τὴν πόλιν καὶ καταλαβόντες ὄρος, ὃ νῦν ἱερὸν καλεῖται, παρὰ τὸν Ἀνίωνα ποταμὸν ἐκαθέζοντο, πράττοντες μὲν οὐδὲν βίαιον οὐδὲ στασιαστικόν, ἐκπεπτωκέναι δὲ τῆς πόλεως ὑπὸ τῶν πλουσίων πάλαι βοῶντες, ἀέρα δὲ καὶ ὕδωρ καὶ τόπον ἐνταφῆναι πανταχοῦ τὴν Ἰταλίαν αὐτοῖς παρέξειν, ὧν πλέον οὐδὲν οἰκοῦσι τὴν Ῥώμην ὑπάρχειν αὐτοῖς, ἀλλ' ἢ τιτρώσκεσθαι καὶ ἀποθνήσκειν ὑπὲρ τῶν πλουσίων στρατευομένοις. (2) Ταῦτ' ἔδεισεν ἡ βουλὴ καὶ τοὺς ἐπιεικεῖς μάλιστα καὶ δημοτικοὺς τῶν πρεσβυτέρων ἐξαπέστειλε. (3) Προηγόρει δὲ Μενήνιος Ἀγρίππας· καὶ πολλὰ μὲν τοῦ δήμου δεόμενος, πολλὰ δ' ὑπὲρ τῆς βουλῆς παῤῥησιαζόμενος τελευτῶντι τῷ λόγῳ περιῆλθεν εἰς σχῆμα μύθου διαμνημονευόμενον. (4) Ἔφη γὰρ τοῦ ἀνθρώπου τὰ μέλη πάντα πρὸς τὴν γαστέρα στασιάσαι καὶ κατηγορεῖν αὐτῆς, ὡς μόνης ἀργοῦ καὶ ἀσυμβόλου καθεζομένης ἐν τῷ σώματι, τῶν δ' ἄλλων εἰς τὰς ἐκείνης ὀρέξεις πόνους τε μεγάλους καὶ λειτουργίας ὑπομενόντων· τὴν δὲ γαστέρα τῆς εὐηθείας αὐτῶν καταγελᾶν ἀγνοούντων, ὅτι τὴν τροφὴν ὑπολαμβάνει μὲν εἰς ἑαυτὴν ἅπασαν, ἀναπέμπει δ' αὖθις ἐξ αὐτῆς καὶ διανέμει τοῖς ἄλλοις. (5) « Οὕτως οὖν, ἔφη, καὶ τῆς συγκλήτου λόγος ἐστὶν, ὦ πολῖται, πρὸς ὑμᾶς· τὰ γὰρ ἐκεῖ τυγχάνοντα τῆς προσηκούσης ἐπιμελείας καὶ οἰκονομίας βουλεύματα καὶ πράγματα πᾶσιν ὑμῖν ἐπιφέρει καὶ διανέμει τὸ χρήσιμον καὶ ὠφέλιμον. »

VII. Ἐκ τούτου διηλλάγησαν αἰτησάμενοι παρὰ τῆς βουλῆς καὶ τυχόντες ἄνδρας αἱρεῖσθαι πέντε προστάτας τῶν δεομένων βοηθείας τοὺς νῦν δημάρχους καλουμένους. Εἵλοντο δὲ πρώτους, οἷς ἐχρήσαντο καὶ τῆς ἀποστάσεως ἡγεμόσι, τοὺς περὶ Βροῦτον Ἰούνιον καὶ Σικίννιον Βέλλουτον. (2) Ἐπεὶ δ' ἡ πόλις εἰς ἓν ἦλθεν, εὐθὺς ἐν τοῖς ὅπλοις ἦσαν οἱ πολλοὶ καὶ παρεῖχον αὐτοὺς τοῖς ἄρχουσι χρῆσθαι προθύμως ἐπὶ τὸν πόλεμον. (3) Ὁ δὲ Μάρκιος οὔτ' αὐτὸς ἡδόμενος οἷς ὁ δῆμος ἴσχυεν ἐνδούσης τῆς ἀριστοκρατίας, καὶ τῶν ἄλλων πατρικίων πολλοὺς ὁρῶν τὸ αὐτὸ πεπονθότας, ὅμως παρεκάλει μὴ ἀπολείπεσθαι τῶν δημοτικῶν ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν, ἀλλὰ τῇ ἀρετῇ μᾶλλον ἢ τῇ δυνάμει φαίνεσθαι διαφέροντας αὐτῶν.

VIII. Ἐν δὲ τῷ Οὐολούσκων ἔθνει, πρὸς οὓς ἐπολέμουν, ἡ Κοριολάνων πόλις ἀξίωμα μέγιστον εἶχε. (2) Ταύτην οὖν τοῦ ὑπάτου Κομινίου περιστρατοπεδεύσαντος οἱ λοιποὶ Οὐολοῦσκοι δείσαντες ἐπὶ τοὺς Ῥωμαίους συνεβοήθουν πανταχόθεν, ὡς πρὸς τῇ πόλει ποιησόμενοι

cedendum pauperum turbæ nimiumque rigorem juris leniendum censebant, alii contra tendebant. Inter hos fuit etiam Marcius, non pecuniæ quidem tantopere rationem habendam asserens, sed si saperent Patres, curandum uti nascentem plebis procacitatem et audaciam ferocientem adversus leges mature compescerent atque opprimerent.

VI. Cum sæpius intra paucos dies ejus rei causa conveniret senatus, neque expedirent negotium, subito plebs coitione facta se mutuo cohortati, urbe excesserunt et in monte, qui nunc Sacer nominatur, ad flumen Anienem consederunt; nihil quidem seditiose aut per vim agentes, pulsos tantum se jam pridem urbe a divitibus vociferantes, ubique aerem sibi et aquam locumque sepulcri in Italia futurum, Romæ habitantibus nihil præter vulnera et mortem pro divitibus pugnando obeundam esse. (2) Attulit hæc res terrorem senatui et quos maxime æquitatis studiosos populares esse de senioribus putabat, ad plebem misit. (3) Verba fecit Menenius Agrippa, multisque plebem obtestatus, multa libere pro senatu locutus, fabulam ad extremum proposuit, hominum deinde sermone vulgatam: (4) Omnia corporis humani membra quondam contra ventrem conspirasse eumque accusasse, quod solus omnium corporis partium otiosus desideret, neque ad id sustinendum quicquam conferret; ceteras partes, ut ventris cupiditates explerent, ingentes labores ac difficilia munia obire. Ac ventrem eorum stultitiam risisse, quod ignorarent, ipsum quidem omne alimentum accipere in se, verum rursus ad omnes partes a se dimittere ac distribuere. (5) Eadem est, inquit, senatus apud vos ratio, o cives! Nam quæ ab eo diligenti cum cura atque administratione et consuluntur et peraguntur, ea in omnium vestrûm commodum utilitatemque procurat vobisque distribuit.

VII. Reconciliata ex eo Patribus multitudo est, impetrato ut quinque viros ipsis liceret eligere, qui indigentibus auxilio essent, qui nunc Tribuni plebis vocantur; primique creati a plebe sunt iidem, quibus secessionis ducibus usi erant, Junius Brutus, Sicinius Bellutus. (2) Reconciliata civitate, statim plebs arma cepit et se obsequentem ad arma vocantibus magistratibus præbuit. (3) At Marcius quanquam neque ipse æquo animo ferebat plebem prævaluisse optimatumque in republica principatum convulsum et videbat multos nobilium idem sentire, hortatus est tamen, ne in certaminibus pro patria suscipiendis plebe segniores essent, sed virtute potius quam potentia præstare se ei ostenderent.

VIII. Erat in Volscis, contra quos bellum gerebatur, urbs Corioli, omnium dignitate prima. (2) Hanc cum Cominius consul obsedisset, reliqui Volsci trepidantes undique contractis auxiliis cum Romanis sub ipsa urbe acie decernendum contenderunt, duobus ex locis impetum in hostes fa-

μάχην καὶ διχόθεν ἐπιχειρήσοντες αὐτοῖς· (3) Ἐπεὶ δ' ὁ Κομίνιος διελὼν τὴν δύναμιν αὐτὸς μὲν ἀπήντα τοῖς ἔξωθεν ἐπιοῦσι τῶν Οὐολούσκων, Λάρκιον δὲ Τίτον, ἄνδρα Ῥωμαίων ἐν τοῖς ἀρίστοις, ἐπὶ τῆς πολιορκίας ἀπέλιπε, καταφρονήσαντες οἱ Κοριολάνοι τῶν παρόντων ἐπεξῆλθον καὶ προσμαχόμενοι τὸ πρῶτον ἐκράτουν καὶ κατεδίωκον εἰς τὸν χάρακα τοὺς Ῥωμαίους. (4) Ἔνθα δὴ Μάρκιος ἐκδραμὼν σὺν ὀλίγοις καὶ καταβαλὼν τοὺς f προσμίξαντας αὐτῷ μάλιστα, τοὺς δ' ἄλλους στήσας ἐπιφερομένους ἀνεκαλεῖτο μεγάλῃ βοῇ τοὺς Ῥωμαίους. (5) Καὶ γὰρ ἦν, ὥσπερ ἠξίου τὸν στρατιώτην ὁ Κάτων, οὐ χειρὶ καὶ πληγῇ μόνον, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ ὄψει προσώπου φοβερὸς ἐντυχεῖν πολεμίῳ καὶ δυσυπόστατος. Ἀθροιζομένων δὲ πολλῶν καὶ συνισταμένων περὶ αὐτὸν ἀπεχώρουν οἱ πολέμιοι δείσαντες. (6) Ὁ δ' οὐκ ἠγάπησεν, ἀλλ' ἐπηκολούθει καὶ συνήλαυνεν ἤδη προτροπάδην φεύγοντας ἄχρι τῶν πυλῶν. Ἐκεῖ δ' a Volscos ageret. Ubi cum videret Romanos se avertere, quod ὁρῶν ἀποτρεπομένους τοῦ διώκειν τοὺς Ῥωμαίους, πολλῶν μὲν ἀπὸ τοῦ τείχους βελῶν προσφερομένων, τὸ δὲ συνεισπεσεῖν τοῖς φεύγουσιν εἰς πόλιν ἀνδρῶν πολεμικῶν γέμουσαν ἐν τοῖς ὅπλοις ὄντων οὐδενὸς εἰς νοῦν ἐμβαλέσθαι τολμῶντος, ὅμως ἐπιστὰς παρεκάλει καὶ παρεθάῤῥυνεν ἀνεῳχθαι βοῶν ὑπὸ τῆς τύχης τοῖς διώκουσι μᾶλλον ἢ τοῖς φεύγουσι τὴν πόλιν. (7) Οὐ πολλῶν δὲ βουλομένων ἐπακολουθεῖν ὠσάμενος διὰ τῶν πολεμίων ἐνήλατο ταῖς πύλαις καὶ συνεισέπεσε, μηδενὸς τὸ πρῶτον ἀντισχεῖν μηδ' ὑποστῆναι τολμήσαντος, ἔπειτα δὲ, ὡς κατεῖδον ὀλίγους παντάπασιν ἔνδον ὄντας, συμβοη- b xilio accurrerent dimicarentque, Coriolanus suis hostiθούντων καὶ προσμαχομένων ἀναμεμιγμένος ὁμοῦ φίλοις καὶ πολεμίοις ἄπιστον ἀγῶνα λέγεται καὶ χειρὸς ἔργοις καὶ ποδῶν τάχει καὶ τολμήμασι ψυχῆς ἀγωνιζόμενος ἐν τῇ πόλει καὶ κρατῶν ἁπάντων, πρὸς οὓς ὁρούσειε, τοὺς μὲν ἐξῶσαι πρὸς τὰ ἔσχατα μέρη, τῶν δ' ἀπειπαμένων καὶ καταβαλόντων τὰ ὅπλα πολλὴν ἄδειαν τῷ Λαρκίῳ παρασχεῖν ἔξωθεν ἐπάγοντι τοὺς Ῥωμαίους.

IX. Οὕτω δὲ τῆς πόλεως ἁλούσης καὶ τῶν πλείστων ἐν ἁρπαγαῖς ὄντων καὶ διαφορήσεσι χρημάτων ὁ Μάρκιος ἠγανάκτει καὶ ἐδόα, δεινὸν ἡγούμενος, τοῦ ὑπάτου καὶ τῶν σὺν ἐκείνῳ πολιτῶν τάχα που συμπεπτωκότων τοῖς πολεμίοις καὶ διαμαχομένων αὐτοὺς χρηματίζεσθαι c περιόντας ἢ προφάσει χρηματισμοῦ τὸν κίνδυνον ἀποδιδράσκειν. (2) Ἐπεὶ δ' οὐ πολλοὶ προσεῖχον αὐτῷ τοὺς βουλομένους ἀναλαβὼν ἐβάδιζε τὴν ὁδὸν, ᾗ τὸ στράτευμα προκεχωρηκὸς ἤσθετο, πολλάκις μὲν ἐποτρύνων τοὺς σὺν αὐτῷ καὶ παρακαλῶν μὴ ἐνδιδόναι, πολλάκις δὲ τοῖς θεοῖς εὐχόμενος μὴ ἀπολειφθῆναι τῆς μάχης, ἀλλ' εἰς καιρὸν ἐλθεῖν, ἐν ᾧ συναγωνιεῖται καὶ συγκινδυνεύσει τοῖς πολίταις. (3) Ἦν δὲ τότε τοῖς Ῥωμαίοις ἔθος εἰς τάξιν καθισταμένοις καὶ μέλλουσι τοὺς θυρεοὺς ἀναλαμβάνειν καὶ περιζώννυσθαι τὴν τήβεννον ἅμα καὶ d διαθήκας ἀγράφους γίνεσθαι τριῶν ἢ τεττάρων ἐπακουόντων ὀνομάζοντας τὸν κληρονόμον. (4) Ταῦτα δὴ πράττοντας ἤδη τοὺς στρατιώτας Μάρκιος ἐν ὄψει τῶν πολεμίων ὄντων κατελάμβανε. Καὶ τὸ μὲν πρῶτον

cturi. (3) Cominius divisis copiis Volscis foris advenientibus obviam est profectus, Titum Larcium, unum ex præstantissimis Romanis, oppugnandæ urbi reliquit. At Coriolani spreta hostium paucitate, eruptione facta Romanos aggressi fudère primum, fugientesque in castra compulerunt. (4) Ibi Marcius parva cum manu excurrit, hostesque sibi obviam factos prostravit, reliquorum impetum inhibuit, suos magna voce revocavit. (5) Erat enim, id quod in milite requirit Cato, non manu tantum promptus ictuque timendus, sed et vocis sono et aspectu hosti terribilis et insustentabilis. Collectis autem multis et circa eum congregatis, hostes territi se receperunt. (6) Neque id satis visum Marcio, quin et insequeretur cedentes et effusa fuga usque ad portas et multa de muris tela conjiciebantur et cum fugientibus in urbem hostibus armatis repletam ut irrueret, in animum inducere nemo auderet, tamen fixo gradu hortatus est suos alta voce, a fortuna urbem instantibus magis quam fugientibus apertam. (7) Ita cum paucis sequi audentibus per hostes vi se proripuit atque in urbem irruit, nemine initio resistere aut venienti obviam se dare auso, deinde autem cum hi viderent paucos admodum hostes irrupisse, et anbusque permixtus fertur incredibilem pugnam obiisse manuum agilitate, velocitate pedum, audaciaque animi; omnibusque in quos impetum fecisset superatis, Volscos partim ad extremas urbis partes compulit, reliqui desperata re projectis armis, tuto suos inducendi in urbem Larcio facultatem dederunt.

IX. Urbe sic capta, cum ad diripiendum plerique Romanorum se contulissent, indigne id tulit, vociferans iniquam rem agi, si consule et civium exercitu jam fortasse contra hostes pugnante, ipsi per otium prædam quærerent, vel hoc prætextu periculum prœlii vitarent. (2) Paucis ei obtemperantibus, cum iis quibus erat volentibus ea via profectus est, qua profectum exercitum senserat, multisque cohortatus suos, ne labori succumberent, multis quoque deos comprecatus, nollent a pugna intercipere, sed darent in tempore cives suos assequi, cumque iis prœlium atque periculum obire posse. (3) Mos erat Romanis eo tempore, ut in procinctu jam stantes ac scutis manus inserentes, sagaque accingentes, testamenta non scripta facerent, tribus aut quattuor audientibus heredem suum nuncupantes. (4) Id tum agentes milites in conspectu hostium Marcius assecutus est; initioque nonnihil perturbavit quo-

ἐνίους διετάραξεν ὀφθεὶς μετ' ὀλίγων αἵματος περίπλεως καὶ ἱδρῶτος· ἐπεὶ δὲ προσδραμὼν τῷ ὑπάτῳ περιχαρὴς τὴν δεξιὰν ἐνέβαλε καὶ τῆς πόλεως ἀπήγγειλε τὴν ἅλωσιν, ὁ δὲ Κομίνιος περιεπτύξατο αὐτὸν καὶ κατησπάσατο, τοῖς μὲν πυθομένοις τὸ γεγενημένον κατόρθωμα, τοῖς δ' εἰκάσασι θάρσος παρέστη καὶ βοὴ παρεκάλουν ἄγειν καὶ συνάπτειν. (5) Ὁ δὲ Μάρκιος ἠρώτησε τὸν Κομίνιον πῶς διακεκόσμηται τὰ τῶν πολεμίων ὅπλα καὶ ποῦ τέτακται τὸ μαχιμώτατον. Ἐκείνου δὲ φήσαντος οἴεσθαι τὰς κατὰ μέσον σπείρας Ἀντιατῶν εἶναι, πολεμικωτάτων καὶ μηδενὶ φρονήματος ὑφιεμένων, « Ἀξιῶ σε τοίνυν, ὁ Μάρκιος ἔφη, καὶ αἰτοῦμαι, κατὰ τούτους τάξον ἡμᾶς τοὺς ἄνδρας. » Ἔδωκεν οὖν ὁ ὕπατος θαυμάσας αὐτοῦ τὸ πρόθυμον. (6) Ὡς δ' ἦσαν ἐμβολαὶ δοράτων καὶ τοῦ Μαρκίου προεκδραμόντος οὐκ ἀντέσχον οἱ κατὰ στόμα τῶν Οὐολούσκων, ἀλλ' ᾧ προσέμιξε μέρει τῆς φάλαγγος εὐθὺς διεκέκοπτο, τῶν δ' ἑκατέρωθεν ἐπιστρεφόντων καὶ περιλαμβανόντων τοῖς ὅπλοις τὸν ἄνδρα, δείσας ὁ ὕπατος τοὺς κρατίστους τῶν περὶ αὐτὸν ἐξέπεμπεν. (7) Ἰσχυρᾶς δὲ περὶ τὸν Μάρκιον μάχης γενομένης καὶ πολλῶν ἐν ὀλίγῳ νεκρῶν πεσόντων ἐγκείμενοι καὶ καταβιαζόμενοι τοὺς πολεμίους ἐώσαντο καὶ τρεπόμενοι πρὸς δίωξιν αὐτῶν τὸν Μάρκιον ἠξίουν ὑπό τε καμάτου βαρὺν ὄντα καὶ τραυμάτων ἀναχωρεῖν ἐπὶ τὸ στρατόπεδον. Εἰπὼν δ' ἐκεῖνος, ὅτι νικώντων οὐκ ἔστι τὸ κάμνειν, ἐφείπετο τοῖς φεύγουσιν. Ἡττήθη δὲ καὶ τὸ λοιπὸν στράτευμα, πολλῶν μὲν διαφθαρέντων, πολλῶν δὲ ἁλόντων.

X. Τῇ δ' ὑστεραίᾳ τοῦ Μαρκίου παρεγενομένου καὶ τῶν ἄλλων ἀθροιζομένων πρὸς τὸν ὕπατον ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ τοῖς θεοῖς τὴν πρέπουσαν ἀποδοὺς ἐπὶ τηλικούτοις κατορθώμασιν εὐφημίαν πρὸς τὸν Μάρκιον τρέπεται. Καὶ πρῶτον μὲν αὐτοῦ θαυμαστὸν ἔπαινον εἶπε, τῶν μὲν αὐτὸς ἐν τῇ μάχῃ γεγονὼς θεατής, τὰ δὲ τοῦ Λαρκίου μαρτυροῦντος. Ἔπειτα, πολλῶν χρημάτων καὶ ἵππων γεγονότων αἰχμαλώτων καὶ ἀνθρώπων, ἐκέλευσεν αὐτὸν ἐξελέσθαι δέκα πάντα πρὸ τοῦ νέμειν τοῖς ἄλλοις. Ἄνευ δὲ ἐκείνου ἀριστεῖον αὐτῷ κεκοσμημένον ἵππον ἐδωρήσατο. (2) Τῶν δὲ Ῥωμαίων ἐπαινεσάντων ὁ Μάρκιος προελθὼν τὸν μὲν ἵππον ἔφη δέχεσθαι καὶ χαίρειν τοῖς ἐπαίνοις τοῦ ἄρχοντος, τὰ δὲ ἄλλα μισθὸν, οὐ τιμὴν ἡγούμενος ἐᾶν καὶ ἀγαπήσειν ὡς εἷς ἕκαστος τὴν νέμησιν. « Ἐξαίρετον δὲ μίαν αἰτοῦμαι χάριν, ἔφη, καὶ δέομαι λαβεῖν. (3) Ἦν μοι ξένος ἐν Οὐολούσκοις καὶ φίλος ἀνὴρ ἐπιεικὴς καὶ μέτριος· οὗτος ἑάλωκε νῦν καὶ γέγονεν ἐκ πλουσίου καὶ μακαρίου δοῦλος. Πολλῶν οὖν αὐτῷ κακῶν παρόντων ἓν ἀφελεῖν ἀρκεῖ, τὴν πρᾶσιν. » (4) Ἐπὶ τούτοις λεχθεῖσι βοή τε μείζων ἀπήντησε τῷ Μαρκίῳ καὶ πλείονες οἱ θαυμάζοντες ἐγένοντο τὸ μὴ κρατούμενον ὑπὸ χρημάτων τἀνδρὸς ἢ τὴν ἐν τοῖς πολέμοις ἀνδραγαθίαν. (5) Καὶ γὰρ οἷς φθόνου τι καὶ ζήλου πρὸς αὐτὸν ὑπέκειτο τιμώμενον ἐκπρεπῶς, κἀκείνοις τότε τοῦ λαβεῖν μεγάλα τῷ μὴ λαβεῖν ἄξιος ἔδοξε, καὶ μᾶλλον αὐτοῦ τὴν ἀρε-

rundam animos, ut cum paucis respersus undique sanguine et sudore madens advenerat. Ut vero ad consulem perquam lætus accurrit, dextraque data urbem a se captam renunciavit, consulque ipsum amplexus et osculatus est, cum iis qui audiebant rem præclare gestam, tum reliquis quid actum esset conjicientibus, audacia aucta est, sublatoque clamore duci se ad hostem et committi prœlium postularunt. (5) Ibi Marcius consulem percontatus, quænam esset hostium armaturæ ratio, quisve ordo et quo loco robur hostilis exercitus constitisset, cum respondisset Cominius opinari se cohortes Antiates mediam aciem occupasse, quippe fortissimas neque ullis audacia inferiores, Ergo peto, inquit, et obsecro, Marcius, ut cum meis illis opponar; idque consul, miratus viri voluntatem, concessit. (6) Cum ad manus ventum esset resque hastis gereretur, Marcius ante reliquos in hostem procurrit, neque tulerunt impetum, qui in fronte positi erant Volsci, statimque ea pars aciei, qua is irruperat, dissipata est; ceteri eum ab utroque latere circumdederunt et armis cinxerunt; ibi consul Marcio metuens, auxilio ei quos secum habebat fortissimos misit. (7) Initoque acri circa eum prœlio, multisque parvo tempore cadentibus, fusi tandem vique in fugam compulsi sunt hostes. Quos cum insequerentur Romani, Marcium labore et vulneribus confectum, ut rediret in castra rogaverunt; sed is non esse vincentium defatigari dicens, fugientibus institit. Superatæ sunt reliquæ etiam partes Volscorum, multis occisis et captis multis.

X. Postridie consul præsente Marcio et reliquis militibus convocatis pro tribunali, actis, ut par erat pro tanta victoria, diis gratiis, ad Marcium conversus, miris modis hominis virtutem prædicavit, quam partim ipse eo in prœlio spectasset, partim Larcius testatam satis fecisset; deinde ex omni pecuniæ, equorum, hominum præda quæ ingens erat, decem sibi capita deligere jussit, antequam præda militibus divideretur; præterea præmii loco equum ei ornatum dedit. (2) Approbantibus hoc Romanis, Marcius in medium progressus, Equum accipio, inquit, ac laudibus consulis gaudeo; reliqua non tam honorem, quam mercedem puto: itaque contentus ero eadem, qua alii, prædæ distributione. Unam hanc mihi gratiam eximiam expeto et cupio: (3) fuit mihi inter Volscos hospes et amicus, vir bonus et moderatus, qui nunc inter captivos est, e divite ac fortunato servus factus; tantis huic malis circumvento, sufficit saltem venditionem arcuisse. (4) Major ad hæc Marcii verba omnium clamor sublatus est, pluresque invictum pecunia hominis animum, quam bellicam virtutem admirabantur. (5) Nam et his, qui tantis ejus honoribus invidebant, dignus jam, cui magna tribuerentur, eo ipso videbatur, quod ea recusabat, magisque ejus in respuendo, quam in merendo

τὴν ἠγάπησαν, ἀφ' ἧς κατεφρόνει τηλικούτων, ἢ δι' ὧν ἠξιοῦτο. (6) Τὸ μὲν γὰρ εὖ χρῆσθαι χρήμασι κάλλιόν ἐστιν ἢ ὅπλοις, τοῦ δὲ χρῆσθαι τὸ μὴ δεῖσθαι χρημάτων σεμνότερον.

XI. Ἐπεὶ δὲ ἐπαύσατο βοῆς καὶ θορύβου τὸ πλῆθος ὑπολαβὼν ὁ Κομίνιος, « Ἀλλ' ἐκείνας μέν, εἶπεν, ὦ συστρατιῶται, τὰς δωρεὰς οὐ δύνασθε βιάζεσθαι μὴ d δεχόμενον τὸν ἄνδρα μηδὲ βουλόμενον λαβεῖν· ἣν δὲ οὐκ ἔστιν ἐπὶ τούτῳ διδομένην ἀπώσασθαι δῶμεν αὐτῷ καὶ ψηφισώμεθα καλεῖσθαι Κοριολάνον, εἰ μὴ καὶ πρὸ ἡμῶν ἡ πρᾶξις αὐτὴ τοῦτο δέδωκεν. » (2) Ἐκ τούτου τρίτον ἔσχεν ὄνομα τὸν Κοριολάνον. Ὧ καὶ μάλιστα δῆλόν ἐστιν, ὅτι τῶν ὀνομάτων ἴδιον ἦν ὁ Γάϊος, τὸ δὲ δεύτερον οἰκίας ἢ γένους κοινὸν ὁ Μάρκιος, τῷ δὲ τρίτῳ ὕστερον ἐχρήσαντο πράξεώς τινος ἢ τύχης ἢ ἰδέας ἢ ἀρετῆς ἐπιθέτῳ, καθάπερ Ἕλληνες ἐτίθεντο πράξεος μὲν ἐπώνυμον τὸν Σωτῆρα καὶ τὸν Καλλίνικον, ἰδέας δὲ τὸν Φύσκωνα καὶ τὸν Γρυπόν, ἀρετῆς δὲ τὸν Εὐεργέτην καὶ τὸν Φιλάδελφον, εὐτυχίας e δὲ τὸν Εὐδαίμονα τῷ δευτέρῳ τῶν Βάττων. (3) Ἐνίοις δὲ τῶν βασιλέων καὶ σκώμματα παρέσχεν ἐπικλήσεις, ὡς Ἀντιγόνῳ τὸν Δώσωνα καὶ Πτολεμαίῳ τὸν Λάθυρον. (4) Ἐπὶ πλέον δὲ τῷ γένει τούτῳ καὶ Ῥωμαῖοι κέχρηνται Διαδήματόν τινα τῶν Μετέλλων καλέσαντες, ὅτι πολὺν χρόνον ἕλκος ἔχων περιενόστει περιδεδεμένος τὸ μέτωπον, ἕτερον δὲ Κέλερα σπεύσαντα μεθ' ἡμέρας ὀλίγας τῆς τοῦ πατρὸς τελευτῆς ἐπιταφίους μονομάχων ἀγῶνας παρασχεῖν, τὸ τάχος καὶ τὴν ὀξύτητα τῆς παρασκευῆς θαυμάσαντες. (5) Ἐνίους δὲ f συντυχίᾳ γενέσεως μέχρι νῦν καλοῦσι, Πρόκλον μέν, ἐὰν ἀποδημοῦντος πατρὸς γένηται, καὶ Πόστουμον, ἂν τεθνηκότος· ᾧ δ' ἂν διδύμῳ γενομένῳ συμβῇ περιβιῶναι, θατέρου τελευτήσαντος, Οὐοπίσκον. (6) Τῶν δὲ σωματικῶν οὐ μόνον Σύλλας οὐδὲ Νίγρους οὐδὲ Ῥούφους, ἀλλὰ καὶ Καίκους καὶ Κλωδίους ἐπωνυμίας τίθενται, καλῶς ἐθίζοντες μήτε τυφλότητα μήτ' ἄλλην τινὰ σωματικὴν ἀτυχίαν ὄνειδος ἡγεῖσθαι μηδὲ λοιδο-
219 ρίαν, ἀλλ' ὡς οἰκείοις ὑπακούειν ὀνόμασιν. Ἀλλὰ ταῦτα a μὲν ἑτέρῳ γένει γραφῆς προσήκει.

XII. Παυσαμένῳ δὲ τῷ πολέμῳ τὴν στάσιν ἐπήγειρον αὖθις οἱ δημαγωγοί, καινὴν μὲν οὐδεμίαν αἰτίαν ἔχοντες οὐδ' ἔγκλημα δίκαιον, ἃ δὲ ταῖς προτέραις αὐτῶν διαφοραῖς καὶ ταραχαῖς ἀναγκαίως ἐπηκολούθησε κακά, ταῦτα ποιούμενοι πρόφασιν ἐπὶ τοὺς πατρικίους. (2) Ἄσπορος γὰρ ἡ πλείστη καὶ ἀγεώργητος ἀπελείφθη τῆς χώρας, ἀγορᾶς δ' ἐπεισάκτου παρασκευὴν διὰ τὸν πόλεμον ὁ καιρὸς οὐκ ἔδωκεν. (3) Ἰσχυρᾶς οὖν ἀπορίας γενομένης ὁρῶντες οἱ δημαγωγοὶ μήτ' ἀγορὰν ἔχοντα μήτ', εἰ παρῆν ἀγορά, χρημάτων εὐποροῦντα τὸν b δῆμον ἐνέβαλλον λόγους καὶ διαβολὰς κατὰ τῶν πλουσίων, ὡς ἐκεῖνοι τὸν λιμὸν ἐπάγοιεν αὐτοῖς ὑπὸ μνησικακίας. (4) Ἐκ δὲ τῶν Οὐελιτράνων ἧκε πρεσβεία τὴν πόλιν παραδιδόντων καὶ δεομένων ἀποίκους ἀποστέλλειν. Νόσος γὰρ ἐμπεσοῦσα λοιμώδης αὐτοῖς το-

tanta virtutem amplectebantur. (6) Præclarius est enim pecunia, quam armis bene uti; ceterum ipso usu pecuniæ contemptus plus laudis meretur.

XI. Sedato clamore et tumultu Cominius: Quando, inquit, virum hunc cogere, ut accipiat oblata a nobis munera, non possumus, commilitones, at eum honorem, quem hujus rei causa sibi habitum repudiare non potest, ei rite deferamus: Coriolani cognomen, inquam, nisi illud jam ante nos res ipsa ei imposuit. (2) Itaque tertium nomen Coriolani deinde obtinuit: ex quo luculenter apparet, proprium ejus nomen Caium, Marcium autem gentis vel familiæ fuisse commune nomen; tertio nomine posterius utebantur utpote actioni alicui aut fortunæ aut formæ corporis aut virtuti conveniente, quemadmodum Græci ab actione Sotera et Callinicum, a forma corporis Physconem et Grypum, a virtute Euergetem et Philadelphum, a casu Eudæmona, quod nomen Battorum secundo fuit, appellaverunt. (3) Nonnullis regum etiam per obtrectationem cognomenta facta sunt: ut Antigono Dosonis, Ptolemæo Lathyri. (4) Sed hoc genere Romani frequentius usi sunt, qui quendam ex Metellorum genere Diadematum dixerunt, quod ulceris causa frontem obligatam habens aliquamdiu obambularet; alium Metellum Celerem, quod defuncto patre paucis post diebus funebres ludos gladiatorios dedisset, celeritatem ejus et fervorem in iis apparandis admirantes. (5) Sunt et quædam cognomina a nascendi casu tracta: ita Proculum vocant, qui peregre profecto patre nascitur; Postumum, qui mortuo; Vopiscum, qui e gemellis vivit, altero exstincto. (6) A corporis vitio, non Sullas modo et Nigros et Rufos, sed Cæcos etiam, Claudiosque dicunt; pulchre assuefacientes, ne quis cæcitatem, aliudve corporis vitium ignominiæ loco duceret, sed tanquam domesticum nomen eam appellationem ferret. Verum hæc ad aliud genus scriptionis pertinent.

XII. Finito bello seditionem denuo populares excitarunt, nullam quidem novam neque justam causam nacti, sed ea mala, quæ priores ipsorum turbas ac discordias necessario erant consecuta, in occasionem vexandorum nobilium vertentes. (2) Plerisque enim in agris neque sementes erant factæ, neque terra culta, et bello occupata urbe aliunde advehendi frumenti otium non fuerat. (3) Itaque ingenti penuria oborta, cum viderent populares, populo neque annonæ copiam esse, neque si esset, ad emendum pecuniam, sermones et obtrectationes contra divites divulgarunt, quasi ii injuriarum acceptarum memores, famem urbi induxissent. (4) Forte tum Velitris legati venerunt, urbem dedentes, ac mitti eo colonos postulantes; in tantam enim

σοῦτον ὄλεθρον καὶ φθορὰν ἀπειργάσατο τῶν ἀνθρώπων, ὥστε μόλις τὸ δέκατον τοῦ παντὸς ἀπολειφθῆναι μέρος. (5) Ἔδοξεν οὖν τοῖς νοῦν ἔχουσιν εἰς δέον γεγονέναι καὶ κατὰ καιρὸν ἡ χρεία τῶν Οὐελιτράνων διά τε τὴν ἀπορίαν κουφισμοῦ δεομένοις καὶ τὴν στάσιν ἅμα σχεδάσειν ἤλπιζον, εἰ τὸ θορυβοῦν μάλιστα καὶ συνεπηρμένον τοῖς δημαγωγοῖς ὥσπερ περίττωμα τῆς πόλεως νοσερὸν καὶ ταραχῶδες ἀποχαθαρθείη. (6) Τούτους τε δὴ καταλέγοντες εἰς τὴν ἀποικίαν ἐξέπεμπον οἱ ὕπατοι καὶ στρατείαν ἐπήγγελλον ἑτέροις ἐπὶ τοὺς Οὐολούσκους ἀσχολίαν τε τῶν ἐμφυλίων μηχανώμενοι θορύβων καὶ νομίζοντες ἐν ὅπλοις καὶ στρατοπέδῳ καὶ κοινοῖς ἀγῶσιν αὖθις γενομένους πλουσίους ὁμοῦ καὶ πένητας καὶ δημοτικοὺς καὶ πατρικίους ἡμερώτερον διατεθῆναι πρὸς ἀλλήλους καὶ ἥδιον.

XIII. Ἐνίσταντο δὲ λοιπὸν οἱ περὶ Σικίννιον καὶ Βροῦτον δημαγωγοὶ βοῶντες ἔργον ὠμότατον αὐτῷ τῷ πραοτάτῳ τῶν ὀνομάτων ἀποικίαν προσαγορεύσαντας ἀνθρώπους πένητας ὥσπερ εἰς βάραθρον ὠθεῖν, ἐκπέμποντας εἰς πόλιν ἀέρος τε τοῦ νοσεροῦ καὶ νεκρῶν ἀτάφων γέμουσαν ἀλλοτρίῳ δαίμονι καὶ παλαμναίῳ συνοικιζομένους· εἶτα ὥσπερ οὐκ ἀρκουμένους τοὺς μὲν ὑπὸ λιμοῦ διολλύναι τῶν πολιτῶν, τοὺς δὲ λοιμῷ προσβάλλειν, ἔτι καὶ πόλεμον αὐθαίρετον ἐπάγειν, ὅπως μηδὲν κακὸν ἀπῇ τῆς πόλεως, ὅτι δουλεύουσα τοῖς πλουσίοις ἀπεῖπε. (2) Τοιούτων ἀναπιμπλάμενος λόγων ὁ ὄχλος οὔτε τῷ καταλόγῳ προσῄει τῶν ὑπάτων πρός τε τὴν ἀποικίαν διεβέβλητο. (3) Τῆς δὲ βουλῆς διαπορουμένης ὁ Μάρκιος ἤδη μεστὸς ὢν ὄγκου καὶ μέγας γεγονὼς τῷ φρονήματι καὶ θαυμαζόμενος ὑπὸ τῶν κρατίστων φανερὸς ἦν μάλιστα τοῖς δημαγωγοῖς ἀνθιστάμενος. Καὶ τὴν μὲν ἀποικίαν ἀπέστειλαν ἐπιτιμίοις μεγάλοις τοὺς λαχόντας ἐξελθεῖν ἀναγκάσαντες· πρὸς δὲ τὴν στρατείαν παντάπασιν ἀπαγορευόντων αὐτὸς ὁ Μάρκιος τούς τε πελάτας ἀναλαβὼν καὶ τῶν ἄλλων ὅσους ἔπεισε κατέδραμον τὴν Ἀντιατῶν χώραν. (4) Καὶ πολὺν μὲν σῖτον εὑρὼν, πολλῇ δὲ λείᾳ θρεμμάτων καὶ ἀνδραπόδων περιτυχὼν αὐτῷ μὲν οὐδὲν ἐξείλετο, τοὺς δὲ στρατευσαμένους πολλὰ μὲν ἄγοντας ἔχων, πολλὰ δὲ φέροντας ἐπανῆλθεν εἰς τὴν Ῥώμην, ὥστε τοὺς ἄλλους μεταμελομένους καὶ φθονήσαντας τοῖς εὐπορήσασιν ἀχθεσθαι τῷ Μαρκίῳ καὶ βαρύνεσθαι τὴν δόξαν αὐτοῦ καὶ τὴν δύναμιν, ὡς ἐπὶ τὸν δῆμον αὐξομένην.

XIV. Ὀλίγου δὲ χρόνου μετῆει μὲν ὑπατείαν ὁ Μάρκιος, ἐκάμπτοντο δὲ οἱ πολλοὶ καὶ τὸν δῆμον αἰδώς τις εἶχεν ἄνδρα καὶ γένει καὶ ἀρετῇ πρῶτον ἀτιμάσαι καὶ καταβαλεῖν ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐεργετήμασι. (2) Καὶ γὰρ ἔθος ἦν τοῖς μετιοῦσι τὴν ἀρχὴν παρακαλεῖν καὶ δεξιοῦσθαι πολίτας ἐν ἱματίῳ κατιόντας εἰς τὴν ἀγορὰν ἄνευ χιτῶνος, εἴτε μᾶλλον ἐκταπεινοῦντας ἑαυτοὺς τῷ σχήματι πρὸς τὴν δέησιν, εἴτε δεικνύντας οἷς ἦσαν ὠτειλαὶ προφανῆ τὰ σύμβολα τῆς ἀνδρείας. (3) Οὐ γὰρ ὑποψίᾳ δήπου διανομῆς ἀργυ-

perniciem atque internecionem apud eos pestis erat grassata, ut vix decima hominum pars esset superstes. (5) Et existimabant homines prudentes commodum atque in tempore eam petitionem Veliternorum accidisse, cum et Roma inopia alimentorum pressa, levatione opus haberet, et fore finis seditionibus videretur, urbe a turbulenta et popularibus adhærente multitudine, tanquam redundantia aliqua morbosa et inquieta, expurgata. (6) Itaque et colonos lectos Velitras destinaverunt consules et militiam contra Volscos reliquis indixerunt; id machinantes, ut ab intestinis motibus otium esset existimantesque melius conventurum inter divites et pauperes, patricios et plebeios, si una in armis, castris, communique iterum versarentur bello.

XIII. Jam vero repugnavere Sicinius Brutusque cum sociis, vociferantes, rem crudelissimam coloniæ vocabulo mitissimo velari; detrudi tanquam in barathrum pauperum hominum turbam, in urbem contagioso aere et cadaverum inhumatorum acervis infestam, ut ibi apud peregrinos et contaminatos habitarent lares. Quin etiam quasi non satis mali sit, partem civium fame necare, partem pestilentiæ objicere, spontaneum porro bellum suscipi, ut nimirum nihil mali absit a civitate, quod servire divitibus recusaret. (2) His sermonibus multitudo crebro incitata, neque nomina consulibus exercitum scribentibus dedit et de colonia pessime sensit. (3) Anxio senatu, Coriolanus, plenus jam fastu, tumensque animo, et in admiratione optimatum habitus, palam popularibus major, quam quisquam alius, contentione restitit, obtinuitque ut colonia deduceretur magnisque mulctis sorte lecti exire cogerentur. Quum autem populus militiam omnino detrectaret, Marcius cum clientum eorumque, quos persuadendo sibi adjunxerat, manu incursionem in agros Antiatum fecerunt. (4) Et multa frumenti, multa pecorum et hominum præda parta nihil ipse sibi vindicans, milites vero onustos præda ducens, Romam rediit. Itaque reliqui invidentes istis, Marcii gloriam ac potentiam moleste tulerunt, augeri eum ad opprimendam plebem suspicantes.

XIV. Paulo post consulatum Marcius petiit. Flexit hoc multorum animos, incessitque vulgus verecundia, virum genere ac virtute primum, cujusque tot et tanta constarent in patriam beneficia, ignominia premendi. (2) Mos enim erat Romæ, ut qui magistratum aliquem ambiret, is cives prehensaret, oraretque ut suam petitionem juvarent; et ejus rei causa in forum prodibat tunicatus, sine toga, sive ut humilitatis aliquid is habitus supplicantium afferret, sive ut cicatrices suas, aperta fortitudinis signa, ostendere posset. (3) Nondum enim eo tempore largitionum corruptio-

ρίου καὶ δεκασμῶν ἄζωστον ἐβούλοντο προσιέναι καὶ ἀχίτωνα τοῖς πολίταις τὸν δεόμενον αὐτῶν· ὀψὲ γὰρ μετὰ πολὺν χρόνον ὠνὴ καὶ πρᾶσις ἐπεισῆλθε καὶ συνεμίγη ταῖς ἐκκλησιαστικαῖς ψήφοις ἀργύριον. (4) Ἐκ δὲ τούτου καὶ δικαστῶν θιγοῦσα καὶ στρατοπέδων ἡ ἐωροδοκία περιέστησεν εἰς μοναρχίαν τὴν πόλιν ἐξανοραποδισαμένη τὰ ὅπλα τοῖς χρήμασιν. Οὐ γὰρ κακῶς ἔοικεν εἰπεῖν ὁ εἰπών, ὅτι πρῶτος κατέλυσε τὸν δῆμον ὁ πρῶτος ἑστιάσας καὶ δεκάσας. (5) Φαίνεται δὲ κρύφα καὶ κατὰ μικρὸν ὑποῤῥέον οὐκ εὐθὺς ἔκδηλον ἐν Ῥώμῃ γενέσθαι τὸ κακόν. Οὐ γὰρ ἴσμεν, ὅστις ἦν ὁ πρῶτος δεκάσας ἐν Ῥώμῃ δῆμον ἢ δικαστήριον· Ἀθήνησι δὲ λέγεται πρῶτος ἀργύριον δοῦναι δικασταῖς Ἄνυτος ὁ Ἀνθεμίωνος προδοσίας περὶ Πύλου κρινόμενος ἐν τοῖς Πελοποννησιακοῖς ἤδη τελευτῶσιν, ὁπηνίκα τὸ χρυσοῦν ἔτι γένος καὶ ἀκήρατον ἐν Ῥώμῃ τὴν ἀγορὰν κατεῖχεν.

XV. Ἀλλὰ τοῦ γε Μαρκίου πολλὰς ὑποφαίνοντος ὠτειλὰς ἀπὸ πολλῶν ἀγώνων, ἐν οἷς ἐπρώτευσεν ἑπτακαίδεκα ἔτη συνεχῶς στρατευόμενος, ἐδυσωποῦντο τὴν ἀρετὴν καὶ λόγον ἀλλήλοις ἐδίδοσαν ὡς ἐκεῖνον ἀποδείξοντες. (2) Ἐπεὶ δὲ τῆς ἡμέρας, ἐν ᾗ τὴν ψῆφον ἔδει φέρειν, ἐνστάσης ὁ Μάρκιος εἰς ἀγορὰν ἐνέβαλε σοβαρῶς ὑπὸ τῆς βουλῆς προπεμπόμενος καὶ πάντες οἱ πατρίκιοι περὶ αὐτὸν ἐγένοντο φανεροὶ πρὸς μηδὲν οὕτω μηδέποτε σπουδάσαντες, ἐξέπεσον αὖθις οἱ πολλοὶ τῆς πρὸς αὐτὸν εὐνοίας εἰς τὸ νεμεσᾶν καὶ φθονεῖν ὑποφερόμενοι. (3) Προσῆν δὲ τῷ πάθει τούτῳ καὶ δέος, εἰ γένοιτο τῆς ἀρχῆς κύριος ἀνὴρ ἀριστοκρατικὸς καὶ τοσοῦτον ἔχων ἐν τοῖς πατρικίοις ἀξίωμα, μὴ παντάπασιν ἀφέλοιτο τοῦ δήμου τὴν ἐλευθερίαν. (4) Οὕτω δὴ φρονήσαντες ἀπεψηφίσαντο τὸν Μάρκιον. Ὡς δ' ἀνηγορεύθησαν ἕτεροι βαρέως μὲν ἤνεγκεν ἡ βουλὴ δοκοῦσα προπεπηλακίσθαι μᾶλλον ἑαυτὴν ἢ τὸν Μάρκιον, αὐτὸς δ' ἐκεῖνος οὐ μετρίως ἔσχεν οὐδ' ἐπιεικῶς πρὸς τὸ συμβεβηκὸς, ἅτε δὴ πλεῖστα τῷ θυμοειδεῖ καὶ φιλονείκῳ μέρει τῆς ψυχῆς, ὡς ἔχοντι μέγεθος καὶ φρόνημα, κεχρημένος, τὸ δ' ἐμβριθὲς καὶ τὸ πρᾶον, οὗ τὸ πλεῖστον ἀρετῇ πολιτικῇ μέτεστιν, ἐγκεκραμένον οὐκ ἔχων ὑπὸ λόγου καὶ παιδείας οὐδὲ τὴν ἐρημίᾳ ξύνοικον, ὡς Πλάτων ἔλεγεν, αὐθάδειαν εἰδὼς ὅτι δεῖ μάλιστα διαφεύγειν ἐπιχειροῦντα πράγμασι κοινοῖς καὶ ἀνθρώποις ὁμιλεῖν καὶ γενέσθαι τῆς πολλὰ γελωμένης ὑπ' ἐνίων ἀνεξικακίας ἐραστήν. (5) Ἀλλ' ἁπλοῦς τις ὢν ἀεὶ καὶ ἀτενὴς καὶ τὸ νικᾶν καὶ κρατεῖν ἁπάντων πάντως ἀνδρείας ἔργον ἡγούμενος, οὐκ ἀσθενείας καὶ μαλακίας, ἐκ τοῦ πονοῦντος καὶ πεπονθότος μάλιστα τῆς ψυχῆς, ὥσπερ οἴδημα, τὸν θυμὸν ἀναδιδούσης ἀπῄει ταραχῆς μεστὸς ὢν καὶ πικρίας πρὸς τὸν δῆμον. (6) Οἱ δ' ἐν ἡλικίᾳ τῶν πατρικίων, ὅ τι περ ἦν ἐν τῇ πόλει μάλιστα γαυρούμενον εὐγενείᾳ καὶ ἀνθοῦν, ἀεί τε θαυμαστῶς ἐσπουδάκεσαν περὶ τὸν ἄνδρα καὶ τότε προσκείμενοι καὶ παρόντες οὐκ ἐπ' ἀγαθῷ τὸν θυμὸν ἐξερρίπιζον αὐτοῦ τῷ συναγαναχτεῖν καὶ συναλγεῖν. (7) Ἦν γὰρ ἡγεμὼν

numque suspicione candidatum sine toga et discinctum progredi ad cives jubebant : nam longo post tempore venditio et emptio se insinuavit permixtaque est suffragiis pecunia. (4) Inde etiam in judicia et ad exercitus corruptela progressa, in unius hominis potestatem, armis pecunia mancipatis, Romam redegit. Neque inepte dictum est a quodam, ab eo primum oppressum populum, qui primus epulum et dona ei dederit. (5) Atque manifestum est id malum occulte et sensim urbi obrepsisse, neque statim innotuisse : neque enim constat, quis primus Romæ populum aut judices pecunia corruperit. Athenis Anytus Anthemionis filius primus narratur pecunia judices demeritus, cum Pyli proditæ accusaretur, sub finem belli Peloponnesiaci; qua tempestate Romanum forum adhuc ab aureo et sincero hominum genere tenebatur.

XV. Enimvero cum multas Coriolanus ostentasset cicatrices, quas continentibus septemdecim annis palmam virtutis tot in prœliis meritus acceperat, pudorem multitudini virtus hominis injecit, interque se de eo consule creando sermones contulerunt. (2) Sed postquam dies qua suffragia ferre opus erat, instabat, in forum processit, splendido cum senatorum comitatu, neque dubium erat, quin ii nullam unquam rem tantopere, quam ejus consulatum, expetiissent, rursus a benevolentia populus ad invidiam et odium recidit. (3) Et accedebat ad invidiam metus verentium, ne, si vir optimatum partis studiosissimus tantæque inter patricios auctoritatis consulatu potiretur, populum omnino libertate spoliaret. (4) Hæ cogitationes tantum valuerunt, ut Marcius repulsam tulerit. Consulibus aliis creatis, senatus graviter hoc tulit, non Marcium, sed se contumelia affectum censens; tum vero ipsum Marcium casus hic non mediocriter affecit, utpote eum virum, qui altos spiritus ducens, iracunda et contendendi cupida parte animi potissimum ferretur, neque doctrina et institutione gravitatem ac mansuetudinem sibi parasset, quibus ad virtutem civilem maxime opus est; neque enim sciebat, id quod Plato præcipit, solitudinis contubernalem contumaciam, ei, qui ad rempublicam et versandum inter homines animum adjecit, magnopere fugiendam, amplectendamque eam quæ a nonnullis admodum solet derideri, patientiam injuriarum. (5) Verum Marcius, ut erat sui semper similis et immobilis ac qui omnibus velle superiorem esse, neminique concedere, fortitudinis utique, non impotentiæ animi mollitieique, putaret, tum præcipue iracundia in animo effervescente, et tumoris instar se efferente, plenus perturbationis irarumque contra populum discessit. (6) Patricii vero juvenes, qui nobilitate inter Romanos maxime splendebant et florebant, cum semper mirifice huic viro studuissent, tunc maxime ei adfuerunt, dolorisque et indignationis socios se præbentes, iram hominis nullo reipublicæ bono inflammaverunt. (7) Dux enim horum erat et præceptor benignus iis

αὐτοῖς καὶ διδάσκαλος εὐμενὴς τῶν πολεμικῶν ἐν ταῖς στρατείαις καὶ ζῆλον ἀρετῆς ἄνευ φθόνου πρὸς ἀλλήλους γαυρῶσαι τοὺς κατορθοῦντας.

XVI. Ἐν τούτῳ δὲ σῖτος ἦκεν εἰς Ῥώμην, πολὺς μὲν ὠνητὸς ἐξ Ἰταλίας, οὐκ ἐλάττων δὲ δωρητὸς ἐκ Συρακουσῶν, Γέλωνος τοῦ τυράννου πέμψαντος· ὥστε τοὺς πλείστους ἐν ἐλπίσι γενέσθαι χρησταῖς ἅμα τῆς ἀπορίας καὶ τῆς διαφορᾶς τὴν πόλιν ἀπαλλαγήσεσθαι προσδοκῶντας. (2) Εὐθὺς οὖν βουλῆς ἀθροισθείσης περιχυθεὶς ὁ δῆμος ἔξωθεν ἐκαραδόκει τὸ τέλος ἐλπίζων ἀγορᾷ τε χρήσασθαι φιλανθρώπῳ καὶ προῖκα τὰς δωρεὰς νεμήσεσθαι. Καὶ γὰρ ἔνδον ἦσαν οἱ ταῦτα τὴν βουλὴν πείθοντες. (3) Ὁ μέντοι Μάρκιος ἀναστὰς σφόδρα καθήψατο τῶν χαριζομένων τοῖς πολλοῖς δημαγωγοὺς καὶ προδότας ἀποκαλῶν τῆς ἀριστοκρατίας καὶ σπέρματα πονηρὰ θρασύτητος καὶ ὕβρεως εἰς ὄχλον ἀφειμένα τρέφοντας καθ' αὑτῶν, ἃ καλῶς μὲν εἶχε μὴ περιιδεῖν ἐν ἀρχῇ φυόμενα μηδ' ἰσχυρὰ ἀρχῇ τηλικαύτῃ ποιῆσαι τὸν δῆμον, ἤδη δὲ καὶ φοβερὸν εἶναι τῷ πάντα βουλομένοις αὐτοῖς ὑπάρχειν καὶ μηδὲν ἄκοντας βιάζεσθαι μηδὲ πείθεσθαι τοῖς ὑπάτοις, ἀλλ' ἀναρχίαν ἔχοντας ἡγεμόνας ἰδίους ἄρχοντας προσαγορεύειν. (4) Ἐπιδόσεις μὲν οὖν καὶ διανομάς, ὥσπερ Ἑλλήνων οἱ κράτιστα δημοκρατούμενοι, καθέζεσθαι ψηφιζομένους ἔφη παντελῶς εἰς κοινὸν ὄλεθρον τὴν ἀπείθειαν αὐτῶν ἐφοδιάζειν. (5) « Οὐ γὰρ χάριν γε δήπου φήσουσιν ἀπολαμβάνειν τῶν στρατειῶν, ἃς ἐγκατέλιπον, καὶ τῶν ἀποστάσεων, αἷ; προήκαντο τὴν πατρίδα, καὶ τῶν διαβολῶν, ἃς ἐδέξαντο κατὰ τῆς βουλῆς· ἀλλ' ὑφιεμένους διὰ φόβον καὶ κολακεύοντας ὑμᾶς ταῦτα διδόναι καὶ συγχωρεῖν ἐλπίσαντες οὐδὲν ἕξουσι πέρας ἀπειθείας οὐδὲ παύσονται διαφερόμενοι καὶ στασιάζοντες. (6) Ὥστε τοῦτο μέν ἐστι κομιδῇ μανικόν· εἰ δὲ σωφρονοῦμεν, ἀφαιρησόμεθα τὴν δημαρχίαν αὐτῶν, ἀναίρεσιν οὖσαν ὑπατείας καὶ διάστασιν τῆς πόλεως, οὐκέτι μιᾶς, ὡς πρότερον, οὔσης, ἀλλὰ δεδεγμένης τομὴν μηδέποτε συμφῦναι μηδ' ὁμοφρονῆσαι μηδὲ παύσασθαι νοσοῦντας ἡμᾶς καὶ ταραττομένους ὑπ' ἀλλήλων ἐάσουσαν. »

XVII. Πολλὰ τοιαῦτα λέγων ὁ Μάρκιος ὑπερφυῶς εἶχε τοὺς νέους συνενθουσιῶντας αὐτῷ καὶ τοὺς πλουσίους ὀλίγου δεῖν ἅπαντας, μόνον ἐκεῖνον ἄνδρα τὴν πόλιν ἔχειν ἀήττητον καὶ ἀκολάκευτον βοῶντας. (2) Ἔνιοι δὲ τῶν πρεσβυτέρων ἠναντιοῦντο ὑφορώμενοι τὸ ἀποβησόμενον. Ἀπέβη δὲ χρηστὸν οὐδέν. (3) Οἱ γὰρ δήμαρχοι παρόντες, ὡς ἤσθοντο τῇ γνώμῃ κρατοῦντα τὸν Μάρκιον, ἐξέδραμον εἰς τὸν ὄχλον μετὰ βοῆς παρακελευόμενοι συνίστασθαι καὶ βοηθεῖν αὐτοῖς τοὺς πολλούς. (4) Ἐκκλησίας δὲ θορυβώδους γενομένης καὶ τῶν λόγων, οὓς ὁ Μάρκιος εἶπεν; ἀναγορευθέντων ὀλίγον ἐδέησεν ἐμπεσεῖν ὑπ' ὀργῆς φερόμενος εἰς τὴν βουλὴν ὁ δῆμος· οἱ δὲ δήμαρχοι τοῦ Μαρκίου τὴν αἰτίαν ἐποιοῦντο καὶ πέμποντες ἐκάλουν αὐτὸν ἀπολογησόμενον. Ὡς δὲ πρὸς ὕβριν τοὺς πεμφθέντας ἐξήλασεν ὑπηρέτας, αὐτοὶ μετὰ τῶν ἀγορανόμων ἦκον ἄξοντες βίᾳ τὸν ἄνδρα καὶ

qui præstarent fortitudine bellica auctorque ut virtutis æmulatio et efferret eos quibus res bene cesserat et mutua careret invidia.

XVI. Interim magna frumenti copia in urbem allata est, cujus pars coempta in Italia, non minor a Gelone tyranno Syracusanorum dono missa erat, ut plerique in magnam spem venirent, urbem simul et penuria et discordia liberatum iri. (2) Itaque congregato senatu, statim Curiæ circumfusa plebs eventum exspectabat, sperans et emptum frumentum modico ipsis pretio venditum, et quod erat dono missum, gratis distributum iri, quippe erant intus qui hoc Patribus suaderent. (3) Ibi vero Marcius assurgens, graviter est in eos invectus, qui plebi gratificandum censuissent, favoris popularis captatores et proditores optimatum in republica principatus eos nominans, qui prava temeritatis et libidinis semina in plebem sparsa contra se ipsos foverent, quæ quidem præstitisset initio statim exstirpari, neque fuisse populi novo magistratu ita augendum robur, ut terrori nunc sit senatui, dum omnia suo arbitrio agat, cogi nusquam possit, consulibus dicto audiens esse nolit, magistratibusque sublatis ductores suos magistratus nominet. (4) Enimvero, inquit, vos dum sedetis, ut largitiones eis distributionesque decernatis, id quod apud Græcos eos fit, ubi omnia sunt in manu populi posita, utique contumaciæ plebis viam ad communem perniciem civitatis expeditis. (5) Neque enim gratiam pro deserta aliquoties militia, aut pro secessionibus, quibus patriam prodiderunt, et calumniis, quas admiserunt contra senatum, relatam sibi putabunt, sed metu perculsos ad demulcendum ipsos, concedendumque quæ velint, vos demisisse rati, finem detrectandi imperia, factionesque et seditiones agitandi nullum in posterum facient. (6) Itaque vestrum hoc consilium plane amentium est. Quin si sapimus, tribunatum potius eis adimimus, quo et consulatus evertitur et urbis concordia scinditur, ut non, sicut ante, una sit, sed a se ita divulsa, ut nunquam coalescere, ad concordiam redire, turbisque intestinis eam liberari illi sint passuri.

XVII. Multa in hanc sententiam locutus Marcius, juniorum animos mirum in modum concitatos astipulantes sibi habuit, propemodumque omnes divites; solum hunc virum clamabant in urbe invictum atque ab adulatione alienum restare. (2) Seniorum quidam, quid esset eventurum, suspicantes, repugnabant; et quidem evenit nihil boni. (3) Namque tribuni plebis cum interessent senatui, ut viderunt Marcii sententiam prævalere, ad plebem e Curia se proripuerunt, auxilium ejus implorantes et ad concionem vocantes. (4) In quam ut est magno cum tumultu conventum ac qui sermo esset habitus a Marcio renunciatum, parum abfuit, quin plebs ira ardens in senatum impetum faceret. Verumtamen tribuni omni culpa in Marcium collata, lictores miserunt, qui eum ad causam dicendam pertraherent, quos ut contumeliose ille Curia expulit, ipsi cum ædilibus venerunt, ut vi hominem abducerent, manusque

τοῦ σώματος ἐπελαμβάνοντο. (5) Συστάντες δ' οἱ πατρίκιοι τοὺς μὲν δημάρχους ἀπετρίψαντο, τοῖς δ' ἀγορανόμοις καὶ πληγὰς ἐνέβαλον. Τότε μὲν οὖν ἑσπέρα καταλαβοῦσα τὴν ταραχὴν διέλυσεν· ἅμα δ' ἡμέρᾳ τὸν δῆμον ἐξηγριωμένον ὁρῶντες οἱ ὕπατοι καὶ συντρέχοντα πανταχόθεν εἰς τὴν ἀγορὰν ἔδεισαν ὑπὲρ τῆς πόλεως καὶ τὴν βουλὴν ἀθροίσαντες ἐκέλευον σκοπεῖν, ὅπως ἐπιεικέσι λόγοις καὶ δόγμασι χρηστοῖς πραΰνωσι καὶ καταστήσωσι τοὺς πολλούς, ὡς οὐ φιλοτιμίας οὖσαν ὥραν οὐδ' ὑπὲρ δόξης ἅμιλλαν, εἰ σωφρονοῦσιν, ἀλλὰ καιρὸν ἐπισφαλῆ καὶ ὀξὺν εὐγνώμονος πολιτείας καὶ φιλανθρώπου δεόμενον. (6) Εἰξάντων δὲ τῶν πλείστων προελθόντες ὡς ἐνῆν μάλιστα τῷ δήμῳ διελέγοντο καὶ κατεπράϋνον ἀπολυόμενοί τε τὰς διαβολὰς ἐπιεικῶς καὶ τῷ νουθετοῦντι καὶ δάκνοντι μετρίως χρώμενοι, περὶ δὲ τιμῆς ὠνίων καὶ ἀγορᾶς οὐδὲν διοίσεσθαι πρὸς αὐτοὺς φάσκοντες.

222 XVIII. Ὡς οὖν ἐνεδίδου τὸ πολὺ τοῦ δήμου καὶ φανερὸν ἦν τῷ κοσμίως καὶ σωφρόνως ἀκούειν ἀγόμενον καὶ κηλούμενον, ἀνέστησαν οἱ δήμαρχοι, τῇ μὲν βουλῇ σωφρονούσῃ τὸν δῆμον ἀνθυπείξειν ὅσα καλῶς ἔχει φάσκοντες, τὸν δὲ Μάρκιον ἀπολογεῖσθαι κελεύοντες, εἰ μή φησιν ἐπὶ συγχύσει τῆς πολιτείας καὶ καταλύσει τοῦ δήμου τήν τε βουλὴν παροξύνειν καὶ καταλύμενος ὑπ' αὐτῶν ἀπειθῆσαι, τέλος δὲ τοὺς ἀγορανόμους τύπτων ἐν ἀγορᾷ καὶ προπηλακίζων ἐμφύλιον, ὅσον ἐπ' αὐτῷ, πόλεμον ἐξεργάσασθαι καὶ προαγαγεῖν εἰς ὅπλα τοὺς πολίτας. (2) Ἔλεγον δὲ ταῦτα βουλόμενοι τὸν Μάρκιον ἢ ταπεινὸν ἀποδεῖξαι παρὰ φύσιν ὑφέντα τὸ φρόνημα καὶ θεραπεύοντα ἢ τῇ φύσει χρώμενον ἀνήκεστον ἀπεργάσασθαι τὴν πρὸς αὐτὸν ὀργήν· ὃ μᾶλλον ἤλπιζον ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός. (3) Ἔστη μὲν γὰρ ὡς ἀπολογησόμενος καὶ παρέσχεν αὐτῷ σιωπὴν καὶ ἡσυχίαν ὁ δῆμος· ὡς δ' ἤρξατο πρὸς ἀνθρώπους δεητικόν τινα λόγον προσδεχομένους οὐ μόνον ἐπαχθεῖ παῤῥησίᾳ χρῆσθαι καὶ πλείονι κατηγορίᾳ τῆς παῤῥησίας, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ διαθέσει προσώπου τὴν ἐγγὺς ὑπεροψίας καὶ ὀλιγωρίας ἀφοβίαν ἐπιδεικνύμενος, ὁ μὲν δῆμος ἐξετραχύνθη καὶ φανερὸς ἦν δυσανασχετῶν καὶ βαρυνόμενος τοῖς λεγομένοις, τῶν δὲ δημάρχων ὁ θρασύτατος Σικίννιος μικρὰ τοῖς συνάρχουσι διαλεχθεὶς, εἶτ' εἰς μέσον ἀναγορεύσας, ὡς θάνατος ὑπὸ τῶν δημάρχων τοῦ Μαρκίου κατέγνωσται, προσέταξε τοῖς ἀγορανόμοις ἀναγαγόντας αὐτὸν ἐπὶ τὴν ἄκραν εὐθὺς ὦσαι κατὰ τῆς ὑποκειμένης φάραγγος. (4) Ἁπτομένων δὲ τῶν ἀγορανόμων τοῦ σώματος ἔδοξε μὲν καὶ τῶν δημοτῶν πολλοῖς φρικτὸν εἶναι τὸ γιγνόμενον καὶ ὑπερήφανον, οἱ δὲ πατρίκιοι παντάπασιν ἐκστάντες καὶ περιπαθήσαντες ὥρμησαν ἀπὸ κραυγῆς βοηθεῖν, οἱ δὲ καὶ χερσὶ τοὺς ἐπιλαμβανομένους ἀνείργοντες καὶ καταμιγνύντες ἑαυτοῖς τὸν Μάρκιον, ἔνιοι δὲ καὶ τὰς χεῖρας ὀρέγοντες ἐδέοντο τῶν πολλῶν, ἐπειδὴ λόγου τε καὶ φωνῆς οὐδὲν ἔργον ἦν ἐν ἀκοσμίᾳ τοσαύτῃ καὶ θορύβοις, ἄχρις οὗ συμφρονήσαντες οἱ φίλοι καὶ

ei injecerunt. (5) Sed patricii, facto agmine, tribunos repulerunt, ædiles etiam plagis affecerunt : tandem nox tumultum solvit. Mane cum viderent consules populum exasperatum undique in forum concurrere, metuere urbi cœperunt; ideoque convocato senatu, de placanda et sedandis sermonibus moderatis decretisque benignis multitudine r tulerunt; non enim tempus de gloria contendendi esse, sed curandum, si quid saperent, ut imminens periculum gravissimum placido et mansueto consilio averteretur. (6) Accedente majori senatorum parte progressi in concionem, orationem quam potuit fieri placandis populi animis aptissimam habuerunt, placide calumnias refellentes, leniterque plebem verbis castigantes, asserentesque nihil sibi de pretio annonæ et frumenti contra ipsos dissensionis futurum.

XVIII. Cum major populi pars contentionem remisisset audiendaque modeste et placide consulum oratione delinitos se esse jam et pacatos plerique indicarent, tribuni plebis surgentes, senatui quidem moderatum se exhibenti populum vicissim, quantum ejus rectum esset, concessurum dixerunt; Marcio autem causam dicendam demonstrandumque, non confundendæ reipublicæ opprimendique populi causa ab ipso senatum irritatum, vocantibus ad causam dicendam tribunis plebis non obtemperatum, denique ædilibus in foro contumelia verberibusque acceptis quantum in ipso fuerit, bellum civile excitasse, civesque ad arma provocasse. (2) Hæc eo ab ipsis dicebantur, ut aut frangerent spiritus Marcii, eumque præter naturam suam demereri plebem palam cogerent, aut, si more suo uti vellet, iram in sese populi implacabilem concitaret; quorum posterius eventurum recte hominis natura cognita speraverunt. (3) Surrexit enim tanquam se purgaturus, populus autem silentium ei præbuit atque conticuit : ut vero exorsus est coram hominibus deprecationem aliquam exspectantibus, non modo gravi omnibus molestaque in se defendendo libertate, liberioreque adhuc ipsorum accusatione usus est, sed et contentione vocis et vultu ita se metu vacare ostendit, ut contemni ab eo et parvi fieri populum appareret. Qua ejus oratione quum exasperaretur populus satisque aperte indignationem præ se ferret, Sicinius, qui audacissimus erat tribunorum plebis, pauca cum collegis collocutus, coram omnibus pronunciavit, morte damnatum a tribunis plebis Marcium, ædilibusque mandavit, ut adductum in Capitolium, illico de rupe præcipitarent. (4) Ut ædiles manus Marcio injecerunt, atrox insolensque id factum etiam de vulgo plerisque videri, at patricii animo plane abalienati summoque dolore conciti, clamando ad opem ei ferendam contendere, ac partim dimovere eos qui comprehenderant Marcium, eumque intra suorum turbam recipere, partim ad populum manus tendere ac deprecari. At cum in tanta confusione tantoque tumultu neque oratione neque vociferatione quicquam efficeretur, donec amici et familiares

οἰκεῖοι τῶν δημάρχων, ὡς ἄνευ φόνου πολλοῦ τῶν πατρικίων οὐκ ἔστιν ἐξαγαγεῖν οὐδὲ κολάσαι τὸν Μάρκιον, ἔπεισαν αὐτοὺς ἀφελεῖν τῆς τιμωρίας τὸ ἀλλόκοτον καὶ βαρύ, μὴ βίᾳ μηδ' ἄκριτον ἀποκτιννύντας, ἀλλὰ τῷ δήμῳ ψῆφον ἐπενεγκεῖν ἀποδόντας. (5) Ἐκ τούτου καταστὰς ὁ Σικίννιος ἠρώτα τοὺς πατρικίους, τί βουλόμενοι τὸν Μάρκιον ἀφαιροῦνται τοῦ δήμου βουλομένου κολάζειν. Ἐκείνων δὲ πάλιν ἀντερωτώντων· « Τί μὲν οὖν διανοεῖσθε καὶ τί βούλεσθε ὑμεῖς ἄνδρα e Ῥωμαίων ἐν τοῖς ἀρίστοις ἄνευ κρίσεως ἐπὶ τιμωρίαν ὠμὴν καὶ παράνομον οὕτως ἄγοντες »; « Ἀλλὰ ταύτην μέν, εἶπεν ὁ Σικίννιος, ὑμεῖς μὴ ποιεῖσθε πρόφασιν διαφορᾶς καὶ στάσεως πρὸς τὸν δῆμον· ὁ γὰρ ἀξιοῦτε δίδωσιν ὑμῖν, κριθῆναι τὸν ἄνδρα. Σοὶ δέ, Μάρκιε, προαγορεύομεν εἰς τρίτην ἀγορὰν παρεῖναι καὶ πείθειν τοὺς πολίτας, εἰ μηδὲν ἀδικεῖς, ὡς ψήφῳ κρινοῦντας. »

XIX. Τότε μὲν οὖν ἠγάπησαν οἱ πατρίκιοι τὴν διάλυσιν καὶ τὸν Μάρκιον ἀσμένως ἔχοντες ἀπῆλθον. (2) Ἐν δὲ τῷ μεταξὺ χρόνῳ τῆς τρίτης ἀγορᾶς (ἀγορὰς δὲ ποιοῦσι Ῥωμαῖοι δι' ἡμέρας ἐνάτης νουνδίνας καλοῦντες) ἐλπίδα μὲν αὐτοῖς παρέσχε διακρούσεως στρα- f τεία γενομένη πρὸς Ἀντιάτας, ὡς μῆκος ἔξουσα καὶ χρόνον, ἐν ᾧ χειροήθης ὁ δῆμος ἔσται τῆς ὀργῆς ἀπομαρανθείσης ἢ παντελῶς ἐκπεσούσης δι' ἀσχολίαν καὶ πόλεμον· ἔπειτα δ', ὡς ταχὺ διαλυσάμενοι πρὸς τοὺς Ἀντιάτας ἐπανῆλθον, ἐγίνοντο σύνοδοι τῶν πατρικίων πολλάκις δεδιότων καὶ σκοπούντων, ὅπως τόν τε Μάρ- 22 κιον οὐ προήσονται τόν τε δῆμον αὖθις οὐ παρέξουσιν a ἐκταράττειν τοῖς δημαγωγοῖς. (3) Ἄππιος μὲν οὖν Κλαύδιος αἰτίαν ἔχων ἐν τοῖς μάλιστα μισόδημος εἶναι διεμαρτύρετο λέγων τήν τε βουλὴν αὐτοὺς ἀναιρήσειν καὶ προήσεσθαι παντάπασι τὴν πολιτείαν, εἰ κύριον τῆς ψήφου κατὰ τῶν πατρικίων δέξονται γενόμενον τὸν δῆμον· οἱ δὲ πρεσβύτατοι καὶ δημοτικώτατοι τοὐναντίον ἠξίουν οὐ χαλεπὸν οὐδὲ βαρύν, ἀλλὰ πρᾷον καὶ φιλάνθρωπον ὑπὸ τῆς ἐξουσίας ἔσεσθαι τὸν δῆμον· οὐ γὰρ καταφρονοῦντι τῆς βουλῆς, ἀλλ' οἰομένῳ καταφρονεῖσθαι τιμὴν καὶ παραμυθίαν γενήσεσθαι τὴν κρίσιν, ὥσθ' ἅμα τὴν ψῆφον λαβόντας ἀποθήσεσθαι τὴν ὀργήν.

XX. Ὁρῶν οὖν ὁ Μάρκιος εὐνοίᾳ μὲν αὐτοῦ, φόβῳ b δὲ τοῦ δήμου τὴν σύγκλητον ἀπορουμένην ἠρώτησε τοὺς δημάρχους, τί κατηγοροῦσιν αὐτοῦ καὶ περὶ τίνος κριθησόμενον ἐπὶ τὸν δῆμον εἰσάγουσιν. (2) Εἰ- 4b πόντων δ' ἐκείνων, ὅτι τυραννίς ἐστι τὸ ἔγκλημα καὶ τυραννεῖν διανοούμενον ἀποδείξουσιν αὐτὸν, οὕτως ἐξαναστὰς αὐτὸς ἔφη πρὸς τὸν δῆμον ἤδη βαδίζειν ἀπολογησόμενος καὶ μηδένα τρόπον κρίσεως μηδὲ, ἂν ἁλῷ, κολάσεως παραιτεῖσθαι· « μόνον ὅπως, 11 ἔφη, τοῦτο κατηγορήσητε καὶ μὴ ψεύσησθε τὴν βουλήν. » Ὡς δ' ὡμολόγησαν, ἐπὶ τούτοις ἡ κρίσις ἐγίνετο. (3) Συνελθόντος δὲ τοῦ δήμου πρῶτον μὲν οὐ κατὰ λόχους, ἀλλὰ κατὰ φυλὰς ἐβιάζοντο γίνεσθαι τὴν ψηφοφορίαν, τῶν εὐπόρων καὶ γνωρί- c

tribunorum, animadvertentes non posse sine multorum patriciorum cæde Marcium abripi aut puniri, tribunis persuaserunt, ut inusitatam pœnæ gravitatem tollerent, neque vi eum indictaque causa occiderent, sed populus suffragia ferret. (5) Proinde Sicinius progressus, patricios percontatus est, cur Marcium populo supplicium imponere volenti eriperent; rursusque iis quærentibus, quo animo ipsi virum inter Romanos præstantissimum cuperent indicta causa ad tam crudele et a legibus alienum supplicium rapere? respondit Sicinius : Vos vero non est ut hac occasione contentionem contra populum suscipiatis; dat enim vobis quod petitis, ac fiet sane de eo judicium. Tibi vero, Marci, edicimus ut ad trinundinum adsis, populumque suffragiis de te acturum doceas, nihil esse a te delictum.

XIX. Ac tum quidem satis habuerunt patricii rem ita compositam esse, Marciumque lœti secum abduxerunt. (2) Interea vero temporis, dum trinundinum appeteret (nundinas nono quoque die Romani agunt), bellum contra Antiates exortum spem illis disjiciendi judicii præbebat; sperabantque id bellum diuturnum fore, itaque populum vel marcescente ira placidiorem futurum, vel occupationibus eam bellicis omnino dissipatum iri. Sed ut mox facta pace cum Antiatibus reditum est, crebri inter patricios acti sunt conventus, Marcio metuentes, idque circumspi- cientes, quo pacto neque hunc destituerent et occasionem concitandæ plebis tribunis nullam præberent. (3) Et Appius Claudius, qui præ reliquis infensus populo existimabatur, testatus est, senatum a se ipso dissolutum rempublicamque proditum iri, quando jus ferendi de patriciis suffragia populo concederent. Contra qui ætate maxime provecti popularesque erant, non iniquum neque severum, sed mansuetum et humanum fore populum censebant, adeptum eam potestatem; non enim contemptu senatus, sed quod se ab eo despici putarent, judicii potestatem honorem et solatium habituros, statimque iram deposituros.

XX. Marcius ergo cum videret benevolentia erga ipsum metuque populi senatum animi incertum, quæsivit a tribunis, cujusnam criminis ipsum apud populum postularent. (2) Cum responderent, tyrannidis eum accusari, eamque ab ipso affectari sese demonstraturos, surgens : Jam nunc, inquit, eo ad populum causam dicturus, neque vel judicium ullum, vel, si convincar, supplicium detrecto : tantum vos videte, ut hoc mihi crimen objiciatis, neque fucum senatui faciatis. Cum affirmassent ita fore, hac conditione judicium factum est. (3) Congregato populo, primo omnium vi obtinuere tribuni, ut non centuriatim, sed c tributim ferrentur suffragia, inque iis ferendis homines

μων καὶ στρατευομένων τὸν ἄπορον καὶ πολυπράγμονα καὶ τοῦ καλοῦ φροντίζοντα μηδὲν ὄχλον ἐπίπροσθεν ταῖς ψήφοις ποιοῦντες. (4) Ἔπειτα τὴν τυραννίδος ἀφέντες αἰτίαν ἀναπόδεικτον οὖσαν ἐκείνων πάλιν ἐμέμνηντο τῶν λόγων, οὓς ὁ Μάρκιος πρότερον εἶπεν ἐν τῇ βουλῇ κωλύων μὲν ἐπευωνίσαι τὴν ἀγοράν, ἀφελέσθαι δὲ τὴν δημαρχίαν τοῦ δήμου κελεύων. (5) Καινὸν δὲ κατηγόρησαν αὐτοῦ κατηγόρημα τὴν διανομὴν τῶν λαφύρων, ἃ λαβὼν ἐκ τῆς Ἀντιατῶν χώρας οὐκ ἀνήνεγκεν εἰς τὸ δημόσιον, ἀλλὰ διένειμε τοῖς μεθ' αὑτοῦ στρατευομένοις· ὑφ' οὗ δὴ καὶ μάλιστα λέγεται d διαταραχθῆναι τὸν Μάρκιον. Οὐ γὰρ προσεδόκησεν οὐδ' εὐπόρησε πρὸς τὸν ὄχλον ἐκ τοῦ παραυτίκα λόγων πιθανῶν, ἀλλ' ἐπαινοῦντι τοὺς στρατευσαμένους ἐθορύβησαν αὐτῷ πλείονες ὄντες οἱ μὴ στρατευσάμενοι. (6) Τέλος δ' αὖ ταῖς φυλαῖς τῆς ψήφου δοθείσης αἱ καθαιροῦσαι τρεῖς ἐγένοντο. Ἦν δὲ τίμημα τῆς καταδίκης ἀΐδιος φυγή. (7) Μετὰ δὲ τὴν ἀναγόρευσιν ὁ μὲν δῆμος οὐδέποτε νικήσας μάχῃ πολεμίους τοσοῦτον ἐφρόνησεν, ὅσον τότε φρονῶν καὶ γεγηθὼς ἀπῆει. (8) Τὴν δὲ βουλὴν ἄχος ἔσχε καὶ κατήφεια δεινὴ μεταμελομέ- e νην καὶ δυσφοροῦσαν ἐπὶ τῷ μὴ πάντα ποιῆσαι καὶ παθεῖν πρότερον ἢ περιιδεῖν ὑβρίσαντα καὶ χρησάμενον ἐξουσίᾳ τοσαύτῃ τὸν δῆμον. Οὐδὲν δ' ἔδει τότε πρὸς διάγνωσιν ἐσθῆτος ἢ παρασήμων ἑτέρων, ἀλλ' εὐθὺς ἦν δῆλος ὅτι δημότης ὁ χαίρων καὶ ὁ δυσφορῶν ὅτι πατρίκιος.

XXI. Πλὴν αὐτὸς ὁ Μάρκιος ἀνέκπληκτος καὶ ἀταπείνωτος καὶ σχήματι καὶ βαδίσματι καὶ προσώπῳ καθεστηκὼς ἐν πᾶσι τοῖς ἄλλοις ἐφαίνετο πεπονθόσιν ἀσυμπαθὴς ἑαυτῷ μόνος, οὐχ ὑπὸ λογισμοῦ καὶ πραότητος οὐδὲ τῷ φέρειν μετρίως τὸ συμβεβηκὸς, ἀλλ' ἐμπαθὴς ὢν ὑπ' ὀργῆς καὶ βαρυφροσύνης, ὅπερ ἀγνοοῦσιν οἱ πολλοὶ λύπην οὖσαν. (2) Ὅταν γὰρ εἰς θυμὸν f μεταβάλῃ καθάπερ ἐκπυρωθεῖσα τὸ ταπεινὸν ἀποβάλλει καὶ ἀργόν· ἥ καὶ ὀκνεῖ δραστικὸς ὁ θυμούμενος ὡς θερμὸς ὁ πυρέττων, οἷον ἐν σφυγμῷ καὶ διατάσει καὶ ὄγκῳ γενομένης τῆς ψυχῆς. (3) Ἐδήλωσε δὲ τοῖς ἔργοις αὐτίκα μάλα τὴν διάθεσιν ταύτην ὁ Μάρκιος. 224 Εἰσελθὼν γὰρ οἴκαδε καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα a μετὰ κλαυθμοῦ καὶ βοῆς ὁλοφυρομένας ἀσπασάμενος καὶ κελεύσας μετρίως φέρειν τὸ συμβεβηκὸς εὐθὺς ἀπιὼν ἐβάδιζεν ἐπὶ τὰς πύλας. (4) Ἐκεῖ δὲ τῶν πατρικίων ὁμοῦ τι πάντων προπεμπόντων αὐτὸν οὔτε τι λαβὼν οὔτε τινὸς δεηθεὶς ἀπηλλάττετο τρεῖς ἢ τέτταρας πελάτας ἔχων περὶ αὐτόν. (5) Ἡμέρας δ' ὀλίγας ἔν τισιν ἀγροῖς αὐτὸς καθ' ἑαυτὸν ὑπὸ πολλῶν διενεχθεὶς λογισμῶν, οἷους ὁ θυμὸς ὑπέβαλλεν, ὥστ' οὔτ' εἰς καλὸν οὔτε συμφέρον οὐδὲν, ἀλλ' ἢ τὸ Ῥωμαίους μετελθεῖν, ἐγίνωσκε πόλεμόν τινα βαρὺν καὶ ὄμορον ἀναστῆσαι ἐπ' αὐτούς. (6) Ὥρμησεν οὖν διαπειρᾶσθαι πρῶτον b Οὐολούσκων, ἀκμάζοντας μὲν εἰδὼς ἔτι καὶ σώμασι καὶ χρήμασι, ταῖς δὲ γεγενημέναις ἐναγχος ἥτταις οὐ τοσοῦτον ἀπολωλέναι τῆς δυνάμεως, ὅσον ἐγγεγονέναι φιλονεικίας αὐτοῖς καὶ ὀργῆς οἰόμενος.

egeni, inquieti et nihil honestatem curantes, ditioribus, notis ac stipendia meritis civibus antecederent. (4) Deinde regni affectati crimine omisso, quod se nullo modo demonstraturos norant, sermo Marcii pridem in senatu habitus repetitus est, quo annonæ pretium levare vetuisset et tribunatum populo adimendum censuisset. (5) Additum et novum crimen : prædam, quam ex Antiatum agro invenisset, non illatam ab eo in ærarium, sed suis militibus divisam. Id maxime perturbasse Marcium dicitur, improvisum videlicet et cujus excusandi probabilem ad populum orationem in promptu non haberet; nam cum suos milites laudaret, ii qui non cum ipso militarant, quorum major erat numerus, obstrepuerunt. (6) Tandem suffragiorum latione tribubus tradita, absolventibus tres plures fuerunt quæ damnarent. Pœna dicta fuit, ut perpetuo exularet. (7) Sententia promulgata, nulla unquam bellica victoria tantum populo gaudium attulit, quanto tunc exsultans discessit. (8) Senatus contra ingenti perculsus est tristitia pœnitentiaque gravi correptus, quod non quidvis potius fecissent pertulissentque quam populum tanta licentia in ipsorum contumeliam uti paterentur Neque erat tum opus vestium aliorumve insignium notâ, sed facile cognoscebatur plebeius esse qui gaudebat, patricius, qui mœrebat.

XXI. At vero Marcius ipse imperterritus infractusque, vestituque, incessu et vultu, ut ante, composito, inter reliquos omnes graviter affectos conspiciebatur, solusque se ipse non miserabatur, non sane rectæ rationis et animi moderationis beneficio, sed ira totus concitus, gravique indignatione, quam dolorem esse plerique ignorant. (2) Cum enim dolor quasi excandescens in iram transit, omnem humilitatem et remissionem exuit : itaque iratus qui est, eodem modo strenuus videtur, quo is qui febricitat, calidus, siquidem in pulsu est ejus animus et distentione et tumore quodam. (3) Et statim quidem. ut esset affectus, abunde re ipsa demonstravit Marcius : domum enim suam ingressus, matrem ac conjugem lamentantes salutavit atque, ut quod fortuna attulisset mediocriter ferrent hortatus, recta ad portam contendit. (4) Ibi a comitantibus eum patriciis neque accepta ulla re, neque precatus quicquam, cum tribus vel quattuor clientibus discessit. (5) Inde per paucos dies in quadam villa cum animum suum in varia qualia ira subjiciebat consilia deduxisset neque honesta ea neque utilia, sed solum eo tendentia, quo se ab Romanis vindicaret, bellum grave ac finitimum contra eos movere decrevit. (6) Periculum primum de Volscis facere in ea re statuit, quos et milite et pecunia adhuc validos esse norat, cladibusque nuper acceptis non tantum virium amisisse, quantum iræ et pertinaciæ inde concepisse.

XXII. Ἦν δέ τις ἀνὴρ ἐξ Ἀντίου πόλεως διά τε πλοῦτον καὶ ἀνδρείαν καὶ γένους ἐπιφάνειαν ἀξίωμα βασιλικὸν ἔχων ἐν πᾶσιν Οὐολούσκοις ὄνομα Τύλλος Ἀμφίδιος. (2) Ὑπὸ τούτου μισούμενον ὁ Μάρκιος ἑαυτὸν ὡς οὐδένα Ῥωμαίων ἐγίνωσκε· πολλάκις γὰρ ἐν ἀπειλαῖς καὶ προκλήσεσι κατὰ τὰς μάχας γενόμενοι καὶ κομπάσαντες διὰ τὸ ἐνάμιλλον, οἷα νεανιῶν πολεμικῶν φιλοτιμίαι καὶ ζῆλοι φέρουσιν, ἴδιον προσεκτήσαντο τῷ κοινῷ τὸ κατ' ἀλλήλων ἔχθος. (3) Οὐ μὴν ἀλλὰ μέγεθός τι φρονήματος ἔχοντα τὸν Τύλλον ὁρῶν καὶ μάλιστα δὴ Οὐολούσκων ἐπιθυμοῦντα Ῥωμαίους λαβὴν παρασχόντας ἐν μέρει κολοῦσαι μαρτυρίαν ἀπέλιπε τῷ εἰπόντι· « Θυμῷ μάχεσθαι χαλεπόν· ὁ γὰρ ἂν θέλῃ ψυχῆς ὠνεῖται. » (4) Λαβὼν γὰρ ἐσθῆτα καὶ σκευήν, ἐν ᾗ μάλιστα μὴ δόξειν ὃς ἦν ἔμελλεν ὁρώμενος, ὥσπερ Ὀδυσσεὺς

Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν.

XXIII. Ἦν δ' ἑσπέρα καὶ πολλοὶ μὲν αὐτῷ προσετύγχανον, ἐγνώριζε δ' οὐδείς. Ἐβάδιζεν οὖν ἐπὶ τὴν οἰκίαν τοῦ Τύλλου καὶ παρεισελθὼν ἄφνω πρὸς τὴν ἑστίαν ἐκάθισε σιωπῇ καὶ τὴν κεφαλὴν ἐγκαλυψάμενος ἡσυχίαν ἦγεν. (2) Οἱ δὲ κατὰ τὴν οἰκίαν θαυμάσαντες ἀναστῆσαι μὲν οὐκ ἐτόλμησαν (ἦν γάρ τι καὶ περὶ αὐτὸν ἀξίωμα καὶ τοῦ σχήματος καὶ τῆς σιωπῆς), ἔφρασαν δὲ τῷ Τύλλῳ περὶ δεῖπνον ὄντι τὴν ἀτοπίαν τοῦ πράγματος. (3) Ὁ δ' ἐξαναστὰς ἦκε πρὸς αὐτὸν καὶ ἀνέκρινε, τίς ὢν ἀφῖκται καὶ τίνων δεόμενος. (4) Οὕτως οὖν ὁ Μάρκιος ἀποκαλυψάμενος καὶ μικρὸν ἀνασχὼν « Εἰ μήπω με γινώσκεις, ὦ Τύλλε, εἶπεν, « ἀλλ' ὁρῶν ἀπιστεῖς· ἀνάγκη με κατήγορον ἐμαυτοῦ γενέσθαι· Γάϊός εἰμι Μάρκιος, ὁ πλεῖστα σὲ καὶ Οὐολούσκους ἐργασάμενος κακὰ καὶ τὴν οὐκ ἐῶσαν ἀρνεῖσθαι ταῦτα περιφέρων προσηγορίαν τὸν Κοριολάνον. (5) Οὐδὲν γὰρ ἄλλο τῶν πολλῶν πόνων καὶ κινδύνων ἐκείνων ἐκτησάμην ἔπαθλον ἢ τὸ παράσημον ὄνομα τῆς πρὸς ὑμᾶς ἔχθρας. Καὶ τοῦτό μοι περίεστιν ἀναφαίρετον· τὰ δ' ἄλλα ὁμοῦ πάντα φθόνῳ δήμου καὶ ὕβρει, μαλακίᾳ δὲ καὶ προδοσίᾳ τῶν ἐν τέλει καὶ ἰσοτίμων ἀπεστέρημαι καὶ φυγὰς ἐλήλαμαι καὶ γέγονα τῆς ἑστίας τῆς σῆς ἱκέτης, οὐχ ὑπὲρ ἀδείας καὶ σωτηρίας (τί γὰρ ἔδει με δεῦρο ἥκειν φοβούμενον ἀποθανεῖν;) ἀλλὰ δίκας λαβεῖν χρῄζων καὶ λαμβάνων ἤδη παρὰ τῶν ἐκβαλόντων τῷ σὲ ποιεῖν ἐμαυτοῦ κύριον. (6) Εἰ μὲν οὖν ἐστί σοι θυμὸς ἐπιχειρεῖν τοῖς πολεμίοις, ἴθι ταῖς ἐμαῖς συμφοραῖς, ὦ γενναῖε, χρῆσαι, καὶ κοινὸν εὐτύχημα ποίησον Οὐολούσκων τὴν ἐμὴν ἀτυχίαν τοσούτῳ βέλτιον ὑπὲρ ὑμῶν πολεμήσοντος ἢ πρὸς ὑμᾶς, ὅσῳ πολεμοῦσι βέλτιον οἱ γινώσκοντες τὰ παρὰ τοῖς πολεμίοις τῶν ἀγνοούντων. (7) Εἰ δ' ἀπείρηκας, οὔτ' ἐγὼ βούλομαι ζῆν οὔτε σοὶ καλῶς ἔχει σώζειν πάλαι μὲν ἐχθρὸν ἄνδρα καὶ πολέμιον, νῦν δ' ἀνωφελῆ καὶ ἄχρηστον. » (8) Ὡς οὖν ταῦτα ὁ Τύλλος ἤκουσεν, ἥσθη τε θαυμαστῶς καὶ τὴν δεξιὰν ἐμβαλών, « Ἀνίστασο,

XXII. Erat vir Antias, divitiarum, fortitudinis nobilitatisque causa inter Volscos regiæ dignitatis, nomine Tullus Amphidius. (2) Huic se præ omnibus aliis Romanis invisum esse Marcius sciebat : sæpenumero enim in prœliis mutuo se provocaverant et minitati fuerant, atque æmulatione juvenili gloriæ bellicæ privatum publico mutuum odium adjecerant. (3) Magno tamen animo eum esse præditum sentiebat, maximeque inter omnes Volscos cupere eum ansam aliquid de Romanis detrahendi. Proinde testimonium tulit ei, qui dixit : Compescere iram difficile est, nam quod petit ipsa morte mercatur. (4) Etenim veste habituque assumpto, quo maxime se, quis esset, ignotum fore videntibus censebat, exemplo Ulyssis

Intrepidus sese intulit hostium in urbem.

XXIII. Sub vesperam multisque obviam factus, a nemine cognitus, Tulli ad ædes contendit, ingressusque statim apud focum capite velato consedit ac conquievit. (2) Domestici admirantes, tamen ut surgeret inde jubere non sunt ausi (nam et habitus et silentium auctoritatem ei conciliabant). Tullo tum forte cœnanti, quid novæ accidisset rei, indicant. (3) Is surgens ad Marcium venit, sciscitatusque est, qui esset cujusque rei causa venisset. (4) Tum Marcius capite detecto paululumque sermonem moratus : Si me, inquit, non agnoscis, sed et conspiciens me an is sum dubitas, necesse est, ut me ipse apud te accusem. Caius sum Marcius, qui plurima Volscis damna intuli, cognomenque, quod infitias me ire non patitur, Coriolani inde fero. (5) Nullum enim aliud multorum illorum præmium adeptus sum laborum atque periculorum, quam notam mei apud vos odii, hocque solum mihi non est ademptum; reliqua universa invidia libidineque populi, mollitie et proditione senatus et nobilium erepta mihi sunt. Actus vero in exsulium, supplex ad tuos penates confugi, non impunitatis et salutis causa impetrandæ, (quid enim erat cur huc me conferrem, si mortem formidarem?) sed ulcisci me cupiens, imo etiam nunc pœnas ab his, qui me extorrem egerunt, sumens, quod tibi me dedo. (6) Quodsi igitur tibi in animo est hostes invadere, agedum vir generose, meum infortunium in rem tuam verte, calamitate mea ad communem Volscorum felicitatem utere; tanto enim rectius pro vobis bellum geram quam contra vos gessi, quanto melius possunt hi, quibus res hostium sunt notæ, iis quos eæ latent. (7) Sin de bello desperasti, neque mihi vivere, neque tibi me servare expedit, olim hostem tuum inimicumque, nunc vero nulli futurum usui. (8) Hæc ut audiit Tullus, summam cepit voluptatem, dataque dex-

εἶπεν, ὦ Μάρκιε, καὶ θάῤῥει. Μέγα γὰρ ἡμῖν ἀγαθὸν ἥκεις δεδοὺς σεαυτὸν, ἐλπίζε δὲ μείζονα παρὰ Οὐολούσκων. » (9) Καὶ τότε μὲν εἱστία φιλοφρονούμενος τὸν Μάρκιον, ἐν δὲ ταῖς ἐπιούσαις ἡμέραις ἐβουλεύοντο περὶ τοῦ πολέμου καθ' ἑαυτούς.

XXIV. Τὴν δὲ Ῥώμην ἥ τε τῶν πατρικίων δυσμένεια πρὸς τὸν δῆμον οὐχ ἥκιστα τὴν τοῦ Μαρκίου καταδίκην αἰτίαν ἐχόντων ἐτάραττε καὶ πολλὰ δαιμόνια μάντεις καὶ ἱερεῖς καὶ ἰδιῶται προσήγγελλον ἄξια φροντίδος. (2) Ἐν δὲ λέγεται τοιοῦτό τι γενέσθαι. Τίτος ἦν Λατῖνος ἀνὴρ οὐκ ἄγαν ἐπιφανὴς, ἀπράγμων δὲ καὶ μέτριος ἄλλως καὶ καθαρὸς δεισιδαιμονίας, ἔτι δὲ μᾶλλον ἀλαζονείας. (3) Οὗτος ὄναρ εἶδεν, ὡς τοῦ Διὸς εἰς ὄψιν ἥκοντος αὐτῷ καὶ κελεύοντος εἰπεῖν πρὸς τὴν σύγκλητον, ὅτι κακὸν τὸν ὀρχηστὴν ἔστειλαν αὐτῷ πρὸ τῆς πομπῆς καὶ ἀτερπέστατον. (4) Ἰδὼν δὲ τὴν ὄψιν ἔλεγε μὴ πάνυ φροντίσαι τὸ πρῶτον· ὡς δὲ καὶ δεύτερον ἰδὼν καὶ τρίτον ἠμέλησε, παιδός τε χρηστοῦ θάνατον ἐπιδεῖν καὶ τοῦ σώματος ἄφνω παρεθέντος ἀκρατὴς γενέσθαι. (5) Ταῦτα δ' ἐν κλινιδίῳ φοράδην κομισθεὶς εἰς τὴν σύγκλητον ἀπήγγειλεν. Ἀπαγγείλας δ', ὥς φασιν, εὐθὺς ἥσθετο ῥωννύμενον αὐτοῦ τὸ σῶμα καὶ ἀναστὰς ἀπῆει δι' αὐτοῦ βαδίζων. (6) Θαυμάσαντες οὖν οἱ βουλευταὶ πολλὴν ἐποιήσαντο τοῦ πράγματος ζήτησιν. Ἦν δὲ τοιοῦτον· οἰκέτην τις αὐτοῦ παραδοὺς οἰκέταις ἑτέροις ἐκέλευσεν ἐξάγειν δι' ἀγορᾶς μαστιγοῦντας, εἶτ' ἀποκτεῖναι. (7) Ταῦτα πράττουσιν αὐτοῖς καὶ τὸν ἄνθρωπον αἰκιζομένοις στροφάς τε παντοδαπὰς ὑπ' ὀδύνης στρεφόμενον καὶ κινήσεις ἄλλας ἀτερπεῖς τῷ περιπαθεῖν κινούμενον ἡ πομπὴ κατὰ τύχην ἠκολουθήκει. (8) Καὶ πολλοὶ μὲν ἐδυσχέραινον τῶν παρόντων οὐτ' ὄψιν ἱλαρὰν ὁρῶντες οὔτε κινήσεις πρεπούσας, οὐδεὶς δ' ἐπεξῆλθεν, ἀλλὰ λοιδορίαι μόνον ἐγένοντο καὶ κατάραι τῷ πικρῶς οὕτως κολάζοντι. (9) Καὶ γὰρ ἐχρῶντο πολλῇ πρὸς τοὺς οἰκέτας ἐπιεικείᾳ τότε διὰ αὐτουργίαν καὶ τὸ κοινωνεῖν διαίτης ἡμερώτερον ἔχοντες πρὸς αὐτοὺς καὶ συνηθέστερον. (10) Ἦν δὲ μεγάλη κόλασις οἰκέτου πλημμελήσαντος, εἰ ξύλον ἁμάξης, ᾧ τὸν ῥυμὸν ὑπερείδουσιν, ἀράμενος διεξέλθοι παρὰ τὴν γειτνίασιν. Ὁ γὰρ τοῦτο παθὼν καὶ ὀφθεὶς παρὰ τῶν συνοίκων καὶ γειτόνων οὐκέτι πίστιν εἶχεν. Ἐκαλεῖτο δὲ φουρκίφερ· ὃ γὰρ οἱ Ἕλληνες ὑποστάτην καὶ στήριγμα, τοῦτο Ῥωμαῖοι φούρκαν ὀνομάζουσιν.

XXV. Ὡς οὖν ὁ Λατῖνος ἀπήγγειλε τὴν ὄψιν αὐτοῖς καὶ διηπόρουν, ὅστις ἦν ὁ τῆς πομπῆς τότε προηγούμενος ἀτερπὴς καὶ κακὸς ὀρχηστὴς, ἀνεμνήσθησαν ἔνιοι διὰ τὴν ἀτοπίαν τῆς τιμωρίας ἐκείνου τοῦ θεράποντος, ὃν μαστιγοῦντες ἐξήγαγον δι' ἀγορᾶς, εἶτ' ἐθανάτωσαν. (2) Συμφωνησάντων οὖν τῶν ἱερέων ὅ τε δεσπότης δίκην ἔδωκε καὶ τῷ θεῷ τὴν πομπὴν καὶ τὰς θέας αὖθις ἐξ ἀρχῆς ἐπετέλουν. (3) Ἔοικεν οὖν ὁ Νομᾶς τά τ' ἄλλα τῶν ἱερῶν σοφώτατος ἐξηγητὴς γεγονέναι καὶ τοῦτο παγκάλως γε νομοθετῆσαι πρὸς εὐ-

tra, Surge, inquit, Marci, ac bono es animo; magno enim nobis emolumento est tui te nobis dedentis adventus et a Volscis meliora spera. (9) Inde humaniter accepit Marcium; sequentibus diebus inter se de bello Romanis inferendo consilia contulerunt.

XXIV. Interim Romæ cum patriciorum in plebem odia, potissimum ob Coriolani damnationem redintegrata, turbas dabant, tum prodigia multa atque gravia vates, sacerdotes privatique referebant. (2) Inter hæc tale quiddam traditur. Titus erat Latinus nomine, vir non admodum illustris, tranquillus alioquin et moderatus et cum superstitionis tum maxime futilis loquacitatis libero animo. (3) Huic in somnis species Jovis visa est, jubentis dicere senatui missum sibi ab eo ludis malum minimeque spectatu jucundum præsultorem. (4) Hoc somnium non magnæ sibi primum curæ fuisse Latinus referebat; cum vero iterum tertioque visum neglexisset, et filium egregium morte ereptum et subito se omnibus membris captum fuisse. (5) Atque hæc lectica in senatum apportatus renunciavit; statimque inde corroborato rursum corpore, surgens suis pedibus domum rediisse traditur. (6) Hoc miraculo senatus motus, summa diligentia de re inquisivit. Ea ita habebat: servum quidam suum aliis servis tradiderat flagellis exigendum per forum atque inde necandum. (7) Hoc illos agentes hominemque flagris proscindentes ipsumque præ dolore varie se hinc inde torquentem, indecorisque motibus corpus jactantem fortuito pompa ludorum subsecuta est. (8) Ac multi quidem id deforme spectaculum indigne ferebant, nemo tamen inhibebat, sed eum tantum conviciis atque exsecrationibus impetebant, qui tam acerbe servum plecteret. (9) Eo enim tempore Romani servis se admodum humanos exhibebant; nimirum cum ipsi quoque laboribus rusticis operam darent et cum servis communi victu uterentur, mollius atque benignius eos tractabant. (10) Erat autem magna pœna servo peccanti irrogata, si lignum quod temonem currus fulcit per viciniam circumgestasset: qui enim erat hoc modo punitus visus, deinde apud domesticos et vicinos nullam fidem inveniebat, furciferque appellabatur; nam quod Græci ὑποστάτην et στήριγμα dicunt, Romani furcam appellant.

XXV. Ergo ut Latinus senatui de suo insomnio indicavit, cum dubitaretur quisnam malus et indecorus ludorum præsultor fuisset, recordati sunt nonnulli supplicium insolens servi istius, per forum flagellis acti et inde interfecti. (2) Approbantibus horum sententiam sacerdotibus pœnas dominus dedit, et Jovi ludi instaurati sunt. (3) Enimvero Numa videtur mihi cum alioquin sapientissimus sacrorum magister fuisse, tum id ad majorem religionis venerationem

λάβειαν αὐτοῖς. Ὅταν γὰρ ἄρχοντες ἢ ἱερεῖς πράττωσί τι τῶν θείων, ὁ κήρυξ πρόεισι μεγάλῃ φωνῇ βοῶν· Ὄκ ἄγε. Σημαίνει δ' ἡ φωνή· τοῦτο πρᾶττε· προσέχειν κελεύουσα τοῖς ἱεροῖς καὶ μηδὲν ἔργον ἐμβαλεῖν μεταξὺ μηδὲ χρείαν ἀσχολίας, ὡς τὰ πλεῖστα τῶν ἀνθρωπίνων ἀναγκαίῳ τινὶ τρόπῳ καὶ διὰ βίας περαινόμενα. (4) Θυσίας δὲ καὶ πομπὰς καὶ θέας οὐ μόνον ἐξ αἰτίας τηλικαύτης, ἀλλὰ καὶ διὰ μικρὰς Ῥωμαίοις ἔθος ἐστὶν ἀναλαμβάνειν. (5) Ἵππου τε γὰρ ἑνὸς τῶν ἀγόντων
226τὰς καλουμένας θήσσας ἀτονήσαντος καὶ πάλιν τοῦ a ἡνιόχου τῇ ἀριστερᾷ χειρὶ τὰς ἡνίας συλλαβόντος αὖθις ἐψηφίσαντο τὴν πομπὴν ἐπιτελεῖν. Ἐν δὲ τοῖς κάτω χρόνοις μίαν θυσίαν τριακοντάκις ἐποίησαν, ἀεί τινος ἐλλείμματος ἢ προσκρούσματος γίνεσθαι δοκοῦντος. Τοιαύτη μὲν εὐλάβεια πρὸς τὸ θεῖον Ῥωμαίων.

XXVI. Ὁ δὲ Μάρκιος· καὶ Τύλλος ἐν Ἀντίῳ τοῖς δυνατωτάτοις κρύφα διελέγοντο καὶ παρεκάλουν, ἕως στασιάζουσιν οἱ Ῥωμαῖοι πρὸς ἀλλήλους, τὸν πόλεμον ἐξενεγκεῖν. (2) Τῶν δὲ δυσωπουμένων, ὅτι σπονδαὶ διέτεις ἦσαν αὐτοῖς καὶ ἀνοχαὶ γεγενημέναι, πρόφασιν b αὐτοὶ Ῥωμαῖοι παρέσχον ἔκ τινος ὑποψίας ἢ διαβολῆς ἐν θέαις καὶ ἀγῶσι κηρύξαντες ἀπιέναι Οὐολούσκους πρὸ ἡλίου δύνοντος ἐκ τῆς πόλεως. (3) Ἔνιοι δέ φασιν ἀπάτῃ τοῦ Μαρκίου καὶ δόλῳ γενέσθαι τοῦτο πέμψαντος εἰς Ῥώμην πρὸς τοὺς ἄρχοντας οὐκ ἀληθῆ κατήγορον τῶν Οὐολούσκων, ὡς ἐν ταῖς θέαις διανοουμένων ἐπιθέσθαι τοῖς Ῥωμαίοις καὶ τὴν πόλιν ἐμπιπρᾶν. (4) Πάντας μὲν γὰρ αὐτοὺς τὸ κήρυγμα τοῦτο δυσμενεστέρους ἐποίησε τοῖς Ῥωμαίοις· ὁ δὲ Τύλλος ἐπὶ μεῖζον αἴρων τὸ πρᾶγμα καὶ παροξύνων τέλος ἔπεισε πέμψαντας εἰς Ῥώμην τήν τε χώραν ἀπαιτεῖν καὶ τὰς πόλεις, c ὅσας ἀφῄρηνται πολέμῳ τῶν Οὐολούσκων. (5) Οἱ δὲ Ῥωμαῖοι τῶν πρέσβεων ἀκούσαντες ἠγανάκτησαν καὶ ἀπεκρίναντο, προτέρους μὲν ἀναλήψεσθαι τὰ ὅπλα τοὺς Οὐολούσκους, ὑστέρους δὲ καταθήσεσθαι Ῥωμαίους. (6) Ἐκ τούτου συναγαγὼν ἐκκλησίαν πάνδημον ὁ Τύλλος, ἐπεὶ τὸν πόλεμον ἐψηφίσαντο, συνεβούλευε τὸν Μάρκιον καλέσαι μηδὲν αὐτῷ μνησικακοῦντας, ἀλλὰ πιστεύσαντας, ὅτι συμμαχῶν ὠφελήσει ὅσα πολεμῶν οὐκ ἔβλαψεν.

XXVII. Ἐπεὶ δὲ κληθεὶς ὁ Μάρκιος καὶ διαλεχθεὶς πρὸς τὸ πλῆθος οὐχ ἧττον ἀπὸ τῶν λόγων ἢ τῶν ὅπλων ἀνὴρ δεινὸς ἐφάνη καὶ πολεμικὸς καὶ τὸ φρονεῖν καὶ τολμᾶν περιττός, ἀποδείκνυται μετὰ Τύλλου στρατηγὸς αὐτοκράτωρ τοῦ πολέμου. (2) Δεδιὼς δὲ τὸν χρόνον, ἐν ᾧ παρασκευάσασθαι τοὺς Οὐολούσκους ἔδει, μὴ πολὺς γενόμενος τὸν καιρὸν ἀφέληται τῆς πράξεως, τὰ μὲν ἄλλα τοὺς κατὰ πόλιν δυνατοὺς καὶ ἄρχοντας ἐκέλευε συνάγειν καὶ πορίζειν, αὐτὸς δὲ τοὺς προθυμοτάτους ἄνευ καταλόγου πείσας ἑκόντας αὐτῷ συνελθεῖν ἐνέβαλεν εἰς τὴν τῶν Ῥωμαίων ἄφνω καὶ μηδενὸς προσδοκῶντος. (3) Ὅθεν ηὐπόρησε λείας τοσαύτης, ὅσην ἄγοντας καὶ φέροντας καὶ χρωμένους ἐν τῷ στρατοπέδῳ τοὺς Οὐολούσκους ἀπειπεῖν. Ἦν δὲ μικρότατον

præclare instituisse, ut cum magistratus aut pontifices rem divinam facerent, præco præcedens magna voce clamaret: Hoc age; qua voce animum adverti sacris juberet, f neque quicquam operis interjici illis, aut aliud quodcunque negotium, ostenderetque, plerasque res humanas necessitate quadam et vi peragi. (4) Ceterum non ob tantam modo causam, sed etiam ob exiguas Romani solent sacra reficere; (5) etenim cum unum ex equis thensas trahentibus vires defecissent, itemque cum auriga læva manu habenas corripuisset, statim pompam instaurare decreverunt; et posterioribus temporibus unum sacrificium tricies est factum, cum semper offendisse aliquid aut defecisse visum fuisset: tanta Romanis erat religionis cura.

XXVI. Marcius autem et Tullus Antii clam cum potentissimis collocuti eosque hortati sunt, ut Romanis, dum ii adhuc discordia turbarentur, bellum inferrent. (2) Qui cum id facere propterea vererentur, quod erant ipsis cum Romanis induciæ in duos annos pactæ, occasio belli committendi ab ipsis Romanis oblata est, qui ludis solennibus quadam suspicione aut calumnia adducti edixerant, ut Volsci ante solis occasum Roma exirent. (3) Quidam hoc ut fieret fraude Marcii actum aiunt, Romam submittente, qui Volscos falso deferret apud magistratus, quod statuissent, dum ludi agerentur, Romanos adoriri et urbem incendere. (4) Id quidem edictum omnium Volscorum animos contra Romanos magis etiam irritavit. Tullus autem exaggerans suosque instigans, tandem persuasit ut Romam legatos mitterent, qui agrum et urbes bello sibi ademptas reposcerent. (5) Romani eam legationem indigne tulerunt, responderuntque: Volscos priores arma capturos, Romanos ea posteriores deposituros. (6) Inde Tullus, convocato in concilium omni Volsco nomine, cum decrevissent bellum, auctor fuit ut Marcium vocarent, oblitique acceptorum ab eo malorum crederent, plus ipsum socium belli allaturum rebus eorum commodi, quam damni hostis dedisset.

XXVII. Marcius ut vocatus orationem ad populum habuit apparuitque, eum non dicendo minus quam armis acrem esse belloque egregium, prudentiaque et audacia præditum maxima, una cum Tullo imperator cum plena potestate ad id bellum est creatus. (2) Proinde veritus, d ne tempus, quo ad apparandum bellum haud exiguo opus erat Volscis, rei gerendæ occasionem ipsi adimeret, primoribus civitatis magistratibusque mandato ut reliqua, quæ opus essent, conducerent atque apparerent, ipse cum iis quos alacriores reliquis extra delectum sibi adjunxerat, subito neque quopiam id exspectante Romanorum in fines impressionem fecit. (3) Qua re tantum prædæ paravit, ut Volsci ea agenda ferendaque et in castris fruenda defatigati sint. Atque prædam ipse ea expeditione vastationemque ho-

ἔργον αὐτῷ τῆς στρατείας ἐκείνης ἡ εὐπορία καὶ τὸ πολλὰ βλάψαι καὶ κακῶσαι τὴν χώραν· οὗ δ' ἕνεκα e ταῦτ' ἔπραττε μέγα, τὸ τοὺς πατρικίους προσδιαβαλεῖν τῷ δήμῳ. (4) Τὰ γὰρ ἄλλα πάντα λυμαινόμενος καὶ διαφθείρων, τοὺς ἐκείνων ἀγροὺς ἰσχυρῶς ἐφύλαττε καὶ οὐκ εἴα κακουργεῖν οὐδὲ λαμβάνειν ἐξ ἐκείνων οὐδέν. (5) Ὅθεν ἐν διαβολαῖς ἔτι μᾶλλον ἐγένοντο καὶ ταραχαῖς πρὸς ἀλλήλους, οἱ μὲν πατρίκιοι τοῖς πολλοῖς ἐγκαλοῦντες ὡς ἄνδρα δυνατὸν ἀδίκως ἐκβαλοῦσιν, ὁ δὲ δῆμος ἐκείνους ἠτιᾶτο διὰ μνησικακίαν ἐπάγειν τὸν Μάρκιον, εἶτα πολεμουμένων ἑτέρων θεατὰς καθῆσθαι φύλακα τοῦ πλούτου καὶ τῶν χρημάτων ἔξω τὸν πόλεμον αὐτῶν ἔχοντας. (6) Ταῦτα διαπραξάμενος ὁ f Μάρκιος καὶ μεγάλα πρὸς τὸ θαρρεῖν καὶ καταφρονεῖν τῶν πολεμίων τοὺς Οὐολούσκους ὠφελήσας ἀπήγαγεν ἀσφαλῶς.

XXVIII. Ἐπεὶ δὲ πᾶσα ταχὺ καὶ προθύμως ἡ τῶν Οὐολούσκων δύναμις ἠθροίσθη πολλὴ φανεῖσα, μέρος μὲν ἔγνωσαν ὑπολιπεῖν ταῖς πόλεσιν ὑπὲρ ἀσφαλείας, μέρει δὲ στρατεύειν ἐπὶ τοὺς Ῥωμαίους· ἑλέσθαι δὲ τῶν ἡγεμονιῶν ὁ Μάρκιος ἔδωκε τῷ Τύλλῳ τὴν ἑτέραν. (2) Ὁ δὲ Τύλλος εἰπὼν, ὡς οὐδὲν ἀρετῇ λειπόμενον 227 αὐτοῦ τὸν Μάρκιον ὁρᾷ, τύχῃ δὲ βελτίονι κεχρημένον a ἐν ταῖς μάχαις ἁπάσαις, ἐκέλευσεν ἡγεῖσθαι τῶν ἐξιόντων, αὐτὸς δὲ τάς τε πόλεις ὑπομένων φυλάξειν καὶ τοῖς στρατευομένοις ὑπουργήσειν τὰ πρόσφορα. (3) Μᾶλλον οὖν ἐπιῤῥωσθεὶς ὁ Μάρκιος ἐχώρει πρῶτον ἐπὶ Κίρκαιον, πόλιν ἀποικίδα Ῥωμαίων, καὶ ταύτην ἐνδοῦσαν ἑκουσίως οὐδὲν ἠδίκησε. (4) Μετὰ δὲ ταύτην ἐπόρθει τὴν Λατίνων χώραν ἐνταῦθα προσμαχεῖσθαι προσδεχόμενος αὐτῷ τοὺς Ῥωμαίους ὑπὲρ τῶν Λατίνων συμμάχων ὄντων καὶ πολλάκις αὐτοὺς ἐπικαλουμένων. (5) Ἐπεὶ δὲ καὶ τὸ πλῆθος ἀπρόθυμον ἐγένετο καὶ τοῖς ὑπάτοις ὀλίγος ἔτι περιῆν τῆς ἀρχῆς χρόνος, ἐν ᾧ κινδυνεύειν οὐκ ἐβούλοντο, καὶ διὰ ταῦτα τοὺς b Λατίνους ἀπέπεμψαν, οὕτως ὁ Μάρκιος ἐπ' αὐτὰς τὰς πόλεις ἦγε καὶ Τολερίνους καὶ Λαουικάνους καὶ Πεδάνους, ἔτι δὲ Βωλάνους ἀντιστάντας αὐτῷ κατὰ κράτος ἑλὼν τά τε σώματα λείαν ἐποιήσατο καὶ τὰ χρήματα διήρπασε. (6) Τῶν δὲ προστιθεμένων ἐπιμέλειαν ἐποιεῖτο πολλὴν, ὅπως μηδ' ἄκοντος αὐτοῦ βλάπτοιντο πορῥωτάτω στρατοπεδεύων καὶ τῆς χώρας ἀπεχόμενος.

XXIX. Ἐπεὶ δὲ καὶ Βόλλας πόλιν οὐ πλείους σταδίους ἑκατὸν ἀπέχουσαν τῆς Ῥώμης ἑλὼν χρημάτων πολλῶν ἐκράτησε καὶ πάντας ὀλίγου δεῖν τοὺς ἐν ἡλικίᾳ διέφθειρε, τῶν δὲ Οὐολούσκων οὐδ' οἱ μένειν ἐν ταῖς c πόλεσι ταχθέντες ἐκαρτέρουν, ἀλλ' ἐφέροντο σὺν τοῖς ὅπλοις πρὸς τὸν Μάρκιον ἕνα στρατηγὸν καὶ μόνον ἄρχοντα ἑαυτῶν γινώσκειν ἐκεῖνον εἶναι λέγοντες, ἦν ὄνομα κατὰ πᾶσαν αὐτοῦ τὴν Ἰταλίαν μέγα καὶ δόξα θαυμαστὴ τῆς ἀρετῆς ἑνὸς σώματος μεταθέσει τοσοῦτον ἀπεργασαμένης τὸ παράλογον ἐν τοῖς πράγμασι. (2) Τὰ δὲ τῶν Ῥωμαίων οὐδένα κόσμον εἶχε, μάχεσθαι μὲν

stilis agri minime quærebat, verum id præcipue spectabat, uti patricios calumniis plebis objiceret. (4) Nam cum omnia alia depopularetur et vastaret, ab eorum agris omnia maleficia, omnem rapinam summa cura prohibuit. (5) Itaque majora etiam jurgia inter ordines et turbæ exsistebant, patriciis populo exprobrantibus, quod hominem potentem injuste patria exegissent; populo eos incusante, quod memoria injuriarum acceptarum Marcium accivissent atque aliis bello afflictis ipsi otiosi spectatores sederent, qui opum atque bonorum suorum foris bellum haberent custodem. (6) Hoc ut confecit Marcius magnumque ad audendum contemnendumque hostem Volscis momentum attulit, secure se recepit.

XXVIII. Collectis magna celeritate et alacritate omnibus Volscorum copiis, cum satis magnæ eæ viderentur, visum est partem earum retinere, quæ urbibus præsidio esset, altera contra Romanos proficisci; optionemque ducendi, utram vellet, Tullo Marcius detulit. (2) Tullus nihil Marcium virtute inferiorem se fassus, sed meliori eum in omnibus prœliis fortuna usum, ducere eos qui exirent in bellum jussit; se in Volscis remansurum, urbes custoditurum, exercituique de rebus necessariis prospecturum. (3) Itaque magis adhuc animo confirmatus, Marcius primum ad Circeios duxit, Romanorum coloniam, eamque dedentem se nullo damno affecit. (4) Inde Latinorum agrum depopulatus est sperans, Romanos pro Latinis sociis, qui sæpe auxilium eorum implorabant, ibi secum conflicturos. (5) Verum et plebs Romana ab bellum suscipiendum erat segnior et consules, quod exiguum tempus magistratus ipsis erat reliquum, periculum subire nolentes, infecta re Latinos dimiserant; itaque Marcius ad ipsas urbes profectus, Tolerium, Lavicos, Pedum, Bolanosque resistentes ipse vi cepit, corporibusque mancipatis bona diripuit. (6) Quæ vero oppida deditionem fecissent, ea diligentissime curavit, ne vel suo injussu detrimentum aliquod acciperent, ideoque procul ab iis castra habebat, agrisque abstinebat.

XXIX. Postquam vero Bollas urbem intra decimum tertium lapidem Roma distantem cepit, magnaque pecunia potitus, omnes prope qui erant juvenili ætate occidit, Volscique jam quoque, qui urbibus præsidii loco erant impositi, manere noluerunt, sed sublatis armis ad Marcium contenderunt, unum se eum suum ducem agnoscere dicentes; tum vero nomen ejus per Italiam magnum gloriaque mira exstitit, quod unius viri transitio tam inopinatam rerum mutationem effecisset. (2) At res Romana nullo ordine gerebatur, civibus de pugna desperantibus et quotidianis

ἀπεγνωκότων, ἐν δὲ συστάσει καὶ λόγοις στασιαστικοῖς ὄσημέραι πρὸς ἀλλήλους ὄντων, ἄχρις οὗ Λαουίνιον ἀπηγγέλθη περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων, ὅπου καὶ θεῶν ἱερὰ Ῥωμαίοις πατρῴων ἀπέκειτο καὶ τοῦ γένους ἦσαν αὐτοῖς ἀρχαὶ διὰ τὸ πρώτην πόλιν ἐκείνην κτίσαι τὸν Αἰνείαν. (3) Ἐκ δὲ τούτου θαυμαστὴ μὲν ἔσχε καὶ ἀθρόα μεταβολὴ γνώμης τὸν δῆμον, ἄτοπος δὲ κομιδῇ καὶ παράλογος τοὺς πατρικίους. (4) Ὁ μὲν γὰρ δῆμος ὥρμησε λύειν τὴν τοῦ Μαρκίου καταδίκην καὶ καλεῖν αὐτὸν εἰς τὴν πόλιν, ἡ δὲ βουλὴ συναχθεῖσα καὶ σκοποῦσα περὶ τοῦ βουλεύματος ἀπέγνω καὶ διεκώλυσεν, εἴτε πάντως ἐνίστασθαι φιλονεικοῦσα πᾶσιν οἷς ὁ δῆμος ἐσπούδαζεν, εἴτ' ἄλλως χάριτι τοῦ δήμου τὸν ἄνδρα μὴ βουλομένη κατελθεῖν, εἴτε κἀκεῖνον αὐτὸν ἤδη πεποιημένη δι' ὀργῆς, ὅτι πάντας ἐποίει κακῶς οὐχ ὑπὸ πάντων ἀγνωμονηθεὶς καὶ τῆς πατρίδος αὐτὸν ἔδειξεν ἐχθρὸν, ἐν ᾗ τὸ κυριώτατον καὶ κράτιστον μέρος ἐγίνωσκε συμπαθοῦν αὐτῷ καὶ συναδικούμενον. (5) Ἐξενεχθείσης δὲ τῆς γνώμης εἰς τοὺς πολλοὺς ὁ μὲν δῆμος ἄκυρος ἦν τοῦ ψήφῳ καὶ νόμῳ τι ποιεῖν ἄνευ προβουλεύματος.

XXX. Ὁ δὲ **Μάρκιος** ἀκούσας ἔτι μᾶλλον ἐξετραχύνθη καὶ τὴν πολιορκίαν ἀπολιπὼν ἐπὶ τὴν πόλιν ὑπ' ὀργῆς ἐχώρει καὶ περὶ τὰς λεγομένας Κλοιλείας τάφρους κατεστρατοπέδευσε τεσσαράκοντα τῆς πόλεως σταδίους ἀφεστώς. (2) Ὀφθεὶς δὲ φοβερὸς καὶ πολὺν θόρυβον παρασχὼν ὅμως ἐν τῷ παρόντι τὴν στάσιν ἔπαυσεν· οὐδεὶς γὰρ ἔτι τοῖς πολλοῖς ἐτόλμησεν ἀντειπεῖν οὔτ' ἄρχων οὔτε βουλευτὴς περὶ τοῦ τὸν Μάρκιον κατάγειν, ἀλλ' ὁρῶντες ἐν τῇ πόλει διαδρομὰς γυναικῶν καὶ πρὸς ἱεροῖς ἱκεσίας καὶ δάκρυα πρεσβυτῶν καὶ δεήσεις, πάντα δ' ἐνδεᾶ τόλμης καὶ σωτηρίων λογισμῶν, συνέγνωσαν ὀρθῶς τὸν δῆμον ἐπὶ τὰς διαλλαγὰς τοῦ Μαρκίου τραπέσθαι, τὴν δὲ βουλὴν τοῦ παντὸς ἁμαρτάνειν, ὅτε παύσασθαι καλῶς εἶχεν ὀργῆς καὶ μνησικακίας ἀρχομένην. (3) Ἔδοξεν οὖν πᾶσι πρέσβεις ἀποστεῖλαι πρὸς τὸν Μάρκιον ἐκεῖνό τε κάθοδον διδόντας εἰς τὴν πατρίδα καὶ τὸν πόλεμον αὐτοῖς λῦσαι δεομένους. (4) Οἱ δὲ πεμφθέντες ἀπὸ βουλῆς ἦσαν μὲν ἐπιτήδειοι τῷ Μαρκίῳ, προσεδέχοντο δὲ πολλὴν περί γε τὰς πρώτας ἀπαντήσεις φιλοφροσύνην παρ' ἀνδρὸς οἰκείου καὶ συνήθους. Ἐγίνετο δὲ τοιοῦτον οὐδὲν, ἀλλὰ διὰ τοῦ στρατοπέδου τῶν πολεμίων ἀχθέντες ἐνετύγχανον αὐτῷ μετ' ὄχλου καθεζομένῳ καὶ βαρύτητος οὐκ ἀνεκτῆς. Ἔχων δὲ τοὺς πρώτους τῶν Οὐολούσκων περὶ αὐτὸν ἐκέλευε λέγειν ὧν δεόμενοι τυγχάνουσιν. (5) Εἰπόντων δὲ λόγους ἐπιεικεῖς καὶ φιλανθρώπους ἐν ἤθει τῷ πρέποντι καὶ παυσαμένων ἀπεκρίνατο τὰ μὲν πικρῶς ὑπὲρ αὐτοῦ καὶ πρὸς ὀργὴν ὧν ἔπαθε, τὰ δ' ὑπὲρ τῶν Οὐολούσκων ὡς στρατηγὸς, ἀποδοῦναι τὰς πόλεις καὶ τὴν χώραν, ὅσην ἀπετέμοντο πολέμῳ, κελεύων καὶ ψηφίσασθαι Οὐολούσκοις ἰσοπολιτείαν ἥνπερ Λατίνοις· ἄλλην γὰρ οὐκ εἶναι βέβαιον ἢ τὴν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις ἀπαλλαγὴν τοῦ πολέμου. (6) Χρόνον

modo coitionibus seditiosisque sermonibus intentis, donec Lavinium (qua in urbe et sacra deorum patriorum continebantur et generis sui originem habebant repositam; nam eam primam urbem Æneas condidit) arcte obsideri ab hoste annunciatum est. (3) Is rumor subitam miramque non populi modo, sed et nequaquam minus inopinatam absurdamque patriciorum animis mutationem attulit. (4) Populus enim damnationem Marcii antiquare, ipsumque in urbem revocare intendit; senatus vero cum de hoc eorum proposito frequens consultaret, improbavit ac prohibuit; sive studio omnibus omnino quæ populus vellet resistendi, sive gratiæ populi ejus reditum adscribi nolens, sive jam ipse etiam Marcio succensens, qui universos infestaret, non læsus ab omnibus ac patriæ se hostem declararet in qua noverat præcipuam optimamque civium partem una cum ipso dolere communemque accepisse injuriam. (5) Sententia senatus vulgata, populo non licebat quicquam legibus aut suffragiis agere, cum Patres auctores non fierent.

XXX. At Marcius his cognitis, omissa Lavinii obsidione, ad ipsam Urbem magis etiam infesto animo exercitum adduxit, castraque fecit apud fossas Clœlias, quinque ab urbe millibus passuum. (2) Hujus adventus ut magnum terrorem tumultumque in urbe excitavit, ita discordiis finem imposuit. Neque enim propterea quisquam vel senator vel magistratus populo reditum Marcii poscenti contradicere ausus est, sed cum viderent in urbe discursiones mulierum, supplicationes apud templa deorum, lacrimas et deprecationes senum, summam ubique audaciæ et salubrium consiliorum inopiam, assensi sunt, recte populum ad reconciliandum Marcium se contulisse, magnopereque erratum a Patribus, qui eo tempore iras et injuriarum memoriam resuscitassent, quo maxime ea deponi debuerant. (3) Itaque communi omnium sententia decretum est, ut mitterentur ad Marcium legati, qui reditum ei in patriam offerrent, utque bellum desineret, orarent. (4) Missi sunt senatores Marcio necessitudine juncti ac qui conjunctionis et familiaritatis causa multam se in primo maxime congressu humanitatem ejus experturos sperabant, sed frustra; ducti enim per castra hostium, invenerunt eum animo conturbato et intolerabili cum severitate inter primores Volscorum sedentem, jussi ab eo dicere, cujusnam rei causa venissent. (5) Cum placida oratione gestuque decoro petitionem suam exposuissent, Marcius, quod ad se attinebat, iracunde et acerbe respondit Volscorum nomine, quorum dux esset postulavit ut iis ager urbesque bello ademptæ redderentur, jusque civitatis, perinde ac Latinis, decerneretur; alias, nisi justis his æquisque conditionibus, pacem non futuram.

δὲ βουλῆς ἔδωκεν αὐτοῖς ἡμέρας τριάκοντα· καὶ τῶν πρέσβεων ἀπελθόντων εὐθὺς ἀνέζευξεν ἐκ τῆς χώρας.

XXXI. Τοῦτο δὴ πρῶτον αἰτίαμα τῶν Οὐολούσκιων οἱ πάλαι βαρυνόμενοι τὴν δύναμιν αὐτοῦ καὶ φθονοῦντες ἐλάμβανον· ὧν ἦν καὶ ὁ Τύλλος, ἰδίᾳ μὲν ὑπὸ τοῦ Μαρκίου μηδὲν ἀδικούμενος, ἐν δ' ἀνθρωπίνῳ πάθει γεγονώς· (2) Ἤχθετο γὰρ ἡμαυρωμένος παντάπασι τῇ δόξῃ καὶ παρορώμενος ὑπὸ τῶν Οὐολούσκων πάντα μόνον ἡγουμένων αὐτοῖς εἶναι τὸν Μάρκιον, τοὺς δὲ ἄλλους ἀξιούντων ὅσον ἐκεῖνος αὐτοῖς μεταδώσει δυνάμεως καὶ ἀρχῆς ἀγαπᾶν ἔχοντας. (3) Ὅθεν αἱ πρῶται κατηγορίαι κρύφα διεσπείροντο καὶ συνιστάμενοι πρὸς ἀλλήλους ἠγανάκτουν καὶ προδοσίαν ἐκάλουν τὴν ἀνάζευξιν, οὐ τειχῶν οὐδ' ὅπλων, ἀλλὰ καιρῶν, οἷς καὶ τἆλλα πάντα ταῦτα σώζεσθαι καὶ πάλιν ἀπόλλυσθαι πέφυκεν, ἡμερῶν τριάκοντα τῷ πολέμῳ δεδομένων, οὗ μείζονας οὐδὲν ἐν ἐλάττονι χρόνῳ λαμβάνειν μεταβολάς. (4) Καίτοι τὸν χρόνον τοῦτον ὁ Μάρκιος οὐκ ἀργὸν διῆγεν, ἀλλὰ τοὺς συμμάχους τῶν πολεμίων ἐφθειρεν ἐπιὼν καὶ περιέκοπτε καὶ πόλεις ἑπτὰ μεγάλας καὶ πολυανθρώπους ἔλαβεν. (5) Οἱ δὲ Ῥωμαῖοι βοηθεῖν μὲν οὐκ ἐτόλμων, ἀλλ' ὄκνου πλήρεις ἦσαν αὐτῶν αἱ ψυχαὶ καὶ τοῖς ἐκνεναρκηκόσι κομιδῇ καὶ παραλελυμένοις σώμασιν ὁμοίως διέκειντο πρὸς τὸν πόλεμον. (6) Ἐπεὶ δ' ὁ χρόνος διῆλθε καὶ παρῆν αὖθις ὁ Μάρκιος μετὰ τῆς δυνάμεως ἁπάσης ἐκπέμπουσι πρεσβείαν πάλιν τοῦ Μαρκίου δεησομένην ὑφεῖσθαι τῆς ὀργῆς καὶ τοὺς Οὐολούσκους ἐκ τῆς χώρας ἀπαγαγόντα πράττειν καὶ λέγειν ὅ τι ἂν ἀμφοτέροις οἴηται βέλτιον εἶναι· φόβῳ μὲν γὰρ οὐδὲν ἐνδώσειν Ῥωμαίους, ἐὰν δέ τινος τῶν φιλανθρώπων οἴηται δεῖν τυχεῖν τοὺς Οὐολούσκους ἅπαν αὐτοῖς γενέσθαι τὰ ὅπλα καταθεμένοις. (7) Πρὸς ταῦτ' ὁ Μάρκιος ἔφη μηδὲν ὡς Οὐολούσκων ἀποκρίνεσθαι στρατηγός· ὡς δὲ Ῥωμαίων ἔτι πολίτης παραινεῖν καὶ παρακαλεῖν μετριώτερα φρονήσαντας ἐπὶ τοῖς δικαίοις ἥκειν πρὸς αὐτὸν ἐν ἡμέραις τρισὶν ἃ προκαλεῖται ψηφισαμένους· εἰ δ' ἕτερα δόξειε, γιγνώσκειν οὐκ οὖσαν αὐτοῖς ἄδειαν αὖθις μετὰ λόγων κενῶν βαδίζουσιν εἰς τὸ στρατόπεδον.

XXXII. Ἐπανελθόντων δὲ τῶν πρέσβεων ἀκούσασα ἡ βουλὴ καθάπερ ἐν χειμῶνι πολλῷ καὶ κλύδωνι τῆς πόλεων ἅρασα τὴν ἀφ' ἱερᾶς ἀφῆκεν. (2) Ὅσοι γὰρ ἦσαν ἱερεῖς θεῶν ἢ μυστηρίων ὀργιασταὶ ἢ φύλακες ἢ τὴν ἀπ' οἰωνῶν πάτριον οὖσαν ἐκ παλαιῶν μαντικὴν ἔχοντες, τούτους πάντας ἀπιέναι πρὸς τὸν Μάρκιον ἐψηφίσαντο κεκοσμημένους ὡς ἦν ἑκάστῳ νόμος ἐν ταῖς ἱερουργίαις· λέγειν δὲ ταῦτα καὶ παρακαλεῖν, ὅπως ἀπαλλάξας τὸν πόλεμον οὕτω διαλέγηται περὶ τῶν Οὐολούσκων τοῖς πολίταις. (3) Ἐδέξατο μὲν οὖν εἰς τὸ στρατόπεδον τοὺς ἄνδρας, ἄλλο δ' οὐδὲν ἔδωκεν οὐδ' ἔπραξεν οὐδ' εἶπε μαλακώτερον, ἀλλ' ἐφ' οἷς πρότερον ἐκέλευε ποιεῖσθαι τὰς διαλύσεις ἢ δέχεσθαι τὸν πόλεμον. (4) Ἐπανελθόντων οὖν τῶν ἱερέων ἔδοξεν ἀτρεμοῦντας ἐν τῇ πόλει τὰ τείχη φυλάττειν καὶ προσβάλ-

(6)-Spatium deliberandi triginta dies definivit, confestimque post legatorum discessum ex eo loco castra movit.

XXXI. Hanc primum ansam ipsum criminandi arripuerunt e Volscis ii, quibus jam pridem invisa viri erat potentia, in quorum numero Tullus etiam fuit, nulla quidem privatim injuria, sed vitio hominibus familiari affectus : (2) indigne enim ferebat, suam omnino gloriam obscurari, seque a Volscis negligi, omnia sua in uno Marcio sita ducentibus, reliquosque contentos esse ea potentia et imperio, quod ab illo ipsis esset concessum, jubentibus. (3) Itaque primarum tum accusationum semina occulte sparsa sunt factisque coitionibus quiritabantur, castrisque ab eo motis proditionem factam interpretabantur, non murorum quidem armorumve, sed occasionum, quibus penderet et ceterarum rerum omnium qua conservatio qua amissio; injectamque bello ab eo esse triginta dierum moram, quo tamen non alia res majores vel in breviore temporis spatio caperet vicissitudines. (4) Et quidem id tempus Marcius non otiose exegit, sed circumferens arma sociis Romanorum incommodavit et septem urbes magnas populosasque cepit. (5) Romani vero suis opitulari non audebant, sed plena erant eorum pectora trepidationis, torpentibus omnino et resolutis corporibus similiter ad bellum affecta. (6) Postquam tempus præteriit, ac Marcius cum omnibus copiis rediit, aliam legationem miserunt, orantes, ut ira posita Volscos ex agro Romano abduceret atque proponeret quid e re utriusque populi esse putaret; nihil enim Romanos metus causa facturos, sed si quid Volscis concedendum putaret, omnia assecuturos, si quidem ab armis ii discessissent. (7) Ad hæc Marcius se jam non ut Volscorum ducem, sed tanquam civem Romanum respondere dixit hortarique ut moderatius sentiant et intra tertium diem ad se veniant, ea, quæ postulasset, decreto confirmaturi; sin aliter ipsis visum fuisset, scirent, non licitum ipsis impune vana cum oratione in castra reverti.

XXXII. Postquam senatus, reversis legatis, hæc audivit, tanta urbem tempestate ac fluctibus urgentibus, sacram ancoram jecit. (2) Decretum est enim, ut omnes pontifices, sacrificuli, æditui auguresque, quod patrium iis erat et antiquissimum sacerdotium, irent ad Marcium, suis quisque insignibus quibus in sacrificiis utebantur ornati, hortarenturque, ut bello remoto cum civibus de Volscis ageret. (3) Admisit quidem hos in castra Marcius, sed nihil concessit, nihil egit vel mitius respondit, jussitque ut prius etiam, aut acciperent pacis conditiones aut bellum susciperent. (4) Ubi rediere sacerdotes, decretum est, ut cives quieti stationes in muris disponerent, hostemque, si oppugnatum venisset,

λοντας ἀποκρούεσθαι τοὺς πολεμίους ἐν τῷ χρόνῳ μάλιστα καὶ τοῖς ἀπὸ τῆς τύχης παραλόγοις τιθεμένους τὰς ἐλπίδας, ἐπεὶ δι' αὐτῶν γε σωτήριον οὐδὲν ἠπίσταντο πράττοντες, ἀλλὰ ταραχὴ καὶ πτοία καὶ φήμη πονηρὰ τὴν πόλιν κατεῖχεν, ἄχρις οὗ συνέβη τι πρᾶγμα τῶν πολλάκις ὑφ' Ὁμήρου λεγομένων, μὴ πάνυ δὲ πεῖθον τοὺς πολλούς, ὅμοιον. (5) Λέγοντος γὰρ αὐτοῦ καὶ ἀναφωνοῦντος ἐπὶ ταῖς μεγάλαις πράξεσι καὶ παραλόγοις

Τῷ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·

καὶ τὸ

Ἀλλά τις ἀθανάτων τρέψεν φρένας, ὅς γ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν,

καὶ τὸ

Ἤτοι ὀισσάμενος ἢ καὶ θεὸς ὧς ἐκέλευε·

καταφρονοῦσιν ὡς ἀδυνάτοις πράγμασι καὶ μυθεύμασιν ἀπίστοις τὸν ἑκάστου λογισμὸν τῆς προαιρέσεως ἄπιστον καθιστάντος. (6) Οὐ ποιεῖ δὲ τοῦτο Ὅμηρος, ἀλλὰ τὰ μὲν εἰκότα καὶ συνήθη καὶ κατὰ λόγον περαινόμενα τῷ ἐφ' ἡμῖν ἀποδίδωσι καὶ λέγει δήπου πολλάκις

Αὐτὰρ ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμόν·

καὶ

Ὣς φάτο· Πηλείωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ
στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν·

καὶ πάλιν

ἀλλὰ τὸν οὔ τι
πεῖθ' ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην,

ἐν δὲ ταῖς ἀτόποις καὶ παραβόλοις πράξεσι καὶ φορᾶς τινος ἐνθουσιώδους καὶ παραστάσεως δεομέναις οὐκ ἀναιροῦντα ποιεῖ τὸν θεόν, ἀλλὰ κινοῦντα τὴν προαίρεσιν, οὐδ' ὁρμὰς ἐνεργαζόμενον, ἀλλὰ φαντασίας ὁρμῶν ἀγωγούς, αἷς οὐδὲ ποιεῖ τὴν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἑκουσίῳ δίδωσιν ἀρχὴν καὶ τὸ θαρρεῖν καὶ τὸ ἐλπίζειν προστίθησιν. (7) Ἡ γὰρ ἀπαλλακτέον ὅλως τὰ θεῖα πάσης αἰτίας καὶ ἀρχῆς τῶν καθ' ἡμᾶς, ἢ τίς ἂν ἄλλος εἴη τρόπος, ᾧ βοηθοῦσιν ἀνθρώποις καὶ συνεργοῦσιν, οὐ τὸ σῶμα δήπου πλάττοντες ἡμῶν οὐδὲ τὰς χεῖρας, ὡς δεῖ, μετατιθέντες αὐτοὶ καὶ τοὺς πόδας, ἀλλὰ τῆς ψυχῆς τὸ πρακτικὸν καὶ προαιρετικὸν ἀρχαῖς τισι καὶ φαντασίαις καὶ ἐπινοίαις ἐγείροντες ἢ τοὐναντίον ἀποστρέφοντες καὶ ἱστάντες.

XXXIII. Ἐν δὲ τῇ Ῥώμῃ τότε τῶν γυναικῶν αἱ μὲν πρὸς ἄλλοις ἱεροῖς, αἱ δὲ πλεῖσται καὶ δοκιμώταται περὶ τὸν τοῦ Καπιτωλίου Διὸς βωμὸν ἱκέτευον. (2) Ἐν δὲ ταύταις ἦν ἡ Ποπλικόλα τοῦ μεγάλα καὶ πολλὰ Ῥωμαίους ἔν τε πολέμοις καὶ πολιτείαις ὠφελήσαντος ἀδελφὴ Οὐαλερία. Ποπλικόλας μὲν οὖν ἐτεθνήκει πρότερον, ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις ἱστορήκαμεν, ἡ δὲ Οὐαλερία δόξαν εἶχεν ἐν τῇ πόλει καὶ τιμὴν δοκοῦσα τῷ βίῳ μὴ καταισχύνειν τὸ γένος. (3) Ὅπερ οὖν λέγω πάθος ἐξαπίνης παθοῦσα καὶ κατ' ἐπίνοιαν οὐκ ἀθείαστον ἀψαμένη τοῦ συμφέροντος αὐτή τε ἀνέστη καὶ τὰς ἄλλας ἀναστήarcerent, spem potissimum in tempore et inopinatis fortunæ vicibus collocantes. Nam in se quidem eo tempore nullum salutis præsidium Romani inveniebant, sed tumultu, trepidatione, sinistrisque rumoribus et ominationibus tota urbs teneb tur, donec talis casus incidit, qualem Homerus multis locis proponit, cui tamen vulgus non prorsus fidem adjungit. (5) Cum enim is in magnis et præter opinionem hominum evenientibus rebus acclamat

Menti consilium huic subjecit cæsia Pallas,

et alibi :

Ast aliquis divum mentem convertit et ipsum
admonuit populi tum de rumore futuro;

item,

Sive ita conjiciens, seu quis deus hoc ita jussit,

reprehendunt, quasi vero is rebus facultatem nostram excedentibus et incredibilibus fabulæque similitudinem habentibus eventus, consilio nostræ voluntatis delectuique deroget. (6) At Homerus hoc non facit, sed consentaneas illas et usitatas actiones, et ea, quæ secundum rationem aguntur, nostro consilio et voluntati imputat, ut cum sæpe in hanc sententiam dicit :

Ipse ego magnanimo decrevi talia corde,

et,

Dixit, et incessit Peliden trux dolor, et cor
hirsuto in varias tractum est sub pectore curas,

et rursus :

sed illa virum nil
mente bona movit prudentem Bellerophontem;

sed idem in arduis inusitatisque rebus et ad quas impetu quodam animi ac furore quasi divino opus est, deum proponit, non qui consilium nostrum tollat, sed moveat, neque impetus animo indat, sed visa et imaginationes objiciat, quæ impetuum duces sint; atque ita sane non involuntariam efficit actionem, sed voluntati initium præbet, eamque spe et confidentia confirmat. (7) Aut enim omnino excludendus est ab omni principio causaque actionum nostrarum deus, aut quisnam alius tandem sit modus, quo hominum ille actiones adjuvet rebusque eorum adsit? non enim corpora nostra diffingit, manusve ad id quod facto opus est, aut pedes applicat, sed eam animi partem, quæ ad agendum est deligendumque nata, principiis quibusdam et visis cogitationibusque objectis excitat aut contra avertit et inhibet.

XXXIII. Cæterum in urbe tum mulieres aliæ apud alia templa, pleræque et primariæ ad aram Jovis in Capitolio supplicabant. (2) Inter has erat etiam Valeria, soror Poplicolæ ejus, qui domi militiæque rempublicam plurimis in rebus magnopere juverat, atque jam ante, ut in ejus Vita demonstravimus, mortuus erat; atque hæc Valeria Romæ illustris honorataque erat ut quæ se generis splendore haud indignam gereret. (3) Hæc tunc eo de quo jam disputavi modo repente affecta inque eam cogitationem non sine numinis instinctu delapsa, qua patriæ servandæ rationem assecuta est, surrexit, ceterisque omnibus sibi ad-

σασα πάσας ἦκεν ἐπὶ τὴν οἰκίαν τῆς τοῦ Μαρκίου μητρὸς Οὐολουμνίας. (4) Ὡς δ' εἰσῆλθε καὶ κατέλαβε μετὰ τῆς νυοῦ καθεζομένην καὶ τὰ παιδία τοῦ Μαρκίου πρὸς τοῖς κόλποις ἔχουσαν ἐν κύκλῳ περιστήσασα τὰς γυναῖκας αὐτῆς· « Αὗταί γε ἡμεῖς, εἶπεν, ὦ Οὐολουμνία, καὶ σὺ, Οὐεργιλία, γυναῖκες ἥκομεν πρὸς γυναῖκας οὔτε βουλῆς ψηφισαμένης οὔτ' ἄρχοντος κελεύσαντος, ἀλλ' ὁ θεὸς ἡμῶν, ὡς ἔοικεν, οἰκτείρας τὴν ἱκετείαν ὁρμὴν παρέστησε δευρὶ τραπέσθαι πρὸς ὑμᾶς καὶ δεηθῆναι σωτηρίαν μὲν αὐταῖς καὶ τοῖς ἄλλοις πολίταις, ὑμῖν δὲ πεισθείσαις ἐπιφανεστέραν φέροντα δόξαν ἧς αἱ Σαβίνων θυγατέρες ἔσχον εἰς φιλίαν καὶ εἰρήνην ἐκ πολέμων συναγαγοῦσαι πατέρας καὶ ἄνδρας. (5) Δεῦτε πρὸς Μάρκιον ἰοῦσαι μεθ' ἡμῶν συνάψασθε τῆς ἱκετηρίας καὶ μαρτυρήσατε τῇ πατρίδι μαρτυρίαν ἀληθῆ καὶ δικαίαν, ὅτι πολλὰ πάσχουσα κακῶς οὐδὲν οὔτ' ἔπραξε δεινὸν οὔτ' ἐβούλευσε περὶ ὑμῶν δι' ὀργήν, ἀλλ' ἀποδίδωσιν ὑμᾶς ἐκείνῳ, κἂν μηδενὸς τυγχάνειν μέλλῃ τῶν ἐπιεικῶν ». (6) Ταῦτα τῆς Οὐαλερίας εἰπούσης ἀνεβόησαν αἱ λοιπαὶ γυναῖκες, ἠμείψατο δὲ ἡ Οὐολουμνία· « Καὶ τῶν κοινῶν ἡμῖν συμφορῶν, ὦ γυναῖκες, ἴσον μέτεστι καὶ ἰδίᾳ πράττομεν κακῶς ἀπολέσασαι τὴν Μαρκίου δόξαν καὶ ἀρετήν, τὸ σῶμα δ' αὐτοῦ τοῖς τῶν πολεμίων ὅπλοις φρουρούμενον μᾶλλον ἢ σωζόμενον ἐφορῶσαι. (7) Μέγιστον δ' ἡμῖν τῶν ἀτυχημάτων ἐστὶν, εἰ τὰ τῆς πατρίδος οὕτως ἐξησθένηκεν, ὥστ' ἐν ἡμῖν ἔχειν τὰς ἐλπίδας. Οὐκ οἶδα γὰρ, εἴ τινα ποιήσεται λόγον ἡμῶν ἐκεῖνος, εἴ γε μηδένα ποιεῖται τῆς πατρίδος, ἣν καὶ μητρὸς καὶ γυναικὸς καὶ παίδων προετίμησεν. (8) Οὐ μὴν ἀλλὰ χρῆσθε ἡμῖν λαβοῦσαι καὶ κομίζετε πρὸς ἐκεῖνον, εἰ μηδὲν ἄλλο, ταῖς ὑπὲρ τῆς πατρίδος ἱκεσίαις ἐναποπνεῦσαι δυναμένας. »

XXXIV. Ἐκ τούτου τά τε παιδία καὶ τὴν Οὐεργιλίαν ἀναστήσασα μετὰ τῶν ἄλλων γυναικῶν ἐβάδιζεν εἰς τὸ στρατόπεδον τῶν Οὐολούσκων. (2) Ἡ δ' ὄψις αὐτῶν τότε οἰκτρὰν καὶ τοῖς πολεμίοις ἐνεποίησεν αἰδῶ καὶ σιωπήν. Ἔτυχε δ' ὁ Μάρκιος ἐπὶ βήματος καθεζόμενος μετὰ τῶν ἡγεμονικῶν. (3) Ὡς οὖν εἶδε προσιούσας τὰς γυναῖκας ἐθαύμασεν· ἐπιγνοὺς δὲ τὴν μητέρα πρώτην βαδίζουσαν ἐβούλετο μὲν ἐμμένειν τοῖς ἀτρέπτοις ἐκείνοις καὶ ἀπαραιτήτοις λογισμοῖς, γενόμενος δὲ τοῦ πάθους ἐλάττων καὶ συνταραχθεὶς πρὸς τὴν ὄψιν οὐκ ἔτλη καθεζομένῳ προσελθεῖν, ἀλλὰ κατασὰς θᾶττον ἢ βάδην καὶ ἀπαντήσας πρώτην μὲν ἠσπάσατο τὴν μητέρα καὶ πλεῖστον χρόνον, ἔτι δὲ τὴν γυναῖκα καὶ τέκνα, μήτε δακρύων ἔτι μήτε τοῦ φιλοφρονεῖσθαι φειδόμενος, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος φέρεσθαι τοῦ πάθους ἑαυτὸν ἐνδεδωκώς.

XXXV. Ἐπεὶ δὲ τούτων ἆδην εἶχε καὶ τὴν μητέρα βουλομένην ἤδη λόγων ἄρχειν ἤσθετο, τοὺς τῶν Οὐολούσκων προβούλους παραστησάμενος ἤκουσε τῆς Οὐολουμνίας τοιαῦτα λεγούσης· (2) « Ὁρᾷς μὲν, ὦ παῖ, καὶ σὺ κἂν αὗται μὴ λέγωμεν, ἐσθῆτι καὶ μορφῇ τῶν ἀθλίων

junctis, ad Volumniæ quæ mater erat Coriolani ædes venit. (4) Quam ut ingressa reperit cum nuru sedentem, filiosque Marcii gremio tenentem, corona mulierum ei circumfusa, Ultro, inquit, o Volumnia, tuque o Vergilia, mulieres ad mulieres venimus, neque senatus decreto neque magistratus jussu, sed deus nostram, ut existimo, miseratus supplicationem, nos ut huc ad vos deprecatum veniremus excitavit. Quæ nostra petitio, cum nobis omnibus erit civibusque salutaris, tum vobis mihi obtemperantibus illustriorem allatura gloriam eâ quam adeptæ sunt Sabinæ, quod maritos suos et parentes de bello in pacem amicitiamque reduxerunt. (5) Agite nobiscum ad Marcium ite et supplicationem nostram adjuvate, testimoniumque patriæ justum et æquum ferte, quod ea multis ac gravibus ab ipso affecta injuriis, nihil vobis mali per iram neque intulerit, neque inferre statuerit, sed ei vos reddat, etiam si nihil ab eo clementiæ sit impetratura. (6) Exclamatum est ad hæc Valeriæ verba a ceteris mulieribus, et Volumnia, Cum æquam, inquit, mulieres, communis calamitatis partem vobiscum sustinemus, tum privato infortunio affligimur, quæ Marcii gloriam virtutemque amisimus, corpus autem ejus hostilibus armis septum, in custodia asservari verius, quam munitum videmus. (7) Maximum vero hoc nostrum malum ducimus, si patriæ vires adeo debilitatæ sunt, ut in nobis spem salutis ea repositam habeat; quarum nescio rationemne ille habiturus sit, qui patriam, cui matrem, uxorem liberosque posthabere consueverat, flocci pendit. (8) Verumtamen utimini sane nostra opera ducitequ nos ad eum : nam si nihil aliud, at certe in deprecatione pro patria exspirare possumus.

XXXIV. Inde Vergiliam, cum filiis reliquisque mulieribus surgere jussit, et in castra Volscorum profectæ sunt. (2) Adspectus ille ipsis etiam Volscis miserabilis visus, verecundiam et silentium injecit. Sedebat tum Marcius pro tribunali cum reliquis ordinum ductoribus. (3) Qui ut vidit accedentes mulieres, miratus quid rei esset, postquam duci catervam ab uxore sua vidit, statuit sane in immobili ista sua, atque inexorabili perseverare sententia; victus tamen affectu et perturbatus, non passus est eas ad sedentem se accedere, sed descendens a tribunali, aliquantum citatis gressibus obviam contendit matremque primum prolixe consalutavit, prætereaque uxorem et liberos, neque lacrimis neque amplexibus osculisque jam parcens, sed ferri se ab affectu tanquam rapido torrente sinens.

XXXV. Ut desiderio satisfecit suo sensitque matrem orationem velle incipere, juxta adsistere jussis Volscorum senatoribus, hæc dicentem audivit Volumniam : (2) Etiam nobis tacentibus, fili, ex vestitu et miserorum corporum

σωμάτων τεκμαιρόμενος, οἷαν οἰκουρίαν ἡμῖν ἡ σὴ φυγὴ περιεποιήσατο· λόγισαι δὲ νῦν, ὡς ἀτυχέσταται πασῶν ἀφίγμεθα γυναικῶν, αἷς τὸ ἥδιστον θέαμα φοβερώτατον ἡ τύχη πεποίηκεν, ἐμοὶ μὲν υἱὸν, ταύτῃ δ' ἄνδρα τοῖς τῆς πατρίδος τείχεσιν ἰδεῖν ἀντικαθήμενον. Ὃ δ' ἔστι τοῖς ἄλλοις ἀτυχίας πάσης καὶ κακοπραγίας παραμύθιον, εὔχεσθαι θεοῖς, ἡμῖν ἀπορώτατον γέγονεν. (3) Οὐ γὰρ οἷόν τε καὶ τῇ πατρίδι νίκην ἅμα καὶ σοὶ σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν, ἀλλ' ἅ τις ἂν ἡμῖν καταράσαιτο τῶν ἐχθρῶν, ταῦτα ταῖς ἡμετέραις ἔνεστιν εὐχαῖς. Ἀνάγκη γὰρ ἢ τῆς πατρίδος ἢ σοῦ στέρεσθαι γυναικὶ σῇ καὶ τέκνοις. (4) Ἐγὼ δ' οὐ περιμένω ταύτην μοι διαιτῆσαι τὴν τύχην ζώσῃ τὸν πόλεμον, ἀλλ' εἰ μή σε πείσαιμι φιλίαν καὶ δμόνοιαν ἀντὶ διαφορᾶς καὶ κακῶν θέμενον ἀμφοτέρων εὐεργέτην γενέσθαι μᾶλλον ἢ λυμεῶνα τῶν ἑτέρων, οὕτω διανοοῦ καὶ παρασκεύαζε σεαυτὸν, ὡς τῇ πατρίδι μὴ προσμῖξαι δυνάμενος πρὶν ἢ νεκρὰν ὑπερβῆναι τὴν τεκοῦσαν. (5) Οὐ γὰρ ἐκείνην με δεῖ τὴν ἡμέραν ἀναμένειν, ἐν ᾗ τὸν υἱὸν ἐπόψομαι θριαμβευόμενον ὑπὸ τῶν πολιτῶν ἢ θριαμβεύοντα κατὰ τῆς πατρίδος. (6) Εἰ μὲν οὖν ἀξιῶ σε τὴν πατρίδα σῶσαι Οὐολοσκους ἀπολέσαντα, χαλεπή σοι καὶ δυσδιαίτητος, ὦ παῖ, πρόκειται σκέψις· οὔτε γὰρ διαφθεῖραι τοὺς πολίτας καλὸν οὔτε τοὺς πεπιστευκότας προδοῦναι δίκαιον· νῦν δ' ἀπαλλαγὴν κακῶν αἰτούμεθα, σωτήριον μὲν ἀμφοτέροις ὁμοίως, ἔνδοξον δὲ καὶ καλὴν μᾶλλον Οὐολούσκοις, ὅτι τῷ κρατεῖν δόξουσι διδόναι τὰ μέγιστα τῶν ἀγαθῶν οὐχ ἧττον λαμβάνοντες, εἰρήνην καὶ φιλίαν, ὧν μάλιστα μὲν αἴτιος ἔσῃ γινομένων, μὴ γινομένων δὲ μόνος αἰτίαν ἕξεις παρ' ἀμφοτέροις. (7) Ἄδηλος δ' ὢν ὁ πόλεμος τοῦτ' ἔχει πρόδηλον, ὅτι σοι νικῶντι μὲν ἀλάστορι τῆς πατρίδος εἶναι περίεστιν, ἡττώμενος δὲ δόξεις ὑπ' ὀργῆς εὐεργέταις ἀνδράσι καὶ φίλοις τῶν μεγίστων συμφορῶν αἴτιος γεγονέναι. »

XXXVI. Ταῦτα τῆς Οὐολουμνίας λεγούσης ὁ Μάρκιος ἠκροᾶτο μηδὲν ἀποκρινόμενος. Ἐπεὶ δὲ καὶ παυσαμένης εἱστήκει σιωπῶν πολὺν χρόνον, αὖθις ἡ Οὐολουμνία· » Τί σιγᾷς, εἶπεν, ὦ παῖ; Πότερον ὀργῇ καὶ μνησικακίᾳ πάντα συγχωρεῖν καλὸν, οὐ καλὸν δὲ μητρὶ χαρίσασθαι δεομένῃ περὶ τηλικούτων; ἢ τὸ μεμνῆσθαι πεπονθότα κακῶς ἀνδρὶ μεγάλῳ προσήκει, τὸ δ' εὐεργεσίας, αἷς εὐεργετοῦνται παῖδες ὑπὸ τῶν τεκόντων, σέβεσθαι καὶ τιμᾶν οὐκ ἀνδρὸς ἔργον ἐστὶ μεγάλου καὶ ἀγαθοῦ; (2) Καὶ μὴν οὐδενὶ μᾶλλον ἔπρεπε τηρεῖν χάριν, ὡς σοὶ, πικρῶς οὕτως ἀχαριστίαν ἐπεξιόντι. Καίτοι παρὰ τῆς πατρίδος ἤδη μεγάλας δίκας ἀπείληφας, τῇ μητρὶ δ' οὐδὲ μίαν χάριν ἀποδέδωκας. (3) Ἦν μὲν οὖν δσιώτατον ἄνευ τινὸς ἀνάγκης τυχεῖν με παρὰ σοῦ δεομένην οὕτω καλῶν καὶ δικαίων· μὴ πείθουσα δὲ τί φείδομαι τῆς ἐσχάτης ἐλπίδος; » (4) Καὶ ταῦτ' εἰποῦσα προσπίπτει τοῖς ποσὶν αὐτοῦ μετὰ τῆς γυναικὸς ἅμα καὶ τῶν τέκνων. Ὁ δὲ Μάρκιος ἀναβοήσας· « Οἷα εἴργασαί με, ὦ μῆτερ, »

forma conjicere potes, qualem nobis rei familiaris statum tuum exsulium attulerit. Perpende vero cum animo tuo, ut omnium mulierum miserrimæ huc venerimus, quibus id, quod jucundissimum visu debuit esse, fortuna quam maxime pertimescendum effecit; nimirum ut ego te filium, hæc conjugem patriæ mœnia obsessum vemisse videremus. Ac quod est alias omnium malorum solatium, invocare deos, id nos facit incertas. (3) Neque enim simul et tibi salutem et patriæ victoriam votis exposcere licet, sed quæ hostis nobis imprecetur, ea in nostra sunt precatione, quippe aut patria aut te spoliari oportet uxorem liberosque tuos. (4) Ego quidem non exspectabo, dum hanc mihi vivæ sortem bellum injungat; nam si tibi non persuadeo, ut amicitia et concordia pro contentione et malis inita, utrisque potius te benefactorem, quam alterutri exitiosum præbeas, ita cogita, itaque te para, ut qui scias, non posse te ad patriam, nisi calcato matris tuæ cadavere, accedere. (5) Neque enim is dies mihi exspectandus est, quo vel duci triumpho a civibus filium, vel hunc de patria triumphantem adspiciam. (6) Quodsi ego a te, fili, peterem, ut Volscis perditis patriam servares, difficilis vero tibi et explicatu haud proclivis deliberatio proponeretur; nam neque civibus perniciem afferre honestum neque eos, qui fidei tuæ se credidissent, prodere justum erat: nunc malorum tantum finem eum petimus, qui et Romanis et Volscis saluti, his vero magis honestus sit futurus, quod tanquam potiti victoria videbuntur nobis dare maxima bona, pacem et amicitiam, cum perinde eadem ipsi quoque accipiant. Quod si fiet, maxime tu in causa fuisse existimaberis; sin secus, apud utrosque culpa tibi imputabitur. (7) Cumque belli sit incertus exitus, hoc tamen in promptu est, te, si vincas bello cives, ita victurum porro, ut sceleratus patriæque pestis dicaris; sin vincaris, judicaturos homines, te ira impulsum homines bene de te meritos amicosque summas in calamitates conjecisse.

XXXVI. Hæc Volumniam perorantem nihil interpellans audivit Marcius: quum vero finita ejus oratione, diu adhuc tacitus staret, tum Volumnia rursum, Quid taces, inquit, fili? Iræne et cupiditati ulciscendi omnia indulgere pulchrum, matris vero de tantis rebus preces admittere turpe est? an meminisse injuriæ acceptæ magno viro convenit, beneficia, quibus nati a parentibus afficiuntur, revereri et honorare virum magnum atque bonum dedecet? (2) Enimvero nulli magis conveniebat, ut gratiam bene meritis haberet, quam tibi tam acriter in ingratos vindicanti; et quidem satis pœnarum jam nunc tibi patria dedit, matri ne unam quidem gratiam retulisti. (3) Plissime quidem fecisses, si nulla vi coactus, ea quæ a te peto tam honesta et justa impetrare me passus fuisses; quando autem non persuadeo tibi, quid moror extremum præsidium adhibere? (4) Simul hæc locuta, cum nuru et nepotibus se ad pedes ejus projecit. Ibi vero demum Marcius exclamans: O ma-

ἐξανίστησιν αὐτὴν καὶ τὴν δεξιὰν πιέσας σφόδρα· « Νενίκηκας, εἶπεν, εὐτυχῇ μὲν τῇ πατρίδι νίκην, ἐμοὶ δ' ὀλέθριον· ἄπειμι γὰρ ὑπὸ σοῦ μόνης ἡττώμενος. » (5) Τοῦτο δ' εἰπὼν καὶ βραχέα τῇ μητρὶ καὶ τῇ γυναικὶ διαλεχθεὶς ἰδίᾳ τὰς μὲν ἀπέπεμψεν εἰς Ῥώμην πάλιν αὐτὰς δεομένας, τῆς δὲ νυκτὸς παρελθούσης ἀπήγαγεν Οὐολούσκους οὐ τὸν αὐτὸν τρόπον οὐδ' ὁμοίως διακειμένους ἅπαντας. (6) Οἱ μὲν γὰρ ἐμέμφοντο καὶ τὸν ἄνδρα καὶ τὴν πρᾶξιν, οἱ δὲ οὐδέτερα πρὸς διάλυσιν καὶ εἰρήνην οἰκείως ἔχοντες, ἔνιοι δὲ δυσχεραίνοντες τὰ πραττόμενα τὸν Μάρκιον ὅμως οὐ πονηρὸν ἐνόμιζον, ἀλλὰ συγγνωστὸν ἐπικλασθέντα τηλικαύταις ἀνάγκαις. Ἀντεῖπε δ' οὐδείς, ἀλλὰ πάντες εἵποντο τὴν ἀρετὴν μᾶλλον αὐτοῦ θαυμάζοντες ἢ τὴν ἐξουσίαν.

e

XXXVII. Ὁ δὲ Ῥωμαίων δῆμος ἐν ὅσῳ φόβῳ καὶ κινδύνῳ καθειστήκει τοῦ πολέμου παρόντος αἴσθησιν παρέσχε μᾶλλον λυθέντος. (2) Ἅμα γὰρ ἀφεώρων τοὺς Οὐολούσκους ἀναζευγνύοντας οἱ περὶ τὰ τείχη καὶ πᾶν εὐθὺς ἱερὸν ἀνεῴγει στεφανηφορούντων ὥσπερ ἐπὶ νίκῃ καὶ θυόντων. (3) Μάλιστα δὲ τῇ περὶ τὰς γυναῖκας ἀγαπήσει καὶ τιμῇ τῆς τε βουλῆς τοῦ τε πλήθους ἅπαντος ἔνδηλος ἦν ἡ χαρὰ τῆς πόλεως, καὶ λεγόντων καὶ νομιζόντων γεγονέναι τῆς σωτηρίας περιφανῶς ἐκείνας αἰτίας. (4) Ψηφισαμένης δὲ τῆς βουλῆς, ὅ τι ἂν αὐταῖς ἀξιώσωσι γενέσθαι πρὸς δόξαν ἢ χάριν, τοῦτο ποιῆσαι καὶ παρασχεῖν τοὺς ἄρχοντας, οὐδὲν ἠξίωσαν ἄλλο ἢ Τύχης Γυναικείας ἱερὸν ἱδρύσασθαι, τὸ μὲν ἀνάλωμα συμβαλόμεναι παρ' αὐτῶν, ἱερουργίας δὲ καὶ τιμὰς, ὅσαι θεοῖς πρέπουσι, δημοσίᾳ τῆς πόλεως ἀναλαβούσης. (5) Ἐπεὶ δὲ βουλὴ τὴν μὲν φιλοτιμίαν ἐπῄνεσε, δημοσίαις δὲ δαπάναις ἐποιήσατο τὸν νεὼν καὶ τὸ ἕδος, οὐδὲν ἧττον αὐταὶ χρήματα συνεισενεγκοῦσαι δεύτερον ἄγαλμα κατεσκεύασαν, ὃ δὴ καί φασι Ῥωμαῖοι καθιστάμενον ἐν τῷ ἱερῷ φθέγξασθαί τι τοιοῦτον· ΘΕΟΦΙΛΕΙ ΜΕ ΘΕΣΜΩΙ ΓΥΝΑΙΚΕΣ ΔΕΔΩΚΑΤΕ.

f

a

XXXVIII. Ταύτην καὶ δὶς γενέσθαι τὴν φωνὴν μυθολογοῦσιν, ἀγενήτοις ὅμοια καὶ χαλεπὰ πεισθῆναι πείθοντες ἡμᾶς. (2) Ἰδίοντα μὲν γὰρ ἀγάλματα φανῆναι καὶ δακρυρροοῦντα καί τινας μεθιέντα νοτίδας αἱματώδεις οὐκ ἀδύνατόν ἐστι. (3) Καὶ γὰρ ξύλα καὶ λίθοι πολλάκις μὲν εὐρῶτα συνάγουσι γόνιμον ὑγρότητος, πολλὰς δὲ χροιὰς ἀνιᾶσιν ἐξ ἑαυτῶν, καὶ δέχονται βαφὰς ἐκ τοῦ περιέχοντος, οἷς ἔνια σημαίνειν τὸ δαιμόνιον οὐδὲν ἂν δόξειε κωλύειν. (4) Δυνατὸν δὲ καὶ μυγμῷ καὶ στεναγμῷ ψόφον ὅμοιον ἐκβάλλειν ἀγάλματα κατὰ ῥῆξιν ἢ διάστασιν μορίων βιαιοτέραν ἐν βάθει γενομένην· ἔναρθρον δὲ φωνὴν καὶ διάλεκτον οὕτω σαφῆ καὶ περιττὴν καὶ ἀρτίστομον ἐν ἀψύχῳ γενέσθαι παντάπασιν ἀμήχανον, εἰ μηδὲ τὴν ψυχὴν καὶ τὸν θεὸν ἄνευ σώματος ὀργανικοῦ καὶ διηρμοσμένου μέρεσι λογικοῖς γέγονεν ἠχεῖν καὶ διαλέγεσθαι. (5) Ὅπου δ' ἡμᾶς ἡ ἱστορία πολλοῖς ἀποδιάζεται καὶ πι-

b

c

ter, ut mecum egisti! erexit eam premensque dextram: Obtinuisti, inquit, patriæ salutarem, mihi exitiosam victoriam; a te enim sola victus discedo. (5) His dictis et pauca inde seorsim cum ea et uxore collocutus, Romam, uti petierant, eas remissit. Ipse nocte elapsa Volscos inde abduxit, non eodem omnes modo affectos. (6) Quidam enim et Marcium et actionem hanc reprehendebant; alii, qui pacis erant magis studiosi, neutrum; quidam etsi actionem improbabant, Marcium tamen non malum virum, neque indignum venia censebant, tanta necessitate fractum: nemo omnium ei obstrepuit, sed omnes secuti sunt, magis virtutis ejus, quam potestatis observantia.

XXXVII. At Romani quanto in periculo ac metu fuissent bello instante, eo soluto demum rectius senserunt. (2) Simul enim atque Volscos vasa colligentes de muro viderunt, omnia statim templa aperuerunt, coronatique ea, tanquam victoria potiti, adierunt et victimas mactarunt. (3) Maxime autem amore et honore mulieribus habito senatus populique universi gaudium est declaratum, confitentium eas haud dubie salutem urbi attulisse. (4) Cumque decrevisset senatus, ut quodcunque decus eæ honoremve sibi postulassent, a magistratibus iis fieret atque deferretur, nihil aliud petierunt, quam ut Fortunæ Muliebri templum conderetur, ad quod exstruendum ipsæ sumptum conferrent, sacrificia autem et quæ in honorem deorum fieri deberent publicis impendiis curarentur. (5) Laudata earum liberalitate, senatus publicis impensis templum ædificavit, et signum posuit; ipsæ nihilominus, pecunia corrogata, alterum simulacrum fecerunt: quod Romani ferunt dedicatum in delubro, ita locutum: GRATO DUS STATUTO MATRONÆ ME DEDICASTIS.

XXXVIII. Atque bis auditam hanc vocem perhibent, sane infectis similia et creditu difficilia nobis persuadere conantes. (2) Sudare simulacra et lacrimari guttasque sanguinolentas emittere, non id quidem omnino fieri non potest. (3) Ligna enim lapidesque sæpe rubiginem contrahunt, unde mador gignitur, colores ex sese edunt varios aut inficiuntur aeris varia temperie, quibus quominus dii aliquid nonnunquam portendant, nihil videtur obstare. (4) Edere etiam sonitum gemitus suspiriique assimilem possunt simulacra, cum interiores forte eorum partes rumpuntur, aut violentius a sese diducuntur; articulatam vero vocem itaque expressam et integram et quæ intelligi omnino possit, ab inanimato corpore edi, omnino fieri nequit, quando neque deus neque anima sine corporis instrumentis et partibus ad loquendum aptis vocem edere et loqui possit. (5) Quod sicubi historia multis et fide dignis

θανοῖς μάρτυσιν, ἀνόμοιον αἰσθήσει πάθος ἐγγινόμενον τῷ φανταστικῷ τῆς ψυχῆς συναναπείθει τὸ δόξαν, ὥσπερ ἐν ὕπνοις ἀκούειν οὐκ ἀκούοντες καὶ βλέπειν οὐ βλέποντες δοκοῦμεν. (6) Οὐ μὴν ἀλλὰ τοῖς ὑπ' εὐνοίας καὶ φιλίας πρὸς τὸν θεὸν ἄγαν ἐμπαθῶς ἔχουσι καὶ μηδὲν ἀθετεῖν μηδ' ἀναίνεσθαι τῶν τοιούτων δυναμένοις μέγα πρὸς πίστιν ἐστὶ τὸ θαυμάσιον καὶ μὴ καθ' ἡμᾶς τῆς τοῦ θεοῦ δυνάμεως. (7) Οὐδὲν γὰρ οὐδαμῶς ἀνθρωπίνῳ προσέοικεν οὔτε φύσιν οὔτε κίνησιν οὔτε τέχνην οὔτ' ἰσχύν, οὐδ' εἴ τι ποιεῖ τῶν ἡμῖν ἀποιήτων καὶ μηχανᾶται τῶν ἀμηχάνων παράλογόν ἐστιν, ἀλλὰ μᾶλλον ἐν πᾶσι διαφέρων πολὺ μάλιστα τοῖς ἔργοις ἀνόμοιός ἐστι καὶ παρηλλαγμένος. (8) Ἀλλὰ τῶν μὲν θείων τὰ πολλὰ, καθ' Ἡράκλειτον, ἀπιστίη διαφυγγάνει μὴ γινώσκεσθαι.

XXXIX. Τὸν δὲ Μάρκιον, ὡς ἐπανῆλθεν εἰς τὸ Ἄντιον ἀπὸ τῆς στρατείας, μισῶν πάλαι καὶ βαρυνόμενος διὰ φθόνον ὁ Τύλλος ἐπεβούλευεν ἀνελεῖν εὐθὺς, ὡς, εἰ νῦν διαφύγοι, λαβὴν ἑτέραν οὐ παρέξοντα. (2) Πολλοὺς δὲ συστήσας καὶ παρασκευάσας ἐπ' αὐτὸν ἐκέλευσεν εὐθύνας ὑποσχεῖν τοῖς Οὐολούσκοις ἀποδόντα τὴν ἀρχήν. (3) Ὁ δὲ φοβούμενος ἰδιώτης γενέσθαι τοῦ Τύλλου στρατηγοῦντος καὶ δυναμένου μέγιστον ἐν τοῖς ἑαυτοῦ πολίταις, ἔλεγε τὴν ἀρχὴν ἀποδώσειν Οὐολούσκοις, ἐὰν κελεύωσι, καὶ γὰρ λαβεῖν πάντων κελευόντων, εὐθύνας δὲ διδόναι καὶ λόγον οὐδὲ νῦν παραιτεῖσθαι τοῖς βουλομένοις Ἀντιατῶν. (4) Γενομένης οὖν ἐκκλησίας οἱ παρεσκευασμένοι τῶν δημαγωγῶν ἀνιστάμενοι παρώξυνον τὸ πλῆθος. Ἐπεὶ δ' ἀναστάντι τῷ Μαρκίῳ τὸ μὲν ἄγαν θορυβοῦν ὑπ' αἰδοῦς ἐνεδίδου καὶ παρεῖχεν ἀδεῶς λέγειν, οἱ δὲ βέλτιστοι καὶ μάλιστα χαίροντες εἰρήνῃ τῶν Ἀντιατῶν ἐγένοντο φανεροὶ μετ' εὐνοίας ἀκουσόμενοι καὶ δικαίως κρινοῦντες, ἔδεισεν ὁ Τύλλος τὴν ἀπολογίαν τοῦ ἀνδρός. (5) Ἦν γὰρ ἐν τοῖς μάλιστα δεινὸς εἰπεῖν καὶ τὰ πρόσθεν ἔργα μείζονα τὴν χάριν εἶχε τῆς ὕστερον αἰτίας, μᾶλλον δ' ὅλως τὸ ἔγκλημα τοῦ μεγέθους τῆς χάριτος ἦν μαρτύριον. (6) Οὐ γὰρ ἂν ἔδοξαν ἀδικεῖσθαι τὴν Ῥώμην ὑποχείριον μὴ λαβόντες, εἰ μὴ τοῦ λαβεῖν ἐγγὺς ἐγένοντο διὰ Μάρκιον. (7) Οὐκέτ' οὖν ἔδοξε διαμέλλειν οὐδὲ πειρᾶσθαι τῶν πολλῶν, ἀλλ' ἐγκραγόντες οἱ θρασύτατοι τῶν συνεστώτων, ὡς οὐκ ἔστιν ἀκουστέον οὐδὲ περιοπτέον Οὐολούσκοις τὸν προδότην τυραννοῦντα καὶ μὴ κατατιθέμενον τὴν ἀρχὴν, προσπεσόντες ἁθρόοι διέφθειραν αὐτὸν καὶ προσήμυνεν οὐδεὶς τῶν παρόντων. (8) Ὅτι δὲ τοῖς πλείστοις οὐκ ἐπράχθη κατὰ γνώμην ἐδήλωσαν αὐτίκα συνδραμόντες ἐκ τῶν πόλεων ἐπὶ τὸ σῶμα καὶ θάψαντες ἐντίμως καὶ τὸν τάφον ὅπλοις καὶ λαφύροις κοσμήσαντες ὡς ἀριστέως καὶ στρατηγοῦ. (9) Ῥωμαῖοι δὲ τὴν τελευτὴν πυθόμενοι ἄλλο μὲν οὐδὲν ἀπεδείξαντο σημεῖον οὔτε τιμῆς οὔτ' ὀργῆς πρὸς αὐτὸν, αἰτησαμέναις δὲ ταῖς γυναιξὶν ἐπέτρεψαν ἀποπενθῆσαι δέκα μῆνας, ὥσπερ ἔθος ἦν ἑκάστῃ πατέρα καὶ παῖδα καὶ ἀδελφόν. (10) Οὗτος γὰρ ἦν ὅρος τοῦ μακροτάτου

nos urget testibus, ita statuendum est, esse innatum quendam sensus dissimilem affectum animæ parti imagines concipienti, qui deinde affectus visum nobis persuadeat; quo modo in somnis cum nihil audiamus aut videamus, audire tamen nos et videre opinamur. (6) Verum enimvero iis, qui nimio studio amant ac colunt numina, nihilque ejusmodi rerum sibi oblatarum aspernari neque negare audent, his, ut ea credant, multum confert admirabilis illa planeque ab nostra diversa dei natura ac potentia. (7) Nihil enim humanæ naturæ deus simile habet, non natura, non motu, non arte, non robore nobiscum convenit; neque absurdum est, si quid ex iis faciat, quod nos efficere nequeamus, machineturve, quod machinari non valemus, quinimo in omnibus nostrûm dissimilis, maxime eam in suis operibus differentiam ostendit. (8) Sed, quod ait Heraclitus, ut plerœque rerum divinarum nostram cognitionem effugiant, efficit incredulitas.

XXXIX. Porro Marcium, ut ab exercitu Antium rediit, perosus jam pridem et propter invidiam infestus Tullus statim occidere tentavit, veritus ne, si nunc emisisset eum, occasionem deinceps aliam non esset habiturus. (2) Conspiratione itaque multorum facta, Marcium se magistratu abdicare et Volscis rationem ejus administrati edere jussit. (3) Marcius autem, Tullo magistratum gerente et maximam inter suos cives potentiam obtinente, privatus fieri formidans, imperium se Volscis, si ab ipsis juberetur, redditurum dixit, nam et omnium jussu id sibi delatum fuisse; rationem vero Antiatibus, si petant, ne nunc quidem, quin reddat, tergiversari. (4) Convocata concione, factionis principes ad hoc parati plebem contra Marcium instigaverunt. Sed ubi is ad causam dicendam surrexit et turbulenti homines verecundia viri moti cesserunt, liberamque ei dicendi facultatem dederunt, ac civium optimus quisque et pacis cupidus palam ostenderunt audituros se benigne, judicaturosque juste, ibi Tullus defensionem Marcii metuere cœpit. (5) Erat enim homo admodum eloquens et cui priores res gestæ majorem, quam esset præsens culpa, gratiam peperissent; imo vero totum id crimen testimonio erat, quantum ei gratiæ deberetur. (6) Non enim visi fuissent sibi ab eo injuria affecti, quod Romam non ceperant, nisi ipse rem eo deduxisset, ut propemodum caperent. (7) Ea propter non cunctandum amplius ratus est Tullus, neque experiendum plebis judicium; sed ferocissimi ejus factionis vociferantes non esse auscultandum, neque concedendum, ut proditor in Volscos tyrannidem teneat imperiumque deponere nolit, confertim impetu facto eum interfecerunt, neque quisquam Volscorum eum defendit. (8) Plerisque tamen displicuisse facinus, statim declaraverunt; nam concurrentes ex urbibus ad cadaver ejus, honorifice id humaverunt sepulcrumque, tanquam imperatoris et præclari bellatoris, armis spoliisque exornarunt. (9) Romani, morte ipsius audita, neque honoris neque odii ullum aliud signum dederunt, quam quod matronis petentibus, concesserunt luctum decem mensium, quo parentes, liberi, fratresque prosequi mos erat. (10) Idque tempus longissimi luctus Numa de-

πένθους, ὃν ὥρισε Νομᾶς Πομπίλιος, ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις δεδήλωται. (11) Τὸν δὲ Μάρκιον εὐθὺς ἐπόθει τὰ Οὐολούσκων πράγματα. Πρῶτον μὲν γὰρ στασιάσαντες πρὸς Αἰκανοὺς συμμάχους καὶ φίλους ὄντας ὑπὲρ ἡγεμονίας ἄχρι τραυμάτων καὶ φόνων προῆλθον· ἔπειτα μάχῃ κρατηθέντες ὑπὸ Ῥωμαίων, ἐν ᾗ Τύλλος ἀπέθανε καὶ τὸ ἀνθοῦν μάλιστα τῆς δυνάμεως διεφθάρη, διαλύσεις αἰσχίστας ἠγάπησαν ὑπήκοοι γενόμενοι καὶ τὸ προσταττόμενον αὐτοῖς ποιήσειν ὁμολογήσαντες.

finierat, ut in ejus Vita scripsimus. (11) At res Volscorum statim Marcium desideraverunt. Primo enim de principatu cum Æquis sociis atque amicis suis contendentes usque ad vulnera et cædes devenerunt; deinde prœlio a Romanis victi, quo in prœlio Tullus obiit, flore omni copiarum suarum perdito, turpissimis conditionibus pacem acceperunt imperata se Romanis facturos et in eorum potestate futuros spondentes.

ΑΛΚΙΒΙΑΔΟΥ ΚΑΙ ΚΟΡΙΟΛΑΝΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Ἐκκειμένων δὲ τῶν πράξεων, ὅσας ἡγούμεθα λόγου καὶ μνήμης ἀξίας εἶναι, τὰς μὲν πολεμικὰς ἐπ' οὐδέτερον ποιούσας ῥοπὴν μεγάλην ὁρᾶν ἔστιν. (2) Ὁμαλῶς γὰρ ἀμφότεροι πολλὰ μὲν στρατιωτικῆς ἔργα τόλμης καὶ ἀνδρείας, πολλὰ δὲ καὶ τέχνης καὶ προνοίας στρατηγοῦντες ἐπεδείξαντο, πλὴν εἰ μή τις θέλοι τὸν Ἀλκιβιάδην, ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐν πολλοῖς ἀγῶσι νικῶν καὶ κατορθῶν διετέλεσεν, ἀποφαίνειν τελειότερον στρατηγόν· ἐπεὶ τό γε παρόντας καὶ ἄρχοντας ὀρθοῦν ἀεὶ προδήλως τὰ οἰκεῖα καὶ προδηλότερον αὖ πάλιν βλάπτειν μεθισταμένους ἀμφοτέροις ὑπῆρξε. (3) Πολιτείαν δὲ τὴν μὲν Ἀλκιβιάδου τὴν ἄγαν λαμυρὰν καὶ τὸ μὴ καθαρεῦον ἀναγωγίας καὶ βωμολοχίας ἐν τῷ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς οἱ σώφρονες ἐβδελύττοντο, τὴν δὲ Μαρκίου παντάπασιν ἄχαριν καὶ ὑπερήφανον καὶ ὀλιγαρχικὴν γενομένην ἐμίσησεν ὁ Ῥωμαίων δῆμος. (4) Οὐδετέραν μὲν οὖν ἐπαινετέον· ὁ δὲ δημαγωγῶν καὶ χαριζόμενος τῶν ὅπως οὐ δόξουσι δημαγωγεῖν προπηλακιζόντων τοὺς πολλοὺς ἀμεμπτότερος· αἰσχρὸν μὲν γὰρ τὸ κολακεύειν δῆμον ἐπὶ τῷ δύνασθαι, τὸ δ' ἰσχύειν ἐκ τοῦ φοβερὸν εἶναι καὶ κακοῦν καὶ πιέζειν πρὸς τῷ αἰσχρῷ καὶ ἄδικόν ἐστιν.

II. Ὅτι τοίνυν ἁπλοῦς τις ὁ Μάρκιος ὑπείληπται τῷ τρόπῳ γεγονέναι καὶ αὐθέκαστος, ὁ δὲ Ἀλκιβιάδης πανοῦργος ἐν τῇ πολιτείᾳ καὶ ἀναλήθης, οὐκ ἄδηλόν ἐστι. (2) Μάλιστα δὲ κατηγοροῦσιν αὐτοῦ κακοήθειαν καὶ ἀπάτην, ᾗ τοὺς Λακεδαιμονίων πρέσβεις παραχρουσάμενος, ὡς Θουκυδίδης ἱστόρηκε, τὴν εἰρήνην ἔλυσεν. (3) Ἀλλ' αὖτη μὲν ἡ πολιτεία, καίπερ εἰς πόλεμον αὖθις ἐμβαλοῦσα τὴν πόλιν, ἰσχυρὰν ἐποίησε καὶ φοβερὰν, τῆς Μαντινέων καὶ Ἀργείων συμμαχίας δι' Ἀλκιβιάδου προσγενομένης· Μάρκιος δ' ὅτι μὲν ἀπάτῃ καὶ αὐτὸς ἐξεπολέμωσε Ῥωμαίους καὶ Οὐολούσκους διαβαλὼν ψευδῶς τοὺς ἥκοντας ἐπὶ τὴν θέαν, Διονύσιος ἱστόρηκεν· ἡ δ' αἰτία φαυλότερον ποιεῖ τὸ ἔργον. (4) Οὐ γὰρ ἐκ φιλονεικίας οὐδὲ πολιτικῆς μάχης ἢ ἁμίλλης, ὡς ἐκεῖνος, ἀλλ' ὀργῇ χαριζόμενος,

ALCIBIADIS ET CORIOLANI COMPARATIO.

Expositis utriusque actionibus, quas quidem commemoratu dignas censuimus, militares quidem ita comparatæ sunt, ut inter ambos prope æquilibrium sit. (2) Uterque enim ex æquo multa militaris audaciæ ac fortitudinis, multa etiam artis prudentiæque documenta dux exercitus edidit, nisi quis eo præferendum Alcibiadem putet, quod terra marique multis in certaminibus victoriam adeptum, absolutioris ducis nomen meritum appareat; nam id quoque ambobus commune fuit, quod præsentes ipsi et imperantes haud obscure rempublicam bene gesserunt, idque apertius, quod desciscentes plurimum patriæ nocuerunt. (3) Reipublicæ vero administrationem qua utebatur Alcibiades propter nimiam protervitatem et quod in dicendo ad gratiam populi non abstinebat scurrili petulantia aliisque lenociniis, modesti qui erant aversati sunt; Marcii autem rationem ut plane austeram et insolentem paucorumque principatui aptam odio habuit plebs Romana. (4) Neutra quidem laudanda via; sed tamen qui favori populari aliquid dat studiisque multitudinis gratificatur, minus iis culpandus, qui, ut careant specie captantium popularem auram, omnino contumeliosi in populum sint. Nam ut turpe est potentiæ parandæ causa populum adulari, ita eo quod terrori sis tuis, velle multum posse civesque vexare et premere, præterquam quod turpe, etiam injustum est.

II. Neque hoc quidem obscurum est, Marcium moribus simplicem et apertum fuisse, Alcibiadem vero in republica tractanda versipellem et mendacem. (2) Maximeque hujus culpant nequitiam et fraudem, qua Lacedæmoniorum legatos decepit pacemque disjecit, ut Thucydides refert. (3) Sed hæc actio, etsi urbem novo bello implicavit, eandem tamen validam ac formidabilem reddidit, Mantinensium et Argivorum societate per Alcibiadem Atheniensibus adjuncta; at Marcium quoque dolo Romanos cum Volscis commisisse falso calumniatum Volscos, qui spectatum Romam venerant, Dionysius tradit. Et causa factum hoc deterius reddit. (4) Neque enim, ut Alcibiades, honoris cupiditate vel certa-

παρ' ἧς οὐδένα φησὶν ὁ Ἴων ἀπολαβεῖν χάριν, πολλὰ a
τῆς Ἰταλίας μέρη συνετάραξε καὶ πολλὰς πόλεις οὐδὲν
ἀδικούσας τῷ πρὸς τὴν πατρίδα θυμῷ παρανάλωσε.
(5) Καίτοι καὶ Ἀλκιβιάδης οἰ' ὀργὴν μεγάλων αἴτιος
συμφορῶν κατέστη τοῖς πολίταις. (6) Ἀλλ' ὅτε πρῶ-
τον ἔγνω μεταμελομένους εὐγνωμόνησε καὶ πάλιν ἀπορ-
ῥιφεὶς οὐκ ἐφήσθη τοῖς στρατηγοῖς ἁμαρτάνουσιν οὐδὲ
παρεῖδε κακῶς βουλευομένους καὶ κινδυνεύοντας, ἀλλ',
ὅπερ Ἀριστείδης ἐπαινεῖται μάλιστα πράξας πρὸς Θε-
μιστοκλέα, τοῦτ' ἐποίησε πρὸς τοὺς τότ' ἄρχοντας οὐ
φίλους ὄντας ἐλθὼν καὶ φράσας τὸ δέον καὶ διδάξας.
(7) Μάρκιος δὲ πρῶτον μὲν ὅλην κακῶς ἐποίει τὴν πό-
λιν οὐχ ὑφ' ὅλης παθών, ἀλλὰ τοῦ βελτίστου καὶ κρα- b
τίστου μέρους συναδικηθέντος αὐτῷ καὶ συναλγήσαντος·
ἔπειτα πολλαῖς πρεσβείαις καὶ δεήσεσι μίαν ἰωμένων
ὀργὴν καὶ ἀνίαν οὐ τεγχθεὶς οὐδ' εἴξας ἐδήλωσεν ἐπὶ
τῷ διαφθεῖραι τὴν πατρίδα καὶ καταβαλεῖν, οὐχ ὅπως
ἀπολάβῃ καὶ κατέλθῃ, βαρὺν πόλεμον καὶ ἄσπονδον
ἐπανῃρημένος. (8) Τούτῳ δὲ φήσει τις διαφέρειν·
Ἀλκιβιάδην μὲν γὰρ ἐπιβουλευόμενον ὑπὸ Σπαρτιατῶν
διὰ δέος ἅμα καὶ μῖσος αὐτῶν μεταστῆναι πρὸς Ἀθη-
ναίους, Μαρκίῳ δὲ πάντα δίκαια ποιοῦντας Οὐολούσκους
οὐ καλῶς εἶχεν ἐγκαταλιπεῖν. Καὶ γὰρ ἡγεμὼν ἀπο- c
δέδεικτο καὶ μεγίστην πίστιν εἶχε μετὰ δυνάμεως, οὐχ
ὡς ἐκεῖνος, ἀποχρωμένων μᾶλλον ἢ χρωμένων αὐτῷ
Λακεδαιμονίων, ἐν τῇ πόλει περιιὼν καὶ κυλινδούμενος
αὖθις ἐν τῷ στρατοπέδῳ, τέλος εἰς τὰς Τισαφέρνου
χεῖρας ἀφῆκεν αὑτόν· εἰ μὴ νὴ Δία μὴ φθαρῆναι τὰς
Ἀθήνας παντάπασι ποθῶν κατελθεῖν ἐθεράπευε.

III. Χρήματα τοίνυν ὁ μὲν Ἀλκιβιάδης καὶ λαβεῖν
οὐκ εὖ πολλάκις ἐκ δωροδοκιῶν καὶ διαθέσθαι κακῶς
εἰς τρυφὴν καὶ ἀκολασίαν ἱστόρηται· Μάρκιον δὲ σὺν
τιμῇ διδόντες οἱ στρατηγοὶ λαβεῖν οὐκ ἔπεισαν. (2) Διὸ
καὶ μάλιστα τοῖς πολλοῖς ἐπαχθὴς ἦν ἐν ταῖς περὶ
χρεῶν διαφοραῖς πρὸς τὸν δῆμον, ὡς οὐκ ἐπὶ κέρδεσιν, d
ἀλλὰ δι' ὕβριν καὶ περιφρόσυνην τοῖς πένησιν ἐπηρεά-
ζων. (3) Ἀντίπατρος μὲν οὖν ἐν ἐπιστολῇ τινι γρά-
φων περὶ τῆς Ἀριστοτέλους τοῦ φιλοσόφου τελευτῆς,
« Πρὸς τοῖς ἄλλοις, φησίν, ὁ ἀνὴρ καὶ τὸ πείθειν
εἶχε· » τὰς δὲ Μαρκίου πράξεις καὶ ἀρετὰς τοῦτο μὴ
προσὸν ἐπαχθεῖς ἐποίησεν αὐτοῖς τοῖς εὖ παθοῦσι, τὸν
ὄγκον αὐτοῦ καὶ τὴν ἐρημίαν σύνοικον, ὡς Πλάτων εἶπεν,
αὐθάδειαν μὴ ὑπομείναντας. (4) Τοῦ δ' Ἀλκιβιάδου
τοὐναντίον ἐπισταμένου χρῆσθαι τοῖς προστυγχάνουσιν
οἰκείως οὐδὲν θαυμαστὸν ἐν οἷς κατώρθου τὴν δόξαν
ἀνθεῖν μετ' εὐνοίας καὶ τιμῆς εὐημεροῦσαν, ὅπου καὶ e
τῶν ἁμαρτημάτων ἔνια πολλάκις χάριν εἶχε καὶ ὥραν.
(5) Ὅθεν οὗτος μὲν οὐ μικρὰ βλάψας οὐδ' ὀλίγα τὴν
πόλιν ὅμως ἀπεδείκνυτο πολλάκις ἡγεμὼν καὶ στρα-
τηγός· ἐκεῖνος δὲ μετιὼν ἐπὶ πολλαῖς ἀριστείαις καὶ
ἀνδραγαθίαις ἀρχὴν προσήκουσαν ἐξέπεσεν. (6) Οὕτω
τὸν μὲν οὐδὲ πάσχοντες κακῶς ἐδύναντο μισεῖν οἱ πο-
λῖται, τῷ δὲ περιῆν θαυμαζομένῳ μὴ φιλεῖσθαι.

IV. Καὶ γάρ τοι Μάρκιος μὲν οὐδὲν ἀπεδείξατο τῇ

mine de republica provectus, scil ira, a qua nullam sperandam bonam gratiam Ion dicit, indulgens, multas Italiæ partes bello turbavit, multasque immerentes urbes iræ in patriam satiandæ obiter impendit. (5) Sane Alcibiades quoque ira commotus, magnas calamitates civibus suis intulit. (6) Sed ut primum pœnitentia correptos cives agnovit, æquum se præbuit, rursusque deinde projectus, tamen non irrisit in ducum erroribus neque eorum mala consilia et pericula neglexit; sed, quod Aristides egisse cum Themistocle maxime laudatur, id egit cum illis ducibus, quanquam non amicis ipsi, venitque ad eos, et quid facto usus esset, docuit. (7) Marcius vero primum totam urbem infestavit, non læsus a tota civitate, cujus melior pars injuriam et dolorem cum eo habebat communem; deinde multis legationibus et deprecationibus unius iram demulcere cupientibus et sanare illatam ei injuriam, nihil emollitus, ostendit se, non ut rediret in patriam, sed ut eam funditus everteret, grave et implacabile bellum suscepisse. (8) Hoc tamen interest, quod Alcibiades insidiis Lacedæmoniorum petitus, metu simul et odio eorum ad Athenienses rediit, Marcio contrà Volscos deserere omnibus eum prosecutos officiis non erat conveniens, a quibus dux constitutus, maximæque fidei habitus, et copiis præfectus erat. At Alcibiade Lacedæmonii abutebantur magis, quam utebantur per urbem oberrante: deinde cum in castris iterum vexaretur, coactus est ad extremum se in manus Tisaphernis tradere: nisi profecto non funditus ruere Athenas cupiens redeundi causa ei operam dedit.

III. Id præterea traditum est, Alcibiadem sæpe munera cepisse, et turpiter in luxum et libidines prodegisse; Marcio autem magistratus, honoris causa pecuniam offerentes, non persuaserunt, ut acciperet. (2) Itaque in contentione de ære alieno maxime erat invisus populo: quod non lucri causa, sed præ fastu et contemptu pauperibus damno esset. (3) Antipater in epistola quadam de morte Aristotelis philosophi scribens, inter alia refert, valuisse eum virum etiam persuadendo: hoc defuit Marcio, actionesque ejus et virtutes ipsis adeo etiam illis, de quibus bene merebatur, molestas reddidit, fastum et contumaciam solitudinis contubernalem, ut Plato dicit, non ferentibus. (4) Alcibiades autem contra norat facilem se in congressibus præbere. Itaque mirum non est, bene ab eo actorum gloriam floruisse, benevolentiamque et honorem ei apud homines fuisse: quando peccata etiam ipsius quædam grata et jucunda fuerunt. (5) Inde factum est, ut hic, cum haud exigua reipublicæ damna dedisset, sæpe tamen dux et prætor creatus sit, Marcius vero magistratum petens multis suis egregiis facinoribus virtutique suæ debitum, repulsam tulerit. (6) Adeo alterum ne læsi quidem ab eo cives odisse poterant: alter, quamquam in admiratione apud suos esset, nemini tamen carus fuit.

IV. Porro Marcius suo ductu nihil conduxit patriæ,

πόλει στρατηγῶν, ἀλλὰ τοῖς πολεμίοις κατὰ τῆς πατρίδος· Ἀλκιβιάδου δὲ καὶ στρατευομένου πολλάκις καὶ στρατηγοῦντος ἀπέλαυσαν οἱ Ἀθηναῖοι· καὶ παρὼν f ἐκράτει τῶν ἐχθρῶν ὅσον ἐβούλετο, καὶ μὴ παρόντος ἴσχυσαν αἱ διαβολαί· Μάρκιος δὲ παρὼν ὑπὸ Ῥωμαίων κατεδικάσθη, παρόντα δὲ Οὐολοῦσκοι διέφθειραν, οὐ δικαίως μὲν οὐδ' ὁσίως, αἰτίαν δὲ τοῦ εὐλόγου παρέ-
23 σχεν αὐτὸς, ὅτι δημοσίᾳ τὰς διαλύσεις μὴ προσδε- a ξάμενος, ἰδίᾳ δὲ πεισθεὶς ὑπὸ τῶν γυναικῶν οὐκ ἔλυσε τὴν ἔχθραν, ἀλλὰ τοῦ πολέμου μένοντος ἀπώλεσε τὸν καιρὸν καὶ διέφθειρε. (2) Πείσαντα γὰρ ἔδει τοὺς πεπιστευκότας ἀπελθεῖν, εἰ τοῦ πρὸς ἐκείνους δικαίου πλεῖστον ἐποιεῖτο λόγον. (3) Εἰ δὲ μηδὲν ἐφρόντιζεν Οὐολούσκων, ἀλλὰ τὴν ὀργὴν ἐμπλῆσαι τὴν ἑαυτοῦ βουλόμενος ἐνῆγε τὸν πόλεμον, εἶτ' ἔληξεν, οὐ διὰ τὴν μητέρα καλῶς εἶχε φείσασθαι τῆς πατρίδος, ἀλλὰ σὺν τῇ πατρίδι τῆς μητρός· μέρος γὰρ ἦν καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ τῆς πατρίδος, ἣν ἐπολιόρκει. (4) Τὸ δὲ δημοσίαις ἱκεσίαις καὶ δεήσει πρέσβεων καὶ λιταῖς ἱερέων ἀπηνῶς χρησάμενον εἶτα χαρίσασθαι τῇ μητρὶ τὴν ἀναχώρησιν, οὐ τῆς μητρὸς ἦν τιμὴ, ἀλλ' ἀτιμία τῆς πα- b τρίδος οἰκτῳ καὶ παραιτήσει διὰ μίαν γυναῖκα σωζομένης, ὡς οὐκ ἀξίας σώζεσθαι δι' αὐτήν. (5) Ἐπίφθονος γὰρ ἡ χάρις καὶ ὠμὴ καὶ ἀχάριστος ἀληθῶς καὶ πρὸς οὐδετέρους ἔχουσα τὸ εὔγνωμον· ἀνεχώρησε γὰρ μήτε πεισθεὶς ὑπὸ τῶν πολεμουμένων μήτε πείσας τοὺς συμπολεμοῦντας. (6) Ὧν αἴτιον ἁπάντων τὸ ἀνομίλητον τοῦ τρόπου καὶ λίαν ὑπερήφανον καὶ αὔθαδες, ὃ καθ' αὑτὸ μὲν ἐπαχθές ἐστι τοῖς πολλοῖς, τῷ δὲ φιλο-
30 τίμῳ προσὸν γίνεται παντάπασιν ἄγριον καὶ ἀπαραίτητον. (7) Οὐ γὰρ θεραπεύουσι τοὺς πολλοὺς ὡς μὴ δεό- c μενοι τιμῆς, εἶτα χαλεπαίνουσι μὴ τυγχάνοντες. (8) Ἐπεὶ τό γε μὴ λιπαρῆ μηδὲ θεραπευτικὸν ὄχλων εἶναι καὶ Μέτελλος εἶχε καὶ Ἀριστείδης καὶ Ἐπαμεινώνδας· ἀλλὰ τῷ καταφρονεῖν ἀληθῶς ὧν δῆμός ἐστι καὶ δοῦναι καὶ ἀφελέσθαι κύριος ἐξοστρακιζόμενοι καὶ ἀποχειροτονούμενοι καὶ καταδικαζόμενοι πολλάκις οὐκ ὠργίζοντο τοῖς πολίταις ἀγνωμονοῦσιν, ἀλλ' ἠγάπων αὖθις μεταμελομένους καὶ διηλλάττοντο παρακαλούντων. (9)
40 Τὸν γὰρ ἥκιστα θεραπευτικὸν ἥκιστα πρέπει τιμωρητικὸν εἶναι τῶν πολλῶν· ὡς τὸ χαλεπαίνειν μάλιστα μὴ τυγχάνοντα τῆς τιμῆς ἐκ τοῦ σφόδρα γλίχεσθαι φυόμενον.

V. Ἀλκιβιάδης μὲν οὖν οὐκ ἠρνεῖτο τιμώμενος χαί- d
45 ρειν καὶ δυσφορεῖν παρορώμενος, ὅθεν ἐπειρᾶτο προσφιλὴς εἶναι τοῖς παροῦσι καὶ κεχαρισμένος· Μάρκιον δὲ θεραπεύειν μὲν οὐκ εἶα τοὺς τιμᾶν δυναμένους καὶ αὔξειν τὸ ὑπερήφανον, ὀργὴν δὲ καὶ λύπην ἀμελουμένῳ τὸ φιλότιμον παρεῖχε. (2) Καὶ ταῦτ' ἔστιν, ἃ τις ἂν
50 αἰτιάσαιτο τοῦ ἀνδρός· τὰ δ' ἄλλα πάντα λαμπρά. Σωφροσύνης δὲ καὶ χρημάτων ἐγκρατείας ἕνεκα τοῖς ἀρίστοις καὶ καθαρωτάτοις τῶν Ἑλλήνων ἄξιον αὐτὸν παραβάλλειν, οὐκ Ἀλκιβιάδῃ μὰ Δία τῷ θρασυτάτῳ περὶ ταῦτα καὶ ὀλιγωροτάτῳ τοῦ καλοῦ γενομένῳ.

sed hostibus contra patriam; Alcibiades et miles et dux sæpenumero Atheniensibus profuit. Idem præsens adversus inimicos, quantum voluit, potuit : absente tantum ipso calumniæ efficaces fuerunt. Marcius præsens a Romanis damnatus est, præsens a Volscis interfectus, non quidem ab his per jus et fas, sed tamen probabilem eis causam præbuerat, quod a populo Romano oblatam pacificationem aspernatus, privatim mulieribus obtemperasset, neque sustulisset causam belli, sed hoc manente tempus et occasionem perdidisset. (2) Etenim si, quo jure Volscis erat obligatus, ejus potissimum rationem habendam duxisset, oportebat eum iis persuadere ut a Roma recederent. (3) Sin Volscos nihil curavit, iræque suæ explendæ causa bellum Romanis intulit, deinde ab eo desistere statuit; non propter matrem parcendum patriæ fuit, sed cum patria etiam matri; pars enim ejus civitatis, quam oppugnabat, mater et conjux erant. (4) Quod autem posteaquam inhumanum se publicis supplicationibus et deprecationibus legatorum adeoque sacerdotum exhibuerat, deinde in gratiam matris bellum summovit, non erat hoc honorare matrem, sed dehonestare patriam, quæ, misericordiam unius mulieris intercessione consecuta, servabatur, tanquam non digna, quæ propter se ipsam salute donaretur. (5) Etenim hæc erat gratificatio invidiosa, immitis, et re ipsa ingrata, neutrique parti æquo animo ferenda : nam recessit neque persuasus ab iis quos bello petierat, neque persuasis militibus suis. (6) Causa horum omnium fuere mores ejus ad versandum in hominum cœtu incompositi, nimiaque insolentia et contumacia : quod vitium cum per se vulgo est molestum, tum si cum ambitione conjungatur, plane ferox fit et inexcusabile. (7) Hujusmodi enim homines non demerentur multitudinem, quippe qui honorem quasi contempsisse videri velint; deinde repulsam passi stomachantur. (8) Enimvero Metellus quoque, Aristides et Epaminondas hoc habuerunt, ut supplices esse populumque demereri nollent : ceterum hi vere etiam contemnebant ea, quæ dare aut adimere suo arbitrio populus posset. Itaque in exsilium pulsi, magistratu dejecti, damnati aliquoties in judicio, civium injuriam non ira sunt prosecuti, sed pœnitentiam eorum probaverunt, verbisque reconciliari se passi sunt. (9) Qui enim quam minime captare vult gratiam populi, eum quam minime etiam vindictæ injuriarum ejus cupidum esse decet : nam nimia ob non impetratum honorem indignatio, nascitur ex nimia ejus honoris cupiditate.

V. Quare Alcibiades non negavit, se gaudere honoribus affectum, dolere neglectum : ideoque ut gratus esset iis, quibuscum degebat, et gratiosus, annitebatur. Marcium vero fastus non patiebatur eos demereri, a quibus honoribus poterat ornari : ambitio autem faciebat, ut neglectus doleret atque irasceretur. (2) Hæc sunt in eo viro quæ videri possunt reprehendenda : cetera omnia habet præclara. Temperantiæ enim pecuniæque contemptæ nomine dignus est qui cum præstantissimis sanctissimisque Græcorum conferatur : non hercle cum Alcibiade, in his rebus incontinen- e tissimo, honestatisque negligentissimo homine.

ΤΙΜΟΛΕΩΝ.

TIMOLEON.

255 Ἐμοὶ μὲν τῆς τῶν βίων ἅψασθαι μὲν γραφῆς συνέδη δι' ἑτέρους, ἐπιμένειν δὲ καὶ φιλοχωρεῖν ἤδη καὶ δι' ἐμαυτὸν, ὥσπερ ἐν ἐσόπτρῳ τῇ ἱστορίᾳ πειρώμενον ἀμωσγέπως κοσμεῖν καὶ ἀφομοιοῦν πρὸς τὰς ἐκείνων ἀρετὰς τὸν βίον. (2) Οὐδὲν γὰρ ἀλλ' ἢ συνδιαιτήσει καὶ συμβιώσει τὸ γινόμενον ἔοικεν, ὅταν ὥσπερ ἐπιξενούμενον ἕκαστον αὐτῶν ἐν μέρει διὰ τῆς ἱστορίας ὑποδεχόμενοι καὶ παραλαμβάνοντες ἀναθεωρῶμεν « ὅσος ἦν οἷός τε, » τὰ κυριώτατα καὶ κάλλιστα πρὸς γνῶσιν ἀπὸ τῶν πράξεων λαμβάνοντες.

Φεῦ, φεῦ· τί τούτου χάρμα μεῖζον ἂν λάβοις,

πρὸς ἐπανόρθωσιν ἠθῶν ἐνεργότερον; (3) Δημόκριτος μὲν γὰρ εὔχεσθαί φησι δεῖν, ὅπως εὐλόγχων εἰδώλων τυγχάνωμεν καὶ τὰ σύμφυλα καὶ τὰ χρηστὰ μᾶλλον ἡμῖν ἐκ τοῦ περιέχοντος ἢ τὰ φαῦλα καὶ τὰ σκαιὰ συμφέρηται, λόγον οὔτ' ἀληθῆ καὶ πρὸς ἀπεράντους ἐκφέροντα δεισιδαιμονίας εἰς φιλοσοφίαν καταβάλλων· ἡμεῖς δὲ τῇ περὶ τὴν ἱστορίαν διατριβῇ καὶ τῆς γραφῆς τῇ συνηθείᾳ παρασκευάζομεν ἑαυτοὺς τὰς τῶν ἀρίστων καὶ δοκιμωτάτων μνήμας ὑποδεχομένους ἀεὶ ταῖς ψυχαῖς, εἴ τι φαῦλον ἢ κακόηθες ἢ ἀγεννὲς αἱ τῶν συνόντων ἐξ ἀνάγκης ὁμιλίαι προσβάλλουσιν, ἐκκρούειν καὶ διωθεῖσθαι πρὸς τὰ κάλλιστα τῶν παραδειγμάτων ἥλεω καὶ πραεῖαν ἀποστρέφοντες τὴν διάνοιαν. (4) Ὧν ἐν τῷ παρόντι προκεχειρίσμεθά σοι τὸν Τιμολέοντος τοῦ Κορινθίου καὶ τὸν Αἰμιλίου Παύλου βίον, ἀνδρῶν οὐ μόνον ταῖς αἱρέσεσιν, ἀλλὰ καὶ ταῖς τύχαις ἀγαθαῖς ὁμοίως κεχρημένων ἐπὶ τὰ πράγματα καὶ διαμφισβήτησιν παρεξόντων, πότερον εὐποτμίᾳ μᾶλλον ἢ φρονήσει τὰ μέγιστα τῶν πεπραγμένων κατώρθωσαν.

236 I. Τὰ μὲν Συρακοσίων πράγματα πρὸ τῆς Τιμολέοντος εἰς Σικελίαν ἀποστολῆς οὕτως εἶχεν. Ἐπεὶ Δίων μὲν ἐξελάσας Διονύσιον τὸν τύραννον εὐθὺς ἀνῃρέθη δόλῳ καὶ διέστησαν οἱ σὺν Δίωνι Συρακοσίους ἐλευθερώσαντες, ἡ δὲ πόλις ἄλλον ἐξ ἄλλου μεταβάλλουσα συνεχῶς τύραννον ὑπὸ πλήθους κακῶν μικρὸν ἀπέλιπεν ἔρημος εἶναι, τῆς δ' ἄλλης Σικελίας ἡ μὲν ἀνάστατος καὶ ἄπολις παντάπασιν ἦδη διὰ τοὺς πολέμους ὑπῆρχεν, αἱ δὲ πλεῖσται πόλεις ὑπὸ βαρβάρων μιγάδων καὶ στρατιωτῶν ἀμίσθων κατείχοντο ῥᾳδίως προσιεμένων τὰς μεταβολὰς τῶν δυναστειῶν, Διονύσιος δ' ἔτει δεκάτῳ ξένους συναγαγὼν καὶ τὸν τότε κρατοῦντα τῶν Συρακοσίων Νυσαῖον ἐξελάσας ἀνέλαβε τὰ πράγματα πάλιν καὶ καθεστήκει τύραννος ἐξ ἀρχῆς, παραλόγως μὲν ὑπὸ μικρᾶς δυνάμεως τὴν μεγίστην τῶν πώποτε τυραννίδων ἀπολέσας, παραλογώτερον δ' αὖθις ἐκ φυγάδος καὶ ταπεινοῦ τῶν ἐκβαλόντων κύριος γενόμενος· οἱ μὲν οὖν ὑπομείναντες ἐν τῇ πόλει τῶν Συρακοσίων ἐδούλευον οὔτ' ἄλλως ἐπιεικεῖ τυράννῳ καὶ τότε παντάπασιν ὑπὸ συμφορῶν ἀπηγριωμένῳ τὴν ψυχήν, οἱ δὲ βέλτιστοι καὶ γνωριμώτατοι πρὸς Ἱκέτην τραπέντες τὸν δυνα-

Ut ad scribendas vitas accederem, alii me moverunt; ut autem jam lubenti animo in hac re verser et immorer, mei ipsius causa mihi usu venit, conantis in eorum virtutes tanquam in speculum, intuendo utcunque vitam meam ad eorum exemplum componere et conformare. (2) Etenim negotium hoc nulli æque rei, atque quotidianæ consuetudini ac convictui simile est, dum unumquemque eorum per vices historia quasi hospitio excipientes contemplamur, *qualis vir fuerit quantusque*, et illius rebus gestis ea, quæ præcipua sunt et ad cognoscendum pulcherrima, deligentes.

O di boni, hoc quod majus capias gaudium,

ad mores formandos efficacius? (3) Democritus quidem optandum dixit, ut imagines quammaxime commodæ nobis accidant et naturæ potius nostræ cognata atque utilia, quam vitiosa atque sinistra visa nobis ab aere offerantur; falsam mehercle opinionem et quæ infinitis occasionem præbeat superstitionibus, in philosophiam inferens: nos vero historiis vacando usuque eas perscribendi nosmet ita comparamus, ut animus acta optimorum laudatissimorumque virorum memoria comprehendens, si quid, ut necessario evenit, vitiosum, pravum parumve ingenuum consuetudo hominum quotidiana nobis offerat, id cogitatione placide atque sedate ad pulcherrima exempla conversa declinet atque repellat. (4) In hoc itaque libro Timoleontis Corinthii et Æmilii Pauli vitas proposuimus, qui viri non tantum eodem vitæ instituto, sed et fortuna in rebus gerendis eadem usi sunt ambiguumque reliquerunt, tantas res felicitatene an potius prudentia confecerint.

I. Syracusarum, antequam in Siciliam mitteretur Timoleon, hic fuit status. Ut Dio ejecto Dionysio tyranno non ita multo post dolo interfectus periit, dissidentibus inter se qui in vindicanda libertate Syracusarum Dionem adjuverant, urbs alium post alium tyrannum ferens, multitudine malorum prope ad solitudinem redacta fuit; reliqua Sicilia partim bellis omnino vastata, civitatesque in ea deletæ, pleræque urbes a barbaris convenis militibusque stipendio carentibus tenebantur, qui facile quasvis principatuum mutationes admitterent; porro Dionysius decimo quam erat pulsus anno, manu stipendiariorum militum conducta, Nysæum Syracusas tunc obtinentem pulit, ac qui ante mirabiliter a parvis copiis erat maxima omnium, quæ unquam fuerunt, tyrannide exturbatus, idem haud minori miraculo de exsule et abjecto, eorum qui ejecerant ipsum, de integro dominus est factus· Syracusani, qui in urbe remanserunt, servierunt tyranno cum alias haud clementi, tum vero calamitatibus prorsus efferato, optimi vero et nobilissimi civium ad Icetam Leontinorum principem confugerunt seque ei

στεύοντα τῶν Λεοντίνων ἐπέτρεψαν αὐτοὺς ἐκείνῳ καὶ στρατηγὸν εἵλοντο τοῦ πολέμου, βελτίω μὲν οὐδενὸς d ὄντα τῶν ὁμολογουμένως τυράννων, ἑτέραν δ' οὐκ ἔχοντες ἀποστροφὴν καὶ πιστεύσαντες Συρακοσίῳ τὸ γένος ὄντι καὶ κεκτημένῳ δύναμιν ἀξιόμαχον πρὸς τὸν τύραννον.

II. Ἐν τούτῳ δὲ Καρχηδονίων στόλῳ μεγάλῳ παραγενομένων εἰς Σικελίαν καὶ τοῖς πράγμασιν ἐπαιωρουμένων φοβηθέντες οἱ Σικελιῶται πρεσβείαν ἐβουλεύοντο πέμπειν εἰς τὴν Ἑλλάδα καὶ παρὰ Κορινθίων βοήθειαν αἰτεῖν, οὐ μόνον διὰ τὴν συγγένειαν οὐδ' ἀφ' ὧν ἤδη πολλάκις εὐεργέτηντο πιστεύοντες ἐκείνοις, ἀλλὰ καὶ καθόλου τὴν πόλιν ὁρῶντες φιλελεύθερον καὶ μισο- e τύραννον οὖσαν ἀεὶ καὶ τῶν πολέμων τοὺς πλείστους καὶ μεγίστους πεπολεμηκυῖαν οὐχ ὑπὲρ ἡγεμονίας καὶ πλεονεξίας, ἀλλ' ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. (2) Ὁ δ' Ἰκέτης ἅτε δὴ τῆς στρατηγίας ὑπόθεσιν τὴν τυραννίδα πεποιημένος, οὐ τὴν Συρακοσίων ἐλευθερίαν, κρύφα μὲν ἤδη πρὸς τοὺς Καρχηδονίους διείλεκτο, φανερῶς δὲ τοὺς Συρακοσίους ἐπῄνει καὶ τοὺς πρέσβεις εἰς Πελοπόννησον συνεξέπεμψεν, οὐ βουλόμενος ἐλθεῖν συμμαχίαν ἐκεῖθεν, ἀλλ' ἐὰν, ὅπερ εἰκὸς ἦν, οἱ Κορίνθιοι διὰ τὰς Ἑλληνικὰς ταραχὰς καὶ ἀσχολίας ἀπείπωσι τὴν βοήθειαν, ἐλπίζων ῥᾷον ἐπὶ τοὺς Καρχηδονίους τὰ f πράγματα μετάξειν καὶ χρήσασθαι συμμάχοις καὶ συναγωνισταῖς ἐκείνοις ἐπὶ τοὺς Συρακοσίους ἢ κατὰ τοῦ τυράννου. (3) Ταῦτα μὲν οὖν ὀλίγον ὕστερον ἐξηλέγχθη.

III. Τῶν δὲ πρέσβεων παραγενομένων οἱ Κορίνθιοι κήδεσθαι μὲν ἀεὶ τῶν ἀποικίδων πόλεων καὶ μάλιστα 237 τῆς Συρακοσίων εἰωθότες, οὐδενὸς δ' αὐτοῖς τότε τῶν a Ἑλληνικῶν κατὰ τύχην παρενοχλοῦντος, ἀλλ' ἐν εἰρήνῃ καὶ σχολῇ διάγοντες, ἐψηφίσαντο προθύμως βοηθεῖν. (2) Ζητουμένου δὲ στρατηγοῦ καὶ τῶν ἀρχόντων γραφόντων καὶ προβαλλομένων τοὺς εὐδοκιμεῖν ἐν τῇ πόλει σπουδάζοντας, εἷς ἐκ τῶν πολλῶν ἀναστὰς ὠνόμασε Τιμολέοντα τὸν Τιμοδήμου, μήτε προσιόντα τοῖς κοινοῖς ἔτι μήτ' ἐλπίδος τοιαύτης γενόμενον ἢ προαιρέσεως, ἀλλὰ θεοῦ τινος, ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ ἀνθρώπῳ· τοσαύτη καὶ περὶ τὴν αἵρεσιν εὐθὺς ἔλαμψε τύχης εὐμένεια καὶ ταῖς ἄλλαις πράξεσιν ἐπηκολούθησε χάρις ἐπικοσμοῦσα τὴν ἀρετὴν τοῦ ἀνδρός. (3) Ἦν b μὲν οὖν γονέων ἐπιφανῶν ἐν τῇ πόλει Τιμοδήμου καὶ Δημαρίστης, φιλόπατρις δὲ καὶ πρᾷος διαφερόντως ὅσα μὴ σφόδρα μισοτύραννος εἶναι καὶ μισοπόνηρος. (4) Ἐν δὲ τοῖς πολέμοις οὕτω καλῶς καὶ ὁμαλῶς ἐκέκρατο τὴν φύσιν, ὥστε πολλὴν μὲν ἐν νέῳ σύνεσιν, οὐκ ἐλάττω δὲ γηρῶντος ἀνδρείαν ἐπιφαίνεσθαι ταῖς πράξεσιν. (5) Ἀδελφὸν δ' εἶχε Τιμοφάνην πρεσβύτερον, οὐδὲν αὐτῷ προσόμοιον, ἀλλ' ἔμπληκτον καὶ διεφθαρμένον ἔρωτι μοναρχίας ὑπὸ φίλων φαύλων καὶ ξένων στρατιωτικῶν ἀεὶ περὶ αὐτὸν ὄντων, ἔχειν τι δοκοῦντα ῥαγδαῖον ἐν ταῖς στρατείαις καὶ φιλοκίνδυνον. (6) Ὃ c καὶ τοὺς πολίτας προσαγόμενος ὡς ἀνὴρ πολεμικὸς καὶ

crediderunt et belli ducem cum delegerunt, nihil quidem ullo alio manifesto tyranno meliorem, sed cum refugium aliud non haberent, Syracusano et cui ad bellum contra Dionysium esset virium satis se committebant.

II. Interim Carthaginiensibus magna classe in Siciliam advectis, eique subigendæ intentis, perterriti insulares statuerunt mittere legatos in Græciam, Corinthiorumque implorare auxilium, cum cognatione et pristinis eorum beneficiis freti, tum videntes urbem eam plane libertatis studio- e sam, infestamque tyrannis semper fuisse et maxima ac plurima bella non principatus opumve cupiditate, sed pro libertate Græciæ gessisse. (2) Atque Icetes, ut qui eo bello non libertatem Syracusanis, sed tyrannidem sibi quæreret, occulta cum Carthaginiensibus jam agitaverat colloquia, palam Syracusanorum institutum laudabat, eorumque legatos suo quoque nomine in Peloponnesum miserat, non auxilium illis ferri cupiens, sed sperans si, quod videbatur fore, Corinthii propter Græcos motus et occupationes auxilium denegassent, facilius se rem ad Carthaginienses inclinaturum, sociisque his potius contra Syracusanos, quam contra tyrannum usurum. (3) Id ejus consilium paulo post detectum est.

III. Ut legatio venit, Corinthii semper curam coloniarum et præsertim Syracusarum gerere soliti, forte tunc nullo Græco negotio occupati, sed in otio et pace viventes, prompte auxilium iis decreverunt. (2) Cum dux bello quæreretur principesque eorum notarent proponerentque eos viros qui præstare in urbe gloria cupiebant, quidam e multitudine surgens Timoleontem Timodemi filium nominavit. Atqui is jam pridem republica abstinebat et spe et instituto ab ea re alienus, sed deus quidam, opinor, illi homini ita in mentem dederat; adeo illustris circa ipsam electionem statim effulsit favor, et omnes ejus actiones comitata est gratia virtutem viri ornans. (3) Natus erat Corinthi Timoleon claris parentibus Timodemo et Demarista, patriæ amantissimus et admodum mansueto ingenio, nisi quod tyrannis et malis hominibus perquam infensus erat. (4) Ad rem bellicam adeo æqualis et temperatæ naturæ, ut et in juvene magna prudentia et in sene par fortitudo apparuerit. (5) Erat ei frater natu major, Timophanes nomine, dissimilis plane ingenii, temerarius et a pravis amicis hospitibusque militaribus tyrannidis desiderium ei inserentibus, quos semper circa se habebat, corruptus; in bello acer, nulliusque metuens periculi credebatur. (6) Eo et cives sibi conciliaverat, ut eum tanquam bellicosum et stre-

δραστήριος ἐφ' ἡγεμονιῶν ἐτάττετο. (7) Καὶ πρὸς ταῦτα Τιμολέων αὐτῷ συνήργει, τὰ μὲν ἁμαρτήματα παντάπασιν ἀποκρύπτων ἢ μικρὰ φαίνεσθαι ποιῶν, ἃ δ' ἡ φύσις ἐξέφερεν ἀστεῖα κατακοσμῶν καὶ συναύξων.

IV. Ἐν δὲ τῇ πρὸς Ἀργείους καὶ Κλεωναίους μάχῃ τῶν Κορινθίων ὁ μὲν Τιμολέων ἔτυχεν ἐν τοῖς ὁπλίταις τεταγμένος, τὸν δὲ Τιμοφάνην τῶν ἱππέων ἡγούμενον καταλαμβάνει κίνδυνος ὀξύς· ὁ γὰρ ἵππος αὐτὸν ἀπεσείσατο πληγῇ περιπεσὼν εἰς τοὺς πολεμίους καὶ τῶν ἑταίρων οἱ μὲν εὐθὺς ἐσκορπίσθησαν φοβηθέντες, οἱ δὲ παραμείναντες ὀλίγοι πρὸς πολλοὺς μαχόμενοι χαλεπῶς ἀντεῖχον. (2) Ὡς οὖν ὁ Τιμολέων κατεῖδε τὸ συμβεβηκὸς, δρόμῳ προσβοηθήσας καὶ τὴν ἀσπίδα τοῦ Τιμοφάνους κειμένου προθέμενος καὶ πολλὰ μὲν ἀκοντίσματα, πολλὰς δὲ πληγὰς ἐκ χειρὸς ἀναδεξάμενος εἰς τὸ σῶμα καὶ τὰ ὅπλα μόλις ἐώσατο τοὺς πολεμίους καὶ διέσωσε τὸν ἀδελφόν. (3) Ἐπεὶ δ' οἱ Κορίνθιοι δεδιότες μὴ πάθοιεν οἷα καὶ πρότερον ὑπὸ τῶν συμμάχων ἀποβαλόντες τὴν πόλιν, ἐψηφίσαντο τρέφειν ξένους τετρακοσίους καὶ τούτων ἄρχοντα Τιμοφάνην κατέστησαν, (4) ὁ δὲ τῶν καλῶν καὶ δικαίων ὑπεριδὼν εὐθέως ἐπέραινεν ἐξ ὧν ποιήσεται τὴν πόλιν ὑφ' αὑτῷ καὶ συχνοὺς ἀνελὼν ἀκρίτους τῶν πρώτων πολιτῶν ἀνέδειξεν αὐτὸς ἑαυτὸν τύραννον· (5) βαρέως δὲ φέρων ὁ Τιμολέων καὶ συμφορὰν ποιούμενος ἑαυτοῦ τὴν ἐκείνου κακίαν ἐπεχείρησε μὲν αὐτῷ διαλέγεσθαι καὶ παρακαλεῖν ἀφέντα τὴν μανίαν καὶ δυστυχίαν τῆς ἐπιθυμίας ἐκείνης ζητεῖν τινα τῶν ἡμαρτημένων ἐπανόρθωσιν πρὸς τοὺς πολίτας, ἀπωσαμένου δ' ἐκείνου καὶ καταφρονήσαντος, οὕτω παραλαβὼν τῶν μὲν οἰκείων Αἰσχύλον, ἀδελφὸν ὄντα τῆς Τιμοφάνους γυναικὸς, τῶν δὲ φίλων τὸν μάντιν, ὃν Σάτυρον μὲν Θεόπομπος, Ἔφορος δὲ καὶ Τίμαιος Ὀρθαγόραν ὀνομάζουσι, καὶ διαλιπὼν ἡμέρας ὀλίγας αὖθις ἀνέβη πρὸς τὸν ἀδελφόν· καὶ περιστάντες αὐτὸν οἱ τρεῖς καθικέτευον ἀλλὰ νῦν γε χρησάμενον λογισμῷ μεταβαλέσθαι. (6) Τοῦ δὲ Τιμοφάνους πρῶτον μὲν αὐτῶν καταγελῶντος, ἔπειτα δὲ πρὸς ὀργὴν ἐκφερομένου καὶ χαλεπαίνοντος, ὁ μὲν Τιμολέων ἀποχωρήσας μικρὸν αὐτοῦ καὶ συγκαλυψάμενος εἱστήκει δακρύων, ἐκεῖνοι δὲ τὰ ξίφη σπασάμενοι ταχὺ διαφθείρουσιν αὐτόν.

V. Τῆς δὲ πράξεως διαβοηθείσης οἱ μὲν κράτιστοι τῶν Κορινθίων ἐπῄνουν τὴν μισοπονηρίαν καὶ μεγαλοψυχίαν τοῦ Τιμολέοντος, ὅτι χρηστὸς ὢν καὶ φιλοίκειος ὅμως τὴν πατρίδα τῆς οἰκίας καὶ τὸ καλὸν καὶ δίκαιον προετίμησε τοῦ συμφέροντος, ἀριστεύοντα μὲν ὑπὲρ τῆς πατρίδος διασώσας τὸν ἀδελφὸν, ἐπιβουλεύοντα δὲ αὐτῇ καὶ καταδουλωσάμενον ἀποκτείνας. (2) Οἱ δὲ μὴ δυνάμενοι ζῆν ἐν τῇ δημοκρατίᾳ καὶ πρὸς τοὺς δυνάστας ἀποβλέπειν εἰωθότες τῷ μὲν θανάτῳ τοῦ τυράννου προσεποιοῦντο χαίρειν, τὸν δὲ Τιμολέοντα λοιδοροῦντες ὡς ἀσεβὲς ἐξειργασμένον καὶ μυσῶδες ἔργον εἰς ἀθυμίαν περιέστησαν. (3) Ἐπεὶ δὲ καὶ τὴν μητέρα δυσφορεῖν πυθόμενος καὶ φωνάς τε δεινὰς καὶ κατάρας

num virum exercitui sæpius præficerent. (7) Quo in officio adjutorem habuit Timoleontem, qui vitia ejus aut occultabat, aut extenuabat, bona vero naturæ exornabat laudesque augebat.

IV. In prœlio Corinthiorum contra Argivos et Cleonæos, in quo Timoleon inter gravis armaturæ milites erat, Timophanes equitum dux devenit in grave periculum, ab equo suo, qui ictum exceperat, excussus, et in hostium agmen projectus, sociorumque parte dissipata statim metu, reliquis paucis contra multos pugnam ægre sustinentibus. (2) Hoc ubi vidit Timoleon, ad opitulandum accurrit, Timophanique jacenti scutum prætendit, multisque spiculis, multis ictibus cominus armis et corpore exceptis, ægre hostes repulit atque fratrem eripuit. (3) Cum vero Corinthii metuentes ne, ut ante quoque ipsis acciderat, a sociis circumventi urbem amitterent, milites stipendiarios quadringentos decrevissent iisque ducem præfecissent Timophanem, (4) is vero, justitia honestateque postpositis, statim in id incumberet, quemadmodum urbem suæ potestati subjiceret, magnoque numero primariorum civium indicta causa necato se ipsum tyrannum palam declaravisset; (5) graviter hoc ferens Timoleon, qui fratris improbitatem suam calamitatem duceret, primo hominem verbis aggressus eumque hortatus est, ut insanam istam infelicemque cupiditatem deponeret, injuriarumque in cives correctionem aliquam quæreret; contemptim hanc admonitionem respuente fratre, assumpto ex necessariis Æschylo, cujus sororem Timophanes uxorem habebat, ex amicis vate, quem Satyrum Theopompus, Orthagoram Ephorus et Timæus nominant, paucis interpositis diebus, cum his fratrem accessit, qui circumsistentes eum uno ore summis cum precibus obtestati sunt, ut certe nunc quidem ad sanam mentem rediret, institutumque mutaret. (6) Cum Timophanes initio eorum dicta irrideret, post etiam ad iram et indignationem prolaberetur; Timoleon paululum secessit, velatoque capite flevit, reliqui duo strictis gladiis Timophanem confestim interfecerunt.

V. Facinoris hujus fama sparsa, optimi civium laudare in Timoleonte odium malorum hominum animique magnitudinem, qui vir alioqui mansuetus et suorum necessariorum amantissimus, tamen patriam familia, honestatemque et justitiam privato commodo antiquiorem habuisset: qui fratrem pro patria strenue pugnantem servasset, eundem tyrannidem insidiose in patriam machinatum necasset. (2) At qui vivere in populari reipublicæ statu non poterant, soliti ab ore principum pendere, gaudere quidem tyranni morte se simularunt; Timoleontem tamen conviciando, scelestumque facinus eum perpetrasse jactando, in mœrorem conjecerunt. (3) A matre quoque audiens indigne cædem filii ferente, diris imprecationibus se devoveri, cum

ἐπ' αὐτὸν ἀρᾶσθαι φρικώδεις, ἐβάδιζε παραμυθησόμενος, ἡ δὲ προσιδεῖν οὐχ ὑπέμεινε τὴν ὄψιν, ἀλλὰ τὴν οἰκίαν ἀπέκλεισε, τότε δὴ παντάπασι περίλυπος γενόμενος καὶ συνταραχθεὶς τὴν διάνοιαν ὥρμησε μὲν ὡς διαφθερῶν ἑαυτὸν ἀπέχεσθαι τροφῆς, τῶν δὲ φίλων οὐ περιιδόντων, ἀλλὰ πᾶσαν δέησιν καὶ πᾶσαν ἀνάγκην προσενεγκαμένων, ἔγνω ζῆν καθ' ἑαυτὸν ἐκ μέσου γενόμενος· καὶ πολιτείαν μὲν ἅπασαν ἀφῆκε, τοὺς δὲ πρώτους χρόνους οὐδὲ κατιὼν εἰς πόλιν, ἀλλ' ἀδημονῶν καὶ πλανώμενος ἐν τοῖς ἐρημοτάτοις τῶν ἀγρῶν διέτριβεν.

VI. Οὕτως αἱ κρίσεις ἂν μὴ βεβαιότητα καὶ ῥώμην c ἐκ λόγου καὶ φιλοσοφίας προσλάβωσιν, ἐπὶ τὰς πράξεις σείονται καὶ παραφέρονται ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων ἐκκρουόμεναι τῶν οἰκείων λογισμῶν. (2) Δεῖ γὰρ οὐ μόνον, ὡς ἔοικε, τὴν πρᾶξιν καλὴν εἶναι καὶ δικαίαν, ἀλλὰ καὶ τὴν δόξαν, ἀφ' ἧς πράττεται, μόνιμον καὶ ἀμετάπτωτον, ἵνα πράττωμεν δοκιμάσαντες μηδ', ὥσπερ οἱ λίχνοι τὰ πλήσμια τῶν ἐδεσμάτων ὀξυτάτῃ διώκοντες ἐπιθυμίᾳ τάχιστα δυσχεραίνουσιν ἐμπλησθέντες, οὕτως ἡμεῖς ἐπὶ ταῖς πράξεσι συντελεσθείσαις ἀθυμῶμεν δι' ἀσθένειαν ἀπομαραινομένης τῆς τοῦ καλοῦ φαντασίας. (3) Αἰσχρὸν d γὰρ ἡ μετάνοια ποιεῖ καὶ τὸ καλῶς πεπραγμένον, ἡ δ' ἐξ ἐπιστήμης ὡρμημένη καὶ λογισμοῦ προαίρεσις οὐδ' ἂν πταίσωσιν αἱ πράξεις μεταβάλλεται. (4) Διὸ Φωκίων μὲν ὁ Ἀθηναῖος τοῖς ὑπὸ Λεωσθένους πραττομένοις ἐναντιωθεὶς, ἐπειδὴ κατορθοῦν ἐκεῖνος ἐδόκει καὶ θύοντας ἑώρα καὶ μεγαλαυχουμένους τῇ νίκῃ τοὺς Ἀθηναίους, εἶπεν, ὡς ἐβούλετο ἂν ταῦτα αὐτῷ πραχθῆναι, βεβουλεῦσθαι δ' ἐκεῖνα· (5) σφοδρότερον δ' Ἀριστείδης ὁ Λοκρὸς εἷς ὢν τῶν Πλάτωνος ἑταίρων, αἰτοῦντος μὲν αὐτὸν γυναῖκα Διονυσίου τοῦ πρεσβυτέρου μίαν e τῶν θυγατέρων, ἥδιον ἂν ἔφη νεκρὰν ἰδεῖν τὴν κόρην ἢ τυράννῳ συνοικοῦσαν, ἀποκτείναντος δὲ τοὺς παῖδας αὐτοῦ μετ' ὀλίγον χρόνον τοῦ Διονυσίου καὶ πυθομένου πρὸς ὕβριν, εἰ τὴν αὐτὴν ἔτι γνώμην ἔχοι περὶ τῆς ἐκδόσεως τῶν θυγατέρων, ἀπεκρίνατο τοῖς μὲν γεγενημένοις λυπεῖσθαι, τοῖς δ' εἰρημένοις μὴ μεταμελεῖσθαι. Ταῦτα μὲν οὖν ἴσως μείζονος καὶ τελειοτέρας ἀρετῆς ἐστι.

VII. Τὸ δὲ Τιμολέοντος ἐπὶ τοῖς πεπραγμένοις πάθος, εἴτ' οἶκτος ἦν τοῦ τεθνηκότος εἴτε τῆς μητρὸς αἰδώς, οὕτω κατέκλασε καὶ συνέτριψεν αὐτοῦ τὴν διάνοιαν, ὥστ' εἴκοσι σχεδὸν ἐτῶν διαγενομένων μηδὲ μιᾶς ἐπι- f φανοῦς μηδὲ πολιτικῆς ἅψασθαι πράξεως. (2) Ἀναγορευθέντος οὖν αὐτοῦ καὶ τοῦ δήμου προθύμως δεξαμένου καὶ χειροτονήσαντος ἀναστὰς Τηλεκλείδης ὁ τότε καὶ δυνάμει καὶ δόξῃ πρωτεύων ἐν τῇ πόλει, παρεκάλει τὸν Τιμολέοντα περὶ τὰς πράξεις ἀγαθὸν ἄνδρα εἶναι καὶ γενναῖον· « Ἂν γὰρ νῦν, ἔφη, καλῶς ἀγωνίσῃ τύραννον ἀνῃρηκέναι δόξομεν, ἂν δὲ φαύλως, ἀδελφόν. » 239(3) Παρασκευαζομένου δὲ τοῦ Τιμολέοντος τὸν ἔκπλουν a καὶ στρατιώτας συνάγοντος ἐκομίσθη γράμματα πρὸς τοὺς Κορινθίους παρ' Ἰκέτου μηνύοντα τὴν μεταβολὴν

deprecatum ivisset, ea neque aspectum ipsius pertulit domumque venienti occlusit: ibi vero summo in dolore animique perturbatione constitutus, statuit vitam inedia finire; amicis tamen id non concedentibus omnique eum deprecatione, omni vi cogentibus, vivere decrevit, sed solitarius. Itaque plane civilibus se negotiis removit ac primis temporibus ne in urbem quidem unquam venit, sed animi angoribus pressus et vagus in agris desertissimis vitam ducebat.

VI. Ad hunc videlicet modum judicia, ubi non a ratione et philosophia stabilitatem atque robur ad agendum accipiunt, concutiuntur ac facile quavis vel laude vel vituperio præcipitia aguntur, suis consiliis et rationibus excussa. (2) Oportet enim non solum ipsam actionem, ut par est, justam honestamque, sed etiam consilium, quo inducti eam suscipimus, constans esse atque immobile, ut cum judicio agamus, ne, quemadmodum helluones summo appetitu cum expetant cibos gulæ satiandæ idoneos, iis repleti statim satietate molestantur; ita nos quoque re confecta animo langueamus, emarcescente propter imbecillitatem animi honestatis concepta specie. (3) Nam pœnitentia id quoque, quod est præclare factum, turpe efficit: at propositum, quod a certa scientia et consilio proficiscitur, ne tum quidem cum secus res ceciderunt mutatur. (4) Unde Phocion Atheniensis, cum instituto Leosthenis adversatus esset, atque hic rem feliciter egisse videretur, cernens propter victoriam eam Athenienses exsultare et sacra facere, Vellem, inquit, hæc propterasse, verum illa suasisse. (5) Acerbius Aristides Locrensis unus Platonis amicorum Dionysio seniori, filiam ipsius in matrimonium petenti, respondit, mortuam se, quam tyranni uxorem, videre filiam suam malle; paulo post Dionysius liberos ejus necavit interrogavitque per contumeliam, an adhuc in sententia de elocandis filiabus persteret, respondit, factum quidem sibi dolere, dicti non pœnitere. Verum hoc fortasse a majore est et perfectiore profectum virtute.

VII. Timoleontis autem animum dolor ille quem post facinus accepit, sive is fratris mortui miserationi, sive verecundiæ matris est adscribendus, adeo fregit et depressit, ut viginti fere totis annis nullam insignem aut publicam rem attigerit. (2) Ceterum cum esset dux belli nominatus suffragiisque populi cupide electus, Teleclides, cujus summa eo tempore erat Corinthi potentia atque gloria, assurgens cohortatus eum est ad res strenue, et ut bonum virum decet, gerendas; affirmans eum, si præclare munus hoc obivisset, tyranni, sin ignaviter, fratris interfectorem existimatum a civibus iri. (3) Parato jam ad navigandum Timoleonte, militesque colligente, literæ Corinthiis ab Iceta allatæ sunt,

αὐτοῦ καὶ προδοσίαν. (4) Ὡς γὰρ τάχιστα τοὺς πρέσβεις ἐξέπεμψε, τοῖς Καρχηδονίοις προσθέμενος ἀναφανδὸν ἔπραττε μετ' ἐκείνων ὅπως Διονύσιον ἐκβαλὼν Συρακουσῶν αὐτὸς ἔσται τύραννος. (5) Καὶ δεδοικὼς, μὴ πρότερον ἐλθούσης ἐκ Κορίνθου δυνάμεως καὶ στρατηγοῦ διαφύγωσιν αἱ πράξεις αὐτὸν, ἔπεμψεν ἐπιστολὴν τοῖς Κορινθίοις φράζουσαν, ὡς οὐδὲν δέον πράγματα καὶ δαπάνας ἔχειν αὐτοὺς πλέοντας εἰς Σικελίαν καὶ κινδυνεύοντας, ἄλλως τε καὶ Καρχηδονίων ἀπαγορευόντων καὶ παραφυλαττομένων ναυσὶ πολλαῖς τὸν στόλον, οὓς αὐτὸς ἀναγκασθεὶς ἐκείνων βραδυνόντων ποιήσαιτο συμμάχους ἐπὶ τὸν τύραννον. (6) Τούτων δὲ τῶν γραμμάτων ἀναγνωσθέντων, εἰ καί τις ἠπίως εἶχε πρότερον τῶν Κορινθίων πρὸς τὴν στρατείαν, τότε πάντας ἡ πρὸς τὸν Ἰκέτην ὀργὴ παρώξυνεν, ὥστε συγχορηγῆσαι προθύμως τῷ Τιμολέοντι καὶ συμπαρασκευάσαι τὸν ἔκπλουν.

VIII. Γενομένων δὲ τῶν νεῶν ἑτοίμων καὶ τοῖς στρατιώταις ὧν ἔδει πορισθέντων, αἱ μὲν ἱέρειαι τῆς Κόρης ὄναρ ἔδοξαν ἰδεῖν τὰς θεὰς πρὸς ἀποδημίαν τινὰ στελλομένας καὶ λεγούσας, ὡς Τιμολέοντι μέλλουσι συμπλεῖν εἰς Σικελίαν. Διὸ καὶ τριήρη κατασκευάσαντες ἱερὰν οἱ Κορίνθιοι ταῖν θεαῖν ἐπωνόμασαν. (2) Αὐτὸς δ' ἐκεῖνος εἰς Δελφοὺς πορευθεὶς ἔθυσε τῷ θεῷ, καὶ καταβαίνοντος εἰς τὸ μαντεῖον αὐτοῦ γίνεται σημεῖον. (3) Ἐκ γὰρ τῶν κρεμαμένων ἀναθημάτων ταινία τις ἀποῤῥυεῖσα καὶ φερομένη στεφάνους ἔχουσα καὶ Νίκας ἐμπεποικιλμένας περιέπεσε τῇ κεφαλῇ τοῦ Τιμολέοντος, ὡς δοκεῖν αὐτὸν ὑπὸ τοῦ θεοῦ στεφανούμενον ἐπὶ τὰς πράξεις προπέμπεσθαι. (4) Ναῦς δὲ Κορινθίας ἔχων ἑπτὰ, Κερκυραίας δὲ δύο καὶ τὴν δεκάτην Λευκαδίων προσπαρασχόντων ἀνήχθη. Καὶ νυκτὸς ἐμβαλὼν εἰς τὸ πέλαγος καὶ πνεύματι καλῷ χρώμενος ἔδοξεν αἰφνιδίως ῥαγέντα τὸν οὐρανὸν ὑπὲρ τῆς νεὼς ἐκχέαι πολὺ καὶ περιφανὲς πῦρ. (5) Ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα ταῖς μυστικαῖς ἐμφερὴς καὶ συμπαραθέουσα τὸν αὐτὸν δρόμον ᾗ μάλιστα τῆς Ἰταλίας ἐπεῖχον οἱ κυβερνῆται κατέσκηψεν. (6) Οἱ δὲ μάντεις τὸ φάσμα τοῖς ὀνείρασι τῶν ἱερειῶν μαρτυρεῖν ἀπεφαίνοντο καὶ τὰς θεὰς συνεφαπτομένας τῆς στρατείας προφαίνειν ἐξ οὐρανοῦ τὸ σέλας· εἶναι γὰρ ἱερὰν τῆς Κόρης τὴν Σικελίαν, ἐπεὶ καὶ τὰ περὶ τὴν ἁρπαγὴν αὐτόθι μυθολογοῦσι γενέσθαι καὶ τὴν νῆσον ἐν τοῖς γάμοις ἀνακαλυπτήριον αὐτῇ δοθῆναι.

IX. Τὰ μὲν οὖν παρὰ τῶν θεῶν οὕτω τὸν στόλον ἐθάῤῥυνε· καὶ σπεύδοντες τὸ πέλαγος διαπλέοντες ἐκομίζοντο παρὰ τὴν Ἰταλίαν. (2) Τὰ δ' ἀπὸ τῆς Σικελίας ἀγγελλόμενα πολλὴν ἀπορίαν τῷ Τιμολέοντι καὶ δυσθυμίαν τοῖς στρατιώταις παρεῖχεν. Ὁ γὰρ Ἰκέτης μάχῃ νενικηκὼς Διονύσιον καὶ τὰ πλεῖστα μέρη τῶν Συρακουσῶν κατειληφὼς ἐκεῖνον μὲν εἰς τὴν ἀκρόπολιν καὶ τὴν καλουμένην Νῆσον συνεσταλμένον αὐτὸς ἐπολιόρκει καὶ συμπεριετείχιζε, Καρχηδονίους δὲ φρουρεῖν ἐκέλευεν, ὅπως οὐκ ἐπιβήσοιτο Τιμολέων Σικελίας, ἀλλ' ἀπωσθέντων ἐκείνων αὐτοὶ καθ' ἡσυχίαν

mutationem ejus proditionemque indicantes. (4) Ut primum enim profecti fuerant Corinthum Syracusanorum legati, aperte cum Carthaginiensibus se conjunxerat, cum iisque hoc agebat, ut, ejecto Syracusis Dionysio, ipse foret tyrannus. (5) Veritus autem, ne maturius venientibus a Corintho copiis et imperatore, rei gerendæ facultas e manibus sibi elaberetur, scripsit ad Corinthios, nihil esse ipsis opus labore ac sumptibus neque esse cur in Siciliam veniant, ibique depugnent, præsertim cum id Carthaginienses ipsis, ne faciant, interdicant, classemque ipsorum multis navibus operiantur: eos a se, ipsis cunctantibus, necessitate eo compulso socios ad debellandum tyrannum assumptos. (6) His literis lectis etiam hos, quibus ad eam expeditionem parum erat alacritatis, ira contra Icetam stimulavit, ut in adornanda rebusque necessariis instruenda ac quam primum emittenda classe Timoleontem juvarent.

VIII. Paratis navibus, militibusque commeatu præbito, sacerdotes Proserpinæ per quietem imaginatæ sunt, videre se Cererem et Proserpinam ad iter se accingentes dicentesque, navigaturas sese cum Timoleonte in Siciliam. Itaque Corinthii sacram triremem paravere et dearum istarum navim nominaverunt. (2) Timoleon Delphos profectus deo sacris operatus est; cumque ad oraculum descenderet, signum ei accidit. (3) Etenim vitta e suspensis donis quædam coronas insertas intextasque acu habens Victoriolas fortuito casu in caput ipsius delapsa est, ita ut videretur a deo coronatus ad res gerendas emitti. (4) Proinde cum decem navibus, Corinthiis septem, Corcyrensibus duabus unaque Leucadia, solvit. Cum noctu in altum provectus esset et vento secundo uteretur, cœlum subito findi supra navim visum, multumque et lucidum ignem effundere. (5) Inde fax, iis quarum in mysteriis usus est assimilis, exstitit, et cursum comitata est, in eamque partem delata, qua maxime Italiam versus nautæ naves dirigebant. (6) Vates hoc ostento testimonium ferri somnio sacerdotum dixerunt, deasque auxiliatrices hujus expeditionis, cœlitus eo fulgore præluxisse. Proserpinæ enim sacram esse Siciliam, quam et raptam in ea insula fabulantur, et insulam ei nuptiali dono datam.

IX. Hoc pacto navigatione divinitus propitiis signis confirmata, celeri cursu altum transvecti in Italiam delati sunt. (2) Sed quæ ex Sicilia annunciabantur, magnam sollicitudinem Timoleonti, militibus tristitiam attulerunt. Icetes enim prælio Dionysium vicerat ac plerisque Syracusarum partibus occupatis, eum in arcem eumque locum, qui Insula dicitur, compulsum obsidebat munitionibusque arcem cingebat: Carthaginiensibus autem consuluerat, curarent ne Timoleon in Siciliam egredi posset, sed repulsis Corinthiis ipsis inter

διανεμοῦνται πρὸς ἀλλήλους τὴν νῆσον. (3) Οἱ δὲ πέμπουσιν εἴκοσι τριήρεις εἰς Ῥήγιον, ἐφ' ὧν ἔπλεον πρεσβευταὶ παρ' αὐτοῦ πρὸς Τιμολέοντα κομίζοντες λόγους τοῖς πραττομένοις ὁμοίους. Παραγωγαὶ γὰρ εὐπρεπεῖς καὶ προφάσεις ἦσαν ἐπὶ μοχθηροῖς βουλεύμασιν ἀξιούντων αὐτὸν μέν, εἰ βούλοιτο, Τιμολέοντα σύμβουλον ἥκειν παρ' Ἰκέτην καὶ κοινωνὸν εὖ διαπεπραγμένων ἁπάντων, τὰς δὲ ναῦς καὶ τοὺς στρατιώτας ἀποστέλλειν εἰς Κόρινθον, ὡς τοῦ πολέμου μικρὸν ἀπολείποντος συνηρῆσθαι, Καρχηδονίων δὲ κωλύειν τὴν διάβασιν καὶ μάχεσθαι πρὸς βιαζομένους ἑτοίμων ὄντων. (4) Ὡς οὖν καταπλεύσαντες εἰς τὸ Ῥήγιον οἱ Κορίνθιοι τοῖς τε πρεσβεύμασι τούτοις ἐνέτυχον καὶ τοὺς Φοίνικας οὐ πρόσω ναυλοχοῦντας κατεῖδον, ἤχθοντο μὲν ὑβρισμένοι καὶ παρίστατο πᾶσιν ὀργὴ πρὸς τὸν Ἰκέτην καὶ δέος ὑπὲρ Σικελιωτῶν, οὓς σαφῶς ἑώρων ἅθλα λειπομένους καὶ μισθὸν Ἰκέτῃ μὲν προδοσίας, Καρχηδονίοις δὲ τυραννίδος, ἐδόκει δ' ἀμήχανον ὑπερβαλέσθαι καὶ τὰς αὐτόθι τῶν βαρβάρων ναῦς διπλασίας ἐφορμούσας καὶ τὴν ἐκεῖ μεθ' Ἰκέτου δύναμιν, ἣ στρατηγήσοντες ἥκοιεν.

X. Οὐ μὴν ἀλλ' ὁ Τιμολέων τοῖς πρεσβευταῖς καὶ τοῖς ἄρχουσι τῶν Καρχηδονίων ἐντυχὼν ἐπιεικῶς ἔφη πείθεσθαι μὲν οἷς κελεύουσι, (τί γὰρ ἂν καὶ περαίνειν ἀπειθῶν;) ἐθέλειν δὲ ταῦτα πόλεως Ἑλληνίδος καὶ φίλης κοινῆς τῆς Ῥηγίνων ἐναντίον ἀκούσας καὶ εἰπὼν ἀπαλλάττεσθαι· καὶ γὰρ αὐτῷ τοῦτο πρὸς ἀσφάλειαν διαφέρειν κἀκείνους ἐμμενεῖν βεβαιότερον οἷς ἐπαγγέλλονται περὶ Συρακοσίων δήμῳ μάρτυρι τὰς ὁμολογίας παρακατατεθεμένους. (2) Ταῦτα δ' ὑπέτεινεν αὐτοῖς ἀπάτην ἐπὶ τῇ διαβάσει τεχνάζων, καὶ συνετέχναζον οἱ τῶν Ῥηγίνων στρατηγοὶ πάντες ἐπιθυμοῦντες ἐν Κορινθίοις τὰ πράγματα τῶν Σικελιωτῶν γενέσθαι καὶ φοβούμενοι τὴν τῶν βαρβάρων γειτνίασιν. (3) Διὸ συνῆγον ἐκκλησίαν καὶ τὰς πύλας ἀπέκλειον, ὡς μὴ πρὸς ἄλλο τι τρέπεσθαι τοὺς πολίτας, καὶ παρελθόντες εἰς τὸ πλῆθος ἐχρῶντο μήκει λόγων ἕτερος ἑτέρῳ παραδιδοὺς τὴν αὐτὴν ὑπόθεσιν πρὸς οὐδὲν τέλος, ἀλλὰ διάγοντες ἄλλως τὸν χρόνον, ἕως ἀναχθῶσιν αἱ τῶν Κορινθίων τριήρεις, καὶ Καρχηδονίους ἐπὶ τῆς ἐκκλησίας κατέχοντες ἀνυπόπτως ἅτε καὶ τοῦ Τιμολέοντος παρόντος καὶ παρέχοντος δόκησιν ὅσον οὔπω πρὸς τὸν λόγον ἀνίστασθαι καὶ δημηγορεῖν. (4) Ὡς δ' ἀπήγγειλέ τις αὐτῷ κρύφα τὰς μὲν ἄλλας τριήρεις ἀνῆχθαι, μίαν δὲ τὴν ἐκείνου περιμένειν ὑπολελειμμένην, διεκδὺς τὸν ὄχλον ἅμα τῶν περὶ τὸ βῆμα Ῥηγίνων συνεπικρυπτόντων καὶ καταβὰς ἐπὶ τὴν θάλατταν ἐξέπλευσε διὰ ταχέων. (5) Καὶ κατήχθησαν εἰς Ταυρομένιον τῆς Σικελίας ὑποδεχομένου καὶ καλοῦντος αὐτοὺς ἔτι πάλαι προθύμως Ἀνδρομάχου τοῦ τὴν πόλιν ἔχοντος καὶ δυναστεύοντος. (6) Οὗτος ἦν πατὴρ Τιμαίου τοῦ ἱστορικοῦ, καὶ πολὺ κράτιστος τῶν τότε δυναστευόντων ἐν Σικελίᾳ γενόμενος τῶν τε ἑαυτοῦ πολιτῶν ἡγεῖτο νομίμως καὶ δικαίως καὶ πρὸς τοὺς τυράννους φανερὸς ἦν ἀεὶ διακείμενος ἀπεχθῶς καὶ

se per otium dividere insulam liceret. (3) Igitur hi triremes viginti Rhegium mittunt, quibus vehebantur legati Icetæ ad Timoleontem, similem factis orationem meditati, deceptionibus speciosis prætextibusque malorum consiliorum Icetæ constantem. Erant autem hæc ipsorum postulata: Timoleon, si quidem vellet, veniret ad Icetam consiliarius et socius rerum optimo jam loco constitutarum; naves autem militesque Corinthum remitteret, quippe bello prope jam confecto, prohibiturisque et ad pugnam paratis Carthaginiensibus, si vi ad insulam accedere conarentur. (4) Ut ergo Rhegium appulere Corinthii et in hanc legationem inciderunt, Pœnosque haud procul inde naves in statione tenere viderunt, injuriam quidem sibi factam inique tulerunt, iraque omnes in Icetam, metus pro Siculis incessit, quos cernebant haud dubiæ præmium Icetæ proditionis, Carthaginiensibus tyrannidis propositos. Videbatur autem fieri non posse, ut hic barbarorum classem duplo majorem imminentem superarent et illic copias Icetæ, quibuscum militaturi venissent.

X. Verumtamen ut cum legatis primoribusque Carthaginiensibus congressus est Timoleon, placide respondit, assentiri se ipsorum postulatis, (quid enim posset recusans?) velle tantum se coram Græca et communi societate juncta Rheginorum civitate, his conditionibus sibi propositis approbatisque discedere: id enim et sibi ad securitatem maxime conducturum, et ipsos Carthaginienses eo constantius ea) quæ Syracusanorum causa pollicerentur, conservaturos, si teste populo id promitterent. (2) Hæc ita suggerebat, ut dolo transitum in insulam sibi expediret: ducesque Rheginorum universi hanc ejus machinationem adjuvabant, cupientes Corinthios Sicilia potiri, ut qui a barbarorum vicinitate sibi metuerent. (3) Itaque concione populi advocata, ac ne ad alias res agendas cives digrederentur portis clausis, progressi ad multitudinem, prolixo usi sunt sermone, unusque subinde alteri de eadem re disserendi materiam præbendo rem ad finem non perduxerunt, tempus temere trahentes, ut interea Corinthiorum navibus solvendi spatium esset: detinebantque eo modo Carthaginienses in concione, nihil suspicantes sinistri, cum ipse quoque Timoleon interesset, et jamjam verba facturum se ostenderet. (4) Cui simul ac clam renunciatum est ceteras naves solvisse, unam adhuc ipsum opperiri; per turbam se subducens, occultantibus simul iis qui apud tribunal constiterant Rheginis, ad mare descendit, celeriterque avectus est. (5) Ita Corinthiorum classis Tauromenium Siciliæ urbem appulit, vocata jam pridem receptaque tunc lubentissime ab urbis principe Andromacho. (6) Fuit is pater Timæi historiæ scriptoris, omnium qui tunc in Sicilia regnabant præstantissimus, qui et suis civibus et juste et secundum leges præerat et animum semper præ se ferebat alienum infensumque tyrannis.

ἀλλοτρίως. (7) Διὸ καὶ Τιμολέοντι τότε τὴν πόλιν ὁρμητήριον παρέσχε καὶ τοὺς πολίτας ἔπεισε συναγωνίζεσθαι τοῖς Κορινθίοις καὶ συνελευθεροῦν τὴν Σικελίαν.

XI. Οἱ δ' ἐν τῇ Ῥηγίῳ Καρχηδόνιοι τοῦ Τιμολέοντος ἀνηγμένου καὶ τῆς ἐκκλησίας διαλυθείσης χαλεπῶς φέροντες ἐν τῷ κατεστρατηγῆσθαι διατριβὴν τοῖς Ῥηγίνοις παρεῖχον, εἰ Φοίνικες ὄντες οὐκ ἀρέσκοιντο τοῖς δι' ἀπάτης πραττομένοις. (2) Πέμπουσι δ' οὖν εἰς τὸ Ταυρομένιον πρεσβευτὴν ἐπὶ τριήρους, ὃς πολλὰ διαλεχθεὶς πρὸς τὸν Ἀνδρόμαχον ἐπαχθῶς καὶ βαρβαρικῶς ἀνατεινάμενος, εἰ μὴ τὴν ταχίστην ἐκβάλλει τοὺς Κορινθίους, τέλος ὑπτίαν τὴν χεῖρα δείξας, εἶτ' αὖθις καταστρέψας ἠπείλησε τοιαύτην οὖσαν αὐτῷ τὴν πόλιν τοιαύτην ποιήσειν. (3) Γελάσας δ' ὁ Ἀνδρόμαχος ἄλλο μὲν οὐδὲν ἀπεκρίνατο, τὴν δὲ χεῖρα νῦν μὲν ὑπτίαν, ὡς ἐκεῖνος, νῦν δὲ πρηνῆ προτείνας ἐκέλευσεν ἀποπλεῖν αὐτὸν, εἰ μὴ βούλοιτο τὴν ναῦν ἀντὶ τοιαύτης γενέσθαι τοιαύτην. (4) Ὁ δ' Ἰκέτης πυθόμενος τὴν τοῦ Τιμολέοντος διάβασιν καὶ φοβηθεὶς μετεπέμψατο πολλὰς τῶν Καρχηδονίων τριήρεις. (5) Ὅτε καὶ παντάπασι συνέβη τοὺς Συρακοσίους ἀπογνῶναι τὴν σωτηρίαν ὁρῶντας τοῦ μὲν λιμένος αὐτῶν Καρχηδονίους κρατοῦντας, τὴν δὲ πόλιν Ἰκέτην ἔχοντα, τῆς δ' ἄκρας κυριεύοντα Διονύσιον, Τιμολέοντα δὲ ὥσπερ ἐκ κρασπέδου τινὸς λεπτοῦ τῆς Ταυρομενιτῶν πολίχνης τῇ Σικελίᾳ προσηρτημένον ἐπ' ἐλπίδος ἀσθενοῦς καὶ βραχείας δυνάμεως· χιλίων γὰρ αὐτῷ στρατιωτῶν καὶ τροφῆς τούτοις ἀναγκαίας πλέον οὐδὲν ὑπῆρχεν. (6) Οὐδ' ἐπίστευον αἱ πόλεις διάπλεαι κακῶν οὖσαι καὶ πρὸς ἅπαντας ἀπηγριωμέναι τοὺς ἡγουμένους στρατοπέδων, μάλιστα διὰ τὴν Καλλίππου καὶ Φάρακος ἀπιστίαν, ὧν ὁ μὲν Ἀθηναῖος ὢν, ὁ δὲ Λακεδαιμόνιος, ἀμφότεροι δὲ φάσκοντες ὑπὲρ τῆς ἐλευθερίας ἥκειν καὶ καταλύειν τοὺς μονάρχους, χρυσὸν ἔδειξαν τῇ Σικελίᾳ τὰς ἐν τῇ τυραννίδι συμφορὰς καὶ μακαριωτέρους δοκεῖν ἐποίησαν τοὺς καταστρέψαντας ἐν τῇ δουλείᾳ τῶν ἐπιδόντων τὴν αὐτονομίαν.

XII. Οὐδὲν οὖν ἐκείνων βελτίονα τὸν Κορίνθιον ἔσεσθαι προσδοκῶντες, ἀλλὰ ταῦτα πάλιν ἥκειν πρὸς αὐτοὺς, σοφίσματα καὶ δελεάσματα, μετ' ἐλπίδων χρηστῶν καὶ φιλανθρώπων ὑποσχέσεων εἰς μεταβολὴν δεσπότου καινοῦ τιθασευομένους, ὑπώπτευον καὶ διεκρούοντο τὰς τῶν Κορινθίων προκλήσεις πλὴν Ἀδρανιτῶν, οἳ πόλιν μικρὰν μὲν, ἱερὰν δ' οὖσαν Ἀδρανοῦ, θεοῦ τινος τιμωμένου διαφερόντως ἐν ὅλῃ Σικελίᾳ, κατοικοῦντες ἐστασίασαν πρὸς ἀλλήλους, οἱ μὲν Ἰκέτην προσαγόμενοι καὶ Καρχηδονίους, οἱ δὲ πρὸς Τιμολέοντα διαπεμπόμενοι. (2) Καί πως ἀπ' αὐτομάτου συνέτυχε σπευδόντων ἀμφοτέρων εἰς ἕνα καιρὸν ἀμφοτέροις γενέσθαι τὴν παρουσίαν. Ἀλλ' Ἰκέτης μὲν ἦκε πεντακισχιλίους στρατιώτας ἔχων, Τιμολέοντι δὲ οἱ σύμπαντες ἦσαν οὐ πλείους χιλίων διακοσίων· οὓς ἀναλαβὼν ἐκ τοῦ Ταυρομενίου, σταδίων πρὸς τὸ Ἀδρανὸν ὄντων τετταράκοντα καὶ τριακοσίων, τῇ μὲν πρώτῃ τῶν ἡμερῶν οὐ πολὺ μέρος τῆς ὁδοῦ προέλαβε καὶ κατηυλίσατο, τῇ δ'

(7) Qua de causa tum quoque Timoleonti urbem suam receptaculum exhibuit, civibusque persuasit, ut Corinthiis in liberanda tyrannis Sicilia auxilium ferrent.

XI. At Carthaginienses qui Rhegii erant, avecto Timoleonte, concioneque soluta cum ægre ferrent dolo se inductos, jocandi occasionem Rheginis præbuerunt, quod homines Pœni acta per fraudem vellent reprehendere. (2) Proinde Carthaginienses Tauromenium legatum triremi mittunt, qui importune multa cum Andromacho collocutus, minatusque barbarico more gravia, nisi confestim Corinthios expelleret, tandem manum supinam ei ostendit, eamque rursus demittens, urbem ejus se, quæ talis esset, talem redditurum minitatus est. (3) Ad quod ridens Andromachus, nihil aliud respondit quam, quod manu itidem modo supinata, modo in pronum declinata, jussit abire hominem, nisi navem pro tali effici vellet talem. (4) At Icetes nuncio Timoleontis in Siciliam adventus perterritus, multas Carthaginiensium triremes arcessivit. (5) Quo tempore Syracusanis subiit de sua prorsus salute desperare, cum viderent portum suum a Carthaginiensibus, urbem ab Iceta, a Dionysio arcem teneri, Timoleontem vero tanquam tenui limbo, Tauromenio oppidulo, Siciliæ adhærere, non magna spe et parvis cum copiis : neque enim præter mille milites, et alimenta ad eos sustentandos necessaria, habebat quicquam. (6) Et urbes malis attritæ diffidebant ei, animis contra omnes exercituum duces exasperatis. Quod factum est maxime perfidia Callippi et Pharacis, quorum alter Atheniensis, alter Spartanus fuit; hi enim cum libertatis restituendæ tyrannorumque evertendorum causa uterque se venisse jactassent, auream rem esse calamitatem a tyrannis illatam ostenderant, effecerantque ut melius cum iis existimarent actum, qui in servitute mortem obiissent, quam qui eam libertatem vidissent.

XII. Idcirco Corinthium nihilo illis meliorem futurum opinantes, seque iisdem, quibus ante, peti fraudibus, inescarique promissis blandis bonarum rerum, dum novo domino cicures fierent : omnes Corinthiorum pollicitationes suspectas habuerunt ac repudiarunt, præter Adranitas, qui oppidum, exiguum sane, sacrum Adrano deo per totam Siciliam magnopere culto, habitantes, partium agitabantur contentione, quarum altera Icetam et Carthaginienses vocabat, altera Timoleontem accersebat. (2) Accidit autem fortuito, ut uterque dum festinat, eodem tempore ad oppidum ambo pervenirent. Icetas adducebat quinque millia militum, Timoleon cum mille ac ducentis militibus Tauromenio, unde distat stadiis trecentis quadraginta, profectus, prima die non magna itineris parte confecta, consedit, po-

ὑστεραίᾳ συντόνως ὁδεύσας καὶ χαλεπὰ χωρία διελθὼν ἤδη τῆς ἡμέρας καταφερομένης ἥκουσεν ἄρτι προσμιγνύναι τὸν Ἰκέτην τῷ πολιχνίῳ καὶ καταστρατοπεδεύειν. (3) Οἱ μὲν οὖν λοχαγοὶ καὶ ταξίαρχοι τοὺς πρώτους ἐπέστησαν ὡς ἐμφαγοῦσι καὶ διαναπαυσαμένοις χρησόμενοι προθυμοτέροις, ὁ δὲ Τιμολέων ἐπιπορευόμενος ἐδεῖτο ταῦτα μὴ ποιεῖν, ἀλλ' ἄγειν κατὰ τάχος καὶ συνάπτειν τοῖς πολεμίοις ἀσυντάκτοις οὖσιν ὡς εἰκὸς ἄρτι παυομένους ὁδοιπορίας καὶ περὶ σκηνὰς καὶ δεῖπνον ἀσχόλους ὄντας. Καὶ λέγων ἅμα ταῦτα τὴν ἀσπίδα λαβὼν ἡγεῖτο πρῶτος ὥσπερ ἐπὶ νίκην πρόδηλον. (4) Οἱ δ' εἵποντο τεθαρρηκότες ἔλαττον ἢ τριάκοντα σταδίους ἔτι τῶν πολεμίων ἀπέχοντες. Ὡς δὲ καὶ τούτους διῆλθον, ἐπιπίπτουσιν αὐτοῖς ταραττομένοις καὶ φεύγουσιν ὡς πρῶτον ἤσθοντο προσιόντας, ὅθεν δὴ ἀνῃρέθησαν μὲν οὐ πολλῷ πλείους τριακοσίων, ἑάλωσαν δὲ δὶς τοσοῦτοι ζῶντες, ἑλήφθη δὲ τὸ στρατόπεδον. (5) Οἱ δ' Ἀδρανῖται τὰς πύλας ἀνοίξαντες προσέθεντο τῷ Τιμολέοντι μετὰ φρίκης καὶ θαύματος ἀπαγγέλλοντες, ὡς ἐνισταμένης τῆς μάχης οἱ μὲν ἱεροὶ τοῦ νεὼ πυλῶνες αὐτόματοι διανοιχθεῖεν, ὀφθείη δὲ τοῦ θεοῦ τὸ μὲν δόρυ σειόμενον ἐκ τῆς αἰχμῆς ἄκρας, τὸ δὲ πρόσωπον ἱδρῶτι πολλῷ ῥεόμενον.

XIII. Ταῦτα δ', ὡς ἔοικεν, οὐ τὴν τότε νίκην ἐσήμαινε μόνον, ἀλλὰ καὶ τὰς μετὰ ταῦτα πράξεις, αἷς ἐκεῖνος ὁ ἀγὼν ἀρχὴν εὐτυχῆ παρέσχε. Καὶ γὰρ πόλεις εὐθὺς ἐπιπρεσβευόμεναι προσετίθεντο τῷ Τιμολέοντι καὶ Μάμερκος ὁ Κατάνης τύραννος, πολεμιστὴς ἀνὴρ καὶ χρήμασιν ἐῤῥωμένος, ἔδωκεν αὐτὸν εἰς συμμαχίαν. (2) Τὸ δὲ μέγιστον, αὐτὸς Διονύσιος ἀπειρηκὼς ἤδη ταῖς ἐλπίσι καὶ μικρὸν ἀπολιπὼν ἑκπολιορκεῖσθαι τοῦ μὲν Ἰκέτου κατεφρόνησεν αἰσχρῶς ἡττημένου, τὸν δὲ Τιμολέοντα θαυμάζων ἔπεμψεν ἐκείνῳ καὶ Κορινθίοις παραδιδοὺς αὐτὸν καὶ τὴν ἀκρόπολιν. (3) Δεξάμενος δ' ὁ Τιμολέων τὴν ἀνέλπιστον εὐτυχίαν ἀποστέλλει τοὺς περὶ Εὐκλείδην καὶ Τηλέμαχον, ἄνδρας Κορινθίους, εἰς τὴν ἀκρόπολιν καὶ στρατιώτας τετρακοσίους, οὐχ ὁμοῦ πάντας οὐδὲ φανερῶς, ἀδύνατον γὰρ ἦν ἐφορμούντων πολεμίων, ἀλλὰ κρύφα καὶ κατ' ὀλίγους παρεισπεσόντας. (4) Οἱ μὲν οὖν στρατιῶται παρέλαβον τὴν ἀκρόπολιν καὶ τὰ τυραννεῖα μετὰ τῆς παρασκευῆς καὶ τῶν χρησίμων πρὸς τὸν πόλεμον. (5) Ἵπποι τε γὰρ ἐνῆσαν οὐκ ὀλίγοι καὶ πᾶσα μηχανημάτων ἰδέα καὶ βελῶν πλῆθος, ὅπλων δ' ἀπέκειντο μυριάδες ἑπτὰ τεθησαυρισμένων ἐκ παλαιοῦ, στρατιῶται δὲ δισχίλιοι τῷ Διονυσίῳ παρῆσαν, οὓς ἐκεῖνος, ὡς τἆλλα, τῷ Τιμολέοντι παρέδωκεν, αὐτὸς δὲ χρήματα λαβὼν καὶ τῶν φίλων οὐ πολλοὺς ἔλαθεν ἐκπλεύσας τὸν Ἰκέτην. (6) Καὶ κομισθεὶς εἰς τὸ τοῦ Τιμολέοντος στρατόπεδον τότε πρῶτον ἰδιώτης καὶ ταπεινὸς ὀφθεὶς ἐπὶ μιᾶς νεὼς καὶ χρημάτων ὀλίγων εἰς Κόρινθον ἀπεστάλη, γεννηθεὶς μὲν καὶ τραφεὶς ἐν τυραννίδι τῇ πασῶν ἐπιφανεστάτῃ καὶ μεγίστῃ, κατασχὼν δὲ ταύτην ἔτη δέκα, δώδεκα δ' ἄλλα μετὰ τὴν

stera die magnis itineribus, difficilibusque superatu contendens, vergente jam die accessisse jam ad oppidum et castra facere Icetam accepit. (3) Eo audito centuriones primos sistere gradum jussere, ut corporibus cibo quieteque refectis, alacriores ad pugnam essent milites; at Timoleon circumiens, oravit ne id facerent, sed celeriter ducerent ad hostes, quos consentaneum erat, modo itinere superato, circa tentoria facienda sumendumque cibum occupatos, ad pugnam non esse compositos; simul ipse scuto correpto, princeps agmen, tanquam ad exploratam victoriam, duxit. (4) Milites intrepide secuti ducem, ad hostes aliquanto minus quam triginta stadia adhuc distantes properarunt. Hos ita perturbavere suo impetu, ut extemplo in fugam se conjecerint: itaque non multo plures trecentis occisi sunt, capti sexcenti, capta etiam castra. (5) Adranitæ vero portis apertis Timoleonti se dediderunt, cum horrore et admiratione nunciantes, commisso primum prœlio, sacras templi januas sua sponte apertas fuisse, visamque dei hastam summa cuspide concuti, faciemque sudore fluere.

XIII. Quibus, opinor, non præsens tantum victoria, sed et reliquæ actiones, quibus auspicatum initium ea præbuit, significabantur. Statim enim urbes Timoleonti se missis præconibus adjunxerunt: et Mamercus Catinæ tyrannus, bellicosus vir et pecuniæ vi magna instructus, societatem cum eo coivit. (2) Sed longe omnium fuit maximum, quod Dionysius ipse, jam rebus desperatis ac fere expugnatus, Icetam, turpiter victum contemnens, admiratus Timoleontem, huic et Corinthiis se arcemque dedidit. (3) Quam insperatam fortunam amplexus Timoleon, Euclidem et Telemachum Corinthios in arcem misit ac quadringentos milites, non eos quidem confertim, neque aperte (id enim fieri non poterat, hostibus portum tenentibus), sed occulte aliis post alios intrantibus. (4) Ita milites arcem et tyranni domicilium cum omni apparatu bellique instrumentis occupaverunt. (5) Erant cum haud pauci equi in arce et omnis generis machinæ jaculorumque copia, tum armorum ea multitudo, antiquitus eo congesta, quæ septuaginta millibus hominum armandis sufficeret. Habebat etiam secum Dionysius militium duo millia, quos ipsos etiam, sicut et reliqua omnia, Timoleonti tradidit, ipse accepta secum pecunia et paucis aliquot amicis, clam Iceta navigio insula exiit, (6) et ad Timoleontis castra pervenit; ac tum primum privatus humilisque visus, unica navi parvaque cum pecunia Corinthum missus est, utpote qui natus fuerat educatusque in tyrannide omnium maxima illustrissimaque, quam per decem annos tenuerat, post Dionis expeditionem

Δίωνος στρατείαν ἐν ἀγῶσι καὶ πολέμοις διαφορηθείς, ἃ δ' ἔπραξε τυραννῶν οἷς ἔπαθεν ὑπερβαλόμενος. (7) Καὶ γὰρ υἱῶν ἐνηλίκων θανάτους καὶ θυγατέρων καταπορνεύσεις παρθένων ἐπεῖδε καὶ τὴν αὐτὴν ἀδελφὴν καὶ γυναῖκα ζῶσαν μὲν εἰς τὸ σῶμα ταῖς ἀσελγεστάταις ὑπὸ τῶν πολεμίων ἡδοναῖς παρανομηθεῖσαν, βίᾳ δ' ἀποθανοῦσαν μετὰ τῶν τέκνων, καταποντισθεῖσαν εἰς τὸ πέλαγος. Ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Δίωνος ἀκριβῶς γέγραπται.

XIV. Τοῦ δὲ Διονυσίου καταπλεύσαντος εἰς Κόρινθον οὐδεὶς ἦν Ἑλλήνων, ὃς οὐχὶ θεάσασθαι καὶ προσειπεῖν ἐπόθησεν αὐτόν. (2) Ἀλλ' οἵ τε χαίροντες ἐπὶ ταῖς συμφοραῖς διὰ μῖσος ἄσμενοι συνῆλθον οἷον ἐῤῥιμμένον ὑπὸ τῆς τύχης πατήσοντες, οἵ τε πρὸς τὴν μεταβολὴν τρεπόμενοι καὶ συμπαθοῦντες ἐθεῶντο πολλὴν ἐν ἀσθενέσι τοῖς ἀνθρωπίνοις καὶ προδήλοις τὴν τῶν ἀδήλων αἰτιῶν καὶ θείων δύναμιν. (3) Οὐδὲν γὰρ οὔτε φύσεως ὁ τότε καιρὸς οὔτε τέχνης ὅσον ἐκεῖνο τύχης ἔργον ἐπεδείξατο, τὸν Σικελίας ὀλίγον ἔμπροσθεν τύραννον ἐν Κορίνθῳ διατρίβοντα περὶ τὴν ὀψόπωλιν ἢ καθήμενον ἐν μυροπωλίῳ πίνοντα κεχραμένον ἀπὸ τῶν καπηλείων καὶ διαπληκτιζόμενον ἐν μέσῳ τοῖς ἀφ' ὥρας ἐργαζομένοις γυναίοις, τὰς δὲ μουσουργοὺς ἐν ταῖς ᾠδαῖς διδάσκοντα καὶ περὶ θεατρικῶν ᾀσμάτων ἐρίζειν σπουδάζοντα πρὸς ἐκείνας καὶ περὶ μέλους ἁρμονίας. (4) Ταῦτα δ' οἱ μὲν ἄλλως ἀλύοντα καὶ φύσει ῥᾴθυμον ὄντα καὶ φιλακόλαστον ὤοντο ποιεῖν τὸν Διονύσιον, οἱ δ' ὑπὲρ τοῦ καταφρονεῖσθαι καὶ μὴ φοβερὸν εἶναι τοῖς Κορινθίοις μηδ' ὕποπτον, ὡς βαρυνόμενον τὴν μεταβολὴν τοῦ βίου καὶ πραγμάτων ἐφιέμενον, ἐπιτηδεύειν καὶ ὑποκρίνεσθαι παρὰ φύσιν πολλὴν ἀβελτηρίαν ἐπιδεικνύμενον ἐν τῷ σχολάζειν.

XV. Οὐ μὴν ἀλλὰ καὶ λόγοι τινὲς αὐτοῦ μνημονεύονται, δι' ὧν ἐδόκει συμφέρεσθαι τοῖς παροῦσιν οὐκ ἀγεννῶς. (2) Τοῦτο μὲν γὰρ εἰς Λευκάδα καταχθεὶς, πόλιν ἀπῳκισμένην ὑπὸ Κορινθίων ὥσπερ τὴν Συρακοσίων, ταὐτὸν ἔφη πεπονθέναι τοῖς ἐν ἁμαρτήμασι γενομένοις τῶν νεανίσκων· ὡς γὰρ ἐκεῖνοι τοῖς μὲν ἀδελφοῖς ἱλαρῶς συνδιατρίβουσι, τοὺς δὲ πατέρας αἰσχυνόμενοι φεύγουσιν, οὕτως αὐτὸς αἰδούμενος τὴν μητρόπολιν ἡδέως ἂν αὐτόθι μετ' ἐκείνων κατοικεῖν. (3) Τοῦτο δ' ἐν Κορίνθῳ ξένου τινὸς ἀγροικότερον εἰς τὰς μετὰ τῶν φιλοσόφων διατριβὰς, αἷς τυραννῶν ἔχαιρε, χλευάζοντος αὐτὸν καὶ τέλος ἐρωτῶντος, τί δὴ τῆς Πλάτωνος ἀπολαύσειε σοφίας, « Οὐδὲν, ἔφη, σοὶ δοκοῦμεν ὑπὸ Πλάτωνος ὠφελῆσθαι τύχης μεταβολὴν οὕτω φέροντες; » (4) Πρὸς δὲ τὸν μουσικὸν Ἀριστόξενον καί τινας ἄλλους πυνθανομένους, ὁπόθεν αὐτῷ καὶ τίς ἡ πρὸς Πλάτωνα γένοιτο μέμψις, πολλῶν ἔφη κακῶν τὴν τυραννίδα μεστὴν οὖσαν οὐδὲν ἔχειν τηλικοῦτον, ἡλίκον τὸ μηδένα τῶν λεγομένων φίλων μετὰ παῤῥησίας διαλέγεσθαι· καὶ γὰρ αὐτὸς ὑπ' ἐκείνων ἀποστερηθῆναι τῆς Πλάτωνος εὐνοίας. (5) Ἐπεὶ δὲ τῶν βουλομένων τις εὐφυῶν εἶναι σκώπτων τὸν Διονύσιον ἐξέσεισε τὸ ἱμάτιον εἰσιὼν

duodecim annos certaminibus bellisque fuerat jactatus, et graviora in tyrannide passus iis, quæ aliis intulerat mala. (7) Siquidem et filiorum adultorum cædes et filias virgines constuprari vidit, sororem eandem et uxorem suam ab hostibus vivam libidine turpissima contaminari et vi necatam una cum liberis in mare demergi aspexit; de quibus accurate in Dionis Vita a nobis scriptum est.

XIV. Dionysium vero advectum Corinthum, nemo omnium Græcorum fuit qui non videre et compellare cuperet. (2) Alii ejus calamitatibus odio ipsius gaudentes accedebant, ut abjectum a fortuna veluti conculcarent; alii ad fortunæ mutationem animos suos accommodantes, miserationeque permoti, intuebantur magnam occultarum et divinarum causarum vim, quam in imbecillas et conspicuas exerceret hominum res. (3) Neque enim ea tempestate opus vel naturæ vel artis tale exstitit, quale fortuna in Dionysio exhibuit; nam qui paulo ante Siciliæ fuerat tyrannus, tum Corinthi in foro obsoniorum versabatur, aut in unguentaria taberna sedebat, vinum e caupona dilutum bibens, ac cum meretricibus in publico jocis certans, cantatrices docens, ac cum illis de modulatione et concinnitate scenicarum cantilenarum contendens. (4) Hæc alii ab eo, tanquam homine sine certo consilio otio indulgente ignavoque suapte natura et luxuriæ dedito, fieri putabant; alii, ut contemptum se Corinthiis redderet, neque terrori eis esset, aut suspicionem aliquam præberet, quasi mutationem vitæ ægre ferret et novis rebus studeret, ita se composuisse, contraque naturam suam otio isto soliditatis simulationem induisse existimabant.

XV. Sane dicta quædam ejus memorantur, ex quibus apparet, præsentem vitæ suæ conditionem ita ut erat ingenuo homine dignum, ab eo latam fuisse. (2) Nam Leucadem avectus, quæ colonia itidem, ut Syracusæ, est Corinthiorum, idem sibi evenisse dixit, quod pueris qui aliquid deliquissent; ut enim illi cum fratribus læti conversarentur, parentes pudoris causa fugerent, sic se quoque verecundia urbis Syracusarum matris libenter hic cum Leucadiis fratribus vivere. (3) Corinthi hospiti cuidam incivilius ipsum propter consuetudinem cum philosophis, qua tyrannus adhuc delectatus fuerat, subsannanti, tandemque, quidnam Platonis ipsi sapientia profuisset, interroganti, Nihilne, respondit, tibi videmur fructus a Platone consecuti, qui fortunæ mutationem ita perferimus? (4) Aristoxeno musico aliisque nonnullis ex ipso quærentibus unde et quæ ipsi contra Platonem reprehensio exstitisset: Tyrannis, inquit, cum multorum sit malorum plena, nullum tamen in se tam grave malum habet, quam quod nemo eorum, qui amici nomen usurpant, libere cum tyranno loquitur: hi me Platonis benevolentia spoliarunt. (5) Quidam eorum qui faceti esse vellent, intrans ad Dionysium

πρὸς αὐτὸν, ὡς δὴ πρὸς τύραννον, ἀντισκώπτων ἐκεῖνος ἐκέλευε ταῦτο ποιεῖν ὅταν ἐξίῃ παρ' αὐτοῦ, μή τι τῶν ἔνδον ἔχων ἀπέλθῃ. (6) Φιλίππου δὲ τοῦ Μακεδόνος παρὰ πότον τινὰ λόγον μετὰ εἰρωνείας ἐμβαλόντος περὶ τῶν μελῶν καὶ τῶν τραγῳδιῶν, ἃς ὁ πρεσβύτερος Διονύσιος κατέλιπε, καὶ προσποιουμένου διαπορεῖν, ἐν τίνι χρόνῳ ταῦτα ποιεῖν ἐκεῖνος ἐσχόλαζεν, οὐ φαύλως ἀπήντησεν ὁ Διονύσιος εἰπών· « Ἐν ᾧ σὺ κἀγὼ καὶ πάντες οἱ μακάριοι δοκοῦντες εἶναι περὶ κώθωνα διετρίβομεν. » (7) Πλάτων μὲν οὖν οὐκ ἐπεῖδεν ἐν Κορίνθῳ Διονύσιον, ἀλλ' ἔτυχεν ἤδη τεθνηκώς, ὁ δὲ Σινωπεὺς Διογένης ἀπαντήσας αὐτῷ πρῶτον, « Ὡς ἀναξίως, ἔφη, Διονύσιε, ζῇς. » Ἐπιστάντος δ' ἐκείνου καὶ εἰπόντος· « Εὖ ποιεῖς, ὦ Διόγενες, συναχθόμενος ἡμῖν ἠτυχηκόσι »· « Τί γάρ; εἶπεν ὁ Διογένης, οἴει μέ σοι συναλγεῖν, οὐ διαγανακτεῖν, ὅτι τοιοῦτον ἀνδράποδον ὢν καὶ τοῖς τυραννείοις, ὥσπερ ὁ πατήρ, ἐπιτήδειος ἐγγηράσας ἀποθανεῖν ἐνταῦθα παίζων καὶ τρυφῶν διάγεις μεθ' ἡμῶν; » (8) Ὥστε μοι παραβάλλοντι τούτοις τὰς Φιλίστου φωνὰς, ἃς ἀφίησι περὶ τῶν Λεπτίνου θυγατέρων ὀλοφυρόμενος, ὡς ἐκ μεγάλων ἀγαθῶν τῶν τῆς τυραννίδος εἰς ταπεινὴν ἀφιγμένων δίαιταν, φαίνεσθαι θρήνους γυναικὸς ἀλαβάστρους καὶ πορφύρας καὶ χρυσία ποθούσης. (9) Ταῦτα μὲν οὖν οὐκ ἀλλότρια τῆς τῶν βίων ἀναγραφῆς οὔτε ἄχρηστα δόξειν οἰόμεθα μὴ σπεύδουσι μήτε ἀσχολουμένοις ἀκροατοῖς.

XVI. Τῆς δὲ Διονυσίου δυστυχίας παραλόγου φανείσης οὐχ ἧττον ἡ Τιμολέοντος εὐτυχία τὸ θαυμαστὸν ἔσχεν. Ἐπιβὰς γὰρ Σικελίας ἐν ἡμέραις πεντήκοντα τὴν τ' ἀκρόπολιν τῶν Συρακοσίων παρέλαβε καὶ Διονύσιον εἰς Πελοπόννησον ἐξέπεμψεν. (2) Ὅθεν ἐπιῤῥωσθέντες οἱ Κορίνθιοι πέμπουσιν αὐτῷ δισχιλίους ὁπλίτας καὶ διακοσίους ἱππεῖς, οἳ κομισθέντες ἄχρι Θουρίων τὴν ἐκεῖθεν περαίωσιν ὑπὸ Καρχηδονίων πολλαῖς ναυσὶ κατεχομένης τῆς θαλάττης ἄπορον ὁρῶντες, ὡς ἦν ἀνάγκη καιρὸν περιμένοντας ἀτρεμεῖν αὐτόθι, πρὸς κάλλιστον ἔργον ἀπεχρήσαντο τῇ σχολῇ. (3) Θουρίων γὰρ ἐπὶ Βρεττίους στρατευόντων τὴν πόλιν παραλαβόντες ὥσπερ πατρίδα καθαρῶς καὶ πιστῶς διεφύλαξαν. (4) Ὁ δ' Ἱκέτης τὴν μὲν ἀκρόπολιν τῶν Συρακοσίων ἐπολιόρκει καὶ σῖτον ἐκώλυεν εἰσπλεῖν τοῖς Κορινθίοις, Τιμολέοντι δὲ δύο ξένους παρασκευάσας δολοφονήσοντας αὐτὸν ὑπέπεμψεν εἰς Ἀδρανὸν, οὔτε ἄλλως περὶ τὸ σῶμα συντεταγμένην ἔχοντι φυλακὴν καὶ τότε παντάπασι διὰ τὸν θεὸν ἀνειμένως καὶ ἀνυπόπτως σχολάζοντι μετὰ τῶν Ἀδρανιτῶν. (5) Οἱ δὲ πεμφθέντες κατὰ τύχην πυθόμενοι μέλλοντα θύειν αὐτὸν ἦκον εἰς τὸ ἱερὸν ὑπὸ τοῖς ἱματίοις ἐγχειρίδια κομίζοντες καὶ τοῖς περιεστῶσι τὸν βωμὸν ἀναμιχθέντες ἐγγυτέρω κατὰ μικρὸν ἐπεχείρουν. (6) Καὶ ὅσον οὔπω παρακελευομένων ἀλλήλοις ἐνάρχεσθαι παίει τις αὐτῶν τὸν ἕτερον κατὰ τῆς κεφαλῆς ξίφει, καὶ πεσόντος οὔθ' ὁ παίσας ἔμεινεν οὔθ' ὁ μετὰ τοῦ πληγέντος ἦκων, ἀλλ' ἐκεῖνος μὲν ὥσπερ εἶχε τὸ ξίφος φεύγων πρός τινα πέ-

vestem excutiebat, quomodo solent qui accedunt tyrannos; huic Dionysius cavillum reddens, jussit exuntem idem facere, ne quid forte suffuratus secum auferret. (6) Cum Philippus Macedo in compotatione per jocum de carminibus et tragœdiis, quas Dionysius major reliquerat, mentionem faceret, simularetque se mirari, quodnam ei ad eas componendas tempus vacasset, haud inepte respondit Dionysius, tum temporis eum his rebus vacasse, quo ipse et Philippus, aliique qui beatorum nomine censerentur, cululli sese oblectare consuevissent. (7) Plato quidem non vidit Corinthi versantem Dionysium, ante enim a vivis excesserat. Diogenes vero Sinopensis ut primum ei occurrit, Quam indignam, inquit, te ipso vitam toleras, o Dionysi? Tum Dionysius pedem sistens: Bene, inquit, o Diogenes, qui fortunam nostram miseraris! Cui ille: Quid, tu me tuam vicem dolore censes, ac non potius indignari te tantum mancipium ac dignum, qui in tyrannide, sicut et pater tuus, ætate exacta moriare, hic nobiscum ludentem et luxuriantem degere? (8) Et profecto mihi cum his comparanti Philisti voces, quas de Leptinis filiabus edit, deplorans earum sortem, quæ de magnis tyrannidis bonis ad vitæ conditionem abjectam et sordidam deciderint, voces, inquam, istæ mulierculæ alicujus lamentationes videntur, alabastra et purpuras et aurum desiderantis. (9) Atque hæc quidem a descriptione vitarum non aliena neque inutilia censemus lectorem non properantem neque occupatum aliis negotiis judicaturum.

XVI. Ceterum non minus admirationis meruit Timoleontis, quam Dionysii, inopinata fortuna. Quinquagesimo enim quam in Siciliam venerat die arcem Syracusarum accepit, Dionysiumque Corinthum misit. (2) Qua re animati Corinthii duo millia peditum ac ducentos equites ei miserunt; qui cum in Thurios usque profecti essent, difficillimum inde in Siciliam trajectum sibi fore intelligentes, cum Carthaginienses multis navibus mare tenerent, coacti occasionis exspectandæ causa ibi quiescere, ad pulcherrimum factum otio suo usi sunt. (3) Thuriis enim ad bellum Bruttiis inferendum profectis, urbem sibi commissam ab omni maleficio illæsam summa fide perinde atque patriam suam conservarunt. (4) Icetes autem arcem Syracusanam obsedit ac ne invehi navigiis cibus posset Corinthiis, prohibuit: Timoleonti vero duos milites barbaros submisit Adranum, qui eum dolo necarent; cum alias non exquisita corporis utebatur custodia Timoleon, tum eo tempore inter Adranitas deo colendo intentus animique securus et citra ullam suspicionem versabatur. (5) Itaque cum ii, qui missi erant, forte audivissent eum rem sacram facturum, pugiones sub veste gerentes in templum venerunt, immistique turbæ aram circumstanti, paulatim se propius ad eum receperunt. (6) Jamque in eo erat ut sese mutuo cohortati facinus aggrederentur, quum quidam alterum eorum gladio in caput incusso sternit; eoque corruente, nec percussor restitit nec is qui cum saucio venerat, sed, alter statim ut erat cum gladio, ad saxum quod-

τραν ὑψηλὴν ἀπεπήδησεν, ἕτερος δὲ τοῦ βωμοῦ λαβόμενος ἀδειαν ἠτεῖτο παρὰ τοῦ Τιμολέοντος ἐπὶ τῷ πάντα μηνῦσαι. (7) Καὶ λαβὼν ἐμήνυσε καθ' αὐτοῦ καὶ κατὰ τοῦ τεθνηκότος ὡς πεμφθεῖεν ἐκεῖνον ἀποκτενοῦντες. Ἐν τούτῳ δὲ καὶ τὸν ἀπὸ τῆς πέτρας κατῆγον ἕτεροι βοῶντα μηδὲν ἀδικεῖν, ἀλλ' ἀνῃρηκέναι δικαίως τὸν ἄνθρωπον ὑπὲρ πατρὸς τεθνηκότος, ὃν ἐκεῖνος ἀπεκτονήκοι πρότερον ἐν Λεοντίνοις. (8) Καὶ μαρτυροῦντας εἶχεν ἐνίους τῶν παρόντων θαυμάζοντας ἅμα τῆς τύχης τὴν εὐμηχανίαν, ὡς δι' ἑτέρων ἕτερα κινοῦσα καὶ συνάγουσα πάντα πόρρωθεν καὶ συγκαταπλέκουσα τοῖς πλεῖστον διαφέρειν δοκοῦσι καὶ μηδὲν ἔχειν πρὸς ἄλληλα κοινὸν ἀεὶ τοῖς ἀλλήλων χρῆται καὶ τέλεσι καὶ ἀρχαῖς. (9) Τὸν μὲν οὖν ἄνθρωπον ἐστεφάνωσαν οἱ Κορίνθιοι δέκα μναῖς, ὅτι τῷ φυλάττοντι δαίμονι τὸν Τιμολέοντα πάθος ἔχρησε δίκαιον καὶ τὸν ἐκ πολλοῦ παρόντα θυμὸν αὐτῷ πρότερον οὐ κατανάλωσεν, ἀλλὰ μετ' αἰτίας ἰδίας πρὸς τὴν ἐκείνου σωτηρίαν ἀπὸ τύχης διετήρησεν. (10) Ἡ δ' εἰς τὸν παρόντα καιρὸν εὐτυχία καὶ πρὸς τὰ μέλλοντα ταῖς ἐλπίσιν ἐπῆρεν ὁρῶντας ὡς ἱερὸν ἄνδρα καὶ σὺν θεῷ τιμωρὸν ἥκοντα τῇ Σικελίᾳ τὸν Τιμολέοντα σέβεσθαι καὶ φυλάττειν.

XVII. Ὡς δὲ ταύτης διήμαρτε τῆς πείρας ὁ Ἰκέτης καὶ πρὸς Τιμολέοντα πολλοὺς ἑώρα συνισταμένους, μεμψάμενος αὐτὸς ἑαυτὸν, ὅτι τηλικαύτης παρούσης τῆς Καρχηδονίων δυνάμεως ὥσπερ αἰσχυνόμενος αὐτῇ κατὰ μικρὰ χρῆται καὶ λάθρα κλέπτων καὶ παρεισάγων τὴν συμμαχίαν, μετεπέμπετο Μάγωνα τὸν στρατηγὸν αὐτῶν μετὰ τοῦ στόλου παντός. (2) Ὁ δὲ εἰσέπλει φοβερὸς ναυσὶ πεντήκοντα καὶ ἑκατὸν καταλαμβάνων τὸν λιμένα, πεζῶν δὲ μυριάδας ἓξ ἀποβιβάζων καὶ καταστρατοπεδεύων ἐν τῇ πόλει τῶν Συρακοσίων, ὥστε πάντας οἴεσθαι τὴν πάλαι λεγομένην καὶ προσδοκωμένην ἐκβαρβάρωσιν ἥκειν ἐπὶ τὴν Σικελίαν. (3) Οὐδέποτε γὰρ Καρχηδονίοις ὑπῆρξε πρότερον μυρίους πολεμήσασι πολέμους ἐν Σικελίᾳ λαβεῖν τὰς Συρακούσας, ἀλλὰ τότε δεξαμένου τοῦ Ἰκέτου καὶ παραδόντος ἦν ὁρᾶν τὴν πόλιν στρατόπεδον βαρβάρων οὖσαν. (4) Οἱ δὲ τὴν ἀκρόπολιν τῶν Κορινθίων κατέχοντες ἐπισφαλῶς καὶ χαλεπῶς ἀπῄλλαττον, τροφῆς μὲν ἱκανῆς οὐκ ἔτι παρούσης, ἀλλ' ἐνδεόμενοι διὰ τὸ φρουρεῖσθαι τοὺς λιμένας, ἀεὶ δὲ ἐν ἀγῶσι καὶ μάχαις περὶ τὰ τείχη καὶ πρὸς πᾶν μηχάνημα καὶ πρὸς πᾶσαν ἰδέαν πολιορκίας μερίζοντες αὐτούς.

XVIII. Οὐ μὴν ἀλλ' ὁ Τιμολέων παρεβοήθει σῖτον ἐκ Κατάνης μικραῖς ἁλιάσι καὶ λεπτοῖς ἀκατίοις ἀποστέλλων, ἃ μάλιστα χειμῶνι παρεισέπιπτε διὰ τῶν βαρβαρικῶν τριήρων ὑποπορευόμενα πρὸς τὸν κλύδωνα καὶ τὸν σάλον ἐκείνων διισταμένων. (2) Ἃ δὴ συνορῶντες οἱ περὶ τὸν Μάγωνα καὶ τὸν Ἰκέτην ἐβούλοντο τὴν Κατάνην ἑλεῖν, ἐξ ἧς ἔπλει τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις· καὶ λαβόντες τῆς δυνάμεως τὴν μαχιμωτάτην ἐξέπλευσαν ἐκ τῶν Συρακουσῶν. (3) Ὁ δὲ

dam sublime se cursu proripuit, alter aram complexus impunitatem a Timoleonte petit, omnia se indicaturum pollicitus. (7) Eamque dante Timoleonte, fatetur se cum altero qui nunc interfectus esset, submissum, ut ipsum occideret. Interim alter de saxo a quibusdam abreptus, adductusque vociferatur nihil se peccasse, sed jure hominem trucidasse, qui patrem ipsius ante apud Leontinos interfecisset. (8) Habebatque ejus rei nonnullos ex præsentibus testes, qui simul fortunæ admirabantur sollertiam, alias per alias res moventis et omnia e longinquo producentis atque inter se contexentis, rebusque diversissimis et nihil inter se habentibus commune eadem principia eosdemque fines accommodantis. (9) Et hunc quidem Corinthii decem minis donaverunt, quod numini Timoleontis curam gerenti iram accommodaverit justam eamque dudum conceptam, nec pridem exsaturasset, sed magna fortuna suam causam eo usque reservasset, dum simul et salutem Timoleonti afferret. (10) Atque præsens ea fortuna bonam spem etiam futurorum injecit, et in veneratione habendum sibi omnes custodiendumque Timoleontem censebant, virum scilicet sacrosanctum et deorum voluntate ad vindicandam Siciliam missum.

XVII. Icetes autem hoc suo conatu frustratus, cum videret multos Timoleonti accedere, succensens sibi ipsi, qui tantis Carthaginiensium copiis ita uteretur hactenus, quasi earum puderet ipsum, ac clam furtimque ab illis auxilia introduceret, Magonem ducem cum tota classe Syracusas accersivit. (2) Mago classe centum et quinquaginta navium terribilis, portum occupavit; in urbem vero millia peditum sexaginta eduxit, atque castra in urbe Syracusarum collocavit, ut omnibus jam videretur fore, id quod dudum ferebatur metuebaturque, ut Sicilia plane in potestatem barbarorum veniret. (3) Nunquam enim Carthaginienses, innumeris quidem gestis in Sicilia bellis, Syracusas capere potuerant; tunc vero recipiente eos et tradente urbem Iceta, videbatur urbs castra barbarorum. (4) Corinthii autem in arce collocati, magno erant in periculo, summisque premebantur difficultatibus; nam et cibi penuria ingruebat portibus obsessis, et continentibus pro defendendis muris certaminibus atque pugnis, divisi ad omne genus propugnandi defatigabantur.

XVIII. Tulit tamen his opem Timoleon piscatoriis naviculis ac lintribus cibum Catina subvehens, quæ maxime orta tempestate per barbarorum naves fluctibus et æstu disjectas intrabant. (2) Quod animadvertentes Icetes et Mago, Catinam, unde commeatus obsessis afferebatur, statuerunt capere: copiarumque robore delecto Syracusis avecti sunt. (3) At Neo Corinthius, dux eorum qui obside-

Κορίνθιοις Νέων (οὗτος γὰρ ἦν ἀρχων τῶν πολιορκουμένων) κατιδὼν ἀπὸ τῆς ἄκρας τοὺς ὑπολελειμμένους τῶν πολεμίων ἀργῶς καὶ ἀμελῶς φυλάττοντας ἐξαίφνης ἐπέπεσε διεσπαρμένοις αὐτοῖς· καὶ τοὺς μὲν ἀνελὼν, τοὺς δὲ τρεψάμενος ἐκράτησε καὶ κατέσχε τὴν λεγομένην Ἀχραδινὴν, ὃ κράτιστον ἐδόκει καὶ ἀθραυστότατον ὑπάρχειν τῆς Συρακοσίων μέρος πόλεως τρόπον τινὰ συγκειμένης καὶ συνηρμοσμένης ἐκ πλειόνων πόλεων. (4) Εὐπορήσας δὲ καὶ σίτου καὶ χρημάτων οὐκ ἀφῆκε τὸν τόπον οὐδ' ἀνεχώρησε πάλιν ἐπὶ τὴν ἄκραν, ἀλλὰ φραξάμενος τὸν περίβολον τῆς Ἀχραδινῆς καὶ συνάψας τοῖς ἐρύμασι πρὸς τὴν ἀκρόπολιν διεφύλαττε. (5) Τοὺς δὲ περὶ τὸν Μάγωνα καὶ τὸν Ἰκέτην ἐγγὺς ἤδη τῆς Κατάνης ὄντας ἱππεῖς ἐκ Συρακουσῶν καταλαβὼν ἀπήγγειλε τὴν ἅλωσιν τῆς Ἀχραδινῆς. Καὶ συνταραχθέντες ἀνεχώρησαν διὰ ταχέων οὔτε λαβόντες ἐφ' ἣν ἐξῆλθον οὔτε φυλάξαντες ἣν εἶχον.

XIX. Ταῦτα μὲν οὖν ἔτι τῇ προνοίᾳ καὶ ἀρετῇ δίδωσί τινα πρὸς τὴν τύχην ἀμφισβήτησιν· τὸ δ' ἐπὶ τούτοις γενόμενον παντάπασιν ἔοικε συμβῆναι κατ' εὐτυχίαν. (2) Οἱ γὰρ ἐν τοῖς Θουρίοις διατρίβοντες στρατιῶται τῶν Κορινθίων ἅμα μὲν δεδιότες τὰς Καρχηδονίων τριήρεις, αἳ παρεφύλαττον αὐτοὺς μετὰ Ἄννωνος, ἅμα δ' ἐφ' ἡμέρας πολλὰς ἐξηγριωμένης ὑπὸ πνεύματος τῆς θαλάττης, πεζῇ διὰ Βρεττίων ὥρμησαν πορεύεσθαι· καὶ τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι τοὺς βαρβάρους εἰς Ῥήγιον κατέβαινον ἔτι πολὺν χειμῶνα τοῦ πελάγους ἔχοντος. (3) Ὁ δὲ τῶν Καρχηδονίων ναύαρχος, ὡς οὐ προσεδόκα τοὺς Κορινθίους καὶ μάτην ᾤετο καθῆσθαι, πείσας αὐτὸς ἑαυτὸν νενοηκέναι τι τῶν σοφῶν καὶ πανούργων πρὸς ἀπάτην, στεφανώσασθαι τοὺς ναύτας κελεύσας καὶ κοσμήσας τὰς τριήρεις ἀσπίσιν Ἑλληνικαῖς καὶ φοινικίσιν, ἔπλει πρὸς τὰς Συρακούσας. (4) Καὶ παρὰ τὴν ἀκρόπολιν χρώμενος ῥοθίῳ μετὰ κρότου καὶ γέλωτος ἐβόα τοὺς Κορινθίους ἥκειν νενικηκὼς καὶ κεχειρωμένος ἐν τῇ θαλάττῃ λαβὼν διαπλέοντας, ὡς δή τινα δυσθυμίαν τοῖς πολιορκουμένοις παρέξων. (5) Ἐκείνου δὲ ταῦτα ληροῦντος καὶ φενακίζοντος ἐκ τῶν Βρεττίων καταβεβηκότες οἱ Κορίνθιοι εἰς τὸ Ῥήγιον, ὡς οὐδεὶς παρεφύλαττε καὶ τὸ πνεῦμα κατεσβεσμένον παραλόγως ἀκύμονα τὸν πόρον ἰδεῖν καὶ λεῖον παρεῖχε, ταχὺ πληρώσαντες τὰ πορθμεῖα καὶ τὰς ἁλιάδας τὰς παρούσας ἀνήγοντο καὶ διεκομίζοντο πρὸς τὴν Σικελίαν οὕτως ἀσφαλῶς καὶ διὰ τοσαύτης γαλήνης, ὥστε τοὺς ἵππους παρὰ τὰ πλοῖα παρανηχομένους ἐκ ῥυτήρων ἑφέλκεσθαι.

XX. Περαιωθέντων δὲ πάντων ὁ Τιμολέων δεξάμενος αὐτοὺς τήν τε Μεσσήνην εὐθὺς εἶχε καὶ συνταξάμενος ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας οἷς εὐτύχει καὶ κατώρθου μᾶλλον ἢ τῇ δυνάμει πεποιθώς· οὐ γὰρ ἦσαν οἱ σὺν αὐτῷ πλείους τετρακισχιλίων. (2) Ἀγγελλομένης δὲ τῆς ἐφόδου τῷ Μάγωνι θορυβούμενος καὶ δεδοικὼς ἔτι μᾶλλον εἰς ὑποψίαν ἦλθεν ἐκ τοιαύτης προφάσεως. Ἐν τοῖς περὶ τὴν πόλιν τενάγεσι, bantur, conspicatus ab arce hostes qui relicti erant custodias segniter negligenterque agere, subito in palantes impetum fecit, cæsisque aliis, aliis fugatis, Achradinam occupavit, quæ Syracusarum pars esse videbatur validissima et optima: a est enim urbs Syracusana ex multis quodammodo oppidis compacta. (4) Ibi cum et alimentorum et pecuniæ magnam copiam reperisset, locum hunc non deseruit neque in arcem se recepit, sed Achradinæ mœnia communivit, propugnaculisque excitatis arci annexam custodivit (5) Magonem vero et Icetam jam Catinæ appropinquantes eques Syracusanus assecutus, captam esse Achradinam docuit: quo nuncio perturbati, celeriter reverterunt, neque capta ea urbe, quam petierant, et quam tenuerant, amissa.

b XIX. Atque hæc quidem hactenus gesta prudentiæne et virtuti, an vero fortunæ imputanda sint, habet res controversiam: quod hæc consecutum est, omnino fortunæ acceptum fieri debet. (2) Milites Corinthii, qui in Thuriis commorabantur, cum metu triremium Carthaginiensium, quæ duce Annone ipsos observabant, tum quod forte permultos dies mare venti agitabant, terrestri itinere per Bruttios pergere statuerunt; ac partim verbis, partim vi transitu per barbaros patefacto, Rhegium pervenerunt, mare adhuc tempestate vehementi tenente. (3) Tum navium Carthaginiensium præfectus, ut neque exspectavit ulterius Corinthios et frustra ibi se desidere censuit, persuadens ipse sibi, c ad decipiendum hostem se callidum et sapiens invenisse quiddam, nautas coronari jussit, triremesque suas Græcis scutis et sagis puniceis exornavit, atque Syracusas advectus est. (4) Et juxta arcem impetuosius navigans, cum plausu risuque clamavit, venire se devictis Corinthiis, quos trajicere ausos in mari deprehendisset, sperans, eo se mœstitiam obsessis allaturum. (5) Annone ad hunc modum ineptis præstigiis nugisque intento, interim Corinthii, qui per Bruttios Rhegium pervenerant, nemine fretum custod diente, cum ventus etiam subito concidisset, fretumque fluctibus vacuum et placidum appareret, celeriter lembis et piscatoriis naviculis, quæ ad manum erant, conscensis trajecerunt in Siciliam: tantaque sunt usi tranquillitate, ut juxta naves equi tranarint loris tracti.

XX. Transvectos Timoleon ad se recepit omnes, statimque Messanam occupavit; inde compositum agmen Syracusas versum duxit, fortunæ et rebus bene gestis magis, quam copiis fidens: neque enim amplius quattuor millibus secum habebat. (2) Magoni, ubi adventus ejus annunciatus est, perturbatus, sibique metuens, in majorem adhuc suspicionem tali occasione venit. In paludibus circa urbem e

πολὺ μὲν ἐκ χρηνῶν πότιμον ὕδωρ, πολὺ δ' ἐξ ἑλῶν καὶ ποταμῶν καταῤῥεόντων εἰς τὴν θάλατταν δεχομένοις, πλῆθος ἐγχέλεων νέμεται καὶ δαψίλεια τῆς ἄγρας τοῖς βουλομένοις ἀεὶ πάρεστι. (3) Ταύτας οἱ παρ' ἀμφοτέρων μισθοῦ στρατευόμενοι σχολῆς οὔσης καὶ ἀνοχῶν συνεθήρευον. Οἷα δ' Ἕλληνες ὄντες καὶ πρὸς ἀλλήλους οὐκ ἔχοντες ἰδίων ἀπεχθειῶν πρόφασιν ἐν μὲν ταῖς μάχαις διεκινδύνευον εὐρώστως, ἐν δὲ ταῖς ἀνοχαῖς προσφοιτῶντες ἀλλήλοις διελέγοντο. (4) Καὶ τότε κοινὸν περὶ τὴν ἁλιείαν ἔχοντες ἔργον ἐν λόγοις ἦσαν, θαυμάζοντες τῆς θαλάσσης τὴν εὐφυίαν καὶ τῶν χωρίων τὴν κατασκευήν. Καί τις εἶπε τῶν παρὰ τοῖς Κορινθίοις στρατευομένων· « Τοσαύτην μέντοι τὴν πόλιν τὸ μέγεθος καὶ τοσούτοις ἐξησκημένην καλοῖς ὑμεῖς Ἕλληνες ὄντες ἐκβαρβαρῶσαι προθυμεῖσθε τοὺς κακίστους καὶ φονικωτάτους Καρχηδονίους ἐγγυτέρω κατοικίζοντες ἡμῶν, πρὸς οὓς ἔδει πολλὰς εὔχεσθαι Σικελίας προκεῖσθαι τῆς Ἑλλάδος· ἢ δοκεῖτε τούτους στρατὸν ἀγείραντας ἀπὸ στηλῶν Ἡρακλείων καὶ τῆς Ἀτλαντικῆς ἥκειν θαλάττης δεῦρο κινδυνεύσοντας ὑπὲρ τῆς Ἰκέτου δυναστείας; ὃς εἰ λογισμὸν εἶχεν ἡγεμόνος, οὐκ ἂν ἐξέβαλε τοὺς πατέρας οὐδ' ἐπῆγε τῇ πατρίδι τοὺς πολεμίους, ἀλλὰ καὶ τιμῆς καὶ δυνάμεως ἐτύγχανεν, ὅσης πρέπει, Κορινθίους καὶ Τιμολέοντα πείσας. » (5) Τούτους τοὺς λόγους οἱ μισθοφόροι διεθρόησαν ἐν τῷ στρατοπέδῳ καὶ παρέσχον ὑποψίαν τῷ Μάγωνι προδίδοσθαι, χρῄζοντι πάλαι προφάσεως. (6) Διὸ καὶ δεομένου τοῦ Ἰκέτου παραμένειν καὶ διδάσκοντος, ὅσῳ βελτίονες εἰσὶ τῶν πολεμίων, μᾶλλον οἰόμενος ἀρετῇ καὶ τύχῃ λείπεσθαι Τιμολέοντος ἢ πλήθει δυνάμεως ὑπερβάλλειν, ἅρας εὐθὺς ἀπέπλευσεν εἰς Λιβύην, αἰσχρῶς κατ' οὐδένα λογισμὸν ἀνθρώπινον ἐκ τῶν χειρῶν ἀφεὶς Σικελίαν.

XXI. Τῇ δ' ὑστεραίᾳ παρῆν ὁ Τιμολέων ἐπὶ μάχην συντεταγμένος. Ὡς δὲ τὴν φυγὴν ἐπυνθάνοντο καὶ τὴν ἐρημίαν ἑώρων τῶν νεωρίων, γελᾶν αὐτοῖς ἐπῆλθε τὴν ἀνανδρίαν τοῦ Μάγωνος καὶ περιιόντες ἐκήρυττον ἐν τῇ πόλει μήνυτρα τῷ φράσαντι τὸν Καρχηδονίων στόλον ὅπῃ σφᾶς ἀποδέδρακεν. (2) Οὐ μὴν ἀλλὰ τοῦ Ἰκέτου φιλομαχοῦντος ἔτι καὶ τὴν λαβὴν οὐ προϊεμένου τῆς πόλεως, ἀλλὰ ἐμπεφυκότος οἷς κατεῖχε μέρεσι καρτεροῖς οὖσι καὶ δυσπροσμάχοις, διελὼν ὁ Τιμολέων τὴν δύναμιν αὐτὸς μὲν ἧ βιαιότατον ἦν παρὰ τὸ ῥεῖθρον τοῦ Ἀνάπου προσέβαλλεν, ἄλλους δ' ἐκ τῆς Ἀχραδινῆς ἐκέλευεν ἐπιχειρεῖν, ὧν Ἰσίας ἡγεῖτο ὁ Κορίνθιος. (3) Τοὺς δὲ τρίτους ὑπῆγον ἐπὶ τὰς Ἐπιπολὰς Δείναρχος καὶ Δημάρετος οἱ τὴν ὑστέραν ἀγαγόντες ἐκ Κορίνθου βοήθειαν. Ἅμα δὲ καὶ πανταχόθεν τῆς ἐφόδου γενομένης καὶ τῶν περὶ τὸν Ἰκέτην ἀνατραπέντων καὶ φευγόντων, τὸ μὲν ἁλῶναι τὴν πόλιν κατ' ἄκρας καὶ γενέσθαι ταχέως ὑποχείριον ἐκπεσόντων τῶν πολεμίων δίκαιον ἀναθεῖναι τῇ τῶν μαχομένων ἀνδραγαθίᾳ καὶ τῇ δεινότητι τοῦ στρατηγοῦ, τὸ δὲ μὴ ἀποθανεῖν τινα μηδὲ τρωθῆναι τῶν Κορινθίων ἴδιον ἔργον αὐτῆς ἡ Τι-

quæ multam fontanam aquam potabilem, multam etiam e stagnis et fluviis ad mare defluentibus excipiunt, magnus est anguillarum proventus, ac quolibet ibi tempore largiter capi a quovis possunt. (3) Has mercenarii utriusque partis milites per otium et inducias venabantur : ut autem erant Græci, neque privatorum ullas habebant odiorum causas, in prœliis strenue pugnabant, factis induciis congredi inter se et confabulari solebant. (4) Tum quoque piscationi ex æquo vacantes, collocuti sunt, maris ejus pulchrum et commodum situm, locorumque naturam admirantes. Ac quidam e Corinthiorum stipendiariis, Vos autem, inquit, cum sitis Græci, tantam urbem, totque bonis instructam, barbaris in servitutem tradere, pessimosque et crudelissimos Carthaginienses nobis viciniores reddere studetis; contra quos, ut Græcia plures adhuc objectas haberet Siciliæ, optandum erat. An eos tantis collectis copiis venire a columnis usque Herculis et Atlantico mari putatis, ut pro Icetæ principatu bellum gerant? cui si mens ducis fuisset, non sane majores suos expulisset, neque hostes in patriam adduxisset, sed a Corinthiis et Timoleonte quantum æquum fuisset ipsum habere honoris potentiæque impetrasset. (5) Hic sermo a militibus per castra divulgatus, Magoni jamdudum occasionem aliquam discedendi quærenti, ansam prœbuit suspicandi se proditum. (6) Quamobrem Iceta, ut maneret, rogante, ac quantum hosti præstarent viribus, docente, ratus non tam se a copiis instructiorem, quam virtute et fortuna inferiorem esse, turpiter nullumque homine dignum secutus consilium, emissa e manibus Sicilia, subito solvit et in Africam navigavit.

XXI. Postridie adfuit Timoleon, suosque in acie constituit; ut vero de fuga resciverunt, navaliaque deserta conspexere, ridere subiit timiditatem Magonis, circumeuntesque in urbe præmium ei qui indicasset quonam classis Carthaginiensium ipsos fugiens pervenisset, polliciti sunt. (2) Iceta tamen etiamnum in contentione perseverans, cum urbis potiundæ facultatem non præberet, sed partibus quas tenuerat validis et oppugnatu difficilibus inhæreret, Timoleon copias partitus qua maxime vi opus erat, juxta Anapum flumen urbem aggressus est : alios, duce Isia Corinthio, ab Achradina eam adoriri jussit. (3) Cum tertia parte Dinarchus et Demaratus, qui posteriores copias Corintho adduxerant, ad Epipolas subiverunt. Undique eodem momento factus est impetus, versoque in fugam Iceta cum suis, continuo ejectis hostibus penitus captæ sunt Syracusæ. Atque id quidem fortitudini pugnantium Corinthiorum et ducis strenuitati adscribi merito debet; quod autem nemo Corinthiorum ipsorum neque perlit,

μολέοντος ἐπεδείξατο τύχη, καθάπερ διαμιλλωμένη πρὸς τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἵνα τῶν ἐπαινουμένων αὐτοῦ τὰ μακαριζόμενα μᾶλλον οἱ πυνθανόμενοι θαυμάζωσιν. (4) Οὐ γὰρ μόνον Σικελίαν πᾶσαν οὐδ' Ἰταλίαν εὐθὺς ἡ φήμη κατέσχεν, ἀλλ' ἡμερῶν ὀλίγων ἡ Ἑλλὰς διήκει τὸ μέγεθος τοῦ κατορθώματος, ὥστε τὴν τῶν Κορινθίων πόλιν ἀπιστοῦσαν, εἰ διαπέπλευκεν ὁ στόλος, ὁμοῦ καὶ σεσωσμένους καὶ νενικηκότας ἀκούειν τοὺς ἄνδρας. Οὕτως εὐρόησαν αἱ πράξεις καὶ τοσοῦτο τῷ κάλλει τῶν ἔργων τὸ τάχος ἡ τύχη προσέθηκεν.

XXII. Γενόμενος δὲ τῆς ἄκρας κύριος οὐκ ἔπαθε Δίωνι ταὐτὸ πάθος οὐδ' ἐφείσατο τοῦ τόπου διὰ τὸ κάλλος καὶ τὴν παλυτέλειαν τῆς κατασκευῆς, ἀλλὰ τὴν ἐκεῖνον διαβαλοῦσαν, εἶτ' ἀπολέσασαν ὑποψίαν φυλαξάμενος ἐκήρυξε τῶν Συρακοσίων τὸν βουλόμενον παρεῖναι μετὰ σιδήρου καὶ συνεφάπτεσθαι κατασκαπτομένων τῶν τυραννικῶν ἐρυμάτων. (2) Ὡς δὲ πάντες ἀνέβησαν ἀρχὴν ἐλευθερίας ποιησάμενοι βεβαιοτάτην τὸ κήρυγμα καὶ τὴν ἡμέραν ἐκείνην, οὐ μόνον τὴν ἄκραν, ἀλλὰ καὶ τὰς οἰκίας καὶ τὰ μνήματα τῶν τυράννων ἀνέτρεψαν καὶ κατέσκαψαν. Εὐθὺς δὲ τὸν τόπον συνομαλύνας ἐνῳκοδόμησε τὰ δικαστήρια χαριζόμενος τοῖς πολίταις καὶ τῆς τυραννίδος ὑπερτέραν ποιῶν τὴν δημοκρατίαν. (3) Ἐπεὶ δὲ τὴν πόλιν ἅλων οὐκ εἶχε πολίτας, ἀλλὰ τῶν μὲν ἐν τοῖς πολέμοις καὶ ταῖς στάσεσι διαφθαρέντων, τῶν δὲ τὰς τυραννίδας
247 φευγόντων, ἡ μὲν ἐν Συρακούσαις ἀγορὰ δι' ἐρημίαν a οὕτως πολλὴν καὶ βαθεῖαν ἐξέφυσεν ὕλην, ὥστε τοὺς ἵππους ἐν αὐτῇ κατανέμεσθαι τῶν ἱπποκόμων ἐν τῇ χλόῃ κατακειμένων, αἱ δὲ ἄλλαι πόλεις πλὴν παντελῶς ὀλίγων ἐλάφων ἐγένοντο μεσταὶ καὶ συῶν ἀγρίων, ἐν δὲ τοῖς προαστείοις καὶ περὶ τὰ τείχη πολλάκις οἱ σχολὴν ἄγοντες ἐκυνηγέτουν, ὑπήκουε δ' οὐδεὶς τῶν ἐν τοῖς ἐρύμασι καὶ φρουρίοις κατοικούντων οὐδὲ κατέβαινον εἰς τὴν πόλιν, ἀλλὰ φρίκη καὶ μῖσος εἶχε πάντας ἀγορᾶς καὶ πολιτείας καὶ βήματος, ἐξ ὧν ἀνέφυσαν αὐτοῖς οἱ πλεῖστοι τῶν τυράννων, ἔδοξε τῷ Τιμολέοντι καὶ τοῖς Συρακοσίοις γράψαι πρὸς τοὺς Κορινθίους, ὅπως πέμψωσιν οἰκήτορας εἰς τὰς Συρακούσας ἐκ τῆς Ἑλλάδος. (4) Ἦν τε γὰρ χώρα σχολάζειν ἔμελλε καὶ b πολὺν πόλεμον ἐκ Λιβύης προσεδέχοντο πυνθανόμενοι τοὺς Καρχηδονίους τοῦ μὲν Μάγωνος ἑαυτὸν ἀνελόντος ἀνεσταυρωκέναι τὸ σῶμα διὰ τὴν στρατηγίαν ὀργισθέντας, αὐτοὺς δὲ συνάγειν μεγάλην δύναμιν ὡς ἔτους ὥρᾳ διαβησομένους εἰς Σικελίαν.

XXIII. Τῶν δὲ γραμμάτων τούτων παρὰ τοῦ Τιμολέοντος κομισθέντων καὶ πρέσβεων ἅμα παρόντων Συρακοσίων καὶ δεομένων ἐπιμεληθῆναι τῆς πόλεως καὶ γενέσθαι πάλιν ἐξ ὑπαρχῆς οἰκιστὰς, οὐχ ἥρπασαν οἱ Κορίνθιοι τὴν πλεονεξίαν οὐδὲ προσεποίησαν αὑτοῖς τὴν πόλιν, ἀλλὰ πρῶτον μὲν ἐπιόντες τοὺς ἱεροὺς ἀγῶνας Ἑλλάδι καὶ τὰς μεγίστας τῶν πανηγύρεων ἀνηγόρευον c ὑπὸ κηρύκων, ὅτι Κορίνθιοι καταλελυκότες τὴν ἐν Συ-

neque vulnus accepit, Timoleontis fortunæ opus est, certare quodammodo cum virtute ejus visæ, ut majorem apud eos, qui hoc audirent, admirationem ea propter quæ beatus prædicaretur, quam quorum causa laudem meritus erat invenirent. (4) Neque enim Siciliam modo et Italiam omnem confestim fama implevit, sed intra paucos dies Græcia magnitudinem rei gestæ celebravit : adeo ut Corinthii dubitantes adhuc, an classis in Siciliam appulisset, simul et salvos suos in Siciliam pervenisse, et victores esse acceperint. Tantus erat successus, tantam rerum gestarum pulchritudini celebritatem fortuna addente.

XXII. Arce potitus Timoleon, non, quod Dioni acciderat, parcendum ei propter elegantiam loci, magnificentiamque operum statuit, sed cavens sibi ab ea, quæ Dionem calumniis objecerat, et ad extremum exitio fuit, suspicione, Syracusanis edixit, ut quibus esset volentibus, cum instrumentis ferreis adessent, una demoliturі tyrannorum propugnaculum. (2) Ascenderunt eo universi, certissimumque libertatis principium edictum et diem illum putantes, non arcem modo, sed et domos et monumenta tyrannorum everterunt et solo æquarunt. Statim complanavit locum, in eoque ædificavit Curiam in qua judicia celebrarentur, gratificans ea in re civibus et popularem reipublicæ statum supra tyrannidem collocans. (3) Ceterum urbe potitus, cives eum defecerunt, aliis per bella ac seditiones absumptis, aliis propter tyrannes in exsilium profectis; ac tanta fuit Syracusis solitudo, ut magna in foro ac densa enata fuerit herba fruticesque, in quibus equi tum pascebantur, equisonibus in herba decumbentibus; reliquæ urbes, paucis admodum exceptis, cervorum erant et aprorum plenæ, in suburbanis et circum muros sæpe otiosi homines venabantur. Neque eorum, qui in arcibus et castellis habitabant, quisquam vocanti in urbem obtemperabat, sed horrebant omnes oderantque forum, rempublicam et tribunal, unde plerique ipsis tyranni exstitissent. Propterea visum est Timoleonti et Syracusanis Corinthum scribere ac petere, ut e Græcia coloni Syracusas mitterentur. (4) Alioquin et fore videbant ut agri non colerentur et impendere magnum ex Africa bellum putabant : allatum enim erat, Carthaginienses Magoni ob bellum male administratum iratos, corpus ejus (nam mortem sibi ipse consciverat) in crucem egisse, magnasque conducere copias, quas appetente vere in Siciliam trajicerent.

XXIII. Corinthii, ut redditæ sunt ipsis literæ Timoleontis, simul præsentibus legatis Syracusanis eos obtestantibus ut curam gererent civitatis ac denuo eam conderent, non arripuerunt Corinthii oblatam potentiæ suæ augendæ opportunitatem, neque urbem illam sibi vindicarunt sed primum sacra Græciæ certamina maximosque adeuntes conventus, præconem edicere jusserunt, Corinthios tyrannidem, quæ Syracusas tenuisset, evertisse tyran-

ρακούσαις τυραννίδα καὶ τὸν τύραννον ἐξεληλακότες καλοῦσι Συρακοσίους καὶ τῶν ἄλλων Σικελιωτῶν τὸν βουλόμενον οἰκεῖν τὴν πόλιν ἐλευθέρους καὶ αὐτονόμους ἐπ' ἴσοις καὶ δικαίοις τὴν χώραν διαλαχόντας· ἔπειτα διαπέμποντες ἀγγέλους εἰς τὴν Ἀσίαν καὶ τὰς νήσους, ὅπου πλείστους ἐπυνθάνοντο τῶν φυγάδων διεσπαρμένους κατοικεῖν, παρεκάλουν ἰέναι πάντας εἰς Κόρινθον, ὡς Κορινθίων ἀσφαλῆ πομπὴν καὶ πλοῖα καὶ στρατηγοὺς παρεξόντων ἰδίοις τέλεσιν εἰς Συρακούσας. (2) Κηρυσσομένων δὲ τούτων ἡ μὲν πόλις τὸν δικαιότατον καὶ κάλλιστον ἀπελάμβανεν ἔπαινον καὶ ζῆλον, ἐλευθεροῦσα μὲν ἀπὸ τῶν τυράννων, σώζουσα δ' ἀπὸ τῶν βαρβάρων, ἀποδιδοῦσα δὲ τοῖς πολίταις τὴν χώραν. (3) Οἱ δὲ συνελθόντες εἰς Κόρινθον οὐκ ὄντες ἱκανοὶ τὸ πλῆθος ἐδεήθησαν ἐκ Κορίνθου καὶ τῆς ἄλλης Ἑλλάδος παραλαβεῖν συνοίκους· καὶ γενόμενοι μυρίων οὐκ ἐλάττους κατέπλευσαν εἰς Συρακούσας. (4) Ἤδη δὲ καὶ τῶν ἐξ Ἰταλίας καὶ Σικελίας πολλοὶ τῷ Τιμολέοντι συνεληλύθεισαν· καὶ γενομένοις αὐτοῖς ἑξακισμυρίοις τὸ πλῆθος, ὡς Ἄθανις εἴρηκε, τὴν μὲν χώραν διένειμε, τὰς δὲ οἰκίας ἀπέδοτο χιλίων ταλάντων, ἅμα μὲν ὑπολειπόμενος τοῖς ἀρχαίοις Συρακοσίοις ἐξωνεῖσθαι τὰς αὑτῶν, ἅμα δὲ χρημάτων εὐπορίαν τῷ δήμῳ μηχανώμενος οὕτως πενομένῳ καὶ πρὸς τἆλλα καὶ πρὸς τὸν πόλεμον, ὥστε καὶ τοὺς ἀνδριάντας ἀποδόσθαι, ψήφου διαφερομένης ὑπὲρ ἑκάστου καὶ γινομένης κατηγορίας, ὥσπερ ἀνθρώπων εὐθύνας διδόντων· ὅτε δή φασι τὸν Γέλωνος ἀνδριάντα τοῦ παλαιοῦ τυράννου διατηρῆσαι τοὺς Συρακοσίους, καταχειροτονουμένων τῶν ἄλλων, ἀγαμένους καὶ τιμῶντας τὸν ἄνδρα τῆς νίκης, ἣν πρὸς Ἱμέρᾳ Καρχηδονίους ἐνίκησεν.

XXIV. Οὕτω δὲ τῆς πόλεως ἀναζωπυρούσης καὶ πληρουμένης, ἐπιῤῥεόντων πανταχόθεν εἰς αὐτὴν τῶν πολιτῶν, βουλόμενος ὁ Τιμολέων καὶ τὰς ἄλλας πόλεις ἐλευθερῶσαι καὶ παντάπασιν ἐκκόψαι τῆς Σικελίας τὰς τυραννίδας, ἐπὶ τὰς χώρας αὐτῶν στρατεύων Ἰκέτην μὲν ἠνάγκασεν ἀποστάντα Καρχηδονίων ὁμολογῆσαι τὰς ἀκροπόλεις κατασκάψειν καὶ βιοτεύσειν ἰδιώτην ἐν Λεοντίνοις, Λεπτίνου δὲ τοῦ τυραννοῦντος Ἀπολλωνίας καὶ συχνῶν ἄλλων πολιχνίων, ὡς ἐκινδύνευε κατὰ κράτος ἁλῶναι, παραδόντος αὐτὸν φεισάμενος εἰς Κόρινθον ἀπέστειλε, καλὸν ἡγούμενος ἐν τῇ μητροπόλει τοὺς τῆς Σικελίας τυράννους ὑπὸ τῶν Ἑλλήνων ἀποθεωρεῖσθαι φυγαδικῶς καὶ ταπεινῶς ζῶντας. (2) Τοὺς δὲ μισθοφόρους βουλόμενος ἐκ τῆς πολεμίας ὠφελεῖσθαι καὶ μὴ σχολάζειν, αὐτὸς μὲν εἰς τὰς Συρακούσας ἐπανῆλθε τῇ καταστάσει τῆς πολιτείας προσέξων καὶ τοῖς ἥκουσιν ἐκ Κορίνθου νομοθέταις Κεφάλῳ καὶ Διονυσίῳ τὰ κυριώτατα καὶ κάλλιστα συνδιαθήσων, τοὺς δὲ περὶ Δείναρχον καὶ Δημάρετον εἰς τὴν τῶν Καρχηδονίων ἐξέπεμψεν ἐπικράτειαν, οἳ πόλεις πολλὰς ἀφιστάντες τῶν βαρβάρων οὐ μόνον αὐτοὶ διῆγον ἐν ἀφθόνοις, ἀλλὰ καὶ χρήματα παρεσκεύαζον εἰς τὸν πόλεμον ἀπὸ τῶν ἁλισκομένων.

numque expulisse; invitari Syracusanos Siculosque alios omnes, qui vellent, ut agros æquis et justis conditionibus inter se dividentes, Syracusas liberi suisque utentes legibus habitarent. Inde in Asiam et insulas, ubi plurimos exsulum sparsim degere audierant, dimissis nuntiis, omnes Corinthum vocarunt, polliciti suis sumptibus se illis naves, ducesque qui Syracusas eos secure reducerent, daturos. (2) His ita edictis, Corinthiorum civitas justissimam pulcherrimamque est adepta laudem multosque ad æmulationem excitavit, quippe quæ tyrannis liberasset regionem, a barbaris servasset, eamque suis reddidisset. (3) Qui Corinthum convenerunt, cum non esset justa eorum multitudo, ut ipsis adderentur coloni e Corintho reliquaque Græcia, oraverunt: cumque haud minus decem millibus hominum collecta essent, Syracusas navigaverunt. (4) Jam ad Timoleontem ex Italia etiam Siciliaque magnus hominum numerus confluxerat. Proinde cum ad millia, ut Athanis tradit, sexaginta multitudo excrevisset, agros Timoleon divisit, ædes mille talentis vendidit: simul et Syracusanis, qui erant superstites, facultatem suas domos redimendi concedens, et populo pecuniæ copiam conficiens. Tanta enim laborabant paupertate, ut ad alios ac belli inprimis sumptus coacti sint etiam statuas divendere, suffragiis de una qualibet latis, accusataque ea, ut tanquam homines judicio damnatæ mulctarentur; quo quidem tempore solam Gelonis statuam, antiqui tyranni, ceteris omnibus venditis a Syracusanis servatam esse, quem honorem Geloni habuerunt ob victoriam, quam de Carthaginiensibus ad Himeram fluvium obtinuit.

XXIV. Exsuscitata hoc pacto civitate, et undique in eam confluentibus civibus, Timoleon, ut reliquas etiam urbes liberaret omnesque in Sicilia tyrannides exscinderet, exercitum in fines eorum duxit, et Icetam quidem eo adegit, ut a Carthaginiensibus desciscere, sponderetque arces se demoliturum, et in Leontinis privatam vitam acturum. Leptinem, Apolloniæ et multorum præterea oppidorum tyrannum, cum is se imminente jam periculo ne vi caperetur dedidisset, Corinthum misit, rem pulchram existimans fore, si tyranni Siciliæ in ea urbe quæ Siculis civitatibus ortum præbuisset, exsules et abjecta sorte vivere a Græcis spectarentur. (2) Inde Syracusas reversus, ut constitutioni reipublicæ animum intenderet, missisque Corintho legum latoribus Cephalo ac Dionysio in summis ac præstantissimis statutis sanciendis adesset, ut milites stipendiarii ex hostico viverent neque in otio tabescerent, cum Dinarcho et Demarato eos in Carthaginiensium ditionem misit, qui multas civitates a barbaris ad se pertraxerunt, ac non solum in omnium rerum abundantia vixerunt, sed pecuniam quoque ad belli sumptus ex præda confecerunt.

XXV. Ἐν τούτῳ δὲ Καρχηδόνιοι καταπλέουσιν εἰς τὸ Λιλύβαιον ἄγοντες ἑπτὰ μυριάδας στρατοῦ καὶ τριήρεις διακοσίας καὶ πλοῖα χίλια κομίζοντα μηχανὰς καὶ τέθριππα καὶ σῖτον ἄφθονον καὶ τὴν ἄλλην παρασκευήν, ὡς οὐκ ἔτι ποιησόμενοι κατὰ μέρος τὸν πόλεμον, ἀλλ' ὁμοῦ πάσης Σικελίας ἐξελάσοντες τοὺς Ἕλληνας. (2) Ἦν γὰρ ἡ δύναμις ἐξαρκοῦσα καὶ μὴ νοσοῦντας μηδὲ διεφθαρμένους ὑπ' ἀλλήλων συλλαβέσθαι Σικελιώτας. Πυθόμενοι δὲ πορθεῖσθαι τὴν ἐπικράτειαν αὐτῶν εὐθὺς ὀργῇ πρὸς τοὺς Κορινθίους ἐχώρουν Ἀσδρούβα τε καὶ Ἀμίλκα στρατηγούντων. (3) Τῆς δὲ ἀγγελίας ὀξέως εἰς Συρακούσας ἀφικομένης οὕτω κατεπλάγησαν οἱ Συρακόσιοι πρὸς τὸ μέγεθος τῆς δυνάμεως, ὥστε μόλις τῷ Τιμολέοντι τρισχιλίους ἀπὸ τοσούτων μυριάδων ὅπλα λαβόντας τολμῆσαι συνελθεῖν. (4) Οἱ δὲ μισθοφόροι τετρακισχίλιοι τὸ πλῆθος ἦσαν· καὶ τούτων αὖθις ὅσον χίλιοι καθ' ὁδὸν ἀποδειλιάσαντες ἀνεχώρησαν, ὡς οὐκ ὑγιαίνοντος τοῦ Τιμολέοντος, ἀλλὰ μαινομένου παρ' ἡλικίαν καὶ πρὸς ἑπτὰ μυριάδας πολεμίων μετὰ πεντακισχιλίων πεζῶν καὶ χιλίων ἱππέων βαδίζοντος καὶ διαρτῶντος ὁδὸν ἡμερῶν ὀκτὼ τὴν δύναμιν ἀπὸ τῶν Συρακουσῶν, ὅθεν οὔτε σωθῆναι τοῖς φεύγουσιν οὔτε ταφῆναι τοῖς πεσοῦσιν αὐτῶν ὑπάρξει. (5) Τούτους μὲν οὖν Τιμολέων κέρδος ἡγεῖτο πρὸ τῆς μάχης φανεροὺς γεγονότας, τοὺς δὲ ἄλλους ἐπιῤῥώσας κατὰ τάχος ἦγε πρὸς τὸν Κρίμησον ποταμὸν, ὅπου καὶ τοὺς Καρχηδονίους ἤκουσε συνάπτειν.

XXVI. Ἀναβαίνοντι δὲ αὐτῷ πρὸς λόφον, ὃν ὑπερβαλόντες ἔμελλον κατόψεσθαι τὸ στράτευμα καὶ τὴν δύναμιν τῶν πολεμίων, ἐμβάλλουσιν ἡμίονοι σέλινα κομίζοντες· καὶ τοῖς στρατιώταις εἰσῆλθε πονηρὸν εἶναι τὸ σημεῖον, ὅτι τὰ μνήματα τῶν νεκρῶν εἰώθαμεν ἐπιεικῶς στεφανοῦν σελίνοις· καὶ παροιμία τις ἐκ τούτου γέγονε, τὸν ἐπισφαλῶς νοσοῦντα, δεῖσθαι τοῦτον τοῦ σελίνου. (2) Βουλόμενος οὖν αὐτοὺς ἀπαλλάξαι τῆς δεισιδαιμονίας καὶ τὴν δυσελπιστείαν ἀφελεῖν ὁ Τιμολέων, ἐπιστήσας τὴν πορείαν ἄλλα τε πρέποντα τῷ καιρῷ διελέχθη καὶ τὸν στέφανον αὐτοῖς ἔφη πρὸ τῆς νίκης κομιζόμενον αὐτομάτως εἰς τὰς χεῖρας ἥκειν, ᾧ Κορίνθιοι στεφανοῦσι τοὺς Ἴσθμια νικῶντας ἱερὸν καὶ πάτριον στέμμα τοῦ σελίνου νομίζοντες. (3) Ἔτι γὰρ τότε τῶν Ἰσθμίων, ὥσπερ νῦν τῶν Νεμείων, τὸ σέλινον ἦν στέφανος, οὐ πάλαι δὲ ἡ πίτυς γέγονεν. Ἐντυχὼν οὖν ὁ Τιμολέων, ὥσπερ εἴρηται, τοῖς στρατιώταις καὶ λαβὼν τῶν σελίνων κατεστέψατο πρῶτος αὐτὸς, εἶτα οἱ περὶ αὐτὸν ἡγεμόνες καὶ τὸ πλῆθος. (4) Οἱ δὲ μάντεις κατιδόντες ἀετοὺς δύο προσφερομένους, ὧν ὁ μὲν δράκοντα τοῖς ὄνυξιν ἔφερε διαπεπαρμένον, ὁ δὲ ἵπτατο κεκλαγὼς μέγα καὶ θαῤῥαλέον, ἐπεδείκνυον τοῖς στρατιώταις καὶ πρὸς εὐχὰς θεῶν καὶ ἀνακλήσεις ἐτράποντο πάντες.

XXVII. Τὸ μὲν οὖν ἔτος ἱσταμένου θέρους εἶχεν ὥραν καὶ ληγοντι μηνὶ Θαργηλιῶνι πρὸς τὰς τροπὰς

XXV. Interim Carthaginienses Lilybæum appulerunt, septuaginta millia militum, ducentas triremes, milleque onerarias adducentes, quibus machinæ, quadrigæ, frumenti plurimum et reliqua belli instrumenta vehebantur; non enim, ut ante, partem modo Siciliæ tentare, sed tota simul insula exigere Græcos statuerant. (2) Et erat profecto copiarum satis ad capiendos omnes Siciliæ habitatores, etiam vexatos et perditos nullo intestino malo. Ergo ut perceperunt suam ditionem vastari, infesto statim agmine contra Corinthios, ducibus Hasdrubale et Hamilcare, profecti sunt. (3) Nuncio rei celeriter Syracusas allato, tantus propter copiarum hostilium molem animos omnium perculit terror, ut de tot hominum myriadibus ægre inventa sint millia tria, qui arma capere et Timoleontem sequi auderent. (4) Quin etiam de quattuor millibus stipendiariorum militum, mille in itinere timiditate victi discesserunt, non esse mentis compotem existimantes Timoleontem, sed insanire præter ætatem, qui septuaginta millibus hostium cum millibus peditum quinque et mille equitibus auderet occurrere, et octo dierum itinere exercitum Syracusis abducere eo, ubi neque fugientibus salutis, neque cæsis sepulturæ spes appareret. (5) Atque hos quidem magno suo commodo, antequam prælium consereretur, timiditatem suam ostendisse Timoleon ratus, ceterorum animos dictis corroboravit; properatoque ad Crimesum fluvium duxit, quo undique coire Carthaginienses audierat.

XXVI. Collem jam scandentibus, quo superato erant in conspectu habituri copias hostium, muli apium portantes occurrunt. Visumque id inauspicatum omen militibus, eo quod sepulcra solemus apio coronare, indeque natum est proverbium, ut morbo periculoso laborantes apio opus habere dicamus. (2) Igitur Timoleon, ut animis ipsorum superstitionem eam, metumque eximeret, inhibita profectione multa ad rem præsentem accommodata locutus, coronam ipsis ante victoriam forte fortuna oblatam in manus pervenisse affirmavit, qua Corinthii, qui sacram et a majoribus acceptam apii coronam arbitrantur, Isthmico certamine victores coronant. (3) Nam Isthmiis eo adhuc tempore, ut nunc Nemeis, apium corona erat; pinus Isthmicis servire haud ita pridem cœpit. Talia locutus ad milites apio primum se ipse coronavit, tum reliqui duces, et multitudo idem fecerunt. (4) Haruspices quoque ut viderunt duas aquilas advolare, quarum altera draconem unguibus transfixum ferebat, altera magno et animoso cum clangore volabat, militibus id augurium monstravere: omnesque ad comprecandos deos et vota facienda conversi sunt.

XXVII. Erat tum tempus ineuntis æstatis, finienteque Thargelione mense, solstitium jam appetebat. Nebulam

ἤδη συνῆπτε τὸν καιρόν· ὁμίχλην δὲ τοῦ ποταμοῦ πολλὴν ἀναδιδόντος πρῶτον μὲν ἀπεκρύπτετο ζόφῳ τὸ πεδίον καὶ σύνοπτον οὐδὲν ἦν ἀπὸ τῶν πολεμίων, πλὴν ἠχή τις ἄκριτος καὶ συμμιγὴς ἄνω πρὸς τὸν λόφον ἐχώρει πρόσωθεν ἀνισταμένης στρατιᾶς τοσαύτης. (2) Ὡς δ' ἀναβάντες ἐπὶ τὸν λόφον ἔστησαν οἱ Κορίνθιοι καὶ θέμενοι τὰς ἀσπίδας διανεπαύοντο, τοῦ ἡλίου περιφερομένου καὶ μετεωρίζοντος τὴν ἀναθυμίασιν, ὁ μὲν θολερὸς ἀὴρ ἀθροιζόμενος πρὸς τὰ ὑψηλὰ καὶ συνιστάμενος κατενέφωσε τὰς ἀκρωρείας, τῶν δὲ ὑπὸ πόδας b τόπων ἀναχαθαιρομένων δ' τε Κρίμησος ἐξεφάνη καὶ διαβαίνοντες αὐτὸν ὤφθησαν οἱ πολέμιοι πρῶτοι μὲν τοῖς τεθρίπποις ἐκπληκτικῶς πρὸς ἀγῶνα κατεσκευασμένοις, κατόπιν δὲ τούτων μυρίοις ὁπλίταις λευκάσπισι. Τούτους ἐτεκμαίροντο Καρχηδονίους εἶναι τῇ λαμπρότητι τῆς σκευῆς καὶ τῇ βραδυτῆτι καὶ τάξει τῆς πορείας. (2) Μετὰ δὲ τούτους τῶν λοιπῶν ἐθνῶν ἐπιῤῥεόντων καὶ τὴν διάβασιν μετ' ὠθισμοῦ καὶ ταραχῆς ποιουμένων, συνιδὼν ὁ Τιμολέων τὸν ποταμὸν αὐτοῖς ταμιεύοντα τοῦ πλήθους τῶν πολεμίων ἀπολαβεῖν ὅσοις ἐθέλοιεν αὐτοὶ μάχεσθαι, καὶ τοὺς στρατιώτας καθορᾶν c κελεύσας τὴν φάλαγγα τῷ ῥείθρῳ διαλελυμένην καὶ τοὺς μὲν ἤδη διαβεβηκότας, τοὺς δὲ μέλλοντας, προσέταξε Δημαρέτῳ λαβόντι τοὺς ἱππεῖς ἐμβαλεῖν εἰς τοὺς Καρχηδονίους καὶ συνταράξαι τὸν διάκοσμον αὐτῶν τῆς παρατάξεως οὔπω καθεστώσης. (4) Αὐτὸς δὲ καταβὰς εἰς τὸ πεδίον τὰ μὲν κέρατα τοῖς ἄλλοις Σικελιώταις ἀπέδωκεν ἀναμίξας ἑκατέρῳ ἐκ τῶν ξένων οὐ πολλούς, ἐν μέσῳ δὲ περὶ αὐτὸν λαβὼν τοὺς Συρακοσίους καὶ τὸ μαχιμώτατον τῶν μισθοφόρων βραχὺν μὲν χρόνον ἐπέσχε τὸ τῶν ἱππέων ἀποθεωρῶν ἔργον, ὡς δὲ ἐκείνους εἶδεν ὑπὸ τῶν ἁρμάτων πρὸ τῆς τάξεως d διαθεόντων εἰς χεῖρας ἐλθεῖν τοῖς Καρχηδονίοις οὐ δυναμένους, ἀλλ' ὅπως μὴ συνταραχθεῖεν ἀναγκαζομένους ἐξελίττειν συνεχῶς καὶ πυκνὰς ἐξ ἐπιστροφῆς ποιεῖσθαι τὰς ἐπελάσεις, ἀναλαβὼν τὴν ἀσπίδα καὶ βοήσας ἔπεσθαι καὶ θαῤῥεῖν τοῖς πεζοῖς ἔδοξεν ὑπερφυεῖ φωνῇ καὶ μείζονι κεχρῆσθαι τῆς συνήθους, εἴτε τῷ πάθει παρὰ τὸν ἀγῶνα καὶ τὸν ἐνθουσιασμὸν οὕτω διατεινάμενος, εἴτε δαιμονίου τινὸς, ὡς τοῖς πολλοῖς τότε παρέστη, συνεπιφθεγξαμένου. (5) Ταχὺ δὲ τὴν χραυγὴν ἀνταποδόντων καὶ παρεγγυώντων ἄγειν καὶ μὴ μέλλειν, τοῖς μὲν ἱππόταις ἐσήμαινεν ἔξω παρὰ e τὴν τάξιν τῶν ἁρμάτων παρελάσαι καὶ κατὰ κέρας προσφέρεσθαι τοῖς πολεμίοις, αὐτὸς δὲ τοὺς προμάχους πυκνώσας τῷ συνασπισμῷ καὶ τὴν σάλπιγγα κελεύσας ἐπιφθέγξασθαι προσέβαλε τοῖς Καρχηδονίοις.

XXVIII. Οἱ δὲ τὴν μὲν πρώτην ἐπιδρομὴν ὑπέστησαν ἐῤῥωμένως καὶ τῷ καταπαφράχθαι τὰ σώματα σιδηροῖς θώραξι καὶ χαλκοῖς κράνεσιν ἀσπίδας τε μεγάλας προβεβλῆσθαι διεκρούοντο τὸν δορατισμόν. (2) Ἐπεὶ δὲ εἰς ξίφη συνῆλθεν ὁ ἀγὼν καὶ τέχνης οὐχ ἧττον ἢ ῥώμης ἐγεγόνει τὸ ἔργον, ἐξαίφνης ἀπὸ τῶν ὀρῶν βρονταί τε φοβεραὶ κατερῥήγνυντο καὶ πυρώδεις

fluvius multam edebat ac caligine primum campum tegebat ita ut hostes videri non possent; strepitus tantum varius et confusus sursum ad collem efferebatur, ante quem tantus exercitus se movebat. (2) Sed postquam ad summum collem pervenerunt Corinthii, positisque clypeis requieverunt, sole jam circumagente et elevante exhalationem, turbidus aer ad sublimia evectus et densatus summa montium nubibus obtendit, campisque subjacentibus expurgatis Crimesus fluvius apparuit, eumque transeuntes hostes primo loco quadrigas agebant, terribiliter ad pugnam paratas; has sequebantur decem millia armatorum peditum, albos clypeos gestantium, quos a splendore apparatus tardoque incessu et ordine Carthaginienses esse conjiciebant. (3) Succedebant his ceteræ nationes et cum tumultu se invicem trudentes et impellentes fluvium transibant. Ibi Timoleon cum crederet fluvii beneficio posse fieri, ut tantam hostium multitudinem, contra quantam sibi pugnandum duceret, a reliquis separatam aggrederetur, milites intueri agmen hostile jussit fluvio divisum, cujusque pars transivisset amnem, pars transitum adhuc moliretur. Proinde Demaretum jussit, ut cum equitatu in Carthaginienses inveheretur, aciemque eorum nondum satis compositam turbaret. (4) Ipse in planitiem degressus, cornua Siculis tuenda dedit, utrinque non magno stipendiariorum militum numero adjecto mediam aciem ipse cum Syracusanis et mercenariorum robore occupavit: ita paulum moratus, equitumque operi intentus se continuit. Quibus ut vidit a quadrigis ante aciem discurrentibus obstari, quominus aggredi Carthaginiensem aciem possent, cogique eos, ne dissiparentur, continuo se recipere, ac subinde conversis equis impetum rursus facere: arrepto clypeo, peditibus ut firmo essent animo ac sequerentur, inclamavit. Vox ea nimia majorque consueta visa fuit militibus, sive is instante certamine animo commotus et quasi furore concitus eam intendit, sive deus quispiam (id quod tunc plerique credidерunt) acclamavit. (5) Reddentibus extemplo clamorem peditibus hortantibusque ut statim duceret, signo equitibus dato, ut equos extra quadrigarum ordinem averterent, et a latere hostium pugnarent; ipse prima acie stipata, classicum canere jussit et Carthaginienses aggressus est.

XXVIII. Primum incursum fortiter ii sustinuerunt, utque erant corpora septi thoracibus ferreis, æreis galeis, ac clypeis protecti magnis, hastarum ictus facile depulerunt. (2) Verum ubi ad gladios res pervenit, quod pugnæ genus non minus artis quam roboris requirit, subito a montibus

ἀστραπαὶ συνεξέπιπτον. (3) Εἶτα ὁ περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας ζόφος ἐπὶ τὴν μάχην κατιὼν ὄμβρῳ καὶ πνεύματι καὶ χαλάζῃ συμμεμιγμένος τοῖς μὲν Ἕλλησιν ἐξόπισθεν καὶ κατὰ νώτου περιεχεῖτο, τῶν δὲ βαρβάρων ἔτυπτε τὰ πρόσωπα καὶ κατήστραπτε τὰς ὄψεις, ἅμα λαίλαπος ὑγρᾶς καὶ φλογὸς συνεχοῦς ἐκ τῶν νεφῶν φερομένης. (4) Ἐν οἷς πολλὰ μὲν ἦν τὰ λυποῦντα καὶ μάλιστα τοὺς ἀπείρους, οὐχ ἥκιστα δὲ βλάψαι δοκοῦσιν αἱ βρονταὶ καὶ τῶν ὅπλων ὁ πάταγος κοπτομένων ὕδατι ραγδαίῳ καὶ χαλάζῃ κωλύων ἀκούεσθαι τὰ προστάγματα τῶν ἡγεμόνων. (5) Τοῖς δὲ Καρχηδονίοις οὐκ οὖσιν εὐζώνοις τὸν ὁπλισμὸν, ἀλλ', ὥσπερ εἴρηται, καταπεφραγμένοις ὅ τε πηλὸς ἐμπόδιος ἦν οἵ τε κόλποι πληρούμενοι τῶν χιτώνων ὕδατος αὐτοῖς μὲν εἰς τὸν ἀγῶνα χρῆσθαι βαρεῖς ἦσαν καὶ δύσεργοι, ῥᾴδιοι δὲ τοῖς Ἕλλησι περιτρέπεσθαι καὶ πεσόντες ἀμήχανοι πάλιν ἐκ πηλοῦ μετὰ τῶν ὅπλων ἀναστῆναι. (6) Καὶ γὰρ ὁ Κρίμησος ὑπὸ τῶν διαβαινόντων ἐκλύσθη μέγας ἤδη τοῖς ὄμβροις ηὐξημένος, καὶ τὸ πεδίον τὸ περὶ αὐτὸν ὑπὸ πολλὰς συναγκείας καὶ φάραγγας ὑποκείμενον ἐπίμπλατο ῥευμάτων οὐ κατὰ πόρον φερομένων, οἷς οἱ Καρχηδόνιοι καλινδούμενοι χαλεπῶς ἀπήλλαττον. (7) Τέλος δὲ τοῦ χειμῶνος ἐπικειμένου καὶ τῶν Ἑλλήνων τὴν πρώτην τάξιν αὐτῶν, ἄνδρας τετρακοσίους, καταβαλόντων, ἐτράπη τὸ πλῆθος εἰς φυγήν. (8) Καὶ πολλοὶ μὲν ἐν τῷ πεδίῳ καταλαμβανόμενοι διεφθείροντο, πολλοὺς δὲ ὁ ποταμὸς τοῖς ἔτι περαιουμένοις συμπίπτοντας ἐμβάλλων καὶ παραφέρων ἀπώλλυε, πλείστους δὲ τῶν λόφων ἐφιεμένους ἐπιθέοντες οἱ ψιλοὶ κατειργάσαντο. (9) Λέγονται γοῦν ἐν μυρίοις νεκροῖς τρισχίλιοι Καρχηδονίων γενέσθαι, μέγα τῇ πόλει πένθος. Οὔτε γὰρ γένεσιν οὔτε πλούτοις οὔτε δόξαις ἕτεροι βελτίονες ἦσαν ἐκείνων, οὔτ' ἀποθανόντας ποτὲ μιᾷ μάχῃ πρότερον ἐξ αὐτῶν Καρχηδονίων τοσούτους μνημονεύουσιν, ἀλλὰ Λίβυσι τὰ πολλὰ καὶ Ἴβηρσι καὶ Νομάσι χρώμενοι πρὸς τὰς μάχας ἀλλοτρίαις βλάβαις ἀνεδέχοντο τὰς ἥττας.

XXIX. Ἐγνώσθη δὲ τοῖς Ἕλλησιν ἡ δόξα τῶν πεσόντων ἀπὸ τῶν λαφύρων. Ἐλάχιστος γὰρ ἦν χαλκῶν καὶ σιδηρῶν τοῖς σκυλεύουσι λόγος· οὕτως ἄφθονος μὲν ἦν ἄργυρος, ἄφθονος δὲ χρυσός. Καὶ γὰρ τὸ στρατόπεδον μετὰ τῶν ὑποζυγίων διαβάντες ἔλαβον. (2) Τῶν δ' αἰχμαλώτων οἱ μὲν πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν, εἰς δὲ κοινὸν ἀπεδείχθησαν πεντακισχίλιοι τὸ πλῆθος· ἦλω δὲ καὶ διακόσια τῶν τεθρίππων. (3) Καλλίστην δὲ καὶ μεγαλοπρεπεστάτην ὄψιν ἡ Τιμολέοντος ἐπεδείκνυτο σκηνὴ περισωρευθεῖσα παντοδαποῖς λαφύροις, ἐν οἷς χίλιοι μὲν θώρακες ἐργασίᾳ καὶ κάλλει διαφέροντες, μύριαι δὲ ἀσπίδες προετέθησαν. (4) Ὀλίγοι δὲ πολλοὺς σκυλεύοντες καὶ μεγάλαις ἐντυγχάνοντες ὠφελείαις τρίτῃ μόλις ἡμέρᾳ μετὰ τὴν μάχην ἔστησαν τρόπαιον. (5) Ἅμα δὲ τῇ φήμῃ τῆς νίκης ὁ Τιμολέων εἰς Κόρινθον ἔπεμψε τὰ κάλλιστα τῶν αἰχμαλώτων ὅπλων, βουλόμενος αὐτοῦ

terribilia tonitrua, et ignita fulgura eruperunt. (3) Tum caligo, quæ colles et juga montium insederat, cum imbre, vento et grandine in locum ubi pugnabatur decidit a tergo Græcos tangens, Carthaginiensibus vero facies feriebantur, fulguribus oculi perstringebantur, simul humida procella et continua flamma e nubibus continenter erumpente. (4) Multa erant hic quæ læderent, maxime imperitiores : omnium tamen maxime incommodasse ipsis videntur tonitrua, strepitusque armorum vehementi imbre et grandine percussorum, obstans ne exaudire mandata ducum possent. (5) Carthaginienses porro non levi armatura utentes, sed, ut dixi, gravibus armis septos cum limus impediebat, tum sinus tunicarum aqua repleti gravabant et pugnæ minus habiles reddebant, eoque facilius a Græcis dejiciebantur, semelque lapsi, e cœno resurgere cum armis nequibant. (6) Nam et Crimesus imbribus auctus intumuerat et eluvionem transeuntium multitudo fecerat; præterea ipse campus multis convallibus faucibusque subjectus, torrentibus replebatur incerto alveo fluentibus, quibus omnibus Carthaginienses in summam difficultatem adducti sunt. (7) Tandem tempestate urgente et in prima acie quadringentis a Græcis prostratis, reliqui in fugam se verterunt. (8) Multi tum in planitie ab hostibus insequentibus deprehensi et interfecti, multos fluvius in eos qui adhuc transibant incidentes abreptos perdidit, plurimi ad tumulos tendentes, ab expeditis Græcorum militibus sunt interfecti. (9) Ferunt, inter eos qui ea in pugna ceciderunt, quorum numerus decem millia implevit, tria millia Carthaginienses fuisse : quæ clades maximum urbi luctum attulit. Natalibus enim, divitiis, gloria præstantiores nulli supererant : neque unquam tot Carthaginienses una pugna se amisisse cives memorant, soliti alias Afris, Hispanis et Numidis uti in præliis, alienisque detrimentis clades suas sustinere.

XXIX. Spolia quidem Græcos docuerunt, quanti nominis hostes occidissent : arma enimærea et ferrea minime inter legendum curabant : argenti erat aurique abunde. Transiverunt etiam flumen, castraque et jumenta ceperunt. (2) Captivorum hominum etsi plerosque milites suffurati erant, tamen in publicum adducta sunt millia quinque : captæ etiam ducentæ quadrigæ. (3) Pulcherrimum vero et magnificentissimum spectaculum præbuit Timoleontis tentorium, omni genere spoliorum circùm acervato, inter quæ mille thoraces summo artificio et elegantia elaborati, clypeorumque decem millia proponebantur : (4) Pauci autem multis spolia detrahentes, magnisque opibus ibi potiti, tertia demum post pugnam die tropæum erexerunt. (5) Simul cum nuncio victoriæ Timoleon Corinthum misit pulcherrima de captis armis delecta, ut ad patriam suam

τὴν πατρίδα πᾶσιν ἀνθρώποις ζηλωτὴν εἶναι, θεωμένοις ἐν ἐκείνῃ μόνῃ τῶν Ἑλληνικῶν πόλεων τοὺς ἐπιφανεστάτους ναοὺς οὐχ Ἑλληνικοῖς κεκοσμημένους λαφύροις οὐδ' ἀπὸ συγγενῶν φόνου καὶ δμοφύλων ἀναθημάτων μνήμας ἀτερπεῖς ἔχοντας, ἀλλὰ βαρβαρικὰ σκῦλα καλλίσταις ἐπιγραφαῖς δηλοῦντα μετὰ τῆς ἀνδρείας τῶν νενικηκότων τὴν δικαιοσύνην, ὅτι Κορίνθιοι καὶ Τιμολέων ὁ στρατηγὸς ἐλευθερώσαντες τοὺς Σικελίαν οἰκοῦντας Ἕλληνας ἀπὸ Καρχηδονίων χαριστήρια θεοῖς ἀνέθηκαν.

XXX. Ἐκ τούτου καταλιπὼν ἐν τῇ πολεμίᾳ τοὺς f μισθοφόρους ἄγοντας καὶ φέροντας τὴν τῶν Καρχηδονίων ἐπικράτειαν, αὐτὸς ἦκεν εἰς Συρακούσας· καὶ τοὺς χιλίους μισθοφόρους ἐκείνους, ὑφ' ὧν ἐγκατελείφθη πρὸ τῆς μάχης, ἐξεκήρυξε τῆς Σικελίας καὶ πρὶν ἢ δῦναι ἥλιον ἠνάγκασεν ἐκ Συρακουσῶν ἀπελθεῖν. (2) Οὗτοι μὲν οὖν διαπλεύσαντες εἰς Ἰταλίαν ἀπώλοντο παρασπονδηθέντες ὑπὸ Βρεττίων καὶ δίκην ταύτην τὸ δαιμόνιον αὐτοῖς τῆς προδοσίας ἐπέθηκε. (3) Τῶν δὲ περὶ τὸν Μάμερκον, τὸν Κατάνης τύραννον, καὶ Ἰκέ-
251την, εἴτε φθόνῳ τῶν κατορθουμένων ὑπὸ Τιμολέοντος, a εἴτε φοβουμένων αὐτὸν ὡς ἄπιστον καὶ ἄσπονδον πρὸς τοὺς τυράννους, συμμαχίαν ποιησαμένων πρὸς τοὺς Καρχηδονίους καὶ κελευσάντων πέμπειν δύναμιν καὶ στρατηγὸν, εἰ μὴ παντάπασι βούλονται Σικελίας ἐκπεσεῖν, ἔπλευσε Γέσκων ναῦς μὲν ἔχων ἑβδομήκοντα, μισθοφόρους δὲ προσλαβὼν Ἕλληνας, οὔπω πρότερον Ἕλλησι χρησαμένων Καρχηδονίων, ἀλλὰ τότε θαυμασάντων ὡς ἀνυποστάτους καὶ μαχιμωτάτους ἀνθρώπων ἁπάντων. (4) Συστάντες δὲ κοινῇ μετ' ἀλλήλων ἅπαντες ἐν τῇ Μεσσηνίᾳ τετρακοσίους τῶν παρὰ Τιμολέοντος ξένων ἐπικούρους πεμφθέντας ἀπέκτειναν. Ἐν δὲ τῇ Καρχηδονίων ἐπικρατείᾳ περὶ τὰς καλου- b Hietas quæ vocantur mercenarios milites, qui erant cum Eumένας Ἰέτας ἐνεδρεύσαντες τοὺς μετ' Εὐθύμου τοῦ Λευκαδίου μισθοφόρους διέφθειραν. Ἐξ ὧν καὶ μάλιστα τὴν Τιμολέοντος εὐτυχίαν συνέβη γενέσθαι διώνυμον. (5) Ἦσαν μὲν γὰρ οὗτοι τῶν μετὰ Φιλομήλου τοῦ Φωκέως καὶ Ὀνομάρχου Δελφοὺς καταλαβόντων καὶ μετασχόντων ἐκείνοις τῆς ἱεροσυλίας. Μισούντων δὲ πάντων αὐτοὺς καὶ φυλαττομένων ἐπαράτους γεγονότας, πλανώμενοι περὶ τὴν Πελοπόννησον ὑπὸ Τιμολέοντος ἐλήφθησαν ἑτέρων στρατιωτῶν οὐκ εὐπορουντος. (6) Ἀφικόμενοι δὲ εἰς Σικελίαν ὅσας μὲν ἐκείνῳ συνηγωνίσαντο μάχας πάσας ἐνίκων· τῶν δὲ πλείστων καὶ μεγί- c στων ἀγώνων τέλος ἐχόντων ἐκπεμπόμενοι πρὸς ἑτέρας ὑπ' αὐτοῦ βοηθείας ἀπώλοντο καὶ κατηναλώθησαν, οὐχ ὁμοῦ πάντες, ἀλλὰ κατὰ μέρος, τῆς δίκης αὐτοῖς ἀπολογουμένης τῇ Τιμολέοντος εὐτυχίᾳ ἐπιτιθεμένης ὅπως μηδεμία τοῖς ἀγαθοῖς ἀπὸ τῆς τῶν κακῶν κολάσεως βλάβη γένηται. (7) Τὴν μὲν οὖν πρὸς Τιμολέοντα τῶν θεῶν εὐμένειαν οὐχ ἧττον ἐν αἷς προσέκρουσε πράξεσιν ἢ περὶ ἃς κατώρθου θαυμάζεσθαι συνέβαινεν.

XXXI. Οἱ δὲ πολλοὶ τῶν Συρακοσίων ἐχαλέπαινον ὑπὸ τῶν τυράννων προπηλακιζόμενοι. Καὶ γὰρ ὁ

omnium ora converteret, quod in ea tantum Græciæ totius urbe templa illustrissima non manubiis Græcorum, neque cæde cognatorum partis donariis ornata, tristem recordationem offerrent, sed barbaricis spoliis essent decorata, quorum pulcherrimæ inscriptiones testarentur, quam et fortes et justi fuissent ii, qui victoriam peperissent, nimirum Corinthios eorumque ducem Timoleontem, Græcis, qui Siciliam incolunt, liberatis, de Carthagniensibus victis hæc dona diis pro gratiarum actione suspendisse.

XXX. Post hæc relictis in ditione hostium stipendiariis militibus, qui eam popularentur, Syracusas rediit: et mille istos, a quibus eum ante pugnam destitutum ostendimus, Sicilia discedere atque ante solis occasum Syracusis exire edicto jussit. (2) Hi cum in Italiam trajecissent, a Bruttiis violata fide cæsi sunt, hac eis proditionis pœna divinitus irrogata. (3) Mamercus interea Catinæ tyrannus atque Icetes, sive rebus bene gestis Timoleontis invidentes, sive eum infidum et tyrannis implacabilem metuentes, societatem cum Carthaginiensibus junxerunt, copiasque et duces ut mitterent, postulaverunt: futurum alioquin, ut Siciliam omnem amitterent. Missus est Gisco cum navibus septuaginta, isque Græcos milites mercede primus Carthaginiensium conduxit, tunc demum in admiratione ab illis habitos, ut qui omnium hominum essent invictissimi ac bellicosissimi. (4) Omnes igitur conjunctis viribus in agro Messanensi quadringentos stipendiarios milites, a Timoleonte subsidio missos, occiderunt. Inde in ditione Carthaginiensium apud thymo Leucadio, occiderunt. Quibus ex rebus maxime illustris facta est Timoleontis felicitas. (5) Hi enim milites Philomelum Phocensem et Onomarchum in capiendis Delphis adjuverant, sacrilegiique eorum socios sese præbuerant; inde exsecrationibus acti cum per Peloponnesum vagarentur, omnibus eos odio prosequentibus ac vitantibus, a Timoleonte alios milites nullos inveniente, adsciti sunt. (6) Cumque in Siciliam venissent, omnibus e præliis eo duce commissis, victores reversi, maximis jam et plurimis certaminibus peractis auxilio aliis a Timoleonte missi, perierunt; non confertim quidem omnes, sed singulatim. Adeo vindicta divina cum fortunæ Timoleontis videretur incommodatura, se excusavit, ita illos puniendo, ut ne quod inde ad bonos damnum rediret. (7) Itaque deorum in Timoleontem benignitas, non minus rebus ejus parum secundis, quam prosperis admirationi fuit.

XXXI. At Syracusani vulgo indignabantur, sibi a tyrannis insultari. Nam et Mamercus, qui se carminibus tra-

Μάμερκος ἐπὶ τῷ ποιήματα γράφειν καὶ τραγῳδίας μέγα φρονῶν ἐκόμπαζε νικήσας τοὺς μισθοφόρους καὶ τὰς ἀσπίδας ἀναθεὶς τοῖς θεοῖς ἐλεγεῖον ὑβριστικὸν ἐπέγραψε,

Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσι.

(2) Γενομένων δὲ τούτων καὶ τοῦ Τιμολέοντος εἰς Καλαυρίαν στρατεύσαντος ὁ Ἰκέτης ἐμβαλὼν εἰς τὴν Συρακοσίαν λείαν τε συχνὴν ἔλαβε καὶ πολλὰ λυμηνάμενος καὶ καθυβρίσας ἀπηλλάττετο παρ' αὐτὴν τὴν Καλαυρίαν καταφρονῶν τοῦ Τιμολέοντος ὀλίγους στρατιώτας ἔχοντος. Ἐκεῖνος δὲ προλαβεῖν ἐάσας ἐδίωκεν ἱππεῖς ἔχων καὶ ψιλούς. (3) Αἰσθόμενος δὲ ὁ Ἰκέτης τὸν Δαμυρίαν διαβεβηκὼς ἤδη ὑπέστη παρὰ τὸν ποταμὸν ὡς ἀμυνούμενος· καὶ γὰρ αὐτῷ θάρσος ἦ τε τοῦ πόρου χαλεπότης καὶ τὸ κρημνῶδες τῆς ἑκατέρωθεν ὄχθης παρεῖχε. (4) Τοῖς δὲ μετὰ τοῦ Τιμολέοντος εἰλάρχαις ἔρις ἐμπεσοῦσα θαυμαστὴ καὶ φιλονεικία διατριβὴν ἐποίει τῆς μάχης. Οὐδεὶς γὰρ ἦν ὁ βουλόμενος ἑτέρου διαβαίνειν ὕστερος ἐπὶ τοὺς πολεμίους, ἀλλ' αὐτὸς ἕκαστος ἠξίου πρωταγωνιστεῖν, καὶ κόσμον οὐκ εἶχεν ἡ διάβασις ἐξωθούντων καὶ παρατρεχόντων ἀλλήλους. (5) Βουλόμενος οὖν ὁ Τιμολέων κληρῶσαι τοὺς ἡγεμόνας ἔλαβε παρ' ἑκάστου δακτύλιον· ἐμβαλὼν δὲ πάντας εἰς τὴν ἑαυτοῦ χλαμύδα καὶ μίξας ἔδειξε τὸν πρῶτον κατὰ τύχην γλυφὴν ἔχοντα τῆς σφραγῖδος τρόπαιον. (6) Ὡς δὲ τοῦτο εἶδον οἱ νεανίσκοι μετὰ χαρᾶς ἀναχραγόντες οὐκ ἔτι τὸν ἄλλον ὑπέμειναν κλῆρον, ἀλλ' ὡς ἕκαστος τάχους εἶχε τὸν ποταμὸν διεξελάσαντες ἐν χερσὶν ἦσαν τοῖς πολεμίοις. (7) Οἱ δὲ οὐκ ἐδέξαντο τὴν βίαν αὐτῶν, ἀλλὰ φεύγοντες τῶν μὲν ὅπλων ἅπαντες ὁμαλῶς ἐστερήθησαν, χιλίους δὲ ἀπέβαλον πεσόντας.

XXXII. Οὐ πολλῷ δὲ ὕστερον εἰς τὴν Λεοντίνων στρατεύσας ὁ Τιμολέων λαμβάνει τὸν Ἰκέτην ζῶντα καὶ τὸν υἱὸν Εὐπόλεμον καὶ τὸν ἱππάρχην Εὔθυμον ὑπὸ τῶν στρατιωτῶν συνδεθέντας καὶ κομισθέντας πρὸς αὐτόν. (2) Ὁ μὲν οὖν Ἰκέτης καὶ τὸ μειράκιον ὡς τύραννοι καὶ προδόται κολασθέντες ἀπέθνησκον, ὁ δ' Εὔθυμος, ἀνὴρ ἀγαθὸς ὢν πρὸς τοὺς ἀγῶνας καὶ τόλμῃ διαφέρων, οὐκ ἔτυχεν οἴκτου διὰ βλασφημίαν τινὰ πρὸς τοὺς Κορινθίους κατηγορηθεῖσαν αὐτοῦ. (3) Λέγεται γὰρ ὅτι τῶν Κορινθίων ἐκστρατευσαμένων ἐπ' αὐτοὺς δημηγορῶν ἐν τοῖς Λεοντίνοις οὐδὲν ἔφη γεγονέναι φοβερὸν οὐδὲ δεινόν, εἰ

Κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων.

(4) Οὕτως ὑπὸ λόγων μᾶλλον ἢ πράξεων πονηρῶν ἀνιᾶσθαι πεφύκασιν οἱ πολλοί· χαλεπώτερον γὰρ ὕβριν ἢ βλάβην φέρουσι. Καὶ τὸ μὲν ἀμύνεσθαι δι' ἔργων ὡς ἀναγκαῖον δέδοται τοῖς πολεμοῦσιν, αἱ δὲ βλασφημίαι περιουσίᾳ μίσους ἢ κακίας γίνεσθαι δοκοῦσιν.

XXXIII. Ἐπανελθόντος δὲ τοῦ Τιμολέοντος οἱ Συρακόσιοι τὰς γυναῖκας τῶν περὶ τὸν Ἰκέτην καὶ τὰς θυγατέρας ἐν ἐκκλησίᾳ καταστήσαντες εἰς κρίσιν ἀπέ-

gediisque componendis jactabat, victis stipendiariis militibus clypeos diis consecrans, versibus his contumeliosis eos inscripserat:

Auro, ebore, electro pictos, ostroque superbos
hos clypeos peltis cepimus exiguis.

(2) His actis, cum Timoleon Calauriam exercitum duxisset, Icetas in agrum Syracusanum irrupit, magnaque parta præda, cum multa damna regioni intulisset, superbeque plurima fecisset, contempto Timoleonte, qui paucos secum milites habebat, juxta Calauriam suos abduxit. Sed hic passus eum præterire, cum equitatu et expeditis militibus insecutus est. (3) Quod ut sensit Icetas, transgressus jam Damyriam fluvium, in ripa substitit cum Græcis pugnaturus, animatus cum profluentis difficili transitu, tum utriusque ripæ præcipitiis. (4) Ceterum contentio mira atque certamen ductoribus militum Timoleontis inciderat, quæ pugnam retardaret; nullus enim eorum post alterum transire volebat, sed unusquisque primus hosti manum conferre cupiebat; ideoque nullo ordine transibant, mutuo se præterire cupientes atque impedientes. (5) Quare ut sorte rem dijudicaret Timoleon, a quolibet ducum accepit annulum; omnibus iis in chlamydem conjectis suam ac mixtis, primum eum extraxit, cui erat forte insculptum tropæum. (6) Hoc viso juvenes magno cum gaudio clamorem sustulerunt, neque jam sortem reliquorum exspectavere, sed summa pro se quisque celeritate fluvium transeuntes, cum hostibus conflixerunt. (7) Hi vero impetum Græcorum non sustinuerunt, sed in fugam acti universi armis suis exuti, mille autem cæsi sunt.

XXXII. Paulo post in agrum Leontinum duxit Timoleon, Icetamque et filium ejus Eupolemum, equitatuique præfectum Euthymum vivos cepit, a suis ipsorum mercenariis vinctos ipsi adductos. (2) Icetes cum filio, ut tyranni ac proditores, morte affecti statim sunt; Euthymus quoque, vir bello strenuus et audacia præstans, veniam non est consecutus, quod convicium Corinthiis ab eo factum deferebatur. (3) Corinthiis in Siciliam expeditionem facientibus pro concione ad Leontinos dixisse eum rumor erat, nihil formidabile neque terribile evenisse, si

Corinthiæ mulieres exissent domo.

(4) Adeo plerique maledictis quam malefactis gravius læduntur, difficiliusque contumeliam perferunt, quam damnum: quod facto se defendere hostibus propter necessitatem concessum est, in conviciis autem nimium quiddam inesse vel odii vel malitiæ creditur.

XXXIII. Reverso Timoleonte, Syracusani uxores Icetæ ejusque necessariorum filiasque in concionem ad judicium protraxerunt, damnatasque morte mulctarunt. (2) Hoc

κτειναν. (2) Καὶ δοκεῖ τοῦτο τῶν Τιμολέοντος ἔργων ἀχαριστότατον γενέσθαι· μὴ γὰρ ἂν ἐκείνου κωλύοντος οὕτως τὰς ἀνθρώπους ἀποθανεῖν. Δοκεῖ δὲ αὐτὰς ὑπερ-
ιδεῖν καὶ προέσθαι τῷ θυμῷ τῶν πολιτῶν δίκην λαμ-
βανόντων ὑπὲρ Δίωνος τοῦ Διονύσιον ἐκβαλόντος. (3) Ἰκέτης γάρ ἐστιν ὁ τὴν γυναῖκα τοῦ Δίωνος Ἀρέτην c καὶ τὴν ἀδελφὴν Ἀριστομάχην καὶ τὸν υἱὸν ἔτι παῖδα καταπονήσας ζῶντας, περὶ ὧν ἐν τῷ Δίωνος γέγραπται βίῳ.

XXXIV. Μετὰ δὲ ταῦτα στρατεύσας ἐπὶ Μάμερκον εἰς Κατάνην καὶ περὶ τὸ ῥεῦμα τὴν Ἄβολον ἐκ παρατάξεως ὑποστάντα νικήσας καὶ τρεψάμενος ὑπὲρ δισχιλίους ἀνεῖλεν, ὧν μέρος οὐκ ὀλίγον ἦσαν οἱ πεμφθέντες ὑπὸ Γέσκωνος ἐπίκουροι Φοίνικες. (2) Ἐκ δὲ τούτου Καρχηδόνιοι μὲν εἰρήνην ἐποιήσαντο πρὸς αὐτὸν δεηθέντες, ὥστε τὴν ἐντὸς τοῦ Λύκου χώραν ἔχειν καὶ τοῖς βουλομένοις ἐξ αὐτῆς μετοικεῖν πρὸς Συρακοσίους χρήματα καὶ γενεὰς ἀποδιδόντες καὶ τοῖς τυράννοις d ἀπειπάμενοι τὴν συμμαχίαν. (3) Μάμερκος δὲ δυσθυμῶν ταῖς ἐλπίσιν ἔπλει μὲν εἰς Ἰταλίαν ὡς Λευκανοὺς ἐπάξων Τιμολέοντι καὶ Συρακοσίοις· ἐπεὶ δὲ ἀποστρέψαντες οἱ σὺν αὐτῷ τὰς τριήρεις καὶ πλεύσαντες εἰς Σικελίαν τῷ Τιμολέοντι τὴν Κατάνην παρέδωκαν, ἀναγκασθεὶς καὶ αὐτὸς εἰς Μεσσήνην κατέφυγε πρὸς Ἵππωνα τὸν τυραννοῦντα τῆς πόλεως. (4) Ἐπελθόντος δὲ τοῦ Τιμολέοντος αὐτοῖς καὶ πολιορκοῦντος ἔκ τε γῆς καὶ θαλάττης, ὁ μὲν Ἵππων ἀποδιδράσκων ἐπὶ νεὼς ἦλω, καὶ παραλαβόντες αὐτὸν οἱ Μεσσήνιοι καὶ e τοὺς παῖδας ἐκ τῶν διδασκαλείων ὡς ἐπὶ θέαμα κάλλιστον τὴν τοῦ τυράννου τιμωρίαν ἀγαγόντες εἰς θέατρον ἠκίσαντο καὶ διέφθειραν· ὁ δὲ Μάμερκος ἑαυτὸν Τιμολέοντι παρέδωκεν ἐπὶ τῷ δίκην ὑποσχεῖν ἐν Συρακοσίοις μὴ κατηγοροῦντος Τιμολέοντος. (5) Ἀχθεὶς δὲ εἰς τὰς Συρακούσας παρελθὼν εἰς τὸν δῆμον ἐπεχείρει μέν τινα συγκείμενον ἐκ παλαιοῦ λόγον ὑπ' αὐτοῦ διεξιέναι, θορύβοις δὲ περιπίπτων καὶ τὴν ἐκκλησίαν ὁρῶν ἀπαραίτητον ἔθει ῥίψας τὸ ἱμάτιον διὰ μέσου τοῦ θεάτρου καὶ πρός τι τῶν βάθρων δρόμῳ φερόμενος συνέῤῥηξε τὴν κεφαλὴν ὡς ἀποθανούμενος. (6) Οὐ μὴν ἔτυχέ γε ταύ- f τῆς τῆς τελευτῆς, ἀλλ' ἔτι ζῶν ἁπαχθεὶς ἥνπερ οἱ λῃσταὶ δίκην ἔδωκε.

XXXV. Τὰς μὲν οὖν τυραννίδας ὁ Τιμολέων τοῦτον τὸν τρόπον ἐξέκοψε καὶ τοὺς πολέμους ἔλυσε. Τὴν δὲ δλην νῆσον ἐξηγριωμένην ὑπὸ κακῶν καὶ διαμεμισημένην ὑπὸ τῶν οἰκητόρων παραλαβὼν οὕτως ἐξημέρωσε
253καὶ ποθεινὴν ἐποίησε πᾶσιν, ὥστε πλεῖν οἰκήσοντας a ἑτέρους ὅθεν οἱ πολῖται πρότερον ἀπεδίδρασκον. (2) Καὶ γὰρ Ἀκράγαντα καὶ Γέλαν πόλεις μεγάλας, μετὰ τὸν Ἀττικὸν πόλεμον ὑπὸ Καρχηδονίων ἀναστάτους γεγενημένας, τότε κατῴκισαν, τὴν μὲν οἱ περὶ Μέγελλον καὶ Φέριστον ἐξ Ἐλέας, τὴν δὲ οἱ περὶ Γόργον ἐκ Κέω ἐκπλεύσαντες καὶ συναγαγόντες τοὺς ἀρχαίους πολίτας· οἷς οὐ μόνον ἀσφάλειαν ἐκ πολέμου τοσούτου καὶ γαλήνην ἱδρυομένοις παρασχὼν, ἀλλὰ καὶ τἆλλα

omnium Timoleontis factorum inhumanissimum habetur : neque enim eo invito necatæ fuissent. Videtur autem eas neglexisse, iræ civium concedens, qui Dionem (eum qui Dionysium ejecerat) ulciscebantur. (3) Ejus enim uxorem Aretam, sororemque Aristomacham, filiumque adhuc impubem Icetas vivos in mare dejecerat, ut in Vita Dionis retulimus.

XXXIV. Secundum hæc Catinam contra Mamercum exercitum adduxit, eumque apud amnem Abolum congressum prœlio fudit; atque ultra duo millia hostium delevit, quorum haud exigua pars erant Pœni, a Giscone auxilio missi Mamerco. (2) Inde Carthaginienses pacem cum eo fecerunt, impetrato ut regionem intra Lycum ipsis liceret obtinere, pactoque ut iis, qui inde Syracusas vellent commigrare, bona sua et prolem restituerent, fœdusque cum tyrannis factum rescinderent. (3) Mamercus ergo spe lapsus in Italiam navigavit, ut Lucanos adversus Timoleontem et Syracusanos adduceret : sed qui cum eo vehebantur, retro actis triremibus, repetitaque Sicilia, Catinam Timoleonti tradiderunt; quo facto coactus ipse quoque ad Hipponem Messanæ tyrannum confugit. (4) Timoleonte superveniente, urbemque terra et mari oppugnante, Hippo navi aufugere conatus, deprehenditur; hunc cives, pueris e schola ad tyranni supplicium tanquam spectaculum pulcherrimum, in theatrum adductis, verberibus necaverunt; Mamercus ea conditione fidei Timoleontis se commisit, ut causam dicere apud Syracusanos sibi, ipso non accusante, liceret. (5) Ductus Syracusas, ad populum progressus est et orationem jam pridem a se compositam pronunciare incepit; exceptus autem tumultibus, vidensque implacabilem esse concionem, projecta toga per medium theatrum cucurrit, caputque subsellio cuidam illisit, ut mortem sibi eo pacto inferret.(6) Non tamen eum finem vitæ consecutus est, sed vivus adhuc abductus, et eo, quo latrones solent, supplicio affectus obiit.

XXXV. Hoc modo tyrannides Timoleon excidit, hostes oppressit, et insulam, quam malis plane vastatam, desertamque et incolis invisam adierat, ita pacavit atque excoluit, ut omnes desiderio ejus habitandæ tangerentur, et unde prius fugissent habitatores, eo habitandi causa peregrini navigarent. (2) Agrigentum enim et Gelam urbes magnas, post Atticum bellum a Carthaginiensibus eversas, tunc incolis instaurarunt, alteram coloni cum Megello et Pheristo ab Elea, alteram cum Gorgo ex insula Ceo profecti, collectis vetustis earum civibus; quibus sedes figentibus ille non modo securitatem et quietem post tantum bellum præstitit, sed et in aliis omnibus rebus constituendis ita operam suam nava-

παρασκευάσας καὶ συμπροθυμηθεὶς ὥσπερ οἰκιστὴς ἠγαπᾶτο. (3) Καὶ τῶν ἄλλων δὲ διακειμένων ὁμοίως ἁπάντων πρὸς αὐτὸν οὐ πολέμου τις λύσις, οὐ νόμων θέσις, οὐ χώρας κατοικισμὸς, οὐ πολιτείας διάταξις ἐδόκει καλῶς ἔχειν, ἧς ἐκεῖνος μὴ προσάψαιτο μηδὲ κατακοσμήσειεν ὥσπερ ἔργῳ συντελουμένῳ δημιουργὸς ἐπιθείς τινα χάριν θεοφιλῆ καὶ πρέπουσαν.

XXXVI. Πολλῶν γοῦν κατ' αὐτὸν Ἑλλήνων μεγάλων γενομένων καὶ μεγάλα κατεργασαμένων, ὧν καὶ Τιμόθεος ἦν καὶ Ἀγησίλαος καὶ Πελοπίδας καὶ ὁ μάλιστα ζηλωθεὶς ὑπὸ Τιμολέοντος Ἐπαμεινώνδας, αἱ μὲν ἐκείνων πράξεις βίᾳ τινὶ καὶ πόνῳ τὸ λαμπρὸν ἐξενηνόχασι μεμιγμένον, ὥστε καὶ μέμψιν ἐνίαις ἐπιγίνεσθαι καὶ μετάνοιαν, τῶν δὲ Τιμολέοντος ἔργων ἔξω λόγου θεμένοις τὴν περὶ τὸν ἀδελφὸν ἀνάγκην οὐδέν ἐστιν, ᾧ μὴ τὰ τοῦ Σοφοκλέους, ὡς φησι Τίμαιος, ἐπιφωνεῖν ἔπρεπεν·

> Ὦ θεοί, τίς ἄρα Κύπρις ἢ τίς Ἵμερος
> τοῦδε ξυνήψατο;

(2) Καθάπερ γὰρ ἡ μὲν Ἀντιμάχου ποίησις καὶ τὰ Διονυσίου ζωγραφήματα, τῶν Κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον ἐκβεβιασμένους καὶ καταπόνοις ἔοικε, ταῖς δὲ Νικομάχου γραφαῖς καὶ τοῖς Ὁμήρου στίχοις μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι, οὕτως παρὰ τὴν Ἐπαμεινώνδου στρατηγίαν καὶ τὴν Ἀγησιλάου, πολυπόνους γενομένας καὶ δυσάγωνας, ἡ Τιμολέοντος ἀντεξεταζομένη καὶ μετὰ τοῦ καλοῦ πολὺ τὸ ῥᾳδίως ἔχουσα φαίνεται τοῖς εὖ καὶ δικαίως λογιζομένοις οὐ τύχης ἔργον, ἀλλ' ἀρετῆς εὐτυχούσης. (3) Καίτοι πάντα γ' ἐκεῖνος εἰς τὴν τύχην ἀνῆπτε τὰ κατορθούμενα· καὶ γὰρ γράφων τοῖς οἰκοι φίλοις καὶ δημηγορῶν πρὸς τοὺς Συρακοσίους πολλάκις ἔφη τῷ θεῷ χάριν ἔχειν, ὅτι βουλόμενος σῶσαι Σικελίαν ἐπεγράψατο τὴν αὐτοῦ προσηγορίαν. (4) Ἐπὶ δὲ τῆς οἰκίας ἱερὸν ἱδρυσάμενος Αὐτοματίας ἔθυσεν, αὐτὴν δὲ τὴν οἰκίαν Ἱερῷ Δαίμονι καθιέρωσεν. Ὤκει δὲ οἰκίαν, ἣν ἐξεῖλον αὐτῷ στρατηγίας ἀριστεῖον οἱ Συρακόσιοι, καὶ τῶν ἀγρῶν τὸν ἥδιστον καὶ κάλλιστον· ἐν ᾧ καὶ τὸ πλεῖστον τοῦ χρόνου κατεσχόλαζε μεταπεμψάμενος οἰκοθεν τὴν γυναῖκα καὶ τοὺς παῖδας. (5) Οὐ γὰρ ἐπανῆλθεν εἰς Κόρινθον οὐδὲ κατέμιξε τοῖς Ἑλληνικοῖς θορύβοις ἑαυτὸν οὐδὲ τῷ πολιτικῷ φθόνῳ παρέδωκεν, εἰς ὃν οἱ πλεῖστοι τῶν στρατηγῶν ἀπληστίᾳ τιμῶν καὶ δυνάμεως ἐξοκέλλουσιν, ἀλλ' ἐκεῖ κατέμεινε τοῖς ὑφ' ἑαυτοῦ μεμηχανημένοις ἀγαθοῖς χρώμενος· ὧν μέγιστον ἦν τὸ πόλεις τοσαύτας καὶ μυριάδας ἀνθρώπων δι' ἑαυτὸν ἐφορᾶν εὐδαιμονούσας.

XXXVII. Ἐπεὶ δὲ χρῆν, ὡς ἔοικεν, οὐ μόνον πᾶσι κορυδαλλοῖς λόφον ἐγγίνεσθαι, κατὰ Σιμωνίδην, ἀλλὰ καὶ πάσῃ δημοκρατίᾳ συκοφάντην, ἐπεχείρησαν καὶ Τιμολέοντι δύο τῶν δημαγωγῶν Λαφύστιος καὶ Δημαίνετος. (2) Ὧν Λαφυστίου μὲν αὐτὸν πρός τινα δίκην κατεγγυῶντος οὐκ εἶα θορυβεῖν οὐδὲ κωλύειν τοὺς πολίτας· ἑκὼν γὰρ αὐτὸς ὑπομεῖναι τοσούτους πόνους καὶ

vit, ut eum perinde atque conditorem diligerent. (3) Iidem erant reliquorum erga Timoleontem animi: neque ulla pacificatio, legum latio, agri divisio, civitatis constitutio videbatur recte habere, ubi non ille interfuisset atque ornatum, et tanquam opifex, rei perfectæ gratiam quandam diis acceptam decusque addidisset.

XXXVI. Cum enim eo tempore multi fuerint inter Græcos magni viri, qui res præclaras gesserint, ut Timotheus, ut Agesilaus, ut Pelopidas et quem maxime sibi ad imitandum Timoleon proposuerat, Epaminondas: eorum tamen facta violentiæ et labori splendorem commixtum habuerunt ac nonnulla ex iis reprehensio et pœnitentia subsecuta est, Timoleontis factis, fratris cæde, quam necessario patravit, excepta, nulli non potuit, ut Timæus auctor est, acclamari Sophocleum illud:

> Quænam Venus, vel quis Cupido, di boni,
> huic opitulatur?

(2) Nam quemadmodum Antimachi Colophonii versus, Dionysiique eadem urbe nati picturæ vim in se quandam nervosque habentes labore multo factæ et quasi vi expressæ videntur; Nicomachi vero tabulis et Homeri poematis præter reliquam gratiam et vim hoc quoque inest, ut prompte et nulla cum difficultate effecta videantur: ita Epaminondæ Agesilaique rebus militia gestis, multo labore ac periculis confectis, si Timoleontis facta conferantur, ultra pulchritudinem etiam id habent, quod perfacile videbuntur perpetrata; neque ea, qui sano sunt et æquo judicio, fortunæ, sed virtuti fortunatæ adscribent. (3) Quanquam ipse quidem omnia fortunæ accepta tulit; nam et scribens domum ad amicos et pro concione ad Syracusanos, non semel fassus est, deo se gratias habere, qui cum statuisset Siciliæ salutem afferre, nomen ipsius ei rei inscripserit. (4) Et cum apud domum suam fanum conderet, Fortis Fortunæ aram posuit, ipsamque domum Sacro Genio consecravit. Domum habitabat quam ei præclare gesti imperii præmium eximiam Syracusani dederunt, agrorumque omnium jucundissimum et pulcherrimum; in quo otii maximam partem exegit, accitis e patria ad se uxore et liberis. (5) Non enim redilt Corinthum, neque se tumultibus Græcis immiscuit, aut invidiæ civium sese permisit, in quam plerique duces nimia honorum et potentiæ cupiditate provecti impingunt: sed Syracusis remansit, ut bonis a se paratis frueretur, quorum erat maximum quod tot urbes, totque hominum millia videbat ipsius ductu feliciter vivere.

XXXVII. Enimvero quando non tantum omnibus cassitis (ut ait Simonides) cristæ nascuntur, sed et in unaqualibet populari reipublicæ administratione sycophantæ exsistunt: Timoleontem quoque duo populares oratores, Laphystius et Demænetus, invaserunt. (2) Et Laphystio quidem eum quadam de causa vadante cives tumultuantes atque impedire cupientes inhibuit Timoleon, libenter se tantos labo-

κινδύνους ὑπὲρ τοῦ τοῖς νόμοις χρῆσθαι τὸν βουλόμενον
254Συρακοσίων· τοῦ δὲ Δημαινέτου πολλὰ κατηγορήσαντος a
ἐν ἐκκλησίᾳ τῆς στρατηγίας, πρὸς ἐκεῖνον μὲν οὐδὲν
ἀντεῖπε, τοῖς δὲ θεοῖς ἔφη χάριν ὀφείλειν, οἷς εὔξατο
Συρακοσίους ἐπιδεῖν τῆς παῤῥησίας κυρίους γενομένους.
(3) Μέγιστα δ' οὖν καὶ κάλλιστα τῶν καθ' αὑτὸν Ἑλ-
λήνων ὁμολογουμένως διαπραξάμενος ἔργα καὶ μόνος,
ἐφ' ἃς οἱ σοφισταὶ διὰ τῶν λόγων τῶν πανηγυρικῶν
ἀεὶ παρεκάλουν πράξεις τοὺς Ἕλληνας, ἐν αὐταῖς ἀρι-
στεύσας, καὶ τῶν μὲν αὐτόθι κακῶν, ἃ τὴν ἀρχαίαν
Ἑλλάδα κατέσχεν, ὑπὸ τῆς τύχης προεκκομισθεὶς ἀναί-
μακτος καὶ καθαρὸς, ἐπιδειξάμενος δὲ δεινότητα μὲν
καὶ ἀνδρείαν τοῖς βαρβάροις καὶ τοῖς τυράννοις, δικαιο-
σύνην δὲ καὶ πραότητα τοῖς Ἕλλησι καὶ τοῖς φίλοις,
τὰ δὲ πλεῖστα τρόπαια τῶν ἀγώνων ἀδάκρυτα καὶ ἀ- b
πενθῆ τοῖς πολίταις καταστήσας, καθαρὰν δὲ τὴν Σι-
κελίαν ἐν οὐδ' ὅλοις ἔτεσιν ὀκτὼ ἀϊδίων καὶ συνοίκων
κακῶν καὶ νοσημάτων παραδοὺς τοῖς κατοικοῦσιν, ἤδη
πρεσβύτερος ὢν ἀπημβλύνθη τὴν ὄψιν, εἶτα τελέως
ἐπηρώθη μετ' ὀλίγον, οὔτε αὐτὸς ἑαυτῷ πρόφασιν πα-
ρασχὼν οὔτε παροινηθεὶς ὑπὸ τῆς τύχης, ἀλλὰ συγγενι-
κῆς τινος, ὡς ἔοικεν, αἰτίας καὶ καταβολῆς ἅμα τῷ
χρόνῳ συνεπιθεμένης. (4) Λέγονται γὰρ οὐκ ὀλίγοι
τῶν κατὰ γένος αὐτῷ προσηκόντων ὁμοίως ἀποβαλεῖν
τὴν ὄψιν ὑπὸ γήρως ἀπομαρανθεῖσαν. (5) Ὁ δὲ Ἄθα- c
νις ἔτι συνεστῶτος τοῦ πρὸς Ἵππωνα πολέμου καὶ Μά-
μερκον ἐν Μυλαῖς ἐπὶ στρατοπέδου φησὶν ἀπογλαυκω-
θῆναι τὴν ὄψιν αὐτοῦ καὶ πᾶσι φανερὰν γενέσθαι τὴν
πήρωσιν, οὐ μὴν ἀποστῆναι διὰ τοῦτο τῆς πολιορκίας,
ἀλλ' ἐμμείναντα τῷ πολέμῳ λαβεῖν τοὺς τυράννους· ὡς
δὲ ἐπανῆλθεν εἰς Συρακούσας εὐθὺς ἀποθέσθαι τὴν μο-
ναρχίαν καὶ παραιτεῖσθαι τοὺς πολίτας, τῶν πραγμά-
των εἰς τὸ κάλλιστον ἡκόντων τέλος.

XXXVIII. Ἐκεῖνον μὲν οὖν αὐτὸν ὑπομείναντα τὴν
συμφορὰν ἀλύπως ἧττον ἄν τις θαυμάσειε. Τῶν δὲ
Συρακοσίων ἄξιον ἄγασθαι τὴν πρὸς τὸν ἄνδρα τιμὴν
καὶ χάριν, ἣν ἐπεδείξαντο πεπηρωμένῳ φοιτῶντες ἐπὶ d
θύρας αὐτοὶ καὶ τῶν ξένων τοὺς παρεπιδημοῦντας ἄ-
γοντες εἰς τὴν οἰκίαν καὶ τὸ χωρίον, ὅπως θεάσαιντο
τὸν εὐεργέτην αὐτῶν, ἀγαλλόμενοι καὶ μέγα φρονοῦν-
τες, ὅτι παρ' αὐτοῖς εἵλετο καταζῆσαι τὸν βίον οὕτω
λαμπρᾶς ἐπανόδου τῆς εἰς τὴν Ἑλλάδα παρεσκευασμέ-
νης αὐτῷ διὰ τῶν εὐτυχημάτων καταφρονήσας. (2)
Πολλῶν δὲ καὶ μεγάλων εἰς τὴν ἐκείνου τιμὴν γραφο-
μένων καὶ πραττομένων οὐδενὸς ἧττον ἦν τὸ ψηφίσασθαι
τὸν τῶν Συρακοσίων δῆμον, ὁσάκις συμπέσοι πόλεμος
αὐτοῖς πρὸς ἀλλοφύλους, Κορινθίῳ χρῆσθαι στρατηγῷ.
(3) Καλὴν δὲ καὶ τὸ περὶ τὰς ἐκκλησίας γινόμενον ὄψιν e
εἰς τιμὴν αὐτοῦ παρεῖχε· τὰ γὰρ ἄλλα δι' αὐτῶν κρί-
νοντες ἐπὶ τὰς μείζονας διασκέψεις ἐκεῖνον ἐκάλουν. (4)
Ὁ δὲ κομιζόμενος δι' ἀγορᾶς ἐπὶ ζεύγους πρὸς τὸ θέα-
τρον ἐπορεύετο· καὶ τῆς ἀπήνης, ὥσπερ ἐτύγχανε κα-
θήμενος, εἰσαγομένης, ὁ μὲν δῆμος ἡσπάζετο μιᾷ φωνῇ
προσαγορεύων αὐτὸν, ὁ δ' ἀντασπασάμενος καὶ χρόνον

res ac pericula pertulisse inquiens, ut omnibus Syracu-
sanis uti legibus liceret; Demæneto autem in concione
multis verbis bellum ab eo administratum invadenti, nihil
respondit, nisi quod diis gratias se debere ingentes fassus
est, a quibus votis hoc contendisset, ut videre posset Syra-
cusanos libertatem impune loquendi adeptos. (3) Atque is
vir, cum haud dubie magnitudine et præstantia factorum
neminem sui temporis Græcorum parem sibi haberet, so-
lusque ea præstitisset, ad quæ obeunda in solemnibus Græ-
ciæ conventibus hortari oratores solebant; cum et illa
mala, quæ antiquam Græciam invaserunt, purus sangui-
nis et innocens, fortuna alio abducente, effugisset, et bar-
baris tyrannisque vim suam fortitudinemque, Græcis autem
atque eorum sociis justitiam et clementiam ostendisset, plu-
rima tropæa nullo prope civium luctu atque lacrimis parta
statuisset, Siciliam intra octavum annum malis diuturnis
morbisque jam familiaribus expurgatam incolis tradidisset:
provectus jam ætate visus obscuritate laboravit ac postmodo
sensim prorsus captus est luminibus, non quod ullam ipse
sibi ejus mali causam attulisset, aut a fortuna ludibrio ha-
bitus videretur, sed ingenerato, ut videtur, eo malo causa-
que, quæ deinde suo tempore erupit. (4) Nam haud pauci
ejus cognatorum similiter feruntur ætate oculorum usum
emarcescentem amisisse. (5) Athanis auctor est, bello
adhuc contra Mamercum et Hipponem durante, apud Mylas
ei cæcitatem accidisse, eumque casum nemini obscurum
fuisse; neque tamen eum propterea obsidionem solvisse,
sed in bello perseverasse, tyrannosque in suam redegisse po-
testatem: inde Syracusas reversum, statim imperio se ab-
dicasse et deprecatum esse cives rebus optimo in statu col-
locatis.

XXXVIII. Et fortasse minus mirum est, tam æquo animo
cæcitatem ab ipso latam. Syracusanorum in eo viro hono-
rando referendaque gratia studium admirationem profecto
meretur. Nam et ipsi cæcum inviserunt frequenter et ho-
spites domum ejus adduxerunt, qui virum de ipsis ita me-
ritum intuerentur: maximæque illis delectationi fuit et
lætitiæ, quod is tam feliciter gestis rebus cum sibi splendi-
dissimum in patriam reditum paravisset, apud ipsos vivere
maluisset. (2) Etsi autem multa ac magna decreta facta
sunt in ejus honorem, tamen id nulli omnino postponendum
est, quod constituit populus Syracusanus, ut, quotiescun-
que contra exteros bellum incideret, Corinthio duce uteren-
tur. (3) Magno etiam quod in concionibus fieri solebat ei
honori fuit, quod minores causas ipsi dijudicantes, si quid
gravius accidisset, ipsum in concionem advocabant. (4)
Tum ipse bigis per forum vectus in theatrum adveniebat,
atque ita ut sedebat intro gestatus, una totius populi voce
salutabatur; inde vicissim ipsis salutem precatus ac non-
nihil temporis eorum laudationibus acclamationibusque

τινὰ δοὺς ταῖς εὐφημίαις καὶ τοῖς ἐπαίνοις, εἶτα διακούσας τὸ ζητούμενον ἀπεφαίνετο γνώμην. (5) Ἐπιχειροτονηθείσης δὲ ταύτης οἱ μὲν ὑπηρέται πάλιν ἀπῆγον διὰ τοῦ θεάτρου τὸ ζεῦγος, οἱ δὲ πολῖται βοῇ καὶ κρότῳ προπέμψαντες ἐκεῖνον ἤδη τὰ λοιπὰ τῶν δημοσίων καθ' αὑτοὺς ἐχρημάτιζον.

XXXIX. Ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ f μετ' εὐνοίας, ὥσπερ πατὴρ κοινὸς, ἐκ μικρᾶς προφάσεως τῷ χρόνῳ συνεφαψαμένης ἐτελεύτησεν. (2) Ἡμερῶν δὲ δοθεισῶν τοῖς μὲν Συρακοσίοις εἰς τὸ παρασκευάσαι τὰ περὶ τὴν ταφὴν, τοῖς δὲ περιοίκοις καὶ ξένοις εἰς τὸ συνελθεῖν, τά τ' ἄλλα λαμπρᾶς χορηγίας ἔτυχε καὶ τὸ λέχος οἱ ψήφῳ τῶν νεανίσκων προκριθέντες ἔφερον κεκοσμημένον διὰ τῶν Διονυσίου τυραννείων τότε κατεσκαμμένων. (3) Προὔπεμπον δὲ πολλαὶ μυ- a ριάδες ἀνδρῶν καὶ γυναικῶν, ὧν ὄψις μὲν ἦν ἑορτῇ πρέπουσα, πάντων ἐστεφανωμένων καὶ καθαρὰς ἐσθῆτας φορούντων, φωναὶ δὲ καὶ δάκρυα συγκεκραμένα τῷ μακαρισμῷ τοῦ τεθνηκότος οὐ τιμῆς ἀφοσίωσιν οὐδὲ λειτουργίαν ἐκ προβουλεύματος, ἀλλὰ πόθον δίκαιον ἐπεδείκνυντο καὶ χάριν ἀληθινῆς εὐνοίας. (4) Τέλος δὲ τῆς κλίνης ἐπὶ τὴν πυρὰν τεθείσης Δημήτριος, ὃς ἦν μεγαλοφωνότατος τῶν τότε κηρύκων, γεγραμμένον ἀνεῖπε κήρυγμα τοιοῦτον· « Ὁ δῆμος ὁ Συρακοσίων Τιμολέοντα Τιμοδήμου Κορίνθιον τόνδε θάπτει μὲν διακοσίων μνῶν, ἐτίμησε δ' εἰς τὸν ἅπαντα χρόνον ἀγῶσι μουσικοῖς, ἱππικοῖς, γυμνικοῖς, ὅτι τοὺς τυράννους κα- b ταλύσας καὶ τοὺς βαρβάρους καταπολεμήσας καὶ τὰς μεγίστας τῶν ἀναστάτων πόλεων οἰκίσας ἀπέδωκε τοὺς νόμους τοῖς Σικελιώταις. » (5) Ἐποιήσαντο δὲ τὴν ταφὴν τοῦ σώματος ἐν ἀγορᾷ, καὶ στοὰς ὕστερον περιβαλόντες καὶ παλαίστρας ἐνοικοδομήσαντες γυμνάσιον τοῖς νέοις ἀνῆκαν καὶ Τιμολεόντειον προσηγόρευσαν. Αὐτοὶ δὲ χρώμενοι πολιτείᾳ καὶ νόμοις, οὓς ἐκεῖνος κατέστησεν, ἐπὶ πολὺν χρόνον εὐδαιμονοῦντες διετέλεσαν.

largitus, audita deinde re, de qua deliberaretur, suam ferebat sententiam. (5) Ea approbata ministri bigas a theatro abducebant, cives cum clamore et plausu eum prosecuti, postmodo de republica ipsi statuebant.

XXXIX. Hoc in honore senectutem suam exigens, cultus ut pater reipublicæ cum summa omnium benevolentia, levi morbo confectum annis corpus invadente, exstinctus est. (2) Dies aliquot definitæ sunt, intra quas et funus Syracusani pararent et vicini peregrinique ad id ducendum convenirent. His exactis, cum reliqua magnifice peracta sunt, tum lecti suffragio adolescentes primarii feretrum subierunt splendideque ornatum per regiam Dionysiorum tunc solo æquatam extulerunt. (3) Comitata est funus virorum mulierumque infinita multitudo : quorum adspectus solenni festo haud erat absimilis, omnibus coronatis et pura in veste conspicuis : voces autem lacrimæque vocibus, quibus mortui felicitatem prædicabant, commixtæ, non quibus honorem debitum ei persolverent, officioque ex senatusconsulto suscepto defungerentur, sed quæ justum viri ejus desiderium, et gratiam a vera profectam benevolentia testatam facerent. (4) Tandem feretro in rogum imposito, Demetrius omnium præconum vocalissimus, decretum tale de scripto recitavit : Populus Syracusanus Timoleontem hunc, Timodemi filium Corinthium, ducentis in funus collatis minis sepelit : honorandum autem in omne tempus certaminibus musicis, equestribus, gymnicisque decrevit, propterea quod tyrannis dejectis, debellatisque barbaris, maxime urbes ut frequentarentur, effecit, legesque suas Siculis restituit. (5) Humatum est corpus ejus in foro, sepulcroque postea temporis porticus circumducta, palæstraque inædificata, ubi juvenes exercerentur, et gymnasium Timoleonteum appellata. Syracusani republica et legibus utentes, ut Timoleon instituerat, multum temporis magna cum felicitate exegerunt.

ΑΙΜΙΛΙΟΣ ΠΑΥΛΟΣ.

II. Τὸν Αἰμιλίων οἶκον ἐν Ῥώμῃ τῶν εὐπατριδῶν γεγονέναι καὶ παλαιῶν οἱ πλεῖστοι συγγραφεῖς ὁμολογοῦσιν. Ὅτι δ' ὁ πρῶτος αὐτῶν καὶ τῷ γένει τὴν ἐπωνυμίαν ἀπολιπὼν Μάμερκος ἦν, Πυθαγόρου παῖς τοῦ σοφοῦ, δι' αἰμυλίαν λόγου καὶ χάριν Αἰμίλιος προσαγορευθεὶς, εἰρήκασιν ἔνιοι τῶν Πυθαγόρᾳ τὴν Νομᾶ τοῦ βασιλέως παίδευσιν ἀναθέντων. (2) Οἱ μὲν οὖν πλεῖστοι τῶν εἰς δόξαν ἀπὸ τῆς οἰκίας ταύτης προελθόντων δι' ἀρετὴν, ἣν ἐζήλωσαν, εὐτύχησαν· Λευκίου δὲ Παύλου τὸ περὶ Κάννας ἀτύχημα τήν τε φρόνησιν ἅμα καὶ τὴν ἀνδρείαν ἔδειξεν. (3) Ὡς γὰρ οὐκ ἔπεισε τὸν συνάρχοντα κωλύων μάχεσθαι, τοῦ μὲν ἀγῶνος ἄκων μετέσχεν αὐτῷ, τῆς δὲ φυγῆς οὐκ ἐκοινώνησεν, ἀλλὰ τοῦ συνάψαντος τὸν κίνδυνον ἐγκαταλιπόντος αὐτὸς ἑστὼς καὶ μαχόμενος τοῖς πολεμίοις ἐτελεύτησε.

ÆMILIUS PAULUS.

II. Æmiliorum familiam apud Romanos et patriciam fuisse et vetustam plerique historici fatentur : nomen autem a hoc a Mamerco Pythagoræ philosophi filio (qui a gratia et venustate sermonis, quæ Græcis est αἰμυλία, cognomentum Æmilii tulerit) principe ejus familiæ ortum tradunt nonnulli ex iis, qui a Pythagora institutum Numam regem asserunt. (2) Plurimi eorum, qui ex hac familia illustres fuerunt, virtutis studio felicitatem sibi paraverunt. L. autem Pauli apud Cannas casus prudentiam viri, juxtaque fortitudinem demonstravit. (3) Cum enim collegam a proposito pugnandi deducere non potuisset, in prœlio invitus quidem ei adfuit, fugæ autem socium se non præbuit; sed eo, qui pugnæ committendæ auctor fuerat, exercitum in ipso discrimine derelinquente, ipse perstans et pugnans ab hostibus est in-

(4) Τούτου θυγάτηρ μὲν Αἰμιλία Σκηπίωνι τῷ μεγάλῳ συνῴκησεν, υἱὸς δὲ Παῦλος Αἰμίλιος, περὶ οὗ τάδε γράφεται, γεγονὼς ἐν ἡλικίᾳ κατὰ καιρὸν ἀνθοῦντα δόξαις καὶ ἀρεταῖς ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων διέλαμψεν οὐ ταὐτὰ τοῖς εὐδοκιμοῦσι τότε νέοις ἐπιτηδεύματα ζηλώσας οὐδὲ τὴν αὐτὴν ὁδὸν ἀπ' ἀρχῆς πορευθείς. (5) Οὔτε γὰρ λόγον ἤσκει περὶ δίκας, ἀσπασμούς τε καὶ δεξιώσεις καὶ φιλοφροσύνας, αἷς ὑποτρέχοντες οἱ πολλοὶ τὸν δῆμον ἐκτῶντο θεραπευτικοὶ καὶ σπουδαῖοι γενόμενοι, παντάπασιν ἐξέλιπε, πρὸς οὐδέτερον ἀφυῶς ἔχων, ὡς δ' ἑκατέρου κρείττονα τὴν ἀπ' ἀνδρείας καὶ δικαιοσύνης καὶ πίστεως δόξαν αὐτῷ περιποιούμενος, οἷς εὐθὺς διέφερε τῶν καθ' ἡλικίαν.

III. Πρώτην γοῦν τῶν ἐπιφανῶν ἀρχῶν ἀγορανομίαν μετελθὼν προεκρίθη δέκα δυεῖν ἀνδρῶν συναπογραψαμένων, οὓς ὕστερον ἅπαντας ὑπατεῦσαι λέγουσι. (2) Γενόμενος δ' ἱερεὺς τῶν Αὐγούρων προσαγορευομένων, οὓς τῆς ἀπ' ὀρνίθων καὶ διοσημειῶν ἀποδεικνύουσι Ῥωμαῖοι μαντικῆς ἐπισκόπους καὶ φύλακας, οὕτω προσέσχε τοῖς πατρίοις ἔθεσι καὶ κατενόησε τὴν τῶν παλαιῶν περὶ τὸ θεῖον εὐλάβειαν, ὥστε τιμήν τινα δοκοῦσαν εἶναι καὶ ζηλουμένην ἄλλως ἕνεκα δόξης τὴν ἱερωσύνην τῶν ἀκροτάτων μίαν ἀποφῆναι τεχνῶν καὶ μαρτυρῆσαι τοῖς φιλοσόφοις, ὅσοι τὴν εὐσέβειαν ὡρίσαντο θεραπείας θεῶν ἐπιστήμην εἶναι. (3) Πάντα γὰρ ἐδρᾶτο μετ' ἐμπειρίας ὑπ' αὐτοῦ καὶ σπουδῆς σχολὴν τῶν ἄλλων ἄγοντος ὅτε γίγνοιτο πρὸς τούτῳ καὶ παραλείποντος οὐδὲν οὐδὲ καινοτομοῦντος, ἀλλὰ καὶ τοῖς συνιερεῦσιν ἀεὶ καὶ περὶ τῶν μικρῶν διαφερομένου καὶ διδάσκοντος, ὡς εἰ τὸ θεῖον εὔκολόν τις ἡγεῖται καὶ ἀμεμφὲς εἶναι τῶν ἀμελειῶν, ἀλλὰ τῇ γε πόλει χαλεπὸν ἡ περὶ ταῦτα συγγνώμη καὶ παρόρασις· οὐδεὶς γὰρ ἐξ ἀρχῆς εὐθὺς μεγάλῳ παρανομήματι κινεῖ πολιτείαν, ἀλλὰ καὶ τὴν τῶν μειζόνων φρουρὰν καταλύουσιν οἱ προϊέμενοι τὴν ἐν τοῖς μικροῖς ἀκρίβειαν. (4) Ὅμοιον δὲ καὶ τῶν στρατιωτικῶν ἐθῶν τε καὶ πατρίων ἐξεταστὴν καὶ φύλακα παρεῖχεν ἑαυτὸν, οὐ δημαγωγῶν ἐν τῷ στρατηγεῖν οὐδ', ὥσπερ οἱ πλεῖστοι τότε, δευτέρας ἀρχὰς ταῖς πρώταις μνώμενος διὰ τοῦ χαρίζεσθαι καὶ πρᾷος εἶναι τοῖς ἀρχομένοις, ἀλλ', ὥσπερ ἱερεὺς ἄλλων ὀργίων δεινῶν, τῶν περὶ τὰς στρατείας ἐθῶν ἐξηγούμενος ἕκαστα καὶ φοβερὸς ὢν τοῖς ἀπειθοῦσι καὶ παραβαίνουσιν ὥρθου τὴν πατρίδα μικροῦ δεῖν πάρεργον ἡγούμενος τὸ νικᾶν τοὺς πολεμίους τοῦ παιδεύειν τοὺς πολίτας.

IV. Συστάντος δὲ τοῦ πρὸς Ἀντίοχον τὸν μέγαν πολέμου τοῖς Ῥωμαίοις καὶ τῶν ἡγεμονικωτάτων ἀνδρῶν τετραμμένων πρὸς ἐκεῖνον, ἄλλος ἀπὸ τῆς ἑσπέρας ἀνέστη πόλεμος ἐν Ἰβηρίᾳ κινημάτων μεγάλων γινομένων. (2) Ἐπὶ τοῦτον ὁ Αἰμίλιος ἐξεπέμφθη στρατηγὸς, οὐχ ἓξ ἔχων πελέκεις, ὅσους ἔχουσιν οἱ στρατηγοῦντες, ἀλλὰ προσλαβὼν ἑτέρους τοσούτους, ὥστε τῆς ἀρχῆς ὑπατικὸν γενέσθαι τὸ ἀξίωμα. (3) Μάχῃ μὲν οὖν δὶς ἐκ παρατάξεως ἐνίκησε τοὺς βαρβάρους περὶ τρισμυ-

terfectus. (4) Hujus filia Æmilia Scipioni Africano nupta fuit. Filius autem Æmilius Paulus, de quo nobis præsens est sermo, ut attigit adolescentiam, eo tempore, quo summi gloriaque et virtute clarissimi viri multi florebant, diversa ab æqualium studiis studia, aliamque viam ab initio secutus est. (5) Nam neque dicendis causis se dedit, et salutationes et prensationes, quibus plerique populum sedulo et ambitiose demerebantur, omnino vitavit, et erat quidem natura ad utrumque satis idoneus: sed potiorem quam utrumque illud gloriam ex fortitudine, justitia et fide, quibus jam tum æquales suos anteibat, quærebat.

III. Itaque ædilitatem primum de superioribus magistratibus petens, competitoribus duodecim prælatus est, quos omnes deinde consulatum gessisse perhibent. (2) Augur deinde factus (augures Romani auspiciorum et ostentorum habent inspectores et custodes) ita patrios ritus observavit, priscorumque in colendo numine religioni animum advertit, ut id sacerdotium, quod honoris gloriæque causa aliosquin expetebatur, ostenderit unam esse ex summis artibus, philosophisque testem se præbuerit, qui pietatem scientiam esse colendi numinis definierunt. (3) Omnia enim perite ac studiose agebat, eoque munere fungens, omnibus aliis negotiis rejectis, nihil, quod ad id munus pertineret, omittebat, nihil novi moliebatur, sed cum collegis etiam de minimis rebus subinde disputabat: docebatque, etiamsi credendum esset deos incuriam ipsorum negligere, neque vindicare, tamen urbi eam perniciosam fore; neminem enim esse, qui initio statim magno aliquo delicto rempublicam perverteret, sed tamen eum, qui in minutis rebus non esset diligentiæ accuratæ, custodiam etiam majorum dimittere. (4) Eundem se militaris disciplinæ institutorumque in re bellica a majoribus propagatorum examinatorem custodemque præbuit; etenim non ita gessit imperium, ut militum animos sibi blandiendo devinciret, neque, quod plerique tum fecerunt, captanda gratia subditorum aliam ex alia dignitatem quæsivit, sed perinde ac sacerdos alia sacra veneranda, sic ille disciplinam militarem singulatim edissertabat, terribilemque se exhibens iis, qui officium detrectassent prodidissentve, ea ratione patriæ res firmabat, ut disciplinæ civium maxime intentus victoriam propemodum appendicem ejus duceret.

IV. Ceterum Romanis bellum contra Antiochum Magnum gerentibus, præstantissimisque ducibus eo occupatis, aliud ab occidua terrarum parte exstitit, Hispania magnis motibus concitata. (2) Missus ad id est Æmilius cum exercitu, non sex lictores, ut prætoribus in usu est, habens, sed duodecim, ut proconsulare imperium ejus declararetur. (3) Bis collatis signis barbaros vicit, ac circiter triginta millia hostium cecidit:

ρίους ἀνελὼν, καὶ δοκεῖ τὸ κατόρθωμα τῆς στρατηγίας περιφανῶς γενέσθαι, χωρίων εὐφυΐᾳ καὶ ποταμοῦ τινος διαβάσει ῥᾳστώνην παρασχόντος αὐτοῦ πρὸς τὸ νίκημα τοῖς στρατιώταις, πόλεις δὲ πεντήκοντα καὶ διακοσίας ἐχειρώσατο δεξαμένας αὐτὸν ἑκουσίως. (4) Εἰρήνῃ δὲ καὶ πίστει συνηρμοσμένην ἀπολιπὼν τὴν ἐπαρχίαν εἰς Ῥώμην ἐπανῆλθεν οὐδὲ δραχμῇ μιᾷ γεγονὼς εὐπορώτερος ὑπὸ τῆς στρατηγίας. (5) Ἦν δὲ καὶ περὶ τἆλλα χρηματιστὴς ἀργότερος, εὐδάπανος δὲ καὶ ἀφειδὴς ἐκ τῶν ὑπαρχόντων. Οὐ πολλὰ δ' ἦν, ἀλλὰ καὶ φερνῆς b ὀφειλομένης τῇ γυναικὶ μετὰ τὸν θάνατον αὐτοῦ γλίσχρως ἐξήρκεσεν.

V. Ἔγημε δὲ Παπιρίαν, ἀνδρὸς ὑπατικοῦ Μάσωνος θυγατέρα, καὶ χρόνον συνοικήσας πολὺν ἀφῆκε τὸν γάμον, καίπερ ἐξ αὐτῆς καλλιτεκνότατος γενόμενος. Αὕτη γὰρ ἦν ἡ τὸν κλεινότατον αὐτῷ Σκηπίωνα τεκοῦσα καὶ Μάξιμον Φάβιον. (2) Αἰτία δὲ γεγραμμένη τῆς διαστάσεως οὐκ ἦλθεν εἰς ἡμᾶς, ἀλλ' ἔοικεν ἀληθής τις εἶναι λόγος περὶ γάμου λύσεως γενόμενος, ὡς ἀνὴρ Ῥωμαῖος ἀπεπέμπετο γυναῖκα, τῶν δὲ φίλων νουθετούντων αὐτὸν, « Οὐχὶ σώφρων; οὐκ εὔμορφος; οὐχὶ παιδοποιός; » προτείνας τὸ ὑπόδημα (κάλτιον αὐτὸ Ῥωμαῖοι καλοῦσιν) εἶπεν· « Οὐκ εὐπρεπὴς οὗτος; οὐ c νεουργής; ἀλλ' οὐκ ἂν εἰδείη τις ὑμῶν, καθ' ὅ τι θλίβεται μέρος οὐμὸς πούς. » (3) Τῷ γὰρ ὄντι μεγάλαι μὲν ἁμαρτίαι ἀναπεπταμέναι γυναῖκας ἀνδρῶν ἄλλας ἀπήλλαξαν· τὰ δ' ἔκ τινος ἀηδίας καὶ δυσαρμοστίας ἠθῶν μικρὰ καὶ πυκνὰ προσκρούσματα, λανθάνοντα τοὺς ἄλλους, ἀπεργάζεται τὰς ἀνηκέστους ἐν ταῖς συμβιώσεσιν ἀλλοτριότητας. (4) Ὁ δ' οὖν Αἰμίλιος ἀπαλλαγεὶς τῆς Παπιρίας ἑτέραν ἠγάγετο· καὶ δύο παῖδας ἄρρενας τεκούσης τούτους μὲν ἐπὶ τῆς οἰκίας εἶχε, τοὺς δὲ προτέρους εἰσεποίησεν οἴκοις τοῖς μεγίστοις καὶ γένεσι τοῖς ἐπιφανεστάτοις, τὸν μὲν πρεσβύτερον ** ἀπὸ d Μαξίμου Φαβίου τοῦ πεντάκις ὑπατεύσαντος, τὸν δὲ νεώτερον Ἀφρικανοῦ Σκηπίωνος υἱὸς, ἀνεψιὸν ὄντα, θέμενος Σκηπίωνα προσηγόρευσε. (6) Τῶν δὲ θυγατέρων τῶν Αἰμιλίου τὴν μὲν ὁ Κάτωνος υἱὸς ἔγημε, τὴν δ' Ἀίλιος Τουβέρων, ἀνὴρ ἄριστος καὶ μεγαλοπρεπέστατα Ῥωμαίων πενίᾳ χρησάμενος. (6) Ἦσαν γὰρ ἑκκαίδεκα συγγενεῖς, Αἴλιοι πάντες· οἰκίδιον δὲ πάνυ μικρὸν ἦν αὐτοῖς καὶ χωρίδιον ἓν ἤρκει πᾶσι μίαν ἑστίαν νέμουσι μετὰ παίδων πολλῶν καὶ γυναικῶν. Ἐν αἷς καὶ ἡ Αἰμιλίου τοῦδε θυγάτηρ ἦν δὶς ὑπατεύσαντος καὶ e δὶς θριαμβεύσαντος, οὐκ αἰσχυνομένη τὴν πενίαν τοῦ ἀνδρὸς, ἀλλὰ θαυμάζουσα τὴν ἀρετὴν, δι' ἣν πένης ἦν. (7) Οἱ δὲ νῦν ἀδελφοὶ καὶ συγγενεῖς, ἂν μὴ κλίμασι καὶ ποταμοῖς καὶ διατειχίσμασιν ὁρίσωσι τὰ κοινὰ καὶ πολλὴν εὐρυχωρίαν ἐν μέσῳ λάβωσιν ἀπ' ἀλλήλων, οὐ παύονται διαφερόμενοι. Ταῦτα μὲν οὖν ἡ ἱστορία λογίζεσθαι καὶ παρεπισκοπεῖν δίδωσι τοῖς σώζεσθαι βουλομένοις.

VI. Ὁ δ' Αἰμίλιος ὕπατος ἀποδειχθεὶς ἐστράτευσεν ἐπὶ τοὺς παραλπίους Λίγυας, οὓς ἔνιοι καὶ Λιγυστίνους

eamque victoriam artibus præsertim imperatoriis consecutus videtur, locorum opportunitate ac fluminis cujusdam trajectu militibus pugnam faciliorem machinatus; urbes ducentas quinquaginta, quæ libenter eum exceperunt, in potestatem redegit. (4) Provincia paci et fidei reddita, Romam rediit, ne uno quidem denario ditior factus ea expeditione. (5) Erat alioquin etiam rei faciendæ negligentior, sed liberales de suo sumptus faciebat, quanquam exiguis plane facultatibus : nam ipso mortuo vix suppetiit unde dos uxori debita persolveretur.

V. Habuit in matrimonio primum Papiriam, Masonis viri consularis filiam : quam diu ejus conjugio usus, sublatisque ex ea pulcherrimis liberis, Scipione nimirum gloriosissimo et Fabio Maximo, repudiavit. (2) Causa divortii ad nos non pervenit; sed videtur verum esse quod jactatum est de discidio : Romanus vir quispiam uxori suæ nuntium remiserat; hic amicis eum objurgantibus, eamque pudicam tamen, formosam, fœcundamque esse dicentibus, calceum protendens : Nonne, inquit, hic elegans est? nonne novus? sed tamen nemo vestrûm novit, quo loco pedem meum urgeat. (3) Verum est enim, propter magna plerumque quæ emanarent vitia viros a mulieribus esse alienatos; sed non minus illæ ex quadam morum molestia et discrepantia, leves quidem et crebræ exortæ offensiones, quæ alios latent, insanabilem faciunt vitæ dissociationem. (4) Æmilius post hanc igitur aliam duxit, quæ cum eum duorum fecisset filiorum patrem, priores adoptandos in familias illustrissimas dedit; majorem Fabii Maximi nepos, ejus qui consul quinquies fuit, minorem vero natu filius Scipionis Africani consobrinum suum adoptavit eumque Scipionem nominavit. (5) Filiarum Æmilii alteram Catonis filius duxit, alteram Ælius Tubero, vir optimus et quo nemo Romanorum paupertatem præclarius tulit. (6) Etenim sedecim unius gentis Ælii unam exiguam domum possidebant, uniusque prædii fructibus se sustentabant, unaque ista in domo multis cum liberis et uxoribus habitabant; inter quas Æmilii etiam, qui duos consulatus gessit, bisque triumphavit, filia fuit : neque eam paupertatis viri pudebat, quin virtutem potius, qua paupertatem ferebat, mirabatur. (7) Nostro tempore fratres et cognati, nisi regionibus, fluviis murisque communia bona distinguant, longoque a se invicem sint remoti spatio, altercandi finem nullum faciunt. Hoc obiter animadvertendum considerandumque iis, quibus sua salus curæ est, historia offert.

VI. Porro Æmilius consul creatus, contra Ligures Alpinos exercitum duxit, quos nonnulli etiam Ligustinos appel-

ὀνομάζουσι, μάχιμον καὶ θυμοειδὲς ἔθνος, ἐμπείρως δὲ πολεμεῖν διδασκόμενον ὑπὸ Ῥωμαίων διὰ τὴν γειτνίασιν. (2) Τὰ γὰρ ἔσχατα τῆς Ἰταλίας καὶ καταλήγοντα f πρὸς τὰς Ἄλπεις αὐτῶν τε τῶν Ἄλπεων τὰ κλυζόμενα τῷ Τυῤῥηνικῷ πελάγει καὶ πρὸς τὴν Λιβύην ἀνταίροντα νέμονται μεμιγμένοι Γαλάταις καὶ τοῖς παραλίοις Ἰβήρων. (3) Τότε δὲ καὶ τῆς θαλάττης ἁψάμενοι σκάφεσι πειρατικοῖς ἀφῃροῦντο καὶ περιέκοπτον τὰς ἐμπορίας ἄχρι στηλῶν Ἡρακλείων ἀναπλέοντες. (4) Ἐπιόντος οὖν τοῦ Αἰμιλίου τετρακισμύριοι γενόμενοι τὸ πλῆθος ὑπέστησαν· ὁ δὲ τοὺς σύμπαντας ὀκτακισχιλίους ἔχων πενταπλασίοις οὖσιν αὐτοῖς συνέβαλε καὶ τρεψάμενος καὶ κατακλείσας εἰς τὰ τείχη διέβωκε λόγον φιλάνθρω-
258πον καὶ συμβατικόν. Οὐ γὰρ ἦν βουλομένοις τοῖς a Ῥωμαίοις παντάπασιν ἐκκόψαι τὸ Λιγύων ἔθνος ὥσπερ ἔρκος ἢ πρόβολον ἐμποδὼν κείμενον τοῖς Γαλατικοῖς κινήμασιν ἐπαιωρουμένοις ἀεὶ περὶ τὴν Ἰταλίαν. Πιστεύσαντες οὖν τῷ Αἰμιλίῳ τάς τε ναῦς καὶ τὰς πόλεις ἐνεχείρισαν. (5) Ὁ δὲ τὰς μὲν πόλεις οὐδὲν ἀδικήσας ἢ μόνον τὰ τείχη περιελὼν ἀπέδωκε, τὰς δὲ ναῦς ἁπάσας ἀφείλετο καὶ πλοῖον οὐδὲν αὐτοῖς τρισκαλμου μεῖζον ἀπέλιπε· τοὺς δ' ἡλωκότας ὑπ' αὐτῶν κατὰ γῆν ἢ κατὰ θάλατταν ἀνεσώσατο πολλοὺς καὶ ξένους καὶ Ῥωμαίους εὐρεθέντας. Ἐκείνη μὲν οὖν ἡ ὑπατεία τὰς εἰρημένας
25 πράξεις ἐπιφανεῖς ἔσχεν. (6) Ὕστερον δὲ πολλάκις b ποιήσας φανερὸν αὐτὸν αὖθις ὑπατεῦσαι βουλόμενον καί ποτε καὶ παραγγείλας, ὡς ἀπέτυχε καὶ παρώφθη τὸ λοιπὸν ἡσυχίαν εἶχε τῶν ἱερῶν ἐπιμελούμενος καὶ τοὺς παῖδας ἀσκῶν τὴν μὲν ἐπιχώριον παιδείαν καὶ
30 πάτριον ὥσπερ αὐτὸς ἤσκητο, τὴν δ' Ἑλληνικὴν φιλοτιμότερον. (7) Οὐ γὰρ μόνον γραμματικοὶ καὶ σοφισταὶ καὶ ῥήτορες, ἀλλὰ καὶ πλάσται καὶ ζωγράφοι καὶ πώλων καὶ σκυλάκων ἐπιστάται καὶ διδάσκαλοι θήρας Ἕλληνες ἦσαν περὶ τοὺς νεανίσκους. Ὁ δὲ
35 πατὴρ, εἰ μή τι δημόσιον ἐμποδὼν εἴη, παρῆν ἀεὶ μελετῶσι καὶ γυμναζομένοις φιλοτεκνότατος Ῥωμαίων γενόμενος.

VII. Τῶν δὲ δημοσίων πράξεων καιρὸς ἦν ἐκεῖνος c τότε, καθ' ὃν Περσεῖ τῷ Μακεδόνων βασιλεῖ πολεμοῦν-
40 τες ἐν αἰτίαις τοὺς στρατηγοὺς εἶχον, ὡς δι' ἀπειρίαν καὶ ἀτολμίαν αἰσχρῶς καὶ καταγελάστως τοῖς πράγμασι χρωμένους καὶ πάσχοντας κακῶς μᾶλλον ἢ ποιοῦντας. (2) Ἄρτι μὲν γὰρ Ἀντίοχον τὸν ἐπικληθέντα Μέγαν εἴξαντα τῆς ἄλλης Ἀσίας ὑπὲρ τὸν Ταῦρων ἐκβαλόντες
45 καὶ κατακλείσαντες εἰς Συρίαν ἐπὶ μυρίοις καὶ πεντακισχιλίοις ταλάντοις ἀγαπήσαντα τὰς διαλύσεις, ὀλίγῳ δὲ πρόσθεν ἐν Θεσσαλίᾳ συντρίψαντες Φίλιππον καὶ τοὺς Ἕλληνας ἀπὸ Μακεδόνων ἐλευθερώσαντες, ᾧ τε βασιλεὺς οὐδεὶς παραβλητὸς εἰς τόλμαν ἢ δύναμιν ἦν d
50 Ἀννίβαν καταπολεμήσαντες, οὐκ ἀνεκτὸν ἡγοῦντο Περσεῖ καθάπερ ἀντιπάλῳ τῆς Ῥώμης ἴσον φερόμενοι συμπεπλέχθαι, πολὺν ἤδη χρόνον ἀπὸ τῶν λειψάνων τῆς πατρῴας ἥττης πολεμοῦντι πρὸς αὐτοὺς, ἀγνοοῦντες ὅτι πολλῷ τὴν Μακεδόνων δύναμιν ἡττηθεὶς Φίλιππος

lant. Gens est bellicosa feroxque, et propter vicinitatem a Romanis usum belli edocta. (2) Habitant enim extremas Italiæ partes, quæ ad Alpes desinunt, ipsasque Alpes qua Tyrrheno mari alluuntur et ad Africam obversæ sunt : permixti sunt Gallis, et maritimis Hispanis. (3) At tunc mare ingressi, piraticis navigiis usque ad Herculis columnas vehebantur, negotiatorumque bona intercipiebant eosque spoliabant. (4) Æmilium venientem, coacto quadraginta millium agmine, substiterunt; isque cum octo millibus militum (tot enim omnino habebat) hostem aggressus fudit, et intra oppida compulit. Humaniter inde cum iis de pace jungenda locutus (non enim habebant in animo Romani Ligures delere, sed valli tanquam loco aut munitionis eos objectos volebant Gallicis, semper Italiæ imminentibus, impressionibus) in fidem eos suam recepit, traditis sibi urbibus et navibus. (5) Urbes nullo damno affectas, muris modo destructis, reddidit : naves vero omnes ademit, neque ullum navigium, quod tribus remis plures haberet, reliquit : captos ab iis terra marique cum Romanos, tum exteros, quorum erat magnus numerus, liberavit. Hæc eo consulatu ab ipso egregie gesta. (6) Post cum aliquoties præ se tulisset, cupere se denuo consulem fieri et aliquando etiam ambiisset eum magistratum repulsam passus neglectusque otio se dedit, sacrisque curandis, et liberis non tantum Romanis usitata patriaque disciplina, qua ipse fuerat instructus, sed Græca etiam impensius instituendis operam navavit. (7) Non enim grammaticen modo, philosophiam et oratoriam, sed et fingere, pingere, equos et canes tractare ac venari qui docerent juvenes, Græci erant : ac nisi quid publici negotii avocaret, ipse pater studiis et exercitationibus adolescentum intererat semper, neque Romanorum quisquam majori liberos suos est amore complexus.

VII. Respublica tunc temporis eo erat statu, ut contra Perseum regem Macedoniæ belligerantes accusarentur, quod ob imperitiam ignaviamque turpiter ac ridicule rem gererent, plusque acciperent, quam darent, damni. (2) Romani vero, qui nuper Antiochum eum, qui Magnus usurpabatur, reliqua Asia expulsum ultra Taurum montem rejecerant, in Syriamque inclusum coegerant, ut pacem redimere quindecim millibus talentorum gratum haberet; qui paulo ante Philippum in Thessalia fregerant, Græcisque jugum Macedonum detraxerant; qui ipsum Hannibalem, quocum nullus regum audaciæ aut potentiæ nomine erat componendus, debellaverant : indigne ferebant cum Perseo sibi conflictandum, quasi vero is Romæ viribus par ac non e reliquiis paternæ cladis jam diutius bellum gereret; non enim intelligebant, Philippum victum potentiam Macedo-

ἐῤῥωμενεστέραν καὶ μαχιμωτέραν ἐποίησε. Περὶ ὧν ὀλίγα βραχέως ἄνωθεν ἀρξάμενος.

VIII. Ἀντίγονος μέγιστον δυνηθεὶς τῶν Ἀλεξάνδρου διαδόχων καὶ στρατηγῶν κτησάμενος ἑαυτῷ καὶ γένει τὴν τοῦ βασιλέως προσηγορίαν υἱὸν ἔσχε Δημήτριον, οὗ παῖς Ἀντίγονος ἦν ὁ Γονατᾶς ἐπονομασθείς· τούτου δὲ Δημήτριος, ὃς αὐτός τε βασιλεύσας χρόνον οὐ πολὺν υἱόν τε παῖδα τὴν ἡλικίαν ἀπολιπὼν Φίλιππον ἐτελεύτησε. (2) Δείσαντες δὲ τὴν ἀναρχίαν οἱ πρῶτοι Μακεδόνων Ἀντίγονον ἐπάγονται τοῦ τεθνηκότος ἀνεψιὸν ὄντα, καὶ συνοικίσαντες αὐτῷ τὴν μητέρα τοῦ Φιλίππου πρῶτον μὲν ἐπίτροπον καὶ στρατηγὸν, εἶτα πειρώμενοι μετρίου καὶ κοινωφελοῦς βασιλέα προσηγόρευσαν. Ἐπεκλήθη δὲ Δώσων ὡς ἐπαγγελτικὸς, οὐ τελεσιουργὸς δὲ τῶν ὑποσχέσεων. (3) Μετὰ τοῦτον βασιλεύσας ὁ Φίλιππος ἤνθησεν ἐν τοῖς μάλιστα τῶν βασιλέων ἔτι μειράκιον ὢν καὶ δόξαν ἔσχεν ὡς ἀναστήσει Μακεδονίαν εἰς τὸ παλαιὸν ἀξίωμα καὶ μόνος ἐπὶ πάντας ἤδη τὴν Ῥωμαίων δύναμιν αἰρομένην καθέξων. (4) Ἡττηθεὶς δὲ μεγάλῃ μάχῃ περὶ Σκοτοῦσσαν ὑπὸ Τίτου Φλαμινίνου τότε μὲν ἔπτηξε καὶ πάντα τὰ καθ' ἑαυτὸν ἐπέτρεψε Ῥωμαίοις καὶ τυχὼν ἐπιτιμήσεως μετρίας ἠγάπησεν. (5) Ὕστερον δὲ βαρέως φέρων καὶ τὸ βασιλεύειν χάριτι Ῥωμαίων ἡγούμενος αἰχμαλώτου τρυφὴν ἀγαπῶντος εἶναι μᾶλλον ἢ φρόνημα καὶ θυμὸν ἔχοντος ἀνδρὸς, ἐπεῖχε τῷ πολέμῳ τὴν γνώμην καὶ συνετάττετο λάθρα καὶ πανούργως. (6) Τῶν γὰρ πόλεων τὰς ἐνοδίους καὶ παραθαλαττίους ἀσθενεῖς γενομένας περιορῶν καὶ ὑπερήμους, ὡς καταφρονεῖσθαι, πολλὴν ἄνω συνῆγε δύναμιν, καὶ τὰ μεσόγεια χωρία καὶ φρούρια καὶ πόλεις ὅπλων καὶ χρημάτων πολλῶν καὶ σωμάτων ἀκμαζόντων ἐμπεπληκὼς ἐσωμάσκει τὸν πόλεμον καὶ συνεῖχεν ὥσπερ ἐγκεκρυμμένον ἀδήλως. (7) Ὅπλων μὲν γὰρ ἀργούντων ἀπέκειντο τρεῖς μυριάδες, ὀκτακόσιαι δὲ σίτου μεδίμνων ἦσαν ἐγκατῳκοδομημένου τοῖς τείχεσι, χρημάτων δὲ πλῆθος ὅσον ἤρκει μισθοφόρους ἔτη δέκα μυρίους τρέφειν προπολεμοῦντας τῆς χώρας. (8) Ἀλλ' ἐκεῖνος μὲν οὐκ ἔφθη ταῦτα κινῆσαι καὶ προαγαγεῖν εἰς ἔργον ὑπὸ λύπης καὶ δυσθυμίας προέμενος τὸν βίον· ἔγνω γὰρ ἀδίκως τὸν ἕτερον τῶν υἱῶν Δημήτριον ἐκ διαβολῆς τοῦ χείρονος ἀνῃρηκώς. (9) Ὁ δ' ἀπολειπόμενος υἱὸς αὐτοῦ Περσεὺς ἅμα τῇ βασιλείᾳ διεδέξατο τὴν πρὸς Ῥωμαίους ἔχθραν, οὐκ ὢν ἐχέγγυος ἐνεγκεῖν διὰ μικρότητα καὶ μοχθηρίαν ἤθους, ἐν ᾧ παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων ἐπρώτευεν ἡ φιλαργυρία. (10) Λέγεται δὲ μηδὲ γνήσιος φῦναι, λαβεῖν δ' αὐτὸν ἡ συνοικοῦσα τῷ Φιλίππῳ νεογνὸν ἀκεστρίας τινὸς Ἀργολικῆς Γναθαινίας τούνομα τεκούσης καὶ λαθεῖν ὑποβαλομένη. Δι' ὃ καὶ μάλιστα δοκεῖ τὸν Δημήτριον φοβηθεὶς ἀποκτεῖναι, μὴ γνήσιον ἔχων ὁ οἶκος διάδοχον ἀποκαλύψῃ τὴν ἐκείνου νοθείαν.

IX. Οὐ μὴν ἀλλὰ, καίπερ ὢν ἀγεννὴς καὶ ταπεινὸς, ὑπὸ ῥώμης τῶν πραγμάτων ἀναφερόμενος πρὸς τὸν πόνον μείζονα καὶ μαχιμωτέραν ἐποίησε. Περὶ ὧν ὀλίγα βραχέως ἄνωθεν ἀρξάμενος.

VIII. Antigonus omnium Alexandri Magni successorum ducumque potentissimus, regiumque nomen etiam stirpis suæ causa sibi sumens, filium habuit Demetrium: hoc natus est Antigonus Gonatas cognomento, pater Demetrii: hic Demetrius cum regnasset annos non multos, Philippo filio puero etiamnum relicto mortuus est. (2) Primores Macedonum ne sine capite regnum labefactaretur veriti, Antigonum Demetrii consobrinum cum matre Philippi conjugio devinxerunt, ac primum tutorem ducemque, post cum moderatum hominem et reipublicæ utilem experti essent, regem constituerunt. Δώσων (i. e. Daturus) ejus cognomen fuit; nam in promittendo liberalis, pollicita segniter implebat. (3) Successit huic rex Philippus, statimque in ipsa adolescentia ita floruit, ut inter præstantissimos reges censeretur videreturque Macedoniæ pristinam dignitatem reparaturus, solusque vim Romanam omnibus tunc imminentem inhibiturus. (4) Sed apud Scotussam victus magna pugna a T. Flaminino, tunc quidem se demisit Romanorumque se fidei commisit, et pœna mediocri affectus acquievit. (5) Postea vero temporis moleste id ferens, existimansque gratia Romanorum regnum tenere captivi verius esse delicias captantis, quam viri animum spiritusque se dignosque habentis, ad bellum cogitationes intendit, idque clam et astu paravit. (6) Quippe urbibus in itinere et ora maritima positis, ut essent earum vires fractæ et hominibus exhaustæ despicerentur, neglectis, magnas in interiores regni partes conduxit copias; mediterranea castella, arces urbesque armorum, pecuniæ robustorumque hominum multitudine implevit, et ad bellum occulte apud se veluti inclusum corpora militum exercebat. (7) Etenim armorum tantus numerus erat repositus, quibus tunc utebatur nemo, quantus triginta hominum millibus armandis satis esset; octies millena medimnorum frumenti millia erant murorum ædificiis inclusi; pecuniæ tanta vis, quæ ad decem millibus hominum Macedoniam defendentibus stipendia in decennium persolvenda sufficeret. (8) Veruntamen ut bellum hoc efferret, vita ei non suppetiit, quam dolore ægritudineque animi finivit, cum cognovisset, Demetrium filium alterius pejoris calumnia circumventum injuste occisum. (9) Alter vero filius superstes, Perseus nomine, una cum regno inimicitias contra Romanos suscepit: quibus sane exsequendis impar erat, homo pusilli ingenii pravique, cujusque inter varia vitia et morbos præcipuus erat pecuniæ amor. (10) Fertur autem non fuisse legitimus, sed cum eum Argiva sartrix Gnathænia recens peperisset, uxor Philippi sublatum pro suo supposuisse dicitur: atque ob id potissimum Demetrio necem struxisse videtur, veritus ne, si in familia genuinus esset successor, spurius ipse deprehenderetur.

IX. Enimvero etsi erat abjecti et ignobilis animi, tamen rerum robore ad bellum excitatus, diu quidem restitit Ro-

λεμον ἔστη καὶ διηρείσατο πολὺν χρόνον ἡγεμόνας τε Ῥωμαίων ὑπατικοὺς καὶ στρατεύματα καὶ στόλους μεγάλους ἀποτριψάμενος, ἐνίων δὲ καὶ κρατήσας. (2) Πόπλιόν τε γὰρ Λικίννιον ἐμβαλόντα πρῶτον εἰς Μακεδονίαν τρεψάμενος ἱππομαχίᾳ δισχιλίους πεντακοσίους ἄνδρας ἀγαθοὺς ἀπέκτεινε καὶ ζῶντας ἄλλους ἑξακοσίους ἔλαβε, τοῦ τε ναυστάθμου περὶ Ὠρεὸν ὁρμοῦντος ἀπροσδόκητον ἐπίπλουν θέμενος εἴκοσι μὲν αὐτοφόρτους ὁλκάδας ἐχειρώσατο, τὰς δ' ἄλλας σίτου γεμούσας κατέδυσεν· ἐκράτησε δὲ καὶ πεντηρικὰ τέσσαρα. (3) Καὶ μάχην ἐπολέμησε τὸ δεύτερον, ἐν ᾗ τῶν ὑπατικῶν Ὁστίλιον ἀπεκρούσατο καταβιαζόμενον κατὰ τὰς Ἐλιμίας· λάθρα δὲ διὰ Θεσσαλίας ἐμβαλόντα προκαλούμενος εἰς μάχην ἐφόβησε. (4) Πάρεργον δὲ τοῦ πολέμου στρατείαν ἐπὶ Δαρδανεῖς θέμενος, ὡς δὴ τοὺς Ῥωμαίους ὑπερῤῥῶν καὶ σχολάζων, μυρίους τῶν βαρβάρων κατέκοψε καὶ λείαν ἠλάσατο πολλήν. (5) Ὑπεκίνει δὲ καὶ Γαλάτας τοὺς περὶ τὸν Ἴστρον ᾠκημένους, Βαστέρναι καλοῦνται, στρατὸν ἱππότην καὶ μάχιμον, Ἰλλυριούς τε διὰ Γενθίου τοῦ βασιλέως παρεκάλει συνεφάψασθαι τοῦ πολέμου. Καὶ λόγος κατέσχεν, ὡς τῶν βαρβάρων μισθῷ πεπεισμένων ὑπ' αὐτοῦ διὰ τῆς κάτω Γαλατίας παρὰ τὸν Ἀδρίαν ἐμβαλεῖν εἰς τὴν Ἰταλίαν.

X. Ταῦτα τοῖς Ῥωμαίοις πυνθανομένοις ἐδόκει τὰς τῶν στρατηγιόντων χάριτας καὶ παραγγελίας ἐάσαντας αὐτοὺς καλεῖν ἐπὶ τὴν ἡγεμονίαν ἄνδρα νοῦν ἔχοντα καὶ πράγμασι χρῆσθαι μεγάλοις ἐπιστάμενον. (2) Οὗτος ἦν Παῦλος Αἰμίλιος, ἡλικίας μὲν ἤδη πρόσω καὶ περὶ ἑξήκοντα γεγονὼς ἔτη, ῥώμῃ δὲ σώματος ἀκμάζων, πεφραγμένος δὲ κηδεσταῖς καὶ παισὶ νεανίαις καὶ φίλων πλήθει καὶ συγγενῶν μέγα δυναμένων, οἳ πάντες αὐτὸν ὑπακοῦσαι καλοῦντι τῷ δήμῳ πρὸς τὴν ὑπατείαν ἔπειθον. (3) Ὁ δὲ κατ' ἀρχὰς μὲν ἐθρύπτετο πρὸς τοὺς πολλοὺς καὶ διέκλινε τὴν σπουδήν, ὡς μὴ ζεόμενος τοῦ ἄρχειν, φοιτώντων δὲ καθ' ἡμέραν ἐπὶ θύρας καὶ προκαλουμένων αὐτὸν εἰς ἀγορὰν καὶ καταβοώντων ἐπείσθη· καὶ φανεὶς εὐθὺς ἐν τοῖς μετιοῦσι τὴν ὑπατείαν ἔδοξεν οὐκ ἀρχὴν ληψόμενος, ἀλλὰ νίκην καὶ κράτος πολέμου κομίζων καὶ διδοὺς τοῖς πολίταις καταβαίνειν εἰς τὸ πεδίον· μετὰ τοσαύτης ἐλπίδος καὶ προθυμίας ἐδέξαντο πάντες αὐτὸν καὶ κατέστησαν ὕπατον τὸ δεύτερον οὐκ ἐάσαντες κλῆρον γενέσθαι, καθάπερ εἰώθει περὶ τῶν ἐπαρχιῶν, ἀλλ' εὐθὺς ἐκείνῳ ψηφισάμενοι τοῦ Μακεδονικοῦ πολέμου τὴν ἡγεμονίαν. (4) Λέγεται δ' αὐτὸν, ὡς ἀνηγορεύθη κατὰ τοῦ Περσέως στρατηγὸς, ὑπὸ τοῦ δήμου παντὸς οἴκαδε προπεμφθέντα λαμπρῶς εὑρεῖν τὸ θυγάτριον τὴν Τερτίαν δεδακρυμένην ἔτι παιδίον οὖσαν· ἀσπαζόμενον οὖν αὐτὴν ἐρωτᾶν ἐφ' ὅτῳ λελύπηται· τὴν δὲ περιβαλοῦσαν καὶ καταφιλοῦσαν· « Οὐ γὰρ οἶσθα, εἰπεῖν, ὦ πάτερ, ὅτι ἡμῖν ὁ Περσεὺς τέθνηκεν », λέγουσαν κυνίδιον σύντροφον οὕτω προσαγορευόμενον· καὶ τὸν Αἰμίλιον « Ἀγαθῇ τύχῃ, φάναι, ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν. » Ταῦτα

manorum ducibus viris consularibus, et magnos exercitus classesque contra se missos repulit, nonnullos etiam superavit. (2) P. enim Licinium, qui primus Macedoniam intravit, equestri prœlio fudit, duo millia et quingentos egregios viros interfecit, sexcentos cepit. Classem item Romanam apud Oreum subductam subito adortus a mari, naves viginti cum ipsis oneribus abduxit, reliquas frumento onustas demersit; quin et quattuor quinqueremes cepit. (3) Et iterum pugnam commisit, qua Hostilium consularem virum repulit, eumque vi apud Elimias, occulte per Thessaliam transitum in Macedoniam molientem, ad pugnam provocando terruit. (4) Præterea Romanis contemptis, quasi vacans a bello contra ipsos et aliud agens, expeditionem in Dardanos fecit ac decem millibus cæsis, ingentem prædam egit. (5) Gallos etiam, qui circa Istrum incolunt (Basternæ vocantur) concitavit, equitatu et belli usu valentes : et Illyrios opera Genthii regis hortatus est, ut simul bellum susciperent : rumorque erat, barbaros mercede ab eo conductos per inferiorem Galliam juxta sinum Adriaticum in Italiam irrupturos.

X. Hæc Romani cum accepissent, statuerunt, omissa imperare cupientium gratia et ambitione, virum aliquem bello præficere prudentem et rerum magnarum administrationis gnarum. (2) Is erat Æmilius Paulus : ætate quidem jam provecta (circiter enim sexagesimum annum agebat), corpore tamen adhuc valido, tum generis et filiis adolescentibus, amicorumque ac potentium cognatorum copia stipatus, qui eum omnes hortabantur, ut populo ad consulatum invitanti obsequeretur. (3) Ergo etsi initio multitudinis cupiditatem studiumque aspernabatur, quasi nihil imperium desiderans : tamen cum quotidie ad ipsius fores convenirent frequentes atque in forum vocarent et magno clamore urgerent, concessit tandem, statimque inter consulatum ambientes visus, non petere magistratum sed victoriam et robur belli afferre populoque in Campum descendendi facultatem dare existimatus est : tanta cum spe ac studio omnes eum acceperunt et iterum consulem creaverunt, nec sortiri, ut solet de provinciis, permiserunt, sed statim eum ducem belli Macedonici decreverunt. (4) Memoriæ proditum est eum, cum præfectus bello contra Perseum splendide ab universo populo domum esset deductus, filiolam Tertiam plorantem domi offendisse : eamque salutatam a patre ac de causa tristitiæ interrogatam complexu osculoque patri reddito respondisse : Nescis vero, mi pater, Perseum nostrum mortuum esse ? (loquebatur autem de catello, quem id nominis gerentem alebat. Et respondisse Æmilium : Dii bene vertant, mea filiola, acci-

μὲν οὖν Κικέρων ὁ ῥήτωρ ἐν τοῖς περὶ μαντικῆς ἱστόρηκεν.

XI. Εἰωθότων δὲ τῶν ὑπατείαν λαβόντων οἷον ἀνθομολογεῖσθαι τινὰ χάριν, καὶ προσαγορεύειν φιλοφρόνως τὸν δῆμον ἀπὸ τοῦ βήματος, Αἰμίλιος εἰς ἐκκλησίαν συναγαγὼν τοὺς πολίτας, τὴν μὲν προτέραν ὑπατείαν μετελθεῖν ἔφη αὐτὸς ἀρχῆς δεόμενος, τὴν δὲ c δευτέραν ἐκείνων στρατηγοῦ δεομένων· δι' ὃ μηδεμίαν αὐτοῖς χάριν ἔχειν, ἀλλ', εἰ νομίζουσι δι' ἑτέρου βέλτιον ἕξειν τὰ κατὰ τὸν πόλεμον, ἐξίστασθαι τῆς ἡγεμονίας, εἰ δὲ πιστεύοθσιν αὐτῷ, μὴ παραστρατηγεῖν μηδὲ λογοποιεῖν, ἀλλ' ὑπουργεῖν σιωπῇ τὰ δέοντα πρὸς τὸν πόλεμον, ὡς, ἐὰν ἄρχοντος ἄρχειν ζητῶσιν, ἔτι μᾶλλον ἢ νῦν καταγελάστους ἐν ταῖς στρατείαις ἐσομένους. (2) Ἀπὸ τούτων τῶν λόγων πολλὴν μὲν αἰδῶ πρὸς αὑτὸν ἐνεποίησε τοῖς πολίταις, μεγάλην δὲ προσδοκίαν τοῦ μέλλοντος, ἡδομένων ἁπάντων, ὅτι τοὺς κολακεύοντας παρελθόντες εἵλοντο παῤῥησίαν ἔχοντα καὶ φρόνημα στρατηγόν. Οὕτως ἐπὶ τῷ κρατεῖν καὶ μέγιστος εἶναι τῶν ἄλλων ἀρετῆς καὶ τοῦ καλοῦ δοῦλος ἦν ὁ Ῥωμαίων δῆμος.

XII. Αἰμίλιον δὲ Παῦλον, ὡς ἐξώρμησεν ἐπὶ τὴν στρατείαν, πλοῦ μὲν εὐτυχίᾳ καὶ ῥᾳστώνῃ χρήσασθαι πορείας κατὰ δαίμονα τίθημι, σὺν τάχει καὶ μετ' ἀσφαλείας εἰς τὸ στρατόπεδον κομισθέντα· τοῦ δὲ πολέμου καὶ τῆς στρατηγίας αὐτοῦ τὸ μὲν τόλμης ὀξύτητι, τὸ δὲ βουλεύμασι χρηστοῖς, τὸ δὲ φίλων ἐκθύμοις ὑπηρεσίαις, τὸ δὲ τῷ παρὰ τὰ δεινὰ θαῤῥεῖν καὶ χρῆσθαι λογισμοῖς ἀραρόσιν ὁρῶν διαπεπραγμένον οὐκ ἔχω τῇ λεγομένῃ τοῦ ἀνδρὸς εὐτυχίᾳ λαμπρὸν ἀποδοῦναι καὶ διάσημον ἔργον οἷον ἑτέρων στρατηγῶν· εἰ μή τις ἄρα τὴν Περσέως φιλαργυρίαν Αἰμιλίῳ τύχην ἀγαθὴν περὶ τὰ πράγματα γενέσθαι φήσει, ἣ λαμπρὰ καὶ μεγάλα πρὸς τὸν πόλεμον ἀρθέντα ταῖς ἐλπίσι τὰ Μακεδόνων ἀνέτρεψε καὶ κατέβαλε πρὸς ἀργύριον ἀποδειλιάσαντος. (2) Ἦκον μὲν γὰρ αὐτῷ δεηθέντι Βαστέρναι, μύριοι μὲν ἱππεῖς, μύριοι δὲ παραβάται, μισθοφόροι πάντες, ἄνδρες οὐ γεωργεῖν εἰδότες, οὐ πλεῖν, οὐκ ἀπὸ ποιμνίων ζῆν νέμοντες, ἀλλ' ἓν ἔργον καὶ μίαν τέχνην μελετῶντες ἀεὶ μάχεσθαι καὶ κρατεῖν τῶν ἀντιτατομένων. (3) Ὡς δὲ περὶ τὴν Μαιδικὴν f καταστρατοπεδεύσαντες ἐπεμίγνυντο τοῖς παρὰ τοῦ βασιλέως ἄνδρες ὑψηλοὶ μὲν τὰ σώματα, θαυμαστοὶ δὲ τὰς μελέτας, μεγάλαυχοι δὲ καὶ λαμπροὶ ταῖς κατὰ τῶν πολεμίων ἀπειλαῖς, θάρσος παρέστησαν τοῖς Μακεδόσι καὶ δόξαν, ὡς τῶν Ῥωμαίων οὐχ ὑπομενούντων, ἀλλ' ἐκπλαγησομένων τὴν ὄψιν αὐτὴν καὶ τὴν κίνησιν ἔκφυλον οὖσαν καὶ δυσπρόσοπτον. (4) Οὕτω a διαθεὶς τοὺς ἀνθρώπους ὁ Περσεὺς καὶ τοιούτων ἐμπλήσας ἐλπίδων αἰτούμενος καθ' ἕκαστον ἡγεμόνα χιλίους, πρὸς τὸ γιγνόμενον τοῦ χρυσίου πλῆθος ἰλιγγιάσας καὶ παραφρονήσας ὑπὸ μικρολογίας ἀπείπατο καὶ προήκατο τὴν συμμαχίαν ὥσπερ οἰκονομῶν, οὐ πολεμῶν Ῥωμαίοις, καὶ λογισμὸν ἀποδώσων ἀκριβῆ τῆς εἰς τὸν

pio omen. Hoc Cicero orator in libro de Divinatione narravit.

XI. Mos erat, ut qui consules essent creati, oratione ad populum pro rostris blanda gratias agerent. Ejus servandi causa Æmilius in concionem progressus priorem se consulatum ambiisse dixit, quod magistratum gerere cuperet : posteriorem accepisse ipsorum causa, ducem belli desiderantium : non igitur gratias ipsis habere. Proinde si ab alio quopiam bellum id rectius geri posse censerent, libenter se ei locum cedere : sin ipsi rem crederent, non imperatoris in partes se ingererent, neque rumores sererent, sed taciti ea quibus opus esset, subministrarent : alioquin fore ut, si imperatori quæ agenda essent præscribere ipsi vellent, magis etiam quam ante militia ipsorum rideatur. (2) His dictis effecit, ut magna ipsius verecundia civibus d incesserit, optimamque de eventu spem conceperint, omnesque lætati siat, omissis adulatoribus, ad liberi oris animosumque ducem summam rerum delatam esse : adeo populus Romanus illo tempore, ut aliis imperaret et omnium gentium maximus esset, virtuti et honestati serviebat.

XII. Porro quod Æmilius ad exercitum proficiscens secunda navigatione prosperoque usus est itinere, et absque mora et tuto in castra pervenit, fortunæ ascribo; bello autem atque imperio res prospere ab eo partim audaci celeritate, partim bono consilio, tum alacri amicorum ministerio, et confidentia in periculis, opportunorumque consiliorum usu gestas cernens, non habeo quodnam præclarum e et illustre facinus ejus felicitati, sicut in reliquis imperatoribus feci, imputem; nisi forte Persei quis avaritiam Æmilio felicem rerum successum attulisse judicet : hæc enim res Macedonum ad maximam de prospero belli successu spem erectas evertit, quum ad pecuniam erogandam non satis animi haberet. (2) Etenim Perseo roganti auxilio adduxerunt Basternæ decem millia equitum ac totidem peditum, qui equitibus adjuncti, usu ita ferente, vicem eorum gererent, omnes non agriculturæ, non navigandi, non pascendi pecoris peritos, sed qui aliam, quam pugnare et hostem superare, artem nullam didicissent. (3) Qui ut apud f Mædos castra metati cum regio exercitu convenerunt, viri altis corporibus, miro armorum usu, admodum gloriosi minisque contra hostes superbi, confirmaverant Macedones eosque opinione imbuerant Romanos eorum congressum non laturos, sed ipso aspectu atque motu corporum alieno et terribili consternatum iri. (4) In hanc spem cum evexisset suorum animos Perseus et Basternæ in singulos duces mille aureos postulassent, sordidus homo ad multitudinem auri impendendi, quasi vertigine oborta, mente captus, auxilium eorum respuit abdicavitque : quasi vero quæstor Romanorum esset ac non contra illos bellum gereret, sed rationem accuratam sumptuum bellicorum hostibus

πόλεμον δαπάνης οἷς ἐπολέμει· καὶ διδασκάλους εἶχεν ἐκείνους, οἷς ἄνευ τῆς ἄλλης παρασκευῆς στρατιωτῶν δέκα μυριάδες ἦσαν ἠθροισμέναι καὶ παρεστῶσαι ταῖς χρείαις. (5) Ὁ δὲ πρὸς δύναμιν ἀνταίρων τηλικαύτην καὶ πόλεμον, οὗ τοσοῦτον ἦν τὸ παρατρεφόμενον, διε- b μέτρει καὶ παρεσημαίνετο τὸ χρυσίον ἄψασθαι δεδιὼς ὥσπερ ἀλλοτριῶν. (6) Καὶ ταῦτ' ἔπραττεν οὐ Λυδῶν τις οὐδὲ Φοινίκων γεγονὼς, ἀλλὰ τῆς Ἀλεξάνδρου καὶ Φιλίππου κατὰ συγγένειαν ἀρετῆς μεταποιούμενος, οἳ τῷ τὰ πράγματα τῶν χρημάτων ὠνητά, μὴ τὰ χρήματα τῶν πραγμάτων ἡγεῖσθαι πάντων ἐκράτησαν. Ἐῤῥέθη γοῦν, ὅτι τὰς πόλεις αἱρεῖ τῶν Ἑλλήνων οὐ Φίλιππος, ἀλλὰ τὸ Φιλίππου χρυσίον. (7) Ἀλέξανδρος δὲ τῆς ἐπ' Ἰνδοὺς στρατείας ἁπτόμενος καὶ βαρὺν ὁρῶν καὶ δύσογκον ἤδη τὸν Περσικὸν ἐφελκομένους πλοῦτον τοὺς Μακεδόνας πρώτας ὑπέπρησε τὰς βασιλικὰς c ἁμάξας, εἶτα τοὺς ἄλλους ἔπεισε ταὐτὸ ποιήσαντας ἐλαφροὺς ἀναζεῦξαι πρὸς τὸν πόλεμον ὥσπερ λελυμένους. (8) Περσεὺς δὲ τὸν χρυσὸν αὐτὸς αὑτοῦ καὶ τέκνων καὶ βασιλείας καταχεόμενος οὐκ ἠθέλησε δι' ὀλίγων σωθῆναι χρημάτων, ἀλλὰ μετὰ πολλῶν κομισθεὶς ὁ πλούσιος αἰχμάλωτος ἐπιδείξασθαι Ῥωμαίοις ὅσα φεισάμενος ἐτήρησεν αὐτοῖς.

XIII. Οὐ γὰρ μόνον ἀπέπεμψε τοὺς Γαλάτας ψευσάμενος, ἀλλὰ καὶ Γένθιον ἐπάρας τὸν Ἰλλυριὸν ἐπὶ τριακοσίοις ταλάντοις συνεφάψασθαι τοῦ πολέμου τὰ μὲν χρήματα τοῖς παρ' αὐτοῦ πεμφθεῖσι προὔθηκεν ἠριθμημένα καὶ κατασημήνασθαι παρέσχεν· ὡς δὲ πεισθεὶς ἔχειν ἃ ᾔτησεν ὁ Γένθιος ἔργον ἀσεβὲς καὶ δεινὸν ἔδρασε (πρέσβεις γὰρ ἐλθόντας Ῥωμαίων πρὸς αὐτὸν συνέλαβε καὶ κατέδησεν), ἡγούμενος ὁ Περσεὺς οὐδὲν ἔτι δεῖσθαι τῶν χρημάτων τὴν ἐκπολέμωσιν, ἅλυτα τοῦ Γενθίου προδεδωκότος ἔχθρας ἐνέχυρα καὶ διὰ τηλικαύτης ἀδικίας ἐμβεβληκότος ἑαυτὸν εἰς τὸν πόλεμον, ἀπεστέρησε τὸν κακοδαίμονα τῶν τριακοσίων ταλάντων καὶ περιεῖδεν ὀλίγῳ χρόνῳ μετὰ τέκνων καὶ γυναικὸς ὡς ἀπὸ νεοττιᾶς ἀρθέντας τῆς βασιλείας ὑπὸ Λευκίου Ἀνικίου στρατηγοῦ πεμφθέντος ἐπ' αὐτὸν μετὰ δυνάμεως. (2) Ἐπὶ τοιοῦτον ἀντίπαλον ἐλθὼν ὁ e Αἰμίλιος αὐτοῦ μὲν κατεφρόνει, τὴν δ' ὑπ' αὐτῷ παρασκευὴν καὶ δύναμιν ἐθαύμαζεν. Ἦσαν γὰρ ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δ' εἰς φάλαγγα τετρακισμυρίων οὐ πολλοῖς ἀποδέοντες. (3) Ἱδρυμένος δὲ πρὸ τῆς θαλάττης παρὰ τὴν Ὀλυμπικὴν ὑπώρειαν ἐπὶ χωρίων οὐδαμόθεν προσαγωγὴν ἐχόντων καὶ πάντοθεν ὑπ' αὐτοῦ διαπεφραγμένων ἐρύμασι καὶ προτειχίσμασι ξυλίνοις πολλὴν ἄδειαν ἦγεν ἀποτρύσειν χρόνῳ καὶ χρημάτων δαπάνῃ τὸν Αἰμίλιον ἡγούμενος. (4) Ὁ δὲ τῇ γνώμῃ μὲν ἦν ἐνεργὸς ἐπὶ πᾶν βούλευμα καὶ πᾶσαν f τρεπόμενος πεῖραν, ὑπ' ἀδείας δὲ τῆς πρόσθεν τὸν στρατὸν ὁρῶν δυσανασχετοῦντα καὶ λόγῳ πολλὰ διαστρατηγοῦντα τῶν ἀπράκτων, ἐπετίμησεν αὐτοῖς καὶ παρήγγειλε μηδὲν πολυπραγμονεῖν μηδὲ φροντίζειν, ἀλλ' ἢ τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πανοπλίαν ἕκαστον,

reddere opus haberet. Et quidem ab illis discere poterat, quibus præter alium apparatum, centum millia militum erant collecta et ad usum belli parata. (5) At Perseus tantis copiis repugnans tantumque sustinens bellum, qui alioquin tot otiosos homines aleret, pecuniam dimensam consignavit, eamque tangere metuit haud aliter quam alienam. (6) Neque id faciebat Lydus homo, aut Pœnus, sed qui generis nomine virtutum Philippi et Alexandri gloriam sibi vindicaret; atque hac ratione, quod pecunia omnes res confici, non pecuniam rebus agendis potiorem judicassent, omnia in suam potestatem redegerant. Sane dictum vulgo est, non a Philippo, sed auro ejus urbes Græciæ esse captas. (7) Alexander in Indiam expeditionem faciens, vidensque Macedonas Persicis divitiis secum vehendis impediri, primus currus regios cremavit, ceterisque persuasit ut idem facerent expeditique ad bellum irent, tanquam vinculis soluti. (8) Contra Perseus auro suam, liberorum regnique salutem obruens, maluit multa cum pecunia captus Romanis ostendere, quantum ipsis sua parsimonia thesaurum conservasset, quam parvis sumptibus salutem sibi parare.

XIII. Non enim Gallos tantum falsa fide dimisit, sed et Genthium Illyrium cum promissis trecentis talentis ad societatem pellexisset, pecuniam numeratam nuntiis ab eo d missis proposuit et obsignare jussit; post cum Genthius credens se mercedem speratam habere, legatos Romanorum ad se missos comprehendisset et in vincula conjecisset, Perseus existimans nihil oportere eum pecunia ad bellum contra Romanos suscipiendum adduci, cum Genthius ipse certissima inimicitiæ dedisset pignora ac tam nefario facinore Romanorum contra se arma concitasset : trecentis istis talentis miserum defraudavit, pauloque post passus est eum a L. Anicio Romanorum prætore cum exercitu contra eum misso e regno cum liberis et uxore, tanquam e nido abripi. (2) Adversus hunc adversarium profectus Æmilius, ipsum quidem despexit, apparatum vero bellicum ejus copiasque admirabatur. Erant enim equitum quattuor millia et phalanx peditum paulo minus quadragies millium. (3) Consederat autem prope litus ad radices Olympi montis, locis inaccesis, propugnaculisque et ligneis munitionibus septis plane securus, speransque se mora et pecuniarum impensis Æmilii vires consumpturum. (4) At vero Æmilius vir erat impiger animoque ad omnia consilia obverso, nihil intentatum relinquebat. Cum videret, milites pristinæ licentiæ adsuetos ægre ferre disciplinam atque inanibus verbis in multis quæ quidem fieri non poterant imperatoris partes exsequi : dictis corripuit mandavitque, ne plus sibi sumerent neve quid aliud quam sua corpora curarent et arma, ut cum res ita tulisset et ipse rei gerendæ opportunitatem

ὅπως ἐνεργὸν παρέξει καὶ χρήσεται Ῥωμαϊκῶς τῇ μαχαίρᾳ, τὸν καιρὸν παραδόντος τοῦ στρατηγοῦ. (5)
262 Τὰς δὲ νυκτερινὰς ἐκέλευσε φυλακὰς ἄνευ λόγχης φυ- a
λάττειν, ὡς μᾶλλον προσέξοντας καὶ διαμαχουμένους
πρὸς τὸν ὕπνον, ἂν ἀμύνασθαι τοὺς πολεμίους μὴ δύνωνται προσιόντας.

XIV. Ἐνοχλουμένων δὲ τῶν ἀνθρώπων μάλιστα περὶ τὴν τοῦ ποτοῦ χρείαν (καὶ γὰρ ὀλίγον καὶ πονηρὸν ἐπίδυε καὶ συνελείβετο παρ' αὐτὴν τὴν θάλατταν) ὁρῶν ὁ Αἰμίλιος μέγα καὶ κατηρεφὲς δένδρεσιν ὄρος τὸν Ὄλυμπον ἐπικείμενον καὶ τεκμαιρόμενος τῇ χλωρότητι τῆς ὕλης ναμάτων ἔχειν ἀρχὰς διὰ βάθους ὑποφερομένων, ἀναπνοὰς αὐτοῖς καὶ φρέατα πολλὰ παρὰ τὴν ὑπώρειαν ὤρυττε. Τὰ δ' εὐθὺς ἐπίμπλατο ῥευμάτων b
καθαρῶν ἐπισυνδιδόντος ὁλκῇ καὶ φορᾷ τοῦ θλιβομένου πρὸς τὸ κενούμενον. (2) Καίτοι τινὲς οὐ φασιν ὑδάτων ἑτοίμων κεκρυμμένων πηγὰς ἐναποκεῖσθαι τοῖς τόποις, ἐξ ὧν ῥέουσιν, οὐδ' ἀποκάλυψιν, οὐδὲ ῥῆξιν εἶναι τὴν ἐκβολὴν αὐτῶν, ἀλλὰ γένεσιν καὶ σύστασιν ἐνταῦθα τῆς ὕλης ἐξυγραινομένης· ἐξυγρίνεσθαι δὲ πυκνότητι καὶ ψυχρότητι τὴν νοτερὰν ἀναθυμίασιν, ὅταν ἐν βάθει καταθλιβεῖσα ῥευστικὴ γένηται. (3) Καθάπερ γὰρ οἱ μαστοὶ τῶν γυναικῶν οὐχ ὥσπερ ἀγγεῖα πλήρεις εἰσὶν ἐπιῤῥέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν αὐτοῖς ἐργάζονται γάλα καὶ διηθοῦσιν, οὕτως οἱ περίψυκτοι καὶ πιδακώδεις τόποι τῆς γῆς ὕδωρ c
μὲν οὐκ ἔχουσι καλυπτόμενον, οὐδὲ κόλπους ῥεύματα καὶ βάθη ποταμῶν τοσούτων ἐξ ἑτοίμης καὶ ὑποκειμένης ἀφιέντας ἀρχῆς, τὸ δὲ πνεῦμα καὶ τὸν ἀέρα τῷ πιέζειν καὶ καταπυκνοῦν ἀποθλίβοντες εἰς ὕδωρ τρέπουσι. (4) Τὰ γοῦν ὀρυττόμενα τῶν χωρίων μᾶλλον ἀναπιδύει καὶ διανάει πρὸς τὴν τοιαύτην ψηλάφησιν, ὥσπερ οἱ μαστοὶ τῶν γυναικῶν πρὸς τὸν θηλασμόν, ἀνυγραίνοντα καὶ μαλάττοντα τὴν ἀναθυμίασιν· ὅσα δ' ἀργὰ τῆς γῆς συμπέφρακται τυφλὰ πρὸς γένεσιν ὑδάτων ἐστὶν οὐκ ἔχοντα τὴν ἐργαζομένην τὸ ὑγρὸν κίνησιν. (5) Οἱ δὲ ταῦτα λέγοντες ἐπιχειρεῖν δεδώ- d
κασι τοῖς ἀπορητικοῖς, ὡς οὐδὲ τὸ αἷμα τοῖς ζῴοις ἔνεστιν, ἀλλὰ γεννᾶται πρὸς τὰ τραύματα πνεύματός τινος ἢ σαρκῶν μεταβολῇ ῥύσιν ἀπεργασαμένῃ καὶ σύντηξιν. (6) Ἐλέγχονται δὲ τοῖς πρὸς τοὺς ὑπονόμους καὶ τὰς μεταλλείας ἀπαντῶσιν εἰς βάθη ποταμοῖς, οὐ κατ' ὀλίγον συλλεγομένοις, ὥσπερ εἰκός ἐστιν, εἰ γένεσιν ἐκ τοῦ παραχρῆμα κινουμένης τῆς γῆς λαμβάνουσιν, ἀλλ' ἀθρόοις ἀναχεομένοις. Ὀρῶν δὲ καὶ πέτρας πληγῇ ῥαγείσης ἐξεπήδησε ῥεῦμα λάβρον ὕδατος, εἶτα ἐπέλιπε. Ταῦτα μὲν περὶ τούτων.

XV. Ὁ δ' Αἰμίλιος ἡμέρας μέν τινας ἠρέμει, καί e
φασι μήποτε τηλικούτων στρατοπέδων ἐγγὺς οὕτω συνελθόντων ἡσυχίαν γενέσθαι τοσαύτην. (2) Ἐπεὶ δὲ κινῶν ἅπαντα καὶ πειρώμενος ἐπυνθάνετο μίαν εἰσβολὴν ἔτι μόνον ἄφρουρον ἀπολείπεσθαι τὴν διὰ Περῤῥαιβίας παρὰ τὸ Πύθιον καὶ τὴν Πέτραν, τῷ μὴ φυλάττεσθαι τὸν τόπον ἐλπίσας μᾶλλον ἢ δι' ἣν οὐκ ἐφυλάτ-

dedisset, strenue pugnarent, gladiisque Romano more uterentur. (5) Nocturnas excubias sine hastis ut agerent edixit, ut eo diligentius omnia observarent ac somnum repellerent, cum hostem irruentem arcere non possent.

XIV. Maxime autem de potus penuria quiritantibus militibus (paucis enim in locis aqua, et quidem potui incommoda, apud ipsum mare scaturiebat), cum cerneret Olympum montem magnum et arboribus consitum crebris imminere loco, conjiciens e viriditate silvæ fontium ibi esse principia, qui per profundum deferrentur, sub ipsa radice montis puteos multos egit, aeremque admisit: hique putei statim puris laticibus repleti sunt, ea quæ in angustiis premebatur aqua ad locum vacuum cum impetu decumbente. (2) Quanquam in ea quidam sunt opinione, non esse fontes aquarum jam ante collectarum iis in locis, ubi effluunt, abditos, neque hunc effluxum earum esse vel patefactionem vel eruptionem, sed aquam ibi demum nasci ac coalescere, materia ejus in liquorem conversa; transire autem in liquorem exhalationem humidam dum condensatur et refrigeratur, quando videlicet in profundo compressa fluida efficitur. (3) Ut enim mulierum mamillæ non vasa sint quæ affluente lacte jam ante confecto repleantur, sed succum ad se allatum mutando lac generent atque colent, ita humecta terræ et scaturiginibus apta loca non habere in se abditam aquam, neque sinus, qui fluxus tantæ aquæ tamque profundorum fluviorum jam ante paratos depromant, sed spiritum modo et aerem in iis comprimi ac condensari, itaque in aquam converti. (4) Itaque loca quæ effodiuntur, eam ob contrectationem promptius aquam edere emollienda et humectanda exhalatione, quemadmodum ubera lactantium plus lactis gignunt: densas autem ac stipatas terræ partes eo aquam non emittere, quod motus humorem efficientis non sint capaces. (5) Hæc qui asserunt, occasionem disputatoribus dederunt arguendi, ne sanguinem quidem inesse animantibus, sed generari apud vulnera spiritus alicujus aut carnis mutatione, quæ fluxum et colliquationem efficiat. (6) Refelluntur autem fluviis iis, qui occurrunt in cuniculis et metallis in profundum ductis, non illis paulatim (quod oportebat, si quidem terra subito mota ortum suum haberent) collectis, sed confertim se effundentibus: quin etiam montibus et saxis ictu dissipatis aliquando aquæ copia exsiluit, statimque desiit. Sed de his hactenus.

XV. Æmilius porro aliquot dies otiosos exegit: feruntque nunquam tantis copiis tam parvo intervallo oppositis tantam obtinuisse quietem. (2) Postquam omnibus tentatis unum adhuc in Macedoniam esse aditum cognovit per Perrhæbiam juxta Pythium et Petram, locum eum nullo præsidio tenente, magis in spem veniens rei gerendæ, quam difficultatem loci (quæ causa erat ut hostes eum non cu-

τετο δυσχωρίαν καὶ τραχύτητα δείσας ἐβουλεύετο. (3) Πρῶτος δὲ τῶν παρόντων ὁ Νασικᾶς ἐπικαλούμενος Σκηπίων, γαμβρὸς Ἀφρικανοῦ Σκηπίωνος, ὕστερον δὲ μέγιστον ἐν τῇ συγκλήτῳ δυνηθείς, ὑπεδέξατο τῆς κυκλώσεως ἡγεμὼν γενέσθαι. Δεύτερος δὲ Φάβιος Μάξιμος, ὁ πρεσβύτατος τῶν Αἰμιλίου παίδων, ἔτι μειράκιον ὤν, ἀνέστη προθυμούμενος. (4) Ἔσθεὶς οὖν ὁ Αἰμίλιος δίδωσιν αὐτοῖς οὐχ ὅσους Πολύβιος εἴρηκεν, ἀλλ' ὅσους αὐτὸς ὁ Νασικᾶς λαβεῖν φησι γεγραφὼς περὶ τῶν πράξεων τούτων ἐπιστόλιον πρός τινα τῶν βασιλέων. Οἱ μὲν ἐκτὸς τάξεως Ἰταλικοὶ τρισχίλιοι τὸ πλῆθος ἦσαν, τὸ δ' εὐώνυμον κέρας εἰς πεντακισχιλίους. (5) Τούτοις προσλαβὼν ὁ Νασικᾶς ἱππεῖς ἑκατὸν εἴκοσι καὶ τῶν παρ' Ἁρπάλῳ Θρᾳκῶν καὶ Κρητῶν ἀναμεμιγμένων διακοσίους ἐξώρμησε τῇ πρὸς θάλασσαν ὁδῷ καὶ κατεστρατοπέδευσε παρὰ τὸ Ἡράκλειον, ὡς δὴ ταῖς ναυσὶ μέλλων ἐκπεριπλεῖν καὶ κυκλοῦσθαι τὸ στρατόπεδον τῶν πολεμίων. (6) Ἐπεὶ δ' ἐδείπνησαν οἱ στρατιῶται καὶ σκότος ἐγένετο, τοῖς ἡγεμόσι φράσας τὸ ἀληθὲς ἦγε διὰ νυκτὸς τὴν ἐναντίαν ἀπὸ θαλάττης καὶ καταλύσας ἀνέπαυε τὴν στρατιὰν ὑπὸ τὸ Πύθιον. (7) Ἐνταῦθα τοῦ Ὀλύμπου τὸ ὕψος ἀνατείνει πλέον ἢ δέκα σταδίους· σημαίνεται δὲ ἐπιγράμματι τοῦ μετρήσαντος οὕτως·

Οὐλύμπου κορυφῆς ἔπι Πυθίου Ἀπόλλωνος
ἱερὸν, ὕψος ἔχει (πρὸς τὴν κάθετον δ' ἐμετρήθη)
πλήρη μὲν δεκάδα σταδίων μίαν, αὐτὰρ ἐπ' αὐτῇ
πλέθρον τετραπέδῳ λειπόμενον μεγέθει.
Εὐμήλου δέ μιν υἱὸς ἐθήκατο μέτρα κελεύθου
Ξεναγόρης· σὺ δ', ἄναξ, χαῖρε καὶ ἐσθλὰ δίδου.

(8) Καίτοι λέγουσιν οἱ γεωμετρικοὶ μήτε ὄρους ὕψος μήτε βάθος θαλάσσης ὑπερβάλλειν δέκα σταδίους. Ὁ μέντοι Ξεναγόρας οὐ παρέργως, ἀλλὰ μεθόδῳ καὶ δι' ὀργάνων εἰληφέναι δοκεῖ τὴν μέτρησιν.

XVI. Ὁ μὲν οὖν Νασικᾶς ἐνταῦθα διενυκτέρευσε. Τῷ δὲ Περσεῖ τὸν Αἰμίλιον ἀτρεμοῦντα κατὰ χώραν ὁρῶντι καὶ μὴ λογιζομένῳ τὸ γινόμενον ἀποδρὰς ἐκ τῆς ὁδοῦ Κρὴς αὐτόμολος ἦκε μηνύων τὴν περίοδον τῶν Ῥωμαίων. (2) Ὁ δὲ συνταραχθεὶς τὸ μὲν στρατόπεδον οὐκ ἐκίνησε, μυρίους δὲ μισθοφόρους ξένους καὶ δισχιλίους Μακεδόνας Μίλωνι παραδοὺς ἐξαπέστειλε παρακελευσάμενος ταχῦναι καὶ καταλαβεῖν τὰς ὑπερβολάς. (3) Τούτοις ὁ μὲν Πολύβιός φησιν ἔτι κοιμωμένοις ἐπιπεσεῖν τοὺς Ῥωμαίους, ὁ δὲ Νασικᾶς ὀξὺν ἀγῶνα περὶ τοῖς ἄκροις γενέσθαι καὶ κίνδυνον, αὐτὸς δὲ Θρᾷκα μισθοφόρον εἰς χεῖρας συνδραμόντα τῷ ξυστῷ διὰ τοῦ στήθους πατάξας καταβαλεῖν· ἐκβιασθέντων δὲ τῶν πολεμίων καὶ τοῦ Μίλωνος αἴσχιστα φεύγοντος ἄνευ τῶν ὅπλων μονοχίτωνος ἀσφαλῶς ἀκολουθεῖν ἅμα καταβαίνοντας εἰς τὴν χώραν τὸ στράτευμα. (4) Τούτων δὲ τῷ Περσεῖ προσπεσόντων κατὰ τάχος ἀναζεύξας ἦγεν ὀπίσω περίφοβος γεγονὼς καὶ συγκεχυμένος ταῖς ἐλπίσιν. Αὐτοῦ δ' ὅμως πρὸ τῆς Πύδνης ὑπομένοντα πειρᾶσθαι μάχης ἀναγκαῖον ἦν ἢ τῷ στρατῷ σκεδασθέντι

stodirent) metuens, quid agendum esset, deliberavit. (3) Primus inter eos, qui consilio intererant, Scipio Nasica, cujus inferioribus temporibus summa fuit in senatu auctoritas, Africani Scipionis gener, promisit se eo exercitum circumducturum : proximus ab eo Fabius maximus, filiorum Æmilii natu primus, adolescens adhuc, promptus animi surrexit. (4) Igitur alacrius Æmilius milites eis dedit, non quot Polybius scribit, sed quem numerum ipse Nasica in epistola de iis rebus ad regem quendam scripta edit : Italorum videlicet extraordinariorum tria millia, et sinistrum cornu, quod erat quinque millium. (5) His addidit Nasica equites centum et viginti, Thracumque et Cretensium, quos permistos Harpalus adduxerat, ducentos. Hanc manum ea via duxit, qua ad mare descenditur, castraque apud Heracleum posuit, quasi navibus inde ad circumvenienda hostium castra iturus. (6) Postquam cœnam sumpserunt milites, tenebræque ortæ sunt, ducibus consilio patefacto, contrario itinere a mari abduxit et infra Pythium tandem consedit atque exercitum quiete refecit. (7) Eo loco in altum erigitur Olympus amplius decem stadiis : quod tali ejus, qui metitus est, epigrammate indicatur :

Qua supra templum, cui Pythius auctor Apollo,
erigitur clari vertex sublimis Olympi,
bis quinque æthereas stadia exit rectus in auras,
cum stadii sextante, pedes cui deme quadrinos.
Ad perpendiculum mensuram prodidit istam
Xenagoras satus Eumelo. Tu, Phœbe, laborem
compensa lætus placitis, rex optime, donis.

(8) Quanquam geometræ affirmant neque altitudinem montis, neque maris profunditatem decem stadia excedere : tamen Xenagoras non temere, sed arte et instrumentis adhibitis eam dimensus videtur.

XVI. Nasica noctem ibi exegit. Perseo autem Æmilium quietum loco se tenere videnti, neque quid ageretur suspicanti, perfuga Cretensis, qui ex itinere se subduxerat, Romanos ea circumducere exercitum indicavit. (2) Isque territus, castra non movit; decem modo stipendiariorum militum alienigenarum millia ac duo Macedonum Miloni eo ducenda dedit, qui properarent saltus occupare. (3) In hos dormientes adhuc impetum a Romanis factum Polybius scribit : Nasica acrem ac periculosum conflictum in ipsis montis jugis fuisse, seque ipsum Thracis militis sibi occurrentis pectus hasta percussisse eumque prostravisse scribit, hostibusque pulsis, et Milone, abjectis turpiter armis, sola modo tunica induto, fugientibus institisse tuto simulque in Macedoniam deduxisse suos. (4) Quæ cum Persei accidissent, summa trepidatione ictus, speque lapsus, propere castris motis retro se recepit. Erat tamen ei aut apud Pydnam alea prœlii tentanda, aut disjectis copiis bellum ad singula

περὶ τὰς πόλεις δέχεσθαι τὸν πόλεμον, ἐπείπερ ἅπαξ ἐμβέβηκε τῇ χώρᾳ, δίχα πολλοῦ φόνου καὶ νεκρῶν ἐκπεσεῖν μὴ δυνάμενον· (5) πλήθει μὲν οὖν ἀνδρῶν αὐτόθεν περιεῖναι, προθυμίαν δὲ πολλὴν ὑπάρχειν ἀμυνομένοις περὶ τέκνων καὶ γυναικῶν ἐφορῶντος ἕκαστα τοῦ βασιλέως καὶ προκινδυνεύοντος. (6) Ἐκ τούτων ἐθάρσυνον οἱ φίλοι τὸν Περσέα· καὶ βαλόμενος στρατόπεδον συνετάττετο πρὸς μάχην καὶ τὰ χωρία κατεσκοπεῖτο καὶ διῄρει τὰς ἡγεμονίας, ὡς εὐθὺς ἐξ ἐφόδου τοῖς Ῥωμαίοις ἀπαντήσων. (7) Ὁ δὲ τόπος καὶ πεδίον ἦν τῇ φάλαγγι βάσεως ἐπιπέδου καὶ χωρίων ὁμαλῶν δεομένῃ καὶ λόφοι συνεχεῖς ἄλλος ἐξ ἄλλου τοῖς γυμνητεύουσι καὶ ψιλοῖς ἀναφυγὰς καὶ περιδρομὰς ἔχοντες. Διὰ μέσου δὲ ποταμοὶ ῥέοντες Αἴσων καὶ Λεῦκος οὐ μάλα βαθεῖς τότε (θέρους γὰρ ἦν ὥρα φθίνοντος) ἐδόκουν τινὰ δυσεργίαν ὅμως τοῖς Ῥωμαίοις παρέξειν.

XVII. Ὁ δ' Αἰμίλιος, ὡς εἰς ταὐτὸν συνέμιξε τῷ Νασικᾷ, κατέβαινε συντεταγμένος ἐπὶ τοὺς πολεμίους. Ὡς δ' εἶδε τὴν παράταξιν αὐτῶν καὶ τὸ πλῆθος θαυμάσας ἐπέστησε τὴν πορείαν, αὐτός τι πρὸς ἑαυτὸν συλλογιζόμενος. (2) Οἱ δ' ἡγεμονικοὶ νεανίσκοι προθυμούμενοι μάχεσθαι παρελαύνοντες ἐδέοντο μὴ μέλλειν, καὶ μάλιστα πάντων ὁ Νασικᾶς τῇ περὶ τὸν Ὄλυμπον εὐτυχίᾳ τεθαῤῥηκώς. (3) Ὁ δ' Αἰμίλιος μειδιάσας, « Εἰ γε τὴν σὴν, εἶπεν, ἡλικίαν εἶχον· αἱ δὲ πολλαί με νῖκαι διδάσκουσαι τὰ τῶν ἡττωμένων ἁμαρτήματα κωλύουσιν ἐξ ὁδοῦ μάχην τίθεσθαι πρὸς φάλαγγα συντεταγμένην ἤδη καὶ συνεστῶσαν. » (4) Ἐκ τούτου τὰ μὲν πρῶτα καὶ καταφανῆ πρὸς τοὺς πολεμίους ἐκέλευσεν εἰς σπείρας καθιστάμενα ποιεῖν σχῆμα παρατάξεως, τοὺς δὲ ἀπ' οὐρᾶς στραφέντας ἐν χώρᾳ χάρακα βαλέσθαι καὶ στρατοπεδεύειν. Οὕτω δὲ τῶν συνεχῶν τοῖς τελευταίοις καθ' ὑπαγωγὴν ἐξελιττομένων ἔλαθε τὴν παράταξιν ἀναλύσας καὶ καταστήσας ἀθορύβως εἰς τὸν χάρακα πάντας. (5) Ἐπεὶ δὲ νὺξ γεγόνει καὶ μετὰ δεῖπνον ἐτράποντο πρὸς ὕπνον καὶ ἀνάπαυσιν, αἰφνίδιον ἡ σελήνη πλήρης οὖσα καὶ μετέωρος ἐμελαίνετο καὶ τοῦ φωτὸς ἀπολιπόντος αὐτὴν χρόας ἀμείψασα παντοδαπὰς ἠφανίσθη. (6) Τῶν δὲ Ῥωμαίων, ὥσπερ ἐστὶ νενομισμένον, χαλκοῦ τε πατάγοις ἀνακαλουμένων τὸ φῶς αὐτῆς καὶ πυρὰ πολλὰ δαλοῖς καὶ δᾳσὶν ἀνεχόντων πρὸς τὸν οὐρανὸν, οὐδὲν ὅμοιον ἔπραττον οἱ Μακεδόνες, ἀλλὰ φρίκη καὶ θάμβος τὸ στρατόπεδον κατεῖχε καὶ λόγος ἡσυχῇ διὰ πολλῶν ἐχώρει, βασιλέως τὸ φάσμα σημαίνειν ἔκλειψιν. (7) Ὁ δ' Αἰμίλιος οὐκ ἦν μὲν ἀνήκοος οὐδ' ἄπειρος παντάπασι τῶν ἐκλειπτικῶν ἀνωμαλιῶν, αἳ τὴν σελήνην περιφερομένην εἰς τὸ σκίασμα τῆς γῆς ἐμβάλλουσι τεταγμέναις περιόδοις καὶ ἀποκρύπτουσιν, ἄχρι οὗ παρελθοῦσα τὴν ἐπίσκοτον χώραν πάλιν ἐπιλάμψῃ πρὸς τὸν ἥλιον· οὐ μὴν ἀλλὰ τῷ θείῳ πολὺ νέμων καὶ φιλοθύτης ὢν καὶ μαντικὸς, ὡς εἶδε πρῶτον τὴν σελήνην ἀποκαθαιρομένην, ἕνδεκα μόσχους αὐτῇ κατέθυσεν. (8) Ἅμα δ' ἡμέρᾳ τῷ Ἡρακλεῖ βουθυτῶν

oppida exspectandum, quod semel Macedoniæ illatum, sine multa cæde removeri non poterat; (5) ac, si ex eo loco hostes profligare conaretur quo alioquin a multitudine hominum esset longe paratior, spes erat, suos acriter pro conjugibus et liberis propugnaturos, præsertim rege inspectante atque inter primos pugnam obeunte. (6) His rationibus amici Perseum confirmarunt, ut castris positis ad pugnam se pararet, locorum naturam spectaret, ducibusque munia assignaret, veluti cum hostibus, ubi primum advenissent, conflicturus. (7) Erat ejus loci ea natura, ut et phalangi explicandæ satis campi planitieique æqualis suppeditaret, et tumuli continentes nudis ac expeditis militibus receptacula et circumcursandi facultatem præberent. Per medium Æson et Leucus amnes fluebant, tunc non admodum profundo alveo (erat enim sub exitum æstatis), sed tamen ut viderentur Romanis nonnihil difficultatis allaturi.

XVII. Æmilius ubi se Nasicæ conjunxit, composito agmine ad hostes duxit: ut vero aciem eorum inspexit, multitudinem admiratus, inhibita profectione, secum ipse quædam expendit. (2) Juvenes vero pugnandi cupidi, qui exercitum ducebant, equis advecti, ne rem differret, hortati sunt: præsertim Nasica, successu trajecti Olympi elatus. (3) Ad quem subridens Æmilius, Facerem, inquit, si tua essem ætate: me vero multæ victoriæ docuerunt, quanam in re victi peccassent; ideoque ex itinere pugnam inire cum phalange jam ordinibus instructis parata prohibent. (4) Inde eos, qui primo loco et in conspectu hostium stabant, in manipulos ordinari jussit, ut speciem aciei exhiberent, postremos autem in agmine conversos ibidem vallum jacere et castra facere: eaque ratione semper novissimo quoque a primis se avertente, et ad castra facienda subducente, fefellit hostem, solutaque ad extremum acie absque tumultu totum exercitum castris recepit. (5) Ea nocte cum post cœnam somno et quieti se dedissent milites, subito luna, cum pleno lumine sublimisque fulgeret, obscurata est, suaque luce amissa variis coloribus obducta in tenebras abiit. (6) Cujus splendorem cum pro sua consuetudine Romani milites æris percussi tinnitu revocarent ac multa lumina facibus accensis cœlum versus extollerent: nihil tale a Macedonibus factum est, sed horror stuporque castra pervasit et vulgo murmurabant, regis interitum eo prodigio portendi. (7) Ceterum Æmilius, etsi non erat omnino ignarus eclipticarum vicissitudinum, quibus luna circumvecta in umbram terræ statis temporibus incidit, ac tamdiu occultatur, dum umbratum locum pertransierit, rursusque a sole illustretur, tamen ut erat religiosus homo et augur ac sacrificiorum studiosus, ubi primum a tenebris expurgatam vidit lunam, undecim ei vitulos immolavit. (8) Orto die Herculi sacra faciens, viginti primis hostiis non

οὐκ ἐκαλλιέρει μέχρις εἴκοσι· τῷ δὲ πρώτῳ καὶ εἰκοστῷ παρῆν τὰ σημεῖα καὶ νίκην ἀμυνομένοις ἔφραζεν. (9) Εὐξάμενος οὖν κατὰ βοῶν ἑκατὸν καὶ ἀγῶνος ἱεροῦ τῷ θεῷ, προσέταξε διακοσμεῖν τοῖς ἡγεμόσι τὸν στρατὸν εἰς μάχην· αὐτὸς δὲ τὴν ἀπόκλισιν καὶ περιφορὰν ἀναμένων τοῦ φωτὸς, ὅπως μὴ κατὰ προσώπου μαχομένοις αὐτοῖς ἕωθεν ὁ ἥλιος ἀντιλάμποι, παρῆγε τὸν χρόνον ἐν τῇ σκηνῇ καθεζόμενος ἀναπεπταμένῃ πρὸς τὸ πεδίον καὶ τὴν στρατοπεδείαν τῶν πολεμίων.

XVIII. Περὶ δὲ δείλην οἱ μὲν αὐτοῦ φασι τοῦ Αἰμιλίου τεχνάζοντος ἐκ τῶν πολεμίων γενέσθαι τὴν ἐπιχείρησιν ἀχάλινον ἵππον ἐξελάσαντας ἐμβαλεῖν αὐτοῖς τοὺς Ῥωμαίους, καὶ τοῦτον ἀρχὴν μάχης δωκόμενον παρασχεῖν· οἱ δὲ Ῥωμαϊκῶν ὑποζυγίων χορτάσματα παρακομιζόντων ἅπτεσθαι Θρᾷκας, ὧν Ἀλέξανδρος ἡγεῖτο, πρὸς δὲ τούτους ἐκδρομὴν ὀξεῖαν ἑπτακοσίων Λιγύων γενέσθαι· παραβοηθούντων δὲ πλειόνων ἑκατέροις οὕτω συνάπτεσθαι τὴν μάχην ἀμφοτέρων. (2) Ὁ μὲν οὖν Αἰμίλιος ὥσπερ κυβερνήτης τῷ παρόντι σάλῳ καὶ κινήματι τῶν στρατοπέδων τεκμαιρόμενος τὸ μέγεθος τοῦ μέλλοντος ἀγῶνος ἐκ τῆς σκηνῆς προῆλθε καὶ τὰ τάγματα τῶν ὁπλιτῶν ἐπιὼν παρεθάρρυνεν, ὁ δὲ Νασικᾶς ἐξιππασάμενος πρὸς τοὺς ἀκροβολιζομένους ὁρᾷ πάντας ὅσον οὔπω τοὺς πολεμίους ἐν χεραὶν ὄντας. (3) Πρῶτοι δ' οἱ Θρᾷκες ἐχώρουν, ὧν μάλιστά φησιν ἐκπλαγῆναι τὴν ὄψιν, ἄνδρες ὑψηλοὶ τὰ σώματα, λευκῷ καὶ περιλάμποντι θυρεῶν καὶ περικνημίδων ὁπλισμῷ, μέλανας ὑπενδεδυμένοι χιτῶνας, ὀρθὰς δὲ ῥομφαίας βαρυσιδήρους ἀπὸ τῶν δεξιῶν ὤμων ἐπισείοντες. (4) Παρὰ δὲ τοὺς Θρᾷκας οἱ μισθοφόροι παρενέβαλλον, ὧν σκευαί τε παντοδαπαὶ καὶ μεμιγμένοι Παίονες ἦσαν· ἐπὶ δὲ τούτοις ἄγημα τρίτον, οἱ λογάδες, αὐτῶν Μακεδόνων ἀρετῇ καὶ ἡλικίᾳ τὸ καθαρώτατον, ἀστράπτοντες ἐπιχρύσοις ὅπλοις καὶ νεουργοῖς φοινικίσιν. (5) Οἷς καθισταμένοις εἰς τάξιν αἱ τῶν χαλκασπίδων ἐπανατέλλουσαι φάλαγγες ἐκ τοῦ χάρακος ἐνέπλησαν αὐγῆς σιδήρου καὶ λαμπηδόνος χαλκοῦ τὸ πεδίον, κραυγῆς δὲ καὶ θορύβου παρακελευομένων τὴν ὀρεινήν. Οὕτω δὲ θρασέως καὶ μετὰ τάχους ἐπῆλθον, ὥστε τοὺς πρώτους νεκροὺς ἀπὸ δυεῖν σταδίων τοῦ Ῥωμαϊκοῦ χάρακος καταπεσεῖν.

XIX. Γιγνομένης δὲ τῆς ἐφόδου παρῆν ὁ Αἰμίλιος καὶ κατελάμβανεν ἤδη τοὺς ἐν τοῖς ἀγήμασι Μακεδόνας ἄκρας τὰς σαρίσσας προσερηρεικότας τοῖς θυρεοῖς τῶν Ῥωμαίων καὶ μὴ προσιεμένους εἰς ἐφικτὸν αὐτῶν τὰς μαχαίρας. Ἐπεὶ δὲ καὶ τῶν ἄλλων Μακεδόνων τάς τε πέλτας ἐξ ὤμου περισπασάντων καὶ ταῖς σαρίσσαις ἀφ' ἑνὸς συνθήματος κλιθείσαις ὑποστάντων τοὺς θυρεταφόρους εἶδε τήν τε ῥώμην τοῦ συνασπισμοῦ καὶ τὴν τραχύτητα τῆς προβολῆς, ἔκπληξις αὐτὸν ἔσχε καὶ δέος, ὡς οὐδὲν ἰδόντα πώποτε θέαμα φοβερώτερον· καὶ πολλάκις ὕστερον ἐμέμνητο τοῦ πάθους ἐκείνου καὶ τῆς ὄψεως. (2) Τότε δὲ πρὸς τοὺς μαχομένους ἐπιδεικνύμενος ἵλεω καὶ φαιδρὸν ἑαυτὸν ἄνευ κράνους καὶ θώρακος ἵππῳ παρήλαυνεν. (3) Ὁ δὲ τῶν Μακεδόνων

perlitavit : altera post vigesimam demum signa oblata sunt, quæ parti se defendenti victoriam designarent. (9) Itaque victimam centum boum et ludos sacros deo vovit : mandavitque tribunis militum, ut exercitum ad pugnam instruerent : ipse in tentorio suo sedens, quod erat versus campum et aciem hostium apertum, exspectavit dum sol circumageretur ac declinaret, ne adversum eum sui milites haberent : quod erat futurum, si pugnam mane commisisset.

XVIII. Circa vesperam commissum est prœlium. Alii ipsius Æmilii astu factum dicunt, ut ab hostibus initium pugnæ fieret : iis enim equum effrenem immissum a Romanis, eumque hostibus insequentibus, ita ad manus perventum. Alii tradunt, Thraces, quos Alexander ducebat, in Romana jumenta fœnum portantia impetum fecisse : contra eos celeriter excurrisse septingentos Ligures, inde utraque a parte missa auxilia, et consertum ea occasione prœlium. (2) Æmilius vero, ut gubernator, e fluctu et trepidatione exercituum conjiciens magnitudinem futuræ pugnæ, e tentorio progressus, ordines militum adiit, dictisque animavit. Nasica equo ad eos, qui levi prœlio decertabant, provectus vidit omnes jam fere hostes ad pugnam progressos. (3) Primam aciem obtinebant Thraces, quorum se aspectu maxime territum scribit ille, altis corporibus, candicante et resplendente scutorum ocrearumque armatura, accincti nigras tunicas, rhomphæamque ferro gravi præfixam a dextero humero quisque coruscans. (4) Juxta hos constiterant stipendiarii milites, vario habitu, mixtique his Pæones. Post hos agmen tertium erant Macedones delecti, virtute et flore juventutis omnium validissimi, aureis in armis, ac recentibus puniceis vestibus fulgentes. (5) Horum acie instructa, phalanges eorum, qui a clypeorum æreorum usu Chalcaspides dicuntur, e castris progressæ, splendore ferri atque æris campum, clamore autem et tumultu invicem se adhortantium montes repleverant. Tanta vero audacia atque properatione ad hostem contenderunt, ut prima cadavera non ultra duo stadia a castris Romanorum jacuerint.

XIX. Cum jam consererentur manus, advenit Æmilius; utque vidit Macedones, quos in agmine tertios fuisse diximus, cuspidibus sarissarum in Romanorum clypeos inniti, atque his cominus gladiis rem gerendi facultatem adimere, reliquos etiam Macedones dato signo parmas ab humeris detrahere, sarissisque demissis scutatorum impetum excipere, tum robur ejus globi, quamque difficulter invadi posset, conspicatus : pertimuit sane, ut qui spectaculum terribilius nullum ante eum diem intuitus esset : ac sæpenumero postea temporis mentionem istius perturbationis fecit, quam animo suo aspectus ille obtulisset. (2) Tunc tamen pugnantibus se hilari et splendente vultu ostentavit, sine galea et thorace obequitans. (3) Ceterum, rex Macedo-

βασιλεὺς, ὥς φησι Πολύβιος, τῆς μάχης ἀρχὴν λαμβανούσης ἀποδειλιάσας εἰς πόλιν ἀφιππάσατο σκηψάμενος Ἡρακλεῖ θύειν, δειλὰ παρὰ δειλῶν ἱερὰ μὴ δεχομένῳ μηδ' εὐχὰς ἀθεμίτους ἐπιτελοῦντι. Θεμιτὸν γὰρ οὐκ ἔστιν οὔτε τὸν μὴ βάλλοντα κατευστοχεῖν οὔτε τὸν μὴ μένοντα κρατεῖν οὔθ' ὅλως τὸν ἄπρακτον εὐπραγεῖν οὔτε τὸν κακὸν εὐδαιμονεῖν. Ἀλλὰ ταῖς Αἰμιλίου παρῆν εὐχαῖς ὁ θεός· εὔχετο γὰρ κράτος πολέμου καὶ νίκην δόρυ κρατῶν καὶ μαχόμενος παρεκάλει σύμμαχον τὸν θεόν. (4) Οὐ μὴν ἀλλὰ Ποσειδώνιός τις ἐν ἐκείνοις τοῖς χρόνοις καὶ ταῖς πράξεσι γεγονέναι λέγων, ἱστορίαν δὲ γεγραφὼς περὶ Περσέως ἐν πλείοσι βιβλίοις, φησὶν αὐτὸν οὐχ ὑπὸ δειλίας οὐδὲ τὴν θυσίαν ποιησάμενον αἰτίαν ἀπελθεῖν, ἀλλὰ τῇ προτέρᾳ τῆς μάχης τυχεῖν λελακτισμένον ὑφ' ἵππου τὸ σκέλος· ἐν δὲ τῇ μάχῃ, καίπερ ἔχοντα δυσχρήστως καὶ κωλυόμενον ὑπὸ τῶν φίλων, ἵππον αὐτῷ κελεῦσαι τῶν φορέων προσαγαγεῖν καὶ περιβάντα συμμῖξαι τοῖς ἐπὶ τῆς φάλαγγος ἀθωράκιστον· φερομένων δὲ παντοδαπῶν ἑκατέρωθεν βελῶν, παλτὸν ἐμπεσεῖν ὁλοσίδηρον αὐτῷ καὶ τῇ μὲν ἀκμῇ μὴ θιγεῖν, ἀλλὰ πλάγιον παρὰ τὴν ἀριστερὰν πλευρὰν παραδραμεῖν, ῥύμῃ δὲ τῆς παρόδου τόν τε χιτῶνα διακόψαι καὶ τὴν σάρκα φοινίξαι τυφλῷ μώλωπι πολὺν χρόνον διαφυλάξαντι τὸν τύπον. Ταῦτα μὲν οὖν ὁ Ποσειδώνιος ὑπὲρ τοῦ Περσέως ἀπολογεῖται.

XX. Τῶν δὲ Ῥωμαίων, ὡς ἀντέστησαν τῇ φάλαγγι, μὴ δυναμένων βιάζεσθαι, Σάλιος ὁ τῶν Πελιγνῶν ἡγούμενος ἁρπάσας τὸ σημεῖον τῶν ὑφ' αὑτὸν εἰς τοὺς πολεμίους ἔῤῥιψε. (2) Τῶν δὲ Πελιγνῶν (οὐ γάρ ἐστιν Ἰταλοῖς θεμιτὸν οὐδ' ὅσιον ἐγκαταλιπεῖν σημεῖον) ἐπιδραμόντων πρὸς ἐκεῖνον τὸν τόπον ἔργα δεινὰ καὶ πάθη παρ' ἀμφοτέρων ἀπήντα συμπεσόντων. (3) Οἱ μὲν γὰρ ἐκκρούειν τε τοῖς ξίφεσι τὰς σαρίσσας ἐπειρῶντο καὶ πιέζειν τοῖς θυρεοῖς καὶ ταῖς χερσὶν αὐταῖς ἀντιλαμβανόμενοι παραφέρειν, οἱ δὲ τὴν προβολὴν κρατυνάμενοι δι' ἀμφοτέρων καὶ τοὺς προσπίπτοντας αὐτοῖς ὅπλοις διελαύνοντες οὔτε θυρεοῦ στέγοντος οὔτε θώρακος τὴν βίαν τῆς σαρίσσης, ἀνερρίπτουν ὑπὲρ κεφαλὴν τὰ σώματα τῶν Πελιγνῶν καὶ Μαρρουκινῶν κατ' οὐδένα λογισμὸν, ἀλλὰ θυμῷ θηριώδει πρὸς ἐναντίας πληγὰς καὶ προῦπτον ὠθουμένων θάνατον. (4) Οὕτω δὲ τῶν προμάχων διαφθαρέντων ἀνεκόπησαν οἱ κατόπιν αὐτῶν ἐπιτεταγμένοι· καὶ φυγὴ μὲν οὐκ ἦν, ἀναχώρησις δὲ πρὸς ὄρος τὸ καλούμενον Ὀλόκρον, ὥστε καὶ τὸν Αἰμίλιον ἰδόντα φησὶν ὁ Ποσειδώνιος καταῤῥήξασθαι τὸν χιτῶνα, τούτων μὲν ἐνδιδόντων, τῶν δ' ἄλλων Ῥωμαίων διατρεπομένων τὴν φάλαγγα προσβολὴν οὐκ ἔχουσαν, ἀλλ' ὥσπερ χαρακώματι τῷ πυκνώματι τῶν σαρισσῶν ὑπαντιάζουσαν πάντοθεν ἀπρόσμαχον. (5) Ἐπεὶ δὲ τῶν τε χωρίων ἀνωμάλων ὄντων καὶ διὰ τὸ μῆκος τῆς παρατάξεως οὐ φυλαττούσης ἀσφαλῶς τὸν συνασπισμὸν κατεῖδε τὴν φάλαγγα τῶν Μακεδόνων κλάσεις τε πολλὰς καὶ διασπάσματα λαμβάνουσαν,

num, ut Polybius refert, commisso prœlio metum non ferens in urbem equo avectus est, sacram se Herculi rem facere simulans, qui tamen deus trepida a trepido non accipit sacra, neque voti illiciti damnat; atqui fas non est, vel eum qui non jaculetur, scopum tangere, vel eum qui fugiat, victoria potiri, et omnino neque bene agere qui nihil agit, neque malus homo felix esse potest. Æmilii vero votum deus probabat, is enim hastam tenens robur in bello et victoriam flagitabat, pugnansque dei auxilium poscebat. (4) Verum Posidonius quidem, qui se eo tempore vixisse rebusque his interfuisse scribit atque historiam Persei pluribus libris composuit, Perseum non timoris causa neque sacrificii prætextu discessisse, sed quod pridie equus ei calce crus feriisset, auctor est, in pugna quoque eum, quanquam esset male affecto corpore et amici dehortarentur, jussisse equum sibi, quo extra bellum vehi consuevisset, adduci, eoque conscenso nudum thorace ad phalangem equitasse: ibi volitantibus utrinque omnis generis telis, jaculum ei ferreum adactum, quod mucrone quidem eum non attigerit, sed obliquum juxta latus ejus sinistrum transvolaverit, impetu tamen motus tunicam discinderit, carnemque ita perstrinxerit, ut obscuram sugillationis notam reliquerit, quæ ictum multo tempore testata sit. Hoc modo Perseum Posidonius excusat.

XX. Ceterum cum Romani phalangem Macedonum nulla vi perrumpere possent, Salius Pelignorum dux signum suæ cohortis raptum in hostes projecit. (2) Eo Pelignis accurrentibus (signum enim deserere nefas apud Italos habetur), atrocissima utrique et faciebant et patiebantur. (3) Peligni gladiis sarissas depellere, et scutis deprimere, manibusque adeo injectis avertere conabantur. At Macedones utraque manu sarissas intentantes, per ipsa arma corporaque occurrentium exigebant, neque scuto neque thorace earum vim sustinente, et corpora Pelignorum et Marrucinorum supra capita rejiciebant, qui nulla ratione, sed rabie concitati adversis ictibus præsentique morti se ingerebant. (4) Hoc modo Romanorum prima acie interfecta, repulsi sunt qui proxime stabant, et fugam quidem nondum dabant, pedem modo ad Olocrum montem referebant: adeo ut id cernens Æmilius præ dolore tunicam suam disciderit (si Posidonio credimus), cum, cedentibus prioribus ordinibus, reliqui Romani phalangem inaccessam videntes densisque sarissis tanquam vallo præmunitam et ab oppugnatione tutam aversarentur. (5) Quia vero pugnabatur loco inæquali et porrecta in longum phalangis acie, non poterat densitas ordinum globusque actus continenter servari, sed flexus multi atque intercapedines admittebantur: quod fieri necesse est in magno exercitu, cum

ὡς εἰκὸς ἐν μεγάλοις στρατοῖς καὶ ποικίλαις ὁρμαῖς τῶν μαχομένων, τοῖς μὲν ἐκθλιβομένην μέρεσι, τοῖς δὲ προπίπτουσαν, ἐπιὼν ὀξέως καὶ διαιρῶν τὰς σπείρας ἐκέλευεν εἰς τὰ διαλείμματα καὶ κενώματα τῆς τῶν b πολεμίων τάξεως παρεμπίπτοντας καὶ συμπλεκομένους μὴ μίαν πρὸς ἅπαντας, ἀλλὰ πολλὰς καὶ μεμιγμένας κατὰ μέρος τὰς μάχας τίθεσθαι. (6) Ταῦτα τοῦ μὲν Αἰμιλίου τοὺς ἡγεμόνας, τῶν δ' ἡγεμόνων τοὺς στρατιώτας διδασκόντων, ὡς πρῶτον ὑπέδυσαν καὶ διέσχον εἴσω τῶν ὅπλων τοῖς μὲν ἐκ πλαγίου κατὰ γυμνὰ προσφερόμενοι, τοὺς δὲ ταῖς περιδρομαῖς ἀπολαμβάνοντες, ἡ μὲν ἰσχὺς καὶ τὸ κοινὸν ἔργον εὐθὺς ἀπολώλει τῆς φάλαγγος ἀναῤῥηγνυμένης, ἐν δὲ ταῖς καθ' ἕνα καὶ κατ' ὀλίγους συστάσεσιν οἱ Μακεδόνες μικροῖς μὲν ἐγχειριδίοις στερεοὺς καὶ ποδήρεις θυρεοὺς νύσσοντες, ἐλαφροῖς δὲ πελταρίοις πρὸς τὰς ἐκείνων μαχαίρας c ὑπὸ βάρους καὶ καταφορᾶς διὰ παντὸς ὅπλου χωρούσας ἐπὶ τὰ σώματα κακῶς ἀντέχοντες ἐτράποντο.

XXI. Κατὰ τούτους δὲ μέγας ἦν ἀγών. Ἔνθα δὴ καὶ Μάρκος ὁ Κάτωνος υἱὸς, Αἰμιλίου δὲ γαμβρὸς, πᾶσαν ἀλκὴν ἐπιδεικνύμενος ἀπέβαλε τὸ ξίφος. Οἷα δὲ νεανίας ἐντεθραμμένος πλείστοις παιδεύμασι καὶ μεγάλῳ πατρὶ μεγάλης ἀρετῆς ἀποδείξεις ὀφειλων, οὐ βιωτὸν ἡγησάμενος εἶναι προεμένῳ σκῦλον αὑτοῦ d ζῶντος τοῖς πολεμίοις ἐπέδραμε τὴν μάχην, εἴ τινά που φίλον καὶ συνήθη κατίδοι φράζων τὸ συμπεσὸν αὐτῷ καὶ δεόμενος βοηθεῖν. (2) Οἱ δὲ πολλοὶ καὶ ἀγαθοὶ γενόμενοι καὶ διασχόντες ὁρμῇ μιᾷ τοὺς ἄλλους περὶ αὐτὸν ὑφηγούμενον ἐμβάλλουσι τοῖς ἐναντίοις. Μεγάλῳ δ' ἀγῶνι καὶ φόνῳ πολλῷ καὶ τραύμασιν ὠσαντες ἐκ χώρας καὶ τόπον ἔρημον καὶ γυμνὸν κατασχόντες ἐπὶ ζήτησιν ἐτράποντο τοῦ ξίφους. Ὡς δὲ μόλις ἐν πολλοῖς ὅπλοις καὶ πτώμασι νεκρῶν κεκρυμμένον ἀνευρέθη, περιχαρεῖς γενόμενοι καὶ παιανίσαντες ἔτι λαμπρότερον ἐνέκειντο τοῖς συνεστῶσιν ἔτι τῶν πολεμίων. (3) Καὶ τέλος οἱ τρισχίλιοι λογάδες ἐν τάξει μένοντες καὶ μαχόμενοι κατεκόπησαν ἅπαντες· τῶν δ' ἄλλων φευγόντων πολὺς ἦν ὁ φόνος, ὥστε τὸ e μὲν πεδίον καὶ τὴν ὑπώρειαν καταπεπλῆσθαι νεκρῶν, τοῦ δὲ Λεύκου ποταμοῦ τὸ ῥεῦμα τοὺς Ῥωμαίους τῇ μετὰ τὴν μάχην ἡμέρᾳ διελθεῖν ἔτι μεμιγμένον αἵματι. Λέγονται γὰρ ὑπὲρ δισμυρίους πεντακισχιλίους ἀποθανεῖν. Τῶν δὲ Ῥωμαίων ἔπεσον, ὡς μὲν Ποσειδώνιος φησὶν, ἑκατὸν, ὡς δὲ Νασικᾶς, ὀγδοήκοντα.

XXII. Καὶ κρίσιν μὲν ὀξυτάτην μέγιστος ἀγὼν οὗτος ἔσχεν· ἑνάτης γὰρ ὥρας ἀρξάμενοι μάχεσθαι πρὸ δεκάτης ἐνίκησαν· τῷ δὲ λειπομένῳ τῆς ἡμέρας χρησάμενοι πρὸς τὴν δίωξιν καὶ μέχρι σταδίων ἑκατὸν καὶ εἴκοσι διώξαντες ἑσπέρας ἤδη βαθείας ἀπετράποντο. (2) Καὶ τοὺς μὲν ἄλλους οἱ θεράποντες ὑπὸ f λαμπάδων ἁπάντῶντες μετὰ χαρᾶς καὶ βοῆς ἀπῆγον ἐπὶ τὰς σκηνὰς φωτὶ λαμπομένας καὶ κεκοσμημένας κιττοῦ καὶ δάφνης στεφάνοις· αὐτὸν δὲ τὸν στρατηγὸν

alii alio ad pugnans obeundam avertuntur, aliæque partes aciei reprimuntur, aliæ procidunt, Æmilius hoc animadvertens, celeriter cohortes suorum a se invicem divellit, jussitque ut intra hostilium ordinum intervalla se reciperent, ac non contra totam simul phalangem, sed multis locis contra partes hinc inde divulsas pugnarent. (6) Ea ubi Æmilius duces et duces milites facere docuerunt, ut primum Romani intra ordines phalangis se intulerunt et in diversas partes aciei se converterunt, alios a lateribus nudos invadentes, alios cursu circumvenientes, statim dissipata phalange vis ejus et præcipuus usus sublatus est. Cominus vero et contra paucos pugnare difficile erat Macedonibus, cum parvis pugionibus firma et ad pedes usque demissa Romanorum ferirent scuta; contra gladiorum gravium pondus atque violentos ictus per arma omnia ad corpus penetrantes parvulis peltis exciperent. Itaque cedere cogebantur.

XXI. Dum acriter hunc in modum pugnatur, Marcus Catonis filius, Æmilii gener, dum nihil sibi fortitudinis reliquum facit, gladium amittit. Neque vero juvenis liberaliter institutus, quique præclaro parenti virtutis magnæ specimen debere se intelligeret, vivendum sibi putabat, si gladium vivus hostibus spolium reliquisset; itaque cursu per ordines circumferri, omnibus amicis et familiaribus, in quos incidisset, casum suum exponere, orare ut se in gladio recuperando juvarent. (2) Multi fortes Romani eum ducem secuti, per reliquorum ordines sese proripuerunt, hostesque adorti, magno certamine, multa cæde, multoque facto sanguine loco tandem pulerunt, eoque vacuo hostium, gladium quæsitum diu multumque tandem inter cadaverum et armorum acervum invenerunt: inde lætitia exsultantes, sublato clamore alacrius etiam in hostiles globos impetum fecerunt. (3) Tandem delecta Macedonum phalanx, hominum tria millia locum tenentes pugnantesque, ad unum omnes cæsi sunt. Reliqui fugientes ingenti cæde sunt affecti: nam et campus montisque radices cadaveribus tectæ jacuerunt, et postridie ejus pugnæ Romani Leucum fluvium transeuntes, sanguine adhuc infectum viderunt. Cæsa Macedonum plus quam viginti quinque millia perhibentur: de Romanis autem centum, ut Posidonius ait, ut Nasica, octoginta desiderati sunt.

XXII. Atque hæc tam ingens pugna minimo temporis spatio exitum habuit: hora enim nona commissa, ante decimam victores Romanos declaravit. Reliquum diei insequendis hostibus datum: et Romani cum per quindecim millia pedum fugientibus institissent, nocte jam ingruente revertebant. (2) Et famuli cum facibus obviam profecti, prælucentes lato cum clamore ad tabernacula igne lucentia hederaque et lauro coronata eos reduxerunt. At ipsum

μέγα πένθος εἶχε. (3) Δυεῖν γὰρ υἱῶν αὐτοῦ στρατευομένων ὁ νεώτερος οὐδαμοῦ φανερὸς ἦν, ὃν ἐφίλει τε μάλιστα καὶ πλεῖστον εἰς ἀρετὴν φύσει προὔχοντα
267 τῶν ἀδελφῶν ἑώρα. Θυμοειδῆ δὲ καὶ φιλότιμον ὄντα a
5 τὴν ψυχήν, ἔτι δ' ἀντίπαιδα τὴν ἡλικίαν, παντάπασιν ἀπολωλέναι κατεδόξαζεν ὑπ' ἀπειρίας ἀναμιχθέντα τοῖς πολεμίοις μαχομένοις. (4) Ἀπορουμένου δὲ αὐτοῦ καὶ περιπαθοῦντος ἤσθετο πᾶν τὸ στράτευμα καὶ μεταξὺ δειπνοῦντες ἀνεπήδων καὶ διέθεον μετὰ λαμπά-
10 δων, πολλοὶ μὲν ἐπὶ τὴν σκηνὴν τοῦ Αἰμιλίου, πολλοὶ δὲ πρὸ τοῦ χάρακος ἐν τοῖς πρώτοις νεκροῖς ζητοῦντες. (5) Κατήφεια δὲ τὸ στρατόπεδον καὶ κραυγὴ τὸ πεδίον κατεῖχεν ἀνακαλουμένων τὸν Σκηπίωνα. Πᾶσι γὰρ ἀγαστὸς ἦν εὐθὺς ἐξ ἀρχῆς πρὸς ἡγεμονίαν καὶ πολιτείαν
15 ὡς ἄλλος οὐδεὶς τῶν συγγενῶν κεκραμένος τὸ ἦθος. (6) Ὀψὲ δ' οὖν ἤδη σχεδὸν ἀπεγνωσμένος ἐκ τῆς διώξεως b
προσήει μετὰ δύο ἢ τριῶν ἑταίρων αἵματος καινοῦ πολεμίων ἀνάπλεως, ὥσπερ σκύλαξ γενναῖος, ὑφ' ἡδονῆς ἀκρατῶς τῇ νίκῃ συνεξενεχθείς. (7) Οὗτός ἐστι
20 Σκηπίων ὁ τοῖς ἴχνουμένοις Καρχηδόνα καὶ Νομάντίαν κατασκάψας καὶ πολὺ πρῶτος ἀρετῇ τῶν τότε Ῥωμαίων γενόμενος καὶ δυνηθεὶς μέγιστον. Αἰμιλίῳ μὲν οὖν τὴν τοῦ κατορθώματος νέμεσιν εἰς ἕτερον ἡ τύχη καιρὸν ὑπερβαλλομένη τότε παντελῆ τὴν ἡδονὴν ἀπε-
25 δίδου τῆς νίκης.

XXIII. Περσεὺς δὲ φυγῇ μὲν ἐκ Πύδνης εἰς Πέλλαν ἀπεχώρει τῶν ἱππέων ἐπιεικῶς πάντων ἀπὸ τῆς μάχης διασεσωσμένων. Ἐπεὶ δὲ καταλαμβάνοντες οἱ πεζοὶ c
τοὺς ἱππεῖς ὡς ἀνάνδρους καὶ προδεδωκότας λοιδο-
30 ροῦντες ἀπὸ τῶν ἵππων ὤθουν καὶ πληγὰς ἐδίδοσαν, δείσας τὸν θόρυβον ἐκ τῆς ὁδοῦ παρέκλινε τὸν ἵππον καὶ τὴν πορφύραν, ὡς μὴ διάσημος εἴη, περισπάσας ἔθετο πρόσθεν αὐτοῦ καὶ τὸ διάδημα διὰ χειρῶν εἶχεν. (2) Ὡς δὲ καὶ προσδιαλέγοιτο τοῖς ἑταίροις ἅμα βα-
35 δίζων, καταβὰς ἐφείλκετο τὸν ἵππον. Τῶν δὲ ὁ μέν τις ὑπόδημα προσποιούμενος λελυμένον συνάπτειν, ὁ δὲ ἵππον ἄρδειν, ὁ δὲ ποτοῦ χρήζειν, ὑπολειπόμενοι κατὰ μικρὸν ἀπεδίδρασκον, οὐχ οὕτω τοὺς πολεμίους, d
ὡς τὴν ἐκείνου χαλεπότητα δεδοικότες. Κεχαραγμένος
40 γὰρ ὑπὸ τῶν κακῶν εἰς πάντας ἐζήτει τρέπειν ἀφ' αὑτοῦ τὴν αἰτίαν τῆς ἥττης. (3) Ἐπεὶ δὲ νυκτὸς εἰς Πέλλαν εἰσελθὼν Εὔκτον καὶ Εὔλαιον, τοὺς ἐπὶ τοῦ νομίσματος, ἅπαντήσαντας αὐτῷ καὶ τὰ μὲν ἐγκαλοῦντας περὶ τῶν γεγονότων, τὰ δὲ παῤῥησιαζομένους
45 ἀκαίρως καὶ συμβουλεύοντας ὀργισθεὶς ἀπέκτεινεν αὐτὸς τῷ ξιφιδίῳ παίων ἀμφοτέρους, οὐδεὶς παρέμεινεν αὐτῷ πάρεξ Εὐάνδρου τε τοῦ Κρητὸς καὶ Ἀρχεδάμου τοῦ Αἰτωλοῦ καὶ τοῦ Βοιωτοῦ Νέωνος. (4) Τῶν δὲ στρατιωτῶν ἐπηκολούθησαν οἱ Κρῆτες, οὐ δι' εὔνοιαν,
50 ἀλλὰ τοῖς χρήμασιν, ὥσπερ κηρίοις μέλιτται, προσλι- e
παροῦντες. Πάμπολλα γὰρ ἐπήγετο καὶ προὔθηκεν ἐξ αὐτῶν διαρπάσαι τοῖς Κρησὶν ἐκπώματα καὶ κρατῆρας καὶ τὴν ἄλλην ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὴν εἰς πεντήκοντα ταλάντων λόγον. (5) Γενόμενος

imperatorem magnus dolor urgebat. (3) De duobus enim filiis, quos inter milites habuerat, junior, quem præ reliquis diligebat et ad virtutem meliori, quam fratres reliquos, indole natum sciebat, animo præter ætatem (tum primum enim pueritiam excesserat) acri et honoris cupido, nusquam reperiebat, periisseque per imprudentiam hostibus pugnantibus immixtum opinabatur. (4) Ita se eo angente ac lugente, universus exercitus rem sensit : a cœnaque exsilientes, cum facibus frequentes discurrerunt, alii ad tentorium Æmilii, alii extra vallum, inter prima cadavera juvenem quærentes. (5) Mœstitia autem castra, clamor campum implebat, Scipionem vocantium : omnibus enim jam inde ab initio ad imperia gerenda magistratusque obeundos melius composito, quam quisquam propinquorum ejus, ingenio diligebatur. (6) Sero tandem, cum de eo desperatum prope esset, cum duobus tribusve sociis ab insecutione rediit, novo hostium sanguine perfusus, generosi instar catuli præ voluptate immodice victoriam prosecutus. (7) Hic est ille Scipio, qui posterioribus temporibus Carthaginem et Numantiam excidit, ac suæ ætatis Romanos virtute et potentia longe anteivit. Et Æmilium quidem fortuna tunc victoriæ integra voluptate frui passa est, dilata in aliud tempus invidia.

XXIII. Perseus Pydna Pellam profugit cum equitatu, qui integer fere e prœlio evaserat. Ut vero pedites equitibus timiditatem et proditionem exprobraverunt, et ab equis dejecerunt, verberaque imposuerunt : tumultum metuens, equum a via deflexit, ac ne agnosceretur, purpuram detractam ante se posuit, ac diadema manibus gestavit. (2) Ut vero cum comitibus posset colloqui, pedes una ambulavit, equum post se trahens. At eorum alius calceum se ligare simulans, alius equo se potum ministrare, alius aquam sitis suæ explendæ causa quæsitum ire fingens, paulatim ab eo dilapsi sunt : non tam hostes, quam crudelitatem ejus metuentes, qui malis perturbato animo, causam acceptæ cladis in unumquemlibet transferre quærebat. (3) Postquam vero noctu ingressus Pellam, in Euctum et Eudæum quæstores incidit et eos partim ipsum ob ea quæ evenerant culpantes, partim importuna libertate in reprehendendo et consulendo utentes, iratus pugione utrumque ictum necavit; nemo jam apud eum remansit, Evandro Cretense, Archedamo Ætolo et Neone Bœoto exceptis. (4) De militibus autem soli Cretenses eum secuti sunt, non benevolentia adducti, sed pecuniæ faciendæ, ut apes favis, intenti; ingentes enim secum opes vehebat et ex iis pocula, crateras reliquaque ex auro et argento confecta regii luxus instrumenta, quorum pretium ad quinquaginta talenta conficiebat, Cretensibus diripienda dabat. (5) Inde Amphi-

δ' ἐν Ἀμφιπόλει πρῶτον, εἶτ' ἐκεῖθεν ἐν Γαληψῷ καὶ τοῦ φόβου μικρὸν ὑπανέντος, εἰς τὸ συγγενὲς καὶ πρεσβύτατον αὐτοῦ τῶν νοσημάτων, τὴν μικρολογίαν, αὖθις ὑπενεχθεὶς ὠδύρετο πρὸς τοὺς φίλους ὡς τῶν Ἀλεξάνδρου τοῦ μεγάλου χρυσωμάτων ἔνια τοῖς Κρησὶ διερριφὼς ὑπ' ἀγνοίας καὶ παρεχάλει τοὺς ἔχοντας ἀντιβολῶν καὶ δακρύων ἀμείψασθαι πρὸς νόμισμα. (6) Τοὺς μὲν οὖν ἐπισταμένους ἀκριβῶς αὐτὸν οὐκ ἔλαθε κρητίζων πρὸς Κρῆτας· οἱ δὲ πεισθέντες καὶ ἀποδόντες ἀπεστερήθησαν. Οὐ γὰρ ἀπέδωκε ταργύριον, ἀλλὰ τριάκοντα τάλαντα κερδάνας ἀπὸ τῶν φίλων, ἃ μικρὸν ὕστερον ἔμελλον οἱ πολέμιοι λήψεσθαι, μετ' αὐτῶν διέπλευσεν εἰς Σαμοθράκην καὶ διαφεύγων ἐπὶ τοὺς Διοσκόρους ἱκέτευεν.

f

268 XXIV. Ἀεὶ μὲν οὖν λέγονται φιλοβασίλειοι Μακεδόνες, τότε δ' ὡς ἐρείσματι κεκλασμένῳ πάντων ἅμα συμπεσόντων ἐγχειρίζοντες αὑτοὺς τῷ Αἰμιλίῳ δύο ἡμέραις ὅλης κύριον αὐτὸν κατέστησαν Μακεδονίας. (2) Καὶ δοκεῖ τοῦτο μαρτυρεῖν τοῖς εὐτυχίᾳ τινὶ τὰς πράξεις ἐκείνας γεγονέναι φάσκουσιν. Ἔτι δὲ καὶ τὸ περὶ τὴν θυσίαν σύμπτωμα δαιμόνιον ἦν· ἐν Ἀμφιπόλει θύοντος τοῦ Αἰμιλίου καὶ τῶν ἱερῶν ἐνηργμένων κεραυνὸς ἐνσκήψας εἰς τὸν βωμὸν ἐπέφλεξε καὶ συγκαθήγισε τὴν ἱερουργίαν. (3) Ὑπερβάλλει δὲ θειότητι πάντως καὶ τύχη τὰ τῆς φήμης. Ἦν μὲν γὰρ ἡμέρα τετάρτη νενικημένῳ Περσεῖ περὶ Πύδναν, ἐν δὲ τῇ Ῥώμῃ τοῦ δήμου θεωροῦντος ἱππικοὺς ἀγῶνας ἐξαίφνης ἐνέπεσε λόγος εἰς τὸ πρῶτον τοῦ θεάτρου μέρος, ὡς Αἰμίλιος μεγάλῃ μάχῃ νενικηκὼς Περσέα καταστρέφοιτο σύμπασαν Μακεδονίαν. (4) Ἐκ δὲ τούτου ταχὺ τῆς φήμης ἀναχεομένης εἰς τὸ πλῆθος ἐξέλαμψε χαρὰ μετὰ κρότου καὶ βοῆς τὴν ἡμέραν ἐκείνην κατασχοῦσα τὴν πόλιν. Εἶτα, ὡς ὁ λόγος οὐκ εἶχεν εἰς ἀρχὴν ἀνελθεῖν βέβαιον, ἀλλ' ἐν πᾶσιν ὁμοίως ἐφαίνετο πλανώμενος, τότε μὲν ἐσκεδάσθη καὶ διερρύη τὰ τῆς φήμης· ὀλίγαις δ' ὕστερον ἡμέραις πυθόμενοι σαφῶς ἐθαύμαζον τὴν προδραμοῦσαν ἀγγελίαν, ὡς ἐν τῷ ψεύδει τὸ ἀληθὲς εἶχε.

a

b

XXV. Λέγεται δὲ καὶ τῆς ἐπὶ Σάγρᾳ ποταμῷ μάχης Ἰταλιωτῶν αὐθημερὸν ἐν Πελοποννήσῳ λόγον γενέσθαι καὶ Πλαταιᾶσι τῆς ἐν Μυκάλῃ πρὸς Μήδους. (2) Ἧν δὲ Ῥωμαῖοι Ταρκυνίους μετὰ Λατίνων ἐπιστρατεύσαντας ἐνίκησαν αὐτάγγελοι φράζοντες ὤφθησαν ἀπὸ στρατοῦ μικρὸν ὕστερον ἄνδρες δύο καλοὶ καὶ μεγάλοι. (3) Τούτους εἰκασαν εἶναι Διοσκόρους. Ὁ δ' ἐντυχὼν πρῶτος αὐτοῖς κατ' ἀγορὰν πρὸ τῆς κρήνης ἀναψύχουσι τοὺς ἵππους ἱδρῶτι πολλῷ περιῤῥεομένους ἐθαύμαζε τὸν περὶ τῆς νίκης λόγον. Εἶθ' οἱ μὲν ἐπιψαῦσαι λέγονται τῆς ὑπήνης αὐτοῦ τοῖν χεροῖν ἀτρέμα μειδιῶντες· εὐθὺς δ' ἐκ μελαίνης τριχὸς εἰς πυῤῥὰν μεταβαλοῦσα τῷ μὲν λόγῳ πίστιν, τῷ δ' ἀνδρὶ παρασχεῖν ἐπίκλησιν τὸν Ἀηνόβαρβον, ὅπερ ἐστὶ χαλκοπώγων. (4) Πᾶσι δὲ τούτοις τὸ καθ' ἡμᾶς γενόμενον πίστιν παρέσχεν. Ὅτε γὰρ Ἀντώνιος ἀπέστη Δο-

c

d

polim atque hinc Galepsum delatus, remittente nonnihil formidine a cognatum suum inveteratissimumque vitium avaritiæ relapsus est : deploravitque apud amicos, quod per imprudentiam quædam de Alexandri Magni aurea supellectile in Cretenses profudisset; et eos, qui nacti hæc erant, precibus et fletu obtestabatur, ut eorum loco pecuniam acciperent. (6) Qui hominis ingenium norant, eos non latebat Cretensium more agere ipsum contra Cretenses : qui enim reddiderunt verbis ejus inducti, pretium nullum recepere. Sic amicos triginta talentis cum defraudasset, quæ paulo post erant in manum hostium perventura, inde in Samothracen trajecit et ad Castoris ac Pollucis fanum supplex confugit.

XXIV. Macedones interim, quorum semper erat in reges celebrata fides, tunc, quasi fulcro rerum fracto omnia concidissent, fidei Æmilii se commiserunt, atque bidui spatio totam ei Macedoniam tradiderunt. (2) Quæ res fidem facere videtur opinioni eorum, qui istam victoriam fortunæ favori imputant. Quo spectat illud etiam quod ei Amphipoli rem sacram facienti accidit : victimis enim jam immolatis, fulmen in aram decidit, ac victimas absumpsit, sacraque perpetravit. (3) Verum fama rei omnium maxime deorum et fortunæ benignitatem demonstravit. Quarto enim secundum victoriam de Perseo apud Pydnam relatam die, cum Romæ Circenses ludos populus spectaret, subito in prima theatri parte rumor exstitit, Æmilium devicto magna pugna Perseo, totam Macedoniam subigere. (4) Hic rumor celeriter in plebem vulgatus gaudium, plausum et acclamationem excitavit, quæ totum illum diem per urbis omnes partes duravere : post cum non exstaret certus auctor, sed per omnes videretur temere vagatus, resedit. Non multis interpositis diebus re certius cognita, in admiratione omnium fuit fama quæ præcurrerat et sub mendacio veritatem annunciarat.

XXV. Ferunt etiam pugnæ Italorum apud Sagram fluvium famam eadem die in Peloponnesum perlatam; et prœlii contra Medos ad Mycalen facti, Platæas. (2) Memoriæ proditum præterea est, cum Romani Tarquinios auxiliantibus Latinis bellum inferentes vicissent, paulo post magnos duos et pulchros viros ab exercitu Romam venisse, et victoriam annunciasse. (3) Hos creditum est Castorem et Pollucem fuisse : ac qui primus iis juxta forum apud fontem occurrit equos sudore fluentes refrigerantibus, cum miraretur hanc famam, subridentes feruntur barbam ejus manibus contigisse, eamque confestim de nigra rufam factam, indicio fidem, viro Aenobarbi cognomentum peperisse. (4) Quæ omnia ut credenda videantur, id effecit quod nostro tempore usu venit. Cum enim Antonius a Domitiano defecis-

μετιανοῦ καὶ πολὺς πόλεμος ἀπὸ Γερμανίας προσεδοκᾶτο, τῆς Ῥώμης ταραττομένης ἄφνω καὶ αὐτομάτως ὁ δῆμος ἐξ αὐτοῦ φήμην ἀνέδωκε νίκης καὶ τὴν Ῥώμην ἐπέδραμε λόγος, αὐτόν τε τὸν Ἀντώνιον ἀνηρῆσθαι καὶ τοῦ σὺν αὐτῷ στρατεύματος ἡττημένου μηδὲν μέρος λελεῖφθαι. (5) Τοσαύτην δὲ λαμπρότητα καὶ ῥύμην ἡ πίστις ἔσχεν, ὥστε καὶ θῦσαι τῶν ἐν τέλει πολλούς. Ζητουμένου δὲ τοῦ πρώτου φράσαντος, ὡς οὐδεὶς ἦν, ἀλλ' ὁ λόγος εἰς ἄλλον ἐξ ἄλλου διωκόμενος ἀνέφευγε καὶ τέλος καταδὺς ὥσπερ εἰς πέλαγος ἀχανὲς τὸν ἄπειρον ὄχλον ἐφάνη μηδεμίαν ἀρχὴν ἔχων βέβαιον, αὕτη μὲν ἡ φήμη ταχὺ τῆς πόλεως ἐξερρύη, πορευομένῳ δὲ τῷ Δομετιανῷ μετὰ δυνάμεως ἐπὶ τὸν πόλεμον ἤδη καθ' ὁδὸν ἀγγελία καὶ γράμματα φράζοντα τὴν νίκην ἀπήντησεν. (6) Ἡ δ' αὐτοῦ τοῦ κατορθώματος ἡμέρα καὶ τῆς φήμης ἐγίγνετο, ἐπὶ πλέον ἢ δισμυρίους σταδίους τῶν τόπων διεστώτων. Ταῦτα μὲν οὐδεὶς ἀγνοεῖ τῶν καθ' ἡμᾶς.

XXVI. Γναῖος δὲ Ὀκτάβιος ὁ ναυαρχῶν Αἰμιλίῳ προσορμισάμενος τῇ Σαμοθρᾴκῃ τὴν μὲν ἀσυλίαν παρεῖχε τῷ Περσεῖ διὰ τοὺς θεούς, ἔκπλου δὲ καὶ φυγῆς εἶργεν. (2) Οὐ μὴν ἀλλὰ λανθάνει πως ὁ Περσεὺς Ὀροάνδην τινὰ Κρῆτα λέμβον ἔχοντα συμπείσας μετὰ χρημάτων ἀναλαβεῖν αὐτόν. Ὁ δὲ κρητισμῷ χρησάμενος τὰ μὲν χρήματα [νύκτωρ] ἀνέλαβεν, ἐκεῖνον δὲ τῆς νυκτὸς ἥκειν κελεύσας ἐπὶ τὸν πρὸς τῷ Δημητρίῳ 269λιμένα μετὰ τῶν τέκνων καὶ θεραπείας ἀναγκαίας εὐθὺς ἀφ' ἑσπέρας ἀπέπλευσεν. (3) Ὁ δὲ Περσεὺς οἰκτρὰ μὲν ἔπασχε διὰ στενῆς θυρίδος παρὰ τὸ τεῖχος ἐκμηρυόμενος αὑτὸν καὶ παιδία καὶ γυναῖκα πόνων καὶ πλάνης ἄπειρα, οἰκτρότατον δὲ στεναγμὸν ἀφῆκεν, ὥς τις αὐτῷ πλανωμένῳ παρὰ τὸν αἰγιαλὸν ἤδη πελάγιον τὸν Ὀροάνδην θέοντα κατιδὼν ἔφρασεν. (4) Ὑπέλαμπε γὰρ ἡμέρα καὶ πάσης ἐλπίδος ἔρημος ὑπεχώρει φυγῇ πρὸς τὸ τεῖχος, οὐ λαθὼν μέν, ὑποφθάσας δὲ τοὺς Ῥωμαίους μετὰ τῆς γυναικός. (5) Τὰ δὲ παιδία συλλαβὼν αὐτὸς Ἴωνι ἐνεχείρισεν, ὃς πάλαι μὲν ἐρώμενος ἦν τοῦ Περσέως, τότε δὲ προδότης γενόμενος αἰτίαν παρέσχε τὴν μάλιστα συναναγκάσασαν τὸν ἄνθρωπον, ὡς θηρίον ἁλισκομένων τῶν τέκνων, εἰς χεῖρας ἐλθεῖν καὶ παραδοῦναι τὸ σῶμα τοῖς ἐκείνων κρατοῦσιν. (6) Ἐπίστευε μὲν οὖν μάλιστα τῷ Νασικᾷ κἀκεῖνον ἐκάλει· μὴ παρόντος δὲ καταλαύσας τὴν τύχην καὶ τὴν ἀνάγκην περισκεψάμενος ἔδωκεν αὐτὸν ὑποχείριον τῷ Γναίῳ, τότε μάλιστα ποιήσας φανερὸν, ὅτι τῆς φιλαργυρίας ἦν ἐν αὐτῷ τι κακὸν ἀγεννέστερον ἡ φιλοψυχία, δι' ἣν, ὃ μόνον ἡ τύχη τῶν ἐπταικότων οὐκ ἀφαιρεῖται, τὸν ἔλεον, ἀπεστέρησεν ἑαυτοῦ. (7) Δεηθεὶς γὰρ ἀχθῆναι πρὸς τὸν Αἰμίλιον, ὁ μὲν ὡς ἀνδρὶ μεγάλῳ πεπτωκότι πτῶμα νεμεσητὸν καὶ δυστυχὲς ἐξαναστὰς ὑπήντα μετὰ τῶν φίλων δεδακρυμένος· ὁ δ', αἴσχιστον θέαμα, προβαλὼν αὑτὸν ἐπὶ στόμα καὶ γονάτων ὀρεξάμενος ἀνεβάλλετο φωνὰς ἀγεννεῖς καὶ δεήσεις, ἃς οὐχ ὑπέμεινεν οὐδ' ἤκουσεν ὁ Αἰμίλιος, ἀλλὰ προσβλέψας αὐτὸν ἀλγοῦντι καὶ

set, magnumque a Germania bellum exspectaretur et Romanorum animi essent perturbati, subito populus sua sponte rumorem de victoria sparsit, isque per totam urbem dissipatus est : Antonium scilicet occisum copiasque ejus victas et deletas esse. (5) Tamque illustris fuit et tam efficax is rumor, ut multi senatores etiam sacrificarint. Ut autem de auctore inquisitio est habita, neque is inventus fuit, sed uno ad alterum ejus initium transferente; tandem ad populum, tanquam in immensum pelagus, famæ origo rejecta est : illa quidem ut quæ nullum certum principium habuisset, statim ex urbe evanuit. At Domitianus cum ad bellum id copias educeret, in itinere nuntium sibi obvium habuit, literas ferentem quibus eadem victoria indicabatur. (6) Et eadem die erat rumor iste sparsus, qua Antonius superatus fuit, amplius quam bis mille et quingentis ab urbe millibus passuum. Rem ita habere nemo vivit nostro tempore qui ignoret.

XXVI. Porro Cn. Octavius præfectus classis Samothracen adducta classe, Perseum reverentia deorum inviolatum ibi jure asyli reliquit : ne tamen effugere inde avehique posset, custodiit. (2) Verumtamen Perseus Oroandæ cuidam Cretensi pecunia data suasit, ut se in navem receptum aveheret : is autem usus arte Cretica, accepta pecunia eum cum liberis venire noctu ad in portum templum Cereris jussit, et famulatu quanto opus esset : ipse vesperi avectus est. (3) Perseus cum misere se torsisset, per angustam fenestram pone murum se ipsum conjugemque et liberos miserarum et peregrinationis imperitos funе demisisset, maxime miserabilem gemitum emisit, ut ei oberranti in littore quidam Oroandam jam in alto navigantem a se visum indicavit. (4) Ita jam albente cœlo, omni spe destitutus, cum uxore ad murum profugit, ut non fallerent, sed anteverterent Romanos. (5) Liberos Ioni crediderat, amasio pridem suo, nunc proditori, qui maxime in causa fuit, ut Perseus, instar feræ catulis spoliatæ, in eorum, qui liberos ipsius secum habebant, manus se tradere cogeretur. (6) Maxime omnium Nasicæ fidebat, atque hunc vocabat : sed eo absente deplorata fortuna sua, intellectaque necessitate, Octavio se dedidit. Ac tum maxime ostendit, aliud sibi avaritia turpius adhuc vitium inesse, cupiditatem scilicet vivendi, propter quam se ipsum miseratione, quam unam fortuna hominibus calamitate afflictis relinquit, spoliavit. (7) Cum enim, ut ad Æmilium duceretur, impetrasset, Æmilius casum viri magni fortunæ invidia indignationeque dejecti reputans, lacrimabundus ei cum amicis occurrit. Perseus autem turpissimum spectaculum exhibuit, in faciem concidens, manibusque genua Æmilii tangens, vocesque et deprecationes homine ingenuo indignas proferens. Quas ne audire quidem dignatus Æmilius, tristi eum vultu in hæc verba compellavit : « Quid,

λελυπημένῳ τῷ προσώπῳ, « Τί τῆς τύχης, εἶπεν, ὦ ταλαίπωρε, τὸ μέγιστον ἀφαιρεῖς τῶν ἐγκλημάτων ταῦτα πράττων, ἀφ' ὧν δόξεις οὐ παρ' ἀξίαν ἀτυχεῖν οὐδὲ τοῦ νῦν, ἀλλὰ τοῦ πάλαι δαίμονος ἀνάξιος γεγονέναι; τί δέ μου καταβάλλεις τὴν νίκην, καὶ τὸ κατόρθωμα ποιεῖς μικρὸν ἐπιδεικνύμενος ἑαυτὸν οὐ γενναῖον οὐδὲ πρέποντα Ῥωμαίων ἀνταγωνιστήν; Ἀρετή τοι δυστυχοῦσι μεγάλην ἔχει μοῖραν αἰδοῦς καὶ παρὰ πολεμίοις, δειλία δὲ Ῥωμαίοις, κἂν εὐποτμῇ, πάντη ἀτιμότατον.»

XXVII. Οὐ μὴν ἀλλὰ τοῦτον μὲν ἀναστήσας καὶ δεξιωσάμενος Τουβέρωνι παρέδωκεν, αὐτὸς δὲ τοὺς παῖδας καὶ τοὺς γαμβροὺς καὶ τῶν ἄλλων ἡγεμονικῶν μάλιστα τοὺς νεωτέρους ἔσω τῆς σκηνῆς ἐπισπασάμενος πολὺν χρόνον ἦν πρὸς αὑτῷ σιωπῇ καθήμενος, ὥστε θαυμάζειν ἅπαντας. Ὁρμήσας δὲ περὶ τῆς τύχης καὶ τῶν ἀνθρωπίνων διαλέγεσθαι πραγμάτων· (2) « Ἆρά γε, εἶπεν, ἄξιον εὐπραγίας παρούσης ἄνθρωπον ὄντα θρασύνεσθαι καὶ μέγα φρονεῖν ἔθνος ἢ πόλιν ἢ βασιλείαν καταστρεψάμενον, ἢ τὴν μεταβολὴν ταύτην τῆς τύχης ἢ παράδειγμα τῷ πολεμοῦντι κοινῆς ἀσθενείας προθεῖσα παιδεύει μηδὲν ὡς μόνιμον καὶ βέβαιον διανοεῖσθαι; (3) Ποῖος γὰρ ἀνθρώποις τοῦ θαρρεῖν καιρὸς, ὅταν τὸ κρατεῖν ἑτέρων μάλιστα δεδοικέναι τὴν τύχην ἀναγκάζῃ καὶ τῷ χαίροντι δυσθυμίαν ἐπάγῃ τοσαύτην ὁ τῆς περιφερομένης καὶ προσισταμένης ἄλλοτ' ἄλλοις εἱμαρμένης λογισμός; (4) ἢ τὴν Ἀλεξάνδρου διαδοχὴν, ὃς ἐπὶ πλεῖστον ἦρθη δυνάμεως καὶ μέγιστον ἔσχε κράτος, ὥρας μιᾶς μορίῳ πεσοῦσαν ὑπὸ πόδας θέμενοι καὶ τοὺς ἄρτι μυριάσι πεζῶν καὶ χιλιάσιν ἱππέων τοσαύταις ὁπλοφορουμένους βασιλεῖς ὁρῶντες ἐκ τῶν πολεμίων χειρῶν ἐφήμερα σιτία καὶ ποτὰ λαμβάνοντας οἴεσθε τὰ καθ' ἡμᾶς ἔχειν τινὰ βεβαιότητα τύχης διαρκῆ πρὸς τὸν χρόνον; (5) οὐ καταβαλόντες ὑμεῖς οἱ νέοι τὸ κενὸν φρύαγμα τοῦτο καὶ γαυρίαμα τῆς νίκης ταπεινοὶ καταπτήξετε πρὸς τὸ μέλλον ἀεὶ καραδοκοῦντες, εἴς ὅ τι κατασκήψει τέλος ἑκάστῳ τὴν τῆς παρούσης εὐπραγίας ὁ δαίμων νέμεσιν; » (6) Τοιαῦτα φασὶ πολλὰ διαλεχθέντα τὸν Αἰμίλιον ἀποπέμψαι τοὺς νέους εὖ μάλα τὸ καύχημα καὶ τὴν ὕβριν, ὥσπερ χαλινῷ, τῷ λόγῳ κόπτοντι κεκολασμένους.

XXVIII. Ἐκ τούτου τὴν μὲν στρατιὰν πρὸς ἀνάπαυσιν, αὐτὸν δὲ πρὸς θέαν τῆς Ἑλλάδος ἔτρεψε καὶ διαγωγὴν ἔνδοξον ἅμα καὶ φιλάνθρωπον. Ἐπιὼν γὰρ ἀνελάμβανε τοὺς δήμους καὶ τὰ πολιτεύματα καθίστατο καὶ δωρεὰς ἐδίδου ταῖς μὲν σῖτον ἐκ τοῦ βασιλικοῦ, ταῖς δ' ἔλαιον. Τοσοῦτον γὰρ εὑρεθῆναι φασὶν ἀποκείμενον, ὥστε τοὺς λαμβάνοντας καὶ δεομένους ἐπιλιπεῖν πρότερον ἢ καταναλωθῆναι τὸ πλῆθος τῶν εὑρεθέντων. (2) Ἐν δὲ Δελφοῖς ἰδὼν κίονα μέγαν τετράγωνον ἐκ λίθων λευκῶν συνηρμοσμένον, ἐφ' οὗ Περσέως ἔμελλε χρυσοῦς ἀνδριὰς τίθεσθαι, προσέταξε τὸν αὑτοῦ τεθῆναι· τοὺς γὰρ ἡττημένους τοῖς νικῶσιν ἐξίστασθαι χώρας προσήκειν. (3) Ἐν δ' Ὀλυμπίᾳ τοῦτο δὴ τὸ πολυθρύλητον ἐκεῖνο ἀναφθέγξασθαι φασὶν, ὡς τὸν Ὁμήρου Δία

o miser, hæc agis, quibus crimine tuarum calamitatum fortunam liberas, et ostendis non immerito tibi hæc accidisse, teque non præsenti, sed priore conditione indignum fuisse? Quid victoriæ meæ laudem imminuis, demonstrans te non alti animi virum, neque dignum fuisse, quem Romani adversarium suum haberent? Virtus profecto hominis adversa patientis etiam apud hostes magnam sui verecundiam excitat: timiditatem, etiam si fortunata sit, Romani inhonestam censent. »

XXVII. Nihilominus eum a terra sublevavit dextraque data salutatum, Tuberoni tradidit. Ipse filios, generos, reliquosque primores, maxime juvenes, secum in tentorium suum abduxit: ibique postquam diu tacitus et cogitabundus omnibus admirantibus consedisset, de fortuna et rebus humanis ita disserere instituit: (2) « Utrum vobis videtur, inquit, convenire, ut homo, rebus feliciter gestis, gente, urbe, aut regno subacto, cristas erigat, animumque attollat? an potius fortunæ vices secum expendat, quæ communis imbecillitatis exemplum victori proponens, docet ne quid stabile aut perpetuum putemus? (3) Quod enim tempus homini sit confidendi rebus suis, quando victoria de aliis parta maximæ fortunæ mutationem timere nos cogit, consideratioque fati modo huc, modo illuc decumbentis, etiam gaudentibus summam affert anxietatem? (4) An vos, cum Alexandri regnum, qui ad summam potentiam pervenerat maximumque obtinuit imperium, unius horæ particula eversum, regesque modo multis equitum peditumque millibus stipatos, nunc de manibus hostium quotidie cibum ac potum sumere videatis, res nostras stabilitate fortunæ in omne tempus firmatas putatis? (5) quin vos, o juvenes, inanem potius animi elationem jactantiamque victoriæ causa natam compescite, vosque pavidi demittite, ac futuris semper animum intendite, exspectantes quonam unicuique vestrûm incommodo fortuna præsentem felicitatem sit compensatura. » (6) Multa in hanc sententiam ab Æmilio dicta memorant, dimissosque juvenes, fastu eorum hoc orationis velut fræno valde coercito.

XXVIII. Secundum hæc exercitui facultatem quiescendi dedit, se ipsum ad spectandam Græciam convertit, gloriose pariter et humaniter eo otio utens. Circumiens enim urbes recreavit, respublicas constituit, dona civitatibus dedit aliis ex frumento et aliis ex oleo regis, cujus tantam ferunt fuisse copiam reconditam, ut ante qui acciperent, quam quid daretur, deficeret. (2) Delphis conspicatus columnam magnam quadrangulam ex albo lapide constructam, cui aurea Persei statua imponenda erat, suam eo collocari jussit: æquum enim esse, ut victi victoribus locum cederent. (3) Olympiæ tritum illud ab eo pronunciatum ferunt: a Phidia Jovem, qualem Homerus eum descripsisset, effectum esse.

Φειδίας ἀποπλάσαιτο. (4) Τῶν δὲ δέκα πρέσβεων ἐκ Ῥώμης ἀφικομένων Μακεδόσι μὲν ἀπέδωκε τὴν χώραν καὶ τὰς πόλεις ἐλευθέρας οἰκεῖν καὶ αὐτονόμους, ἑκατὸν δὲ τάλαντα Ῥωμαίοις ὑποτελεῖν, οὗ πλέον ἢ διπλάσιον τοῖς βασιλεῦσιν εἰσέφερον. (5) Θέας δὲ παντοδαπῶν ἀγώνων καὶ θυσίας ἐπιτελῶν τοῖς θεοῖς ἑστιάσεις καὶ δεῖπνα προὔθετο, χορηγίᾳ μὲν ἐκ τῶν βασιλικῶν ἀφθόνῳ χρώμενος, τάξιν δὲ καὶ κόσμον καὶ κατακλίσεις καὶ δεξιώσεις καὶ τὴν πρὸς ἕκαστον αὐτοῦ τῆς κατ' ἀξίαν τιμῆς καὶ φιλοφροσύνης αἴσθησιν οὕτως ἀκριβῆ καὶ πεφροντισμένην ἐνδεικνύμενος, ὥστε θαυμάζειν τοὺς Ἕλληνας, εἰ μηδὲ τὴν παιδιὰν ἄμοιρον ἀπολείπει σπουδῆς, ἀλλὰ τηλικαῦτα πράττων ἀνὴρ πράγματα καὶ τοῖς μικροῖς τὸ πρέπον ἀποδίδωσιν. (6) Ὁ δὲ καὶ τούτοις ἔχαιρεν, ὅτι πολλῶν παρεσκευασμένων καὶ λαμπρῶν τὸ ἥδιστον αὐτὸς ἦν ἀπόλαυσμα καὶ θέαμα τοῖς παροῦσι, καὶ πρὸς τοὺς θαυμάζοντας τὴν ἐπιμέλειαν ἔλεγε, τῆς αὐτῆς εἶναι ψυχῆς παρατάξεώς τε προστῆναι καλῶς καὶ συμποσίου, τῆς μέν, ὅπως φοβερωτάτη τοῖς πολεμίοις, τοῦ δ', ὡς εὐχαριστότατον ᾖ τοῖς συνοῦσιν. (7) Οὐδενὸς δ' ἧττον αὐτοῦ τὴν ἐλευθεριότητα καὶ τὴν μεγαλοψυχίαν ἐπῄνουν οἱ ἄνθρωποι, πολὺ μὲν ἀργύριον, πολὺ δὲ χρυσίον ἐκ τῶν βασιλικῶν ἠθροισμένον οὐδ' ἰδεῖν ἐθελήσαντος, ἀλλὰ τοῖς ταμίαις εἰς τὸ δημόσιον παραδόντος. (8) Μόνα τὰ βιβλία τοῦ βασιλέως φιλογραμματοῦσι τοῖς υἱάσιν ἐπέτρεψεν ἐξελέσθαι καὶ διανέμων ἀριστεῖα τῆς μάχης Αἰλίῳ Τουβέρωνι τῷ γαμβρῷ φιάλην ἔδωκε πέντε λιτρῶν ὅλκήν. (9) Οὗτός ἐστι Τουβέρων, ὃν ἔφαμεν μετὰ συγγενῶν οἰκεῖν ἑκκαιδέκατον ἀπὸ γηδίου μικροῦ διατρεφομένων ἁπάντων. (10) Καὶ πρῶτον ἄργυρον ἐκεῖνον φασὶν εἰς τὸν Αἰλίων οἶκον εἰσελθεῖν ὑπ' ἀρετῆς καὶ τιμῆς εἰσαγόμενον, τὸν δ' ἄλλον χρόνον οὔτ' αὐτοὺς οὔτε γυναῖκας ἀργυρίου χρῄζειν ἢ χρυσοῦ.

XXIX. Διῳκημένων δὲ πάντων αὐτῷ καλῶς ἀσπασάμενος τοὺς Ἕλληνας καὶ παρακαλέσας τοὺς Μακεδόνας μεμνῆσθαι τῆς δεδομένης ὑπὸ Ῥωμαίων ἐλευθερίας σώζοντας αὐτὴν δι' εὐνομίας καὶ ὁμονοίας, ἀνέζευξεν ἐπὶ τὴν Ἤπειρον ἔχων δόγμα συγκλήτου τοὺς συμμαχημένους αὐτῷ τὴν πρὸς Περσέα μάχην στρατιώτας ἀπὸ τῶν ἐκεῖ πόλεων ὠφελῆσαι. (2) Βουλόμενος δὲ πᾶσιν ἅμα καὶ μηδενὸς προσδοκῶντος, ἀλλ' ἐξαίφνης ἐπιπεσεῖν, μετεπέμψατο τοὺς πρώτους ἐξ ἑκάστης πόλεως ἄνδρας δέκα καὶ προσέταξεν αὐτοῖς, ὅσος ἀργυρός ἐστι καὶ χρυσὸς ἐν οἰκίαις καὶ ἱεροῖς ἡμέρᾳ ῥητῇ καταφέρειν. (3) Ἑκάστοις δὲ συνέπεμψεν ὡς ἐπ' αὐτὸ δὴ τοῦτο φρουρὰν στρατιωτῶν καὶ ταξίαρχον προσποιούμενον ζητεῖν καὶ παραλαμβάνειν τὸ χρυσίον. (4) Ἐνστάσης δὲ τῆς ἡμέρας ὑφ' ἕνα καὶ τὸν αὐτὸν ἅμα καιρὸν ὁρμήσαντες ἐτράποντο πρὸς καταδρομὴν καὶ διαρπαγὴν τῶν πόλεων, ὥστε ὥρᾳ μιᾷ πεντεκαίδεκα ἀνθρώπων ἐξανδραποδισθῆναι μυριάδας, ἑβδομήκοντα δὲ πόλεις πορθηθῆναι, γενέσθαι δ' ἀπὸ τοσαύτης φθορᾶς καὶ πανωλεθρίας ἑκάστῳ στρατιώτῃ τὴν δόσιν οὐ μεῖζον ἑνδεκα

(4) Decem Roma legatis venientibus, regionem suam civitatesque cum libertate habitandas Macedonibus reddidit, stipendio centum talentorum imperato, cujus summæ plus quam duplum regibus pendebant. (5) Spectacula porro omnis generis certaminum, sacrificiaque diis fecit, convivia quoque et cœnas præbuit. Ad eas res sumptum abunde suppeditabant opes regiæ; tantus autem erat ordo, tanta decori observatio in excipiendis et collocandis hominibus, inque tribuendo unicuique pro sua dignitate honore, et comitate exhibenda studium, accurataque diligentia, ut mirati sint Græci, eum virum ne in his quidem, quæ animi causa ageret, seriam gravitatem omittere, ac qui tantas res gessisset, etiam exiguis suum ornatum reddere. (6) Æmilius vero his eo maxime nomine delectabatur, quod in tam splendido omnium apparatu ipsius aspectu frui potissimum omnes quærebant: diligentiamque ejus in ea re admirantibus respondebat, ejusdem esse ingenii aciem bene instruere et convivium: alterum ut quam maximum terrorem hostibus incuteret, alterum ut quam jucundissimum hospitibus esset. (7) Neque minorem liberalitas ejus et pecuniæ despicientia laudem invenit, qui magnam auri argentique copiam ex regis thesauris congestam ne aspexit quidem, sed quæstoribus in publicum referendam tradidit. (8) Solos libros regis passus est a filiis suis literarum studiosis eximi. Præmia iis, quorum in pugna virtus potissimum fuisset spectata, distribuens, Ælio Tuberoni genero pateram quinque librarum pondo dedit. (9) Hic est ille Tubero, quem supra memoravimus cum quindecim propinquis una in domo habitasse, ac proventibus parvi agelli omnes vixisse. (10) Illud autem argentum primum in Æliorum (Tuberonum) domum ferunt illatum virtute et honore partum: ante id tempus neminem ea in familia neque auro neque argento esse usum.

XXIX. Constitutis omnibus rebus, salutatis Græcis, Macedonasque hortatus, meminissent a Romanis se libertate donatos, eamque concordia ac justitia conservare studerent, in Epirum copias traduxit, jussus senatusconsulto, ut militibus, quorum in pugna contra Perseum esset opera usus, ex istius regionis oppidis prædam concederet. (2) Ut autem omnes simul Epirotas improviso invaderet, ex unaquavis urbe decem primarios viros ad se accersivit, iisque imperavit, ut quantum auri argentique in domibus et templis haberent, id omne ad diem dictum deferrent. (3) Singulis tanquam custodiæ causa addidit, qui una irent, milites et centurionem, qui se conquirere aurum, atque accipere simularent. (4) Ubi dies constituta venit, uno momento milites ad diripiendas urbes discurrerunt. Itaque una hora in captivitatem abducta centum et quinquaginta hominum millia, urbes septuaginta direptæ sunt: et tamen ex tanta præda, totius populi pernicie parta, singulis militibus non supra undecim denarios obtigerunt: horroremque

δραχμῶν, φρῖξαι δὲ πάντας ἀνθρώπους τὸ τοῦ πολέμου τέλος, εἰς μικρὸν οὕτω τὸ καθ' ἕκαστον λῆμμα καὶ κέρδος ἔθνους ὅλου κατακερματισθέντος.

XXX. Αἰμίλιος μὲν οὖν τοῦτο πράξας μάλιστα παρὰ τὴν αὐτοῦ φύσιν ἐπιεικῆ καὶ χρηστὴν οὖσαν εἰς Ὠρικὸν κατέβη· κἀκεῖθεν εἰς Ἰταλίαν μετὰ τῶν δυνάμεων περαιωθεὶς ἀνέπλει τὸν Θύβριν ποταμὸν ἐπὶ τῆς βασιλικῆς ἐκκαιδεκήρους κατεσκευασμένης εἰς κόσμον ὅπλοις αἰχμαλώτοις καὶ φοινικίσι καὶ πορφύραις, ὡς καὶ πανηγυρίζειν ἔξωθεν καθάπερ εἰς τινα θριαμβικῆς θέαν πομπῆς καὶ προαπολαύειν τοὺς Ῥωμαίους τῷ ῥοθίῳ σχέδην ὑπάγοντι τὴν ναῦν ἀντιπαρεξάγοντας. (2) Οἱ δὲ στρατιῶται τοῖς βασιλικοῖς, χρήμασιν ἐποφθαλμήσαντες, ὡς οὐχ ὅσων ἠξίουν ἔτυχον, ὠργίζοντο μὲν ἀδήλως διὰ τοῦτο καὶ χαλεπῶς εἶχον πρὸς τὸν Αἰμίλιον, αἰτιώμενοι δὲ φανερῶς, ὅτι βαρὺς γένοιτο καὶ δεσποτικὸς αὐτοῖς ἄρχων, οὐ πάνυ προθύμως ἐπὶ τὴν ὑπὲρ τοῦ θριάμβου σπουδὴν ἀπήντησαν. (3) Αἰσθόμενος δὲ τοῦτο Σέρβιος Γάλβας, ἐχθρὸς Αἰμιλίου, γεγονὼς δὲ τῶν ὑπ' αὐτὸν χιλιάρχων, ἐθάρρησεν ἀναφανδὸν εἰπεῖν, ὡς οὐ δοτέον εἴη τὸν θρίαμβον. (4) Ἐνεὶς δὲ πολλὰς τῷ στρατιωτικῷ πλήθει διαβολὰς κατὰ τοῦ στρατηγοῦ καὶ τὴν οὖσαν ὀργὴν ἔτι μᾶλλον ἐξερεθίσας ἠτεῖτο παρὰ τῶν δημάρχων ἄλλην ἡμέραν· ἐκείνην γὰρ οὐκ ἐξαρκεῖν τῇ κατηγορίᾳ τέσσαρας ἔτι λοιπὰς ὥρας ἔχουσαν. (5) Τῶν δὲ δημάρχων λέγειν αὐτὸν, εἴ τι βούλεται, κελευόντων, ἀρξάμενος μακρῷ καὶ βλασφημίας ἔχοντι παντοδαπὰς χρῆσθαι λόγῳ τὸν χρόνον ἀνήλωσε τῆς ἡμέρας· καὶ γενομένου σκότους οἱ μὲν δήμαρχοι τὴν ἐκκλησίαν ἀφῆκαν, πρὸς δὲ τὸν Γάλβαν οἱ στρατιῶται συνέδραμον θρασύτεροι γεγονότες καὶ συγκροτήσαντες αὐτοὺς περὶ τὸν ὄρθρον αὖθις καταλαμβάνονται τὸ Καπετώλιον. Ἐκεῖ γὰρ οἱ δήμαρχοι τὴν ἐκκλησίαν ἔμελλον ἄξειν.

XXXI. Ἅμα δ' ἡμέρᾳ τῆς ψήφου δοθείσης ἡ τε πρώτη φυλὴ τὸν θρίαμβον ἀπεψηφίζετο καὶ τοῦ πράγματος αἴσθησις εἰς τὸν ἄλλον δῆμον καὶ τὴν σύγκλητον κατῄει. Καὶ τὸ μὲν πλῆθος ὑπεραλγοῦν τῷ προπηλακίζεσθαι τὸν Αἰμίλιον ἐν φωναῖς ἦν ἀπράκτοις, οἱ δὲ γνωριμώτατοι τῶν ἀπὸ βουλῆς δεινὸν εἶναι τὸ γινόμενον βοῶντες ἀλλήλους παρεκάλουν ἐπιλαβέσθαι τῆς τῶν στρατιωτῶν ἀσελγείας καὶ θρασύτητος ἐπὶ πᾶν ἀφιξομένης ἄνομον ἔργον καὶ βίαιον, εἰ μηδὲν ἐμποδὼν αὐτοῖς γένοιτο Παῦλον Αἰμίλιον ἀφελέσθαι τῶν ἐπινικίων τιμῶν. (2) Ὡσάμενοι δὲ τὸν ὄχλον καὶ ἀναβάντες ἀθρόοι τοῖς δημάρχοις ἔλεγον ἐπισχεῖν τὴν ψηφοφορίαν, ἄχρι ἂν διέλθωσιν ἃ βούλονται πρὸς τὸ πλῆθος. (3) Ἐπισχόντων δὲ πάντων καὶ γενομένης σιωπῆς ἀνελθὼν ἀνὴρ ὑπατικὸς καὶ πολεμίους εἴκοσι καὶ τρεῖς ἐκ προκλήσεως ἀνῃρηκὼς, Μάρκος Σερβίλιος, Αἰμίλιον μὲν ἔφη Παῦλον, ἡλίκος αὐτοκράτωρ γένοιτο, τὸ νῦν μάλιστα γινώσκειν ὁρῶν, ὅσης ἀπειθείας γέμοντι καὶ κακίας στρατεύματι χρώμενος οὕτω καλὰς κατώρθωσε καὶ μεγάλας πράξεις, θαυμάζειν δὲ τὸν δῆμον, εἰ τοῖς ἀπ' Ἰλλυριῶν καὶ Λιγύων ἀγαλλόμενος θριάμβοις αὐτῷ

incussit omnibus hominibus is belli exitus, quod totius gentis direptione non major ad singulos captura rediisset.

XXX. Hoc maxime præter naturam suam egit Æmilius, mansuetus homo et benignus. Inde Oricum profectus est, atque Orico in Italiam cum exercitu trajecit, subvectusque est per Tiberim navi regia, quam sedecim versus remorum agebant, armis captivis puniceisque vexillis aliisque textilibus purpureis ornata: ac frequens Romanus populus obviam factus est tanquam ad solemnis triumphi spectaculum, eoque ante fruebatur undis sensim cedentibus subeuntem navem prosecutus. (2) At vero milites regiis thesauris inhiantes, cum non parem spei prædam accepissent, occulte Æmilio irascebantur: palam autem culpabant, quod imperiose ipsos et duriter militiæ habuisset, ideoque parum studiose triumphum ejus expediebant. (3) Quod sentiens Servius Galba, inimicus Æmilio, sub quo tribunus militum fuerat, palam ausus est dicere, non esse triumphum ei concedendum. (4) Multis præterea calumniis imperatorem apud milites traducens, iræque eorum stimulos addens, aliam a tribunis plebis diem postulavit: præsentem enim accusationi non suffecturam, cujus quattuor tantum horæ restarent. (5) Tribunis contra, ut, si quid haberet, id statim diceret jubentibus, prolixam et obtrectationibus omnis generis refertam orationem exorsus, tempus absumpsit: tenebrisque ingruentibus dimissa a tribubus est concio, milites aucta ferocia ad Galbam concurrerunt, et facta coitione Capitolium, ubi concionem erant tribuni plebis habituri, summo mane occuparunt.

XXXI. Cum statim ad suffragia populus vocaretur, prima tribus triumphum Æmilio negavit. Quod ubi ad reliquum populum et ad senatum emanavit, ceteris indignam rem agi contumeliamque inferri Æmilio summo cum dolore et inanibus clamoribus testantibus: senatorum clarissimi non ferendum hoc facinus clamitare, mutuoque se cohortari, irent obviam militum libidini atque audaciæ, nihil injustum, nullam vim non tentaturæ, si hoc nemine impediente obtinuissent, ut Æmilio potestas triumphandi eriperetur. (2) Cum dispulissent turbam, se in Capitolium proripuerunt tribunosque plebis jussere suffragiorum lationem inhibere, tantisper dum, quæ vellent, ad populum dixissent. (3) Omnibus cessantibus, factoque silentio, M. Servilius, vir consularis, qui vicies ac ter in bello singulari certamine provocatus hostem interfecerat, suggestum conscendit: « Quantus, inquit, imperator fuerit Æmilius Paulus, nunc maxime intelligo ex hoc, quod usus exercitu contumacia ac malitia corruptissimo tantas tamque præclaras tamen res gesserit. Vos autem miror cur, qui læto animo triumphari ex Illyriis et Liguribus videritis, pulcherrimum

φθονεῖ τὸν Μακεδόνων βασιλέα ζῶντα καὶ τὴν Ἀλεξάνδρου καὶ Φιλίππου δόξαν ἐπιδεῖν ὑπὸ τοῖς Ῥωμαίων ὅπλοις ἀγομένην αἰχμάλωτον. (4) « Πῶς γὰρ οὐ δεινὸν, εἶπεν, εἰ, φήμης περὶ νίκης ἀβεβαίου πρότερον εἰς τὴν πόλιν ἐμπεσούσης ἐθύσατε τοῖς θεοῖς εὐχόμενοι τοῦ λόγου τούτου ταχέως ἀπολαβεῖν τὴν ὄψιν, ἥκοντος δὲ τοῦ στρατηγοῦ μετὰ τῆς ἀληθινῆς νίκης ἀφαιρεῖσθε τῶν μὲν θεῶν τὴν τιμὴν, αὐτῶν δὲ τὴν χαρὰν, ὡς φοβούμενοι θεάσασθαι τὸ μέγεθος τῶν κατωρθωμάτων ἢ φειδόμενοι τοῦ πολεμίου; καίτοι κρεῖττον ἦν τῷ πρὸς ἐκεῖνον ἐλέῳ, μὴ τῷ πρὸς τὸν αὐτοκράτορα φθόνῳ λυθῆναι τὸν θρίαμβον. (5) Ἀλλ' εἰς τοσαύτην, ἔφη, τὸ κακόηθες ἐξουσίαν προάγεται δι' ὑμῶν, ὥστε περὶ στρατηγίας καὶ θριάμβου τολμᾷ λέγειν ἄνθρωπος ἄτρωτος καὶ τῷ σώματι στίλβων ὑπὸ λειότητος καὶ σκιατραφίας πρὸς ἡμᾶς τοὺς τοσούτοις τραύμασι πεπαιδευμένους ἀρετὰς καὶ κακίας κρίνειν στρατηγῶν. » (6) Ἅμα δὲ τῆς ἐσθῆτος διασχὼν ἐξέφηνε κατὰ τῶν στέρνων ὠτειλὰς ἀπίστους τὸ πλῆθος. Εἶτα μεταστραφεὶς ἔνια τῶν οὐκ εὐπρεπῶς ἐν ὄχλῳ γυμνοῦσθαι δοκούντων τοῦ σώματος ἀνεκάλυψε καὶ πρὸς τὸν Γάλβαν ἐπιστρέψας· « Σὺ μὲν, ἔφη, γελᾷς ἐπὶ τούτοις, ἐγὼ δὲ σεμνύνομαι πρὸς τοὺς πολίτας· ὑπὲρ τούτων γὰρ ἡμέραν καὶ νύκτα συνεχῶς ἱππασάμενος ταῦτ' ἔσχον. (7) Ἀλλ' ἄγε λαβὼν αὐτοὺς ἐπὶ τὴν ψῆφον· ἐγὼ δὲ καταβὰς παρακολουθήσω πᾶσι καὶ γνώσομαι τοὺς κακοὺς καὶ ἀχαρίστους καὶ δημαγωγεῖσθαι μᾶλλον ἐν τοῖς πολέμοις ἢ στρατηγεῖσθαι βουλομένους. »

XXXII. Οὕτω φασὶν ὑπὸ τῶν λόγων τούτων ἀνακοπῆναι καὶ μεταβαλεῖν τὸ στρατιωτικὸν, ὥστε πάσαις ταῖς φυλαῖς ἐπικυρωθῆναι τῷ Αἰμιλίῳ τὸν θρίαμβον. Πεμφθῆναι δ' αὐτὸν οὕτω λέγουσιν. (2) Ὁ μὲν δῆμος ἔν τε τοῖς ἱππικοῖς θεάτροις, ἃ Κίρκους καλοῦσι, περί τε τὴν ἀγορὰν ἱκρία πηξάμενος καὶ τἆλλα τῆς πόλεως μέρη καταλαβόντες, ὡς ἕκαστα παρεῖχε τῆς πομπῆς ἔποψιν, ἐθεῶντο καθαραῖς ἐσθῆσι κεκοσμημένοι. (3) Πᾶς δὲ ναὸς ἀνέῳκτο καὶ στεφάνων καὶ θυμιαμάτων ἦν πλήρης, ὑπηρέται τε πολλοὶ καὶ ῥαβδονόμοι τοὺς ἀτάκτως συῤῥέοντας εἰς τὸ μέσον καὶ διαθέοντας ἐξείργοντες ἀναπεπταμένας τὰς ὁδοὺς καὶ καθαρὰς παρεῖχον. (4) Τῆς δὲ πομπῆς εἰς ἡμέρας τρεῖς νενεμημένης ἡ μὲν πρώτη μόλις ἐξαρκέσασα τοῖς αἰχμαλώτοις ἀνδριάσι καὶ γραφαῖς καὶ κολοσσοῖς ἐπὶ ζευγῶν πεντήκοντα καὶ διακοσίων κομιζομένοις τοῦτο ἔσχε θέαν. (5) Τῇ δ' ὑστεραίᾳ τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν Μακεδονικῶν ὅπλων ἐπέμπετο πολλαῖς ἁμάξαις αὐτά τε μαρμαίροντα χαλκῷ νεοσμήκτῳ καὶ σιδήρῳ τὴν τε θέσιν ἐκ τέχνης καὶ συναρμογῆς ὡς ἂν μάλιστα συμπεφορημένους χύδην καὶ αὐτομάτως ἐοίκοι πεποιημένα, κράνη πρὸς ἀσπίσι καὶ θώρακες ἐπὶ κνημῖσι καὶ Κρητικαὶ πέλται καὶ Θρᾴκια γέρρα καὶ φαρέτραι μετὰ ἱππικῶν ἀναμεμιγμέναι χαλινῶν καὶ ξίφη γυμνὰ διὰ τούτων παρανίσχοντα καὶ σάρισσαι παραπεπηγυῖαι, σύμμετρον ἐχόντων χάλασμα τῶν

vobis spectaculum invideatis : nimirum visuri Macedonum regem vivum, gloriamque Alexandri et Philippi armis Romanis captivam duci. (4) An vero non indignum est vos ante, cum rumor modo de victoria hac in Urbem incidisset, diis sacrificasse, votaque fecisse, ut quam primum vobis re ipsa id, quod annunciabatur, videre daretur : nunc veniente imperatore, veramque victoriam secum afferente, diis honorem, vobis ipsis eam lætitiam vos adimere, quasi magnitudinem rerum gestarum inspicere vereamini aut vos hostis misereret? præstabat sane ejus vos miseratione, quam invidia in imperatorem, triumphum impedire. (5) Enimvero vestra opera eo nunc licentiæ malignitas processit, ut de imperatoris officio et triumpho homo corpore a vulneribus intacto, cujusque nitor eum molliter et inter parietum umbras educatum juventutem egisse testatur, verba audeat facere : idque contra nos, qui tam multis vulneribus judicare de virtute aut ignavia imperatorum didicimus. » (6) Simulque deducta veste, incredibilem cicatricum multitudinem in adverso pectore demonstravit : et conversus inde quasdam partes detexit, quæ in conventu hominum adaperiri parum honeste videntur. Atque tum oratione ad Galbam conversa : « Tu quidem, inquit, hæc rides, at ego glorior apud cives, quorum causa dies noctesque continenter equitans hæc corporis mala retuli. (7) Verum agedum, voca multitudinem ad suffragia : ego autem descendens singulos sequar, et cognoscam quinam sint mali illi et ingrati, ac qui militiæ non sub disciplina haberi, sed factiosis sermonibus potius demulceri cupiant.

XXXII. Hac oratione ita repressam militum audaciam, animosque mutatos tradunt, ut omnes tribus Æmilio triumphum decreverint. Eum hoc modo ductum accepimus. (2) Populus in Circis (id est equestribus theatris), foro, allisque locis, unde triumphi pompa cerni posset, fixis tabulatis, de illis spectabant, pura veste induti. (3) Omnia templa aperta, sertis atque suffitibus implebantur. Lictores multi apparitoresque multitudinem in publicum se tumultuose ingerentem submovebant, viasque apertas et vacuas præstabant. (4) Pompa autem ipsius triumphi sic erat instituta, ut tribus diebus perageretur. Prima dies vix suo spectaculo suffecit : inferebantur bigis ducentis ac quinquaginta statuæ captivæ, tabulæ pictæ et colossi cum magna spectantium admiratione. (5) Secunda die invecta sunt multis curribus arma de Macedonicis lecta pulcherrima sumptuque maximo facta, ære ferroque recens politis fulgentia, ac de industria inter se composita et congesta, ut casu ita coacervata viderentur; galeæ enim clypeis, thoraces ocreis, tum Cretenses peltæ, Thraciæ cetræ, pharetræ frenis permixtæ jacebant, atque inter hæc omnia gladii nudi prominebant sarissæque juxta fixæ erant, armis ipsis modice laxato vin-

ὅπλων, ὥστε τὴν πρὸς ἄλληλα κροῦσιν ἐν τῷ διαφέρεσθαι τραχὺ καὶ φοβερὸν ὑπηχεῖν καὶ μηδὲ νενικημένων ἄφοβον εἶναι τὴν ὄψιν. (a) Μετὰ δὲ τὰς ὁπλοφόρους ἁμάξας ἄνδρες ἐπεπορεύοντο τρισχίλιοι νόμισμα φέροντες ἀργυροῦν ἐν ἀγγείοις ἑπτακοσίοις πεντήκοντα τριταλάντοις, ὧν ἕκαστον ἀνὰ τέσσαρες ἐκόμιζον· ἄλλοι δὲ κρατῆρας ἀργυροῦς καὶ κέρατα καὶ φιάλας καὶ κύλικας εὖ διακεκοσμημένα πρὸς θέαν ἕκαστα καὶ περιττὰ τῷ μεγέθει καὶ τῇ παχύτητι τῆς τορείας.

XXXIII. Τῆς δὲ τρίτης ἡμέρας ἕωθεν μὲν εὐθὺς ἐπορεύοντο σαλπιγκταὶ μέλος οὐ προσόδιον καὶ πομπικὸν, ἀλλ' οἷῳ μαχομένους ἐποτρύνουσιν αὐτοὺς Ῥωμαῖοι προσεγκελευόμενοι. (2) Μετὰ δὲ τούτους ἤγοντο χρυσόκερῳ τροφίαι βοῦς ἑκατὸν εἴκοσι μίτραις ἠσκημένοι καὶ στέμμασιν. Οἱ δ' ἄγοντες αὐτοὺς νεανίσκοι περιζώμασιν εὐπαρύφοις ἐσταλμένοι πρὸς ἱερουργίαν ἐχώρουν καὶ παῖδες ἀργυρᾶ λοιβεῖα καὶ χρυσᾶ κομίζοντες. (3) Εἶτα μετὰ τούτους οἱ τὸ χρυσοῦν νόμισμα φέροντες εἰς ἀγγεῖα τριταλαντιαῖα μεμερισμένον ὁμοίως τῷ ἀργυρίῳ. Τὸ δὲ πλῆθος ἦν τῶν ἀγγείων ὀγδοήκοντα τριῶν δέοντα. (1) Τούτοις ἐπέβαλλον οἵ τε τὴν ἱερὰν φιάλην ἀνέχοντες, ἣν ὁ Αἰμίλιος ἐκ χρυσοῦ δέκα ταλάντων διὰ λίθων κατεσκεύασεν, οἵ τε τὰς Ἀντιγονίδας καὶ Σελευκίδας καὶ Θηρικλείους καὶ ὅσα περὶ δεῖπνον χρυσώματα τοῦ Περσέως ἐπιδεικνύμενοι. (5) Τούτοις ἐπέβαλλε τὸ ἅρμα τοῦ Περσέως καὶ τὰ ὅπλα καὶ τὸ διάδημα τοῖς ὅπλοις ἐπικείμενον. Εἶτα μικροῦ διαλείμματος ὄντος ἤδη τὰ τέκνα τοῦ βασιλέως ἦγοντο δοῦλα καὶ σὺν αὐτοῖς τροφέων καὶ διδασκάλων καὶ παιδαγωγῶν δεδακρυμένων ὄχλος, αὐτῶν τε τὰς χεῖρας ὀρεγόντων εἰς τοὺς θεατὰς καὶ τὰ παιδία δεῖσθαι καὶ λιτανεύειν διδασκόντων. (6) Ἦν δ' ἄῤῥενα μὲν δύο, θῆλυ δὲ ἕν, οὐ πάνυ συμφρονοῦντα τῶν κακῶν τὸ μέγεθος διὰ τὴν ἡλικίαν· ἦ καὶ μᾶλλον ἐλεεινὰ πρὸς τὴν μεταβολὴν τῆς ἀναισθησίας ἦν, ὥστε μικροῦ τὸν Περσέα βαδίζειν παρορώμενον· οὕτως ὑπ' οἴκτου τοῖς νηπίοις προσεῖχον τὰς ὄψεις οἱ Ῥωμαῖοι, καὶ δάκρυα πολλοῖς ἐκβάλλειν συνέβη, πᾶσι δὲ μεμιγμένην ἀλγηδόνι καὶ χάριτι τὴν θέαν εἶναι μέχρι οὗ τὰ παιδία παρῆλθεν.

XXXIV. Αὐτὸς δὲ τῶν τέκνων ὁ Περσεὺς καὶ τῆς περὶ αὐτὰ θεραπείας κατόπιν ἐπορεύετο φαιὸν μὲν ἱμάτιον ἀμπεχόμενος καὶ κρηπῖδας ἔχων ἐπιχωρίους, ὑπὸ δὲ μεγέθους τῶν κακῶν πάντα θαμβοῦντι καὶ παραπεπληγμένῳ μάλιστα τὸν λογισμὸν ἐοικώς. (2) Καὶ τούτῳ δ' εἵπετο χορὸς φίλων καὶ συνήθων βεβαρημένων τὰ πρόσωπα πένθει καὶ τῷ πρὸς Περσέα βλέπειν ἀεὶ καὶ δακρύειν ἔννοιαν παριστάντων τοῖς θεωμένοις, ὅτι τὴν ἐκείνου τύχην ὀλοφύρονται τῶν καθ' ἑαυτοὺς ἐλάχιστα φροντίζοντες. (3) Καίτοι προσέπεμψε τῷ Αἰμιλίῳ δεόμενος μὴ πομπευθῆναι καὶ παραιτούμενος τὸν θρίαμβον. Ὁ δὲ τῆς ἀνανδρίας αὐτοῦ καὶ φιλοψυχίας, ὡς ἔοικε, καταγελῶν « ἀλλὰ τοῦτό γ', εἶπε, καὶ πρότερον ἦν ἐπ' αὐτῷ καὶ νῦν ἐστιν, ἂν βούλη-

culo nexis, ut mutuo inter vehendum colliderentur, sonumve asperum et terribilem ederent, ac victa etiam non sine horrore spectarentur. (6) Currus quibus arma vehebantur, vasa septingenta et quinquaginta, trium talentorum singula capacia, sequebantur; in his argenteum nomisma inferebatur a virorum tribus millibus, quaternis unum vas subeuntibus. Alii autem crateras argenteas, pocula facta, pateras, calicesque gestabant, ut singula, rara magnitudine et crassitudine cælaturæ, commode spectari possent.

XXXIII. Tertia die summo mane tubicines intraverunt, non itineribus aut pompis accommodatum carmen, sed classicum canentes quo pugnantes Romani inter se acuunt et impellunt. (2) Hos subsecuti sunt tauri centum viginti altiles, aurati cornua, mitrisque et sertis ornati: ducebant eos juvenes ad sacrificium, cincti limo: juxtaque pueri pateras ad libandum argenteas aureasque ferentes. (3) Post hos eodem, quo argenteum, modo aureum nomisma portabatur, in vasa trium talentorum capacia distributum. Vasa erant septem et septuaginta. (4) His subibant qui sacram pateram gestabant, quam ex decem auri talentis, gemmis undique insertis, Æmilius fieri curaverat: ac cum his, qui Antigonidas, Seleucidas, Thericleas reliquaque aurea vasa, quibus in cœna uti solitus erat Perseus, ostentabant. (5) His succedebat Persei currus et arma, iisque diadema impositum. Parvo post intervallo jam liberi regis captivi ducebantur, cum magna alitorum, præceptorum, pædagogorumque caterva, plorantium, manusque ad inspectantes tendentium, puerosque, ut idem facerent ac deprecarentur, instruentium. (6) Erant duo masculi, una filiola, neque per ætatem plane assequebantur animo magnitudinem calamitatis suæ: eoque majorem miserationem ignoratio malorum movebat spectatoribus. Itaque fere non observantibus iis Perseus transivit: adeo misericordia affecti Romani oculos liberis regiis intendebant, multasque lacrimas effundebant, eratque mixtum dolore et gaudio spectaculum, tantisper dum ii præterirent.

XXXIV. Ipse post liberos suos turbamque eos comitantem Perseus incedebat pullo amictu, crepidisque Macedonicis, præ malorum mole ad omnia stupens, menteque alienato similis. (2) Comitabatur hunc turba amicorum et familiarium, qui vultum præ luctu demittendo, Perseumque subinde intuendo ac plorando, spectatoribus innuebant, se parvam propriæ sortis curam gerere, regis modo infortunium lamentari. (3) Miserat quidem ad Æmilium Perseus, qui deprecarentur, ne in triumpho duceretur. Verum Æmilius mollitiem, ut videtur, ejus, vitæque cupiditatem subsannans: « Atqui, inquit, et ante hoc ei permissum fuit et, si vult, adhuc licet, mortem ante dedecus consciscen-

ται· » δηλῶν τὸν πρὸ αἰσχύνης θάνατον, ὃν οὐχ ὑπομείνας ὁ δείλαιος, ἀλλ' ὑπ' ἐλπίδων τινῶν ἀπομαλακισθεὶς ἐγεγόνει μέρος τῶν αὐτοῦ λαφύρων. (4) Ἐφεξῆς δὲ τούτοις ἐκομίζοντο χρυσοῖ στέφανοι τετρακόσιοι τὸ πλῆθος, οὓς αἱ πόλεις ἀριστεῖα τῆς νίκης τῷ Αἰμιλίῳ μετὰ πρεσβειῶν ἔπεμψαν. (5) Εἶτ' αὐτὸς ἐπέβαλλεν ἅρματι κεκοσμημένῳ διαπρεπῶς ἐπιβεβηκὼς, ἀνὴρ καὶ δίχα τοσαύτης ἐξουσίας ἀξιοθέατος, ἁλουργίδα χρυσόπαστον ἀμπεχόμενος καὶ δάφνης κλῶνα τῇ δεξιᾷ προτείνων. (6) Ἐδαφνηφόρει δὲ καὶ σύμπας ὁ στρατὸς τῷ μὲν ἅρματι τοῦ στρατηγοῦ κατὰ λόχους καὶ τάξεις ἑπόμενος, ᾄδων δὲ τὰ μὲν ὠδάς τινὰς πατρίους ἀναμεμιγμένας γέλωτι, τὰ δὲ παιᾶνας ἐπινικίους καὶ τῶν διαπεπραγμένων ἐπαίνους εἰς τὸν Αἰμίλιον περίβλεπτον ὄντα καὶ ζηλωτὸν ὑπὸ πάντων, οὐδενὶ δὲ τῶν ἀγαθῶν ἐπίφθονον, πλὴν εἴ τι δαιμόνιον ἄρα τῶν μεγάλων καὶ ὑπερόγκων εἴληχεν εὐτυχιῶν ἀπαρύτειν καὶ μιγνύναι τὸν ἀνθρώπινον βίον, ὅπως μηδενὶ κακῶν ἄκρατος εἴη καὶ καθαρὸς, ἀλλὰ, καθ' Ὅμηρον, ἄριστα δοκῶσι πράττειν οἷς αἱ τύχαι τροπὴν ἐπ' ἀμφότερα τῶν πραγμάτων ἔχουσιν.

XXXV. Ἦσαν γὰρ αὐτῷ τέσσαρες υἱοὶ, δύο μὲν εἰς ἑτέρας ἀπῳκισμένοι συγγενείας, ὡς ἤδη λέλεκται, Σκηπίων καὶ Φάβιος, δύο δὲ παῖδες ἔτι τὴν ἡλικίαν, οὓς ἐπὶ τῆς οἰκίας εἶχε τῆς ἑαυτοῦ γεγονότας ἐξ ἑτέρας γυναικός. (2) Ὧν ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριαμβεύειν τὸν Αἰμίλιον ἐτελεύτησε τεσσαρεσκαιδεκαέτης, ὁ δὲ δωδεκαέτης μετὰ τρεῖς ἡμέρας θριαμβεύσαντος ἐπαπέθανεν, ὥστε μηδένα γενέσθαι Ῥωμαίων τοῦ πάθους ἀνάλγητον, ἀλλὰ φρῖξαι τὴν ὠμότητα τῆς τύχης ἅπαντας, ὡς οὐκ ἠδέσατο πένθος τοσοῦτον εἰς τὴν οἰκίαν ζήλου καὶ χαρᾶς καὶ θυσιῶν γέμουσαν εἰσάγουσα καὶ καταμιγνύουσα θρήνους καὶ δάκρυα παιᾶσιν ἐπινικίοις καὶ θριάμβοις.

XXXVI. Οὐ μὴν ἀλλ' ὁ Αἰμίλιος ὀρθῶς λογιζόμενος ἀνδρίας καὶ θαρραλεότητος ἀνθρώποις οὐ πρὸς ὅπλα καὶ σαρίσσας χρῆσιν εἶναι μόνον, ἀλλὰ πρὸς πᾶσαν ὁμαλῶς τύχης ἀντίστασιν, οὕτως ἡρμόσατο καὶ κατεκόσμησε τὴν τῶν παρόντων σύγκρασιν, ὥστε τοῖς ἀγαθοῖς τὰ φλαῦρα καὶ τὰ οἰκεῖα τοῖς δημοσίοις ἐναφανισθέντα μὴ ταπεινῶσαι τὸ μέγεθος μηδὲ καθυβρίσαι τὸ ἀξίωμα τῆς νίκης. (2) Τὸν μέν γε πρότερον τῶν παίδων ἀποθανόντα θάψας εὐθὺς ἐθριάμβευσεν, ὡς λέλεκται· τοῦ δὲ δευτέρου μετὰ τὸν θρίαμβον τελευτήσαντος συναγαγὼν εἰς ἐκκλησίαν τὸν Ῥωμαίων δῆμον ἐχρήσατο λόγοις ἀνδρὸς οὐ δεομένου παραμυθίας, ἀλλὰ παραμυθουμένου τοὺς πολίτας δυσπαθοῦντας ἐφ' οἷς ἐκεῖνος ἐδυστύχησεν. (3) Ἔφη γὰρ, ὅτι τῶν ἀνθρωπίνων οὐδὲν οὐδέποτε δείσας, τῶν δὲ θείων, ὡς ἀπιστότατον καὶ ποικιλώτατον πρᾶγμα, τὴν τύχην ἀεὶ φοβηθεὶς, μάλιστα περὶ τοῦτον αὐτῆς τὸν πόλεμον, ὥσπερ πνεύματος λαμπροῦ, ταῖς πράξεσι παρούσης διατελοίη μεταβολήν τινα καὶ ταλίρροιαν προσδεχόμενος. (4)

dam innuens, quam timidus ille ne obiret, vanas spes molli animo consectatus, ipse suarum exuviarum pars factus est. (4) Secundum hos aureæ coronæ quadringentæ inferebantur, quas victoriam gratulandi causa urbes Æmilio per legatos miserant. (5) Inde ipse Æmilius curru ornatissimo invectus est, vir, etiam absque hæc fuissent omnia, spectatu dignissimus: amictus erat purpuram auro intertextam, dextra frondem lauri tenebat. (6) Totus exercitus lauro coronatus centuriatim ac per manipulos divisus currum imperatoris sequebatur: canebantque cum patria quædam carmina, risu salibusque admistis, tum pæanas de victoria et rebus gestis Æmilii. Is omnium in oculis ferebatur, omnium erat in admiratione, neque huic tantæ ejus gloriæ quisquam bonus invidebat. Enimvero genius aliquis videtur esse, cujus partes sint, magnæ atque nimiæ felicitatis partem aliquam carpere, atque ita temperare humanam vitam, ut nemo malorum expers vivat, sed, quod est apud Homerum, cum eo optime agatur, cujus res utramque fortunam sentiunt.

XXXV. Etenim quattuor filios habebat Æmilius, quorum duo in alias familias per adoptionem translati, ut supra exposuimus, Scipio et Fabius erant: alii duo nati ex alia conjuge, quos pueros adhuc domi suæ alebat. (2) Horum alter annos natus quattuordecim quinque ante triumphum patris diebus mortem obiit: alter duodecimum annum agens, tertio post triumphum patris die vitam finiit. Neque fuit in populo quisquam, cui non dolorem ea calamitas Æmilii afferret crudelitatemque fortunæ horrere omnibus subiit, quam non puduisset, tantum luctum domui gloria, gaudio et sacrificiis plenæ immittere, ejulatumque et fletum carminibus victoriam celebrantibus et triumpho admiscere.

XXXVI. At Æmilius prudenter secum considerato, fortitudinis et constantiæ usum non tantum contra sarissas et arma hostium, sed omnino adversus omnem fortunæ impetum requiri, ita se comparavit eoque animo præsentium rerum permixtam conditionem tulit, ut infortunium felicitate, privatamque cladem publica victoria obliteraverit; neque passus sit, magnitudinem splendoremque triumphi rebus adversis imminui aut contaminari. (2) Itaque altero e filiis, qui ante triumphum defunctus erat, sepulto, triumphavit, ut diximus: altero post triumphum mortuo, advocata populi concione, eam habuit orationem, quam habere par erat virum non consolationis indigentem, sed qui populum ejus infortunii causa mœrentem consolari instituisset. (3) « Nihil est, inquit, in rebus humanis cujus me unquam metus tenuerit: in divinis autem fortunam, ut infidissimam inconstantissimamque rem, semper suspectam habui: atque hoc ipso maxime bello, cum ea, tanquam ventus vehementior, rebus gerendis prospera mihi adesset, nunquam non fluctuationem et mutationem aliquam exspectavi.

« Μιᾷ μὲν γὰρ, εἶπεν, ἡμέρᾳ τὸν Ἰόνιον ἀπὸ Βρεντεσίου περάσας εἰς Κέρκυραν κατήχθην· πεμπταῖος δ' ἐκεῖθεν ἐν Δελφοῖς τῷ θεῷ θύσας, ἑτέραις αὖθις αὖ πέντε τὴν δύναμιν ἐν Μακεδονίᾳ παρέλαβον καὶ τὸν εἰωθότα συντελέσας καθαρμὸν αὐτῆς καὶ τῶν πράξεων εὐθὺς ἐναρξάμενος ἐν ἡμέραις ἄλλαις πεντεκαίδεκα τὸ κάλλιστον ἐπέθηκα τῷ πολέμῳ τέλος. (5) Ἀπιστῶν δὲ τῇ τύχῃ διὰ τὴν εὐροιαν τῶν πραγμάτων, ὡς ἄδεια πολλὴ καὶ κίνδυνος οὐδεὶς ἦν ἀπὸ τῶν πολεμίων, μάλιστα κατὰ πλοῦν ἐδεδίειν τὴν μεταβολὴν τοῦ δαίμονος ἐπ' εὐτυχίᾳ τοσοῦτον στρατὸν νενικηκότα καὶ λάφυρα καὶ βασιλεῖς αἰχμαλώτους κομίζων. (6) Οὐ μὴν ἀλλὰ καὶ σωθεὶς πρὸς ὑμᾶς καὶ τὴν πόλιν δρῶν εὐφροσύνης καὶ ζήλου καὶ θυσιῶν γέμουσαν ἔτι τὴν τύχην δι' ὑποψίας εἶχον εἰδὼς οὐδὲν εἰλικρινὲς οὐδ' ἀνεμέσητον ἀνθρώποις τῶν μεγάλων χαριζομένην. (7) Καὶ τοῦτον οὐ πρότερον ἡ ψυχὴ τὸν φόβον ὠδίνουσα καὶ περισκοπουμένη τὸ μέλλον ὑπὲρ τῆς πόλεως ἀφῆκεν ἢ τηλικαύτῃ με προσπταῖσαι δυστυχίᾳ περὶ τὸν οἶκον, υἱῶν ἀρίστων, οὓς ἐμαυτῷ μόνους ἐλιπόμην διαδόχους, ταφὰς ἐπαλλήλους ἐν ἡμέραις ἱεραῖς μεταχειρισάμενον. (8) Νῦν οὖν ἀκίνδυνός εἰμι τὰ μέγιστα καὶ θαῤῥῶ καὶ νομίζω τὴν τύχην ὑμῖν παραμενεῖν ἀβλαβῆ καὶ βέβαιον. (9) Ἱκανῶς γὰρ ἐμοὶ καὶ τοῖς ἐμοῖς κακοῖς εἰς τὴν τῶν κατωρθωμένων ἀποκέχρηται νέμεσιν, οὐκ ἀφανέστερον ἔχουσα παράδειγμα τῆς ἀνθρωπίνης ἀσθενείας τοῦ θριαμβευομένου τὸν θριαμβεύοντα· πλὴν ὅτι Περσεὺς μὲν ἔχει καὶ νενικημένος τοὺς παῖδας, Αἰμίλιος δὲ τοὺς αὑτοῦ νικήσας ἀπέβαλεν. »

XXXVII. Οὕτω μὲν εὐγενεῖς καὶ μεγάλους λόγους τὸν Αἰμίλιον ἐξ ἁπλάστου καὶ ἀληθινοῦ φρονήματος ἐν τῷ δήμῳ διαλεχθῆναι λέγουσι. (2) Τῷ δὲ Περσεῖ, καίπερ οἰκτείρας τὴν μεταβολὴν καὶ μάλα βοηθῆσαι προθυμηθείς, οὐδὲν εὕρετο πλὴν μεταστάσεως ἐκ τοῦ κατακλουμένου κάρκερε παρ' αὐτοῖς εἰς τόπον καθαρὸν καὶ φιλανθρωποτέραν δίαιταν, ὅπου φρουρούμενος, ὡς μὲν πλεῖστοι γεγράφασιν, ἀπεκαρτέρησεν, ἔνιοι δὲ τῆς τελευτῆς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον ἱστοροῦσι. (3) Μεμψαμένους γάρ τι καὶ θυμωθέντας αὐτῷ τοὺς περὶ τὸ σῶμα στρατιώτας, ὡς ἕτερον οὐδὲν ἠδύναντο λυπεῖν καὶ κακοῦν αὐτὸν, ἐξείργειν τῶν ὕπνων, καὶ προσέχοντας ἀκριβῶς ἐνίστασθαι ταῖς καταφοραῖς καὶ συνέχειν ἐγρηγορότα πάσῃ μηχανῇ, μέχρι οὗ τοῦτον τὸν τρόπον ἐκπονηθεὶς ἐτελεύτησεν. (4) Ἐτελεύτησε δὲ καὶ τῶν παιδίων τὰ δύο. Τὸν δὲ τρίτον, Ἀλέξανδρον, εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργεῖν γενέσθαι φασὶν, ἐκμαθόντα δὲ τὰ Ῥωμαϊκὰ γράμματα καὶ τὴν διάλεκτον ὑπογραμματεύειν τοῖς ἄρχουσιν ἐπιδέξιον καὶ χαρίεντα περὶ ταύτην τὴν ὑπηρεσίαν ἐξεταζόμενον.

XXXVIII. Ταῖς δὲ Μακεδονικαῖς πράξεσι τοῦ Αἰμιλίου δημοτικωτάτην προσγράφουσι χάριν ὑπὲρ τῶν πολλῶν, ὡς τοσούτων εἰς τὸ δημόσιον τότε χρημάτων ὑπ' αὐτοῦ τεθέντων, ὥστε μηκέτι δεῆσαι τὸν δῆμον εἰσενεγκεῖν

(4) Etenim una die a Brundusio Corcyram Ionio mari transmisso, quintis inde castris Delphos perveni : hic deo sacris peractis, quinto post die exercitum in Macedonia accepi : quem cum patrio ritu lustrassem, ac statim rei gerendæ me dedissem, spatio quindecim dierum bello finem pulcherrimum imposui. (5) Hic successus rerum tam felix effecit, uti diffiderem fortunæ : cumque nihil restaret ab hostibus periculi, maxime veritus sum, ne navigantem me cum exercitu victore, spoliaque et captos reges mecum vehentem, ipso cursu fortunæ mutatæ aliquis casus feriret. (6) Postquam incolumis ad vos redii, urbem videns lætitia et gratulatione plenam sacris frequentem vacare, fortunam adhuc habui suspectam, quam compertum habebam ea esse invidia, ut nullum magnum munus hominibus sincerum et non aliquo malo infectum largiretur. (7) Hunc metum animus meus parturiens, non prius, quid esset eventurum reipublicæ, sollicitus esse desiit, quam ingenti domestica clade perculsus, filios optimos, quosque solos mihi hæredes reliqueram, continuis funeribus sacris diebus sepelii. (8) Nunc demum maximi me securum periculi existimo, confidoque felicitatem vestram illæsam incolumemque permansuram. (9) Calamitatibus enim meis fortuna invidiam suam abunde ob res lætas exsaturavit, humanæque fragilitatis exemplum haud obscurius victorem quam victum proposuit : nisi quod Perseus meliori conditione videri potest, qui victus suos liberos tamen habet, Æmilius victor suos amisit. »

XXXVII. Hujusmodi generosam et magnanimam orationem Æmilius ex animi sententia, nihilque simulatione usus, habuisse ad populum traditur. (2) Porro cum Perseum miseraretur, cuperetque ejus miserias quoque modo levare, aliud nihil invenit, quam quod eum e carcere quem dicunt in locum liberiorem, et ubi vitam agere posset commodius, transtulit, quo in loco custoditus inedia spontanea, ut plerique auctores sunt, vitam terminavit. Alii novo et inusitato tradunt modo eum necatum fuisse. (3) Custodiæ enim ejus præfectos milites, iratos ipsi, incertum quam ob causam, cum aliter lædere non possent, somno eum arcuisse, diligenterque observasse, ne quando somnum capere posset, omnique cura et opera insomnem detinuisse, tantisper dum vigilia confectus mortem obiit. (4) Filiorum quoque alter, et filiola exstincti sunt. Superstitem filium Alexandrum tornandi subtiliumque operum egregium artificem fuisse tradunt; eumque Romanas literas et sermonem didicisse, et magistratibus se scribam sollertem ac scitum præbuisse.

XXXVIII. Porro Macedonico bello gestis rebus summam populi gratiam meruit Paulus, tanta in ærarium illata pecunia, ut collationibus civium in posterum opus non

ἄχρι τῶν Ἱρτίου καὶ Πάνσα χρόνων, οἳ περὶ τὸν πρῶτον Ἀντωνίου καὶ Καίσαρος πόλεμον ὑπάτευσαν. (2) Κἀκεῖνο δ' ἴδιον καὶ περιττὸν τοῦ Αἰμιλίου, τὸ σπουδαζόμενον ὑπὸ τοῦ δήμου καὶ τιμώμενον διαφερόντως ἐπὶ τῆς ἀριστοκρατικῆς μεῖναι προαιρέσεως καὶ μηδὲν εἰπεῖν μηδὲ πρᾶξαι χάριτι τῶν πολλῶν, ἀλλὰ τοῖς πρώτοις καὶ κρατίστοις ἀεὶ συνεξετάζεσθαι περὶ τὴν πολιτείαν. (3) Ὃ καὶ χρόνοις ὕστερον Ἄππιος ὠνείδισεν Ἀφρικανῷ Σκηπίωνι. Μέγιστοι γὰρ ὄντες ἐν τῇ πόλει τότε τὴν τιμητικὴν ἀρχὴν μετῆσαν, ὁ μὲν τὴν βουλὴν ἔχων καὶ τοὺς ἀρίστους περὶ αὑτόν· αὕτη γὰρ Ἀππίοις ἡ πολιτεία πάτριος· ὁ δὲ μέγας μὲν ὢν ἐφ' ἑαυτοῦ, μεγάλη δ' ἀεὶ τῇ παρὰ τοῦ δήμου χάριτι καὶ σπουδῇ κεχρημένος. Ὡς οὖν ἐμβάλλοντος εἰς ἀγορὰν τοῦ Σκηπίωνος κατεῖδε παρὰ πλευρὰν ὁ Ἄππιος ἀνθρώπους ἀγεννεῖς καὶ δεδουλευκότας, ἀγοραίους δὲ καὶ δυναμένους ὄχλον συναγαγεῖν καὶ σπουδαρχίᾳ καὶ κραυγῇ πάντα πράγματα βιάσασθαι, μέγα βοήσας, « Ὦ Παῦλε, εἶπεν Αἰμίλιε, στέναξον ὑπὸ γῆς αἰσθόμενος, ὅτι σου τὸν υἱὸν Αἰμίλιος ὁ κήρυξ καὶ Λικίννιος Φιλόνεικος ἐπὶ τιμητείαν κατάγουσιν. » (4) Ἀλλὰ Σκηπίων μὲν αὔξων τὰ πλεῖστα τὸν δῆμον εὔνουν εἶχεν, Αἰμίλιος δὲ, καίπερ ὢν ἀριστοκρατικὸς, οὐδὲν ἧττον ὑπὸ τῶν πολλῶν ἠγαπᾶτο τοῦ μάλιστα δημαγωγεῖν καὶ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς δοκοῦντος. (5) Ἐδήλωσαν δὲ μετὰ τῶν ἄλλων καλῶν καὶ τιμητείας αὐτὸν ἀξιώσαντες, ἥτις ἐστὶν ἀρχὴ πασῶν ἱερωτάτη καὶ δυναμένη μέγα πρός τε τἆλλα καὶ πρὸς ἐξέτασιν βίων. (6) Ἐκβαλεῖν τε γὰρ ἔξεστι συγκλήτου τὸν ἀπρεπῶς ζῶντα τοῖς τιμηταῖς καὶ προγράψαι τὸν ἄριστον, ἵππου τ' ἀφαιρέσει τῶν νέων ἀτιμάσαι τὸν ἀκολασταίνοντα. (7) Καὶ τῶν οὐσιῶν οὗτοι τὰ τιμήματα καὶ τὰς ἀπογραφὰς ἐπισκοποῦσιν. Ἀπεγράψαντο μὲν οὖν κατ' αὐτὸν μυριάδες ἀνθρώπων τριάκοντα τρεῖς, ἔτι δ' ἑπτακισχίλιοι τετρακόσιοι πεντήκοντα δύο, τῆς δὲ βουλῆς προέγραψε μὲν Μάρκον Αἰμίλιον Λέπιδον, ἤδη τετράκις καρπούμενον ταύτην τὴν προεδρίαν, ἐξέβαλε δὲ τρεῖς συγκλητικοὺς οὐ τῶν ἐπιφανῶν, καὶ περὶ τὴν τῶν ἱππέων ἐξέτασιν ὁμοίως ἐμετρίασεν αὐτός τε καὶ Μάρκιος Φίλιππος ὁ συνάρχων αὐτοῦ.

XXXIX. Διῳκημένων δὲ τῶν πλείστων καὶ μεγίστων ἐνόσησε νόσον ἐν ἀρχῇ μὲν ἐπισφαλῆ, χρόνῳ δὲ ἀκίνδυνον, ἐργώδη δὲ καὶ δυσαπάλλακτον γενομένην. (2) Ἐπεὶ δὲ πεισθεὶς ὑπὸ τῶν ἰατρῶν ἔπλευσεν εἰς Ἐλέαν τῆς Ἰταλίας καὶ διέτριβεν αὐτόθι πλείω χρόνον ἐν παραλίοις ἀγροῖς καὶ πολλὴν ἡσυχίαν ἔχουσιν, ἐπόθησαν αὐτὸν οἱ Ῥωμαῖοι καὶ φωνὰς πολλάκις ἐν θεάτροις οἷον εὐχόμενοι καὶ σπεύδοντες ἰδεῖν ἀφῆκαν. (3) Οὔσης δέ τινος ἱερουργίας ἀναγκαίας, ἤδη δὲ καὶ δοκοῦντος ἱκανῶς ἔχειν αὐτῷ τοῦ σώματος, ἐπανῆλθεν εἰς Ῥώμην. Κἀκείνην μὲν ἔθυσε μετὰ τῶν ἄλλων τὴν θυσίαν ἱερέων, ἐπιφανῶς τοῦ δήμου περιεχομένου καὶ χαίροντος· τῇ δ' ὑστεραίᾳ πάλιν ἔθυσεν αὐτὸς ὑπὲρ αὐτοῦ σωτήρια τοῖς θεοῖς. (4) Καὶ συμπερανθείσης,

fuerit, usque ad Hirtii et Pansæ tempora, qui primo Antonii et Cæsaris bello consules fuerunt. (2) Id peculiare fuit Æmilio, quod, cum plebem haberet sui studiosissimam, ac maximis honoribus ab ea afficeretur, tamen in optimatum secta perseveravit, neque ullum ejus vel dictum vel factum in gratiam vulgi exstat; sed in republica semper se principibus et optimatibus socium adjunxit. (3) Atque hoc postea temporis Appius Africano Scipioni objecit. Erant hi ea tempestate primi in republica et censuram petebant. Cum enim Appius (qui erat ejus gentis pervetustus mos) senatum et optimates secum duceret; Scipio cum ipse per se magnus, tum gratia semper populi favoreque summo usus, in forum venit stipatus hominum ignobilium libertorumque multitudine, forensibus autem et concitandæ turbæ admodum aptis, qui favore suo et clamore violenter in omnibus rebus versarentur. Quod ut vidit Appius, magno clamore: Ingemisce, inquit, Paule Æmili, si vel apud manes sentis, filium tuum ab Æmilio præcone et Licinio Philonico ad censuram produci. (4) Sed Scipio quidem augendo populum, ejus sibi benevolentiam parabat: Æmilius autem, quanquam optimatum partes tuebatur, non minus tamen carus populo fuit, quam quisquam eorum qui maxime obsequendo et blandiendo gratiam populi quærerebant. (5) Idque populi studium præter reliquos honores censura ei delata evidens fecit: qui est omnium magistratuum sanctissimus, plurimumque potestatis habet cum in aliis rebus, tum in arbitrio morum. (6) Habent enim censores jus movendi senatu qui indigne eo ordine vixisset, principem senatus legendi, juvenum intemperantiam adempto equo notandi. (7) Censent etiam facultates civium. Censa sunt Æmilio censore millia trecenta triginta septem et quadringenti quinquaginta duo. Senatus principem legit M. Æmilium Lepidum, quartum eo honore functum. Tres non admodum illustres senatu ejecit, in equitumque etiam censura moderatum se gessit, et ipse et collega ejus Marcius Philippus.

XXXIX. Plerisque ac summis rebus confectis, in morbum incidit, initio quidem ancipitem, sed qui tempore minus periculosus redditus, difficilis tamen neque facile medicabilis erat. (2) Itaque medicorum suasu Eleam Italiæ urbem discessit, ibique in prædiis maritimis ac tranquillis multum temporis exegit. Romanis vero desiderium ejus incessit, ac sæpe in theatris voces et preces auditæ sunt ut pote reditum ejus vehementer cupientium. (3) Cum ergo sacrificium solenne esset peragendum, visus etiam jam satis allevato esse corpore, reversus Romam operatus est sacris, præsentibus reliquis pontificibus, turbaque lætante circumfusa. Postridie ipse privatim pro sua salute gratias agens sacram rem fecit. (4) Eoque sacrificio, ut ante dictum est, peracto domum

ὡς προείρηται, τῆς θυσίας ὑποστρέψας οἴκαδε καὶ κατακλιθεὶς πρὶν αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολὴν ἐν ἐκστάσει καὶ παραφορᾷ τῆς διανοίας γενόμενος, τριταῖος ἐτελεύτησεν, οὐδενὸς ἐνδεὴς οὐδ' ἀτελὴς τῶν πρὸς εὐδαιμονίαν νενομισμένων γενόμενος. (5) Καὶ γὰρ ἡ περὶ τὴν ἐκφορὰν πομπὴ θαυμασμὸν ἔσχε καὶ ζῆλον ἐπικοσμοῦντα τὴν ἀρετὴν τοῦ ἀνδρὸς τοῖς ἀρίστοις καὶ μακαριωτάτοις ἐνταφίοις. Ταῦτα δ' ἦν οὐ χρυσὸς οὐδ' ἐλέφας οὐδ' ἡ λοιπὴ πολυτέλεια καὶ φιλοτιμία τῆς παρασκευῆς, ἀλλ' εὔνοια καὶ τιμὴ καὶ χάρις οὐ μόνον παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν πολεμίων. (6) Ὅσοι γοῦν κατὰ τύχην παρῆσαν Ἰβήρων καὶ Λιγύων καὶ Μακεδόνων, οἱ μὲν ἰσχυροὶ τὰ σώματα καὶ νέοι διαλαβόντες τὸ λέχος ὑπέδυσαν καὶ παρεκόμιζον, οἱ δὲ πρεσβύτεροι συνηκολούθουν ἀνακαλούμενοι τὸν Αἰμίλιον εὐεργέτην καὶ σωτῆρα τῶν πατρίδων. (7) Οὐ γὰρ μόνον ἐν οἷς ἐκράτησε καιροῖς ἠπίως πᾶσι καὶ φιλανθρώπως ἀπηλλάγη χρησάμενος, ἀλλὰ καὶ παρὰ πάντα τὸν λοιπὸν βίον ἀεί τι πράττων ἀγαθὸν αὐτοῖς καὶ κηδόμενος, ὥσπερ οἰκείων καὶ συγγενῶν, διετέλεσε. (8) Τὴν δ' οὐσίαν αὐτοῦ μόλις ἑπτὰ καὶ τριάκοντα μυριάδων γενέσθαι λέγουσιν, ἧς αὐτὸς μὲν ἀμφοτέρους τοὺς υἱοὺς ἀπέλιπε κληρονόμους, ὁ δὲ νεώτερος Σκηπίων τῷ ἀδελφῷ πᾶσαν ἔχειν συνεχώρησεν αὐτὸς εἰς οἶκον εὐπορώτερον τὸν Ἀφρικανοῦ δεδομένος. Οὗτος μὲν ὁ Παύλου Αἰμιλίου τρόπος καὶ βίος λέγεται γενέσθαι.

reversus, cum decubuisset, antequam mutationem ullam sentiret, mente alienatus, tertia post die fato functus est. Nihil ei defuit omnium eorum, quæ ad felicitatem requiri censemus. (5) Nam et funus ejus magno cum civium studio desiderioque factum est, ornatusque donis sepulcralibus beatissimis atque optimis fuit : non auro, non ebore, sed benevolentia, gratia et honore, quibus eum non cives modo, sed etiam hostes prosecuti sunt. (6) Quotquot enim forte eo tempore Romæ fuerunt Hispani, Ligures, Macedones, ex his juvenes, quique erant corpore valido, feretrum subierunt; seniores id comitati sunt, Æmilium benefactorem et servatorem suæ quisque patriæ invocantes. (7) Non enim id modo temporis, quo magistratum gessit, humanum se et clementem exhibuerat omnibus, sed et per omne vitæ suæ reliquum spatium subinde aliquid in ipsorum commodum consuluerat, curamque eorum tanquam cognatorum et familiarium gesserat. (8) In bonis ejus vix trecenta septuaginta millia denariorum inventa dicuntur; cujus patrimonii filios suos hæredes instituit. Sed horum minor ætate Scipio datus in adoptionem Africano ac familiæ locupletiori insertus, fratri integram hæreditatem reliquit. Hi mores et vita Æmilii Pauli fuisse dicuntur.

ΤΙΜΟΛΕΟΝΤΟΣ ΚΑΙ ΠΑΥΛΟΥ ΑΙΜΙΛΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Τοιούτων δὲ τῶν κατὰ τὴν ἱστορίαν ὄντων δῆλον ὡς οὐκ ἔχει πολλὰς διαφορὰς οὐδὲ ἀνομοιότητας ἡ σύγκρισις. (2) Οἵ τε γὰρ πόλεμοι πρὸς ἐνδόξους γεγόνασιν ἀμφοτέροις ἀνταγωνιστὰς, τῷ μὲν Μακεδόνας, τῷ δὲ Καρχηδονίους, αἵ τε νῖκαι περιβόητοι, τοῦ μὲν ἑλόντος Μακεδονίαν καὶ τὴν ἀπ' Ἀντιγόνου διαδοχὴν ἐν ἑβδόμῳ βασιλεῖ καταπαύσαντος, τοῦ δὲ τὰς τυραννίδας πάσας ἀνελόντος ἐκ Σικελίας καὶ τὴν νῆσον ἐλευθερώσαντος· εἰ μὴ νὴ Δία βούλοιτό τις παρεγχειρεῖν, ὡς Αἰμίλιος μὲν ἐρρωμένῳ Περσεῖ καὶ Ῥωμαίους νενικηκότι, Τιμολέων δὲ Διονυσίῳ παντάπασιν ἀπειρηκότι καὶ κατατετριμμένῳ συνέπεσε, καὶ πάλιν ὑπὲρ Τιμολέοντος, ὅτι πολλοὺς μὲν τυράννους, μεγάλην δὲ τὴν Καρχηδονίων δύναμιν ἀπὸ τῆς τυχούσης στρατιᾶς ἐνίκησεν, οὐχ, ὥσπερ Αἰμίλιος, ἀνδράσιν ἐμπειροπολέμοις καὶ μεμαθηκόσιν ἄρχεσθαι χρώμενος, ἀλλὰ μισθοφόροις οὖσι καὶ στρατιώταις ἀτάκτοις πρὸς ἡδονὴν εἰθισμένοις στρατεύεσθαι. Τὰ γὰρ ἀπ' οὐκ ἴσης

TIMOLEONTIS CUM ÆMILIO PAULO COMPARATIO.

Ex iis, quæ de moribus et vita utriusque hactenus exposita sunt, apparet, non multa diversa paucasque dissimilitudines comparationem eorum præbere. (2) Bellum enim uterque contra illustres adversarios gessit, hic Macedones, ille Carthaginienses. Victoria utriusque gloriosa : quod hic Macedoniam subegit, regnique ab Antigono institutam successionem in septimo rege destruxit : ille omnes e Sicilia tyrannides profligavit, insulæque libertatem restituit. Nisi quis hoc objiciendum putet, quod Æmilius Perseum integris rebus fultum victoriisque aliquot de Romanis potitum aggressus est; Timoleon in Dionysium fractum jam plane omnique spe destitutum incidit; et contra, quod hic multos tyrannos magnasque Carthaginiensium copias tumultuario exercitu devicit, non quemadmodum Æmilius, viris belli disciplinæque militaris peritis usus, sed conductitio milite et incomposito animique causa stipendia merere assueto.

παρασκευῆς ἴσα κατορθώματα τῷ στρατηγῷ τὴν αἰτίαν περιτίθησι.

II. Καθαρῶν οὖν καὶ δικαίων ἐν τοῖς πράγμασιν ἀμφοτέρων γεγονότων Αἰμίλιος μὲν ὑπὸ τῶν νόμων καὶ τῆς πατρίδος οὕτως ἔοικεν εὐθὺς ἀφικέσθαι παρεσκευασμένος, Τιμολέων δὲ τοιοῦτον αὐτὸς ἑαυτὸν παρέσχε. (2) Τούτου τεκμήριον, ὅτι Ῥωμαῖοι μὲν ὁμαλῶς ἐν τῷ τότε χρόνῳ πάντες ἦσαν εὔτακτοι καὶ ὑποχείριοι τοῖς ἐθισμοῖς καὶ τοὺς νόμους δεδιότες καὶ τοὺς πολίτας, Ἑλλήνων δὲ οὐδεὶς ἡγεμών ἐστιν οὐδὲ στρατηγὸς, ὃς οὐ διεφθάρη τότε Σικελίας ἁψάμενος ἔξω Διώνος. (3) Καίτοι Διώνα πολλοὶ μοναρχίας ὀρέγεσθαι καὶ βασιλείαν τινὰ Λακωνικὴν ὀνειροπολεῖν ὑπενόουν. Τίμαιος δὲ καὶ Γύλιππον ἀκλεῶς φησι καὶ ἀτίμως ἀποπέμψαι Συρακοσίους φιλοπλουτίαν αὐτοῦ καὶ ἀπληστίαν ἐν τῇ στρατηγίᾳ κατεγνωκότας. (4) Ἃ δὲ Φάραξ ὁ Σπαρτιάτης καὶ Κάλλιππος ὁ Ἀθηναῖος ἐλπίσαντες ἄρξειν Σικελίας παρενόμησαν καὶ παρεσπόνδησαν ὑπὸ πολλῶν ἀναγέγραπται. Καίτοι τίνες ἦ πηλίκων κύριοι πραγμάτων ὄντες οὗτοι τοιαῦτα ἤλπισαν; ὧν ὁ μὲν ἐκπεπτωκότα Συρακουσῶν ἐθεράπευε Διονύσιον, Κάλλιππος δὲ εἷς ἦν τῶν περὶ Δίωνα ξεναγῶν. (5) Ἀλλὰ Τιμολέων αἰτησαμένοις καὶ δεηθεῖσιν αὐτοκράτωρ πεμφθεὶς Συρακοσίοις καὶ δύναμιν οὐ ζητεῖν ἀλλ' ἔχειν ὀφείλων, ἣν ἔλαβε βουλομένων καὶ διδόντων, πέρας ἐποιήσατο τῆς αὑτοῦ στρατηγίας καὶ ἀρχῆς τὴν τῶν παρανόμων ἀρχόντων κατάλυσιν. (6) Ἐκεῖνο μέντοι τοῦ Αἰμιλίου θαυμαστὸν, ὅτι τηλικαύτην βασιλείαν καταστρεψάμενος οὐδὲ δραχμῇ μείζονα τὴν οὐσίαν ἐποίησεν, οὐδὲ εἶδεν οὐδὲ ἥψατο τῶν χρημάτων, καίτοι πολλὰ δοὺς ἑτέροις καὶ δωρησάμενος. (7) Οὐ λέγω δὲ ὅτι Τιμολέων μεμπτός ἐστιν οἰκίαν τε καλὴν λαβὼν καὶ χωρίον, οὐ γὰρ τὸ λαβεῖν ἐκ τοιούτων αἰσχρὸν, ἀλλὰ τὸ μὴ λαβεῖν κρεῖττον· καὶ περιουσία τῆς ἀρετῆς ἐν οἷς ἔξεστιν ἐπιδεικνυμένης τὸ μὴ δεόμενον. (8) Ἐπεὶ δὲ, ὡς σώματος ῥῖγος ἢ θάλπος φέρειν δυναμένου τὸ πρὸς ἀμφοτέρας εὖ πεφυκὸς ὁμοῦ τὰς μεταβολὰς ῥωμαλεώτερον, οὕτω ψυχῆς ἄκρατος εὐρωστία καὶ ἰσχὺς, ἣν οὔτε τὸ εὐτυχεῖν ὕβρει θρύπτει καὶ ἀνίησιν οὔτε συμφοραὶ ταπεινοῦσι, φαίνεται τελειότερος ὁ Αἰμίλιος, ἐν χαλεπῇ τύχῃ καὶ πάθει μεγάλῳ τῷ περὶ τοὺς παῖδας οὐδέν τι μικρότερος οὐδὲ ἀσεμνότερος ἢ διὰ τῶν εὐτυχημάτων δραθείς· Τιμολέων δὲ γενναῖα πράξας περὶ τὸν ἀδελφὸν οὐκ ἀντέσχε τῷ λογισμῷ πρὸς τὸ πάθος, ἀλλὰ μετανοίᾳ καὶ λύπῃ ταπεινωθεὶς ἐτῶν εἴκοσι τὸ βῆμα καὶ τὴν ἀγορὰν ἰδεῖν οὐχ ὑπέμεινε. (9) Δεῖ δὲ τὰ αἰσχρὰ φεύγειν καὶ αἰδεῖσθαι, τὸ δὲ πρὸς πᾶσαν ἀδοξίαν εὐλαβὲς ἐπιεικοῦς μὲν ἦθους καὶ ἁπλοῦ; μέγεθος δὲ οὐκ ἔχοντος.

Nam æquales victoriæ impari apparatu partæ, causam ejus penes imperatorem fuisse testantur.

II. Porro cum uterque in rebus gerendis justus et inculpatus fuerit, id Æmilius præstitisse videtur, legibus et patriæ consuetudine ita institutus; Timoleon autem ipse se ad hunc modum comparasse. (2) Cui rei argumento est, quod Romani ea tempestate omnes ex æquo modeste vivebant, instituta majorum, leges et cives suos reverentes: inter Græcos tum nullus, excepto Dione, dux fuit qui non missus in Siciliam corruptus fuerit. (3) Quin etiam ipsum Dionem tyrannidem affectasse regnumque Laconicum quoddam somniasse multi sunt suspicati: et Gylippum Timæus scribit cum ignominia et infamia a Syracusanis dimissum, quod eum in imperio avarum atque insatiabilis cupiditatis hominem judicassent. (4) Quæ vero flagitia perpetrarint, quam perfide multa egerint Pharax Lacedæmonius, et Callippus Atheniensis, spe Siciliæ in suam potestatem redigendæ, multi perscripserunt: tametsi ii homines erant obscuri, neque magnis rebus præfecti, quorum alter Dionysium Syracusis ejectum adulatus est, Callippus mercenariorum militum sub Dione dux fuit. (5) Timoleon autem Syracusanis efflagitantibus imperator missus, ut qui non quæreret potentiam, sed oblatum sibi imperium administraret, post eversionem tyrannorum id deposuit. (6) Hoc quidem nomine merito miretur aliquis Æmilium, quod tanto regno subacto, ne denario quidem uno suas facultates auxit, imo ne vidit quidem aut tetigit pecunias regias, licet in alios multa dona contulisset. (7) Neque ego reprehensione dignum Timoleontem statuo, qui agrum et domum pulchram a Syracusanis acceperit: non enim turpe est accipere aliquid pro gesto imperio, sed præclarius tamen est, non accipere: et abundantia virtutis ostenditur, ubi quod licet accipere non curare se quis demonstrat. (8) Quemadmodum autem corpore quod frigus aut æstum tolerare potest, corpus id robustius habetur, quod ad utramque mutationem ferendam natura aptum est, sic virtutis integra vis censetur, quam neque secundæ res insolentia emolliunt segnemque reddunt, neque adversæ dejiciunt. Quo nomine Timoleonte Paulus perfectior existimari debet, qui in magno infortunio gravique calamitate, in quam morte filiorum devenit, nihil de ea majestate animique magnitudine, quam felicissimo rerum successu gesserat, diminuit. Timoleon contra egregio facinore edito, cæde fratris, non restitit ratione affectui, sed pœnitentia doloreque fractus viginti totos annos tribunalis atque fori se conspectu abstinuit. (9) Turpitudinem quidem fugiendam esse ac cavendam, verum est: omnem vero ignominiam vereri, modesti quidem id et simplicis, pusilli tamen animi est.

ΠΕΛΟΠΙΔΑΣ.

Κάτων ὁ πρεσβύτερος πρός τινας ἐπαινοῦντας ἄνθρωπον ἀλογίστως παράβολον καὶ τολμηρὸν ἐν τοῖς πολεμικοῖς διαφέρειν ἔφη τοῦ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν, ὀρθῶς ἀποφαινόμενος. (2) Ὁ γοῦν παρ' Ἀντιγόνῳ στρατευόμενος ἰταμὸς, φαῦλος δὲ τὴν ἕξιν καὶ τὸ σῶμα διεφθορὼς, ἐρομένου τοῦ βασιλέως τὴν αἰτίαν τῆς ὠχρότητος, ὡμολόγησέ τινα νόσον τῶν ἀπορρήτων. (3) Ἐπεὶ δὲ φιλοτιμηθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς ἰατροῖς, ἐάν τις ἢ βοήθεια, μηδὲν ἐλλιπεῖν τῆς ἄκρας ἐπιμελείας, οὕτω θεραπευθεὶς ὁ γενναῖος ἐκεῖνος οὐκέτ' ἦν φιλοκίνδυνος οὐδὲ ραγδαῖος ἐν τοῖς ἀγῶσιν, ὥστε καὶ τὸν Ἀντίγονον ἐγκαλεῖν καὶ θαυμάζειν τὴν μεταβολήν. (4) Οὐ μὴν ὁ ἄνθρωπος ἀπεκρύψατο τὸ αἴτιον, ἀλλ' εἶπεν· « Ἵν' βασιλεῦ, σύ με πεποίηκας ἀτολμότερον ἀπαλλάξας ἐκείνων τῶν κακῶν, δι' ἃ τοῦ ζῆν ὠλιγώρουν. » (5) Πρὸς τοῦτο δὲ φαίνεται καὶ Συβαρίτης ἀνὴρ εἰπεῖν περὶ τῶν Σπαρτιατῶν, ὡς οὐ μέγα ποιοῦσι θανατῶντες ἐν τοῖς πολέμοις ὑπὲρ τοῦ τοσούτους πόνους καὶ τοιαύτην ἀποφυγεῖν δίαιταν. (6) Ἀλλὰ Συβαρίταις μὲν ἐκτετηκόσιν ὑπὸ τρυφῆς καὶ μαλακίας διὰ τὴν πρὸς τὸ καλὸν ὁρμὴν καὶ φιλοτιμίαν εἰκότως ἐφαίνοντο μισεῖν τὸν βίον οἱ μὴ φοβούμενοι τὸν θάνατον, Λακεδαιμόνιοι δὲ καὶ ζῆν ἡδέως καὶ θνήσκειν ἀμφότερα ἀρετῇ παρεῖχον, ὡς δηλοῖ τὸ ἐπικήδειον· οἵδε γάρ φησιν ἔθανον

οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ θνήσκειν,
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.

(7) Οὔτε γὰρ φυγὴ θανάτου μεμπτὸν, ἂν ὀρέγηταί τις τοῦ βίου μὴ αἰσχρῶς, οὔτε ὑπομονὴ καλὸν, εἰ μετ' ὀλιγωρίας γίνοιτο τοῦ ζῆν. (8) Ὅθεν Ὅμηρος μὲν ἀεὶ τοὺς θαρραλεωτάτους καὶ μαχιμωτάτους ἄνδρας εὖ καὶ καλῶς ὡπλισμένους ἐξάγει πρὸς τοὺς ἀγῶνας, οἱ δὲ τῶν Ἑλλήνων νομοθέται τὸν ῥίψασπιν κολάζουσιν, οὐ τὸν ξίφος οὐδὲ λόγχην προέμενον, διδάσκοντες ὅτι τοῦ μὴ παθεῖν κακῶς πρότερον ἢ τοῦ ποιῆσαι τοὺς πολεμίους ἑκάστῳ μέλειν προσήκει, μάλιστα δὲ ἄρχοντι πόλεως ἢ στρατεύματος.

II. Εἰ γὰρ, ὡς Ἰφικράτης διῄρει, χερσὶ μὲν ἐοίκασιν οἱ ψιλοὶ, ποσὶ δὲ τὸ ἱππικὸν, αὐτὴ δὲ ἡ φάλαγξ στέρνῳ καὶ θώρακι, κεφαλῇ δὲ ὁ στρατηγὸς, οὐχ αὑτοῦ δόξειεν ἂν ἀποκινδυνεύων παραμελεῖν καὶ θρασυνόμενος, ἀλλ' ἁπάντων, οἷς ἡ σωτηρία γίνεται δι' αὐτοῦ, καὶ τοὐναντίον. (2) Ὅθεν ὁ Καλλικρατίδας, καίπερ ὢν τἆλλα μέγας, οὐκ εὖ πρὸς τὸν μάντιν εἶπε· δεομένου γὰρ αὐτοῦ φυλάττεσθαι θάνατον, ὡς τῶν ἱερῶν προδηλούντων, ἔφη μὴ παρ' ἕνα εἶναι τὰ Σπάρτας. (3) Μαχόμενος γὰρ εἷς ἦν καὶ πλέων καὶ στρατευόμενος ὁ Καλλικρατίδας, στρατηγῶν δὲ τὴν ἁπάντων εἶχε συλλαβὼν ἐν αὑτῷ δύναμιν, ὥστε οὐκ ἦν εἷς ᾧ τοσαῦτα συναπώλλυτο. (4) Βέλτιον δὲ Ἀντίγονος ὁ γέρων ὅτε ναυμαχεῖν περὶ Ἄνδρον ἔμελλεν εἰπόντος τινὸς, ὡς πολὺ πλείους αἱ τῶν πολεμίων νῆες εἶεν, « Ἐμὲ δὲ αὐτὸν, ἔφη, πρὸς

PELOPIDAS.

Cato major quibusdam hominem temerarium nullaque ratione pericula subeuntem audacemque in bello laudantibus respondit, interesse utrum quis virtutem magni, an vero vitam parvi pendat: recte id quidem. (2) Erat certe in exercitu Antigoni miles quidem audax, ceterum male affecto morbisque corrupto corpore. Ab eo cum rex pallo-
f ris causam quæsivisset, occulto se morbo conflictari fassus est. (3) Rex, ut erat ingenio liberali, medicis mandavit, ut, si quid auxilii restaret, omni cura ad sanandum hominem incumberent. Restitutus sanitati miles ille non ut ante periculis sese objicere, neque eodem in pugnam impetu ferri, adeo ut rex quoque mirutus eam mutationem, culpaverit a ipsum. (4) Ille vero causam aperte his verbis detexit: Ut minus essem audax, ipse tu, o rex, effecisti, cum malis me istis liberaveris, propter quæ vitam contemnebam. (5) Et in hanc sententiam Sybarita quidam de Lacedæmoniis dixisse videtur, rem non magnam eos præstare, quod mortem in bello expetant, quæ eos a tot laboribus vitæque tali ratione liberet. (6) Verumtamen Sybaritis luxu mollitieque perditis hominibus non mirum si vitam odisse judicentur qui studio virtutis ac gloriæ mortem contemnant, Lacedæmonii vero virtute utrumque effecerunt, ut libenter et viverent et morerentur: idque patet ex inscriptione sepulcri, in qua hæc sunt:

b Mortem obiere, mori non hi, non vivere pulchrum
esse, sed ut recte fiat utrumque rati.

(7) Nam neque fuga mortis in vitio est, si quis vitam non turpiter expetat, neque laudi datur mortem sustinere, quando id vitæ contemptu fit. (8) Itaque Homerus cum exire in pugnam viros fortissimos scribit, bene ac splendide armatos eos facit, et conditores legum apud Græcos non eum qui gladium aut lanceam, sed qui clypeum amisisset, puniunt, innuentes priorem sui tegendi quam hostis lædendi curam habendam, præsertim vero civitatis aut exercitus principi.

c II. Si enim, ut Iphicrates distinxit, manibus levis armatura, pedibus equites, ipsa autem phalanx pectori et thoraci, capiti dux respondet: sane hic si temere pericula adeat, non sui ipsius, sed omnium eorum, quorum salus ab ipso pendet, curam abjecisse censebitur; atque idem de diversa parte sentiendum. (2) Quare Callicratidas, magnus alioquin vir, haruspici monenti, ut mortem, quam ei exta minarentur, caveret, male respondit: non in uno homine Spartæ res sitas. (3) Pugnans enim aut navigans Callicratidas, aut militans, unus erat, cum vero dux esset, omnes in se complectebatur: neque pro uno jam censendus is fuit,
d qui tot hominum secum interitum traheret. (4) Rectius Antigonus senior apud Andrum navali pugna decertaturus, cuidam dicenti multo plures esse hostium naves, Me vero,

πόσας ἀντιστήσεις; » μέγα τὸ τῆς ἀρχῆς, ὥσπερ ἐστίν, ἀξίωμα ποιῶν μετ' ἐμπειρίας καὶ ἀρετῆς ταττόμενον, ἧς πρῶτον ἔργον ἐστὶ σώζειν τὸν ἅπαντα τἄλλα σώζοντα. (5) Διὸ καλῶς ὁ Τιμόθεος ἐπιδεικνυμένου ποτὲ τοῖς Ἀθηναίοις τοῦ Χάρητος ὠτειλάς τινας ἐν τῷ σώματι καὶ τὴν ἀσπίδα λόγχῃ διακεκομμένην, « Ἐγὼ δέ, εἶπεν, ὡς λίαν ἠσχύνθην ὅτι μου πολιορκοῦντος Σάμον ἔγγὺς ἔπεσε βέλος, ὡς μειρακιωδέστερον ἐμαυτῷ e χρώμενος ἢ κατὰ στρατηγὸν καὶ ἡγεμόνα δυνάμεως τοσαύτης. » (6) Ὅπου μὲν γὰρ εἰς τὰ ὅλα μεγάλην φέρει ῥοπὴν ὁ τοῦ στρατηγοῦ κίνδυνος, ἐνταῦθα καὶ χειρὶ καὶ σώματι χρηστέον ἀφειδῶς χαίρειν φράσαντα τοῖς λέγουσιν, ὡς χρὴ τὸν ἀγαθὸν στρατηγὸν μάλιστα μὲν ὑπὸ γήρως, εἰ δὲ μὴ γέροντα θνήσκειν· ὅπου δὲ μικρὸν τὸ περιγινόμενον ἐκ τοῦ κατορθώματος, τὸ δὲ πᾶν συναπόλλυται σφαλέντος, οὐδεὶς ἀπαιτεῖ στρατιώτου πρᾶξιν κινδύνῳ πραττομένην στρατηγοῦ. (7) Ταῦτα δέ μοι παρέστη προαναφωνῆσαι γράφοντι τὸν Πελοπίδου βίον καὶ τὸν Μαρκέλλου, μεγάλων ἀνδρῶν παραλόγως πεσόντων. (8) Καὶ γὰρ χειρὶ χρῆσθαι μαχιμώ- f τατοι γενόμενοι καὶ στρατηγίαις ἐπιφανεστάταις κοσμήσαντες ἀμφότεροι τὰς πατρίδας, ἔτι δὲ τῶν βαρυτάτων ἀνταγωνιστῶν ὁ μὲν Ἀννίβαν ἀήττητον ὄντα
279πρῶτος, ὡς λέγεται, τρεψάμενος, ὁ δὲ γῆς καὶ θαλάτ- a της ἄρχοντας Λακεδαιμονίους ἐκ παρατάξεως νικήσας, ἠφείδησαν ἑαυτῶν σὺν οὐδενὶ λογισμῷ προέμενοι τὸν βίον, ὁπηνίκα μάλιστα τοιούτων καιρὸς ἦν ἀνδρῶν σωζομένων καὶ ἀρχόντων. Διόπερ ἡμεῖς ἑπόμενοι ταῖς ὁμοιότησι παραλλήλους ἀνεγράψαμεν αὐτῶν τοὺς βίους.

III. Πελοπίδᾳ τῷ Ἱππόκλου γένος μὲν ἦν εὐδόκιμον ἐν Θήβαις ὥσπερ Ἐπαμεινώνδᾳ, τραφεὶς δὲ ἐν οὐσίᾳ μεγάλῃ καὶ παραλαβὼν ἔτι νέος λαμπρὸν οἶκον ὥρμησε τῶν δεομένων τοῖς ἀξίοις βοηθεῖν, ἵνα κύριος ἀληθῶς φαίνοιτο χρημάτων γεγονώς, ἀλλὰ μὴ δοῦλος. (2) Τῶν γὰρ πολλῶν, ὡς Ἀριστοτέλης φησίν, οἱ μὲν οὐ χρῶνται b τῷ πλούτῳ διὰ μικρολογίαν, οἱ δὲ παραχρῶνται δι' ἀσωτίαν, καὶ δουλεύοντες οὗτοι μὲν ἀεὶ ταῖς ἡδοναῖς, ἐκεῖνοι δὲ ταῖς ἀσχολίαις διατελοῦσιν. (3) Οἱ μὲν οὖν ἄλλοι τῷ Πελοπίδᾳ χάριν ἔχοντες ἐχρῶντο τῇ πρὸς αὐτοὺς ἐλευθεριότητι καὶ φιλανθρωπίᾳ, μόνον δὲ τῶν φίλων τὸν Ἐπαμεινώνδαν οὐκ ἔπειθε τοῦ πλούτου μεταλαμβάνειν· αὐτὸς μέντοι μετεῖχε τῆς ἐκείνου πενίας ἐσθῆτος ἀφελείᾳ καὶ τραπέζης λιτότητι καὶ τῷ πρὸς τοὺς πόνους ἀόκνῳ καὶ κατὰ τὰς στρατείας ἀδόλῳ καλλωπιζόμενος, ὥσπερ ὁ Εὐριπίδου Καπανεύς, ᾧ βίος μὲν ἦν πολύς, ἥκιστα δὲ δι' ὄλβον γαῦρος ἦν, αἰσχυνόμενος, εἰ φανεῖται πλείοσι χρώμενος εἰς τὸ σῶμα τοῦ τὰ ἐλάχιστα κεκτημένου Θηβαίων. (4) Ἐπαμει- c νώνδας μὲν οὖν συνήθη καὶ πατρῴαν οὖσαν αὐτῷ τὴν πενίαν ἔτι μᾶλλον εὔζωνον καὶ κοῦφον ἐποίησε φιλοσοφῶν καὶ μονότροπον βίον ἀπ' ἀρχῆς ἑλόμενος· Πελοπίδᾳ δὲ ἦν μὲν γάμος λαμπρός, ἐγένοντο δὲ καὶ παῖδες, ἀλλ' οὐδὲν ἧττον ἀμελῶν τοῦ χρηματίζεσθαι καὶ σχολάζων τῇ πόλει τὸν ἅπαντα χρόνον ἠλάττωσε τὴν οὐσίαν (5)

inquit, quot navibus oppones? Etenim plurimum, ut est re ipsa, esse in duce situm judicabat perito ac virtute prædito, cujus prima cura est, ut eum conservet, a quo salus reliquorum omnium pendet. (5) Recte etiam Timotheus, qui Charete Atheniensibus cicatrices quasdam clypeumque lancea perfossum ostentante : At ego, inquit, summo pudore affectus sum, cum in oppugnatione Sami telum prope me decidisset, quod temeritate ultra elatus essem quam tanti exercitus ducem deceret. (6) Enimvero quando pugna ducis magnum ad summam rei momentum affert, manibus ei est totoque corpore utendum, neque parcendum vitæ, jussis valere iis, qui imperatorem bonum aut senem, aut senectuti certe vicinum mori debere asserunt; ubi vero parum profici potest ejus audaciam fortuna adjuvante, contra vero ejus casum pernicies rerum comitatur, nemo jam cum periculo ducis rem geri a milite velit. (7) Hæc præfari mihi subiit vitam Pelopidæ ac Marcelli scripturo, magnorum virorum et quibus sua temeritas exitium attulit. (8) Cum enim uterque et manu promptissimus fuisset, et bello præclarissime gesto patriam exornasset, gravissimosque adversarios, hic Hannibalem insuperabilem ante primus, ut narratur, prœlio fudisset, alter Lacedæmonios terra marique imperantes acie vicisset : temere suæ salutis cura omissa in periculum sese conjecerunt, ac vitam eo uterque tempore projecit, quo maxime eum salvum esse et rebus præesse attinebat. Ideo nos similitudinem secuti, vitas eorum ita ut inter se conferri possint, perscripsimus.

III. Pelopidas Hippocli filius claro inter Thebanos genere, ut Epaminondas, ortus fuit. Educatus in magnis opibus juvenisque adhuc patrimonium splendidum adeptus, indigentibus et auxilio dignis opem ferre intendit, demonstraturus, non servum, sed dominum se bonorum suorum esse. (2) Major enim pars hominum, ut ait Aristoteles, aut non utitur divitiis suis, qui sunt illiberali et sordido prædíti ingenio; aut ob profusionem iis abutitur : quorum alteri negotiis, alteri voluptatibus nunquam non sunt dediti. (3) Cum vero multi liberalitate et benignitate Pelopidæ grato animo fruerentur, soli amicorum Epaminondæ ab eo persuaderi non potuit, ut divitiarum partem aliquam acciperet. Hujus quidem paupertatem Pelopidas æmulatus est vestis et victus tenuitate, labores impigre subeundo et militiæ honeste versando decus sibi quærens (exemplo Capanei Euripidei, cui cum essent magnæ opes, nequaquam tamen iis exsultabat), ac turpe existimabat, si ad cultum corporis pluribus uteretur quam pauperrimus aliquis Thebanorum. (4) Ceterum Epaminondas paupertatem sibi a parentibus c traditam, philosophiæ studio vitaque solitaria, quam initio delegerat, leviorem etiam expeditioremque reddebat : Pelopidas, etsi ei erat uxor illustri loco nata ac liberi, nihilominus tamen quærendæ pecuniæ studium negligens, atque omne tempus publicis negotiis impendens, rem familiarem corrumpebat. (5) Et amicis se aliquando moncntibus, non

Τῶν δὲ φίλων νουθετούντων καὶ λεγόντων, ὡς ἀναγκαίου πράγματος ὀλιγωρεῖ, τοῦ χρήματα ἔχειν, « Ἀναγκαίου, νὴ Δία, Νικοδήμῳ τούτῳ », δείξας τινὰ χωλὸν καὶ τυφλόν.

IV. Ἦσαν δὲ καὶ πρὸς πᾶσαν ἀρετὴν πεφυκότες ὁμοίως, πλὴν ὅτι τῷ γυμνάζεσθαι μᾶλλον ἔχαιρε Πελοπίδας, τῷ δὲ μανθάνειν Ἐπαμεινώνδας, καὶ τὰς διατριβὰς ἐν τῷ σχολάζειν ὁ μὲν περὶ παλαίστρας καὶ κυνηγέσια, ὁ δὲ ἀκούων τι καὶ φιλοσοφῶν ἐποιεῖτο. (2) Πολλῶν δὲ καὶ καλῶν ὑπαρχόντων ἀμφοτέροις πρὸς δόξαν οὐδὲν οἱ νοῦν ἔχοντες ἡγοῦνται τηλικοῦτον, ἡλίκον τὴν διὰ τοσούτων ἀγώνων καὶ στρατηγιῶν καὶ πολιτειῶν ἀνεξέλεγκτον εὔνοιαν καὶ φιλίαν ἀπ' ἀρχῆς μέχρι τέλους ἐμμείνασαν. (3) Εἰ γάρ τις ἀποβλέψας εἰς τὴν Ἀριστείδου καὶ Θεμιστοκλέους καὶ Κίμωνος καὶ Περικλέους καὶ Νικίου καὶ Ἀλκιβιάδου πολιτείαν, ὅσων γέγονε μεστὴ διαφορῶν καὶ φθόνων καὶ ζηλοτυπιῶν πρὸς ἀλλήλους, σκέψαιτο πάλιν τὴν Πελοπίδου πρὸς Ἐπαμεινώνδαν εὐμένειαν καὶ τιμήν, τούτους ἂν ὀρθῶς καὶ δικαίως προσαγορεύσειε συνάρχοντας καὶ συστρατήγους ἢ ἐκείνους, οἳ μᾶλλον ἀλλήλων ἢ τῶν πολεμίων ἀγωνιζόμενοι περιεῖναι διετέλεσαν. (4) Αἰτία δὲ ἀληθινὴ μὲν ἦν ἡ ἀρετή, δι' ἣν οὐ δόξαν, οὐ πλοῦτον ἀπὸ τῶν πράξεων μετιόντες, οἷς ὁ χαλεπὸς καὶ δύσερις ἐμφύεται φθόνος, ἀλλ' ἔρωτα θεῖον ἀπ' ἀρχῆς ἐρασθέντες ἀμφότεροι τοῦ τὴν πατρίδα λαμπροτάτην καὶ μεγίστην ἐφ' ἑαυτῶν ἰδεῖν γενομένην, ὥσπερ ἰδίοις ἐπὶ τοῦτο τοῖς ἑαυτῶν ἐχρῶντο κατορθώμασιν. (5) Οὐ μὴν ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν αὐτοῖς τὴν σφοδρὰν φιλίαν ἀπὸ τῆς ἐν Μαντινείᾳ γενέσθαι στρατείας, ἣν συνεστρατεύσαντο Λακεδαιμονίοις ἔτι φίλοις καὶ συμμάχοις οὖσι πεμφθείσης ἐξ Θηβῶν βοηθείας. (6) Τεταγμένοι γὰρ ἐν τοῖς ὁπλίταις μετ' ἀλλήλων καὶ μαχόμενοι πρὸς τοὺς Ἀρκάδας, ὡς ἐνέδωκε τὸ κατ' αὐτοὺς κέρας τῶν Λακεδαιμονίων καὶ τροπὴ τῶν πολλῶν ἐγεγόνει, συνασπίσαντες ἠμύναντο τοὺς ἐπιφερομένους. (7) Καὶ Πελοπίδας μὲν ἑπτὰ τραύματα λαβὼν ἐναντία πολλοῖς ἐπικατερρύη νεκροῖς ὁμοῦ φίλοις καὶ πολεμίοις, Ἐπαμεινώνδας δὲ, καίπερ ἀβιώτως ἔχειν αὐτὸν ἡγούμενος, ὑπὲρ τοῦ σώματος καὶ τῶν ὅπλων ἔστη προελθὼν καὶ διεκινδύνευσε πρὸς πολλοὺς μόνος ἐγνωκὼς ἀποθανεῖν μᾶλλον ἢ Πελοπίδαν ἀπολιπεῖν κείμενον. (8) Ἤδη δὲ καὶ τούτου κακῶς ἔχοντος καὶ λόγχῃ μὲν εἰς τὸ στῆθος, ξίφει δὲ εἰς τὸν βραχίονα τετρωμένου, προσεβοήθησεν ἀπὸ θατέρου κέρως Ἀγησίπολις ὁ βασιλεὺς τῶν Σπαρτιατῶν καὶ περιεποίησεν ἀνελπίστως αὐτοὺς ἀμφοτέρους.

V. Μετὰ δὲ ταῦτα τῶν Σπαρτιατῶν λόγῳ μὲν ὡς φίλοις καὶ συμμάχοις προσφερομένων τοῖς Θηβαίοις, ἔργῳ δὲ τὸ φρόνημα τῆς πόλεως καὶ τὴν δύναμιν ὑφορωμένων καὶ μάλιστα τὴν Ἰσμηνίου καὶ Ἀνδροκλείδου μισούντων ἑταιρείαν, ἧς μετεῖχεν ὁ Πελοπίδας, φιλελεύθερον ἅμα καὶ δημοτικὴν εἶναι δοκοῦσαν, Ἀρχίας καὶ Λεοντίδας καὶ Φίλιππος, ἄνδρες ὀλιγαρχικοὶ καὶ πλούσιοι καὶ μέτριον οὐδὲν φρονοῦντες, ἀναπείθουσι

recte eum pecuniæ, rei necessariæ, curam abjicere, « Necessariæ, inquit, mehercle Nicodemo huic, » hominem demonstrans claudum cæcumque.

IV. Erat in utroque ingenium natura ad omnem virtutem aptum, nisi quod exercitationibus magis gaudebat Pelopidas, Epaminondas literarum studiis, atque hic audiendis doctoribus et philosophando, ille palæstræ et venationibus otium dicabat. (2) Sed cum in utroque multa fuerint, quibus summam gloriam mererentur, nihil tamen a sapientibus judicatum est præstantius fuisse benevolentia eorum et amicitia, quam ab ineunte ætate per tot certamina, imperia, actionesque in republica inculpatam ad finem usque conservaverunt. (3) Etenim considerans aliquis qua invidia Aristides et Themistocles, Cimon et Pericles, Nicias et Alcibiades, quibus contentionibus et obtrectationibus mutuis in republica sint versati, rursusque expendens benevolentiam et observantiam Pelopidæ atque Epaminondæ, intelliget rectius hos ac justius collegas dici posse, quam illos, qui mutuis ac perpetuis in certaminibus victoriam unus de altero, quam de hoste, reportare magis contenderunt. (4) Quod ne his eveniret, causa fuit vera virtus, propter quam cum in rebus gerendis non gloriam neque divitias, quibus gravis illa et pervicax innascitur invidia, quærerent, sed initio amore quodam divino uterque correptus, patriam sua ipsorum opera ad summas opes ac splendorem erectam videndi, communia inter se sua præclara facinora habuerunt. (5) Verumtamen plerique censent eam tam arctam ipsorum amicitiam in expeditione Mantinensi natam, in qua una fuerunt, misso Lacedæmoniis adhuc sociis et confœderatis auxilio a Thebanis. (6) Constituti enim una in peditum acie, pugnantesque in Arcades, cum cornu Lacedæmoniorum ipsis adjunctum cederet, ac plerique se in fugam darent, junctis umbonibus irruentium hostium vim sustinuerunt. (7) Ibi Pelopidas septem adversis vulneribus acceptis, inter multa hostium amicorumque cadavera collapsus est. Epaminondas, etsi actum de vita ejus putabat, corpus tamen armaque ejus ut servaret, prosiluit, unusque adversum multos pugnavit, mori potius, quam jacentem Pelopidam deserere statuens. (8) Hoc quoque jam in extremo versante periculo, pectusque hasta saucio, et brachium gladio, Agesipolis Spartanorum rex ab altero cornu succurrit, et utrumque jam desperatum servavit.

V. Secundum hæc cum Spartani verbo quidem socios se et amicos Thebanorum ostenderent, re ipsa autem civitatis magnanimitatem potentiamque, maxime autem Ismeniæ et Androclidæ societatem, cujus erat particeps etiam Pelopidas, suspectam haberent, quod libertatis ea popularisque in republica status studiosa videretur : Archias, Leontidas, et Philippus homines locupletes, ac qui penes paucos summam rerum esse cuperent, Phœbidæ Spartano

Φοιβίδαν τὸν Λάκωνα μετὰ στρατιᾶς διαπορευόμενον
ἐξαίφνης καταλαβεῖν τὴν Καδμείαν καὶ τοὺς ὑπεναντιουμένους αὐτοῖς ἐκβαλόντα πρὸς τὸ Λακεδαιμονίων ὑπήκοον ἁρμόσασθαι δι' ὀλίγων τὴν πολιτείαν. (2) Πεισθέντος δ' ἐκείνου καὶ μὴ προσδοκῶσι τοῖς Θηβαίοις ἐπιθεμένου Θεσμοφορίων ὄντων καὶ τῆς ἀκρας κυριεύσαντος, Ἰσμηνίας μὲν συναρπασθεὶς καὶ κομισθεὶς εἰς Λακεδαίμονα μετ' οὐ πολὺν χρόνον ἀνῃρέθη· Πελοπίδας δὲ καὶ Φερένικος καὶ Ἀνδροκλείδας μετὰ συχνῶν ἄλλων φεύγοντες ἐξεκηρύχθησαν. (3) Ἐπαμεινώνδας δὲ κατὰ χώραν ἔμεινε τῷ καταφρονηθῆναι διὰ μὲν φιλοσοφίαν ὡς ἀπράγμων, διὰ δὲ πενίαν ὡς ἀδύνατος.

VI. Ἐπεὶ δὲ Λακεδαιμόνιοι Φοιβίδαν μὲν ἀφεῖλοντο τῆς ἀρχῆς καὶ δέκα δραχμῶν μυριάσιν ἐζημίωσαν, τὴν δὲ Καδμείαν οὐδὲν ἧττον φρουρᾷ κατέσχον, οἱ μὲν ἄλλοι πάντες Ἕλληνες ἐθαύμαζον τὴν ἀτοπίαν, εἰ τὸν μὲν πράξαντα κολάζουσι, τὴν δὲ πρᾶξιν δοκιμάζουσι, τοῖς δὲ Θηβαίοις τὴν πάτριον ἀποβεβληκόσι πολιτείαν καὶ καταδεδουλωμένοις ὑπὸ τῶν περὶ Ἀρχίαν καὶ Λεοντίδαν οὐδὲ ἐλπίσαι περιῆν ἀπαλλαγήν τινα τῆς τυραννίδος, ἣν ἑώρων τῇ Σπαρτιατῶν δορυφορουμένην ἡγεμονίᾳ καὶ καταλυθῆναι μὴ δυναμένην, εἰ μή τις ἄρα παύσειε κἀκείνους γῆς καὶ θαλάττης ἄρχοντας. (2) Οὐ μὴν ἀλλ' οἱ περὶ Λεοντίδαν πυνθανόμενοι τοὺς φυγάδας Ἀθήνησι διατρίβειν τῷ τε πλήθει προσφιλεῖς ὄντας καὶ τιμὴν ἔχοντας ὑπὸ τῶν καλῶν καὶ ἀγαθῶν ἐπεβούλευον αὐτοῖς κρύφα· καὶ πέμψαντες ἀνθρώπους ἀγνῶτας Ἀνδροκλείδαν μὲν ἀποκτιννύουσι δόλῳ, τῶν δὲ ἄλλων διαμαρτάνουσιν. (3) Ἦκε δὲ καὶ παρὰ Λακεδαιμονίων γράμματα τοῖς Ἀθηναίοις προστάσσοντα μὴ δέχεσθαι μηδὲ παρακινεῖν, ἀλλ' ἐξελαύνειν τοὺς φυγάδας ὡς κοινοὺς πολεμίους ὑπὸ τῶν συμμάχων ἀποδεδειγμένους. (4) Οἱ μὲν οὖν Ἀθηναῖοι πρὸς τῷ πάτριον αὐτοῖς καὶ σύμφυτον εἶναι τὸ φιλάνθρωπον ἀμειβόμενοι τοὺς Θηβαίους μάλιστα συναιτίους γενομένους τῷ δήμῳ τοῦ κατελθεῖν καὶ ψηφισαμένους, ἐάν τις Ἀθηναίων ἐπὶ τοὺς τυράννους ὅπλα διὰ τῆς Βοιωτίας κομίζῃ, μηδένα Βοιωτὸν ἀκούειν μηδὲ ὁρᾶν, οὐδὲν ἠδίκησαν τοὺς Θηβαίους.

VII. Ὁ δὲ Πελοπίδας, καίπερ ἐν τοῖς νεωτάτοις ὢν, ἰδίᾳ τε καθ' ἕκαστον ἐξώρμα τῶν φυγάδων καὶ πρὸς τὸ πλῆθος ἐποιήσατο λόγους, ὡς οὔτε καλὸν οὔτε ὅσιον εἴη δουλεύουσαν τὴν πατρίδα καὶ φρουρουμένην περιορᾶν, αὐτοὺς δὲ μόνον τὸ σώζεσθαι καὶ διαζῆν ἀγαπῶντας ἐκκρέμασθαι τῶν Ἀθήνησι ψηφισμάτων καὶ θεραπεύειν ὑποπεπτωκότας ἀεὶ τοῖς λέγειν δυναμένοις καὶ πείθειν τὸν ὄχλον, ἀλλὰ κινδυνευτέον ὑπὲρ τῶν μεγίστων παράδειγμα θεμένους τὴν Θρασυβούλου τόλμαν καὶ ἀρετήν, ἵνα, ὡς ἐκεῖνος ἐκ Θηβῶν πρότερον ὁρμηθεὶς κατέλυσε τοὺς ἐν Ἀθήναις τυράννους, οὕτως αὐτοὶ πάλιν ἐξ Ἀθηνῶν προελθόντες ἐλευθερώσωσι τὰς Θήβας. (2) Ὡς οὖν ἔπεισε ταῦτα λέγων πέμπουσιν εἰς Θήβας κρύφα πρὸς τοὺς ὑπολελειμμένους τῶν φίλων τὰ δεδογμένα φράζοντες. (3) Οἱ δὲ συνεπῄνουν καὶ Χάρων μὲν, ὅσπερ ἦν ἐπιφανέστατος, ὡμολόγησε τὴν οἰκίαν παρέξειν, Φιλλίδας δὲ διεπράξατο τῶν περὶ Ἀρχίαν καὶ Φίλιππον γραμμα-

persuaserunt, ut cum exercitu subito profectus Cadmeam occuparet, ejectisque adversariis rempublicam in paucorum potestatem traditam Lacedæmoniorum imperio subjiceret. (2) Paruit hic consilio, ac Thebanos Thesmophoria sacra agentes ex improviso adortus, arcem cepit. Ita Ismenias abreptus ac Spartam ductus, paulo post necatus est; Pelopidas autem, Pherenicus et Androclides cum permultis aliis aufugerunt, exsilioque damnati sunt : (3) Epaminondas in patria remansit, contemptus ab inimicis ac neglectus, ut qui philosophiæ vacans a rebus gerendis alienus esse, neque quicquam per paupertatem posse videretur.

VI. Lacedæmonii porro Phœbidam magistratu dejectum mille minis mulctaverunt, nihilominus tamen arcem præsidio tenuerunt. Id tam absurdum eorum factum omnes Græci mirabantur, quod cujus facinoris auctorem pœna affecissent, id facinus tamen approbarent. At Thebanis pristina reipublicæ forma spoliatis, et ab Archiæ Leontidæque factione in servitutem redactis, ne spes quidem excutiendi jugi restabat, cum tyrannidem Lacedæmoniorum potentia stipatam destrui non posse viderent, nisi quis terræ marisque imperium his ademisset. (2) At vero Leontidas cum exsules Athenis degere gratosque multitudini esse et in honore ab optimatibus haberi accepisset, occulte insidias eis tendit : submissisque eo ignotis hominibus, Androclidam fraude sustulit, reliqui necem effugerunt. (3) Missæ sunt etiam a Lacedæmoniis literæ ad Athenienses, quæ mandarent iis, ne reciperent exsules, neve adjuvarent, sed pellerent eos, qui communes a sociis hostes essent judicati. (4) Sed Athenienses, qui præter humanitatem innatam ipsis atque a majoribus propagatam, etiam gratiam Thebanis referendam putarent (hi enim reditum populi cum primis adjuverant, decretoque caverant, si quis Atheniensium arma contra tyrannos ferens per Bœotiam iter faceret, ne quis Bœotorum id vel videre se, vel audire præ se ferret), nihil mali attulerunt.

VII. Pelopidas vero etsi erat inter minimos natu, cum privatim singulos exsulum stimulare, tum ad universos orationem habere : neque honeste eos agere, neque pie, qui patriam tyrannide armata pressam negligerent, suæ tantum vitæ ac salutis rationem ducentes; qui ab Atheniensium decretis pendere satis haberent, oratoresque eorum eosque qui populum persuadere possent, demereri : quin imo cum periculo præclarissimam rem tentandam, respiciendumque ad Thrasybuli audaciam atque virtutem, utque hic Thebis quondam profectus Athenas tyrannide liberasset, ita ipsis jam ab Athenis ad liberandas Thebas contendendum. (2) Ut persuasit suis, missi sunt clam Thebas ad amicos ibi relictos, iisque quid decretum esset renunciatum. (3) Approbaverunt hi, et Charon, qui erat clarissimus omnium, domum suam ipsi obtulit : Phillidas confecit ut ab Archia et Phi-

τεὺς γενέσθαι πυλεμαρχούντων. (4) Ἐπαμεινώνδας δὲ τοὺς νέους πάλαι φρονήματος ἦν ἐμπεπληκώς· ἐκέλευε γὰρ ἐν τοῖς γυμνασίοις ἐπιλαμβάνεσθαι τῶν Λακεδαιμονίων καὶ παλαίειν, εἶτα ὁρῶν ἐπὶ τῷ κρατεῖν καὶ περιεῖναι γαυρουμένους ἐπέπληττεν, ὡς αἰσχύνεσθαι μᾶλλον αὐτοῖς προσῆκον, εἰ δουλεύουσι δι' ἀνανδρίαν ὧν τοσοῦτον, ταῖς ῥώμαις διαφέρουσιν.

VIII. Ἡμέρας δὲ πρὸς τὴν πρᾶξιν ὁρισθείσης ἔδοξε τοῖς φυγάσι τοὺς μὲν ἄλλους συναγαγόντα Φερένικον ἐν τῷ Θριασίῳ περιμένειν, ὀλίγους δὲ τῶν νεωτάτων παραβαλέσθαι προεισελθεῖν εἰς τὴν πόλιν, ἐὰν δέ τι πάθωσιν ὑπὸ τῶν πολεμίων οὗτοι, τοὺς ἄλλους ἐπιμελεῖσθαι πάντας, ὅπως μήτε παῖδες αὐτῶν μήτε γονεῖς ἐνδεεῖς ἔσονται τῶν ἀναγκαίων. (2) Ὑφίσταται δὲ τὴν πρᾶξιν Πελοπίδας πρῶτος, εἶτα Μέλων καὶ Δαμοκλείδας καὶ Θεόπομπος, ἄνδρες οἴκων τε πρώτων καὶ πρὸς ἀλλήλους τὰ ἄλλα μὲν φιλικῶς καὶ πιστικῶς, ὑπὲρ δὲ δόξης καὶ ἀνδρείας ἀεὶ φιλονείκως ἔχοντες. (3) Γενόμενοι δὲ οἱ σύμπαντες δώδεκα καὶ τοὺς ἀπολειπομένους ἀσπασάμενοι καὶ προπέμψαντες ἄγγελον τῷ Χάρωνι προῆγον ἐν χλαμυδίοις σκύλακάς τε θηρατικὰς καὶ στάλικας ἔχοντες, ὡς μηδὲ εἷς ὑποπτεύοι τῶν ἐντυγχανόντων καθ' ὁδόν, ἀλλ' ἀλύοντες ἄλλως πλανᾶσθαι καὶ κυνηγεῖν δοκοῖεν. (4) Ἐπεὶ δὲ ὁ πεμφθεὶς παρ' αὐτῶν ἄγγελος ἦκε πρὸς τὸν Χάρωνα καὶ καθ' ὁδὸν ὄντας ἔφραζεν, αὐτὸς μὲν ὁ Χάρων οὐδὲ ὑπὸ τοῦ δεινοῦ πλησιάζοντος ἔτρεψέ τι τῆς γνώμης, ἀλλ' ἀνὴρ ἀγαθὸς ἦν καὶ παρεῖχε τὴν οἰκίαν. (5) Ἱπποσθενίδας δέ τις, οὐ πονηρὸς μέν, ἀλλὰ καὶ φιλόπατρις καὶ τοῖς φυγάσιν εὔνους ἄνθρωπος, ἐνδεὴς δὲ τόλμης τοσαύτης, ὅσης ὅ τε καιρὸς ὀξὺς ὢν αἵ τε ὑποκείμεναι πράξεις ἀπῄτουν, ὥσπερ ἐλιγγιάσας πρὸς τὸ μέγεθος τοῦ ἀγῶνος ἐν χερσὶ γενομένου καὶ μόλις ποτὲ τῷ λογισμῷ συμφρονήσας, ὅτι τρόπον τινὰ τὴν τῶν Λακεδαιμονίων σαλεύουσιν ἀρχὴν καὶ τῆς ἐκεῖθεν δυνάμεως ὑποβάλλονται κατάλυσιν πιστεύσαντες ἀπόροις καὶ φυγαδικαῖς ἐλπίσιν, ἀπελθὼν οἰκαδε σιωπῇ πέμπει τινὰ τῶν φίλων πρὸς Μέλωνα καὶ Πελοπίδαν ἀναβαλέσθαι κελεύων ἐν τῷ παρόντι καὶ περιμένειν βελτίονα καιρὸν αὖθις ἀπαλλαγέντας εἰς Ἀθήνας. (6) Χλίδων ἦν ὄνομα τῷ πεμφθέντι, καὶ κατὰ σπουδὴν οἰκαδε πρὸς αὐτὸν τραπόμενος καὶ τὸν ἵππον ἐξαγαγὼν ᾔτει τὸν χαλινόν. (7) Ἀπορουμένης δὲ τῆς γυναικὸς, ὡς οὐκ εἶχε δοῦναι καὶ χρῆσαί τινι τῶν συνήθων λεγούσης λοιδορίαι τὸ πρῶτον ἦσαν, εἶτα δυσφημίαι, τῆς γυναικὸς ἐπαρωμένης αὐτῷ τε κακὰς ὁδοὺς ἐκείνῳ καὶ τοῖς πέμπουσιν, ὥστε καὶ τὸν Χλίδωνα πολὺ τῆς ἡμέρας ἀναλώσαντα πρὸς τούτοις δι' ὀργὴν, ἅμα δὲ καὶ τὸ συμβεβηκὸς οἰωνισάμενον ἀφεῖναι τὴν ὁδὸν ὅλως καὶ πρὸς ἄλλο τι τραπέσθαι. (8) Παρὰ τοσοῦτον μὲν ἦλθον αἱ μέγισται καὶ κάλλισται τῶν πράξεων εὐθὺς ἐν ἀρχῇ διαφυγεῖν τὸν καιρόν.

IX. Οἱ δὲ περὶ τὸν Πελοπίδαν ἐσθῆτας γεωργῶν μεταλαβόντες καὶ διελόντες αὐτοὺς ἄλλοι κατ' ἄλλα μέρη τῆς πόλεως παρεισῆλθον ἔτι ἡμέρας οὔσης. (2) Ἦν δέ τι πνεῦμα καὶ νιφετὸς ἀρχομένου τρέπεσθαι τοῦ

lippo Polemarchis scriba legeretur. (4) Epaminondas autem jamdudum audacia juvenes impleverat. Jusserat enim eos in gymnasiis cum Lacedæmoniis luctari, cumque victoria exsultare videret, verbis increpabat pudendum potius dictitans, quod metus causa illis servirent, quos robore tantum vincerent.

VIII. Die ad consilium exsequendum statuta, hæc sententia exsulibus placuit, ut Pherenico cum reliquorum coacta manu in Thriasio exspectante, pauci quidam ex natu minoribus in urbem intrandi periculum susciperent; quibus si quid ab hostibus accidisset, reliqui omnes operam darent, ne illorum parentes liberique ulla re necessaria indigerent. (2) Hoc negotium primus omnium in se recipit Pelopidas, tum Melo, Damoclidas, Theopompus, viri nobilissimi et inter se summa fide amicitiaque juncti, quibus tamen de gloria virtutis perpetua fuissent certamina. (3) Hi duodecim (tot enim omnino erant), salutatis reliquis præmissoque ad Charonem nuncio, chlamydibus brevibus induti, catulosque venatorios et varros secum ferentes progressi sunt, ut ne quis obviam factus tale quicquam eos moliri suspicaretur, sed animi causa vagari, venatumque ire suspicaretur. (4) Charon, ut ad eum nuntius venit atque in itinere esse eos indicavit, virum fortem se præstitit, neque instante periculo animum vertit, sed domum eis suam præbuit. (5) Hipposthenidas autem quidam, neque malus homo et patriæ amans exsulumque studiosus, sed cui tantum audaciæ non adesset, quantum occasio præceps ista et rerum propositarum moles desiderabant, impendentis certaminis magnitudine æstuans, ac vix tum cogitatione assequens, hoc facto nonnihil etiam imperium Lacedæmoniorum concussum iri, seque fretos hominum egenorum ac exsulum opera, Spartanam potentiam convellere aggressos: hæc reputans, tacitus domum abit, quendamque ex amicis ad Melonem et Pelopidam mittit, differre eos rem, reversosque Athenas, commodiorem occasionem præstolari jubens. (6) Chlido (id enim erat nuntio huic nomen) celeriter domum suam cum petiisset, equumque eduxisset, frenum mulierem poposcit. (7) Quæ cum hæsitaret neque haberet quod daret, ac familiari cuidam commodasse diceret, convicia primum exstiterunt, inde ad imprecationem mulier conversa, infaustum ei mittentibusque eum id iter optavit: itaque Chlido iratus magnam diei partem cum exegisset, simulque id jurgium in omen verteret, ab itinere omnino destitit, aliamque rem agere cœpit. (8) Adeo parum abfuit quin pulcherrimum et maximum facinus initio statim occasione excideret.

IX. Pelopidas vero cum suis vestimenta rusticorum induti atque in partes divisi, alii per aliam portam in urbem pervenerunt nondum elapsa die. (2) Commodum mutata tempestate ventus cum nive ingruerat, ideoque plerisque

ἀέρος, καὶ μᾶλλον ἔλαθον καταπεφευγότων ἤδη διὰ τὸν χειμῶνα τῶν πλείστων εἰς τὰς οἰκίας. Οἷς δὲ ἦν ἐπιμελὲς τὰ πραττόμενα γινώσκειν, ἀνελάμβανον τοὺς προσερχομένους καὶ καθίστων εὐθὺς εἰς τὴν οἰκίαν τοῦ Χάρωνος· ἐγένοντο δὲ σὺν τοῖς φυγάσι πεντήκοντα δυοῖν δέοντες. (3) Τὰ δὲ περὶ τοὺς τυράννους οὕτως εἶχε. Φιλλίδας ὁ γραμματεὺς συνέπραττε μὲν, ὥσπερ εἴρηται, πάντα καὶ συνῄδει τοῖς φυγάσιν, εἰς δὲ τὴν ἡμέραν ἐκείνην, ἐκ παλαιοῦ κατηγγελκὼς τοῖς περὶ τὸν Ἀρχίαν πότον τινὰ καὶ συνουσίαν καὶ γύναια τῶν ὑπάνδρων, ἔπραττεν ὅτι μάλιστα ταῖς ἡδοναῖς ἐκλελυμένους καὶ κατοίνους μεταχειρίσασθαι παρέξειν τοῖς ἐπιτιθεμένοις. (4) Οὔπω δὲ πάνυ πόρρω μέθης οὖσιν αὐτοῖς προσέπεσέ τις οὐ ψευδὴς μὲν, ἀβέβαιος δὲ καὶ πολλὴν ἀσάφειαν ἔχουσα περὶ τῶν φυγάδων μήνυσις, ὡς ἐν τῇ πόλει κρυπτομένων. (5) Τοῦ δὲ Φιλλίδου παραφέροντος τὸν λόγον, ὅμως Ἀρχίας ἔπεμψέ τινα τῶν ὑπηρετῶν πρὸς τὸν Χάρωνα προστάσσων εὐθὺς ἥκειν αὐτόν. (6) Ἦν δὲ ἑσπέρα καὶ συνέταττον ἔνδον αὐτοὺς οἱ περὶ τὸν Πελοπίδαν ἤδη τεθωρακισμένοι καὶ τὰς μαχαίρας ἀνειληφότες. Ἐξαίφνης δὲ κοπτομένης τῆς θύρας προσδραμών τις καὶ πυθόμενος τοῦ ὑπηρέτου Χάρωνα μετιέναι παρὰ τῶν πολεμάρχων φάσκοντος ἀπήγγειλεν εἴσω τεθορυβημένος· καὶ πᾶσιν εὐθὺς παρέστη τήν τε πρᾶξιν ἐκμεμηνῦσθαι καὶ σφᾶς ἅπαντας ἀπολωλέναι μηδὲ δράσαντάς τι τῆς ἀρετῆς ἄξιον. (7) Οὐ μὴν ἀλλ' ἔδοξεν ὑπακοῦσαι τὸν Χάρωνα καὶ παρασχεῖν ἑαυτὸν δὴ ἀνυπόπτως τοῖς ἄρχουσιν, ἄλλως μὲν ἀνδρώδη καὶ βαρὺν ὄντα τῷ θαρρεῖν παρὰ τὰ δεινὰ, τότε δὲ δι' ἐκείνους ἐκπεπληγμένον καὶ περιπαθοῦντα, μή τις ὑποψία προδοσίας ἐπ' αὐτὸν ἔλθῃ, τοσούτων ἅμα καὶ τοιούτων πολιτῶν ἀπολομένων. (8) Ὡς οὖν ἔμελλεν ἀπιέναι παραλαβὼν ἐκ τῆς γυναικωνίτιδος τὸν υἱὸν, ἔτι μὲν ὄντα παῖδα, κάλλει δὲ καὶ ῥώμῃ σώματος πρωτεύοντα τῶν καθ' ἡλικίαν, ἐνεχείριζε τοῖς περὶ Πελοπίδαν, εἴ τινα δόλον καὶ προδοσίαν αὐτοῦ καταγνοῖεν, ὡς πολεμίῳ χρῆσθαι κελεύων ἐκείνῳ καὶ μὴ φείδεσθαι. (9) Πολλοῖς μὲν οὖν αὐτῶν δάκρυα πρὸς τὸ πάθος καὶ τὸ φρόνημα τοῦ Χάρωνος ἐξέπεσε, πάντες δὲ ἠγανάκτουν, εἰ δειλὸν οὕτως εἶναί τινα δοκεῖ καὶ διεφθαρμένον ὑπὸ τοῦ παρόντος, ὥστε ὑπονοεῖν ἐκεῖνον ἢ ὅλως αἰτιᾶσθαι· καὶ τὸν υἱὸν ἐδέοντο μὴ καταμιγνύναι αὐτοῖς, ἀλλ' ἐκποδὼν θέσθαι τοῦ μέλλοντος, ὅπως αὐτός γε τῇ πόλει καὶ τοῖς φίλοις τιμωρὸς ὑποτρέφοιτο περισωθεὶς καὶ διαφυγὼν τοὺς τυράννους. (10) Ὁ δὲ Χάρων τὸν μὲν υἱὸν ἀπαλλάξειν οὐκ ἔφη· ποῖον γὰρ αὐτῷ βίον ὁρᾶν ἢ τίνα σωτηρίαν καλλίονα τῆς ὁμοῦ μετὰ πατρὸς καὶ φίλων τοσούτων ἀνυβρίστου τελευτῆς; ἐπευξάμενος δὲ τοῖς θεοῖς καὶ πάντας ἀσπασάμενος καὶ παραθαῤῥύνας ἀπῄει προσέχων ἑαυτῷ καὶ ῥυθμίζων σχήματι προσώπου καὶ τόνῳ φωνῆς ἀνομοιότατος οἷς ἔπραττε φανῆναι.

X. Γενομένου δ' ἐπὶ ταῖς θύραις αὐτοῦ προῆλθεν ὁ Ἀρχίας καὶ Φιλλίδας καὶ εἶπεν «Ὦ Χάρων, τινὰς

domum suam dilapsis, facilius fallebant: quibus vero negotium datum erat, ii singulos, ut advenerant, in domum Charonis statim deduxerunt; ibi collecti sunt una cum exsulibus homines duodequinquaginta. (3) Ceterum res tyrannorum eo tum erant statu: Phillidas scriba exsulibus b rei institutæ conscius erat adjutorque, uti retulimus; is ad eam diem multo ante Archiam ejusque socios ad compotationem invitaverat, matronasque eodem adducturum promiserat, id molieus, ut quam maxime dissolutos voluptate et ebrios traderet insidiantibus. (4) Cum jam parum ab ebrietate abessent, indicium quoddam de exsulum in urbem adventus allatum eis est, non vanum quidem, sed obscurum tamen, nec satis certum. (5) Ac tametsi Phillidas alio sermonem deflectebat, tamen Archias misso lictore Charonem ad se confestim venire jussit. (6) Vespera tum erat, jamque se c Pelopidas cum suis thoraces induti gladiisque armati ad facinus parabant, cum subito pulsata janua quidam accurrens, ut audivit a lictore Charonem ad Polemarchos accersiri, perturbatus intro id nunciavit. Omnes extemplo in eam cogitationem venerunt, rem indicio delatam, omnesque ipsos periisse, nullo virtute digno facinore adhuc edito. (7) Attamen placuit ut Charon obtemperaret, ac suspicionis vitandæ causa ad magistratus iret. Erat alioquin is vir fortis, constantisque in periculis animi, tunc vero propter ipsos consternatus, summoque in animi angore erat, d ne si tot tantique cives simul periissent, aliqua proditionis suspicio in ipsum recideret. (8) Quamobrem abiturus jam filium, qui puer adhuc pulchritudine et robore omnes æquales superabat, e gynæceo sumptum Pelopidæ tradidit, jussitque ut, si proditionis se alicujus aut perfidiæ reum putarent, nihil filio parcerent, sed hostis loco haberent. (9) Mulsit id factum Charonis animique altitudo lacrimas expressit: omnes vero indignati sunt, quod quenquam ex ipsis adeo timidum et præsenti statu rerum perditum putaret, qui de ipso sinistri aliquid suspicaretur aut omnino eum e culparet: precatique sunt, ne filium ipsis permisceret, sed e futura tempestate removeret, ut evitata tyrannorum vi superstes, ultor patriæ amicorumque clam educari posset. (10) Verum Charon se filium amoturum abnuit, negans ullam se videre vel vitam vel salutem filii potiorem, quam ut sine contumelia cum patre totque amicis mortem oppetat; ita deos comprecatus, salutatisque et oratione confirmatis omnibus, abiit, studiose vultum vocemque ad id componens, ut quam maxime alienus ab his quæ agebat videri posset.

X. Postquam ad ostium pervenit, progressi ad eum Ar- f chias et Phillidas: Audivimus, inquiunt, quosdam furtim

ἀκήκοα παρελήλυθέναι ἐν τῇ πόλει καὶ κρύπτεσθαι καὶ συμπράττειν αὐτοῖς ἐνίους τῶν πολιτῶν. » (2) Καὶ ὁ Χάρων διαταραχθεὶς τὸ πρῶτον, εἶτα ἐρωτήσας, τίνες εἰσὶν οἱ παρεληλυθότες καὶ τίνες οἱ κρύπτοντες αὐτούς, ὡς οὐδὲν ἑώρα σαφὲς εἰπεῖν ἔχοντα τὸν Ἀρχίαν, ὑπο- 283 νοήσας ἀπ' οὐδενὸς τῶν ἐπισταμένων γεγονέναι τὴν μήνυσιν, « Ὁρᾶτε τοίνυν, ἔφη, μὴ κενός τις ὑμᾶς διαπράττῃ λόγος. Οὐ μὴν ἀλλὰ καὶ σκέψομαι· δεῖ γὰρ ἴσως μηδενὸς καταφρονεῖν. » (3) Ταῦτα καὶ Φιλλίδας παρὼν ἐπῄνει καὶ τὸν Ἀρχίαν ἀπαγαγὼν αὖθις εἰς ἄκρατον πολὺν κατέβαλε καὶ ταῖς περὶ τῶν γυναικῶν ἐλπίσι διεπαιδαγώγει τὸν πότον. (4) Ὡς δ' ἐπανῆλθεν ὁ Χάρων οἴκαδε καὶ διεσκευασμένους τοὺς ἄνδρας εὗρεν, οὐχ ὡς ἄν τινα νίκην ἢ σωτηρίαν ἐλπίζοντας, ἀλλ' ὡς ἀποθανουμένους λαμπρῶς καὶ μετὰ φόνου πολλοῦ τῶν πολεμίων, τὸ μὲν ἀληθὲς αὐτοῖς ἔφραζε τοῖς περὶ τὸν Πελοπίδαν, πρὸς δὲ τοὺς ἄλλους ἐψεύσατο λόγους τινὰς τοῦ Ἀρχίου περὶ πραγμάτων ἑτέρων πλασάμενος. (5) Ἔτι δὲ τοῦ πρώτου παραφερομένου δεύτερον ἐπῆγεν ἡ τύχη χειμῶνα τοῖς ἀνδράσιν. Ἦκε γάρ τις ἐξ Ἀθηνῶν παρὰ Ἀρχίου τοῦ ἱεροφάντου πρὸς Ἀρχίαν τὸν ὁμώνυμον, ξένον ὄντα καὶ φίλον, ἐπιστολὴν κομίζων οὐ κενὴν ἔχουσαν οὐδὲ πεπλασμένην ὑπόνοιαν, ἀλλὰ σαφῶς ἕκαστα περὶ τῶν πρασσομένων φάσκουσαν, ὡς ὕστερον ἐπεγνώσθη. (6) Τότε δὲ μεθύοντι τῷ Ἀρχίᾳ προσαχθεὶς ὁ γραμματοφόρος καὶ τὴν ἐπιστολὴν ἐπιδοὺς, « Ὁ ταύτην, ἔφη, πέμψας ἐκέλευσεν εὐθὺς ἀναγνῶναι· περὶ σπουδαίων γάρ τινων γεγράφθαι. » (7) Καὶ ὁ Ἀρχίας μειδιάσας, « Οὐκοῦν εἰς αὔριον, ἔφη, τὰ σπουδαῖα. » Καὶ τὴν ἐπιστολὴν δεξάμενος ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν, αὐτὸς δὲ πάλιν τῷ Φιλλίδᾳ περὶ ὧν ἐτύγχανον διαλεγόμενοι προσεῖχεν. Ὁ μὲν οὖν λόγος οὗτος ἐν παροιμίας τάξει περιφερόμενος μέχρι νῦν διασώζεται παρὰ τοῖς Ἕλλησι.

XI. Τῆς δὲ πράξεως δοκούσης ἔχειν ἤδη τὸν οἰκεῖον καιρὸν ἐξώρμων δίχα διελόντες αὑτούς, οἱ μὲν περὶ Πελοπίδαν καὶ Δαμοκλείδαν ἐπὶ τὸν Λεοντίδαν καὶ Ὑπάτην ἐγγὺς ἀλλήλων οἰκοῦντας, Χάρων δὲ καὶ Μέλων ἐπὶ τὸν Ἀρχίαν καὶ Φίλιππον ἐσθῆτας ἐπενδεδυμένοι γυναικείας τοῖς θώραξι καὶ δασεῖς στεφάνους ἐλάτης τε καὶ πεύκης περικείμενοι κατασκιάζοντας τὰ πρόσωπα. (2) Διὸ καὶ ταῖς θύραις τοῦ συμποσίου τὸ πρῶτον ἐπιστάντες κρότον ἐποίησαν καὶ θόρυβον οἰομένων ἅς πάλαι προσεδόκων γυναῖκας ἥκειν. (3) Ἐπεὶ δὲ περιβλέψαντες ἐν κύκλῳ τὸ συμπόσιον καὶ τῶν κατακεκλιμένων ἕκαστον ἀκριβῶς καταμαθόντες ἐσπάσαντο τὰς μαχαίρας καὶ φερόμενοι διὰ τῶν τραπεζῶν ἐπὶ τὸν Ἀρχίαν καὶ Φίλιππον ἐφάνησαν οἵπερ ἦσαν, ὀλίγους μὲν ὁ Φιλλίδας τῶν κατακειμένων ἔπεισεν ἡσυχίαν ἄγειν, τοὺς δὲ ἄλλους ἀμύνεσθαι μετὰ τῶν πολεμάρχων ἐπιχειροῦντας καὶ συνεξανισταμένους διὰ τὴν μέθην οὐ πάνυ χαλεπῶς ἀπέκτειναν. (4) Τοῖς δὲ περὶ τὸν Πελοπίδαν ἐργωδέστερον ἀπῆντα τὸ πρᾶγμα· καὶ γὰρ ἐπὶ νήφοντα καὶ δεινὸν ἄνδρα τὸν Λεοντίδαν

in urbem irrepsisse occultarique eos, et adjuvari a civibus nonnullis. (2) Ad ea Charon initio nonnihil perturbatus, postquam percontatus quinam ii ingressi essent, aut a quibus occultarentur, nihil certi, quod responderet, habere Archiam vidit, indiciumque id a nullo rei conscio delatum esse conjecit : Videte ergo, inquit, ne quis vos vanus sermo sollicitos teneat : tamen inquiram de re hac; nihil enim fortassis hujusmodi contemnendum plane sit. (3) Hoc dictum ejus Phillidas collaudavit, Archiamque abductum, rursus multo mero obruit, speque mulierum potiundarum, ut poculis indulgeret, pellexit. (4) Charon autem domum reversus, Pelopidam cum suis paratum vidit, non ut qui salutem aut victoriam sperarent, sed qui mori honeste et multa cum hostium cæde statuissent; his re detecta, reliquis mentitus est de certis negotiis Archiæ ad se sermonem fuisse. (5) Vix dum prima tempestas hæc transierat, cum alteram fortuna viris illis immisit. Venit quidam missus Athenis ab Archia pontifice ad Archiam Thebanum hospitem suum et amicum litteras ferens, quibus, ut est postea cognitum, non vana aut conficta quædam suspicio, sed aperta totius rei indicia continebantur. (6) Is tabellarius adductus ad Archiam ebrium, traditis litteris, eum, qui miserit, jussisse dixit, ut statim eas legeret, scriptas enim de re gravi. (7) Ad hoc subridens Archias, resque serias in crastinum differendas dicens, sub pulvinari litteras reposuit, rursusque Phillidæ colloquenti aures præbuit. Atque id Archiæ dictum in proverbium tractum et apud Græcos etiamnum usitatum est.

XI. Ut occasio rei gerendæ advenisse visa est, domo Charonis egressi in duas partes abierunt : Pelopidas et Damoclidas cum altera parte Leontidam et Hypaten vicinos adorturi, cum altera Charon et Melo Archiam et Philippum aggressuri. Atque hi thoracibus muliebres vestes injecerunt, densisque ex abiete et pinu coronis facies obumbraverunt. (2) Quare cum primum in foribus cœnaculi adstitissent, convivæ strepitum plausumque sustulerunt, rati mulieres, quas dudum operiebantur, advenire. (3) Sed ubi diligenter contemplati omnes convivas, obverso in omnes partes vultu, quis esset unusquisque eorum, didicere, ac gladiis strictis Philippum Archiamque petierunt, jamque qui essent, patuit : pauci accumbentium Phillidæ suasu quieti sederunt, reliquos una cum Polemarchis assurgentes et se tueri aggressos propter eorum temulentiam non magno negotio obtruncaverunt. (4) Pelopidæ vero difficilius fuit propositum exsequi, Leontidam virum acrem ac sobrium aggredienti, qui jam clausis januis quieti se de-

ἐχώρουν, καὶ κεκλειμένην τὴν οἰκίαν εὗρον ἤδη καθεύδοντος καὶ πολὺν χρόνον κόπτουσιν αὐτοῖς ὑπήκουεν οὐδείς. Μόλις δέ ποτε τοῦ θεράποντος αἰσθομένου προϊόντος ἔνδοθεν καὶ τὸν μοχλὸν ἀφαιροῦντος, ἅμα τῷ πρῶτον ἐνδοῦναι καὶ χαλάσαι τὰς θύρας ἐπιπεσόντες ἀθρόοι καὶ τὸν οἰκέτην ἀνατρέψαντες ἐπὶ τὸν θάλαμον ὥρμησαν. (5) Ὁ δὲ Λεοντίδας αὐτῷ τεκμαιρόμενος τῷ κτύπῳ καὶ δρόμῳ τὸ γιγνόμενον ἐσπάσατο μὲν τὸ ἐγχειρίδιον ἐξαναστὰς, ἔλαθε δὲ αὐτὸν καταβαλεῖν τὰ f λύχνα καὶ διὰ σκότους αὐτοὺς ἑαυτοῖς περιπετεῖς ποιῆσαι τοὺς ἄνδρας. (6) Ἐν δὲ φωτὶ πολλῷ καθορώμενος ὑπήντα πρὸς τὰς θύρας αὐτοῖς τοῦ θαλάμου καὶ τὸν πρῶτον εἰσιόντα Κηφισόδωρον παταξας κατέβαλε. Πεσόντος δὲ τούτου δευτέρῳ συνεπέπλεκτο τῷ Πελοπίδᾳ· καὶ τὴν μάχην χαλεπὴν ἐποίει καὶ δύσεργον ἡ στενότης τῶν θυρῶν καὶ κείμενος ἐμποδὼν ἤδη νεκρὸς ὁ 284 Κηφισόδωρος. (7) Ἐκράτησε δ' οὖν ὁ Πελοπίδας * καὶ a κατεργασάμενος τὸν Λεοντίδαν ἐπὶ τὸν Ὑπάτην εὐθὺς ἐχώρει μετὰ τῶν σὺν αὐτῷ. Καὶ παρεισέπεσον μὲν εἰς τὴν οἰκίαν ὁμοίως, αἰσθόμενον δὲ ταχέως καὶ καταφυγόντα πρὸς τοὺς γείτονας ἐκ ποδῶν διώξαντες εἷλον καὶ διέφθειραν.

XII. Διαπραξάμενοι δὲ ταῦτα καὶ τοῖς περὶ Μέλωνα συμβαλόντες ἔπεμψαν μὲν εἰς τὴν Ἀττικὴν ἐπὶ τοὺς ὑπολελειμμένους ἐκεῖ τῶν φυγάδων, ἐκάλουν δὲ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν καὶ τοὺς προσιόντας ὥπλιζον ἀφαιροῦντες ἀπὸ τῶν στοῶν τὰ περικείμενα σκῦλα καὶ τὰ περὶ τὴν οἰκίαν ἐργαστήρια δορυξόων καὶ μαχαιροποιῶν ἀναῤῥηγνύντες. (2) Ἦκον δὲ βοηθοῦντες αὐτοῖς μετὰ τῶν ὅπλων οἱ περὶ Ἐπαμεινώνδαν καὶ Γοργίδαν συνειλοχότες οὐκ ὀλίγους τῶν νέων καὶ τῶν b πρεσβυτέρων τοὺς βελτίστους. (3) Ἡ δὲ πόλις ἤδη μὲν ἀνεπτόητο πᾶσα καὶ πολὺς θόρυβος ἦν καὶ φῶτα περὶ τὰς οἰκίας καὶ διαδρομαὶ πρὸς ἀλλήλους, οὔπω δὲ συνειστήκει τὸ πλῆθος, ἀλλ' ἐκπεπληγμένοι πρὸς τὰ γινόμενα καὶ σαφὲς οὐδὲν εἰδότες ἡμέραν περιέμενον. (4) Ὅθεν ἁμαρτεῖν οἱ τῶν Λακεδαιμονίων ἄρχοντες ἔδοξαν εὐθὺς οὐκ ἐπιδραμόντες οὐδὲ συμβαλόντες, αὐτὴ μὲν ἡ φρουρὰ περὶ χιλίους πενταχοσίους ὄντες, ἐκ δὲ τῆς πόλεως πρὸς αὐτοὺς πολλῶν συντρεχόντων, ἀλλὰ τὴν βοὴν καὶ τὰ πυρὰ καὶ τὸν ὄχλον χωροῦντα πανταχόθεν c πολὺν φοβηθέντες ἡσύχαζον αὐτὴν τὴν Καδμείαν κατέχοντες. (5) Ἅμα δὲ ἡμέρᾳ παρῆσαν μὲν ἐκ τῆς Ἀττικῆς οἱ φυγάδες ὡπλισμένοι, συνήθροιστο δὲ εἰς τὴν ἐκκλησίαν ὁ δῆμος. Εἰσῆγον δὲ τοὺς περὶ Πελοπίδαν Ἐπαμεινώνδας καὶ Γοργίδας ὑπὸ τῶν ἱερέων περιεχομένους στέμματα προτεινόντων καὶ παρακαλούντων τοὺς πολίτας τῇ πατρίδι καὶ τοῖς θεοῖς βοηθεῖν. Ἡ δ' ἐκκλησία ὀρθὴ πρὸς τὴν ὄψιν μετὰ κρότου καὶ βοῆς ἐξανέστη, δεχομένων τοὺς ἄνδρας ὡς εὐεργέτας καὶ σωτῆρας.

XIII. Ἐκ δὲ τούτου Βοιωτάρχης αἱρεθεὶς μετὰ Μέλωνος καὶ Χάρωνος ὁ Πελοπίδας εὐθὺς ἀπετείχιζε τὴν ἀκρόπολιν καὶ προσβολὰς ἐποιεῖτο πανταχόθεν,

derat. Diu eos januam pulsantes nemo audiit : tandem prodiit famulus obicemque removit; simul atque laxantur et remittuntur fores, uno agmine irrumpunt, summotoque famulo ad cubiculum contendunt. (5) Leontidas e strepitu et cursu, quid rei ageretur, intelligens, e lecto surrexit, pugionemque strinxit, oblitus lucernam exstinguere, quod si fecisset, ipsi per tenebras mutuis se vulneribus læsissent hostes. (6) In multo lumine conspectus, ad fores cubiculi occurrit, primoque ingredientem Cephisodorum percussit, eoque collapso, cum secundo Pelopida est congressus. Punam difficilem et angustia januæ et jacens in medio cadaver Cephisodori reddebant. (7) Vicit tamen Pelopidas interfecitque Leontidam. Inde ad ædes Hypatæ contenderunt, eodemque modo irruperunt, fugientemque eum ad vicinos e vestigio secuti, apprehensum necaverunt.

XII. His confectis, cum Melone se conjunxerunt, missisque in Atticam qui relictos ibi exsules accerserent, cives ad libertatem vocaverunt, eosque, qui se adjunxissent ipsis, armaverunt, spolia porticibus affixa detrahentes, tabernasque vicinas eorum qui hastas et gladios fabricabantur, vi diripientes. (2) Venerunt porro eis auxilio Epaminondas et Gorgidas cum haud parva manu armatorum, quos e junioribus senioribusque optimos delegerant. (3) Urbs interim ipsa tota erat consternationis ac terroris plena, et lucernæ undique conspiciebantur, discursusque hominum : neque composita erat adhuc multitudo, sed attoniti eo casu, incertique rerum diem exspectabant. (4) Quapropter peccasse videntur Lacedæmoniorum duces, qui non statim impetum in hostes fecerint ac manum conseruerint, cum et in præsidio essent mille quingenti viri, et ex urbe multi ad ipsos confluerent, sed clamorem, ignes, turbamque hominum undique discurrentem metuentes, Cadmeam tenere contenti quietem egerint. (5) Summo mane præsto fuerunt ex Attica exsules armati. Tum populo in concionem convocato, Epaminondas et Gorgidas Pelopidam cum suis in medium produxerunt, cinctos sacerdotibus serta protendentibus, populumque ad aris focisque opem ferendam hortantibus. Assurrexit his concio tota cum plausu et clamore, viros eos ut beneficos salutisque auctores excipiens.

XIII. Inde Pelopidas, collegis Melone et Charone, Bœotorum dux electus, statim munitionibus arcem cinxit, et undique oppugnavit, cupiens Lacedæmoniis expugnatis

ἐξελεῖν σπουδάζων τοὺς Λακεδαιμονίους καὶ τὴν Κα- d
δμείαν ἐλευθερῶσαι πρὶν ἐκ Σπάρτης στρατὸν ἐπελ-
θεῖν. (2) Καὶ παρὰ τοσοῦτον ἔφθασεν ἀφεὶς ὑποσπόν-
δους τοὺς ἄνδρας, ὅσον ἐν Μεγάροις οὖσιν αὐτοῖς ἀπαν-
τῆσαι Κλεόμβροτον ἐπὶ τὰς Θήβας ἐλαύνοντα μετὰ
μεγάλης δυνάμεως. (3) Οἱ δὲ Σπαρτιᾶται, τριῶν
ἁρμοστῶν γενομένων ἐν Θήβαις, Ἡριππίδαν μὲν
καὶ Ἄρκισσον ἀπέκτειναν κρίναντες, ὁ δὲ τρίτος Λυσα-
νορίδας χρήμασι πολλοῖς ζημιωθεὶς αὐτὸν ἐκ τῆς Πε-
λοποννήσου μετέστησε. (4) Ταύτην τὴν πρᾶξιν ἀρε- e
ταῖς μὲν ἀνδρῶν καὶ κινδύνοις καὶ ἀγῶσι παραπλησίαν
τῇ Θρασυβούλου γενομένην καὶ βραβευθεῖσαν ὁμοίως
ὑπὸ τῆς τύχης ἀδελφὴν ἐκείνης προσηγόρευον οἱ Ἕλ-
ληνες. (5) Οὐ γὰρ ἔστι ῥᾴδιος ἑτέρους εἰπεῖν, οἳ πλειό-
νων ἐλάττους καὶ δυνατωτέρων ἐρημότεροι τόλμῃ καὶ
δεινότητι κρατήσαντες αἴτιοι μειζόνων ἀγαθῶν ταῖς
πατρίσι κατέστησαν. (6) Ἐνδοξοτέραν δὲ ταύτην
ἐποίησεν ἡ μεταβολὴ τῶν πραγμάτων. Ὁ γὰρ κατα-
λύσας τὸ τῆς Σπάρτης ἀξίωμα καὶ παύσας ἄρχοντας
αὐτοὺς γῆς τε καὶ θαλάττης πόλεμος ἐξ ἐκείνης ἐγέ-
νετο τῆς νυκτὸς, ἐν ᾗ Πελοπίδας οὐ φρούριον, οὐ τεῖ- f
χος, οὐκ ἀκρόπολιν καταλαβὼν, ἀλλ' εἰς οἰκίαν δωδέ-
κατος κατελθὼν, εἰ δεῖ μεταφορᾷ τὸ ἀληθὲς εἰπεῖν,
ἔλυσε καὶ διέκοψε τοὺς δεσμοὺς τῆς Λακεδαιμονίων
ἡγεμονίας ἀλύτους καὶ ἀῤῥήκτους εἶναι δοκοῦντας.

XIV. Ἐπεὶ τοίνυν στρατῷ μεγάλῳ Λακεδαιμο-
νίων εἰς τὴν Βοιωτίαν ἐμβαλόντων οἱ Ἀθηναῖοι περί-
φοβοι γενόμενοι τήν τε συμμαχίαν ἀπείπαντο τοῖς
Θηβαίοις καὶ τῶν βοιωτιαζόντων εἰς τὸ δικαστήριον
παραγαγόντες τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐφυγά- a
δευσαν, τοὺς δὲ χρήμασιν ἐζημίωσαν, ἐδόκει δὲ κακῶς
ἔχειν τὰ τῶν Θηβαίων πράγματα μηδενὸς αὐτοῖς βοη-
θοῦντος, ἔτυχε μὲν ὁ Πελοπίδας μετὰ Γοργίδου βοιω-
ταρχῶν, ἐπιβουλεύοντες δὲ συγκροῦσαι πάλιν τοὺς
Ἀθηναίους τοῖς Λακεδαιμονίοις τοιόνδε τι μηχανῶνται.
(2) Σφοδρίας, ἀνὴρ Σπαρτιάτης, εὐδόκιμος μὲν ἐν τοῖς
πολεμικοῖς καὶ λαμπρὸς, ὑπόκουφος δὲ τὴν γνώμην
καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστὸς,
ἀπελείφθη περὶ Θεσπιὰς μετὰ δυνάμεως τοὺς ἀφι-
σταμένους τῶν Θηβαίων δέχεσθαι καὶ βοηθεῖν. (3)
Πρὸς τοῦτον ὑποπέμπουσιν οἱ περὶ τὸν Πελοπίδαν ἰδίᾳ
ἔμπορόν τινα τῶν φίλων χρήματα κομίζοντα καὶ λό- b
γους, οἳ τῶν χρημάτων μᾶλλον ἀνέπεισαν αὐτὸν, ὡς
χρὴ πραγμάτων μᾶλλον ἅψασθαι μεγάλων καὶ τὸν
Πειραιᾶ καταλαβεῖν ἀπροσδόκητον ἐπιπεσόντα μὴ φυ-
λαττομένοις τοῖς Ἀθηναίοις· Λακεδαιμονίοις τε γὰρ
οὐδὲν οὕτως ἔσεσθαι κεχαρισμένον, ὡς λαβεῖν τὰς
Ἀθήνας, Θηβαίους τε χαλεπῶς ἔχοντας αὐτοῖς καὶ
προδότας νομίζοντας οὐκ ἐπιβοηθήσειν. (4) Τέλος δὲ
συμπεισθεὶς ὁ Σφοδρίας καὶ τοὺς στρατιώτας ἀναλαβὼν
νυκτὸς εἰς τὴν Ἀττικὴν ἐνέβαλε. Καὶ μέχρι μὲν Ἐλευσῖ-
νος προῆλθεν, ἐκεῖ δὲ τῶν στρατιωτῶν ἀποδειλιασάντων
φανερὸς γενόμενος καὶ συνταράξας οὐ φαῦλον οὐδὲ ῥᾴδιον c
τοῖς Σπαρτιάταις πόλεμον ἀνεχώρησεν εἰς Θεσπιάς.

Cadmeam ante liberare, quam Lacedæmone exercitus adduceretur. (2) Et sane eum tam parvo spatio antevertit, ut Lacedæmonii, qui arcem ei accepta impunitate dimissi reddiderant, cum Megaram venissent, Cleombrotum ibi cum magno exercitu Thebas tendentem obvium habuerint. (3) Spartani autem e tribus præfectis, quibus Thebas commiserant, Herippidam et Arcissum damnatos morte affecerunt; Lysanoridas ingenti mulctatus pecunia sponte Peloponneso excessit. (4) Hanc actionem, quod et virtute virorum et periculis et certaminibus Thrasybuli facto similis, parique modo a fortuna esset administrata, germanam sororem ejus Græci nominarunt. (5) Neque enim facile alios dicere quisquam potest qui pauciores de pluribus ac magis ab omni re destituti de potentioribus victoria per audaciam ac strenuitatem impetrata, patriæ suæ majorum bonorum auctores exstiterint. (6) Verum Pelopidæ actionem mutatio eam consecuta illustriorem reddidit. Bellum enim, quod Spartæ majestatem evertit, quod dominium terræ marisque eis ademit, ex ea nocte originem traxit, qua Pelopidas nullo occupato præsidio, nullo muro, nulla arce, cum undecim hominibus reversus, solvit, ut translatione veritatem exprimam, et discidit vincula Lacedæmonii imperii, quæ neque dissolvi neque rumpi posse videbantur.

XIV. Cum vero Lacedæmonii magnas in Bœotiam copias adduxissent, perterriti Athenienses societati Thebanorum renunciaverunt, et eos qui Bœotis favere viderentur, in judicium pertractos morte, exsulio aut mulcta pecuniaria affecerunt : videbanturque Thebanorum omni auxilio destitutorum res malo in statu collocatæ. Erant eo tempore Bœotorum duces Pelopidas et Gorgidas; hi ut rursum Athenienses cum Lacedæmoniis committerent, tali dolo dissidium inter eos machinati sunt. (2) Sphodrias Spartanus, vir bello clarus et illustris, levis tamen animi vanæque speciei et stultæ arrogantiæ plenus, apud Thespias relictus erat cum exercitu, ut eos, qui a Thebanis deficerent, reciperet ac tueretur. (3) Ad hunc privatim Pelopidas amicum quendam negotiatorem mittit, qui pecuniam ei afferret, ac verba ad persuadendum majoris, quam pecuniam, efficaciæ : tentandum illi potius aliquid egregii facinoris, Piræumque subito impetu, imprudentibus Atheniensibus, occupandum; nam et Lacedæmoniis gratius nihil accidere posse, quam si Athenas in suam potestatem accipiant; et Thebanos Atheniensibus, quibus, ut proditi ab eis, infensi essent, nullum auxilium laturos. (4) His tandem persuasus Sphodrias noctu motis castris Atticam invasit et ad Eleusinem progressus est : ibi militibus metu trepidantibus, cum Athenienses nequaquam fefellisset, bellumque haud mediocre nec leve conturbasset, Thespias exercitum reduxit.

XV. Ἐκ τούτου πάλιν προθυμότατα Ἀθηναῖοι τοῖς Θηβαίοις συνεμάχουν καὶ τῆς θαλάσσης ἀντελαμβάνοντο καὶ περιιόντες ἐδέχοντο καὶ προσήγοντο τοὺς ἀποστατικῶς τῶν Ἑλλήνων ἔχοντας. (2) Οἱ δὲ Θηβαῖοι καθ' αὑτοὺς ἐν τῇ Βοιωτίᾳ συμπλεκόμενοι τοῖς Λακεδαιμονίοις ἑκάστοτε καὶ μαχόμενοι μάχας, αὐτὰς μὲν οὐ μεγάλας, μεγάλην δὲ τὴν μελέτην ἐχούσας καὶ τὴν ἄσκησιν, ἐξερριπίζοντο τοῖς θυμοῖς καὶ διεπονοῦντο τοῖς σώμασιν ἐμπειρίαν ἅμα τῇ συνηθείᾳ καὶ φρόνημα προσλαμβάνοντες ἐκ τῶν ἀγώνων. (3) Διὸ καί φασιν d Ἀνταλκίδαν τὸν Σπαρτιάτην, ὡς Ἀγησίλαος ἐπανῆλθεν ἐκ Βοιωτίας τετρωμένος, εἰπεῖν πρὸς αὐτόν· « Ἧ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις μὴ βουλομένους αὐτοὺς πολεμεῖν καὶ μάχεσθαι διδάξας. » (4) Ἦν δὲ ὡς ἀληθῶς διδάσκαλος οὐκ Ἀγησίλαος, ἀλλ' οἱ σὺν καιρῷ καὶ μετὰ λογισμοῦ τοὺς Θηβαίους, ὥσπερ σκύλακας ἐμπείρως προσβάλλοντες τοῖς πολεμίοις, εἶτα γευσαμένους νίκης καὶ φρονήματος ἀσφαλῶς ἀπάγοντες· ὧν μεγίστην δόξαν εἶχεν ὁ Πελοπίδας. (5) Ἀφ' ἧς γὰρ εἵλοντο πρῶτον ἡγεμόνα τῶν ὅπλων, οὐκ e ἀνεπαύσαντο καθ' ἕκαστον ἐνιαυτὸν ἄρχοντα χειροτονοῦντες, ἀλλ' ἢ τὸν ἱερὸν λόχον ἄγων ἢ τὰ πλεῖστα βοιωταρχῶν ἄχρι τῆς τελευτῆς ἔπραττεν. (6) Ἐγένοντο μὲν οὖν καὶ περὶ Πλαταιὰς καὶ Θεσπιὰς ἧτται καὶ φυγαὶ τῶν Λακεδαιμονίων, ὅπου καὶ Φοιβίδας ὁ τὴν Καδμείαν καταλαβὼν ἀπέθανε, πολλοὺς δὲ καὶ πρὸς Τανάγραν τρεψάμενος αὐτῶν καὶ Πανθοίδην τὸν ἁρμοστὴν ἀνεῖλεν, ἀλλ' οὗτοι μὲν οἱ ἀγῶνες ὥσπερ τοὺς κρατοῦντας εἰς φρόνημα καὶ θάρσος προῆγον, οὕτως τῶν ἡσσωμένων οὐ παντάπασιν ἐδουλοῦντο τὴν γνώμην. (7) Οὐ γὰρ ἐκ παρατάξεως ἦσαν οὐδὲ μάχης ἐμφανῆ κατάστασιν ἐχούσης καὶ νόμιμον, ἐκδρομὰς δὲ προσκαίρους τιθέμενοι καὶ φυγὰς ἢ διώξεις f ἐπιχειροῦντες αὐτοῖς καὶ συμπλεκόμενοι κατώρθουν.

XVI. Ὁ δὲ περὶ Τεγύρας τρόπον τινὰ τοῦ Λευκτρικοῦ προαγὼν γενόμενος μέγαν ἦρε δόξῃ τὸν Πελοπίδαν, οὔτε πρὸς κατόρθωμα τοῖς συστρατήγοις ἀμφισβήτησιν οὔτε τῆς ἥττης πρόφασιν τοῖς πολεμίοις ἀπολιπών. (2) Τῇ γὰρ Ὀρχομενίων πόλει τὰ Σπαρτιατῶν
286 ἑλομένη καὶ δύο δεδεγμένη μόρας αὐτῶν ὑπὲρ ἀσφα- a λείας ἐπεβούλευε μὲν ἀεὶ καὶ παρεφύλαττε καιρόν· ὡς δὲ ἤκουσε τοῖς φρουροῖς εἰς τὴν Λοκρίδα γεγενῆσθαι στρατείαν, ἐλπίσας ἔρημον αἱρήσειν τὸν Ὀρχομενὸν ἐστράτευσεν ἔχων μεθ' ἑαυτοῦ τὸν ἱερὸν λόχον καὶ τῶν ἱππέων οὐ πολλούς. (3) Ἐπεὶ δὲ πρὸς τὴν πόλιν προσαγαγὼν εὗρεν ἤκουσαν ἐκ Σπάρτης διαδοχὴν τῆς φρουρᾶς, ἀπῆγεν ὀπίσω τὸ στράτευμα πάλιν διὰ Τεγυρῶν, ᾗ μόνῃ βάσιμον ἦν κύκλῳ παρὰ τὴν ὑπώρειαν· τὴν γὰρ διὰ μέσου πᾶσαν ὁ Μέλας ποταμὸς εὐθὺς ἐκ πη- b γῶν εἰς ἕλη πλωτὰ καὶ λίμνας διασπειρόμενος ἄπορον ἐποίει. (4) Μικρὸν δὲ ὑπὸ τὰ ἕλη νεώς ἐστιν Ἀπόλλωνος Τεγυραίου καὶ μαντεῖον ἐκλελειμμένον οὐ πάνυ πολὺν χρόνον, ἀλλ' ἄχρι τῶν Μηδικῶν ἠκμαζε τὴν προφητείαν Ἐχεκράτους ἔχοντος. (5) Ἐνταῦθα

XV. Secundum hoc factum Athenienses Thebanis summa cum alacritate auxilium tulerunt et mari quoque rem gerere cœperunt, Græcosque qui a Lacedæmoniis defectionem moliebantur, circumeuntes ipsi sibi adjunxerunt (2) Thebani ipsi pro se in Bœotia crebro cum Lacedæmoniis certantes ac prœlia committentes non magna quidem ea, sed in quæ tamen magnam curam exercitationemque impenderent, simul et animos excitabant, et corpora labori assuefaciebant, atque illis e certaminibus peritia et usu rei bellicæ audaciaque augebantur. (3) Ideoque ferunt Antalcidam Spartanum Agesilao saucio e Bœotia redeunti dixisse : Egregiam profecto mercedem doctrinæ a Thebanis refers, qui eos nolentes bellum gerere et pugnare docuisti. (4) Quamquam revera magistrum ejus rei non Agesilaum habuerunt, sed eos, qui per occasionem et cum consilio Thebanos catulorum instar perite cum Spartanis commiserunt, et deinde, quum victoriam et generosam animi elationem gustassent, secure eos reduxerunt; inter quos præcipua fuit Pelopidæ gloria. (5) Nam ab ea die, qua primum ducem belli elegerunt, nunquam non quotannis alicui magistratui gerendo destinaverunt, sed ad finem vitæ usque aut sacræ cohortis dux, aut utplurimum princeps Bœotorum fuit. (6) Apud Platæas quidem et Thespias victi fugatique sunt aliquoties Lacedæmonii, ubi Phœbidas etiam, is qui ceperat Cadmeam, cecidit : multos quoque eorum apud Tanagram fudit, et præfectum Panthœdam interfecit. Verum hæc prœlia ut victoribus audaciam et spiritus auxerunt, ita superatorum animos non omnino tamen dejecerunt. (7) Non enim tota acie, aut aperta justaque pugna decertabatur, sed excursionibus modo brevibus ac subitis hostem Thebani adorti in fugam conjiciendo persequendoque superiores erant.

XVI. At prœlium apud Tegyras factum, quod quasi præludium fuit Leuctrici, Pelopidam ad summam gloriam extulit, quo quidem neque locum collegis disceptandi de laude partæ, neque hostibus excusationem amissæ victoriæ reliquit. (2) Nam Orchomenos urbs ad Spartanos defecerat, ac præsidii loco duas cohortes ab eis acceperat. Huic semper intentus Pelopidas, occasionemque recuperandæ exspectans, ut accepit milites in præsidio positos in agrum Locrensem profectos, sperans se desertam Orchomenum capere posse, eo sacram cohortem et haud multos equites deduxit. (3) Verum ut jam urbi appropinquans aliud eo præsidium Lacedæmone missum rescivit, retro exercitum abduxit per Tegyras circum radices montium, quod ei solum iter patebat. Nam Melas fluvius, qui statim a fontibus suis in paludes navigabiles ac lacus diffunditur, media via transitum prohibet. (4) Parum infra paludes templum est Apollinis Tegyræi et oraculum, cujus haud ita pridem defecerant sortes; floruit enim usque ad bellum Medicum, præfecto tum ei oraculo Echecrate. (5) Hic natum esse

μυθολογοῦσι τὸν θεὸν γενέσθαι. Καὶ τὸ μὲν πλησίον ὄρος Δῆλος καλεῖται καὶ πρὸς αὐτὸ καταλήγουσιν αἱ τοῦ Μέλανος διαχύσεις· ὀπίσω δὲ τοῦ ναοῦ δύο ῥήγνυνται πηγαὶ γλυκύτητι καὶ πλήθει καὶ ψυχρότητι θαυμαστοῦ νάματος, ὧν τὸ μὲν Φοίνικα, τὸ δὲ Ἐλαίαν ἄχρι νῦν ὀνομάζομεν, οὐ φυτῶν μεταξὺ δυεῖν, ἀλλὰ ῥείθρων τῆς θεοῦ λοχευθείσης. (6) Καὶ γὰρ τὸ Πτῷον ἐγγὺς, ὅθεν αὐτὴν ἀναπτοηθῆναι προφανέντος ἐξαίφνης κάπρου λέγουσι, καὶ τὰ περὶ Πύθωνα καὶ Τιτυὸν ὡσαύτως οἱ τόποι τῇ γενέσει τοῦ θεοῦ συνοικειοῦσι. Τὰ γὰρ πλεῖστα παραλείπω τῶν τεκμηρίων. (7) Οὐ γὰρ ἐν τοῖς ἐκ μεταβολῆς ἀθανάτοις γενομένοις γεννητοῖς ὁ πάτριος λόγος τὸν θεὸν τοῦτον ἀπολείπει δαίμοσιν, ὥσπερ Ἡρακλέα καὶ Διόνυσον, ἀρετῇ τὸ θνητὸν καὶ παθητὸν ἀποβαλόντας, ἀλλὰ τῶν ἀϊδίων καὶ ἀγεννήτων εἷς ἐστιν, εἰ δεῖ τοῖς ὑπὸ τῶν φρονιμωτάτων καὶ παλαιοτάτων λεγομένοις τεκμαίρεσθαι περὶ τῶν τηλικούτων.

XVII. Εἰς δ' οὖν Τεγύρας οἱ Θηβαῖοι κατὰ τὸν αὐτὸν χρόνον ἐκ τῆς Ὀρχομενίας ἀπιόντες καὶ οἱ Λακεδαιμόνιοι συνέπιπτον ἐξ ἐναντίας αὐτοῖς ἐκ τῆς Λοκρίδος ἀναζευγνύντες. (2) Ὡς δὲ πρῶτον ὤφθησαν τὰ στενὰ διεκβάλλοντες καί τις εἶπε τῷ Πελοπίδᾳ προσδραμὼν « Ἐκπεπτώκαμεν εἰς τοὺς πολεμίους », « Τί μᾶλλον, εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι; (3) Καὶ τὴν μὲν ἵππον εὐθὺς πᾶσαν ἐκέλευσε παρελαύνειν ἀπ' οὐρᾶς ὡς προεμβαλοῦσαν, αὐτὸς δὲ τοὺς ὁπλίτας τριακοσίους ὄντας εἰς ὀλίγον συνήγαγεν ἐλπίζων καθ' ὃ προσβάλοι μάλιστα διακόψειν ὑπερβάλλοντας πλήθει τοὺς πολεμίους. (4) Ἦσαν δὲ δύο μόραι Λακεδαιμονίων. Τὴν δὲ μόραν Ἔφορος μὲν ἄνδρας εἶναι πεντακοσίους φησί, Καλλισθένης δ' ἑπτακοσίους, ἄλλοι δέ τινες ἐνακοσίους, ὧν Πολύβιός ἐστι. (5) Καὶ θαῤῥοῦντες οἱ πολέμαρχοι τῶν Σπαρτιατῶν Γοργολέων καὶ Θεόπομπος ὥρμησαν ἐπὶ τοὺς Θηβαίους. Γενομένης δέ πως μάλιστα τῆς ἐφόδου κατ' αὐτοὺς τοὺς ἄρχοντας ἀπ' ἀμφοτέρων μετὰ θυμοῦ καὶ βίας, πρῶτον μὲν οἱ πολέμαρχοι τῶν Λακεδαιμονίων τῷ Πελοπίδᾳ συῤῥάξαντες ἔπεσον· ἔπειτα τῶν περὶ ἐκείνους παιομένων καὶ ἀποθνησκόντων, ἅπαν εἰς φόβον κατέστη τὸ στράτευμα καὶ διέσχε μὲν ἐπ' ἀμφότερα τοῖς Θηβαίοις, ὡς διεκπεσεῖν εἰς τοὔμπροσθεν καὶ διεκθεῖν βουλομένοις· ἐπεὶ δὲ τὴν δεδομένην ἐάσας ὁ Πελοπίδας ἡγεῖτο πρὸς τοὺς συνεστῶτας καὶ διεξήει φονεύων, οὕτω πάντες προτροπάδην ἔφυγον. (8) Ἐγένετο δὲ οὐκ ἐπὶ πολὺν τόπον ἡ δίωξις· ἐφοβοῦντο γὰρ ἐγγὺς ὄντας οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους καὶ τὴν διαδοχὴν τῶν Λακεδαιμονίων. Ὅσον δὲ νικῆσαι κατὰ κράτος καὶ διεξελθεῖν διὰ παντὸς ἠσσωμένου τοῦ στρατεύματος ἐξεβιάσαντο· καὶ στήσαντες τρόπαιον καὶ νεκροὺς σκυλεύσαντες ἀνεχώρησαν ἐπ' οἶκου μέγα φρονοῦντες. (7) Ἐν γὰρ τοσούτοις, ὡς ἔοικε, πολέμοις Ἑλληνικοῖς καὶ βαρβαρικοῖς πρότερον οὐδέποτε Λακεδαιμόνιοι πλείονες ὄντες ὑπ' ἐλαττόνων ἐκρατήθησαν, ἀλλ' οὐδὲ ἴσοι πρὸς ἴσους ἐκ παρατάξεως συμβάλλοντες. (8) Ὅθεν ἦσαν ἀνυπόστατοι τὰ φρονήματα καὶ

Apollinem fabulantur. Nam et mons juxta, ad quem effusiones Melæ terminantur, Delus nominatur, et post templum duo scaturiunt fontes dulcedine, copia et frigore aquarum mirabiles, quorum alterum hodie etiam Palmam, alterum Oleam appellamus, quasi non intra arbores duas, sed fontes dea peperit. (6) Nam et locus propinquus, cui Ptoum nomen est, quod ibi subito apparente apro perterrita fuerit Latona, et quæ de Pythone et Tityo feruntur, natalibus dei consentanea sunt, ut jam pleraque alia indicia omittam. (7) Etenim a majoribus nostris ita accepimus, Apollinem non unum esse ex iis diis, qui mortales nati, mutatione deinde immortales facti sunt, quo in numero est Hercules et Bacchus; sed de æternis ac nunquam natis unum esse statuemus, si quidem sapientissimorum ac vetustissimorum hominum judiciis de eo stare velimus.

XVII. Igitur ut Tegyras pervenerunt Thebani ab Orchomeno redeuntes, eodem temporis articulo Lacedæmonii ex Locrensi agro reversi ibi eis occurrerunt. (2) Qui quum angustiis superatis primum conspicerentur, quidam ad Pelopidam accurrit, et, Incidimus, inquit, in hostes : Quin imo, respondit hic, illi in nos potius. (3) Simul equites omnes, qui agmen claudebant, prævehi jussit, tanquam illos primum in hostem immissurus : pedites autem, quos habebat secum trecentos, in arctum coegit, sperans qua parte cum his impetum esset facturus, ea se hostium, qui numero longe erant superiores, ordines disjecturum. (4) Erant autem duæ cohortes (Moras ipsi vocant) Lacedæmoniorum. Mora quingentis militibus constabat, ut Ephorus tradit; Callisthenes septingentos, Polybius et alii quidam noningentos fuisse asserunt. (5) Itaque audacter Spartanorum duces Gorgoleon et Theopompus in Thebanos irruerunt; ac maxime eo loco, quo duces utrinque stabant, initium prœlii fuit, magno animorum ardore et impetu. Primi ergo duces Lacedæmoniorum cum Pelopida congressi ceciderunt : inde proximis ictis ac morientibus totum exercitum metus pervasit, et utrinque Thebanis transeundi ac pergendi spatium dederunt. Sed Pelopidas via quæ ipsi data erat prætermissa, qua densissimi erant hostes, eo cum suis irrupit, ac cæde omnia prostravit, donec effuse fugam facerent hostes. (6) Non ausus procul insequi eos (nam et Orchomenios propinquos et, quod successerat priori, præsidium Spartanorum metuebat) eo usque institit, dum certa reportata victoria patefactumque esset iter, toto exercitu hostium superato : inde fixo tropæo, mortuisque spoliatis, domum Thebani redierunt, animis elati ac fiducia aucti. (7) Tot enim ante eam pugnam bellis barbaricis Græcisque nunquam major numerus Lacedæmoniorum fuerat victus a paucioribus hostibus : imo neque æquo numero congressi, victoriam amiserant. (8) Quamobrem sustineri eorum audacia non potuerat hactenus, gloriaque

τῇ δόξῃ καταπληττόμενοι τοὺς ἀντιτασσομένους, οὐδὲ αὐτοὺς ἀξιοῦντας ἀπ' ἴσης δυνάμεως τὸ ἴσον φέρεσθαι Σπαρτιάταις, εἰς χεῖρας συνέστησαν. (2) Ἐκείνη δὲ ἡ μάχη πρώτη καὶ τοὺς ἄλλους ἐδίδαξεν Ἕλληνας, ὡς οὐχ ὁ Εὐρώτας οὐδ' ὁ μεταξὺ Βαβύκας καὶ Κνακιῶνος τόπος ἄνδρας ἐκφέρει μαχητὰς καὶ πολεμικούς, ἀλλὰ παρ' οἷς ἂν αἰσχύνεσθαι τὰ αἰσχρὰ καὶ τολμᾶν ἐπὶ τοῖς καλοῖς ἐθέλοντες ἐγγένωνται νέοι καὶ τοὺς ψόγους τῶν κινδύνων μᾶλλον φεύγοντες, οὗτοι φοβερώτατοι τοῖς ἐναντίοις εἰσί.

XVIII. Τὸν δ' ἱερὸν λόχον, ὥς φασι, συνετάξατο Γοργίδας πρῶτος ἐξ ἀνδρῶν ἐπιλέκτων τριακοσίων, οἷς ἡ πόλις ἄσκησιν καὶ δίαιταν ἐν τῇ Καδμείᾳ στρατοπεδευομένοις παρεῖχε, καὶ διὰ τοῦτο ὁ ἐκ πόλεως λόχος ἐκαλοῦντο. Τὰς γὰρ ἀκροπόλεις ἐπιεικῶς οἱ τότε πόλεις ὠνόμαζον. (2) Ἔνιοι δέ φασιν ἐξ ἐραστῶν καὶ ἐρωμένων γενέσθαι τὸ σύστημα τοῦτο. Καὶ Παμμένους ἀπομνημονεύεταί τι μετὰ παιδιᾶς εἰρημένον· οὐ γὰρ ἔφη τακτικὸν εἶναι τὸν Ὁμήρου Νέστορα κελεύοντα κατὰ φῦλα καὶ φρήτρας συλλοχίζεσθαι τοὺς Ἕλληνας,

Ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις,

δέον ἐραστὴν παρ' ἐρώμενον τάττειν. (3) Φυλέτας μὲν γὰρ φυλετῶν καὶ φράτορας φρατόρων οὐ πολὺν λόγον ἔχειν ἐνίοις δεινοῖς, τὸ δ' ἐξ ἐρωτικῆς φιλίας συνηρμοσμένον στῖφος ἀδιάλυτον εἶναι καὶ ἄῤῥηκτον, ὅταν οἱ μὲν ἀγαπῶντες τοὺς ἐρωμένους, οἱ δὲ αἰσχυνόμενοι τοὺς ἐρῶντας ἐμμένωσι τοῖς δεινοῖς ὑπὲρ ἀλλήλων. (4) Καὶ τοῦτο θαυμαστὸν οὐκ ἔστιν, εἴγε δὴ καὶ μὴ παρόντας αἰδοῦνται μᾶλλον ἑτέρων παρόντων, ὡς ἐκεῖνος ὁ τοῦ πολεμίου κείμενον αὐτὸν ἐπισφάττειν μέλλοντος δεόμενος καὶ ἀντιβολῶν διὰ τοῦ στέρνου διεῖναι τὸ ξίφος, « Ὅπως, ἔφη, μή με νεκρὸν ὁ ἐρώμενος ὁρῶν κατὰ νώτου τετρωμένον αἰσχυνθῇ. » (5) Λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ καὶ καθ' αὐτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς. (6) Εἰκὸς οὖν καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι, καθότι καὶ Πλάτων ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπε. (7) Λέγεται δὲ διαμεῖναι μέχρι τῆς ἐν Χαιρωνείᾳ μάχης ἀήττητον· ὡς δὲ μετὰ τὴν μάχην ἐφορῶν τοὺς νεκροὺς ὁ Φίλιππος ἔστη κατὰ τοῦτο τὸ χωρίον, ἐν ᾧ συνετύγχανε κεῖσθαι τοὺς τριακοσίους ἐναντίους ἀπηντηκότας ταῖς σαρίσσαις ἅπαντας ἐν τοῖς ὅπλοις καὶ μετ' ἀλλήλων ἀναμεμιγμένους, θαυμάσαντα καὶ πυθόμενον, ὡς ὁ τῶν ἐραστῶν καὶ τῶν ἐρωμένων οὗτος εἴη λόχος, δακρῦσαι καὶ εἰπεῖν· « Ἀπόλοιντο κακῶς οἱ τούτους τι ποιεῖν ἢ πάσχειν αἰσχρὸν ὑπονοοῦντες. »

XIX. Ὅλως δὲ τῆς περὶ τοὺς ἐραστὰς συνηθείας οὐχ, ὥσπερ οἱ ποιηταὶ λέγουσι, Θηβαίοις τὸ Λαΐου πάθος ἀρχὴν παρέσχεν, ἀλλ' οἱ νομοθέται τὸ φύσει θυμοειδὲς αὐτῶν καὶ ἄκρατον ἀνιέναι καὶ ἀνυγραίνειν εὐθὺς ἐκ παίδων βουλόμενοι πολὺν μὲν ἀνεμίξαντο καὶ σπουδῇ καὶ παιδιᾷ πάσῃ τὸν αὐλὸν εἰς τιμὴν καὶ

sua adversarios perterrebant, ne ipsos quidem sperantes Spartanis, si æquis viribus certarent, pares futuros. (2) Primum hoc prœlium Græcis documento fuit, viros bellicosos non apud Eurotam tantum, locove inter Babycam et Cnacionem nasci, sed ubicunque juvenes exsistant, qui turpitudinem fugiant, in rebus honestis audere velint, magisque ignominiam quam pericula timeant, eos maximum hostibus terrorem incutere.

XVIII. Ceterum sacram cohortem primus, ut memoratur, Gorgidas composuit e viris electis trecentis, quibus civitas victum et exercitationum adminicula præbebat, castraque in Cadmea habebant : unde etiam ea cohors urbana dicebatur; eo enim tempore arces, urbium nomine potissimum afficiebantur. (2) Alii tradunt, cohortem eam ex iis conflatam qui se mutuo amarent; Pammenisque commemoratur jocose dictum, qui Homericum Nestorem fuisse peritum instruendæ aciei negaverit, jubentem Græcos curiatim ac tributim ordines componere,

Curia curiæ ut auxilio, tribui tribus esset :

fuisse potius amatorem juxta suum amasium collocandum. (3) Nam tribules, et qui sunt ejusdem curiæ, non magnam unum alterius in periculo rationem ducere, at cuneum ex iis, qui mutuo amore sunt juncti, conflatum dissolvi ac perrumpi non posse, cum hi se mutuo revereantur, ac verecundiæ causa unus pro altero periculum subeat. (4) Neque hoc mirum est, quando absentium quoque suorum amicorum majori tenentur, quam aliorum præsentium, reverentia; quemadmodum is, qui jacens hostem confossurum precatus est, ut per pectus ensem adigeret, ne per tergum accepto vulnere mortuum videns amasius pudore afficeretur. (5) Ferunt etiam Iolaum Herculis amasium una cum eo certamina obiisse, auxiliumque tulisse amatori. Et Aristoteles sua ætate ait apud sepulcrum Iolai amatores et amasios mutua se fide obligare. (6) Consentaneum itaque est, ea ratione cohortem sacram nominatam qua Plato amatorem divini amici nomine insignit. (7) Ac traditum est, eam usque ad pugnam Chæronensem invictam perdurasse : ut vero post pugnam ea inspexerit cadavera Philippus, eoque in loco astiterit, quo trecenti isti, qui adverso pectore sarissis occurrerant, in armis et inter se mixtis corporibus jacebant, miraculo rei motum interrogasse quinam fuerint : cumque audivisset, esse cohortem amantium, cum fletu dixisse : Male pereant qui hos facere aut pati aliquid turpe suspicantur.

XIX. Ceterum amatoriæ hujus inter Thebanos consuetudinis origo non est, ut poetæ tradiderunt, a Laii casu tracta; sed legum latores, ut eorum fera et immoderata ingenia jam inde a teneris annis remitterent atque emollirent, frequentem in rebus cum ludicris tum seriis usum tibiæ adhibuerunt, eique honorem et primum locum dede-

προεδρίαν ἄγοντες, λαμπρὸν δὲ τὸν ἔρωτα ταῖς παλαίστραις ἐνεθρέψαντο συγκεραννύντες τὰ ἤθη τῶν νέων. (2) Ὀρθῶς δὲ πρὸς τοῦτο καὶ τὴν ἐξ Ἄρεος καὶ Ἀφροδίτης γεγονέναι λεγομένην θεὸν τῇ πόλει συνῳκείωσαν, ὡς, ὅπου τὸ μαχητικὸν καὶ πολεμικὸν μάλιστα τῷ μετέχοντι πειθοῦς καὶ χαρίτων ὁμιλεῖ καὶ σύνεστιν, εἰς τὴν ἐμμελεστάτην καὶ κοσμιωτάτην πολιτείαν δι' ἁρμονίας καθισταμένων ἁπάντων. (3) Τὸν οὖν ἱερὸν λόχον τοῦτον ὁ μὲν Γοργίδας διαιρῶν εἰς τὰ πρῶτα ζυγὰ καὶ παρ' ὅλην τὴν φάλαγγα τῶν ὁπλιτῶν προβαλλόμενος ἐπίδηλον οὐκ ἐποίει τὴν ἀρετὴν τῶν ἀνδρῶν οὐδ' ἐχρῆτο τῇ δυνάμει πρὸς κοινὸν ἔργον, ἅτε δὴ διαλελυμένῃ καὶ παρὰ πολὺ μεμιγμένῃ τὸ φαυλότερον· ὁ δὲ Πελοπίδας ὡς ἐξέλαμψεν αὐτῶν ἡ ἀρετὴ περὶ Τεγύρας καθαρῶς καὶ περὶ αὐτὸν ἀγωνισαμένων, οὐκ ἔτι διεῖλεν οὐδὲ διέσπασεν, ἀλλ' ὥσπερ σώματι χρώμενος ὅλῳ προεκινδύνευε τοῖς μεγίστοις ἀγῶσιν. (4) Ὥσπερ γὰρ οἱ ἵπποι θᾶσσον ὑπὸ τοῖς ἅρμασιν ἢ καθ' αὑτοὺς ἐλαυνόμενοι θέουσιν, οὐχ ὅτι μᾶλλον ἐκπίπτοντες ἐκδιάζονται τὸν ἀέρα τῷ πλήθει ῥηγνύμενον, ἀλλ' ὅτι συνεκκαίει τὸν θυμὸν ἡ μετ' ἀλλήλων ἅμιλλα καὶ τὸ φιλόνεικον, οὕτως ᾤετο τοὺς ἀγαθοὺς ζῆλον ἀλλήλοις καλῶν ἔργων ἐνιέντας ὠφελιμωτάτους εἰς κοινὸν ἔργον εἶναι καὶ προθυμοτάτους.

XX. Ἐπεὶ δὲ Λακεδαιμόνιοι πᾶσι τοῖς Ἕλλησι εἰρήνην συνθέμενοι πρὸς μόνους Θηβαίους ἐξήνεγκαν τὸν πόλεμον, ἐνεβεβλήκει δὲ Κλεόμβροτος ὁ βασιλεὺς ἄγων ὁπλίτας μυρίους, ἱππεῖς δὲ χιλίους, ὁ δὲ κίνδυνος οὐ περὶ ὧν πρότερον ἦν Θηβαίοις, ἀλλ' ἄντικρυς ἀπειλὴ καὶ καταγγελία διοικισμοῦ καὶ φόβος οἷος οὔπω τὴν Βοιωτίαν κατεῖχεν, ἐξιὼν μὲν ἐκ τῆς οἰκίας ὁ Πελοπίδας καὶ τῆς γυναικὸς ἐν τῷ προπέμπειν δακρυούσης καὶ παρακαλούσης σώζειν ἑαυτὸν, « Ταῦτα, εἶπεν, ὦ γύναι, τοῖς ἰδιώταις χρὴ παραινεῖν, τοῖς δὲ ἄρχουσιν, ὅπως τοὺς ἄλλους σώζωσιν. » (2) Ἐλθὼν δὲ εἰς τὸ στρατόπεδον καὶ τοὺς Βοιωτάρχας καταλαβὼν οὐχ ὁμογνωμονοῦντας πρῶτος Ἐπαμεινώνδᾳ προσέθετο γνώμην ψηφιζομένῳ διὰ μάχης ἰέναι τοῖς πολεμίοις, Βοιωτάρχης μὲν οὐκ ἀποδεδειγμένος, ἄρχων δὲ τοῦ ἱεροῦ λόχου καὶ πιστευόμενος, ὡς ἦν δίκαιον ἄνδρα τηλικαῦτα δεδωκότα τῇ πατρίδι σύμβολα εἰς τὴν ἐλευθερίαν. (3) Ὡς οὖν ἐδέδοκτο διακινδυνεύειν καὶ περὶ τὰ Λεῦκτρα τοῖς Λακεδαιμονίοις ἀντεστρατοπέδευον, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους ὁ Πελοπίδας εὖ μάλα διαταράξασαν αὐτόν. (4) Ἔστι γὰρ ἐν τῷ Λευκτρικῷ πεδίῳ τὰ σήματα τῶν τοῦ Σκεδάσου θυγατέρων, ἃς Λευκτρίδας καλοῦσι διὰ τὸν τόπον· ἐκεῖ γὰρ αὐταῖς ὑπὸ ξένων Σπαρτιατῶν βιασθείσαις συνέβη ταφῆναι. (5) Γενομένης δὲ χαλεπῆς οὕτω καὶ παρανόμου πράξεως, ὁ μὲν πατὴρ, ὡς οὐκ ἔτυχεν ἐν Λακεδαίμονι δίκης, ἀρὰς κατὰ τῶν Σπαρτιατῶν ἀρασάμενος ἔσφαξεν ἑαυτὸν ἐπὶ τοῖς τάφοις τῶν παρθένων· χρησμοὶ δὲ καὶ λόγια τοῖς Σπαρτιάταις ἀεὶ προὔφερον εὐλαβεῖσθαι καὶ φυλάττεσθαι τὸ Λευκτρικὸν μήνιμα, μὴ πάνυ τῶν πολλῶν συνιέντων,

runt; amorem autem evidentem in palæstra educaverunt, eo adolescentium animos inter se commiscentes et temperantes. (2) Recte etiam eodem consilio deæ Marte et Venere natæ Harmoniæ urbis tutelam ascripserunt: innuentes ibi rempublicam quam optime compositam plurimumque concinnitatis habituram, ubi bellicosi ingenii homines moribus, obsequio et gratia aptis quamplurimum assuescerent. (3) Enimvero Gorgidas hoc sacrum agmen in primos ordines distribuit atque ante totam aciem peditum prætendit: quo factum est ut virtus eorum conspicua non esset, neque eorum vis certo alicui operi destinaretur, utpote divulsa ac frequenter inter ignavos constituta: Pelopidas autem, postquam semel eorum illustris facta est virtus, ad Tegyras ipso inspectante egregie pugnantium, nunquam posthac eos divisit, sed quasi uno corpore ea cohorte in gravissimis certaminibus primo loco usus est. (4) Quemadmodum enim equi in curribus juncti celerius quam seorsum currunt, non quod aerem majori impetu perrumpant multitudinis ipsorum causa, sed quia certamen junctorum ac studium unius alterius simul animum incendit, ita fortes viros, dum de præclarorum factorum gloria inter se contendunt, utilissimos esse ad victoriam summaque alacritate certaturos putabat.

XX. Porro Lacedæmonii pace cum omnibus aliis Græcis juncta, solos Thebanos bello petierunt, invasitque eorum ditionem Cleombrotus rex, peditum decem millia equitesque mille ducens: neque jam de iisdem, de quibus ante, in periculum veniebant Thebani, sed palam eversurum se eorum civitatem hostis minabatur, ac Bœotia in majori, quam unquam antea, erat metu. Quo quidem tempore Pelopidas domo exiens, uxori ipsum deducenti ac cum lacrimis hortanti, ut saluti suæ consuleret: Privati, inquit, o mulier, de hoc monendi sunt, magistratum vero gerens, ut suos subditos incolumes præstet. (2) Inde cum in castra venisset ducesque Bœotorum (qui Bœotarchæ dicuntur) sententiis variare invenisset, primus Epaminondæ astipulatus est, qui pugna decernendum censebat; neque tum Bœotarcha Pelopidas, sed præfectus sacræ cohortis erat, ea tamen auctoritate, qua merito usus est is vir, qui tantum ad libertatem patriæ momentum contulisset. (3) Postquam pugnare decretum est et apud Leuctra Lacedæmoniis castra sunt opposita, somnium Pelopidam haud mediocriter perturbavit. (4) Sepulcra filiarum Scedasi in campo Leuctrico sunt, quæ inde Leuctrides appellantur: ibi enim vim hospitum Spartanorum passæ humatæ sunt. (5) Ejus tam atrocis ac nefarii facinoris vindictam pater a Lacedæmoniis cum non impetrasset, exsecrationibus in eos peractis se ipsum ad sepulcra filiarum jugulavit. Sortes autem et oracula subinde monebant Lacedæmonios, caverent sibi a Leuctrico piaculo; neque id vulgo satis intelligebatur,

ἀλλ' ἀμφιγνοούντων τὸν τόπον, ἐπεὶ καὶ τῆς Λακωνικῆς πολίχνιον πρὸς τῇ θαλάσσῃ Λεῦκτρον ὀνομάζεται καὶ πρὸς Μεγάλῃ πόλει τῆς Ἀρκαδίας τόπος ἐστὶν δμώνυμος. Τὸ μὲν οὖν πάθος τοῦτο πολὺ τῶν Λευκτρικῶν ἦν παλαιότερον.

XXI. Ὁ δὲ Πελοπίδας ἐν τῷ στρατοπέδῳ κατακοιμηθεὶς ἔδοξε τάς τε παῖδας ὁρᾶν περὶ τὰ μνήματα θρηνούσας καὶ καταρωμένας τοῖς Σπαρτιάταις τόν τε Σκέδασον κελεύοντα ταῖς κόραις σφαγιάσαι παρθένον ξανθὴν, εἰ βούλοιτο τῶν πολεμίων ἐπικρατῆσαι. (2) Δεινοῦ δὲ καὶ παρανόμου τοῦ προστάγματος αὐτῷ φανέντος ἐξαναστὰς ἐκοινοῦτο τοῖς τε μάντεσι καὶ τοῖς ἄρχουσιν. (3) Ὧν οἱ μὲν οὐκ εἴων παραμελεῖν οὐδ' ἀπειθεῖν, τῶν μὲν παλαιῶν προφέροντες Μενοικέα τὸν Κρέοντος καὶ Μακαρίαν τὴν Ἡρακλέους, τῶν δ' ὕστερον Φερεκύδην τε τὸν σοφὸν ὑπὸ Λακεδαιμονίων ἀναιρεθέντα καὶ τὴν δορὰν αὐτοῦ κατά τι λόγιον ὑπὸ τῶν βασιλέων φρουρουμένην, Λεωνίδαν τε τῷ χρησμῷ τρόπον τινὰ προθυσάμενον ἑαυτὸν ὑπὲρ τῆς Ἑλλάδος· ἔτι δὲ τοὺς ὑπὸ Θεμιστοκλέους σφαγιασθέντας ὠμηστῇ Διονύσῳ πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας· ἐκείνοις γὰρ ἐπιμαρτυρῆσαι τὰ κατορθώματα· τοῦτο δὲ, ὡς Ἀγησίλαον ἀπὸ τῶν αὐτῶν Ἀγαμέμνονι τόπων ἐπὶ τοὺς αὐτοὺς στρατευόμενον πολεμίους ἤτησε μὲν ἡ θεὸς τὴν θυγατέρα σφάγιον καὶ ταύτην εἶδε τὴν ὄψιν ἐν Αὐλίδι κοιμώμενος, ὁ δ' οὐκ ἔδωκεν, ἀλλ' ἀπομαλθακωθεὶς κατέλυσε τὴν στρατείαν ἄδοξον καὶ ἀτελῆ γενομένην. (4) Οἱ δὲ τοὐναντίον ἀπηγόρευον, ὡς οὐδενὶ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ἀρεστὴν οὖσαν οὕτω βάρβαρον καὶ παράνομον θυσίαν· οὐ γὰρ τοὺς Τυφῶνας ἐκείνους οὐδὲ τοὺς Γίγαντας ἄρχειν, ἀλλὰ τὸν πάντων πατέρα θεῶν καὶ ἀνθρώπων· δαίμονας δὲ χαίροντας ἀνθρώπων αἵματι καὶ φόνῳ πιστεύειν μὲν ἴσως ἐστὶν ἀβέλτερον, ὄντων δὲ τοιούτων ἀμελητέον ὡς ἀδυνάτων· ἀσθενείᾳ γὰρ καὶ μοχθηρίᾳ ψυχῆς ἐμφύεσθαι καὶ παραμένειν τὰς ἀτόπους καὶ χαλεπὰς ἐπιθυμίας.

XXII. Ἐν τοιούτοις οὖν διαλόγοις τῶν πρώτων ὄντων καὶ μάλιστα τοῦ Πελοπίδου διαπορουντος ἵππος ἐξ ἀγέλης καὶ πῶλος ἀποφυγοῦσα καὶ φερομένη διὰ τῶν ὅπλων, ὡς ἦν θέουσα κατ' αὐτοὺς ἐκείνους, ἐπέστη· καὶ τοῖς μὲν ἄλλοις θέαν παρεῖχεν ἥ τε χρόα στίλβουσα τῆς χαίτης πυρσότατον ἥ τε γαυρότης καὶ τὸ σοβαρὸν καὶ τεθαρρηκὸς τῆς φωνῆς, Θεόκριτος δὲ ὁ μάντις συμφρονήσας ἀνεβόησε πρὸς τὸν Πελοπίδαν· « Ἥκει σοι τὸ ἱερεῖον, ὦ δαιμόνιε, καὶ παρθένον ἄλλην μὴ περιμένωμεν, ἀλλὰ χρῶ δεξάμενος ἣν ὁ θεὸς δίδωσιν. » (2) Ἐκ τούτου λαβόντες τὴν ἵππον ἐπὶ τοὺς τάφους ἦγον τῶν παρθένων καὶ κατευξόμενοι καὶ καταστέψαντες ἐνέτεμνον αὐτοί τε χαίροντες καὶ λόγον εἰς τὸ στρατόπεδον περὶ τῆς ὄψεως τοῦ Πελοπίδου καὶ τῆς θυσίας διδόντες.

XXIII. Ἐν δὲ τῇ μάχῃ τοῦ Ἐπαμεινώνδου τὴν φάλαγγα λοξὴν ἐπὶ τὸ εὐώνυμον ἕλκοντος, ὅπως τῶν ἄλλων Ἑλλήνων ἀπωτάτω γένηται τὸ δεξιὸν τῶν Σπαρτιατῶν καὶ τὸν Κλεόμβροτον ἐξώσῃ προσπεσὼν ἀθρόως κατὰ

ambiguitate loci fallente : nam et in Laconica maritimum est oppidulum, et locus apud Megalopolim Arcadiæ, cui utrique Leuctro nomen. Ceterum is casus multis ante Leuctricam pugnam evenerat temporibus.

XXI. At Pelopidas in castris per quietem vidit puellas istas circum sepulcra lamentantes, et Lacedæmoniis diras imprecantes, ipsum autem Scedasum sibi præcipere ut, si victoriam de hostibus expeteret, fulvam virginem filiabus suis immolaret. (2) Atrox hoc et nefarium mandatum ratus, ut surrexit, rem cum haruspicibus et magistratibus communicavit. (3) Erant qui nequaquam negligendum detrectandumque id esse censerent, collectis exemplis : de vetustis Menœceo Creontis filio, et Macaria Herculis, de posterioribus, Pherecydem philosophum a Lacedæmoniis necatum, pellemque ejus a regibus oraculi monitu asservari; Leonidam quoque vaticinium secutum, victimam quodammodo se pro Græcia obtulisse; tum homines Baccho crudivoro immolatos a Themistocle ante navalem pugnam Salaminiam; atque his omnibus rem feliciter gestam testimonio fuisse. Contra Agesilaum, cum contra eosdem, quos Agamemnon, hostes ab eodem loco copias duceret, Aulide in somnis vidisse deam postulantem, ut sibi filiam mactaret, eumque, quod id mollitie victus non perfecisset, re infecta turpiter expeditionem eam dissolvisse. (4) Alii vero id sacrificium ita barbarum atque impium fieri prohibebant, nulli eorum, qui præstantioris ac potentioris humana naturæ essent, placiturum. Non enim Typhones istos aut Gigantes, sed deorum hominumque patrem regnare; stultum porro esse, numina putare quædam, quæ cæde et sanguine hominum delectentur, et profecto, si sint aliqui tales genii, nihil eos posse contemnendosque fore : absurdas enim has eorum et immanes cupiditates ab impotentia et malitia animi proficisci.

XXII. Hæc primoribus ita disceptantibus, et Pelopida cumprimis animi dubio, equa nullum adhuc coitum experta, ut a grege aufugerat, per castra discurrit, eoque constitit loco, ubi illi ipsi erant. Cujus dum coma fulvo colore rutilans, cervix erecta et lasciviens, hinnitusque ferox aliis spectaculum præbet, Theocritus vates, re animadversa, Pelopidam alta voce compellat, adesse ei fortunato victimam, neque aliam virginem exspectandam, hac, quam deus obtulisset, utendum. (2) Proinde equam ad sepulcra virginum redimitam coronis adducunt, factisque votis læto animo immolant, de somnio Pelopidæ sacrificioque per castra vulgato rumore.

XXIII. Inito prælio, Epaminondas aciem obliquam ad lævum latus ducebat, ut et dextrum cornu Spartanorum quam longissime a reliquis Græcis revelleret, et Cleombrotum conferta acie a latere irruens loco pelleret. Quod cum

κέρας καὶ βιασάμενος, οἱ μὲν πολέμιοι καταμαθόντες τὸ γινόμενον ἤρξαντο μετακινεῖν τῇ τάξει σφᾶς αὐτοὺς καὶ τὸ δεξιὸν ἀνέπτυσσον καὶ περιῆγον ὡς κυκλωσόμενοι καὶ περιβαλοῦντες ὑπὸ πλήθους τὸν Ἐπαμεινώνδαν· ὁ δὲ Πελοπίδας ἐν τούτῳ προεξέδραμε καὶ συστρέψας τοὺς τριακοσίους δρόμῳ φθάνει πρὶν ἀνατεῖναι τὸν Κλεόμβροτον τὸ κέρας ἢ συναγαγεῖν πάλιν εἰς τὸ αὐτὸ καὶ συγκλεῖσαι τὴν τάξιν, οὐ καθεστῶσιν, ἀλλὰ θορυβουμένοις δι' ἀλλήλων τοῖς Λακεδαιμονίοις ἐπιβαλών. (2) Καίτοι πάντων ἄκροι τεχνῖται καὶ σοφισταὶ τῶν πολεμικῶν ὄντες οἱ Σπαρτιᾶται πρὸς οὐδὲν οὕτως ἐπαίδευον αὐτοὺς καὶ συνείθιζον, ὡς τὸ μὴ πλανᾶσθαι μηδὲ ταράττεσθαι τάξεως διαλυθείσης, ἀλλὰ χρώμενοι πᾶσι πάντες ἐπιστάταις καὶ ζευγίταις, ὅποι ποτὲ συνίστησιν ὁ κίνδυνος καὶ καταλαμβάνει, καὶ συναρμόττειν καὶ μάχεσθαι παραπλησίως. (3) Τότε δὲ ἡ τοῦ Ἐπαμεινώνδου φάλαγξ ἐπιφερομένη μόνοις ἐκείνοις καὶ παραλλάττουσα τοὺς ἄλλους ὅ τε Πελοπίδας μετὰ τάχους ἀπίστου καὶ τόλμης ἐν τοῖς ὅπλοις γενόμενος συνέχεον τά τε φρονήματα καὶ τὰς ἐπιστήμας αὐτῶν οὕτως, ὥστε φυγὴν καὶ φόνον Σπαρτιατῶν ὅσον οὔπω πρότερον γενέσθαι. (4) Διὸ τῷ Ἐπαμεινώνδᾳ βοιωταρχοῦντι μὴ βοιωταρχῶν καὶ πάσης ἡγουμένῳ τῆς δυνάμεως μικροῦ μέρους ἄρχων ἴσον ἠνέγκατο δόξης τῆς νίκης ἐκείνης καὶ τοῦ κατορθώματος.

XXIV. Εἰς μέντοι Πελοπόννησον ἀμφότεροι βοιωταρχοῦντες ἐνέβαλον καὶ τῶν ἐθνῶν τὰ πλεῖστα προσήγοντο Λακεδαιμονίων ἀποστήσαντες Ἦλιν, Ἄργος, Ἀρκαδίαν σύμπασαν, αὐτῆς τῆς Λακωνικῆς τὰ πλεῖστα. (2) Καίτοι χειμῶνος μὲν ἦσαν αἱ περὶ τροπὰς ἀκμαί, μηνὸς δὲ τοῦ τελευταίου φθίνοντος ὀλίγαι περιῆσαν ἡμέραι καὶ τὴν ἀρχὴν ἔδει παραλαμβάνειν ἑτέρους εὐθὺς ἱσταμένου τοῦ πρώτου μηνός, ἢ θνήσκειν τοὺς μὴ παραδιδόντας. (3) Οἱ δὲ ἄλλοι Βοιωτάρχαι καὶ τὸν νόμον δεδιότες τοῦτον καὶ τὸν χειμῶνα φεύγοντες ἀπάγειν ἔσπευδον ἐπ' οἴκου τὸ στράτευμα. (4) Πελοπίδας δὲ πρῶτος Ἐπαμεινώνδᾳ γενόμενος σύμψηφος καὶ συμπαρορμήσας τοὺς πολίτας ἦγεν ἐπὶ τὴν Σπάρτην καὶ διεβίβαζε τὸν Εὐρώταν. Καὶ πολλὰς μὲν ᾕρει πόλεις αὐτῶν, πᾶσαν δὲ τὴν χώραν ἐπόρθει μέχρι θαλάττης ἡγούμενος ἑπτὰ μυριάδων Ἑλληνικῆς στρατιᾶς, ἧς ἔλαττον ἢ δωδέκατον ἦσαν αὐτοὶ Θηβαῖοι μέρος. (5) Ἀλλ' ἡ δόξα τῶν ἀνδρῶν ἄνευ δόγματος κοινοῦ καὶ ψηφίσματος ἐποίει τοὺς συμμάχους ἕπεσθαι σιωπῇ πάντας ἡγουμένοις ἐκείνοις. (6) Ὁ γὰρ πρῶτος, ὡς ἔοικε, καὶ κυριώτατος νόμος τῷ σώζεσθαι δεομένῳ τὸν σώζειν δυνάμενον ἄρχοντα κατὰ φύσιν ἀποδίδωσι· κἂν ὥσπερ οἱ πλέοντες εὐδίας οὔσης ἢ παρ' ἀκτὴν ὁρμοῦντες, ἀσελγῶς προσενεχθῶσι τοῖς κυβερνήταις καὶ θρασέως, ἅμα τῷ χειμῶνα καὶ κίνδυνον καταλαμβάνειν πρὸς ἐκείνους ἀποβλέπουσι καὶ τὰς ἐλπίδας ἐν ἐκείνοις ἔχουσι. (7) Καὶ γὰρ Ἀργεῖοι καὶ Ἠλεῖοι καὶ Ἀρκάδες ἐν τοῖς συνεδρίοις ἐρίζοντες καὶ διαφερόμενοι πρὸς τοὺς Θηβαίους ὑπὲρ ἡγεμονίας, ἐπ' αὐτῶν τῶν ἀγώνων καὶ παρὰ τὰ

eum moliri sentirent hostes, ordines suos movere coeperunt, dextrumque cornu explicare et circumducere, multitudine freti circumvenire et undique claudere Epaminondam conati sunt. Interim Pelopidas erupit, atque cohorte trecentorum in ipso cursu conversa, priusquam Cleombrotus vel extendere cornu vel rursum in se contrahere et claudere ordines posset, Lacedæmonios incompositos et ab se ipsis perturbatos adoriri occupavit. (2) Equidem Spartani omnium rerum bellicarum præclari artifices, ad nullam aliam rem se studio et exercitatione adeo comparaverant, quam ne ordinibus disjectis fluctuarent et disturbarentur, sed ut omnes omnibus juxta ac post se positis, ubicunque eos rei discrimen collocat et comprehendit, uterentur ad ordinem restituendum et æqualiter resistendum. (3) Tunc vero Epaminondæ phalanx eos solos præteritis reliquis invadens, Pelopidasque incredibili celeritate audaciaque irruens, ita eorum animos pe ritiamque perverterunt, ut non major unquam ante fuga cædesque Spartanorum fuerit. (4) Atque idcirco victoriæ istius gloriæ non minor pars ad Pelopidam privatum ac parvam manum ducentem, quam ad Epaminondam Bœotorum principem, totiusque exercitus ducem rediit.

XXIV. Uterque tamen Bœotorum princeps factus, in Peloponnesum irruperunt ac multas civitates a Lacedæmoniis ad se traduxerunt, nimirum Elidem, Argos, Arcadiam universam, multasque Laconicæ partes. (2) Erat tum adulta hiems, brumæ vicina, et mensis extremi pauci supererant dies, ac mox ineunte primo mense, novo Bœotorum duci erat tradendum imperium, aut, ni id fecissent, moriendum. (3) Quare ceteri collegæ eorum legis metu, et hiemis vitandæ causa, domum abducere exercitum contendebant. (4) Primus omnium Pelopidas Epaminondæ sententiam probavit, civesque cohortatus, Eurotam cum iis transiit et petiit Spartam, multas Spartanorum urbes cepit, agrum eorum ad mare usque omnem vastavit. Exercitus eorum septuaginta millibus Græcorum constabat, quorum ne duodecima quidem pars Thebani erant. (5) Verumtamen gloria virorum efficiebat, ut eos duces socii taciti sequerentur, etiam sine decreto aut edicto reipublicæ. (6) Prima nimirum et validissima naturæ lex est, quæ salutis indigenti eum qui salutem afferre potest, principem destinat, quemadmodum navigantes, cum sereno cœlo utuntur aut prope littus decurrunt, nonnunquam contumeliose et audacter gubernatorem lacessunt, simul vero atque tempestas et periculum incidit, eundem respiciunt, inque eo spem suæ salutis collocant. (7) Namque Argivi, Elei, Arcadesque, ante in conciliis cum Thebanis de principatu contendere so-

δεινὰ τοῖς ἐκείνων αὐθαιρέτως πειθόμενοι στρατηγοῖς ἠκολούθουν. (8) Ἐν ἐκείνῃ τῇ στρατείᾳ πᾶσαν μὲν Ἀρκαδίαν εἰς μίαν δύναμιν συνέστησαν, τὴν δὲ Μεσσηνίαν χώραν νεμομένων Σπαρτιατῶν ἀποτεμόμενοι τοὺς παλαιοὺς Μεσσηνίους ἐκάλουν καὶ κατῆγον Ἰθώμην συνοικίσαντες, ἀπιόντες δὲ ἐπ' οἴκου διὰ Κεγχρεῶν Ἀθηναίους ἐνίκων ἐπιχειροῦντας ἀψιμαχεῖν περὶ τὰ στενὰ καὶ κωλύειν τὴν πορείαν.

XXV. Ἐπὶ δὲ τούτοις οἱ μὲν ἄλλοι πάντες ὑπερηγάπων τὴν ἀρετὴν καὶ τὴν τύχην ἐθαύμαζον, ὁ δὲ συγγενὴς καὶ πολιτικὸς φθόνος ἅμα τῇ δόξῃ τῶν ἀνδρῶν συναυξόμενος οὐ καλὰς οὐδὲ πρεπούσας ὑποδοχὰς παρεσκεύαζεν αὐτοῖς. (2) Θανάτου γὰρ ἀμφότεροι δίκας ἔφυγον ἐπανελθόντες, ὅτι τοῦ νόμου κελεύοντος ἐν τῷ πρώτῳ μηνὶ παραδοῦναι τὴν Βοιωταρχίαν ἑτέροις, ὃν Βουκάτιον ὀνομάζουσι, τέτταρας ὅλους προσεπεβάλοντο μῆνας, ἐν οἷς τὰ περὶ Μεσσήνην καὶ Ἀρκαδίαν καὶ τὴν Λακωνικὴν διῴκησαν. (3) Εἰσήχθη μὲν οὖν πρότερος εἰς τὸ δικαστήριον Πελοπίδας, διὸ καὶ μᾶλλον ἐκινδύνευσεν· ἀμφότεροι δὲ ἀπελύθησαν. (4) Τὸ δὲ συκοφάντημα καὶ τὴν πεῖραν Ἐπαμεινώνδας ἤνεγκε πράως, μέγα μέρος ἀνδρείας καὶ μεγαλοψυχίας τὴν ἐν τοῖς πολιτικοῖς ἀνεξικακίαν ποιούμενος, Πελοπίδας δὲ καὶ φύσει θυμοειδέστερος ὢν καὶ παροξυνόμενος ὑπὸ τῶν φίλων ἀμύνασθαι τοὺς ἐχθροὺς ἐπελάβετο τοιαύτης αἰτίας. (5) Μενεκλείδας ὁ ῥήτωρ ἦν μὲν εἷς τῶν μετὰ Πελοπίδου καὶ Μέλωνος εἰς τὴν Χάρωνος οἰκίαν συνελθόντων· ἐπεὶ δὲ τῶν ἴσων οὐκ ἠξιοῦτο παρὰ τοῖς Θηβαίοις, δεινότατος
291 μὲν ὢν λέγειν, ἀκόλαστος δὲ καὶ κακοήθης τὸν τρόπον, ἐχρῆτο τῇ φύσει πρὸς τὸ συκοφαντεῖν καὶ διαβάλλειν τοὺς κρείττονας οὐδὲ μετὰ δίκην ἐκείνην παυσάμενος. (6) Ἐπαμεινώνδαν μὲν οὖν ἐξέκρουσε τῆς Βοιωταρχίας καὶ κατεπολιτεύσατο πολὺν χρόνον, Πελοπίδαν δὲ πρὸς μὲν τὸν δῆμον οὐκ ἴσχυσε διαβαλεῖν, ἐπεχείρει δὲ συγκροῦσαι τῷ Χάρωνι· καὶ κοινήν τινα τοῦ φθόνου παραμυθίαν ἔχοντος, ἂν ὧν αὐτοὶ μὴ δύνανται βελτίους φανῆναι τούτους ἀμωσγέπως ἑτέρων ἀποδείξωσι κακίους, πολὺς ἦν πρὸς τὸν δῆμον αὔξων τὰ τοῦ Χάρωνος ἔργα καὶ τὰς στρατηγίας τὰς ἐκείνου καὶ τὰς νίκας ἐγκωμιάζων. (7) Τῆς δὲ πρὸς Πλαταιὰς ἱππομαχίας, ἣν πρὸ τῶν Λευκτρικῶν ἐνίκησαν ἡγουμένου Χάρωνος, ἐπεχείρησεν ἀνάθημα τοιόνδε ποιῆσαι. (8) Ἀνδροκύδης ὁ Κυζικηνὸς ἐκλαβὼν παρὰ τῆς πόλεως πίνακα γράψαι μάχης ἑτέρας ἐπετέλει τὸ ἔργον ἐν Θήβαις. Γενομένης δὲ τῆς ἀποστάσεως καὶ τοῦ πολέμου συμπεσόντος οὐ πολὺ τοῦ τέλος ἔχειν ἐλλείποντα τὸν πίνακα παρ' ἑαυτοῖς οἱ Θηβαῖοι κατέσχον. (9) Τοῦτον οὖν ὁ Μενεκλείδας ἔπεισεν ἀναθέντας ἐπιγράψαι τοὔνομα τοῦ Χάρωνος, ὡς ἀμαυρώσων τὴν Πελοπίδου καὶ Ἐπαμεινώνδου δόξαν. (10) Ἦν δὲ ἀβέλτερος ἡ φιλοτιμία παρὰ τοσούτους καὶ τηλικούτους ἀγῶνας ἑνὸς ἔργου καὶ μιᾶς νίκης ἀγαπωμένης, ἐν ᾗ Γεράδαν τινὰ τῶν ἀσήμων Σπαρτιατῶν καὶ τεσσαράκοντα μετ' αὐτοῦ πεσεῖν, ἄλλο δὲ οὐδὲν μέγα πραχθῆναι λέγουσι. (11) Τοῦτο τὸ ψήφισμα γράφεται Πελοπίδας

liti, tum rebus arduis certaminibusque instantibus ultro duces eorum secuti sunt. (8) Ea in expeditione universam Arcadiam in unam rempublicam redegerunt; Messeniæque parte Spartanis, qui eam occupaverant, adempta, antiquos Messenios vocarunt ac reduxerunt, Ithoma civibus impleta. Inde domum per Cenchreas proficiscentes, Athenienses in faucibus iter impedire ac pugna lacessere ausos vicerunt.

XXV. Ob has res gestas quum plerique hanc eorum virtutem amplexarentur, mirarenturque fortunam, invidia tamen, quæ a rebus publicis abesse nusquam potest, aucta cum splendore eorum, effecit ut domum revertentes indigne exciperentur. (2) Capitis enim accersiti sunt uterque post reditum, quod lege jubente magistratum primo mense (ipsi Bucatium vocant) successori tradi, ipsi quattuor totos menses amplius eum tenuissent, quo tempore Messeniacas, Arcadicas, et Laconicas res gesserant. (3) Prior causam dixit Pelopidas, ideoque in graviori fuit periculo: uterque tamen absolutus est. (4) Et Epaminondas quidem calumniam moderate tulit, quippe qui civilium injuriarum tolerantiam in magna fortitudinis et magnanimitatis parte ponebat; at Pelopidas et natura ad iram propensior, et ab amicis instigatus, hanc occasionem ulciscendi inimicos arripuit. (5) Meneclidas rhetor unus ex his fuerat, qui cum Pelopida et Melone in Charonis domum convenerant: non adeptus autem eosdem apud Thebanos honores, homo eloquens admodum, sed intemperans, vitiosisque plane moribus, ingenium in calumniandis præstantioribus obtrectandisque consumpsit et ne finito quidem hoc judicio modum fecit. (6) Itaque Epaminondam Bœotorum principatu detrusit, multumque temporis in republica oppugnavit: Pelopidam vero in invidiam vocare apud populum quia non poterat, inimicum Charonis efficere conabatur, et (ut communę hoc invidiæ suæ solatium habent malevoli, quibus ipsi meliores ut habeantur præstare non possunt, ut eos tamen aliis deteriores esse ostendant) multus erat in prædicandis apud populum Charonis rebus gestis, administratis bellis et partis victoriis. (7) Fuerat Charon equestri prœlio dux eo quod ad Platæas ante Leuctricam pugnam commissum fuit: proinde Meneclidas tale donarium facere intendit. (8) Androcydes Cyzicenus aliam quandam pugnam ut pingeret a civitate conductus, Thebis id opus inchoaverat; post facta defectione et bello commisso, tabulam fere absolutam, imperfectam Thebis ab eo relictam Thebani servarunt. (9) Hanc Meneclidas ut sacram suspenderent inscripto nomine Charonis persuasit, gloriam Pelopidæ et Epaminondæ hoc pacto obscuratum iri sperans. (10) Erat vero stulta hæc ambitio, tot ac tantis certaminibus exstantibus unicum hoc factum et eam victoriam ita exornari, qua nihil erat confectum, nisi quod Geradas quidam obscuro inter Spartanos loco et cum eo quadraginta viri ceciderant. (11) Itaque hujus decreti causa Pelopidas Meneclidæ actionem intentavit, quod contra

παρανόμων ἰσχυριζόμενος, ὅτι Θηβαίοις οὐ πάτριον ἦν ἰδίᾳ κατ' ἄνδρα τιμᾶν, ἀλλὰ τῇ πατρίδι κοινῶς τὸ τῆς νίκης ὄνομα σώζειν. (12) Καὶ τὸν μὲν Χάρωνα παρὰ πᾶσαν τὴν δίκην ἐγκωμιάζων ἀφθόνως διετέλεσε, τὸν δὲ Μενεκλείδαν βάσκανον καὶ πονηρὸν ἐξελέγχων καὶ τοὺς Θηβαίους ἐρωτῶν, εἰ μηδὲν αὐτοῖς καλὸν πέπρακται, (13) ** ὁ μὴ Μενεκλείδας ζημιοῦται χρήμασιν, ἃ μὴ δυνάμενος ἐκτῖσαι διὰ πλῆθος, ὕστερον ἐπεχείρησε κινῆσαι καὶ μεταστῆσαι τὴν πολιτείαν. Ταῦτα μὲν οὖν ἔχει τινὰ καὶ τοῦ βίου ἀποθεώρησιν.

XXVI. Ἐπεὶ δὲ Ἀλεξάνδρου τοῦ Φερῶν τυράννου πολεμοῦντος μὲν ἐκ προδήλου πολλοῖς Θετταλῶν, ἐπιβουλεύοντος δὲ πᾶσιν, ἐπρέσβευσαν εἰς Θήβας αἱ πόλεις στρατηγὸν αἰτούμεναι καὶ δύναμιν, ὁρῶν ὁ Πελοπίδας τὸν Ἐπαμεινώνδαν τὰς ἐν Πελοποννήσῳ πράξεις διοικεῖν, αὐτὸς ἑαυτὸν ἐπέδωκε καὶ προσένειμε τοῖς Θεσσαλοῖς μήτε τὴν ἰδίαν ἐπιστήμην καὶ δύναμιν ἀργοῦσαν περιορᾶν ὑπομένων μήτε ὅπου πάρεστιν Ἐπαμεινώνδας ἑτέρου δεῖσθα: στρατηγοῦ νομίζων. (2) Ὡς οὖν ἐστράτευσεν ἐπὶ Θεσσαλίαν μετὰ δυνάμεως, τήν τε Λάρισσαν εὐθὺς παρέλαβε καὶ τὸν Ἀλέξανδρον ἐλθόντα καὶ δεόμενον διαλλάττειν ἐπειρᾶτο καὶ ποιεῖν ἐκ τυράννου πρᾶον ἄρχοντα τοῖς Θεσσαλοῖς καὶ νόμιμον. (3) Ὡς δὲ ἦν ἀνήκεστος καὶ θηριώδης καὶ πολλὴ μὲν ὠμότης αὐτοῦ, πολλὴ δὲ ἀσέλγεια καὶ πλεονεξία κατηγορεῖτο, τραχυνομένου τοῦ Πελοπίδου πρὸς αὐτὸν καὶ χαλεπαίνοντος ἀποδρὰς ᾤχετο μετὰ τῶν δορυφόρων. (4) Ὁ δὲ Πελοπίδας ἄδειάν τε πολλὴν ἀπὸ τοῦ τυραννοῦ τοῖς Θεσσαλοῖς ἀπολιπὼν καὶ πρὸς ἀλλήλους ὁμόνοιαν, αὐτὸς εἰς Μακεδονίαν ἀπῆρε, Πτολεμαίου μὲν Ἀλεξάνδρῳ τῷ βασιλεύοντι τῶν Μακεδόνων πολεμοῦντος, ἀμφοτέρων δὲ μεταπεμπομένων ἐκεῖνον ὡς διαλλακτὴν καὶ δικαστὴν καὶ σύμμαχον καὶ βοηθὸν τοῦ δοκοῦντος ἀδικεῖσθαι γενησόμενον. (5) Ἐλθὼν δὲ καὶ διαλύσας τὰς διαφορὰς καὶ καταγαγὼν τοὺς φεύγοντας ὅμηρον ἔλαβε τὸν ἀδελφὸν τοῦ βασιλέως Φίλιππον καὶ τριάκοντα παῖδας ἀλλους τῶν ἐπιφανεστάτων καὶ κατέστησεν εἰς Θήβας ἐπιδειξάμενος τοῖς Ἕλλησιν, ὡς πόρρω διήκει τὰ Θηβαίων πράγματα τῇ δόξῃ τῆς δυνάμεως καὶ τῇ πίστει τῆς δικαιοσύνης. (6) Οὗτος ἦν Φίλιππος ὁ τοῖς Ἕλλησιν ὕστερον πολεμήσας ὑπὲρ τῆς ἐλευθερίας, τότε δὲ παῖς ὢν ἐν Θήβαις παρὰ Παμμένει δίαιταν εἶχεν. (7) Ἐκ δὲ τούτου καὶ ζηλωτὴς γεγονέναι ἔδοξεν Ἐπαμεινώνδου, τὸ περὶ τοὺς πολέμους καὶ τὰς στρατηγίας δραστήριον ἴσως κατανοήσας, ὃ μικρὸν ἦν τῆς τοῦ ἀνδρὸς ἀρετῆς μόριον, ἐγκρατείας δὲ καὶ δικαιοσύνης καὶ μεγαλοψυχίας καὶ πραότητος, οἷς ἦν ἀληθῶς μέγας ἐκεῖνος, οὐδὲν οὔτε φύσει Φίλιππος οὔτε μιμήσει μετέσχε.

XXVII. Μετὰ δὲ ταῦτα πάλιν τῶν Θετταλῶν αἰτιωμένων τὸν Φεραῖον Ἀλέξανδρον, ὡς διαταράττοντα τὰς πόλεις, ἀπεστάλη μετ' Ἰσμηνίου πρεσβεύων ὁ Πελοπίδας· καὶ παρῆν οὔτε οἴκοθεν ἄγων δύναμιν οὔτε πόλεμον προσδοκήσας, αὐτοῖς δὲ τοῖς Θετταλοῖς χρῆσθαι

leges scripsisset: contendens Thebanos non ita a majoribus suis accepisse, uti privatim alicui viro victoriæ honorem deferrent, sed ut patriæ communi eum reservarent. (12) Interim tota actione Charonem liberaliter laudans, Meneclidam convincebat invidiæ ac malignitatis, Thebanosque interrogabat, an nullæ ipsis res præclaræ gestæ fuissent? (13) * * ut mulcta pecuniaria Meneclidæ irrogaretur; quam cum non posset dissolvere, (erat enim magna,) rempublicam postea concutere et mutare conatus est. Hac ex re nonnihil, vita ejus qualis fuerit, intelligi potest.

XXVI. Porro cum Alexander Pheræorum tyrannus multos Thessalos palam bello infestaret, universis autem perniciem machinaretur, miserunt civitates legatos Thebas, exercitum et ducem petentes. Ibi Pelopidas Epaminondam negotiis Peloponnesiacis detineri videns, ultro se Thessalis ducem obtulit, neque suam peritiam et virtutem otiosam esse ferens, et non esse ex usu sentiens ut rebus, quas Epaminondas gereret, alius dux præficeretur. (2) Profectus cum exercitu in Thessaliam, Larissam statim recepit et Alexandrum supplicem ad se venientem conciliare Thessalis atque e tyranno mansuetum eorum principem justumque facere conatus est. (3) Verum hic extrema ferocia et immedicabili tenebatur, magnaque ei crudelitas, ingens libido et avaritia objiciebatur: cumque asperius a Pelopida verbis acciperetur, cum stipatoribus aufugit. (4) Ita Pelopidas cum Thessalos securos a tyranno tutosque præstitisset et in concordiam reduxisset, in Macedoniam abiit: nam Ptolemæus ibi Alexandro Macedonum regi bellum faciebat et uterque eum vocabat, ut pacem componeret ac litem ipsorum dijudicaret, eique cui fieri injuriam arbitraretur, opem et auxilium ferret. (5) Eo ut venit, reconciliata gratia, reductis exsulibus, fratrem regis Philippum aliosque triginta pueros, illustrissimorum virorum filios, obsides accepit, eosque Thebas traduxit, Græcis demonstrans, rem Thebanam gloria potentiæ et fide justitiæ late inclytam esse. (6) Hic est ille Philippus, qui postea libertatem Græcorum bello impugnavit: tunc puer Thebis apud Pammenem vixit. (7) Atque inde etiam Epaminondæ imitator esse creditus est · animadverterat quidem ille hujus in bello gerendo et exercitibus ducendis strenuitatem quæ fuit exigua laudum Epaminondæ portio: continentiam vero, justitiam, magnanimitatem, mansuetudinem si spectes, quibus vere is magnus fuit, neque natura Philippus, neque imitatione ejus similis fuit.

XXVII. Post hæc rursum Thessalis de Alexandro Pheræo conquerentibus, quod urbes factionibus agitaret, missus est legatus Pelopidas cum Ismenia, neque domo secum militem adducens, neque bellum exspectans, sed ipsis Thessa-

πρὸς τὸ κατεπεῖγον τῶν πραγμάτων ἀναγκαζόμενος. (2) Ἐν τούτῳ δὲ πάλιν τῶν κατὰ Μακεδονίαν ταραττομένων (ὁ γὰρ Πτολεμαῖος ἀνῃρήκει τὸν βασιλέα καὶ τὴν ἀρχὴν κατέσχεν, οἱ δὲ φίλοι τοῦ τεθνηκότος ἐκάλουν τὸν Πελοπίδαν), βουλόμενος μὲν ἐπιφανῆναι τοῖς πράγμασιν, ἰδίους δὲ στρατιώτας οὐκ ἔχων, μισθοφόρους τινὰς αὐτόθεν προσλαβόμενος μετὰ τούτων εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Πτολεμαῖον. (3) Ὡς δ' ἐγγὺς ἀλλήλων ἐγένοντο, τοὺς μὲν μισθοφόρους Πτολεμαῖος χρήμασι διαφθείρας ἔπεισεν ὡς αὐτὸν μεταστῆναι, τοῦ δὲ Πελοπίδου τὴν δόξαν αὐτὴν καὶ τοὔνομα δεδοικὼς ἀπήντησεν ὡς κρείσσονι καὶ δεξιωσάμενος καὶ δεηθεὶς ὡμολόγησε τὴν μὲν ἀρχὴν τοῖς τοῦ τεθνηκότος ἀδελφοῖς διαφυλάξειν, Θηβαίοις δὲ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ὁμήρους δ' ἐπὶ τούτοις τὸν υἱὸν Φιλόξενον ἔδωκε καὶ πεντήκοντα τῶν ἑταίρων. (4) Τούτους μὲν οὖν ἀπέστειλεν εἰς Θήβας ὁ Πελοπίδας, αὐτὸς δὲ βαρέως φέρων τὴν τῶν μισθοφόρων προδοσίαν καὶ πυνθανόμενος τὰ πλεῖστα τῶν χρημάτων αὐτοῖς καὶ παῖδας καὶ γυναῖκας ἀποκεῖσθαι περὶ Φάρσαλον, ὥστε τούτων κρατήσας ἱκανὴν δίκην ὧν καθύβριστο λήψεσθαι, συναγαγὼν τῶν Θεσσαλῶν τινὰς ἦκεν εἰς Φάρσαλον. (5) Ἀρτίως δ' αὐτοῦ παρεληλυθότος Ἀλέξανδρος ὁ τύραννος ἐπεφαίνετο μετὰ τῆς δυνάμεως. Καὶ νομίσαντες οἱ περὶ τὸν Πελοπίδαν ἀπολογησόμενον ἥκειν ἐβάδιζον αὐτοὶ πρὸς αὐτόν, ἐξώλη μὲν ὄντα καὶ μιαιφόνον εἰδότες, διὰ δὲ τὰς Θήβας καὶ τὸ περὶ αὐτοὺς ἀξίωμα καὶ δόξαν οὐδὲν ἂν παθεῖν προσδοκήσαντες. (6) Ὁ δὲ, ὡς εἶδεν ἀνόπλους καὶ μόνους προσιόντας, ἐκείνους μὲν εὐθὺς συνέλαβε, τὴν δὲ Φάρσαλον κατέσχε, φρίκην δὲ καὶ φόβον ἐνεργάσατο τοῖς ὑπηκόοις πᾶσιν ὡς μετὰ τηλικαύτην ἀδικίαν καὶ τόλμαν ἀφειδήσων ἁπάντων καὶ χρησόμενος οὕτω τοῖς παραπίπτουσιν ἀνθρώποις καὶ πράγμασιν, ὡς τότε γε κομιδῇ τὸν ἑαυτοῦ βίον ἀπεγνωκώς.

XXVIII. Οἱ μὲν οὖν Θηβαῖοι ταῦτ' ἀκούσαντες ἔφερόν τε βαρέως καὶ στρατιὰν ἐξέπεμπον εὐθὺς δι' ὀργήν τινα πρὸς τὸν Ἐπαμεινώνδαν ἑτέρους ἀποδείξαντες ἄρχοντας. (2) Τὸν δὲ Πελοπίδαν εἰς τὰς Φερὰς ἀπαγαγὼν ὁ τύραννος τὸ μὲν πρῶτον εἴα τοὺς βουλομένους αὐτῷ διαλέγεσθαι, νομίζων ἐλεεινὸν γεγονέναι καὶ ταπεινὸν ὑπὸ τῆς συμφορᾶς· ἐπεὶ δὲ τοὺς μὲν Φεραίους ὁ Πελοπίδας ὀδυρομένους παρεκάλει θαῤῥεῖν, ὡς νῦν μάλιστα δώσοντος τοῦ τυράννου δίκην, πρὸς δὲ αὐτὸν ἐκεῖνον ἀποστείλας ἔλεγεν, ὡς ἄτοπός ἐστι τοὺς μὲν ἀθλίους πολίτας καὶ μηδὲν ἀδικοῦντας ὀσημέραι στρεβλῶν καὶ φονεύων, αὐτοῦ δὲ φειδόμενος, ὃν μάλιστα γινώσκει τιμωρησόμενον αὐτὸν ἄνπερ διαφύγῃ, θαυμάσας τὸ φρόνημα καὶ τὴν ἀδειαν αὐτοῦ, « Τί δὲ, φησὶ, σπεύδει Πελοπίδας ἀποθανεῖν; » Κἀκεῖνος ἀκούσας, « Ὅπως, εἶπε, σὺ τάχιον ἀπολῇ μᾶλλον ἢ νῦν θεομισὴς γενόμενος. » Ἐκ τούτου διεκώλυσεν ἐντυγχάνειν αὐτῷ τοὺς ἐκτός. (3) Ἡ δὲ Θήβη, θυγάτηρ μὲν Ἰάσονος οὖσα, γυνὴ δὲ Ἀλεξάνδρου, πυνθανομένη παρὰ τῶν φυλαττόντων ad ea, quibus facto opus esset, uti coactus. (2) Interim rursum rebus Macedonicis conturbatis, ab amicis regis, quo necato Ptolemæus regnum invaserat, vocatus: ut ad eas res agendas cum aliqua dignitate accederet, quia propriis militibus destituebatur, mercede ibi quibusdam conductis, recta ad Ptolemæum contendit. (3) Ut prope conventum est, Ptolemæus stipendiarios Pelopidæ pecunia corruptos ad se traduxit: ipsum vero gloriæ et nominis tanti causa metuens, tanquam ad præstantiorem accessit, amplexusque et deprecatus, spopondit, regnum se mortui regis fratribus servaturum, eosdem cum Thebanis hostes amicosque habiturum; obsidesque dedit, filium suum Philoxenum et quinquaginta suorum sociorum. (4) His Thebas missis Pelopidas militum proditionem iniquo animo ferens, cum accepisset plerasque eorum res, liberos et uxores Pharsali esse, existimans, si ea cepisset, satis se injuriam suam ulturum, coacta Thessalorum haud magna manu, Pharsalum venit. (5) Quo ut primum venit, Alexander tyrannus cum copiis eodem accessit. Et Pelopidas venire eum sui purgandi causa ratus, obviam ultro processit: non quidem ignarus, perditum sceleribus hominem ac parricidam esse, sed cum Thebarum tum propriæ majestatis ac gloriæ causa nihil mali metuens. (6) Alexander vero ut Pelopidam solum et inermem ad se venire vidit, statim eo capto Pharsalum occupavit: omnibus autem ei subditis horror ac metus incessit, ne, qui tam audaci se facinore obligasset, ut ei haud dubie de sua salute desperandum foret, extrema crudelitate in omnes homines omnique in re esset usurus.

XXVIII. Thebani re cognita, graviter indignati, alium exercitum emiserunt, aliis ducibus præfectis, quod Epaminondæ certa de causa succensebant. (2) At Pelopidam tyrannus Pheras adduxit: ac primum passus est colloqui cum eo qui vellent, ratus miserabilem esse fractumque calamitate ejus animum; postea vero quam is Pheræos lamentantes consolatus est, jussitque bono esse animo: profecto enim jam nunc tyrannum pœnas daturum; atque ad ipsum Alexandrum misit qui ei suis verbis dicerent, stulte eum agere qui miseros ac insontes cives quotidie torqueat et necet, interimque Pelopidæ parcat, utique vindicaturo si qua effugeret: miratus animi magnitudinem securitatemque, Cur, inquit, Pelopidas mori properat? et Pelopidas exaudiens, Ut tu, inquit, eo maturius pereas, diis quam nunc exosior factus; secundum hoc neminem ad eum exterum ingredi passus est. (3) Ceterum Thebe Iasonis filia, uxor Alexandri, cum ex custodibus Pelopidæ de confidentia ejus animique præ-

των Πελοπίδαν τὸ θαῤῥαλέον αὐτοῦ καὶ γενναῖον, ἐπεθύμησεν ἰδεῖν τὸν ἄνδρα καὶ προσειπεῖν. (4) Ὡς δὲ ἦλθε πρὸς αὐτὸν καὶ ἅτε δὴ γυνὴ τὸ μὲν μέγεθος τοῦ ἤθους οὐκ εὐθὺς ἐν τοσαύτῃ συμφορᾷ κατεῖδε, κουρᾷ δὲ καὶ στολῇ καὶ διαίτῃ τεκμαιρομένη λυπρὰ καὶ μὴ πρέποντα τῇ δόξῃ πάσχειν αὐτὸν ἀπεδάκρυσε, τὸ μὲν πρῶτον ἀγνοῶν ὁ Πελοπίδας, τίς εἴη γυναικῶν, ἐθαύμαζεν, ὡς δὲ ἔγνω, προσηγόρευσεν αὐτὴν πατρόθεν· ἦν γὰρ τῷ Ἰάσονι συνήθης καὶ φίλος. Εἰπούσης δὲ ἐκείνης « Ἐλεῶ σου τὴν γυναῖκα », « Καὶ γὰρ ἐγώ σε, εἶπεν, « ὅτι ἄδετος οὖσα ὑπομένεις Ἀλέξανδρον. » (5) Οὗτος ἔθιγέ πως ὁ λόγος τῆς γυναικός· ἐβαρύνετο γὰρ τὴν ὠμότητα καὶ τὴν ὕβριν τοῦ τυράννου μετὰ τῆς ἄλλης ἀσελγείας καὶ τὸν νεώτατον αὐτῆς τῶν ἀδελφῶν παιδικὰ πεποιημένου. Διὸ καὶ συνεχῶς φοιτῶσα πρὸς τὸν Πελοπίδαν καὶ παῤῥησιαζομένη περὶ ὧν ἔπασχεν ὑπεπίμπλατο θυμοῦ καὶ φρονήματος καὶ δυσμενείας πρὸς τὸν Ἀλέξανδρον.

XXIX. Ἐπεὶ δὲ οἱ στρατηγοὶ τῶν Θηβαίων εἰς τὴν Θετταλίαν ἐμβαλόντες ἔπραξαν οὐδέν, ἀλλὰ δι' ἀπειρίαν ἢ δυστυχίαν αἰσχρῶς ἀνεχώρησαν, ἐκείνων μὲν ἕκαστον ἡ πόλις μυρίαις δραχμαῖς ἐζημίωσεν, Ἐπαμεινώνδαν δὲ μετὰ δυνάμεως ἀπέστειλεν. (2) Εὐθὺς οὖν κίνησίς τις μεγάλη Θετταλῶν ἦν ἐπαιρομένων πρὸς τὴν δόξαν τοῦ στρατηγοῦ καὶ τὰ πράγματα τοῦ τυράννου ῥοπῆς ἐδεῖτο μικρᾶς ἀπολωλέναι, τοσοῦτος ἐνεπεπτώκει φόβος τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις, τοσαύτη δὲ τοὺς ὑπηκόους ὁρμὴ πρὸς ἀπόστασιν εἶχε καὶ χαρὰ τοῦ μέλλοντος, ὡς νῦν ἐποψομένους δίκην διδόντα τὸν τύραννον. (3) Οὐ μὴν ἀλλ' Ἐπαμεινώνδας τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς Πελοπίδου σωτηρίας τιθέμενος καὶ δεδοικὼς, μὴ τῶν πραγμάτων ταραχθέντων ἀπογνοὺς ἑαυτὸν Ἀλέξανδρος ὥσπερ θηρίον τράπηται πρὸς ἐκεῖνον, ἐπῃωρεῖτο τῷ πολέμῳ καὶ κύκλῳ περιιὼν τῇ παρασκευῇ καὶ τῇ μελλήσει κατεσκεύαζε καὶ συνέστελλε τὸν τύραννον, ὡς μήτε ἀνεῖναι τὸ αὔθαδες αὐτοῦ καὶ θρασυνόμενον μήτε τὸ μικρὸν καὶ θυμοειδὲς ἐξερεθίσαι, πυνθανόμενος τὴν ὠμότητα καὶ τὴν ὀλιγωρίαν τῶν καλῶν καὶ δικαίων, ὡς ζῶντας μὲν ἀνθρώπους κατώρυττεν, ἑτέροις δὲ δέρματα συῶν ἀγρίων καὶ ἄρκτων περιτιθεὶς καὶ τοὺς θηρευτικοὺς ἐπάγων κύνας διέσπα καὶ κατηκόντιζε παιδιᾷ ταύτῃ χρώμενος, Μελιβοίᾳ δὲ καὶ Σκοτούσῃ, πόλεσιν ἐνσπόνδοις καὶ φίλαις, ἐκκλησιαζούσαις περιστήσας ἅμα τοὺς δορυφόρους ἠβηδὸν ἀπέσφαξε, τὴν δὲ λόγχην, ᾗ Πολύφρονα τὸν θεῖον ἀπέκτεινε, καθιερώσας καὶ καταστέψας ἔθυεν ὥσπερ θεῷ καὶ Τύχωνα προσηγόρευε. (4) Τραγῳδὸν δέ ποτε θεώμενος Εὐριπίδου Τρῳάδας ὑποκρινόμενον, ὤχετο ἀπιὼν ἐκ τοῦ θεάτρου καὶ πέμψας πρὸς αὐτὸν ἐκέλευε θαῤῥεῖν καὶ μηδὲν ἀγωνίζεσθαι διὰ τοῦτο χεῖρον, οὐ γὰρ ἐκείνου καταφρονῶν ἀπελθεῖν, ἀλλ' αἰσχυνόμενος τοὺς πολίτας, εἰ μηδένα πώποτε τῶν ὑπ' αὐτοῦ φονευομένων ἠλεηκὼς ἐπὶ τοῖς Ἑκάβης καὶ Ἀνδρομάχης κακοῖς ὀφθήσεται δακρύων. (5) Οὕ-

stantia audivisset, videre hominem et alloqui cupiit. (4) Ingressa igitur ad eum, animi magnitudinem, quippe mulier, non statim perspexit, sed ex crinibus, habitu et victu conjiciens indigna eum sua gloria pati, illacrimavit. Idque Pelopidas initio nescius quænam esset ea mulier, miratus est: ut agnovit, paterno nomine compellavit; (nam familiaritas ei cum Iasone et amicitia intercesserat) dicentique: Miseratione tuæ uxoris moveor, « Et vero, inquit, me tui miseret, quæ vinculis soluta Alexandrum sustines. » (5) Hoc dictum nonnihil animum mulieris commovit: tyranni enim crudelitas et libido ei molesta erat, qui præter reliqua flagitia etiam fratre Thebæ natu minimo abutebatur; ideoque crebro ad Pelopidam veniens, eique libere exponens quæ patiebatur, audacia et odio in Alexandrum implebatur.

XXIX. Postquam duces Thebanorum in Thessaliam profecti nihil egerunt, sed sive imperitia sive infelicitate obstante, turpiter re infecta discesserunt: Thebani singulis horum mulcta centum minarum affectis, Epaminondam miserunt. (2) Confestim magni inter Thessalos exstitere motus, omnium animis gloria viri erectis, res autem tyranni parum abfuit quin corruerent: tantus ejus duces amicosque metus invasit, tantusque deficiendi ardor apud subditos ejus coortus erat, læto animo sperantes, inspecturos se pœnas dantem jam nunc tyrannum. (3) Enimvero Epaminondas salutem Pelopidæ gloria sua potiorem habens, veritusque ne rebus conturbatis, Alexander de salute desperans in hunc feræ modo desæviret, bellum ostendit magis quam fecit, atque in orbem circumiens, apparatu et cunctatione ita tyrannum compescuit, ut neque contumaciam ejus et ferociam laxaret, neque rabiem irritaret. Cognoverat enim immanitatem ejus contemptumque justitiæ et honestatis, adeo ut vivos homines defodisset, alios aprorum ursarumque pellibus indutos immissis canibus venaticis dilaniasset jaculisve confixisset, animi causa oblectandi; qui Melibœæ et Scotusæ, urbibus confœderatis ipsi, circumfusis, dum cives in concione collecti essent, stipatoribus suis, a minimo natu ad maximum omnes trucidasset; qui hastam, qua Polyphronem avunculum interfecerat, consecrasset, eique sertis redimitæ ut deo sacrificasset, eamque (quod scopum feliciter tetigisset) Tychonem nominasset. (4) Idem Alexander cum ipso inspectante quidam Troades Euripidis ageret tragœdus, decessit e theatro, missoque nuntio histrionem bono animo esse neque segnius actioni operam dare jussit: non enim ejus se contemptu discessisse, sed pudore civium motum, si malis Hecubæ et Andromachæ ab iis visus fuisset lacrimas impendere, nullum unquam civem suo jussu cæsum misericordia prosecutus. (5) Atqui tum glo-

τος μέντοι τὴν δόξαν αὐτὴν καὶ τοὔνομα καὶ τὸ πρόσχημα τῆς Ἐπαμεινώνδου στρατηγίας καταπλαγείς

Ἕπτηξ' ἀλέκτωρ δοῦλον ὡς κλίνας πτερόν,

καὶ τοὺς ἀπολογησομένους ταχὺ πρὸς αὐτὸν ἔπεμπεν. (6) Ὁ δὲ συνθέσθαι μὲν εἰρήνην καὶ φιλίαν πρὸς τοιοῦτον ἄνδρα Θηβαίοις οὐχ ὑπέμεινε, σπεισάμενος δὲ τριακονθημέρους ἀνοχὰς τοῦ πολέμου καὶ λαβὼν τὸν Πελοπίδαν καὶ τὸν Ἰσμηνίαν ἀνεχώρησεν.

XXX. Οἱ δὲ Θηβαῖοι παρὰ τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων αἰσθόμενοι πρὸς τὸν μέγαν βασιλέα πρέσβεις ἀναβαίνοντας ὑπὲρ συμμαχίας ἔπεμψαν καὶ αὐτοὶ Πελοπίδαν ἄριστα βουλευσάμενοι πρὸς τὴν δόξαν αὐτοῦ. (2) Πρῶτον μὲν γὰρ ἀνέβαινε διὰ τῶν βασιλέως ἐπαρχιῶν ὀνομαστὸς ὢν καὶ περιβόητος· οὐ γὰρ ἠρέμα διῆκτο τῆς Ἀσίας οὐδ' ἐπὶ μικρὸν ἡ δόξα τῶν πρὸς Λακεδαιμονίους ἀγώνων, ἀλλ' ὡς ὁ πρῶτος περὶ τῆς ἐν Λεύκτροις μάχης ἐξέδραμε λόγος, ἀεί τινος καινοῦ προστιθεμένου κατορθώματος, αὐξανομένη καὶ ἀναβαίνουσα πορρωτάτω κατέσχεν. (3) Ἔπειτα τοῖς ἐπὶ θύραις σατράπαις καὶ στρατηγοῖς καὶ ἡγεμόσιν ὀφθεὶς θαῦμα καὶ λόγον παρέσχεν, ὡς οὗτος ἀνήρ ἐστιν ὁ γῆς καὶ θαλάττης ἐκβαλὼν Λακεδαιμονίους καὶ συστείλας ὑπὸ Ταΰγετον καὶ τὸν Εὐρώταν τὴν Σπάρτην τὴν ὀλίγον ἔμπροσθεν βασιλεῖ τῷ μεγάλῳ καὶ Πέρσαις δι' Ἀγησιλάου τὸν περὶ Σούσων καὶ Ἐκβατάνων ἐπαραμένην πόλεμον. (4) Ταῦτ' οὖν ὁ Ἀρταξέρξης ἔχαιρε καὶ τὸν Πελοπίδαν ἔτι μᾶλλον ἐθαύμαζε τῇ δόξῃ καὶ μέγαν ἐποίει ταῖς τιμαῖς ὑπὸ τῶν μεγίστων εὐδαιμονίζεσθαι καὶ θεραπεύεσθαι βουλόμενος δοκεῖν. (5) Ἐπεὶ δὲ καὶ τὴν ὄψιν αὐτοῦ εἶδε καὶ τοὺς λόγους κατενόησε, τῶν μὲν Ἀττικῶν βεβαιοτέρους, τῶν δὲ Λακεδαιμονίων ἁπλουστέρους ὄντας, ἔτι μᾶλλον ἠγάπησε καὶ πάθος βασιλικὸν παθὼν οὐκ ἀπεκρύψατο τὴν πρὸς τὸν ἄνδρα τιμὴν οὐδ' ἔλαθε τοὺς ἄλλους πρέσβεις πλεῖστον νέμων ἐκείνῳ. (6) Καίτοι δοκεῖ μάλιστα τῶν Ἑλλήνων Ἀνταλκίδαν τιμῆσαι τὸν Λακεδαιμόνιον, ὅτι τὸν στέφανον, ὃν πίνων περιέκειτο, βάψας εἰς μύρον ἀπέστειλε. (7) Πελοπίδᾳ δὲ οὕτω μὲν οὐκ ἐνετρύφησε, δῶρα δὲ λαμπρότατα καὶ μέγιστα τῶν νομιζομένων ἐξέπεμψε καὶ τὰς ἀξιώσεις ἐπεκύρωσεν, αὐτονόμους μὲν εἶναι τοὺς Ἕλληνας, οἰκεῖσθαι δὲ Μεσσήνην, Θηβαίους δὲ πατρικοὺς φίλους νομίζεσθαι βασιλέως. (8) Ταύτας ἔχων τὰς ἀποκρίσεις, τῶν δὲ δώρων οὐδὲν, ὅ τι μὴ χάριτος ἦν σύμβολον καὶ φιλοφροσύνης, δεξάμενος ἀνέζευξεν· ὃ καὶ μάλιστα τοὺς ἄλλους πρέσβεις διέβαλε. (9) Τιμαγόραν γοῦν Ἀθηναῖοι κρίναντες ἀπέκτειναν· εἰ μὲν ἐπὶ τῷ πλήθει τῶν δωρεῶν, ὀρθῶς καὶ δικαίως· οὐ γὰρ μόνον χρυσίον οὐδ' ἀργύριον ἔλαβεν, ἀλλὰ καὶ κλίνην πολυτελῆ καὶ στρώτας θεράποντας, ὡς τῶν Ἑλλήνων οὐκ ἐπισταμένων, ἔτι δὲ βοῦς ὀγδοήκοντα καὶ βουκόλους, ὡς δὴ πρὸς ἀρρωστίαν τινὰ γάλακτος βοείου δεόμενος, τέλος δὲ κατέβαινεν ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος καὶ τέσσαρα τάλαντα

ria ipsoque nomine Epaminondæ tam præclari ducis consternatus,

Servas ut alas gallus ille territus,

sic animum demisit, statimque legavit qui ipsum Epaminondæ excusarent. (6) Hic vero cum eo viro pacem et amicitiam Thebanis componere non ex re fore censens, triginta dierum pactus inducias, receptis Pelopida et Ismenia discessit.

XXX. Porro Thebani cum sensissent missos a Spartanis et Atheniensibus legatos ad regem Persarum, fœderis contrahendi causa, ipsi quoque eodem Pelopidam miserunt, gloriæ hominis rectissime consulentes. (2) Primum enim per provincias regis profectus est, clarus ac magni apud omnes nominis : neque enim levis rumor rerum ab eo contra Spartanos gestarum Asiam pervagatus est; sed ut primum Leuctricæ pugnæ fama eo pervenit, semper novo aliquo præclaro facinore addito aucta, subinde latissime se extulit fama. (3) Deinde ab atriensibus regis satrapis ducibusque et præfectis visus, admirationem et sermones præbuit, hunc esse virum eum, qui Lacedæmonios terra marique ejecerit, Spartamque Taygeti et Eurotæ finibus incluserit, qui paulo ante magno regi et Persis de ipsis Susis et Ecbatanis duce Agesilao bellum intentavissent. (4) Gavisus est his Artaxerxes, magisque adhuc sua admiratione et honoribus auxit Pelopidam, cum beatus prædicari et adulari a maximis viris videri vellet. (5) Cujus postquam vultum vidit, sermonesque, quam erant Atheniensium constantiores, et simpliciores Spartanis accepit; majorem in modum eum dilexit et affectu rege digno motus, haud obscure tulit honorem ei viro, neque fefellit ceteros legatos, huic plurimum tribuens. (6) Alioquin ex omnibus Græcis maxime videtur honorasse Antalcidam Spartanum, cui coronam, quam bibens gerebat, in unguento tinctam misit. (7) Pelopidæ autem non hujusmodi deliciis blandiebatur, sed ea dona dabat, quæ vere splendidissima et maxima habentur, petitionesque ejus ratas faciebat, ut Græci liberi suis legibus uterentur, Messene civibus frequentaretur, Thebani paterni amici regis Persarum censerentur. (8) Hæc responsa adeptus, nulloque munere, quod non gratiæ esset ac benevolentiæ signum, accepto, a rege discessit. Idque maxime reliquos legatos calumniis objecit. (9) Ac Timagoram quidem Athenienses judicio damnatum necaverunt; haud injuria id, si propter munerum acceptorum multitudinem . non enim aurum modo et argentum acceperat, sed et lectum pretiosum et stratores famulos, quasi Græci sternere nescirent; præterea vaccas octoginta et bubulcos, nempe quod valetudinis causa lacte vaccarum opus haberet; denique lectica ad mare deportatus est et quattuor ta-

τοῖς κομίζουσι μισθὸς ἐδόθη παρὰ βασιλέως· ἀλλ' ἔοικεν οὐχ ἡ δωροδοκία μάλιστα παροξῦναι τοὺς Ἀθηναίους. (10) Ἐπικράτους γοῦν ποτὲ τοῦ σκευοφόρου μήτ' ἀρνουμένου δῶρα δέξασθαι παρὰ βασιλέως ψήφισμά τε γράφειν φάσκοντος, ἀντὶ τῶν ἐννέα ἀρχόντων χειροτονεῖσθαι κατ' ἐνιαυτὸν ἐννέα πρέσβεις πρὸς βασιλέα τῶν δημοτικῶν καὶ πενήτων, ὅπως λαμβάνοντες εὐπορῶσιν, ἐγέλασεν ὁ δῆμος· ἀλλ' ὅτι Θηβαίοις ἐγεγόνει πάντα χαλεπῶς ἔφερον, οὐ λογιζόμενοι τὴν Πελοπίδου δόξαν, ὅσων ἦν ῥητορειῶν καὶ λόγων κρειττων παρ' ἀνθρώπῳ θεραπεύοντι τοὺς τῶν ὅπλων ἀεὶ κρατοῦντας.

XXXI. Ἡ μὲν οὖν πρεσβεία τῷ Πελοπίδᾳ προσέθηκεν οὐ μικρὰν εὔνοιαν ἐπανελθόντι διὰ τὸν Μεσσήνης συνοικισμὸν καὶ τὴν τῶν ἄλλων Ἑλλήνων αὐτονομίαν. (2) Ἀλεξάνδρου δὲ τοῦ Φεραίου πάλιν ἐς τὴν φύσιν ἀναδραμόντος καὶ Θεσσαλῶν μὲν οὐκ ὀλίγας περικόπτοντος πόλεις, Φθιώτας δὲ Ἀχαιοὺς ἅπαντας καὶ τὸ Μαγνήτων ἔθνος ἐμφρουρον πεποιημένου, πυνθανόμεναι Πελοπίδαν ἐπανήκειν αἱ πόλεις εὐθὺς ἐπρέσβευον εἰς Θήβας αἰτούμεναι δύναμιν καὶ στρατηγὸν ἐκεῖνον. (3) Ψηφισαμένων δὲ τῶν Θηβαίων προθύμως καὶ ταχὺ πάντων ἑτοίμων γενομένων καὶ στρατηγοῦ περὶ ἔξοδον ὄντος, ὁ μὲν ἥλιος ἐξέλιπε καὶ σκότος ἐν ἡμέρᾳ τὴν πόλιν ἔσχεν. (4) Ὁ δὲ Πελοπίδας ὁρῶν πρὸς τὸ φάσμα συντεταραγμένους ἅπαντας οὐκ ᾤετο δεῖν βιάζεσθαι καταφόβους καὶ δυσέλπιδας ὄντας οὐδὲ ἀποκινδυνεύειν ἑπτακισχιλίοις πολίταις, ἀλλ' ἑαυτὸν μόνον τοῖς Θεσσαλοῖς ἐπιδοὺς καὶ τριακοσίους τῶν ἱππέων ἑθελοντὰς ἀναλαβὼν καὶ ξένους ἐξώρμησεν, οὔτε τῶν μάντεων ἐώντων οὔτε τῶν ἄλλων συμπροθυμουμένων πολιτῶν· μέγα γὰρ ἐδόκει καὶ πρὸς ἄνδρα λαμπρὸν ἐξ οὐρανοῦ γεγονέναι σημεῖον. (5) Ὁ δὲ ἦν μὲν καὶ δι' ὀργὴν ὧν καθύβριστο θερμότερος ἐπὶ τὸν Ἀλέξανδρον, ἤλπιζε δὲ καὶ τὴν οἰκίαν αὐτοῦ νοσοῦσαν ἤδη καὶ διεφθαρμένην εὑρήσειν ἐξ ὧν διείλεκτο τῇ Θήβῃ. (6) Μάλιστα δ' αὐτὸν καὶ παρεκάλει τὸ τῆς πράξεως κάλλος ἐπιθυμοῦντα καὶ φιλοτιμούμενον, ἐν οἷς χρόνοις Λακεδαιμόνιοι Διονυσίῳ τῷ Σικελίας τυράννῳ στρατηγοὺς καὶ ἁρμοστὰς ἔπεμπον, Ἀθηναῖοι δὲ μισθοδότην Ἀλέξανδρον εἶχον καὶ χαλκοῦν ἵστασαν ὡς εὐεργέτην, τότε τοῖς Ἕλλησιν ἐπιδεῖξαι Θηβαίους μόνους ὑπὲρ τῶν τυραννουμένων στρατευομένους καὶ καταλύοντας ἐν τοῖς Ἕλλησι τὰς παρανόμους καὶ βιαίους δυναστείας.

XXXII. Ὡς οὖν εἰς Φάρσαλον ἐλθὼν ἠθροισε τὴν δύναμιν, εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Ἀλέξανδρον. (2) Ὁ δὲ Θηβαίους μὲν ὀλίγους περὶ τὸν Πελοπίδαν ὁρῶν, αὐτὸς δὲ πλείους ἔχων ἢ διπλασίους ὁπλίτας τῶν Θεσσαλῶν, ἀπήντα πρὸς τὸ Θετίδειον. Εἰπόντος δέ τινος τῷ Πελοπίδᾳ πολλοὺς ἔχοντα τὸν τύραννον ἐπέρχεσθαι, « Βέλτιον, ἔφη, πλείονας γὰρ νικήσομεν. » (3) Ἀνατεινόντων δὲ πρὸς τὸ μέσον κατὰ τὰς καλουμένας Κυνὸς κεφαλὰς λόφων περικλινῶν καὶ ὑψηλῶν, ὥρμησαν ἀμφότεροι τούτους καταλαβεῖν τοῖς πεζοῖς.

lenta mercedis nomine rex lecticariis expendit. Verum non videntur ea dona potissimum Atheniensibus stomachum movisse. (10) Nam aliquando Epicrate lixa neque infitiante dona a rege capta et decreti se auctorem fore profitente, ut loco novem prætorum novem quotannis legati ad regem mittendi ex plebeiis et pauperibus deligerentur, qui ejus liberalitate ditarentur; arrisit populus. Sed eo succensebant, quod Thebani omnia impetrassent, non reputantes quanto plus apud hominem armis potentes semper colentem Pelopidæ gloria orationibus et arte dicendi potuerit.

XXXI. Haud parum benevolentiæ reverso Pelopidæ ea legatio conciliavit, quod et Messenæ cives et reliquis Græcis libertatem impetrasset. (2) Cum autem Alexander Pheræus ad ingenium suum rediisset, Thessalisque multas urbes ademisset, Phthiotis omnibus Achivis, Magnetibusque præsidium imposuisset; civitates, reditu Pelopidæ audito, Thebas missis legatis, auxilium sibi ut eo duce mitteretur, postulaverunt. (3) Quod cum prompte decrevissent Thebani, celeriter omnibus rebus paratis, jamque profecturo duce sol defecit, tenebræque interdiu urbem ceperunt. (4) Ibi Pelopidas, cum eo ostento perturbatos cerneret, trepidantes nihilque bonæ spei habentes cogere noluit, neque septem millia civium in periculum adducere : se ipsum Thessalis præbuit, trecentis equitibus sponte eum sequentibus, militibusque stipendiariis; eam profectionem neque aruspices neque amici ejus probaverunt, cœlitus hoc tam magnum signum tanto viro oblatum opinantes. (5) Eum vero et ira eorum, quæ passus fuerat, in Alexandrum stimulabat et domum ejus labefactatam perditamque jam se inventurum sperabat, ex his quæ cum Theba collocutus fuerat. (6) Maxime autem rei ipsius pulchritudine gloriæque cupiditate incendebatur : si, quo tempore Lacedæmonii Dionysio Siciliæ tyranno duces et urbium moderatores mittebant, Athenienses autem ab Alexandro mercedem accipiebant, statuamque ei, ut benefactori suo, æream ponebant; ipse Græcis demonstraret, solos Thebanos pro tyrannide pressis bellum gerere, injustaque in Græcos et violenta imperia evertere.

XXXII. Proinde ut Pharsalum venit, contractis copiis recta adversus Alexandrum contendit. (2) Is cum animadverteret, paucos cum Pelopida esse Thebanos, et peditum numerum duplo ampliorem Thessalorum haberet, ad Thetidium occurrit; cum quidem Pelopidas annuntianti tyrannum cum magno exercitu venire, Eo melius, inquit, res habet : tanto enim plures vincentur a nobis. (3) In medio juxta Cynos cephalas (*canis capita hoc significat*) colles acclivi in altum eriguntur : hos utrique peditibus occupare

(4) Τοὺς δ' ἱππεῖς ὁ Πελοπίδας πολλοὺς καὶ γαῦλους ὄντας ἐῤῥῆκε τοῖς ἱππεῦσι τῶν πολεμίων. Ὡς δὲ οὗτοι μὲν ἐκράτουν καὶ συνεξέπεσον εἰς τὸ πεδίον τοῖς φεύγουσιν, ὁ δὲ Ἀλέξανδρος ἔφθη τοὺς λόφους καταλαβών, τοῖς ὁπλίταις τῶν Θεσσαλῶν ὕστερον ἐπερχομένοις καὶ πρὸς ἰσχυρὰ καὶ μετέωρα χωρία βιαζομένοις ἐμβαλὼν ἔκτεινε τοὺς πρώτους, οἱ δὲ ἄλλοι πληγὰς λαβόντες οὐδὲν ἔπρασσον. (5) Κατιδὼν οὖν ὁ Πελοπίδας τοὺς μὲν ἱππεῖς ἀνεκαλεῖτο καὶ πρὸς τὸ συνεστηκὸς τῶν πολεμίων ἐλαύνειν ἐκέλευεν, αὐτὸς δὲ συνέμιξε δρόμῳ τοῖς περὶ τοὺς λόφους μαχομένοις εὐθὺς τὴν ἀσπίδα λαβών· καὶ διὰ τῶν ὄπισθεν ὠσάμενος εἰς τοὺς πρώτους τοσαύτην ἐνεποίησε ῥώμην καὶ προθυμίαν ἅπασιν, ὥστε καὶ τοῖς πολεμίοις ἑτέρους δοκεῖν γεγονότας καὶ σώμασι καὶ ψυχαῖς ἐπέρχεσθαι. (6) Καὶ δύο μὲν ἢ τρεῖς ἀπεκρούσαντο προσβολὰς, ὁρῶντες δὲ καὶ τούτους ἐπιβαίνοντας εὐρώστως καὶ τὴν ἵππον ἀπὸ τῆς διώξεως ἀναστρέφουσαν εἶξαν ἐπὶ σκέλος ποιούμενοι τὴν ἀναχώρησιν. (7) Ὁ δὲ Πελοπίδας ἀπὸ τῶν ἄκρων κατιδὼν ἅπαν τὸ στρατόπεδον τῶν πολεμίων οὔπω μὲν εἰς φυγὴν τετραμμένον, ἤδη δὲ θορύβου καὶ ταραχῆς ἀναπιμπλάμενον, ἔστη καὶ περιέβλεψεν αὐτὸν ζητῶν τὸν
296 Ἀλέξανδρον. (8) Ὡς δ' εἶδεν ἐπὶ τοῦ δεξιοῦ παραθαῤῥύνοντα καὶ συντάττοντα τοὺς μισθοφόρους, οὐ κατέσχε τῷ λογισμῷ τὴν ὀργὴν, ἀλλὰ πρὸς τὴν βλέψιν ἀναφλεχθεὶς καὶ τῷ θυμῷ παραδοὺς τὸ σῶμα καὶ τὴν ἡγεμονίαν τῆς πράξεως πολὺ πρὸ τῶν ἄλλων ἐξαλλόμενος ἐφέρετο βοῶν καὶ προκαλούμενος τὸν τύραννον. (9) Ἐκεῖνος μὲν οὖν οὐκ ἐδέξατο τὴν ὁρμὴν οὐδὲ ὑπέμεινεν, ἀλλ' ἀναφυγὼν πρὸς τοὺς δορυφόρους ἐνέκρυψεν ἑαυτόν. (10) Τῶν δὲ μισθοφόρων οἱ μὲν πρῶτοι συμβαλόντες εἰς χεῖρας ἀνεκόπησαν ὑπὸ τοῦ Πελοπίδου, τινὲς δὲ καὶ πληγέντες ἐτελεύτησαν, οἱ δὲ πολλοὶ τοῖς δόρασι πόῤῥωθεν διὰ τῶν ὅπλων τύπτοντες αὐτὸν κατετραυμάτιζον, ἕως οἱ Θεσσαλοὶ περιπαθήσαντες ἀπὸ τῶν λόφων δρόμῳ προσεβοήθησαν, ἤδη πεπτωκότος, οἵ τε ἱππεῖς προσελάσαντες ὅλην ἐτρέψαντο τὴν φάλαγγα καὶ διώξαντες ἐπὶ πλεῖστον ἐνέπλησαν νεκρῶν τὴν χώραν πλέον ἢ τρισχιλίους καταβαλόντες.

XXXIII. Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ βαρέως φέρειν πατέρα καὶ σωτῆρα καὶ διδάσκαλον τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον, οὐ πάνυ θαυμαστὸν ἦν. (2) Οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι πᾶσαν ἀνθρωπίνῃ πρέπουσαν ἀρετῇ τιμὴν τοῖς ψηφίσμασιν ὑπερβαλόντες ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι τὴν πρὸς τὸν ἄνδρα χάριν. (3) Τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ λέγουσι μήτε θώρακα θέσθαι μήτε ἵππον ἐχγαλινῶσαι μήτε τραῦμα δῆσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου τελευτὴν, ἀλλὰ μετὰ τῶν ὅπλων θερμοὺς ἰόντας ἐπὶ τὸν νεκρὸν, ὥσπερ αἰσθανόμενον, τὰ τῶν πολεμίων κύκλῳ περὶ τὸ σῶμα σωρεύειν λάφυρα, κεῖραι δὲ ἵππους, κείρασθαι δὲ καὶ αὐτοὺς, ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς μήτε πῦρ

conabantur. (4) Equitatum Pelopidas, quem copiosum fortemque habebat, equitibus hostium immisit, hosque pulsos illi aperta planitie insecuti sunt. Interim Alexander Thessalis graviter armatis anteverterat ac colles occupabat, hostemque vi in loca munita et sublimia evadere conantem, primis necatis, reliquis sauciatis, rejiciebat, nec jam quicquam Thessali agebant. (5) Quod ut vidit Pelopidas, equites revocavit, jussitque ut in confertum hostium agmen invaderent: ipse ad eos qui apud colles pugnabant, cursu se propripuit, arreptoque clypeo per posteriores ad primos ordines erumpens, tantum animi atque alacritatis suis attulit, ut visi sint hostibus novis et corporibus et animis advenisse. (6) Qui, duabus jam tribusve eorum impressionibus propulsatis, cum et hos magna vi irruere et equitatum ab insecutione reverti cernerent, concesserunt ac pedem retulerunt. (7) Tum Pelopidas ab alto totum exercitum hostium intuens nondum quidem in fugam conjectum, sed jam metu et trepidatione perturbatum, constitit atque in omnes partes conversus Alexandrum circumspexit. (8) Ubi eum in dextra parte stipendiarios milites adhortantem instruentemque vidit, non compescuit ratione iram, quin eo conspecto inflammatus corpus imperiumque et summam rei ardori mentis committeret, longeque ante reliquos prosiliret ac tyrannum provocaret. (9) Neque is ejus impetum sustinuit, sed intra milites confugit ac se abdidit. (10) Mercenariorum qui erant primi, manum cum Pelopida conserentes pulsi sunt, nonnullique eorum icti perierunt; reliqui eminus per arma hastis eum ferientes, vulneribus confecerunt: tandem Thessali anxietate commoti a collibus accurrerunt; et cum jam cecidisset Pelopidas, equites advecti totam hostium aciem fuderunt fugientesque longissime insecuti, cadaveribus regionem eam impleverunt, cæsis ultra tria millia hostium.

XXXIII. Enimvero quod qui aderant Thebani, magnam morte Pelopidæ tristitiam ceperunt, eumque patrem servatoremque suum et maximorum pulcherrimorumque bonorum magistrum invocarunt, id plane mirum non est. (2) At Thessali ac socii, cum honores omni humana virtutis prædicatione eminentiores ei decrevissent, magis adhuc benevolentiam suam in dolore demonstraverunt. (3) Traditum est enim eos qui prœlio interfuerint, cognita ejus morte, neque thoracem exuisse, neque frenum equo detraxisse, neque vulnus ligavisse antea, quam armati adhuc et calentes circa mortuum, tanquam adhuc sentientem, hostilium spoliorum acervos circa corpus congererent, equorum comas et suos crines resecarent: inde in tabernacula plerique abierunt et neque ignem accenderunt, neque cœ-

ἀνάψαι μήτε δεῖπνον ἑλέσθαι, σιγὴν δὲ καὶ κατήφειαν εἶναι τοῦ στρατοπέδου παντὸς, ὥσπερ οὐ νενικηκότων ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ' ἡττημένων ὑπὸ τοῦ τυράννου καὶ καταδεδουλωμένων. (4) Ἐκ δὲ τῶν πόλεων, ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ τε ἀρχαὶ καὶ μετ' αὐτῶν ἔφηβοι καὶ παῖδες καὶ ἱερεῖς πρὸς τὴν ὑποδοχὴν τοῦ σώματος τρόπαια καὶ στεφάνους καὶ πανοπλίας χρυσᾶς ἐπιφέροντες. (5) Ὡς δὲ ἔμελλεν ἐκκομίζεσθαι τὸ σῶμα, προσελθόντες οἱ πρεσβύτατοι τῶν Θεσσαλῶν ἠτοῦντο τοὺς Θηβαίους δι' αὐτῶν θάψαι τὸν νεκρόν. (6) Εἷς δὲ αὐτῶν ἔλεγεν· « Ἄνδρες σύμμαχοι, χάριν αἰτοῦμεν παρ' ὑμῶν κόσμον ἡμῖν ἐπ' ἀτυχίᾳ τοσαύτῃ καὶ παραμυθίαν φέρουσαν. Οὐ γὰρ ζῶντα Θεσσαλοὶ Πελοπίδαν προπέμψουσιν οὐδὲ αἰσθανομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν, ἀλλ' ἐὰν ψαῦσαί τε τοῦ νεκροῦ τύχωμεν καὶ δι' αὐτῶν κοσμῆσαι καὶ θάψαι τὸ σῶμα δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν, ὅτι μείζων ἡ συμφορὰ γέγονε Θετταλοῖς ἢ Θηβαίοις· ὑμῖν μὲν γὰρ ἡγεμόνος ἀγαθοῦ μόνον, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς ἐλευθερίας στέρεσθαι συμβέβηκε. Πῶς γὰρ ἔτι τολμήσομεν αἰτῆσαι στρατηγὸν ἄλλον παρ' ὑμῶν οὐκ ἀποδόντες Πελοπίδαν; » Ταῦτα μὲν οἱ Θηβαῖοι παρεχώρησαν.

XXXIV. Ἐκείνων δὲ τῶν ταφῶν οὐ δοκοῦσιν ἔτεραι λαμπρότεραι γενέσθαι τοῖς τὸ λαμπρὸν οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλιστος ὑμνῶν καὶ θαυμάζων τὴν Διονυσίου ταφὴν, οἷον τραγῳδίας μεγάλης τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην. (2) Ἀλέξανδρος δὲ ὁ μέγας Ἡφαιστίωνος ἀποθανόντος οὐ μόνον ἵππους ἔκειρε καὶ ἡμιόνους, ἀλλὰ καὶ τὰς ἐπάλξεις ἀφεῖλε τῶν τειχῶν, ὡς ἂν δοκοῖεν αἱ πόλεις πενθεῖν ἀντὶ τῆς πρόσθεν μορφῆς κούριμον σχῆμα καὶ ἄτιμον ἀναλαμβάνουσαι. (3) Ταῦτα μὲν οὖν προστάγματα δεσποτῶν ὄντα καὶ μετὰ πολλῆς ἀνάγκης περαινόμενα καὶ μετὰ 297 φθόνου τῶν τυχόντων καὶ μίσους τῶν βιαζομένων οὐδεμιᾶς χάριτος ἦν οὐδὲ τιμῆς, ὄγκου δὲ βαρβαρικοῦ καὶ τρυφῆς καὶ ἀλαζονείας ἐπίδειξις εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν διατιθεμένων. (4) Ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκὼς, οὐ γυναικὸς, οὐ παίδων, οὐ συγγενῶν παρόντων, οὐ δεομένου τινὸς, οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων ἁμιλλωμένων προπεμπόμενος καὶ συνεκκομιζόμενος καὶ στεφανούμενος εἰκότως ἐδόκει τὸν τελειότατον ἀπέχειν εὐδαιμονισμόν. (5) Οὐ γὰρ, ὡς Αἴσωπος ἔφασκε, χαλεπώτατός ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μακαριώτατος, εἰς ἀσφαλῆ χώραν τὰς εὐπραξίας κατατιθέμενος τῶν ἀγαθῶν καὶ τύχῃ μεταβάλλεσθαι οὐκ ἀπολείπων. (6) Διὸ βέλτιον ὁ Λάκων τὸν Ὀλυμπιονίκην Διαγόραν ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους Ὀλυμπίασιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς ἀσπασάμενος, « Κάτθανε, εἶπε, Διαγόρα· οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ. » (7) Τὰς δὲ Ὀλυμπικὰς καὶ Πυθικὰς νίκας οὐκ ἂν οἶμαί τις εἰς τὸ αὐτὸ συνθεὶς ἁπάσας ἑνὶ τῶν Πελοπίδου παραβαλεῖν ἀγώνων ἀξιώσειεν, οὓς πολλοὺς ἀγωνισάμενος

naverunt: tantumque in castris fuit silentium et tristitia, ut non victoria illos maxima et clarissima potitos, sed superatos et a tyranno in servitutem actos putares. (4) Ex urbibus vero, annuntiata ejus cæde, præsto fuere magistratus, cumque his pueri, adolescentes sacerdotesque ad excipiendum cadaver tropæa, coronas armaque aurea ferentes. (5) Ut efferendum jam funus fuit, maximi natu de Thessalis progressi, a Thebanis petierunt, ut Thessalis solis sepeliendum Pelopidam concederent. (6) Atque unus eorum, « Beneficium, inquit, a vobis petimus, o socii, quod nobis tanta calamitate affectis decori tamen et solatio esse possit. Non enim vivum Pelopidam Thessali comitamur, neque sentienti honores meritos tribuimus: sed si tangere nobis mortuum liceat ac nostra opera decoratum sepelire, existimabimus credere vos, quod persuasum habeamus, majus Thessalis quam Thebanis malum accidisse; nam vos bono tantum duce, nos autem et hoc et libertate spoliati sumus: qui enim posthac ausimus a vobis alium ducem petere, non reddito Pelopida? » Concessum est hoc eis a Thebanis.

XXXIV. Splendidius quenquam sepeliri potuisse negant quicunque splendorem non ebore, auro et purpura metiuntur, quomodo Philistus Dionysii funus cantat et admiratur, tanquam magnæ tragœdiæ, nimirum tyrannidis, theatralem exitum. (2) Et Alexander Magnus, Hephæstione mortuo, non equos solum et mulos comis privavit, sed propugnacula quoque murorum dejecit, ut urbes loco prioris aspectus specie tristi, perinde atque animalia crinibus nudata, lugere eum viderentur. (3) Atqui hæc ita a dominis imperata, quæ uti multa perficiebantur cum invidia eorum propter quos fiunt, et odio eorum qui coguntur, non honoris sunt, non benevolentiæ, sed barbarici fastus documentum, luxusque et insolentiæ, ubi in vanas et nullius momenti res tantum studii et rei impenditur. (4) At vir popularis extra patriam defunctus, neque uxore, neque liberis, neque propinquis præsentibus, nemine petente, nemine cogente a tot populis civitatibusque certatim elatus ac comitatus et coronatus, haud injuria pro eo censeri potuit, qui beatitatem perfectissimam esset adeptus. (5) Neque enim verum est, quod Æsopus dixit, felicium hominum mortem esse omnium gravissimam: ea vero omnium est beatissima, bonorum prosperos successus tuto statu collocans nec fortunæ mutationi concedens. (6) Rectius Laco, qui Diagoram Olympicorum certaminum palma potitum filiosque Olympicis ludis coronatos videntem et nepotes jam nactum amplexus, mori jussit: non enim posse fieri, ut in cœlum ascenderet. (7) Et quidem nemo est, opinor, qui omnes Olympicas victorias in unum collatas unico Pelopidæ alicui certamini comparandas judicet: quæ plurima cum ob-

καὶ κατορθώσας καὶ τοῦ βίου τὸ πλεῖστον ἐν δόξῃ καὶ τιμῇ βιώσας τέλος ἐν τῇ τρισκαιδεκάτῃ Βοιωταρχίᾳ τυραννοκτονίᾳ μεμιγμένην ἀριστείαν ἀριστεύων ὑπὲρ c τῆς τῶν Θεσσαλῶν ἐλευθερίας ἀπέθανεν.

XXXV. Ὁ δὲ θάνατος αὐτοῦ μεγάλα μὲν ἐλύπησε τοὺς συμμάχους, μείζονα δὲ ὠφέλησε. (2) Θηβαῖοι γὰρ, ὡς ἐπύθοντο τὴν τοῦ Πελοπίδου τελευτὴν, οὐδεμίαν ἀναβολὴν ποιησάμενοι τῆς τιμωρίας κατὰ τάχος ἐστράτευσαν ὁπλίταις ἑπτακισχιλίοις, ἱππεῦσι δ' ἑπτακοσίοις, ἡγουμένου Μαλκίτου καὶ Διογείτονος. Καταλαβόντες δὲ συνεσταλμένον καὶ περικεκομμένον τῆς δυνάμεως Ἀλέξανδρον ἠνάγκασαν Θεσσαλοῖς μὲν ἀποδοῦναι τὰς πόλεις, ἃς εἶχεν αὐτῶν, Μάγνητας δὲ καὶ Φθιώτας Ἀχαιοὺς ἀφεῖναι καὶ τὰς φρουρὰς ἐξαγαγεῖν, ὁμόσαι δὲ αὐτὸν ἐφ' οἷς ἂν ἡγῶνται Θηβαῖοι καὶ καλεύ- d σωσιν ἀκολουθήσειν. (3) Θηβαῖοι μὲν οὖν τούτοις ἠρκέσθησαν. Ἦν δὲ ὀλίγον ὕστερον τοῖς θεοῖς ὑπὲρ Πελοπίδου δίκην ἔδωκε, διηγήσομαι. (4) Θήβην τὴν συνοικοῦσαν αὐτῷ πρῶτον μὲν, ὡς εἴρηται, Πελοπίδας ἐδίδαξε μὴ φοβεῖσθαι τὴν ἔξω λαμπρότητα καὶ παρασκευὴν τῆς τυραννίδος ἐντὸς τῶν ὅπλων καὶ τῶν φυλάκων οὖσαν· ἔπειτα δὲ φοβουμένη τὴν ἀπιστίαν αὐτοῦ καὶ μισοῦσα τὴν ὠμότητα συνθεμένη μετὰ τῶν ἀδελφῶν, τριῶν ὄντων, Τισιφόνου, Πυθολάου, Λυκόφρονος, e ἐπεχείρει τόνδε τὸν τρόπον. (5) Τὴν μὲν ἄλλην οἰκίαν τοῦ τυράννου κατεῖχον αἱ φυλακαὶ τῶν παρανυκτερευόντων, ὁ δὲ θάλαμος, ἐν ᾧ καθεύδειν εἰώθεσαν, ὑπερῷος ἦν καὶ πρὸ αὐτοῦ φυλακὴν εἶχε κύων δεδεμένος πᾶσι φοβερὸς πλὴν αὐτοῖς ἐκείνοις καὶ ἑνὶ τῶν οἰκετῶν τῷ τρέφοντι. (6) Καθ' ὃν ὧν ἔμελλε καιρὸν ἐπιχειρεῖν ἡ Θήβη τοὺς μὲν ἀδελφοὺς ἐφ' ἡμέρας εἶχε πλησίον ἐν οἴκῳ τινὶ κεκρυμμένους, εἰσελθοῦσα δὲ, ὥσπερ εἰώθει, μόνη πρὸς τὸν Ἀλέξανδρον ἤδη καθεύδοντα καὶ μετὰ μικρὸν πάλιν προελθοῦσα, τῷ μὲν οἰκέτῃ προσέταξεν ἀπάγειν ἔξω τὸν κύνα· βούλεσθαι γὰρ ἀναπαύεσθαι μεθ' ἡσυχίας ἐκεῖνον· αὐτὴ δὲ τὴν κλίμακα φοβουμένη μὴ f κτύπον παράσχῃ τῶν νεανίσκων ἀναβαινόντων, ἐρίοις κατεστόρεσεν· εἶτα οὕτως ἀναγαγοῦσα τοὺς ἀδελφοὺς ξιφήρεις καὶ στήσασα πρὸ τῶν θυρῶν εἰσῆλθεν· αὐτὴ καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ τῆς κεφαλῆς κρεμάμενον σημεῖον εἶναι τοῦ κατέχεσθαι τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. (7) Ἐκπεπληγμένων δὲ τῶν νεανίσκων καὶ κατοκνούντων κακίζουσα καὶ διομνυμένη μετ' ὀργῆς
298 αὐτὴ τὸν Ἀλέξανδρον ἐξεγείρασα μηνύσειν τὴν πρᾶξιν, a αἰσχυνθέντας αὐτοὺς ἅμα καὶ φοβηθέντας εἰσήγαγε καὶ περιέστησε τῇ κλίνῃ προσφέρουσα τὸν λύχνον. (8) Τῶν δὲ ὁ μὲν τοὺς πόδας κατεῖχε πιέσας, ὁ δὲ τὴν κεφαλὴν λαβόμενος τῶν τριχῶν ἀνέκλασεν, ὁ δὲ τρίτος τῷ ξίφει τύπτων αὐτὸν διεχρήσατο, τῷ μὲν τάχει τῆς τελευτῆς πρότερον ἴσως ἢ προσῆκον ἦν ἀποθανόντα, τῷ δὲ μόνον ἢ πρῶτον τύραννον ὑπὸ γυναικὸς ἰδίας ἀπολέσθαι καὶ τῇ μετὰ θάνατον αἰκίᾳ τοῦ σώματος ῥιφέντος καὶ πατηθέντος ὑπὸ τῶν Φεραίων ἄξια πεπονθέναι δόξαντα τῶν παρανομημάτων.

iisset ille ac confecisset, vita majori parte cum gloria et honore transacta, decimum tertium Bœotarches cum fortissimo facinore tyranni eversionem conjungens pro Thessalorum libertate vitam profudit.

XXXV. Mors ejus etsi summum dolorem, plus tamen adhuc commodi attulit sociis. (2) Thebani enim ea audita, nulla vindictæ mora interposita, confestim Malcita et Diogitone ducibus, septem millibus peditum equitibusque septingentis profecti, Alexandrum (quem copiis amissis submittentem se inveniebant) Thessalis urbes suas quas obtinebat reddere, Magnetas et Phthiotas Achivos missos facere, ac præsidia deducere jurareque se jussa Thebanorum imperiaque secuturum coegerunt. (3) His contenti fuere Thebani : sed quam paulo post ab eo Pelopidæ nomine pœnam dii exegerunt, referam. (4) Thebe uxor Alexandri, docta, ut memoravimus, primum a Pelopida, ne externum splendorem apparatumque tyrannidis armis modo et fugitivis munitæ metueret, præterea perfidiam ejus timens, crudelitatemque odio habens, re cum fratribus suis Tisiphono, Pytholao et Lycophrone composita, ita ei necem struxit. (5) Ædes tyranni reliqua parte nocturnis excubiis custodiebantur : cubiculum, in quo una dormire solebant, in sublimi positum canis vinctus asservabat, omnibus terribilis, præterquam tyranno et conjugi atque uni servo qui eum alebat. (6) Quo itaque tempore manus ei allatura erat Thebe, fratres interdiu in conclavi quodam propinquo occultatos habebat : sola autem pro more suo ad Alexandrum jam dormientem ingressa, paulo post prodiit, servoque ut canem abduceret mandavit : velle enim tyrannum tranquille quiescere. Gradus quoque, ne ascendentibus juvenibus streperent, lana constravit. Ita fratres strictis gladiis armatos adduxit et ante ostium collocavit : ipsa ingressa, gladium, qui ad caput ejus pendebat, detraxit, ostenditque fratribus eo signo, virum somno detineri. (7) Cum vero ii perterrefacti cunctarentur, invecta in eos graviter, juravit, ni pergerent, se virum excitaturam remque indicaturam : ita simul pudore, simul metu compulsos introduxit, eisque lucerna admota lectum circumdedit. (8) Juvenum alius pedes ejus tenuit, alius caput crinibus comprehensum reflexit, tertius gladio adacto occidit : mors ea ejus celerior, quam meruerat, videri queat; eo tamen, quod solus aut primus omnium tyrannorum a sua ipsius necatus est uxore, quodque cadaver mortui projectum a Pheræis et conculcatum est, digna suis flagitiis passus judicari potest.

ΜΑΡΚΕΛΛΟΣ.

MARCELLUS.

Μάρκον δὲ Κλαύδιον τὸν πεντάκις ὑπατεύσαντα Ῥωμαίων Μάρκου μὲν υἱὸν γενέσθαι λέγουσι, κληθῆναι δὲ τῶν ἀπὸ τῆς οἰκίας πρῶτον Μάρκελλον, ὅπερ ἐστὶν Ἀρήιον, ὥς φησι Ποσειδώνιος. (2) Ἦν γὰρ τῇ μὲν ἐμπειρίᾳ πολεμικὸς, τῷ δὲ σώματι ῥωμαλέος, τῇ δὲ χειρὶ πλήκτης, τῇ δὲ φύσει φιλοπόλεμος καὶ τούτῳ δὴ πολὺ τὸ γαῦρον ἀγέρωχον ἐπιφαίνων ἐν τοῖς ἀγῶσι, τῷ δὲ ἄλλῳ τρόπῳ σώφρων, φιλάνθρωπος, Ἑλληνικῆς παιδείας καὶ λόγων ἄχρι τοῦ τιμᾶν καὶ θαυμάζειν τοὺς κατορθοῦντας ἐραστὴς, αὐτὸς δὲ ὑπ' ἀσχολιῶν ἐφ' ὅσον ἦν πρόθυμος ἀσκῆσαι καὶ μαθεῖν οὐκ ἐξικόμενος. (3) Εἰ γὰρ ἄλλοις τισὶν ἀνθρώποις ὁ θεὸς, ὥσπερ Ὅμηρος εἴρηκεν,

ἐκ νεότητος ἔδωκε καὶ εἰς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους,

καὶ τοῖς τότε πρωτεύουσι Ῥωμαίων, οἳ νέοι μὲν ὄντες περὶ Σικελίαν Καρχηδονίοις, ἀκμάζοντες δὲ Γαλάταις ὑπὲρ αὐτῆς Ἰταλίας ἐπολέμουν, ἤδη δὲ γηρῶντες Ἀννίβᾳ πάλιν συνείχοντο καὶ Καρχηδονίοις, οὐκ ἔχοντες, ὥσπερ οἱ πολλοὶ, διὰ γῆρας ἀνάπαυσιν στρατειῶν, ἀλλ' ἐπὶ στρατηγίας πολέμων καὶ ἡγεμονίας κατ' εὐγένειαν καὶ ἀρετὴν ἀγόμενοι.

II. Μάρκελλος δὲ πρὸς οὐδὲν μὲν ἦν μάχης εἶδος ἀργὸς οὐδὲ ἀνάσκητος, αὐτὸς δ' ἑαυτοῦ κράτιστος ἐν τῷ μονομαχεῖν γενόμενος οὐδεμίαν πρόκλησιν ἔφυγε, πάντας δὲ τοὺς προκαλεσαμένους ἀπέκτεινεν. (2) Ἐν δὲ Σικελίᾳ τὸν ἀδελφὸν Ὀτακίλιον κινδυνεύοντα διέσωσεν ὑπερασπίσας καὶ ἀποκτείνας τοὺς ἐπιφερομένους. (3) Ἀνθ' ὧν ὄντι μὲν ἔτι νέῳ στέφανοι καὶ γέρα παρὰ τῶν στρατηγῶν ἦσαν, εὐδοκιμοῦντα δὲ μᾶλλον ἀγορανόμον μὲν ἀπέδειξε τῆς ἐπιφανεστέρας τάξεως ὁ δῆμος, οἱ δὲ ἱερεῖς Αὔγουρα. (4) Τοῦτο δ' ἐστὶν ἱερωσύνης εἶδος, ᾧ μάλιστα τὴν ἀπ' οἰωνῶν μαντικὴν ἐπιβλέπειν καὶ παραφυλάττειν νόμος δέδωκεν. (5) Ἠναγκάσθη δὲ ἀγορανομῶν δίκην ἀβούλητον εἰσενεγκεῖν. Ἦν γὰρ αὐτῷ παῖς δμώνυμος ἐν ὥρᾳ τὴν ὄψιν ἐκπρεπὴς, οὐχ ἧττον δὲ τῷ σωφρονεῖν καὶ πεπαιδεῦσθαι περίβλεπτος ὑπὸ τῶν πολιτῶν· τούτῳ Καπετωλῖνος ὁ τοῦ Μαρκέλλου συνάρχων, ἀσελγὴς ἀνὴρ καὶ θρασὺς, ἐρῶν λόγους προσήνεγκε. (6) Τοῦ δὲ παιδὸς τὸ μὲν πρῶτον αὐτοῦ καθ' ἑαυτὸν ἀποτριψαμένου τὴν πεῖραν, ὡς δὲ αὖθις ἐπεγείρησε κατειπόντος πρὸς τὸν πατέρα, βαρέως ἐνεγκὼν ὁ Μάρκελλος προσήγγειλε τῇ βουλῇ τὸν ἄνθρωπον.
299(7) Ὁ δὲ πολλὰς μὲν ἀποδράσεις καὶ παραγραφὰς ἐμηχανᾶτο τοὺς δημάρχους ἐπικαλούμενος, ἐκείνων δὲ μὴ προσδεχομένων τὴν ἐπίκλησιν ἀρνήσει τὴν αἰτίαν ἔφυγε. (8) Καὶ μάρτυρος οὐδενὸς τῶν λόγων γεγονότος ἔδοξε μεταπέμπεσθαι τὸν παῖδα τῇ βουλῇ. Παραγενομένου δ' ἰδόντες ἐρύθημα καὶ δάκρυον καὶ μεμιγμένον ἁπλάστῳ τῷ θυμουμένῳ τὸ αἰδούμενον οὐδενὸς ἄλλου δεηθέντες τεκμηρίου κατεψηφίσαντο καὶ χρήμα-

M. Claudium, qui consul Romanorum quinquies fuit, Marci filium fuisse perhibent: primoque ei ex ea familia Marcelli cognomen fuisse, quod, auctore Posidonio, a Marte deductum, bellicosum significat. (2) Erat enim et peritus rei bellicæ, et corpore robusto et manu promptus, et natura belli cupidus, ideoque in certaminibus alacrem se et ferocem ostendebat: moribus fuit honestis et humanus; Græcam disciplinam ac litteras eo usque colebat, ut qui in iis excellerent in admiratione et honore haberet, ipse negotiis impeditus, ne tantum, quantum cupiebat, studii et exercitationis illis impenderet. (3) Si enim, quod est apud Homerum, aliquos homines deus eo destinavit, ut

Ad senium a tenera tractent fera bella juventa:

certe hoc de primoribus Romanorum ea tempestate dici potuit: adolescentes enim adhuc cum Carthaginiensibus de Sicilia, adulti cum Gallis de ipsa Italia decertaverunt; jam provectis ætate cum Hannibale iterumque Carthaginiensibus negotium fuit, neque, ut plerique, cessationem militiæ per ætatem habuerunt, sed ad imperia et bella gerenda, virtutis et nobilitatis ratione habita, delecti sunt.

II. Marcellus in nullo pugnæ genere segnis erat vel rudis: in singularibus tamen certaminibus se ipso præstantior videbatur, neque unquam provocantem subterfugit, sed omnes qui provocassent, superavit. (2) In Sicilia fratrem Otacilium periculo eripuit, protecto eo et hostibus irruentibus cæsis. (3) Propter hæc adolescenti adhuc coronæ et honores ab imperatoribus dati; auctior deinde gloria factus, a populo ædilis curulis, a pontificibus augur est creatus. (4) Sacerdotium id est, cui lex auguriorum potissimum capiendorum et observandorum tribuit curam. (5) In ædilitate sua coactus accusationem suscepit. Filium habebat sibi cognominem, qui puer tum elegantia formæ conspicuus, non minus modestiæ institutionisque accuratæ causa in civium oculis ferebatur; hujus pudicitiam Capitolinus, Marcelli collega, homo impurus et temerarius, verbis tentavit. (6) Puer initio seorsum ejus petitionem repudians, cum is denuo instaret, rem patri detexit: Marcellus indigne eam ferens, Capitolinum apud senatum accusavit. (7) Hic vero cum varia effugia, varias exceptiones machinatus, tribunos quoque plebis appellasset, provocationem iis non accipientibus, infitiari crimen intendit. (8) Absque arbitris res acta fuerat: quare puerum advocandum senatus censuit. Qui ut venit, rubore ejus et lacrimis, sinceroque iræ mixto pudore conspecto, nullum præterea indicium requirentes, Capitolinum multa pecuniaria damnave-

σιν ἐζημίωσαν Καπετωλῖνον· ἐξ ὧν ὁ Μάρκελλος ἀργυρᾶ λοιβεῖα ποιησάμενος τοῖς θεοῖς καθιέρωσεν.

III. Ἐπεὶ δὲ τοῦ πρώτου τῶν Καρχηδονίων πολέμου ἔτει δευτέρῳ καὶ εἰκοστῷ συναιρεθέντος ἀρχαὶ πάλιν Γαλατικῶν ἀγώνων διεδέχοντο τὴν Ῥώμην, οἱ δὲ τὴν ὑπαλπείαν νεμόμενοι τῆς Ἰταλίας Ἴνσομβρες, Κελτικὸν ἔθνος, μεγάλοι καὶ καθ' ἑαυτοὺς ὄντες δυνάμεις ἐκάλουν καὶ μετεπέμποντο Γαλατῶν τοὺς μισθοῦ στρατευομένους, οἱ Γεσάται καλοῦνται, θαυμαστὸν μὲν ἐδόκει καὶ τύχης ἀγαθῆς γενέσθαι τὸ μὴ συῤῥαγῆναι τὸν Κελτικὸν εἰς τὸ αὐτὸ τῷ Λιβυκῷ πόλεμον, ἀλλ' ὥσπερ ἐφεδρείαν εἰληφότας τοὺς Γαλάτας ὀρθῶς καὶ δικαίως ἀτρεμήσαντας μαχομένων ἐκείνων οὕτω τότε δὴ τοῖς νενικηκόσιν ἐπαποδύεσθαι καὶ προκαλεῖσθαι σχολὴν ἄγοντας· (2) οὐ μὴν ἀλλὰ μέγαν ἥ τε χώρα παρεῖχε φόβον διὰ τὴν γειτνίασιν ὁμόρῳ καὶ προσοίκῳ πολέμῳ συνοισομένοις καὶ τὸ παλαιὸν ἀξίωμα τῶν Γαλατῶν, οὓς μάλιστα Ῥωμαῖοι δεῖσαι δοκοῦσιν, ἅτε δὴ καὶ τὴν πόλιν ὑπ' αὐτῶν ἁποβαλόντες, ἐξ ἐκείνου δὲ καὶ θέμενοι νόμον ἀτελεῖς εἶναι στρατείας τοὺς ἱερέας, πλὴν εἰ μὴ Γαλατικὸς πάλιν ἐπέλθοι πόλεμος. (3) Ἐδήλου δὲ καὶ τὸν φόβον αὐτῶν ἥ τε παρασκευή (μυριάδες γὰρ ἐν ὅπλοις ἅμα τοσαῦται Ῥωμαίων οὔτε πρότερον οὔτε ὕστερον γενέσθαι λέγονται) καὶ τὰ περὶ τὰς θυσίας καινοτομούμενα. (4) Βαρβαρικὸν μὲν οὐδὲν οὐδ' ἔκφυλον ἐπιτηδεύοντες, ἀλλ' ὡς ἔνι μάλιστα ταῖς δόξαις Ἑλληνικῶς διακείμενοι καὶ πράως πρὸς τὰ θεῖα, τότε τοῦ πολέμου συμπεσόντος ἠναγκάσθησαν εἶξαι λογίοις τισὶν ἐκ τῶν Σιβυλλείων, καὶ δύο μὲν Ἕλληνας, ἄνδρα καὶ γυναῖκα, δύο δὲ Γαλάτας ὁμοίως ἐν τῇ καλουμένῃ βοῶν ἀγορᾷ κατορύξαι ζῶντας, οἷς ἔτι καὶ νῦν ἐν τῷ Νοεμβρίῳ μηνὶ δρῶσιν Ἕλλησι καὶ Γαλάταις ἀποῤῥήτους καὶ ἀθεάτους ἱερουργίας.

IV. Οἱ μὲν οὖν πρῶτοι τῶν ἀγώνων νίκας τε μεγάλας καὶ σφάλματα τοῖς Ῥωμαίοις ἐνέγκαντες εἰς οὐδὲν ἐτελεύτησαν πέρας βέβαιον. (2) Φλαμινίου δὲ καὶ Φουρίου τῶν ὑπάτων μεγάλαις ἐκστρατευσάντων δυνάμεσιν ἐπὶ τοὺς Ἴνσομβρας ὤφθη μὲν αἵματι ῥέων ὁ διὰ τῆς Πικηνίδος χώρας ποταμὸς, ἐλέχθη δὲ τρεῖς σελήνας φανῆναι περὶ πόλιν Ἀρίμινον, οἱ δὲ ἐπὶ ταῖς ὑπατικαῖς ψηφοφορίαις παραφυλάττοντες οἰωνοὺς ἱερεῖς διεβεβαιοῦντο μοχθηρὰς καὶ δυσόρνιθας αὐτοῖς γεγονέναι τὰς τῶν ὑπάτων ἀναγορεύσεις. (3) Εὐθὺς οὖν ἔπεμψεν ἡ σύγκλητος ἐπὶ τὸ στρατόπεδον γράμματα καλοῦσα καὶ μεταπεμπομένη τοὺς ὑπάτους, ὅπως ἐπανελθόντες ἧ τάχιστα τὴν ἀρχὴν ἀπείπωνται καὶ μηδὲν ὡς ὕπατοι φθάσωσι πρᾶξαι πρὸς τοὺς πολεμίους. (4) Ταῦτα δεξάμενος τὰ γράμματα Φλαμίνιος οὐ πρότερον ἔλυσεν ἢ μάχην συνάψας τρέψασθαι τοὺς βαρβάρους καὶ τὴν χώραν αὐτῶν ἐπιδραμεῖν. (5) Ὡς οὖν ἐπανῆλθε μετὰ πολλῶν λαφύρων οὐκ ἀπήντησεν ὁ δῆμος, ἀλλ' ὅτι καλούμενος οὐκ εὐθὺς ὑπήκουσεν οὐδ' ἐπείσθη τοῖς γράμμασιν, ἀλλ' ἐνύβρισε καὶ κατεφρόνησε, μικροῦ μὲν ἐδέησεν ἀποψηφίσασθαι τὸν θρίαμβον αὐτοῦ, θριαμ-

runt : ex qua pecunia Marcellus vasa libatoria argentea fabricanda curavit, eaque diis consecravit.

III. Ceterum bello primo Punico anno demum vigesimo secundo composito, rursus Gallicum bellum urbem excepit et Insubres, gens Gallica, qui sub radices Alpium Italicarum habitant, etsi magni erant per se ac potentes, copias tamen etiam Gallorum, qui stipendia merent et Gæsatæ vocantur, contrahebant. Mirumque videbatur et magnæ fortunæ, quod bellum Gallicum non eodem, quo Carthaginiense, inciderat tempore, sed Galli tanquam spectatores istius certaminis, iis dimicantibus recte se et juste continuerant, victoremque deinde otiosum congressuri provocabant. (2) Enimvero et locus ipse terrorem belli Gallici (erat enim vicinum et finitimum) augebat et antiqua Gallorum gloria, quos magis, quam ullos alios, timere Romani videbantur, quippe Urbe etiam ab iis aliquando capta; unde et lex immunitatem militiæ sacerdotibus concedebat, nisi cum bellum Gallicum incidisset. (3) Apparatus quoque metum declaravit; nam neque ante, neque post tot Romanorum millia in armis unquam fuerunt, præterea novi sacrorum ritus. (4) Soliti antehac nihil barbaricum aut invisitatum facere, sed quammaxime in cæremoniis suis Græco ritu erga deos ac mansueto uti, eo tum bello incidente coacti sunt Sibyllini oraculi jussu duos Græcos, virum et mulierem, itemque duos Gallos in foro Boario vivos defodere, quo modo etiamnum mense Novembri Græcis et Gallis arcana sacra fiunt.

IV. Primi eo bello conflictus magnas Romanis cum victorias tum clades, neque tamen certum exitum attulerunt. (2) Flaminio autem et Furio consulibus cum magnis copiis adversus Insubres profectis, amnis qui per Picenum labitur, sanguine fluere visus; apud Ariminum tres lunas apparuisse annuntiatum est, et augures, qui comitiis consularibus auspicia observarant, vitio et inauspicato creatos consules dixerunt. (3) Itaque statim senatus missis in castra litteris eos accivit, ut e vestigio reversi magistratu se abdicarent, priusquam aliquid pro consulari potestate adversus hostem egissent. (4) Litteras has cum accepisset Flaminius, non prius aperuit quam collatis signis barbaros fudit et in agrum eorum incursionem fecit. (5) Redeunti inde multis cum spoliis, non est obviam proditum a populo, sed quod litteris non statim obtemperasset easque ludibrio habuisset, parum abfuit quin triumphus ne-

δεύσαντα δὲ ἰδιώτην ἐποίησεν ἀναγκάσας ἐξομόσασθαι τὴν ὑπατείαν μετὰ τοῦ συνάρχοντος. (6) Οὕτω πάντα a
300τὰ πράγματα Ῥωμαίοις εἰς τὸν θεὸν ἀνήγετο, μαντειῶν δὲ καὶ πατρίων ὑπεροψίαν οὐδ' ἐπὶ ταῖς μεγίσταις εὐπραξίαις ἀπεδέχοντο, μεῖζον ἡγούμενοι πρὸς σωτηρίαν πόλεως τὸ θαυμάζειν τὰ θεῖα τοὺς ἄρχοντας τοῦ κρατεῖν τῶν πολεμίων.

V. Τιβέριος οὖν Σεμπρώνιος, ἀνὴρ δι' ἀνδρείαν καὶ καλοκαγαθίαν οὐδενὸς ἧττον ἀγαπηθεὶς ὑπὸ Ῥωμαίων, ἀπέδειξε μὲν ὑπατεύων διαδόχους Σκηπίωνα Νασικᾶν καὶ Γάϊον Μάρκιον, ἤδη δὲ ἐχόντων αὐτῶν ἐπαρχίας καὶ στρατεύματα ἱερατικοῖς ὑπομνήμασιν ἐντυχὼν εὗρεν ἠγνοημένον ὑφ' αὑτοῦ τι τῶν πατρίων. (2) Ἦν δὲ τοιοῦτον· ὅταν ἄρχων ἐπ' ὄρνισι καθεζόμενος ἔξω b
πόλεως ἔχων οἶκον ἢ σκηνὴν μεμισθωμένος ὑπ' αἰτίας τινὸς ἀναγκασθῇ, μήπω γεγονότων σημείων βεβαίων ἐπανελθεῖν εἰς πόλιν, ἀφεῖναι ἐχρῆν τὸ προμεμισθωμένον οἴκημα καὶ λαβεῖν ἕτερον, ἐξ οὗ ποιήσεται τὴν θέαν αὖθις ἐξ ὑπαρχῆς. (3) Τοῦτ' ἔλαθεν, ὡς ἔοικε, τὸν Τιβέριον καὶ δὶς τῷ αὐτῷ χρησάμενος ἀπέδειξε τοὺς εἰρημένους ἄνδρας ὑπάτους. Ὕστερον δὲ γνοὺς τὴν ἁμαρτίαν ἀνήνεγκε πρὸς τὴν σύγκλητον. Ἡ δὲ οὐ κατεφρόνησε τοῦ κατὰ μικρὸν οὕτως ἐλλείμματος, ἀλλ' ἔγραψε τοῖς ἀνδράσι· καὶ ἐκεῖνοι τὰς ἐπαρχίας ἀπολιπόντες ἐπανῆλθον εἰς Ῥώμην ταχὺ καὶ κατέθεντο τὴν ἀρχήν. (4) Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπράχθη. Περὶ c
δὲ τοὺς αὐτοὺς ἐκείνους χρόνους καὶ δύο ἱερεῖς ἐπιφανέστατοι τὰς ἱερωσύνας ἀφῃρέθησαν, Κορνήλιος μὲν Κέθηγος, ὅτι τὰ σπλάγχνα τοῦ ἱερείου παρὰ τάξιν ἐπέδωκε, Κούιντος δὲ Σουλπίκιος ἐπὶ τῷ θύοντος αὐτοῦ τὸν κορυφαῖον ἀπορρυῆναι τῆς κεφαλῆς πῖλον, ὃν οἱ καλούμενοι Φλαμίνιοι φοροῦσι. (5) Μινυκίου δὲ δικτάτωρος ἵππαρχον ἀποδείξαντος Γάϊον Φλαμίνιον, ἐπεὶ τρισμὸς ἠκολούθει μυός, ὃν σόρικα καλοῦσιν, ἀποψηφισάμενοι τούτους αὖθις ἑτέρους κατέστησαν. (6) Καὶ τὴν ἐν οὕτω μικροῖς ἀκρίβειαν φυλάττοντες οὐδεμιᾷ προσεμίγνυσαν δεισιδαιμονίᾳ τῷ μηδὲν ἀλλάττειν μηδὲ παρεκβαίνειν τῶν πατρίων. d

VI. Ὡς δ' οὖν ἐξωμόσαντο τὴν ἀρχὴν οἱ περὶ τὸν Φλαμίνιον, διὰ τῶν καλουμένων μεσοβασιλέων ὕπατος ἀποδείκνυται Μάρκελλος· καὶ παραλαβὼν τὴν ἀρχὴν ἀποδείκνυσιν αὐτῷ συνάρχοντα Γναῖον Κορνήλιον. (2) Ἐλέχθη μὲν οὖν, ὡς πολλὰ συμβατικὰ τῶν Γαλατῶν λεγόντων καὶ τῆς βουλῆς εἰρηναῖα βουλευομένης ὁ Μάρκελλος ἐξετράχυνε τὸν δῆμον ἐπὶ τὸν πόλεμον· οὐ μὴν ἀλλὰ καὶ γενομένης εἰρήνης ἀνακαινίσαι τὸν πολεμον οἱ Γεσάται δοκοῦσι τὰς Ἄλπεις ὑπερβαλόντες, καὶ τοὺς Ἰνσόμβρους ἐπάραντες (τρισμύριοι γὰρ ὄντες προσεγένοντο πολλαπλασίοις ἐκείνοις οὖσι) καὶ μέγα φρονοῦντες εὐθὺς ἐπ' Ἀκέρρας ὥρμησαν, πόλιν ὑπὲρ ποτα- e
μοῦ Πάδου ἀνῳκισμένην. (3) Ἐκεῖθεν δὲ μυρίους τῶν Γεσατῶν ὁ βασιλεὺς Βριτόμαρτος ἀναλαβὼν τὴν περὶ Πάδον χώραν ἐπόρθει. (4) Ταῦτα Μάρκελλος πυθόμενος τὸν μὲν συνάρχοντα πρὸς Ἀκέρρας ἀπέλιπε τὴν

garetur: statim post triumphum abjurare consulatum cum collega et privatus esse coactus est. (6) Adeo in omnibus rebus Romani deorum religioni animum advertebant et ne prosperrimo quidem successu potitum divinationis et rituum antiquorum contemptum probabant: magis ad salutem urbis interesse judicantes, ut numina colantur a magistratibus, quam ut hostes vincantur.

V. Itaque T. Sempronius, vir fortitudinis ac probitatis nomine Romanis, ut quisquam alius, carus, consul successores cum designasset Scipionem Nasicam et C. Marcium, iique jam in provincias cum copiis pervenissent, ipse libros sacerdotales relegens, deprehendit a se aliquid patriorum rituum per ignorationem neglectum. (2) Id autem erat tale: magistratum, cum extra urbem conducta ad hoc domo aut tabernaculo augurii capiendi gratia consedisset, atque priusquam nactus justa esset indicia, aliqua de causa in urbem redire coactus fuisset, oportebat priori loco relicto alium conducere, indeque augurium petere. (3) Id forte fefellerat Tiberium, bisque erat eodem usus tabernaculo, cum dictos consules crearet; itaque post errore cognito, rem ad senatum detulit. Senatus minime negligendum etsi levem hunc errorem ratus, consulibus scripsit, iique e provinciis reversi, magistratu se abdicaverunt. (4) Verum hæc posteriori tempore evenerunt. Circa idem vero tempus duo etiam sacerdotum clarissimi sacerdotio exciderunt: Cornelius Cethegus, quod exta non rite tradidisset; Q. Sulpicius, quod inter sacrificandum apex, quem gestare Flamines solebant, de capite ejus defluxisset. (5) Et cum Minucius dictator C. Flaminium equitum magistrum dixisset, subsecutus soricis occentus effecit ut iis abrogatis alii crearentur. (6) Ita in minimis tantam diligentiam adhibentes rebus, cum nihil eorum, quæ a majoribus accepissent, mutarent, nihil præterirent, ab omni superstitione se vindicarunt.

VI. Enimvero cum Flaminius et collega ejus consulatum ejurassent, ex interregno, ut vocatur, consul creatus est Marcellus, isque sibi collegam ascivit Cn. Cornelium. (2) Traditum est, cum multa de componenda pace et a Gallis dicerentur et a senatu consultarentur, Marcellum populi animos ad bellum prosequendum instigasse; sed et facta pace instauratum a Gæsatis bellum videbatur, qui Alpibus superatis, ascitisque Insubrum, hominum animosorum, triginta millibus (ipsorum vero erat longe major numerus), recta ad Acerras tendebant, quæ est urbs super Padum sita. (3) Ab ea urbe Virdomarus rex eorum cum decem millibus provectus regionem Pado finitimam populabatur. (4) Quod ubi renunciatum est Marcello, relicto ad Acerras

πεζὴν καὶ βαρεῖαν ὁμοῦ πᾶσαν ἔχοντα δύναμιν καὶ τῶν ἱππέων μέρος τρίτον, αὐτὸς δὲ τοὺς λοιποὺς ἱππεῖς ἀναλαβὼν καὶ τοὺς ἐλαφροτάτους τῶν ὁπλιτῶν περὶ ἑξακοσίους ἤλαυνεν οὔτε ἡμέρας οὔτε νύκτας ἀνεὶς τὸν δρόμον, ἕως ἐπέβαλε τοῖς μυρίοις Γεσάταις περὶ τὸ καλούμενον Κλαστίδιον, Γαλατικὴν κώμην, οὐ πρὸ πολλοῦ Ῥωμαίοις ὑπήκοον γεγενημένην. (5) Ἀναλαβεῖν δὲ καὶ διαναπαῦσαι τὸν στρατὸν οὐχ ὑπῆρξεν αὐτῷ· ταχὺ γὰρ αἴσθησιν τοῖς βαρβάροις ἀφικόμενος παρέσχε καὶ κατεφρονήθη, πεζῶν μὲν ὀλίγων παντάπασιν ὄντων σὺν αὐτῷ, τὸ δ' ἱππικὸν ἐν οὐδενὶ λόγῳ τῶν Κελτῶν τιθεμένων. Κράτιστοι γὰρ ὄντες ἱππομαχεῖν καὶ μάλιστα τούτῳ διαφέρειν δοκοῦντες τότε καὶ πλήθει πολὺ τὸν
301 Μάρκελλον ὑπερέβαλλον. (6) Εὐθὺς οὖν ἐπ' αὐτὸν ὡς a ἀναρπασόμενοι μετὰ βίας πολλῆς καὶ δεινῶν ἀπειλῶν ἐφέροντο τοῦ βασιλέως προϊππεύοντος. (7) Ὁ δὲ Μάρκελλος, ὡς μὴ φθαῖεν αὐτὸν ἐγκυκλωσάμενοι καὶ περιχυθέντες ὀλιγοστὸν ὄντα, τὰς εἴλας ἦγε πόρρω τῶν ἱππέων καὶ περιήλαυνε λεπτὸν ἐκτείνων τὸ κέρας, ἄχρι οὗ μικρὸν ἀπέσχε τῶν πολεμίων. (8) Ἤδη δέ πως εἰς ἐμβολὴν ἐπιστρέφοντος αὐτοῦ συντυγχάνει τὸν ἵππον πτυρέντα τῇ γαυρότητι τῶν πολεμίων ἀποτραπέσθαι καὶ βίᾳ φέρειν ὀπίσω τὸν Μάρκελλον. (9) Ὁ δὲ τοῦτο δείσας μὴ ταραχὴν ἐκ δεισιδαιμονίας τοῖς Ῥωμαίοις ἐνεργάσηται ταχὺ περισπάσας ἐφ' ἡνίαν τῷ χαλινῷ καὶ b περιστρέψας τὸν ἵππον ἐναντίον τοῖς πολεμίοις τὸν ἥλιον αὐτὸς προσεκύνησεν, ὡς δὴ μὴ κατὰ τύχην, ἀλλ' ἕνεκα τούτου τῇ περιαγωγῇ χρησάμενος· οὕτω γὰρ ἔθος ἐστὶ Ῥωμαίοις προσκυνεῖν τοὺς θεοὺς περιστρεφομένους, καὶ αὐτὸν δ' ἤδη προσμιγνύντα τοῖς ἐναντίοις προσεύξασθαι τῷ Φερετρίῳ Διὶ τὰ κάλλιστα τῶν παρὰ τοῖς πολεμίοις ὅπλων καθιερώσειν.

VII. Ἐν τούτῳ δὲ κατιδὼν ὁ τῶν Γαλατῶν βασιλεὺς καὶ τεκμηράμενος ἀπὸ τῶν συμβόλων ἄρχοντα τοῦτον εἶναι, πολὺ πρὸ τῶν ἄλλων ἐξελάσας τὸν ἵππον ὑπηντίασεν ἅμα τῇ φωνῇ προκλητικὸν ἐπαλαλάζων καὶ τὸ δόρυ κραδαίνων, ἀνὴρ μεγέθει τε σώματος ἔξοχος Γαλατῶν καὶ πανοπλίᾳ ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ c πᾶσι ποικίλμασιν, ὥσπερ ἀστραπή, διαφέρων στιλβούσῃ. (2) Ὡς οὖν ἐπιβλέψαντι τὴν φάλαγγα τῷ Μαρκέλλῳ ταῦτα τῶν ὅπλων ἔδοξε κάλλιστα καὶ κατὰ τούτων ὑπέλαβε πεποιῆσθαι τῷ θεῷ τὴν κατευχήν, ὥρμησεν ἐπὶ τὸν ἄνδρα καὶ τῷ δόρατι διακόψας τὸν θώρακα καὶ συνεπερείσας τῇ ῥύμῃ τοῦ ἵππου ζῶντα μὲν αὐτὸν περιέτρεψε, δευτέραν δὲ καὶ τρίτην πληγὴν ἐνεὶς εὐθὺς ἀπέκτεινεν. (3) Ἀποπηδήσας δὲ τοῦ ἵππου καὶ τῶν ὅπλων τοῦ νεκροῦ ταῖς χερσὶν ἐφαψάμενος πρὸς τὸν οὐρανὸν εἶπεν· « Ὦ μεγάλα στρατηγῶν καὶ d ἡγεμόνων ἔργα καὶ πράξεις ἐπιβλέπων ἐν πολέμοις καὶ μάχαις Φερέτριε Ζεῦ, μαρτύρομαί σε Ῥωμαίων τρίτος ἄρχων ἄρχοντα καὶ βασιλέα στρατηγὸς ἰδίᾳ χειρὶ τόνδε τὸν ἄνδρα κατεργασάμενός καὶ κτείνας σοὶ καθιεροῦν τὰ πρῶτα καὶ κάλλιστα τῶν λαφύρων. Σὺ δὲ δίδου τύχην ὁμοίαν ἐπὶ τὰ λοιπὰ τοῦ πολέμου προ-

cum gravis armaturæ peditibus et tertia parte equitatus collega, ipse cum reliquis equitibus et expeditis peditibus sexcentis noctes diesque properans, non ante destitit, quam ad Clastidium (pagus est Gallicus, quem paulo ante Romani ceperant) Gæsatas istos assecutus est. (5) Non licuit ei exercitum quiete reficere: neque enim adventus ejus hostes fefellit, ab iisque cum propter peditum paucitatem, tum quod equitatum nihili æstimarent, contemptus est. Nam equitatu potissimum Galli fidebant atque valebant, eumque longe quam Marcellus numerosiorem habebant. (6) Itaque confestim, tanquam deleturi protinus Romanas copias, cum magna vi et ingentibus minis irruerunt, rege ante agmen equitante. (7) Marcellus, ne ab hostibus circumveniretur, quia admodum pauci erant sui, turmas equitum in longum produxit atque obvertit, cornua procul tenuia extendens, donec prope hostem pertingeret. (8) Jam vero ad conserendum prœlium se vertebat, cum equus hostium ferocia consternatus, convertit se atque retro vi aufert Marcellum. (9) Qui veritus, ne casus iste superstitionem terroremque suis injiceret, celeriter equum, freno correpto, hostibus adversum constituit, Solemque adoravit, ut non fortuito, sed ob hoc ipsum circumegisse equum videretur (moris enim Romani est, ut adorantes sese circumvertant); jamque ad hostes accedens, Jovi Feretrio spoliorum de hostibus pulcherrima vovit.

VII. Ibi eum Gallorum rex conspicatus, conjiciensque de signis imperatorem esse, equo ante alios longe provectus occurrit, simul terribili vociferatione provocans ad pugnam et hastam quassans, vir magnitudine corporis inter Gallos primus, armisque argento, auro et coloribus ita insignibus, ut præ reliquis quasi fulgur ipse emicaret. (2) Marcellus oculis in aciem hostium conjectis, ut hæc arma sensit omnium pulcherrima, deque his deo se votum fecisse, impetu facto Virdomari loricam hasta trajecit et equi impetu nixus, vivum prostravit, unoque et altero insuper ictu illato, statim interfecit. (3) Tum equo desiliens, manibusque arma cæsi tangens, ad cœlum ita est locutus: Jupiter Feretrie, qui ducum egregia in bello ac prœliis facinora regis atque inspicis, te testor, me, qui tertius Romanorum imperator ducem regemque hostium hunc mea ipse manu confeci, prima hæc tibi atque pulcherrima consecrare spolia. Tu vero nobis ad reliquam belli partem conversis eandem fortunam concede. (4) Inde equi-

τρεπομένοις. » (4) Ἐκ τούτου συνέμισγον οἱ ἱππεῖς οὐ διακεκριμένοις τοῖς ἱππεῦσιν, ἀλλὰ καὶ πρὸς τοὺς πεζοὺς ὁμοῦ προσφερομένους μαχόμενοι, καὶ νικῶσι νίκην ἰδέᾳ τε καὶ τρόπῳ περιττὴν καὶ παράδοξον· ἱππεῖς γὰρ ἱππεῖς καὶ πεζοὺς ἅμα τοσοῦτοι τοσούτους οὔτε πρότερον οὔτε ὕστερον νικῆσαι λέγονται. (5) Κτείνας δὲ τοὺς πλείστους καὶ κρατήσας ὅπλων καὶ χρημάτων ἐπανῆλθε πρὸς τὸν συνάρχοντα μοχθηρῶς πολεμοῦντα Κελτοῖς περὶ πόλιν μεγίστην καὶ πολυανθρωποτάτην τῶν Γαλατικῶν· Μεδιόλανον καλεῖται καὶ μητρόπολιν αὐτὴν οἱ τῇδε Κελτοὶ νομίζουσιν· ὅθεν ἐκθύμως μαχόμενοι περὶ αὐτῆς ἀντεπολιόρκουν τὸν Κορνήλιον. (6) Ἐπελθόντος δὲ Μαρκέλλου καὶ τῶν Γεσατῶν, ὡς ἐπύθοντο τὴν τοῦ βασιλέως ἧτταν καὶ τελευτήν, ἀπελθόντων, τὸ μὲν Μεδιόλανον ἁλίσκεται, τὰς δὲ ἄλλας πόλεις αὐτοὶ παραδιδόασιν οἱ Κελτοὶ καὶ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπουσι πάντα Ῥωμαίοις. Καὶ τούτοις μὲν ἦν εἰρήνη μετρίων τυχοῦσι.

VIII. Ψηφισαμένης δὲ τῆς συγκλήτου μόνῳ Μαρκέλλῳ θρίαμβον εἰσήλαυνε τῇ μὲν ἄλλῃ λαμπρότητι καὶ πλούτῳ καὶ λαφύροις καὶ σώμασιν ὑπερφυέσιν αἰχμαλώτων ἐν ὀλίγοις θαυμαστὸς, ἥδιστον δὲ πάντων θέαμα καὶ καινότατον ἐπιδεικνύμενος αὐτὸν κομίζοντα τῷ θεῷ τὴν τοῦ βαρβάρου πανοπλίαν. (2) Δρυὸς γὰρ εὐ-
302 περ τρόπαιον ἀνεδήσατο καὶ κατήρτησεν ἐξ αὐτοῦ τὰ λάφυρα κόσμῳ διαθεὶς καὶ περιαρμόσας ἕκαστον. (3) Προϊούσης δὲ τῆς πομπῆς ἀράμενος αὐτὸς ἐπέβη τοῦ τεθρίππου καὶ τροπαιοφόρον ἄγαλμα τῶν ἐκείνου κάλλιστον καὶ διαπρεπέστατον ἐπόμπευε διὰ τῆς πόλεως. (4) Ὁ δὲ στρατὸς εἵπετο καλλίστοις ὅπλοις κεκοσμημένος ᾄδων ἅμα πεποιημένα μέλη καὶ παιᾶνας ἐπινικίους εἰς τὸν θεὸν καὶ τὸν στρατηγόν. (5) Οὕτω δὲ προβὰς καὶ παρελθὼν εἰς τὸν νεὼν τοῦ Φερετρίου Διὸς ἀνέστησε καὶ καθιέρωσε τρίτος καὶ τελευταῖος ἄχρι τοῦ καθ' ἡμᾶς αἰῶνος. (6) Πρῶτος μὲν γὰρ ἀνήνεγκε σκῦλα Ῥωμύλος ἀπὸ Ἄκρωνος τοῦ Καινινήτου· δεύτερος δὲ Κόσσος Κορνήλιος ἀπὸ Τολουμνίου Τυῤῥηνοῦ· μετὰ δὲ τούτους Μάρκελλος ἀπὸ Βριτομάρτου, βασιλέως Γαλατῶν, μετὰ δὲ Μάρκελλον οὐδὲ εἷς. (7) Καλεῖται δὲ ὁ μὲν θεὸς, ᾧ πέμπεται, Φερέτριος Ζεὺς, ὡς μὲν ἔνιοί φασιν, ἀπὸ τοῦ φερετρευομένου τροπαίου κατὰ τὴν Ἑλληνίδα γλῶσσαν ἔτι πολλὴν τότε συμμεμιγμένην τῇ Λατίνων, ὡς δὲ ἕτεροι, Διός ἐστιν ἡ προσωνυμία κεραυνοβολοῦντος· τὸ γὰρ τύπτειν φερῖρε οἱ Ῥωμαῖοι καλοῦσιν. (8) Ἄλλοι δὲ παρὰ τὴν τοῦ πολέμου πληγὴν γεγονέναι τοὔνομα λέγουσι· καὶ γὰρ νῦν ἐν ταῖς μάχαις, ὅταν διώκωσι τοὺς πολεμίους, πυκνὸν τὸ φέρι, τουτέστι παῖε, παρεγγυῶσιν ἀλλήλοις. Τὰ δὲ σκῦλα σπόλια μὲν κοινῶς, ἰδίως δὲ ὀπίμια ταῦτα καλοῦσι. (9) Καίτοι φασὶν ἐν τοῖς ὑπομνήμασι Νομᾶν Πομπίλιον καὶ πρώτων ὀπιμίων καὶ δευτέρων καὶ τρίτων μνημονεύειν, τὰ μὲν πρῶτα ληφθέντα τῷ Φερετρίῳ Διὶ κελεύοντα καθιεροῦν, τὰ δεύτερα δὲ τῷ Ἄρει, τὰ

tum pugna facta, qui Gallorum non equites modo, sed et pedites iis permixtos adorti, victoriam rari exempli ac modo ipso mirabilem pepererunt : non enim vel ante vel post eam pugnam tantus equitum peditumque numerus a tam paucis equitibus victus legitur. (5) Proinde majori hostium parte cæsa, armorumque et pecuniæ præda parta, ad collegam rediit, qui contra Gallos parum feliciter bellum gerebat ad urbem Mediolanum, quæ omnium in ea parte Gallicarum urbium caput erat aliasque omnes frequentia hominum excellebat; itaque animose eam defendentes Galli obsidentem Cornelium ultro oppugnabant. (6) Verum hi Gæsatæ, adventu Marcelli regisque sui clade cognita, discesserunt : Mediolanum captum, reliquæ urbes ab ipsis Gallis deditæ sunt, se fidei Romanorum committentibus : iisque mediocribus conditionibus impositis, pax data est.

VIII. Marcellus, cum ei soli triumphum decrevisset senatus, triumphum in urbem duxit, cum cetero splendore, divitiis spoliisque et captivorum mole corporum cum paucis aliis admirabilem, tum jucundissimum novo spectaculo, quod ipse barbari arma Jovi offerens conspiciebatur. (2) Quercus enim fissilis truncum rectum et ingentem excisum in tropæi formam dolaverat : ab eo suspenderat arma cæsi regis, ordine singulis affixis atque compositis. (3) Procedente pompa, ipse eo tropæo sublato quadrigis invectus, imaginem armatam victi hostis pulcherrimam aspectu inferebat per urbem. (4) Exercitus currum sequebatur, armis indutus elegantissimis, accinens compositas cantilenas, pæanasque victoriæ testes, quibus Jovem et ducem celebrabant. (5) Ita ad templum Jovis Feretrii progressus, spolia Jovi suspendit : tertius ad nostram usque ætatem eorum, quibus hoc facere obtigisset. (6) Primus enim opima retulit Romulus spolia ab Acrone Ceninensi, secundus Cornelius Cossus a Tolumnio Tyrrheno, tertius Marcellus a Virdomaro Gallorum rege : neque post hunc quisquam. (7) Deus cui ea consecrantur, Feretrius vocatur Jupiter, vel (quæ est quorundam sententia) quod tropæum id feretro gestaretur, hoc est ferculo (nam eo tempore multa erant Latino sermoni immixta Græca vocabula); vel, quemadmodum nonnulli putant, cognomen Jovis fulminantis est, ductum ab Romanorum verbo Ferire. (8) Alii ab ictibus, qui in pugna ingeruntur, dictum autumant : quod hodie etiam mutuo clamore « feri » se ad persequendum hostem hortantur. Spolia hæc Opima peculiari appellatione dicuntur. (9) Non desunt qui Pompilium Numam in commentariis mentionem primorum, secundorum, tertiorumque opimorum spoliorum fecisse perhibeant : et jussisse, prima Jovi, altera Marti, tertia

δὲ τρίτα τῷ Κυρίνῳ, καὶ λαμβάνειν γέρας ἀσσάρια τριακόσια τὸν πρῶτον, τὸν δὲ δεύτερον διακόσια, τὸν δὲ τρίτον ἑκατόν. (10) Ὁ μέντοι πολὺς οὗτος ἐπικρατεῖ λόγος, ὡς ἐκείνων μόνων ὀπιμίων ὄντων, ὅσα καὶ παρατάξεως οὔσης καὶ πρῶτα καὶ στρατηγοῦ στρατηγὸν ἀνελόντος. Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον. (11) Οἱ δὲ Ῥωμαῖοι τὴν νίκην ἐκείνην καὶ τοῦ πολέμου τὴν κατάλυσιν οὕτως ὑπερηγάπησαν, ὥστε καὶ τῷ Πυθίῳ χρυσοῦν κρατῆρα ἀπὸ λύτρων εἰς Δελφοὺς ἀποστεῖλαι χαριστήριον καὶ τῶν λαφύρων ταῖς τε συμμαχίσι μεταδοῦναι πόλεσι λαμπρῶς καὶ πρὸς Ἱέρωνα πολλὰ πέμψαι, τὸν Συρακοσίων βασιλέα, φίλον ὄντα καὶ σύμμαχον.

IX. Ἀννίβου δὲ ἐμβαλόντος εἰς Ἰταλίαν ἐπέμφθη μὲν ὁ Μάρκελλος ἐπὶ Σικελίαν στόλον ἄγων· ἐπεὶ δὲ ἡ περὶ Κάννας ἀτυχία συνέπεσε καὶ Ῥωμαίων οὐκ ὀλίγαι μυριάδες ἐν τῇ μάχῃ διεφθάρησαν, ὀλίγοι δὲ σωθέντες εἰς Κανύσιον συνεπεφεύγεσαν, ἦν δὲ προσδοκία τὸν Ἀννίβαν εὐθὺς ἐπὶ τὴν Ῥώμην ἐλᾶν ὅπερ ἦν κράτιστον τῆς δυνάμεως ἀνῃρηκότα, πρῶτον μὲν ὁ Μάρκελλος ἀπὸ τῶν νεῶν ἔπεμψε τῇ πόλει φυλακὴν πεντακοσίους καὶ χιλίους ἄνδρας, ἔπειτα δόγμα τῆς βουλῆς δεξάμενος εἰς Κανύσιον παρῆλθε καὶ τοὺς ἐκεῖ συνειλεγμένους παραλαβὼν ἐξήγαγε τῶν ἐρυμάτων ὡς οὐ προησόμενος τὴν χώραν. (2) Ῥωμαῖοι δὲ τῶν ἡγεμονικῶν καὶ δυνατῶν ἀνδρῶν οἱ μὲν ἐτεθνήκεσαν ἐν ταῖς μάχαις, Φαβίου δὲ Μαξίμου τοῦ πλεῖστον ἔχοντος ἀξίωμα πίστεως καὶ συνέσεως τὸ λίαν ἀπηκριβωμένον ἐν τοῖς ὑπὲρ τοῦ μὴ παθεῖν λογισμοῖς ὡς ἀργὸν ἐπὶ τὰς πράξεις καὶ ἄτολμον ἠτιῶντο· καὶ νομίζοντες ἀποχρῶντα τοῦτον ἔχειν πρὸς ἀσφάλειαν, οὐ διαρκῆ δὲ πρὸς ἄμυναν στρατηγὸν, ἐπὶ τὸν Μάρκελλον ἀφεώρων καὶ τὸ θαρραλέον αὐτοῦ καὶ δραστήριον πρὸς τὴν ἐκείνου κεραννύντες καὶ ἁρμόττοντες εὐλάβειαν καὶ πρόνοιαν ποτὲ μὲν ἀμφοτέρους ἅμα χειροτονοῦντες ὑπάτους, ποτὲ δὲ ἐν μέρει, τὸν μὲν ὕπατον, τὸν δὲ ἀνθύπατον ἐξέπεμπον. (3) Ὁ δὲ Ποσειδώνιός φησι τὸν μὲν Φάβιον θυρεὸν καλεῖσθαι, τὸν δὲ Μάρκελλον ξίφος. Αὐτὸς δὲ ὁ Ἀννίβας ἔλεγε τὸν μὲν Φάβιον ὡς παιδαγωγὸν φοβεῖσθαι, τὸν δὲ Μάρκελλον ὡς ἀνταγωνιστήν· ὑφ' οὗ μὲν γὰρ κωλύεσθαι κακόν τι ποιεῖν, ὑφ' οὗ δὲ καὶ πάσχειν.

X. Πρῶτον μὲν οὖν ἀνέσεως πολλῆς καὶ θρασύτητος ἐκ τοῦ κρατεῖν τὸν Ἀννίβαν τοῖς στρατιώταις ἐγγενομένης τοὺς ἀποσκιδναμένους τοῦ στρατοπέδου καὶ κατατρέχοντας τὴν χώραν ἐπιτιθέμενος κατέκοπτε καὶ ὑπανήλισκε τῆς δυνάμεως· ἔπειτα πρὸς Νέαν πόλιν καὶ Νῶλαν βοηθήσας Νεαπολίτας μὲν ἐπέρρωσεν αὐτοὺς καθ' ἑαυτοὺς βεβαίους ὄντας Ῥωμαίοις, εἰς δὲ Νῶλαν εἰσελθὼν στάσιν εὗρε, τῆς βουλῆς τὸν δῆμον ἀννιβίζοντα μεταχειρίσασθαι καὶ καταρτίσαι μὴ δυναμένης. (2) Ἦν γάρ τις ἀνὴρ εὐγενείᾳ τε πρωτεύων ἐν τῇ πόλει καὶ κατ' ἀνδρείαν ἐπιφανὴς, ὄνομα Βάνδιος· τοῦτον ἐν Κάνναις περιόπτως ἀγωνισάμενον καὶ πολλοὺς μὲν

Quirino sacra esse, referentique prima asses trecentos, secunda ducentos, tertia centum asses præmium statuisse. (10) Communis tamen sermo obtinuit, ea tantum opima esse, quæ acie instructa prima leguntur de imperatore hostium, manu imperatoris occiso. Ac de his quidem satis. (11) Romani vero victoriam eam, quæ bello finem imposuit, tanti fecerunt, ut Pythio Apollini crateram auream de manubiis Delphos gratiarum causa agendarum, splendidaque ex iisdem munera confœderatis urbibus, multa etiam Hieroni Syracusarum regi, socio atque amico, miserint.

IX. Post adventum Hannibalis in Italiam missus est cum classe in Siciliam Marcellus: sed ubi clade ad Cannas accepta (qua multa Romanorum millia perierunt, pauci superstites Canusium confugerunt) jam ad Romam recta ducturus videbatur Hannibal, robore exercitus Romani interfecto; initio Marcellus mille quingentos viros a sua classe Romam præsidio urbi misit. Deinde senatusconsulto jussus, Canusium venit, et quos ibi collectos invenisset, extra munitiones eduxit, ut qui deserere hostique prodere eam nollet regionem. (2) Eo tempore Romani duces bellicæque rei gnari plerique in prœliis occubuerant. Fabii autem Maximi, qui fidei ac sapientiæ summam obtinebat existimationem, nimis accurata in cavendis damnis ratio culpabatur, quod is ad res gerendas languidus minusque audax esset. Hunc ergo cum sufficere ad vitanda mala, non idoneum vero ad propulsandam injuriam hostilem esse ducerent, animum adjecerunt Marcello, ejusque audaciam inque rebus gerendis efficacitatem adjungendam temperandamque illius prudentia et in cavendo diligentia rati, est ubi utrumque consulem, est et ubi alterum consulem, alterum pro consule emiserunt. (3) Posidonius refert, Fabio scuti, Marcello gladii nomen inditum. Et ipse Hannibal dixit, Fabium a se tanquam pædagogum metui, Marcellum vero ut adversarium; et ab altero se, ne quid damni dare Romanis possit, prohiberi, a Marcello autem etiam damnis affici.

X. Hic enim primum cum ob victorias partas Hannibalis milites securi audacesque essent, eos qui e castris in agros erant dispersi per insidias interficiendo, vires hostium minuit. Deinde Neapoli et Nolæ auxilium ferens, Neapolitanos, quorum firma erat erga Romanos fides, confirmavit. Nolæ factiones invenit et senatus plebem ad Hannibalis inclinantem partes non poterat compescere. (2) Erat quidam Nolæ Bandius, nobilitatis primæ ac fortitudinis notæ. Præclara ejus ad Cannas fuerat pugna multisque

ἀνελόντα τῶν Καρχηδονίων, τέλος δὲ αὐτὸν ἐν τοῖς νεκροῖς εὑρεθέντα πολλῶν βελῶν κατάπλεων τὸ σῶμα, θαυμάσας ὁ Ἀννίβας οὐ μόνον ἀφῆκεν ἄνευ λύτρων, ἀλλὰ καὶ δῶρα προσέθηκε καὶ φίλον ἐποιήσατο καὶ ξένον. (3) Ἀμειβόμενος οὖν τὴν χάριν ὁ Βάνδιος εἷς ἦν τῶν ἀννιδιζόντων προθύμως καὶ τὸν δῆμον ἰσχύων ἐξήγαγε πρὸς ἀπόστασιν. (4) Ὁ δὲ Μάρκελλος ἀνελεῖν μὲν ἄνδρα λαμπρὸν οὕτω τὴν τύχην καὶ κεκοινωνηκότα τῶν μεγίστων Ῥωμαίοις ἀγώνων οὐχ ὅσιον ἡγεῖτο, πρὸς δὲ τῷ φύσει φιλανθρώπῳ καὶ πιθανὸς ὢν ὁμιλίᾳ προσάγεσθαι φιλότιμον ἦθος, ἀσπασαμένου ποτὲ τοῦ Βανδίου αὐτὸν ἠρώτησεν ὅστις ἀνθρώπων εἴη, πάλαι μὲν εὖ εἰδὼς, ἀρχὴν δὲ καὶ πρόφασιν ἐντεύξεως ζητῶν. (5) Ὡς γὰρ εἶπε « Λεύκιος Βάνδιος, » οἷον ἡσθεὶς καὶ θαυμάσας ὁ Μάρκελλος, « Ἦ γὰρ ἐκεῖνος, ἔφη, σὺ Βάνδιος, οὗ πλεῖστος ἐν Ῥώμῃ λόγος τῶν ἐν Κάνναις ἀγωνισαμένων, ὡς μόνου Παῦλον Αἰμίλιον τὸν ἄρχοντα μὴ προλιπόντος, ἀλλὰ τὰ πλεῖστα τῶν ἐκείνῳ φερομένων βελῶν ὑποστάντος τῷ σώματι καὶ ἀναδεξαμένου; » (6) Φήσαντος δὲ τοῦ Βανδίου καί τι καὶ παραφήναντος αὐτῷ τῶν τραυμάτων, « Εἶτα, ἔφη, τηλικαῦτα γνωρίσματα φέρων τῆς πρὸς ἡμᾶς φιλίας οὐκ εὐθὺς προσῄεις; ἢ κακοί σοι δοκοῦμεν ἀρετὴν ἀμείβεσθαι φίλων οἷς ἐστι τιμὴ καὶ παρὰ τοῖς πολεμίοις; « (7) Ταῦτα φιλοφρονηθεὶς καὶ δεξιωσάμενος ἵππον τε δωρεῖται πολεμιστὴν αὐτῷ καὶ δραχμὰς ἀργυρίου πεντακοσίας.

XI. Ἐκ τούτου βεβαιότατος μὲν ἦν Μαρκέλλῳ παραστάτης καὶ σύμμαχος, δεινότατος δὲ μηνυτὴς καὶ κατήγορος τῶν τἀναντία φρονούντων ὁ Βάνδιος. Ἦσαν δὲ πολλοὶ καὶ διενοοῦντο, τῶν Ῥωμαίων ἐπεξιόντων τοῖς πολεμίοις, αὐτοὶ διαρπάσαι τὰς ἀποσκευάς. (2) Διὸ συντάξας ὁ Μάρκελλος τὴν δύναμιν ἐντὸς περὶ τὰς πύλας ἔστησε τὰ σκευοφόρα καὶ τοῖς Νωλανοῖς διὰ κηρύγματος ἀπεῖπε πρὸς τὰ τείχη προσπελάζειν. (3) Ἦν οὖν ὅπλων ἐρημία καὶ τὸν Ἀννίβαν ἐπεσπάσατο προσάγειν ἀτακτότερον, ὡς τῶν ἐν τῇ πόλει ταραττομένων. Ἐν τούτῳ δὲ τὴν καθ' αὑτὸν πύλην ἀναπετάσαι κελεύσας ὁ Μάρκελλος ἐξῆλασεν ἔχων μεθ' ἑαυτοῦ τῶν ἱππotῶν τοὺς λαμπροτάτους· καὶ προσπεσὼν κατὰ στόμα συνείχετο τοῖς πολεμίοις. (4) Μετ' ὀλίγον δ' οἱ πεζοὶ καθ' ἑτέραν πύλην ἐχώρουν μετὰ δρόμου καὶ βοῆς· καὶ πρὸς τούτοις αὖθις αὖ τοῦ Ἀννίβα μερίζοντος τὴν δύναμιν ἡ τρίτη τῶν πυλῶν ἀνεῳγνυτο καὶ δι' αὐτῆς ἐξέθεον οἱ λοιποὶ καὶ προσέκειντο πανταχόθεν ἐκπεπληγμένοις τῷ ἀπροσδοκήτῳ καὶ κακῶς ἀμυνομένοις τοὺς ἐν χερσὶν ἤδη διὰ τοὺς ὕστερον ἐπιφερομένους. (5) Κἀνταῦθα πρῶτον οἱ σὺν Ἀννίβᾳ Ῥωμαίοις ἐνέδωκαν ὠθούμενοι φόνῳ πολλῷ καὶ τραύμασι πρὸς τὸ στρατόπεδον. Λέγονται γὰρ ὑπὲρ πεντακισχιλίους ἀποθανεῖν, ἀποκτεῖναι δὲ Ῥωμαίων οὐ πλείονας ἢ πεντακοσίους. (6) Ὁ δὲ Λίβιος οὕτω μὲν οὐ διαβεβαιοῦται γενέσθαι μεγάλην ἧτταν οὐδὲ πεσεῖν νεκροὺς τοσούτους τῶν πολεμίων, κλέος δὲ μέγα Μαρκέλλῳ καὶ Ῥωμαίοις

Carthaginiensium cæsis, onustus telis inter cadavera, reperti fuerat : eumque admiratus Hannibal non modo sine pretio dimiserat, sed dona addiderat, amicumque et hospitem suum fecerat. (3) Itaque ut gratiam referret, unus erat eorum, qui Hannibalis rebus impense studerent, populumque, apud quem multum poterat, ad defectionem a Romanis alliciebat. (4) Eum occidere Marcellus impium ratus, hominem illustrem et qui rebus adversissimis Romanorum fortunæ partem sustinuisset : ut erat natura non humanus modo, sed et cujus sermone ingenuus quisque facile alliceretur, salutatus semel a Bandio quis homo esset interrogavit : jam dudum quidem id notum habens, sed initium colloquii tum occasionemque captans. (5) Cum se L. Bandium esse ille respondisset, tanquam delectatus ea re Marcellus miratusque : Et vero tu, inquit, Bandius ille es, de quo Romæ multus sermo, ut qui solus eorum qui ad Cannas dimicarunt, non deseruerit Paulum Æmilium consulem, sed pleraque in eum conjectorum telorum suo exceperit corpore? (6) Affirmante hoc Bandio, ac nonnulla ostentante vulnera : Ergo, inquit, qui tanta amicitiæ nostræ indicia gerebas, non statim ad nos accessisti? aut nos virtutem amicorum, quæ etiam apud hostes in honore est, compensare posse diffidebas? (7) Hæc amice locutus, juncta dextra equum ei bellatorem dono dat ac quingentos denarios.

XI. Exinde Bandius summa fide in societate Marcelli perstitit, gravissimusque fuit eorum, qui contra sentirent, index : multi enim erant, statuerantque Romanis ad prælium egressis, impedimenta eorum diripere. (2) Itaque Marcellus exercitu instructo intra portas calones constituit, Nolanis edicto, ne quis eorum ad muros accederet. (3) Quod nemo armatus conspiceretur, Hannibal in urbe tumultum esse ratus, incomposito agmine ad urbem accessit. Tum Marcellus porta, juxta quam constiterat, aperta cum equitum præstantissima parte erupit, inque frontem hostilis acies pugnavit. (4) Paulo post altera porta pedites cum clamore excurrerunt : cumque Hannibal horum causa exercitum divideret, reliqui tertia porta effusi, perterritos inopinata re neque jam priorum vim ferentes, adorti sunt. (5) Tum primum Hannibalis exercitus Romanis cessit, multisque vulneribus et magna cum trepidatione ad castra contendit. Cecidisse de Hannibalis militibus quinque millia feruntur, de Romanis haud amplius quingentis. (6) Livius non quidem affirmat tantam hostibus illatam cladem neque tot hostes cæsos : gloriam vero magnam Marcello Romanisque post

ἐκ κακῶν θάρσος ἀπὸ τῆς μάχης ἐκείνης ὑπάρξαι θαυμαστὸν, οὐχ ὡς πρὸς ἄμαχον οὐδὲ ἀήττητον, ἀλλά τι καὶ παθεῖν δυνάμενον διαγωνιζομένοις πολέμιον.

XII. Διὸ καὶ θατέρου τῶν ὑπάτων ἀποθανόντος ἐκάλει Μάρκελλον ὁ δῆμος ἐπὶ τὴν διαδοχὴν ἀπόντα καὶ βίᾳ τῶν ἀρχόντων ὑπερέθετο τὴν κατάστασιν ἕως ἐκεῖνος ἦλθεν ἀπὸ τοῦ στρατοπέδου. (2) Καὶ πάσαις μὲν b ἀπεδείχθη ταῖς ψήφοις ὕπατος, ἐπιβροντήσαντος δὲ τοῦ θεοῦ καὶ τῶν ἱερέων οὐκ αἴσιον τιθεμένων τὸ σημεῖον, ἐμφανῶς δὲ κωλύειν ὀκνούντων καὶ δεδιότων τὸν δῆμον, αὐτὸς ἐξωμόσατο τὴν ἀρχήν. (3) Οὐ μέντοι τὴν στρατείαν ἔφυγεν, ἀλλ' ἀνθύπατος ἀναγορευθεὶς καὶ πάλιν πρὸς Νῶλαν ἐπανελθὼν εἰς τὸ στρατόπεδον κακῶς ἐποίει τοὺς ἠρημένους τὰ τοῦ Φοίνικος. (4) Ὡς δὲ ὀξεῖαν ἐπ' αὐτὸν θέμενος βοήθειαν ἐκεῖνος ἦκε, προκαλουμένῳ μὲν ἐκ παρατάξεως οὐκ ἠβουλήθη διαγωνίσασθαι, τρέψαντι δὲ τὸ πλεῖστον ἐφ' ἁρπαγὴν τοῦ στρατοῦ καὶ μηκέτι προσδεχομένῳ μάχην ἐπεξῆλθε c διαδοὺς δόρατα τῶν ναυμάχων μεγάλα τοῖς πεζοῖς καὶ διδάξας πόρρωθεν συντηροῦσι παίειν τοὺς Καρχηδονίους, ἀκοντιστὰς μὲν οὐκ ὄντας, αἰχμαῖς δὲ χρωμένους ἐκ χειρὸς βραχείαις. (5) Διὸ καὶ δοκοῦσι τότε δεῖξαι τὰ νῶτα Ῥωμαίοις ὅσοι συνέβαλον καὶ φυγὴν ἀπροφάσιστον φυγεῖν ἀποβαλόντες ἐξ ἑαυτῶν νεκροὺς μὲν γενομένους πεντακισχιλίους, αἰχμαλώτους δὲ ἑξακοσίους, καὶ τῶν ἐλεφάντων τέσσαρας μὲν πεσόντας, δύο δὲ ζωοὺς ἁλόντας. (6) Ὃ δ' ἦν μέγιστον, ἡμέρᾳ τρίτῃ μετὰ τὴν μάχην ἱππεῖς Ἰβήρων καὶ Νομάδων d μιγάδες αὐτομολοῦσιν ὑπὲρ τοὺς τριακοσίους, οὔπω πρότερον Ἀννίβα τοῦτο παθόντος, ἀλλ' ἐκ ποικίλων καὶ πολυτρόπων συνηρμοσμένον ἐθνῶν βαρβαρικὸν στράτευμα πλεῖστον χρόνον ἐν μιᾷ γνώμῃ διαφυλάξαντος. Οὗτοι μὲν οὖν πιστοὶ παρέμειναν εἰς ἅπαν αὐτῷ τε τῷ Μαρκέλλῳ καὶ τοῖς μετ' αὐτὸν στρατηγοῖς.

XIII. Ὁ δὲ Μάρκελλος ἀποδειχθεὶς ὕπατος τὸ τρίτον εἰς Σικελίαν ἔπλευσεν. Αἱ γὰρ Ἀννίβου περὶ τὸν πόλεμον εὐπραξίαι Καρχηδονίους ἐπῆραν αὖθις ἀντιλαμβάνεσθαι τῆς νήσου, μάλιστα τεταραγμένων τῶν περὶ τὰς Συρακούσας μετὰ τὴν Ἱερωνύμου τοῦ τυραννου τελευτήν. (2) Διὸ καὶ Ῥωμαίων ἦν ἐκεῖ προπεσταλμένη δύναμις καὶ στρατηγὸς Ἄππιος. (3) Ταύτην e παραλαμβάνοντι τῷ Μαρκέλλῳ προσπίπτουσι Ῥωμαῖοι πολλοὶ συμφορᾷ κεχρημένοι τοιαύτῃ. Τῶν περὶ Κάννας παραταξαμένων πρὸς Ἀννίβαν οἱ μὲν ἔφυγον, οἱ δὲ ζῶντες ἥλωσαν, τοσοῦτον πλῆθος, ὡς δοκεῖν Ῥωμαίοις ὑπολελεῖφθαι μηδὲ τοὺς τὰ τείχη διαφυλάξοντας. (4) Τοῖς δὲ ἄρα τοσοῦτο τοῦ φρονήματος καὶ μεγαλοψυχίας περιῆν, ὥστε τοὺς μὲν αἰχμαλώτους ἐπὶ μικροῖς λύτροις ἀποδιδόντος Ἀννίβου μὴ λαβεῖν, ἀλλ' ἀποψηφίσασθαι καὶ περιδεῖν τοὺς μὲν ἀναιρεθέντας, τοὺς δὲ πραθέντας ἔξω τῆς Ἰταλίας, τῶν δὲ φυγῇ f περιγενομένων τὸ πλῆθος εἰς Σικελίαν ἀποστεῖλαι διακελευσαμένους Ἰταλίας μὴ ἐπιβαίνειν ἕως πολεμοῦσι πρὸς Ἀννίβαν. (5) Οὗτοι δὴ τῷ Μαρκέλλῳ παραγενό-

tot mala fiduciam pugnam illam attulisse ait, cum non adversus invictum hostem, sed qui et ipse pati aliquid incommodi posset, se bellum gerere sentirent.

XII. Itaque altero deinde consulum mortuo, populus Marcellum absentem, ut ei succederet, vocavit, invitisque proceribus comitia distulit, dum is ab exercitu veniret. (2) Postquam venit, ingenti omnium consensu est consul creatus, sed cum tonuisset idque ostentum augures adversum ducerent, neque tamen palam metu populi magistratu eum prohibere auderent, ipse consulatum ejuravit. (3) Munus vero belli gerendi nihilominus obiit, ac pro consule ad exercitum, qui erat apud Nolam, reversus, eos, qui Pœno se conjunxerant, infestavit. (4) Celeriter contra eum Hannibal exercitum adduxit: at Marcellus provocatus acie instructa pugnare detrectavit; ut vero majorem exercitus partem prædatum Pœnus dimisit, neque jam pugnam cogitavit, suos ad prœlium eduxit. Longos peditibus contos dederat, quorum navalibus in prœliis usus est, docueratque eos Carthaginienses eminus exceptos ferire, qui non pilis, sed cominus brevibus hastis pugnare consuevissent. (5) Itaque ergo terga Romanis ostenderunt, atque aperte fugerunt: cæsa sunt hostium millia quinque, capti sexcenti, elephanti quoque occisi quattuor, capti duo. (6) Et, quod maximum fuit, tertia secundum eam pugnam die equites misti Numidæ Hispanique plures trecentis ab Hannibale transfugerunt: quod ante eum diem nunquam acciderat Pœno, qui barbarum exercitum e variis et diversis collectum gentibus diu in concordia retinuerat. Hi cum Marcello, tum ceteris deinceps ducibus fidi permanserunt.

XIII. Porro Marcellus tertium consul factus, in Siciliam transmisit. Etenim successus belli Carthaginienses moverat, ut de hac iterum obtinenda insula cogitarent, præsertim morte Hieronymi tyranni rebus Syracusanis conturbatis. (2) Idcirco Romani eo exercitum miserant, duce Appio. (3) Ad Marcellum, ubi exercitum eum accepit, multi Romani supplices venerunt, tali calamitate afflicti. Romanorum, qui ad Cannas in acie contra Hannibalem steterant, alii fugerant, alii in potestatem hostium vivi pervenerant, tanto quidem numero, ut ne defendendis quidem muris qui essent restare viderentur. (4) Ii tamen adhuc Romanis spiritus, ea animi supererat magnitudo, ut neque captivos redemerint, vile pro eis pretium postulante Hannibale, sed contra facto decreto alios occidi, alios divendi extra Italiam passi sint: et eam multitudinem, quæ fuga salutem invenerat, in Siciliam transmiserint, edito, ne, quamdiu bellum cum Hannibale esset, vestigium in Italia ii ponerent. (5) Hi ergo ad Marcelli pedes tunc se confertim provolven-

μένῳ προσπεσόντες ἀθρόοι, καὶ χαμαὶ καταβαλόντες αὐτοὺς ἤτουν τάξιν ἐπισήμου στρατείας μετὰ πολλῆς βοῆς καὶ δακρύων ἐπαγγελλόμενοι δείξειν δι' ἔργων 305ἀτυχίᾳ τινὶ μᾶλλον ἢ δι' ἀνανδρίαν αὐτῶν τὴν τροπὴν a ἐκείνην γενομένην. (6) Οἰκτείρας οὖν αὐτοὺς ὁ Μάρκελλος ἔγραψε πρὸς τὴν σύγκλητον αἰτούμενος ἐκ τούτων ἀεὶ τῆς στρατιᾶς τὸ ἐπιλεῖπον ἀναπληροῦν. (7) Λόγων δὲ πολλῶν γενομένων ἐποιήσατο γνώμην ἡ βουλὴ μηδὲν εἰς δημόσια πράγματα δεῖσθαι Ῥωμαίους ἀνθρώπων ἀνάνδρων, εἰ δὲ βούλεται χρῆσθαι Μάρκελλος αὐτοῖς ἴσως μηδενὸς τῶν ἐπ' ἀνδρείᾳ νομιζομένων στεφάνων καὶ γερῶν τυγχεῖν ὑπ' ἄρχοντος. (8) Τοῦτο τὸ δόγμα Μάρκελλον ἠνίασε καὶ μετὰ τὸν ἐν Σικελίᾳ πόλεμον ἐπανελθὼν ἐμέμψατο τὴν βουλήν, ὡς ἀντὶ b πολλῶν καὶ μεγάλων οὐ παρασχοῦσαν αὐτῷ τοσούτων δυστυχίαν ἐπανορθώσασθαι πολιτῶν.

XIV. Τότε δ' ἐν Σικελίᾳ πρῶτον μὲν ἀδικηθεὶς ὑπὸ Ἱπποκράτους, Συρακοσίων στρατηγοῦ, ὃς Καρχηδονίοις χαριζόμενος καὶ τυραννίδα κτώμενος αὐτῷ πολλοὺς διέφθειρε Ῥωμαίων ** πρὸς Λεοντίνοις καὶ εἷλε τὴν τῶν Λεοντίνων πόλιν κατὰ κράτος καὶ Λεοντίνους μὲν οὐκ ἠδίκησε, τῶν δὲ αὐτομόλων ὅσους ἔλαβε μαστιγώσας ἀπέκτεινε. (2) Τοῦ δ' Ἱπποκράτους πρῶτον μὲν λόγον εἰς τὰς Συρακούσας προπέμψαντος, ὡς Λεοντίνους ἡδηδὸν ἀποσφάττει Μάρκελλος, ἔπειτα δὲ τεταραγμένοις ἐπιπεσόντος καὶ τὴν πόλιν καταλαβόντος, ἄρας ὁ Μάρκελλος τῷ στρατῷ παντὶ πρὸς τὰς Συρα- c κούσας ἐχώρει. (3) Καὶ καταστρατοπεδεύσας πλησίον εἰσέπεμψε μὲν πρέσβεις περὶ τῶν ἐν Λεοντίνοις διδάξοντας· ὡς δὲ οὐδὲν ἦν ὄφελος, μὴ πειθομένων Συρακοσίων (ἐκράτουν γὰρ οἱ περὶ τὸν Ἱπποκράτη), προσβολὰς ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν, Ἀππίου μὲν τὸν πεζὸν ἐπάγοντος στρατὸν, αὐτὸς δὲ πεντήρεις ἔχων ἑξήκοντα παντοδαπῶν ὅπλων καὶ βελῶν πλήρεις. Ὑπὲρ δὲ μεγάλου ζεύγματος νεῶν ὀκτὼ πρὸς ἀλλήλας συνδεδεμένων μηχανὴν ἄρας ἐπέπλει πρὸς τὸ τεῖχος τῷ πλήθει καὶ τῇ λαμπρότητι τῆς παρασκευῆς καὶ τῇ δόξῃ τῇ περὶ αὐτὸν πεποιθώς· ἦς ἄρα λόγος οὐδεὶς ἦν Ἀρχιμήδει καὶ τοῖς Ἀρχιμήδους μηχανήμασιν. (4) Ὧν ὡς μὲν ἔργον ἄξιον σπουδῆς οὐδὲν ὁ d ἀνὴρ προῦθετο, γεωμετρίας δὲ παιζούσης ἐγεγόνει πάρεργα τὰ πλεῖστα, πρότερον φιλοτιμηθέντος Ἱέρωνος τοῦ βασιλέως καὶ πείσαντος Ἀρχιμήδη τρέψαι τι τῆς τέχνης ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ καὶ τὸν λόγον ἀμωσγέπως δι' αἰσθήσεως μίξαντα ταῖς χρείαις ἐμφανέστερον καταστῆσαι τοῖς πολλοῖς. (5) Τὴν γὰρ ἀγαπωμένην ταύτην καὶ περιβόητον ὀργανικὴν ἤρξαντο μὲν κινεῖν οἱ περὶ Εὔδοξον καὶ Ἀρχύταν ποικίλλοντες τῷ γλαφυρῷ γεωμετρίαν καὶ λογικῆς καὶ γραμμικῆς e ἀποδείξεως οὐκ εὐπορουῦντα προβλήματα δι' αἰσθητῶν καὶ ὀργανικῶν παραδειγμάτων ὑπερείδοντες, ὡς τὸ περὶ δύο μέσας ἀνὰ λόγον πρόβλημα καὶ στοιχεῖον ἐπὶ πολλὰ τῶν γραφομένων ἀναγκαῖον εἰς ὀργανικὰς ἐξῆγον ἀμφότεροι κατασκευὰς μεσογράφους τινὰς ἀπὸ καμπύ-

tes petebant supplices, ut in honestam aliquam militiam ascriberentur, multis adhibitis vociferationi lacrimis, promittentes se re ipsa demonstraturos, fugam eam non timiditate, sed calamitate accidisse. (6) Miseratus eos Marcellus, senatui scripsit, petens ut ad supplementa legionum, quotiescunque opus esset, ii assumerentur. (7) Re diu jactata, Senatus decrevit, nihil opus esse Romanis ad rempublicam gerendam hominibus ignavis : quodsi vellet Marcellus, uteretur sane iis, fortitudinis tamen causa nullam illis dux coronam daret, nullum honorem. (8) Ægre id senatus consultum Marcellus tulit, reversusque a bello Siciliensi Senatum reprehendit, quod ipsi pro tot tantisque rebus gestis non tantum gratiæ dedissent, ut civium calamitati posset mederi.

XIV. Tum primum in Sicilia injuria affectus ab Hippocrate Syracusanorum prætore, qui ut rem Carthaginiensibus gratam præstaret, et sibi ipsi tyrannidem pararet, multos Romanorum occiderat *** apud Leontinos, Leontinorumque urbem vi cepit Marcellus. Civibus pepercit; quotquot autem perfugas deprehendisset, eos omnes flagris cæsos necavit. (2) At Hippocrates primo falsum Syracusas nuntium mittere, qui omnes puberes Leontinos necatos a Marcello diceret : deinde turbatis Syracusanis supervenire urbemque occupare. Itaque Marcellus cum universo exercitu ad Syracusas ivit. (3) Castrisque prope positis, primum legatos in urbem misit, qui, quæ acta essent apud Leontinos, docerent : ubi id frustra fuit, non admittentibus orationem Syracusanis, Hippocratis factione prævalente, terra marique oppugnare Syracusas instituit. Appio, ut terra exercitum adduceret, mandatum; ipse cum sexaginta triremibus omni armorum et jaculorum genere repletis, machinaque, quam junctis inter se connexisque in modum pontis octo navibus imposuerat, muro adnavigavit, multitudini splendorique apparatus gloriæque fidens suæ. Nihil tamen hæc ad Archimedem Archimedisque machinas erant. (4) Et quidem Archimedes non ut rem seriam earum tractationem propositam habebat, sed pleraque geometriæ veluti ludentis erant opera, quæ obiter ediderat quondam, Hieronis regis rogatu, cum is ita ab Archimede contendisset, ut geometriam ab iis, quæ sola intelligentia percipiuntur, ad sensiles res quodammodo converteret, rationesque istas per corporea instrumenta ad usum transferens, illustriorem eam artem multitudini redderet. (5) Etenim nobilem istam atque gratam machinarum conficiendarum artem Eudoxus atque Archytas cœperant indagare, geometriam expolientes et ea problemata, quorum explicatio logica aut geometrica demonstratione non facile inveniretur, exemplis sensilibus instrumentisque absolventes. Tale est de duobus proportionalibus inter duo extrema data mediis inveniendis problema : quod cum sit principium ad multarum descriptionem figurarum necessarium, uterque instrumentorum apparatu adsumpto tractaverunt, curvis

λων γραμμῶν καὶ τμημάτων μεθαρμόζοντες· (6) ἐπεὶ δὲ Πλάτων ἠγανάκτησε καὶ διετείνατο πρὸς αὐτοὺς ὡς ἀπολλύντας καὶ διαφθείροντας τὸ γεωμετρίας ἀγαθὸν ἀπὸ τῶν ἀσωμάτων καὶ νοητῶν ἀποδιδρασκούσης ἐπὶ τὰ αἰσθητὰ καὶ προσχρωμένης αὖθις αὖ σώματι πολλῆς καὶ φορτικῆς βαναυσουργίας δεομένῳ, οὕτω διεκρίθη γεωμετρίας ἐκπεσοῦσα μηχανικὴ καὶ περιορωμένη πολὺν χρόνον ὑπὸ φιλοσοφίας μία τῶν στρατιωτίδων τεχνῶν ἐγεγόνει. (7) Καὶ μέντοι καὶ Ἀρχιμήδης, Ἱέρωνι τῷ βασιλεῖ συγγενὴς ὢν καὶ φίλος, ἔγραψεν, ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι, καὶ νεανιευσάμενος, ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως εἶπεν, ὡς, εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν ἂν ταύτην μεταβὰς εἰς ἐκείνην. (8) Θαυμάσαντος δὲ τοῦ Ἱέρωνος καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα καὶ δεῖξαί τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα τριάρμενον τῶν βασιλικῶν πόνῳ μεγάλῳ καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς, ἀλλὰ ἠρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου προσηγάγετο λείως καὶ ἀπταίστως καὶ ὥσπερ διὰ θαλάττης ἐπιθέουσαν. (9) Ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν ἔπεισε τὸν Ἀρχιμήδην, ὅπως αὐτῷ τὰ μὲν ἀμυνομένῳ τὰ δ' ἐπιχειροῦντι μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας, οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας, τότε δ' ὑπῆρχε τοῖς Συρακοσίοις εἰς δέον ἡ παρασκευὴ καὶ μετὰ τῆς παρασκευῆς ὁ δημιουργός.

XV. Ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθεν, ἔκπληξις ἦν τῶν Συρακοσίων καὶ σιγὴ διὰ δέος μηδὲν ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην. (2) Σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέργκα μεγέθη ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίστῳ καὶ μηδενὸς ὅλως τὸ βρῖθος στέγοντος ἀθρόους ἀνατρεπόντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων, ταῖς δὲ ναυσὶν ἀπὸ τῶν τειχῶν ἄφνω ὑπεραιωρούμεναι κεραῖαι τὰς μὲν ὑπὸ βρίθους στηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθόν, τὰς δὲ χερσὶ σιδηραῖς ἢ στόμασιν εἰκασμένοις γεράνων ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἀνεβάπτιζον ἢ δι' ἀντιτόνων ἔνδον ἐπιστρεφόμεναι καὶ περιαγόμεναι τοῖς ὑπὸ τὸ τεῖχος εἰσπεφυκόσι κρημνοῖς καὶ σκοπέλοις προσήρασσον, ἅμα φθόρῳ πολλῷ τῶν ἐπιβατῶν συντριβομένων. (3) Πολλάκις δὲ μετέωρος ἐξαρθεῖσα ναῦς ἀπὸ τῆς θαλάσσης δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη θέαμα φρικῶδες ἦν, μέχρι οὗ τῶν ἀνδρῶν ἀποῤῥιφέντων καὶ διασφενδονηθέντων κενὴ προσπέσοι τοῖς τείχεσιν ἢ περιολίσθοι τῆς λαβῆς ἀνείσης. (4) Ἦν δὲ ὁ Μάρκελλος ἐπὶ τοῦ ζεύγματος ἐπῆγε μηχανὴν σαμβύκη μὲν ἐκαλεῖτο δι' ὁμοιότητά τινα σχήματος πρὸς τὸ μουσικὸν ὄργανον, ἔτι δὲ ἄπωθεν αὐτῆς προσφερομένοις ἐπὶ τὰς γραμμὰς καὶ τὰ τμήματα μεθαρμόζοντας. (6) Sed ubi Plato indigne hoc ferens, perdi ab ipsis et corrumpi geometriæ dignitatem contendit, quæ ab incorporeis rebus, solaque intelligentia percipiendis ad sensilia transfugiat corporeque rursum utatur, atque ita multum et illiberale requirat otium : ita tum illa machinarum effectrix ars a geometria dejuncta, diuque a philosophis neglecta, pars militaris scientiæ facta est. (7) Sane Archimedes Hieroni regi, cujus erat cognatus et amicus, datis viribus datum pondus moveri posse scripsit : elatusque, ut aiunt, demonstrationis robore jactavit, se, si alia exsisteret terra, in eam transgressum, hanc nostram moturum fuisse. (8) Id miratus Hiero petiit, ut in rem ipsam hoc traduceret problema, ostenderetque magnum aliquid a parvo robore moveri; tum Archimedes tribus velis instructam navim regiam, magno multorum labore in mare deductam multisque impositis hominibus solitoque onere, ipse seorsum sedens, unaque manu non contente, sed leviter agitans ansam artemonis, navem leniter et absque offensione tanquam per mare decurrentem ad se attraxit. (9) Attonitus ea re Hiero vimque artis intelligens, persuasit Archimedi, ut ipsi ad omne genus cum faciendæ tum depellendæ oppugnationis machinas conficeret : quibus ipse quidem usus est nunquam, majorem vitæ partem in otio et festivitate degens, tunc vero et opera et opifex Syracusanis usui fuerunt.

XV. Itaque ut bifariam Romani urbem oppugnare cœperunt, terror Syracusanos et silentium præ metu tenuit, ut qui tantis viribus nulla posse resisti ratione putarent. (2) Verum Archimede machinas suas instituente, terra oppugnantibus omnis generis jacula ingentisque ponderis saxa cum stridore et celeritate incredibili delata obviam ibant : quorum nemo quisquam poterat gravitatem sustinere, sed confertim eos, in quos incidissent, sternebant ordinesque ipsos turbabant. At in naves subito aut de muris demissa trabs gravi pondere recellente eas submergebat; aut manus ferreæ rostrisque gruum similes prora apprehensa rectas in puppim retortas demergebant naves; aut intus per instrumenta contrarios motus habentia obversa navis et circumducta, præcipitiis et scopulis, qui erant sub muro enati, affligebatur et cum magno classiariorum exitio conterebatur. (3) Aliquoties navis in sublime a mari elevata, terribile spectaculum exhibebat, hac illac nutans atque circumvoluta : donec ad extremum hominibus, qui in ea fuerant, ejectis atque velut e funda extortis, ipsa inanis aut muris incideret, aut delaberetur remittente complexum machina. (4) Ceterum machina, quam navibus junctis advehebat Marcellus, Sambuca dicebatur, a similitudine musici instrumenti ita appellati; ea cum eminus ad murum admoveretur, lapis decem talenta appendens, aliusque

νης πρὸς τὸ τεῖχος ἐξήλατο λίθος δεκατάλαντος ὁλκήν, εἶτα ἕτερος ἐπὶ τούτῳ καὶ τρίτος· ὧν οἱ μὲν αὐτῆς ἐμπεσόντες μεγάλῳ κτύπῳ καὶ κλύδωνι τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν καὶ τὸ γόμφωμα διέσεισαν καὶ διέσπασαν τοῦ ζεύγματος, ὥστε τὸν Μάρκελλον ἀπορούμενον αὐτόν τε ταῖς ναυσὶν ἀποπλεῖν κατὰ τάχος καὶ τοῖς πεζοῖς ἀναχώρησιν παρεγγυῆσαι. (5) Βουλευομένοις δὲ ἔδοξεν αὐτοῖς ἔτι νυκτὸς, ἂν δύνωνται, προσμῖξαι τοῖς τείχεσι· τοὺς γὰρ τόνους, οἷς χρῆσθαι τὸ Ἀρχιμήδην, ῥώμην ἔχοντας ὑπερπετεῖς ποιήσεσθαι τὰς τῶν βελῶν ἀφέσεις· ἐντεῦθεν δὲ καὶ τελέως ἀπράκτον εἶναι διάστημα τῆς πληγῆς οὐκ ἐχούσης. (6) Ὁ δ' ἦν, ὡς ἔοικεν, ἐπὶ ταῦτα πάλαι παρεσκευασμένος ὀργάνων τε συμμέτρους πρὸς πᾶν διάστημα κινήσεις καὶ βέλη βραχέα καὶ διὰ τὸ τεῖχος οὐ μεγάλων, πολλῶν δὲ καὶ συνεχῶν τρημάτων ὄντων οἱ σκορπίοι βραχύτονοι μὲν, ἐντεῦθεν δὲ πλῆξαι παρεστήκεσαν ἀόρατοι τοῖς πολεμίοις.

XVI. Ὡς οὖν προσέμιξαν οἰόμενοι λανθάνειν, αὖθις αὖ βέλεσι πολλοῖς ἐντυγχάνοντες καὶ πληγαῖς, πετρῶν 307μὲν ἐκ κεφαλῆς ἐπ' αὐτοὺς φερομένων ὥσπερ πρὸς κάθετον, τοῦ δὲ τείχους τοξεύματα πανταχόθεν ἀναπέμποντος, ἀνεχώρουν ὀπίσω. (2) Κἀνταῦθα πάλιν αὐτῶν εἰς μῆκος ἐκτεταγμένων, βελῶν ἐκθεόντων καὶ καταλαμβανόντων ἀπιόντας, ἐγίνετο πολὺς μὲν αὐτῶν φθόρος, πολὺς δὲ τῶν νεῶν συγκρουσμὸς οὐδὲν ἀντιδρᾶσαι τοὺς πολεμίους δυναμένων. (3) Τὰ γὰρ πλεῖστα τῶν ὀργάνων ὑπὸ τὸ τεῖχος ἐσκευοποιεῖτο τῷ Ἀρχιμήδει· καὶ θεομαχοῦσιν ἐώκεσαν οἱ Ῥωμαῖοι, μυρίων αὐτοῖς κακῶν ἐξ ἀφανοῦς ἐπιχεομένων.

XVII. Οὐ μὴν ἀλλ' ὁ Μάρκελλος ἀπέφυγέ τε καὶ τοὺς σὺν ἑαυτῷ σκώπτων τεχνίτας καὶ μηχανοποιοὺς ἔλεγεν· « Οὐ παυσόμεθα πρὸς τὸν γεωμετρικὸν τοῦτον Βριάρεων πολεμοῦντες, ὃς τὰς μὲν ναῦς ἡμῶν κυαθίζων μετ' αἰσχύνης ἐκβέβληκε, τοὺς δὲ μυθικοὺς ἑκατόγχειρας ὑπεραίρει τοσαῦτα βάλλων ἅμα βέλη καθ' ἡμῶν; » (2) Τῷ γὰρ ὄντι πάντες οἱ λοιποὶ Συρακόσιοι σῶμα τῆς Ἀρχιμήδους παρασκευῆς ἦσαν, ἡ δὲ κινοῦσα πάντα καὶ στρέφουσα ψυχὴ μία, τῶν μὲν ἄλλων ὅπλων ἀτρέμα κειμένων, μόνοις δὲ τοῖς ἐκείνου τότε τῆς πόλεως χρωμένης καὶ πρὸς ἅμυναν καὶ πρὸς ἀσφάλειαν. (3) Τέλος δὲ τοὺς Ῥωμαίους οὕτω περιφόβους γεγονότας ὁρῶν ὁ Μάρκελλος, ὥστ' εἰ καλώδιον ἢ ξύλον ὑπὲρ τοῦ τείχους μικρὸν ὀφθεὶν προτεινόμενον, τοῦτο ἐκεῖνο, μηχανήν τινα κινεῖν ἐπ' αὐτοὺς Ἀρχιμήδη βοῶντας ἀποτρέπεσθαι καὶ φεύγειν, ἀπέσχετο μάχης ἁπάσης καὶ προσβολῆς τὸ λοιπὸν ἐπὶ τῷ χρόνῳ τὴν πολιορκίαν θέμενος. (4) Τηλικοῦτον μέντοι φρόνημα καὶ βάθος ψυχῆς καὶ τοσοῦτον ἐκέκτητο θεωρημάτων πλοῦτον Ἀρχιμήδης, ὥστ' ἐφ' οἷς ὄνομα καὶ δόξαν, οὐκ ἀνθρωπίνης, ἀλλὰ δαιμονίου τινὸς ἔσχε συνέσεως μηδὲν ἀθελῆσαι σύγγραμμα περὶ τούτων ἀπολιπεῖν, ἀλλὰ τὴν περὶ τὰ μηχανικὰ πραγματείαν καὶ πᾶσαν ὅλως τέχνην χρείας ἐφαπτομένην ἀγεννῆ καὶ βάναυσον ἡγη-

atque alius insuper extorti sunt; quorum hi quidem in sambucam eam incidentes magno strepitu et impetu, basim machinæ comminuerunt compagesque disjecerunt et a navium structura avellerunt : itaque Marcellus quid ageret nescius, et ipse statim cum navibus discessit, et peditibus ut idem facerent imperavit. (5) Consultantibus ita placuit, ut noctu, si possent, muro succederent : ita enim et contentiones machinamentorum quibus uteretur Archimedes, validas atque robustas eas, effecturas ut tela supervolent Romanos et cum non satis spatii ictibus detur tormentorum, eos plane inutiles fore. (6) Sed nimirum Archimedes jam pridem tormentorum ad omne spatium accommodatorum apparatu brevibusque telis scorpionibusque inter foramina murorum non magna quidem ea, sed crebra collocatis, qui non procul quidem, sed cominus tamen læderent, neque ab hostibus possent conspici, ei consilio occurrerat.

XVI. Itaque ut appropinquarunt Romani muro, clam hostibus id esse rati, rursus multis sunt jaculis petiti : cum et saxa desuper ad perpendiculum inciderent et murus undique tela emitteret. (2) Cum pedem retulissent, rursusque in longum aciem porrexissent, jacula evolantia discedentes assequebantur : quare multi eorum periere, navium vero magna inter sese conflictatio exstitit, neque hosti contra mali quicquam facere poterat Romanus. (3) Nam machinamentorum pleraque subter murum Archimedes adornaverat. Videbantur ergo quasi deos oppugnare Romani, innumeris undique ex occulto malis vexati.

XVII. Nihilominus Marcellus aufugit suosque fabros et machinarum opifices subsannans, dicebat : « Non finem faciemus geometricum istum Briareum oppugnandi? qui navibus nostris pro cyathis usus eas per contemptum deinde in mare projecit; et nunc eos qui in fabulis sunt Centimanos superat, tot simul nobis immittens jacula. « (2) Et vero re ipsa omnes reliqui Syracusani corpus erant Archimedis machinamentorum, ipse animi instar cetera omnia movebat : jacentibusque otiose omnibus armis, Archimedis unius fabricis et ad defendendos se et ad lædendos hostes utebantur. (3) Denique is invaserat metus Romanos, ut si funiculum modo aut lignum supra murum conspexissent, tormentum aliquod ab Archimede proferri clamantes, fugerent; idcirco Marcellus oppugnatione protinus omissa, obsidionem trahere statuit. (4) Enimvero Archimedes tam alto erat animo, tantisque rerum ratione cognitarum divitiis præditus, ut noluerit de his, quibus sibi nomen et opinionem non humani, sed divini cujusdam ingenii paraverat, quicquam scribere. Quippe machinarum effectionem, omnemque artem quæ necessitati inserviret, illiberalem et sordidam ratus, in his modo studium suum serio

σάμενος εἰς ἐκεῖνα καταθέσθαι μόνα τὴν αὐτοῦ φιλοτιμίαν, οἷς τὸ καλὸν καὶ περιττὸν ἀμιγὲς τοῦ ἀναγκαίου πρόσεστιν, ἀσύγκριτα μὲν ὄντα τοῖς ἄλλοις, ἔριν δὲ παρέχοντα πρὸς τὴν ὕλην τῇ ἀποδείξει, τῆς μὲν τὸ μέγεθος καὶ τὸ κάλλος, τῆς δὲ τὴν ἀκρίβειαν καὶ τὴν δύναμιν ὑπερφυῆ παρεχομένης. (5) οὐ γάρ ἐστιν ἐν γεωμετρίᾳ χαλεπωτέρας καὶ βαρυτέρας ὑποθέσεις ἐν ἁπλουστέροις λαβεῖν καὶ καθαρωτέροις στοιχείοις γραφομένας. (6) Καὶ τοῦθ' οἱ μὲν εὐφυίᾳ τοῦ ἀνδρὸς προσάπτουσιν, οἱ δὲ ὑπερβολῇ τινι πόνου νομίζουσιν ἀπόνως πεποιημένῳ καὶ ῥᾳδίως ἕκαστον ἐοικὸς γεγονέναι. (7) Ζητῶν μὲν γὰρ οὐκ ἄν τις εὕροι δι' αὐτοῦ τὴν ἀπόδειξιν, ἅμα δὲ τῇ μαθήσει παρίσταται δόξα τοῦ κἂν αὐτὸν εὑρεῖν· οὕτω λείαν ὁδὸν ἄγει καὶ ταχεῖαν ἐπὶ τὸ δεικνύμενον. (8) Οὔκουν οὐδὲ ἀπιστῆσαι τοῖς περὶ αὐτοῦ λεγομένοις ἐστίν, ὡς ὑπ' οἰκείας δή τινος καὶ συνοίκου θελγόμενος ἀεὶ σειρῆνος ἐλέληστο καὶ σίτου καὶ θεραπείας σώματος ἐξέλειπε, βίᾳ δὲ πολλάκις ἑλκόμενος ἐπ' ἄλειμμα καὶ λουτρὸν ἐν ταῖς ἐσχάραις ἔγραφε σχήματα τῶν γεωμετρικῶν καὶ τοῦ σώματος ἀληλιμμένου διῆγε τῷ δακτύλῳ γραμμὰς ὑπὸ ἡδονῆς μεγάλης κάτοχος ὢν καὶ μουσόληπτος ἀληθῶς. (9) Πολλῶν δὲ καὶ καλῶν εὑρετὴς γεγονὼς λέγεται τῶν φίλων δεηθῆναι καὶ τῶν συγγενῶν, ὅπως αὐτοῦ μετὰ τὴν τελευτὴν ἐπιστήσωσι τῷ τάφῳ τὸν περιλαμβάνοντα τὴν σφαῖραν ἐντὸς κύλινδρον ἐπιγράψαντες τὸν λόγον τῆς ὑπεροχῆς τοῦ περιέχοντος στερεοῦ πρὸς τὸ περιεχόμενον.

XVIII. Ἀρχιμήδης μὲν οὖν τοιοῦτος γενόμενος ἀήττητον ἑαυτόν τε καὶ τὴν πόλιν, ὅσον ἐφ' ἑαυτῷ, διεφύλαξε. (2) Τῆς δὲ πολιορκίας διὰ μέσου Μάρκελ-
308 λος ἦρε μὲν Μεγαρέας, πόλιν ἐν ταῖς παλαιοτάταις a τῶν Σικελιωτίδων, εἶλε δὲ τὸ Ἱπποκράτους πρὸς Ἀκίλας στρατόπεδον καὶ κατέκτεινεν ὑπὲρ ὀκτακισχιλίους ἐπιπεσὼν χάρακα βαλλομένοις, ἐπέδραμε δὲ πολλὴν τῆς Σικελίας καὶ πόλεις ἀπέστησε Καρχηδονίων καὶ μάχας ἐνίκησε πάσας τοὺς ἀντιταχθῆναι τολμήσαντας. (3) Χρόνῳ δὲ προϊόντι Δάμιππόν τινα Σπαρτιάτην ἐκ Συρακουσῶν λαβὼν ἐκπλέοντα αἰχμάλωτον, ἀξιούντων ἐπὶ λύτροις τῶν Συρακουσίων κομίσασθαι τὸν ἄνδρα, πολλάκις ὑπὲρ τούτου διαλεγόμενος καὶ συντιθέμενος πύργον τινὰ κατεσκέψατο, φυλαττόμενον μὲν ἀμελῶς, b ἀνδρας δὲ δυνάμενον δέξασθαι κρύφα, τοῦ τείχους ἐπιβατοῦ παρ' αὐτὸν ὄντος. (4) Ὡς οὖν τό τε ὕψος ἐκ τοῦ πολλάκις προσιέναι καὶ διαλέγεσθαι πρὸς τὸν πύργον εἰκάσθη καλῶς καὶ κλίμακες παρεσκευάσθησαν, ἑορτὴν Ἀρτέμιδι τοὺς Συρακουσίους ἄγοντας καὶ πρὸς οἶνον ὡρμημένους καὶ παιδιὰν παραφυλάξας ἔλαθεν οὐ μόνον τὸν πύργον κατασχών, ἀλλὰ καὶ κύκλῳ τὸ τεῖχος παρεμπλήσας ὅπλων, πρὶν ἡμέραν γενέσθαι, καὶ τὰ Ἑξάπυλα διακόψας. (5) Ἀρχομένων δὲ κινεῖσθαι καὶ ταράττεσθαι τῶν Συρακουσίων πρὸς τὴν αἴσθησιν ἅμα πανταχόθεν ταῖς σάλπιγξι χρῆσθαι κελεύσας φυγὴν ἐποίησε πολλὴν καὶ φόβον, ὡς οὐδενὸς μέρους ἀναλώτου c μένοντος. (6) Ἔμενε δὲ τὸ καρτερώτατον καὶ κάλλι-

posuit, in quibus pulchritudo et subtilitas nulli commixta necessitati inest. Hæc enim cum nullis aliis rebus concreta, contentionem demonstrationis et materiæ exhibent : cum hæc magnitudinem et pulchritudinem, illa certitudinem et vim immensam præ se ferat. (5) Neque vero in geometria invenies difficiliores atque magis abditas quæstiones simplicioribus purioribusque elementis explicatas. (6) Id quidam felicitati ingenii Archimedis ascribunt, alii incredibili labore ejus effectum putant, quod singula absque labore et facile præstata ab eo videantur. (7) Equidem haud temere quispiam demonstrationem aliquam inveniat : sed ubi eam perdidicit, in eam simul opinionem venit, potuisse ipsam et a se excogitari : adeo levi et expedita via demonstratio ad id, quod est ostendendum, progreditur. (8) Quamobrem ne huic quidem fides abroganda sit, quod fertur, eum sua ista familiari et domestica quadam Sirene istius scientiæ delectatum, sæpe cibi sumendi curandique corporis oblitum fuisse : sæpe vi ad unguentum et lavacrum pertractum, in foco figuras geometricas inscripsisse et in corpore uncto, digito lineas duxisse, præ magna voluptate quasi mentis impotem, vereque Musarum furore correptum. f (9) Idem cum multa et egregia invenisset, ab amicis perhibetur et cognatis petiisse, ut sibi mortuo in sepulcro constituerent cylindrum sphæram circumplexum, et rationem, quæ est cylindri, ad inscriptam sphæram ascriberent.

XVIII. Hic fuit Archimedes, qui tum et se et Syracusas invictas, quantum ab ipsis præstari potuit, servavit. (2) Interim obsidione durante Marcellus Megara, urbem de antiquissimis Siciliæ urbibus unam, diruit : Hippocratis etiam exercitum ad Acilas vicit, castra facientibus superveniens ampliusque octo hostium millibus interfecit, exinde majorem Siciliæ partem incursionibus infestando, urbes ad defectionem a Carthaginiensibus permovit : omnibus vero prœliis, quotiescunque congredi hostes ausi fuissent, victor discessit. (3) Post aliquantum temporis Damippum Spartanum e Syracusis navigantem cepit. Hunc redimere cupientibus Syracusanis, sæpius ea de causa ad colloquium veniens, turrim quandam animadvertit negligentius custoditam, occulte recipiendis hominibus aptam, eo quod ea parte murus conscendi posset. (4) Ejus turris, quia ad eam crebro colloquii causa accedebatur, altitudine probe æstimata, scalisque confectis, Marcellus, capto tempore, quo Syracusani diem Dianæ festum agentes vino se et ludis dedissent, non turrim modo eam occupavit, sed armatis quoque hominibus murum complevit, priusquam dies illucesceret, insciis hostibus etiam tum adhuc, cum ipse jam Hexapyli portas effringeret. (5) Cum re animadversa Syracusani ad arma concurrerent, ipse jussis undique canere c tubis, fugam eis magnumque injecit terrorem, omnes urbis partes captas putantibus. (6) At nondum capta erat ma-

στον καὶ μέγιστον (Ἀχραδινὴ καλεῖται) διὰ τὸ τετειχίσθαι πρὸς τὴν ἔξω πόλιν, ἧς τὸ μὲν Νέαν, τὸ δὲ Τύχην ὀνομάζουσι.

XIX. Καὶ τούτων ἐχομένων ἅμα φάει διὰ τῶν Ἑξαπύλων ὁ Μάρκελλος κατῆει μακαριζόμενος ὑπὸ τῶν ὑφ' ἑαυτὸν ἡγεμόνων. (2) Αὐτὸς μέντοι λέγεται κατιδὼν ἄνωθεν καὶ περισκεψάμενος τῆς πόλεως τὸ μέγεθος καὶ τὸ κάλλος ἐπὶ πολὺ δακρῦσαι καὶ τῷ μέλλοντι γίνεσθαι συμπαθῆσαι, ἐννοήσας οἷον ἐξ οἵου σχῆμα καὶ μορφὴν ἀμείψει μετὰ μικρὸν ὑπὸ τοῦ στρατοπέδου διαφορηθεῖσα. (3) Τῶν γὰρ ἡγεμόνων οὐδεὶς μὲν ἦν ὁ τολμῶν ἐναντιοῦσθαι τοῖς στρατιώταις αἰτουμένοις δι' ἁρπαγῆς ὠφεληθῆναι, πολλοὶ δὲ καὶ πυρπολεῖν καὶ κατασκάπτειν ἐκέλευον. (4) Ἀλλὰ τοῦτον μὲν οὐδὲ ὅλως προσήκατο τὸν λόγον ὁ Μάρκελλος, μάλα δὲ ἄκων βιασθεὶς ἔδωκεν ἀπὸ χρημάτων καὶ ἀνδραπόδων ὠφελεῖσθαι, τῶν δὲ ἐλευθέρων σωμάτων ἀπεῖπεν ἅψασθαι καὶ διεκελεύσατο μήτε ἀποκτεῖναί τινα μήτε αἰσχῦναι μήτε ἀνδραποδίσασθαι Συρακοσίων. (5) Οὐ μὴν ἀλλὰ καίπερ οὕτω μετριάσαι δόξας οἰκτρὰ πάσχειν ἡγεῖτο τὴν πόλιν, καὶ τὸ συμπαθοῦν καὶ τὸ συναλγοῦν ὅμως ἐν τοσούτῳ μεγέθει χαρᾶς ἡ ψυχὴ διέφαινεν ὁρῶντος ἐν βραχεῖ χρόνῳ πολλῆς καὶ λαμπρᾶς ἀφανισμὸν εὐδαιμονίας. (6) Λέγεται γὰρ οὐκ ἐλάττονα τοῦτον ἢ τὸν ὕστερον ἀπὸ Καρχηδόνος διαφορηθέντα πλοῦτον γενέσθαι· καὶ γὰρ τὴν ἄλλην πόλιν οὐ μετὰ πολὺν χρόνον ἁλοῦσαν ἐκ προδοσίας ἐβιάσαντο διαρπάσαι πλὴν τῶν βασιλικῶν χρημάτων· ταῦτα δὲ εἰς τὸ δημόσιον ἐξηρέθη. (7) Μάλιστα δὲ τὸ Ἀρχιμήδους πάθος ἠνίασε Μάρκελλον. Ἔτυχε μὲν γὰρ αὐτός τι καθ' ἑαυτὸν ἀνασκοπῶν ἐπὶ διαγράμματος· καὶ τῇ θεωρίᾳ δεδωκὼς ἅμα τήν τε διάνοιαν καὶ τὴν πρόσοψιν οὐ προῇσθετο τὴν καταδρομὴν τῶν Ῥωμαίων οὐδὲ τὴν ἅλωσιν τῆς πόλεως, ἄφνω δὲ ἐπιστάντος αὐτῷ στρατιώτου καὶ κελεύοντος ἀκολουθεῖν πρὸς Μάρκελλον, οὐκ ἐβούλετο πρὶν ἢ τελέσαι τὸ πρόβλημα καὶ καταστῆσαι πρὸς τὴν ἀπόδειξιν. Ὁ δὲ ὀργισθεὶς καὶ σπασάμενος τὸ ξίφος ἀνεῖλεν αὐτόν. (8) Ἕτεροι μὲν οὖν λέγουσιν ἐπιστῆναι μὲν εὐθὺς ὡς ἀποκτενοῦντα ξιφήρη τὸν Ῥωμαῖον, ἐκεῖνον δ' ἰδόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἀναμεῖναι βραχὺν χρόνον, ὡς μὴ καταλίπῃ τὸ ζητούμενον ἀτελὲς καὶ ἀθεώρητον, τὸν δὲ οὐ φροντίσαντα διαχρήσασθαι. (9) Καὶ τρίτος ἐστὶ λόγος, ὡς κομίζοντι πρὸς Μάρκελλον αὐτῷ τῶν μαθηματικῶν ὀργάνων σκιόθηρα καὶ σφαῖρας καὶ γωνίας, αἷς ἐναρμόττει τὸ τοῦ ἡλίου μέγεθος πρὸς τὴν ὄψιν, στρατιῶται περιτυχόντες καὶ χρυσίον ἐν τῷ τεύχει δόξαντες φέρειν ἀπέκτειναν. (10) Ὅτι μέντοι Μάρκελλος ἤλγησε καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς ἀπεστράφη καθάπερ ἐναγῆ, τοὺς δὲ οἰκείους ἀνεύρων ἐτίμησεν, ὁμολογεῖται.

XX. Τῶν δὲ Ῥωμαίων τοῖς ἐκτὸς ἀνθρώποις δεινῶν μὲν εἶναι πόλεμον μεταχειρίσασθαι καὶ φοβερῶν εἰς χεῖρας ἐλθεῖν νομιζομένων, εὐγνωμοσύνης δὲ καὶ φιλανθρωπίας καὶ ὅλως πολιτικῆς ἀρετῆς ὑποδείγματα μὴ

xima munitissimaque eadem et pulcherrima Syracusarum pars Achradine, cujus muri exterioris urbis (ejus una pars Neapolis, altera Tyche dicitur) muris erant conjuncti.

XIX. His captis, Marcellus prima luce ab Hexapylo descendit, beatum ipsum reliquis ducibus prædicantibus. (2) At ipse fertur cum de superiori loco urbis magnitudinem atque pulchritudinem circumspexisset, miseratione eorum, quæ ei eventura essent, commotus aliquandiu illacrimasse, cogitans quam faciem urbs hæc paulo post a militibus direpta esset habitura. (3) Nam de tribunis militum nullus erat, qui prædam militibus denegare auderet: quidam incendi etiam urbem murosque subrui jubebant. (4) Horum tamen ne verba quidem admisit Marcellus, et invitus admodum eo concessit, ut bona et mancipia prædæ daret: a liberis autem corporibus omnem vim abstineri jussit, et edixit, ne quis Syracusanorum occideretur, violaretur, neve captivus duceretur. (5) Enimvero hac etiam moderatione adhibita, urbem tamen gravia et miseranda passuram ratus, in tanto gaudio miserationem animi sui ostendit cum exiguo temporis spatio tantas tamque splendidas urbis fortunas perituras cerneret. (6) Ferunt quidem Syracusanam prædam ea, quæ post a Carthagine est allata, non fuisse minorem: nam et reliquam urbis partem proditione captam ut diriperent, vi obtinuerunt milites; nisi quod regii thesauri prædæ exempti et ærario reservati sunt. (7) Maxime omnium Archimedis interitus Marcello molestus fuit. Is tum forte descripta figura quippiam contemplatus, totusque animo et oculis meditandæ ei rei intentus, Romanorum irruptionem urbisque captæ statum non sentiebat. Subito miles ei astitit, sequique se ad Marcellum jussit. Archimedes priusquam absolvisset problema et ad demonstrationem perduxisset, ire noluit: qua re miles ira commotus, gladio eum educto obtruncavit. (8) Alii referunt, Romanum stricto gladio irruisse, necemque Archimedi intentasse: hunc vero ut viderit, magnopere orasse tantisper cædem differret, dum id, quod propositum habebat contemplandum, penitus cognosceret: militem nullam ejus rationem habuisse et interfecisse hominem. (9) Tertius eorum est hac de re sermo, qui ad Marcellum ferenti Archimedi mathematica instrumenta, sciothera, sphæras et quadrantes, quibus magnitudinem solis visui accommodare solebat, supervenisse aiunt milites, ratosque aurum eum in vase isto portare, trucidasse. (10) Id quidem in confesso est, indoluisse ea re Marcellum, percussoremque ut sceleratum hominem fuisse abominatum, compertosque Archimedis necessarios honoribus affecisse.

XX. Enimvero cum Romani exteris adhuc bello tantum gerendo strenui pugnaque terribiles viderentur, nequedum æquitatis, humanitatis, civiliumque omnino virtutum specimina aliquot exhibuissent: primus Marcellus

δεδωκότων, πρῶτος δοκεῖ τότε Μάρκελλος ὑποδεῖξαι τοῖς Ἕλλησι δικαιοτέρους Ῥωμαίους. (2) Οὕτω γὰρ ἐχρῆτο τοῖς συμβάλλουσι καὶ τοσαύτας πόλεις καὶ ἰδιώτας εὐεργέτησεν, ὥστε εἴ τι περὶ Ἔνναν ἢ Μεγαρεῖς ἢ Συρακοσίους ἔργον ἦν εἰργασμένον οὐκ ἐπιεικὰς αὐτοῖς, τοῦτο τῶν πεπονθότων αἰτίᾳ μᾶλλον ἢ τῶν πεποιηκότων δοκεῖν γεγονέναι. (3) Μνησθήσομαι δὲ ἑνὸς ἀπὸ πολλῶν. Πόλις ἐστὶ τῆς Σικελίας Ἐγγύιον οὐ μεγάλη, ἀρχαία δὲ πάνυ καὶ διὰ θεῶν ἐπιφάνειαν ἔνδοξος, ἃς καλοῦσι Ματέρας. (4) Ἵδρυμα λέγεται Κρητῶν γενέσθαι τὸ ἱερόν· καὶ λόγχας τινὰς ἐδείκνυσαν καὶ κράνη χαλκᾶ, τὰ μὲν ἔχοντα Μηριόνου, τὰ δὲ Οὐλίξου, τουτέστιν Ὀδυσσέως, ἐπιγραφάς, ἀνατεθεικότων ταῖς θεαῖς. (5) Ταύτην προθυμότατα καρχηδονίζουσαν Νικίας, ἀνὴρ πρῶτος τῶν πολιτῶν, ἔπειθε μεταθέσθαι πρὸς Ῥωμαίους ἀναφανδὸν ἐν ταῖς ἐκκλησίαις παῤῥησιαζόμενος καὶ κακῶς φρονοῦντας ἐξελέγχων τοὺς ὑπεναντίους. Οἱ δὲ φοβούμενοι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν ἐβουλεύσαντο συναρπάσαι καὶ παραδοῦναι τοῖς Φοίνιξιν. (6) Αἰσθόμενος οὖν ὁ Νικίας ἤδη καὶ παραφυλαττόμενον ἀδήλως ἑαυτὸν ἐξέφερεν ἐν φανερῷ λόγους περὶ τῶν Ματέρων ἀνεπιτηδείους καὶ πολλὰ πρὸς τὴν νομιζομένην ἐπιφάνειαν καὶ δόξαν ὡς ἀπιστῶν καὶ καταφρονῶν ἔπραττεν, ἡδομένων τῶν ἐχθρῶν, ὅτι τὴν μεγίστην αἰτίαν αὐτὸς ἐφ' ἑαυτὸν ὢν πείσεται παρεῖχε. (7) Γεγονότων δὲ τῶν πρὸς τὴν σύλληψιν ἑτοίμων ἦν μὲν ἐκκλησία τῶν πολιτῶν, ὁ δὲ Νικίας μεταξύ τι λέγων καὶ συμβουλεύων πρὸς τὸν δῆμον ἐξαίφνης ἀφῆκεν εἰς τὴν γῆν τὸ σῶμα καὶ μικρὸν διαλιπών, οἷον εἰκὸς, ἡσυχίας σὺν ἐκπλήξει γενομένης, τὴν κεφαλὴν ἐπάρας καὶ περιενεγκὼν ὑποτρόμῳ φωνῇ καὶ βαρείᾳ κατὰ μικρὸν συντείνων καὶ παροξύνων τὸν ἦχον, ὡς ἑώρα φρίκῃ καὶ σιωπῇ κατεχόμενον τὸ θέατρον, ἀποῤῥίψας τὸ ἱμάτιον καὶ περιῤῥηξάμενος τὸν χιτωνίσκον ἡμίγυμνος ἀναπηδήσας ἔθεε πρὸς τὴν ἔξοδον τοῦ θεάτρου βοῶν ὑπὸ τῶν Ματέρων ἐλαύνεσθαι. (8) Μηδενὸς δὲ τολμῶντος ἅψασθαι μηδὲ ἀπαντῆσαι διὰ δεισιδαιμονίαν, ἀλλ' ἐκτρεπομένων, ἐπὶ τὰς πύλας ἐξέδραμεν οὔτε φωνῆς τινος οὔτε κινήσεως πρεπούσης δαιμονῶντι καὶ παραφρονοῦντι φεισάμενος. (9) Ἡ δὲ γυνὴ συνειδυῖα καὶ συντεχνάζουσα τῷ ἀνδρὶ λαβοῦσα τὰ παιδία πρῶτον μὲν ἱκέτις προεκυλινδεῖτο τοῖς μεγάροις τῶν θεῶν, ἔπειτα πλανώμενον ἐκεῖνον προσποιουμένη ζητεῖν κωλύοντος οὐδενὸς ἀσφαλῶς ἀπῆλθεν ἐκ τῆς πόλεως. (10) Καὶ διεσώθησαν μὲν οὕτως εἰς Συρακούσας πρὸς Μάρκελλον· ἐπεὶ δὲ πολλὰ τοὺς Ἐγγυίους ὑβρίσαντας καὶ πλημμελήσαντας ἐλθὼν Μάρκελλος ἔδησε πάντας ὡς τιμωρησόμενος, ὁ δὲ Νικίας ἐδάκρυσε παρεστὼς, τέλος δὲ χειρῶν καὶ γονάτων ἁπτόμενος παρῃτεῖτο τοὺς πολίτας ἀπὸ τῶν ἐχθρῶν ἀρξάμενος, ἐπικλασθεὶς ἀφῆκε πάντας καὶ τὴν πόλιν οὐδὲν ἠδίκησε, τῷ δὲ Νικίᾳ χώραν τε πολλὴν καὶ δωρεὰς πολλὰς ἔδωκε. (11) Ταῦτα μὲν οὖν Ποσειδώνιος ὁ φιλόσοφος ἱστόρησε.

videtur Græcis ostendisse, esse justiores, quam crederentur, Romanos. (2) Ita enim eos, quibuscum res ipsi erat, tractavit totque ejus in civitates et privatos homines exstiterunt beneficia, ut, si quid durius Ennensibus, Megarensibus, Syracusanisve acciderit, non magis hoc iis qui fecissent, quam qui passi essent, ascribi potuerit. (3) De multis unum proferam. Oppidum est Siciliæ non magnum, nomine Engyium, perantiquum tamen et ob deas, quas Matres vocant, ibi visas celebre. (4) Templum ibi a Cretensibus positum ferunt: ostentabanturque hastæ et galeæ æneæ, Merionis et Ulixæ, id est Ulyssis, inscriptione, qui eas deabus dedicassent. (5) Ejus cives cum impense rebus Carthaginiensium faverent, Nicias primi inter eos ordinis suasit, ut Romanis accederent, libere in concionibus adversarios male sentire coarguens: at hi gloriam viri et potentiam timentes, statuerunt correptum eum Pœnis tradere. (6) Nicias ubi jam occulte se custodiri sensit, de Matribus sermones in publicum extulit illicitos, multa in eorum numinum contemptum egit, tanquam diffidens et contemnens quæ de eorum præsentia et majestate ferebantur. Gratum id inimicis fuit, quod ille maximam sui male tractandi causam ultro præberet. (7) Jam ergo omnibus ita comparatis, ut ei manus injicerent, convocatisque in concionem tum civibus, Nicias ad populum verba faciens, subito ad terram corpus dimisit, parumque moratus, ut par est attonitum quietem capere, inde levato capite ac circumacto, tremula voce ac gravi primum, deinde sensim eam intendens atque exacuens, ut vidit horrore et silentio occupatam concionem, projecta toga ac dilacerata tunica, seminudus exsiluit et ad exitum theatri se proripuit, agitari se a Matribus clamans. (8) Ita cum attingere eum aut occurrere religioni omnes ducerent ac de via decederent, ad portas urbis procurrit, neque voci neque motui, quales divino furore concitum edere par est, pepercit. (9) At uxor rei conscia, maritique artibus subserviens, liberis secum acceptis, primum supplicem se ad dearum ædem devolvit: deinde errantem maritum quærere se simulans, nemine obstante, tuto urbe excessit. (10) Hac arte usi, Syracusas ad Marcellum salvi pervenerunt. Marcellus autem Engyinos, multis eorum injuriis et delictis lacessitus, superveniens omnes sumendi causa supplicii cum vinxisset, Nicias assistens flevit, ac tandem manus et genua Marcelli tangens pro civibus, ac primo quidem loco pro inimicis suis, deprecatus est: cujus precibus fractus Marcellus omnes dimisit, neque quicquam mali civitati fecit. Niciam vero agro multo donisque splendidis honoravit. (11) Hæc Posidonius philosophus memoriæ prodidit.

XXI. Τὸν δὲ Μάρκελλον ἀναλαμβανόμενον τῶν Ῥω-

XXI. Marcellus ad bellum in Italia gerendum a Romanis

μαίων ἐπὶ τὸν ἐγχώριον καὶ σύνοικον πόλεμον, ἐπανερχόμενος τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἐν Συρακούσαις ἐκίνησεν ἀναθημάτων, ὡς αὐτῷ τε πρὸς τὸν θρίαμβον ὄψις εἴη καὶ τῇ πόλει κόσμος. (2) Οὐδὲν γὰρ εἶχεν οὐδὲ ἐγίνωσκε πρότερον τῶν κομψῶν καὶ περιττῶν οὐδὲ ἦν ἐν αὐτῇ τὸ χάριεν τοῦτο καὶ γλαφυρὸν ἀγαπώμενον, ὅπλων δὲ βαρβαρικῶν καὶ λαφύρων ἐναίμων ἀνάπλεως οὖσα καὶ περιεστεφανωμένη θριάμβων ὑπομνήμασι καὶ τροπαίοις οὐχ ἱλαρὸν οὐδ' ἄφοβον οὐδὲ δειλῶν ἦν θέαμα καὶ τρυφώντων θεατῶν, ἀλλ' ὥσπερ Ἐπαμεινώνδας τὸ Βοιώτιον πεδίον Ἄρεως ὀρχήστραν, Ξενοφῶν δὲ τὴν Ἔφεσον πολέμου ἐργαστήριον, οὕτως ἄν μοι δοκεῖ τις τότε τὴν Ῥώμην κατὰ Πίνδαρον βαθυπολέμου τέμενος Ἄρεως προσειπεῖν. (3) Διὸ καὶ μᾶλλον εὐδοκίμησε παρὰ μὲν τῷ δήμῳ Μάρκελλος ἡδονὴν ἐχούσαις καὶ χάριν Ἑλληνικὴν καὶ πιθανότητα διαποικίλας ὄψεσι τὴν πόλιν, παρὰ δὲ τοῖς πρεσβυτέροις Φάβιος Μάξιμος. (4) Οὐδὲν γὰρ ἐκίνησε τοιοῦτον οὐδὲ μετήνεγκεν ἐκ τῆς Ταραντίνων πόλεως ἁλούσης, ἀλλὰ τὰ μὲν ἄλλα χρήματα καὶ τὸν πλοῦτον ἐξεφόρησε, τὰ δὲ ἀγάλματα μένειν εἴασεν ἐπειπὼν τὸ μνημονευόμενον· « Ἀπολείπωμεν γάρ, ἔφη, τοὺς θεοὺς τούτους τοῖς Ταραντίοις κεχολωμένους. » (5) Μάρκελλον δ' ἠτιῶντο πρῶτον μὲν ὡς ἐπίφθονον ποιοῦντα τὴν πόλιν, οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θεῶν αἰχμαλώτων ἀγομένων ἐν αὐτῇ καὶ πομπευομένων, ἔπειτα ὅτι τὸν δῆμον εἰθισμένον πολεμεῖν ἢ γεωργεῖν, τρυφῆς δὲ καὶ ῥᾳθυμίας ἄπειρον ὄντα καὶ κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα « φαῦλον, ἄκομψον, τὰ μέγιστά τε ἀγαθόν, » σχολῆς ἐνέπλησε καὶ λαλιᾶς περὶ τεχνῶν καὶ τεχνιτῶν ἀστεϊζόμενον καὶ διατρίβοντα πρὸς τοῦτο πολὺ μέρος τῆς ἡμέρας. (6) Οὐ μὴν ἀλλὰ τούτοις ἐσεμνύνετο καὶ πρὸς τοὺς Ἕλληνας ὡς τὰ καλὰ καὶ τὰ θαυμαστὰ τῆς Ἑλλάδος οὐκ ἐπισταμένους τιμᾶν καὶ θαυμάζειν Ῥωμαίους διδάξας.

XXII. Ἐνισταμένων δὲ τῶν ἐχθρῶν τῷ Μαρκέλλῳ πρὸς τὸν θρίαμβον, ἐπεὶ καὶ πράξεις τινὲς ὑπολιπεῖς ἦσαν ἔτι περὶ Σικελίαν καὶ φθόνον εἶχεν ὁ τρίτος θρίαμβος, συνεχώρησεν αὐτοῖς τὸν μὲν ἐντελῆ καὶ μέγαν εἰς τὸ Ἀλβανὸν ὄρος ἐξελάσαι, τὸν δὲ ἐλάττω καταγαγεῖν εἰς τὴν πόλιν, ὃν εὐαν Ἕλληνες, ὄβαν δὲ Ῥωμαῖοι καλοῦσι. (2) Πέμπει δὲ αὐτὸν οὐκ ἐπὶ τοῦ τεθρίππου βεβηκὼς οὐδὲ δάφνης ἔχων στέφανον οὐδὲ περισαλπιζόμενος, ἀλλὰ πεζὸς ἐν βλαύταις ὑπ' αὐλητῶν μάλα πολλῶν καὶ μυρρίνης στέφανον ἐπικείμενος, ὡς ἀπόλεμος καὶ ἡδὺς ὀφθῆναι μᾶλλον ἢ καταπληκτικός. (3) Ὃ καὶ μέγιστον ἐμοὶ τεκμήριόν ἐστι τοῦ τρόπῳ πράξεως, ἀλλὰ μὴ μεγέθει, διωρίσθαι τοὺς θριάμβους τὸ παλαιόν. (4) Οἱ μὲν γὰρ μετὰ μάχης καὶ φόνου τῶν πολεμίων ἐπικρατήσαντες τὸν Ἄρήιον ἐκεῖνον, ὡς ἔοικε, καὶ φοβερὸν εἰσῆγον, ὥσπερ ἐν τοῖς καθαρμοῖς τῶν στρατοπέδων εἰώθεσαν, δάφνῃ πολλῇ καταστέψαντες τὰ ὅπλα καὶ τοὺς ἄνδρας, τοῖς δὲ πολέμου μὲν μὴ δεηθεῖσι στρατηγοῖς, δμιλίᾳ δὲ καὶ πειθοῖ καὶ διὰ λόγου πάντα θεμένοις καλῶς οἷον ἐπιπαιανίσαι τὴν ἀπόλεμον ταύτην καὶ

evocatus, pleraque et pulcherrima Syracusis donaria abstulit, quæ et triumpho suo splendori et Romæ ornamento essent. (2) Quippe antea neque habuerat neque noverat Roma quicquam elegantis et artificiosi operis, neque erat in ea quidquam gratiæ et lœvitate excellens tanti æstimatum · armis barbarorum et spoliis cruentis repleta, triumphorumque monumentis et tropæis coronata, non lætum, aut terroris vacuum, neque meticulosis aut delicatis gratum spectaculum exhibebat; et ut Epaminondas Bœotios campos Martis orchestram, Xenophon Ephesum belli officinam dixit, ita puto potuisse quempiam tunc Romam juxtà Pindarum, Martis bellicosi templum appellare. (3) Itaque in vulgus Marcelli gloria major fuit, qui urbem ornamentis spectatu dignis, gratiam et venustatem Græcam et elegantiam habentibus, decorasset, apud natu majores vero Fabii Maximi. (4) Hic enim Tarento capto nihil tale abstulit, sed pecunia et divitiis egestis, manere ibi jussit simulacra, addito celebri illo dicto : Relinquamus Tarentinis deos suos iratos. (5) Marcellus autem cum eo nomine reprehensus est, quod non hominibus modo, sed diis etiam in triumpho ductis invidiam Romæ conflasset; tum, quod populum bello et agriculturæ assuetum, deliciarumque et otii rudem, et qualis apud Euripidem Hercules describitur, « simplicem, rudem, præstantem maximis, » otio et garruli-tati dedisset, ut jam de artibus et artificibus nugaretur, eique rei majorem diei partem impenderet. (6) Atqui Marcellus eo nomine etiam apud Græcos gloriatus est, quod quæ pulchra haberent et admirarentur Græci, ea Romanos inscios ante in honore ipse habere et admirari docuisset.

XXII. Porro triumpho ejus adversariis resistentibus, quod et quædam in Sicilia conficienda restabant, et invidiæ obnoxius erat tertius triumphus, ipse ita concessit, ut perfectum et magnum triumphum in Albanum montem duceret, minorem vero agens urbem iniret, quem Græci εὖαν, Romani ovationem dicunt. (2) Qui ovans in urbem intrat, is non quadrigis invehitur, neque lauro coronatur, neque tubicines habet : sed pedes est, calceatus, multis comitantibus tibicinibus, myrto redimitus : ut gratior sit, quam terribilior aspectus, et minorem belli speciem præferat. (3) Id quod mihi maximo est indicio, antiquitus non magnitudine rei gestæ, sed modo, discrimina triumphorum constitisse. (4) Qui enim prœlio et cæde facta hostes vicissent, ii Martium istum nimirum et terribilem triumphum ducebant, lauro, ut solet in lustrationibus exercituum, arma et viros multa coronantes; at ducibus, qui non bello, sed oratione et persuadendo rem prospere confecissent, ducere belli apparatus expertem et festivam istam pompam lex

πανηγυρικὴν ἀπεδίδου πομπὴν ὁ νόμος. (5) Καὶ γὰρ ὁ αὐλὸς εἰρήνης μέρος καὶ τὸ μύρτον Ἀφροδίτης φυτὸν, ἣ μάλιστα θεῶν ἀπέχθεται βίᾳ καὶ πολέμοις. (6) Ὄβας δ' οὐ παρὰ τὸν εὐασμὸν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὁ θρίαμβος οὗτος ὀνομάζεται (καὶ γὰρ ἐκεῖνον ἐφευάζοντες καὶ ᾄδοντες παραπέμπουσιν), ἀλλ' ὑφ' Ἑλλήνων εἰς τὸ σύνηθες αὐτοῖς παρῆκται τοὔνομα πεπεισμένων ἅμα καὶ Διονύσῳ τι τῆς τιμῆς προσήκειν, ὃν Εὔιον καὶ Θρίαμβον ὀνομάζομεν. (7) Οὐχ οὕτω δὲ ἔχει τὸ ἀληθὲς, ἀλλ' ἐπὶ μὲν τῷ μεγάλῳ θριάμβῳ βουθυτεῖν πάτριον ἦν τοῖς στρατηγοῖς, ἐπὶ δὲ τούτῳ πρόβατον ἔθυον. Ὄβα δὲ τὰ πρόβατα Ῥωμαῖοι καλοῦσιν· ἐκ τούτου καὶ τὸν θρίαμβον ὄβαν ὠνόμασαν. (8) Ἄξιον δὲ καὶ τὸν Λακωνικὸν ἀποθεωρῆσαι νομοθέτην ὑπεναντίως τῷ Ῥωμαϊκῷ τάξαντα τὰς θυσίας. Θύει γὰρ ἐν Σπάρτῃ τῶν ἀποστρατήγων ὁ μὲν δι' ἀπάτης ἢ πειθοῦς ὃ βούλεται διαπραξάμενος βοῦν, ὁ δὲ διὰ μάχης ἀλεκτρυόνα· καίπερ γὰρ ὄντες πολεμικώτατοι μείζονα καὶ μᾶλλον ἀνθρώπῳ πρέπουσαν ἡγοῦντο τὴν διὰ λόγου καὶ συνέσεως πρᾶξιν ἢ τὴν μετὰ βίας καὶ ἀνδρείας. Ταῦτα μὲν οὖν ὅπως ἔχει σκοπεῖν πάρεστι.

XXIII. Τοῦ δὲ Μαρκέλλου τὸ τέταρτον ὑπατεύοντος οἱ ἐχθροὶ τοὺς Συρακοσίους ἀνέπεισαν εἰς Ῥώμην ἀφικομένους κατηγορεῖν καὶ καταβοᾶν πρὸς τὴν σύγκλητον ὡς δεινὰ καὶ παράσπονδα πεπονθότας. (2) Ἔτυχε μὲν οὖν ἐν Καπιτωλίῳ θυσίαν τινὰ συντελῶν ὁ Μάρκελλος· ἔτι δὲ συγκαθεζομένῃ τῇ γερουσίᾳ τῶν Συρακοσίων προσπεσόντων καὶ δεομένων λόγων τυχεῖν καὶ δίκης, ὁ μὲν συνάρχων ἐξεῖργεν αὐτοὺς ἀγανακτῶν ὑπὲρ τοῦ Μαρκέλλου μὴ παρόντος, ὁ δὲ Μάρκελλος εὐθὺς ἦκεν ἀκούσας. Καὶ πρῶτον μὲν ἐπὶ τοῦ δίφρου καθίσας ὡς ὕπατος ἐχρημάτιζεν, ἔπειτα, τῶν ἄλλων τέλος ἐχόντων, καταβὰς ἀπὸ τοῦ δίφρου καὶ καταστὰς ὥσπερ ἰδιώτης εἰς τὸν τόπον, ἐν ᾧ λέγειν εἰώθασιν οἱ κρινόμενοι, τοῖς Συρακοσίοις ἐλέγχειν αὐτὸν παρεῖχεν. (3) Οἱ δὲ δεινῶς μὲν συνεταράχθησαν πρὸς τὸ ἀξίωμα καὶ τὸ πεποιθὸς τοῦ ἀνδρὸς καὶ τὸ ἐν τοῖς ὅπλοις ἀνυπόστατον ἔτι μᾶλλον ἐν τῇ περιπορφύρῳ φοβερὸν ἡγοῦντο καὶ δυσαντίβλεπτον. (4) Οὐ μὴν ἀλλὰ καὶ παραθαῤῥυνόντων αὐτοὺς τῶν διαφερομένων πρὸς τὸν Μάρκελλον ἤρξαντο τῆς κατηγορίας καὶ διεξῆλθον ὀλοφυρμῷ τινι μεμιγμένην δικαιολογίαν, ἧς ἦν τὸ κεφάλαιον, ὅτι σύμμαχοι καὶ φίλοι ὄντες Ῥωμαίοις πεπόνθασιν ἃ πολλοῖς τῶν πολεμίων ἕτεροι στρατηγοὶ μὴ παθεῖν ἐχαρίσαντο. (5) Πρὸς ταῦτα ὁ Μάρκελλος ἔλεγεν, ὡς ἀντὶ πολλῶν ὧν δεδράκασι Ῥωμαίους κακῶς οὐδὲν πεπόνθασι, πλὴν ἃ πολέμῳ καὶ κατὰ κράτος ἁλόντας ἀνθρώπους κωλῦσαι παθεῖν οὐ δυνατόν ἐστιν, οὕτω δὲ ἁλῶναι δι' αὐτοὺς πολλὰ προκαλουμένῳ πεισθῆναι μὴ ἐθελήσαντας· οὐ γὰρ ὑπὸ τῶν τυράννων πολεμῆσαι βιασθέντας, ἀλλὰ κἀκείνους ἐπὶ τῷ πολεμεῖν ἑλέσθαι τυραννῆσαι. (6) Λεχθέντων δὲ τῶν λόγων καὶ μεθισταμένοις, ὥσπερ εἴωθεν, ἐκ τῆς βουλῆς τοῖς Συρακοσίοις συνεξῆλθε Μάρκελλος ἐπὶ τῷ συνάρχοντι ποιησάμενος τὴν σύγκλητον καὶ πρὸ τῶν

dabat. (5) Nam et tibia pacis est, et myrtus Veneris arbor, quæ dea maxime violentiam et bella odit. (6) Neque vero ab εὐασμῷ (etenim cum læto clamore et cantu agunt illum) hoc genus triumphi, ut putant multi, nominatur: sed id Græci ad vocabulum ipsis usitatum detorserunt, persuadentes sibi honoris partem etiam Baccho tribui, quem Εὔιον et Θρίαμβον dicunt. (7) Sed in eo falluntur. Nimirum in magno triumpho bovem majorum more dux immolabat, in minori ovem: inde apud Romanos ovationi nomen. (8) Operæ est etiam contemplari, ut Lacedæmonius legislator contrario, quam Romanus, modo sacrificia instituerit. Qui enim ducis munere apud Spartanos defunctus est, si rem astu aut persuadendo confecit, bove; sin pugna, gallo rem sacram facit: quippe homines quantumvis bellicosissimi, majorem, hominique magis convenientem actionem eam judicabant, quæ a prudentia et ratione, quam quæ a vi et fortitudine proficisceretur. Verum hæc qualia sint, consideranda in medio relinquimus.

XXIII. Marcello quartum consule, adversarii ejus Syracusanis persuaserunt, ut Romam profecti de gravibus et contra fidem datam illatis a Marcello injuriis apud senatum quererentur. (2) Forte tum rem sacram in Capitolio faciebat Marcellus. Itaque cum in senatum venissent Syracusani et se audiri jus suum persequentes peterent, ab altero consule Marcelli absentis vicem dolente exclusi sunt. At Marcellus re cognita, statim venit, primumque in sella curuli sedens, consulis munus obivit: deinde ceteris peractis a sella descendit, ac privati in morem eo in loco astitit, unde causam dicere solent rei, deditque sui accusandi facultatem Syracusanis. (3) Eos vero auctoritas viri atque confidentia majorem in modum conturbavit, terribilemque eum in armis olim intuiti, tunc ne oculos quidem adversus prætextatum attollere audebant. (4) Verumtamen instigantibus quoque Marcelli adversariis accusationem orsi sunt, lamentis mixtam, cujus hæc erat summa: se, cum essent socii et amici Romanorum, ea perpessos, quæ ne paterentur multi hostes, a Romanorum ducibus per gratiam obtinuissent. (5) Ad hæc Marcellus: pro multis maleficiis, quæ contra Romanos exercuissent, nihil iis factum, nisi quod bello et vi captis hominibus ne eveniat, prohibere possit nemo: ita vero sua ipsorum culpa captos, cum crebris ipsius ad redeundum in fidem adhortationibus obtemperare noluissent; neque eos a tyrannis ad bellum Romanis faciendum vi compulsos fuisse, sed tyrannidem eo nomine illis obtulisse, ut bellum susciperent. (6) Habitis orationibus, Syracusanisque, ut fieri solet, e senatu excedentibus, Marcellus etiam discessit, collegæ, ut cum senatu de causa cognosceret, facta potestate. Ipse ante fores curiæ

θυρῶν τοῦ βουλευτηρίου διέτριβεν, οὔτε φόβῳ διὰ τὴν δίκην οὔτε θυμῷ πρὸς τοὺς Συρακοσίους τοῦ συνήθους μεταβαλὼν καταστήματος, ἀλλὰ πρᾴως πάνυ καὶ κοσμίως τὸ τῆς δίκης τέλος ἐκδεχόμενος. (7) Ἐπεὶ δὲ διηνέχθησαν αἱ γνῶμαι καὶ νικῶν ἀπεδείχθη, προσπίπτουσιν αὐτῷ οἱ Συρακόσιοι μετὰ δακρύων δεόμενοι τὴν ὀργὴν εἰς αὐτοὺς ἀφιέναι τοὺς παρόντας, οἰκτεῖραι f δὲ τὴν ἄλλην πόλιν μεμνημένην ὧν ἔτυχεν ἀεὶ καὶ χάριν ἔχουσαν. (8) Ἐπικλασθεὶς οὖν ὁ Μάρκελλος τούτοις τε διηλλάγη καὶ τοῖς ἄλλοις Συρακοσίοις ἀεί τι πράττων ἀγαθὸν διετέλει. (9) Καὶ τὴν ἐλευθερίαν, ἣν ἀπέδωκεν αὐτοῖς, καὶ τοὺς νόμους καὶ τῶν κτημάτων τὰ περιόντα βέβαια παρέσχεν ἡ σύγκλητος. Ἀνθ' ὧν ἄλλας τε τιμὰς ὑπερφυεῖς ἔσχε παρ' αὐτοῖς καὶ νόμον 312 ἔθεντο τοιοῦτον, ὁπόταν ἐπιδῇ Σικελίας Μάρκελλος ἢ a τῶν ἐγγόνων τις αὐτοῦ, στεφανηφορεῖν Συρακοσίους καὶ θύειν τοῖς θεοῖς.

XXIV. Τοὐντεῦθεν ἤδη τρέπεται πρὸς Ἀννίβαν. Καὶ τῶν ἄλλων ὑπάτων καὶ ἡγεμόνων σχεδὸν ἁπάντων μετὰ τὰ ἐν Κάνναις ἑνὶ στρατηγήματι τῷ φυγομαχεῖν χρωμένων ἐπὶ τὸν ἄνδρα, παρατάττεσθαι δὲ καὶ συμπλέκεσθαι μηδενὸς τολμῶντος, αὐτὸς ἐπὶ τὴν ἐναντίαν ὥρμησεν ὁδὸν οἰόμενος τῷ δοκοῦντι καταλύειν Ἀννίβαν χρόνῳ πρότερον ἐκτριβεῖσαν ὑπ' ἐκείνου λήσεσθαι τὴν Ἰταλίαν, καὶ τὸν Φάβιον ἀεὶ τῆς ἀσφαλείας ἐχόμενον οὐ καλῶς ἔχειν ἴᾶσθαι τὸ νόσημα τῆς πατρίδος περιμένοντα τῇ Ῥώμῃ μαραινομένῃ συναποσβῆναι τὸν πόλεμον, ὥσπερ ἰατρῶν τοὺς ἀτόλμους καὶ δειλοὺς πρὸς b τὰ βοηθήματα τῆς νόσου παρακμὴν τὴν τῆς δυνάμεως ἐξανάλωσιν ἡγουμένους. (2) Πρῶτον μὲν οὖν τὰς Σαυνιτικὰς πόλεις μεγάλας ἀφεστώσας ἑλὼν σῖτόν τε πολὺν ἀποκείμενον ἐν αὐταῖς καὶ χρήματα καὶ τοὺς φυλάσσοντας Ἀννίβου στρατιώτας τρισχιλίους ὄντας ἔλαβεν· ἔπειτα τοῦ Ἀννίβου Φούλβιον Γναῖον ἀνθύπατον ἐν Ἀπουλίᾳ κατακτείναντος μὲν αὐτὸν σὺν ἕνδεκα χιλιάρχοις, κατακόψαντος δὲ τῆς στρατιᾶς τὸ πλεῖστον, ἔπεμψεν εἰς Ῥώμην γράμματα τοὺς πολίτας παρακαλῶν θαῤῥεῖν· αὐτὸς γὰρ ἤδη βαδίζειν, ὡς ἀφέλοιτο τὴν χαρὰν Ἀννίβου. (3) Καὶ ταῦτα μὲν ὁ Λίβιός φησιν ἀναγνωσθέντα c τὰ γράμματα μὴ τῆς λύπης ἀφελεῖν, ἀλλὰ τῷ φόβῳ προσθεῖναι, τῶν Ῥωμαίων μεῖζον ἡγουμένων τοῦ γεγονότος τὸ κινδυνευόμενον, ὅσῳ Φουλβίου κρειττων ἦν Μάρκελλος. (4) Ὁ δ', ὥσπερ ἔγραψεν, εὐθὺς Ἀννίβαν διώκων εἰς τὴν Λευκανίαν ἐνέβαλε καὶ περὶ πόλιν Νομίστρωνα καθήμενον ὑπὲρ λόφων ὀχυρῶν καταλαβὼν αὐτὸς ἐν τῷ πεδίῳ κατεστρατοπέδευσε. (5) Τῇ δ' ὑστεραίᾳ πρότερος εἰς μάχην παρατάξας τὸ στράτευμα καὶ καταβάντος Ἀννίβου συνέβαλε μάχην κρίσιν οὐ λαβοῦσαν, ἰσχυρὰν δὲ καὶ μεγάλην γενομένην· ἀπὸ γὰρ ὥρας τρίτης συμπεσόντες ἤδη σκότους μόλις διελύθησαν. d (6) Ἅμα δ' ἡμέρᾳ προαγαγὼν αὖθις τὸ στράτευμα παρέταξε διὰ τῶν νεκρῶν καὶ προὐκαλεῖτο διαγωνίσασθαι περὶ τῆς νίκης τὸν Ἀννίβαν. (7) Ἀναζεύξαντος δὲ ἐκείνου σκυλεύσας τοὺς πολεμίους νεκροὺς καὶ θάψας τοὺς

præstolatus, neque judicii metu, neque ira in Syracusanos solitum vultum immutavit, placide et composito gestu exitum judicii operiens. (7) Sententiis latis cum rem tenuisset, flentes ei se ad pedes provolvunt Syracusani, obtestantes, iram adversus præsentes uti dimitteret, misereturque reliquæ civitatis perpetuam ipsius meritorum memoriam grato animo colentis. (8) Fractus iis Marcellus, non modo cum his in gratiam rediit, sed et semper bene facere Syracusanis perrexit. (9) Libertatem autem, quam iis reddidit, legesque et quod supererat bonorum, senatus rata omnia habuit. Pro his cum alii ingentes honores a Syracusanis ei sunt habiti, tum lex ab ipsis facta est, ut quoties vel Marcellus vel aliquis de ipsius posteris in Siciliam venisset, coronati diis sacrificarent Syracusani.

XXIV. Marcellus ab hoc negotio adversus Hannibalem se convertit. A prœlio Cannensi omnes fere consules, omnes duces hac una contra Hannibalem usi erant arte, ut prœlium subterfugerent: neque quisquam eorum acie congredi ausus fuerat. Marcellus autem diversa sibi via incedendum judicabat: alioquin fore ut temporis eo spatio, quo Hannibalem illi attritum iri sperabant, ab eo Italia imprudentibus omnibus conficeretur; neque vero Fabium curandæ patriæ rectas rationes iniisse, qui tuta tantum sectatus tantisper exspectaret, dum, Roma tabe confecta, bellum finiretur: quo modo medici timidi et morbo remedium adhibere trepidantes virium jacturam morbi decrementum esse putant. (2) Primum itaque Samnii urbes magnas, quæ ad Hannibalem defecerant, cepit, inque iis multum frumenti et pecuniæ, ac tria hominum millia, ab Hannibale præsidii loco imposita; deinde cum in Apulia Cn. Fulvium proconsulem Hannibal cum undecim tribunis militum et majori exercitus parte occidisset, scriptis Roma literis, cives hortatus est, ut animo essent bono: se enim jam ire brevem Hannibali lætitiam, qua exsultet, facturus. (3) His litteris recitatis Livius scribit non dolorem sublatum, sed auctum Romanis metum, tanto majus periculum accepto damno putantibus, quanto præstantior Fulvio esset Marcellus. (4) Atque hic quidem, uti scripserat, confestim Hannibalem insequens, in Lucanos transiit: eumque cum ad oppidum Numistronem in colle munito consedisse offendisset, ipse in plano castra posuit. (5) Postridie in aciem prior eduxit: Hannibaleque degresso, prœlium consertum est incerta quidem victoria, sed vehemens; nam hora ab tertia cum manus conseruissent, noctis tenebræ vix eos diremerunt. (6) Rursus orta luce in aciem eduxit inter cadavera exercitum. Hannibalemque ad decernendam prœlio victoriam provocavit. (7) Cum ille castris motis discederet, spoliatis prius ipse hostium cada-

φίλους ἐδίωκεν αὖθις· καὶ πολλὰς μὲν ὑφέντος ἐνέδρας
οὐδεμιᾷ περιπεσών, ἐν δὲ πᾶσι τοῖς ἀκροβολισμοῖς πλεῖον
ἔχων ἐθαυμάζετο. (8) Διὸ καὶ τῶν ἀρχαιρεσίων ἐπει-
γόντων ἔδοξε τῇ βουλῇ μᾶλλον ἐκ Σικελίας τὸν ἕτερον
ἀπάγειν ὕπατον ἢ Μάρκελλον Ἀννίβᾳ συνηρτημένον
κινεῖν, ἐλθόντα δ' ἐκέλευεν εἰπεῖν δικτάτωρα Κόϊντον
Φούλβιον. (9) Ὁ γὰρ δικτάτωρ οὐκ ἔστιν ὑπὸ τοῦ e
πλήθους οὐδὲ τῆς βουλῆς αἱρετὸς, ἀλλὰ τῶν ὑπάτων τις
ἢ τῶν στρατηγῶν προελθὼν εἰς τὸν δῆμον ὃν αὐτῷ δο-
κεῖ λέγει δικτάτωρα. (10) Καὶ διὰ τοῦτο δικτάτωρ ὁ
ῥηθεὶς καλεῖται· τὸ γὰρ λέγειν δίκερε Ῥωμαῖοι καλοῦ-
σιν· ἔνιοι δὲ τὸν δικτάτωρα τῷ μὴ προτιθέναι ψῆφον ἢ
χειροτονίαν, ἀλλ' ἀφ' αὑτοῦ τὰ δόξαντα προστάττειν
οὕτως ὠνομάσθαι. Καὶ γὰρ τὰ διαγράμματα τῶν ἀρ-
χόντων Ἕλληνες μὲν διατάγματα, Ῥωμαῖοι δὲ ἔδικτα
προσαγορεύουσιν.

XXV. Ἐπεὶ δὲ ἦλθὼν ἀπὸ τῆς Σικελίας ὁ τοῦ Μαρ-
κέλλου συνάρχων ἕτερον ἐβούλετο λαβεῖν δικτάτωρα
καὶ βιασθῆναι παρὰ γνώμην μὴ βουλόμενος ἐξέπλευσε f
νυκτὸς εἰς Σικελίαν, οὕτως ὁ μὲν δῆμος ὠνόμασε δικτά-
τωρα Κόϊντον Φούλβιον, ἡ βουλὴ δ' ἔγραψε Μαρκέλλῳ
κελεύουσα τοῦτον εἰπεῖν. (2) Ὁ δὲ πεισθεὶς ἀνεῖπε καὶ
συνεπεκύρωσε τοῦ δήμου τὴν γνώμην, αὐτὸς δὲ πάλιν
ἀνθύπατος εἰς τοὐπιὸν ἀπεδείχθη. (3) Συνθέμενος δὲ
πρὸς Φάβιον Μάξιμον, ὅπως ἐκεῖνος μὲν ἐπιχειρῇ Τα-
313ραντίνοις, αὐτὸς δὲ συμπλεκόμενος καὶ περιέλκων Ἀν- a
νίβαν ἐμποδὼν ᾖ τοῦ βοηθεῖν πρὸς ἐκεῖνον, ἐπέβαλε περὶ
Κανύσιον καὶ πολλὰς ἀλλάσσοντι στρατοπεδείας καὶ
φυγομαχοῦντι πανταχόθεν ἐπεφαίνετο, τέλος δ' ἱδρυ-
θέντα προκείμενος ἐξανίστη τοῖς ἀκροβολισμοῖς. (4)
Ὁρμήσαντος δὲ μάχεσθαι δεξάμενος ὑπὸ νυκτὸς διελύθη·
καὶ μεθ' ἡμέραν αὖθις ἐν τοῖς ὅπλοις ἑωρᾶτο τὸν στρα-
τὸν ἔχων παρατεταγμένον, ὥστε τὸν Ἀννίβαν περιαλγῆ
γενόμενον τοὺς Καρχηδονίους ἀθροῖσαι καὶ δεηθῆναι
τὴν μάχην ἐκείνην ὑπὲρ πασῶν ἀγωνίσασθαι τῶν ἔμπρο-
σθεν. « Ὁρᾶτε γάρ, εἶπεν, ὡς οὐδὲ ἀναπνεῦσαι μετὰ
νίκας τοσαύτας οὐδὲ σχολὴν ἄγειν κρατοῦσιν ἡμῖν ἔστιν,
εἰ μὴ τοῦτον ὠσαίμεθα τὸν ἄνθρωπον. » (5) Ἐκ τούτου b
συμβαλόντες ἐμάχοντο· καὶ δοκεῖ παρὰ τὸ ἔργον ἀκαίρῳ
στρατηγήματι χρώμενος ὁ Μάρκελλος σφαλῆναι. Τοῦ
γὰρ δεξιοῦ πονοῦντος ἐκέλευσεν ἓν τῶν ταγμάτων εἰς
τοὔμπροσθεν προελθεῖν· ἡ δὲ μετακίνησις αὕτη ταράξασα
τοὺς μαχομένους παρέδωκε τὸ νίκημα τοῖς πολεμίοις,
ἑπτακοσίων ἐπὶ δισχιλίοις Ῥωμαίων πεσόντων. (6)
Ἀναχωρήσας δὲ ὁ Μάρκελλος εἰς τὸν χάρακα συναγα-
γὼν τὸν στρατὸν ὁρᾶν ἔφη Ῥωμαίων ὅπλα καὶ σώματα,
Ῥωμαῖον δὲ μηδένα ὁρᾶν. (7) Αἰτουμένων δὲ συγγνώ-
μην οὐκ ἔφη διδόναι νενικημένοις, ἐὰν δὲ νικήσωσι,
δώσειν, αὔριον δὲ μαχεῖσθαι· πάλιν, ὅπως οἱ πολῖται c
τὴν νίκην πρότερον ἢ τὴν φυγὴν ἀκούσωσι· διαλεχθεὶς
δὲ ταῦτα προσέταξε ταῖς ἡττημέναις σπείραις ἀντὶ πυρῶν
κριθὰς μετρῆσαι· δι' ὃ πολλῶν ἀπὸ τῆς μάχης ἐπικιν-
δύνως καὶ πονήρως ἐχόντων οὐδένα φασὶν ὃν οἱ Μαρκέλ-
λου λόγοι τῶν τραυμάτων οὐχὶ μᾶλλον ἤλγυναν.

veribus, suisque sepultis, eum insecutus est, multas Hannibalis insidias evitavit, omnibus autem levibus prœliis victor, in admiratione fuit. (8) Quare comitiis instantibus, potius visum senatui alterum consulum e Sicilia evocare, quam a certaminibus cum Hannibale Marcellum abducere : illumque, ut venit, dictatorem dicere jusserunt Q. Fulvium. (9) Dictator enim neque a populo potest, neque a senatu eligi, sed consulum aliquis aut prætorum progressus ad populum, eum, quem ex usu fore putat, dictatorem dicit. (10) Hinc dictatoris nomen est, nimirum a Dicendo; quod alii sic dictum censent, quia non in suffragium jubeat ire de iis quæ statuere vult, sed quæ ipsi visum fuerit, imperet : etenim a magistratibus latas leges Edicta Romani vocant.

XXV. Marcelli collega cum e Sicilia venisset, alium dictatorem dicere voluit : ac ne invitus de sua sententia detruderetur, noctu in Siciliam abnavigavit; sic populus Q. Fulvium dictatorem jussit : senatus autem Marcello, ut eum diceret scripsit; (2) isque paruit et sententiam populi confirmavit; ipse in annum sequentem rursus pro consule missus est. (3) Re cum Fabio Maximo composita, ut is Tarentinos aggrederetur, ipse ut Hannibalem instando et ultro citroque trahendo a ferendo contra illum auxilio detineret, ad Canusium accessit. Ibi Hannibali castra subinde mutanti prœliumque detrectanti se ostentans, tandem ut is certo loco consedit, levibus pugnis ad justum prœlium excivit. (4) Id prœlium inchoatum nox diremit; postridie rursus Marcellus in armis conspectus est, instructa acie. Quare Hannibal dolore concitus magno, Carthaginienses convocavit, oravitque ut pro omnibus prioribus victoriis retinendis in præsentia dimicarent : Videtis enim, dicebat, post tot victorias, ne respirandi quidem nobis victoribus aut otii dari facultatem, nisi hominem istum profligaverimus. (5) Inde commissum est prœlium, in quo Marcellus videtur intempestivo strategemate damnum sibi dedisse. Dextra enim ala laborante, unam de legionibus in primam aciem prodire jussit : hæc mutatio, ordinibus turbatis, hostibus victoriam tradidit, duobus millibus et septingentis Romanorum cæsis. (6) Marcellus in castra regressus, convocato exercitu, videre se multa Romanorum arma, multa corpora, Romanum vero nullum dixit. (7) Ac veniam petentibus, victis se daturum negavit, victoribus promisit : cras iterum in aciem educturum affirmavit, ut de victoria prius quam de fuga fama ad cives perveniret. His dictis, cohortibus, quæ cesserant, pro tritico hordeum dari jussit; itaque ergo, multis male ab eo prœlio affectis, neminem dicunt fuisse cui non plus doloris oratio Marcelli quam sua vulnera attulerint.

XXVI. Ἅμα δὲ ἡμέρᾳ προὔκειτο μὲν ὁ φοινικοῦς χιτὼν, ὡς εἴωθε, μάχης ἐσομένης σύμβολον, αἱ δὲ ἠτιμασμέναι σπεῖραι τὴν πρώτην αὐταὶ δεηθεῖσαι τάξιν ἐλάμβανον, τὴν δὲ ἄλλην ἐξάγοντες οἱ χιλίαρχοι στρατιὰν παρενέβαλλον. (2) Ἀκούσας δὲ ὁ Ἀννίβας, « Ὦ Ἡράκλεις, εἶπε, τί χρήσεταί τις ἀνθρώπῳ μήτε τὴν χείρονα τύχην μήτε τὴν βελτίονα φέρειν εἰδότι; μόνος γὰρ οὗτος οὔτε νικῶν δίδωσιν ἀνάπαυσιν οὔτε λαμβάνει νικώμενος, ἀλλ' ἀεὶ μαχησόμεθα πρὸς τοῦτον, ὡς ἔοικεν, τῷ τοῦ τολμᾶν ἀεὶ καὶ τὸ θαρρεῖν εὐτυχοῦντι καὶ σφαλλομένῳ τὸ αἰδεῖσθαι πρόφασίς ἐστιν. » (3) Ἐκ τούτου συνῆσαν αἱ δυνάμεις· καὶ τῶν ἀνδρῶν ἴσα φερομένων ἐκέλευσεν Ἀννίβας τὰ θηρία καταστήσαντας εἰς πρώτην τάξιν ἐπάγειν τοῖς ὅπλοις τῶν Ῥωμαίων. (4) Ὠθισμοῦ δὲ μεγάλου καὶ ταραχῆς εὐθὺς ἐν τοῖς πρώτοις γενομένης εἷς τῶν χιλιάρχων ὄνομα Φλάβιος ἀναρπάσας σημαίαν ὑπηντίαζε καὶ τῷ στύρακι τὸν πρῶτον ἐλέφαντα τύπτων ἀπέστρεφεν. Ὁ δὲ ἐμβαλὼν εἰς τὸν ὀπίσω συνετάραξε καὶ τοῦτον καὶ τοὺς ἐπιφερομένους. (5) Κατιδὼν δὲ τοῦτο Μάρκελλος ἐκέλευσε τοὺς ἱππεῖς ἐλαύνειν ἀνὰ κράτος πρὸς τὸ θορυβούμενον καὶ ποιεῖν ἔτι μᾶλλον αὐτοῖς περιπετεῖς τοὺς πολεμίους. (6) Οὗτοι δὲ δὴ λαμπρῶς ἐμβαλόντες ἀνέκοπτον ἄχρι τοῦ στρατοπέδου τοὺς Καρχηδονίους καὶ τῶν θηρίων τὰ κτεινόμενα καὶ πίπτοντα τὸν πλεῖστον αὐτῶν φόνον ἀπειργάζετο. (7) Λέγονται γὰρ ὑπὲρ ὀκτακισχιλίους ἀποθανεῖν· Ῥωμαίων δὲ νεκροὶ μὲν ἐγένοντο τρισχίλιοι, τραυματίαι δὲ ὀλίγου δεῖν ἅπαντες. Καὶ τοῦτο παρέσχεν Ἀννίβᾳ καθ' ἡσυχίαν ἀναστάντι νυκτὸς ἆραι πορρωτάτω τοῦ Μαρκέλλου. (8) Διώκειν γὰρ οὐκ ἦν δυνατὸς ὑπὸ πλήθους τῶν τετρωμένων, ἀλλὰ κατὰ σχολὴν εἰς Καμπανίαν ἀνέζευξε καὶ τὸ θέρος ἐν Σινοέσσῃ διῆγεν ἀναλαμβάνων τοὺς στρατιώτας.

XXVII. Ὁ δὲ Ἀννίβας ὡς ἀπέρρηξεν ἑαυτὸν τοῦ Μαρκέλλου, χρώμενος ὥσπερ λελυμένῳ τῷ στρατεύματι πᾶσαν ἀδεῶς ἐν κύκλῳ περιὼν ἔφλεγε τὴν Ἰταλίαν· καὶ κακῶς ἤκουσεν ἐν Ῥώμῃ Μάρκελλος. (2) Οἱ δὲ ἐχθροὶ Πουβλίκιον Βίβλον, ἕνα τῶν δημάρχων, ἀνέστησαν ἐπὶ τὴν κατηγορίαν αὐτοῦ, δεινὸν εἰπεῖν ἄνδρα καὶ βίαιον· ὃς πολλάκις συναγαγὼν τὸν δῆμον ἔπειθεν ἄλλῳ παραδοῦναι στρατηγῷ τὴν δύναμιν, « ἐπεὶ Μάρκελλος, ἔφη, μικρὰ τῷ πολέμῳ προσγεγυμνασμένος ὥσπερ ἐκ παλαίστρας ἐπὶ θερμὰ λουτρὰ θεραπεύσων ἑαυτὸν τέτραπται. » (3) Ταῦτα πυνθανόμενος ὁ Μάρκελλος ἐπὶ μὲν τοῦ στρατοπέδου τοὺς πρεσβευτὰς ἀπέλιπεν, αὐτὸς δὲ πρὸς τὰς διαβολὰς ἀπολογησόμενος εἰς Ῥώμην ἐπανῆλθεν. (4) Ἐκ δὲ τῶν διαβολῶν ἐκείνων δίκην εὗρε παρεσκευασμένην ἐπ' αὐτόν. Ἡμέρας οὖν ὁρισθείσης καὶ τοῦ δήμου συνελθόντος εἰς τὸν Φλαμίνιον ἱππόδρομον, ὁ μὲν Βίβλος ἀναβὰς κατηγόρησεν, ὁ δὲ Μάρκελλος ἀπελογεῖτο, βραχέα μὲν καὶ ἁπλᾶ δι' ἑαυτοῦ, πολλὴν δὲ καὶ λαμπρὰν οἱ δοκιμώτατοι καὶ πρῶτοι τῶν πολιτῶν παῤῥησίαν ἦγον παρακαλοῦντες μὴ χείρονας τοῦ πολεμίου κριτὰς φανῆναι δειλίαν Μαρκέλλου κα-

XXVI. Mane punicea toga, signum pugnæ, de more suspensa fuit : cohortibus autem ignominia notatis primus, quem petierant, locus in acie datus : reliquos tribuni militum in aciem eduxerunt. (2) Quod ut renuntiatum est Hannibali, Quid, inquit, dii boni, huic homini facias? qui neque secundam potest, neque adversam fortunam ferre : solus neque dare quietem victor neque uti ea victus potest, nimirum semper erit cum eo pugnandum, qui prosperis audaciæ, adversis rebus pudoris prætextum habet. » (3) Inde commisso prœlio, cum æquo Marte pugnaretur, Hannibal elephantos in primam productos aciem, Romanis ordinibus immitti jussit. (4) Ibi tumultu et trepidatione magna orta, tribunus militum Flavius signo correpto occurrit, primumque elephantum cuspide inferiori ictum retro avertit : is et proximum a se, et alios deinceps conturbavit. (5) Marcellus eo conspecto, equites confertim ad tumultum advolare, hostiumque in se ipsos ruentium trepidationem augere jussit. (6) Ii acri in Carthaginienses facto impetu usque ad castra eos repulerunt : maximaque eorum cædes ab occisis et corruentibus elephantis est facta. (7) Ceciderunt hostium supra octo millia : ab Romanis tria millia, propemodum omnibus sauciis. Id Hannibali quam longissime a Marcello se subducendi noctu motis castris facultatem præbuit. (8) Marcellus insequi ob sauciorum multitudinem non potuit : itaque per otium in Campaniam transiit, Sinuessæque æstatem reficiendo exercitu consumpsit.

XXVII. At Hannibal ut semel a Marcello se abripuit, tanquam libero et soluto exercitu omnem Italiam circumiens incendiis vastabat. Quo nomine cum male audiret Marcellus, (2) inimici ejus Publicium Bibulum tribunum plebis submiserunt, qui eum accusaret. Erat is homo in orationibus vehemens, convocatoque sæpius populo, alii duci copias Marcelli committendas suadebat; etenim Marcellum, cum ad bellum tantum sese parumper exercuisset, statim curandi corporis causa, tanquam ad lavacra calida, se a palæstra contulisse. (3) Quibus auditis, Marcellus, relictis ad exercitum legatis, ipse diluendarum calumniarum causa Romam venit. (4) Jam iis calumniis hoc erat effectum, ut dies Marcello diceretur. Quæ ubi appetiit, populo in Circum Flaminium congregato, Bibulus accusavit, Marcellus sui purgandi causa pauca ipse et simpliciter dixit : multa autem in eo defendendo insignique libertate usi sunt probatissimi primoresque civium, monentes populum, cavereut ne, si timiditatis Marcellum condemnassent, deterius de eo, quam hostis, judicasse deprehenderentur : quippe hunc

ταψηφισαμένους, ὃν μόνον φεύγει τῶν ἡγεμόνων ἐκεῖνος καὶ διατελεῖ τούτῳ μὴ μάχεσθαι στρατηγῶν, ὡς τοῖς ἄλλοις μάχεσθαι. (5) Ῥηθέντων δὲ τῶν λόγων τούτων τοσοῦτον ἡ τῆς δίκης ἐλπὶς ἐψεύσατο τὸν κατήγορον, ὥστε μὴ μόνον ἀφεθῆναι τῶν αἰτιῶν τὸν Μάρκελλον, ἀλλὰ καὶ τὸ πέμπτον ὕπατον ἀποδειχθῆναι.

XXVIII. Παραλαβὼν δὲ τὴν ἀρχὴν πρῶτον μὲν ἐν Τυρρηνίᾳ μέγα κίνημα πρὸς ἀπόστασιν ἔπαυσε καὶ κατεπράϋνεν ἐπελθὼν τὰς πόλεις· ἔπειτα ναὸν ἐκ τῶν Σικελικῶν λαφύρων ᾠκοδομημένον ὑπ' αὐτοῦ Δόξης καὶ Ἀρετῆς καθιερῶσαι βουλόμενος καὶ κωλυθεὶς ὑπὸ τῶν ἱερέων, οὐκ ἀξιούντων ἑνὶ ναῷ δύο θεοὺς περιέχεσθαι, πάλιν ἦρξατο προσοικοδομεῖν ἕτερον οὐ ῥᾳδίως φέρων τὴν γεγενημένην ἀντίκρουσιν, ἀλλ' ὥσπερ οἰωνιζόμενος. (2) Καὶ γὰρ ἄλλα πολλὰ σημεῖα διετάραττεν αὐτὸν, ἱερῶν τινων κεραυνώσεις καὶ μύες τὸν ἐν Διὸς χρυσὸν διαφαγόντες· ἐλέχθη δὲ καὶ βοῦν ἀνθρώπου φωνὴν ἀφεῖναι καὶ παιδίον ἔχον κεφαλὴν ἐλέφαντος γενέσθαι. (3) Καὶ περὶ τὰς ἐκθύσεις καὶ ἀποτροπὰς δυσιεροῦντες οἱ μάντεις κατεῖχον αὐτὸν ἐν Ῥώμῃ σπαργῶντα καὶ φλεγόμενον. (4) Οὐδεὶς γὰρ ἔρωτα τοσοῦτον ἠράσθη πράγματος οὐδενὸς, ὅσον οὗτος ἀνὴρ τοῦ μάχῃ κριθῆναι πρὸς Ἀννίβαν. (5) Τοῦτο καὶ νύκτωρ ὄνειρον ἦν αὐτῷ καὶ μετὰ φίλων καὶ συναρχόντων ἐν βουλευμα καὶ μία πρὸς θεοὺς φωνὴ, παρατατόμενον Ἀννίβαν λαβεῖν. (6) Ἥδιστα δ' ἄν μοι δοκεῖ τείχους ἑνὸς ἢ τινος χάρακος ἀμφοτέροις τοῖς στρατεύμασι περιτεθέντος διαγωνίσασθαι, καὶ εἰ μὴ πολλῆς μὲν ἤδη μεστὸς ὑπῆρξε δόξης, πολλὴν δὲ πεῖραν παρεσχήκει τοῦ παρ' ὀντινοῦν τῶν στρατηγῶν ἐμβριθὴς γεγονέναι καὶ φρόνιμος, εἶπον ἄν, ὅτι μειρακιώδες αὐτῷ προσπεπτώκει καὶ φιλοτιμότερον πάθος ἢ κατὰ πρεσβύτην τοσοῦτον· ὑπὲρ γὰρ ἑξήκοντα γεγονὼς ἔτη τὸ πέμπτον ὑπάτευεν.

XXIX. Οὐ μὴν ἀλλὰ θυσιῶν καὶ καθαρμῶν ὧν ὑπηγόρευον οἱ μάντεις γενομένων ἐξῆλθε μετὰ τοῦ συνάρχοντος ἐπὶ τὸν πόλεμον καὶ πολλὰ μεταξὺ Βαντίας πόλεως καὶ Βενουσίας καθήμενον ἠρέθιζε τὸν Ἀννίβαν. (2) Ὁ δὲ εἰς μάχην μὲν οὐ κατέβαινεν, αἰσθόμενος δὲ πεμπομένην ὑπ' αὐτῶν στρατιὰν ἐπὶ Λοκροὺς τοὺς Ἐπιζεφυρίους κατὰ τὸν περὶ Πετηλίαν λόφον, ὑφεὶς ἐνέδρας πεντακοσίους καὶ δισχιλίους ἀπέκτεινε. (3) Τοῦτο Μάρκελλον ἐξέφερε τῷ θυμῷ πρὸς τὴν μάχην καὶ προσῆγεν ἄρας ἐγγυτέρω τὴν δύναμιν. (4) Ἦν δὲ μεταξὺ τῶν στρατοπέδων λόφος ἐπιειχῶς μὲν εὐερκὴς, ὕλης δὲ παντοδαπῆς ἀνάπλεως· εἶχε δὲ καὶ σκοπὰς περικλινεῖς ἐπ' ἀμφότερα καὶ ναμάτων ὑπεφαίνοντο πηγαὶ καταῤῥέοντων. (5) Ἐθαύμαζον οὖν οἱ Ῥωμαῖοι Ἀννίβαν, ὅτι πρῶτος ἑλὼν εὐφυᾶ τόπον οὗτος οὐ κατέσχεν, ἀλλ' ἀπέλιπε τοῖς πολεμίοις. (6) Τῷ δὲ ἄρα καλὸν μὲν τῷ στρατοπεδεῦσαι τὸ χωρίον ἐφαίνετο, πολὺ δὲ κρεῖττον ἐνεδρεῦσαι· καὶ πρὸς τοῦτο μᾶλλον αὐτῷ χρῆσθαι βουλόμενος ἐνέπλησε τὴν ὕλην καὶ τὰς κοιλάδας ἀκοντιστῶν τε πολλῶν καὶ λογχοφόρων, πεπεισμένος ἐπάξεσθαι δι' εὐφυίαν αὐτὰ τὰ χωρία τοὺς

unum esse ex omnibus ducibus quem Hannibal fugiat, iisdemque artibus semper congressum ejus declinet, quibus ad pugnam reliquos alliciat. (5) His sermonibus factum est, ut in tantum spes sua accusatorem frustraretur, ut non absolutus modo criminum sit Marcellus, sed et quintum consul creatus.

XXVIII. Initio hujus consulatus magnum in Etruria motum ad defectionem spectantem sedavit, ac circum urbes profectus eas pacavit. Inde templum Honoris et Virtutis a se ex manubiis Siciliensibus exstructum dedicare cupiens, a pontificibus impeditus, quod ii non recte una æde duos deos includi dicerent, priori alterum adjicere cœpit, ægre ferens id impedimenti ac quasi in omen trahens. (2) Nam et aliis turbabatur ostentis, quod et fana quædam de cœlo tacta erant, et in æde Jovis aurum mures corrosissent: ferebatur et bos locutus et infans cum capite elephanti natus. (3) Factis horum prodigiorum curandorum causa sacrificiis, aliquoties non fuerat litatum; detinebatur ergo ab haruspicibus in urbe, æstuans animo atque cupiditate tumens. (4) Nemo enim quisquam tantopere quicquam petiit, atque is vir cum Hannibale prœlio decernere in votis habuit: (5) hoc ei per quietem obversabatur somnium, et unum hoc cum amicis et collegis consultabat; hoc unum a diis petebat, uti cum Hannibale acie collata dimicandi facultatem sibi darent. (6) Cupidissime autem, arbitror, cum eo congressurus fuisset, si uno muro aut vallo uterque fuisset inclusus exercitus: ac nisi jam gloria onustus, abunde suam in omnis generis imperiis obeundis gravitatem atque prudentiam demonstrasset, dicerem sane affectu magis, quam pro ætate ejus, fervido ac juvenili et ambitione annis indecora concitatum fuisse: gessit enim quintum consulatum, annos natus plures quam sexaginta.

XXIX. At vero sacrificiis et expiationibus secundum haruspicum jussa factis, cum collega ad bellum est profectus: Hannibalemque inter Bantiam et Venusiam urbes sedentem crebro irritavit. (2) Hannibal dimicationem subterfugit: sed cum a Romanis consulibus mitti exercitum in Locros Epizephyrios sensisset, insidiis sub tumulum Peteliæ abditis, duo millia et quingentos Romanorum occidit. (3) Ira hujus rei Marcellum ad conserendum prœlium inflammavit: propiusque castra hostium castris contulit. (4) Erat inter Punica et Romana castra collis, satis quidem natura munitus, ceterum omnis generis arboribus ac virgultis obsitus: habebat et dejectus in utramque partem proclives, et fontes, qui aquis inde delabentibus indicarentur. (5) Hunc mirabantur Romani ab Hannibale non occupatum, cum prior loco tam apto castra fixisset, sed hostibus relictum. (6) Verum Hannibali locus ut commodus castris, ita longe opportunior insidiis abscondendis visus erat, et ad hanc rem potius eo uti statuerat; itaque silvestria omnia et cavernas multis jaculatoribus et lanceariis oppleverat, sperans fore, ut loci natura opportunitate sua eo Romanos alliceret.

Ῥωμαίους. (7) Οὐδὲ ἀπεψεύσθη τῆς ἐλπίδος· εὐθὺς γὰρ ἦν πολὺς ἐν τῷ στρατοπέδῳ τῶν Ῥωμαίων λόγος, ὡς χρὴ τὸ χωρίον καταλαμβάνειν, καὶ διεστρατήγουν, ὅσα πλεονεκτήσουσι τοὺς πολεμίους, μάλιστα μὲν ἐκεῖ στρατοπεδεύσαντες, εἰ δὲ μή, τειχίσαντες τὸν λόφον. (8) Ἔδοξεν οὖν τῷ Μαρκέλλῳ μετ' ὀλίγων ἱππotῶν ἐπελάσαντι κατασκέψασθαι. Καὶ λαβὼν τὸν μάντιν ἐθύετο· καὶ τοῦ πρώτου πεσόντος ἱερείου δείκνυσιν αὐτῷ τὸ ἧπαρ οὐκ ἔχον κεφαλὴν ὁ μάντις. Ἐπιθυσαμένου δὲ τὸ δεύτερον ἡ τε κεφαλὴ μέγεθος ὑπερφυὲς ἀνέσχε καὶ τἆλλα φαιδρὰ θαυμαστῶς διεφάνη καὶ λύσιν ἔχειν ὁ τῶν πρώτων φόβος ἔδοξεν. (9) Οἱ δὲ μάντεις ταῦτα μᾶλλον ἔφασαν δεδιέναι καὶ ταράττεσθαι· λαμπροτάτων γὰρ ἐπ' αἰσχίστοις καὶ σκυθρωποτάτοις ἱεροῖς γενομένων ὕποπτον εἶναι τῆς μεταβολῆς τὴν ἀτοπίαν. (10) Ἀλλὰ γὰρ

Τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδαροῦν σχήσει τεῖχος,

κατὰ Πίνδαρον. Ἐξῆει οὖν τόν τε συνάρχοντα Κρισπῖνον παραλαβὼν καὶ τὸν υἱὸν χιλιαρχοῦντα καὶ τοὺς σύμπαντας ἱππεῖς εἴκοσι καὶ διακοσίους· (11) ὧν Ῥωμαῖος οὐδεὶς ἦν, ἀλλ' οἱ μὲν ἄλλοι Τυρρηνοί, τεσσαράκοντα δὲ Φρεγελλάνοι πεῖραν ἀρετῆς καὶ πίστεως ἀεὶ τῷ Μαρκέλλῳ δεδωκότες. (12) Ὑλώδους δὲ τοῦ λόφου καὶ συνηρεφοῦς ὄντος ἀνὴρ καθήμενος ἄνω σκοπὴν εἶχε τοῖς πολεμίοις αὐτὸς οὐ συνορώμενος, καθορῶν δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον. (13) Καὶ τὰ γινόμενα τούτου φράσαντος τοῖς λοχῶσι προσελαύνοντα τὸν Μάρκελλον ἐάσαντες ἐγγὺς προσελθεῖν ἐξαίφνης ἀνέστησαν καὶ περιχυθέντες ἅμα πανταχόθεν ἠκόντιζον, ἔπαιον, ἐδίωκον τοὺς φεύγοντας, συνεπλέκοντο τοῖς ὑφισταμένοις. Οὗτοι δ' ἦσαν οἱ τεσσαράκοντα Φρεγελλάνοι. (14) Καὶ τῶν Τυρρηνῶν εὐθὺς ἐν ἀρχῇ διατρεσάντων αὐτοὶ συστραφέντες ἠμύνοντο πρὸ τῶν ὑπάτων, ἄχρι οὗ Κρισπῖνος μὲν ἀκοντίσμασι δυσὶ βεβλημένος ἐπέστρεψεν εἰς φυγὴν τὸν ἵππον, Μάρκελλον δέ τις λόγχῃ πλατείᾳ διὰ τῶν πλευρῶν διήλασεν ἣν λαγκίαν καλοῦσιν. (15) Οὕτω δὲ καὶ τῶν Φρεγελλάνων οἱ περιόντες ὀλίγοι παντάπασιν αὐτὸν μὲν πεσόντα λείπουσι, τὸν δ' υἱὸν ἁρπάσαντες τετρωμένον φεύγουσιν ἐπὶ τὸ στρατόπεδον. (16) Ἐγένοντο δὲ νεκροὶ μὲν οὐ πολλῷ τῶν τεσσαράκοντα πλείους, αἰχμάλωτοι δὲ τῶν μὲν ῥαβδούχων πέντε, τῶν δὲ ἱππέων εἴκοσι δυεῖν δέοντες. (17) Ἐτελεύτησε δὲ καὶ Κρισπῖνος ἐκ τῶν τραυμάτων οὐ πολλὰς ἡμέρας ἐπιβιώσας. Καὶ πάθος τοῦτο Ῥωμαίοις συνέπεσε πρότερον οὐ γεγονὸς, ἀμφοτέρους ἐξ ἑνὸς ἀγῶνος τοὺς ὑπάτους ἀποθανεῖν.

XXX. Ἀννίβᾳ δὲ τῶν μὲν ἄλλων ἐλάχιστος ἦν λόγος, Μάρκελλον δὲ πεπτωκέναι πυθόμενος αὐτὸς ἐξέδραμεν ἐπὶ τὸν τόπον καὶ τῷ νεκρῷ παραστὰς καὶ πολὺν χρόνον τήν τε ῥώμην τοῦ σώματος καταμαθὼν καὶ τὸ εἶδος, οὔτε φωνὴν ἀφῆκεν ὑπερήφανον οὔτε ἀπ' ὄψεως τὸ χαῖρον, ὡς ἄν τις ἐργώδη πολέμιον καὶ

(7) Quæ eum spes nequaquam fefellit. Etenim continuo in castris Romanorum multus erat sermo, occupandum eum esse locum : jamque curiose rationes inibant, quot rebus superiores essent hostibus futuri, maxime quidem castris in eo colle positis, sin minus, at certe eo munimentis intercepto. (8) Visum est igitur Marcello cum paucis equitibus locum speculari : vocatoque haruspice, sacram rem fecit. Cæsa prima hostia, jecur ei sine capite ostendit haruspex; secunda cæsa cum magnum caput exhibuit, tum cetera omnia ad miraculum pulchra visa sunt : et apparebat terror prioribus extis oblatus, alteris sublatus. (9) At haruspices magis etiam metuere et commoveri se responderunt : mutationem enim sinistri aliquid habere videri, quod post turpissima et tristissima exta, nimis quam læta apparuissent. (10) Verum enimvero « fato neque ignis, neque ferreus obstiterit murus, » ut est apud Pindarum. Exiit cum collega Crispino Marcellus, filioque suo, qui tum erat tribunus militum, ac ducentis et viginti equitibus. (11) Quorum nemo Romanus erat, sed Etrusci ceteri, quadraginta Fregellani, qui morigeros se et fidos perpetuo Marcello præbuerant. (12) Locus erat silvestris et tectus : in eo speculator Carthaginiensium desidebat, qui a nemine conspici, ipse Romanorum castra cernere poterat. (13) Is cum in insidiis locatis, quid agerent Romani, indicasset, illi Marcellum advenientem passi prope accedere, inde subito exorti et undiquaque circumfusi, jaculabantur, cædebant, insequebantur fugientes, cum resistentibus dimicabant. Resistebant autem quadraginta Fregellani. (14) Etruscisque initio statim præ terrore fugam dantibus, agmine ipsi facto pro consulibus propugnabant : donec Crispinus duobus jaculis ictus equum ad fugam convertit, Marcelli autem latus lancea trajectum est. (15) Tunc demum et qui supererant Fregellani, pauci admodum Marcellum cadentem relinquentes, filio ejus saucio secum abrepto in castra effugerunt. (16) Ceciderunt haud multi supra quadraginta, capti sunt lictores quinque et de equitibus duodeviginti. (17) Paucos post dies etiam Crispinus ex vulneribus obiit : novumque hoc Romanis infortunium accidit, ut uno prœlio utrumque consulem amitterent.

XXX. Hannibal vero cum reliquos minimi faceret, Marcellum cecidisse audito, ipse ad locum accurrit : cadaverique assistens, diuque corporis robur et formam contemplatus, neque superbam ullam emisit vocem, neque vultu lætitiam (ut consentaneum erat eum, qui tam molestum et gravem hostem interfecisset) præ se tulit, sed inopinatum

βαρὺν ἀπεκτονὼς, ἐξέφηνεν, ἀλλ' ἐπιθαυμάσας τὸ παράλογον τῆς τελευτῆς τὸν μὲν δακτύλιον ἀφείλετο,
316 τὸ δὲ σῶμα κοσμήσας πρέποντι κόσμῳ καὶ περιστείλας a ἐντίμως ἔκαυσε καὶ τὰ λείψανα συνθεὶς εἰς κάλπιν ἀργυρᾶν καὶ χρυσοῦν ἐμβαλὼν στέφανον ἀπέστειλε πρὸς τὸν υἱόν. (2) Τῶν δὲ Νομάδων τινὲς περιτυχόντες τοῖς κομίζουσιν ὥρμησαν ἁφαιρεῖσθαι τὸ τεῦχος, ἀντιλαμβανομένων δ' ἐκείνων ἐκβιαζόμενοι καὶ μαχόμενοι διέῤῥιψαν τὰ ὀστᾶ. (3) Πυθόμενος δὲ Ἀννίβας καὶ πρὸς τοὺς παρόντας εἰπὼν, « Οὐδὲν ἄρα δυνατὸν γενέσθαι ἄκοντος θεοῦ, » τοῖς μὲν Νομάσιν ἐπέθηκε δίκην, οὐκέτι δὲ κομιδῆς ἢ συλλογῆς τῶν λειψάνων ἐφρόντισεν, ὡς δὴ κατὰ θεόν τινα καὶ τῆς τελευτῆς καὶ τῆς ἀταφίας παραλόγως οὕτω τῷ Μαρκέλλῳ γενομένης. (4) b Ταῦτα μὲν οὖν οἱ περὶ Κορνήλιον Νέπωτα καὶ Οὐαλέριον Μάξιμον ἱστορήκασι, Λίβιος δὲ καὶ Καῖσαρ ὁ Σεβαστὸς κομισθῆναι τὴν ὑδρίαν πρὸς τὸν υἱὸν εἰρήκασι καὶ ταφῆναι λαμπρῶς. (5) Ἦν δὲ ἀνάθημα Μαρκέλλου δίχα τῶν ἐν Ῥώμῃ γυμνάσιον μὲν ἐν Κατάνῃ τῆς Σικελίας, ἀνδριάντες δὲ καὶ πίνακες τῶν ἐκ Συρακουσῶν ἔν τε Σαμοθρᾴκῃ παρὰ τοῖς θεοῖς, οὓς Καβείρους ὠνόμαζον, καὶ περὶ Λίνδον ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. (6) Ἐκεῖ δὲ αὐτοῦ τῷ ἀνδριάντι τοῦτ' ἦν ἐπιγεγραμμένον, ὡς Ποσειδώνιος φησὶ, τὸ ἐπίγραμμα·

Οὗτός τοι Ῥώμης ὁ μέγας, ξένε, πατρίδος ἀστὴρ,
Μάρκελλος κλεινῶν Κλαύδιος ἐκ πατέρων, c
ἑπτάκι τὰν ὑπάταν ἀρχὰν ἐν Ἄρηι φυλάξας,
καὶ πολὺν ἀντιπάλων ἐγκατέχευε φόνον.

Τὴν γὰρ ἀνθύπατον ἀρχὴν, ἣν δὶς ἦρξε, ταῖς πέντε προσκατηρίθμησεν ὑπατείαις ὁ τὸ ἐπίγραμμα ποιήσας. (7) Γένος δ' αὐτοῦ λαμπρὸν ἄχρι Μαρκέλλου τοῦ Καίσαρος ἀδελφιδοῦ διέτεινεν, ὃς Ὀκταβίας ἦν τῆς Καίσαρος ἀδελφῆς υἱὸς ἐκ Γαΐου Μαρκέλλου γεγονὼς, ἀγορανομῶν δὲ Ῥωμαίων ἐτελεύτησε νυμφίος Καίσαρος θυγατρὶ χρόνον οὐ πολὺν συνοικήσας. Εἰς δὲ τιμὴν αὐτοῦ καὶ μνήμην Ὀκταβία μὲν ἡ μήτηρ τὴν βιβλιοθήκην ἀνέθηκε, Καῖσαρ δὲ θέατρον ἐπιγράψας Μαρκέλλου.

viri exitum miratus, annulum ei abstulit, corpus digno habitu ornatum, vestibusque decentibus amictum cremavit, reliquias in urnam argenteam lectas, aurea superaddita corona, ad filium ejus misit. (2) Sed quidam Numidæ cum inferentes urnam incidissent, adimere vi conati sunt : illis reluctantibus ac vim vi repellentibus, ossa disjecta sunt. (3) Hannibal hoc audito, ad eos qui aderant nihil utique diis invitis posse fieri fatus, sumpto de Numidis supplicio, nullam præterea de reliquiis deferendis aut colligendis curam habuit : ut qui dei alicujus numine Marcello hunc exitum vitæ et sepulturæ privationem ita præter omnium opinionem evenisse crederet. (4) Hæc Cornelius Nepos et Valerius Maximus narrant; Livius et Augustus Cæsar perlatam ad filium Marcellis urnam, et honorifice sepultas ejus reliquias perhibent. (5) Præter ea, quæ Romæ dedicarat, Marcelli monumenta erant, gymnasium Catanæ in Sicilia, statuæ et tabulæ de Syracusanis in Samothrace apud deos, quos Cabiros nuncupant, et in Minervæ templo apud Lindum. (6) Ibi hoc epigramma statuæ ejus fuisse ascriptum, Posidonius refert :

Ille, hospes, patriæ sidus memorabile Romæ,
Marcellus claris Claudius a proavis,
Terque quaterque tulit bella in Mavortia fasces
Consulis, hostili cæde madefaciens.

Hujus enim carminis auctor duos proconsulatus quinque annumeravit consulatibus. (7) Genus ejus splendidum usque ad Marcellum C. Marcelli et Cæsaris Augusti sororis Octaviæ filium prorogatum est. Hic ædilis Romæ obiit, cum non diu in matrimonio Cæsaris filiam habuisset. Honoris ejus et memoriæ ejus Octavia mater bibliothecam dedicavit; Cæsar ipse theatrum Marcello inscriptum.

ΠΕΛΟΠΙΔΟΥ ΚΑΙ ΜΑΡΚΕΛΛΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Ὅσα μὲν οὖν ἔδοξεν ἡμῖν ἀναγραφῆς ἄξια τῶν ἱστορημένων περὶ Μαρκέλλου καὶ Πελοπίδου, ταῦτά ἐστι. Τῶν δὲ κατὰ τὰς φύσεις καὶ τὰ ἤθη κοινοτήτων ὥσπερ ἐφαμίλλων οὐσῶν (καὶ γὰρ ἀνδρεῖοι καὶ φιλόπονοι καὶ θυμοειδεῖς καὶ μεγαλόφρονες ἀμφότεροι γεγόνασιν), ἐκεῖνο δόξειεν ἂν διαφορὰν ἔχειν μόνον, ὅτι Μάρκελλος μὲν ἐν πολλαῖς πόλεσιν ὑποχειρίοις γενομέναις σφαγὰς ἐποίησεν, Ἐπαμεινώνδας δὲ καὶ Πελοπίδας οὐδένα πώποτε κρατήσαντες ἀπέκτειναν οὐδὲ πόλεις ἠνδραποδίσαντο. (2) Λέγονται δὲ Θηβαῖοι μηδὲ Ὀρχομενίους ἂν οὕτω μεταχειρίσασθαι παρόντων ἐκείνων. (3) Ἐν δὲ ταῖς πράξεσι θαυμαστὰ μὲν καὶ μεγάλα τοῦ Μαρκέλλου τὰ πρὸς Κελτοὺς, ὡσαμένου τοσοῦτον πλῆθος ἱππέων ὁμοῦ καὶ πεζῶν ὀλίγοις τοῖς περὶ αὐτὸν ἱππεῦσιν, ὃ ῥᾳδίως ὑφ' ἑτέρου στρατηγοῦ γεγονὸς οὐχ ἱστόρηται, καὶ τὸν ἄρχοντα τῶν πολεμίων ἀνελόντος· ἐν ᾧ τρόπῳ Πελοπίδας ἔπταισεν ὁρμήσας ἐπὶ ταὐτὰ, προαναιρεθεὶς δὲ ὑπὸ τοῦ τυράννου καὶ παθὼν πρότερον ἢ δράσας. (4) Οὐ μὴν ἀλλὰ τούτοις μὲν ἔστι παραβαλεῖν τὰ Λεῦκτρα καὶ Τεγύρας, ἐπιφανεστάτους καὶ μεγίστους ἀγώνων, κρυφαίαν δὲ σὺν λόγῳ κατωρθωμένην πρᾶξιν οὐκ ἔχομεν τοῦ Μαρκέλλου παραβαλεῖν οἷς Πελοπίδας περὶ τὴν ἐκ φυγῆς κάθοδον καὶ ἀναίρεσιν τῶν ἐν Θήβαις τυράννων ἔπραξεν, ἀλλ' ἐκεῖνο πολὺ πάντων ἔοικε πρωτεύειν τῶν ὑπὸ σκότῳ καὶ δι' ἀπάτης γεγενημένων τὸ ἔργον. (5) Ἀννίβας φοβερὸς μὲν καὶ δεινὸς ἐνέκειτο Ῥωμαίοις, ὥσπερ ἀμέλει Λακεδαιμόνιοι τότε Θηβαίοις· ἐνδοῦναι δὲ τούτους Πελοπίδᾳ καὶ περὶ Τεγύρας καὶ Λεῦκτρα βέβαιόν ἐστιν, Ἀννίβαν δὲ Μάρκελλος, ὡς μὲν οἱ περὶ Πολύβιον λέγουσιν, οὐδ' ἅπαξ ἐνίκησεν, ἀλλ' ἀήττητος ὁ ἀνὴρ δοκεῖ διαγενέσθαι μέχρι Σκηπίωνος, ἡμεῖς δὲ Λιβίῳ, Καίσαρι καὶ Νέπωτι καὶ τῶν Ἑλληνικῶν τῷ βασιλεῖ Ἰόβᾳ πιστεύομεν, ἥττας τινὰς καὶ τροπὰς ὑπὸ Μαρκέλλου τῶν σὺν Ἀννίβᾳ γενέσθαι· μεγάλην δ' αὖταί ῥοπὴν οὐδεμίαν ἐποίησαν, ἀλλ' ἔοικε ψευδόπτωμά τι γενέσθαι περὶ τὸν Λίβυν ἐν ταῖς συμπλοκαῖς ἐκείναις. (6) Ὃ δὴ κατὰ λόγον καὶ προσηκόντως ἐθαυμάσθη, μετὰ τοσαύτας τροπὰς στρατοπέδων καὶ φόνους στρατηγῶν καὶ σύγχυσιν ὅλης ὁμοῦ τῆς Ῥωμαίων ἡγεμονίας εἰς ἀντίπαλα τῷ θαῤῥεῖν καθισταμένων· (7) ὁ γὰρ ἐκ πολλοῦ τοῦ πάλαι περιδεοῦς καὶ καταπεπληγότος αὖθις ἐμβαλὼν τῷ στρατεύματι ζῆλον καὶ φιλονεικίαν πρὸς τοὺς πολεμίους καὶ τοῦτο δὴ τὸ μὴ ῥᾳδίως τῆς νίκης ὀφιέμενον, ἀλλὰ καὶ ἀμφισβητοῦν τε καὶ φιλοτιμούμενον ἐπάρας καὶ θαῤῥύνας εἰς ἀνὴρ ἦν, Μάρκελλος· εἰθισμένους γὰρ ὑπὸ τῶν συμφορῶν, εἰ φεύγοντες ἐκφύγοιεν Ἀννίβαν, ἀγαπᾶν ἐδίδαξεν αἰσχύνεσθαι σωζομένους μεθ' ἥττης, ἀρνεῖσθαι δὲ παρὰ μικρὸν ἐνδόντας, ἀλγεῖν δὲ μὴ κρατήσαντας.

PELOPIDÆ CUM MARCELLO COMPARATIO.

Quæ de Marcello atque Pelopida memoriæ prodita, commemoratu digna judicavissemus, hæc fere erant. Cum vero et natura et moribus sane quam æquales fuerint, uterque nimirum fortis, impiger, acer, magnoque præditus animo: in eo solum discrimen intercessisse videri potest, quod Marcellus multis in urbibus a se captis cædes exercuit, Epaminondas et Pelopidas nullum unquam victores interfecerunt, neque in servitutem urbes redegerunt. (2) Imo ne cum Orchomeniis quidem ita acturos fuisse Thebanos istis præsentibus, creditum est. (3) De rebus gestis Marcelli magnum est et mirabile, quod Gallorum tantas equitum peditumque copias paucis ipse equitibus profligavit (quod ab alio duce factum haud temere leges), quodque hostium ipse ducem occidit. Certe Pelopidas idem conatus interiit, a tyranno occisus idque ipse prius passus, quod alterum pati voluerat. (4) Verumtamen his opponere licet Leuctricum et Tegyrense, præclarissima et maxima certamina; Marcelli autem nullum possumus adducere facinus occultis insidiis adjutum: at ejus generis fuerunt, cum Pelopidas reditum ab exsulio confecit, et Thebanorum tyrannos (quod omnium per tenebras et fallaciam gestarum rerum præstantissimum est) sustulit. (5) Romanis terrori erat Hannibal et graviter urgebat, sicut et Lacedæmonii tum Thebanos; Spartanos autem a Pelopida victos ad Leuctra et Tegyras, constans est fama: Hannibalem Polybius scribit nunquam a Marcello superatum, sed usque ad Scipionem invictum permansisse. Nos Livio, Cæsari, Nepoti, ac de Græcis scriptoribus regi Jubæ credimus, Hannibalem aliquoties a Marcello victum fugatumque, quæ tamen victoriæ ad summam rerum non magnum pondus attulerint, ut in illis conflictibus illusisse Pœnus videri possit. (6) Fuerunt tamen hæc Marcelli facinora haud injuria in admiratione: quo auctore Romani fusis tot ipsorum exercitibus, cæsis ducibus, totque conturbato Romanorum imperio tanta cum animi fiducia cum hostibus congressi sunt. (7) Qui enim post diuturnum terrorem atque metum, apud exercitum ardorem et studium cum hostibus contendendi excitavit et confirmavit, ut haud facile victoriam concederent, sed de ea magna contentione cum hostibus dimicarent, is Marcellus fuit. Nempe cladibus jam assuefactos, ut bene secum actum crederent, si fuga Hannibalem evitassent, pudore ille affici, si amissa victoria saluti consuluissent, negare si vel parumper cessissent, dolere nisi vicissent, docuit.

II. Ἐπεὶ τοίνυν Πελοπίδας μὲν οὐδεμίαν ἡττήθη μάχην στρατηγῶν, Μάρκελλος δὲ πλείστας τῶν καθ' αὑτὸν Ῥωμαίων ἐνίκησε, δόξειεν ἂν ἴσως τῷ δυσνικήτῳ πρὸς τὸ ἀήττητον ὑπὸ πλήθους τῶν κατωρθωμένων ἐπανισοῦσθαι. (2) Καὶ μὴν οὗτος μὲν εἷλε Συρακούσας, ἐκεῖνος δὲ τῆς Λακεδαίμονος ἀπέτυχεν. Ἀλλ' οἶμαι μεῖζον εἶναι τοῦ καταλαβεῖν Σικελίαν τὸ τῇ Σπάρτῃ προσελθεῖν καὶ διαβῆναι πρῶτον ἀνθρώπων πολέμῳ τὸν Εὐρώταν· εἰ μὴ νὴ Δία τοῦτο μὲν φήσει τις τὸ ἔργον Ἐπαμεινώνδᾳ μᾶλλον ἢ Πελοπίδᾳ προσήκειν, ὥσπερ καὶ τὰ Λεῦκτρα, τῶν δὲ Μαρκέλλῳ διαπεπραγμένων ἀκοινώνητον εἶναι τὴν δόξαν. (3) Καὶ γὰρ Συρακούσας μόνος εἷλε καὶ Κελτοὺς ἄνευ τοῦ συνάρχοντος ἐτρέψατο καὶ πρὸς Ἀννίβαν μηδενὸς συλλαμβάνοντος, ἀλλὰ καὶ πάντων ἀποτρεπόντων, ἀντιταξάμενος καὶ μεταβαλὼν τὸ σχῆμα τοῦ πολέμου πρῶτος ἡγεμὼν τοῦ τολμᾶν κατέστη.

III. Τὴν τοίνυν τελευτὴν ἐπαινῶ μὲν οὐδετέρου τῶν ἀνδρῶν, ἀλλ' ἀνιῶμαι καὶ ἀγανακτῶ τῷ παραλόγῳ τοῦ συμπτώματος· καὶ θαυμάζω μὲν ἐν μάχαις τοσαύταις, ὅσας ἀποκάμοι τις ἂν καταριθμῶν, μηδὲ τρωθέντα τὸν Ἀννίβαν, ἄγαμαι δὲ καὶ τὸν ἐν τῇ Παιδείᾳ Χρυσάνταν, ὃς διηρμένος κοπίδα καὶ παίειν μέλλων πολέμιον, ὡς ὑπεσήμηνεν ἡ σάλπιγξ ἀνακλητικὸν, ἀφεὶς τὸν ἄνδρα μάλα πρᾴως καὶ κοσμίως ἀνεχώρησεν. (2) Οὐ μὴν ἀλλὰ τὸν Πελοπίδαν ποιεῖ συγγνωστὸν ἅμα τῷ τῆς μάχης καιρῷ παράθερμον ὄντα καὶ πρὸς τὴν ἄμυναν οὐκ ἀγεννῶς ἐκφέρων ὁ θυμός· ἄριστον μὲν γὰρ νικῶντα σώζεσθαι τὸν στρατηγὸν, εἰ δὲ θανεῖν, εἰς ἀρετὴν καταλύσαντα βίον, ὡς Εὐριπίδης φησίν· οὕτω γὰρ οὐ πάθος, ἀλλὰ πρᾶξις γίνεται τοῦ τελευτήσαντος ὁ θάνατος. (3) Πρὸς δὲ τῷ θυμῷ τοῦ Πελοπίδου καὶ τὸ τέλος αὐτὸ τὸ τῆς νίκης ἐν τῷ πεσεῖν τὸν τύραννον ὁρώμενον οὐ παντάπασιν ἀλόγως ἐπεσπάσατο τὴν ὁρμήν· χαλεπὸν γὰρ ἑτέρας οὕτω καλὴν καὶ λαμπρὰν ἐχούσης ὑπόθεσιν ἀριστείας ἐπιλαβέσθαι. (4) Μάρκελλος δὲ, μήτε χρείας μεγάλης ἐπικειμένης μήτε τοῦ παρὰ τὰ δεινὰ πολλάκις ἐξιστάντος τὸν λογισμὸν ἐνθουσιασμοῦ παρεστῶτος, ὡσάμενος ἀπερισκέπτως εἰς κίνδυνον οὐ στρατηγοῦ πτῶμα, προδρόμου δέ τινος ἢ κατασκόπου πέπτωκεν, ὑπατείας πέντε καὶ τρεῖς θριάμβους καὶ σκῦλα καὶ τροπαιοφορίας ἀπὸ βασιλέων τοῖς προαποθνήσκουσι Καρχηδονίων Ἴβηρσι καὶ Νομάσιν ὑποβαλών. (5) Ὥστε νεμεσῆσαι αὐτοὺς ἐκείνους ἑαυτοῖς τοῦ κατορθώματος, ἄνδρα Ῥωμαίων ἄριστον ἀρετῇ καὶ δυνάμει μέγιστον καὶ δόξῃ λαμπρότατον ἐν τοῖς Φρεγελλάνων προδιερευνηταῖς παραναλῶσθαι. (6) Χρὴ δὲ ταῦτα μὴ κατηγορίαν εἶναι τῶν ἀνδρῶν νομίζειν, ἀλλ' ὡς ἀγανάκτησίν τινα καὶ παῤῥησίαν ὑπὲρ αὐτῶν ἐκείνων πρὸς αὐτοὺς καὶ τὴν ἀνδρείαν αὐτῶν, εἰς ἣν τὰς ἄλλας κατανάλωσαν ἀρετὰς ἀφειδήσαντες τοῦ βίου καὶ τῆς ψυχῆς, ὥσπερ ἑαυτοῖς, οὐ ταῖς πατρίσι μᾶλλον καὶ φίλοις καὶ συμμάχοις, ἀπολλυμένων. (7) Μετὰ δὲ τὸν θάνατον Πελοπίδας μὲν τοὺς συμμά-

II. Quod autem Pelopidas nullo unquam prœlio dux ipse superatus est, Marcellus plures quam ullus ea tempestate alius Romanus victorias retulit, videri potest difficultas in hoste vincendo, tot rebus tamen feliciter gestis, invictæ virtutis laudi ex æquo respondere. (2) Quid quod Syracusas Marcellus cepit, Lacedæmone potiundi conatus Pelopidæ irritus fuit? Equidem majus, opinor, fuit quam Siciliam recipere, ad Spartam accedere primumque hominum belli causa Eurotam transire. Quanquam profecto hoc, ut et Leuctricam victoriam, rectius Epaminondæ, quam Pelopidæ ascribi, non absurde forsitan aliquis dixerit: at Marcellus gloriam rebus gestis partam cum nemine habuit communem. (3) Nam et solus Syracusis potitus est et sine collega Gallos fudit, et Hannibali non modo a nemine adjntus, sed et omnibus dehortantibus se objiciens, mutata belli gerendi forma primus audendi dux fuit.

III. Exitum quidem vitæ utriusque nequaquam laudo; et quidem ægre fero indignorque tam inopinatos casus reputans: miror autem Hannibalem tot in pugnis, quot vel enumerando defatigeris, ne vulneratum quidem; miror et Chrysantam, quem Xenophon in libris de disciplina Cyri scribit, cum jam elata bipenni esset hostem icturus, ut tubam receptui canere audierit, omisso hoste placide et composite recessisse. (2) Verumtamen Pelopidam venia dignum facit ira, quæ eum fervidum alioquin prœlii tempore ad vindictam haud ignobili ratione inflammavit; nam ducis summa laus est, ut vel salvus vincat, vel virtute vitam finiens occumbat, quod est apud Euripidem: sic enim non passus aliquid, sed egisse moriendo existimatur. (3) Ad iram Pelopidæ accessit etiam, quod in morte tyranni finem victoriæ positum cernens, haud absurde omnino impetui animi est obsecutus: haud facile enim erat aliam aliquam rem præclaram aggredi, cujus tam honestus esset et gloriosus finis. (4) At vero Marcellus, neque magna incumbente necessitate, neque eo animi fervore correptus, qui in rebus gravibus sæpenumero de potestate mentis dejicere solet, inconsiderate in periculum sese præcipitans, non ducis, sed præcursoris aut exploratoris modo interiit: quinque consulatus, tres triumphos, spoliaque et tropæa de regibus erecta, Hispanis et Numidis, qui suam pro Carthaginiensibus vitam deponerent, in manus dans. (5) Itaque et ipsi re tam feliciter gesta, succensuerunt sibi quodammodo atque inviderunt, cum virum inter Romanos virtute, potentia gloriaque præstantissimum, inter Fregellanos speculatores interemptum viderent. (6) Neque hæc sunt accipienda pro quadam adversus istos viros obtrectatione, sed ut indignatio quædam et libera de ipsis apud ipsos querela et fortitudinem ipsorum, in quam reliquas etiam virtutes impenderint, vitæ suæ non parcentes: quasi vero sibi ipsis, non patriæ magis, amicis et sociis perirent. (7) Secundum mortem Pelopidas a sociis, pro quibus mortem

χους ταφεῖς ἔσχεν, ὑπὲρ ὧν ἀπέθανε, Μάρκελλος δὲ τοὺς πολεμίους, ὑφ' ὧν ἀπέθανε. (8) Ζηλωτὸν μὲν οὖν ἐκεῖνο καὶ μακάριον, κρεῖττον δὲ καὶ μεῖζον εὐνοίας χάριν ἀμειβομένης ἔχθρα λυποῦσαν ἀρετὴν θαυμάζουσα. Τὸ γὰρ καλὸν ἐνταῦθα τὴν τιμὴν ἔχει μόνον, ἐκεῖ δὲ τὸ λυσιτελὲς καὶ ἡ χρεία μᾶλλον ἀγαπᾶται τῆς ἀρετῆς.

oppetierat, Marcellus ab iis, a quibus erat necatus, hostibus est sepultus. (8) Quorum ut alterum expetendum est et fortunatum putatur : ita præstantius quiddam et majus est admirationem sui in animis hostium virtutis ejus, quæ eis sæpe incommodaverit, quam apud amicos gratiarum actionem excitare; quippe in illo honestati tantum honor delatus apparet, in hoc utilitas et commodum magis quam virtus amatur.

ΑΡΙΣΤΕΙΔΗΣ.

Ἀριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ δήμων Ἀλωπεκῆθεν. Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μέν, ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γεγενημένας· (2) πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει χωρίον τε Φαληροῖ φησὶ γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται, καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχήν, ἣν ἦρξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς Πεντακοσιομεδίμνους προσηγόρευον, ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων μεγάλων καὶ δι' ὄγκον ἐπιφθόνων ὄστρακον ἐπιφέρεσθαι· (3) τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου κατέλιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο τοιαύτην ἐπιγραφὴν διασώζοντες « Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε. » (4) Τουτὶ μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. Καὶ γὰρ Ἐπαμεινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος οὐκ ἀφιλοτίμους ἀνεδέξαντο χορηγίας, ὁ μὲν αὐλητοῖς ἀνδράσιν, ὁ δὲ παισὶ κυκλίοις χορηγήσας, τούτῳ μὲν Δίωνος τοῦ Συρακοσίου τὴν δαπάνην παρέχοντος, Ἐπαμεινώνδᾳ δὲ τῶν περὶ Πελοπίδαν. (5) Οὐ γὰρ ἔστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος, ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινὰς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρότητος, οὐκ ἀπωθοῦνται. (6) Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον· ἀπὸ γὰρ τῶν Περσικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας, ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτὸν, ἀλλὰ τὸν μὲν Ξενοφίλου πατρὸς, τὸν δὲ χρόνῳ πολλῷ νεώτερον, ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην ὄντα γραμματικῆς καὶ προσγεγραμμένος ὁ Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδεὶς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. Τὸ μὲν οὖν τοῦ Παναιτίου

ARISTIDES.

Aristides Lysimachi filius, de tribu Antiochide, curia Alopecensis fuit. De facultatibus ejus diversa traduntur. Quidam summa in paupertate vitam exegisse, duasque morientem filias reliquisse scribunt, quæ diu ob inopiam maritos non invenerint. (2) Huic multorum narrationi Demetrius Phalereus in Socrate repugnans, cognitum sibi in Phalero prædium ait Aristidis, in quo is sepultus sit. Non defuisse autem rem ei familiarem, primum ex eo colligit, quod is sorte fabarum lectus magistratum, qui Eponymus appellatur, gesserit, qui iis modo committeretur, quorum familiæ maximum censum explerent, videlicet quingentorum medimnorum, unde Πεντακοσιομέδιμνοι dicebantur : deinde, quod ostracismo in exsulium sit pulsus; id vero non pauperibus, sed illustri genere natis atque invidiæ ob potentiam obnoxiis, decerni solitum. (3) Postremo, quod victoriæ donaria tripodes spectaculis sacros reliquerit in fano Bacchi, qui nostro quoque ostendebantur tempore, hac inscriptione : « vicit Antiochis, Aristides sumptum fecit, Archestratus docuit. (4) Postremum hoc argumentum, cum maximum videatur, omnium minime valet. Nam et Epaminondas, quem extrema in paupertate et educatum fuisse et vixisse notum est omnibus, et Plato philosophus, haud illiberales uterque sumptus, in tibicines alter, alter in cyclicos pueros fecit : suppeditante huic quidem Dione Syracusano, illi autem Pelopida. (5) Neque enim viris bonis tale adversus omnia amicorum munera bellum suscipitur, quod componi nulla pace aut conditione possit : sed ea quæ ad reponendum et divitias parandas spectant, illiberalia et vilia judicantes, non tamen ea repudiant, quæ liberalitati nullum lucrum admittenti et splendori serviunt. (6) Panætius quidem Demetrium in tripode illo nominis communitate deceptum asserit : nam a Persico ad finem usque Peloponnesiaci belli, duos tantum recenseri Aristidas, qui choro sumptibus suppeditatis vicerint, neutrum vero cum Lysimachi filio eundem fuisse, sed unum Xenophili filium, alterum multo post tempore natum; quod et literæ ipsæ ostendant, eo modo scriptæ, qui post Euclidem cœpit, et Archestratus ascriptus, quem fabulas Medico bello docuisse nemo, multi Peloponnesiaco scribunt. De hoc Panætii ser-

βέλτιον ἐπισκεπτέον ὅπως ἔχει. (7) Τῷ δ' ὀστράκῳ πᾶς ὁ διὰ δόξαν ἢ γένος ἢ λόγου δύναμιν ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος ὑπέπιπτεν· ὅπου καὶ Δάμων ὁ Περικλέους διδάσκαλος, ὅτι τὸ φρονεῖν ἐδόκει τις εἶναι περιττὸς, ἐξωστρακίσθη. (8) Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς οὐ κυαμευτὸν, ἀλλ' ἐλομένων Ἀθηναίων φησίν. Εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες. (9) Ἀλλὰ γὰρ ὁ μὲν Δημήτριος οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτην δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου κακοῦ· καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

II. Ἀριστείδης δὲ Κλεισθένους μὲν τοῦ καταστησαμένου τὴν πολιτείαν μετὰ τοὺς τυράννους ἑταῖρος γενόμενος, ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν ἀνδρῶν Λυκοῦργον τὸν Λακεδαιμόνιον ἥψατο μὲν ἀριστοκρατικῆς πολιτείας, ἔσχε δ' ἀντιτασσόμενον ὑπὲρ τοῦ δήμου Θεμιστοκλέα τὸν Νεοκλέους. (2) Ἔνιοι μέν φασιν αὐτοὺς παῖδας ὄντας καὶ συντρεφομένους ἀπ' ἀρχῆς ἐν παντὶ καὶ σπουδῆς ἐχομένῳ καὶ παιδιᾶς πράγματι καὶ λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους, καὶ τὰς φύσεις εὐθὺς ὑπὸ τῆς φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι, τὴν μὲν εὐχερῆ καὶ παράβολον καὶ πανοῦργον οὖσαν καὶ μετ' ὀξύτητος ἐπὶ πάντα ῥᾳδίως φερομένην, τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ καὶ πρὸς τὸ δίκαιον ἀτενῆ, ψεῦδος δὲ καὶ βωμολοχίαν καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινὶ τρόπῳ προσιεμένην. (3) Ἀρίστων δ' ὁ Κεῖος ἐξ ἐρωτικῆς ἀρχῆς γενέσθαι φησὶ καὶ προελθεῖν ἐπὶ τοσοῦτον τὴν ἔχθραν αὐτῶν. (4) Στησίλεω γὰρ, ὃς ἦν γένει Κεῖος, ἰδέᾳ τε καὶ μορφῇ σώματος πολὺ τῶν ἐν ὥρᾳ λαμπρότατος, ἀμφοτέρους ἐρασθέντας οὐ μετρίως ἐνεγκεῖν τὸ πάθος οὐδ' ἅμα λήγοντι τῷ κάλλει τοῦ παιδὸς ἀποθέσθαι τὴν φιλονεικίαν, ἀλλ' ὥσπερ ἐγγυμνασαμένους ἐκείνῃ πρὸς τὴν πολιτείαν εὐθὺς ὁρμῆσαι διαπύρους ὄντας καὶ διαφόρως ἔχοντας. (5) Ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρείαν ἐμβαλὼν ἑαυτὸν εἶχε πρόβλημα καὶ δύναμιν οὐκ εὐκαταφρόνητον, ὥστε καὶ πρὸς τὸν εἰπόντα καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἄνπερ ἴσος ᾖ καὶ κοινὸς ἅπασι, « Μηδέποτε, εἶπεν, εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν ἕξουσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν ἀλλοτρίων. » (6) Ἀριστείδης δὲ καθ' ἑαυτὸν ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς πολιτείας, πρῶτον μὲν οὐ βουλόμενος συναδικεῖν τοῖς ἑταίροις ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος, ἔπειτα τὴν ἀπὸ τῶν φίλων δύναμιν οὐκ ὀλίγους ὁρῶν ἐπαίρουσαν ἀδικεῖν ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν καὶ λέγειν ἀξιῶν χαίρειν τὸν ἀγαθὸν πολίτην.

III. Οὐ μὴν ἀλλὰ, πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους παραβόλως καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν ἐνισταμένου καὶ διακόπτοντος, ἠναγκάζετό που καὶ a

mone qualis sit, amplius cogitare expedit. (7) Ostracismo quidem quicunque gloria, genere, aut eloquentia multitudinem excellere existimarentur, erant obnoxii : quando Damon etiam Periclis magister, quod nimium sapere putaretur, testularum suffragiis in exilium missus est. (8) Sane Idomeneus non sorte fabarum ductum, sed electum ab Atheniensibus Aristidem ad gerendum eum magistratum scribit : quod si accidit, ut ipse tradidit Demetrius, post Platæensem pugnam, equidem probabile admodum est, virum tanta rerum gestarum gloria insignem iis dignum judicatum honoribus, quos alii divitiarum nomine adipiscerentur. (9) Verum Demetrius non Aristidem modo, sed et Socratem a paupertate tanquam magno malo vindicare studet : huic enim non domum tantum fuisse ait, sed etiam minas septuaginta apud Critonem in fœnore positas.

II. Aristides cum se Clistheni, qui post ejectos tyrannos rempublicam constituit, socium adjunxisset, maximeque de iis, qui in republica fuissent versati, Lycurgi Lacedæmonii æmulus esset atque admirator, ut optimatum partibus se dedit, populo studentem Themistoclem Neoclis filium adversarium habuit. (2) Sunt qui hos pueros adhuc unaque educatos, statim in omnibus, quæ sive serio sive joco agerentur dicerenturque, inter se discrepasse mutuo, naturamque utriusque jam tum ea contentione detectam fuisse tradant : alterum quidem agilem, audacem, versutum celeriterque ad quascunque res incitatum natura apparuisse ; Aristidem constantem et gravem, solique justitiæ intentum, ac qui ne per jocum quidem mendacio, scurrilitati, fraudive locum daret. (3) Aristo autem Ceus ab amatoria causa incepisse et eo usque progressam eorum inimicitiam auctor est. (4) Stesilaum siquidem Ceum, specie formaque corporis omnium adolescentulorum pulcherrimum, ab utroque amatum non mediocriter : ita quidem, ut non simul cum pulchritudine pueri ejus æmulationem deposuerint, sed quasi exercitati circa eam rem, fervidis contentione animis ad rempublicam se contulerint. (5) Themistocles, sodalitio sibi ascito, præsidium et potentiam haud contemnendam obtinuit : quare etiam cuidam dicenti, recte eum Atheniensibus imperaturum, si omnibus justum atque æquum se præberet : Ego vero, respondit, nunquam hoc mihi solio sedendum censuerim, si non plus inde ad amicos quam alienos sit rediturum. (6) Aristides contra peculiarem quandam et suam quasi tenuit viam in republica administranda, et ab amicitiis sibi cavit, cum quod aut peccandum una cum amicis esset, aut ii gratia hac deneganda offendendi, tum quod amicorum opem potentia parta multos ad delinquendum provehi cerneret, boni et justi civis esse judicabat tantum bonis actionibus ac sermonibus suis gaudere.

III. Enimvero Themistocle multa audacter movente, omniaque ejus consilia ad rempublicam spectantia impediente et evertente, coactus est aliquando ipse quoque par-

αὐτὸς τὰ μὲν ἀμυνόμενος, τὰ δὲ κολούων τὴν ἐκείνου δύναμιν χάριτι τῶν πολλῶν αὐξομένην ὑπεναντιοῦσθαι οἷς ἔπραττεν ὁ Θεμιστοκλῆς, βέλτιον ἡγούμενος παρελθεῖν ἔνια τῶν συμφερόντων τὸν δῆμον ἢ τῷ κρατεῖν ἐκεῖνον ἐν πᾶσιν ἰσχυρὸν γενέσθαι. (2) Τέλος δέ ποτε τοῦ Θεμιστοκλέους πράττοντός τι τῶν δεόντων ἀντικρούσας καὶ περιγενόμενος οὐ κατέσχεν, ἀλλ' εἶπεν ἀπὸ τῆς ἐκκλησίας ἀπιών, ὡς οὐκ ἔστι σωτηρία τοῖς Ἀθηναίων πράγμασιν, εἰ μὴ καὶ Θεμιστοκλέα καὶ αὐτὸν εἰς τὸ βάραθρον ἐμβάλοιεν. (3) Πάλιν δὲ γράψας τινὰ γνώμην εἰς τὸν δῆμον, ἀντιλογίας οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει· μέλλοντος δὲ τοῦ προέδρου τὸν δῆμον ἐπερωτᾶν αἰσθόμενος ἐκ τῶν λόγων αὐτῶν τὸ ἀσύμφορον ἀπέστη τοῦ ψηφίσματος. (4) Πολλάκις δὲ καὶ δι' ἑτέρων εἰσέφερε τὰς γνώμας, ὡς μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν ὁ Θεμιστοκλῆς ἐμπόδιος εἴη τῷ συμφέροντι. (5) Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς ἡ εὐστάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου πρός τε τὰς δυσημερίας ἀθρύβως καὶ πράως ἔχοντος καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. (6) Ὅθεν, ὡς ἔοικε, τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θέατρῳ λεγομένων,

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα,

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

IV. Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι. (2) Λέγεται γοῦν ποτε διώκων ἐχθρὸν ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτὸν, ἀναπηδήσας τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων· (3) πάλιν δὲ κρίνων ἰδιώταις δυσὶ, τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκὼς, « Λέγ' ὦ 'γαθὲ, φάναι, μᾶλλον, εἴ τι σὲ κακὸν πεποίηκε· σοὶ γὰρ, οὐκ ἐμαυτῷ δικάζω. » (4) Τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητὴς οὐ μόνον τοὺς καθ' αὑτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε πολλὰ νενοσφισμένους καὶ μάλιστα τὸν Θεμιστοκλέα·

Σοφὸς γὰρ ἀνὴρ, τῆς δὲ χειρὸς οὐ κρατῶν.

(5) Διὸ καὶ συναγαγὼν πολλοὺς ἐπὶ τὸν Ἀριστείδην ἐν ταῖς εὐθύναις δώκων κλοπῆς καταδίκῃ περιέβαλεν, ὡς φησιν Ἰδομενεύς. (6) Ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη. (7) Προσποιούμενος δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτὸν, ἤρεσκε

tim sui defendendi causa, partim ut potentiam adversarii gratia populi crescentem carperet, Themistoclis nonnullis actionibus resistere, præstare ratus populum etiam quædam, quæ ex usu reipublicæ essent futura, negligere, quam admittere, ut ille, hæc si obtinuisset, in omnibus inde rebus prævaleret. (2) Tandem cum Themistoclem utilis aliquid rei agentem repugnans ipse superasset, non se continuit, quin e concione discedens diceret, res Atheniensium salvas non fore, nisi ipsum una cum Themistocle in barathrum præcipitassent. (3) Rursus quandam rem ad populum ferens, licet multos expertus sit obloquentes, obtinuit : cum vero præses jam missurus esset populum in suffragia, ex hominum sermonibus inutilem rem fore sentiens, rogationem perferri noluit. (4) Quin et sæpe per alios ea, quæ statuisset, retulit : ne studio contentionis Themistocles utile negotium impediret. (5) Miraculo autem fuit ejus viri in mutationibus quibus principes rempublicam gubernantes obnoxii sunt constantia, cum neque honoribus superbiret et res adversas placide ac æquo animo ferret : existimans, boni civis eas esse partes, ut gratis atque nullo pretio inductus non bona tantum, sed et existimationem patriæ utendam præberet. (6) Inde, opinor, profectum est, ut, cum in theatro versus Æschyli de Amphiarao facti recitarentur,

Neque enim videri ille optimus, sed esse vult,
sulco profundo mentis qui messem facit,
ex qua consilia pullulant ei bona.

omnes in Aristidem oculos converterint, nimirum quod ei præcipue hujus virtutis laus conveniret.

IV. Neque benevolentiam tantum et gratiam, sed iram etiam inimicitiasque defendendæ justitiæ causa firmissime contemnebat. (2) Ferunt, ab eo aliquando inimicum in jus pertractum, et accusatione audita judices reum audire noluisse, sed continuo sententias quærere intendisse : tum exsiluisse Aristidem, reoque in legitima pro se dicendi facultate exoranda adfuisse. (3) Rursum duobus privatis judex factus, cum alterum alter multis injuriis Aristidem læsisse diceret : Quin tu, inquit, potius, qua te affecerit injuria, refer : non enim mihi, sed tibi judex sum. (4) Publicorum redituum procurator constitutus, non alios tantum sui temporis, sed et qui ante ipsum fuissent magistratus, multa peculatos ostendit : maxime autem Themistoclem, qui

catus quidem, ast incontinentis vir manus.

(5) Itaque is, coitione multorum contra Aristidem facta, rationes administrati officii reddentem peculatus crimine condemnavit, ut refert Idomeneus. (6) Sed primis et optimis civium indigne hoc ferentibus, non modo mulctatus ille non est, sed et rursus eidem negotio præfectus. (7) Tum Aristides pœnituisse prioris se instituti simulans, seque leniorem præbens, peculatoribus placuit, cum non inquireret

τοῖς τὰ κοινὰ κλέπτουσιν, οὐκ ἐξελέγχων οὐδ' ἀκριβολογούμενος, ὥστε καταπιμπλαμένους τῶν δημοσίων ὑπερεπαινεῖν τὸν Ἀριστείδην καὶ δεξιοῦσθαι τὸν δῆμον ὑπὲρ αὐτοῦ σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι. (8) Μελλόντων δὲ χειροτονεῖν ἐπετίμησε τοῖς Ἀθηναίοις· « Ὅτε μὲν γάρ, ἔφη, πιστῶς καὶ καλῶς ὑμῖν ἦρξα, προὐπηλακίσθην· ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν καταπροεῖμαι τοῖς κλέπτουσι, θαυμαστὸς εἶναι δοκῶ πολίτης. Αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον ἢ τῇ πρώην καταδίκῃ, συνάχθομαι δ' ὑμῖν, παρ' οἷς ἐνδοξότερόν ἐστι τοῦ σώζειν τὰ δημόσια τὸ χαρίζεσθαι τοῖς πονηροῖς. » (9) Ταῦτα δ' εἰπὼν καὶ τὰς κλοπὰς ἐξελέγξας τοὺς μὲν τότε βοῶντας καὶ μαρτυροῦντας ὑπὲρ αὐτοῦ ἐπεστόμισε, τὸν δ' ἀληθινὸν καὶ δίκαιον ἀπὸ τῶν βελτίστων ἔπαινον εἶχεν.

V. Ἐπεὶ δὲ Δᾶτις ὑπὸ Δαρείου πεμφθεὶς λόγῳ μὲν ἐπιθεῖναι δίκην Ἀθηναίοις, ὅτι Σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ καταστρέψασθαι τοὺς Ἕλληνας εἰς Μαραθῶνα παντὶ τῷ στόλῳ κατέσχε καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα καθεστώτων τοῖς Ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει δεύτερος ἦν Ἀριστείδης. (2) Καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ Μιλτιάδου προσθέμενος οὐ μικρὰν ἐποίησε ῥοπήν· καὶ παρ' ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή, παρέδωκε Μιλτιάδῃ διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρόν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον. (3) Οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾶν μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους ἔῤῥωσε τὸν Μιλτιάδην τῷ ἀπερισπάστῳ τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον· χαίρειν γὰρ ἐῶν ἕκαστος ἤδη τὸ παρ' ἡμέραν ἄρχειν ἐκείνῳ προσεῖχεν. (4) Ἐν δὲ τῇ μάχῃ μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου πονήσαντος καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ Λεοντίδα καὶ Ἀντιοχίδα φυλὴν ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ' ἀλλήλους ὅ τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης· ὁ μὲν γὰρ Λεοντίδος ἦν, ὁ δ' Ἀντιοχίδος· (5) ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς καὶ πλέοντας οὐκ ἐπὶ νήσων ἑώρων, ἀλλ' ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους, φοβηθέντες, μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ καὶ κατήνυσαν αὐθημερόν· (6) ἐν δὲ Μαραθῶνι μετὰ τῆς ἑαυτοῦ φυλῆς Ἀριστείδης ἀπολειφθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων οὐκ ἐψεύσατο τὴν δόξαν, ἀλλὰ χύδην μὲν ἀργυρίου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὠφελήθησαν, ὧν ἦν καὶ Καλλίας ὁ δᾳδοῦχος. (7) Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ στρόφιον εἶναι, προσκυνήσας

in eorum furta, neque ea detegeret : itaque hi publica onusti pecunia, summis laudibus Aristidem tollere, prensareque ejus nomine populum, ut rursus munus hoc ei demandarent. (8) Sed Aristides Athenienses jam suffragia laturos objurgavit. Cum munus, inquit, meum recte et fideliter obirem, ignominia affectus a vobis sum; postquam magnam bonorum partem furibus prodo, egregius videor civis. Ipse quidem majori ob præsentem honorem, quam damnationem istam, pudore afficior, vestram vero doleo vicem, apud quos malis gratificari publicam pecuniam, quam servare, laudabilius est. (9) Haec locutus, peculatibusque demonstratis, ora quidem eorum qui clamitabant et virtuti ejus testimonium ferebant, obturavit; veram autem et justam apud optimum quemque laudem invenit.

V. Jam Datis a Dario missus, verbo, ut ab Atheniensibus propter Sardes incensas pœnam exigeret, re, ut Græcos pessum daret, tota classe ad Marathonem appulerat, regionemque populabatur. Erant eo tempore inter decem belli duces ab Atheniensibus constitutos, auctoritate quidem princeps Miltiades, existimatione vero et potentia proximus Aristides. (2) Hic suam de pugna cum Miltiadis sententia conjungens, haud exiguum rebus patriæ momentum addidit. Quumque per intervalla dierum inter duces esset divisum imperium, Aristides, cum ordo ipsi summam rei deferret, Miltiadi potestatem suam tradidit : docens collegas suos non turpe, sed honestum atque salutare esse, parere et obtemperare prudentibus. (3) Hunc ad modum ambitione sedata, cum eo perduxisset illos, ut satis haberent, si unum idque nimirum optimum sequerentur consilium, Miltiadem imperio individuo ei parato corroboravit, cum ceteri porro diurnis istis omissis imperiis huic uni animum adverterent. (4) Ceterum in pugna Marathonia, maxime acie Atheniensium media laborante, ubi tribus Leontis et Antiochis constiterant, ibique diu sane barbaris resistentibus, Aristidis et Themistoclis (quorum hic de Leontide, ille de Antiochide tribu erat) in propinquo illustris fuit pugna. (5) Postquam fusis et ad naves compulsis barbaris, eos viderunt non insulas versum navigare, sed introrsum venti violentia marisque versus Atticam cogi : veriti Athenienses, ne urbem ii defensoribus vacuam occuparent, cum novem tribubus eadem die accelerato itinere domum redierunt. (6) Aristides vero cum sua tribu apud Marathonem relictus captivorum et spoliorum custos, opinionem de se non fefellit : cum enim auri et argenti adessent acervi, atque omnis generis vestes et innumerabiles aliæ res in tentoriis et captis navibus propositæ, neque ipse quicquam tangere voluit, et nulli quicquam permisit : nisi si qui clam ipso prædam abstulerunt, quorum in numero fuit Callias facifer. (7) Hunc barbarus quidam conspicatus, cæsarici et tæniæ aspectu regem esse, ut videtur, judicans, adoravit, dextraque ap-

δὲ καὶ λαβόμενος τῆς δεξιᾶς ἔδειξε πολὺν χρυσὸν ἐν λάκκῳ τινὶ κατορωρυγμένον. (8) Ὁ δὲ Καλλίας ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος τὸν μὲν χρυσὸν ἀνείλετο, τὸν δ' ἄνθρωπον, ὡς μὴ κατείποι πρὸς ἕτέρους, ἀπέκτεινεν. (9) Ἐκ τούτου φασὶ καὶ λακκοπλούτους ὑπὸ τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας λέγεσθαι σκωπτόντων εἰς τὸν τόπον, ἐν ᾧ τὸ χρυσίον ὁ Καλλίας εὗρεν. (10) Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. Καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. (11) Ἐν δὲ ταῖς ἀναγραφαῖς μετὰ μὲν Ξανθιππίδην, ἐφ' οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι, μετὰ δὲ Φάνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

VI. Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. (2) Ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸν Δίκαιον, ὃ 322 τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταὶ καὶ Κεραυνοὶ καὶ Νικάτορες, ἔνιοι δ' Ἀετοὶ καὶ Ἱέρακες ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες. (3) Καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν καὶ συναφομοιοῦν αὑτοὺς τρισὶ δοκεῖ διαφέρειν, ἀφθαρσίᾳ καὶ δυνάμει καὶ ἀρετῇ, ὧν σεμνότατον ἡ ἀρετὴ καὶ θειότατόν ἐστι. (4) Ἀφθάρτῳ μὲν γὰρ εἶναι καὶ τῷ κενῷ καὶ τοῖς στοιχείοις συμβέβηκε, δύναμιν δὲ σεισμοὶ καὶ κεραυνοὶ καὶ πνευμάτων ὁρμαὶ καὶ ῥευμάτων ἐπιφοραὶ μεγάλην ἔχουσι· δίκης δὲ καὶ θέμιδος οὐδενὶ ὅτι μὴ τῷ φρονεῖν καὶ λογίζεσθαι τὸ θεῖον μεταλαγχάνει. (5) Διὸ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἀΐδιον, ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι κατὰ τὸ κύριον καὶ δυνατόν, ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην. (6) Ἀλλά, καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας, ἣν ἡ φύσις ἡμῶν οὐ δέχεται, καὶ τῆς δυνάμεως, ἧς ἐν τύχῃ κεῖται τὸ πλεῖστον, ἐπιθυμοῦσι, τὴν δ' ἀρετήν, ὃ μόνον ἐστὶ τῶν θείων ἀγαθῶν ἐφ' ἡμῖν, ἐν ὑστέρῳ τίθενται κακῶς φρονοῦντες· ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ μεγάλῃ καὶ ἀρχῇ βίον ἡ μὲν δικαιοσύνη ποιεῖ θεῖον, ἡ δ' ἀδικία θηριώδη.

VII. Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν ὕστερον φθονεῖσθαι, μάλιστα μὲν τοῦ Θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς ἐμβαλόντος, ὡς Ἀριστείδης ἀνῃρηκὼς τὰ δικαστήρια τῷ κρίνειν ἅπαντα καὶ δικάζειν λέληθε μοναρχίαν ἀδορυφόρητον ἑαυτῷ κατεσκευασμένος· ἤδη δέ που καὶ ὁ δῆμος ἐπὶ τῇ νίκῃ μέγα φρονῶν καὶ τῶν μεγίστων ἀξιῶν αὑτὸν ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. (2) Καὶ συνελθόντες εἰς ἄστυ παν-

prehenso multum auri in fossa quadam abditum ostendit.
(8) Callias vero crudelissimum simul et injustissimum se e
hominem gessit : auro enim sublato, indicem, ne idem aliis renuntiaret, occidit. (9) Hinc aiunt esse, quod ejus familiam Λακκοπλούτους (i. e. *fossidiviles*), Comici dicunt, in locum jocantes, ubi Callias aurum invenit. (10) Statim deinde Aristides magistratum eponymum gessit : quanquam Demetrius Phalereus paulo ante mortem ac post Platæense prœlium hoc factum dicat. (11) Atqui in commentariis a Xanthippida, sub quo ad Platæas victus est Mardonius, ne alium quidem ullum qui Aristidis nomen tulerit invenire inter tam multos licet; post Phanippum, sub f
quo Marathonia victoria parta est, statim Aristidem magistratum gessisse annotatur.

VI. Ex omnibus virtutibus ejus maxime justitiam populus animadvertit, quod ejus usus et perpetuus et omnium maxime communis esset. (2) Itaque pauper et de plebe homo Justi cognomentum maxime regium et divinissimum nactus est, quod reges imitati tyrannique non sunt, qui magis, ut apparet, vi et potentia, quam virtute partæ gloriæ a
cupidi, Poliorcetæ ab urbibus expugnatis, Cerauni a fulmine, Nicatores a vincendo, nonnulli etiam Aquilæ et Accipitres dici maluerunt. (3) Atqui divina natura, cujus se illi similes efficere cupiunt, tribus his excellere videtur, perpetuitate, vi et virtute : inter quæ summa certe majestas est et divinitas virtutis. (4) Perpetuitas enim etiam inani et elementis contigit : terræ motus, fulmina, ventorum turbines, fluviorum inundationes, vim habent magnam : justitiæ autem et æquitatis nihil, nisi quod sapiat et res divinas intelligat, divinum numen facit particeps. (5) Quamobrem cum tribus modis plerique erga deos afficiantur, admirando, b
timendo, honorando : mirari eos solent et beatos prædicari, ob æternitatem interitusque immunitatem; reformidare autem et metuere propter eorum dominationem et potentiam, amare autem, honorare et colere justitiæ causa. (6) Et tamen hoc modo affecti homines; immortalitatem natura nostra superiorem potentiamque in fortuna majori sui parte positam appetunt : virtute, quod solum de divinis bonis in nos cadit, post hæc posita, tanto quidem ii stultius, quod vitam potentia, fortuna et principatu præditam justitia quidem divinam, belluinam vero injustitia reddit.

VII. Cognomentum Justi primum amorem Aristidis, c
post invidiam adversus eum excitavit, præsertim Themistocle sermonem hunc in vulgus spargente, Aristidem, dum omnia ipse judicet, sublatis tribunalibus regnum sibi multo stipatum satellitio clam paravisse. Et jam victoriæ causa superbiens populus, maximaque sibi quæque arrogans, infensus erat iis, qui nomine vel gloria supra multitudinem eminerent. (2) Itaque in urbem undiquaque confluentes,

ταχόθεν ἐξοστρακίζουσι τὸν Ἀριστείδην ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι. (3) Μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμὸς, ἀλλ' ἐκαλεῖτο μὲν δι' εὐπρέπειαν ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλουσις, ἦν δὲ φθόνου παραμυθία φιλάνθρωπος εἰς ἀνήκεστον οὐδὲν, ἀλλ' εἰς μετάστασιν ἐτῶν δέκα τὴν πρὸς τὸ λυποῦν ἀπερειδομένου δυσμένειαν. (4) Ἐπεὶ δ' ἤρξαντό τινες ἀνθρώπους ἀγεννεῖς καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι, τελευταῖον ἁπάντων Ὑπέρβολον ἐξοστρακίσαντες ἐπαύσαντο. Λέγεται δὲ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι διὰ τοιαύτην αἰτίαν. (5) Ἀλκιβιάδης καὶ Νικίας μέγιστον ἐν τῇ πόλει δυνάμενοι διεστασίαζον. Ὡς οὖν ὁ δῆμος ἔμελλεν ἐκφέρειν τὸ ὄστρακον καὶ δῆλος ἦν τὸν ἕτερον γράψων, διαλεχθέντες ἀλλήλοις καὶ τὰς στάσεις ἑκατέρας εἰς ταὐτὸ συναγαγόντες τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. (6) Ἐκ δὲ τούτου δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα καὶ προπεπηλακισμένον ἀφῆκε παντελῶς καὶ κατέλυσεν. (7) Ἦν δὲ τοιοῦτον, ὡς τύπῳ φράσαι, τὸ γινόμενον. Ὄστρακον λαβὼν ἕκαστος καὶ γράψας ὃν ἐβούλετο μεταστῆσαι τῶν πολιτῶν ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον ἐν κύκλῳ δρυφάκτοις. (8) Οἱ δ' ἄρχοντες πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ τῶν ὀστράκων πλῆθος· εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ γράψαντες εἶεν, ἀτελὴς ἦν ὁ ἐξοστρακισμός· ἔπειτα τῶν ὀνομάτων ἕκαστον ἰδίᾳ θέντες τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον ἐξεκήρυττον εἰς ἔτη δέκα καρπούμενον τὰ αὑτοῦ. (9) Γραφομένων οὖν τότε τῶν ὀστράκων λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον ὡς ἑνὶ τῶν τυχόντων παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψῃ. (10) Τοῦ δὲ θαυμάσαντος καὶ πυθομένου, μή τι κακὸν αὐτὸν Ἀριστείδης πεποίηκεν, « Οὐδὲν, εἶπεν, οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν Δίκαιον ἀκούων. » Ταῦτ' ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι μὲν οὐδὲν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι. (11) Τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν εὔξατο τὴν ἐναντίαν, ὡς ἔοικεν, εὐχὴν τῷ Ἀχιλλεῖ, μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

VIII. Τρίτῳ δ' ἔτει, Ξέρξου διὰ Θετταλίας καὶ Βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν Ἀττικὴν, λύσαντες τὸν νόμον ἐψηφίσαντο τοῖς μεθεστῶσι κάθοδον· μάλιστα φοβούμενοι τὸν Ἀριστείδην, μὴ προσθέμενος τοῖς πολεμίοις διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον, οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρὸς, ὅς γε καὶ πρὸ τοῦ δόγματος τούτου διετέλει προτρέπων καὶ παροξύνων τοὺς Ἕλληνας ἐπὶ τὴν ἐλευθερίαν, καὶ μετὰ τὸ δόγμα τοῦτο, Θεμιστοκλέους στρατηγοῦντος αὐτοκράτορος, πάντα συνέπραττε καὶ συνεβούλευεν ἐνδοξότατον ἐπὶ σωτηρίᾳ κοινῇ πεισῶν τὸν ἔγθιστον. (2) Ὡς γὰρ ἀπολιπεῖν τὴν Σαλαμῖνα βου-

ostracismo Aristidem in exsilium pellunt, gloriæ invidiam metus tyrannidis nomine prætexentes. (3) Non enim improbitatis pœna erat ostracismus, sed honestum nomen impositum rei erat, ut auctoritatis nimiæque potentiæ imminutio et coercitio diceretur : eratque invidiæ lenimen tolerabile, quæ odium suum non extremo aliquo malo, sed decennali hominis invisi absentia exsaturaret. (4) Postea vero quam nonnulli homines ignobiles et pravos huic pœnæ cœperunt subjicere, finis ostracismo pellendi in Hyperbolo factus est : cujus hanc tradunt causam. (5) Alcibiades et Nicias, quorum tunc Athenis summa erat potentia, factionibus civitatem agitabant. Hi, cum jam populus ostracismum esset facturus, et haud dubie alterum eorum accusaturus, collocuti inter se ac factionibus in unum conductis, ut ostracismo Hyperbolus ejiceretur, effecerunt. (6) Populus indigne ferens judicium illud, derisum atque ignominia affectum, omnino id sustulit et in posterum omisit. (7) Res ita agebatur, ut obiter eam describamus. Unusquilibet testæ nomen inscribebat ejus, quem urbe pelli volebat, civis : eæ testæ in quendam in foro locum, septum undique cancellis, comportabantur. (8) Magistratus primum testarum numerum in his inibat : nam nisi essent sex millia scribentium, ostracismus non erat perfectus : deinde nominibus singulorum seorsum positis, ei, qui plurimis testarum suffragiis damnaretur, decennio urbe interdicebatur, sic tamen ut frui suis liceret reditibus. (9) Tunc quoque eodem modo testis conscriptis, ferunt quendam plane rusticum et litterarum nescium Aristidi, ut homini de vulgaribus uni, forte testam obtulisse, jussisseque ut Aristidis nomen inscriberet. (10) Miranti et ecquam ab Aristide passus esset injuriam sciscitanti, et hoc illum, et notum sibi eum virum negasse; tantum molestia se affici dixisse, cum Justi nomen ubique audiretur. Aristidem eo audito nihil respondisse, sed testam suo nomine inscripto ei reddidisse. (11) Urbe discedens, manibus ad cœlum sublatis, precatus est (contra videlicet quam Achilles), ne Atheniensium rebus ea occasio ingrueret unquam, quæ meminisse populum Aristidis cogeret.

VIII. Tertio post anno, cum Xerxes per Thessaliam et Bœotiam in Atticam duceret, Athenienses abrogata lege omnibus exsulibus reditum decreverunt, maxime Aristidis metu, ne is se cum hoste conjungeret, multisque civium ad barbarum deficiendi auctor exsisteret. Non recte autem de eo viro conjecturam fecerunt : nam et priusquam id fieret decretum, Græcos ad libertatem tuendam adhortari et instigare non destiterat, et secundum id decretum Themistocli rebus Atheniensium plena cum potestate præfecto in omnibus actionibus et consiliis adfuit, sibique inimicissimum hominem salutis publicæ causa summa gloria auxit. (2) Etenim cum Eurybiades cum suis Salaminem de

λευομένων τῶν περὶ Εὐρυβιάδην αἱ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι καὶ περιβαλοῦσαι τόν τε πόρον ἐν κύκλῳ καὶ τὰς νήσους κατεῖχον, οὐδενὸς προειδότος τὴν κύκλωσιν ἦκεν ὁ Ἀριστείδης ἀπ' Αἰγίνης παραβόλως διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους καὶ καλέσας αὐτὸν ἔξω μόνον, « Ἡμεῖς, εἶπεν, ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη στάσιν ἀφέντες ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας πρὸς ἀλλήλους ἀμιλλώμενοι σῶσαι τὴν Ἑλλάδα, σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ' ὑπουργῶν καὶ συμβουλεύων, ἐπεὶ καὶ νῦν σὲ πυνθάνομαι μόνον ἅπτεσθαι τῶν ἀρίστων λογισμῶν κελεύοντα διαναυμαχεῖν ἐν τοῖς στενοῖς τὴν ταχίστην. (3) Καί σοι τῶν συμμάχων ἀντιπραττόντων οἱ πολέμιοι συνεργεῖν ἐοίκασι· τὸ γὰρ ἐν κύκλῳ καὶ κατόπιν ἤδη πέλαγος ἐμπέπλησται νεῶν πολεμίων, ὥστε καὶ τοὺς μὴ θέλοντας ἀνάγκη κατείληφεν ἀγαθοὺς ἄνδρας εἶναι καὶ μάχεσθαι· φυγῆς γὰρ ὁδὸς οὐ λέλειπται. » (4) Πρὸς ταῦτα ὁ Θεμιστοκλῆς εἶπεν, « Οὐκ ἂν ἐβουλόμην, ὦ Ἀριστείδη, σὲ κατὰ τοῦτό μου κρείττονα γενέσθαι, πειράσομαι δὲ πρὸς καλὴν ἀρχὴν ἀμιλλώμενος ὑπερβαλέσθαι τοῖς ἔργοις. » (5) Ἅμα δ' αὐτῷ φράσας τὴν ὑφ' ἑαυτοῦ κατασκευασθεῖσαν ἀπάτην πρὸς τὸν βάρβαρον παρεκάλει πείθειν τὸν Εὐρυβιάδην καὶ διδάσκειν, ὡς ἀμήχανόν ἐστι σωθῆναι μὴ ναυμαχήσαντας· εἶχε γὰρ αὐτοῦ μᾶλλον πίστιν. (6) Ὅθεν ἐν τῷ συλλόγῳ τῶν στρατηγῶν εἰπόντος Κλεοκρίτου τοῦ Κορινθίου πρὸς τὸν Θεμιστοκλέα μηδ' Ἀριστείδῃ τὴν γνώμην ἀρέσκειν αὐτοῦ, παρόντα γὰρ σιωπᾶν, ἀντεῖπεν ὁ Ἀριστείδης, ὡς οὐκ ἂν ἐσιώπα μὴ λέγοντος τὰ ἄριστα τοῦ Θεμιστοκλέους, νῦν δ' ἡσυχίαν ἄγειν οὐ δι' εὔνοιαν τοῦ ἀνδρὸς, ἀλλὰ τὴν γνώμην ἐπαινῶν.

IX. Οἱ μὲν οὖν ναύαρχοι τῶν Ἑλλήνων ταῦτ' ἔπραττον. Ἀριστείδης δ' ὁρῶν τὴν Ψυττάλειαν, ἣ πρὸ τῆς Σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται νῆσος οὐ μεγάλη, πολεμίων ἀνδρῶν μεστὴν οὖσαν, ἐμβιβάσας εἰς ὑπηρετικὰ τοὺς προθυμοτάτους καὶ μαχιμωτάτους τῶν πολιτῶν προσέμιξε τῇ Ψυτταλείᾳ καὶ μάχην πρὸς τοὺς βαρβάρους συνάψας ἀπέκτεινε πάντας, πλὴν ὅσοι τῶν ἐπιφανῶν ζῶντες ἥλωσαν. (2) Ἐν δὲ τούτοις ἦσαν ἀδελφῆς βασιλέως ὄνομα Σανδαύκης τρεῖς παῖδες, οὓς εὐθὺς ἀπέστειλε πρὸς τὸν Θεμιστοκλέα· καὶ λέγονται κατά τι λόγιον, τοῦ μάντεως Εὐφραντίδου κελεύσαντος, ὠμηστῇ Διονύσῳ καθιερευθῆναι. (3) Τὴν δὲ νησίδα τοῖς ὁπλίταις πανταχόθεν ὁ Ἀριστείδης περιστέψας ἐφήδρευε τοῖς ἐκφερομένοις πρὸς αὐτὴν, ὡς μήτε τῶν φίλων τινὰ διαφθαρῆναι μήτε τῶν πολεμίων διαφυγεῖν. (4) Ὁ γὰρ πλεῖστος ὠθισμὸς τῶν νεῶν καὶ τῆς μάχης τὸ καρτερώτατον ἔοικε περὶ τὸν τόπον ἐκεῖνον γενέσθαι· διὸ καὶ τρόπαιον ἔστηκεν ἐν τῇ Ψυτταλείᾳ. (5) Μετὰ δὲ τὴν μάχην ὁ Θεμιστοκλῆς ἀποπειρώμενος τοῦ Ἀριστείδου καλὸν μὲν εἶναι καὶ τὸ πεπραγμένον αὐτοῖς ἔργον ἔλεγε, κρεῖττον δὲ λείπεσθαι τὸ λαβεῖν ἐν

serere statuisset, triremesque barbaricæ noctu advectæ insciis Atheniensibus fretum circumvenissent insulasque classe obtinerent; Aristides per hostium classem haud dubio periculo ab Ægina advectus, noctu ad tabernaculum Themistoclis venit, solumque ut evocavit, « Si sapimus, inquit, Themistocles, omissa tandem juvenili et inani certatione, contentionem de servanda Græcia salubrem honestamque suscipiamus, tu imperando, ego consulendo et administri vices obeundo : nam nunc te solum audio id quod optimum est instituisse, qui quam celerrime pugna in angustiis navali decertari jubeas. (3) Tuum vero, sociis reluctantibus, hostes ipsi videntur consilium adjuvare : nam quod post nos et quod circumcirca est mare, navibus est hostilibus oppletum, ut pugnare fortiter etiam nolentibus sit necesse; fugæ enim nulla patet via. » (4) Ad hæc Themistocles, « Nolim profecto, inquit, te hac in re mihi præstare : conabor igitur adversus tam præclarum principium a te factum suscepta contentione, re ipsa te superare. » (5) Simul ei et quam intendisset barbaris fallaciam exposuit, utque conserendum navale prœlium Eurybiadi persuaderet, ostenso ei salvis esse, nisi id fieret, non licere, hortatus est. Major enim Aristidi quam Themistocli fides habebatur. (6) Itaque in concilio ducum, Cleocrito Corinthio ad Themistoclem dicenti, ne Aristidi quidem sententiam ipsius probari, quod is præsens taceret : Imo, inquit Aristides, ego nisi optime dicente Themistocle non tacuissem : nunc non benevolentia erga eum motus taceo, sed quod ejus laudo sententiam.

IX. Hæc inter præfectos classis Græcorum agebantur. At Aristides Psyttaliam insulam exiguam, quæ ante Salaminem in trajectu sita est, hostibus plenam esse intelligens, civium alacerrimum et pugnacissimum quemque in actuarias naves imponens ad insulam Psyttaliam accessit : consertoque cum barbaris prœlio, omnes occidit, exceptis iis, qui de illustrioribus capti sunt. (2) Inter eos erant Sandaucæ sororis regis tres filii, quos statim ad Themistoclem misit : iique ex oraculo quodam, jubente haruspice Euphrantida, Baccho Omestæ (*crudivoro*) sunt immolati. (3) Insulam porro undique armatis sepiens Aristides, eos qui eo adveherentur, observabat : ita factum, ut neque amicorum periret quisquam, neque hostium effugeret. (4) Circa eum enim locum videtur prœlium acerrimum naviumque conflictus plurimus fuisse; itaque et tropæum in Psyttalia erexit. (5) Secundum pugnam Themistocles ut animum Aristidis exploraret, rem quidem præclaram perfectam ait, præclariorem tamen superesse, ut advecti quam celerrime

τῇ Εὐρώπῃ τὴν Ἀσίαν ἀναπλεύσαντας εἰς Ἑλλήσποντον τὴν ταχίστην καὶ τὸ ζεῦγμα διακόψαντας. (6) Ἐπεὶ δ' Ἀριστείδης ἀνακραγὼν τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν, σκοπεῖν δὲ καὶ ζητεῖν, ὅπως τὴν ταχίστην ἐκβάλωσι τὸν Μῆδον ἐκ τῆς Ἑλλάδος, μὴ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τραπῇ πρὸς ἄμυναν ὑπ' ἀνάγκης, οὕτω πέμπει πάλιν Ἀρνάκην εὐνοῦχον ὁ Θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων κρύφα φράσαι τῷ βασιλεῖ κελεύσας, ὅτι πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς Ἕλληνας αὐτὸς ἀποστρέψειε σώζεσθαι βασιλέα βουλόμενος.

X. Ἐκ τούτου Ξέρξης μὲν περίφοβος γενόμενος εὐθὺς ἐπὶ τὸν Ἑλλήσποντον ἠπείγετο, Μαρδόνιος δὲ τοῦ στρατοῦ τὸ μαχιμώτατον ἔχων περὶ τριάκοντα μυριάδας ὑπελείπετο καὶ φοβερὸς ἦν ἀπ' ἰσχυρᾶς τῆς περὶ τὸ πεζὸν ἐλπίδος ἀπειλῶν τοῖς Ἕλλησι· καὶ γράφων τοιαῦτα· « Νενικήκατε θαλασσίοις ξύλοις χερσαίους ἀνθρώπους οὐκ ἐπισταμένους κώπην ἐλαύνειν· ἀλλὰ νῦν πλατεῖα μὲν ἡ Θετταλῶν γῆ, καλὸν δὲ τὸ Βοιώτιον πεδίον ἀγαθοῖς ἱππεῦσι καὶ ὁπλίταις ἐναγωνίσασθαι. » (2) Πρὸς δὲ Ἀθηναίους ἔπεμψεν ἰδίᾳ γράμματα καὶ λόγους παρὰ βασιλέως τήν τε πόλιν αὐτοῖς ἀναστήσειν ἐπαγγελλομένου καὶ χρήματα πολλὰ δώσειν καὶ τῶν Ἑλλήνων κυρίους καταστήσειν ἐκποδὼν τοῦ πολέμου γενομένους. (3) Οἱ δὲ Λακεδαιμόνιοι πυθόμενοι ταῦτα καὶ δείσαντες ἔπεμψαν Ἀθήναζε πρέσβεις δεόμενοι τῶν Ἀθηναίων, ὅπως παῖδας μὲν καὶ γυναῖκας εἰς Σπάρτην ἀποστείλωσι, τοῖς δὲ πρεσβυτέροις τροφὰς παρ' αὐτῶν λαμβάνωσιν· ἰσχυρὰ γὰρ ἦν ἀπορία περὶ τὸν δῆμον ἀπολωλεκότα τὴν χώραν καὶ τὴν πόλιν. (4) Οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἀκούσαντες, Ἀριστείδου ψήφισμα γράψαντος, ἀπεκρίναντο θαυμαστὴν ἀπόκρισιν, τοῖς μὲν πολεμίοις συγγνώμην ἔχειν φάσκοντες, εἰ πάντα πλούτου καὶ χρημάτων ὤνια νομίζοιεν, ὧν κρεῖττον οὐδὲν ἴσασιν, ὀργίζεσθαι δὲ Λακεδαιμονίοις, ὅτι τὴν πενίαν καὶ τὴν ἀπορίαν τὴν νῦν παροῦσαν Ἀθηναίοις μόνον ὁρῶσι, τῆς δ' ἀρετῆς καὶ τῆς φιλοτιμίας ἀμνημονοῦσιν ἐπὶ σιτίοις ὑπὲρ τῆς Ἑλλάδος ἀγωνίζεσθαι παρακαλοῦντες. (5) Ταῦτα γράψας Ἀριστείδης καὶ τοὺς πρέσβεις εἰς τὴν ἐκκλησίαν παραγαγὼν Λακεδαιμονίοις μὲν ἐκέλευσε φράζειν, ὡς οὐκ ἔστι χρυσοῦ τοσοῦτον πλῆθος οὔθ' ὑπὲρ γῆν οὔθ' ὑπὸ γῆν, ὅσον Ἀθηναῖοι δέξαιντο ἂν πρὸ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. (6) Τοῖς δὲ παρὰ Μαρδονίου τὸν ἥλιον δείξας, Ἄχρις ἂν οὗτος, ἔφη « ταύτην πορεύηται τὴν πορείαν, Ἀθηναῖοι πολεμήσουσι Πέρσαις ὑπὲρ τῆς δεδῃωμένης χώρας καὶ τῶν ἠσεβημένων καὶ κατακεκαυμένων ἱερῶν. » (7) Ἔτι δὲ ἀρὰς θέσθαι τοὺς ἱερεῖς ἔγραψεν, εἴ τις ἐπικηρυκεύσαιτο Μήδοις ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν Ἑλλήνων. (8) Ἐμβαλόντος δὲ Μαρδονίου τὸ δεύτερον εἰς τὴν Ἀττικὴν αὖθις εἰς Σαλαμῖνα διεπέρασαν. (9) Ἀριστείδης δὲ πεμφθεὶς εἰς Λακεδαίμονα τῆς μὲν βραδυτῆτος αὐτοῖς ἐνεκάλει καὶ τῆς ὀλιγωρίας προεμένοις αὖθις τῷ βαρβάρῳ τὰς Ἀθή-

in Hellespontum, ponte disjecto, Asiam in Europa caperent. (6) Aristides magna voce abjicere eum hoc jussit consilium, idque potius considerare, quo pacto quam ocissime Græcia Medum expellerent : ne cum tantis inclusus copiis, fugæ adempta occasione, ipsa necessitate ad vindictam exstimularetur. Proinde Themistocles Arnacem eunuchum unum de captivis mittit, qui occulte regi indicaret, Græcos, cum ad pontem rescindendum navigare intendissent, a Themistocle salutis regiæ curam gerente prohibitos.

X. Ergo Xerxes perterritus statim ad Hellespontum festinavit, Mardonio cum robore exercitus, quæ erant hominum circiter trecenta millia, relicto. Isque fretus tantis pedestribus copiis, Græcis terrorem inferebat, talia minitando atque scribendo : Homines terræ adsuetos et remigandi imperitos lignis maritimis vicistis : at nobis restat lata Thessaliæ regio, campique Bœotii ad pugnam bonis equitibus peditibusque apti. (2) Idem seorsum ad Atheniensis literas scripsit, regisque nomine urbem se eorum instauraturum, magnam pecuniæ vim et dominium in Græcos daturum pollicitus, si a bello destitissent. (3) Qui nuntius tantum Lacedæmoniis injecit metum, ut ab Atheniensibus per legatos petierint, ut liberos suos atque mulieres Spartam mitterent, ac senioribus ab ipsis alimenta acciperent; erat enim apud populum Atheniensem, agro simul et urbe amissa, ingens penuria. (4) Nihilominus legatis auditis, decretum est ab Aristide factum et mirabile illis responsum datum : condonare se eum hostibus errorem ferebant, qui cum auro et divitiis nihil nossent præstantius, omnia iis rebus venalia censuissent; Lacedæmoniis autem succensere, qui penuriam tantum et egestatem Atheniensium præsentem cernentes, virtutis et gloriæ cupiditatis obliti, eos frumenti præmio proposito ad propugnandum pro Græcia hortarentur. (5) Facto hoc decreto Aristides, introductis in concionem legatis, Lacedæmoniis referre jussit : neque supra terram neque infra tantum esse auri, quod ad libertatem Græciæ perdendam promovere possit Atheniensis. (6) Mardonii autem legatis Solem ostendens : Donec, inquit, suum hic consuetum cursum tenebit, Athenienses agrorum vastatorum et violatorum crematorumque templorum vindictam bello a Persis exigent. (7) Decrevit etiam ut sacerdotes in capita eorum exsecrarentur, qui cum Medis pacis conditiones tentassent, aut societatem Græcorum in bello gerendo deseruissent. (8) Mardonio iterum in Atticam irrumpente, rursus in Salaminem trajecerunt. (9) Aristides autem Spartam missus tarditatem et negligentiam eis exprobravit, qui rursus Athenas barbaro

νας, ἡξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα τῆς Ἑλλάδος βοηθεῖν. (10) Ταῦτα ἀκούσαντες οἱ Ἔφοροι μεθ' ἡμέραν
32 ἔμὲν ἐδόκουν παίζειν καὶ ῥαθυμεῖν ἑορτάζοντες· ἦν γὰρ a αὐτοῖς Ὑακίνθια· νυκτὸς δὲ πεντακισχιλίους Σπαρτιατῶν ἐπιλέξαντες, ὧν ἕκαστος ἑπτὰ περὶ αὑτὸν εἵλωτας εἶχεν, ἐξέπεμψαν οὐκ εἰδότων τῶν Ἀθηναίων. (11) Ἐπεὶ δὲ πάλιν ἐγκαλῶν ὁ Ἀριστείδης προσῆλθεν, οἱ δὲ σὺν γέλωτι ληρεῖν αὐτὸν ἔφασκον καὶ καθεύδειν, ἤδη γὰρ ἐν Ὀρεστείῳ τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους (ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας), οὐ κατὰ καιρὸν ἔφη παίζειν αὐτοὺς ὁ Ἀριστείδης ἀντὶ τῶν πολεμίων τοὺς φίλους ἐξαπατῶντας. (12) Ταῦθ' οἱ περὶ τὸν Ἰδομενέα λέγουσιν. Ἐν δὲ τῷ ψηφίσματι τοῦ Ἀριστείδου πρεσβευτὴς οὐκ αὐτὸς, ἀλλὰ Κίμων καὶ Ξάνθιππος καὶ Μυρωνίδης φέρονται.

XI. Χειροτονηθεὶς δὲ στρατηγὸς αὐτοκράτωρ ἐπὶ b τὴν μάχην καὶ τῶν Ἀθηναίων ὀκτακισχιλίους ὁπλίτας ἀναλαβὼν ἦκεν εἰς Πλαταιάς. Ἐκεῖ δὲ Παυσανίας ὁ τοῦ σύμπαντος ἡγούμενος Ἑλληνικοῦ συνέμιξεν ἔχων τοὺς Σπαρτιάτας καὶ τῶν ἄλλων Ἑλλήνων ἐπέῤῥει τὸ πλῆθος. (2) Τῶν δὲ βαρβάρων τὸ μὲν ὅλον τῆς στρατοπεδείας παρὰ τὸν Ἀσωπὸν ποταμὸν παρεκτεταμένης οὐδεὶς ἦν ὅρος διὰ μέγεθος, περὶ δὲ τὰς ἀποσκευὰς καὶ τὰ κυρώτατα τεῖχος περιεφράξαντο τετράγωνον, οὗ τῶν πλευρῶν ἑκάστη μῆκος ἦν δέκα σταδίων. (3) Παυσανίᾳ μὲν οὖν καὶ τοῖς Ἕλλησι κοινῇ Τισαμενὸς ὁ Ἠλεῖος ἐμαντεύσατο καὶ προεῖπε νίκην ἀμυνομένοις καὶ μὴ προεπιχειροῦσιν· Ἀριστείδου δὲ πέμψαντος εἰς c Δελφοὺς ἀνεῖλεν ὁ θεὸς Ἀθηναίους καθυπερτέρους ἔσεσθαι τῶν ἐναντίων εὐχομένους τῷ Διὶ καὶ τῇ Ἥρᾳ τῇ Κιθαιρωνίᾳ καὶ Πανὶ καὶ νύμφαις Σφραγίτισι καὶ θύοντας ἥρωσιν Ἀνδροκράτει, Λεύκωνι, Πεισάνδρῳ, Δαμοκράτει, Ὑψίωνι, Ἀκταίωνι, Πολυίδῳ, καὶ τὸν κίνδυνον ἐν γῇ ἰδίᾳ ποιουμένους ἐν τῷ πεδίῳ τᾶς Δάματρος τᾶς Ἐλευσινίας καὶ τᾶς Κόρας. (4) Οὗτος ὁ χρησμὸς ἀνενεχθεὶς ἀπορίαν τῷ Ἀριστείδῃ παρεῖχεν. Οἱ μὲν γὰρ ἥρωες, οἷς ἐκέλευε θύειν, ἀρχηγέται Πλαταιέων ἦσαν, καὶ τὸ τῶν Σφραγιτίδων νυμφῶν ἄντρον ἐν μιᾷ κορυφῇ τοῦ Κιθαιρῶνός ἐστιν εἰς δυσμὰς ἡλίου θερινὰς τετραμμένον, ἐν ᾧ καὶ μαντεῖον ἦν πρό- d τερον, ὡς φασι, καὶ πολλοὶ κατεῖχοντο τῶν ἐπιχωρίων, οὓς νυμφολήπτους προσηγόρευον. (5) Τὸ δὲ τῆς Ἐλευσινίας Δήμητρος πεδίον καὶ τὸ τὴν μάχην ἐν ἰδίᾳ χώρᾳ ποιουμένοις τοῖς Ἀθηναίοις νίκην δίδοσθαι πάλιν εἰς τὴν Ἀττικὴν ἀνεκαλεῖτο καὶ μεθίστη τὸν πόλεμον. (6) Ἔνθα τῶν Πλαταιέων ὁ στρατηγὸς Ἀρίμνηστος ἔδοξε κατὰ τοὺς ὕπνους ὑπὸ τοῦ Διὸς τοῦ Σωτῆρος ἐπερωτώμενον αὐτὸν, ὅ τι δὴ πράττειν δέδοκται τοῖς Ἕλλησιν, εἰπεῖν, « Αὔριον εἰς Ἐλευσῖνα τὴν στρατιὰν ἀπάξομεν, ὦ δέσποτα, καὶ διαμαχούμεθα τοῖς βαρβάροις ἐκεῖ κατὰ τὸ πυθόχρηστον. » (7) Τὸν οὖν θεὸν φάναι διαμαρτάνειν αὐτοὺς τοῦ παντός· αὐτόθι γὰρ εἶναι περὶ e τὴν Πλαταϊκὴν τὰ πυθόχρηστα καὶ ζητοῦντας ἀνευρήσειν. (8) Τούτων ἐναργῶς τῷ Ἀριμνήστῳ φανέντων

prodidissent, simulque petiit, ut salvis adhuc Græciæ partibus opitulatum irent. (10) Hæc ut audiverunt Ephori, interdiu festum diem agendo ludum et socordiam præ se ferebant (agebantur enim Hyacinthia), noctu clam Atheniensibus quinque millia delectorum Spartanorum, quorum quivis septem secum Helotas trahebat, emiserunt. (11) Cum denuo incusaret eos Aristides, atque ipsi ridentes hominem delirare et somniare dicerent : jam enim ad Oresteum exercitum esse contra peregrinos (eo nomine Persas significabant) proficiscentem : alieno tempore eos ludere ac pro hostibus amicos decipere Aristides respondit. (12) Hæc narratio est Idomenei : quippe in Aristidis edicto non ipse legatus, sed Cimon, Xanthippus et Myronides feruntur.

XI. Ceterum ad eam pugnam imperator electus Aristides et cum octo armatis Atheniensium millibus ad Platæas profectus, ibi se Pausaniæ, qui dux universarum Græciæ copiarum erat, conjunxit, eodemque reliquorum Græcorum confluebat multitudo. (2) Erat barbarorum exercitus ad Asopum fluvium in longitudinem porrectus, multitudinis hominum causa prope infinitam : impedimenta et res quasque optimas muro quadrato munierant, cujus unumquodque latus in longum decem stadia habebat. (3) Pausaniæ omnibusque in commune Græcis victoriam Tisamenus Eleus vaticinatus fuit, si vim repellerent, non ipsi priores hostem adorirentur. Aristidi autem, cum misisset Delphos, oraculum responderat, victoriam Atheniensium futuram, si Jovi et Junoni Cithæroniæ et Pani et Nymphis Sphragitidibus vota, remque sacram heroibus, Androcrati, Leuconi, Pisandro, Damocrati, Hypsioni, Actæoni Polyidoque fecissent, sique pugnam in sua terra fecissent, in campo Cereris Eleusiniæ et Proserpinæ. (4) Hoc oraculum allatum Aristidem animi dubium incertumque reddidit. Heroes enim isti, quibus rem sacram facere jussi erant, Platæensium erant auctores et antrum Sphragitidum Nympharum in uno Cithæronis vertice est solis occasui æstivo obversum; quo in antro fuisse aliquando oraculum, multosque ibi habitantium furore vaticino correptos fuisse, qui inde Nympholepti dicerentur, traditum est. (5) Contra Cereris Eleusiniæ campus, quodque ita victoria Atheniensibus promittebatur, si in suo territorio depugnassent, rursus in Atticam revocare bellum videbatur. (6) Eo tempore Platæensium dux Arimnestus in somnis visus sibi est a Jove Servatore interrogari, quidnam Græci agere statuissent, eique se respondere : Domine, cras exercitum Eleusinem abducemus, ibique, ut præcipit oraculum Pythiæ, cum barbaris pugnabimus. (7) Tum Jovem, in summo eos errore versari, dixisse : etenim in agro Plataico esse ea, quorum mentionem Pythia fecisset et inventuros ibi si quæsivissent. (8) Quæ cum evidenter apparuissent Arimnesto, expergefactus, e ve-

ἐξεγειρόμενος τάχιστα μετεπέμψατο τοὺς ἐμπειροτάτους καὶ πρεσβυτάτους τῶν πολιτῶν, μεθ' ὧν διαλεγόμενος καὶ συνδιαπορῶν εὗρεν, ὅτι τῶν Ὑσιῶν πλησίον ὑπὸ τὸν Κιθαιρῶνα ναός ἐστιν ἀρχαῖος πάνυ Δήμητρος Ἐλευσινίας καὶ Κόρης προσαγορευόμενος. (9) Εὐθὺς οὖν παραλαβὼν τὸν Ἀριστείδην ἦγεν ἐπὶ τὸν τόπον εὐφυέστατον ὄντα παρατάξαι φάλαγγα πεζικὴν ἱπποκρατουμένοις διὰ τὰς ὑπωρείας τοῦ Κιθαιρῶνος ἄφιππα ποιούσας τὰ καταλήγοντα καὶ συγκυροῦντα τοῦ πεδίου πρὸς τὸ ἱερόν. (10) Αὐτοῦ δ' ἦν καὶ τὸ τοῦ Ἀνδροκράτους ἡρῷον ἐγγὺς ἄλσει πυκνῶν καὶ συσκίων δένδρων περιεχόμενον. (11) Ὅπως δὲ μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὴν ἐλπίδα τῆς νίκης ὁ χρησμὸς ἔδοξε τοῖς Πλαταιεῦσιν, Ἀριμνήστου γνώμην εἰπόντος, ἀνελεῖν τὰ πρὸς
326τὴν Ἀττικὴν ὅρια τῆς Πλαταιίδος καὶ τὴν χώραν ἐπιδοῦναι τοῖς Ἀθηναίοις ὑπὲρ τῆς Ἑλλάδος ἐν οἰκείᾳ κατὰ τὸν χρησμὸν ἐναγωνίσασθαι. (12) Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν τῶν Πλαταιέων οὕτω συνέβη περιβόητον γενέσθαι, ὥστε καὶ Ἀλέξανδρον ἤδη βασιλεύοντα τῆς Ἀσίας ὕστερον πολλοῖς ἔτεσι τειχίζοντα τὰς Πλαταιὰς ἀνειπεῖν Ὀλυμπίασιν ὑπὸ κήρυκος, ὅτι ταύτην ὁ βασιλεὺς ἀποδίδωσι Πλαταιεῦσι τῆς ἀνδραγαθίας καὶ τῆς μεγαλοψυχίας χάριν, ἐπειδὴ τοῖς Ἕλλησιν ἐν τῷ Μηδικῷ πολέμῳ τὴν χώραν ἐπέδωκαν καὶ παρέσχον αὐτοὺς προθυμοτάτους.

XII. Ἀθηναίοις δὲ Τεγεᾶται περὶ τάξεως ἐρίσαντες ἠξίουν, ὥσπερ ἀεί, Λακεδαιμονίων τὸ δεξιὸν ἐχόντων κέρας, αὐτοὶ τὸ εὐώνυμον ἔχειν, πολλὰ τοὺς αὐτῶν προγόνους ἐγκωμιάζοντες. (2) Ἀγανακτούντων δὲ τῶν
b Ἀθηναίων παρελθὼν ὁ Ἀριστείδης εἶπε· « Τεγεάταις μὲν ἀντειπεῖν περὶ εὐγενείας καὶ ἀνδραγαθίας ὁ παρὼν καιρὸς οὐ δίδωσι, πρὸς δ' ὑμᾶς, ὦ Σπαρτιᾶται, καὶ τοὺς ἄλλους Ἕλληνας λέγομεν, ὅτι τὴν ἀρετὴν οὐκ ἀφαιρεῖται τόπος οὐδὲ δίδωσιν· ἣν δ' ἂν ὑμεῖς ἡμῖν τάξιν ἀποδῶτε πειρασόμεθα κοσμοῦντες καὶ φυλάττοντες μὴ καταισχύνειν τοὺς προηγωνισμένους ἀγῶνας. (3) Ἥκομεν γὰρ οὐ τοῖς συμμάχοις στασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις, οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς ἄνδρας ἀγαθοὺς τῇ Ἑλλάδι παρέξοντες· ὡς οὗτος ὁ ἀγὼν δείξει καὶ πόλιν καὶ ἄρχοντα
c καὶ ἰδιώτην ὁπόσου τοῖς Ἕλλησιν ἄξιός ἐστι. » (4) Ταῦτ' ἀκούσαντες οἱ σύνεδροι καὶ ἡγεμόνες ἀπεδέξαντο τοὺς Ἀθηναίους καὶ θάτερον αὐτοῖς κέρας ἀπέδοσαν.

XIII. Οὔσης δὲ μετεώρου τῆς Ἑλλάδος καὶ μάλιστα τοῖς Ἀθηναίοις τῶν πραγμάτων ἐπισφαλῶς ἐχόντων ἄνδρες ἐξ οἴκων ἐπιφανῶν καὶ χρημάτων μεγάλων πένητες ὑπὸ τοῦ πολέμου γεγονότες καὶ πᾶσαν ἅμα τῷ πλούτῳ τὴν ἐν τῇ πόλει δύναμιν αὐτῶν καὶ δόξαν οἰχομένην ὁρῶντες, ἑτέρων τιμωμένων καὶ ἀρ-
d χόντων, συνῆλθον εἰς οἰκίαν τινὰ τῶν ἐν Πλαταιαῖς κρύφα καὶ συνωμόσαντο καταλύσειν τὸν δῆμον, εἰ δὲ μὴ προχωροίη, λυμανεῖσθαι τὰ πράγματα καὶ τοῖς βαρβάροις προδώσειν. (2) Πραττομένων δὲ τούτων ἐν τῷ στρατοπέδῳ καὶ συχνῶν ἤδη διεφθαρμένων, αἰ-

stigio peritissimos atque ætate provectissimos civium ad se vocavit : et re cum iis communicata, invenit prope Hysias sub Cithæronem fanum esse pervetustum, nomine Cereris Eleusiniæ et Proserpinæ nuncupatum. (9) Statim igitur Aristidem ad locum eum adduxit, qui erat ad pedestrem aciem instruendam aptissimus et equitatui, quo prævalebat hostis, iniquus, contra quem campi extrema et ad fanum accedentia radicibus montis Cithæronis muniebantur.
f (10) Erat et ibidem in propinquo luco sacellum Androcratis, densa arborum umbra septum. (11) Ac ne quid ex oraculo ad spem victoriæ videretur deesse, Platæenses auctore Arimnesto statuerunt, ut limitibus, qui Plataicum ab Attico dirimebant agrum, sublatis suam regionem Atheniensibus
a tribuerent : ut hi, quod oraculo jubebantur, pro salute Græciæ in propria terra possent dimicare. (12) Tanta hujus Platæensium liberalitatis fama exstitit, ut Alexander quoque multis post annis jam Asiæ regno potitus cum Platæas instauraret, Olympico conventu per præconem edixerit, urbem se Platæensibus propter eorum virtutem et magnanimitatem reddere, quod ii bello Medico Græcis agrum suum tradidissent, iisque operam suam summa alacritate navassent.

XII. Tegeatis autem de loco in acie cum Atheniensibus contendentibus, ac (quod semper consuevissent, si Lacedæmonii dextrum cornu tenerent) sibi lævum cornu vin-
b dicantibus multumque majoribus suis collaudatis, (2) cum id Athenienses indigne ferrent, Aristides progressus, « Præsentis quidem, inquit, temporis ratio non fert, ut de nobilitate et virtute cum Tegeatis disputemus. Vobis hoc dicimus, o Spartani, vosque reliqui Græci, locus in acie neque dat neque adimit virtutem. Proinde quemcumque nobis locum assignaveritis, eum ornare et tueri conabimur, ut ne quid prioribus nostris indignum certaminibus committamus. (3) Non enim ut cum sociis litigaremus, sed pugnatum in hostes huc venimus : neque ut majores nostros laudaremus, sed ut nos ipsos viros
c strenuos Græciæ exhiberemus; hoc enim præsens certamen ostendet, quantum Græcia unicuilibet urbi, duci, privatoque debeat. » (4) Hoc cum audissent consiliarii et duces belli, Athenienses probaverunt, alterumque iis cornu tribuerunt.

XIII. Erat tum incertus atque periculosus Græciæ status, maximeque Atheniensium res summo in discrimine versabantur : quæ causa fuit nonnullis, qui magnis familiis nati ac prædivites cum fuissent, ad paupertatem bello redacti, simul cum opibus omnem suam in urbe potentiam et gloriam concidisse videbant, honoribus et magistratibus ad
d alios delatis, ut facta coitione in domo quadam Platæis de evertenda populi potestate conspirationem inirent : quodsi is conatus frustra fuisset, de corrumpendis rebus hostique prodendis cogitabant. (2) Cum hæc in exercitu moverentur,

σθόμενος ὁ Ἀριστείδης καὶ φοβηθεὶς τὸν καιρὸν ἔγνω μήτ' ἐᾶν ἀμελούμενον τὸ πρᾶγμα μήθ' ἅπαν ἐκκαλύπτειν ἀγνούμενον εἰς ὅσον ἐκβήσεται πλῆθος ὁ ἔλεγχος, τὸν τοῦ δικαίου ζητῶν ὅρον ἀντὶ τοῦ συμφέροντος. (3) Ὀκτὼ δή τινας ἐκ πολλῶν συνέλαβε· καὶ τούτων δύο μὲν, οἷς πρώτοις ἡ κρίσις προεγράφη, οἵ καὶ πλείστην αἰτίαν εἶχον, Αἰσχίνης Λαμπτρεὺς καὶ Ἀγησίας Ἀχαρνεὺς, ᾤχοντο φεύγοντες ἐκ τοῦ στρατοπέδου, τοὺς δ' ἄλλους ἀφῆκε θαρσῆσαι διδοὺς καὶ μεταγνῶναι τοῖς ἔτι λανθάνειν οἰομένοις ὑπειπὼν, ὡς μέγα δικαστήριον ἔχουσι τὸν πόλεμον ἀπολύσασθαι τὰς αἰτίας ὀρθῶς καὶ δικαίως τῇ πατρίδι βουλευόμενοι.

XIV. Μετὰ ταῦτα Μαρδόνιος ᾧ πλεῖστον ἐδόκει διαφέρειν τῶν Ἑλλήνων ἀπεπειρᾶτο, τὴν ἵππον ἀθρόαν αὐτοῖς ἐφεὶς καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ Κιθαιρῶνος ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι πλὴν Μεγαρέων. Οὗτοι δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες ἐν τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο. (2) Διὸ καὶ κακῶς ἔπασχον ὑπὸ τῆς ἵππου ῥυείσης ἐπ' αὐτοὺς καὶ προσβολὰς ἐχούσης πανταχόθεν. Ἔπεμπον οὖν ἄγγελον κατὰ τάχος πρὸς Παυσανίαν βοηθεῖν κελεύοντες, ὡς οὐ δυνάμενοι καθ' αὑτοὺς ὑποστῆναι τὸ τῶν βαρβάρων πλῆθος. (3) Ταῦτα Παυσανίας ἀκούων, ἤδη δὲ καὶ καθορῶν ἀποκεκρυμμένον ἀκοντισμάτων καὶ τοξευμάτων πλήθει τὸ στρατόπεδον τῶν Μεγαρέων καὶ συν-
327 εσταλμένους αὐτοὺς εἰς ὀλίγον, αὐτὸς μὲν ἀμήχανος ἦν πρὸς ἱππότας ἀμύνειν ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ Σπαρτιατῶν, τοῖς δ' ἄλλοις στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων περὶ αὐτὸν οὖσι προὔθετο ζῆλον ἀρετῆς καὶ φιλοτιμίας, εἰ δή τινες ἑκόντες ἀναδέξαιντο προαγωνίσασθαι καὶ βοηθῆσαι τοῖς Μεγαρεῦσι. (4) Τῶν δ' ἄλλων ὀκνούντων Ἀριστείδης ἀναδεξάμενος ὑπὲρ τῶν Ἀθηναίων τὸ ἔργον ἀποστέλλει τὸν προθυμότατον τῶν λοχαγῶν Ὀλυμπιόδωρον ἔχοντα τοὺς ὑφ' ἑαυτὸν τεταγμένους λογάδας τριακοσίους καὶ τοξότας ἀναμεμιγμένους σὺν αὐτοῖς. (5) Τούτων ὀξέως διεσκευασμένων καὶ προσφερομένων δρόμῳ, Μασίστιος ὁ τῶν βαρβάρων ἵππαρχος, ἀνὴρ ἀλκῇ τε θαυμαστὸς μεγέθει τε καὶ κάλλει σώματος περιττὸς, ὡς κατεῖδεν, ἐναντίον ἐπιστρέψας τὸν ἵππον εἰς αὐτοὺς ἤλαυνε. (6) Τῶν δ' ἀνασχομένων καὶ συμβαλόντων ἦν ἀγὼν καρτερὸς, ὡς πεῖραν ἐν τούτῳ τοῦ παντὸς λαμβανόντων. (7) Ἐπεὶ δὲ τοξευθεὶς ὁ ἵππος τὸν Μασίστιον ἀπέῤῥιψε καὶ πεσὼν ὑπὸ βάρους τῶν ὅπλων αὐτός τε δυσκίνητος ἦν ἀναφέρειν καὶ τοῖς Ἀθηναίοις ἐπικειμένοις καὶ παίουσι δυσμεταχείριστος, οὐ μόνον στέρνα καὶ κεφαλὴν, ἀλλὰ καὶ τὰ γυῖα χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καταπεφραγμένος, τοῦτον μὲν ἤ τὸ κράνος ὑπέφαινε τὸν ὀφθαλμὸν, ἀκοντίου στύρακι παίων τις ἀνεῖλεν, οἱ δ' ἄλλοι Πέρσαι προέμενοι τὸν νεκρὸν ἔφευγον. (8) Ἐγνώσθη δὲ τοῦ κατορθώματος τὸ μέγεθος τοῖς Ἕλλησιν οὐκ ἀπὸ τῶν νεκρῶν τοῦ πλήθους, ὀλίγοι γὰρ οἱ πεσόντες ἦσαν, ἀλλὰ τῷ πένθει τῶν βαρβάρων. Καὶ γὰρ ἑαυτοὺς ἔκειρον ἐπὶ τῷ Μασιστίῳ καὶ ἵππους καὶ ἡμιόνους, οἰ-

jamque essent complures corrupti, Aristides, re intellecta, temporis præsentis rationibus territus, statuit rem tantam neque omnino negligere, neque totam aperire, in qua erat incertum, quanta multitudo hominum ejus flagitii conscia deprehenderetur, si inquirendi finis non ex utilitate, sed justitia statueretur. (3) De magno numero octo quosdam arripuit : quorum duo, quibus primis dica erat scripta et qui sontes præ reliquis erant, ab exercitu aufugerunt, Æschines Lamptrensis et Agesias Acharnensis; reliquos dimisit in bonam spem adductos, addiditque, se iis, qui latere adhuc suum crimen putarent, resipiscendi locum dare : hoc enim bellum tribunalis ac judicii loco ipsis futurum, in quo bonam patriæ operam navando crimina diluerent.

XIV. Post hæc Mardonius equitatu, quo maxime pollebat, omni immisso Græcorum vires periclitari statuit, qui locis munitis et saxosis in pede Cithæronis procurrente consederant. Soli Megarenses, tria hominum millia, planioribus locis castra habebant. (2) Itaque equitatu in eos irruente et undique locum oppugnandi nacto, cum ægre vim sustinerent, celeriter nuncium ad Pausaniam miserunt, ut auxilio sibi sustinendæ barbarorum multitudini tantæ imparibus veniret orantes. (3) Quæ non audiens modo Pausanias, sed et videns jam castra Megarensium jaculorum et sagittarum nube occultari, ipsosque in arctum ordines contraxisse : quod ipse equitatum hostilem gravis armaturæ phalange Spartanorum quomodo profligaret, non habebat, reliquis, quos secum habebat, Græcorum ducibus et centurionibus certamen id de virtute atque honore proposuit, si qui eorum ultro prœlium ordiri et Megarensibus opitulari vellent. (4) Cunctantibus ibi ceteris, Aristides Atheniensium nomine negotio in se recepto, Olympiodorum tribunorum suorum maxime impigrum misit cum trecentis delectis militibus, quibus admixti erant sagittarii. (5) Quos, cum celeriter se armassent, citatoque gressu accurrerent, conspicatus Masistius, qui equitatum barbaricum ducebat, vir et robore mirabili et mole pulchritudineque corporis eximius, obverso in eos equo impetum fecit. (6) Resistentibus his et manum conserentibus, certamen ea vi commissum est, ut de universo belli exitu periculum utrinque facere viderentur. (7) Masistium equus sagitta ictus effudit : neque is sub tanto pondere armorum resurgere, neque tamen ab instantibus et ferientibus Atheniensibus confici potuit, non pectus modo et caput, sed artus etiam auro, ære ferroque munitus; tandem, qua oculum galea conspiciendum dabat, inferiori hastæ cuspide ictum quidam interfecit : reliqui Persæ relicto cadavere fugerunt. (8) Ejus victoriæ magnitudo non multitudine cæsorum (fuit enim non magnus numerus), sed luctu barbarorum a Græcis æstimata est : nam et se et equos et mulos Masistii causa totonderunt, ejulatuque et fletu

μωγῆς τε καὶ κλαυθμοῦ τὸ πεδίον ἐνεπίμπλασαν, ὡς ἄνδρα πολὺ πρῶτον ἀρετῇ καὶ δυνάμει μετά γε Μαρδόνιον αὐτὸν ἀποβαλόντες.

XV. Μετὰ δὲ τὴν ἱππομαχίαν ἀμφότεροι μάχης ἔσχοντο χρόνον πολύν· ἀμυνομένοις γὰρ οἱ μάντεις νίκην προὔφαινον ἐκ τῶν ἱερῶν ὁμοίως καὶ τοῖς Πέρσαις καὶ τοῖς Ἕλλησιν, εἰ δ' ἐπιχειροῖεν, ἦτταν. (2) Ἔπειτα Μαρδόνιος, ὡς αὐτῷ μὲν ἡμερῶν ὀλίγων τὰ d ἐπιτήδεια περιῆν, οἱ δ' Ἕλληνες ἀεί τινων ἐπιῤῥεόντων πλείονες ἐγίνοντο, δυσανασχετῶν ἔγνω μηκέτι μένειν, ἀλλὰ διαβὰς ἅμα φάει τὸν Ἀσωπὸν ἐπιθέσθαι τοῖς Ἕλλησιν ἀπροσδοκήτως, καὶ παράγγελμα τοῖς ἡγεμόσιν ἑσπέρας ἔδωκε. (3) Μεσούσης δὲ μάλιστα τῆς νυκτὸς ἀνὴρ ἵππον ἔχων ἀτρέμα προσεμίγνυε τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ἐντυχὼν δὲ ταῖς φυλακαῖς ἐκέλευεν αὐτῷ προσελθεῖν Ἀριστείδην τὸν Ἀθηναῖον. (4) Ὑπακούσαντος δὲ ταχέως ἔφησεν· « Εἰμὶ μὲν Ἀλέξανδρος ὁ Μακεδόνων [βασιλεὺς], ἥκω δὲ κινδύνων τὸν μέγιστον εὐνοίᾳ τῇ πρὸς ὑμᾶς αἱρούμενος, ὡς μὴ τὸ e αἰφνίδιον ἐκπλήξειεν ὑμᾶς χεῖρον ἀγωνίσασθαι. (5) Μαχεῖται γὰρ ὑμῖν Μαρδόνιος αὔριον, οὐχ ὑπ' ἐλπίδος χρηστῆς οὐδὲ θάρσους, ἀλλ' ἀπορίας τῶν παρόντων, ἐπεὶ καὶ μάντεις ἐκεῖνον ἀπαισίοις ἱεροῖς καὶ λογίοις χρησμῶν εἴργουσι μάχης καὶ τὸν στρατὸν ἔχει δυσθυμία πολλὴ καὶ κατάπληξις. Ἀλλ' ἀνάγκη τολμῶντα πειρᾶσθαι τῆς τύχης ἢ τὴν ἐσχάτην ὑπομένειν ἀπορίαν καθεζόμενον. » (6) Ταῦτα φράσας ὁ Ἀλέξανδρος ἐδεῖτο τὸν Ἀριστείδην αὐτὸν εἰδέναι καὶ μνημονεύειν, ἑτέρῳ δὲ μὴ κατειπεῖν. (7) Ὁ δ' οὐ καλῶς ἔχειν ἔφη ταῦτα Παυσανίαν ἀποκρύψασθαι, ἐκείνῳ f γὰρ ἀνακεῖσθαι τὴν ἡγεμονίαν, πρὸς δὲ τοὺς ἄλλους ἄῤῥητα πρὸ τῆς μάχης ἔλεξεν ἔσεσθαι, νικώσης δὲ τῆς Ἑλλάδος οὐδένα τὴν Ἀλεξάνδρου προθυμίαν καὶ ἀρετὴν ἀγνοήσειν. (8) Λεχθέντων δὲ τούτων ὅ τε βασιλεὺς τῶν Μακεδόνων ἀπῆλαυνεν ὀπίσω πάλιν, ὅ τε Ἀριστείδης ἀφικόμενος ἐπὶ τὴν σκηνὴν τοῦ Παυσανίου 328διηγεῖτο τοὺς λόγους· καὶ μετεπέμποντο τοὺς ἄλλους a ἡγεμόνας καὶ παρήγγελλον ἐν κόσμῳ τὸν στρατὸν ἔχειν, ὡς μάχης ἐσομένης.

XVI. Ἐν τούτῳ δ', ὡς Ἡρόδοτος ἱστορεῖ, Παυσανίας Ἀριστείδῃ προσέφερε λόγον ἀξιῶν τοὺς Ἀθηναίους ἐπὶ τὸ δεξιὸν μετατάξαι καὶ κατὰ τοὺς Πέρσας ἀντιταχθῆναι, βέλτιον γὰρ ἀγωνιεῖσθαι τῆς τε μάχης ἐμπείρους γεγονότας καὶ τῷ προνενικηκέναι θαῤῥοῦντας, αὐτῷ δὲ παραδοῦναι τὸ εὐώνυμον, ὅπου τῶν Ἑλλήνων οἱ μηδίζοντες ἐπιβάλλειν ἔμελλον. (2) Οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων πολυπράγμονα καὶ φορτικὸν ἡγοῦντο τὸν Παυσανίαν, εἰ τὴν ἄλλην ἐῶν τάξιν ἐν χώρᾳ μόνους ἄνω καὶ κάτω μεταφέρει σφᾶς ὥσπερ εἵλωτας κατὰ τὸ μαχιμώτατον προβαλλόμενος· (3) ὁ δ' Ἀριστείδης διαμαρτάνειν αὖ ἔφασκε τοῦ παντός, b εἰ πρώην μὲν ὑπὲρ τοῦ τὸ εὐώνυμον κέρας ἔχειν διεφιλοτιμοῦντο Τεγεάταις καὶ προκριθέντες ἐσεμνύνοντο, νῦν δὲ, Λακεδαιμονίων ἑκουσίως αὐτοῖς ἐξισταμένων

campum implerunt : quod eum virum, unico excepto Mardonio, virtute potentiaque facile principem amisissent.

XV. Secundum hoc equestre prœlium utrique aliquamdiu a pugna sibi temperarunt : utrisque enim haruspices, si alteris pugnam cientibus sese defendissent, victoriam, sin ipsi hostem aggrederentur, cladem prædixerant. (2) Tandem Mardonius, cum et in paucos dies commeatus superesset et Græcorum subinde aliis se adjungentibus copiæ augerentur, moræ pertæsus, statuit non amplius exspectare, sed summa luce Asopum transire, et hostes ex improviso adoriri : eaque de re ducibus sub vesperam mandaverat. (3) Media circiter nocte eques placide ad Græcorum castra accessit : cumque ad excubias pervenisset, Aristidem Atheniensem ad se venire jussit. (4) Isque nihil moratus, adfuit. Tum ille : « Alexander, inquit, sum, Macedonum rex : maximum benevolentia erga vos impulsus periculum adivi huc veniens, ut monerem vos, ne subita re territi deterius pugnaretis. (5) Cras enim Mardonius pugnare vobiscum statuit, non bona spe aut fiducia, sed inopia rerum compulsus : quippe et ob sacrificia adversa et oraculorum monitus haruspices eum pugnare vetant, et exercitus mœrore multo terroreque tenetur. Sed necesse est ei aut fortunam prœlii experiri, aut desidendo in castris extremam perpeti penuriam. » (6) Simul orabat Aristidem, ut sibi ipsi dictum meminisset, neque cum alio ullo communicaret. (7) Aristides nullo se jure hæc clam Pausania habere posse dicebat, quod penes eum summa imperii esset, reliquorum ante pugnam neminem cogniturum : Græcis vero victoriam adeptis, curaturum, ne cui Alexandri studium et virtus esset obscura. (8) Hæc collocuti, Alexander retro abiit, Aristides ad Pausaniæ tentorium ivit, eique rem exposuit : vocati inde reliqui duces, mandatumque uti militem in armis instructum haberent, futuram enim pugnam.

XVI. Interim Pausanias, ut Herodotus narrat, Aristidem rogavit, ut Athenienses dextrum aciei cornu occuparent, ac contra Medos starent : ita facilius pugnaturos, cum et ejus generis pugnæ periti jam essent et priori victoria fiderent, sibi lævam partem relinquerent, qua parte Græci Medum secuti prœlium inituri erant. (2) At vero cæteri duces Atheniensium nimis curiosum Pausaniam et importunum dicere, qui reliquis suo cuique relicto loco, ipsos modo helotum instar huc et illuc transferret et difficillimam prœlii partem traderet. (3) Tum Aristides : iterum eos toto cœlo errare, qui nuper de sinistro cornu cum Tegeatis litigassent, prælatosque se esse honori sibi duxissent : nunc Lacedæmoniis ultro dextrum cornu concedentibus, ac

τοῦ δεξιοῦ καὶ τρόπον τινὰ τὴν ἡγεμονίαν παραδιδόντων, οὔτε τὴν δόξαν ἀγαπῶσιν οὔτε κέρδος ἡγοῦνται τὸ μὴ πρὸς ὁμοφύλους καὶ συγγενεῖς, ἀλλὰ βαρβάρους καὶ φύσει πολεμίους ἐναγωνίσασθαι. (4) Ἐκ τούτου πάνυ προθύμως οἱ Ἀθηναῖοι διημείβοντο τοῖς Σπαρτιάταις τὴν τάξιν· καὶ λόγος ἐχώρει δι' αὐτῶν πολὺς ἀλλήλοις παρεγγυώντων, « Ὡς οὔτε ὅπλα βελτίω λαβόντες οὔτε ψυχὰς ἀμείνους οἱ πολέμιοι τῶν ἐν Μαραθῶνι προσίασιν, ἀλλὰ ταὐτὰ μὲν ἐκείνοις τόξα, ταὐτὰ δ' ἐσθῆτος ποικίλματα καὶ χρυσὸς ἐπὶ σώμασι μαλακοῖς καὶ ψυχαῖς ἀνάνδροις· ἡμῖν δ' ὅμοια μὲν ὅπλα καὶ σώματα, μεῖζον δὲ ταῖς νίκαις τὸ θάρσος, ὃ δ' ἀγὼν οὐχ ὑπὲρ χώρας καὶ πόλεως μόνον, ὡς ἐκείνοις, ἀλλ' ὑπὲρ τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι τροπαίων, ὡς μηδ' ἐκεῖνα Μιλτιάδου δοκοίη καὶ τύχης, ἀλλ' Ἀθηναίων. » (5) Οὗτοι μὲν οὖν σπεύδοντες ἐν ἀμείψει τῶν τάξεων ἦσαν· αἰσθόμενοι δὲ Θηβαῖοι παρ' αὐτομόλων Μαρδονίῳ φράζουσι. (6) Κἀκεῖνος εὐθὺς, εἴτε δεδιὼς τοὺς Ἀθηναίους εἴτε τοῖς Λακεδαιμονίοις συμπεσεῖν φιλοτιμούμενος, ἀντιπαρεξῆγε τοὺς Πέρσας ἐπὶ τὸ δεξιὸν, τοὺς δὲ Ἕλληνας ἐκέλευε τοὺς σὺν αὐτῷ κατὰ τοὺς Ἀθηναίους ἵστασθαι. (7) Γενομένης δὲ τῆς μεταχοσμήσεως καταφανοῦς ὅ τε Παυσανίας ἀποτραπεὶς αὖθις ἐπὶ τοῦ δεξιοῦ κατέστη καὶ Μαρδόνιος, ὥσπερ εἶχεν ἐξ ἀρχῆς, ἀνέλαβε τὸ εὐώνυμον κατὰ τοὺς Λακεδαιμονίους γενόμενος, ἥ τε ἡμέρα διεξῆλθεν ἀργή. (8) Καὶ τοῖς Ἕλλησι βουλευομένοις ἔδοξε πορρωτέρω μεταστρατοπεδεῦσαι καὶ καταλαβεῖν ἔνυδρον χωρίον, ἐπεὶ τὰ πλησίον νάματα καθύβριστο καὶ διέφθαρτο, τῶν βαρβάρων ἱπποκρατούντων.

XVII. Ἐπελθούσης δὲ νυκτὸς καὶ τῶν στρατηγῶν ἀγόντων ἐπὶ τὴν ἀποδεδειγμένην στρατοπεδείαν, οὐ πάνυ πρόθυμον ἦν ἕπεσθαι καὶ συμμένειν τὸ πλῆθος, ἀλλ' ὡς ἀνέστησαν ἐκ τῶν πρώτων ἐρυμάτων ἐφέροντο πρὸς τὴν πόλιν τῶν Πλαταιέων οἱ πολλοὶ καὶ θόρυβος ἦν ἐκεῖ διασκιδναμένων καὶ κατασκηνούντων ἀτάκτως. (2) Λακεδαιμονίοις δὲ συνέβη μὲν ἄκουσι μόνοις ἀπολιπέσθαι τῶν ἄλλων· Ἀμομφάρετος γὰρ, ἀνὴρ θυμοειδὴς καὶ φιλοκίνδυνος, ἔκπαλαι πρὸς τὴν μάχην σπαργῶν καὶ βαρυνόμενος τὰς πολλὰς ἀναβολὰς καὶ μελλήσεις, τότε δὲ παντάπασι τὴν μετανάστασιν φυγὴν ἀποκαλῶν καὶ ἀπόδρασιν, οὐκ ἔφη λείψειν τὴν τάξιν, ἀλλ' αὐτόθι μένων μετὰ τῶν ἑαυτοῦ λοχιτῶν ὑποστήσεσθαι Μαρδόνιον. (3) Ὡς δὲ Παυσανίας ἐπελθὼν ἔλεγε ταῦτα πράττειν ἐψηφισμένα καὶ δεδογμένα τοῖς Ἕλλησιν, ἀράμενος ταῖν χεροῖν πέτρον μέγαν ὁ Ἀμομφάρετος καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι, τὰ δὲ τῶν ἄλλων δειλὰ βουλεύματα καὶ δόγματα χαίρειν ἐᾶν. (4) Ἀπορούμενος δὲ Παυσανίας τῷ παρόντι πρὸς μὲν τοὺς Ἀθηναίους ἔπεμψεν ἀπιόντας ἤδη περιμεῖναι δεόμενος καὶ κοινῇ βαδίζειν, αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἦγε πρὸς τὰς Πλαταιὰς ὡς ἀναστήσων τὸν Ἀμομφάρετον. (5) Ἐν τούτῳ δὲ κατελάμβανεν ἡμέρα καὶ

quodammodo principatum deferentibus, neque gloriam eam gratam haberent, neque in lucro ponerent, non cum cognatis et ejusdem nationis, sed barbaro et nato hoste sibi decertandum. (4) Moti hac oratione Athenienses, libenter admodum locum cum Spartanis mutaverunt. Multa inde inter ipsos verba fieri, mutuo se cohortantium : neque armis neque animis instructos, quam in Marathone fuissent, melioribus hostes venire, sed iisdem cum arcubus et picturatis vestibus auroque tectis mollibus corporibus et effeminatis adesse. Sibi eadem arma esse, eadem corpora : auctam tamen victoriis audaciam, neque tantum pro agro et urbe, ut Spartanis, sed etiam pro Marathoniis et Salaminiis tropæis pugnandum, ne Miltiades illa potius aut fortuna, quam virtus Atheniensium erexisse videri possit. (5) Dum hi ordines permutare festinant, Thebani rem intellectam perfugæ officio indicant Mardonio. (6) Itaque statim ille, sive Atheniensium metu, sive cum Lacedæmoniis congrediendi studio, in dextro cornu Persas constituit, Græcis, quos habebat secum, adversus Athenienses collocatis. (7) Ea mutatio quia palam fiebat, Pausanias quoque regressus, dextrum cornu occupavit : tum Mardonius, ut initio ordinaverat, in lævum se cornu adversum Spartanis contulit : ad hunc modum ea dies sine prœlio extracta est. (8) Communi deinde consilio Græci statuerunt castra ab hoste in locum aquosum removere : barbari enim equitatu, quo prævalebant, vicinas aquas conturbarant et corruperant.

XVII. Nocte oborta, cum duces ad locum castris destinatum ducerent, gravate secuta est multitudo, neque uno agmine ire sustinuit, sed ut a prioribus castris decessum fuit, plerique ad urbem Platæas tendebant, ibique dissipati et nullo ordine tabernacula facientes tumultuabantur. (2) Lacedæmoniis etiam invitis contigit, ut soli a reliquis disjungerentur. Amompharetus enim, homo animosus et in adeundis periculis audax, jampridem pugnæ cupiditate æstuans dilationesque crebras et cunctationem indigne ferens, castrorum istam mutationem fugam atque devastationem utique esse affirmans, se statione sua cessurum negabat, sed ibi cum sua cohorte permansurum, Mardoniumque excepturum. (3) Ut accessit Pausanias hæcque se communi Græcorum calculo decreta agere dixit, magnum saxum Amompharetus sublatum ante pedes Pausaniæ projiciens, Hunc, inquit, ipse de pugna calculum fero, ceterorum timidis consiliis atque decretis valedicto. (4) Pausanias, quid de præsenti re statueret, dubius, ad Athenienses jam abeuntes misit, exspectarent orans, dum una iret : ipse reliquum exercitum ad Platæas duxit, sperans Amompharetum quoque cum ceteris secuturum. (5) Interim illuxit.

Μαρδόνιος (οὐ γὰρ ἔλαθον τὴν στρατοπεδείαν ἐκλιπόντες οἱ Ἕλληνες) ἔχων συντεταγμένην τὴν δύναμιν ἐπεφέρετο τοῖς Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ τῶν βαρβάρων, ὡς οὐ μάχης ἐσομένης, ἀλλὰ φεύγοντας ἀναρπασομένων τοὺς Ἕλληνας. Ὁ μικρᾶς ῥοπῆς ἐδέησε γενέσθαι. (6) Κατιδὼν γὰρ τὸ γινόμενον ὁ Παυσανίας b ἔσχετο μὲν τῆς πορείας καὶ τὴν ἐπὶ μάχῃ τάξιν ἐκέλευσε λαμβάνειν ἕκαστον, ἔλαθε δ' αὐτὸν εἴθ' ὑπὸ τῆς πρὸς Ἀμομφάρετον ὀργῆς εἴτε τῷ τάχει θορυβηθέντα τῶν πολεμίων σύνθημα δοῦναι τοῖς Ἕλλησιν. (7) Ὅθεν οὔτ' εὐθὺς οὔτ' ἀθρόοι, κατ' ὀλίγους δὲ καὶ σποράδην, ἤδη τῆς μάχης ἐν χερσὶν οὔσης, προσεβοήθουν. (8) Ὡς δὲ θυόμενος οὐκ ἐκαλλιέρει, προσέταξε τοῖς Λακεδαιμονίοις τὰς ἀσπίδας πρὸ τῶν ποδῶν θεμένους ἀτρέμα καθέζεσθαι καὶ προσέχειν αὐτῷ μηδένα τῶν πολεμίων ἀμυνομένους, αὐτὸς δὲ πάλιν ἐσφαγιάζετο. Καὶ προσέπιπτον οἱ ἱππεῖς· ἤδη δὲ καὶ βέλος ἐξικνεῖτο καί τις ἐπέπληκτο τῶν c Σπαρτιατῶν. (9) Ἐν τούτῳ δὲ καὶ Καλλικράτης, ὃν ἰδέᾳ τε κάλλιστον Ἑλλήνων καὶ σώματι μέγιστον ἐν ἐκείνῳ τῷ στρατῷ γενέσθαι λέγουσι, τοξευθεὶς καὶ θνήσκων οὐκ ἔφη τὸν θάνατον ἀδύρεσθαι, καὶ γὰρ ἐλθεῖν οἴκοθεν ὑπὲρ τῆς Ἑλλάδος ἀποθανούμενον, ἀλλ' ὅτι θνήσκει τῇ χειρὶ μὴ χρησάμενος. (10) Ἦν οὖν τὸ μὲν πάθος δεινόν, ἡ δ' ἐγκράτεια θαυμαστὴ τῶν ἀνδρῶν. Οὐ γὰρ ἠμύνοντο τοὺς πολεμίους ἐπιβαίνοντας, ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ καὶ τοῦ στρατηγοῦ καιρὸν ἀναμένοντες ἠνείχοντο βαλλόμενοι καὶ πίπτοντες ἐν ταῖς τάξεσιν. (11) Ἔνιοι δέ φασι τῷ Παυσανίᾳ μικρὸν ἔξω τῆς παρα- d τάξεως θύοντι καὶ κατευχομένῳ τῶν Λυδῶν τινας ἄφνω προσπεσόντας ἁρπάζειν καὶ διαῤῥίπτειν τὰ περὶ τὴν θυσίαν, τὸν δὲ Παυσανίαν καὶ τοὺς περὶ αὐτὸν οὐκ ἔχοντας ὅπλα ῥάβδοις καὶ μάστιξι παίειν. Διὸ καὶ νῦν ἐκείνης τῆς ἐπιδρομῆς μιμήματα τὰς περὶ τὸν βωμὸν ἐν Σπάρτῃ πληγὰς τῶν ἐφήβων καὶ τὴν μετὰ ταῦτα τῶν Λυδῶν πομπὴν συντελεῖσθαι.

XVIII. Δυσφορῶν οὖν ὁ Παυσανίας τοῖς παροῦσιν, ἄλλα τοῦ μάντεως ἐπ' ἄλλοις ἱερεῖα καταβάλλοντος, τρέπεται πρὸς τὸ Ἡραῖον τῇ ὄψει δεδακρυμένος καὶ τὰς χεῖρας ἀνασχὼν εὔξατο Κιθαιρωνίᾳ Ἥρᾳ καὶ θεοῖς ἅλ- e λοις, οἳ Πλαταιΐδα γῆν ἔχουσιν, εἰ μὴ πέπρωται τοῖς Ἕλλησι νικᾶν, ἀλλὰ δράσαντάς γε τι παθεῖν καὶ δείξαντας ἔργῳ τοῖς πολεμίοις, ὡς ἐπ' ἄνδρας ἀγαθοὺς καὶ μάχεσθαι μεμαθηκότας ἐστράτευσαν. (2) Ταῦτα τοῦ Παυσανίου θεοκλυτοῦντος ἅμα ταῖς εὐχαῖς ἐφάνη τὰ ἱερὰ καὶ νίκην οἱ μάντεις ἐμήνυον. Καὶ δοθέντος εἰς ἅπαντας παραγγέλματος καθίστασθαι πρὸς τοὺς πολεμίους ἥ τε φάλαγξ ὅλη ἔσχεν αἰφνιδίως ἑνὸς ζώου θυμοειδοῦς πρὸς ἀλκὴν τρεπομένου καὶ φρίξαντος, τοῖς τε βαρβάροις τότε παρέστη λογισμὸς, ὡς πρὸς ἄνδρας ὁ ἀγὼν ἔσοιτο μαχομένους ἄχρι θανάτου. (3) Διὸ καὶ f προθέμενοι πολλὰ τῶν γέῤῥων ἐτόξευον τοὺς Λακεδαιμονίους. Οἱ δὲ τηροῦντες ἅμα τὸν συνασπισμὸν ἐπέβαινον καὶ προσπεσόντες ἐξεώθουν τὰ γέῤῥα καὶ τοῖς δόρασι τύπτοντες πρόσωπα καὶ στέρνα τῶν Περσῶν

Et Mardonius, quem Græci e castris discedentes non fefellerant, composito agmine in Lacedæmonios irrupit multo cum clamore et strepitu barbarorum : qui non ad prœlium, sed ad fugam facientes Græcos delendos se ire putarent. Quod quidem ne fieret, parvo stetit momento. (6) Ut enim hostem irruere vidit Pausanias, itinere inhibito, unumquemque eo loco, quo in acie ordo eum vocabat, jussit consistere. Ceterum sive ira in Amompharetum, sive celeritate hostium perturbatus, signum dare pugnæ Græcis oblitus est. (7) Itaque non confertim ii neque recta, sed sparsim et pauci simul prœlio jam conserto ad auxilia accurrerunt. (8) Cum sacrificio facto non litaret, Lacedæmoniis mandavit, ut clypeis ante pedes depositis, quieti considerent ipsumque observarent, neque hostes repellerent. Cum altera ferire- c tur hostia, jam equites irrumpebant, jamque et sagittæ emittebantur et aliqui de Spartanis vulnerabantur. (9) Callicrates quoque tum, quem in toto Græcorum exercitu forma et magnitudine præstantissimum fuisse ferunt, ictus sagitta et moriens, non mortem se suam dolere dixit (etenim domo in hoc venisse, ut pro Græcia moreretur), sed quod non usus manibus periret. (10) Res erat misera, virorumque mirabilis continentia. Neque enim ab hostibus irruentibus se defendebant, sed in ordinibus suis icti et strati, tamen sustinebant, a deo et duce pugnæ signum exspectantes. (11) Traditum est a quibusdam, in Pausaniam paulum extra aciem d sacrificantem ac vota facientem Lydos aliquot impetum fecisse, et sacrificio destinatas res rapuisse atque disjecisse : Pausaniam et qui erant cum eo, quod essent inermes, baculis eos et flagellis impetiisse. Propterea hodieque ad incursionis illius imitationem pueros Spartæ apud aram verberari, et Lydorum pompam duci.

XVIII. Pausanias præsenti rerum statu anxius, alias super alias haruspice mactante hostias, lacrimis perfuso vultu ad Junonis fanum obversus, Junonem Cithæroniam ceterosque qui Plataicam terram obtinerent deos manibus sublatis precatus est, ut, si victoriam Græcis fata non darent, at factis editis perirent, quibus documentum darent barbaris, contra bonos viros et pugnæ peritos sibi susceptam fuisse expeditionem. (2) Hæc illo divos flagitante simul et sacra addixerunt et victoriam vates portendi indicarunt, statimque omnibus edictum est, ut in hostem se verterent. Subito tota phalanx unius animalis speciem præ se tulit vim parantis iraque horrentis : et barbaris cogitare subiit, cum viris usque ad mortem pugnaturis rem sibi fore. (3) Itaque f multas objicientes cetras, sagittas in Lacedæmonios emiserunt; at illi stipato agmine clypeis objectis in hostem invadere, cetras repellere hastisque in facies et pectora Persarum intentatis, multos dejicere non sine efficaci animosaque

πολλοὺς κατέβαλλον, οὐκ ἀπράκτως οὐδὲ ἀθύμως πίπτοντας. (4) Καὶ γὰρ ἀντιλαμβανόμενοι τῶν δορατίων
330ταῖς χερσὶ γυμναῖς συνέθραυον τὰ πλεῖστα καὶ πρὸς a
τὰς ξιφουλκίας ἐχώρουν οὐκ ἀργῶς, ἀλλὰ ταῖς κοπίσι
καὶ τοῖς ἀκινάκαις χρώμενοι καὶ τὰς ἀσπίδας παρασπῶντες καὶ συμπλεκόμενοι χρόνον πολὺν ἀντεῖχον. (5) Οἱ δ' Ἀθηναῖοι τέως μὲν ἠτρέμουν ἀναμένοντες τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ κραυγὴ προσέπιπτε πολλὴ μαχομένων καὶ παρῆν, ὥς φασιν, ἄγγελος παρὰ Παυσανίου τὰ γινόμενα φράζων, ὥρμησαν κατὰ τάχος βοηθεῖν. (6) Καὶ προχωροῦσιν αὐτοῖς διὰ τοῦ πεδίου πρὸς τὴν βοὴν ἐπεφέροντο τῶν Ἑλλήνων οἱ μηδίζοντες. (7) Ἀριστείδης δὲ πρῶτον μὲν, ὡς εἶδε, πολὺ προελθὼν ἐβόα μαρτυρόμενος Ἕλληνίους θεοὺς ἀπέχεσθαι μάχης καὶ μὴ σφίσιν ἐμποδὼν εἶναι μηδὲ κωλύειν b
ἐπαμύνοντας τοῖς προκινδυνεύουσιν ὑπὲρ τῆς Ἑλλάδος· ἐπεὶ δ' ἑώρα μὴ προσέχοντας αὐτῷ καὶ συντεταγμένους ἐπὶ τὴν μάχην, οὕτω τῆς ἐκεῖ βοηθείας ἀποτραπόμενος συνέβαλε τούτοις περὶ πεντακισμυρίους οὖσιν. (8) Ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς ἐνέδωκε καὶ ἀπεχώρησεν, ἅτε δὴ καὶ τῶν βαρβάρων ἀπηλλαγμένων, ἡ δὲ μάχη λέγεται μάλιστα κατὰ Θηβαίους γενέσθαι, προθυμότατα τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην, ἀλλ' ὀλιγαρχούμενον ἀγόντων.

XIX. Οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεστῶτος πρῶτοι μὲν ἐώσαντο τοὺς Πέρσας οἱ Λακεδαιμόνιοι· καὶ τὸν c
Μαρδόνιον ἀνὴρ Σπαρτιάτης ὄνομα Ἀρίμνηστος ἀποκτίννυσι λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε τὸ ἐν Ἀμφιάρεω μαντεῖον. (2) Ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δὲ ἕτερον εἰς Τροφωνίου ὁ Μαρδόνιος· καὶ τοῦτον μὲν ὁ προφήτης Καρικῇ γλώσσῃ προσεῖπεν, ὁ δὲ Λυδὸς ἐν τῷ σηκῷ τοῦ Ἀμφιάρεω κατευνασθεὶς ἔδοξεν ὑπηρέτην τινὰ τοῦ θεοῦ παραστῆναι καὶ κελεύειν αὐτὸν ἀπεῖναι, μὴ βουλομένου δὲ λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα τεθνάναι τὸν ἄνθρωπον. Καὶ ταῦτα μὲν οὕτω γενέσθαι λέγεται. (3) Τοὺς δὲ φεύγοντας εἰς τὰ ξύλινα τείχη καθεῖρξαν. Ὀλίγῳ δ' ὕστερον Ἀθηναῖοι τοὺς Θηβαί- d
ους τρέπονται τριακοσίους τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες ἐν αὐτῇ τῇ μάχῃ. (4) Γεγενημένης γὰρ τῆς τροπῆς ἦκεν αὐτοῖς ἄγγελος πολιορκεῖσθαι τὸ βαρβαρικὸν εἰς τὰ τείχη κατακεκλεισμένον. Οὕτω δὴ σώζεσθαι τοὺς Ἕλληνας ἐάσαντες ἐβοήθουν πρὸς τὰ τείχη· καὶ τοῖς Λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ ἀπείρως ἔχουσιν ἐπιφανέντες αἱροῦσι τὸ στρατόπεδον φόνῳ πολλῷ τῶν πολεμίων. (5) Λέγονται γὰρ ἀπὸ τριάκοντα μυριάδων τετρακισμύριοι φυγεῖν σὺν Ἀρταβάζῳ, τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἀγωνισαμένων ἔπεσον οἱ πάντες ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. (6) Τούτων Ἀθηναῖοι μὲν ἦσαν δύο e
καὶ πεντήκοντα, πάντες ἐκ τῆς Αἰαντίδος φυλῆς, ὥς φησι Κλείδημος, ἀγωνισαμένης ἄριστα· διὸ καὶ ταῖς Σφραγίτισι νύμφαις ἔθυον Αἰαντίδαι τὴν πυθόχρηστον

cadentes defensione. (4) Nam et nudis manibus hastas arripientes hostium plerasque frangebant, et cum stringerentur gladii, impigre copidibus et acinacibus utentes, clypeis avulsis manus conserebant et diu Spartanorum vim sustinebant. (5) Athenienses autem, cum hactenus quieti Spartanos præstolarentur, ut et magnum pugnantium clamorem exaudiverunt et nuntius, ut fertur, a Pausania missus rem exposuit, celeriter ad ferendum auxilium contenderunt. (6) His per campum ad pugnam vadentibus Græci, qui a parte Medorum erant, occurrunt. (7) Quos ut vidit Aristides, longe progressus, testatus Græcorum deos, alta voce monuit, abstinerent pugna, neque obstarent sibi pro Græciæ salute propugnantibus auxilium laturo. Sed cum frustra id esse eosque ad pugnam instructos sensit, ita demum auxilii Spartanis ferendi consilio abjecto, hos aggressus est; erant autem hominum ad quinquaginta millia. (8) Quorum plerique statim pedem retulerunt, cum barbaros quoque cessisse animadverterent: cum Thebanis præcipua et acrior pugna fuit, quorum principes ac potentissimi cum Medis faciebant, multitudinemque non volentem quidem, sed paucorum imperio subjectam trahebant.

XIX. Commisso ad hunc modum duplici prœlio, priores Lacedæmonii Persas pulerunt, et Mardonium Spartanus Arimnestus saxo caput ictum occidit, quod ei ab oraculo Amphiarai erat prædictum. (2) Nam eo Lydum, ad Trophonii Carem miserat: et hunc vates Carico sermone allocutus fuerat; Lydus autem cum in delubro Amphiarai obdormivisset, visus est sibi a famulo dei quodam assistente juberi abire, et cum nollet, lapidem sibi ab eo magnum in caput injectum, eoque se ictu exanimatum. Hæc ita facta narrantur. (3) Persas fugientes Spartani intra muros ligneos compulerunt. Paulo post Athenienses, Thebanorum trecentis, qui facile primi et illustrissimi erant, in ipso prœlio concisis, reliquos fundunt. (4) Inde cum his fugientibus renuntiatum esset barbarum intra muros conclusum haberi et oppugnari, Græcis salutem fuga quærendi permisso, ad muros properant: Lacedæmoniisque oppugnationem segniter admodum imperiteque facientibus supervenientes, multa cum hostium cæde castris potiuntur. (5) Nam de trecentis barbarorum millibus quadraginta modo millia cum Artabazo fugerunt; ex iis, qui pro Græcia dimicaverunt, mille trecenti et sexaginta ceciderunt. (6) Horum quinquaginta duo Athenienses fuerunt, omnes de Æantide tribu, ut ait Clidemus, cujus præ omnibus præclara fuit pugna. Itaque Sphragitidibus Nymphis sacram rem victoriæ causa oraculo Pythiæ jussam fecerunt Æantidæ tribules, sumptu ex ærario

θυσίαν ὑπὲρ τῆς νίκης ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες· Λακεδαιμόνιοι δ' ἑνὶ πλείους τῶν ἑνενήκοντα, Τεγεᾶται δ' ἑκκαίδεκα. (7) Θαυμαστὸν οὖν τὸ Ἡροδότου, πῶς μόνους τούτους φησὶν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ' ἄλλων Ἑλλήνων μηδένα. Καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα· (8) καὶ τὸν βωμὸν οὐκ ἂν ἐπέγραψαν οὕτως, εἰ μόναι τρεῖς πόλεις ἠγωνίσαντο, τῶν ἄλλων ἀτρέμα καθεζομένων·

Τόνδε ποθ' Ἕλληνες νίκας κράτει, ἔργῳ Ἄρηος,
[εὐτόλμῳ ψυχᾶς λήματι πειθόμενοι,]
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

(9) Ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι τοῦ Βοηδρομιῶνος ἱσταμένου κατ' Ἀθηναίους, κατὰ δὲ Βοιωτοὺς 331 τετράδι τοῦ Πανέμου φθίνοντος, ᾗ καὶ νῦν ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον καὶ θύουσι τῷ Ἐλευθερίῳ Διὶ Πλαταιεῖς ὑπὲρ τῆς νίκης. (10) Τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν οὐ θαυμαστέον, ὅπου καὶ νῦν διηκριβωμένων τῶν ἐν ἀστρολογίᾳ μᾶλλον ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν.

XX. Ἐκ τούτου τῶν Ἀθηναίων τὸ ἀριστεῖον οὐ παραδιδόντων τοῖς Σπαρτιάταις οὐδὲ τρόπαιον ἱστάναι συγχωρούντων ἐκείνοις, παρ' οὐδὲν ἂν ἦλθεν εὐθὺς ἀπολέσθαι τὰ πράγματα τῶν Ἑλλήνων ἐν τοῖς ὅπλοις διαστάντων, εἰ μὴ πολλὰ παρηγορῶν καὶ διδάσκων τοὺς συστρατήγους ὁ Ἀριστείδης, δὲ μάλιστα Λεωκράτην καὶ Μυρωνίδην, ἔσχε καὶ συνέπεισε τὴν κρίσιν ἐφεῖναι τοῖς Ἕλλησιν. (2) Ἐνταῦθα βουλευομένων τῶν Ἑλλήνων Θεογείτων μὲν ὁ Μεγαρεὺς εἶπεν, ὡς ἑτέρᾳ πόλει δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι πόλεμον ἐμφύλιον· ἐπὶ τούτῳ δ' ἀναστὰς Κλεόκριτος ὁ Κορίνθιος δόξαν μὲν παρέσχεν ὡς Κορινθίοις αἰτήσων τὸ ἀριστεῖον· ἦν γὰρ ἐν ἀξιώματι μεγίστῳ μετὰ τὴν Σπάρτην καὶ τὰς Ἀθήνας ἡ Κόρινθος· εἶπε δὲ πᾶσιν ἀρέσαντα θαυμαστὸν λόγον ὑπὲρ Πλαταιέων καὶ συνεβούλευσε τὴν φιλονεικίαν ἀνελεῖν ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας, οἷς οὐδετέρους τιμωμένοις ἄχθεσθαι. (3) Ῥηθέντων δὲ τούτων πρῶτος μὲν Ἀριστείδης συνεχώρησεν ὑπὲρ τῶν Ἀθηναίων, ἔπειτα Παυσανίας ὑπὲρ τῶν Λακεδαιμονίων. (4) Οὕτω δὲ διαλλαγέντες ἐξεῖλον ὀγδοήκοντα τάλαντα τοῖς Πλαταιεῦσιν, ἀφ' ὧν τὸ τῆς Ἀθηνᾶς ᾠκοδόμησαν ἱερὸν καὶ τὸ ἕδος ἔστησαν καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν, αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν, ἔστησαν δὲ τρόπαιον ἰδίᾳ μὲν Λακεδαιμόνιοι, χωρὶς δ' Ἀθηναῖοι. (5) Περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς ἀνεῖλεν ὁ Πύθιος Διὸς Ἐλευθερίου βωμὸν ἱδρύσασθαι, θῦσαι δὲ μὴ πρότερον ἢ τὸ κατὰ τὴν χώραν πῦρ ἀποσβέσαντας ὡς ὑπὸ τῶν βαρβάρων μεμιασμένον ἐναύσασθαι καθαρὸν ἐκ Δελφῶν ἀπὸ τῆς κοινῆς ἑστίας. (6) Οἱ μὲν οὖν ἄρχοντες τῶν Ἑλλήνων περιιόντες εὐθὺς ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα τοὺς χρωμένους, ἐκ δὲ Πλαταιέων Εὐχίδας ὑποσχόμενος ὡς ἐνδέχεται τάχιστα κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ ἦκεν εἰς

publico suppeditato. Lacedæmonii occubuerunt nonaginta unus, Tegeatæ sedecim. (7) Quare miror ab Herodoto scriptum, harum trium urbium cives tantum cum barbaris congressos, de reliquis Græcis neminem: cum et numerus eorum qui oppetierunt et monumenta communem fuisse eam Græcorum victoriam testentur. (8) Neque vero, si tres modo istæ urbes ceteris omnibus quiescentibus pugnassent, aram hoc, ut habetur, modo inscripsissent:

Hanc quondam Græci superatis hostibus aram,
[libertas patriæ cum sua tuta stetit,]
et profligatis servata est Græcia Persis,
munus Eleutherio constituere Jovi.

(9) Pugnatum quarta Boeodromionis die secundum Athenienses, secundum Bœotos vicesima septima Panemi: quam ad diem etiamnum Græcorum est Platæis concilium, Jovique sacrificant ob eam victoriam Platæenses, cui a libertate nomen est Eleutherio. (10) Neque mirari eam in diebus annotandis inæqualitatem debes: quando vel nunc, rebus astronomicis accuratius constitutis, alia tamen alisi mensium initia, alii sunt exitus.

XX. Porro cum neque victoriæ gloriam Athenienses Lacedæmoniis concederent, neque tropæum eos erigere paterentur, parum abfuit quin res Græciæ intestinis armis perderentur: idque accidisset, nisi Aristides collegas suos mulcendo instituendoque, Leocratem maxime et Myronidem, inhibuisset, utque Græcis dijudicandam rem relinquerent, obtinuisset. (2) Consultantibus Græcis, Theogito Megarensis alii urbi rei gestæ decus ac præmium tribuendum censuit, nisi vellent bellum intestinum turbare; post hunc consurgens Cleocritus Corinthius, cum id decus videretur Corinthiis vindicaturus (erat autem Corinthi secundum Spartam et Athenas summa dignitas), omnibus gratum et mirabilem de Platæensibus habuit sermonem: censuit enim contentionis tollendæ causa his præmium tribui debere, quos honorari neutri essent inique laturi. (3) Id primus Aristides nomine Atheniensium concessit: mox et pro Lacedæmoniis Pausanias. (4) Ita inita concordia Platæensibus de præda sunt exempta talenta octoginta, de quibus templum Minervæ ædificaverunt et simulacrum dedicarunt, picturisque ædem exornarunt, quæ in hunc usque diem vigent. Seorsum et Spartani, et Athenienses tropæum erexerunt. (5) Ceterum de sacrificio sciscitantibus respondit Pythius, ut Jovi Eleutherio aram statuerent: non prius autem sacris operarentur, quam igni ea in regione exstincto (quod is esset a barbaris contaminatus) purum Delphis a communi foco accendissent. (6) Ergo principes Græcorum statim circumiverunt, omnesque quibus ignis esset, eum exstinguere jusserunt: at Euchidas Platæensis, cum quam fieri posset citissime

Δελφούς. (7) Ἀγνίσας δὲ τὸ σῶμα καὶ περιῤῥανάμενος ἐστεφανώσατο δάφνῃ· καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ πῦρ ὁρόμῳ πάλιν εἰς τὰς Πλαταιὰς ἐχώρει καὶ πρὸ ἡλίου δυσμῶν ἐπανῆλθε τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους ἀνύσας. Ἀσπασάμενος δὲ τοὺς πολίτας καὶ τὸ πῦρ παραδοὺς εὐθὺς ἔπεσε καὶ μετὰ μικρὸν ἐξέπνευσεν. (8) Ἀράμενοι δ' αὐτὸν οἱ Πλαταιεῖς ἔθαψαν ἐν τῷ ἱερῷ τῆς Εὐκλείας Ἀρτέμιδος ἐπιγράψαντες τόδε τὸ τετράμετρον·

Εὐχίδας Πυθῶδε θρέξας ἦλθε τᾆδ' αὐθημερόν.

(9) Τὴν δ' Εὔκλειαν οἱ μὲν πολλοὶ καὶ καλοῦσι καὶ νομίζουσιν Ἄρτεμιν, ἔνιοι δέ φασιν Ἡρακλέους μὲν θυγατέρα καὶ Μυρτοῦς γενέσθαι τῆς Μενοιτίου θυγατρὸς, Πατρόκλου δ' ἀδελφῆς, τελευτήσασαν δὲ παρθένον ἔχειν παρά τε Βοιωτοῖς καὶ Λοκροῖς τιμάς. (10) Βωμὸς γὰρ αὐτῇ καὶ ἄγαλμα παρὰ πᾶσαν ἀγορὰν ἵδρυται καὶ προθύουσιν αἵ τε γαμούμεναι καὶ οἱ γαμοῦντες.

XXI. Ἐκ τούτου γενομένης ἐκκλησίας κοινῆς τῶν Ἑλλήνων ἔγραψεν Ἀριστείδης ψήφισμα συνιέναι μὲν εἰς Πλαταιὰς καθ' ἕκαστον ἐνιαυτὸν τοὺς ἀπὸ τῆς Ἑλλάδος προβούλους καὶ θεωροὺς, ἄγεσθαι δὲ πενταετηρικὸν ἀγῶνα τῶν Ἐλευθερίων, εἶναι δὲ σύνταξιν Ἑλληνικὴν μυρίας μὲν ἀσπίδας, χιλίους δὲ ἵππους, ναῦς δ' ἑκατὸν, ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον, Πλαταιεῖς δ' ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ θύοντας ὑπὲρ τῆς Ἑλλάδος. (2) Κυρωθέντων δὲ τούτων οἱ Πλαταιεῖς ὑπεδέξαντο τοῖς πεσοῦσι καὶ κειμένοις αὐτόθι τῶν Ἑλλήνων ἐναγίζειν καθ' ἕκαστον ἐνιαυτόν. (3) Καὶ τοῦτο μέχρι νῦν δρῶσι τοῦτον τὸν τρόπον· τοῦ Μαιμακτηριῶνος μηνὸς, ὃς ἐστι παρὰ τοῖς Βοιωτοῖς Ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα πέμπουσι πομπὴν, ἧς προηγεῖται μὲν ἅμ' ἡμέρᾳ σαλπιγκτὴς ἐγκελευόμενος τὸ πολεμικὸν, ἕπονται δ' ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων καὶ μέλας ταῦρος καὶ χοὰς οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν ἐλαίου τε καὶ μύρου κρωσσοὺς νεανίσκοι κομίζοντες ἐλεύθεροι· δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν διακονίαν ἐκείνην προσάψασθαι διὰ τὸ τοὺς ἄνδρας ἀποθανεῖν ὑπὲρ ἐλευθερίας· (4) ἐπὶ πᾶσι δὲ τῶν Πλαταιέων ὁ ἄρχων, ᾧ τὸν ἄλλον χρόνον οὔτε σιδήρου θιγεῖν ἔξεστιν οὔθ' ἑτέραν ἐσθῆτα πλὴν λευκῆς ἀναλαβεῖν, τότε χιτῶνα φοινικοῦν ἐνδεδυκὼς ἀράμενός τε ὑδρίαν ἀπὸ τοῦ γραμματοφυλακίου ξιφήρης ἐπὶ τοὺς τάφους προάγει διὰ μέσης τῆς πόλεως. (5) Εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς κρήνης αὐτὸς ἀπολούει τὰς στήλας καὶ μύρῳ χρίει, καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας καὶ κατευξάμενος Διὶ καὶ Ἑρμῇ χθονίῳ παρακαλεῖ τοὺς ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντας ἐπὶ τὸ δεῖπνον καὶ τὴν αἱμακουρίαν. (6) Ἔπειτα κρατῆρα κεράσας οἴνου καὶ χεάμενος ἐπιλέγει « Προπίνω τοῖς ἀνδράσι τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀποθανοῦσι. » Ταῦτα μὲν οὖν ἔτι καὶ νῦν διαφυλάττουσιν οἱ Πλαταιεῖς.

XXII. Ἐπεὶ δ' ἀναχωρήσαντες εἰς τὸ ἄστυ τοὺς Ἀθηναίους [ὁ Ἀριστείδης] ζητοῦντας ἑώρα τὴν δημοκρατίαν ἀπολαβεῖν, ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν

se ignem allaturum promisisset, Delphos accurrit. (7) Ibi lustrato aqua corpore, lauroque coronatus, ignem ab ara sumpsit, cursuque Platæas repetiit, eoque confectis una die mille stadiis, ante obitum solis rediit; salutatis vero civibus et igni tradito, statim concidit, pauloque post exspiravit. (8) Hunc Platæenses sublatum in Eucliæ Dianæ templo sepelierunt, inscripto hoc trochaico tetrametro :

Euchidas Delphos profectus rediit huc eodem die.

(9) Hanc Eucliam plerique et censent et nominant Dianam; alii Herculis et Myrtûs filiam, Myrto Menœtii filiam sororem Patrocli fuisse, virginem decessisse, eique et a Bœotis et a Locris honorem haberi. (10) Omnibus enim foris ara ejus est et simulacrum, et ante nuptias ei cum sponsæ tum sponsi sacrificant.

XXI. Post hæc omnibus in concionem Græcis convocatis, decretum Aristides fecit : ut quotannis Græcorum delecti ad spectaculum Platæas convenirent, ut Eleutheria quinquennale certamen haberetur, ut decem millia scutatorum, mille equitum, naves centum ad bellum contra barbaros Græcis perpetuo in promtu essent, ut Platæenses sacrosancti haberentur, quod ii pro Græcia sacrificarent. (2) Hoc decreto confirmato, Platæenses receperunt, se Græcis, qui ibi occubuissent et sepulti essent, singulis annis immolaturos. (3) Idque in hunc usque diem faciunt, eo modo : decima sexta Mæmacterionis mensis, qui Alalcomenius est Bœotis, summo mane pompam ducunt, cui præit tubicen classicum canens, sequentibus myrti et coronarum plenis plaustris ac nigro tauro et liberis adolescentibus (neque enim cuiquam servo fas est quicquam in eo ministerio attingere, quod illi pro libertate oppetiissent), qui vini et lactis libationes in amphoris, oleique et unguenti urnas gestarent. (4) Postremo Platæensium prætor, cui cetero tempore neque ferrum tangere, neque nisi albam vestem induere licet, punicea amictus tunica, sumptaque de archivo hydria, per mediam urbem tenens gladium ad sepulcra proficiscitur. (5) Tum hausta de fonte aqua, ipse columnas abluit unguentoque linit : inde tauro in rogum jugulato, votisque ad Jovem et Mercurium inferum factis, bonos viros pro Græcia mortuos ad cœnam et sanguineas inferias vocat. (6) Porro crateram vino impletam effundens, propinare se ait viris pro libertate Græciæ mortem passis. Hunc morem adhuc servant Platæenses.

XXII. Reversos in urbem Athenienses cum videret Aristides cupidos popularis in republica status restituendi, simul et dignum ob virtutem populum existimans, cujus ratio

ἀνδραγαθίαν ἐπιμελείας τὸν δῆμον, ἅμα δ' οὐκ ἔτι ῥᾴδιον ἰσχύοντα τοῖς ὅπλοις καὶ μέγα φρονοῦντα ταῖς νίκαις ἐκβιασθῆναι, γράφει ψήφισμα κοινὴν εἶναι τὴν πολιτείαν καὶ τοὺς ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι. (2) Θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος, ὡς ἔχει τι βούλευμα καὶ γνώμην ἀπόῤῥητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν Ἀριστείδην d μόνον ἀκοῦσαι καὶ συνδοκιμάσαι. (3) Φράσαντος δὲ τῷ Ἀριστείδῃ, ὡς διανοεῖται τὸν ναύσταθμον ἐμπρῆσαι τῶν Ἑλλήνων, οὕτω γὰρ ἔσεσθαι μεγίστους ἁπάντων καὶ κυρίους τοὺς Ἀθηναίους, παρελθὼν εἰς τὸν δῆμον ὁ Ἀριστείδης ἔφη τῆς πράξεως, ἣν Θεμιστοκλῆς πράττειν διανοεῖται, μήτε λυσιτελεστέραν ἄλλην μήτ' ἀδικωτέραν εἶναι. (4) Ταῦτ' ἀκούσαντες οἱ Ἀθηναῖοι παύσασθαι τὸν Θεμιστοκλέα προσέταξαν. Οὕτω μὲν οὖν ὁ δῆμος ἦν φιλοδίκαιος, οὕτω δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.

XXIII. Ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ Κίμωνος ἐπὶ τὸν πόλεμον ἐώρα τόν τε Παυσανίαν καὶ τοὺς e ἄλλους ἄρχοντας τῶν Σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς συμμάχοις ὄντας, αὐτός τε πρᾴως καὶ φιλανθρώπως ὁμιλῶν καὶ τὸν Κίμωνα παρέχων εὐάρμοστον αὐτοῖς καὶ κοινὸν ἐν ταῖς στρατείαις, ἔλαθε τῶν Λακεδαιμονίων οὐχ ὅπλοις οὐδὲ ναυσὶν οὐδ' ἵπποις, εὐγνωμοσύνῃ δὲ καὶ πολιτείᾳ τὴν ἡγεμονίαν παρελόμενος. (2) Προσφιλεῖς γὰρ ὄντας τοὺς Ἀθηναίους τοῖς Ἕλλησι διὰ τὴν Ἀριστείδου δικαιοσύνην καὶ τὴν Κίμωνος ἐπιείκειαν ἔτι μᾶλλον ἡ Παυσανίου πλεονεξία καὶ βαρύτης ποθεινοὺς ἐποίει. (3) Τοῖς τε γὰρ ἄρχουσι τῶν συμμάχων ἀεὶ μετ' ὀργῆς ἐνετύγχανε καὶ τραχέως, τούς τε f πολλοὺς ἐκόλαζε πληγαῖς ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς ἠνάγκαζεν ἑστάναι δι' ὅλης τῆς ἡμέρας· στιβάδα δ' οὐκ ἦν λαβεῖν οὐδὲ χόρτον οὐδὲ κρήνῃ προσελθεῖν ὑδρευσόμενον οὐδένα πρὸ τῶν Σπαρτιατῶν, ἀλλὰ μάστιγας ἔχοντες ὑπηρέται τοὺς προσιόντας ἀπῄλαυνον. (4) Ὑπὲρ ὧν τοῦ Ἀριστείδου ποτ' ἐγκαλέσαι καὶ διδάξαι βουλομένου συναγαγὼν τὸ πρόσωπον ὁ Παυσανίας οὐκ 333 ἔφη σχολάζειν οὐδ' ἤκουσεν. (5) Ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν Ἑλλήνων, μάλιστα a δὲ Χῖοι καὶ Σάμιοι καὶ Λέσβιοι, τὸν Ἀριστείδην ἐπείθον ἀναδέξασθαι τὴν ἡγεμονίαν καὶ προσαγαγέσθαι τοὺς συμμάχους πάλαι δεομένους ἀπαλλαγῆναι τῶν Σπαρτιατῶν καὶ μετατάξασθαι πρὸς τοὺς Ἀθηναίους. (6) Ἀποκριναμένου δ' ἐκείνου τοῖς μὲν λόγοις αὐτῶν τό τε ἀναγκαῖον ἐνορᾶν καὶ τὸ δίκαιον, ἔργου δὲ δεῖσθαι τὴν πίστιν, ἃ πραχθὲν οὐκ ἐάσει πάλιν μεταβαλέσθαι τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν Σάμιον Οὐλιάδην καὶ τὸν Χῖον Ἀνταγόραν συνομοσάμενοι περὶ Βυζάντιον ἐμβάλλουσιν εἰς τὴν τριήρη τοῦ Παυσανίου προεκπλέουσαν ἐν μέσῳ λαβόντες. (7) Ὡς δὲ κατιδὼν ἐκεῖνος b ἐξανέστη καὶ μετ' ὀργῆς ἠπείλησεν ὀλίγῳ χρόνῳ τοὺς ἄνδρας ἐπιδείξειν οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας πατρίδας, ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾶν τὴν συναγωνισαμένην τύχην ἐν Πλα-

haberetur, et animadvertens armis jam valentibus et ob victorias partas altos ducentibus spiritus vi resisti non posse : decretum fecit, quo administrationem reipublicæ omnibus communem magistratusque ex omnibus creari Atheniensibus scivit. (2) Themistocles cum apud populum dixisset, consilium se arcanum, civitati utile atque salutare animo agitare, jussus est id soli Aristidi detegere, ejusque judicium adhibere. (3) Ostendit Aristidi cogitare se de navalibus Græcorum incendendis : ita summam in omnes potentiam Atheniensibus fore. Aristides ad populum progressus, neque utilius quicquam, neque injustius Themistoclis quod agitaret consilio esse pronuntiavit. (4) Quod cum audivissent Athenienses, jussus est id deponere Themistocles. Tantum eo tempore justitiæ studium populo, tanta tamque constans Aristidi in populum fides erat.

XXIII. Deinde belli dux una cum Cimone missus, cum Pausaniam et reliquos Spartanorum duces molestos sociis et difficiles esse animadverteret, ipse humaniter et placide conversando, Cimonemque in obeundis imperiis facilem eis et popularem reddendo, occulte Lacedæmoniis principatum non armis, non navibus, non equis, sed æquitate et prudentia civili abstulit. (2) Athenienses enim jam ante propter Aristidis justitiam et Cimonis æquitatem caros Græcis, desiderabiliores etiam Pausaniæ avaritia et importunitas fecit : (3) qui cum principibus sociorum iracunde semper et aspere loquebatur, multitudinem verberibus mulcabat, aut ferrea imposita multos ancora stare per totum diem cogebat; neque vero stramen, herbam, aut a fonte aquam petere ante Lacedæmonios cuiquam licebat, sed famuli flagellis arcebant, si quis accessisset. (4) De his cum aliquando incusare et monere eum Aristides vellet, contracto vultu Pausanias sibi non vacare respondit, neque audivit. (5) Exinde classium præfecti et duces Græcorum, Chii maxime et Samii et Lesbii, Aristidi persuaserunt, ut in se principatum reciperet confœderatosque Græcos sibi assumeret, qui jamdudum a Spartanis ad Athenienses transire cuperent. (6) Respondit, se videre necessarium esse quod petant et justum; fidem tamen fieri aliquo facinore oportere, quod a mutatione animorum in posterum multitudinem retraheret; itaque Uliades Samius et Antagoras Chius facta conspiratione in triremem Pausaniæ apud Byzantium ante alias provectam impetum ab utraque parte fecerunt. (7) Is ut surrexit eosque vidit, iracunde minatus est ostensurum se eis, non in navim Pausaniæ, sed ipsorum in patrias hunc impetum versurum; illi abire hominem jusserunt, ac fortunæ, quæ

ταιαῖς· ἐκείνην γὰρ ἔτι τοὺς Ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην παρ' αὐτοῦ· τέλος δ' ἀποστάντες ᾤχοντο πρὸς τοὺς Ἀθηναίους. (8) Ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς Σπάρτης διεφάνη θαυμαστόν. Ὡς γὰρ ἤσθοντο διὰ τὰ μεγέθη τῆς ἐξουσίας διαφθειρομένους αὐτῶν τοὺς ἄρχοντας, ἀφῆκαν ἑκουσίως τὴν ἡγεμονίαν καὶ πέμποντες ἐπὶ τὸν πόλεμον ἐπαύσαντο τοὺς στρατηγοὺς μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας ἢ τῆς Ἑλλάδος ἔχειν τὴν ἀρχὴν ἁπάσης.

XXIV. Οἱ δ' Ἕλληνες ἐτέλουν μέν τινα καὶ Λακεδαιμονίων ἡγουμένων ἀποφορὰν εἰς τὸν πόλεμον, ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον, ἠτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην καὶ προσέταξαν αὐτῷ χώραν τε καὶ προσόδους ἐπισκεψάμενον ὁρίσαι τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ δύναμιν. (2) Ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος γενόμενος καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων ποιησάμενος. (3) Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες ὕμνουν, καὶ μάλιστα μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος, εἶτ' αὖθις τριπλασιασθέντος. (4) Ὃν μὲν γὰρ Ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον· τούτῳ Περικλῆς μὲν ἐπέθηκεν ὀλίγου δεῖν τὸ τρίτον μέρος· ἑξακόσια γὰρ τάλαντα Θουκυδίδης φησὶν ἀρχομένου τοῦ πολέμου προσιέναι τοῖς Ἀθηναίοις ἀπὸ τῶν συμμάχων. (5) Περικλέους δ' ἀποθανόντος ἐπιτείνοντες οἱ δημαγωγοὶ κατὰ μικρὸν εἰς χιλίων καὶ τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον, οὐχ οὕτω τοῦ πολέμου διὰ μῆκος καὶ τύχας δαπανηροῦ γενομένου καὶ πολυτελοῦς, ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ καὶ κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες. (6) Μέγα δ' οὖν ὄνομα τοῦ Ἀριστείδου καὶ θαυμαστὸν ἔχοντος ἐπὶ τῇ διατάξει τῶν φόρων ὁ Θεμιστοκλῆς λέγεται καταγελᾶν, ὡς οὐκ ἀνδρὸς ὄντα τὸν ἔπαινον, ἀλλὰ θυλάκου χρυσοφύλακος, ἀνομοίως ἀμυνόμενος τὴν Ἀριστείδου παῤῥησίαν. (7) Ἐκεῖνος γάρ, εἰπόντος ποτὲ τοῦ Θεμιστοκλέους ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ τὸ γινώσκειν καὶ προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων, « Τοῦτο μέν, εἰπεῖν, ἀναγκαῖόν ἐστιν, ὦ Θεμιστόκλεις, καλὸν δὲ καὶ στρατηγικὸν ἀληθῶς ἡ περὶ τὰς χεῖρας ἐγκράτεια. »

XXV. Ὁ δ' Ἀριστείδης ὥρκισε μὲν τοὺς Ἕλληνας καὶ ὤμοσεν ὑπὲρ τῶν Ἀθηναίων μύδρους ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς εἰς τὴν θάλατταν, ὕστερον δὲ, τῶν πραγμάτων ἄρχειν ἐγκρατέστερον, ὡς ἔοικεν, ἐκβιαζομένων ἐκέλευε τοὺς Ἀθηναίους τὴν ἐπιορκίαν τρέψαντας εἰς αὐτὸν ἥ συμφέρει χρῆσθαι τοῖς πράγμασι. (2) Καθ' ὅλου δ' ὁ Θεόφραστος φησὶ τὸν ἄνδρα τοῦτον περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον ἐν τοῖς κοι-

ei Plataico adfuisset certamine, gratiam habere; hujus enim verecundia Græcos teneri, ne dignam ipsi factis pœnam irrogarent. Denique ab eo ad Athenienses defecerunt. (8) Admirationem meretur Lacedæmoniorum magnanimitas, quæ tunc apparuit. Ut enim magnitudine potentiæ corruptos suos magistratus senserunt, ultro principatu cesserunt, ducesque ad bellum mittere desierunt, quod temperantes et morum patriorum observantes habere cives, quam principes esse totius Græciæ mallent.

XXIV. At Græci, qui sub imperio etiam Lacedæmoniorum tributum ad sumptus belli pependerant, tum cupientes singulis urbibus quantum par esset imponi, Aristidem ab Atheniensibus petierunt, qui agros et reditus inspiceret, ac proinde unicuique urbi pro ejus facultatibus pensionem indiceret. (2) Aristides tantum nactus potentiæ, ac quodammodo universa Græcia omnes suas ei res committente, pauper cum abiisset domo, pauperior rediit, non candide modo et juste, sed et amice omnibus et convenienter pecuniæ collatione statuta. (3) Nam ut prisci Saturnium sæculum, sic Atheniensium socii tributum ab Aristide impositum, felicitatem quandam Græciæ nominando celebrabant, maxime cum id multo post tempore duplum atque inde triplum exigeretur. (4) Aristidis summa erat talentorum circiter quadringentorum sexaginta; huic fere trientem Pericles addidit; siquidem Thucydides ait, Atheniensibus initio belli a sociis talenta rediisse sexcenta. (5) Mortuo Pericle, summa ab iis, qui populum concionibus regebant, ad mille et trecenta talenta est adducta, non tam bello ob durationem et varios casus tantos sumptus postulante, quam populo ab iis ad divisiones pecuniarum, theorica et simulacrorum ac templorum exstructiones exigendas illecto. (6) Fertur Themistocles Aristidem, cujus magnum nomen et mirabilis in tributo constituendo fama erat, subsannasse, non viri eam laudem dicens, sed sacci esse aurum custodientis: nequicquam liberam Aristidis notationem rependens. (7) Etenim hic dicenti aliquando Themistocli, summam se ducis eam virtutem censere, ut is cognita atque prævisa hostium habeat consilia: necessarium quidem hoc esse responderat, vere autem pulchrum et duce dignum, ut continentes habeat manus.

XXV. Græcos Aristides ut in res Atheniensium jurarent adegit, et ipse vicissim jurejurando pro Atheniensibus se obstrinxit, projectis inter jurandum in mare candentibus ferreis massis; post cum res id postulare viderentur, ut majori uterentur imperio, jussit illos in se ipsum verso perjurii piaculo, rebus ita ut expediret uti. (2) Omnino autem Theophrastus eum ait justitiam in suis rebus et adversus cives stricte observasse, in rebus autem publicis multa

νοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος, ὡς συχνῆς ἀδικίας δεομένης. (3) Καὶ γὰρ τὰ χρήματά φησιν ἐκ Δήλου βουλευομένων Ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας, Σαμίων εἰσηγουμένων εἰπεῖν ἐκεῖνον, ὡς οὐ δίκαιον μέν, συμφέρον δὲ τοῦτ' ἐστί. (4) Καὶ τέλος εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν πόλιν αὐτὸς ἐνέμεινε τῇ πενίᾳ καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. Δῆλον δ' ἐκεῖθεν. (5) Καλλίας ὁ δαδοῦχος ἦν αὐτῷ γένει προσήκων· τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες, ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν, εἶπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς· (6) « Ἀριστείδην, ἔφησαν, ἴστε τὸν Λυσιμάχου θαυμαζόμενον ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προσερχόμενον εἰς τὸ δημόσιον; Ἆρ' οὐκ εἰκός ἐστι τὸν ῥιγοῦντα φανερῶς καὶ πεινᾶν οἴκοι καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; (7) Τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν ὄντα, πλουσιώτατος ὢν Ἀθηναίων περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον πολλὰ κεχρημένος τῷ ἀνδρὶ καὶ πολλάκις αὐτοῦ τῆς παρ' ὑμῖν δυνάμεως ἀπολελαυκώς. » (8) Ὁ δὲ Καλλίας ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας ἐκάλει τὸν Ἀριστείδην ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστάς, ὅτι πολλάκις αὐτοῦ πολλὰ καὶ διδόντος καὶ δεομένου λαβεῖν οὐκ ἠθέλησεν, ἀποκρινόμενος ὡς μᾶλλον αὐτῷ διὰ πενίαν μέγα φρονεῖν ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει· πλούτῳ μὲν γὰρ ἔστι πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν δὲ φέροντι γενναίως οὐ ῥᾴδιον ἐντυχεῖν· αἰσχύνεσθαι δὲ πενίαν τοὺς ἀκουσίως πενομένους. (9) Ταῦτα δὲ τοῦ Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῆει πένης μᾶλλον ὡς Ἀριστείδης εἶναι βουλόμενος ἢ πλουτεῖν ὡς Καλλίας. Ταῦτα μὲν Αἰσχίνης ὁ Σωκρατικὸς ἀναγέγραφε. (10) Πλάτων δὲ τῶν μεγάλων δοκούντων καὶ ὀνομαστῶν Ἀθήνησι μόνον ἄξιον λόγου τοῦτον ἀποφαίνει τὸν ἄνδρα· Θεμιστοκλέα μὲν γὰρ καὶ Κίμωνα καὶ Περικλέα στοῶν καὶ χρημάτων καὶ φλυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν, Ἀριστείδην δὲ πολιτεύσασθαι πρὸς ἀρετήν. (11) Μεγάλα δ' αὐτοῦ καὶ τὰ πρὸς Θεμιστοκλέα τῆς ἐπιεικείας σημεῖα. Χρησάμενος γὰρ αὐτῷ παρὰ πᾶσαν τὴν πολιτείαν ἐχθρῷ καὶ δι' ἐκεῖνον ἐξοστρακισθείς, ἐπεὶ τὴν αὐτὴν λαβὴν παρέσχεν ὁ ἀνὴρ ἐν αἰτίᾳ γενόμενος πρὸς τὴν πόλιν, οὐκ ἐμνησικάκησεν, ἀλλ' Ἀλκμαίωνος καὶ Κίμωνος καὶ πολλῶν ἄλλων ἐλαυνόντων καὶ κατηγορούντων μόνος Ἀριστείδης οὔτ' ἔπραξέ τι οὔτ' εἶπε φαῦλον, οὐδ' ἀπέλαυσεν ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ' εὐημεροῦντι πρότερον ἐφθόνησε.

XXVI. Τελευτῆσαι δ' Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ φασὶν ἐκπλεύσαντα πράξεων ἕνεκα δημοσίων, οἱ δ' Ἀθήνησι γήρᾳ τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. (2) Κράτερος δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. Μετὰ γὰρ τὴν

egisse, ut patriæ commodis inserviret, quasi multa illa injuste facta flagitarent. (3) Nam et præter fœdus pecuniam cum statuisset Athenas Delphis deportare, Samiis ea de re referentibus, injustum quidem esse hoc, verumtamen utile dixit. (4) Denique cum effecisset, ut Athenæ tantum hominum multitudini imperarent, ipse pauper permansit : ita quidem, ut perpetuo non minoris paupertatis quam tropæorum gloriam faceret : quod vel hinc manifestum est. (5) Callias facifer generis propinquitate Aristidem attingebat. Hunc cum rei capitalis postulassent et satis de iis, quorum eum reum fecerant, criminibus accussassent inimici, alienum a causa sermonem hujusmodi ad judices habuerunt : (6) Aristidem Lysimachi filium nostis, qui apud Græcos est in admiratione. Quomodo rem ejus familiarem existimatis habere, cum tali amictum lacerna in publicum prodire videatis? nonne simile veri est, qui in propatulo alget, eum domi quoque esurire, aliisque rebus necessariis egere? (7) Atqui hunc Callias, Atheniensium ditissimus, consobrinum suum cum uxore et liberis inopem negligit, sæpe ejus usus opera, ac sæpe potentiæ ejus apud vos fructum expertus. (8) Ibi Callias, cum videret id maxime contnrbasse judices et indignationem contra se movisse, Aristidem vocavit, petiitque ut apud judices profiteretur, sæpe a Callia sibi multa oblata, oratum etiam ut acciperet, se repudiasse, addito sibi potius ob paupertatem quam Calliæ ob divitias animum tollendum : nam multos esse, qui divitiis male aut bene uterentur; qui paupertatem fortiter ferant, non temere inveniri : eam vero ab iis dedecus putari, qui inviti pauperes sint. (9) De his cum secundum Calliam testimonium dixisset Aristides, nemo auditorum non ita discessit, ut Aristidis paupertatem, quam Calliæ divitias, sibi obtingere mallet. Hæc ita ab Æschine Socratico sunt literis mandata. (10) Plato quidem inter tam multos, qui magni viri et memorabiles Athenis habebantur, solum Aristidem dignum mentione pronuntiat, quippe Themistoclem, Cimonem ac Periclem porticibus, pecunia et multis frivolis rebus Athenas implevisse, istum in republica tractanda unam virtutem sibi propositam habuisse sentiens. (11) Magna vero bonitatis signa Aristides etiam erga Themistoclem exhibuit. Quem enim in republica perpetuum habuerat inimicum, cujusque opera ostracismum passus erat : ejus eadem in causa apud populum laborantis ansamque sui premendi præbentis omnium injuriarum oblitus est, cumque Alcmæo, Cimon et multi alii Themistoclem urgerent et accusarent, solus ipse neque egit quicquam contra eum, neque dixit ; neque calamitate inimici fruendum magis sibi censuit, quam ante rebus utenti prosperis invidisset.

XXVI. Mortuum Aristidem alii in Ponto perhibent, cum eo negotiorum publicorum causa navigasset; alii Athenis exacta ætate, et in honore admirationeque civium habitum. (2) Craterus Macedo de obitu ejus hæc tradidit. Post mul-

Θεμιστοκλέους φυγήν φησιν ὥσπερ ἐξυβρίσαντα τὸν δῆμον ἀναφῦσαι πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρομένων ὑπ' εὐτυχίας καὶ δυνάμεως. (3) Ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας, Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς φόρους ἔπραττε, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος, ἐκτῖσαι δ' οὐκ ἔχοντα τὴν καταδίκην πεντήκοντα μνῶν οὖσαν ἐκπλεῦσαι καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. (4) Τούτων οὐδὲν ἔγγραφον ὁ Κράτερος τεκμήριον παρέσχεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. (5) Οἱ δ' ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν, ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξίασι, τὴν μὲν Θεμιστοκλέους φυγὴν καὶ τὰ Μιλτιάδου δεσμὰ καὶ τὴν Περικλέους ζημίαν καὶ τὸν Πάχητος ἐν τῷ δικαστηρίῳ θάνατον ἀνελόντος αὐτὸν ἐπὶ τοῦ βήματος, ὡς ἡλίσκετο, καὶ πολλὰ τοιαῦτα συνάγουσι καὶ θρυλοῦσιν, Ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι.

XXVII. Καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ δεικνύμενος, ὃν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ μηδ' ἐνταῦθα καταλιπόντι. (2) Καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι, δημοσίᾳ τῆς πόλεως τὸν γάμον ἐγγυώσης καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέρᾳ ψηφισαμένης, Αυσιμάχῳ δὲ τῷ υἱῷ μνᾶς μὲν ἑκατὸν ἀργυρίου καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, Ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. (3) Ἔτι δὲ Αυσιμάχου θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί, καὶ ταύτῃ σίτησιν ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις ὁ δῆμος ἐψηφίσατο. (4) Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον) ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. (5) Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν. (6) Ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πέννητα Αυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεχόμενον καθεζόμενος ἐβόσκε. (7) Τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας δωρεὰν ἔπεισε τὸν δῆμον διδόναι τριώβολον ἑκάστης ἡμέρας. Αὐτὸς μέντοι ὁ Δημήτριος νομοθετῶν ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν. (8) Καὶ οὐδέν ἐστι θαυμαστὸν οὕτω φροντίσαι τῶν ἐν ἄστει τὸν δῆμον, ὅπου θυγατριδῆν Ἀριστογείτονος ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν ἀνδρὸς ἀποροῦσαν διὰ πενίαν κατήγαγον Ἀθήναζε καὶ συνοικίσαντες ἀνδρὶ τῶν εὖ γεγονότων τὸ Ποταμοῦ χωρίον εἰς

ctaum exsulio Themistoclem, libidine elatum populum calumniatorum excitasse turbam, qui potentissimos et optimos viros reos facerent, eosque multitudinis rebus secundis et potentia superbientis invidiæ vexandos objicerent. (3) Inter hos Aristidem quoque Diophanto Amphitropensi accusante, quasi in pensione exigenda ab Ionibus pecunia se esset passus corrumpi, damnatum fuisse minis quinquaginta : quibus cum non esset solvendo, navigasse et in Ionia fato concessisse. (4) De his Craterus neque scriptum aliquod documentum, neque judicium, neque decretum affert, solitus alioquin haud indiligenter ea apponere, citatis etiam auctoribus. (5) At reliqui fere omnes, quotquot populi in duces peccata literis mandarunt, ii exsulium Themistoclis, Miltiadis vincula, mulctam Periclis, Pachetis (qui in curia ut damnatus est, ante tribunal manus sibi attulit) mortem, multaque id generis alia colligunt et celebrant : Aristidis vero exsulium quidem referunt, sed relato, hujusmodi condemnationis nullius usquam meminerunt.

XXVII. Quin et sepulcrum ejus in Phalero ostenditur, quod ei a civitate fertur factum, cum ne ad sepulturam quidem sumptus moriens reliquisset. (2) Hoc quoque narrant, filias ejus e Prytaneo sponsis traditas, publice nuptias civitate paciscente, dotisque nomine utrique tria drachmarum millia decernente, Lysimacho etiam filio ejus minas argenti centum, totidemque telluris consitæ jugera populus dedit, et quaternas in singulos dies drachmas, lata in hanc rem ab Alcibiade rogatione. (3) Polycritæ etiam, a Lysimacho relictæ filiæ, Callisthenes refert alimenta, perinde ut iis qui Olympia vicissent, populum decrevisse. (4) Demetrius Phalereus, Hieronymus Rhodius, Aristoxenus musicus, et Aristoteles (siquidem liber de Ingenuitate inter ejus genuinos libros haberi debet) narrant, Myrtonem filia Aristidis natam, Socratis sapientis uxorem fuisse, qui cum aliam haberet in matrimonio, viduam eam et egenam susceperit. (5) Contra hos satis est a Panætio dictum in iis, quæ de Socrate scripsit. (6) Demetrius idem in Socrate meminisse se ait Lysimachi, filia Aristidis nati admodum pauperis, qui tabella quadam insomniorum significationes continente fretus, ad Iaccheum sedens sese aluerit. (7) Ipse Demetrius rogationem tulit, ut matri ejus et materteræ doni nomine populus in singulos dies tres obolos daret : idemque tamen leges ferens decrevit, ut harum feminarum utrique drachma quotidie penderetur. (8) Neque mirum est, eam horum qui in urbe essent curam fuisse populo : quando filiam filiæ Aristogitonis in Lemno abjecte vivere carentem marito ob pauperiem audientes, Athenas traduxerunt, honestoque natum loco ei maritum dantes, dotis nomine agrum, qui

φερνὴν ἐπέδωκαν. (9) Ἧς φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται δικαίως.

est in Potamo, addiderunt. (9) Cujus benignitatis humanitatisque cum nostro etiam tempore civitas ea multa proferat exempla, merito in admiratione est atque suspicitur.

ΜΑΡΚΟΣ ΚΑΤΩΝ.

336 Μάρκῳ δὲ Κάτωνί φασιν ἀπὸ Τούσκλου τὸ γένος εἶναι, δίαιταν δὲ καὶ βίον ἔχειν πρὸ τῶν στρατειῶν καὶ τῆς πολιτείας ἐν χωρίοις πατρῴοις περὶ Σαβίνους. (2) Τῶν δὲ προγόνων παντάπασιν ἀγνώστων γεγονέναι b δοκούντων αὐτὸς ὁ Κάτων καὶ τὸν πατέρα Μάρκον ὡς ἀγαθὸν ἄνδρα καὶ στρατιωτικὸν ἐπαινεῖ καὶ Κάτωνα τὸν πρόπαππον ἀριστείων πολλάκις τυχεῖν φησιν καὶ πέντε πολεμιστὰς ἵππους ἐν μάχαις ἀποβαλόντα τὴν τιμὴν ἀπολαβεῖν ἐκ τοῦ δήμου δι' ἀνδραγαθίαν. (3) Εἰωθότων δὲ τῶν Ῥωμαίων τοὺς ἀπὸ γένους δόξαν οὐκ ἔχοντας, ἀρχομένους δὲ γνωρίζεσθαι δι' αὐτῶν καινοὺς προσαγορεύειν ἀνθρώπους, ὥσπερ καὶ τὸν Κάτωνα προσηγόρευον, αὐτὸς ἔλεγε καινὸς εἶναι πρὸς ἀρχὴν καὶ δόξαν, ἔργοις δὲ προγόνων καὶ ἀρεταῖς παμπάλαιος. (4) Ἐκαλεῖτο δὲ τῷ τρίτῳ τῶν ὀνομάτων c πρότερον οὐ Κάτων, ἀλλὰ Πρίσκος, ὕστερον δὲ τὸν Κάτωνα τῆς δυνάμεως ἐπώνυμον ἔσχε· Ῥωμαῖοι γὰρ τὸν ἔμπειρον κάτον ὀνομάζουσιν. (5) Ἦν δὲ τὸ μὲν εἶδος ὑπόπυῤῥος καὶ γλαυκὸς, ὡς ὁ ποιήσας τὸ ἐπιγραμμάτιον οὐκ εὐμενῶς παρεμφαίνει·

Πυῤῥὸν, πανδακέτην, γλαυκόμματον, οὐδὲ θανόντα
Πόρκιον εἰς ἀΐδην Φερσεφόνη δέχεται.

(6) Τὴν δὲ τοῦ σώματος ἕξιν αὐτουργίᾳ καὶ διαίτῃ σώφρονι καὶ στρατείαις ἀπ' ἀρχῆς συντρόφου γεγονότος πάνυ χρηστικὴν εἶχε καὶ πρὸς ἰσχὺν καὶ πρὸς ὑγείαν δμαλῶς συνεστῶσαν. (7) Τὸν δὲ λόγον, ὥσπερ δεύτερον d σῶμα καὶ τῶν καλῶν οὐ μόνον ἀναγκαῖον ὄργανον ἀνδρὶ μὴ ταπεινῶς βιωσομένῳ μηδ' ἀπράκτως, ἐξῃρτύετο καὶ παρεσκεύαζεν ἐν ταῖς περιοικίσι κώμαις καὶ τοῖς πολιτνίοις ἑκάστοτε συνδικῶν τοῖς δεομένοις, πρῶτον μὲν ἀγωνιστὴς εἶναι δοκῶν πρόθυμος, εἶτα καὶ ῥήτωρ ἱκανός. (8) Ἐκ δὲ τούτου μᾶλλον τοῖς χρωμένοις κατεφαίνετο βάρος τι καὶ φρόνημα περὶ αὐτὸν ἦθους πραγμάτων μεγάλων καὶ πολιτείας δεόμενον ἡγεμονικῆς. (9) Οὐ γὰρ μόνον, ὡς ἔοικε, μισθαρνίας καθαρὸν ἑαυτὸν ἐπὶ τὰς δίκας καὶ τοὺς ἀγῶνας παρεῖχεν, ἀλλ' οὐδὲ τὴν δόξαν ὡς μέγιστον ἀγαπῶν ἐφαίνετο τὴν ἀπὸ τῶν τοιούτων ἀγώνων, πολὺ δὲ μᾶλλον e ἐν ταῖς μάχαις ταῖς πρὸς τοὺς πολεμίους καὶ ταῖς στρατείαις βουλόμενος εὐδοκιμεῖν ἔτι μειράκιον ὢν τραυμάτων τὸ σῶμα μεστὸν ἐναντίων εἶχε. (10) Φησὶ γὰρ αὐτὸς ἑπτακαίδεκα γεγονὼς ἔτη τὴν πρώτην στρατεύσασθαι στρατείαν περὶ ὃν Ἀννίβας χρόνον εὐτυχῶν ἐπέφλεγε τὴν Ἰταλίαν. (11) Παρεῖχε δ' αὐτὸν ἐν ταῖς μάχαις τῇ μὲν χειρὶ πλήκτην, τῷ δὲ ποδὶ μόνιμον καὶ βέβαιον, γαῦρον δὲ τῷ προσώπῳ· λόγου δ'

CATO MAJOR.

Marcum Tusculi natum et antequam militiam aut rempublicam attingeret, vixisse in prædiis paternis apud Sabinos tradunt. (2) Etsi vero majores ejus plane obscuri viderentur, ipse tamen Marcum patrem suum, ut bonum et re militari clarum virum, laudat : proavumque suum Catonem sæpe virtutis præmia meruisse, ac pro quinque equis bellatoribus, quos in prœliis amisisset, pretium a populo accepisse dicit. (3) Et quia Romani eos, qui obscuris orti majoribus per se ipsos innotescere cœpissent, novos homines vocare solebant : se novum esse quod ad magistratus et gloriam consequendam attineret, præclaris autem avorum factis et virtutibus antiquissimum asserebat. (4) Cognomen ei ab initio non Cato, sed Priscus fuit : Cato postea temporis ob peritiam rerum est appellatus : nam catum dicunt Romani sollertem. (5) Facie fuit subrufa, et cæsia, quod epigrammate quidam satis acerbe de eo notavit :

Mortem obiit rufus, mordax et cæsius iste
Porcius, ast sedem Persephone ipsa negat.

(6) Habitum corporis et ad robur et ad sanitatem probe constitutum opere faciendo, victu frugali laboribusque militaribus, in quibus erat enutritus, effecerat. (7) Vim dicendi autem, tanquam alterum ac rerum honestarum tantum non necessarium instrumentum ei qui non obscuro loco aut per otium vitam exigere statuisset, assiduo reos in pagis et oppidis vicinis defendendo sibi paravit : qua in re primum certamina alacriter subire, deinde causas bene orare judicatus est. (8) Postremo suam operam requirentibus eam morum gravitatem animique magnitudinem ostendit, quæ ad magna negotia principisque in republica munus obeundum apta esset. (9) Nam non modo ad dicendas causas integer nullisque acceptis præmiis accedebat, sed ne gloriam quidem ut rem maximi momenti sibi ex his certaminibus quærere videbatur; multo magis gloriæ ex pugnis adversus hostes et militia partæ cupidus erat, ita ut juvenis adhuc adversis vulneribus plenum corpus habuerit. (10) Prima stipendia, ut ipse dicit, annos natus septemdecim meruit : quo tempore Hannibal, successu rerum secundo usus Italiam incendiis vastabat. (11) In pugna manu promptus, pede stabili et firmo, vultu ferox, verborum minis et asperitate adversum hostes uti solebat : recte et cogitans hoc et

ἀπειλῇ καὶ τραχύτητι φωνῆς πρὸς τοὺς πολεμίους ἐχρῆτο, ὀρθῶς καὶ διανοούμενος καὶ διδάσκων, ὅτι πολλάκις τὰ τοιαῦτα τοῦ ξίφους μᾶλλον καταπλήττεται τοὺς ἐναντίους. (12) Ἐν δὲ ταῖς πορείαις αὐτὸς ἐβάδιζε φέρων τὰ ὅπλα καὶ θεράπων εἷς εἵπετο τὰ πρὸς δίαιταν αὐτῷ κομίζων, ᾧ λέγεται μηδέποτε δυσκολᾶναι μηδὲ μέμψασθαι παραθέντι ἄριστον ἢ δεῖπνον, ἀλλὰ καὶ συλλαμβάνειν αὐτὸς τὰ πλεῖστα καὶ συμπαρασκευάζειν ἀπὸ τῶν στρατιωτικῶν γενόμενος ἔργων. (13) Ὕδωρ δ' ἔπινεν ἐπὶ τῆς στρατείας, πλὴν εἴ ποτε διψήσας περιφλεγῶς ὄξος ᾔτησεν ἢ τῆς ἰσχύος ἐνδιδούσης ἐπιλάβοι μικρὸν οἰνάριον.

II. Ἦν δὲ πλησίον αὐτοῦ τῶν ἀγρῶν ἡ γενομένη Μανίου Κουρίου τοῦ τρὶς θριαμβεύσαντος ἔπαυλις. Ἐπὶ ταύτην συνεχῶς βαδίζων καὶ θεώμενος τοῦ τε χωρίου τὴν μικρότητα καὶ τῆς οἰκήσεως τὸ λιτὸν ἔννοιαν ἐλάμβανε τοῦ ἀνδρὸς, ὅτι Ῥωμαίων μέγιστος γενόμενος καὶ τὰ μαχιμώτατα τῶν ἐθνῶν ὑπαγαγόμενος καὶ Πύρρον ἐξελάσας τῆς Ἰταλίας τοῦτο τὸ χωρίδιον αὐτὸς ἔσκαπτε καὶ ταύτην τὴν ἔπαυλιν ᾤκει μετὰ τρεῖς θριάμβους. (2) Ἐνταῦθα πρὸς ἐσχάρᾳ καθήμενον αὐτὸν ἕψοντα γογγυλίδας εὑρόντες οἱ Σαυνιτῶν πρέσβεις ἐδίδοσαν πολὺ χρυσίον· ὁ δ' ἀπεπέμψατο φήσας οὐδὲν χρυσίου δεῖν, ᾧ δεῖπνον ἀρκεῖ τοιοῦτον, αὐτῷ μέντοι τοῦ χρυσίον ἔχειν κάλλιον εἶναι τὸ νικᾶν τοὺς ἔχοντας. (3) Ταῦθ' ὁ Κάτων ἐνθυμούμενος ἀπῄει, καὶ τὸν αὐτοῦ πάλιν οἶκον ἐφορῶν καὶ χωρία καὶ θεράποντας καὶ δίαιταν ἐπέτεινε τὴν αὐτουργίαν καὶ περιέκοπτε τὴν πολυτέλειαν. (4) Φαβίου δὲ Μαξίμου τὴν Ταραντίνων πόλιν ἑλόντος ἔτυχε μὲν ὁ Κάτων στρατευόμενος ὑπ' αὐτῷ κομιδῇ μειράκιον ὤν, Νεάρχῳ δέ τινι τῶν Πυθαγορικῶν ξένῳ χρησάμενος ἐσπούδασε τῶν λόγων μεταλαβεῖν. (5) Ἀκούσας δὲ ταῦτα διαλεγομένου τοῦ ἀνδρὸς, οἷς κέχρηται καὶ Πλάτων, τὴν μὲν ἡδονὴν ἀποκαλῶν μέγιστον κακοῦ δέλεαρ, συμφορὰν δὲ τῇ ψυχῇ τὸ σῶμα πρώτην, λύσιν δὲ καὶ καθαρμὸν οἷς μάλιστα χωρίζει καὶ ἀφίστησιν αὐτὴν τῶν περὶ τὸ σῶμα παθημάτων λογισμοῖς, ἔτι μᾶλλον ἠγάπησε τὸ λιτὸν καὶ τὴν ἐγκράτειαν. (6) Ἄλλως δὲ παιδείας Ἑλληνικῆς ὀψιμαθὴς γενέσθαι λέγεται καὶ πόρρω παντάπασιν ἡλικίας Ἑλληνικὰ βιβλία λαβὼν εἰς χεῖρας βραχέα μὲν ἀπὸ Θουκυδίδου, πλείονα δ' ἀπὸ Δημοσθένους εἰς τὸ ῥητορικὸν ὠφεληθῆναι. (7) Τὰ μέντοι συγγράμματα καὶ δόγμασιν Ἑλληνικοῖς καὶ ἱστορίαις ἐπιεικῶς διαπεποίκιλται· καὶ μεθηρμηνευμένα πολλὰ κατὰ λέξιν ἐν τοῖς ἀποφθέγμασι καὶ ταῖς γνωμολογίαις τέτακται.

III. Ἦν δέ τις ἀνὴρ εὐπατρίδης μὲν ἐν τοῖς μάλιστα Ῥωμαίων καὶ δυνατὸς, ἀρετὴν δὲ φυομένην μὲν αἰσθάνεσθαι δεινὸς, εὐμενὴς δὲ καὶ θρέψαι καὶ προαγαγεῖν εἰς δόξαν, Οὐαλλέριος Φλάκκος. (2) Οὗτος εἶχεν ὁμορροῦντα χωρία τοῖς Κάτωνος, πυθόμενος δὲ τὴν αὐτουργίαν καὶ δίαιταν αὐτοῦ παρὰ τῶν οἰκετῶν καὶ θαυμάσας ἐξηγουμένων, ὅτι πρωὶ μὲν εἰς ἀγορὰν βαδίζει

docens, ista majorem sæpe quam gladios terrorem hosti incutere. (12) In itineribus ipse arma sua ferebat, servo uno comitante, qui cibaria portaret: neque unquam huic prandium cœnamve apponenti succensuisse fertur, sed sæpenumero ipse cum esset militiæ laboribus defunctus, eum in adornandis iis permultum adjuvisse. (13) Aquam militiæ bibebat, nisi si forte ardentissima siti correptus acetum posceret, aut viribus deficientibus, paululum villi sumeret.

II. Haud procul prædiis ejus Manii Curii, qui ter triumphavit, tugurium erat. Ad hoc continenter accedebat, locique ipsius angustiam et habitationis vilitatem contemplatus, de viro isto cogitare solebat, quod is Romanorum maximus, subactis gentibus bellicosissimis, ejectoque Italia Pyrrho, ipse post tres triumphos eum agrum foderet, idque tugurium inhabitaret. (2) Ibi eidem Curio ad focum sedenti et rapa elixanti Samnitum legati cum advenissent, aurumque multum obtulissent, eos dimisit, quod auro nihil opus esse ei diceret, qui hac cœna esset contentus: se quidem aurum habentes vincere quam possidere aurum malle. (3) His ita secum consideratis Cato abibat, ac proinde in suam domum, prædia, famulos et victus rationem inspiciens, laborem sibi intendebat, luxumque omnem amputabat. (4) Quo tempore Fabius Maximus Tarentum recepit, Cato juvenis admodum sub eo stipendia faciebat; ibi hospitio cujusdam Nearchi Pythagorici usus, ad philosophiam eam animum applicare studuit. (5) A quo cum eadem, quæ Plato etiam docuit, percepisset: voluptatem maximam esse malorum escam, calamitatem animi primam corpus, purgari tamen animum solvique earum cogitationum auxilio; quæ maxime, eum a corporis affectionibus abducerent atque separarent; frugalitatis atque continentiæ amorem inde auxit. (6) Alioquin sero Græcas attigisse disciplinas perhibetur, sumptisque cum esset jam magno admodum natu in manus libris Græcorum, ad dicendi artem nonnihil Thucydidis, plus Demosthenis scriptis adjutus fuisse. (7) Sane opera ipsius et doctrina Græca et historiis satis sunt exornata: multa etiam in facetiis et sententiis ejus de Græcis ad verbum traducta leguntur posita.

III. Erat inter Romanos ea tempestate Valerius Flaccus, nobilitate generis et potentia præcipuus, vir et cognoscere virtutem enascentem callidus, et ad enutriendum eam adque honorem provehendum propensus. (2) Is prædia villæ Catonis contigua cum haberet ac de laboribus ejus atque vita ex famulis percepisset, qui referebant mane hominem ad forum ire reisque patrocinari, inde ad rus

καὶ παρίσταται τοῖς δεομένοις, ἐπανελθὼν ὁ εἰς τὸ χωρίον, ἂν μὲν ᾖ χειμὼν, ἐξωμίδα λαβὼν, θέρους δὲ γυμνὸς ἐργασάμενος μετὰ τῶν οἰκετῶν ἐσθίει τὸν αὐτὸν ἄρτον ὁμοῦ καθήμενος καὶ πίνει τὸν αὐτὸν οἶνον, ἄλλην τε πολλὴν ἐπιείκειαν αὐτοῦ καὶ μετριότητα καί τινας καὶ λόγους ἀποφθεγματικοὺς διαμνημονευόντων, ἐκέλευσε κληθῆναι πρὸς τὸ δεῖπνον. (3) Ἐκ δὲ τούτου χρώμενος καὶ κατανοῶν ἥμερον καὶ ἀστεῖον ἦθος ὥσπερ φυτὸν ἀσκήσεως καὶ χώρας ἐπιφανοῦς δεόμενον προετρέψατο καὶ συνέπεισεν ἅψασθαι τῆς ἐν Ῥώμῃ πολιτείας. (4) Κατελθὼν οὖν εὐθὺς τοὺς μὲν αὐτὸς ἐκτᾶτο θαυμαστὰς καὶ φίλους διὰ τῶν συνηγοριῶν, πολλὴν δὲ τοῦ Οὐαλλερίου τιμὴν καὶ δύναμιν αὐτῷ προστιθέντος χιλιαρχίας ἔτυχε πρῶτον, εἶτα ἐταμίευσεν. (5) Ἐκ τούτου δὲ λαμπρὸς ὢν ἤδη καὶ περιφανὴς αὐτῷ τῷ Οὐαλλερίῳ περὶ τὰς μεγίστας συνεξέδραμεν ἀρχὰς ὕπατός τε μετ' ἐκείνου καὶ πάλιν τιμητὴς γενόμενος. (6) Τῶν δὲ πρεσβυτέρων πολιτῶν Μαξίμῳ Φαβίῳ προσένειμεν ἑαυτὸν, ἐνδοξοτάτῳ μὲν ὄντι καὶ μεγίστην ἔχοντι δύναμιν, μᾶλλον δὲ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον ὡς κάλλιστα παραδείγματα προθέμενος. (7) Διὸ καὶ Σκηπίωνι τῷ μεγάλῳ, νέῳ μὲν ὄντι τότε, πρὸς δὲ τὴν Φαβίου δύναμιν ἀνταίροντι καὶ φθονεῖσθαι δοκοῦντι, παρ' οὐδὲν ἐποιήσατο γενέσθαι διάφορος, ἀλλὰ καὶ ταμίας αὐτῷ πρὸς τὸν ἐν Λιβύῃ πόλεμον συνεκπεμφθεὶς, ὡς ἑώρα τῇ συνήθει πολυτελείᾳ χρώμενον τὸν ἄνδρα καὶ καταχορηγοῦντα τοῖς στρατεύμασιν ἀφειδῶς τῶν χρημάτων, ἐπαῤῥησιάζετο πρὸς αὐτὸν, οὐ τὸ τῆς δαπάνης μέγιστον εἶναι φάμενος, ἀλλ' ὅτι διαφθείρει τὴν πάτριον εὐτέλειαν τῶν στρατιωτῶν ἐφ' ἡδονὰς καὶ τρυφὰς τῷ περιόντι τῆς χρείας τρεπομένων. (8) Εἰπόντος δὲ τοῦ Σκηπίωνος, ὡς οὐδὲν δέοιτο ταμίου λίαν ἀκριβοῦς πλησίστιος ἐπὶ τὸν πόλεμον φερόμενος, πράξεων γὰρ, οὐ χρημάτων, τῇ πόλει λόγον ὀφείλειν, ἀπῆλθεν ὁ Κάτων ἐκ Σικελίας καὶ μετὰ τοῦ Φαβίου καταβοῶν ἐν τῷ συνεδρίῳ φθοράν τε χρημάτων ἀμυθήτων ὑπὸ τοῦ Σκηπίωνος καὶ διατριβὰς αὐτοῦ μειρακιώδεις ἐν παλαίστραις καὶ θεάτροις, ὥσπερ οὐ στρατηγοῦντος, ἀλλὰ πανηγυρίζοντος, ἐξεργάσατο πεμφθῆναι δημάρχους ἐπ' αὐτὸν ἄξοντας εἰς Ῥώμην, ἄνπερ ἀληθεῖς αἱ κατηγορίαι φανῶσιν. (9) Ὁ μὲν οὖν Σκηπίων ἐν τῇ παρασκευῇ τοῦ πολέμου τὴν νίκην ἐπιδειξάμενος καὶ φανεὶς ἡδὺς μὲν ἐπὶ σχολῆς συνεῖναι φίλοις, οὐδαμοῦ δὲ τῷ φιλανθρώπῳ τῆς δαπάνης εἰς τὰ σπουδαῖα καὶ μεγάλα ῥᾳθυμος, ἐξέπλευσεν ἐπὶ τὸν πόλεμον.

IV. Τῷ δὲ Κάτωνι πολλὴ μὲν ἀπὸ τοῦ λόγου δύναμις ηὔξετο καὶ Ῥωμαῖον αὐτὸν οἱ πολλοὶ Δημοσθένη προσηγόρευον, ὁ δὲ βίος μᾶλλον ὀνομαστὸς ἦν αὐτοῦ καὶ περιβόητος. (2) Ἡ μὲν γὰρ ἐν τῷ λέγειν δεινότης προὔκειτο τοῖς νέοις ἀγώνισμα κοινὸν ἤδη καὶ περισπούδαστον· ὁ δὲ τὴν πάτριον αὐτουργίαν ὑπομένων καὶ δεῖπνον ἀφελὲς καὶ ἄριστον ἄπυρον καὶ λιτὴν ἐσθῆτα καὶ δημοτικὴν ἀσπαζόμενος οἴκησιν καὶ τὸ μὴ

reversum, hieme injecta humeris exomide, æstate nudum opus facere cum servis, eadem cum illis mensa, eodem pane, eodemque vino frui, et cum reliquis in rebus magnam ejus frugalitatem atque mediocritatem et dicta quædam ejus scita commemorarent, Flaccus admiratus vocari ad cœnam eum jussit: (3) atque exinde usus ipso familiariter, moresque placides et urbanos conspicatus, qui, veluti planta, cultu et loco idoneo opus haberent, auctor Catoni fuit persuasitque ut rempublicam Romanam attingeret. (4) Postquam Cato in Urbem venit, statim et ipse defendendis reis multos sui admiratores amicosque invenit, Valerioque multum illi honoris et potentiæ adjiciente, primum tribunus militum, post quæstor factus est. (5) Ab eo illustris jam atque clarus factus, cum ipso Valerio summos magistratus ambivit atque cum eo consul et censor factus est. (6) De senioribus civibus Fabio Maximo se conjunxit, non tam respectu summæ ejus viri gloriæ atque potentiæ, quam quod mores ejus vitamque pulcherrimum sibi ad imitandum exemplum proposuisset. (7) Itaque Scipioni magno illi, qui tum juvenis Fabii potentiæ, invidia, ut putabatur, adductus, se opponebat, adversari non est veritus. Etenim quæstor cum eo ad bellum Africanum missus, ut eum consueto luxu uti vidit, pecuniamque in milites effuse elargiri, libere reprehendit, non sumptibus factis potissimum se moveri dicens, sed quod abundantia rerum milites ad voluptatem et luxuriam converterentur, itaque frugalitas antiqua perderetur. (8) Cui cum respondisset Scipio, se, qui plenis ad bellum iret velis, nihil tam accurato quæstore indigere (neque enim pecuniarum, sed rerum gestarum rationem populo sibi reddendam fore), e Sicilia discessit Cato, atque in senatu cum Fabio de Scipione questus, eum prodigere immensam pecuniam, et quasi non ad bellum, sed ad ludos missus fuisset, adolescentum more in palæstris et theatris versari clamando, id consecutus est, ut tribuni plebis mitterentur, qui Scipionem, si quidem vera ista crimina invenirentur, Romam adducerent. (9) Verumtamen Scipio cum in ipso belli apparatu victoriam præmonstrasset, appareretque eum in otio amicis jucundum, nihil tamen ob eam humanitatem et liberalitatem seriarum et magnarum rerum negligere; ad gerendum in Africa bellum solvit.

IV. Interim Cato, etsi vim in dicendo eam acquirebat, ut Demosthenes Romanus a multis diceretur, tamen vita sua majorem sibi paravit existimationem atque gloriam. (2) Eloquentiæ enim studium tunc, utpote certaminis pretium, studiose expetitum, juvenibus propositum erat; qui vero majorum exemplo laborare suis manibus, cœna simplici et prandio citra ignem parato, vili veste, et vulgari habitatione contentus esse sustineret, et qui majoris esse

δεῖσθαι τῶν περιττῶν μᾶλλον ἢ τὸ κεκτῆσθαι θαυμάζων σπάνιος ἦν, ἤδη τότε τῆς πολιτείας τὸ καθαρὸν ὑπὸ μεγέθους οὐ φυλαττούσης, ἀλλὰ τῷ κρατεῖν πραγμάτων πολλῶν καὶ ἀνθρώπων πρὸς πολλὰ μιγνυμένης ἔθη καὶ βίων παραδείγματα παντοδαπῶν ὑποδεχομένης. (3) Εἰκότως οὖν ἐθαύμαζον τὸν Κάτωνα τοὺς μὲν ἄλλους d ὑπὸ τῶν πόνων θραυομένους καὶ μαλασσομένους ὑπὸ τῶν ἡδονῶν ὁρῶντες, ἐκεῖνον δὲ ὑπ' ἀμφοῖν ἀήττητον, οὐ μόνον ἕως ἔτι νέος καὶ φιλότιμος ἦν, ἀλλὰ καὶ γέροντα παλαιὸν ἤδη μεθ' ὑπατείαν καὶ θρίαμβον, ὥσπερ ἀθλητὴν νικηφόρον, ἐγκαρτεροῦντα τῇ τάξει τῆς ἀσκήσεως καὶ διομαλίζοντα μέχρι τῆς τελευτῆς. (4) Ἐσθῆτα μὲν γὰρ οὐδέποτε φησὶ φορέσαι πολυτελεστέραν ἑκατὸν δραχμῶν, πιεῖν δὲ καὶ στρατηγῶν καὶ ὑπατεύων τὸν αὐτὸν οἶνον τοῖς ἐργάταις, ὄψον δὲ παρασκευάζεσθαι πρὸς τὸ δεῖπνον ἐξ ἀγορᾶς ἀσσαρίων τριάκοντα, καὶ τοῦτο διὰ τὴν πόλιν, ὅπως ἰσχύοι τὸ e σῶμα πρὸς τὰς στρατείας. (5) Ἐπίβλημα δὲ τῶν ποικίλων Βαβυλώνιον ἐκ κληρονομίας κτησάμενος εὐθὺς ἀποδόσθαι, τῶν δ' ἐπαύλεων αὐτοῦ μηδεμίαν εἶναι κεκονιαμένην, οὐδένα δὲ πώποτε πρίασθαι δοῦλον ὑπὲρ τὰς χιλίας δραχμὰς καὶ πεντακοσίας, ὡς ἂν οὐ τρυφερῶν οὐδ' ὡραίων, ἀλλ' ἐργατικῶν καὶ στερεῶν, οἷον ἱπποκόμων καὶ βοηλατῶν, δεόμενος· καὶ τούτους πρεσβυτέρους γενομένους ᾤετο δεῖν ἀποδίδοσθαι καὶ μὴ βόσκειν ἀχρήστους. (6) Ὅλως δὲ μηδὲν εὔωνον εἶναι τῶν περιττῶν, ἀλλ' οὗ τις οὐ δεῖται, κἂν ἀσσαρίου πιπράσκηται, πολλοῦ νομίζειν· κτᾶσθαι δὲ τὰ σπει- f ρόμενα καὶ νεμόμενα μᾶλλον ἢ τὰ ῥαινόμενα καὶ σαιρόμενα.

V. Ταῦτα δ' οἱ μὲν εἰς μικρολογίαν ἐτίθεντο τοῦ ἀνδρὸς, οἱ δ' ὡς ἐπὶ διορθώσει καὶ σωφρονισμῷ τῶν ἄλλων ἐνδοτέρω συστέλλοντος ἑαυτὸν ἀποδέχονται. (2) Πλὴν τὸ τοῖς οἰκέταις ὡς ὑποζυγίοις ἀποχρησάμενον 339 ἐπὶ γήρως ἐλαύνειν καὶ πιπράσκειν ἀτενοῦς ἄγαν ἤθους a ἐγὼ τίθεμαι καὶ μηδὲν ἀνθρώπῳ πρὸς ἄνθρωπον οἰομένου κοινώνημα τῆς χρείας πλέον ὑπάρχειν. (3) Καίτοι τὴν χρηστότητα τῆς δικαιοσύνης πλατύτερον τόπον ὁρῶμεν ἐπιλαμβάνουσαν· νόμῳ μὲν γὰρ καὶ τῷ δικαίῳ πρὸς ἀνθρώπους μόνον χρῆσθαι πεφύκαμεν, πρὸς εὐεργεσίας δὲ καὶ χάριτας ἔστιν ὅτε καὶ μέχρι τῶν ἀλόγων ζώων ὥσπερ ἐκ πηγῆς πλουσίας ἀπορρεῖ τῆς ἡμερότητος. (4) Καὶ γὰρ ἵππων ἀπειρηκότων ὑπὸ πόνου τροφαὶ καὶ κυνῶν οὐ σκυλακεῖαι μόνον, ἀλλὰ καὶ γηροκομίαι τῷ χρηστῷ προσήκουσιν. (5) Ὁ δὲ τῶν Ἀθηναίων δῆμος οἰκοδομῶν τὸν Ἑκατόμπεδον ὅσας κατενόησεν ἡμιόνους μάλιστα τοῖς πόνοις ἐγκαρτερούσας ἀπέλυσεν ἐλευθέρας νέμεσθαι καὶ ἀφεθεισῶν b μίαν φασὶ καταβαίνουσαν ἀφ' ἑαυτῆς πρὸς τὰ ἔργα τοῖς ἀνάγουσι τὰς ἁμάξας ὑποζυγίοις εἰς ἀκρόπολιν συμπαρατρέχειν καὶ προηγεῖσθαι καθάπερ ἐγκελευομένην καὶ συνεξορμῶσαν, ἣν καὶ τρέφεσθαι δημοσίᾳ μέχρι τελευτῆς ἐψηφίσαντο. (6) Τῶν δὲ Κίμωνος ἵππων, αἷς Ὀλύμπια τρὶς ἐνίκησεν, καὶ ταφαὶ πλησίον

virtutis putaret, res supervacaneas non requirere, quam easdem possidere, is vero inventu rarus erat; quippe jam tum respublica ob molem suam, pristinam integritatem non servabat, sed ut multa bona, multos homines suam sub ditionem acceperat, ita varios mores miscebat, omnisque generis rationum vivendi exemplas recipiebat, (3) ut merito in admiratione habitus sit Cato. Cum enim alios laboribus frangi et voluptatibus emolliri viderent, solus ille ab utroque invictus, non eo tempore tantum, quo juvenis et gloriæ appetens erat, sed senex etiam jam consulatu gesto actoque triumpho permansit : atque instar athletæ præmium victoriæ consecuti exercitationis rationi constanter insistens, eandem usque ad finem vitæ æqualitatem pertulit. (4) Ipse de se testatur, nunquam se vestem centum denariis pretiosiorem tulisse, in prætura et consulatu eodem cum operariis vino usum, obsonatum ad cœnam de foro triginta assibus, idque se civitatis causa fecisse, ut corpori vires ad bellica officia sufficerent. (5) Vestem stragulam Babyloniam picturatam cum ex hæreditate accepisset, statim vendidisse, domiciliorum ejus nullum fuisse incrustatum; nullum servum carius mille quingentis denariis emisse, quod non delicatis, aut formosis, sed qui multi essent laboris et validi, ut equisones et bubulci, indigeret; atque hos ipsos ætate eorum ingravescente divendendos duxisse, neque alendos qui usui non essent. (6) Omnino autem nihil supervacaneorum esse vilis pretii, sed quo quis non indigeret, etiam si asse veniret, carum putasse; ea quæ conseri et depasci possent, bonis quæ verrendo et rigando opus haberent, prætulisse.

V. Hæc quidam illiberalitatem interpretati sunt : alii, quo alios corrigeret et ad temperantiam reduceret, intra modum sese continuisse putant. (2) Nisi quod abusum mancipiis ita ut si jumenta essent, ea deinde ætate confecta expellere et vendere, summæ ego duritiei morum esse judico, et ejus, qui nisi utilitatis causa nihil homini cum homine putaret esse commune. (3) Atqui cernimus, ampliorem esse bonitatis quam justitiæ locum : siquidem legibus et justitia tantum erga homines utimur, beneficia et gratiæ nonnunquam etiam brutis dantur : etenim de mansuetudine, tanquam ubere fonte, profluunt. (4) Itaque mitis hominis est, equos confectos laboribus alere, itemque canum non catulos modo, sed et ipsos senio graves. (5) Atheniensium populus cum templum Minervæ, cui Hecatompedon est nomen, ædificaret, mulas, quæ laborem plurimum tolerassent, liberas ad pascendum dimisit : tum unam liberatarum aiunt ultro ad opus accessisse et jumentis, quæ sarraca ad arcem traherent, comitem se dedisse præeundoque veluti adhortatam ad laborandum : decretumque est, ut ea ad mortem usque publice aleretur. (6) Equarum porro Cimonis, quibus ter Olympia is vicit, prope ipsius

εἰσὶ τῶν ἐκείνου μνημάτων. (7) Κύνας δὲ συντρόφους γενομένους καὶ συνήθεις ἄλλοι τε πολλοὶ καὶ Ξάνθιππος ὁ παλαιὸς τὸν εἰς Σαλαμῖνα τῇ τριήρει παρανηξάμενον, ὅτε τὴν πόλιν ὁ δῆμος ἐξέλιπεν, ἐπὶ τῆς ἄκρας ἐκήδευσεν, ἣν Κυνὸς σῆμα μέχρι νῦν καλοῦσιν. (8) c Οὐ γὰρ ὡς ὑποδήμασιν ἢ σκεύεσι τοῖς ψυχὴν ἔχουσι χρηστέον κοπέντα καὶ κατατριβέντα ταῖς ὑπηρεσίαις ἀποῤῥιπτοῦντας, ἀλλ' εἰ διὰ μηδὲν ἄλλο, μελέτης ἕνεκα τοῦ φιλανθρώπου προεθιστέον ἑαυτὸν ἐν τούτοις πρᾷον εἶναι καὶ μείλιχον. (9) Ἐγὼ μὲν οὖν οὐδὲ βοῦν ἂν ἐργάτην διὰ γῆρας ἀποδοίμην, μή τί γε πρεσβύτερον ἄνθρωπον, ἐκ χώρας συντρόφου καὶ διαίτης συνήθους ὥσπερ ἐκ πατρίδος μεθιστάμενον ἀντὶ κερμάτων μικρῶν, ἄχρηστόν γε τοῖς ὠνουμένοις ὥσπερ τοῖς πιπράσκουσι γεγενημένον. (10) Ὁ δὲ Κάτων ὥσπερ νεανιευόμενος ἐπὶ τούτοις καὶ τὸν ἵππον, ᾧ πρὸς d τὰς στρατείας ὑπατεύων ἐχρῆτο, φησὶν ἐν Ἰβηρίᾳ καταλιπεῖν, ἵνα μὴ τῇ πόλει τὸ ναῦλον αὐτοῦ λογίσηται. Ταῦτα μὲν οὖν εἴτε μεγαλοψυχίας εἴτε μικρολογίας θετέον ἔξεστι τῷ πείθοντι χρῆσθαι λογισμῷ.

VI. Τῆς δ' ἄλλης ἐγκρατείας ὑπερφυῶς θαυμαστὸς ὁ ἀνήρ· οἷον ὅτι στρατηγῶν ἐλάμβανεν ἑαυτῷ καὶ τοῖς περὶ αὐτὸν οὐ πλέον εἰς τὸν μῆνα πυρῶν ἢ τρεῖς Ἀττικοὺς μεδίμνους, εἰς δὲ τὴν ἡμέραν κριθῶν τοῖς ὑποζυγίοις ἔλαττον τριῶν ἡμιμεδίμνων. (2) Ἐπαρχίαν δὲ λαβὼν Σαρδόνα, τῶν πρὸ αὐτοῦ στρατηγῶν εἰωθότων χρῆσθαι σκηνώμασι δημοσίοις καὶ κλίναις καὶ ἱματίοις πολλῇ τε e θεραπείᾳ καὶ φίλων πλήθει καὶ περὶ δεῖπνα δαπάναις καὶ παρασκευαῖς βαρυνόντων, ἐκεῖνος ἄπιστον ἐποίησε τὴν διαφορὰν τῆς εὐτελείας. (3) Δαπάνης μὲν γὰρ εἰς οὐδὲν οὐδεμιᾶς προσεδεήθη δημοσίας, ἐπεφοίτα δὲ τοῖς πόλεσιν αὐτὸς μὲν ἄνευ ζεύγους πορευόμενος, εἷς δὲ ἠκολούθει δημόσιος ἐσθῆτα καὶ σπονδεῖον αὐτῷ πρὸς ἱερουργίαν κομίζων. (4) Ἐν δὲ τούτοις οὕτως εὔκολος καὶ ἀφελὴς τοῖς ὑπὸ χεῖρα φαινόμενος αὖθις ἀνταπεδίδου τὴν σεμνότητα καὶ τὸ βάρος ἀπαραίτητος ὢν ἐν τῷ δικαίῳ καὶ τοῖς ὑπὲρ τῆς ἡγεμονίας προστάγμασιν ὄρθιος καὶ αὐθέκαστος, ὥστε μηδέποτε τὴν Ῥωμαίων f ἀρχὴν ἐκείνοις μήτε φοβερωτέραν μήτε προσφιλεστέραν γενέσθαι.

VII. Τοιαύτην δέ τινα φαίνεται ὁ λόγος τοῦ ἀνδρὸς ἰδέαν ἔχειν· εὔχαρις γὰρ ἅμα καὶ δεινὸς ἦν, ἡδὺς καὶ καταπληκτικός, φιλοσκώμμων καὶ αὐστηρός, ἀποφθεγματικὸς καὶ ἀγωνιστικός, ὥσπερ ὁ Πλάτων τὸν Σωκράτη φησὶν ἔξωθεν ἰδιώτην καὶ σατυρικὸν καὶ ὑβριστὴν τοῖς ἐντυγχάνουσι φαινόμενον, ἔνδοθεν σπουδῆς καὶ πραγμάτων μεστὸν εἶναι δάκρυα κινούντων τοῖς ἀκρο-
340ωμένοις καὶ τὴν καρδίαν στρεφόντων. (2) Ὅθεν οὐκ a οἶδα, τί πεπόνθασιν οἱ τῷ Λυσίου λόγῳ μάλιστα φάμενοι προσεοικέναι τὸν Κάτωνος. (3) Οὐ μὴν ἀλλὰ ταῦτα μὲν οἷς μᾶλλον ἰδέας λόγων ῥητορικῶν αἰσθάνεσθαι προσήκει διακρινοῦσιν, ἡμεῖς δὲ τῶν ἀπομνημονευομένων βραχέα γράψομεν, οἳ τῷ λόγῳ πολὺ μᾶλλον

monumenta sunt sepulcra. (7) Canes secum educatos et consuetos cum multi alii, tum Xanthippus ille antiquus eum, qui Atheniensibus urbem deserentibus juxta triremem in Salaminem enaverat, in promontorio humavit, quod adhuc Κυνὸς σῆμα (*i. e.*) canis monumentum nominatur. (8) Non enim ut calceis aut vasis utendum est rebus animatis, quæ rupta vel attrita usu abjiciuntur : sed in his, si nullam aliam ob causam, at ut ad humanitatem nos assuefaciamus tamen, benignitatem et mansuetudinem exercere convenit. (9) Ipse quidem ne bovem quidem operarium senii causa vendiderim, nedum hominem ætate provectum ex loco in quo fuit educatus et consueto victu tanquam e patria exigui lucelli causa pellam, cum jam inutilis ementi sit perinde atque vendenti factus. (10) At Cato veluti ostentans se in his rebus, equum etiam, quo consul in obeundis ducis muneribus usus fuerat, in Hispania a se relictum ait, ne portorium ejus civitati imputaretur. Hæc magnine sint an parvi animi, licet ita credere, ut cuique ratio persuaserit.

VI. Certe alioqui maximæ continentiæ causa summa fuit admiratione dignus. Quemadmodum exercitum ducens, pro se et suo comitatu in mensem tritici non plus tribus medimnis Atticis sumsit, in diem jumentis hordei infra medimnum unum cum dimidio. (2) Provinciam nactus Sardiniam, cum qui ante ipsum fuerant prætores tabernaculis publicis, lectis stragulisque ac magna servorum et amicorum familia usi essent, gravesque cœnarum sumptus et apparatus fecissent, incredibile ipse frugalitatis discrimen exhibuit. (3) Neque enim ullas requisivit publicas impensas, sed circum urbes ipse sine bigis ambulavit, uno comitante apparitore, vestem ei et vas ad sacrificia peragenda portante. (4) Tantum in his rebus facilitatis atque simplicitatis subditis ostendens, eam rursus severitatem et gravitatem præ se tulit, adeo inflexibilis in exercenda justitia atque adeo in mandatis pro imperio rigidus, ut nunquam illis Romanum imperium neque terribilius fuerit, neque carius.

VII. Eandem fuisse ejus orationis formam tradunt, simul et gratæ et gravis, jucundæ et terribilis, facetæ et severæ, argutæque et juxta in contentione vim habentis : quemadmodum Socratem Plato ait, cum foris rudis, dicax et contumeliosus in colloquentes videretur, intus seriis et lacrimas excutientibus rebus, corque auditoris convertentibus abundasse. (2) Quare nescio quid in mentem venerit iis, qui Lysiæ potissimum orationi similem Catonis fuisse pronuntiarunt. (3) Verum hæc dijudicent ii, quibus magis convenit sermonis oratorii formas percipere : nos, qui longe magis in oratione, quam, ut quidam putant, facie ho-

ἢ τῷ προσώπῳ, καθάπερ ἔνιοι νομίζουσι, τῶν ἀνθρώπων φαμὲν ἐμφαίνεσθαι τὸ ἦθος.

VIII. Μέλλων ποτὲ τὸν Ῥωμαίων δῆμον ὡρμημένον ἀκαίρως ἐπὶ σιτομετρίας καὶ διανομὰς ἀποτρέπειν ῥᾳδίως τῶν λόγων οὕτως, « Χαλεπὸν μέν ἐστιν, ὦ πολῖται, πρὸς γαστέρα λέγειν ὦτα οὐκ ἔχουσαν. » (2) Κατηγορῶν δὲ τῆς πολυτελείας ἔφη χαλεπὸν εἶναι σωθῆναι πόλιν, ἐν ἣ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς. (3) Ἐοικέναι δὲ ἔφη προβάτοις τοὺς Ῥωμαίους· ὡς γὰρ ἐκεῖνα καθ' ἕκαστα μὲν οὐ πείθεται, σύμπαντα δ' ἕπεται μετ' ἀλλήλων τοῖς ἄγουσιν, « οὕτω καὶ ὑμεῖς, εἶπεν, οἷς οὐκ ἂν ἀξιώσαιτε συμβούλοις χρήσασθαι κατ' ἰδίαν, ὑπὸ τούτων εἰς ἓν συνελθόντες ἄγεσθε. » (4) Περὶ δὲ τῆς γυναικοκρατίας διαλεγόμενος, « Πάντες, εἶπεν, ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες. » (5) Τοῦτο μὲν οὖν ἐστιν ἐκ τῶν Θεμιστοκλέους μετενηνεγμένον ἀποφθεγμάτων. Ἐκεῖνος γὰρ, ἐπιτάττοντος αὐτῷ πολλὰ τοῦ υἱοῦ διὰ τῆς μητρὸς, « Ὦ γύναι, εἶπεν, Ἀθηναῖοι μὲν ἄρχουσι τῶν Ἑλλήνων, ἐγὼ δὲ Ἀθηναίων, ἐμοῦ δὲ σὺ, σοῦ δὲ ὁ υἱός, ὥστε φειδέσθω τῆς ἐξουσίας, δι' ἣν ἀνόητος ὢν πλεῖστον Ἑλλήνων δύναται. » (6) Τὸν δὲ δῆμον ὁ Κάτων ἔφη τῶν Ῥωμαίων οὐ μόνον ταῖς πορφύραις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι τὰς τιμὰς ἐπιγράφειν. « Ὡς γὰρ οἱ βαφεῖς, ἔφη, ταύτην μάλιστα βάπτουσιν, ἣ χαίροντας ὁρῶσιν, οὕτως οἱ νέοι ταῦτα μανθάνουσι καὶ ζηλοῦσιν, οἷς ἂν ὁ παρ' ὑμῶν ἔπαινος ἕπηται. » (7) Παρεκάλει δ' αὐτοὺς, εἰ μὲν ἀρετῇ καὶ σωφροσύνῃ γεγόνασι μεγάλοι, μὴ μεταβάλλεσθαι πρὸς τὸ χεῖρον, εἰ δ' ἀκρασίᾳ καὶ κακίᾳ, μεταβάλλεσθαι πρὸς τὸ βέλτιον· ἱκανῶς γὰρ ἤδη μεγάλους ἀπ' ἐκείνων γεγονέναι. (8) Τοὺς δὲ πολλάκις ἄρχειν σπουδάζοντας ἔφη καθάπερ ἀγνοοῦντας τὴν ὁδὸν ἀεὶ μετὰ ῥαβδούχων ζητεῖν πορεύεσθαι, μὴ πλανηθῶσιν. (9) Ἐπετίμα δὲ τοῖς πολίταις τοὺς αὐτοὺς αἱρουμένοις πολλάκις ἄρχοντας. « Δόξετε γὰρ, ἔφη, ἢ μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον ἢ μὴ πολλοὺς τοῦ ἄρχειν ἀξίους ἡγεῖσθαι. » (10) Περὶ δὲ τῶν ἐχθρῶν τινος αἰσχρῶς καὶ ἀδόξως βιοῦν δοκοῦντος, Ἦ τούτου μήτηρ, ἔφη, κατάραν, οὐκ εὐχὴν, ἡγεῖται τὸ τοῦτον ὑπὲρ γῆς ἀπολιπεῖν. » (11) Τὸν δὲ πεπρακότα τοὺς πατρῴους ἀγροὺς παραλίους ὄντας ἐπιδεικνύμενος προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης· ἃ γὰρ ἐκείνη μόλις ἔκλυζεν, οὗτος, ἔφη, ῥᾳδίως καταπέπωκεν. (12) Ἐπεὶ δὲ Εὐμένους τοῦ βασιλέως ἐπιδημήσαντος εἰς Ῥώμην ἥ τε σύγκλητος ὑπερφυῶς ἀπεδέξατο καὶ τῶν πρώτων ἅμιλλα καὶ σπουδὴ περὶ αὐτὸν ἐγένετο, δῆλος ἦν ὁ Κάτων ὑφορώμενος καὶ φυλαττόμενος αὐτόν. (13) Εἰπόντος δέ τινος, « Ἀλλὰ μὴν χρηστός ἐστι καὶ φιλορώμαιος », « Ἔστω, εἶπεν, ἀλλὰ φύσει τοῦτο τὸ ζῷον ὁ βασιλεὺς σαρκοφάγον ἐστίν. » Οὐδένα δὲ τῶν εὐδαιμονιζομένων βασιλέων ἄξιον εἶναι παραβάλλειν πρὸς Ἐπαμεινώνδαν ἢ Περικλέα ἢ Θεμιστοκλέα ἢ Μάνιον Κούριον ἢ Ἀμίλκαν τὸν ἐπικληθέντα

minum ingenia conspici putamus, pauca quædam eorum, quæ ejus dicta feruntur, commemoremus.

VIII. Aliquando Romanorum plebem frumenti largitionem intempestive expetentem dehortaturus, hoc initium dicendi fecit : « Difficile quidem est, Quirites, ad ventrem verba facere, cum is auribus careat. (2) Impensam magnam accusans, difficulter inquit posse salvam esse urbem, in qua majoris piscis quam bos veneat. (3) Præterea, ovium similes esse Romanos : ut enim singulæ illæ non obtemperant, universæ agentem sequantur ; ita ipsos quoque, quorum privatim consilia aspernentur, ab iis in concionem venientes duci. (4) De mulierum dominatione disserens : « Omnes homines mulieribus imperant, nos omnibus hominibus, nobis mulieres. (5) Est hoc de Themistocleis traductum apophthegmatis. Is enim multa per matrem ei filio injungente : « O mulier, inquit, Athenienses Græcis imperant, ego Atheniensibus, tu mihi, tibi filius : modum itaque potentiæ suæ ponat, qua fit, ut imprudens ipse plurimum omnium Græcorum possit. » (6) Idem Cato populum Romanum non purpura modo, sed studiis etiam honorem insignire dicebat. Etenim ut tinctores eo maxime colore lanam inficerent, quo plurimos delectari viderent ; sic juvenes ista discere et imitari, quæ apud populum laudem invenirent. (7) Hortabatur Romanos, ut, si fortitudine et temperantia essent magni facti, ne ad deteriora se conferrent : sin ignavia et luxuria ; ut nunc ad meliora converterentur ; satis enim incrementi per ista deteriora cepisse. (8) Eos qui crebro magistratum gerere cuperent, tanquam ignaros viarum, aiebat cupere semper cum lictoribus ambulare, ne errarent. (9) Reprehendebat cives, quod iisdem sæpius magistratus deferrent : fore enim, ut aut magistratum gerere non magni rem pretii putare crederentur, aut non multos esse dignos, quibus magistratus committeretur. (10) De inimico quodam turpis et ignominiosæ vitæ suspecto, « Mater, inquit, ejus cum sibi eum superstitem optat, non precari ei rem faustam, sed exsecrari vult. » (11) Quendam qui paternos agros maritimos vendidisset ostendens aliis, simulavit se mirari quod is plus quam mare potuisset : etenim quod mare ægre illuvie absumpsisset, id istum nullo labore deglutiisse. (12) Cum rex Eumenes Romam advenisset, eumque senatus maximo studio accepisset, primique certatim eum amplecterentur ; non obscure tulit Cato, se eum suspectum habere et cavere. (13) Et cuidam dicenti, At bonus est rex, et Romanorum studiosus : « Sit sane, inquit, at rex animal est natura carnivorum. » Neque vero eorum quenquam regum, quorum fortunæ prædicarentur, dignum esse qui Epaminondæ, Pericli, Themistocli,

Βάρκαν. (14) Αὐτῷ δ' ἔλεγε τοὺς ἐχθροὺς φθονεῖν, ὅτι καθ' ἡμέραν νυκτὸς ἀνίσταται καὶ τῶν ἰδίων ἀμελῶν τοῖς δημοσίοις σχολάζει. Βούλεσθαι δ' ἔλεγε μᾶλλον εὖ πράξας ἀποστερηθῆναι χάριν ἢ κακῶς μὴ τυχεῖν κολάσεως. Καὶ συγγνώμην ἔφη διδόναι πᾶσι τοῖς ἁμαρτάνουσι πλὴν αὐτοῦ.

IX. Τῶν δὲ Ῥωμαίων εἰς Βιθυνίαν τρεῖς ἑλομένων πρέσβεις, ὧν ὁ μὲν ποδαγρικὸς ἦν, ὁ δὲ τὴν κεφαλὴν ἐξ ἀνατρήσεως καὶ περικοπῆς κοίλην εἶχεν, ὁ δὲ τρίτος ἐδόκει μωρὸς εἶναι, καταγελῶν ὁ Κάτων εἶπε πρεσβείαν ὑπὸ Ῥωμαίων ἀποστέλλεσθαι μήτε πόδας μήτε κεφαλὴν μήτε καρδίαν ἔχουσαν. (2) Ὑπὲρ δὲ τῶν ἐξ Ἀχαΐας φυγάδων ἐντευχθεὶς διὰ Πολύβιον ὑπὸ Σκηπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ λόγος ἐγίνετο, τῶν μὲν διδόντων κάθοδον αὐτοῖς, τῶν δ' ἐνισταμένων, ἀναστὰς ὁ Κάτων, « Ὥσπερ οὐκ ἔχοντες, εἶπεν, ὃ πράττωμεν καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γεροντίων Γραικῶν ζητοῦντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν ἢ τῶν ἐν Ἀχαΐᾳ νεκροφόρων ἐκκομισθῶσι. » (3) Ψηφισθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν ἡμέρας ὀλίγας οἱ περὶ τὸν Πολύβιον διαλιπόντες αὖθις ἐπεχείρουν εἰς τὴν σύγκλητον εἰσελθεῖν, ὅπως ἃς πρότερον εἶχον ἐν Ἀχαΐᾳ τιμὰς οἱ φυγάδες ἀναλάβοιεν, καὶ τοῦ Κάτωνος ἀπεπειρῶντο τῆς γνώμης. (4) Ὁ δὲ μειδιάσας ἔφη τὸν Πολύβιον, ὥσπερ τὸν Ὀδυσσέα, βούλεσθαι πάλιν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον εἰσελθεῖν τὸ πιλίον ἐκεῖ καὶ τὴν ζώνην ἐπιλελησμένον. (5) Τοὺς δὲ φρονίμους ἔλεγε μᾶλλον ὑπὸ τῶν ἀφρόνων ἢ τοὺς ἄφρονας ὑπὸ τῶν φρονίμων ὠφελεῖσθαι· τούτους μὲν γὰρ φυλάττεσθαι τὰς ἐκείνων ἁμαρτίας, ἐκείνους δὲ τὰς τούτων μὴ μιμεῖσθαι κατορθώσεις. (6) Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι, στρατιώτου δὲ μὴ δεῖσθαι τὰς μὲν χεῖρας ἐν τῷ βαδίζειν, τοὺς δὲ πόδας ἐν τῷ μάχεσθαι κινοῦντος, μεῖζον δὲ ῥέγχοντος ἢ ἀλαλάζοντος. (7) Τὸν δὲ ὑπέρπαχυν κακίζων, « Ποῦ δ' ἂν, ἔφη, σῶμα τοιοῦτον τῇ πόλει γένοιτο χρήσιμον, οὗ τὸ μεταξὺ λαιμοῦ καὶ βουβώνων πᾶν ὑπὸ τῆς γαστρὸς κατέχεται; » (8) Τῶν δὲ φιληδόνων τινὰ βουλόμενον αὐτῷ συνεῖναι παραιτούμενος ἔφη μὴ δύνασθαι ζῆν μετ' ἀνθρώπου τῆς καρδίας τὴν ὑπερῴαν εὐαισθητοτέραν ἔχοντος. (9) Τοῦ δ' ἐρῶντος ἔλεγε τὴν ψυχὴν ἐν ἀλλοτρίῳ σώματι ζῆν. Μεταμεληθῆναι δ' αὐτὸς ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας, μίαν μὲν ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόῤῥητον, ἑτέραν δὲ πλεύσας ὅπου δυνατὸν ἦν πεζεῦσαι, τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμεινε. (10) Πρὸς δὲ πρεσβύτην πονηρευόμενον, « Ἄνθρωπε, εἶπε, πολλὰ ἔχοντι τῷ γήρᾳ τὰ αἰσχρὰ μὴ προστίθει τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. » (11) Πρὸς δὲ δήμαρχον ἐν διαβολῇ μὲν φαρμακείας γενόμενον, φαῦλον δὲ νόμον εἰσφέροντα καὶ βιαζόμενον, « Ὦ μειράκιον, εἶπεν, οὐκ οἶδα, πότερον χεῖρόν ἐστιν ὃ κίρνης πιεῖν ἢ ὃ γράφεις κυρῶσαι. » (12) Βλασφημούμενος δ' ὑπ' ἀνδρώπου βεβιωκότος ἀσελγῶς καὶ κακῶς, « Ἄνισος, εἶπεν, ἡ πρὸς σέ μοι μάχη ἐστί· καὶ γὰρ ἀκούεις τὰ

f Manio Curio, Amilcarive Barcæ conferretur. (14) Invidere ipsi inimicos dicebat, quod noctu surgeret rebusque suis posthabitis publica curaret. Malle se nullam pro beneficio accepto gratiam adipisci dicebat quam delicti pœna privari. Omnibus se peccantibus ait se uno excepto ignoscere.

IX. Romanis legatos tres in Bithyniam deligentibus, a unum podagricum, alterum cui foraminibus et incisionibus caput erat excavatum, tertium pro stolido habitum, irridens Cato, legationem a Romanis missam dicebat, quæ neque pedes, neque caput, neque cor haberet. (2) De Achaicis exsulibus a Scipione rogatu Polybii compellatus, cum multis res in senatu verbis ageretur, aliis reditum dantibus, aliis obstantibus, surrexit Cato et, « Quasi vero, inquit, quod agamus desit, sedemus hic de senibus Græcis disputantes totum diem, a nostrisne, an vero Achaicis b efferri debeant sandapilariis. » (3) Cum reditus in patriam iis esset decretus paucis interjectis diebus Polybius iterum in senatum venire aggressus est, petiturus ut iis honoribus, quos prius gessissent in Achaia, restituerentur, et Catonis quæ sententia esset, expiscatus est. (4) Tum Cato subridens, Polybium dixit Ulyssis instar redire in speluncam Cyclopis velle, pilei et cinguli, quorum oblitus ibi esset, petendi causa. (5) Idem Cato magis prodesse prudentibus stultos, quam prudentes stultis affirmabat : illos enim alı horum vitiis sibi cavere, hos illorum recta facta non imitari. c (6) Adolescentibus erubescentibus se magis delectari dixit quam pallentibus; militem nolle sibi esse, qui in itinere faciendo manus, in pugna pedes moveat, magisque stertens, quam vociferationem militarem tollens exaudiatur. (7) Præpinguem vituperans, « Ubi vero, inquit, hoc corpus civitati possit prodesse, in quo omnia, quæ sunt inter gulam et inguen, venter occupat? » (8) Quendam voluptariæ vitæ sectatorem secum volentem consuetudinem inire respuit, negans se posse vivere cum eo homine, cui palatum plus d quam cor saperet. (9) Amantis animum in alieno vivere corpore aiebat. Tria se in vita sua admisisse, quorum pœniteret : primum, quod mulieri arcanum commisisset, alterum, quod eo navigasset, quo pedestri licuisset itinere venire; tertium, quod una die nihil seriæ rei egisset. (10) Senem nequiter agentem monuit, ne multis senectutis criminibus malitiæ dedecus adderet. (11) Tribuno plebis veneficii nomine male audienti, cum is malam legem magna contentione ferret, « Haud scio, inquit, juvenis, idne quod misces, bibere, an quod scribis, ratum jubere sit pejus. » e (12) Convicio petitus ab homine qui male et impudice vixerat, « Impar, inquit, mihi tecum est certamen : tu

κακὰ ῥᾳδίως καὶ λέγεις εὐχερῶς, ἐμοὶ δὲ καὶ λέγειν ἀηδὲς καὶ ἀκούειν ἄηθες. » Τὸ μὲν οὖν τῶν ἀπομνημονευμάτων γένος τοιοῦτόν ἐστιν.

X. Ὕπατος δὲ μετὰ Φλάκκου Οὐαλλερίου τοῦ φίλου καὶ συνήθους ἀποδειχθεὶς ἔλαχε τῶν ἐπαρχιῶν ἣν Ἐντὸς Ἱσπανίαν Ῥωμαῖοι καλοῦσιν. (2) Ἐνταῦθα δ' αὐτῷ τὰ μὲν καταστρεφομένῳ τῶν ἐθνῶν, τὰ δ' οἰκειουμένῳ διὰ λόγων πολλὴ στρατιὰ τῶν βαρβάρων ἐπέπεσε καὶ κίνδυνος ἦν αἰσχρῶς ἐκβιασθῆναι· διὸ τῶν ἐγγὺς Κελτιβήρων ἐπεκαλεῖτο συμμαχίαν. (3) Αἰ- f τούντων δ' ἐκείνων τῆς βοηθείας διακόσια τάλαντα μισθὸν, οἱ μὲν ἄλλοι πάντες οὐκ ἀνασχετὸν ἐποιοῦντο Ῥωμαίους βαρβάροις ἐπικουρίας μισθὸν ὁμολογῆσαι, ὁ δὲ Κάτων οὐδὲν ἔφη δεινὸν εἶναι, νικῶντας μὲν γὰρ ἀποδώσειν ἀπὸ τῶν πολεμίων, οὐ παρ' αὐτῶν, ἡττημένων δὲ μήτε τοὺς ἀπαιτουμένους ἔσεσθαι μήτε τοὺς ἀπαιτοῦντας. (4) Ταύτην δὲ τὴν μάχην κατὰ κράτος ἐνίκησε καὶ τἄλλα προϋχώρει λαμπρῶς.

342 Πολύβιος μέν γε φησὶ τῶν ἐντὸς Βαίτιος ποταμοῦ πό- a λεων ἡμέρᾳ μιᾷ τὰ τείχη κελεύσαντος αὐτοῦ περιαιρεθῆναι· πάμπολλαι δ' ἦσαν αὗται, γέμουσαι μαχίμων ἀνδρῶν· αὐτὸς δέ φησιν ὁ Κάτων πλείονας εἰληφέναι πόλεις ὧν διήγαγεν ἡμερῶν ἐν Ἰβηρίᾳ· καὶ τοῦτο κόμπος οὐκ ἔστιν, εἴπερ ὡς ἀληθῶς τετρακόσιαι τὸ πλῆθος ἦσαν. (5) Τοῖς μὲν οὖν στρατιώταις πολλὰ παρὰ τὴν στρατείαν ὠφεληθεῖσιν ἔτι καὶ λίτραν ἀργυρίου κατ' ἄνδρα προσδιένειμεν εἰπὼν, ὡς κρεῖττον ἦν πολλοὺς Ῥωμαίων ἀργύριον ἢ χρυσίον ὀλίγους ἔχοντας ἐπανελθεῖν· εἰς δ' αὐτὸν ἐκ τῶν ἁλισκομένων οὐδὲν ἐλθεῖν λέγει πλὴν ὅσα πέπωκεν ἢ βέβρωκε. (6) « Καὶ οὐκ αἰτιῶμαι, φησὶ, τοὺς ὠφελεῖσθαι ζητοῦντας ἐκ τούτων, ἀλλὰ βούλομαι μᾶλλον περὶ ἀρετῆς τοῖς ἀρί- b στοις ἢ περὶ χρημάτων τοῖς πλουσιωτάτοις ἁμιλλᾶσθαι καὶ τοῖς φιλαργυρωτάτοις περὶ φιλαργυρίας. » (7) Οὐ μόνον δ' αὐτὸν, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἐφύλαττε καθαροὺς παντὸς λήμματος. Ἦσαν δὲ πέντε θεράποντες ἐπὶ στρατείας σὺν αὐτῷ. Τούτων εἷς ὄνομα Πάκκος ἠγόρασε τῶν αἰχμαλώτων τρία παιδάρια· τοῦ δὲ Κάτωνος αἰσθομένου, πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο. Τοὺς δὲ παῖδας ὁ Κάτων ἀποδόμενος εἰς τὸ δημόσιον ἀνήνεγκε τὴν τιμήν.

XI. Ἔτι δ' αὐτοῦ διατρίβοντος ἐν Ἰβηρίᾳ Σκηπίων ὁ μέγας ἐχθρὸς ὢν καὶ βουλόμενος ἐνστῆναι κατορθοῦντι καὶ τὰς Ἰβηρικὰς πράξεις ὑπολαβεῖν, διεπρά- c ξατο τῆς ἐπαρχίας ἐκείνης ἀποδειχθῆναι διάδοχος Σπεύσας δ' ὡς ἐνῆν τάχιστα κατέπαυσε τὴν ἀρχὴν τοῦ Κάτωνος. (2) Ὁ δὲ λαβὼν σπείρας ὁπλιτῶν πέντε καὶ πενταχοσίους ἱππεῖς προπομποὺς κατεστρέψατο μὲν τὸ Λακετανῶν ἔθνος, ἑξακοσίους δὲ τῶν ῥυτομολησάντων κομισάμενος ἀπέκτεινεν. (3) Ἐφ' οἷς σχετλιάζοντα τὸν Σκηπίωνα κατειρωνευόμενος οὕτως ἔφη τὴν Ῥώμην ἔσεσθαι μεγίστην, τῶν μὲν ἐνδόξων καὶ μεγάλων τὰ τῆς ἀρετῆς πρωτεῖα μὴ μεθιέντων τοῖς ἀσημοτέροις, τῶν δ' ὥσπερ αὐτός ἐστι δημοτικῶν ἁμιλλωμένων

enim male et audis et dicis facile : mihi neque male loqui suave est, neque male audire consuevi. » Ac scite quidem dictorum Catonis talis est natura.

X. Consul cum L. Valerio Flacco amico et familiari suo creatus, Hispaniam citeriorem sorte provinciam obtinuit. (2) Ibi eum populos partim subigentem, partim oratione sibi conciliantem, ingens barbarorum exercitus invasit, ut periculum esset, ne cum ignominia regione pelleretur : ita- que Celtiberorum, qui erant in vicinia, auxilium accersivit. (3) Hi cum auxilii mercedem ducenta poscerent talenta, reliquique omnes intolerabile hoc putarent, si Romani barbaris suppetias ferentibus stipendium sponderent : nihil esse mali Cato affirmavit; victoria enim parta, non de suo, sed de hostilibus bonis mercedem iis soluturum : sin secus evenisset, neque qui poscerent superfuturos, neque unde exigerent. (4) Sed et hic prœlio facto vicit et cetera egregie successerunt. Polybius quidem scribit, Catonis jussu una die omnium urbium, quæ intra Bætin flumen essent, muros dejectos : fuisse autem permultas et pugnacibus viris plenas. Ipse Cato numerum captarum a se urbium majorem fuisse asserit numero dierum quas in Hispania egerit : quod non est inflatius dictum, siquidem urbes istæ erant quadringentæ. (5) Itaque militibus qui eo bello jam ante multum prædæ paraverant, viritim argenti libram divisit, rectius esse dicens, multos Romanos argentum, quam paucos aurum domum referre; ad se vero nihil de præda redisse affirmat, nisi quæ ederit et biberit. (6) « Neque vero, inquit, culpo eos, qui bello rem facere student : ipse cum optimis de virtute, quam de pecunia cum ditissimis, aut avaritia cum avarissimis contendere malo. » (7) Neque se tantum, sed et suos omnes ab omni captura Cato continuit. De quinque famulis quos secum in expeditione ducebat, unus Paccus tres de captivis emit pueruios : cumque id Cato sensisset, iste, antequam in conspectum veniret ejus, suspendio mortem sibi conscivit. Cato mancipia ista vendidit pecuniamque in publicum retulit.

XI. Ceterum Scipio Africanus Catonis inimicus, præclare eum res gerentem impedire, Hispanicasque actiones intercipere cupiens, Catone adhuc in Hispania commorante, id egit, ut ei ipse eam in provinciam successor mitteretur, ac quam potuit celerrime effecit, ut Catoni imperium abrogaretur. (2) Itaque Cato quinque peditum gravis armaturæ cohortibus et equitibus quingentis, qui ipsum deducerent, acceptis, Lacetanos gentem subegit, ac transfugas sexcentos receptos necavit. (3) Qua de re cum Scipio graviter quereretur, cum irridens Cato, ita demum maximam fore Romam dixit, si illustres viri et magni virtutis primas partes obscuris non permitterent, contraque plebeii (talem autem se esse) de virtute certamen cum

ἀρετῇ πρὸς τοὺς τῷ γένει καὶ τῇ δόξῃ προήκοντας. (4) Οὐ μὴν ἀλλὰ τῆς συγκλήτου ψηφισαμένης μηδὲν ἀλλάττειν μηδὲ κινεῖν τῶν διῳκημένων ὑπὸ Κάτωνος, ἡ μὲν ἀρχὴ τῷ Σκηπίωνι τῆς αὐτοῦ μᾶλλον ἢ τῆς Κάτωνος ἀφελοῦσα δόξης ἐν ἀπραξίᾳ καὶ σχολῇ μάτην διῆλθεν· ὁ δὲ Κάτων θριαμβεύσας οὐχ, ὥσπερ οἱ πλεῖστοι τῶν μὴ πρὸς ἀρετὴν, ἀλλὰ πρὸς δόξαν ἁμιλλωμένων, ὅταν εἰς τὰς ἄκρας τιμὰς ἐξίκωνται καὶ τύχωσιν ὑπατείας καὶ θριάμβων, ἤδη τὸ λοιπὸν εἰς ἡδονὴν καὶ σχολὴν συσκευασάμενοι τὸν βίον ἐκ τῶν κοινῶν ἀπίασιν, οὕτω καὶ αὐτὸς ἐξανῆκε καὶ κατέλυσε τὴν ἀρετὴν, ἀλλ' ὅμοια τοῖς πρῶτον ἁπτομένοις πολιτείας καὶ διψῶσι τιμῆς καὶ δόξης ἀφ' ἑτέρας ἀρχῆς συντείνας ἑαυτὸν ἐν μέσῳ παρεῖχε καὶ φίλοις χρῆσθαι καὶ πολίταις οὔτε τὰς συνηγορίας οὔτε τὰς στρατείας ἀπειπάμενος.

d eis, qui genere et gloria essent clari, susciperent. (4) At vero quia senatus decreverat, ne eorum quæ constituisset Cato quicquam immutaret aut moveret Scipio, id imperium hujus magis quam Catonis gloriæ detraxit, per otium exactum, nullaque re gesta insigne. Proinde Cato postquam triumphavit, non, ut plerique, qui non ad virtutem, sed ad gloriam contendunt, summis honoribus consulatibusque et triumphis potiti, deinde a republica ad voluptatem et otium transeunt, ita ipse quoque virtutem remisit e vel minuit; sed eorum more, qui primum attingunt rempublicam honoremque et gloriam sitiunt, novo initio facto utendum se amicis et civibus exposuit, neque patrocinia, neque militiam subterfugiens.

XII. Τιβερίῳ μὲν οὖν Σεμπρωνίῳ τὰ περὶ Θρᾴκην καὶ Ἴστρον ὑπατεύοντι πρεσβεύων συγκατειργάσατο, Μανίῳ δ' Ἀκιλίῳ χιλιαρχῶν ἐπ' Ἀντίοχον τὸν μέγαν συνεξῆλθεν εἰς τὴν Ἑλλάδα φοβήσαντα Ῥωμαίους ὡς οὐδένα ἕτερον μετ' Ἀννίβαν. (2) Τὴν γὰρ Ἀσίαν, ὅσην ὁ Νικάτωρ Σέλευκος εἶχεν, ὀλίγου δεῖν ἅπασαν ἐξ ὑπαρχῆς ἀνειληφὼς ἔθνη τε πάμπολλα καὶ μάχιμα f βαρβάρων ὑπήκοα πεποιημένος ἐπῆρτο συμπεσεῖν Ῥωμαίοις ὡς μόνοις ἔτι πρὸς αὐτὸν ἀξιομάχοις οὖσιν. (3) Εὐπρεπῆ δὲ τοῦ πολέμου ποιησάμενος αἰτίαν τοὺς Ἕλληνας ἐλευθεροῦν, μηδὲν δεομένους, ἀλλὰ καὶ ἐλευθέρους καὶ αὐτονόμους χάριτι Ῥωμαίων ἀπὸ Φιλίππου καὶ Μακεδόνων νεωστὶ γεγονότας, διέβη μετὰ 343δυνάμεως. (4) Καὶ σάλον εὐθὺς ἡ Ἑλλὰς εἶχε καὶ a μετέωρος ἦν ἐλπίσι διαφθειρομένη βασιλικαῖς ὑπὸ τῶν δημαγωγῶν. (5) Ἔπεμπεν οὖν πρέσβεις ὁ Μάνιος ἐπὶ τὰς πόλεις. Καὶ τὰ μὲν πλεῖστα τῶν νεωτεριζόντων Τίτος Φλαμίνιος ἔσχεν ἄνευ ταραχῆς καὶ κατεπράϋνεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, Κάτων δὲ Κορινθίους καὶ Πατρεῖς, ἔτι δ' Αἰγιεῖς παρεστήσατο. Πλεῖστον δὲ χρόνον ἐν Ἀθήναις διέτριψε. (6) Καὶ λέγεται μέν τις αὐτοῦ φέρεσθαι λόγος, ὃν Ἑλληνιστὶ πρὸς τὸν δῆμον εἶπεν, ὡς ζηλῶν τε τὴν ἀρετὴν τῶν παλαιῶν Ἀθηναίων, τῆς τε πόλεως διὰ τὸ κάλλος καὶ τὸ μέγεθος ἡδέως εἴη γεγονὼς θεατής· τὸ δ' οὐκ ἀληθές ἐστιν, ἀλλὰ δι' ἑρμηνέως ἐνέτυχε τοῖς Ἀθηναίοις, δυνηθεὶς ἂν αὐτὸς εἰπεῖν, ἐμμένων δὲ τοῖς πατρίοις καὶ b καταγελῶν τῶν τὰ Ἑλληνικὰ τεθαυμακότων. (7) Ποστούμιον γοῦν Ἀλβῖνον ἱστορίαν Ἑλληνιστὶ γράψαντα καὶ συγγνώμην αἰτούμενον ἐπέσκωψεν εἰπὼν, δοτέον εἶναι τὴν συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων ψηφισαμένων ἀναγκασθεὶς ὑπέμεινε τὸ ἔργον. (8) Θαυμάσαι δέ φησι τοὺς Ἀθηναίους τὸ τάχος αὐτοῦ καὶ τὴν ὀξύτητα τῆς φράσεως· ἃ γὰρ αὐτὸς ἐξέφερε βραχέως, τὸν ἑρμηνέα μακρῶς καὶ διὰ πολλῶν ἀπαγγέλλειν· τὸ δ' ὅλον οἴεσθαι τὰ ῥήματα τοῖς μὲν Ἕλλησιν ἀπὸ χειλέων, τοῖς δὲ Ῥωμαίοις ἀπὸ καρδίας φέρεσθαι.

XII. Itaque et Ti. Sempronio consuli legatus in Thracia et regionibus ad Istrum ad peragendas res adjumento fuit, et tribunus militum cum Manio Acilio in Græciam adversus Antiochum ivit, post Hannibalem, ut nemo alius, Romanis terribilem. (2) Quippe is, recepta omni prope Asia, quam Seleucus Nicator habuerat, multisque et bellicosis barbarorum gentibus sibi subditis, ita animo creverat, ut cum Romanis congredi cuperet, quos jam solos dignos se adversarios putabat. (3) Honestum ergo belli prætextum commentus, liberandæ Græciæ studium, (cum Græci eo nequaquam indigerent, nuper Romanorum beneficio a Philippo et Macedonibus liberati suisque legibus restituti), copias in Europam trajecit. (4) Exstitere statim in Græcia motus, hominumque animi, oratorum concionibus magnas a rege spes ostentantibus moti, exspectatione erigebantur. (5) Itaque Manius legatos circum urbes misit: quorum unus T. Flaminius plerosque novas res molientes citra tumultum inhibuit et sedavit: quod in ejus Vita ostendimus. Cato autem Corinthios, Patrenses, Ægiensesque Romanis conciliavit; Athenis diutius quam alibi egit. (6) Sane dicunt, ejus ferri quandam orationem, quam ad populum ibi græce habuerit, exposueritque ea se admiratione virtutis priscorum Atheniensium ductum, urbem quoque eorum pulchritudinis et amplitudinis causa libenter spectasse. Atqui verum hoc non est, sed per interpretem locutus est Atheniensibus, non quod ipse Græce nesciret, sed ut morem patriæ tueretur, alioquin etiam irridens eos, qui Græca magni faciebant. (7) Ita Postumium Albinum, cum is historiam Græce composuisset, peteretque ut ea æquo animo legeretur, per jocum notavit: ignoscendum ei fuisse dicens, si decreto Amphictyonum coactus, necessario id opus subiisset. (8) Ipse Athenienses ait suam in dicendo celeritatem et vim verborum admiratos: quod quæ brevibus dixisset, ea interpres uberius explicaret; omnino autem ita judicare, orationem Græcis ab ore, Romanis a corde proficisci.

XIII. Ἐπεὶ δ' Ἀντίοχος φράξας τὰ περὶ Θερμο- c

XIII. Posteaquam Antiochus angustias Thermopylarum

πύλας στενὰ τῷ στρατοπέδῳ καὶ τοῖς αὐτοφυέσι τῶν τόπων ἐρύμασι προσβαλὼν χαρακώματα καὶ διατειχίσματα, καθῆστο τὸν πόλεμον ἐκκεκλεικέναι νομίζων, τὸ μὲν κατὰ στόμα βιάζεσθαι παντάπασιν ἀπεγίνωσκον οἱ Ῥωμαῖοι, τὴν δὲ Περσικὴν ἐκείνην περιήλυσιν καὶ κύκλωσιν ὁ Κάτων εἰς νοῦν βαλόμενος ἐξώδευσε νύκτωρ ἀναλαβὼν μέρος τι τῆς στρατιᾶς. (2) Ἐπεὶ δ' ἄνω προελθόντων ὁ καθοδηγῶν αἰχμάλωτος ἐξέπεσε τῆς ὁδοῦ καὶ πλανώμενος ἐν τόποις ἀπόροις καὶ κρημνώδεσι δεινὴν ἀθυμίαν καὶ φόβον ἐνειργάσατο τοῖς στρατιώταις, ὁρῶν ὁ Κάτων τὸν κίνδυνον ἐκέλευσε τοὺς ἄλλους ἅπαντας ἀτρεμεῖν καὶ περιμένειν, αὐτὸς δὲ Λεύκιόν τινα Μάλλιον, ἄνδρα δεινὸν ὀρειβατεῖν, παραλαβὼν ἐχώρει πολυπόνως καὶ παραβόλως ἐν ἀσελήνῳ νυκτὶ καὶ βαθείᾳ, κοτίνοις καὶ πάγοις ἀνατεταμένοις διασπάσματα τῆς ὄψεως καὶ ἀσάφειαν ἐχούσης, ἕως ἐμβαλόντες εἰς ἀτραπὸν, ὡς ᾠοντο, κάτω περαίνουσαν ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων ἔθεντο σημεῖα πρός τινας εὐσκόπους κεραίας ὑπὲρ τὸ Καλλίδρομον ἀνεχούσας. (3) Οὕτω δὲ πάλιν ἐπανελθόντες ὀπίσω τὴν στρατιὰν ἀνέλαβον καὶ πρὸς τὰ σημεῖα προαγαγόντες ἥψαντο μὲν ἐκείνης τῆς ἀτραποῦ καὶ κατεστήσαντο τὴν πορείαν, μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἐπέλιπε φάραγγος ὑπολαμβανούσης. Καὶ πάλιν ἦν ἀπορία καὶ δέος οὐκ ἐπισταμένων οὐδὲ συνορώντων, ὅτι πλησίον ἐτύγχανον τῶν πολεμίων γεγονότες. (4) Ἤδη δὲ διέλαμπεν ἡμέρα καὶ φθογγῆς τις ἔδοξεν ὑπακοῦσαι, τάχα δὲ καὶ καθορᾶν Ἑλληνικὸν χάρακα καὶ προφυλακὴν ὑπὸ τὸ κρημνῶδες. (5) Οὕτως οὖν ἐπιστήσας ἐνταῦθα τὴν στρατιὰν ὁ Κάτων ἐκέλευσεν αὐτῷ προσελθεῖν ἄνευ τῶν ἄλλων τοὺς Φιρμιανοὺς, οἷς ἀεὶ πιστοῖς ἐχρῆτο καὶ προθύμοις. Συνδραμόντων δὲ καὶ περιστάντων αὐτὸν ἀθρόων εἶπεν, « Ἄνδρα χρῄζω λαβεῖν τῶν πολεμίων ζῶντα καὶ πυθέσθαι, τίνες οἱ προφυλάσσοντες οὗτοι, πόσον πλῆθος αὐτῶν, τίς ὁ τῶν ὅλων διάκοσμος, ἡ τάξις, ἡ παρασκευὴ, μεθ' ἧς ὑπομενοῦσιν ἡμᾶς. Τὸ δ' ἔργον ἅρπασμα τάχους γενέσθω καὶ τόλμης, ἢ καὶ λέοντες ἄνοπλοι θαῤῥοῦντες ἐπὶ τὰ δειλὰ τῶν θηρίων βαδίζουσι. » (6) Ταῦτα εἰπόντος τοῦ Κάτωνος αὐτόθεν ὀρούσαντες, ὥσπερ εἶχον, οἱ Φιρμιανοὶ κατὰ τῶν ὀρῶν ἔθεον ἐπὶ τὰς προφυλακάς· καὶ προσπεσόντες ἀπροσδόκητοι πάντας μὲν διετάραξαν καὶ διεσκέδασαν, ἕνα δ' αὐτοῖς ὅπλοις ἅρπασαντες ἐνεχείρισαν τῷ Κάτωνι. (7) Παρὰ τούτου μαθὼν, ὡς ἡ μὲν ἄλλη δύναμις ἐν τοῖς στενοῖς κάθηται μετὰ τοῦ βασιλέως, οἱ δὲ φρουροῦντες αὐτοῦ τὰς ὑπερβολὰς Αἰτωλῶν εἰσὶν ἑξακόσιοι λογάδες, καταφρονήσας τῆς ὀλιγότητος ἅμα καὶ τῆς ὀλιγωρίας εὐθὺς ἐπῆγεν ἅμα σάλπιγξι καὶ ἀλαλαγμῷ πρῶτος σπασάμενος τὴν μάχαιραν. (8) Οἱ δ' ὡς εἶδον ἀπὸ τῶν κρημνῶν ἐπιφερομένους, φεύγοντες εἰς τὸ μέγα στρατόπεδον ταραχῆς ἐνεπίμπλασαν ἅπαντα.

XIV. Ἐν τούτῳ δὲ καὶ τοῦ Μανίου κάτωθεν πρὸς τὰ διατειχίσματα βιαζομένου καὶ τοῖς στενοῖς προσ-

cum exercitu suo insedit, locosque natura tutos vallis atque munitionibus ita obstruxit, ut bellum declinasse videretur, a fronte eum aggredi ne sperarunt quidem Romani. Tum Cato Persicæ istius circuitionis recordatus, noctu cum parte exercitus rei ejus causa abiit. (2) Verum ut dux itineris ex captivis acceptus in ascendendo via excidit errandoque per invia et præcipitia magnum metum atque animi defectionem apud milites excitavit: Cato periculum cernens, reliquis omnibus quiescere et operiri jussis, ipse cum L. quodam Manlio, viro scandendorum montium perito, magno cum labore et periculo nocte alta et luna latente, quum insuper ob oleastros et rupes in altum eminentes visus interciperetur, neque certi quicquam deprehenderet, donec in callem ad castra (sic enim putabant) hostium descendentem pervenirent, ubi signa ad conspicua quædam cacumina supra Callidromum eminentia posuerunt. (3) Tum retro descendentes signaque observantes exercitum adduxerunt, et eo agmen egerunt; sed parum inde progressis callis desiit, convalle eum excipiente; rursusque hæsitabant, et formido incessebat, neque cernentes se prope hostes esse. (4) Simul illuxit, cum et vocem sibi exaudire visi sunt et confestim castra Græca excubiasque sub præcipitiis videre suspicati. (5) Itaque Cato itinere inhibito, Firmanos (quibus maxime fidis et alacribus usus fuerat semper) reliquis semotis ad se vocavit: cumque ii accurrissent et conferti circumstetissent, « Unum de hostibus vivum capi oportet, inquit, ex quo cognoscam qui sint excubitores isti, quot numero, quis omnino totius exercitus ordo, quæ constitutio, qui apparatus quo nos sint excepturi; opus erit celeritatis hoc et audaciæ, qua freti et inermes leones audent in timidas belluas invadere. (6) Vix hæc dixerat Cato, quum illico Firmani per montes deorsum se ad excubias dejecerunt, impressioneque improviso facta, omnes perturbarunt et dissiparunt, unum, ut erat armatus, arreptum ad Catonem attulerunt. (7) Ex hoc cognitum Catoni, reliquas copias cum rege in faucibus desidere; in excubiis vero ad jugum positos sexcentos esse Ætolorum delectos. Is simul et paucitatem et negligentiam despectui habens, confestim classicum cani et clamorem a militibus tolli jussit, primusque ipse stricto gladio suos in hostes duxit. (8) At illi Romanos ab sublimi ruere videntes, fuga se in majora castra dederunt omniaque trepidatione impleverunt.

XIV. Jam et Manius sursum vi per munitiones enitebatur et omni cum exercitu fauces oppugnabat; Antiochus os

βάλλοντος ἀθρόαν τὴν δύναμιν, ὁ μὲν Ἀντίοχος εἰς τὸ b
στόμα λίθῳ πληγεὶς ἐκτιναχθέντων αὐτοῦ τῶν ὀδόντων
ἀπέστρεψε τὸν ἵππον ὀπίσω περιαλγὴς γενόμενος, τοῦ
δὲ στρατοῦ μέρος οὐδὲν ὑπέμεινε τοὺς Ῥωμαίους, ἀλλὰ
καίπερ ἀπόρους καὶ ἀμηχάνους τῆς φυγῆς ὁδοὺς καὶ
πλάνας ἐχούσης, ἑλῶν βαθέων καὶ πετρῶν ἀποτόμων
τὰ πτώματα καὶ τὰς ὀλισθήσεις ὑποδεχομένων, εἰς
ταῦτα διὰ τῶν στενῶν ὑπερχεόμενοι καὶ συνωθοῦντες
ἀλλήλους φόβῳ πληγῆς καὶ σιδήρου πολεμίων αὐτοὺς
διέφθειρον. (2) Ὁ δὲ Κάτων ἀεὶ μέν τις ἦν, ὡς ἔοικε,
τῶν ἰδίων ἐγκωμίων ἀφειδὴς καὶ τὴν ἀντικρυς μεγα-
λαυχίαν ὡς ἐπακολούθημα τῆς μεγαλουργίας οὐκ ἔφευ-
γε, πλεῖστον δὲ ταῖς πράξεσι ταύταις ὄγκον περιτέ-
θεικε καί φησι τοῖς ἰδοῦσιν αὐτὸν τότε διώκοντα καὶ c
παίοντα τοὺς πολεμίους παραστῆναι μηδὲν ὀφεῖλειν
Κάτωνα τῷ δήμῳ τοσοῦτον, ὅσον Κάτωνι τὸν δῆμον,
αὐτόν τε Μάνιον τὸν ὕπατον θερμὸν ἀπὸ τῆς νίκης
ἔτι θερμῷ περιπλακέντα πολὺν χρόνον ἀσπάζεσθαι καὶ
βοᾶν ὑπὸ χαρᾶς, ὡς οὔτ' ἂν αὐτὸς οὔθ' ὁ σύμπας δῆμος
ἐξισώσειε τὰς ἀμοιβὰς ταῖς Κάτωνος εὐεργεσίαις. (3)
Μετὰ δὲ τὴν μάχην εὐθὺς εἰς Ῥώμην ἐπέμπετο τῶν
ἠγωνισμένων αὐτάγγελος· καὶ διέπλευσε μὲν εἰς Βρεν-
τέσιον εὐτυχῶς, μιᾷ δ' ἡμέρᾳ διελάσας ἐκεῖθεν εἰς Τά- d
ραντα καὶ τέσσαρας ἄλλας ὁδεύσας πεμπταῖος εἰς
Ῥώμην ἀπὸ θαλάσσης ἀφίκετο καὶ πρῶτος ἀπήγγειλε
τὴν νίκην. Καὶ τὴν μὲν πόλιν ἐνέπλησεν εὐφροσύνης
καὶ θυσιῶν, φρονήματος δὲ τὸν δῆμον ὡς πάσης γῆς
καὶ θαλάσσης κρατεῖν δυνάμενον.

XV. Τῶν μὲν οὖν πολεμικῶν πράξεων τοῦ Κάτω-
νος αὗται σχεδόν εἰσιν ἐλλογιμώταται· τῆς δὲ πολι-
τείας φαίνεται τὸ περὶ τὰς κατηγορίας καὶ τοὺς ἐλέγ-
χους τῶν πονηρῶν μόριον οὐ μικρᾶς ἄξιον σπουδῆς
ἡγησάμενος. Αὐτός τε γὰρ ἐδίωξε πολλοὺς καὶ διώ-
κουσιν ἑτέροις συνηγωνίσατο καὶ παρεσκεύασεν ἄλλους
διώκοντας, ὡς ἐπὶ Σκηπίωνα τοὺς περὶ Πετίλλιον. (2)
Τοῦτον μὲν οὖν ἀπ' οἴκου τε μεγάλου καὶ φρονήματος e
ἀληθινοῦ ποιησάμενον ὑπὸ πόδας τὰς διαβολὰς μὴ
ἀποκτεῖναι δυνηθεὶς ἀφῆκε· Λεύκιον δὲ τὸν ἀδελφὸν
αὐτοῦ μετὰ τῶν κατηγόρων συστὰς καταδίκῃ περιέβαλε
χρημάτων πολλῶν πρὸς τὸ δημόσιον, ἣν οὐκ ἔχων
ἐκεῖνος ἀπολύσασθαι καὶ κινδυνεύων δεθῆναι μόλις
ἐπικλήσει τῶν δημάρχων ἀφείθη. (3) Λέγεται δὲ καὶ
νεανίσκῳ τινὶ τεθνηκότος πατρὸς ἐχθρὸν ἠτιμωκότι καὶ
πορευομένῳ δι' ἀγορᾶς μετὰ τὴν δίκην ἀπαντήσας ὁ
Κάτων δεξιώσασθαι καὶ εἰπεῖν, ὅτι ταῦτα χρὴ τοῖς
γονεῦσιν ἐναγίζειν, οὐκ ἄρνας οὐδ' ἐρίφους, ἀλλ' ἐχθρῶν
δάκρυα καὶ καταδίκας. (4) Οὐ μὴν οὐδ' αὐτὸς ἐν τῇ f
πολιτείᾳ περιῆν ἀθῶος, ἀλλ' ὅπου τινὰ λαβὴν παρά-
σχοι τοῖς ἐχθροῖς κρινόμενος καὶ κινδυνεύων διετέλει.
(5) Λέγεται γὰρ ὀλίγον ἀπολιπούσας τῶν πεντήκοντα
φυγεῖν δίκας, μίαν δὲ τελευταίαν ἓξ ἔτη καὶ ὀγδοήκοντα
γεγονώς· ἐν ᾗ καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς χαλε-
πόν ἐστιν ἐν ἄλλοις βεβιωκότα ἀνθρώποις ἐν ἄλλοις
ἀπολογεῖσθαι. (6) Καὶ τοῦτο πέρας οὐκ ἐποιήσατο a

saxo ictus, excussis etiam dentibus præ magno dolore equum retro converterat : nulla exercitus pars Romanos sustinebat, sed quamvis fugæ nihil esset pervium, omnia difficilia, quod profundæ paludes et præcipitia cadentes et lapsos excipiebant, eo tamen per angustias effuse et magna cum trepidatione ruentes metu vulnerum et hostilis ferri se ipsos perdebant. (2) Et Cato, nunquam ut videtur suarum ipse laudum parcus (ut qui apertam jactantiam magnanimitatis comitem ratus, minime se indignam arbitraretur), magnifice eam actionem prædicavit : ait enim eos qui tunc eum hostes insequentem et ferientem viderint, intellexisse non populo tantum Catonem, quantum Catoni populum debere : sed et Manium consulem a victoria calentem adhuc calidum ipsum amplexum, diu multumque consalutasse ac præ gaudio exclamasse, neque a se, neque ab universo populo dignis gratiis Catonis merita posse adæquari. (3) A pugna statim ipse Cato rei gestæ nuncius Romam missus est : prospereque Brundusium advectus, inde uno die Tarentum venit ; hinc quatriduum terra profectus, quinto Romam venit : ibi primus victoriæ nuncium attulit, urbem lætitia et sacrificiis implevit, populique animos excitavit, qui se jam omni terra marique potiri posse crederent.

XV. Hæ fere sunt Catonis res militiæ gestæ præ ceteris illustres ; rerum autem civilium apparet eum partem haud postremam duxisse positam in accusandis et convincendis pravis hominibus, quando et ipse multos in judicio persecutus est et aliis persequentibus auxilio fuit et accusatores subornavit, ut Scipioni Petilium. (2) Sed hunc splendore generis veraque magnanimitate calumnias proculcantem, quum opprimere non posset, missum fecit ; frater autem ejus Lucius ut gravi mulcta ærario pendenda damnaretur, facta cum aliis accusatoribus coitione effecit : cui is quum non esset solvendo, periculumque esset ne vinciretur, ægre tribunorum plebis appellatione evasit. (3) Fertur etiam cuidam juveni, qui patris defuncti inimicum ignominia ultus a judicio per forum ambularet, obviam factus dextram injecisse, dixisseque parentibus non agnis aut hœdis, sed inimicorum lacrimis et damnationibus parentandum esse. (4) Neque vero ipse securus accusationum in republica versabatur : sed quoties ansam aliquam inimicis præbuisset, nunquam non in judicium periculumque est vocatus. (5) Et quidem perhibent, eum non multo minus quinquagies causam suam dixisse, postremo quidem, natum jam annos octoginta sex ; quo tempore notum illud protulit, difficile esse eum, qui apud alios vixerit homines, apud alios de causa a sua respondere. (6) Neque tamen hunc certaminum finem

τῶν ἀγώνων, τεσσάρων δ' ἄλλων ἐνιαυτῶν διελθόντων Σερουιλίου Γάλβα κατηγόρησεν ἐνενήκοντα γεγονὼς ἔτη. (7) Κινδυνεύει γὰρ ὡς ὁ Νέστωρ εἰς τριγονίαν τῷ βίῳ καὶ ταῖς πράξεσι κατελθεῖν. Σκηπίωνι γὰρ, ὡς λέλεκται, τῷ μεγάλῳ πολλὰ διερισάμενος ἐν τῇ πολιτείᾳ διέτεινεν εἰς Σκηπίωνα τὸν νέον, ὃς ἦν ἐκείνου κατὰ ποίησιν υἱωνὸς, υἱὸς δὲ Παύλου τοῦ Περσέα καὶ Μακεδόνας καταπολεμήσαντος.

XVI. Τῆς δ' ὑπατείας κατόπιν ἔτεσι δέκα τιμητείαν ὁ Κάτων παρήγγειλε. Κορυφὴ δέ τις ἐστὶ τιμῆς ἁπάσης ἡ ἀρχὴ καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις ἄλλην τε πολλὴν ἐξουσίαν ἔχουσα καὶ τὴν περὶ τὰ ἤθη b καὶ τοὺς βίους ἐξέτασιν. (2) Οὔτε γὰρ γάμον οὔτε παιδοποιίαν τινὸς οὔτε δίαιταν οὔτε συμπόσιον ᾤοντο δεῖν ἄκριτον καὶ ἀνεξέταστον, ὡς ἕκαστος ἐπιθυμίας ἔχοι καὶ προαιρέσεως, ἀφεῖσθαι· πολὺ δὲ μᾶλλον ἐν τούτοις νομίζοντες ἢ ταῖς ὑπαίθροις καὶ πολιτικαῖς πράξεσι τρόπον ἀνδρὸς ἑνορᾶσθαι, φύλακα καὶ σωφρονιστὴν καὶ κολαστὴν τοῦ μηδένα καθ' ἡδονὰς ἐκτρέπεσθαι καὶ παρεκβαίνειν τὸν ἐπιχώριον καὶ συνήθη βίον ἡροῦντο τῶν καλουμένων πατρικίων ἕνα καὶ τῶν δημοτικῶν ἕνα. (3) Τιμητὰς δὲ τούτους προσηγόρευον, ἐξουσίαν ἔχοντας ἀφελέσθαι μὲν ἵππον, ἐκβαλεῖν δὲ συγκλήτου τὸν ἀκολάστως βιοῦντα καὶ ἀτάκτως. Οὗτοι δὲ c καὶ τὰ τιμήματα τῶν οὐσιῶν λαμβάνοντες ἐπεσκόπουν καὶ ταῖς ἀπογραφαῖς τὰ γένη καὶ τὰς πολιτείας διέκριvον· ἄλλας τε μεγάλας ἔχει δυνάμεις ἡ ἀρχή. (4) Διὸ καὶ τῷ Κάτωνι πρὸς τὴν παραγγελίαν ἀπήντησαν ἐνιστάμενοι σχεδὸν οἱ γνωριμώτατοι καὶ πρῶτοι τῶν συγκλητικῶν. Τοὺς μὲν γὰρ εὐπατρίδας ὁ φθόνος ἐλύπει παντάπασιν οἰομένους προπηλακίζεσθαι τὴν εὐγένειαν ἀνθρώπων ἀπ' ἀρχῆς ἀδόξων εἰς τὴν ἄκραν τιμὴν καὶ δύναμιν ἀναβιβαζομένων, οἱ δὲ μοχθηρὰ συνειδότες αὑτοῖς ἐπιτηδεύματα καὶ τῶν πατρίων ἐκδιαίτησιν ἐθῶν ἐφοβοῦντο τὴν αὐστηρίαν τοῦ ἀνδρὸς ἀπαραίτητον ἐν d ἐξουσίᾳ καὶ χαλεπὴν ἐσομένην. (5) Διὸ συμφρονήσαντες καὶ παρασκευάσαντες ἑπτὰ κατηγον ἐπὶ τὴν παραγγελίαν ἀντιπάλους τῷ Κάτωνι θεραπεύοντας ἐλπίσι χρησταῖς τὸ πλῆθος, ὡς δὴ μαλακῶς καὶ πρὸς ἡδονὴν ἄρχεσθαι δεόμενον. (6) Τοὐναντίον δ' ὁ Κάτων οὐδεμίαν ἐνδιδοὺς ἐπιείκειαν, ἀλλ' ἄντικρυς ἀπειλῶν τε τοῖς πονηροῖς ἀπὸ τοῦ βήματος καὶ κεκραγὼς μεγάλου καθαρμοῦ χρῄζειν τὴν πόλιν ἠξίου τοὺς πολλοὺς, εἰ σωφρονοῦσι, μὴ τὸν ἥδιστον, ἀλλὰ τὸν σφοδρότατον αἱρεῖσθαι τῶν ἰατρῶν, τοῦτον δὲ αὐτὸν εἶναι καὶ τῶν πατρικίων ἕνα, Φλάκκον Οὐαλλέριον· μετ' ἐκείνου γὰρ οἴεσθαι e μόνου τὴν τρυφὴν καὶ τὴν μαλακίαν ὥσπερ ὕδραν τέμνων καὶ ἀποκαίων προὔργου τι ποιήσειν, τῶν δ' ἄλλων ὁρᾶν ἕκαστον ἄρξαι κακῶς βιαζόμενον, ὅτι τοὺς καλῶς ἄρξοντας δέδοικεν. (7) Οὕτω δ' ἄρα μέγας ἦν ὡς ἀληθῶς καὶ μεγάλων ἄξιος δημαγωγῶν ὁ Ῥωμαίων δῆμος, ὥστε μὴ φοβηθῆναι τὴν ἀνάτασιν καὶ τὸν ὄγκον τοῦ ἀνδρὸς, ἀλλὰ τοὺς ἡδεῖς ἐκείνους καὶ πρὸς χάριν ἅπαντα ποιήσειν δοκοῦντας ἀποβρίψας ἑλέσθαι μετὰ τοῦ Κά-

fecit : quadriennio enim post servium Galbam nonagenarius accusavit. (7) Videtur enim omnino vita et actionibus suis tertiam ætatem Nestoris exemplo attigisse. Quum enim, ut demonstravimus, gravia de republica certamina adversus Scipionem majorem habuit, usque ad Scipionem minorem (qui adoptionis ratione illius fuit nepos, filius Pauli ejus, qui Perseum et Macedones debellavit) vitam produxit.

XVI. Decem annis post consulatum, censuram petiit. Est hic magistratus quasi fastigium ceterorum honorum, et reliquarum reipublicæ administrationum velut perfectio, ac præter aliam potestatem in vitas moresque civium inquisitionem habet. (2) Nam Romani neque nuptias cujusquam, neque liberorum procreationem, neque victus rationem, neque convivium examinis et judicii immune singulorum hominum voluntati aut cupiditati liberum relinquebant; verum rati in domesticis hisce rebus certius, quam in publicis et omnium conspectui expositis actionibus uniuscujusque mores conspici; constituerunt duos viros, unum patricium, plebeium alterum, qui in observando, castigando plectendoque curarent ne quis a Romana et consueta vita diverteret et voluptatibus indulgeret. (3) Hi censores dicebantur : quibus licebat aut equum adimere, aut senatu ejicere, si quis intemperanter vel petulanter vixisset : porro possessionum æstimationem fecerunt, censuque familias et ordines civium distinguebant; denique multa alia magna erant ipsis permissa. (4) Ergo Catoni censuram petenti nobilissimus fere quisque et primus senatorum resistebant. Nam et patricii invidia æstuabant, quod nobilitatem hominibus obscuro loco natis ad summum honorem et potentiam enitentibus ignominia affici putarent; et qui se majorum moribus posthabitis vitam non optimis studiis impendisse conscii sibi erant, rigidam viri severitatem metuebant, gravem ipsis eo in magistratu futuram. (5) Eapropter facta conspiratione, septem competitores Catoni subornaverunt, qui multitudinem tanquam lenis et indulgentis cupidam censuræ, plenam bonæ spei facerent. (6) Contra Cato nihil obsequii præ se ferens, sed palam de tribunali malis minitans vociferansque civitatem vehementi expurgatione indigere, hortabatur multitudinem, ut, si saperent, non lenissimum, sed asperrimum deligerent medicum, hunc se esse, et unum patriciorum Valerium Flaccum; hoc uno collega sperare se hydræ instar secando urendoque luxu et mollitie civium operæ pretium facturum; et animadvertere se, reliquos omnes ideo moliri censura male fungi, quod futuros bonos censores metuerent. (7) Ita tum magnus profecto, dignusque eximiis ducibus fuit populus Romanus, ut minas viri ejus jactantiamque nihil reveritus, blandis istis et indulgentiam maximam pollicentibus repudiatis, Flaccum cum Catone censores elegerit, Catonemque

τωνος τὸν Φλάκκον, ὥσπερ οὐκ αἰτοῦντος ἀρχήν, ἀλλ' ἄρχοντος ἤδη καὶ προστάττοντος ἀκροώμενος.

XVII. Προέγραψε μὲν οὖν ὁ Κάτων τῆς συγκλήτου τὸν συνάρχοντα καὶ φίλον, Λεύκιον Οὐαλλέριον Φλάκκον, ἐξέβαλε δὲ τῆς βουλῆς ἄλλους τε συχνοὺς καὶ Λεύκιον Κοΐντιον, ὕπατον μὲν ἑπτὰ πρότερον ἐνιαυτοῖς γεγενημένον, ὃ δ' ἦν αὐτῷ πρὸς δόξαν ὑπατείας μεῖζον, ἀδελφὸν Τίτου Φλαμινίνου τοῦ καταπολεμήσαντος Φίλιππον. (2) Αἰτίαν δὲ τῆς ἐκβολῆς ἔσχε τοιαύτην. Μειράκιον ἐκ τῆς παιδικῆς ὥρας ἑταιροῦν ἀνειλημμένος ὁ
346 Λεύκιος ἀεὶ περὶ αὐτὸν εἶχε καὶ συνεπήγετο στρατηγῶν a ἐπὶ τιμῆς καὶ δυνάμεως τοσαύτης, ὅσην οὐδεὶς εἶχε τῶν πρώτων παρ' αὐτῷ φίλων καὶ οἰκείων. (3) Ἐτύγχανε μὲν οὖν ἡγούμενος ὑπατικῆς ἐπαρχίας· ἐν δὲ συμποσίῳ τινὶ τὸ μειράκιον, ὥσπερ εἰώθει, συγκατακείμενον ἄλλην τε κολακείαν ἐκίνει πρὸς τὸν ἄνθρωπον ἐν οἴνῳ ῥᾳδίως ἀγόμενον καὶ φιλεῖν αὐτὸν οὕτως ἔλεγεν « ὥστ', ἔφη, θέας οὔσης οἴκοι μονομάχων οὐ τεθεαμένος πρότερον ἐξώρμησα πρὸς σέ, καίπερ ἐπιθυμῶν ἰδεῖν ἄνθρωπον σφαττόμενον. » (4) Ὁ δὲ Λεύκιος ἀντιφιλοφρονούμενος, « Ἀλλὰ τούτου γε χάριν, εἶπε, μή μοι κατάκεισο λυπούμενος, ἐγὼ γὰρ ἰάσομαι. » (5) Καὶ κελεύσας b ἕνα τῶν ἐπὶ θανάτῳ κατακρίτων εἰς τὸ συμπόσιον ἀχθῆναι καὶ τὸν ὑπηρέτην ἔχοντα πέλεκυν παραστῆναι πάλιν ἠρώτησε τὸν ἐρώμενον, εἰ βούλεται τυπτόμενον θεάσασθαι· φήσαντος δὲ βούλεσθαι προσέταξε τοῦ ἀνθρώπου τὸν τράχηλον ἀποκόψαι. (6) Οἱ μὲν οὖν πλεῖστοι ταῦτα ἱστοροῦσι, καὶ ὅ γε Κικέρων αὐτὸν τὸν Κάτωνα διηγούμενον ἐν τῷ περὶ γήρως διαλόγῳ πεποίηκεν· ὁ δὲ Λίβιος αὐτόμολον εἶναί φησι Γαλάτην τὸν ἀναιρεθέντα, τὸν δὲ Λεύκιον οὐ δι' ὑπηρέτου κτεῖναι τὸν ἄνθρωπον, ἀλλ' αὐτὸν ἰδίᾳ χειρί, καὶ ταῦτα ἐν τῷ λόγῳ γεγράφθαι Κάτωνος. (7) Ἐκβληθέντος οὖν τοῦ Λευκίου τῆς βουλῆς ὑπὸ τοῦ Κάτωνος ὁ ἀδελφὸς αὐτοῦ βαρέως φέρων ἐπὶ τὸν δῆμον κατέφευγε καὶ τὴν αἰτίαν ἐκέλευεν c εἰπεῖν τὸν Κάτωνα τῆς ἐκβολῆς. (8) Εἰπόντος δὲ καὶ διηγησαμένου τὸ συμπόσιον ἐπεχείρει μὲν ὁ Λεύκιος ἀρνεῖσθαι, προκαλουμένου δὲ τοῦ Κάτωνος εἰς ὅρκισμὸν ἀνεδύετο. (9) Καὶ τότε μὲν ἄξια παθεῖν κατεγνώσθη· θέας δ' οὔσης ἐν θεάτρῳ τὴν ὑπατικὴν χώραν παρελθὼν καὶ πορρωτάτω που καθεσθεὶς οἶκτον ἔσχε παρὰ τῷ δήμῳ καὶ βοῶντες ἠνάγκασαν αὐτὸν μετελθεῖν, ὡς ἦν δυνατὸν ἐπανορθούμενοι καὶ θεραπεύοντες τὸ γεγενημένον. (10) Ἄλλον δὲ βουλῆς ἐξέβαλεν ὑπατεύσειν ἐπίδοξον ὄντα, Μανίλλιον, ὅτι τὴν αὐτοῦ γυναῖκα μεθ' ἡμέραν ὁρώσης τῆς θυγατρὸς κατεφίλησεν· αὐτῷ δ' ἔφη τὴν d γυναῖκα μηδέποτε πλὴν βροντῆς μεγάλης γενομένης περιπλακῆναι καὶ μετὰ παιδιᾶς εἰπεῖν αὐτὸν ὡς μακάριός ἐστι τοῦ Διὸς βροντῶντος.

XVIII. Ἤνεγκε δέ τινα τῷ Κάτωνι καὶ Λεύκιος ὁ Σκηπίωνος ἀδελφὸς ἐπίφθονον αἰτίαν, θριαμβικὸς ἀνήρ, ἀφαιρεθεὶς ὑπ' αὐτοῦ τὸν ἵππον· ἔδοξε γὰρ οἷον ἐφυβρίζων Ἀφρικανῷ Σκηπίωνι τοῦτο ποιῆσαι. (2) Τοὺς δὲ πλείστους ἠνίασε μάλιστα τῇ περικοπῇ τῆς πολυτελείας,

tum non ut qui peteret, sed ut qui jam gereret magistratum istum atque mandaret pro imperio audiverit. f

XVII. Cato collegam suum et amicum L. Valerium Flaccum principem senatus legit: senatu movit cum alios plures, tum L. Quinctium, qui septem ante annis consul fuerat, frater (id quod gloriam ei, quam consulatus, majorem afferebat) T. Quinctii Flaminini ejus, qui Philippum debellavit. (2) Causa, cur eum senatu ejiceret, hæc fuit. Puerum elegantem L. Quinctius pro scorto secum habebat semper circumducebatque eum in magistratu cum tanto, quanto nullus ne præcipuorum quidem ejus familiarium amicorumque esset habitus, honore et potentia. (3) Forte tum consul provinciam obibat. In convivio quodam puer is juxta eum pro more accumbens, et hominem qui inter pocula facile quo quis vellet duci se pateretur adulans, inter alia tanto se ejus amore teneri dixit, ut quum domi ludi essent gladiatorii quos ipse nunquam spectasset, tamen ad ipsum profectus esset quamvis videre hominem feriri vehementer cuperet. (4) Ad hæc Lucius, ut amori amore responderet: Nihil est, inquit, cur propterea doleas, ipse enim huic damno medebor. (5) Simul unum de iis, qui damnati capitis erant, in convivium introduci, lictoremque cum securi astare jussit: percontatus inde amasium an feriri hunc vellet videre; ut is annuit, collum illius securi præcidi imperavit. (6) Hoc modo quum plerique alii rem actam tradunt, tum in Dialogo de senectute Cicero ipsum Catonem ita narrantem introducit; Livius eum, qui occisus sit, perfugam Gallum fuisse, et sua, non lictoris manu Quinctium ei necem intulisse refert, itaque esse in oratione scriptum ipsius Catonis. (7) Ejectum senatu a Catone Lucium graviter ferens T. Flamininus, ad populum confugit, causamque ejecti fratris dicere Catonem jussit. (8) Cato convivium illud retulit atque exposuit, et L. Quinctio infitias eunte, Cato, ut sponsione se defenderet, postulavit; quod ille recusavit. (9) Itaque jure tunc quidem notatus fuisse creditus est; sed quum post in theatro spectacula exhiberentur et Lucius præterito loco consulari longissime inde consedisset, motus misericordia populus sublato clamore, ad locum eum suum redire coegit, utcumque ignominia eum accepta liberans. (10) Manilium porro, consulatui jam, ut credebatur, propinquum, senatu movit, quod is interdiu, vidente filia, uxorem esset osculatus; sibi quidem nunquam a muliere amplexum latum narrabat, nisi quum vehemens tonitru exstitisset, seque joco solitum dicere, Jove tonante se felicem esse.

XVIII. Invidiæ etiam id Catoni fuit, quod L. Scipioni, Africani fratri, triumphali viro equum ademit: videbatur enim hoc in contumeliam P. Scipionis facere. (2) Plerosque autem maxime luxu amputato offendit. Palam quidem eum

ἦν ἀντικρυς μὲν ἀφελέσθαι, νενοσηκότων ἤδη καὶ διεφθαρμένων ὑπ' αὐτῆς τῶν πολλῶν, ἀδύνατον ἦν, κύκλῳ δὲ περιὼν ἠνάγκαζεν ἐσθῆτος, ὀχήματος, κόσμου γυναικείου, σκευῶν τῶν περὶ δίαιταν, ὧν ἑκάστου τὸ τίμημα δραχμὰς χιλίας καὶ πεντακοσίας ὑπερέβαλλεν, ἀποτιμᾶσθαι τὴν ἀξίαν εἰς τὸ δεκαπλάσιον, βουλόμενος ἀπὸ μειζόνων τιμημάτων αὐτοῖς μείζονας καὶ τὰς εἰσφορὰς εἶναι. (3) Καὶ προσετίμησε τρεῖς χαλκοῦς τοῖς χιλίοις, ὅπως βαρυνόμενοι ταῖς ἐπιβολαῖς καὶ τοὺς εὐσταλεῖς καὶ λιτοὺς ὁρῶντες ἀπὸ τῶν ἴσων ἐλάττονα τιλοῦντας εἰς τὸ δημόσιον ἀπαγορεύωσιν. (4) Ἦσαν οὖν αὐτῷ χαλεποὶ μὲν οἱ τὰς εἰσφορὰς διὰ τὴν τρυφὴν ὑπομένοντες, χαλεποὶ δ' αὖ πάλιν οἱ τὴν τρυφὴν ἀποτιθέμενοι διὰ τὰς εἰσφοράς. (5) Πλούτου γὰρ ἀφαίρεσιν οἱ πολλοὶ νομίζουσι τὴν κώλυσιν αὐτοῦ τῆς ἐπιδείξεως, ἐπιδείκνυσθαι δὲ τοῖς περιττοῖς, οὐ τοῖς ἀναγκαίοις. (6) Ὃ δὴ καὶ μάλιστά φασι τὸν φιλόσοφον Ἀρίστωνα θαυμάζειν, ὅτι τοὺς τὰ περιττὰ κεκτημένους μᾶλλον ἡγοῦνται μακαρίους ἢ τοὺς τῶν ἀναγκαίων καὶ χρησίμων εὐπορουντας. (7) Σκόπας δὲ ὁ Θεσσαλὸς αἰτουμένου τινὸς τῶν φίλων παρ' αὐτοῦ τοιοῦτον, ὃ μὴ σφόδρα ἦν χρήσιμον ἐκείνῳ, καὶ λέγοντος, ὡς οὐδὲν αἰτεῖ τῶν ἀναγκαίων καὶ χρησίμων, « Καὶ μὴν ἐγὼ τούτοις, εἶπεν, εὐδαίμων καὶ πλούσιός εἰμι, τοῖς ἀχρήστοις καὶ περιττοῖς. » (8) Οὕτως ὁ τοῦ πλούτου ζῆλος οὐδενὶ πάθει φυσικῷ συνημμένος ἐκ τῆς ὀχλώδους καὶ θυραίου δόξης ἐπεισόδιός ἐστιν.

XIX. Οὐ μὴν ἀλλὰ τῶν ἐγκαλούντων ἐλάχιστα φροντίζων ὁ Κάτων ἔτι μᾶλλον ἐπέτεινεν, ἀποκόπτων μὲν ὀχετοὺς, οἷς τὸ παραῤῥέον δημόσιον ὕδωρ ὑπολαμβάνοντες ὑπῆγον εἰς οἰκίας ἰδίας καὶ κήπους, ἀνατρέπων δὲ καὶ καταβάλλων ὅσα προὔβαινεν εἰς τὸ δημόσιον οἰκοδομήματα, συστέλλων δὲ τοῖς μισθοῖς τὰς ἐργολαβίας, τὰ δὲ τέλη ταῖς πράσεσιν ἐπὶ τὰς ἐσχάτας ἐλαύνων τιμάς· ἀφ' ὧν αὐτῷ πολὺ συνήχθη μῖσος. (2) Οἱ δὲ περὶ τὸν Τίτον συστάντες ἐπ' αὐτὸν ἔν τε τῇ βουλῇ τὰς γεγενημένας ἐκδόσεις καὶ μισθώσεις τῶν ἱερῶν καὶ δημοσίων ἔργων ἔλυσαν ὡς γεγενημένας ἀλυσιτελῶς καὶ τῶν δημάρχων τοὺς θρασυτάτους παρώξυνον ἐν δήμῳ προσκαλέσασθαι τὸν Κάτωνα καὶ ζημιῶσαι δυσὶ ταλάντοις. (3) Πολλὰ δὲ καὶ πρὸς τὴν τῆς Βασιλικῆς κατασκευὴν ἠνάντιώθησαν, ἣν ἐκεῖνος ἐκ χρημάτων κοινῶν ὑπὸ τὸ βουλευτήριον τῇ ἀγορᾷ παρέβαλε καὶ Πορκίαν Βασιλικὴν προσηγόρευσε. (4) Φαίνεται δὲ θαυμαστῶς ἀποδεξάμενος αὐτοῦ τὴν τιμητείαν ὁ δῆμος. Ἀνδριάντα γοῦν ἀναθεὶς ἐν τῷ ναῷ τῆς Ὑγιείας ἐπέγραψεν οὐ τὰς στρατηγίας οὐδὲ τὸν θρίαμβον τοῦ Κάτωνος, ἀλλ', ὡς ἄν τις μεταφράσειε τὴν ἐπιγραφὴν, « Ὅτι τὴν Ῥωμαίων πολιτείαν ἐγκεκλιμένην καὶ ῥέπουσαν ἐπὶ τὰ χείρω τιμητῆς γενόμενος χρησταῖς ἀγωγαῖς καὶ σώφροσιν ἔθισμοῖς καὶ διδασκαλίαις εἰς ὀρθὸν αὖθις ἀποκατέστησε. » (5) Καίτοι πρότερον αὐτὸς κατεγέλα τῶν ἀγαπώντων τὰ τοιαῦτα καὶ λανθάνειν αὐτοὺς ἔλεγεν ἐπὶ χαλκέων καὶ ζωγράφων ἔργοις μέγα φρονοῦντας, αὐτοῦ δὲ καλλίστας

tollere, quum is plerosque jam invasisset et corrupisset, non potuit; sed per ambages agens impetravit ut vestis, vehiculi, mundi muliebris, instrumenti domus, quorum singulorum pretium mille et quingentis denariis esset majus, pretium decuplo censeretur, voluitque ut majori iis rebus pretio æstimatis, amplius etiam esset pendendum. (3) Impositis igitur in millia æris præterea ternis assibus, efficere voluit ut pensionem eam Romani graviter ferentes, quum viderent a frugalibus et moderatis ejusdem summæ nomine minus in publicum conferri, ipsi quoque luxum abdicarent. (4) Succensebant ergo ei et qui pensionem luxus causa majorem sustinebant et qui a luxu ob pensionem desistebant. (5) Plerique enim ostentatione divitiarum prohibita, ipsas etiam divitias tolli, ostentari autem eas non rebus ad usum necessariis, sed supervacaneis putant. (6) Idque ferunt Aristonem philosophum maxime admiratum, quod ii potius beati putarentur, qui supervacanea possiderent, quam quibus rerum necessariarum et utilium esset copia. (7) Scopas etiam Thessalus cuidam amico ab ipso petenti tale aliquid, quo ipse non magnopere uteretur, ac dicenti: nihil se rerum utilium et ad usum ejus necessariarum poscere: Ego quidem, inquit, maxime ob harum rerum inutilium et non necessariarum abundantiam felix et dives sum. (8) Omnino autem a vana et quam turba hominum consectatur gloria, quasi appendix in vitam communem ascita est admiratio earum divitiarum et appetitio, quæ nulli naturali desiderio inserviunt.

XIX. Enimvero nihil moratus reprehensiones Cato, majori etiam usus porro severitate, aquæ ductus omnes, quibus præterfluens publica aqua intercipiebatur inque privatas domos et hortos derivabatur, præcidit, ædificia quæ in publicum prominerent, destruxit, mancipum publicorum mercedem contraxit, vectigalia summis pretiis locavit. Unde plurima in eum odia. (2) Itaque in senatu T. Quinctius cum suæ factionis hominibus locationes sacrorum et publicorum operum ab eo factas, tanquam inutiles, rescidit, et iidem tribunorum plebis ferocissimos instigarunt, ut Catonem ad populum vocarent, duobusque talentis mulctarent. (3) Multa etiam ad Basilicam, quam Cato de publica pecunia infra Curiam ad forum ædificabat et Portiam Basilicam nominabat, impediendam conati sunt. (4) At populus mirifice approbasse ejus censuram videtur. Nam in æde Salutis statuam Catoni ponens, non præturam neque consulatum ejus inscripsit, sed « quod Romanorum rempublicam inclinatam et in pejus vergentem censor disciplina honesta et exercitationibus temperantiæ in integrum restituisset. » (5) Ipse quidem ante solitus erat ridere eos, qui hæc grata habuissent: ignorare enim illos, quod fusorum et pictorum operibus exsultarent, imagines Catonis pulcherrimas a ci-

εἰκόνας ἐν ταῖς ψυχαῖς περιφέρειν τοὺς πολίτας· πρὸς δὲ τοὺς θαυμάζοντας, ὅτι πολλῶν ἀδόξων ἀνδριάντας d ἐχόντων ἐκεῖνος οὐκ ἔχει, « Μᾶλλον γὰρ ἔφη, βούλομαι ζητεῖσθαι, διὰ τί μου ἀνδριὰς οὐ κεῖται ἢ διὰ τί κεῖται· » τὸ δ' ὅλον οὐδ' ἐπαινούμενον ἠξίου τὸν ἀγαθὸν πολίτην ὑπομένειν, εἰ μὴ τοῦτο χρησίμως γίγνοιτο τῷ κοινῷ. (6) Καὶ πλεῖστα πάντων ἑαυτὸν ἐγκεκωμίακεν, ὅς γε καὶ τοὺς ἁμαρτάνοντάς τι περὶ τὸν βίον, εἶτ' ἐλεγχομένους λέγειν φησὶν ὡς οὐκ ἄξιον ἐγκαλεῖν αὐτοῖς· οὐ γὰρ Κάτωνές εἰσι· καὶ τοὺς ἔνια μιμεῖσθαι τῶν ὑπ' αὐτοῦ πραττομένων οὐκ ἐμμελῶς ἐπιχειροῦντας ἐπαριστέρους καλεῖσθαι Κάτωνας· ἀφορᾶν δὲ τὴν βουλὴν πρὸς αὐτὸν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς ὥσπερ ἐν πλῷ e πρὸς κυβερνήτην, καὶ πολλάκις μὴ παρόντος ὑπερτίθεσθαι τὰ πλείστης ἄξια σπουδῆς. (7) Ἃ δὴ παρὰ τῶν ἄλλων αὐτῷ μαρτυρεῖται· μέγα γὰρ ἔσχεν ἐν τῇ πόλει καὶ διὰ τὸν βίον καὶ διὰ τὸν λόγον καὶ διὰ τὸ γῆρας ἀξίωμα.

XX. Γέγονε δὲ καὶ πατὴρ ἀγαθὸς καὶ περὶ γυναῖκα χρηστὸς ἀνὴρ καὶ χρηματιστὴς οὐκ εὐκαταφρόνητος οὐδ' ὡς τι μικρὸν ἢ φαῦλον ἐν παρέργῳ μεταχειρισάμενος τὴν τοιαύτην ἐπιμέλειαν· ὅθεν οἶμαι δεῖν καὶ περὶ τούτων ὅσα καλῶς ἔχει διεξελθεῖν. (2) Γυναῖκα μὲν οὖν εὐγενεστέραν ἢ πλουσιωτέραν ἔγημεν ἡγούμενος f ὁμοίως μὲν ἀμφοτέρας ἔχειν βάρος καὶ φρόνημα, τὰς δὲ γενναίας αἰδουμένας τὰ αἰσχρὰ μᾶλλον ὑπηκόους εἶναι πρὸς τὰ καλὰ τοῖς γεγαμηκόσι. (3) Τὸν δὲ τύπτοντα γαμετὴν ἢ παῖδα τοῖς ἁγιωτάτοις ἔλεγεν ἱεροῖς προσφέρειν τὰς χεῖρας. (4) Ἐν ἐπαίνῳ δὲ μείζονι τίθεσθαι τὸ γαμέτην ἀγαθὸν ἢ τὸ μέγαν εἶναι συγκλητικόν· ἐπεὶ καὶ Σωκράτους οὐδὲν ἄλλο θαυμάζειν τοῦ παλαιοῦ πλὴν ὅτι γυναικὶ χαλεπῇ καὶ παισὶν ἀποπλήκτοις χρώμενος ἐπιεικῶς καὶ πράως διετέλεσε. (5) Γενομένου δὲ τοῦ παιδὸς οὐδὲν ἦν ἔργον οὕτως ἀναγκαῖον, 348εἰ μή τι δημόσιον, ὡς μὴ παρεῖναι τῇ γυναικὶ λουούσῃ a τὸ βρέφος καὶ σπαργανούσῃ· αὐτὴ γὰρ ἔτρεφεν ἰδίῳ γάλακτι· πολλάκις δὲ καὶ τὰ τῶν δούλων παιδάρια τῷ μασθῷ προσιεμένη κατεσκεύασεν εὔνοιαν ἐκ τῆς συντροφίας πρὸς τὸν υἱόν. (6) Ἐπεὶ δὲ ἤρξατο συνιέναι, παραλαβὼν αὐτὸς ἐδίδασκε γράμματα, καίτοι χαρίεντα δοῦλον εἶχε γραμματιστὴν ὄνομα Χίλωνα πολλοὺς διδάσκοντα παῖδας. (7) Οὐκ ἠξίου δὲ τὸν υἱὸν, ὥς φησιν αὐτὸς, ὑπὸ δούλου κακῶς ἀκούειν ἢ τοῦ ὠτὸς ἀνατείνεσθαι μανθάνοντα βράδιον, οὐδέ γε μαθήματος τηλικούτου τῷ δούλῳ χάριν ὀφείλειν, ἀλλ' αὐτὸς μὲν ἦν b γραμματιστὴς, αὐτὸς δὲ νομοδιδάκτης, αὐτὸς δὲ γυμναστὴς, οὐ μόνον ἀκοντίζειν οὐδ' ὁπλομαχεῖν οὐδ' ἱππεύειν διδάσκων τὸν υἱὸν, ἀλλὰ καὶ τῇ χειρὶ πὺξ παίειν καὶ καῦμα καὶ ψῦχος ἀνέχεσθαι καὶ τὰ δινώδη καὶ τραχύνοντα τοῦ ποταμοῦ νηχόμενον ἀποδιάζεσθαι. (8) Καὶ τὰς ἱστορίας δὲ συγγράψαι φησὶν αὐτὸς ἰδίᾳ χειρὶ καὶ μεγάλοις γράμμασιν, ὅπως οἰκοθεν ὑπάρχῃ τῷ παιδὶ πρὸς ἐμπειρίαν τῶν παλαιῶν καὶ πατρίων ὠφελεῖσθαι· τὰ δ' αἰσχρὰ τῶν ῥημάτων οὐχ ἧττον εὐλαβεῖσθαι τοῦ παιδὸς παρόν-

vibus in animis eorum circumferri; mirantibus etiam, cur, quum multis ignobilibus statuæ essent positæ, ipsi nulla, Quia, inquit, malo quæri cur nulla mihi sit posita, quam quare posita. Et omnino ne laudari quidem se bonum civem pati debere putabat, nisi id bono publico fieret. (6) At ipse plurimus in se ipso laudando fuit. Et ait, eos qui ob aliquod vitæ delictum culparentur, immerito se accusari significantes dixisse solitos, « non enim eramus Catones »; quosdam etiam, qui ipsius facta imitari parum accurate conati essent, sinistros Catones dictos fuisse. In ipsum vero periculosissimis temporibus se natum haud aliter, quam eos qui in itinere maritimo sunt, ad gubernatorem respexisse, et sæpe ipso absente, gravissima negotia distulisse. (7) Horum etiam alios habet testes: magnæ enim in urbe fuit propter vitam, orationem et senectutem auctoritatis.

XX. Fuit præterea bonus etiam pater, bonus maritus et in re familiari augenda non negligens, neque id negotium ut exiguum aut supervacaneum perfunctorie tractavit. Itaque de his etiam puto, quantum expedit, disserendum. (2) Uxorem duxit nobiliorem quam locupletiorem, ita censens, quum utraque nonnihil habeat gravitatis atque spirituum, tamen nobiles turpitudinis verecundia maritis ad honestas res libentius obsequi. (3) Qui uxorem aut liberos feriret, eum sanctissimis sacris manum afferre dicebat. (4) Majoris sibi laudis videri, bonum esse maritum, quam magnum senatorem: neque se alio nomine magis admirari Socratem veterem, quam quod mulierem morosam et liberos stupidos nactus, perpetuo æquitate animi et mansuetudine usus sit. (5) Nato sibi filio, nullum negotium nisi publicum magis necessarium duxit, quam ut uxori eum lavanti et fasciis involventi astaret. Ipsa enim suo eum lacte enutriit: sæpe servorum quoque infantes uberibus admovit, ut commune nutrimentum eos filio benevolos redderet. (6) Ut institutioni aptus esse cœpit puer, ipse eum Cato literas docuit, quanquam domi suæ servum Chilonem habebat, grammaticum non inscitum et qui multos pueros institueret. (7) Indignum autem putavit, ut ipse ait, filium a servo objurgari, aut si tardius didicisset, auricula trahi, ac tantæ institutionis gratiam mancipio debere. Itaque ipse filium literas, ipse leges docuit, ipse exercuit, non modo in jaculo mittendo, depugnandove in armis et equitando, sed et pugno cominus inferendo, tolerando æstu et frigore, vorticesque fluminis et gurgites natatione superando. (8) Ac propterea inquit se historias suapte manu et majusculis literis conscripsisse, ut filius ab ineunte ætate haberet unde patriæ et majorum res suo cum fructu perdisceret. Præsente filio non minus verecunde, quam si adessent Vestales, ab

τος ἢ τῶν ἱερῶν παρθένων, ἃς Ἑστιάδας καλοῦσι· συλλούσασθαι δὲ μηδέποτε. (9) Καὶ τοῦτο κοινὸν ἔοικε Ῥωμαίων ἔθος εἶναι· καὶ γὰρ πενθεροῖς γαμβροὶ ἐφυλάττοντο συλλούεσθαι, δυσωπούμενοι τὴν ἀποκάλυψιν καὶ γύμνωσιν. (10) Εἶτα μέντοι παρ' Ἕλλήνων τὸ γυμνοῦσθαι μαθόντες αὐτοὶ πάλιν τοῦ καὶ μετὰ γυναικῶν τοῦτο πράσσειν ἀναπεπλήκασι τοὺς Ἕλληνας. (11) Οὕτω δὲ, καλὸν ἔργον, εἰς ἀρετὴν τῷ Κάτωνι πλάττοντι καὶ δημιουργοῦντι τὸν υἱὸν, ἐπεὶ τὰ τῆς προθυμίας ἄμεμπτα ἦν καὶ δι' εὐφυίαν ὑπήκουεν ἡ ψυχὴ, τὸ δὲ σῶμα μαλακώτερον ἐφαίνετο τοῦ πονεῖν, ὑπανῆκεν αὐτῷ τὸ σύντονον ἄγαν καὶ κεκολασμένον τῆς διαίτης. (12) Ὁ δὲ, καίπερ οὕτως ἔχων, ἀνὴρ ἀγαθὸς ἦν ἐν ταῖς στρατείαις καὶ τὴν πρὸς Περσέα μάχην ἠγωνίσατο λαμπρῶς Παύλου στρατηγοῦντος. (13) Εἶτα μέντοι τοῦ ξίφους ἐκκρουσθέντος ὑπὸ πληγῆς καὶ δι' ὑγρότητα τῆς χειρὸς ἐξολισθόντος ἀχθεσθεὶς τρέπεται πρός τινας τῶν συνήθων καὶ παραλαβὼν ἐκείνους αὖθις εἰς τοὺς πολεμίους ἐνέβαλε· πολλῷ δ' ἀγῶνι καὶ βίᾳ μεγάλῃ διαφωτίσας τὸν τόπον εὗρε μόλις ἐν πολλοῖς σάγμασιν ὅπλων καὶ σώμασι νεκρῶν ὁμοῦ φίλων τε καὶ πολεμίων κατασεσωρευμένων. (14) Ἐφ' ᾧ καὶ Παῦλος ὁ στρατηγὸς ἠγάσθη τὸ μειράκιον, καὶ Κάτωνος αὐτοῦ φέρεταί τις ἐπιστολὴ πρὸς τὸν υἱὸν ὑπερφυῶς ἐπαινοῦντος τὴν περὶ τὸ ξίφος φιλοτιμίαν αὐτοῦ καὶ σπουδήν. (15) Ὕστερον δὲ καὶ Παύλου θυγατέρα Τερτίαν ἔγημεν ὁ νεανίας, ἀδελφὴν Σκηπίωνος, οὐχ ἧττον ἤδη δι' αὐτὸν ἢ τὸν πατέρα καταμιγνύμενος εἰς γένος τηλικοῦτον. Ἡ μὲν οὖν περὶ τὸν υἱὸν τοῦ Κάτωνος ἐπιμέλεια τέλος ἄξιον ἔσχεν.

XXI. Οἰκέτας δὲ πολλοὺς ἐκτᾶτο τῶν αἰχμαλώτων ὠνούμενος μάλιστα τοὺς μικροὺς καὶ δυναμένους ἔτι τροφὴν καὶ παίδευσιν ὡς σκύλακας ἢ πώλους ἐνεγκεῖν. (2) Τούτων οὐδεὶς εἰσῆλθεν εἰς οἰκίαν ἑτέραν, εἰ μὴ πέμψαντος αὐτοῦ Κάτωνος ἢ τῆς γυναικός. Ὁ δ' ἐρωτηθεὶς, τί πράττει Κάτων, οὐδὲν ἀπεκρίνετο πλὴν ἀγνοεῖν. (3) Ἔδει δὲ ἢ πράττειν τι τῶν ἀναγκαίων οἶκοι τὸν δοῦλον ἢ καθεύδειν· καὶ σφόδρα τοῖς κοιμωμένοις ὁ Κάτων ἔχαιρε πραοτέρους τε τῶν ἐγρηγορότων νομίζων καὶ πρὸς ὀτιοῦν βελτίονας χρῆσθαι τῶν δεομένων ὕπνον τοὺς ἀπολελαυκότας. (4) Οἰόμενος δὲ τὰ μέγιστα ῥᾳδιουργεῖν ἀφροδισίων ἕνεκα τοὺς δούλους ἔταξεν ὡρισμένου νομίσματος ὁμιλεῖν ταῖς θεραπαινίσιν, ἑτέρᾳ δὲ γυναικὶ μηδένα πλησιάζειν. (5) Ἐν ἀρχῇ μὲν οὖν ἔτι πένης ὢν καὶ στρατευόμενος πρὸς οὐδὲν ἐδυσκόλαινε τῶν περὶ δίαιταν, ἀλλ' αἴσχιστον ἀπέφαινε διὰ γαστέρα πρὸς οἰκέτην ζυγομαχεῖν· ὕστερον δὲ τῶν πραγμάτων ἐπιδιδόντων ποιούμενος ἑστιάσεις φίλων καὶ συναρχόντων ἐκόλαζεν εὐθὺς μετὰ τὸ δεῖπνον ἱμάντι τοὺς ἀμελέστερον ὑπουργήσαντας ὀτιοῦν ἢ σκευάσαντας. (6) Ἀεὶ δέ τινα στάσιν ἔχειν τοὺς δούλους ἐμηχανᾶτο καὶ διαφορὰν πρὸς ἀλλήλους, ὑπονοῶν τὴν ὁμόνοιαν καὶ δεδοικώς. (7) Τοὺς δ' ἄξιον εἰργάσθαι τι θανάτου δόξαντας ἐδικαίου κριθέντας ἐν τοῖς οἰκέταις πᾶσιν ἀποθνή-

obscœnis dictis sibi temperasse, neque unquam una cum eo lavisse. (9) Hic sane mos omnibus videtur fuisse Romanis communis: nam generi, pudorem nudandi corporis servantes, communia cum soceris lavacra vitarunt. (10) Post ubi de Græcis corporum nudationem didicerunt, illos vicissim cum uxoribus una lavari docuere. (11) Cato filium suum tam egregie ad virtutem fingens atque efformans, quum eum discere summo studio et animum propter indolem obtemperare, corpus autem ad laborem molliusanimadverteret; nimis duram ei et tenuem victus rationem paullum remisit. (12) Verum is nihilominus strenuus in prælio evasit et Paulo duce nobilis ejus fuit contra Perseum pugna. (13) Quum quidem dolore commotus, quod gladius ei ictu excussus, deque manibus madefactis elapsus fuisset, sociorum aliquot suorum ascitis, denuo in hostes impetum fecit, ac post magnum certamen et laborem loco eo vacuefacto, gladium vix tandem inter acervos armorum corporumque tam sociorum quam hostium invenit. (14) Ejus facinoris causa Paulus juvenem admiratus est: et fertur ipsius Catonis ad filium epistola, mirifice id ejus in gladio recipiendo studium et conatum laudantis. (15) Post Tertiam Pauli filiam Cato junior duxit, Scipionis sororem; non minus jam sui ipsius, quam patris causa, in tantam familiam assumptus. Ita Catonis in filio educando studium dignos est fructus consecutum.

XXI. Servos multos de captivis possedit, parvos maxime emens, ac qui catulorum equuleorumque instar adhuc educationem et disciplinam possent pati. (2) Horum nemo in alienam domum, nisi a Catone aut ejus uxore missus, intrabat: interrogatusque quid ageret Cato nihil nisi nescire se respondebat. (3) Servum domi aut opus aliquod necessarium facere oportebat, aut dormire: et maxime iis qui dormitabant, delectabatur Cato, placidiores eos pervigilibus existimans, et ad omne negotium aptiorem qui somno esset defunctus, quam qui eo indigeret. (4) Judicans porro, ob rem venereamaximas a servis fraudes exerceri, constituit ut certo pretio cum ancillis rem haberent, neque cum ulla alia muliere. (5) Initio quum pauper adhuc esset et stipendia mereret, nunquam apparandi cibi causa iratus fuit, sed turpissimum putavit ventris causa cum servo litigare; post re aucta, sicubi collegas et amicos invitasset, punivit statim a cœna flagro eum qui negligentius quicquam subministrasset aut apparasset. (6) Semper inter servos occulte dissidium et discordias aluit, consensum eorum suspectum habens et timens. (7) Qui morte dignum aliquid commisissent, eos ita demum necavit, si ab omnibus servis

σχειν εἰ καταγνωσθεῖεν. (8) Ἀπτόμενος δὲ συντονώτερον πορισμοῦ τὴν μὲν γεωργίαν μᾶλλον ἡγεῖτο διαγωγὴν ἢ πρόσοδον, εἰς δ' ἀσφαλῆ πράγματα καὶ βέβαια κατατιθέμενος τὰς ἀφορμὰς ἐκτᾶτο λίμνας, ὕδατα θερμά, τόπους γναφεῖσιν ἀνειμένους, ἐργατησίαν χώραν, ἔχουσαν αὐτοφυεῖς νομὰς καὶ ὕλας, ἀφ' ὧν αὐτῷ χρήματα προσῄει πολλὰ μηδ' ὑπὸ τοῦ Διὸς, ὥς φησιν αὐτὸς, βλαβῆναι δυναμένων. (9) Ἐχρήσατο δὲ καὶ τῷ διαβεβλημένῳ μάλιστα τῶν δανεισμῶν ἐπὶ ναυτικοῖς τὸν τρόπον τοῦτον. Ἐκέλευε τοὺς δανειζομένους ἐπὶ κοινωνίᾳ πολλοὺς παρακαλεῖν· γενομένων δὲ πεντήκοντα καὶ πλοίων τοσούτων αὐτὸς εἶχε μίαν μερίδα διὰ Κουιντίωνος ἀπελευθέρου τοῖς δανειζομένοις συμπραγματευομένου καὶ συμπλέοντος. Ἦν δ' οὖν οὐκ εἰς ἅπαν ὁ κίνδυνος, ἀλλ' εἰς μέρος μικρὸν ἐπὶ κέρδεσι μεγάλοις. (10) Ἐδίδου δὲ καὶ τῶν οἰκετῶν τοῖς βουλομένοις ἀργύριον· οἱ δ' ὠνοῦντο παῖδας, εἶτα τούτους ἀσκήσαντες καὶ διδάξαντες ἀναλώμασι τοῦ Κάτωνος μετ' ἐνιαυτὸν ἀπεδίδοντο. Πολλοὺς δὲ καὶ κατεῖχεν ὁ Κάτων ὅσην ὁ πλείστην διδοὺς ἐωνεῖτο τιμὴν ὑπολογιζόμενος. (11) Προτρέπων δὲ τὸν υἱὸν ἐπὶ ταῦτα φησὶν οὐκ ἀνδρὸς, ἀλλὰ χήρας γυναικὸς εἶναι τὸ μειῶσαί τι τῶν ὑπαρχόντων. Ἐκεῖνο δ' ἤδη σφοδρότερον τοῦ Κάτωνος, ὅτι θαυμαστὸν ἄνδρα καὶ θεῖον εἰπεῖν ἐτόλμησε πρὸς δόξαν, ὃς ἀπολείπει πλέον ἐν τοῖς λόγοις ὃ προσέθηκεν οὗ παρέλαβεν.

XXII. Ἤδη δὲ αὐτοῦ γέροντος γεγονότος πρέσβεις Ἀθήνηθεν ἦλθον εἰς Ῥώμην οἱ περὶ Καρνεάδην τὸν Ἀκαδημαϊκὸν καὶ Διογένη τὸν Στωϊκὸν φιλόσοφον καταδίκην τινὰ παραιτησόμενοι τοῦ δήμου τῶν Ἀθηναίων, ἣν ἐρήμην ὤφλον, Ὠρωπίων μὲν διωξάντων, Σικυωνίων δὲ καταψηφισαμένων, τίμημα πεντακοσίων ταλάντων ἔχουσαν. (2) Εὐθὺς οὖν οἱ φιλολογώτατοι τῶν νεανίσκων ἐπὶ τοὺς ἄνδρας ἵεντο καὶ συνῆσαν ἀκροώμενοι καὶ θαυμάζοντες αὐτούς. (3) Μάλιστα δ' ἡ Καρνεάδου χάρις, ἧς δύναμίς τε πλείστη καὶ δόξα τῆς δυνάμεως οὐκ ἀποδέουσα, μεγάλων ἐπιλαβομένη καὶ φιλανθρώπων ἀκροατηρίων ὡς πνεῦμα τὴν πόλιν ἠχῆς ἐνέπλησε. (4) Καὶ λόγος κατεῖχεν, ὡς ἀνὴρ Ἕλλην εἰς ἔκπληξιν ὑπερφυὴς πάντα κηλῶν καὶ χειρούμενος ἔρωτα δεινὸν ἐμβέβληκε τοῖς νέοις, ὑφ' οὗ τῶν ἄλλων ἡδονῶν καὶ διατριβῶν ἐκπεσόντες ἐνθουσιῶσι περὶ φιλοσοφίαν. (5) Ταῦτα τοῖς μὲν ἄλλοις ἤρεσκε Ῥωμαίοις γιγνόμενα καὶ τὰ μειράκια παιδείας Ἑλληνικῆς μεταλαμβάνοντα καὶ συνόντα θαυμαζομένοις ἀνδράσιν ἡδέως ἑώρων· ὁ δὲ Κάτων ἐξ ἀρχῆς τε τοῦ ζήλου τῶν λόγων παραῤῥέοντος εἰς τὴν πόλιν ἤχθετο φοβούμενος, μὴ τὸ φιλότιμον ἐνταῦθα τρέψαντες οἱ νέοι τὴν ἐπὶ τῷ λέγειν δόξαν ἀγαπήσωσι μᾶλλον τῆς ἀπὸ τῶν ἔργων καὶ τῶν στρατειῶν· ἐπεὶ δὲ προὔβαινεν ἡ δόξα τῶν φιλοσόφων ἐν τῇ πόλει καὶ τοὺς πρώτους λόγους αὐτῶν πρὸς τὴν σύγκλητον ἀνὴρ ἐπιφανὴς σπουδάσας αὐτὸς καὶ δεηθεὶς ἡρμήνευσε, Γάϊος Ἀκίλιος, ἔγνω μετ' εὐπρεπείας ἀποδιοπομπήσασθαι τοὺς φιλοσόφους ἅπαντας ἐκ

suis morte damnati fuissent. (8) Postquam ad rem faciendam animum studiosius intendit, agriculturam delectationi magis quam quæstui inservire ratus, in certis et firmis rebus lucri occasionem posuit. Lacus itaque, thermas, locos fullonibus patentes et agros fœcundos paravit, in quibus ultro pascua et silvæ crescerent: ex his bonis, quibus ut ipse aiebat ne ab ipso quidem Jove noceri poterat, multas pecunias recepit. (9) Usus est etiam fœnore, quod maxime omnium culpatur, nautico, idque in hunc modum: eos quibus pecuniam mutuo dabat, multos ad societatem jubebat vocare; quum quinquaginta, totidemque navigia convenissent, ipse Quinctionis liberti opera (is enim debitoribus in navigatione et negotiatione socium se præbebat) unam partem habebat: ita non de tota negotiatione in discrimen veniebat, sed de exigua ejus parte magno lucro. (10) Etiam servis suis, qui voluissent, pecuniam dabat: hac illi pueros coemebant, inde per annum sumptibus Catonis a se doctos et exercitatos vendebant. Multos ipse Cato retinuit, de rationibus tantum pro quolibet subtrahens, quantum is, si plurimi venditus fuisset, pretii tulisset. (11) Filium ad eadem adhortatus, Non viri, inquit, sed viduæ est, minuere bona. Id quidem vehementius, quod admirandum eum virum et divinæ gloriæ dicere est ausus, qui in rationibus plus lucri quam sortis reliquisset.

XXII. Quum jam ad senectutem pervenisset Cato, legati Atheniensium Romam venerunt, Carneades Academicus et Diogenes Stoicus, deprecatum mulctam, quæ Atheniensium populo quingentorum talentorum erat dicta a Sicyoniis, quum ii postulati ab Oropiis in judicio non comparuissent. (2) Itaque statim adolescentum studiosissimi quique literarum viros illos accesserunt, audientesque eos in admiratione habuerunt. (3) Maximé autem Carneadis in dicendo gratia, cujus magna vis et ea vi non minor erat auctoritas, magnos nacta et humanos auditores venti instar urbem personabat, (4) Et fama tenebat, Græcum virum ad stuporem usque ad pe cellendos hominum demulcendosque animos aptum, vehementem apud juvenes amorem excitare, quo correpti, omissis voluptatibus reliquisque oblectationibus, quasi furore quodam ad philosophiam ferrentur. (5) Hæc reliquis Romanis accepta erant, filiosque suos disciplinis Græcis operam dare et cum viris summæ existimationis versari gaudebant; Cato autem ab initio statim ægre ferebat studium philosophiæ in urbem invadere, veritus ne studio suo ad philosophiam adjuncto adolescentes ex sermonibus potius, quam agendis rebus et militia, decus sibi quærere intenderent. Ubi per urbem gloria philosophorum increbuit, primosque eorum ad senatum sermones C. Acilius vir illustris est interpretatus, quod ut sibi liceret, magno studio impetraverat, statuit Cato honeste philosophos ab urbe

τῆς πόλεως. (6) Καὶ παρελθὼν εἰς τὴν σύγκλητον ἐμέμψατο τοῖς ἄρχουσιν, ὅτι πρεσβεία κάθηται πολὺν χρόνον ἄπρακτος ἀνδρῶν, οἳ περὶ παντὸς οὗ βούλοιντο ῥᾳδίως πείθειν δύνανται· δεῖν οὖν τὴν ταχίστην γνῶναί τι καὶ ψηφίσασθαι περὶ τῆς πρεσβείας, ὅπως οὗτοι μὲν ἐπὶ τὰς σχολὰς τραπόμενοι διαλέγωνται παισὶν Ἑλλήνων, οἱ δὲ Ῥωμαίων νέοι τῶν νόμων καὶ τῶν ἀρχόντων ὡς πρότερον ἀκούωσι.

XXIII. Ταῦτα δ' οὐχ, ὡς ἔνιοι νομίζουσι, Καρνεάδῃ δυσχεράνας ἔπραξεν, ἀλλ' ὅλως φιλοσοφίᾳ προσκεχρουκὼς καὶ πᾶσαν Ἑλληνικὴν μοῦσαν καὶ παιδείαν ὑπὸ φιλοτιμίας προπηλακίζων, ὅς γε καὶ Σωκράτη φησὶ λάλον καὶ βίαιον γενόμενον ἐπιχειρεῖν, ᾧ τρόπῳ δυνατὸν ἦν, τυραννεῖν τῆς πατρίδος καταλύοντα τὰ ἔθη καὶ πρὸς ἐναντίας τοῖς νόμοις δόξας ἕλκοντα καὶ μεθιστάντα τοὺς πολίτας. (2) Τὴν δ' Ἰσοκράτους διατριβὴν ἐπισκώπτων γηρᾶν φησι παρ' αὐτῷ τοὺς μαθητὰς, ὡς ἐν ᾅδου παρὰ Μίνῳ χρησομένους ταῖς τέχναις καὶ δίκας ἐροῦντας. (3) Τὸν δὲ παῖδα διαβάλλων πρὸς τὰ Ἑλληνικὰ φωνῇ κέχρηται θρασυτέρᾳ τοῦ γήρως, οἷον ἀποθεσπίζων καὶ προμαντεύων, ὡς ἀπολοῦσι Ῥωμαῖοι τὰ πράγματα γραμμάτων Ἑλληνικῶν ἀναπλησθέντες. (4) Ἀλλὰ ταύτην μὲν αὐτοῦ τὴν δυσφημίαν ὁ χρόνος ἀποδείκνυσι κενὴν, ἐν ᾧ τοῖς τε πράγμασιν ἡ πόλις ἤρθη μεγίστη καὶ πρὸς Ἑλληνικὰ μαθήματα καὶ παιδείαν ἅπασαν ἔσχεν οἰκείως. (5) Ὁ δ' οὐ μόνον ἀπηχθάνετο τοῖς φιλοσοφοῦσιν Ἑλλήνων, ἀλλὰ καὶ τοὺς ἰατρεύοντας ἐν Ῥώμῃ δι' ὑποψίας εἶχε. Καὶ τὸν Ἱπποκράτους, ὡς ἔοικεν, ἀκηκοὼς λόγον, ὃν εἶπε τοῦ μεγάλου βασιλέως καλοῦντος αὐτὸν ἐπὶ πολλοῖς τισι ταλάντοις, οὐκ ἄν ποτε βαρβάροις Ἑλλήνων πολεμίοις ἑαυτὸν παρασχεῖν, ἔλεγε κοινὸν ὅρκον εἶναι τοῦτον ἰατρῶν ἁπάντων καὶ παρεκελεύετο φυλάττεσθαι τῷ παιδὶ πάντας· (6) αὐτῷ δὲ γεγραμμένον ὑπόμνημα εἶναι καὶ πρὸς τοῦτο θεραπεύειν καὶ διαιτᾶν τοὺς νοσοῦντας οἴκοι, νῆστιν μὲν οὐδέποτε διατηρῶν οὐδένα, τρέφων δὲ λαχάνοις καὶ σαρκιδίοις νήσσης ἢ φάσσης ἢ λαγώ· καὶ γὰρ τοῦτο κοῦφον εἶναι καὶ πρόσφορον ἀσθενοῦσι, πλὴν ὅτι πολλὰ συμβαίνει τοῖς φαγοῦσιν ἐνυπνιάζεσθαι· τοιαύτῃ δὲ θεραπείᾳ καὶ διαίτῃ χρώμενος ὑγιαίνειν μὲν αὐτὸς, ὑγιαίνοντας δὲ τοὺς ἑαυτοῦ διαφυλάττειν.

XXIV. Καὶ περί γε τοῦτο φαίνεται γεγονὼς οὐκ ἀνεμέσητος· καὶ γὰρ τὴν γυναῖκα καὶ υἱὸν ἀπέβαλεν. Αὐτὸς δὲ τῷ σώματι πρὸς εὐεξίαν καὶ ῥώμην ἀσφαλῶς πεπηγὼς ἐπὶ πλεῖστον ἀντεῖχεν, ὥστε γυναικὶ πρεσβύτῃ ὢν σφόδρα πλησιάζειν καὶ γῆμαι γάμον οὐ καθ' ἡλικίαν ἐκ τοιαύτης προφάσεως. (2) Ἀποβαλὼν τὴν γυναῖκα τῷ μὲν υἱῷ Παύλου θυγατέρα, Σκηπίωνος δὲ ἀδελφὴν ἠγάγετο πρὸς γάμον, αὐτὸς δὲ χηρεύων ἐχρῆτο παιδίσκῃ κρύφα φοιτώσῃ πρὸς αὐτόν. (3) Ἦν οὖν ἐν οἰκίᾳ μικρᾷ νύμφην ἐχούσῃ τοῦ πράγματος αἴσθησις· καί ποτε τοῦ γυναίου θρασύτερον παρασοβῆσαι παρὰ τὸ δωμάτιον δόξαντος ὁ νεανίας εἶπε μὲν οὐδὲν, ἐμβλέψας δέ πως πικρότερον καὶ διατραπεὶς οὐκ ἔλαθε τὸν

amandare. (6) Quam ob rem in senatum ivit et magistratus incusavit, quod legationem eorum virorum, qui facile persuadere de quacumque re possent, tam diu in urbe, re infecta, desidere passi essent: cognoscendum aliquid quamprimum et decernendum de legatione, ut legati ad scholas reversi apud pueros Græcos disserant, Romani vero adolescentes magistratus, ut ante, et leges audiant.

XXIII. Errant qui eum Carneadis odio id fecisse putant: universam enim philosophiam invisam habuit et ambitione quadam omnes Græcas artes atque disciplinas contempsit. Nam et Socratem loquacem et violentum fuisse dicit atque quovis modo ad tyrannidem contendisse, evertendis patriæ moribus, civibusque in opiniones legibus contrarias pertrahendis. (2) Isocratis idem scholam subsannabat, consenescere in ea discipulos dicens, quasi apud inferos coram Minoe rhetorica arte usuri causasque oraturi essent. (3) Et ad filium Græcas literas calumnians, voce quam pro senio usus est duriore, quippe vaticinans Romanos Græcis studiis repletos rem suam publicam esse perdituros. (4) Verum id ejus augurium tempus vanitatis convicit: quum simul et ad summum Romani rempublicam evexerunt, et omnia studia disciplinasque Græcas coluerunt. (5) Sed Cato non philosophos modo Græcos odit, sed et medicinam Romæ facientes Græcos suspectos habuit: quumque audivisset, Hippocratem a Persarum rege multorum talentorum mercede vocatum, nunquam se barbaris Græcorum hostibus operam navaturum affirmasse: omnium medicorum commune hoc esse juramentum dixit, filiumque, ut ab universis sibi caveret, monuit. (6) Scriptum a se librum de ratione quam in curatione et victu ægrotorum domesticorum teneret: nemini se unquam jejunium indixisse, sed oleribus, carnibus anatis, aut palumbi, aut leporis nutrire: hanc victus rationem facilem esse et commodam laborantibus, nisi quod edentibus multa efficiant insomnia: his se remediis et victus ratione usum, valetudinem suam suorumque conservasse.

XXIV. Hac quidem in re non videtur reprehensione caruisse, uxore et filio amissis. Ipse quidem firmo corporis habitu et robore fultus, diu perduravit, ut et senex admodum cum muliere consuetudinem habuerit, et præter ætatem nuptias contraxerit. Causa hæc ei fuit. (2) Uxore amissa, filio suo Pauli filiam, Scipionis sororem, matrimonio junxit: ipse viduus muliercula occulte ad se commeante utebatur. (3) In domo parva, in qua etiam nurus esset, non latuit ea res: et quum meretrix aliquando petulanter et insolentius thalamum præteriisset, Cato filius nihil quidem dixit, sed vultu torviore eam aspiciens, tergum vertit:

πρεσβύτην. (4) Ὡς οὖν ἔγνω τὸ πρᾶγμα δυσχεραινόμενον ὑπ' αὐτῶν, οὐδὲν ἐγκαλέσας οὐδὲ μεμψάμενος, ἀλλὰ καταβαίνων, ὥσπερ εἰώθει, μετὰ φίλων εἰς ἀγορὰν Σαλώνιόν τινα τῶν ὑπογεγραμματευκότων αὐτῷ παρόντα καὶ συμπροπέμποντα μεγάλῃ φωνῇ προσαγορεύσας ἠρώτησεν, εἰ τὸ θυγάτριον συνήρμοσε νυμφίῳ. (5) Τοῦ δ' ἀνθρώπου φήσαντος ὡς οὐδὲ μέλλει μὴ πρότερον ἐκείνῳ κοινωσάμενος, « Καὶ μὴν ἐγώ σοι, φησὶν, εὕρηκα κηδεστὴν ἐπιτήδειον, εἰ μὴ νὴ Δία τὰ τῆς ἡλικίας δυσχεραίνοιτο· τἄλλα γὰρ οὐ μεμπτός ἐστι· σφόδρα δὲ πρεσβύτης. » (6) Ὡς οὖν ὁ Σαλώνιος ἐκέλευε ταῦτα φροντίζειν καὶ διδόναι τὴν κόρην ᾧ προαιρεῖται πελάτιν οὖσαν αὐτοῦ καὶ δεομένην τῆς ἐκείνου κηδεμονίας, οὐδεμίαν ὁ Κάτων ἀναβολὴν ποιησάμενος αὐτὸς ἔφη τὴν παρθένον αἰτεῖν ἑαυτῷ. (7) Καὶ τὸ μὲν πρῶτον, ὡς εἰκὸς, ὁ λόγος ἐξέπληξε τὸν ἄνθρωπον, πόρρω μὲν γάμου τὸν Κάτωνα, πόρρω δ' αὐτὸν οἰκίας ὑπατικῆς καὶ θριαμβευτικῶν κηδευμάτων τιθέμενον, σπουδῇ δὲ χρώμενον ὁρῶν, ἀσμένως ἐδέξατο, καὶ καταβάντες εἰς ἀγορὰν εὐθὺς ἐποιοῦντο τὴν ἐγγύην. (8) Πραττομένου δὲ τοῦ γάμου παραλαβὼν τοὺς ἐπιτηδείους ὁ υἱὸς τοῦ Κάτωνος ἠρώτησε τὸν πατέρα, μή τι μεμφόμενος ἢ λελυπημένος ὑπ' αὐτοῦ μητρυιὰν ἐπάγεται. Ὁ δὲ Κάτων ἀναβοήσας, « Εὖ φήμησον, εἶπεν, ὦ παῖ· πάντα γὰρ ἀγαστά μοι τὰ παρὰ σοῦ καὶ μεμπτὸν οὐδὲν, ἐπιθυμῶ δὲ πλείονας ἐμαυτῷ τε παῖδας καὶ πολίτας τῇ πατρίδι τοιούτους ἀπολιπεῖν. » (9) Ταύτην δὲ τὴν γνώμην πρότερον εἰπεῖν φασι Πεισίστρατον τὸν Ἀθηναίων τύραννον ἐπιγήμαντα τοῖς ἐνηλίκοις παισὶ τὴν Ἀργολίδα Τιμώνασσαν, ἐξ ἧς Ἰοφῶντα καὶ Θεσσαλὸν αὐτῷ λέγουσι γενέσθαι. (10) Γήμαντι δὲ τῷ Κάτωνι γίνεται παῖς, ᾧ παρωνύμιον ἀπὸ τῆς μητρὸς ἔθετο Σαλώνιον. (11) Ὁ δὲ πρεσβύτερος υἱὸς ἐτελεύτησε στρατηγῶν. Καὶ μέμνηται μὲν αὐτοῦ πολλάκις ἐν τοῖς βιβλίοις ὁ Κάτων ὡς ἀνδρὸς ἀγαθοῦ γεγονότος, πράως δὲ καὶ φιλοσόφως λέγεται τὴν συμφορὰν ἐνεγκεῖν καὶ μηδὲν ἀμβλύτερος δι' αὐτὴν εἰς τὰ πολιτικὰ γενέσθαι. (12) Οὐ γὰρ, ὡς Λεύκιος Λούκουλλος ὕστερον καὶ Μέτελλος ὁ Πίος, ἐξέκαμεν ὑπὸ γήρως πρὸς τὰ δημόσια λειτουργίαν τὴν πολιτείαν ἡγούμενος, οὐδ' ὡς πρότερον Σκηπίων ὁ Ἀφρικανὸς διὰ τὸν ἀντικρούσαντα πρὸς τὴν δόξαν αὐτοῦ φθόνον ἀποστραφεὶς τὸν δῆμον ἐκ μεταβολῆς ἐποιήσατο τοῦ λοιποῦ βίου τέλος ἀπραγμοσύνην, ἀλλ', ὥσπερ Διονυσίῳ τις ἔπεισε κάλλιστον ἐντάφιον ἡγεῖσθαι τὴν τυραννίδα, κάλλιστον αὐτὸς ἐγγήραμα τὴν πολιτείαν ποιησάμενος ἀναπαύσεσιν ἐχρῆτο καὶ παιδιαῖς ὁπότε σχολάζοι τῷ συντάττεσθαι βιβλία καὶ τῷ γεωργεῖν.

XXV. Συνετάττετο μὲν οὖν λόγους τε παντοδαποὺς καὶ ἱστορίας· γεωργίᾳ δὲ προσεῖχε νέος μὲν ὢν ἔτι καὶ διὰ τὴν χρείαν (φησὶ γὰρ δυσὶ κεχρῆσθαι μόνοις πορισμοῖς γεωργίᾳ καὶ φειδοῖ), τότε δὲ διαγωγὴν καὶ θεωρίαν αὐτῷ τὰ γιγνόμενα κατ' ἀγρὸν παρεῖχε. (2) Καὶ συντέτακταί γε βιβλίον γεωργικὸν, ἐν ᾧ καὶ περὶ

neque fefellit patrem. (4) Ergo ut intellexit Cato suis commercium id cum muliere molestum esse, nihil illis incusatis, neque reprehensis, in forum de more cum amicis descendens, Salonium, quo aliquando scriba usus fuerat, qui una eum comitans aderat, magna voce interrogavit, an is filiam suam sponso pactus esset. (5) Negante id et ne facturum quidem nisi re cum ipso communicata dicente: At ego, inquit, idoneum tibi generum reperi, nisi forte ætatem ejus filia ægre ferat: est enim admodum grandævus, cetera commodus. (6) Quum Salonius oraret, ut ipse rem curaret, filiamque suam clientem ejus, et quæ ipsius indigeret cura, nuptum cui vellet daret; nihil moratus Cato sibique eam puellam in matrimonium postulare se fassus est. (7) Ea oratio primum, ut par erat, Salonium obstupefecit, qui et Catonis ad ducendum præteriisse ætatem, et se consularis triumphalisque domus affinitate multo inferiorem intelligeret: serio tamen eum agere videns, libenter assensus est, statimque in forum profecti nuptias pacti sunt. (8) Ceterum hæ nuptiæ dum parantur, Cato filius assumptis necessariis patrem interrogavit, quonam suo delicto aut injuria novercam ipsi induceret. Alta ei voce pater respondit: Bona verba, fili; omnia in te præclara agnosco, neque culpo quicquam: cupio autem plures mihi filios, reipublicæ cives tui similes relinquere. (9) Ita prius pronunciasse ferunt Pisistratum Atheniensium tyrannum, quum adultis jam filiis Timonassam Argivam duceret, quæ Iophontem ei et Thessalum peperisse narratur. (10) Cato ex Salonii filia filium sustulit, cui a matre cognomen indidit Salonium. (11) Prior autem filius ejus in prætura mortuus est: cujus, ut egregii viri, multam pater in libris suis mentionem reliquit. Æquo animo et ut philosophum decebat, hanc calamitatem fertur tulisse Cato, neque quicquam propterea de studio reipublicæ remisisse. (12) Non enim, ut postea temporis L. Lucullus et Metellus Pius, senectute fessus reipublicæ administrandæ munere se abdicavit; neque, ut antea Scipio Africanus, ob invidiam gloriæ ejus obsistentem aversatus populum, otio reliquum vitæ tribuit: sed quemadmodum Dionysio quendam persuasisse ferunt, ut pulcherrimum amiculum ferale putaret tyrannidem; ita honestissimum ratus ipse in republica consenescere, scribendis libris et agriculturæ quietis et animi relaxandi causa per otium vacabat.

XXV. Libros quidem omnis generis et historias conscripsit. Agriculturæ juvenis primum operam dedit necessitatis causa (duobus enim modis solum vitam tolerasse ait, agricultura et parsimonia); tum vero oblectationem ei et contemplationem ruris res præbebant. (2) Composuit quidem librum de agricultura, in quo etiam de placentis facien-

πλακούντων σκευασίας καὶ τηρήσεως ὀπώρας γέγραφεν, ἐν παντὶ φιλοτιμούμενος περιττὸς εἶναι καὶ ἴδιος. (3) Ἦν δὲ καὶ τὸ δεῖπνον ἐν ἀγρῷ δαψιλέστερον· ἐκάλει γὰρ ἑκάστοτε τῶν ἀγρογειτόνων καὶ περιχώρων τοὺς συνήθεις καὶ συνδιῆγεν ἱλαρῶς, οὐ τοῖς καθ' ἡλικίαν μόνοις ἡδὺς ὢν συγγενέσθαι καὶ ποθεινὸς, ἀλλὰ καὶ τοῖς νέοις, ἅτε δὴ πολλῶν μὲν ἔμπειρος πραγμάτων γεγονὼς, πολλοῖς δὲ γράμμασι καὶ λόγοις ἀξίοις ἀκοῆς ἐντετυχηκώς. (4) Τὴν δὲ τράπεζαν ἐν τοῖς μάλιστα φιλοποιὸν ἡγεῖτο· καὶ πολλὴ μὲν εὐφημία τῶν καλῶν καὶ ἀγαθῶν πολιτῶν ἐπεισήγετο, πολλὴ δ' ἦν ἀμνηστία τῶν ἀχρήστων καὶ πονηρῶν μήτε ψόγῳ μήτ' ἐπαίνῳ πάροδον ὑπὲρ αὐτῶν τοῦ Κάτωνος εἰς τὸ συμπόσιον διδόντος.

XXVI. Ἔσχατον δὲ τῶν πολιτευμάτων αὐτοῦ τὴν Καρχηδόνος ἀνάστασιν οἴονται γεγονέναι, τῷ μὲν ἔργῳ τέλος ἐπιθέντος τοῦ νέου Σκηπίωνος, βουλῇ δὲ καὶ γνώμῃ μάλιστα τοῦ Κάτωνος ἀραμένων τὸν πόλεμον ἐξ αἰτίας τοιᾶσδε. (2) Κάτων ἐπέμφθη πρὸς Καρχηδονίους καὶ Μασσανάσσην τὸν Νομάδα πολεμοῦντας ἀλλήλους ἐπισκεψόμενος τὰς τῆς διαφορᾶς προφάσεις· ὁ μὲν γὰρ ἦν τοῦ δήμου φίλος ἀπ' ἀρχῆς, οἱ δ' ἐγεγόνεισαν ἔνσπονδοι μετὰ τὴν ὑπὸ Σκηπίωνος ἧττταν ἀφαιρέσει τε τῆς ἀρχῆς καὶ βαρεῖ δασμῷ χρημάτων κολουθέντες. (3) Εὑρὼν δὲ τὴν πόλιν οὐχ, ὡς ᾤοντο Ῥωμαῖοι, κεκακωμένην καὶ ταπεινὰ πράττουσαν, ἀλλὰ πολλῇ μὲν εὐανδροῦσαν ἡλικίᾳ, μεγάλων δὲ πλούτων γέμουσαν, ὅπλων δὲ παντοδαπῶν καὶ παρασκευῆς πολεμιστηρίου μεστὴν καὶ μικρὸν οὐδὲν ἐπὶ τούτοις φρονοῦσαν, οὐ τὰ Νομάδων ᾤετο καὶ Μασσανάσσου πράγματα Ῥωμαίους ὥραν ἔχειν τίθεσθαι καὶ διαιτᾶν, ἀλλ' εἰ μὴ καταλήψονται πόλιν ἄνωθεν ἐχθρὰν καὶ βαρύθυμον ηὐξημένην ἀπίστως πάλιν ἐν τοῖς ἴσοις κινδύνοις ἔσεσθαι. (4) Ταχέως οὖν ὑποστρέψας ἐδίδασκε τὴν βουλὴν, ὡς αἱ πρότερον ἧτται καὶ συμφοραὶ Καρχηδονίων οὐ τοσοῦτον τῆς δυνάμεως ὅσον τῆς ἀνοίας ἀπαρύσασαι κινδυνεύουσιν αὐτοὺς οὐκ ἀσθενεστέρους, ἐμπειροτέρους δὲ πολεμεῖν ἀπεργάσασθαι, ἤδη δὲ καὶ προανακινεῖσθαι τοῖς Νομαδικοῖς τοὺς πρὸς Ῥωμαίους ἀγῶνας, εἰρήνην δὲ καὶ σπονδὰς ὄνομα τοῦ πολέμου τῇ μελλήσει κεῖσθαι καιρὸν περιμένοντος.

XXVII. Πρὸς τούτοις φασὶ τὸν Κάτωνα καὶ σῦκα τῶν Λιβυκῶν ἐπίτηδες ἐκβαλεῖν ἐν τῇ βουλῇ τὴν τήβεννον ἀναβαλόμενον· εἶτα θαυμασάντων τὸ μέγεθος καὶ τὸ κάλλος εἰπεῖν, ὡς ἡ ταῦτα φέρουσα χώρα τριῶν ἡμερῶν πλοῦν ἀπέχει τῆς Ῥώμης. (2) Ἐκεῖνο δ' ἤδη καὶ βιαιότερον, τὸ περὶ παντὸς οὗ δήποτε πράγματος γνώμην ἀποφαινόμενον προσεπιφωνεῖν οὕτως· « Δοκεῖ δέ μοι καὶ Καρχηδόνα μὴ εἶναι. » (3) Τοὐναντίον δὲ Πόπλιος Σκηπίων ὁ Νασικᾶς ἐπικαλούμενος ἀεὶ διετέλει λέγων καὶ ἀποφαινόμενος, « Δοκεῖ μοι Καρχηδόνα εἶναι. » (4) Πολλὰ γάρ, ὡς ἔοικεν, ὕβρει τὸν δῆμον ὁρῶν ἤδη πλημμελοῦντα καὶ δι' εὐτυχίαν καὶ φρόνημα τῇ βουλῇ δυσκάθεκτον ὄντα καὶ τὴν πόλιν ὅλην

pis et de pomorum adservatione scripsit, peculiare aliquid ubique magno studio sectatus. (3) Cœnam quoque in agro liberalius instruebat, familiares suos, qui prædia vicina habebant, subinde invitans : vivebatque cum iis suaviter, non senibus modo gratus et jucundus, sed et juvenibus, nimirum qui multarum rerum peritus, etiam multa cognitu digna scriptis vel sermonibus accepisset. (4) Mensam vero inprimis amicis parandis utilem putabat. Ibi multa de laudibus bonorum civium mentio, nulla plane malorum et improborum erat, neque vituperationi eorum neque laudi ad convivium aditum dedit Cato.

XXVI. Postremum eorum quæ in republica egit, Carthaginis exscidium fuisse putant : eam rem Scipio posterior confecit, Catonis autem potissimum consilio et sententia bellum hanc ob causam susceptum est. (2) Missus Cato ad Carthaginienses et Masinissam Numidiæ regem, armis disceptantes, ut de causa discordiæ cognosceret; nam et ab initio amicus populi Romani fuerat Masinissa, et cum Carthaginiensibus a Scipione majore victis, principatu eis adempto et gravi tributo imposito, fœdus ictum erat : (3) Sed Carthaginienses non ita ut Romani putabant afflictos et collapsos invenit, sed copiosa juventute, ingentibus divitiis, armorum et bellici instrumenti omni genere abundantes, atque ideo magnopere animos ad superbiam extollentes. Existimavit ergo non jam Numidarum et Masinissæ res Romanis componendi curam debere esse, sed nisi civitatem eam antiquitus infensam, graviter nunc iratam, et ultra quam credi posset refectam delevissent, idem ab ea, quod ante, periculum imminere. (4) His motus, celeriter Romam reversus, senatum docuit, Carthaginienses superioribus cladibus et damnis non tantum de potentia amisisse, quantum de vecordia abjecisse : ut non tam vires eorum imminutæ, quam bellum gerendi peritia aucta inde videri possit. Jam et certaminibus eos adversus Numidas istis bellum Romanum machinari, idque pacis et fœderum nomine tegere atque occasionem ejus efferendi exspectare.

XXVII. Additur, ficus eum Africas injecta toga consulto in senatu effudisse : quarum quum magnitudo et elegantia admirationem concitasset, dixisse : Atqui tridui navigatione ab Roma tellus, quæ eas tulit, abest. (2) Id vero vehementius, quod, quacumque de re sententiam dixisset semper adjecit : Videtur et hoc mihi, Carthaginem non debere esse. (3) Contra P. Scipio Nasica interrogatus, perpetuo pronunciavit videri sibi Carthaginem debere esse. (4) Hic enim, ut licet conjicere, populum jam luxuriare videns, atque ob res secundas animis elatum vix posse a senatu compesci, quin quacumque cupiditatis impetus inclinasset,

ὑπὸ δυνάμεως ὅπη ῥέψειε ταῖς ὁρμαῖς βίᾳ συνεφελκόμενον, ἐβούλετο τοῦτον γοῦν τὸν φόβον ὥσπερ χαλινὸν ἐγκεῖσθαι σωφρονιστῆρα τῇ θρασύτητι τῶν πολλῶν, ἧττον μὲν ἡγούμενος ἰσχύειν Καρχηδονίους τοῦ περιγενέσθαι Ῥωμαίων, μεῖζον δὲ τοῦ καταφρονεῖσθαι. (5) Τῷ δὲ Κάτωνι τοῦτ' αὐτὸ δεινὸν ἐφαίνετο, βακχεύοντι τῷ δήμῳ καὶ σφαλλομένῳ τὰ πολλὰ δι' ἐξουσίαν πόλιν ἀεὶ μεγάλην, νυνὶ δὲ νήφουσαν ὑπὸ συμφορῶν κεκολασμένην ἐπικρέμασθαι, καὶ μὴ πάντάπασι τοὺς ἔξωθεν ἀνελεῖν τῆς ἡγεμονίας φόβους, ἀναφορὰς αὐτοῖς πρὸς τὰς οἰκοθεν ἁμαρτίας ἀπολιπόντας. (6) Οὕτω μὲν ἐξεργάσασθαι λέγεται τὸν τρίτον καὶ τελευταῖον ὁ Κάτων ἐπὶ Καρχηδονίους πόλεμον. Ἀρξαμένων δὲ πολεμεῖν ἐτελεύτησεν ἀποθεσπίσας περὶ τοῦ μέλλοντος ἐπιθήσειν τῷ πολέμῳ τέλος ἀνδρος, ὃς ἦν τότε μὲν νεανίας, χιλίαρχος δὲ στρατευόμενος ἀπεδείκνυτο καὶ γνώμης ἔργα καὶ τόλμης πρὸς τοὺς ἀγῶνας. (7) Ἀπαγγελομένων δὲ τούτων εἰς Ῥώμην πυνθανόμενον τὸν Κάτωνά φασιν εἰπεῖν·

Οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

(8) Ταύτην τὴν ἀπόφασιν ταχὺ δι' ἔργων ἐβεβαίωσεν ὁ Σκηπίων· ὁ δὲ Κάτων ἀπέλιπε γενεὰν ἕνα μὲν υἱὸν ἐκ τῆς ἐπιγαμηθείσης, ᾧ παρώνυμον ἔφαμεν γενέσθαι Σαλώνιον, ἕνα δὲ υἱωνὸν ἐκ τοῦ τελευτήσαντος υἱοῦ. (9) Καὶ Σαλώνιος μὲν ἐτελεύτησε στρατηγῶν, ὁ δ' ἐξ αὐτοῦ γενόμενος Μάρκος ὑπάτευσεν. Ἦν δὲ πάππος οὗτος τοῦ φιλοσόφου Κάτωνος, ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν κατ' αὐτὸν ἐπιφανεστάτου γενομένου.

eo vi et potentia sua totam civitatem abriperet: hunc saltem a Carthaginiensibus metum imminere volebat, quo veluti freno ferociæ multitudinis moderaretur: Carthaginiensium enim potentiam minorem esse quam ut Romanos superare posset, majorem quam ut contemni ab iis deberet, sentiebat. (5) Id vero ipsum Cato periculosum judicabat, si bacchanti Romano populo et per licentiam multa peccanti urbs magna, nunc vero etiam sobria, quod malis castigata esset, perpetuo immineret, necdum omnino externo terrore sublato, delinquendi tamen locus civibus relinqueretur. (6) Hoc pacto fertur obtinuisse ut tertium et postremum contra Carthaginienses bellum decerneretur: cujus initio ipse mortuus est, vaticinatus de eo viro, qui finem bello illi esset impositurus. Is tum quidem adolescens erat, sed tribunus militum factus præclara prudentiæ et fortitudinis edebat opera. (7) De quibus ut est Romam renunciatum, Catonem iis cognitis ferunt hunc versum protulisse:

Solus habet mentem, reliquis errantibus umbris.

(8) Quod ejus enunciatum mox rebus ipsis confirmavit Scipio. Cato autem unum filium moriens reliquit posteriore uxore natum, cui cognomen diximus fuisse Salonii, unumque nepotem ex mortuo filio priore. (9) Salonius in prætura mortuus est: filius ejus Marcus consulatum gessit. Hic avus fuit Catonis Sapientis, ejus qui virtute et gloria inter suæ ætatis homines fuit clarissimus.

ΑΡΙΣΤΕΙΔΟΥ ΚΑΙ ΚΑΤΩΝΟΣ ΣΥΓΚΡΙΣΙΣ.

353 Γεγραμμένων δὲ καὶ περὶ τούτων τῶν ἀξίων μνήμης a
ὅλος ὁ τούτου βίος ὅλῳ τῷ θατέρου παρατεθεὶς οὐκ εὐθεώρητον ἔχει τὴν διαφορὰν ἐναφανιζομένην πολλαῖς καὶ μεγάλαις ὁμοιότησιν. (2) Εἰ δὲ δεῖ κατὰ μέρος τῇ συγκρίσει διαλαβεῖν ὥσπερ ἔπος ἢ γραφὴν ἑκάτερον, τὸ μὲν ἐξ οὐχ ὑπαρχούσης ἀφορμῆς εἰς πολιτείαν καὶ δόξαν ἀρετῇ καὶ δυνάμει προελθεῖν ἀμφοτέροις κοινόν ἐστι. (3) Φαίνεται δ' ὁ μὲν Ἀριστείδης οὔπω τότε μεγάλων οὐσῶν τῶν Ἀθηνῶν καὶ ταῖς οὐσίαις ἔτι συμμέτροις καὶ ὁμαλοῖς ἐπιβαλὼν δημαγωγοῖς καὶ στρατηγοῖς ἐπιφανὴς γενέσθαι· τὸ γὰρ μέγιστον ἦν τίμημα τότε τῶν πεντακοσίων μεδίμνων, τὸ δὲ δεύτερον ἱππεῖς b
τριακοσίων, ἔσχατον δὲ καὶ τρίτον οἱ ζευγῖται διακοσίων· (4) ὁ δὲ Κάτων ἐκ πολίχνης τε μικρᾶς καὶ διαίτης ἀγροίκου δοκούσης φέρων ἀφῆκεν ἑαυτὸν ὥσπερ εἰς πέλαγος ἀχανὲς τὴν ἐν Ῥώμῃ πολιτείαν, οὐκέτι Κουρίων καὶ Φαβρικίων καὶ Ἀττιλίων ἔργον οὖσαν ἡγεμόνων οὐδ' ἀπ' ἀρότρου καὶ σκαφείου πένητας καὶ αὐτουργοὺς ἀναβαίνοντας ἐπὶ τὸ βῆμα προσιεμένην ἄρ-

ARISTIDIS CUM CATONE COMPARATIO.

Si vitam alterius totam cum alterius vita (etenim de utroque ea retulimus, quæ digna commemoratu essent) composueris, non facile differentiam perspicies: multis enim ea et magnis similitudinibus obscuratur. (2) Sin ita compares, ut utramque, veluti picturam quandam aut carmen, per partes examines: id quidem utrisque commune, quod nullam aliam nacti occasionem, virtute et facultate sua ad rempublicam et gloriam processerunt. (3) Verum Aristides videtur quum Athenæ nondum essent magnæ, inter oratores et duces, quibus modicæ adhuc et æquabiles essent opes, nomen illustre assecutus; tunc enim Athenis maximus erat census quingentorum modiorum, proximus equestris trecentorum, tertius et infimus Zeugitarum, ducentorum. (4) Sed Cato ab exiguo oppido et vita, ut putabatur, rustica in Romanorum rempublicam tanquam vastum aliquod mare se immisit, quum eam non jam Curii, Fabricii et Attilii gererent, neque ea ab aratro bipaliove pauperes et operarios ascendere rostra videret magistratus et oratores suos: sed

χοντας καὶ δημαγωγοὺς, ἀλλὰ πρὸς γένη μεγάλα καὶ πλούτους καὶ νομὰς καὶ σπουδαρχίας ἀποβλέπειν εἰθισμένην καὶ δι' ὄγκον ἤδη καὶ δύναμιν ἐντρυφῶσαν τοῖς ἄρχειν ἀξιοῦσιν. (5) Οὐκ ἦν δ' ὅμοιον ἀντιπάλῳ χρῆσθαι Θεμιστοκλεῖ μήτ' ἀπὸ γένους λαμπρῷ καὶ c κεκτημένῳ μέτρια (πέντε γὰρ ἢ τριῶν ταλάντων οὐσίαν αὐτῷ γενέσθαι λέγουσιν ὅτε πρῶτον ἥπτετο τῆς πολιτείας) καὶ πρὸς Σκηπίωνας Ἀφρικανοὺς καὶ Σερουιλίους Γάλβας καὶ Κοϊντίους Φλαμινίνους ἁμιλλᾶσθαι περὶ πρωτείων μηδὲν ὁρμητήριον ἔχοντα πλὴν φωνὴν παῤῥησιαζομένην ὑπὲρ τῶν δικαίων.

II. Ἔτι δ' Ἀριστείδης μὲν ἐν Μαραθῶνι καὶ πάλιν ἐν Πλαταιαῖς δέκατος ἦν στρατηγὸς, Κάτων δὲ δεύτερος μὲν ὕπατος ἠρέθη πολλῶν ἀντιμετιόντων, δεύτερος δὲ τιμητὴς ἑπτὰ τοὺς ἐπιφανεστάτους καὶ πρώτους ἁμιλλωμένους ὑπερβαλόμενος. (2) Καὶ μὴν Ἀριστείδης μὲν d ἐν οὐδενὶ τῶν κατορθωμάτων γέγονε πρῶτος, ἀλλὰ Μιλτιάδης ἔχει τοῦ Μαραθῶνος τὸ πρωτεῖον, Θεμιστοκλῆς δὲ τῆς Σαλαμῖνος, ἐν δὲ Πλαταιαῖς φησιν Ἡρόδοτος ἀνελέσθαι καλλίστην νίκην Παυσανίαν, Ἀριστείδῃ δὲ καὶ τῶν δευτερείων ἀμφισβητοῦσι Σωφάναι καὶ Ἀμεινίαι καὶ Καλλίμαχοι καὶ Κυναίγειροι διαπρεπῶς ἀριστεύσαντες ἐν ἐκείνοις τοῖς ἀγῶσι· (3) Κάτων δ' οὐ μόνον αὐτὸς ὑπατεύων ἐπρώτευσε καὶ χειρὶ καὶ γνώμῃ κατὰ τὸν Ἰβηρικὸν πόλεμον, ἀλλὰ καὶ χιλιαρχῶν περὶ Θερμοπύλας ὑπατεύοντος ἑτέρου τὴν δόξαν ἔσχε τῆς νίκης, μεγάλας ἐπ' Ἀντίοχον Ῥωμαίοις ἀναπετάσας e κλισιάδας καὶ πρόσω μόνον ὁρῶντι τῷ βασιλεῖ περιστήσας κατὰ νώτου τὸν πόλεμον. (4) Ἐκείνη γὰρ ἡ νίκη περιφανῶς ἔργον οὖσα Κάτωνος ἐξήλασε τῆς Ἑλλάδος τὴν Ἀσίαν καὶ παρέσχεν ἐπιβατὴν αὖθις Σκηπίωνι. (5) Πολεμοῦντες μὲν οὖν ἀήττητοι γεγόνασιν ἀμφότεροι, περὶ δὲ τὴν πολιτείαν Ἀριστείδης μὲν ἔπταισεν ἐξοστρακισθεὶς καὶ καταστασιασθεὶς ὑπὸ Θεμιστοκλέους, Κάτων δ' οἵπερ ἦσαν ἐν Ῥώμῃ δυνατώτατοι καὶ μέγιστοι πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἀντιπάλοις χρώμενος καὶ μέχρι γήρως ὥσπερ ἀθλητὴς ἀγωνιζόμενος ἀπτῶτα διετήρησεν f ἑαυτόν. (6) Πλείστας δὲ καὶ φυγὼν δημοσίας δίκας καὶ διώξας πολλὰς μὲν εἶλε, πάσας δ' ἀπέφυγε πρόβλημα τοῦ βίου καὶ δραστήριον ὄργανον ἔχων τὸν λόγον, ᾧ δικαιότερον ἄν τις ἢ τύχῃ καὶ δαίμονι τοῦ ἀνδρὸς τὸ 354μηδὲν παθεῖν παρ' ἀξίαν ἀνατιθείη. (7) Μέγα γὰρ a καὶ Ἀριστοτέλει τῷ φιλοσόφῳ τοῦτο προσεμαρτύρησεν Ἀντίπατρος γράφων περὶ αὐτοῦ μετὰ τὴν τελευτὴν, ὅτι πρὸς τοῖς ἄλλοις ὁ ἀνὴρ καὶ τὸ πιθανὸν εἶχεν.

III. Ὅτι μὲν δὴ τῆς πολιτικῆς ἄνθρωπος ἀρετῆς οὐ κτᾶται τελειοτέραν ὁμολογούμενόν ἐστι· ταύτης δέ που μόριον οἱ πλεῖστοι τὴν οἰκονομικὴν οὐ μικρὸν τίθενται· καὶ γὰρ ἡ πόλις οἶκων τι σύστημα καὶ κεφάλαιον οὖσα ῥώννυται πρὸς τὰ δημόσια τοῖς ἰδίοις βίοις τῶν πολιτῶν εὐθενούντων, ὅπου καὶ Λυκοῦργος ἐξοικίσας μὲν ἀργύριον, ἐξοικίσας δὲ χρυσὸν τῆς Σπάρτης, νόμισμα δὲ διεφθαρμένου πυρὶ σιδήρου θέμενος αὐτοῖς οἰκονομίας οὐκ ἀπήλλαξε τοὺς πολίτας, ἀλλὰ τὰ τρυφῶντα καὶ b

quæ jam ad nobilitatem generis, divitias, largitiones et ambitiones respicere assuefacta esset, et præ mole sua atque potentia in eos, qui magistratum peterent, illuderet. (5) Neque tantum erat, Themistoclem adversarium habere, virum neque natalibus illustrem, et opibus modicis (nam is ut primum rempublicam attigit, trium, aut ad summum quinque talentorum rem habuit), quantum de principatu contendere cum Scipionibus Africanis, Serviis Galbis, Quinctiis Flamininis, quum nihil præter vocem libere pro justitia certantem præsidii haberet.

II. Præterea in Marathone Aristides rursusque ad Platæas decimus ipse dux fuit: Cato multis una ambientibus, uno cum collega consul itemque censor, septem clarissimis et primis competitoribus dejectis, fuit. (2) Et quidem nunquam ulla in re præclare gesta primas partes Aristides obtinuit. Nam de Marathonia pugna eas Miltiades, in Salaminia Themistocles vindicat, ad Platæas si Herodoto credimus, pulcherrimam victoriam Pausanias paravit: quin et de secundis cum Aristide certant Sophanæ, Aminiæ, Callimachi, Cynægiri, qui præliis istis clarissima virtutis ediderunt facinora. (3) Cato non Hispaniense modo bellum consul ipse confecit, manuque et consilio primam laudem meruit, sed et tribunus militum sub alio consule ad Thermopylas, victoriæ gloriam suam fecit, quum magnam Romanis Antiochum superandi januam aperuisset, ac regi quæ ante ipsum erant tantum videnti, a tergo bellum objecisset. (4) Ista enim victoria, haud dubie Catonis opus, Asiam Græcia expulit et postea transitum in illam Scipioni expedivit. (5) Atque in bello quidem uterque invictus fuit, sed in republica versans Aristides succubuit, factione Themistoclis in exsulium pulsus; Cato quum potentissimos et maximos Romanorum omnes fere adversarios habuisset, et usque ad senectutem athletæ instar decertasset, nunquam tamen concidit. (6) Quum in publicis judiciis sæpissime et accusatus esset et accusasset, multos quidem reos peregit, ipse vero damnatus nunquam est; habuit enim orationem vitæ suæ propugnaculum instrumentumque efficax, cui rectius quam casui vel fortunæ ejus viri adscripseris, quod nihil præter dignitatem suam passus est. (7) Nam et Aristoteli philosopho jam mortuo virium in persuadendo, præter ceteras ejus viri dotes, tanquam magni momenti rei testimonium perhibuit Antipater.

III. Jam in confesso illud est, præstantiorem civili nullam virtutem in hominem cadere: hujus autem partem non exiguam esse in rei familiaris administratione positam plerique fatentur; civitas enim corpus quoddam ex familiis conflatum quum sit et quasi summa earum, ita demum respublica valida est, si privatæ civium facultates bene habeant: quando Lycurgus etiam exterminato Sparta argento auroque, nomisma de ferro igni corrupto civibus constituens, de rei familiaris cura nequaquam detraxit suos; sed luxuriosas b

ὕπουλα καὶ φλεγμαίνοντα τοῦ πλούτου περιελών, ὅπως εὐπορήσωσι τῶν ἀναγκαίων καὶ χρησίμων ἅπαντες, ὡς ἄλλος οὐδεὶς νομοθέτης προὐνόησε τὸν ἄπορον καὶ ἀνέστιον καὶ πένητα σύνοικον ἐπὶ κοινωνίᾳ πολιτείας μᾶλλον τοῦ πλουσίου καὶ ὑπερόγκου φοβηθείς. (2) Φαίνεται τοίνυν ὁ μὲν Κάτων οὐδέν τι φαυλότερος οἴκου προστάτης ἢ πόλεως γενόμενος· καὶ γὰρ αὐτὸς ηὔξησε τὸν αὑτοῦ βίον καὶ κατέστη διδάσκαλος οἰκονομίας καὶ γεωργίας ἑτέροις πολλὰ καὶ χρήσιμα περὶ τούτων συλλεξάμενος· Ἀριστείδης δὲ τῇ πενίᾳ καὶ τὴν δικαιοσύνην διέβαλεν ὡς οἰκοφθόρον καὶ πτωχοποιὸν καὶ πᾶσι μᾶλλον ἢ τοῖς κεκτημένοις ὠφέλιμον. (3) Καίτοι πολλὰ μὲν Ἡσίοδος πρὸς δικαιοσύνην ἅμα καὶ οἰκονομίαν παρακαλῶν ἡμᾶς εἴρηκε καὶ τὴν ἀργίαν ὡς ἀδικίας ἀρχὴν λοιδόρηκεν, εὖ δὲ καὶ Ὁμήρῳ πεποίηται·

istas ulcera latentia et ardorem contrahentes divitias circumcidens, haud minus quam ullus quispiam alius legumlator prospexit, ut omnibus rerum necessariarum et utilium esset copia, pauperem et lare opibusque destitutum in reipublicæ communione hominem magis timendum esse putans quam divitem et opibus gravem. (2) Hac in re Cato non minorem familiæ quam reipublicæ administratione laudem videtur meruisse. Nam et ipse rem domesticam auxit et multa utiliaque præcepta collegit, quibus alios ad agri et rei familiaris procurationem instruxit. At vero Aristides paupertate sua justitiam quoque infamem fecit, ut quæ rem everteret, ad pauperiem redigeret, denique omnibus potius, quam iis qui ea essent præditi, conduceret. (3) At qui multis Hesiodus nos ad justitiam cum rei familiaris cura conjungendam est cohortatus, ignaviam, ut injustitiæ causam, traducens. Recte et hæc Homerus cecinit:

Ἔργον δέ μοι οὐ φίλον ἦεν
οὐδ' οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα,
ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
καὶ πόλεμοι καὶ ἄκοντες ἰόξεστοι καὶ ὀϊστοί·

Non grata fuit mihi rustica cura,
non mihi cura domi, qua dulcia pignora aluntur:
sed naves gratæ semper remique fuere,
prœliaque et læves hastæ volucresque sagittæ.

ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας καὶ ποριζομένους ἐξ ἀδικίας. (4) Οὐ γάρ, ὡς τοὖλαιον οἱ ἰατροί φασι τοῦ σώματος εἶναι τοῖς μὲν ἐκτὸς ὠφελιμώτατον, τοῖς δ' ἐντὸς βλαβερώτατον, οὕτως ὁ δίκαιος ἑτέροις μέν ἐστι χρήσιμος, αὑτοῦ δὲ καὶ τῶν ἰδίων ἀκηδής, ἀλλ' ἔοικε ταύτῃ πεπηρῶσθαι τῷ Ἀριστείδῃ τὸ πολιτικὸν, εἴπερ, ὡς οἱ πλεῖστοι λέγουσιν, οὐδὲ προῖκα τοῖς θυγατρίοις οὐδὲ ταφὴν αὐτῷ καταλιπέσθαι προὐνόησεν. (5) Ὅθεν ὁ μὲν Κάτωνος οἶκος ἄχρι γένους τετάρτου στρατηγοὺς καὶ ὑπάτους τῇ Ῥώμῃ παρεῖχε· καὶ γὰρ υἱωνοὶ καὶ τούτων ἔτι παῖδες ἦρξαν ἀρχὰς τὰς μεγίστας· τῆς δ' Ἀριστείδου τοῦ πρωτεύσαντος Ἑλλήνων γενεᾶς ἡ πολλὴ καὶ ἄπορος πενία τοὺς μὲν εἰς ἀγυρτικοὺς κατέβαλε πίνακας, τοὺς δὲ δημοσίᾳ τὰς χεῖρας ἐράνῳ δι' ἔνδειαν ὑπέχειν ἠνάγκασεν, οὐδενὶ δὲ λαμπρὸν οὐδὲν οὐδ' ἄξιον ἐκείνου τοῦ ἀνδρὸς φρονῆσαι παρέσχεν.

Ostendit enim eos qui rei familiaris studium omittunt, in justis rebus victum suum exercere. (4) Neque verum est, quemadmodum medicis auctoribus oleum corporis externis partibus conducit plurimum, internis maximum damnum affert, ita justum aliis prodesse et res suas nihil curare, sed hac in parte ratio Aristidis civilis manca fuit: siquidem ita mortuus est, quod plerique tradiderunt, ut neque sibi de sepultura, neque filiabus de dote prospexerit. (5) Unde factum est ut Catonis quidem usque in quartum gradum progenies prætores et consules suppeditarit: nepotes enim Catonis, eorumque filii summos Romæ magistratus obtinuerunt. At primi inter Græcos viri Aristidis posteros summa paupertas, ut somniis conjiciendis victum quærerent, coegit, alios ad stipem publice petendam compulit, neque ulli animum generis auctore dignum gerere permisit.

IV. Ἦ τοῦτο πρῶτον ἀμφιλογίαν ἔχει; Πενία γὰρ αἰσχρὸν οὐδαμοῦ μὲν δι' αὐτὴν, ἀλλ' ὅπου δεῖγμα ῥᾳθυμίας ἐστὶν, ἀκρασίας, πολυτελείας, ἀλογιστίας, ἀνδρὶ δὲ σώφρονι καὶ φιλοπόνῳ καὶ δικαίῳ καὶ ἀνδρείῳ καὶ δημοσιεύοντι ταῖς ἀρεταῖς ἁπάσαις συνοῦσα μεγαλοψυχίας ἐστὶ καὶ μεγαλοφροσύνης σημεῖον. (2) Οὐ γὰρ ἔστι πράττειν μεγάλα φροντίζοντα μικρῶν οὐδὲ πολλοῖς δεομένοις βοηθεῖν πολλῶν αὐτὸν δεόμενον. (3) Μέγα δ' εἰς πολιτείαν ἐφόδιον οὐχ ὁ πλοῦτος, ἀλλ' αὐτάρκεια τῷ μηθενὸς ἰδίᾳ τῶν περιττῶν δεῖσθαι πρὸς οὐδεμίαν ἀσχολίαν ἄγουσα τῶν δημοσίων. (4) Ἀπροσδεὴς μὲν γὰρ ἁπλῶς ὁ θεὸς, ἀνθρωπίνης δ' ἀρετῆς, ᾗ συνάγεται πρὸς τὸ ἐλάχιστον ἡ χρεία, τοῦτο τελειότατον καὶ θειότατον. (5) Ὡς γὰρ σῶμα τὸ καλῶς πρὸς εὐεξίαν κεκραμένον οὔτ' ἐσθῆτος οὔτε τροφῆς δεῖται περιττῆς, οὕτω καὶ βίος καὶ οἶκος ὑγιαίνων ἀπὸ τῶν τυχόντων διοικεῖται. (6) Δεῖ δὲ τῇ χρείᾳ σύμμετρον ἔχειν τὴν κτῆσιν· ὡς ὅ γε πολλὰ συνάγων, ὀλίγοις δὲ χρώμενος οὐκ ἔστιν αὐτάρκης, ἀλλ' εἴτε μὴ δεῖται, τῇ παρασκευῇ ὧν οὐκ ὀρέγεται

IV. Quanquam hoc primum in controversiam potest vocari. Pauperies enim per se turpis non est, sed ubi est indicium socordiæ, intemperantiæ, prodigalitatis, imprudentiæ; viro autem temperanti, laborioso, justo, forti, et qui omnibus suis virtutibus patriæ prodest, magni animi testimonium præbet. (2) Non enim potest res magnas gerere, qui parva curat; neque multis indigentibus auxilium ferre, qui ipse multis opus habet. (3) Neque dives, sed qui paucis contentus est, habet viam ad rempublicam expeditam: is enim eo quod nullius rei supervacaneæ privatim indiget, ad publica negotia liberatur. (4) Ipse quidem deus prorsus nulla re opus habet: in humana autem virtute id perfectissimum et quam maxime divinum est, quod ad suum usum paucissima requirit. (5) Ac veluti corpus bono ad valetudinem temperamento præditum, neque vestitum neque alimentum exquisitum desiderat, sic vita et domus bene instituta facile quibuscumque facultatibus administratur. (6) Sed et necessitati respondere possessionem oportet; itaque qui multa parat, paucis vero utitur, is contentus non

μάταιος, εἴτ' ὀρέγεται, μικρολογίᾳ κολούων τὴν ἀπόλαυσιν ἄθλιος. (7) Αὐτοῦ γέ τοι Κάτωνος ἡδέως ἂν πυθοίμην· Εἰ μὲν ἀπολαυστὸν ὁ πλοῦτός ἐστι, τί σεμνύνῃ τῷ πολλὰ κεκτημένος ἀρκεῖσθαι μετρίοις; εἰ δὲ λαμπρόν ἐστιν, ὥσπερ ἐστίν, ἄρτῳ τε χρῆσθαι τῷ προστυχόντι καὶ πίνειν ὃν ἐργάται πίνουσι καὶ θεράποντες οἶνον καὶ πορφύρας μὴ δεηθῆναι μήτ' οἰκίας κεκονιαμένης, οὐδὲν οὔτ' Ἀριστείδης οὔτ' Ἐπαμεινώνδας οὔτε Μάνιος Κούριος οὔτε Γάϊος Φαβρίκιος ἐνέλιπον τοῦ προσήκοντος, χαίρειν ἐάσαντες τὴν κτῆσιν ὧν τὴν χρῆσιν ἀπεδοκίμαζον. (8) Οὐ γὰρ ἦν ἀναγκαῖον ἀνθρώπῳ γογγυλίδας ἥδιστον ὄψον πεποιημένῳ καὶ δι' αὐτοῦ ταύτας ἕψοντι, ματτούσης ἅμα τῆς γυναικὸς ἄλφιτα, τοσαῦτα περὶ ἀσσαρίου θρυλεῖν καὶ γράφειν, ἀφ' ἧς ἄν τις ἐργασίας τάχιστα πλούσιος γένοιτο. (9) Μέγα γὰρ τὸ εὐτελὲς καὶ αὔταρκες, ὅτι τῆς ἐπιθυμίας ἅμα καὶ τῆς φροντίδος ἀπαλλάττει τῶν περιττῶν. (10) Διὸ καὶ τοῦτό φασιν ἐν τῇ Καλλίου δίκῃ τὸν Ἀριστείδην εἰπεῖν, ὡς αἰσχύνεσθαι πενίαν προσήκει τοῖς ἀκουσίως πενομένοις, τοῖς δ', ὥσπερ αὐτὸς, ἑκουσίως, ἐγκαλλωπίζεσθαι. (11) Γελοῖον γὰρ οἴεσθαι ῥᾳθυμίας εἶναι τὴν Ἀριστείδου πενίαν, ᾧ παρῆν αἰσχρὸν εἰργασμένῳ μηδὲν, ἀλλ' ἕνα σκυλεύσαντι βάρβαρον ἢ μίαν σκηνὴν καταλαβόντι πλουσίῳ γενέσθαι. Ταῦτα μὲν οὖν περὶ τούτων.

V. Στρατηγίαι δὲ τοῦ μὲν Κάτωνος οὐδὲν ὡς μεγάλοις πράγμασι μέγα προσέθηκαν, ἐν δὲ ταῖς Ἀριστείδου τὰ κάλλιστα καὶ λαμπρότατα καὶ πρῶτα τῶν Ἑλληνικῶν ἔργων ἐστὶν, ὁ Μαραθὼν, ἡ Σαλαμὶς, αἱ Πλαταιαί. (2) Καὶ οὐκ ἄξιον δήπου παραβάλλειν τῷ Ξέρξῃ τὸν Ἀντίοχον καὶ τὰ περιαιρεθέντα τῶν Ἰβηρικῶν πόλεων τείχη ταῖς τοσαύταις μὲν ἐν γῇ, τοσαύταις δ' ἐν θαλάσσῃ πεσούσαις μυριάσιν· ἐν οἷς Ἀριστείδης ἔργῳ μὲν οὐδενὸς ἐλείπετο, δόξης δὲ καὶ στεφάνων, ὥσπερ ἀμέλει πλούτου καὶ χρημάτων, ὑφήκατο τοῖς μᾶλλον δεομένοις, ὅτι καὶ [ἄνευ] πάντων τούτων διέφερεν. (3) Ἐγὼ δ' οὐ μέμφομαι μὲν Κάτωνος τὸ μεγαλύνειν ἀεὶ καὶ πρῶτον ἑαυτὸν ἁπάντων τίθεσθαι· καίτοι φησὶν ἔν τινι λόγῳ τὸ ἐπαινεῖν αὐτὸν ὥσπερ τὸ λοιδορεῖν ἄτοπον εἶναι· τελειότερος δέ μοι δοκεῖ πρὸς ἀρετὴν τοῦ πολλάκις ἑαυτὸν ἐγκωμιάζοντος ὁ μηδ' ἑτέρων τοῦτο ποιούντων δεόμενος. (4) Τὸ γὰρ ἀφιλότιμον οὐ μικρὸν εἰς πραότητα πολιτικὴν ἐφόδιον καὶ τοὐναντίον ἡ φιλοτιμία χαλεπὸν καὶ φθόνου γονιμώτατον, ἧς ὁ μὲν ἀπήλλακτο παντάπασιν, ὁ δὲ καὶ πάνυ πολλῆς μετεῖχεν. (5) Ἀριστείδης μέν γε Θεμιστοκλεῖ τὰ μέγιστα συμπράττων καὶ τρόπον τινὰ τὴν στρατηγίαν αὐτοῦ δορυφορῶν ὤρθωσε τὰς Ἀθήνας, Κάτων δ' ἀντιπράττων Σκηπίωνι μικροῦ μὲν ἀνέτρεψε καὶ διελυμήνατο τὴν ἐπὶ Καρχηδονίους αὐτοῦ στρατηγίαν, ἧ τὸν ἀήττητον Ἀννίβαν καθεῖλε, τέλος δὲ μηχανώμενος ἀεί τινας ὑποψίας καὶ διαβολὰς αὐτὸν μὲν ἐξήλασε τῆς πόλεως, τὸν δ' ἀδελφὸν αἰσχίστῃ κλοπῆς καταδίκῃ περιέβαλεν.

VI. Ἦν τοίνυν πλείστοις ὁ Κάτων κεκόσμηκε καὶ καλλίστοις ἐπαίνοις ἀεὶ σωφροσύνην Ἀριστείδης μὲν

est, sed aut vanus, siquidem ea quærit, quibus non opus habet, aut miser, si ob sordes animi non utitur partis. (7) Libenter vero ex ipso Catone sic perconter: Si divitiis fruendum est, quid gloriaris te multa possidentem modicis uti? sin præclarum est (et quidem ita res habet) pane quocumque vesci et vinum idem cum operariis et servis bibere, purpuram domumque dealbatam non requirere, jam officio Aristides etiam, Epaminondas, Manius Curius, C. Fabricius satisfecerunt, quarum rerum usum improbarent, earum etiam possessionem valere jubentes. (8) Quid enim attinebat, virum, qui rapa suavissimum cibum duceret eaque ipse elixaret, uxore simul farinam subigente, toties de asse nugari et scribere quo quis opificio quamprimum ditesceret? (9) Etenim tenuitas et animus paucis contentus eo ipso nomine magna sunt, quod cupiditate simul et cura liberant rerum non necessariarum. (10) Itaque in Calliæ judicio hoc dixisse Aristidem aiunt, paupertatis pudere eos debere qui inviti eam ferant, laudi eam sibi ducere eos qui, ut ipse, ultro subirent. (11) Ridiculum enim erat existimare, ob ignaviam Aristidem egestate laborare, cui licebat, nihil turpe agenti, spoliato uno barbaro, aut uno tentorio occupato, diviti esse. Verum de his dictum est satis.

V. Imperia Catonis rebus Romanorum jam tum magnis nihil magni addiderunt: at in Aristidis præturis honestissima, clarissima et prima Græcorum facinora memorantur, Marathon, Salamis, Platææ. (2) Neque potest merito cum Xerxe Antiochus conferri, aut muri Hispanicarum urbium proruti, tam multis terra marique perditis barbarorum millibus. Quibus in rebus Aristides re neminem habuit priorem, gloriam tamen et coronas, quippe ut divitias etiam atque opes, iis qui magis ea requirerent, concessit, quibus omnibus et sic vel sine iis facile præstans. (3) Præterea ut non reprehendo Catonis ubique sibi ipsi primas vindicantis jactantiam (quanquam ipse in quadam oratione dicit, proprias laudes non minus quam convicia quæ sibi quis ipsi faciat, absurdas esse), perfectiore tamen mihi virtute præditus videtur qui ne aliorum quidem laudationem requirit, quam qui se ipsum crebro collaudat. (4) Vacuitas enim arrogantiæ magnum est mansuetudinis civilis adminiculum: contra arrogantia molesta plurimumque invidiæ procreans, et ab invidia tutus ideo prorsus fuit Aristides, Cato plurimæ obnoxius. (5) Proinde Aristides in maximis rebus Themistoclem adjuvans, stipator quodammodo præturæ ejus, Athenas erexit. Cato Scipioni resistens parum abfuit quin ejus in Africam expeditionem intervertisset, qua invictum ille Hannibalem dejecit, denique identidem suspiciones aliquas et calumnias serendo, hunc ad extremum urbe expulit, fratremque ejus Lucium turpissima peculatus damnatione circumvenit.

VI. Postremo quam pulcherrimis plurimisque assiduo laudibus extulit Cato pudicitiam, eam vere illibatam Ari-

ἄθικτον ὡς ἀληθῶς καὶ καθαρὰν ἐτήρησεν, αὐτοῦ δὲ τοῦ Κάτωνος ὁ παρ' ἀξίαν ἅμα καὶ παρ' ὥραν γάμος οὐ μικρὰν οὐδὲ φαύλην εἰς τοῦτο διαβολὴν κατεσκέδασε.
356(2) Πρεσβύτην γὰρ ἤδη τοσοῦτον ἐνηλίκῳ παιδὶ καὶ a γυναικὶ νύμφῃ παιδὸς ἐπιγῆμαι κόρην ὑπηρέτου καὶ δημοσιεύοντος ἐπὶ μισθῷ πατρὸς οὐδαμοῦ καλὸν, ἀλλ' εἴτε πρὸς ἡδονὴν ταῦτ' ἔπραξεν εἴτ' ὀργῇ διὰ τὴν ἑταίραν ἀμυνόμενος τὸν υἱὸν, αἰσχύνην ἔχει καὶ τὸ ἔργον καὶ ἡ πρόφασις. (3) Ὃ δ' αὐτὸς ἐχρήσατο λόγῳ κατειρωνευόμενος τὸ μειράκιον, οὐκ ἦν ἀληθής. Εἰ γὰρ ἐβούλετο παῖδας ἀγαθοὺς ὁμοίως τεκνῶσαι, γάμον ἔδει λαβεῖν γενναῖον ἐξ ἀρχῆς σκεψάμενον, οὐχ ἕως μὲν ἐλάνθανεν ἀνεγγύῳ γυναικὶ καὶ κοινῇ συγκοιμώμενος ἀγαπᾶν· ἐπεὶ δ' ἐφωράθη, ποιήσασθαι πενθερὸν ὃν ῥᾷστα b πείσειν, οὐχ ᾧ κάλλιστα κηδεύσειν ἔμελλεν.

stides et puram custodiit : Cato propter nuptias, præter dignitatem et ætatem suam contractas, neque parvam neque inanem in reprehensionem incidit. (2) Nequaquam enim decebat longius ætate provectum, filio adulto nuruique filiam ministri sui, ejus qui reipublicæ mercenariam operam locasset, supra cervicem inducere : et sive voluptatis causa id fecit, sive ira motus, ut de scorto in filium vindicaret, turpia et factum sunt et prætextus. (3) Quo enim usus est sermone, per jocum eludens juvenem, is verus non fuit. Si enim ejus similes bonos filios voluerat procreare, uxorem ducere ingenuam oportuit, re initio deliberata, non satis habere, donec latuit, obscuræ et vulgaris meretricis concubitus; deinde quum id deprehensum esset, socerum deligere eum, qui facillime quidem erat assensurus, non autem satis idoneus affinis futurus.

ΦΙΛΟΠΟΙΜΗΝ.

Κλέανδρος ἦν ἐν Μαντινείᾳ γένους τε πρώτου καὶ δυνηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν, τύχῃ δὲ χρησάμενος καὶ τὴν ἑαυτοῦ φυγὼν ἦκεν εἰς Μεγάλην πόλιν οὐχ ἥκιστα διὰ τὸν Φιλοποίμενος πατέρα Κραῦγιν, ἄνδρα πάντων ἕνεκα λαμπρὸν, ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. (2) Ζῶντος μὲν οὖν αὐτοῦ πάντων ἐτύγχανε, τελευτήσαντος δὲ τὴν ἀμοιβὴν τῆς φιλοξενίας ἀποδιδοὺς d ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα, καθάπερ φησὶν Ὅμηρος ὑπὸ τοῦ Φοίνικος τὸν Ἀχιλλέα τραφῆναι, γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς πλάσιν καὶ αὔξησιν λαμβάνοντος. (3) Ἤδη δὲ τοῦ Φιλοποίμενος ἀντίπαιδος ὄντος Ἔκδημος καὶ Μεγαλοφάνης οἱ Μεγαλοπολῖται διεδέξαντο τὴν ἐπιμέλειαν, Ἀρκεσιλάῳ συνήθεις ἐν Ἀκαδημίᾳ γεγονότες καὶ φιλοσοφίαν μάλιστα τῶν καθ' ἑαυτοὺς ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. (4) Οὗτοι καὶ τὴν ἑαυτῶν πατρίδα τυραννίδος e ἀπήλλαξαν τοὺς ἀποκτενοῦντας Ἀριστόδημον κρύφα παρασκευάσαντες καὶ Νικοκλέα τὸν Σικυωνίων τύραννον Ἀράτῳ συνεξέβαλον καὶ Κυρηναίοις δεηθεῖσιν, ταραγμένων τῶν κατὰ τὴν πόλιν καὶ νοσούντων, πλεύσαντες εὐνομίαν ἔθεντο καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. (5) Οἱ αὐτοί γε μὴν ἐν τοῖς ἄλλοις ἔργοις καὶ τὴν Φιλοποίμενος ἐποιοῦντο παίδευσιν, ὡς κοινὸν ὄφελος τῇ Ἑλλάδι τὸν ἄνδρα τοῦτον ὑπὸ φιλοσοφίας ἀπεργασόμενοι. (6) Καὶ γὰρ ὥσπερ ὀψίγονον ἐν γήρᾳ ταῖς τῶν παλαιῶν ἡγεμόνων ἐπιτεκοῦσα τοῦτον ἀρεταῖς ἡ Ἑλλὰς f ἠγάπησε διαφερόντως καὶ συνηύξησε τῇ δόξῃ τὴν δύναμιν. (7) Ῥωμαίων δέ τις ἐπαινῶν ἔσχατον αὐτὸν Ἑλλήνων προσεῖπεν, ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς Ἑλλάδος ἄνδρα γειναμένης οὐδὲ αὐτῆς ἄξιον.

II. Ἦν δὲ τὸ μὲν εἶδος οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν· εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν ἐν Δελφοῖς δρῶμεν· τὴν δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσι δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ. (2) 357 Πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτοὺς τὸν στρατηγὸν a τῶν Ἀχαιῶν ἐθορυβεῖτο παρασκευάζουσα δεῖπνον οὐ παρόντος κατὰ τύχην τοῦ ἀνδρός. Ἐν τούτῳ δὲ τοῦ Φιλοποίμενος εἰσελθόντος χλαμύδιον εὐτελὲς ἔχοντος οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ πρόδρομον παρεκάλει τῆς διακονίας συνεφάψασθαι. (3) Καὶ ὁ μὲν εὐθὺς ἀπορρίψας τὴν χλαμύδα τῶν ξύλων ἔσχιζε· ὁ δὲ ξένος ἐπεισελθὼν καὶ θεασάμενος, « Τί τοῦτο, ἔφη, ὦ Φιλοποίμην; « Τί γὰρ ἄλλο, ἔφη δωρίζων ἐκεῖνος, ἢ κακᾶς ὄψεως δίκας δίδωμι; » (4) Τοῦ δὲ ἄλλου σώματος τὴν φύσιν ἐπισκώπτων ὁ Τίτος εἶπεν, « Ὦ Φιλοποίμην, ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη· γαστέρα δ' οὐκ ἔχεις. » (5) Ἦν γὰρ ἐκ τῶν μέσων στενότερος. Τὸ b μέντοι σκῶμμα πρὸς τὴν δύναμιν αὐτοῦ μᾶλλον ἐλέχθη· καὶ γὰρ ὁπλίτας ἔχων ἀγαθοὺς καὶ ἱππεῖς χρημάτων πολλάκις οὐκ εὐπόρει. Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς περὶ τοῦ Φιλοποίμενος λέγεται.

III. Τοῦ δ' ἤθους τὸ φιλότιμον οὐκ ἦν παντάπασι

PHILOPŒMEN.

Fuit quidam Mantineæ Cleander, genere ac potentia inter cives primo loco : is adversa fortuna solum vertere coactus Megalopolim se contulit, fretus præsertim Craugidis (pater hic fuit Philopœmenis) familiaritate, viri multis nominibus præstantissimi. (2) Eo vivente quum nihil desideraret Cleander, ut hospitalitatis ei mercedem persolveret, filium defuncti Philopœmenem pupillum educavit (quemadmodum Homerus Achillem a Phœnice educatum scribit), in quo erat jam inde ab initio generosa et regia indoles, quæ et fingi et augeri se facile pateretur. (3) Ut ex ephebis excessit Philopœmen, Cleandro in ejus cura gerenda Ecdemus et Megalophanes Megalopolitani successerunt, qui et cum Arcesilao in Academia erant versati et philosophia ad rempublicam et actiones traducenda sui temporis hominibus præstabant. (4) Hi et submissis occulte Aristodemo percussoribus patriam suam tyrannide liberarunt, et Aratum in ejiciendo Nicocle Sicyoniorum tyranno adjuverunt, et a Cyrenæis, quorum perturbata erat atque laborabat respublica, advocati, Cyrenen navigarunt, ibique et leges sanxerunt et civitatem optimo ordine constituerunt. (5) Inter alia sua negotia isti Philopœmenis quoque institutionem habuerunt, virum istum communi bono toti Græciæ futurum philosophiæ præceptis formantes. (6) Etenim hunc quasi in senectute post antiquos illos et virtutibus claros duces quum peperisset Græcia, impense dilexit suoque judicio potentiam ejus auxit. (7) Et quidam Romanus eum laudans, ultimum Græcorum appellavit, utpote quod post hunc neminem Græcia magnum seque ipsa dignum virum protulisset.

II. Forma fuit non, ut quidam putant, turpi : exstat enim ejus etiamnum Delphis imago. Facilitas ipsius et simplicitas errori hospitæ istius Megarensis causam præbuit. (2) Ea quum forte marito domo absente accepisset ducem Achæorum ad se venire, non sine tumultu et trepidatione erat in cœna apparanda occupata, interim Philopœmenem ingressum in ædes, pallio vili amictum videns, famulorum aliquem aut præcursorem rata esse, monuit ut se adornanda cœna juvaret. (3) Isque statim, abjecta lacerna, ligna cœpit findere. Hospes ut domum reversus id vidit, Quid hoc, inquit, o Philopœmen, rei est? Quid aliud, respondit Dorico sermone ille, nisi deformis habitus pœnas luo? (4) Ceterum corporis habitum T. Quinctius subsannans : Pulchras, inquit, o Philopœmen, manus et pedes habes, ventrem non habes. (5) Erat sane medio corpore gracilior; sed id dictum ad facultates potius ejus respexit, quod bono peditatu bonoque equitatu instructus, sæpe pecunia indigeret. Hæc ita in scholis de eo dicuntur.

III. Porro in gloriæ studio non fuit omnino ab ira et con-

φιλονεικίας καθαρὸν οὐδ' ὀργῆς ἀπηλλαγμένον, ἀλλὰ, καίπερ Ἐπαμεινώνδου βουλόμενος εἶναι μάλιστα ζηλωτής, τὸ δραστήριον καὶ συνετὸν αὐτοῦ καὶ ὑπὸ χρημάτων ἀπαθὲς ἰσχυρῶς ἐμιμεῖτο, τῷ δὲ πράῳ καὶ βαθεῖ καὶ φιλανθρώπῳ παρὰ τὰς πολιτικὰς διαφορὰς ἐμμένειν οὐ δυνάμενος δι' ὀργὴν καὶ φιλονεικίαν μᾶλλον ἐδόκει στρατιωτικῆς ἢ πολιτικῆς ἀρετῆς οἰκεῖος εἶναι. (2) Καὶ γὰρ ἐκ παίδων εὐθὺς ἦν φιλοστρατιώτης καὶ τοῖς πρὸς τοῦτο χρησίμοις μαθήμασιν ὑπήκουε προθύμως ὁπλομαχεῖν καὶ ἱππεύειν. (3) Ἐπεὶ δὲ καὶ παλαίειν εὐφυὴς ἐδόκει καὶ παρεκάλουν αὐτὸν ἐπὶ τὴν ἄθλησιν ἔνιοι τῶν φίλων καὶ τῶν ἐπιτρόπων, ἠρώτησεν αὐτοὺς, μή τι πρὸς τὴν στρατιωτικὴν ἄσκησιν ὑπὸ τῆς ἀθλήσεως βλαβήσοιτο. (4) Τῶν δὲ φαμένων, ὅπερ ἦν, ἀθλητικὸν στρατιωτικοῦ σῶμα καὶ βίον διαφέρειν τοῖς πᾶσι, μάλιστα δὲ δίαιταν ἑτέραν καὶ ἄσκησιν εἶναι, τῶν μὲν ὕπνῳ τε πολλῷ καὶ πλησμοναῖς ἐνδελεχέσι καὶ κινήσεσι τεταγμέναις καὶ ἡσυχίαις αὐξόντων τε καὶ διαφυλαττόντων τὴν ἕξιν ὑπὸ πάσης ροπῆς καὶ παρεκβάσεως τοῦ συνήθους ἀκροσφαλῆ πρὸς μεταβολὴν οὖσαν, τὰ δὲ πάσης μὲν πλάνης ἔμπειρα καὶ πάσης ἀνωμαλίας προσῆκον εἶναι, μάλιστα δὲ φέρειν ῥᾳδίως μὲν ἔνδειαν εἰθισμένα, ῥᾳδίως δὲ ἀγρυπνίαν, ἀκούσας ὁ Φιλοποίμην οὐ μόνον αὐτὸς ἔφυγε τὸ πρᾶγμα καὶ κατεγέλασεν, ἀλλὰ καὶ στρατηγῶν ὕστερον ἀτιμίαις καὶ προπηλακισμοῖς, ὅσον ἦν ἐπ' αὐτῷ, πᾶσαν ἄθλησιν ἐξέβαλλεν ὡς τὰ χρησιμώτατα τῶν σωμάτων εἰς τοὺς ἀναγκαίους ἀγῶνας ἄχρηστα ποιοῦσαν.

IV. Ἀπαλλαγεὶς δὲ διδασκάλων καὶ παιδαγωγῶν ἐν μὲν ταῖς πολιτικαῖς στρατείαις, ἃς ἐποιοῦντο κλωπείας ἕνεκα καὶ λεηλασίας εἰς τὴν Λακωνικὴν ἐμβάλλοντες, εἴθισεν αὐτὸν πρῶτον μὲν ἐκστρατευόντων, ὕστατον δὲ ἀπερχομένων βαδίζειν. (2) Σχολῆς δὲ οὔσης ἢ κυνηγῶν διαπόνει τὸ σῶμα καὶ κατεσκεύαζε κοῦφον ἅμα καὶ ῥωμαλέον, ἢ γεωργῶν. (3) Ἦν γὰρ ἀγρὸς αὐτῷ καλὸς ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως. Εἰς τοῦτον ἐβάδιζε καθ' ἡμέραν μετὰ τὸ ἄριστον ἢ μετὰ τὸ δεῖπνον καὶ καταβαλὼν ἑαυτὸν ἐπὶ στιβαδίου τοῦ τυχόντος ὥσπερ ἕκαστος τῶν ἐργατῶν ἀνεπαύετο. (4) Πρωὶ δὲ ἀναστὰς καὶ συνεφαψάμενος ἔργου τοῖς ἀμπελουργοῦσιν ἢ βοηλατοῦσιν αὖθις εἰς πόλιν ἀπῄει καὶ περὶ τὰ δημόσια τοῖς φίλοις καὶ τοῖς ἄρχουσι συνησχολεῖτο. (5) Τὰ μὲν οὖν ἐκ τῶν στρατειῶν προσιόντα κατανάλισκεν εἰς ἵππους καὶ ὅπλα καὶ λύσεις αἰχμαλώτων, τὸν δὲ οἶκον ἀπὸ τῆς γεωργίας αὔξειν ἐπειρᾶτο δικαιοτάτῳ τῶν χρη-
358 ματισμῶν, οὐδὲ τοῦτο ποιούμενος πάρεργον, ἀλλὰ καὶ πάνυ προσήκειν οἰόμενος οἰκεῖα κεκτῆσθαι τὸν ἀλλοτρίων ἀφεξόμενον. (6) Ἠκροᾶτο δὲ λόγων καὶ συγγράμμασι φιλοσόφων ἐνετύγχανεν, οὐ πᾶσιν, ἀλλ' ἀφ' ὧν ἐδόκει πρὸς ἀρετὴν ὠφελεῖσθαι. Καὶ τῶν Ὁμηρικῶν ὅσα τὰς πρὸς ἀνδρείαν ἐγείρειν καὶ παροξύνειν ἐνόμιζε φαντασίας, τούτοις προσεῖχε. (7) Τῶν δ' ἄλλων ἀναγνωσμάτων μάλιστα τοῖς Εὐαγγέλου τακτικοῖς ἐνεφύετο καὶ τὰς περὶ Ἀλέξανδρον ἱστορίας κατεῖχε τοὺς

tentione purus, sed quum maxime imitandum sibi Epaminondam delegisset, alacritatem ejus, prudentiam et pecuniæ contemptum admodum expressit: animi autem lenitatem, gravitatem, humanitatemque in dissensionibus civilibus tueri quum nequiret, propter iracundiam et contendendi studium bellicæ magis quam civili virtuti deditus videbatur. (2) Et quidem statim a puero, militaris rei studiosus, omnia quæ ad eam facerent magna alacritate didicit, ut in armis pedes dimicare, equitare. (3) Quumque etiam in palæstra probaretur et ad athleticam cohortarentur amici quidam atque tutores, percontatus est, nihilne ea militari exercitationi esset obfutura. (4) Illis autem id quod res erat dicentibus, corpus et vitam athletarum omnino a militari habitu differre, præcipue autem diversam esse victus et exercitationum rationem; quippe athletarum corpora multo somno, continentibus repletionibus, statutis et motibus et quietibus habitum suum augere et tueri, cui omni momento et consuetudinis neglectu periculum mutationis immineat: militum vero corpora in omni variatione atque inæqualitate debere magnum habere usum, præsertim autem facile ea et cibo potuque carere consuevisse et ferre insomnium; his auditis non modo ipse athleticam fugit et derisit, sed et postmodo dux factus ignominiis et contumeliis propositis, quantum in ipso fuit, totam sustulit, ut quæ corpora ad necessaria certamina alioquin aptissima, inutilia redderet.

IV. Postquam sub præceptoribus esse et pædagogis desiit, in expeditionibus civium, quas prædæ avertendæ causa in Laconicam faciebant, primus, in reditu postremus ut esset, se assuefecit. (2) In otio aut venatu corpus exercuit, simulque et agile et robustum effecit, aut agricultura. (3) Habebat rus commodum, viginti ab urbe stadiis: eo quotidie a prandio aut a cœna commeabat et ut unus de operariorum numero, vilissimo super herbaceo toro decumbens quiescebat. (4) Mane surgens, vinitores aut aratores in opere faciendo adjuvabat: unde in urbem reversus, cum amicis et magistratibus negotiis publicis vacabat. (5) Bello parta in equos, arma et redimendos captivos impendebat, rem vero familiarem justissimo quæstu agriculturæ augere intendit: nequaquam enim hoc putavit negligendum, sed omnino eum qui alienis velit abstinere, propria bona possidere oportere censuit. (6) Auditorem se præbuit legitque scripta philosophorum, non omnium, sed eorum quos ad virtutem aliquid sibi conferre judicabat: et Homerica ea coluit, quibus cogitationes de fortitudine excitari et instigari sentiebat. (7) De reliquis libris Euangeli præsertim de instruenda acie operi studuit et historiis Alexandri inhæsit, ejusmodi lectione rursus ad agendum

λόγους ἐπὶ τὰ πράγματα καταστρέφειν οἰόμενος, εἰ μὴ σχολῆς ἕνεκα καὶ λαλιᾶς ἀχάρπου περαίνοιντο. (8) Καὶ γὰρ τῶν τακτικῶν θεωρημάτων τὰς ἐπὶ τοῖς πινακίοις διαγραφὰς ἐῶν χαίρειν ἐπὶ τῶν τόπων αὐτῶν ἐλάμ- b βανεν ἔλεγχον καὶ μελέτην ἐποιεῖτο, χωρίων συγκλινίας καὶ πεδίων ἀποκοπὰς καὶ ὅσα παρὰ ῥείθροις ἢ τάφροις ἢ στενωποῖς πάθη καὶ σχήματα διασπωμένης καὶ πάλιν συστελλομένης φάλαγγος ἐπισκοπῶν αὐτὸς πρὸς αὐτὸν ἐν ταῖς ὁδοιπορίαις καὶ τοῖς μεθ' ἑαυτοῦ προ- βάλλων. (9) Ἔοικε γὰρ οὗτος ἀνὴρ περαιτέρω τῆς ἀνάγκης ἐμφιλοχαλῆσαι τοῖς στρατιωτικοῖς καὶ τὸν πόλεμον ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς ἀσπάσασθαι καὶ ὅλως καταφρονεῖν τῶν ἀπολειπομένων ὡς ἀπράκτων.

V. Ἤδη δὲ αὐτοῦ τριάκοντα ἔτη γεγονότος Κλεο- μένης ὁ βασιλεὺς Λακεδαιμονίων νυκτὸς ἐξαίφνης προσ- c πεσὼν τῇ Μεγάλῃ πόλει καὶ τὰς φυλακὰς βιασάμενος ἐντὸς παρῆλθε καὶ τὴν ἀγορὰν κατέλαβεν. (2) Ἐκβοη- θήσας δὲ Φιλοποίμην τοὺς μὲν πολεμίους οὐ κατίσχυ- σεν ἐξελάσαι, καίπερ ἐῤῥωμένως καὶ παραβόλως διαγω- νισάμενος, τοὺς δὲ πολίτας τρόπον τινὰ τῆς πόλεως ἐξέ- κλεψε προσμαχόμενος τοῖς ἐπιδιώκουσι καὶ τὸν Κλεο- μένην περισπῶν ἐφ' ἑαυτόν, ὡς χαλεπῶς καὶ μόλις ὕστατος ἀπελθεῖν ἀποβαλὼν τὸν ἵππον καὶ τραυματίας γενόμενος. (3) Ἐπεὶ δὲ προσέπεμψεν αὐτοῖς ὁ Κλεο- μένης εἰς Μεσσήνην ἀπελθοῦσι τήν τε πόλιν μετὰ τῶν d χρημάτων ἀποδιδοὺς καὶ τὴν χώραν, ὁρῶν ὁ Φιλοποί- μην τοὺς πολίτας ἀσμένως δεχομένους καὶ σπεύδοντας ἐπανελθεῖν ἐνέστη καὶ διεκώλυσε τῷ λόγῳ διδάσκων, ὡς οὐκ ἀποδίδωσι τὴν πόλιν Κλεομένης, προσκτᾶται δὲ τοὺς πολίτας ἐπὶ τῷ καὶ τὴν πόλιν ἔχειν βεβαιότερον· οὐ γὰρ ἔξειν αὐτὸν ὅπως οἰκίας καὶ τείχη κενὰ φυλάξει καθήμενος, ἀλλὰ καὶ τούτων ὑπ' ἐρημίας ἐκπεσεῖσθαι. (4) Ταῦτα λέγων τοὺς μὲν πολίτας ἀπέτρεψε, τῷ δὲ Κλεομένει πρόφασιν παρέσχε λυμήνασθαι καὶ κατα- βαλεῖν τὰ πλεῖστα τῆς πόλεως καὶ χρημάτων εὐπορή- σαντι μεγάλων ἀπελθεῖν.

VI. Ἐπεὶ δὲ Ἀντίγονος ὁ βασιλεὺς βοηθῶν ἐπὶ τὸν Κλεομένην μετὰ τῶν Ἀχαιῶν ἐστράτευσε, καὶ τὰς περὶ e Σελλασίαν ἄκρας καὶ τὰς ἐμβολὰς κατέχοντος αὐτοῦ, παρέταξε τὴν δύναμιν ἐγγὺς ἐπιχειρεῖν καὶ βιάζεσθαι διανοούμενος, ἦν μὲν ἐν τοῖς ἱππεῦσι μετὰ τῶν αὐτοῦ πολιτῶν τεταγμένος ὁ Φιλοποίμην καὶ παραστάτας εἶ- χεν Ἰλλυριούς, οἷς τὰ λήγοντα τῆς παρατάξεως συνε- πέφρακτο πολλοῖς αὖσι καὶ μαχίμοις· (2) εἴρητο δὲ αὐ- τοῖς ἐφεδρεύουσιν ἡσυχίαν ἔχειν ἄχρις ἂν ἀπὸ θατέρου κέρως ὑπὸ τοῦ βασιλέως ἀρθῇ φοινικὶς ὑπὲρ σαρίσσης διατεταμένη. (3) Τῶν δὲ ἡγεμόνων τοῖς Ἰλλυριοῖς πει- ρωμένων ἐκβιάζεσθαι τοὺς Λακεδαιμονίους καὶ τῶν Ἀχαιῶν, ὥσπερ προσετέτακτο, τὴν ἐφεδρείαν ἐν τάξει f διαφυλαττόντων, Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφὸς καταμαθὼν τὸ γινόμενον διάσπασμα περὶ τοὺς πολε- μίους τάχιστα τοὺς ἐλαφροτάτους τῶν ψιλῶν περιέπεμψεν ἐξόπισθεν τοῖς Ἰλλυριοῖς ἐπιπεσεῖν κελεύσας καὶ περι- σπᾶν ἐρήμους τῶν ἱππέων ἀπολελειμμένους. (4) Γινο-

impelli ratus, nisi si quis eam otii et inutilis loquacitatis rem instituat. (8) In contemplationibus vero de ordinibus militaribus, descriptionibus tabularum repudiatis, ipse in locis singula observavit et deprehendit studiose : et in profectionibus ipse locorum editorum cavitates, camporum intercapedines, tum quæ agmini propter rivos, fossas aut angustias itinerum divulso aut in arctum contracto acciderent, inspexit atque perpendit, et cum comitibus ea de re disputavit. (9) Videtur enim vir ille rebus militaribus etiam plus quam necessitas postularet studii impendisse, et res bellicas utpote materiam virtutis exercendæ perquam variam amplexus, plane contempsisse eos qui eam tanquam inutilem non colerent.

V. Quum triginta jam esset annos natus, Cleomenes Spartanorum rex noctu subito adortus Megalopolim, oppressis vigilibus in urbem pervenit et forum occupavit. (2) Ibi Philopœmen auxilium ferens, etsi acriter et audacter depugnabat, pellere tamen urbe hostes non potuit, cives autem ut ex urbe possent aufugere effecit, insequentibus hostibus se objiciens, Cleomenemque detinens, ita ut postremus ipse ægre admodum equo amisso acceptoque vulnere discederet. (3) Cleomenes vero Megalopolitanis, qui Messenen concesserant, misso nuncio urbem, bona et agros se restituere promisit. Id quum accipere libenter cives suos, et reditum expetere animadverteret Philopœmen, obstitit : docuitque, non urbem a Cleomene reddi, sed cives eum velle suos facere, ut eo certius urbe potiretur : neque posse eum domos et muros vacuos custodire desidentem ibi, sed ob civium defectum ea ipsa amissurum. (4) Hac quidem oratione cives permovit : Cleomenes vero eam occasionem habuit, ut plerisque urbis partibus vastatis et dejectis, ingenti potitus præda abiret.

VI. Post Antigonus rex cum Achæis adversus Cleomenem e expeditionem fecit. Insederat Cleomenes montes et transitus apud Sellasiam : itaque Antigonus castra eo admovit vique oppugnare hostem statuit. Erat tum in equitatu Philopœmen cum suis civibus : additi his erant Illyrii multi et pugnaces, quibus extrema acies stiparetur. (2) Mandatum his erat, ut in subsidio locati, signum rei gerendæ quieti exspectarent : id erat puniceum pallium, a rege in sarissa elevatum apud cornu alterum. (3) Sed quum duces Illyriorum opera pellere Lacedæmonios conarentur et Achæi, f ut erant jussi, in ordinibus suis se continerent, Euclides frater Cleomenis, hostium copias a se invicem divulsas cernens, statim expeditissimos levis armaturæ pedites immisit, qui Illyrios ab equitatu divulsos a tergo adorirentur et retro averterent. (4) Quum hoc ageretur distraherenturque e

359μένων δὲ τούτων καὶ τῶν φιλῶν τοὺς Ἰλλυριοὺς περι- a
σπώντων καὶ διαταραττόντων συνιδὼν ὁ Φιλοποίμην οὐ
μέγα ὂν ἔργον ἐπιθέσθαι τοῖς ψιλοῖς καὶ τὸν καιρὸν ὑφη-
γούμενον τοῦτο, πρῶτον μὲν ἔφραζε τοῖς βασιλικοῖς· ὡς
δὲ οὐκ ἔπειθεν, ἀλλὰ μαίνεσθαι δοκῶν κατεφρονεῖτο,
οὐδέπω μεγάλης οὐδὲ ἀξιοπίστου πρὸς τηλικοῦτο στρα-
τήγημα δόξης περὶ αὐτὸν οὔσης, αὐτὸς ἐμβάλλει συνε-
πισπασάμενος τοὺς πολίτας. (5) Γενομένης δὲ τα-
χῆς τὸ πρῶτον, εἶτα φυγῆς καὶ φόνου πολλοῦ τῶν ψι-
λῶν, βουλόμενος ἔτι μᾶλλον ἐπιῤῥῶσαι τοὺς βασιλικοὺς
καὶ προσμῖξαι κατὰ τάχος θορυβουμένοις τοῖς πολεμίοις,
τὸν μὲν ἵππον ἀφῆκεν, αὐτὸς δὲ πρὸς χωρία σκολιὰ καὶ b
μεστὰ ῥείθρων καὶ φαράγγων πεζὸς ἐν ἱππικῷ θώρακι
καὶ σκευῇ βαρυτέρᾳ χαλεπῶς καὶ ταλαιπώρως ἀμιλ-
λώμενος διελαύνεται διαμπερὲς ὁμοῦ τοὺς μηροὺς ἑκα-
τέρους ἑνὶ μεσαγκύλῳ, καιρίας μὲν οὐ γενομένης,
ἰσχυρᾶς δὲ τῆς πληγῆς, ὥστε τὴν αἰχμὴν ἐπὶ θάτερα
διῶσαι. (6) Τὸ μὲν οὖν πρῶτον ἐνσχεθεὶς ὥσπερ
δεσμῷ παντάπασιν ἀπόρως εἶχε· τὸ γὰρ ἕναμμα τῆς
ἀγκύλης χαλεπὴν ἐποίει τοῦ ἀκοντίσματος ἀνελκομένου
διὰ τῶν τραυμάτων τὴν πάροδον. (7) Ὡς δὲ ὤκνουν
οἱ παρόντες ἅψασθαι καὶ τῆς μάχης ἀκμὴν ὀξεῖαν ἐχού-
σης ἐσφάδαζεν ὑπὸ θυμοῦ καὶ φιλοτιμίας πρὸς τὸν
ἀγῶνα, τῇ παρατάσει καὶ τῇ παραλλάξει τῶν σκελῶν c
διὰ μέσου κλάσας τὸ ἀκόντισμα χωρὶς ἐκέλευσεν ἑλκύ-
σαι τῶν ἀγμάτων ἑκάτερον. (8) Οὕτω δὲ ἀπαλλαγεὶς
καὶ σπασάμενος τὸ ξίφος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ
τοὺς πολεμίους, ὥστε πολλὴν προθυμίαν καὶ ζῆλον ἀρε-
τῆς παρασχεῖν τοῖς ἀγωνιζομένοις. (9) Νικήσας οὖν ὁ
Ἀντίγονος ἀπεπειρᾶτο τῶν Μακεδόνων ἐρωτῶν, διά τί,
μὴ κελεύσαντος αὐτοῦ, τὸ ἱππικὸν ἐκίνησαν. Τῶν δὲ
ἀπολογουμένων, ὡς παρὰ γνώμην βιασθεῖεν εἰς χεῖρας
ἐλθεῖν τοῖς πολεμίοις μειρακίου Μεγαλοπολιτικοῦ προεμ-
βαλόντος, γελάσας ὁ Ἀντίγονος, « Ἐκεῖνο τοίνυν τὸ μει- d
ράκιον, εἶπεν, ἔργον ἡγεμόνος μεγάλου πεποίηκεν. »

perturbarentur Illyrii, Philopœmen animadverso non esse magni rem negotii levis istam armaturæ manum hostilem circumvenire, idque ipsam occasionem monere, primum hoc consilium regiis ducibus indicavit. Ubi non probavit hoc ipsis, sed pro insano habitus et contemptus est (neque enim ea tum temporis ipsius erat existimatio, ut tanta ei res crederetur), cuneo civium suorum facto in hostes irrupit. (5) Primo trepidationem, post fugam etiam et multam peditum istorum cædem fecit. Tum, ut magis adhuc regium exercitum confirmaret, celeriterque cum hoste perturbato congrederetur, dimisso equo, in loco obliquo et crebris rivis atque vallibus interrupto, armatura equestri et gravi depugnavit magna cum difficultate. Interim utrumque femur ei uno telo amentato transfigitur; fuitque is ictus non letalis quidem, sed tamen ita validus, ut per utrumque femur cuspis teli exacta sit. (6) Itaque primum veluti vinculo astrictus, pessime habebat. Etenim annulus, cui amentum inseritur, efficiebat ut difficulter extrahi ex vulneribus telum posset: (7) et quum qui aderant, cunctarentur eripere, ferveretque admodum pugna, animo jam ardens, prœliique cupiditate gliscens, porrectione atque agitatione crurum alterna fracto per medium hastili, utrumque fragmentum seorsum jussit eximi. (8) Itaque liberatus, stricto gladio per primos ordines ad hostem accessit, magna inter pugnantes alacritate imitandæque virtutis ardore excitato. (9) Sane parta victoria Antigonus, ut periculum sententiæ Macedonum faceret, quæsivit cur injussu suo equitatum commovissent; et respondentibus coactos fuisse præter animi sententiam cum hostibus congredi, quod adolescens Megalopolitanus prior in eos impetum dedisset, subridens: Is ergo, inquit, adolescentulus magni munus ducis obivit.

VII. Ἐκ τούτου δόξαν ἔσχεν, ὥσπερ εἰκὸς, ὁ Φιλο-
ποίμην. Καὶ τοῦ μὲν Ἀντιγόνου σπουδάσαντος, ὅπως
στρατεύοιτο μετ' αὐτοῦ, καὶ διδόντος ἡγεμονίαν καὶ
χρήματα, παρητήσατο μάλιστα τὴν ἑαυτοῦ φύσιν κα-
ταμαθὼν πρὸς τὸ ἄρχεσθαι δυσκόλως καὶ χαλεπῶς ἔχου-
σαν, ἀργεῖν δὲ καὶ σχολάζειν οὐ βουλόμενος ἀσκήσεως
ἕνεκα καὶ μελέτης τῶν πολεμικῶν εἰς Κρήτην ἔπλευσεν
ἐπὶ στρατείαν. (2) Κἀκεῖ συχνὸν χρόνον ἐγγυμνασά-
μενος ἀνδράσι μαχίμοις καὶ ποικίλοις μεταχειρίσασθαι
πόλεμον, ἔτι δὲ σώφροσι καὶ κεκολασμένοις περὶ δίαι- e
ταν, ἐπανῆλθεν οὕτω λαμπρὸς εἰς τοὺς Ἀχαιοὺς, ὥστε
εὐθὺς ἵππαρχος ἀποδειχθῆναι. (3) Παραλαβὼν δὲ τοὺς
ἱππεῖς φαύλοις μὲν ἱππαρίοις ἐκ τοῦ προστυχόντος, ὅτε
συμβαίνοι στρατεία, προσχρωμένους, αὐτοὺς δὲ τὰς
πολλὰς τῶν στρατειῶν ἀποδιδράσκοντας, ἑτέρους δὲ
πέμποντας ἀνθ' ἑαυτῶν, δεινὴν δὲ ἀπειρίαν μετὰ ἀτολ-
μίας πάντων οὖσαν, περιορῶντας δὲ ταῦτα τοὺς ἄρχον-
τας ἀεὶ διά τε τὸ πλεῖστον ἐν τοῖς Ἀχαιοῖς τοὺς ἱππεῖς
δύνασθαι καὶ μάλιστα κυρίους εἶναι τιμῆς καὶ κολά- f

VII. Gloriosum hoc fuit, ut debuit, Philopœmeni. Sed quum Antigonus ipsum suo in exercitu habere percuperet, atque imperium simul et pecuniam deferret, recusavit, præcipue, quia natura se ad parendum difficilem sentiret. Otium tamen et desidiam non admittens, rei bellicæ exercendæ et meditandæ causa in Cretam militatum navigavit. (2) Ibi diu multumque inter fortes et belli variis modis gerendi peritos, nec non temperantes et tenui vitæ ratione contentos homines exercitatus, tanta ad Achæos cum gloria rediit, ut statim magister equitum sit creatus. (3) Ibi quum videret equites, si bellum incidisset, proxime oblato quovis vel vilissimo equo uti, et plerosque militiam subterfugientes alios suo loco emittere, summam autem omnium esse et imperitiam et timiditatem; porro semper hoc mali a prætoribus negligi, quod equitum summa esset apud Achæos potentia, jusque honores et pœnas tribuendi haberent; his

σεως, οὐχ ὑπεῖξεν οὐδὲ ἀνῆκεν, ἀλλὰ καὶ τὰς πόλεις ἐπιὼν καὶ κατ' ἄνδρα τῶν νέων ἕκαστον ἐπὶ τὴν φιλοτιμίαν συνεξορμῶν καὶ κολάζων τοὺς ἀνάγκης δεομένους μελέταις τε καὶ πομπαῖς καὶ πρὸς ἀλλήλους ἁμίλλαις χρώμενος, ὅπου πλεῖστοι θεᾶσθαι μέλλοιεν, ὀλίγῳ χρόνῳ πᾶσι ῥώμην τε θαυμαστὴν καὶ προθυμίαν παρέστησε καὶ, ὃ μέγιστον ἦν ἐν τοῖς τακτικοῖς, ἐλαφροὺς καὶ ὀξεῖς πρός τε τὰς κατ' οὐλαμὸν ἐπιστροφὰς καὶ περισπασμοὺς καὶ τὰς καθ' ἵππον ἐπιστροφὰς καὶ κλίσεις ἀπειρήκατο καὶ συνείθισεν, ὡς ἑνὶ σώματι κινουμένῳ καθ' ὁρμὴν ἑκούσιον ἐοικέναι τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν. (4) Συστάσης δὲ τῆς περὶ τὸν Λάρισσον αὐτοῖς ποταμὸν ἰσχυρᾶς μάχης πρὸς Αἰτωλοὺς καὶ Ἠλείους, ὁ τῶν Ἠλείων ἵππαρχος Δαμόφαντος ὥρμησεν ἐπὶ τὸν Φιλοποίμενα προελελάσας. (5) Δεξάμενος δὲ τὴν ὁρμὴν ἐκεῖνος αὐτοῦ καὶ φθάσας τῷ δόρατι παίει καὶ καταβάλλει τὸν Δαμόφαντον. Εὐθὺς δὲ τούτου πεσόντος ἔφυγον οἱ πολέμιοι καὶ λαμπρὸς ἦν ὁ Φιλοποίμην, ὡς οὔτε κατὰ χεῖρα τῶν νέων τινὸς οὔτε συνέσει τῶν πρεσβυτέρων ἀπολειπόμενος, ἀλλὰ καὶ μάχεσθαι καὶ στρατηγεῖν ἱκανώτατος.

VIII. Τὸ δὲ κοινὸν τῶν Ἀχαιῶν πρῶτος μὲν Ἄρατος εἰς ἀξίωμα καὶ δύναμιν ἦρεν ἐκ ταπεινοῦ καὶ διερριμμένου κατὰ πόλεις συναγαγὼν καὶ πολιτευσάμενος Ἑλληνικὴν καὶ φιλάνθρωπον πολιτείαν· ἔπειτα, ὥσπερ ἐν τοῖς ὕδασιν, ἀρξαμένων ὀλίγων ὑφίστασθαι καὶ μικρῶν σωμάτων ἤδη τὰ ἐπιῤῥέοντα τοῖς πρώτοις ἐνισχόμενα καὶ περιπίπτοντα πῆξιν ἰσχυρὰν καὶ στερεότητα ποιεῖ δι' ἀλλήλων, οὕτω τῆς Ἑλλάδος ἀσθενοῦς καὶ εὐδιαλύτου φερομένης κατὰ πόλεις ἐν τῷ τότε χρόνῳ πρῶτον συστάντες οἱ Ἀχαιοὶ καὶ τῶν κύκλῳ πόλεων τὰς μὲν ἐκ τοῦ βοηθεῖν καὶ συνελευθεροῦν ἀπὸ τῶν τυραννίδων ὑπολαμβάνοντες, τὰς δὲ ὁμονοίᾳ καὶ πολιτείᾳ καταμιγνύντες εἰς ἑαυτοὺς ἓν σῶμα καὶ μίαν δύναμιν κατασκευάσαι διενοοῦντο τὴν Πελοπόννησον. (2) Ἀλλ' Ἀράτου μὲν ζῶντος ἔτι τοῖς Μακεδόνων ὅπλοις ὑπεδύοντο τὰ πολλὰ θεραπεύοντες Πτολεμαῖον, εἶτ' αὖθις Ἀντίγονον καὶ Φίλιππον ἐν μέσαις ἀναστρεφομένους ταῖς Ἑλληνικαῖς πράξεσιν· ἐπεὶ δὲ Φιλοποίμην εἰς τὸ πρωτεύειν προῆλθεν, ἤδη καθ' ἑαυτοὺς ἀξιόμαχοι τοῖς ἰσχύουσι πλεῖστον ὄντες ἐπαύσαντο χρώμενοι προστάταις ἐπεισάκτοις. (3) Ἄρατος μὲν γὰρ ἀργότερος εἶναι δοκῶν πρὸς τοὺς πολεμικοὺς ἀγῶνας ὁμιλίᾳ καὶ πραότητι καὶ φιλίαις βασιλικαῖς τὰ πλεῖστα κατειργάσατο τῶν πραγμάτων, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, Φιλοποίμην δὲ ἀγαθὸς πολεμιστὴς ὢν καὶ διὰ τῶν ὅπλων ἐνεργὸς, ἔτι δ' εὐτυχὴς καὶ κατορθωτικὸς εὐθὺς ἐν ταῖς πρώταις γενόμενος μάχαις, ἅμα τῇ δυνάμει τὸ φρόνημα τῶν Ἀχαιῶν ηὔξησε νικᾶν ἐθισθέντων μετ' αὐτοῦ καὶ κατευτυχεῖν ἐν τοῖς πλείστοις ἀγῶσι.

IX. Πρῶτον μὲν οὖν τὰ περὶ τὰς τάξεις καὶ τοὺς ὁπλισμοὺς φαύλως ἔχοντα τοῖς Ἀχαιοῖς ἐκίνησεν. (2) Ἐχρῶντο γὰρ θυρεοῖς μὲν εὐπετέσι διὰ λεπτότητα καὶ στενοτέροις τοῦ περιστέλλειν τὰ σώματα, δόρασι δὲ μι-

animadversis nequaquam cessit aut institutum dimisit, sed circum urbes profectus, viritim etiam juvenes ad honestæ gloriæ studium cohortatus, punitisque iis qui digni erant, exercitationibus deinde, decursionibus, et quæ plurimis spectatoribus committerentur certaminibus institutis, modico tempore mirabile robur, miramque alacritatem omnibus indidit; et quod erat in ordinando equitum agmine summum, ita eos agiles et celeres reddidit, itaque ad turmatim se convertendum et obequitandum, equosque singulatim retorquendum et circumagendum assuefecit, ut totius equitatus in convertendo dexteritas unius alicujus corporis motui voluntario similis esset. (4) Quum acriter cum suis contra Eleos et Ætolos ad Larissum fluvium dimicaret, dux equitatus Elei Damophantus ante alios provectus in ipsum irruit. (5) Verum hic impetum substitit, priorque hasta ictum Damophantum dejecit: cujus casum statim hostium fuga est subsecuta. Ex illo Philopœmen magnam adeptus est gloriam, quo neque manu juvenis, neque consilio seniorum aliquis esset promptior, quique esset et ducendo copias et pugnando utilissimus.

VIII. Enimvero Achæorum res Aratus primus omnium ad dignitatem et potentiam evexit, primusque abjectos et dissipatos per urbes consociavit Græca et humana administratione usus; deinde, veluti in aqua ubi primum exigua quædam et non multa corpora subsiderunt, statim quæ deinde ad ea, quæ primo inhæsere, defluunt, ipsa quoque una figuntur, solidumque ea ratione mutuo aggerem constituunt: sic quum Græcia eo tempore imbecillis atque dissolutu facilis esset, urbibus singulatim coalescentibus, primum Achæi in unum coiere: post ii urbes circumsitas partim auxilia ferendo, easque in ejiciendis tyrannis adjuvando, partim concordia et reipublicæ societate sibi conjungendo, totam Peloponnesum in unum corpus unicumque imperium conflare cogitabant. (2) Verumtamen quam diu Aratus vixit, Macedonum adhuc armis pleraque committebant, Ptolemæum colentes, tum Antigonum et Philippum, qui mediis in negotiis Græcorum versabantur. Postquam ad Philopœmenem summa rerum delata est, quum jam viribus suis pares ipsi essent etiam potentissimo cuique, aliunde ascitis ducibus uti desierunt. (3) Aratus enim quia ad bellica certamina segnior videbatur, plerasque res colloquiis, mansuetudine et amicitiis regum perfecit, ut in Vita ejus scriptum est; at Philopœmen, egregius bellator et armis efficax, felix præterea et mox primis statim prœliis victor, Achæorum et potentiam auxit et animos, quum eos jam secum vincere et plerisque ex certaminibus superiores discedere assuefecisset.

IX. Primum instruendæ aciei et armaturæ rationem, quæ vitiosa apud Achæos erant, mutavit. (2) Utebantur scutis ob levitatem expeditioribus et quæ angustiora essent, quam ut tegendo corpori sufficerent, hastis etiam longe, quam

κροτέροις πολὺ τῶν σαρισσῶν· καὶ διὰ τοῦτο πλῆκται καὶ μάχιμοι πόῤῥωθεν ἦσαν ὑπὸ κουφότητος, προσμίξαντες δὲ τοῖς πολεμίοις ἔλαττον εἶχον· εἶδος δὲ τάξεως καὶ σχήματος εἰς σπεῖραν οὐκ ἦν σύνηθες, φάλαγγι δὲ χρώμενοι μήτε προβολὴν ἐχούσῃ μήτε συνασπισμὸν, ὡς ἡ Μακεδόνων, ῥᾳδίως ἐξεθλίβοντο καὶ διεσπῶντο. (3) Ταῦτα ὁ Φιλοποίμην διδάξας ἔπεισεν αὐτοὺς ἀντὶ μὲν θυρεοῦ καὶ δόρατος ἀσπίδα λαβεῖν καὶ σάρισσαν, κράνεσι δὲ καὶ θώραξι καὶ περικνημῖσι πεφραγμένους μόνιμον καὶ βεβηκυῖαν ἀντὶ δρομικῆς καὶ πελταστικῆς μάχην ἀσκεῖν. (4) Πείσας δὲ καθοπλίσασθαι τοὺς ἐν ἡλικίᾳ πρῶτον μὲν ἐπῆρε θαῤῥεῖν ὡς ἀμάχους γεγονότας, ἔπειτα τὰς τρυφὰς αὐτῶν καὶ τὰς πολυτελείας ἄριστα μετεκόσμησεν. (5) Ἀφελεῖν γὰρ οὐκ ἦν παντάπασιν ἐκ πολλοῦ νοσούντων τὸν κενὸν καὶ μάταιον ζῆλον, ἐσθῆτας
361 ἀγαπώντων περιττὰς στρωμνάς τε βαπτομένων ἁλουργεῖς καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. (6) Ὁ δὲ ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν ταχὺ πάντας ἔπεισε καὶ παρώρμησε τὰς καθ' ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς δρᾶσθαι καὶ κεκοσμημένους. (7) Ἦν οὖν ἰδεῖν τὰ μὲν ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων Θηρικλείων, χρυσουμένων δὲ θωράκων καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν, τὰ δὲ στάδια πώλων δαμαζομένων καὶ νεανίσκων ὁπλομαχούντων, ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν κράνη καὶ πτερὰ βαφαῖς κοσμούμενα καὶ χιτώνων ἱππικῶν καὶ στρατιωτικῶν χλαμύδων διηνθισμένων. (8) Ἡ δ' ὄψις αὕτη τὸ θάρσος αὔξουσα καὶ παρακαλοῦσα τὴν ὁρμὴν ἐποίει φιλοπαράβολον καὶ πρόθυμον ἐπὶ τοὺς κινδύνους. (9) Ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται καὶ μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ὑπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπικλώσης τὴν διάνοιαν, ἡ δ' εἰς τὰ τοιαῦτα ῥώννυσι καὶ μεγαλύνει τὸν θυμὸν, ὥσπερ Ὅμηρος ἐποίησε τὸν Ἀχιλλέα τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς ὑπὸ τῆς ὄψεως οἷον ὀργῶντα καὶ φλεγόμενον πρὸς τὴν δι' αὐτῶν ἐνέργειαν. (10) Οὕτω δὲ κοσμήσας τοὺς νέους ἐγύμναζε καὶ διεπόνει ταῖς κινήσεσι προθύμους ὑπακούοντας καὶ φιλοτίμους. (11) Καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο ἄθραυστόν τι λαμβάνειν πύκνωμα δοκοῦσα καὶ τὰ ὅπλα τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα μεθ' ἡδονῆς διὰ λαμπρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων ἐναγωνίσασθαί τε βουλομένων καὶ διακριθῆναι τάχιστα πρὸς τοὺς πολεμίους.

X. Ἦν δὲ τότε τοῖς Ἀχαιοῖς ὁ πρὸς Μαχανίδαν πόλεμος τὸν Λακεδαιμονίων τύραννον ἀπὸ πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι Πελοποννησίοις. (2) Ὡς οὖν εἰς τὴν Μαντίνειαν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ Φιλοποίμην ἐξήγαγε τὴν στρατιὰν ἐπ' αὐτόν. (3) Ἔγγυς δὲ τῆς πόλεως παρετάξαντο πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δὲ ὁμοῦ τε ταῖς πολιτικαῖς δυνάμεσι. (4) Γενομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν ὁ

sunt sariseæ, minoribus. Itaque propter armorum levitatem, eminus erant pugnaces et fortes; cominus autem congressi, detrimentum capiebant. Figura et ordines aciei non erant secundum cohortes instructi, sed phalange utebantur, quæ neque sarissis projectis neque scutis consertis, ut Macedonica, munita esset; itaque facile pellebantur et divellebantur. (3) Philopœmen pro scuto et hasta, clypeo uti et sarissa jussit, utque galeis, loricis et ocreis muniti, pro cursoria et levis armaturæ propria pugna statariam et pede fixo commissam exercerent. (4) Hoc modo quum persuasisset ut ii qui ætate erant integra armarentur, primum ad eam spem erexit, invictum fore eum exercitum; deinde luxum eorum atque delicias optime correxit. (5) Tollere enim prorsus nequibat, quum jam inveterata esset stulta et inanis æmulatio, vestes sumptuosas et purpurea stragula certatim mensasque pretiosas ad cœnas splendidas expetentium. (6) Ipse a rebus supervacaneis eo splendore ad utiles et honestas traducto, facile effecit ut quotidianis in curando corpore impendiis imminutis, militaribus instrumentis exornandis se darent. (7) Erat videre officinas plenas calicum Thericleorum q æ conciderentur, thoracum qui inaurarentur, et scutorum frenorumque quæ argento obducerentur : circi repleti erant equorum pullis domandis, et juvenibus qui in armis decertabant : in manibus mulierum galeæ atque cristæ tincturis exornatæ, tunicarum equestrium et pedestrium chlamydum picturæ. (8) Ipse autem aspectus ille audaciam augebat, animosque incitabat, promptosque ad pericula adeunda et cupidos reddebat. (9) Ceteris enim in spectaculis luxus ad luxuriam invitat, animosque intuentium emollit, quum sensuum quasi punctione et titillatione animus frangitur; at in his rebus animum obtutus confirmat, augetque, sicuti Homerus Achillem inducit propositis ante oculos novis armis, ardore quodam inflammatum ad usum eorum se concitare. (10) Sic exornatam juventutem Philopœmen exercitationibus erudiit, ut in acie moveri celeriter scirent, præceptis ejus studiose et certatim obtemperantes. (11) Nam ordo mirifice eis probabatur, quo ita densabatur acies, ut perrumpi non posse videretur : et armis corpora facile assuescebant, eaque pulchritudo et splendor habilia redigebat, ut rem jam nunc gerere omnes et cum hostibus decernere prælio quamprimum cuperent.

X. Erat eo tempore Achæis contra Machanidam Lacedæmoniorum tyrannum bellum, qui magnis fretus copiis omnibus Peloponnesiis insidiabatur. (2) Itaque simul atque renunciatum est, eum ad Mantineam accessisse, statim adversus eum exercitum duxit Philopœmen. (3) Adversas acies prope ipsam urbem instruxerunt, multis uterque mercenariis militibus et omnibus suorum civium copiis. (4) Inito prælio Machanidæ mercenarii jaculatores et Tarenti-

Μαχανίδας τοῖς ξένοις τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστὰς καὶ Ταραντίνους τρεψάμενος ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους καὶ παραῤῥηγνύναι τὸ συνεστηκὸς ἐξέπεσε διώκων καὶ παρήλλαξε τὴν φάλαγγα τῶν Ἀχαιῶν ἐν τάξει μενόντων, ὁ δὲ Φιλοποίμην e τηλικούτου πταίσματος ἐν ἀρχῇ γενομένου καὶ τῶν πραγμάτων ἀπολωλέναι κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως προσεποιεῖτο παρορᾶν καὶ μηδὲν ἡγεῖσθαι δεινὸν, κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμάρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀπορρηγνυμένους καὶ κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν οὐδ' ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ' ἐάσας παρελθεῖν καὶ διάσπασμα ποιῆσαι μέγα πρὸς τοὺς ὁπλίτας, εὐθὺς ἦγε τῶν Λακεδαιμονίων ὁρῶν τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην καὶ κατὰ κέρας παραδραμὼν ἐνέβαλε, μήτε ἄρχοντος αὐτοῖς παρόντος μήτε μάχεσθαι προσδεχομένοις· νικᾶν γὰρ ἡγοῦντο καὶ κρατεῖν παντάπασιν διώκοντα τὸν Μαχανίδαν ὁρῶντες. (5) Ὡσάμενος δὲ τούτους φόνῳ πολλῷ (λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλίους ἀποθανεῖν) ὥρμησεν ἐπὶ τὸν Μαχανίδαν ἐκ τῆς διώξεως ἀναστρέφοντα μετὰ τῶν ξένων. (6) Τάφρου 362 δὲ μεγάλης καὶ βαθείας ἐν μέσῳ διειργούσης παρεξήλαυνον ἀλλήλοις ἑκατέρωθεν, ὁ μὲν διαβῆναι καὶ φυγεῖν, ὁ δὲ τοῦτο κωλῦσαι βουλόμενος. Ἦν δὲ ὄψις οὐχ ὡς στρατηγῶν μαχομένων, ἀλλ' ὥσπερ θηρίῳ πρὸς ἀλκὴν ὑπ' ἀνάγκης τρεπομένῳ δεινοῦ κυνηγέτου τοῦ Φιλοποίμενος συνεστῶτος. (7) Ἔνθα ὁ μὲν ἵππος τοῦ τυράννου ῥωμαλέος ὢν καὶ θυμοειδὴς καὶ τοῖς μύωψιν αἱμαχθεὶς ἑκατέρωθεν ἐπετόλμησε τῇ διαβάσει καὶ προσβαλὼν τῇ τάφρῳ τὸ στῆθος ἐβιάζετο τοῖς προσθίοις πέραν ἐρείσασθαι σκέλεσιν. (8) Ἐν δὲ τούτῳ Σιμμίας καὶ Πολύαινος, οἵπερ ἀεὶ τῷ Φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπιζον, ὁμοῦ προσήλαυνον ἀμφότεροι τὰς αἰχμὰς κλίναντες b ἐναντίας. (9) Φθάνει δὲ αὐτοὺς ὁ Φιλοποίμην ἀπαντήσας τῷ Μαχανίδᾳ καὶ τὸν ἵππον αὐτοῦ μετεωρίζοντα τὴν κεφαλὴν πρὸ τοῦ σώματος ὁρῶν μικρὸν ἐνέκλινε τὸν ἴδιον καὶ διαλαβὼν τὸ ξυστὸν ἐκ χειρὸς ὠθεῖ καὶ περιτρέπει τὸν ἄνδρα συνεπερείσας. (10) Τοῦτο ἔχων τὸ σχῆμα χαλκοῦς ἐν Δελφοῖς ἕστηκεν ὑπὸ τῶν Ἀχαιῶν θαυμασάντων μάλιστα καὶ τὴν πρᾶξιν αὐτοῦ καὶ τὴν στρατηγίαν ἐκείνην.

XI. Λέγεται δὲ τῆς τῶν Νεμείων πανηγύρεως συνεστώσης στρατηγοῦντα τὸν Φιλοποίμενα τὸ δεύτερον καὶ νενικηκότα μὲν οὐ πάλαι τὴν ἐν Μαντινείᾳ μάχην, τότε δὲ σχολὴν ἄγοντα διὰ τὴν ἑορτὴν πρῶτον μὲν ἐπιδεῖξαι τοῖς Ἕλλησι κεκοσμημένην τὴν φάλαγγα καὶ κινουμένην, ὥσπερ εἴθιστο, τοὺς τακτικοὺς ῥυθμοὺς μετὰ τάχους καὶ ῥώμης· ἔπειτα κιθαρῳδῶν ἀγωνιζομένων εἰς τὸ θέατρον παρελθεῖν ἔχοντα τοὺς νεανίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι καὶ τοῖς φοινικοῖς ὑποδύταις ἀκμάζοντάς τε τοῖς σώμασιν ἅπαντας καὶ ταῖς ἡλικίαις παραλλήλους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἄρχοντα καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας ἐκ πολλῶν καὶ καλῶν ἀγώνων. (2) Ἄρτι δ' αὐτῶν εἰσελθόντων κατὰ τύχην

nos, ante signa Achæorum locatos, pepulerunt : quumque jam recta in hostes irruendum ordinesque eorum perrumpendi essent, omisso eo Machanidas ad insequendos fusos se contulit et Achæorum, qui ordines suos servabant, phalangem ita præteriit; Philopœmen dissimulato nec pensi quasi habito quod initio pugnæ erat acceptum damno, tametsi id videretur ad certam perniciem rerum suarum spectare, errorem hostium in persequendo intelligens, qui a sua se phalange divellissent locumque vacuum reliquissent, nequaquam insequentibus suos obviam iit, sed passus eos provehi, magnumque inter eos et aciem Lacedæmoniorum fieri intervallum, ita demum a latere in istam impetum fecit, nudatam suis, destitutamque a duce, neque pugnam exspectantem : quippe Machanidam insequi fugientes hostes cernentes, plane eum victoria potitum putabant. (5) Fusa igitur per multam cædem (nam plus quattuor millia occidisse traditur) Lacedæmoniorum phalange, Machanidæ cum mercenariis ab insecutione revertenti obviam ivit. (6) Fossa fuit in medio magna et profunda : ad eam uterque dux certatim venerunt, alter fugam ea superata quærens, alter id impedire volens : eratque is aspectus non imperatorum pugnantium, sed velut venatoris (Philopœmenem dico) feræ necessitate ad vim vi repellendam compulsæ instantis. (7) Hic tyranni equus robustus et ferox, et utrimque calcaribus saucius, transire fossam aggressus, pectore admoto anteriores pedes trans eam statuere omni robore intendit. (8) Interim Simmias et Polyænus, qui in prœlio semper cum Philopœmene erant, eumque armis tegebant, accurrentes infestis hastis se objecerunt. (9) Prævenit tamen Philopœmen Machanidæ occurrens, equumque elevato capite corpus Machanidæ tegentem cernens, suo paululum ad latus flexo hastaque ad feriendum disposita, hominem manu percutit ictumque impetu prosecutus equo evertit. (10) Hanc ad formam ænea posita est statua Philopœmenis apud Delphos ab Achæis, qui maxime et factum id et belli administrationem istam admirabantur.

XI. Fertur ludis Nemeis commissis, quum prætor iterum esset, neque multum ab ejus ad Mantineam victoria temporis effluxisset, alioquin festivitatis ejus causa otiosus, primum Græcis phalangem instructam ostentasse, quæ motus suos ordinarios agilitate et vi egregia obiret : deinde citharœdis certantibus, ingressum in theatrum stipatum juvenibus qui paludamentis et subuculis puniceis induti, corporis habitu florentes omnes et ætate æquales, multam imperatoris sui reverentiam; conceptosque ex multis et præclaris certaminibus spiritus ea ætate dignos demonstrarent

Πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς Τιμοθέου Πέρσας ἐνάρξασθαι,

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον·

ἅμα δὲ τῇ λαμπρότητι τῆς φωνῆς τοῦ περὶ τὴν ποίησιν ὄγκου συμπρέψαντος ἐπίβλεψιν γενέσθαι τοῦ θεάτρου πανταχόθεν εἰς τὸν Φιλοποίμενα καὶ κρότον μετὰ χαρᾶς, τῶν Ἑλλήνων τὸ παλαιὸν ἀξίωμα ταῖς ἐλπίσιν ἀναλαμβανόντων καὶ τοῦ τότε φρονήματος ἐγγιστα τῷ θαρρεῖν γενομένων.

XII. Παρὰ δὲ τὰς μάχας καὶ τοὺς κινδύνους, ὥσπερ οἱ πῶλοι τοὺς συνήθεις ἐπιβάτας ποθοῦντες, ἐὰν ἄλλον φέρωσι, πτύρονται καὶ ξενοπαθοῦσιν, οὕτως ἡ δύναμις τῶν Ἀχαιῶν ἑτέρου στρατηγοῦντος ἠθύμει καὶ πρὸς ἐκεῖνον ἐπάπταινε καὶ μόνον ὀφθέντος εὐθὺς ὀρθὴ καὶ δραστήριος ἦν διὰ τὸ θαρρεῖν, ἅτε δὴ καὶ τοὺς ἐναντίους αἰσθανόμενοι πρὸς ἕνα τοῦτον τῶν στρατηγῶν ἀντιβλέπειν οὐ δυναμένους, ἀλλὰ καὶ τὴν δόξαν αὐτοῦ καὶ τοὔνομα δεδοικότας, ὡς ἦν φανερὸν ἐξ ὧν ἔπρασσον. (2) Φίλιππος μὲν γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς οἰόμενος, ἂν ἐκποδὼν ὁ Φιλοποίμην γένηται, πάλιν ὑποπτήξειν αὐτῷ τοὺς Ἀχαιούς, ἔπεμψεν εἰς Ἄργος κρύφα τοὺς ἀναιρήσοντας αὐτόν· ἐπιγνωσθείσης δὲ τῆς ἐπιβουλῆς παντάπασιν ἐξεμισήθη καὶ διεβλήθη πρὸς τοὺς Ἕλληνας. (3) Βοιωτοὶ δὲ πολιορκοῦντες Μέγαρα καὶ λήψεσθαι ταχέως ἐλπίζοντες, ἐξαίφνης λόγου προσπεσόντος αὐτοῖς, ὃς οὐκ ἦν ἀληθής, Φιλοποίμενα βοηθοῦντα τοῖς πολιορκουμένοις ἐγγὺς εἶναι, τὰς κλίμακας ἀφέντες ἤδη προσερρεισμένας τοῖς τείχεσιν ᾤχοντο φεύγοντες. (4) Νάβιδος δὲ τοῦ μετὰ Μαχανίδαν τυραννοῦντος Λακεδαιμονίων Μεσσήνην ἄφνω καταλαβόντος, ἐτύγχανε μὲν ἰδιώτης ὢν τότε ὁ Φιλοποίμην καὶ δυνάμεως οὐδεμιᾶς κύριος, ἐπεὶ δὲ τὸν στρατηγοῦντα τῶν Ἀχαιῶν Λύσιππον οὐκ ἔπειθε βοηθεῖν τοῖς Μεσσηνίοις ἀπολωλέναι κομιδῇ φάσκοντα τὴν πόλιν ἔνδον γεγονότων τῶν πολεμίων, αὐτὸς ἐβοήθει τοὺς ἑαυτοῦ πολίτας ἀναλαβὼν οὔτε νόμον οὔτε χειροτονίαν περιμείναντας, ἀλλ' ὡς διὰ παντὸς ἄρχοντι τῷ κρείττονι κατὰ φύσιν ἑπομένους. (5) Ἤδη δ' αὐτοῦ πλησίον ὄντος ἀκούσας ὁ Νάβις οὐχ ὑπέστη, καίπερ ἐν τῇ πόλει στρατοπεδεύων, ἀλλ' ὑπεκδὺς διὰ πυλῶν ἑτέρων κατὰ τάχος ἀπήγαγε τὴν δύναμιν εὐτυχίᾳ χρήσασθαι δοκῶν, εἰ διαφύγοι· καὶ διέφυγε, Μεσσήνη δ' ἠλευθέρωτο.

XIII. Ταῦτα μὲν οὖν καλὰ τοῦ Φιλοποίμενος. Ἡ δ' εἰς Κρήτην αὖθις ἀποδημία Γορτυνίων δεηθέντων, ὡς χρήσαιντο πολεμοῦμενοι στρατηγῷ, διαβολὴν ἔσχεν, ὅτι τῆς πατρίδος αὐτοῦ πολεμουμένης ὑπὸ Νάβιδος ἀπῆν φυγομαχῶν ἢ φιλοτιμούμενος ἀκαίρως πρὸς ἑτέρους· (2) καίτοι συντόνως οὕτως ἐπολεμήθησαν Μεγαλοπολῖται κατὰ τὸν χρόνον ἐκεῖνον, ὥστε τοῖς μὲν τείχεσιν ἐνοικεῖν, σπείρειν δὲ τοὺς στενωποὺς περικεκομμένης τῆς χώρας καὶ τῶν πολεμίων σχεδὸν ἐν ταῖς πύλαις στρατοπεδευόντων· (3) ὁ δὲ Κρησὶ πολεμῶν τηνικαῦτα καὶ στρατηγῶν διαπόντιος ἐγκλήματα παρεῖχε

(2) His modo ingressis, forte quadam Pyladem citharœdum Persas Timothei cantare cœpisse :

Græcis ornavit qui libertate celebri :

eoque vocis claritatem ad ipsius carminis majestatem decore adjungente, omnium undique spectantium oculos in Philopœmenem fuisse conjectos, editumque lætum applausum : Græcis tum antiquam dignitatem spe nova revocantibus in memoriam, animique fiducia proxime ad pristinos illos spiritus majorum accedentibus.

XII. Porro quemadmodum equulei sessores quibus adsuevere desiderant, alios autem nacti ægre ferunt et trepidant : sic Achæorum exercitus, quoties ad pugnam et pericula subeunda ventum est, aliis sub ducibus languebat et ad Philopœmenem respiciebat, eoque solum viso, fiduciâ ducis statim erigebatur et rem strenue gerebat. Senserunt et adversarii, uni huic duci se pares non esse, nomenque ejus et existimationem metuerunt, quod manifestum ex eorum est factis. (2) Philippus enim Macedonum rex, quod sublato Philopœmene censeret se iterum sua in potestate Achæos habiturum, misit Argos qui eum occulto necarent ; quibus quidem insidiis patefactis, in summam insaniam atque odium Græcorum incurrit. (3) Bœoti autem quum oppugnarent Megaram, capturosque se jamjam putarent, subito eoque vano rumore ad eos allato, Philopœmenem auxilio obsessis venientem prope adesse, scalas jam muris admotas relinquentes aufugerunt. (4) Quo tempore Nabis, qui post Machanidam tyrannidem in Lacedæmonios obtinuit, subito Messenen cepit, privatus vivebat Philopœmen, nullasque habebat sub se copias. Verum ubi frustra conatus fuit Lysippo Achæorum tum prætori persuadere, ut Messeniis opem ferret, quod is actum jam esse de urbe diceret ab hostibus occupata : ipse assumptis civibus auxilium tulit. Neque enim exspectabant ii, dum aut lex ferretur, aut is dux deligeretur, sed, ut et natura comparatum, præstantioris imperio sponte obsequebantur. (5) Nabis autem postquam audivit eum in propinquo esse, tametsi castra in urbe haberet, non tamen ejus adventum sustinuit, sed alia porta digressus celeriter suos abduxit, in parte felicitatis ponens, si effugisset : itaque effugit ille et liberata est Messene.

XIII. Hæc Philopœmeni laudi tribuuntur. Quod autem denuo in Cretam rogatu Gortyniorum, qui tum bello occupati, eum ducem petebant, abiit, id in reprehensionem incidit : quippe quum patriam ipsius Nabis bello premeret, ipse vel pugnam subterfugiens, vel intempestive aliis gratificans aberat. (2) Et quidem ita continenter illo tempore oppugnabantur Megalopolitæ, ut intra muros omnino compulsi habitarent, vicosque consererent, agro vastato, hostibusque pæne in ipsis portis castra habentibus. (3) At Philopœmen trans mare bellum gerens apud Cretenses, ca-

καθ' ἑαυτοῦ τοῖς ἐχθροῖς, ὡς ἀποδιδράσκων τὸν οἶκοι πόλεμον. (4) Ἦσαν δέ τινες οἱ λέγοντες, ἑτέρους τῶν Ἀχαιῶν ἡρημένων ἄρχοντας, ἰδιώτην ὄντα τὸν Φιλοποίμενα χρῆσαι τὴν ἑαυτοῦ σχολὴν ἐφ' ἡγεμονίᾳ δεηθεῖσι τοῖς Γορτυνίοις. (5) Ἦν γὰρ ἀλλότριος σχολῆς καθάπερ ἄλλο τι κτῆμα τὴν στρατηγικὴν καὶ πολεμικὴν ἀρετὴν ἔχειν διὰ παντὸς ἐν χρήσει καὶ τριβῇ βουλόμενος, ὡς καὶ τὸ περὶ Πτολεμαίου ποτὲ ῥηθὲν τοῦ βασιλέως ἀπεδήλωσεν. (6) Ἐκεῖνον γὰρ ἐγκωμιαζόντων τινῶν, ὡς εὖ μὲν ἐξασκοῦντα τὸ στράτευμα καθ' ἡμέραν, εὖ δὲ γυμνάζοντα καὶ φιλοπόνως διὰ τῶν ὅπλων τὸ σῶμα, « Καὶ τίς ἂν, ἔφη, βασιλέα θαυμάσειεν ἐν τούτῳ τῆς ἡλικίας μὴ ἐπιδεικνύμενον, ἀλλὰ μελετῶντα; » (7) Χαλεπῶς δ' οὖν οἱ Μεγαλοπολῖται φέροντες ἐπὶ τούτῳ καὶ προδεδόσθαι νομίζοντες ἐπεχείρησαν ἀποξενοῦν αὐτόν· οἱ δ' Ἀχαιοὶ διεκώλυσαν Ἀρίσταινον πέμψαντες εἰς Μεγάλην πόλιν στρατηγὸν, ὃς, καίπερ ὢν διάφορος τῷ Φιλοποίμενι περὶ τὴν πολιτείαν, οὐκ εἴασε τελεσθῆναι τὴν καταδίκην. (8) Ἐκ δὲ τούτου παρορώμενος ὑπὸ τῶν πολιτῶν ὁ Φιλοποίμην ἀπέστησε πολλὰς τῶν περιοικίδων κωμῶν λέγειν διδάξας, ὡς οὐ συνετέλουν οὐδὲ ἦσαν ἐξ ἀρχῆς ἐκείνων, καὶ λεγούσαις ταῦτα φανερῶς συνηγωνίσατο καὶ συγκατεστασίασε τὴν πόλιν ἐπὶ τῶν Ἀχαιῶν. Ταῦτα μὲν οὖν ὕστερον. (9) Ἐν δὲ τῇ Κρήτῃ συνεπολέμει τοῖς Γορτυνίοις, οὐχ ὡς Πελοποννήσιος ἀνὴρ καὶ Ἀρκὰς ἁπλοῦν τινα καὶ γενναῖον πόλεμον, ἀλλὰ τὸ Κρητικὸν ἦθος ἐνδὺς καὶ τοῖς ἐκείνων σοφίσμασι καὶ δόλοις κλωπείαις τε καὶ λοχισμοῖς χρώμενος ἐπ' αὐτοὺς ταχὺ παῖδας ἀπέδειξεν ἀνόητα καὶ κενὰ πρὸς ἐμπειρίαν ἀληθινὴν πανουργοῦντας.

XIV. Ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ λαμπρὸς παρὰ τῶν ἐκεῖ πράξεων ἀνακομισθεὶς εἰς Πελοπόννησον εὗρε τὸν μὲν Φίλιππον ὑπὸ τοῦ Τίτου καταπεπολεμημένον, τὸν δὲ Νάβιν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Ῥωμαίων πολεμούμενον. (2) Ἐφ' ὃν εὐθὺς αἱρεθεὶς ἄρχων καὶ ναυμαχίᾳ παραβαλόμενος τὸ τοῦ Ἐπαμεινώνδου παθεῖν ἔδοξε πολὺ τῆς περὶ αὐτὸν ἀρετῆς καὶ δόξης ἐν τῇ θαλάσσῃ κάκιον ἀγωνισάμενος. (3) Πλὴν Ἐπαμεινώνδαν μὲν ἔνιοι λέγουσιν ὀκνοῦντα γεῦσαι τῶν κατὰ θάλασσαν ὠφελειῶν τοὺς πολίτας, ὅπως αὐτῷ μὴ λάθωσιν ἀντὶ μονίμων ὁπλιτῶν, κατὰ Πλάτωνα, ναῦται γενόμενοι καὶ διαφθαρέντες, ἄπρακτον ἐκ τῆς Ἀσίας καὶ τῶν νήσων ἀπελθεῖν ἐκουσίως· (4) Φιλοποίμην δὲ τὴν ἐν τοῖς πεζοῖς ἐπιστήμην καὶ διὰ θαλάττης ἀρκέσειν αὐτῷ πρὸς τὸ καλῶς ἀγωνίσασθαι πεπεισμένος ἔγνω τὴν ἄσκησιν ἡλίκον μέρος ἐστὶ τῆς ἀρετῆς· καὶ πόσην ἐπὶ πάντα τοῖς ἐθισθεῖσι δύναμιν προστίθησιν. (5) Οὐ γὰρ μόνον ἐν τῇ ναυμαχίᾳ διὰ τὴν ἀπειρίαν ἧττον ἔσχεν, ἀλλὰ καὶ ναῦν τινα, παλαιὰν μὲν, ἔνδοξον δὲ, δι' ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν, ὥστε μὴ στεγούσης κινδυνεῦσαι τοὺς πλέοντας. (6) Πρὸς ταῦτα γιγνώσκων καταφρονοῦντας αὐτοῦ τοὺς πολεμίους ὡς παντάπασι πεφευγότος ἐκ τῆς θαλάττης

lumniandi occasionem inimicis præbebat, quod domesticum fugeret bellum. (4) Erant qui dicerent, quum alios Achivi prætores creassent, privatum Philopœmenem otium suum Gortyniis, imperatorem se orantibus, commodasse. (5) Erat enim ab otio alienus, et ut alias quasque res usu comparatas, ita bellicam et imperatoriam facultatem semper in usu habere atque exercere statuerat, quod eo dicto declaravit, quod de rege Ptolemæo extulit. (6) Eum enim quum quidam laudarent, quod exercitum quotidie exerceret præclare, corpusque suum in armis egregie ad bellicos labores assuefaceret : Quis vero, inquit, regem miretur, qui tam magno natu meditatur adhuc, nec virtutis suæ exhibet specimina? (7) Ceterum Megalopolitæ graviter absentiam Philopœmenis ferentes, proditosque se judicantes, statuerunt eum exsulio mulctare; sed Achæi obstiterunt, Aristænumque ducem miserunt : qui, tametsi de reipublicæ administratione non conveniret ei cum Philopœmene, damnationem nihilominus eam perfici non est passus. (8) Exinde neglectus a civibus Philopœmen, multos circùm jacentium pagorum ut deficerent ab urbe movit, docuitque eos dicere, antiquitus se non fuisse juris Megalopolitarum; quibus hæc dicentibus aperte astipulatus est eosque adjuvit apud Achæos in seditione urbis opprimendæ causa concitata. Verum hæc postea temporis facta sunt. (9) In Creta autem pro Gortyniis bellum non ut Peloponnesius homo aut Arcas simpliciter et ingenuo Marte gessit, sed moribus Cretensium ascitis, ipsorumque contra ipsos usus artibus et fraudibus, rapinis et insidiis exercendis pueros infantes hoc in genere eos ostendit esse, qui fatua atque vana adversus bellandi veram peritiam machinarentur.

XIV. His rebus quum admirationem sui excitasset gloriaque illustris in Peloponnesum revertisset, Philippum a T. Quinctio Flaminino debellatum, bellumque Nabidi a Romanis et Achæis factum offendit. (2) Contra quem dux statim electus, navali prælio decertare ausus, idem quod olim Epaminondæ evenerat, expertus est : nam pro virtutis suæ gloria longe infelicius mari pugnavit. (3) Quanquam Epaminondam quidem sunt qui affirment noluisse civibus suis præbere gustanda maris commoda, ne, quod est apud Platonem, imprudentes ex pedestribus et stabilibus pugnatoribus in nautas degenerarent : itaque consulto nulla re gesta ex Asia et insulis discessisse. (4) Contra Philopœmen scientiam belli terrestris maritimo suffecturam sibi persuadens, sensit, in exercitatione quanta pars esset artis posita quantumque peritia virium adderet iis qui ad omnia jam sunt assueti. (5) Non enim in pugna tantum navali inferior fuit propter imperitiam, sed et navim ut vetustam ita nobilem quandam post quadragesimum annum in mare deduxit, atque oneravit viris, ita ut, pondus illa non ferente, navigantes in periculum devenerint. (6) Ob hæc se ab hostibus contemni intelligens, qui eum plane e mari aufugisse rati, superbe Gythium oppugnabant,

καὶ πολιορκοῦντας ὑπερηφάνως τὸ Γύθιον εὐθὺς ἐπέπλευσεν αὐτοῖς οὐ προσδοκῶσιν, ἀλλ' ἐκλελυμένοις διὰ τὴν νίκην. Καὶ νυκτὸς ἐκβιβάσας τοὺς στρατιώτας καὶ προσαγαγὼν πῦρ ἐνῆκε ταῖς σκηναῖς καὶ τὸ στρατόπεδον κατέκαυσε καὶ πολλοὺς διέφθειρεν. (7) Ὀλίγαις δ' ὕστερον ἡμέραις καθ' ὁδὸν ἐν δυσχωρίαις τισὶν ἄφνω τοῦ Νάβιδος ἐπιφανέντος αὐτῷ καὶ φοβήσαντος τοὺς Ἀχαιοὺς ἀνέλπιστον ἡγουμένους τὴν σωτηρίαν ἐκ τόπων χαλεπῶν καὶ γεγονότων ὑποχειρίων τοῖς πολεμίοις, ὀλίγον χρόνον ἐπιστὰς καὶ περιλαβὼν ὄψει τὴν τοῦ χωρίου φύσιν, ἐπέδειξε τὴν τακτικὴν τῶν ἄκρων τῆς πολεμικῆς τέχνης οὖσαν. (8) Οὕτω μικρὰ κινήσας τὴν ἑαυτοῦ φάλαγγα καὶ πρὸς τὰ παρόντα μεθαρμόσας ἀθορύβως καὶ ῥᾳδίως διεκρούσατο τὴν ἀπορίαν καὶ προσβαλὼν τοῖς πολεμίοις τροπὴν ἰσχυρὰν ἐποίησεν. (9) Ἐπεὶ δὲ οὐ πρὸς τὴν πόλιν ἑώρα φεύγοντας, ἀλλὰ τῆς χώρας ἄλλον ἄλλῃ διασπειράμενον (ὑλώδης δὲ καὶ περίβουνος ἦν πᾶσα καὶ δύσιππος ὑπὸ ῥείθρων καὶ φαράγγων), τὴν μὲν δίωξιν ἐπέσχε καὶ κατεστρατοπέδευσεν ἔτι φωτὸς ὄντος· (10) τεκμαιρόμενος δὲ τοὺς πολεμίους ἐκ τῆς φυγῆς καθ' ἕνα καὶ δύο πρὸς τὴν πόλιν ὑπάξειν σκοταίους ἐλλοχίζει τοῖς περὶ τὸ ἄστυ ῥείθροις καὶ λόφοις πολλοὺς ἔχοντας ἐγχειρίδια τῶν Ἀχαιῶν. (11) Ἐνταῦθα πλείστους ἀποθανεῖν συνέβη τῶν τοῦ Νάβιδος· ἅτε γὰρ οὐκ ἀθρόαν ποιούμενοι τὴν ἀναχώρησιν, ἀλλ' ὡς ἑκάστοις αἱ φυγαὶ συνετύγχανον, ὥσπερ ὄρνιθες ἡλίσκοντο περὶ τὴν πόλιν εἰς τὰς τῶν πολεμίων χεῖρας καταίροντες.

XV. Ἐπὶ τούτοις ἀγαπώμενος καὶ τιμώμενος ἐκπρεπῶς ὑπὸ τῶν Ἑλλήνων ἐν τοῖς θεάτροις φιλότιμον ὄντα τὸν Τίτον ἡσυχῇ παρελύπει. (2) Καὶ γὰρ ὡς Ῥωμαίων ὕπατος ἀνδρὸς Ἀρκάδος ἠξίου θαυμάζεσθαι μᾶλλον ὑπὸ τῶν Ἀχαιῶν καὶ ταῖς εὐεργεσίαις ὑπερβάλλειν οὐ παρὰ μικρὸν ἡγεῖτο δι' ἑνὸς κηρύγματος ἐλευθερώσας τὴν Ἑλλάδα, ὅση Φιλίππῳ καὶ Μακεδόσιν ἐδούλευσεν. (3) Ἐκ δὲ τούτου καταλύεται μὲν ὁ Τίτος τῷ Νάβιδι τὸν πόλεμον, ἀποθνήσκει δὲ ὁ Νάβις ὑπ' Αἰτωλῶν δολοφονηθείς. (4) Τεταραγμένης δὲ τῆς Σπάρτης ὁ Φιλοποίμην ἁρπάσας τὸν καιρὸν ἐπιπίπτει μετὰ δυνάμεως καὶ τῶν μὲν ἀκόντων, τοὺς δὲ συμπείσας προσηγάγετο καὶ μετεκόμισεν εἰς τοὺς Ἀχαιοὺς τὴν πόλιν. (5) Οὗ γενομένου θαυμαστῶς μὲν εὐδοκίμησε παρὰ τοῖς Ἀχαιοῖς προσκτησάμενος αὐτοῖς ἀξίωμα πόλεως τηλικαύτης καὶ δύναμιν (οὐ γὰρ ἦν μικρὸν Ἀχαΐας μέρος γενέσθαι τὴν Σπάρτην), ἀνέλαβε δὲ καὶ Λακεδαιμονίων τοὺς ἀρίστους φύλακα τῆς ἐλευθερίας ἐκεῖνον ἐλπίσαντες ἕξειν. (6) Διὸ καὶ τὴν Νάβιδος οἰκίαν καὶ οὐσίαν ἐξαργυρισθεῖσαν καὶ γενομένην εἴκοσι καὶ ἑκατὸν ταλάντων ἐψηφίσαντο δωρεὰν αὐτῷ δοῦναι πρεσβείαν ὑπὲρ τούτων πέμψαντες. (7) Ἔνθα δὴ καὶ διεφάνη καθαρῶς ἐκεῖνος ὁ ἀνὴρ οὐ δοκῶν μόνον, ἀλλὰ καὶ ὢν ἄριστος. (8) Πρῶτον μὲν γὰρ οὐδεὶς ἐβούλετο τῶν Σπαρτιατῶν ἀνδρὶ τοιούτῳ διαλέγεσθαι περὶ δωροδοκίας, ἀλλὰ δεδοικότες καὶ ἀναδυόμενοι προεβάλλοντο

subito illis nihil tale exspectantibus, sed propter victoriam secure agentibus, advectus classe, nocte expositis militibus, igne injecto tabernaculis castra hostium cum multorum exitio combussit. (7) Paucis post diebus in itinere quum subito in angustiis quibusdam Nabis ei supervenisset terruissetque Achæos, qui spem salutis in loco iniquo et ab hostibus jam occupato nullam videbant, paululum fixo gressu locique perlustrata natura, in summis rei bellicæ artibus esse eam, quæ ordines instruendi rationem docet, demonstravit. (8) Itaque modica admodum phalangis suæ commotione, qua ad necessitatem præsentem eam accommodaret, nulla vel trepidatione vel negotio difficultatem istam dispulit, hostesque aggressus magna clade affecit. (9) Et quia hostes non ad urbem fuga contendere, sed hinc inde per regionem istam, quæ tota silvestris collibusque frequentibus cincta, et propter rivos atque convalles equitatui invia erat, dissipari sentiebat, ab insecutione abstinuit, anteque occasum solis castra posuit. (10) Conjiciens vero cives a fuga singulos aut binos ad urbem ituros sub noctem, multos Achæorum gladiis armatos in insidiis sub tumulos et rivos, qui sunt ad urbem, locavit. (11) Hoc modo plurimi Nabidis milites sunt interfecti : quia enim non agmine ibant, sed singuli, ut ex fuga redire casu obtigerat, apud urbem in hostium manus avium modo incidentes perierunt.

XV. Propter hæc a Græcis carus habitus et in theatris magnifice honoratus, T. Flamininum, virum honoris cupidum, occulte urebat. (2) Hic enim et quia Romanus esset consul, majori se debere in admiratione haberi ab Achæis, quam Arcadem, censebat, et beneficium suum (quippe qui uno edicto totam Græciam, quantum ejus Philippo et Macedonibus servierat, in libertatem asseruisset) longe illius meritis esse amplius arbitrabatur. (3) Secundum hæc bellum cum Nabide Quinctius composuit; Nabis ab Ætolis per fraudem cæditur. (4) Rebus ergo Lacedæmone turbatis, Philopœmen arrepta occasione cum exercitu accurrit, Spartanisque partim invitis, partim in suam sententiam adductis, urbem capit, Achæorumque reipublicæ inserit. (5) Id vero facinus mirifice gloriam ejus apud Achæos illustravit, quibus tantæ auctoritatis atque potentiæ urbem adjecisset (neque enim parum erat, Spartam Achaiæ partem fieri); optimos quoque Lacedæmoniorum sibi conciliavit, custodem se eum libertatis habituros rati. (6) Itaque etiam domum et facultates Nabidis cum vendidissent et centum ac viginti talenta inde coegissent, statuerunt eam illi pecuniam, missa ad hoc legatione, dono dare. (7) Tum vero clare apparuit, quam non solum videretur ille vir, sed esset etiam optimus. (8) Primo enim nullus fuit Spartanorum, qui cum eo viro de accipiendo dono colloqui vellet, sed omnes metuentes atque tergiversantes, hospiti

τὸν ξένον αὐτοῦ Τιμόλαον. (9) Ἔπειτα δ' αὐτὸς ὁ Τιμόλαος, ὡς ἦλθεν εἰς Μεγάλην πόλιν, ἑστιαθεὶς παρὰ τῷ Φιλοποίμενι καὶ τὴν σεμνότητα τῆς ὁμιλίας αὐτοῦ καὶ τὴν ἀφέλειαν τῆς διαίτης καὶ τὸ ἦθος ἐγγύθεν οὐδαμῆ προσιτὸν οὐδὲ εὐάλωτον ὑπὸ χρημάτων κατανοήσας ἀπεσιώπησε περὶ τῆς δωρεᾶς, ἑτέραν δέ τινα πρόφασιν τῆς πρὸς αὐτὸν ὁδοῦ ποιησάμενος ᾤχετο ἀπιών. (10) Καὶ πάλιν ἐκ δευτέρου πεμφθεὶς ταὐτὸν ἔπαθεν· τρίτῃ δὲ ὁδῷ μόλις ἐντυχὼν ἐδήλωσε τὴν προθυμίαν τῆς πόλεως. (11) Ὁ δὲ Φιλοποίμην ἡδέως ἀκούσας ἦκεν αὐτὸς εἰς Λακεδαίμονα καὶ συνεβούλευσεν αὐτοῖς μὴ τοὺς φίλους καὶ ἀγαθοὺς δεκάζειν, ὧν προῖκα τῆς ἀρετῆς ἔξεστιν ἀπολαύειν, ἀλλὰ τοὺς πονηροὺς καὶ τὴν πόλιν ἐν τῷ συνεδρίῳ καταστασιάζοντας ὠνεῖσθαι καὶ διαφθείρειν, ἵνα τῷ λαβεῖν ἐπιστομισθέντες ἧττον ἐνοχλοῖεν αὐτοῖς· βέλτιον γὰρ εἶναι τῶν ἐχθρῶν παραιρεῖσθαι τὴν παρρησίαν ἢ τῶν φίλων. Οὕτω μὲν ἦν πρὸς χρήματα λαμπρός.

XVI. Ἐπεὶ δὲ πάλιν τοὺς Λακεδαιμονίους νεωτερίζειν ἀκούσας ὁ στρατηγὸς τῶν Ἀχαιῶν Διοφάνης ἐβούλετο κολάζειν, οἱ δὲ εἰς πόλεμον καθιστάμενοι διετάρασσον τὴν Πελοπόννησον, ἐπειρᾶτο πραΰνειν καὶ καταπαύειν τὸν Διοφάνη τῆς ὀργῆς ὁ Φιλοποίμην διδάσκων τὸν καιρὸν, ὡς Ἀντιόχου τοῦ βασιλέως καὶ Ῥωμαίων ἐν τῇ Ἑλλάδι τηλικούτοις αἰωρουμένων στρατοπέδοις ἐκεῖσε χρὴ τὸν ἄρχοντα τὴν γνώμην ἔχειν, τὰ δὲ οἰκεῖα μὴ κινεῖν, ἀλλὰ καὶ παριδεῖν τι καὶ παρακοῦσαι τῶν ἁμαρτανομένων. (2) Οὐ προσέχοντος δὲ τοῦ Διοφάνους, ἀλλ' εἰς τὴν Λακωνικὴν ἐμβαλόντος ἅμα τῷ Τίτῳ καὶ βαδιζόντων εὐθὺς ἐπὶ τὴν πόλιν, ἀγανακτήσας ὁ Φιλοποίμην ἔργον οὐ νόμιμον οὐδ' ἀπηκριβωμένον ἐκ τῶν δικαίων, ἀλλὰ μέγα καὶ μεγάλῳ φρονήματι τολμήσας εἰς τὴν Λακεδαίμονα παρῆλθε καὶ τόν τε στρατηγὸν τῶν Ἀχαιῶν καὶ τὸν ὕπατον τῶν Ῥωμαίων ἰδιώτης ὢν ἀπέκλεισε, τὰς δ' ἐν τῇ πόλει ταραχὰς ἔπαυσε καὶ κατέστησε τοὺς Λακεδαιμονίους πάλιν εἰς τὸ κοινὸν, ὥσπερ ἐξ ἀρχῆς ἦσαν. (3) Χρόνῳ δὲ ὕστερον ἐγκαλέσας τι τοῖς Λακεδαιμονίοις στρατηγῶν ὁ Φιλοποίμην τὰς μὲν φυγὰς κατήγαγεν εἰς τὴν πόλιν, ὀγδοήκοντα δὲ Σπαρτιάτας ἀπέκτεινεν, ὡς Πολύβιός φησιν, ὡς δὲ Ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους. (4) Τὰ δὲ τείχη καθεῖλε, χώραν δὲ πολλὴν ἀποτεμόμενος προσένειμε τοῖς Μεγαλοπολίταις, ὅσοι δὲ ἦσαν ὑπὸ τῶν τυράννων ἀποδεδειγμένοι πολῖται τῆς Σπάρτης, μετῴκιζεν ἅπαντας ἀπάγων εἰς Ἀχαΐαν πλὴν τρισχιλίων· τούτους δὲ ἀπειθοῦντας καὶ μὴ βουλομένους ἀπελθεῖν ἐκ τῆς Λακεδαίμονος ἐπώλησεν, εἶθ' οἷον ἐφυβρίζων ἀπὸ τῶν χρημάτων τούτων ἓν Μεγάλῃ πόλει στοὰν ᾠκοδόμησεν. (5) Ἐμπιπλάμενος δὲ τῶν Λακεδαιμονίων καὶ παρ' ἀξίαν πεπραχόσιν ἐπεμβαίνων τὸ περὶ τὴν πολιτείαν ἔργον ὠμότατον ἐξειργάσατο καὶ παρανομώτατον. (6) Ἀνεῖλε γὰρ καὶ διέφθειρε τὴν Λυκούργειον ἀγωγὴν ἀναγκάσας τοὺς παῖδας

Philopœmenis Timolao negotium mandaverunt. (9) Et vero Timolaus ut Megalopolim venit, convivio acceptus a Philopœmene, quum ejus in conversando gravitatem, victus frugalitatem ejusque mores perspexit, qui neque adiri pecunia, neque capi facile possent, doni mentionem nullam fecit, sed alia sui adventus causa prolata domum rediit. (10) Iterum deinde misso idem accidit; tertio profectus, vixque ausus colloqui, studium tandem civitatis erga ipsum exposuit. (11) Philopœmen delectatus eo judicio, ipse b Spartam se contulit: ibi civibus consilium dedit, ne amicos et bonos homines vellent muneribus delinire, qui gratis virtutem suam ipsis utendum darent; malos potius et qui in concilio civitatem factionibus exagitarent, ea pecunia redimerent et corrumperent, ut illi donis quasi obturati, minorem ipsis crearent molestiam; præstare enim licentiam inimicorum, quam amicorum libertatem tollere. Tam alto Philopœmen animo pecuniam sprevit.

XVI. Quum vero Diophanes Achæorum dux audivisset, Lacedæmonios consilia novandarum rerum agitare, eosque punire vellet, ii contra bellum molientes Peloponnesum conturbarent: placare Diophanem iramque ejus mitigare conatus est Philopœmen, eam esse temporis istius conditionem docens, ut quia Antiochus et Romani magnis copiis c in Græcia versarentur, eo præsertim principi sit respiciendum, potiusque dissimulanda quædam suorum peccata, quam res domesticæ commovendæ. (2) Id consilium quum non admitteret Diophanes, sed una cum Quinctio statim in Laconicum agrum invaderet rectaque ad urbem duceret: indignatione motus Philopœmen, ingens facinus, quod neque legibus neque jure strictissimo defendi potuisset, magno animo patravit; profectus enim Lacedæmonem, d privatus ipse prætorem Achæum et Romanum consulem urbe ea exclusit, tum sedatis intestinis Spartæ tumultibus, Lacedæmonios ad fœdus Achæorum, in quo ab initio fuerant, reduxit. (3) Postea temporis præturam gerens, incertum quod crimen Lacedæmonis objiciens, quum exsules eorum in urbem restituit, tum Spartanos octoginta (hunc numerum habet Polybius, Aristocrates centum et triginta) necavit. (4) Muros dejecit multumque agri ademptum urbi, Megalopolitanis attribuit; qui civitate Spartana erant a tyrannis donati, eos omnes in Achaiam transtulit, tria millia e autem, qui dicto audientes esse et Lacedæmone migrare nolebant, vendidit, ac contumelias quasi insuper addens, ex pretio isto porticum Megalopoli exstruxit. (5) Qui quidem dum odium suum in Spartanos saturat iisque indigna plane contumelia affectis insultat, in rempublicam eorum facinus crudelissimum et injustissimum commisit. (6) Lycurgi enim institutionem sustulit, puerisque et puberibus

καὶ τοὺς ἐφήβους τὴν Ἀχαϊκὴν ἀντὶ τῆς πατρίου παιδείαν μεταλαβεῖν, ὡς οὐδέποτε μικρὸν ἐν τοῖς Λυκούργου νόμοις φρονήσοντας. (7) Τότε μὲν οὖν ὑπὸ συμφορῶν μεγάλων ὥσπερ νεῦρα τῆς πόλεως ἐκτεμεῖν τῷ Φιλοποίμενι παρασχόντες ἐγένοντο χειροήθεις καὶ ταπεινοί, χρόνῳ δ' ὕστερον αἰτησάμενοι παρὰ Ῥωμαίων τὴν μὲν Ἀχαϊκὴν ἔφυγον πολιτείαν, ἀνέλαβον δὲ καὶ κατεστήσαντο τὴν πάτριον, ὡς ἦν ἀνυστὸν ἐκ κακῶν καὶ φθορᾶς τηλικαύτης.

366 XVII. Ἐπεὶ δὲ Ῥωμαίοις ὁ πρὸς Ἀντίοχον ἐν τῇ a Ἑλλάδι συνέστη πόλεμος, ἦν μὲν ἰδιώτης ὁ Φιλοποίμην, ὁρῶν δὲ τὸν Ἀντίοχον αὐτὸν ἐν Χαλκίδι καθήμενον περὶ γάμον καὶ παρθένων ἔρωτας οὐ καθ' ὥραν σχολάζοντα, τοὺς δὲ Σύρους ἐν ἀταξίᾳ πολλῇ καὶ χωρὶς ἡγεμόνων ἐν ταῖς πόλεσι πλαζομένους καὶ τρυφῶντας, ἤχθετο μὴ στρατηγῶν τότε τῶν Ἀχαιῶν καὶ Ῥωμαίοις ἔλεγε φθονεῖν τῆς νίκης, « Ἐγὼ γὰρ ἂν, ἔφη, στρατηγῶν ἐν τοῖς καπηλείοις κατέκοψα τούτους πάντας. » (2) Ἐπεὶ δὲ νικήσαντες οἱ Ῥωμαῖοι τὸν Ἀντίοχον ἐνέφυοντο τοῖς Ἑλληνικοῖς μᾶλλον ἤδη καὶ περιεβάλλοντο τῇ δυνάμει τοὺς Ἀχαιούς, ὑποκατακλινομένων αὐτοῖς τῶν δημαγωγῶν, ἡ δ' ἰσχὺς ἐπὶ b πάντα πολλὴ μετὰ τοῦ δαίμονος ἐχώρει καὶ τὸ τέλος ἐγγὺς ἦν, εἰς ὃ τὴν τύχην ἔδει περιφερομένην ἐξικέσθαι, καθάπερ ἀγαθὸς κυβερνήτης πρὸς κῦμα διαιρεῖσθαι δ Φιλοποίμην τὰ μὲν ἐνδιδόναι καὶ παρείκειν ἠναγκάζετο τοῖς καιροῖς, περὶ δὲ τῶν πλείστων διαφερόμενος τοὺς τῷ λέγειν καὶ πράττειν ἰσχύοντας ἀντισπᾶν ἐπειρᾶτο πρὸς τὴν ἐλευθερίαν. (3) Ἀριστάινου δὲ τοῦ Μεγαλοπολίτου δυναμένου μὲν ἐν τοῖς Ἀχαιοῖς μέγα, τοὺς δὲ Ῥωμαίους ἀεὶ θεραπεύοντος καὶ τοὺς Ἀχαιοὺς μὴ οἰομένου δεῖν ἐναντιοῦσθαι μηδὲ ἀχαριστεῖν ἐκείνοις ἐν τῷ συνεδρίῳ, λέγεται τὸν Φιλοποίμενα c σιωπᾶν ἀκούοντα καὶ βαρέως φέρειν, τέλος δὲ ὑπ' ὀργῆς δυσανασχετοῦντα πρὸς τὸν Ἀρίσταινον εἰπεῖν « Ὦ ἄνθρωπε, τί σπεύδεις τὴν πεπρωμένην τῆς Ἑλλάδος ἐπιδεῖν; » (4) Μανίου δὲ τοῦ Ῥωμαίων ὑπάτου νενικηκότος μὲν Ἀντίοχον, αἰτουμένου δὲ παρὰ τῶν Ἀχαιῶν, ὅπως ἐάσωσι τοὺς Λακεδαιμονίων φυγάδας κατελθεῖν καὶ Τίτου ταὐτὸ τῷ Μανίῳ περὶ τῶν φυγάδων ἀξιοῦντος, διεκώλυσεν ὁ Φιλοποίμην, οὐ τοῖς φυγάσι πολεμῶν ἀλλὰ βουλόμενος δι' αὐτοῦ καὶ τῶν Ἀχαιῶν, ἀλλὰ μὴ Τίτου μηδὲ Ῥωμαίων χάριτι τοῦτο πραχθῆναι· καὶ στρατηγῶν εἰς τοὐπιὸν αὐτὸς κατήγαγε τοὺς φυγάδας. d Οὕτως εἶχέ τι πρὸς τὰς ἐξουσίας ὑπὸ φρονήματος δύσερι καὶ φιλόνεικον.

XVIII. Ἤδη δὲ γεγονὼς ἔτος ἑβδομηκοστὸν, ὄγδοον δὲ τῶν Ἀχαιῶν στρατηγῶν ἤλπιζεν οὐ μόνον ἐκείνην τὴν ἀρχὴν ἀπολέμως διάξειν, ἀλλὰ καὶ τοῦ βίου τὸ λοιπὸν αὐτῷ μεθ' ἡσυχίας καταβιῶναι τὰ πράγματα παρέξειν. (2) Ὡς γὰρ αἱ νόσοι ταῖς τῶν σωμάτων ῥώμαις συναπομαραίνεσθαι δοκοῦσιν, οὕτως ἐν ταῖς Ἑλληνικαῖς πόλεσιν ἐπιλειπούσης τῆς δυνάμεως ἔληγε τὸ φιλόνεικον. (3) Οὐ μὴν ἀλλὰ Νέμεσίς τις

Achaicam pro patria disciplinam præscripsit : ratus eos, quamdiu Lycurgi legibus uterentur nunquam spiritus istos f posituros. (7) Et quidem Lacedæmonii fracti tum calamitatibus magnis, passi sunt Philopœmenem quasi nervos reipublicæ excidere, cicuresque et demissos se præbuerunt : post aliquando ab Romanis impetrata venia, Achaicam disciplinam rejecerunt, patriamque, quoad ejus post tanta mala et calamitates fieri potuit, restituerunt atque stabiliverunt.

XVII. Quo tempore Romani bellum contra Antiochum a in Græcia gerebant, privatus vivebat Philopœmen. Itaque animadvertens Antiochum ipsum Chalcide desidentem nuptiis et amori puellarum intempestive vacare, Syros autem sine ducibus et ordine per urbes hinc inde vagari luxuriæque operam dare : ægre tulit, se non eo tempore prætorem esse Achivorum, Romanisque invidere se victoriam dixit : se, si præturam gereret, istos omnes in caponis concisurum fuisse. (2) Verum quum victo Antiocho Romani magis jam Græcis rebus incumberent, Achæosque potentia sua circumvenirent, demagogis ultro ipsis concedentibus, quumque jam Romanorum potestas usquequaque maxima deo sic volente progrederetur et jam finis prope adesset, ad quem fortunam fluctuantem venire oportebat : gubernatorem navis bonum imitatus Philopœmen, fluctui pro viribus obluctans, etsi quædam concedere et temporibus obsequi cogebatur, in plerisque tamen resistebat, eos qui dicendo aut agendo valerent trahere ad libertatis studium contendebat. (3) Traditum est Aristænum Megalopolitam, magnæ inter Achæos potentiæ virum, quum Romanis maxime cuperet, atque in consilio censuisset non debere iis reluctari aut ingratos esse Achæos, a Philopœmene c tacente indigneque ejus verba ferente auditum, postremo hunc ira victum, his verbis compellasse Aristænum : Quid ita properas, Aristæne, Græciæ ut videas fatum? (4) Quum Manius Acilius Glabrio Romanus consul, victo Antiocho, peteret ab Achæis, ut reditum exsulibus Spartanis concederent, idemque Quinctius postularet : Philopœmen, non quod esset exsulibus infensus, sed ut ipse et Achæi hoc sua voluntate, non in Quinctii Romanorumve gratiam, face- d rent, impedivit : atque ipse prætor in proximum eos reduxit. Adeo ob animi spiritum contentione quadam adversus superiores atque æmulatione laborabat.

XVIII. Annum jam natus septuagesimum, octavum prætor Achæorum factus, sperabat eum esse rerum statum, ut non modo in præturæ ejus administratione a bello vacare, sed et reliquum vitæ exigere in otio posset. (2) Nam ut marcescente corporis robore, simul ipsi etiam elanguescunt morbi : ita apud Græcas civitates deficiente potentia, studium quoque contendendi desierat. (3) Verumtamen eum indignatio quædam divina tanquam athletam prosperis

ὥσπερ ἀθλητὴν εὐρωμούμενα πρὸς τέρμασι τοῦ βίου κατέβαλε. (4) Λέγεται γὰρ ἐν τῇ συλλογῇ τῶν παρόντων ἐπαινούντων ἄνδρα δεινὸν εἶναι καὶ σοφὸν περὶ στρατηγίαν, εἰπεῖν τὸν Φιλοποίμενα, « Καὶ πῶς ἄξιον ἐκεῖνον λόγου ἔχειν τοῦ ἀνδρός, ὅστις ἤδη ζῶν ὑπὸ τῶν πολεμίων; » (5) Μεθ' ἡμέρας δὲ ὀλίγας Δεινοκράτης ὁ Μεσσήνιος, ἄνθρωπος ἰδίᾳ τε τῷ Φιλοποίμενι προσκεκρουκὼς καὶ τοῖς ἄλλοις ἐπαχθὴς διὰ πονηρίαν καὶ ἀκολασίαν, τήν τε Μεσσήνην ἀπέστησε τῶν Ἀχαιῶν καὶ κώμην τὴν καλουμένην Κολωνίδα προσηγγέλη μέλλων καταλαμβάνειν. (6) Ὁ δὲ Φιλοποίμην ἔτυχε μὲν ἐν Ἄργει πυρέσσων, πυθόμενος δὲ ταῦτα συνέτεινεν εἰς Μεγάλην πόλιν ἡμέρᾳ μιᾷ σταδίους πλείονας ἢ τετρακοσίους. (7) Κἀκεῖθεν εὐθὺς ἐξῆρτο τοὺς ἱππεῖς ἀναλαβών, οἵπερ ἦσαν ἐνδοξότατοι μὲν τῶν πολιτῶν, νέοι δὲ κομιδῇ, δι' εὔνοιαν τοῦ Φιλοποίμενος καὶ ζῆλον ἐθέλοντες συστρατεύοντες. (8) Ἱππασάμενοι δὲ πρὸς τὴν Μεσσήνην καὶ περὶ τὸν Εὐάνδρου λόφον ἀπαντῶντι τῷ Δεινοκράτει συμπεσόντες ἐκείνων μὲν ἐτρέψαντο, τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν Μεσσηνίων παρεφύλαττον, ἐξαίφνης ἐπιφερομένων καὶ τῶν πρότερον ἡττημένων, ὡς τούτους κατεῖδον, αὖθις ἀνὰ τοὺς λόφους ἀθροιζομένων, δείσας ὁ Φιλοποίμην κυκλωθῆναι καὶ τῶν ἱππέων φειδόμενος ἀνεχώρει διὰ τόπων χαλεπῶν αὐτὸς οὐραγῶν καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις καὶ δῆλος ἐπισπώμενος ἐφ' ἑαυτὸν, οὐ τολμώντων ἀντεμβαλεῖν ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν. (9) Ἐφιστάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους καὶ καθ' ἕνα παραπέμπων ἔλαθεν ἐν πολλοῖς ἀπρομονωθεὶς πολεμίοις. (10) Καὶ συνάψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, πόρρωθεν δὲ βαλλόμενος καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ παράκρημνα χαλεπῶς μετεχειρίζετο καὶ κατέξαινε τὸν ἵππον. (11) Αὐτῷ δὲ τὸ μὲν γῆρας ὑπ' ἀσκήσεως πολλῆς ἔλαφρὸν ἦν καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι, τότε δὲ καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος καὶ διὰ τὴν ὁδοιπορίαν κατακόπου βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη σφαλεὶς ὁ ἵππος εἰς τὴν γῆν κατέβαλεν. (12) Σκληροῦ δὲ τοῦ πτώματος γενομένου καὶ τῆς κεφαλῆς παθούσης ἔκειτο πολὺν χρόνον ἄναυδος, ὥστε καὶ τοὺς πολεμίους τεθνάναι δόξαντας αὐτὸν ἐπιχειρεῖν στρέφειν τὸ σῶμα καὶ σκυλεύειν. (13) Ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἀθρόοι περιπεσόντες ἀπέστρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω καὶ δήσαντες ἦγον ὕβρει χρώμενοι πολλῇ καὶ λοιδορίᾳ κατ' ἀνδρὸς οὐδὲ ὄναρ ἄν ποτε παθεῖν ὑπὸ Δεινοκράτους ταῦτα προσδοκήσαντος.

XIX. Οἱ δ' ἐν τῇ πόλει τῇ μὲν ἀγγελίᾳ θαυμαστῶς ἐπαρθέντες ἠθροίζοντο περὶ τὰς πύλας· ὡς δὲ εἶδον ἑλκόμενον τὸν Φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν ἔμπροσθεν ἔργων καὶ τροπαίων ἠλέησαν οἱ πλεῖστοι καὶ συνήλγησαν, ὥστε καὶ δακρῦσαι καὶ τὴν ἀνθρωπίνην ἐκφλαυρίσαι δύναμιν ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. (2) Οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς

usum successibus in extremo vitæ prostravit. (4) Quippe traditum est, cum quodam in conventu reliquis quendam imperatoris artibus præclarum habitum laudantibus, nimis arroganter divisse : Quinam ille dignus sit, de quo verba faciamus, quum vivus in potestatem hostium venerit? (5) Paucis post diebus Dinocrates Messenius, qui et privatim cum Philopœmene exercuerat simultates et erat ob malitiam et licentiam nimiam aliis molestus, Messenen ad defectionem ab Achæis permoverat et pagum quendam Coloniden occupaturus ferebatur. (6) Philopœmen tum Argis febricitabat. Verum allato hoc nuncio, confectis uno die plus quam quadringentis stadiis Megalopolim contendit. (7) Inde equitibus (erant hi civium nobilissimi, sed juvenes admodum, qui studio et imitatione Philopœmenis ultro militabant) assumptis statim suppetias ivit. (8) Ad Messenen usque provecti, apud Euandri tumulum in Dinocratem inciderunt, eumque commisso prœlio fugarunt; at quingenti alii, qui ad agrum Messeniacum custodiendum erant collocati, quum subito sese proferrent, iisque conspectis illi qui ante fugam fecerant, rursus in collibus sese congregarent : veritus Philopœmen ne ab hostibus circumdaretur, simulque equitibus suis parcens, per iniqua loca recedebat, ipse agmen claudens ac sæpe in hostes sese inferens, eosque in se versos detinens, qui tamen congredi non audebant, sed clamore modo et incursionibus eminus adversus eum utebantur. (9) Hoc pacto sæpius hostibus sese objiciens juvenum illorum causa, dum singulatim eos in locum tutum deducit, imprudens solus inter magnum hostium numerum destitutus fuit. (10) Ne sic quidem manum conferre quisquam ausus est; verum eminus petitus atque per loca saxosa et præcipitia adactus, equum ægre tenuit calcaribusque laceravit. (11) Exercitationibus sane hoc erat diuturnis assecutus, ut ei senectus nequaquam gravis esset, neque obstaret quominus evaderet : sed corpore tum ob imbecillitatem languentem et ab itinere defessum, gravemque jam et vix sese moventem, equus lapsus in terram effudit. (12) Casu tam gravi etiam caput læsum est, jacuitque aliquamdiu nullam edens vocem : itaque hostes etiam mortuum rati, corpus vertere et spoliare aggressi sunt. (13) Ut vero capite elevato oculos sustulit, confertim irruerunt, manibusque retro actis vinctum abduxerunt, multis conviciis insectantes eum virum, qui ne per somnium quidem unquam a Dinocrate sibi hæc metuisset.

XIX. Nuncius rei Messenen allatus, mirifice animos oppidanorum inflaverat, et ad portas exciverat. Ut vero Philopœmenem indigne gloria tanti viri, rebusque gestis et tropæis trahi viderunt, plerique miseratione moti sunt eumque dolebant, ut ne lacrimas quidem continerent, inconstantiam et vanitatem sortis humanæ detestantes. (2) Itaque paulatim benignus sermo oborieba-

φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν καὶ τῆς ἐλευθερίας, ἥν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον. (3) Ὀλίγοι δὲ ἦσαν, οἳ τῷ Δεινοχράτει χαριζόμενοι στρεβλοῦν τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον αὐτῷ τε Δεινοχράτει φοβερώτερον, εἰ διαφύγοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. (4) Οὐ μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρὸν, οἴκημα κατάγειον οὔτε πνεῦμα λαμβάνον οὔτε φῶς ἔξωθεν οὔτε θύρας ἔχον, ἀλλὰ με- e γάλῳ λίθῳ περιαγομένῳ καταχλειόμενον, ἐνταῦθα κατέθεντο καὶ τὸν λίθον ἐπιῤῥάξαντες ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. (5) Οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν ἐκ τῆς φυγῆς ἀναλαβόντες αὐτοὺς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φιλοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώζονται προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτοὺς, ἔπειτα προϊόντες ἅμα καὶ πολυπραγμονοῦντες ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. f (6) Οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσσηνίων πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο στρατεύειν.

XX. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοχράτης μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικὼς καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον εἰσέπεμψε δημόσιον οἰκέτην φάρμακον κομίζοντα, προσενεγκεῖν καὶ παραστῆναι μέχρις ἂν ἐκπίῃ κελεύσας. (2) a Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος, ἰδὼν δὲ φῶς καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας ἀνεκάθιζε. (3) Καὶ δεξάμενος ἠρώτησεν, εἴ τι περὶ τῶν ἱππέων καὶ μάλιστα Λυκόρτα πεπυσμένος ἐστίν. Εἰπόντος δὲ τἀνθρώπου διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄνθρωπον, « Εὖ λέγεις, εἶπεν, εἰ μὴ πάντα κακῶς πεπράχαμεν. » (4) Ἄλλο δὲ μηδὲν εἰπὼν μηδὲ φθεγξάμενος ἐξέπιε καὶ πάλιν αὑτὸν ἀπέκλινεν, οὐ πολλὰ b πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

XXI. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἧκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν, οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν εἰς τὴν Μεσσηνίαν ἐνέβαλον καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. (2) Καὶ Δεινοχράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο, τῶν δὲ ἄλλων ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὑτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τού- c

tur apud multitudinem, recordandum esse acceptorum ab eo beneficiorum et libertatis, quam, Nabide tyranno expulso, ipsis reddidisset. (3) Pauci erant qui, ut Dinocrati gratificarentur, torquendum esse Philopœmenem dicebant atque interficiendum, gravem scilicet hostem atque implacabilem, ipsique Dinocrati, a quo captus et contumeliis affectus fuisset, majori quam ante terrori, si quidem liberaretur, futurum. (4) Proinde in carcerem (specus est subterraneus, cui Thesauro nomen est, in quem extrinsecus neque spiritus neque lumen penetrat, neque foribus, sed objectu magni saxi clauditur) eum imponentes, obvoluto saxo, ad custodiam armatos circum constituere. (5) Ceterum equites Achæi quum se ex fuga colligerent, neque usquam Philopœmen exstaret, sed periisse crederetur, diu fixo gradu eum vocaverunt: inde collocuti mutuo, turpiter et injuste saluti se suæ consuluisse, duce, qui pro ipsis vitam suam in discrimen adduxisset, hostibus prodito: tum progressi una multumque quærentes, captum esse cognoverunt, idque urbibus Achæorum renunciavere. (6) Achæi maximum se incommodum accepisse, reposcendumque a Messeniis eum per legatos censuerunt, simulque bellum pararunt.

XX. Dum in his illi versantur, Dinocrates, qui maxime moram Philopœmeni metueret salutarem Achæorumque consiliis prævertendum putaret, nocte oborta et multitudine Messeniorum digressa, carcerem aperuit, lictoremque qui venenum homini daret, neque ante quam ab eo esset haustum discederet, immisit. (2) Philopœmen cum chlamyde obvolutus jacebat, non somno, sed mœrore et animi perturbatione detentus, quum lucem vidit et virum cum veneni calice astantem, ægre se præ imbecillitate colligens, assedit. (3) Acceptoque poculo quæsivit, ecquid is de equitibus Achæis præcipueque Lycorta inaudivisset. Lictore plerosque effugisse respondente, capite annuit, placideque eum intuitus: Bene, inquit, narras, si quidem non in omnibus male rem gessimus. (4) Nihil aliud locutus neque ullo sono edito, venenum ebibit, ac se rursum inclinavit: neque diu vires ipsius veneno restitere, sed propter infirmitatem statim animam efflavit.

XXI. De obitu ejus postquam ad Achæos est allatum, communis tristitia et luctus omnes urbes pervasit. At qui ætate erant ad militiam apti, cum primoribus civitatum Megalopolim profecti, omni vindictæ mora exclusa, Lycortam ducem creaverunt: statimque in agrum Messenium impressione facta, tantisper eam affixerunt regionem, donec illi consentientes Achæos receperunt. (2) Dinocrates vero morte sibi ipse conscita supplicium prævenit: reliqui, quotquot necandum Philopœmenem censuerant, per eos interfecti sunt; quotquot torquendum, eos ad cruciatus

τους ἐπ' αἰκίαις ἀπολουμένους συνελάμβανεν ὁ Λυκόρτας. (3) Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. (4) Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας, ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς Πολύβιος καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. (5) Οἱ δὲ στρατιῶται ὡπλισμένοι μὲν αὐτοί, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς οὔτε τῇ νίκῃ γαυριῶντες. (6) Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἁπαντῶντες ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι τῆς ὑδρίας ἐφήπτοντο καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. (7) Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν ἐπιποθοῦσαν τὸν ἄνδρα καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. (8) Ἐτάφη μὲν οὖν, ὡς εἰκός, ἐνδόξως καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. (9) Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος ἐπεχείρησεν ἀνελεῖν ἁπάσας καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. (10) Λόγων δὲ λεχθέντων καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος οὐθ' ὁ Μόμμιος οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος, ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον, ὀρθῶς καὶ προσηκόντως τοῖς μὲν ὠφελοῦσι μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

adhibendos Lycortas comprehendit. (3) Secundum hæc corpore illic cremato, cineribusque in urnam collectis, discesserunt, non incomposito aut tumultuario agmine, sed mixta quadam cum exsequiis pompa triumphali. (4) Nam coronis redimitos eosdemque lacrimantes videbas, et qui hostes vinctos ducerent. Ipsam vero urnam præ fasciis et sertis vix conspicuam, prætoris Achæorum Lycortæ filius Polybius gestabat, et cum eo Achæorum primi. (5) Milites armati, ornatis etiam equis, sequebantur, neque tantum d luctum tristitia neque victoriam exsultatione æquantes. (6) Ex urbibus et agris in itinere eo positis multitudo occurrebat, tanquam a militia redeuntem excipientium et urnam tangentium, ac Megalopolim usque prosequentium. (7) Ut vero ad hos pervenere seniores cum mulieribus et pueris, ibi demum ejulatus totum exercitum pervasit, quum in urbem ingrederetur, quæ desiderium amissi Philopœmenis graviter ferebat, ac principatum inter Achæos ejus viri jactura se perdidisse putabat. (8) Sepultus est quo par erat honore, et Messenii captivi ad ejus sepulchrum lapidibus sunt obruti. (9) Multæ fuerunt ejus statuæ, magnique e ei a civitatibus decreti honores; quæ omnia Romanus quidam eo tempore quo capta Corintho Græcia in calamitate fuit, evertere est conatus, perinde atque vivum adhuc, Romanorum hostem eum et malevolum Romanis accusans. (10) Qua de re quum essent sermones habiti, et contra calumniatorem istum Polybius verba fecisset, neque Mummius, neque legati passi sunt incliti viri gloriam deleri, tametsi is non paucis in rebus T. Quinctio et Manio Acilio restitisset; at isti judices virtutem a commodo et honef stum ab utili, ut consentaneum est, distinxerunt, recteque et convenienter judicarunt, iis qui prosunt, mercedem et gratiam ab iis qui accipiunt beneficium, bonis vero honorem a bonis semper deberi. Atque hæc quidem de Philopœmene.

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

369 Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοίντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν πάρεστι θεάσασθαι τοῖς a βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖb ται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος ἀντικρὺ τοῦ ἱπποδρόμου γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη· τὸ δὲ ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. (2) Οὐ μὴν ὁμοίως, ἀλλὰ ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργὸς καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέτας, εὔνους καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. (3) Φιλοτιμότατος δὲ καὶ

T. QUINCTIUS FLAMININUS.

Huic T. Quinctium Flamininum comparamus. Qua is a corporis figura fuerit, licet iis qui volunt cernere in effigie b ejus ærea, quæ Romæ e regione Circi posita est juxta magnum Apollinem Carthagine allatum, Græcis litteris inscripta. Ingenio fuisse traditur eo, ut facile et ad iram et ad gratiam moveretur, etsi diversa ratione. (2) Nam et in puniendo lenis, neque pervicax erat, in gratia reddenda constans, in eos quibus benefecerat non secus atque benefactores perpetuo benevolus atque promptus, rem omnium præstantissimam ratus, in quos beneficia contulisset, eos prosequi semper et tutari. (3) Gloriæ honorisque cupidissi-

φιλοδοξότατος ὢν ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. (4) Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. (5) Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε, Τίτος δὲ τῆς περὶ Τάραντα χώρας καὶ Τάραντος αὐτοῦ τὸ δεύτερον ἡλωκότος ἔπαρχος ἀποδειχθεὶς εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις ἢ κατὰ τὴν στρατείαν. (6) Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κῶνσαν, ἄρχων ἠρέθη καὶ οἰκιστής.

II. Τοῦτο δὲ αὐτὸν ἐπῆρε μάλιστα τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. (2) Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων καὶ δεινὸν εἶναι λεγόντων ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. (3) Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι καὶ ἀνθρώποις οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. (4) Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν ἡ Μακεδόνων ἀρχή, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος καὶ χορηγία καὶ καταφυγὴ καὶ ὄργανον ὅλως τῆς φαλαγγος ἡ τῶν Ἑλλήνων δύναμις, ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. (5) Ἡ δ' Ἑλλὰς οὕπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων καὶ λόγῳ μᾶλλον ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης καὶ πραότης ἐντυγχανομένῳ καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δὲ ὁ Τίτος τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν καὶ τοῦ πολέμου βραδέως ἁψαμένους κατατετρῖφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἶκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτως καὶ αὐτὸς ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν

mus, præclaras et maximas res ipse conficere studebat. Magis delectabatur iis qui accipere beneficium cuperent, quam qui dare possent: illos virtuti suæ materiam esse, bos de gloria secum contendere existimans. (4) Ab ineunte ætate artibus militaribus institutus (etenim multis ea tempestate gravibusque occupata bellis Roma, ita jam inde ab initio adolescentes erudiebantur, ut inter ferendum imperia, imperare simul discerent), primum bello secundo Punico tribunus militum Marcello consuli adfuit. (5) Ac Marcello per insidias cæso, agro Tarentino, ipsique denique Tarento recepto præfectus, non justitiæ minorem quam belli laudem retulit. (6) Itaque etiam coloniis Narniam et Consam deducendis triumvir constitutus est.

II. Id potissimum animum ejus ita extulit, ut præteritis mediis istis magistratibus, quos juvenes petere solebant, tribunatu plebis, prætura et ædilitate, statim consulatu se dignum putaret, petitionem ejus colonis studiose adjuvantibus. (2) Fulvio autem et Manlio tribunis plebis ei resistentibus, indignumque esse affirmantibus, si juvenis, reclamantibus legibus, ad summum magistratum vi evaderet, primis nimirum adhuc sacris et mysteriis reipublicæ nondum initiatus: senatus populo creandi, quem vellet, potestatem fecit. A populo consul Quinctius cum Sexto Ælio est factus, nondum triginta natus annos. (3) Bellum adversus Philippum et Macedones sorte nactus bona quadam rerum Romanarum fortuna res atque homines sortitus est, qui non ducem requirerent in omnibus vi atque bello grassantem, sed quos magis facundia atque comibus congressibus caperes. (4) Etenim Philippo ad pugnam quidem committendam satis roboris erat Macedonicum imperium: durante autem bello, omne suæ phalangis robur, sumptus, refugium, atque instrumenta omnia reposita Græcorum in potentia habebat, quibus a Philippo non avulsis, non poterat uno bellum istud confici prœlio. (5) At vero Græcis nihil etiamnum fere cum Romanis fuerat rei, tumque primum eorum inter se populorum negotia misceri incipiebant: ut nisi Romanus dux benigno præditus ingenio, oratione quam armis plura egisset et si quid ipse cum aliis transigeret, morum suavitatem, atque si quid alii cum ipso transigerent, mansuetudinem, multamque pro asserendo jure perseverantiam exhibuisset, haud facile Græci consueto imperio alienum fuissent prælaturi. Verum hæc ipsæ actiones ejus manifesta reddent.

III. Quinctius, animadverso eos qui ante ipsum huic bello præfuerant duces Sulpicium et P. Villium, sero ad bellum gerendum in Macedoniam profectos et ibi locorum præsidiis se tutantes, levibusque itinerum aut frumentandi causa cum Philippo prœliis tempus trivisse: nequaquam eorum exemplo qui annum domi in honoribus et rebus civilibus terentes, sero ad bellum profecti erant, sibi etiam ita agendum duxit, ut alterum magistratui suo annum adjiceret,

τους ἐπ' αἰκίαις ἀπολουμένους συνελάμβανεν ὁ Λυκόρτας. (3) Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. (4) Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας, ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς Πολύβιος καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. (5) Οἱ δὲ στρα- d τιῶται ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς οὔτε τῇ νίκῃ γαυριῶντες. (6) Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι τῆς ὑδρίας ἐφήπτοντο καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. (7) Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν ἐπιποθοῦσαν τὸν ἄνδρα καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. (8) Ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. (9) Οὐσῶν δὲ πολλῶν e μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος ἐπεχείρησεν ἀνελεῖν ἁπάσας καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. (10) Λόγων δὲ λεχθέντων καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος οὔθ' ὁ Μόμμιος οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος, ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσι- f τελοῦς διώριζον, ὀρθῶς καὶ προσηκόντως τοῖς μὲν ὠφελοῦσι μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

adhibendos Lycortas comprehendit. (3) Secundum hæc corpore illic cremato, cineribusque in urnam collectis, discesserunt, non incomposito aut tumultuario agmine, sed mixta quadam cum exsequiis pompa triumphali. (4) Nam coronis redimitos eosdemque lacrimantes videbas, et qui hostes vinctos ducerent. Ipsam vero urnam præ fasciis et sertis vix conspicuam, prætoris Achæorum Lycortæ filius Polybius gestabat, et cum eo Achæorum primi. (5) Milites armati, ornatis etiam equis, sequebantur, neque [illegible] luctum tristitia neque victoriam ex[illegible] Ex urbibus et agris in itinere [illegible] rebat, tanquam a militia re[illegible] tangentium, ac Megalopo[illegible] Ut vero ad hos pervenere s[illegible] ris, ibi demum ejulatus totum exerci[illegible] urbem ingrederetur, quæ desiderium amis[illegible] graviter ferebat, ac principatum inter Achæos ejus [illegible] jactura se perdidisse putabat. (8) Sepultus est quo par erat honore, et Messenii captivi ad ejus sepulchrum lapidibus sunt obruti. (9) Multæ fuerunt ejus statuæ, magnique ei a civitatibus decreti honores; quæ omnia Romanus quidam eo tempore quo capta Corintho Græcia in calamitate fuit, evertere est conatus, perinde atque vivum adhuc, Romanorum hostem eum et malevolum Romanis accusans. (10) Qua de re quum essent sermones habiti, et contra calumniatorem istum Polybius verba fecisset, neque Mummius, neque legati passi sunt incliti viri gloriam deleri, tametsi is non paucis in rebus T. Quinctio et Manio Acilio restitisset; at isti judices virtutem a commodo et honestum ab utili, ut consentaneum est, distinxerunt, recteque et convenienter judicarunt, iis qui prosunt, mercedem et gratiam ab iis qui accipiunt beneficium, bonis vero honorem a bonis semper deberi. Atque hæc quidem de Philopœmene.

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

369 Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλα- a μινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖ- b ται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος ἀντικρὺ τοῦ ἱπποδρόμου γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη· τὸ δὲ ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. (2) Οὐ μὴν ὁμοίως, ἀλλὰ ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργὸς καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. (3) Φιλοτιμότατος δὲ καὶ

T. QUINCTIUS FLAMININUS.

Huic T. Quinctium Flamininum comparamus. Qua is corporis figura fuerit, licet iis qui volunt cernere in effigie ejus ærea, quæ Romæ e regione Circi posita est juxta magnum Apollinem Carthagine allatum, Græcis litteris inscripta. Ingenio fuisse traditur eo, ut facile et ad iram et ad gratiam moveretur, etsi diversa ratione. (2) Nam et in puniendo lenis, neque pervicax erat, in gratia reddenda constans, in eos quibus benefecerat non secus atque benefactores perpetuo benevolus atque promptus, rem omnium præstantissimam ratus, in quos beneficia contulisset, eos prosequi semper et tutari. (3) Gloriæ honorisque cupidissi-

φιλοδοξότατ… ἀρίστ…
πράξεων αὐτ… τοῖς δε…
μᾶλλον ἢ τοῖς … ἔνοις
ὕλην τῆς ἀρετῆς…
5 ξαν ἡγούμενος.
τῶν ἐθῶν τῶν στρα…
τῆς Ῥώμης ἀγωνιζ…
ἐξ ἀρχῆς ἐν τῷ στρ…
νων, πρῶτον μὲν ἐν…
10 χος ὑπατεύοντι Μαρ…
Μάρκελλος μὲν ἐνέ…
δὲ τῆς περὶ Τάραντ…
δεύτερον ἡλωώτος…
οὐχ ἧττον ἐπὶ τοῖς…
… πεμπου…

20 ἀξιο…
προθύμο…
δημάρχων ἐ…
νέον εἰς τὴν μεγι…
μους, οἷον ἀτέλεστο…
25 ρίων τῆς πολιτείας, ἡ …
τὴν ψῆφον, ὁ δὲ δῆμος …
Σέξτου Αἰλίου, καίπερ οὔπω τ…
Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλι…
πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων…
30 γμασι καὶ ἀνθρώποις οὐ πάντα πολέμῳ …
νου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ κα…
λον ἁλωσίμοις. (4) Φιλίππῳ γὰρ ἦν στόμ…
μάχην ἀποχρῶν ἡ Μακεδόνων ἀρχὴ, ῥώμη …
τριβὴν ἔχοντος καὶ χορηγία καὶ καταφυγὴ κα…
35 ὅλως τῆς φάλαγγος ἡ τῶν Ἑλλήνων δύναμις, …
διαλυθέντων ἀπὸ τοῦ Φιλίππου μιᾶς μάχης οὐκ…
γον ὁ πρὸς αὐτὸν πόλεμος. (5) Ἡ δ' Ἑλλὰς …
πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρ…
ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸ…
370 ὁ ἄρχων καὶ λόγῳ μᾶλλον ἢ πολέμῳ χρώμενος, …
χάνοντί τε προσῆν πιθανότης καὶ πρᾳότης ἐντ…
μένῳ καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, …
οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν…
πησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δη…
45 ται.

III. Πυνθανόμενος δὲ ὁ Τίτος τοὺς πρὸ ἑαυτοῦ στρ…
τηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψ…
τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν καὶ τοῦ πολέμου
βραδέως ἁψαμένους κατατετρῖφθαι τοπομαχοῦντας καὶ
50 διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτο-
λογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ
ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς
καὶ πολιτείαις ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας,
οὕτως καὶ αὐτὸς ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν b agen…

…eclaras et m… …ipse conficere studebat.
…ectabatur … …ere beneficium cuperent,
…lare p… …irtuti suæ materiam esse,
… existimans. (4) Ab ineunte
…utus (etenim multis ea tem-
… bellis Roma, ita jam inde ab
…ur, ut inter ferendum impe-
…), primum bello secundo Pu-
…llo consuli adfuit. (5) Ac
…ro Tarentino, ipsique denique
…non justitiæ minorem quam
…que etiam coloniis Narniam et
… constitutus est.

… ejus ita extulit, ut præteritis
…quos juvenes petere solebant,
…dilitate, statim consulatu se di-
…s colonis studiose adjuvantibus.
…tribunis plebis ei resistentibus,
…ibus, si juvenis, reclamantibus
…stratum vi evaderet, primis ni-
…steriis reipublicæ nondum initia-
…ndi, quem vellet, potestatem
…uinctius cum Sexto Ælio est
…tus annos. (3) Bellum ad-
…es sorte nactus bona quadam
…res atque homines sortitus
…ent in omnibus vi atque
…is facundia atque comibus
…im Philippo ad pugnam
…is erat Macedonicum im-
…ne suæ phalangis robur,
…menta omnia reposita
…s a Philippo non
…fici prœlio. (5)
… Romanis fuerat
…ulorum negotia
…enigno prædi-
…set et si quid
… atque si quid
… multamque
… haud facile
…i. Verum

…m huic
…ero ad
…rum
…di

τους ἐπ' αἰκίαις ἀπολουμένους συνελάμβανεν ὁ Λυκόρτας. (3) Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. (4) Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας, ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς Πολύβιος καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. (5) Οἱ δὲ στρατιῶται ὡπλισμένοι μὲν αὐτοί, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς οὔτε τῇ νίκῃ γαυριῶντες. (6) Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι τῆς ὑδρίας ἐφήπτοντο καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. (7) Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἦδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν ἐπιποθοῦσαν τὸν ἄνδρα καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. (8) Ἐτάφη μὲν οὖν, ὡς εἰκός, ἐνδόξως καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. (9) Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος ἐπεχείρησεν ἀνελεῖν ἁπάσας καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. (10) Λόγων δὲ λεχθέντων καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος οὔθ' ὁ Μόμμιος οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος, ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον, ὀρθῶς καὶ προσηκόντως τοῖς μὲν ὠφελοῦσι μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

adhibendos Lycortas comprehendit. (3) Secundum hæc corpore illic cremato, cineribusque in urnam collectis, discesserunt, non incomposito aut tumultuario agmine, sed mixta quadam cum exsequiis pompa triumphali. (4) Nam coronis redimitos eosdemque lacrimantes videbas, et qui hostes vinctos ducerent. Ipsam vero urnam præ fasciis et sertis vix conspicuam, prætoris Achæorum Lycortæ filius Polybius gestabat, et cum eo Achæorum primi. (5) Milites armati, ornatis etiam equis, sequebantur, neque tantum luctum tristitia neque victoriam exsultatione æquantes. (6) Ex urbibus et agris in itinere eo positis multitudo occurrebat, tanquam a militia redeuntem excipientium et urnam tangentium, ac Megalopolim usque prosequentium. (7) Ut vero ad hos pervenere seniores cum mulieribus et pueris, ibi demum ejulatus totum exercitum pervasit, quum in urbem ingrederetur, quæ desiderium amissi Philopœmenis graviter ferebat, ac principatum inter Achæos ejus viri jactura se perdidisse putabat. (8) Sepultus est quo par erat honore, et Messenii captivi ad ejus sepulchrum lapidibus sunt obruti. (9) Multæ fuerunt ejus statuæ, magnique ei a civitatibus decreti honores; quæ omnia Romanus quidam eo tempore quo capta Corintho Græcia in calamitate fuit, evertere est conatus, perinde atque vivum adhuc, Romanorum hostem eum et malevolum Romanis accusans. (10) Qua de re quum essent sermones habiti, et contra calumniatorem istum Polybius verba fecisset, neque Mummius, neque legati passi sunt incliti viri gloriam deleri, tametsi is non paucis in rebus T. Quinctio et Manio Acilio restitisset; at isti judices virtutem a commodo et honestum ab utili, ut consentaneum est, distinxerunt, recteque et convenienter judicarunt, iis qui prosunt, mercedem et gratiam ab iis qui accipiunt beneficium, bonis vero honorem a bonis semper deberi. Atque hæc quidem de Philopœmene.

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

369 Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος ἀντικρὺ τοῦ ἱπποδρόμου γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη· τὸ δὲ ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. (2) Οὐ μὴν ὁμοίως, ἀλλὰ ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργὸς καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. (3) Φιλοτιμότατος δὲ καὶ

T. QUINCTIUS FLAMININUS.

Huic T. Quinctium Flamininum comparamus. Qua is corporis figura fuerit, licet iis qui volunt cernere in effigie ejus ærea, quæ Romæ e regione Circi posita est juxta magnum Apollinem Carthagine allatum, Græcis litteris inscripta. Ingenio fuisse traditur eo, ut facile et ad iram et ad gratiam moveretur, etsi diversa ratione. (2) Nam et in puniendo lenis, neque pervicax erat, in gratia reddenda constans, in eos quibus benefecerat non secus atque benefactores perpetuo benevolus atque promptus, rem omnium præstantissimam ratus, in quos beneficia contulisset, eos prosequi semper et tutari. (3) Gloriæ honorisque cupidissi-

φιλοδοξότατος ὢν ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. (4) Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. (5) Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε, Τίτος δὲ τῆς περὶ Τάραντα χώρας καὶ Τάραντος αὐτοῦ τὸ δεύτερον ἡλωκότος ἔπαρχος ἀποδειχθεὶς εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις ἢ κατὰ τὴν στρατείαν. (6) Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κῶνσαν, ἄρχων ἡρέθη καὶ οἰκιστής.

II. Τοῦτο δὲ αὐτὸν ἐπῆρε μάλιστα τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. (2) Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων καὶ δεινὸν εἶναι λεγόντων ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. (3) Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχία τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι καὶ ἀνθρώποις οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. (4) Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν ἡ Μακεδόνων ἀρχή, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος καὶ χορηγία καὶ καταφυγὴ καὶ ὄργανον ὅλως τῆς φάλαγγος ἡ τῶν Ἑλλήνων δύναμις, ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. (5) Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων καὶ λόγῳ μᾶλλον ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης καὶ πρᾳότης ἐντυγχανομένῳ καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δὲ ὁ Τίτος τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν καὶ τοῦ πολέμου βραδέως ἁψαμένους κατατετρῖφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἶκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτως καὶ αὐτὸς ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν

mus, præclaras et maximas res ipse conficere studebat. Magis delectabatur iis qui accipere beneficium cuperent, quam qui dare possent : illos virtuti suæ materiam esse, hos de gloria secum contendere existimans. (4) Ab ineunte ætate artibus militaribus institutus (etenim multis ea tempestate gravibusque occupata bellis Roma, ita jam inde ab initio adolescentes erudiebantur, ut inter ferendum imperia, imperare simul discerent), primum bello secundo Punico tribunus militum Marcello consuli adfuit. (5) Ac Marcello per insidias cæso, agro Tarentino, ipsique denique Tarento recepto præfectus, non justitiæ minorem quam belli laudem retulit. (6) Itaque etiam coloniis Narniam et Consam deducendis triumvir constitutus est.

II. Id potissimum animum ejus ita extulit, ut præteritis mediis istis magistratibus, quos juvenes petere solebant, tribunatu plebis, prætura et ædilitate, statim consulatu se dignum putaret, petitionem ejus colonis studiose adjuvantibus. (2) Fulvio autem et Manlio tribunis plebis ei resistentibus, indignumque esse affirmantibus, si juvenis, reclamantibus legibus, ad summum magistratum vi evaderet, primis nimirum adhuc sacris et mysteriis reipublicæ nondum initiatus : senatus populo creandi, quem vellet, potestatem fecit. A populo consul Quinctius cum Sexto Ælio est factus, nondum triginta natus annos. (3) Bellum adversus Philippum et Macedones sorte nactus bona quadam rerum Romanarum fortuna res atque homines sortitus est, qui non ducem requirerent in omnibus vi atque bello grassantem, sed quos magis facundia atque comibus congressibus caperes. (4) Etenim Philippo ad pugnam quidem committendam satis roboris erat Macedonicum imperium : durante autem bello, omne suæ phalangis robur, sumptus, refugium, atque instrumenta omnia reposita Græcorum in potentia habebat, quibus a Philippo non avulsis, non poterat uno bellum istud confici prœlio. (5) At vero Græcis nihil etiamnum fere cum Romanis fuerat rei, tumque primum eorum inter se populorum negotia misceri incipiebant : ut nisi Romanus dux benigno prædito ingenio, oratione quam armis plura egisset et si quid ipse cum aliis transigeret, morum suavitatem, atque si quid alii cum ipso transigerent, mansuetudinem, multamque pro asserendo jure perseverantiam exhibuisset, haud facile Græci consueto imperio alienum fuissent prælaturi. Verum hæc ipsæ actiones ejus manifesta reddent.

III. Quinctius, animadverso eos qui ante ipsum huic bello præfuerant duces Sulpicium et P. Villium, sero ad bellum gerendum in Macedoniam profectos et ibi locorum præsidiis se tutantes, levibusque itinerum aut frumentandi causa cum Philippo prœliis tempus trivisse : nequaquam eorum exemplo qui annum domi in honoribus et rebus civilibus terentes, sero ad bellum profecti erant, sibi etiam ita agendum duxit, ut alterum magistratui suo annum adjiceret,

ὑπατεύσας, τῷ δὲ πολεμήσας, ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν, αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ Λεύκιον ἄρχοντα νεῶν συστρατεύειν καὶ τῶν μετὰ Σκηπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δὲ Ἀννίβαν αὐτὸν καταμεμαχημένων τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβὼν ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. (2) Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα καὶ τὸν Πόπλιον ἀποπέμψας κατεσκέπτετο τοὺς τόπους. (3) Εἰσὶ δὲ ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη, κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης καὶ διατριβὰς καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσιν. (4) Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων διεκπίπτων ὁ Ἄψος καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειὸν, τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπὸν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

IV. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. (2) Ὁ δὲ δεδοικὼς, μὴ πόρρω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος ἀπορήσῃ σιτίων καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων βιάσασθαι τὴν πάροδον. (3) Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος ἐκ τῶν πλαγίων παντοχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο καὶ ἀγῶνες ὀξεῖς καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. (4) Γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα καὶ κρύφα φόβῳ τοῦ Φιλίππου συναγωνιζόμενον. (5) ὯΙ πιστεύσας ὁ Τίτος ἐκπέμπει χιλίαρχον ἕνα πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. Ἠγοῦντο δὲ οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι· καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὤδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην· καὶ γὰρ ἦν διχόμηνος. (6) Ὁ δὲ Τίτος τούτους ἀποστείλας τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατὸν ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους, καθ' ἣν δὲ ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων

alterum in magistratu, alterum in bello gerendo consumens. Itaque ut in ipso suo consulatu rem gereret summopere studens, honoribus et civilibus officiis valere jussis, impetrato a senatu, ut frater suus L. Quinctius legatus sibi daretur ac rei navali præesset, ipse ex militibus iis, qui in Hispania Hasdrubalem, in Africa ipsum Hannibalem duce Scipione devicerant, tribus millibus, qui et ætate adhuc essent valida et ad bellum alacres, lectis, tanquam exercitus sui robore, in Epirum tuto trajecit. (2) Ibi P. Villium cum exercitu invenit, qui castris Philippo (aditus ille et angustias ad Apsum flumen custodiebat) oppositis, longo jam tempore iniquitate locorum prohibitus nihil rei gesserat. Accepto igitur exercitu, et dimisso Villio, naturam locorum speculatus est. (3) Natura sunt non minus muniti quam Tempe; arborum pulchritudine, silvæ viriditate, recessuum et pratorum amœnitate inferiores. (4) Montes utrique magni atque sublimes in maximam atque profundam convallem inclinant: per hanc Apsus elabens Peneum figura et celeritate refert, et radices montis undique aqua tegens, propter ipsum alveum incisuram præcipitem et angustam semitam relinquit, qua neque alioquin facile ingredi exercitus queat, et si statione teneatur, nullo modo possit.

IV. Quidam consulebant Quinctio, ut expedito et facili itinere per Dassaretios Lyncum versus copias circumduceret. (2) Sed consul veritus ne, si longius a mari sese in loca male culta et inopem regionem conjiceret, Philippo pugnam subterfugiente penuria frumenti laboraret et re infecta, sicuti priori evenerat duci, cogeretur ad mare redire: statuit vi aditum aperire per cacumina. (3) Montes Philippus phalange sua insederat et a latere undique tela et sagittæ in Romanos incidebant: itaque acriter aliquoties certatum, vulnerati utrinque et occisi, nihil tamen ad summam rei gestum est. Quidam vero pastores ejus regionis ad Quinctium aggressi, ambitum quendam ab hostibus neglectum indicarunt; hac se exercitum ducturos, tertioque omnino die in summis montibus constituturos polliciti sunt. (4) Hujus promissi auctorem atque sponsorem Charopem Machatam proferebant, primum inter Epirotas, Romanis cupientem, eosque metu Philippi clam adjuvantem. (5) Huic fidem habuit consul, misitque tribunum militum cum peditum quattuor millibus et trecentis equitibus; ducebant hos pastores illi vincti: interdiu locis cavis et silvestribus latentes quiescebant, noctu ad lucem lunæ, quæ dimidio tum orbe fulgebat, iter faciebant. (6) His missis Quinctius exercitum quiescere jussit, iis exceptis militibus quibus opus esset ad hostes levibus prœliis lacessendos; quo vero die in summis montibus suos constituros reputabat, summo mane omnem

οἱ περιιόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· (7) καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενότατον παρὰ τὸ ῥεῖθρον ὀρθιος ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων καὶ συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας, τῶν δὲ ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε καὶ καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος ὁμίχλη πόρρωθεν ἀνατέλλων καὶ διαφαινόμενος τοὺς μὲν πολεμίους ἐλάνθανε, κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων, οἱ δὲ Ῥωμαῖοι δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. (8) Ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος καὶ διαμελαίνων τὸν ἀέρα καὶ πολὺς ἄνω χωρῶν ἐδήλωτο πυρσὸς εἶναι φίλος, οἱ μὲν ἀλαλάξαντες ἐπέβαινον ἐρρωμένως καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους, οἱ δὲ ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

V. Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. (2) Χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι διαρπάσαντες ἐκράτουν τῶν στενῶν καὶ διώδευον τὴν Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥστε τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς καὶ τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους οὐδ' εὐπορουῦντας ἀγορᾶς ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης. (3) Ὁ γὰρ Τίτος πυνθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύγοντι τὴν Θετταλίαν διερχόμενος τοὺς μὲν ἀνθρώπους ἐκ τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις καταπίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος ἢ βάρος ἁρπαγὴν προτίθεται τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη Ῥωμαίοις, ἐφιλοτιμεῖτο καὶ παρεκάλει τοὺς στρατιώτας ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. (4) Καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γιγνόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. Προσεχώρουν μὲν γὰρ αἱ πόλεις ἁψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς Πυλῶν Ἕλληνες ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς τρὸς τὸν Τίτον, Ἀχαιοὶ δὲ τὴν Φιλίππου συμμαχίαν ἀπειπάμενοι πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν. Ὀπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. (5) Πύρρον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδε τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν· οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. (6) Ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι δι' ὅπλων πάντα καταστρεφόμενος καὶ δουλούμενος, εἶτα ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ καὶ τὴν ὄψιν φιλανθρώπῳ φωνήν τε καὶ διάλεκτον Ἑλληνι καὶ τιμῆς ἀληθοῦς ἐραστῇ θαυμασίως ἐκηλοῦντο καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλα-

et levem et gravem armaturam eduxit; (7) divisisque trifariam copiis, ipse recta cohortes juxta amnem, qua fauces erant arctissimæ, adduxit, petitusque Macedonum telis, in ipsis angustiis cum obviam egresso hoste manum conseruit: reliqui ab utroque latere per aspera loca magno conatu et certamine invadebant. Interim et sol ortus erat, et fumus haud plane evidens, sed montanæ instar nubeculæ procul consurgens et apparens, Macedones (etenim his a tergo erat, occupatis jam montium cacuminibus) latuit, Romanis gravi in certamine laborantibus, spemque ad id quod vellent accommodantibus, fidem non satis certam faciebat. (8) Posteaquam vero is auctus, densiorque assurgens aerem denigravit, apparuitque ignem indicem esse a sociis factum, sublato clamore, magna vi irruerunt in hostem, eumque in asperrima loca repulerunt: qui a tergo hostium erant, vociferationem ipsi quoque ediderunt.

V. Statim effuse fugerunt Macedones: neque ultra duo millia cæsi sunt, angustiis persecutionem impedientibus. (2) Romani, pecunia, tentoriis et calonibus hostium direptis, faucibusque ita potiti, ea modestia atque continentia Epirum peragraverunt, ut tametsi a mari et navibus longe abessent, neque menstruum frumentum iis demensum neque emendi copia esset, tamen a regione omnis generis opum plena manus abstinuerint. (3) Nam Quinctius quum accepisset Philippum fugæ similem profectionem per Thessaliam fecisse, hominibus in montes rocedere coactis, urbes incendisse, bona ob multitudinem vel onus relicta militibus prædam concessisse, cedentem jam tum quodammodo Romanis ea regione: ut magnificum se ostenderet, milites suos cohortatus est, ita transirent itaque parcerent regioni tanquam suæ et jam ab hoste concessæ. (4) Et quidem fructum hujus moderationis statim senserunt. Nam ut primum Thessaliam attigerunt, urbes se eis dederunt, et Græci, qui intra Pylas habitabant, animis jam plane ad Quinctium inclinabant, Achæi, societate Philippi repudiata, cum Romanis adversus eum bellum gerere decreverunt. Opuntii, spretis Ætolis, qui tum Romanis magna alacritate in bello aderant ipsorumque urbem in custodia tenere pollicebantur, Quinctium accerserunt, ejusque se fidei permiserunt. (5) Pyrrhum, quum primum a specula exercitum Romanum instructum vidit, dixisse ferunt: hanc sibi barbarorum aciem non videri barbaram. Similiter hi tum dicere coacti sunt, qui primum ad Quinctium accesserunt. (6) Audierant ex Macedonibus, ducem barbarici exercitus adventare, qui armis omnia protereret atque in servitutem ageret: tum vero congressi cum viro qui et ætate floreret et aspectu benignus, sermone Græcus atque honoris veri amans esset, mirifice demulcebantur, reversique in civitates,

σαν εὐνοίας τῆς πρὸς αὐτὸν ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. (7) Ἐπεὶ δὲ καὶ Φιλίππῳ δοκοῦντι συμβατικῶς ἔχειν εἰς ταὐτὸν ἐλθὼν προὔτεινεν εἰρήνην καὶ
372 φιλίαν ἐπὶ τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾶν καὶ τὰς a φρουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο, παντάπασιν ἤδη τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέστη Ῥωμαίους πολεμήσοντας ἥκειν οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσι.

VI. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ, τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. (2) Ὁ δ' ἐντυχὼν αὐτοῖς φιλανθρώπως καὶ δεξιωσάμενος προῆγεν ἡσυχῇ καθ' ὁδὸν τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος καὶ παράγων ἐπίτηδες ἄχρι τοῦ b τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. (3) Οὕτω δὲ προάγων συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν, ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο. (4) Καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν, ἔπειθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ καὶ συνεξορμῶντος τοὺς Θηβαίους. (5) Ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικε, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς ἢ ῥεύματος ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσε καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν c εἰς Ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

VII. Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην ἀπέστειλε καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ τοῦ πολέμου μένοντος, εἰ δὲ μή, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι· φιλότιμος γὰρ ὢν ἰσχυρῶς ἐδεδίει πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρου στρατηγοῦ τὴν δόξαν ἀφαιρεθῆναι. (2) Διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ μήτε τὸν Φίλιππον ὧν ἔχρῃζε τυχεῖν καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς εὐθὺς εἰς Θετταλίαν ἐπὶ τὸν Φίλιππου πόλεμον d ὥρμησεν ὑπὲρ ἑξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν Αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους καὶ ἱππεῖς τετρακοσίους παρεῖχον. (3) Ἦν δὲ καὶ τοῦ Φιλίππου τὸ στράτευμα τῷ πλήθει παραπλήσιον. Ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλους καὶ γενόμενοι περὶ τὴν Σκοτοῦσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, οὐχ, ὅπερ εἰκὸς ἦν, πρὸς δέους ἔλαβον οἱ στρατοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληροῦντο, Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖστον ἦν παρ' αὐ- e τοῖς, Μακεδόνες δὲ Ῥωμαίους Περσῶν ἡγούμενοι διαφέρειν ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρου Φίλιππον. (4) Ὁ μὲν οὖν Τίτος παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους, ὡς ἐν τῷ καλλίστῳ θεάτρῳ τῇ Ἑλλάδι μέλ-

summam erga eum, veluti ducem libertatis, benevolentiam excitabant. (7) At posteaquam Philippo ad pacem inclinare viso Quinctius in congressu eas tulit pacis amicitiæque leges, ut regem juberet Græcos liberos relinquere et præsidia deducere, neque is eas conditiones accepit, plane jam iis quoque, qui Philippi rebus studebant, persuasum est venisse Romanos ad bellum non Græcis, sed propter hos Macedonibus faciendum.

VI. Ac reliqui quidem sine tumultu Quinctio se adjunxerunt. Profecto autem in Bœotiam nullo belli cum apparatu, Thebanorum proceres obviam iverunt, Philippo quidem propter Brachyllam faventes, Quinctium tamen etiam salutandum atque honorandum censentes, quod cum utrisque amicitiam colerent. (2) Ille liberalissime exceptos benigne salutavit et alia percontando et quærendo, alia exponendo ac de industria eos fallendo, sensim progressus est tantisper, dum ex itinere milites reciperet. (3) Ita una cum Thebanis in urbem ingressus est: quum neque gratum hoc iis esset, neque tamen auderent prohibere, quod mediocris eum militum multitudo sequebatur. (4) Enimvero Quinctius, quasi non jam sua in potestate urbem haberet, progressus in concionem suasit ut Romanis se conjungerent, Attalo rege ei patrocinante et Thebanos ad idem cohortante. (5) Hic quidem oratorem se Quinctio alacriorem, quam senectus ea ferret, præbere contendens, inter dicendum vertigine obborta, aut apoplexia subito sensibus obstupefactis corruit, neque multo post navibus in Asiam revectus, mortuus est. Bœoti Romanis se adjunxerunt.

VII. Quum Philippus Romam legatos mitteret, ablegavit eo Quinctius qui hoc agerent, ut aut ipsi tempus a senatu ad bellum perficiendum prorogaretur, aut pacis componendæ potestas daretur: etenim, ut erat gloriæ cupidissimus, metuebat ne, alio ad bellum duce misso, sua ipse laude privaretur. (2) Obtinuerunt hoc amici ejus, ut neque Philippus quæ petebat impetraret, et imperium Quinctio ejus belli causa prorogaretur. Hoc decreto in magnam spem erectus, statim in Thessaliam contendit adversus Philippum. Habebat in exercitu suo viginti et sex millia militum: ex his peditum millia sex et quadringentos equites Ætoli suppeditaverant. (3) Pares fere erant Philippi copiæ. Quum autem se propius accederent nec procul Scotusa abessent, ibi utrisque subire prœlii fortunam erat animus, ac nequaquam, ut verisimile erat in tanta locorum propinquitate, metu correpti, sed ardore potius et gloriæ parandæ cupiditate incensi sunt, quam et Romani summam fore existimabant, si Macedonas, quorum robur et potentia propter Alexandrum apud ipsos maxime celebrabantur, devicissent: et Macedones Persis præstare Romanos arbitrati, his superatis Philippi se, quam fuisset Alexandri, majus nomen reddituros sperabant. (4) Itaque Flamininus suos milites hortatus est, bonos sese ac strenuos viros præberent; quippe cum adversario laudatissimo in pulcherrimo theatro

λοντας ἀγωνίζεσθαι πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν, ὁ δὲ Φίλιππος, εἴτε ἀπὸ τύχης εἴτε ὑπὸ σπουδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον ὑψηλὸν ἔξω τοῦ χάρακος, ἐπὶ τοῦτο προβὰς ἤρξατο μὲν, οἷα πρὸ μάχης φιλεῖ, διαλέγεσθαι καὶ παρορμᾶν, ἀθυμίας f δὲ δεινῆς πρὸς τὸν οἰωνὸν ἐμπεσούσης διαταραχθεὶς ἐπέσχε τὴν ἡμέραν ἐκείνην.

VIII. Τῇ δ' ὑστεραίᾳ περὶ τὸν ὄρθρον ἐκ μαλακῆς καὶ νοτίου νυκτὸς εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων ἀνεπίμπλατο ζόφου βαθέος πᾶν τὸ πεδίον καὶ κατῄει παχὺς ἐκ τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν στρατοπέδων εὐθὺς ἀρχομένης ἡμέρας ἀποκρύπτων τοὺς τόπους. (2) Οἱ δὲ ὑπ' ἀμφοτέρων ἀποσταλέντες ἐφεδρείας ἕνεκα καὶ κατασκοπῆς ἐν πάνυ βραχεῖ περιπεσόντες ἀλλήλοις ἐμάχοντο περὶ τὰς καλουμένας Κυνὸς κεφαλὰς, αἳ λό- a 373 φων οὖσαι πυκνῶν καὶ παραλλήλων ἄκραι λεπταὶ δι' ὁμοιότητα τοῦ σχήματος οὕτως ὠνομάσθησαν. (3) Γενομένων δὲ οἷον εἰκὸς ἐν τόποις σκληροῖς μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώξεις, ἑκάτεροι τοῖς πονοῦσιν ἀεὶ καὶ ὑποχωροῦσιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν στρατοπέδων καὶ ἤδη τοῦ ἀέρος ἀνακαθαιρομένου καθορῶντες τὰ γινόμενα πανστρατιᾷ συνέβαλον. (4) Τῷ μὲν οὖν δεξιῷ περιῆν ὁ Φίλιππος ἐκ τόπων ἐπιφόρων ὅλην ἐπερείσας τὴν φάλαγγα τοῖς Ῥωμαίοις τὸ βάρος τοῦ συνασπισμοῦ καὶ τὴν τραχύτητα τῆς προβολῆς τῶν σαρισσῶν οὐχ ὑπομεινάντων· τοῦ δ' εὐωνύμου διασπασμὸν ἀνὰ τοὺς λόφους καὶ περίκλασιν λαμβάνοντος, ὁ Τίτος τὸ b μὲν ἡττώμενον ἀπογνοὺς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας προσέβαλε τοῖς Μακεδόσι συστῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν τάξιν εἰς βάθος, ἥπερ ἦν ἀλκὴ τῆς ἐκείνων δυνάμεως, κωλυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων, πρὸς δὲ τὸ κατ' ἄνδρα συμπλέκεσθαι καὶ βαρεῖ καὶ δυσέργῳ χρωμένοις ὁπλισμῷ. (5) Ζῴῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἀμάχῳ τὴν ἰσχὺν ἕως ἓν ἐστι σῶμα καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τάξει μιᾷ· διαλυθείσης δὲ καὶ τὴν καθ' ἕνα ῥώμην ἀπόλλυσι τῶν μαχομένων ἕκαστος διά τε τὸν τρόπον τῆς ὁπλίσεως καὶ ὅτι παντὸς ὅλου τοῖς παρ' ἀλλήλων μέρεσι μᾶλλον ἢ δι' αὐτὸν ἰσχύει. (6) Τραπομένων δὲ τούτων οἱ μὲν ἐδίω- c κον τοὺς φεύγοντας, οἱ δὲ τοὺς μαχομένους τῶν Μακεδόνων παρεκδραμόντες ἐκ πλαγίων ἔκτεινον, ὥστε ταχὺ καὶ τοὺς νικῶντας περισπᾶσθαι καὶ φεύγειν τὰ ὅπλα καταβάλλοντας. (7) Ἔπεσον μὲν οὖν ὀκτακισχιλίων οὐκ ἐλάττους, ἑάλωσαν δὲ περὶ πεντακισχιλίους. Τοῦ δὲ τὸν Φίλιππον ἀσφαλῶς ἀπελθεῖν τὴν αἰτίαν ἔλαβον Αἰτωλοὶ περὶ ἁρπαγὴν γινόμενοι καὶ πόρθησιν τοῦ χάρακος ἔτι τῶν Ῥωμαίων διωκόντων, ὥστε μηθὲν εὑρεῖν ἐκείνους ἐπανελθόντας.

IX. Πρῶτον μὲν οὖν ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους αὐτοῖς· ἐκ δὲ τούτων μᾶλλον ἀεὶ τὸν Τί- d τον ἐλύπουν ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα καὶ τῇ φήμῃ προκαταλαμβάνοντες τοὺς Ἕλληνας, ὥστε καὶ γράφεσθαι καὶ ᾄδεσθαι προτέρους ἐκείνους ὑπὸ ποιητῶν

(Græciam dicebat) decertaturi. At Philippus, incertum casune fortuito, an quod præ festinatione eum hoc fefellisset, extra vallum sublimi conscenso aggere, qui multorum erat hominum sepulcris impositus, cœpit ea, quibus ante conflictum milites cohortari moris est, disserere : verum graviter ob id omen animis suorum dejectis, ipse etiam perturbatus eo die pugna abstinuit.

VIII. Postridie sub auroram a molli et austrina nocte in nebulam nubibus conversis, totus densa obductus est campus caligine, statimque sub ortum solis crassus ab alto aer in spatium, quod erat inter castra, decubuit ipsaque loca occultavit. (2) Ibi qui utrinque excubiarum et speculandi gratia emissi fuerant, mox obviam mutuo facti apud Cynos-cephalas (*id est* Canis capita), collium densorum et sibi mutuo oppositorum summitates, quæ a similitudine figuræ id nomen habent, pugnam commiserunt. (3) Quum alternis, ut in locis asperis fieri consentaneum est, fugerent atque instarent cedentibus, utrinque ex castris subinde suis defatigatis atque cedentibus auxilia missa sunt, ac tandem aere a caligine repurgato, quum viderent quid rei ageretur, totis exercitibus concurrerunt. (4) Dextro cornu Philippus superior fuit propterea, quod a locis declivibus totam phalangem Romanis inferebat, qui impressionem agminis consertis clypeis pugnantium atque asperitatem sarissarum projectarum non sustinebant. Lævum autem dissipatum jam per colles atque luxatum quum esset, Quinctius, desperatis iis qui hostibus cesserant, celeriter alteram in partem conversus in Macedones impetum fecit, qui propter inæqualitatem et asperitatem locorum cogere phalangem et densare ordines (in quo omnis inest illorum aciei vis) nequibant : viritim autem ubi pugnandum est, gravi et inhabili armorum habitu motuque impediuntur. (5) Phalanx enim animalis similitudinem habet invicti, quam diu unum corpus est et densitatem suam constanti ordine retinet : ea dissoluta, etiam singuli suum contra singulos pugnandi robur amittunt, quum propter armaturæ genus, tum quod omne totum magis propter mutuum membrorum complexum quam propter singula valet. (6) His ergo fusis, quidam fugientes persecuti sunt, reliqui incursu in Macedones adhuc pugnantes facto, a latere eos straverunt, itaque mox ii etiam, qui jam vincebant, aversi retro, armis projectis fugam dederunt. (7) Cæsa sunt millia octo, ad quinque millia capti. Ut autem Philippus tuto effugeret, Ætolorum culpa factum est, qui Romanis adhuc hostem persequentibus ad diripienda castra se convertebant, ita quidem, ut Romanis reversis nihil superesset.

IX. Hinc primum inter eos contentiones et convicia : inde magis subinde Quinctium offenderunt, sibi eam victoriam arrogantes, eoque rumore animos Græcorum præoccupantes, ut a poetis etiam ac poeseos ignaris id factum decantan-

καὶ ἰδιωτῶν ὑμνούντων τὸ ἔργον. (2) Ὧν μάλιστα διὰ στόματος ἦν τουτὶ τὸ ἐπίγραμμα·

Ἀκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Θεσσαλίης τρισσαὶ κείμεθα μυριάδες,
Αἰτωλῶν δμηθέντες ὑπ' Ἄρεος ἠδὲ Λατίνων,
σὺς Τίτος εὐρείης ἤγαγ' ἀπ' Ἰταλίης,
Ἡμαθίῃ μέγα πῆμα. Τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
πνεῦμα θοῶν ἐλάφων ὤχετ' ἐλαφρότερον.

Τοῦτο ἐποίησε μὲν Ἀλκαῖος ἐφυβρίζων Φιλίππῳ καὶ τὸν ἀριθμὸν τῶν ἀποθανόντων ἐπιψευσάμενος, λεγόμενον δὲ πολλαχοῦ καὶ ὑπὸ πολλῶν μᾶλλον ἢνία τὸν Τίτον ἢ τὸν Φιλίππον. (3) Ὁ μὲν γὰρ ἀντικωμῳδῶν τὸν Ἀλκαῖον τῷ ἐλεγείῳ παρέβαλεν·

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

Τὸν δὲ Τίτον φιλοτιμούμενον πρὸς τοὺς Ἕλληνας οὐ μετρίως παρώξυνε τὰ τοιαῦτα. Διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων ἔπραττε καθ' ἑαυτὸν ἐλάχιστα φροντίζων τῶν Αἰτωλῶν. (4) Οἱ δὲ ἦχθοντο καὶ προσδεξαμένου λόγους αὐτοῦ καὶ πρεσβείαν ἐπὶ συμβάσεσι παρὰ τοῦ Μακεδόνος, τοῦτο ἐκεῖνο, περιιόντες περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην Φιλίππῳ, παρὸν ἐκκόψαι τὸν πόλεμον ἄρδην καὶ ἀνελεῖν ἀρχήν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ Ἑλληνικόν. (5) Ταῦτα τῶν Αἰτωλῶν λεγόντων καὶ διαταραττόντων τοὺς συμμάχους, 347 αὐτὸς ὁ Φίλιππος ἐλθὼν πρὸς τὰς διαλύσεις ἀνεῖλε τὴν ὑποψίαν ἐπιτρέψας τῷ Τίτῳ καὶ Ῥωμαίοις τὰ καθ' αὑτόν. (6) Καὶ οὕτω καταλύεται τὸν πόλεμον ὁ Τίτος· καὶ τὴν μὲν Μακεδονικὴν ἀπέδωκεν αὐτῷ βασιλείαν, τῆς δὲ Ἑλλάδος προσέταξεν ἀποστῆναι, χιλίοις δὲ ταλάντοις ἐζημίωσε, τὰς δὲ ναῦς πάσας παρείλετο πλὴν δέκα, τῶν δὲ παίδων τὸν ἕτερον, Δημήτριον, ὁμηρεύσοντα λαβὼν εἰς Ῥώμην ἀπέστειλεν, ἄριστα τῷ καιρῷ χρησάμενος καὶ προλαβὼν τὸ μέλλον. (7) Ἀννίβου γὰρ τοῦ Λίβυος, ἀνδρὸς ἐχθίστου τε Ῥωμαίοις καὶ φυγάδος, ἤδη τότε πρὸς Ἀντίοχον ἥκοντος τὸν βασιλέα καὶ παροξύνοντος αὐτὸν εἰς τὸ πρόσθεν προϊέναι τῇ τύχῃ τῆς δυνάμεως εὐροούσης ἤδη καθ' ἑαυτὸν ὑπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος Μέγας ἐπωνομάσθη, πρὸς τὴν ἀπάντων ἡγεμονίαν ἀποβλέποντα, μάλιστα δὲ κατὰ Ῥωμαίων ἀνιστάμενον, εἰ μὴ τοῦτο προϊδὼν ὁ Τίτος ἐμφρόνως ἐνέδωκε πρὸς τὰς διαλύσεις, ἀλλὰ τὸν Φιλιππικὸν ὁ Ἀντιοχικὸς κατειλήφει πόλεμον ἐν τῇ Ἑλλάδι καὶ συνέστησαν ὑπ' αἰτιῶν ἀμφότεροι κοινῶν οἱ μέγιστοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν Ῥώμην, ἔσχεν ἂν ἀγῶνας ἐξ ὑπαρχῆς καὶ κινδύνους τῶν πρὸς Ἀννίβαν οὐκ ἐλάττους. (8) Νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ Τίτος καὶ πρὶν ἄρξασθαι τὸν μέλλοντα διακόψας τὸν παρόντα τοῦ μὲν τὴν ἐσχάτην ἐλπίδα, τοῦ δὲ τὴν πρώτην ὑφεῖλεν.

X. Ἐπεὶ δὲ οἱ δέκα πρέσβεις, οὓς ἡ σύγκλητος ἔπεμψε τῷ Τίτῳ, συνεβούλευον τοὺς μὲν ἄλλους Ἕλληνας ἐλευθεροῦν, Κόρινθον δὲ καὶ Χαλκίδα καὶ Δημη-

tibus priore, quam Romani, loco scriberentur Ætoli. (2) Inter hujusmodi carmina maxime in ore hominum versabatur hoc epigramma:

Thessaliæ hoc inhumata infletaque turba, viator,
triginta tumulo millia contegimur:
Ætolum virtute Latinorumque perempti,
quos Titus huc lata duxit ab Italia,
pernicies Emathiæ. Trux spiritus ille Philippi
vel cervos abiit prætereunte fuga.

Hoc carmen scriptum ab Alcæo, qui in Philippi contumeliam, numerum quoque occisorum ampliorem mentitur, variis in locis a multisque cantatum, majore Quinctium, quam Philippum, affecit molestia. (3) Hic enim Alcæum vicissim traducens, ejus elegis hoc opposuit:

Quisquis es, Alcæo fixa hæc crux exit in auras
In rupe hac foliis et viduata libro.

At Quinctium Alcæi versus ita irritaverunt, apud Græcos gloriam sibi parare satagentem, ut reliqua, neglectis omnino Ætolis, per se ipse gereret. (4) Ægre id tulerunt Ætoli, et quum Quinctius legatos a Philippo de pacis conditionibus acturos admisisset, circum reliquas urbes profecti clamitabant: pacem Philippo vendi, quum liceret bellum funditus tollere, regnumque a quo primum in servitutem fuisset acta Græcia, evertere. (5) Hæc illis vociferantibus sociosque perturbantibus, ipse Philippus ad pacificationem profectus suspicionem eam sustulit, Quinctii et Romanorum potestati se resque suas committens. (6) Hoc pacto pax composita est, redditiqueque Philippo Quinctius regnum Macedonicum, Græcia abstinere jusso, mulctatoque mille talentis omnibus que præter decem solas navibus: filium quoque ejus Demetrium obsidem acceptum, Romam misit. Optime profecto Quinctius est usus occasione et futura animo præcepit. (7) Jam tum Hannibal Afer, homo Romanis infensissimus, exsul ad Antiochum regem venerat, eumque prosperis jam usum successibus rerumque gestarum magnitudine Magni cognomen adeptum, ideoque et ad principatum in omnes aspirantem et contra Romanos præsertim insurgentem, ut fortuna benignam sese exhibente uti pergeret, instigabat. Quod nisi prudenter Quinctius prævidisset ac propterea ad bellum pace componendum concessisset, futurum erat ut et Antiochicum bellum cum Philippico in Græcia conjungeretur, hisque ejus ætatis maximis atque potentissimis regibus utrique communibus de causis societatem contra Romanos jungentibus, in non leviora denuo pericula atque certamina, quam quibus bello erat Hannibalico defuncta, Roma incideret. (8) Nunc ille opportune pacem inter duo interjiciens bella, præsensque tollens antequam alterum inciperet, hujus primam simul et illius ultimam spem præcidit.

X. Decem exinde legati a senatu missi Quinctio auctores fuerunt, ut libertate reliquis Græcis restituta, Corinthum, Chalcidem ac Demetriadem præsidio imposito retineret, ut

τριάδα διατηρεῖν ἐμφρούρους ἕνεκα τῆς πρὸς Ἀντίοχον ἀσφαλείας, ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ λαμπρῶς τὰς πόλεις ἀνερρήγνυσαν Αἰτωλοί, τὸν μὲν Τίτον κελεύοντες τὰς πέδας τῆς Ἑλλάδος λύειν (οὕτω γὰρ ὁ Φίλιππος εἰώθει τὰς προειρημένας πόλεις ὀνομάζειν), τοὺς δ' Ἕλληνας ἐρωτῶντες, εἰ κλοιὸν ἔχοντες βαρύτερον μὲν, λειότερον δὲ τοῦ πάλαι τὸν νῦν χαίρουσι καὶ θαυμάζουσι τὸν Τίτον ὡς εὐεργέτην, ὅτι τοῦ ποδὸς λύσας τὴν Ἑλλάδα τοῦ τραχήλου δέδεκεν. (2) Ἐφ' οἷς ἀχθόμενος ὁ Τίτος καὶ βαρέως φέρων καὶ δεόμενος τοῦ συνεδρίου τέλος ἐξέπεισε καὶ ταύτας τὰς πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς Ἕλλησιν. (3) Ἰσθμίων οὖν ἀγομένων πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο τὸν γυμνικὸν ἀγῶνα θεωμένων, οἷα δὴ διὰ χρόνου πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυριζούσης, τῇ σάλπιγγι δὲ σωπῆς εἰς ἅπαντας διαδοθείσης προσελθὼν εἰς μέσον ὁ κήρυξ ἀνεῖπεν, ὅτι Ῥωμαίων ἡ σύγκλητος καὶ Τίτος Κοίντιος στρατηγὸς ὕπατος καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους νόμοις χρωμένους τοῖς πατρίοις Κορινθίους, Λοκροὺς, Φωκεῖς, Εὐβοέας, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περῥαιβούς. (4) Τὸ μὲν οὖν πρῶτον οὐ πάνυ πάντες οὐδὲ σαφῶς ἐπήκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων καὶ διαπυνθανομένων καὶ πάλιν ἀνειπεῖν κελευόντων· ὡς δ' αὖθις ἡσυχίας γενομένης ἀναγαγὼν ὁ κήρυξ τὴν φωνὴν προθυμότερον εἰς ἅπαντας ἐγεγώνει καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάττης, ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων, ἐσπευδον δὲ πάντες ἀναπηδῆσαι καὶ δεξιώσασθαι καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. (5) Τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν τῆς φωνῆς καὶ μέγεθος ὤρθη τότε· κόρακες γὰρ ὑπερπετόμενοι κατὰ τύχην ἔπεσον εἰς τὸ στάδιον. Αἰτία δὲ ἡ τοῦ ἀέρος ῥῆξις· ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ καθάπερ κενεμβατοῦσιν, εἰ μὴ νὴ Δία πληγῇ τινι μᾶλλον ὡς ὑπὸ βέλους διελαυνόμενα πίπτει καὶ ἀποθνήσκει. (6) Δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸν ἐν πελάγει καὶ παλινρύμην τοῦ σάλου διὰ μέγεθος λαμβάνοντος.

XI. Ὁ δ' οὖν Τίτος, εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης ὑπιδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν δρόμον ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων ὁμοῦ καὶ πάντοθεν αὐτῷ περιχεομένων. (2) Ὡς δ' ἀπέκαμον περὶ τὴν σκηνὴν αὐτοῦ βοῶντες ἤδη νυκτὸς οὔσης, αὖθις οὕστινας ἴδοιεν ἢ φίλους ἢ πολίτας ἀσπαζόμενοι καὶ περιπλεκόμενοι πρὸς δεῖπνα καὶ πότους ἐτρέποντο μετ' ἀλλήλων. (3) Ἐν ᾧ καὶ μᾶλλον, ὡς εἰκὸς, ἡδομένοις ἐπῆλθε λογίζεσθαι καὶ διαλέγεσθαι περὶ τῆς Ἑλλάδος, ὅσους πολεμήσασα πολέμους διὰ τὴν ἐλευ-

eo tutiora ab Antiocho essent omnia. Hic vero Ætoli calumniis alioquin noti apertis urbes accusationibus agitabant : quin etiam compedes (sic enim eas urbes solitus erat nominare Philippus) Græciæ solvere jubentes, Græcos autem interrogantes : ecquid propterea, quod numellam priore graviorem quidem, læviorem tamen ferrent, læto essent animo, Quinctiumque ut benefactorem in oculis haberent, qui sane pedibus Græciæ solutis, collo (*nimirum Isthmo*) ejus vinculum injecisset? (2) Hæc graviter indigneque ferens Quinctius deprecando apud senatum tandem obtinuit, ut hæ quoque urbes præsidio liberarentur, utque integrum id ejus esset apud Græcos beneficium. (3) Proinde quum Isthmia celebrarentur, ac multitudo hominum in stadio consedisset spectandi gymnici certaminis causa, eo magis, quod illo tempore Græcia a bellis vacans, in spem libertatis recuperandæ, manifesta autem in pace diem festum agebat : postquam tuba silentium undique est factum, progressus in medium præco, ita pronuntiavit : Senatus Romanus et T. Quinctius imperator proconsul, devicto Philippo et Macedonibus, absque præsidiis esse, liberos, immunes, suis legibus vivere jubet Corinthios, Locros, Phocenses, Eubœenses, Achæos, Phthiotas, Magnetas, Thessalos, Perrhæbos. (4) Primum neque omnes plane, neque perfecte vocem præconis exaudierunt : eratque promiscua et tumultuaria in stadio commotio admirantium, sciscitantium, repetique edictum poscentium. Ut vero iterum facto silentio altiori voce eadem præco proclamavit exauditumque est ab omnibus edictum : tantus, quantum credibile vix sit, clamor præ lætitia omnium exortus ad mare usque pervasit; quotquot in theatro erant, assurrexere omnes, neque jam quisquam certantium spectaculo tenebatur, prosilire omnes, amplecti et alloqui Græciæ servatorem atque propugnatorem properabant. (5) Atque eo tempore id re ipsa apparuit, quod de immenso immodicoque clamore dici solet. Corvi enim qui tum forte prætervolabant, in stadium deciderunt. Cujus quidem rei causa est aeris perruptio : nam quum vox magna atque multa effertur, ea divulsus aer volantes non sustinet, facitque ut aves, ita ac si in vacuo sint loco, delabantur, nisi potius ictu tum quodam aeris aves, veluti sagitta transfixæ, decidunt mortuæ. (6) Potest etiam hoc fieri turbine quodam aeris, quum maris ille instar ob clamoris magnitudinem involvatur rursumque cum impetu sese explicet.

XI. Ceterum Quinctius nisi celerrime dimissis ludis impetum et concursum populi, quem futurum præsenserat, declinasset, haud profecto salvum potuisse evadere crediderim, tam multis simul undique ei se circumfundentibus. (2) Postquam eum vocando apud tabernaculum ejus defatigati sunt, jam nocte appetente, amicis et civibus quos forte vidissent consalutatis, datoque mutuo amplexu ad cœnam simul se et potum contulerunt. (3) Ibi aucta, ut fit, lætitia, in mentem venit reputare atque disserere de Græcia, quam multis illa propter libertatem gestis bellis,

θερίαν οὔπω τύχοι βεβαιότερον οὐδὲ ἥδιον αὐτῆς, ἑτέρων προαγωνισαμένων, ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον. (4) Ἦν δ' ἄρα σπάνιον μὲν ἀνδρεία καὶ φρόνησις ἐν ἀνθρώποις, σπανιώτατον δὲ τῶν ἄλλων ἀγαθῶν ὁ δίκαιος. (5) Οἱ γὰρ Ἀγησίλαοι καὶ Λύσανδροι καὶ οἱ Νικίαι καὶ Ἀλκιβιάδαι πολέμους μὲν εὖ διέπειν καὶ μάχας νικᾶν κατά τε γῆν καὶ θάλασσαν ἄρχοντες ἠπίσταντο, χρῆσθαι δὲ πρὸς χάριν εὐγενῆ καὶ τὸ καλὸν οἷς κατώρθουν οὐκ ἔγνωσαν, ἀλλ' εἰ τὸ Μαραθώνιόν τις ἔργον ἀφέλοι καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν καὶ Πλαταιὰς καὶ Θερμοπύλας καὶ τὰ πρὸς Εὐρυμέδοντι καὶ τὰ περὶ Κύπρον Κίμωνος ἔργα, πάσας τὰς μάχας ἡ Ἑλλὰς ἐπὶ δουλείᾳ μεμάχηται πρὸς αὐτὴν καὶ πᾶν τρόπαιον αὐτῆς συμφορὰ καὶ ὄνειδος ἐπ' αὐτὴν ἔστηκε, τὰ πλεῖστα κακίᾳ καὶ φιλονεικίᾳ τῶν ἡγουμένων περιτραπείσης. (6) Ἀλλόφυλοι δὲ ἄνδρες ἐναύσματα μικρὰ καὶ γλίσχρα κοινωνήματα παλαιοῦ γένους ἔχειν δοκοῦντες, ἀφ' ὧν καὶ λόγῳ τι καὶ γνώμῃ τῶν χρησίμων ὑπάρξαι τῇ Ἑλλάδι θαυμαστὸν ἦν, οὗτοι τοῖς μεγίστοις κινδύνοις καὶ πόνοις ἐξελόμενοι τὴν Ἑλλάδα δεσποτῶν χαλεπῶν καὶ τυράννων ἐλευθεροῦσιν.

XII. Ταῦτα δὴ τοὺς Ἕλληνας ὑπῆει· καὶ τὰ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν. Ἅμα γὰρ ἐξέπεμπεν ὁ Τίτος Λέντλον μὲν εἰς Ἀσίαν Βαργυλιήτας ἐλευθερώσοντα, Τιτίλλιον δὲ εἰς Θράκην τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν Φιλίππου φρουρῶν. Πόπλιος δὲ Οὐίλλιος ἔπλει διαλεξόμενος Ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν Ἑλλήνων ἐλευθερίας. (2) Αὐτὸς δὲ ὁ Τίτος εἰς Χαλκίδα παρελθών, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν ἐξῆγε τὰς φρουρὰς καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. (3) Ἀγωνοθέτης δὲ Νεμείων ἀποδειχθεὶς ἐν Ἄργει τήν τε πανήγυριν ἄριστα διέθηκε καὶ πάλιν ἐκεῖ τοῖς Ἕλλησι τὴν ἐλευθερίαν ὑπὸ κήρυκος ἀνεῖπεν· ἐπιφοιτῶν τε ταῖς πόλεσιν εὐνομίαν καὶ δίκην πολλὴν ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχε, καταπαύων μὲν τὰς στάσεις, κατάγων δὲ τὰς φυγάς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς Ἕλληνας οὐχ ἧττον ἢ τῷ κεχρατηκέναι τῶν Μακεδόνων, ὥστε μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν ὧν εὐεργετοῦντο. (4) Ξενοκράτην μὲν οὖν τὸν φιλόσοφον, ὅτε Λυκοῦργος αὐτὸν ὁ ῥήτωρ ὑπὸ τῶν τελωνῶν ἀγόμενον πρὸς τὸ μετοίκιον ἀφεῖλετο καὶ τοῖς ἄγουσιν ἐπέθηκε δίκην τῆς ἀσελγείας λέγεται τοῖς παισὶν ἀπαντήσαντα τοῦ Λυκούργου, « Καλήν γε ὑμῶν, ὦ παῖδες, φάναι, τῷ πατρὶ χάριν ἀποδίδωμι· πάντες γὰρ αὐτὸν ἐπαινοῦσιν ἐφ' οἷς ἔπραξε », Τίτῳ δὲ καὶ Ῥωμαίοις ὧν τοὺς Ἕλληνας εὐεργέτησαν οὐκ εἰς ἐπαίνους μόνον, ἀλλὰ καὶ πίστιν ἐν πᾶσιν ἀνθρώποις καὶ δύναμιν ἡ χάρις ἀπήνυτα· δικαίως. (5) Οὐ γὰρ προσδεχόμενοι μόνον τοὺς ἡγεμόνας αὐτῶν, ἀλλὰ καὶ μεταπεμπόμενοι καὶ καλοῦντες ἐνεχείριζον αὑτούς· οὐδὲ δῆμοι καὶ πόλεις, ἀλλὰ καὶ βασιλεῖς ὑφ' ἑτέρων ἀδικούμενοι βασιλέων κατέφευγον εἰς τὰς ἐκείνων χεῖρας, ὥστε ἐν βραχεῖ

nunquam ea neque certius neque majori cum voluptate sit potita, quam ubi, aliis propugnantibus, ipsa propemodum absque omni suo sanguine luctuque præmium certaminum pulcherrimum optatissimumque referret. (4) Erant sane fortitudo et prudentia apud homines raræ : rarissimum vero ex omnibus bonis, vir justus. (5) Quippe Agesilai, Lysandri, Niciæ, Alcibiadesque terra marique duces bella recte gerere et hostem vincere norant, victoriis ad liberalem ineundam gratiam et honestatem uti nesciebant. Quin imo si Marathonium prœlium, navalem pugnam Salaminiam, Platæas, Thermopylas, Cimonis ad Eurymedontem fluvium et insulam Cyprum facinora tollas; omnes reliquas pugnas Græcia contra se ipsam servitutis inducendæ causa commisit, omniaque ejus tropæa calamitati ipsius et turpitudini indicium præbent, plerumque malitia et contentionibus ducum eversæ. (6) Alienigenæ autem, qui fomites exíguos levemque generis communitatem antiquitus deductam habere viderentur, unde mirum si vel verbo vel sententia eorum in Græcos aliquid utilitatis redundaret, ii maximis periculis atque laboribus Græciam iniquis dominis atque tyrannis ereptam in libertatem vindicarunt.

XII. Hæc tum Græcorum animos movebant. Facta autem fuerunt præconio consentanea. Statim enim Quinctius Lentulum in Asiam amandavit, Bargyliatis libertatem redditum, Titillium in Thraciam, qui ex urbibus ibi insulisque Philippi præsidia deduceret. P. quoque Villius ad Antiochum navigabat, cum eo de Græcorum, quos sub se rex habebat, libertate collocuturus. (2) Ipse Chalcidem Quinctius profectus, indeque navi ad Magnesiam advectus, ejectis præsidiis respublicas populis reddidit. (3) Secundum hæc Argis quum Nemea agerentur, præfectus ei ludicro, rectissime confectis ludis rursum ibi præconis voce libertatem Græcis confirmavit. Inde circum urbes profectus bonas illis leges, justitiam, concordiamque et amicitiam mutuam constituit, seditionibus sedatis reductisque exsulibus. Nam neque minus gaudebant Græcorum a se facta reconciliatione, quam victoria de Macedonibus parta, et minima jam ejus beneficiorum pars Græcis videbatur esse libertas reddita. (4) Xenocratem philosophum, quum eum Lycurgus orator publicanis ad carcerem pensionis, quam inquilini Athenis pendere lege jubebantur, causa abducentibus eripuisset, illisque pœnas libidinis imposuisset, ferunt obviam factum Lycurgi filiis dixisse : Bonam ego parenti vestro gratiam refero; ab omnibus enim factum ejus laudatur : Quinctio autem et Romanis sua in Græcos beneficia, non laudem modo, sed fidem præterea apud omnes homines, potentiamque pepererunt; et jure quidem. (5) Neque accepere modo eorum duces missos, sed ad se accerserunt, iisque se dediderunt : et non populi tantum atque urbes, sed et reges ab aliis injuria affecti regibus, ad Romanorum manus confugerunt, ita ut

χρόνῳ, τάχα που καὶ θεοῦ συνεφαπτομένου, πάντα αὐτοῖς ὑπήκοα γενέσθαι. (6) Καὶ αὐτὸς δὲ μέγιστον ἐφρόνησεν ἐπὶ τῇ τῆς Ἑλλάδος ἐλευθερώσει. Ἀνατιθεὶς γὰρ εἰς Δελφοὺς ἀσπίδας ἀργυρᾶς καὶ τὸν ἑαυτοῦ θυρεὸν ἐπέγραψε·

Ζηνὸς ἰὼ κραιπναῖσι γεγαθότες ἱπποσύναισι
κοῦροι, ἰὼ Σπάρτας Τυνδαρίδαι βασιλῆες,
Αἰνεάδας Τίτος ὔμμιν ὑπέρτατον ὦπασε δῶρον
Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

(7) Ἀνέθηκε δὲ καὶ χρυσοῦν τῷ Ἀπόλλωνι στέφανον ἐπιγράψας·

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
κεῖσθαι, Λατοΐδα, χρυσοφαῆ στέφανον,
ὃν πόρεν Αἰνεαδᾶν ταγὸς μέγας. Ἀλλ', Ἑκάεργε,
ἀλκᾶς τῷ θείῳ κῦδος ὀπαζε Τίτῳ.

(8) Τῇ γοῦν Κορινθίων πόλει πρὸς τοὺς Ἕλληνας τὸ αὐτὸ δὶς ἤδη συμβέβηκε· καὶ γὰρ Τίτος ἐν Κορίνθῳ τότε καὶ Νέρων αὖθις καθ' ἡμᾶς ἐν Κορίνθῳ παραπλησίως Ἰσθμίων ἀγομένων τοὺς Ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὁ μὲν διὰ κήρυκος, ὡς εἴρηται, Νέρων δὲ αὐτὸς ἐπὶ τῆς ἀγορᾶς ἀπὸ βήματος ἐν τῷ πλήθει δημηγορήσας. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XIII. Ὁ δὲ Τίτος τότε καλλίστου καὶ δικαιοτάτου τοῦ πρὸς Νάβιν ἀρξάμενος πολέμου τῶν Λακεδαιμονίων ἐξωλέστατον καὶ παρανομώτατον τύραννον, ἐν τῷ τέλει διεψεύσατο τὰς τῆς Ἑλλάδος ἐλπίδας, ἐλεῖν παρασχὼν, οὐκ ἐθελήσας, ἀλλὰ σπεισάμενος καὶ προέμενος τὴν Σπάρτην ἀναξίως δουλεύουσαν, εἴτε δείσας, μὴ τοῦ πολέμου μῆκος λαμβάνοντος ἄλλος ἀπὸ Ῥώμης ἐπελθὼν στρατηγὸς ἀνέληται τὴν δόξαν, εἴτε φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ τῶν Φιλοποίμενος τιμῶν, ὃν ἓν τε τοῖς ἄλλοις ἅπασιν ἄνδρα δεινότατον τῶν Ἑλλήνων ὄντα καὶ περὶ ἐκεῖνον τὸν πόλεμον ἔργα θαυμαστὰ τόλμης καὶ δεινότητος ἀποδειξάμενον ἴσα τῷ Τίτῳ κυδαίνοντες Ἀχαιοὶ καὶ τιμῶντες ἐν τοῖς θεάτροις ἐλύπουν ἐκεῖνον οὐκ ἀξιοῦντα Ῥωμαίων ὑπάτῳ προπολεμοῦντι τῆς Ἑλλάδος ἄνθρωπον Ἀρκάδα, μικρῶν καὶ δημόρων πολέμων στρατηγὸν, ὅμοια θαυμάζεσθαι παρ' αὐτοῖς. (2) Οὐ μὴν ἀλλ' αὐτὸς ὁ Τίτος ὑπὲρ τούτων ἀπελογεῖτο καταθέσθαι τὸν πόλεμον, ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων Σπαρτιατῶν ἀπολούμενον τὸν τύραννον. (3) Τῶν δὲ Ἀχαιῶν αὐτῷ πολλὰ πρὸς τιμὴν ψηφισαμένων οὐδὲν ἐδόκει πρὸς τὰς εὐεργεσίας ἐξισοῦσθαι πλὴν μιᾶς δωρεᾶς, ἣν ἐκεῖνος ἀντὶ πάντων ἠγάπησεν. (4) Ἦν δὲ τοιάδε. Ῥωμαίων οἱ δυστυχήσαντες ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ πολλαχοῦ μὲν ὤνιοι γενόμενοι καὶ διασπαρέντες ἐδούλευον· ἐν δὲ τῇ Ἑλλάδι χίλιοι καὶ διακόσιοι τὸ πλῆθος ἦσαν, ἀεὶ μὲν οἰκτροὶ τῆς μεταβολῆς, τότε δὲ καὶ μᾶλλον, ὡς εἰκὸς, ἐντυγχάνοντες οἱ μὲν υἱοῖς, οἱ δὲ ἀδελφοῖς, οἱ δὲ συνήθεσιν, ἐλευθέροις δοῦλοι καὶ νικῶσιν αἰχμάλωτοι. (5) Τούτους ὁ μὲν Τίτος οὐκ ἀφείλετο τῶν κεκτημένων, καίπερ ἀνιώμενος ἐπ' αὐτοῖς, οἱ δὲ Ἀχαιοὶ λυτρωσάμενοι πέντε μνῶν

brevi tempore, fortassis deo etiam juvante, omnia sub eorum imperium ditionemque caderent. (6) Ipse vero Quinctius liberatam a se Græciam summæ sibi gloriæ duxit. Delphis enim clypeos argenteos affigens, suumque scutum, ita inscripsit :

Tyndaridæ, reges Lacedæmonis, o Jove creti,
veloces læti qui domuistis equos :
hoc summum Græcis vos libertate reducta
Æneades donum jussit habere Titus.

(7) Auream quoque Apollini coronam dedicavit, hac addita inscriptione :

Auratam nactus, Latona nate, coronam
hanc tibi in ambrosia cæsarie imposuit
Æneadûm dux magnus ; at hoc te, Phœbe, precatur,
sit virtute sua gloria digna, Titus.

(8) Bis jam Corinthiorum urbi de Græcis idem contigit. Nam et tunc Corinthi Quinctius et nostra ætate Nero ibidem Isthmiis celebratis Græcos liberos suisque usuros deinceps legibus pronunciavit : Quinctius præconis, ut dictum est, voce; Nero autem ipse in foro de tribunali habita ad concionem oratione. Sed hæc aliquanto post facta sunt.

XIII. Porro Quinctius mox honestissimo et justissimo contra Nabidem, Lacedæmoniorum sceleratissimum et iniquissimum tyrannum, suscepto bello, in fine spes Græcorum delusit, quumque eum posset capere, pacificationem prætulit, Lacedæmone in indigna servitute relicta : seu quod vereretur ne, tracto aliquamdiu bello, alius Roma dux missus gloriam interciperet, seu Philopœmenis honoribus offensus, quem, quod quum aliis in rebus omnibus Græcorum esset præstantissimus, tum eo ipso in bello mira fortitudinis atque peritiæ militaris facinora edidisset, iisdem atque Quinctium honoribus afficientes inque theatris celebrantes Achæi, Quinctium lædebant, indignantem quod Romano consuli pro Græcia propugnanti homo Arcas, exigui et finitimi belli dux, par haberetur. (2) Verumtamen ipse Quinctius ita excusavit factum suum, a bello se destitisse, quod videret magno cum malo reliquorum Spartanorum, tyrannum periturum. (3) Quanquam autem Achæi multos ei honores decreverunt, nihil tamen magnitudinem beneficii æquare videbatur, uno excepto munere, quod ille omnibus habuit carius. (4) Erat autem tale. Romanorum in prœliis contra Hannibalem captorum permulti hinc inde venditi in servitute erant. Hujusmodi mancipia in Græcia erant mille ducenta, quibus quum semper misera fuit fortunæ conversio, tum vero, ut par est, vel maxime, quum in filios, fratres aut familiares inciderent liberos et victores, servi ipsi atque captivi. (5) Hos etsi miserabatur Quinctius, dominis tamen non ademerat. Achæi autem quingentis in capita denariis persolutis eos redemerunt, in unum-

ἕκαστον ἄνδρα καὶ συναγαγόντες εἰς ταὐτὸ πάντας ἤδη περὶ πλοῦν ὄντι τῷ Τίτῳ παρέδωκαν, ὥστε αὐτὸν εὐφραινόμενον ἀποπλεῖν ἀπὸ καλῶν ἔργων καλὰς ἀμοιβὰς καὶ πρεπούσας ἀνδρὶ μεγάλῳ καὶ φιλοπολίτῃ κεκομισμένον· ὃ δὴ δοκεῖ πρὸς τὸν θρίαμβον αὐτῷ πάντων ὑπάρξαι λαμπρότατον. (6) Οἱ γὰρ ἄνδρες οὗτοι, καθάπερ ἔθος ἐστὶ τοῖς οἰκέταις ὅταν ἐλευθερωθῶσιν, ξύρεσθαί τε τὰς κεφαλὰς καὶ πιλία φορεῖν, ταῦτα δράσαντες αὐτοὶ θριαμβεύοντι τῷ Τίτῳ παρείποντο.

XIV. Καλλίῳ δὲ καὶ τὰ λάφυρα πομπευόμενα παρεῖχεν ὄψιν, Ἑλληνικὰ κράνη καὶ πέλται Μακεδονικαὶ καὶ σάρισσαι. (2) Τότε τῶν χρημάτων πλῆθος οὐκ ὀλίγον ἦν, ὡς ἀναγράφουσιν οἱ περὶ Τουδιτανὸν ἐν τῷ θριάμβῳ κομισθῆναι χρυσίου μὲν συγκεχωνευμένου λίτρας τρισχιλίας ἑπτακοσίας δεκατρεῖς, ἀργύρου δὲ τετρακισμυρίας τρισχιλίας διακοσίας ἑβδομήκοντα, φιλιππείους δὲ χρυσοῦς μυρίους τετρακισχιλίους πεντακοσίους δεκατέσσαρας, χωρὶς δὲ τούτων τὰ χίλια τάλαντα, ἃ Φίλιππος ὤφειλεν. (3) Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπείσθησαν Ῥωμαῖοι, μάλιστα τοῦ Τίτου συμπράξαντος, ἀφεῖναι τῷ Φιλίππῳ καὶ σύμμαχον ἐψηφίσαντο καὶ τὸν υἱὸν ἀπήλλαξαν αὐτῷ τῆς ὁμηρείας.

XV. Ἐπεὶ δὲ ὁ Ἀντίοχος εἰς τὴν Ἑλλάδα ναυσὶ πολλαῖς καὶ στρατῷ περαιωθεὶς ἀφίστη τὰς πόλεις καὶ διεστασίαζεν, Αἰτωλῶν αὐτῷ συνεπιλαμβανομένων καὶ πάλαι διακειμένων πρὸς τὸν Ῥωμαίων δῆμον ἐχθρῶς καὶ πολεμικῶς ὑπόθεσιν τοῦ πολέμου καὶ πρόφασιν διδόντων ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδὲν δεομένους (ἐλεύθεροι γὰρ ἦσαν), ἀλλ' εὐπρεπεστέρας αἰτίας ἀποῤῥίᾳ τῷ καλλίστῳ τῶν ὀνομάτων χρῆσθαι διδασκόντων, καὶ σφόδρα δείσαντες οἱ Ῥωμαῖοι τὴν ἀνάστασιν καὶ δόξαν αὐτοῦ τῆς δυνάμεως στρατηγὸν μὲν ὕπατον τοῦ πολέμου Μάνιον Ἀκίλιον κατέπεμψαν, πρεσβευτὴν δὲ Τίτον διὰ τοὺς Ἕλληνας, ὧν τοὺς μὲν εὐθὺς ὀφθεὶς ἐποίησε βεβαιοτέρους, τοὺς δὲ ἀρχομένους νοσεῖν ὥσπερ τι ἐν καιρῷ φάρμακον ἐνδιδοὺς τὴν πρὸς αὐτὸν εὔνοιαν ἔστησε καὶ διεκώλυσεν ἐξαμαρτεῖν. (2) Ὀλίγοι δὲ αὐτὸν ἐξέφυγον ἤδη προκατειλημμένοι καὶ διεφθαρμένοι παντάπασιν ὑπὸ τῶν Αἰτωλῶν, οὓς, καίπερ ὀργισθεὶς καὶ παροξυνθεὶς, ὅμως μετὰ τὴν μάχην περιεποίησεν. (3) Ἀντίοχος γὰρ ἡττηθεὶς ἐν Θερμοπύλαις καὶ φυγὼν εὐθὺς εἰς Ἀσίαν ἀπέπλευσε, Μάνιος δ' ὁ ὕπατος τοὺς μὲν αὐτὸς ἐπιὼν τῶν Αἰτωλῶν ἐπολιόρκει, τοὺς δὲ τῷ βασιλεῖ Φιλίππῳ συνεχώρησεν ἐξαιρεῖν. (4) Ἀγομένων δὲ καὶ φερομένων ὑπὸ τοῦ Μακεδόνος τοῦτο μὲν Δολόπων καὶ Μαγνήτων, τοῦτο δὲ Ἀθαμάνων καὶ Ἀπεραντῶν, αὐτοῦ δὲ τοῦ Μανίου τὴν μὲν Ἡράκλειαν διαπεπορθηκότος, τὴν δὲ Ναύπακτον Αἰτωλῶν ἐχόντων πολιορκοῦντος, οἰκτείρων τοὺς Ἕλληνας ὁ Τίτος διέπλευσεν ἐκ Πελοποννήσου πρὸς τὸν ὕπατον. (5) Καὶ πρῶτον μὲν ἐπετίμησεν, εἰ νενικηκὼς αὐτὸς τὰ ἔπαθλα τοῦ πολέμου Φίλιππον ἐᾷ φέρεσθαι καὶ τριβόμενος περὶ μιᾷ πόλει κάθηται δι' ὀργήν, ἔθνη δὲ οὐκ ὀλίγα καὶ βασιλείας Μακεδόνες αἱροῦσιν. (6)

que conductos universos ei jam navigaturo tradiderunt; itaque læto animo solvit, quum pro benefactis præclaram et magno civiumque amanti viro convenientem mercedem secum abstulisset. Atque hoc triumpho ejus, multo quam reliqua omnia, plus splendoris attulit. (6) Viri enim isti rasis capitibus et pileos gestantes (qui mos est servorum quum manumittuntur) Quinctium triumphantem sequebantur.

XIV. Pulchrius etiam spectaculum spolia translata præbebant, Græcæ galeæ, Macedonicæ parmæ et sarissæ. (2) Inferebatur etiam pecuniæ haud exigua vis. Auctor est Tuditanus, invecta eo triumpho auri conflati pondo fuisse tria millia septingenta tredecim, argenti quadraginta tria millia et ducenta septuaginta, aureorum Philippeorum quattuordecim millia, quingentos et quattuordecim. Præter hæc mille talenta Philippus pendebat. (3) Sed hæc postea temporis, maxime Quinctio persuadente, Philippo remiserunt, sociumque eum suum vocaverunt Romani, filio etiam obside liberato.

XV. Quum autem Antiochus multis navibus magnoque cum exercitu in Græciam trajecisset urbesque ad defectionem moveret et factionibus agitaret, Ætolis, qui eum adjuvabant et jam dudum adversus populum Romanum hostiles animos gerebant, argumentum belli atque prætextum suggerentibus Græcorum liberationem, nihil ejus (nam liberi erant) indigentium; sed quum honestior in speciem causa belli deesset, pulcherrimo nomine saltem ut uteretur, Antiochum edocentibus: Romani, magno metu defectionis Græcorum allato, potentiaque Antiochi territi, ducem bello gerendo constituerunt Manium Acilium, eique T. Quinctium legatum addiderunt propter consuetudinem Græcorum; quorum alios ipse sua præsentia confirmavit, alios ægrotare incipientes, gratia apud eos adhibita, veluti tempestive exhibito medicamento sanos servavit et a peccando avertit. (2) Pauci quidem eum fugerunt, præoccupati jam penitus et corrupti ab Ætolis. Quin et Ætolos ipsos, quanquam irritatus ab iis graviter, post pugnam tutatus est. (3) Victus enim ad Thermopylas Antiochus fugatusque, confestim in Asiam navigavit. Acilius autem consul Ætolos partim ipse obsidebat, partim Philippo exscindendos permittebat. (4) Ita quum Philippus Dolopum, Magnetum, Athamanum et Aperantorum res ageret atque ferret, consul Heraclea vastata Naupactum ab Ætolis occupatam in obsidione haberet, Quinctius Græcorum miseratione victus ex Peloponneso ad consulem navigavit. (5) Ibi primum increpavit, quod victor ipse præmium victoriæ Philippo concederet, iræque indulgens unam urbem obsidendo tempus tereret, Macedonibus interim populos haud paucos ipsaque regna in ditionem redigentibus. (6) Deinde quum obsessi eum a muro conspicati mani-

Ἔπειτα τῶν πολιορκουμένων, ὡς εἶδον αὐτὸν, ἀπὸ τοῦ τείχους ἀνακαλούντων καὶ χεῖρας ὀρεγόντων καὶ δεομένων, τότε μὲν οὐδὲν εἰπὼν, ἀλλὰ στραφεὶς καὶ δακρύσας ἀπῆλθεν, ὕστερον δὲ διαλεχθεὶς τῷ Μανίῳ καὶ καταπαύσας τὸν θυμὸν αὐτοῦ διεπράξατο τοῖς Αἰτωλοῖς ἀνοχὰς δοθῆναι καὶ χρόνον, ἐν ᾧ πρεσβεύσαντες εἰς Ῥώμην μετρίου τινὸς τυχεῖν ἀξιώσουσι.

378 XVI. Πλεῖστον δὲ ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ Χαλκιδέων δεήσεις πρὸς τὸν Μάνιον ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ' αὐτῶν ἔγημεν Ἀντίοχος ἤδη τοῦ πολέμου συνεστῶτος, οὐ καθ' ὥραν οὐδὲ κατὰ καιρὸν, ἀλλ' ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἡ θυγάτηρ μὲν ἦν Κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. (2) Τοῦτο τοὺς Χαλκιδεῖς ἐποίησε βασιλίσαι προθυμότατα καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον ὁρμητήριον παρασχεῖν. (3) Ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων προσέμιξε τῇ Χαλκίδι τήν τε κόρην ἀναλαβὼν καὶ τὰ χρήματα καὶ τοὺς φίλους εἰς Ἀσίαν ἀπέπλευσε· τὸν δὲ Μάνιον εὐθὺς ἐπὶ τοὺς Χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον ὁ Τίτος παρακολουθῶν ἐμάλαττε καὶ παρῃτεῖτο καὶ τέλος ἔπεισε καὶ κατεπράϋνεν αὐτοῦ τε καὶ τῶν ἐν τέλει Ῥωμαίων δεόμενος. (4) Οὕτω διασωθέντες οἱ Χαλκιδεῖς τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ' αὐτοῖς ἀναθημάτων τῷ Τίτῳ καθιέρωσαν, ὧν ἐπιγραφὰς ἔστι τοιαύτας ἄχρι νῦν ὁρᾶν· « Ὁ δῆμος Τίτῳ καὶ Ἡρακλεῖ τὸ γυμνάσιον, » ἑτέρωθι δὲ πάλιν· « Ὁ δῆμος Τίτῳ καὶ Ἀπόλλωνι τὸ Δελφίνιον. » (5) Ἔτι δὲ καθ' ἡμᾶς ἱερεὺς χειροτονητὸς ἀπεδείκνυτο Τίτου, καὶ θύσαντες αὐτῷ τῶν σπονδῶν γενομένων ᾄδουσι παιᾶνα πεποιημένον· οὗ τἄλλα διὰ μῆκος ἡμεῖς παρέντες ἀνεγράψαμεν ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι·

Πίστιν δὲ Ῥωμαίων σέβομεν,
τὰν μεγαλευκοτάταν ὅρκοις φυλάσσειν·
μέλπετε, κοῦραι,
Ζῆνα μέγαν Ῥώμαν τε Τίτον θ' ἅμα Ῥωμαίων τε πίστιν.
Ἰήϊε Παιάν, ὦ Τίτε σῶτερ.

XVII. Ἦσαν δὲ καὶ παρὰ τῶν Ἑλλήνων τιμαὶ πρέπουσαι καὶ τὸ τὰς τιμὰς ἀληθινὰς ποιοῦν, εὔνοια θαυμαστὴ δι' ἐπιείκειαν ἦθους. (2) Καὶ γὰρ εἴ τισιν ἐκ πραγμάτων ἡ φιλοτιμίας ἕνεκα, καθάπερ Φιλοποίμενι καὶ πάλιν Διοφάνει στρατηγοῦντι τῶν Ἀχαιῶν, προσέκρουσεν, οὐκ ἦν βαρὺς οὐδ' εἰς ἔργα διατείνων ὁ θυμὸς, ἀλλ' ἐν λόγῳ παῤῥησίαν τινὰ πολιτικὴν ἔχοντι παυόμενος. (3) Πικρὸς μὲν οὖν οὐδενὶ, πολλοῖς δὲ ὀξὺς ἐδόκει καὶ κοῦφος εἶναι τὴν φύσιν, ἄλλως δὲ συγγενέσθαι πάντων ἥδιστος καὶ εἰπεῖν ἐπίχαρις μετὰ δεινότητος. (4) Ἀχαιοὺς μὲν γὰρ σφετεριζομένους τὴν Ζακυνθίων νῆσον ἀποτρέπων ἔφη κινδυνεύσειν, ἂν ὥσπερ αἱ χελῶναι, πορῥωτέρω τὴν κεφαλὴν τῆς Πελοποννήσου προτείνωσιν. (5) Φιλίππου δὲ, ὁπηνίκα περὶ σπονδῶν καὶ εἰρήνης τὸ πρῶτον εἰς λόγους συνῆλθον, εἰπόντος μετὰ πολλῶν ἥκειν ἐκεῖνον, αὐτὸν δὲ μόνον, ὑπολαβὼν ὁ Τίτος, « Αὐτὸν γὰρ, ἔφη, μόνον ἐποίησας ἀποκτείνας τοὺς

bus protentis veniam et opem implorarent, nihil quidem tum dixit, sed avertit se, flensque discessit. Post cum Manio collocutus, iram ejus leniit, et obtinuit ut induciæ Ætolis darentur spatiumque mittendi Romam legatos et tolerabilem pacis conditionem petendi.

a XVI. In deprecando autem pro Chalcidensibus apud eundem plurimum certaminis atque laboris sustinuit, quibus Manius gravissime irascebatur. Etenim Chalcide Antiochus, commisso jam bello, præter et ætatem et temporis rationem Cleoptolemi cujusdam filiam, omnium, ut existimabatur, virginum formosissimam, amore correptus jam magnus natu uxorem duxerat. (2) Iis nuptiis factum est ut impense regis partes Chalcidenses amplecterentur, eique urbem suam receptaculo belli futuram traderent. (3) Antiochus a prælio celeritate summa fugiens, Chalcidem b accessit, puellaque pecuniis et amicis receptis in Asiam avectus est; Acilium autem illico contra Chalcidenses irato animo proficiscentem Quinctius subsecutus leniit atque deprecatus est; tandemque et hunc et primores Romanorum orando placavit. (4) Hoc pacto Chalcidenses salute recepta, pulcherrima et maxima eorum quæ apud ipsos erant donaria, Quinctio consecraverunt, quorum inscriptiones etiam hodie eæ leguntur : Populus Tito et Herculi Gymnasium, et alibi : Populus Tito et Apollini Delphinium. (5) Nostra quoque adhuc ætate ibi sacerdos per suffragia creatur Quinctio, et post rem divinam ei factam, pæanem canunt ad hoc ipsum conscriptum, cujus nos finem (cetera enim prolixiora sunt) tantum referemus :

c Romanorum, votis precibusque petitam,
sancte colimus jurejurando fidem.
Jam summum cantate Jovem Romamque, puellæ, et
Titum atque Romanam fidem :
Io Io Pæan, cantate, Io, Tite vindex!

XVII. Dignis eum honoribus etiam affecerunt Græci et, quod honor verus ut sit efficit, mirabili sunt propter morum ejus mansuetudinem prosecuti benevolentia. (2) Etenim si cum quibusdam ei vel negotii alicujus causa, vel per certamen de honore, dissidium incidisset, ut cum Philopœmene ac deinde cum Diophane Achæorum prætore, non erat gravis ipsius ira, nec ea ad agendum quicquam asperius efferebatur, sed sermonis civili libertate usus finem d faciebat. (3) Neque cuiquam acerbus, multis ad iram præceps et levis natura visus est : alioquin in consuetudine jucundus admodum, inque dicendo et citus et gratiosus. (4) Achæos quidem Zacynthum insulam sibi vindicare intendentes dehortans, periculosum fore dixit quemadmodum testudinibus extra testam, ita ipsis extra Peloponnesum caput protendere. (5) Philippo, quo tempore primum pacificationis causa congressi sunt, dicenti illum cum multis, se solum adesse : Istam, inquit, circa te solitudinem ipse

φίλους καὶ συγγενεῖς. » (6) Ἐπεὶ δὲ Δεινοκράτης ὁ Μεσσήνιος ἐν Ῥώμῃ παρὰ πότον μεθυσθεὶς ὠρχήσατο λαβὼν ἱμάτιον γυναικεῖον, τῇ δ' ὑστεραίᾳ τὸν Τίτον ἠξίου βοηθεῖν αὐτῷ διανοουμένῳ τὴν Μεσσήνην ἀφιστάναι τῶν Ἀχαιῶν, ταῦτα μὲν ἔφη σκέψεσθαι, θαυμάζειν δὲ ἐκεῖνον, εἰ τηλικαύταις ἐπικεχειρηκὼς πράξεσιν ὀρχεῖσθαι δύναται παρὰ πότον καὶ ᾄδειν. (7) Πρὸς δὲ τοὺς Ἀχαιοὺς τῶν παρ' Ἀντιόχου πρέσβεων πλῆθός τε τῆς βασιλικῆς στρατιᾶς καταλεγόντων καὶ καταριθμουμένων πολλὰς προσηγορίας, ὁ Τίτος ἔφη δειπνοῦντος αὐτοῦ παρὰ τῷ ξένῳ καὶ μεμφομένου τὸ πλῆθος τῶν κρεῶν καὶ θαυμάζοντος, πόθεν οὕτω ποικίλης ἀγορᾶς εὐπόρησεν, εἰπεῖν τὸν ξένον, ὡς ὕεια πάντα ἐστὶ τῇ σκευασίᾳ διαφέροντα καὶ τοῖς ἡδύσμασι. « Μὴ τοίνυν, ἔφη, μηδὲ ὑμεῖς, ὦ ἄνδρες Ἀχαιοί, θαυμάζετε τὴν Ἀντιόχου δύναμιν λογχοφόρους καὶ ξυστοφόρους καὶ πεζεταίρους ἀκούοντες· πάντες γὰρ οὗτοι Σύροι εἰσὶν ὁπλαρίοις διαφέροντες. »

379 XVIII. Μετὰ δὲ τὰς Ἑλληνικὰς πράξεις καὶ τὸν Ἀντιοχικὸν πόλεμον ἀπεδείχθη τιμητὴς, ἥτις ἐστὶν ἀρχὴ μεγίστη καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις. Καὶ συνῆρχε μὲν αὐτῷ Μαρκέλλου τοῦ πεντάκις ὑπατεύσαντος υἱὸς, ἐξέβαλον δὲ τῆς βουλῆς τῶν οὐκ ἄγαν ἐπιφανῶν τέσσαρας, προσεδέξαντο δὲ πολίτας ἀπογραφομένους πάντας, ὅσοι γονέων ἐλευθέρων ἦσαν, ἀναγκασθέντες ὑπὸ τοῦ δημάρχου Τερεντίου Κουλέωνος, ὃς ἐπηρεάζων τοῖς ἀριστοκρατικοῖς ἔπεισε τὸν ὅῆμον ταῦτα ψηφίσασθαι. (2) Τῶν δὲ γνωριμωτάτων κατ' αὐτὸν ἀνδρῶν καὶ μεγίστων ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους, Ἀφρικανοῦ Σκηπίωνος καὶ Μάρκου Κάτωνος, τὸν μὲν προέγραψε τῆς βουλῆς, ὡς ἄριστον ἄνδρα καὶ πρῶτον, Κάτωνι δ' εἰς ἔχθραν ἦλθε συμφορᾷ τοιαύτῃ χρησάμενος. (3) Ἀδελφὸς ἦν Τίτῳ Λεύκιος Φλαμινῖνος, οὔτε τὰ ἄλλα προσεοικὼς ἐκείνῳ τὴν φύσιν ἔν τε ταῖς ἡδοναῖς ἀνελεύθερος δεινῶς καὶ ὀλιγωρότατος τοῦ πρέποντος. (4) Τούτῳ συνῆν μειρακίσκος ἐρώμενος, ὃν καὶ στρατιᾶς ἄρχων ἐπήγετο καὶ διέπων ἐπαρχίας εἶχεν ἀεὶ περὶ αὐτόν. Ἐν οὖν πότῳ τινὶ θρυπτόμενος πρὸς τὸν Λεύκιον οὕτως ἔφη σφόδρα φιλεῖν αὐτὸν, ὥστε θέαν μονομάχων ἀπολιπεῖν οὔπω γεγονὼς ἀνθρώπου φονευομένου θεατὴς, τὸ πρὸς ἐκεῖνον ἡδὺ τοῦ πρὸς αὐτὸν ἐν πλείονι λόγῳ θέμενος. (5) Ὁ δὲ Λεύκιος ἡσθεὶς, « Οὐδὲν, ἔφη, δεινόν· ἰάσομαι γὰρ ἐγώ σου τὴν ἐπιθυμίαν. » Καὶ κελεύσας ἕνα τῶν καταδίκων ἐκ τοῦ δεσμωτηρίου προαχθῆναι καὶ τὸν ὑπηρέτην μεταπεμψάμενος ἐν τῷ συμποσίῳ προσέταξεν ἀποκόψαι τοῦ ἀνθρώπου τὸν τράχηλον. (6) Οὐαλλέριος δὲ Ἀντίας οὐκ ἐρωμένῳ φησὶν, ἀλλ' ἐρωμένῃ τοῦτο χαρίσασθαι τὸν Λεύκιον. Ὁ δὲ Λίβιος ἐν λόγῳ Κάτωνος αὐτοῦ γεγράφθαι φησὶν, ὡς Γαλάτην αὐτόμολον ἐλθόντα μετὰ παίδων καὶ γυναικὸς ἐπὶ τὰς θύρας δεξάμενος εἰς τὸ συμπόσιον ὁ Λεύκιος ἀπέκτεινεν ἰδίᾳ χειρὶ τῷ ἐρωμένῳ χαριζόμενος. (7) Τοῦτο μὲν οὖν εἰκὸς εἰς δείνωσιν εἰρῆσθαι τῆς κατηγορίας ὑπὸ τοῦ

occidendis amicis et propinquis effecisti. (6) Dinocrates Messenius in convivio inebriatus, sumpto muliebri indumento saltavit : postridie ad Quinctium venit, auxiliumque ab eo petiit, Messenen ad defectionem ab Achæis pertrahere moliri se dicens. Tum Quinctius : De hac quidem re deliberabo : te vero miror, qui tantas res aggressus, saltare et canere inter pocula possis. (7) Apud Achæos quum legati Antiochi ingentem exercitus regii multitudinem variis appellationibus enumerarent : Cœnavi, inquit Quinctius, aliquando cum hospite meo, carniumque varietatem reprehendenti mihi, simulque mirato ubinam tot generum carnes venales invenisset, respondit ille : suillas omnes esse carnes, coquendo et condimentis diversitatem istam effectam. Proinde vos etiam, o Achæi, nolite admirari copias Antiochi, quum hastatos, contiferos, sodales pedestres auditis nominari : Syri enim hi sunt omnes, armatura distincti.

XVIII. Confectis Græcis rebus et Antiochico bello Quinctius censor (qui est maximus magistratus, ac quodammodo graduum in republica summus atque postremus) factus est cum Marcello, Marcelli ejus, qui quinquies consul fuit, filio. Senatu moverunt quattuor non admodum illustres viros, civium numero censuerunt, quotquot liberis essent parentibus nati : coacti a Terentio Culeone tribuno plebis, qui in fraudem optimatum populo hæc decernere persuaserat. (2) Eo tempore nobilissimi omnium ac maximi duo viri Romæ inter se dissidebant, Scipio Africanus et M. Cato; ex his Scipionem Quinctius principem senatus legit, ut optimum et primum ejus ordinis virum. Cum Catone autem inimicitias hoc motus casu suscepit. (3) Fratrem habebat Quinctius L. Quinctium Flamininum, quum aliis in rebus diverso ingenio, tum voluptatibus illiberaliter deditum decorique negligentissimum. (4) Is puerum a se adamatum, etiam bellum gerens, secum habebat, ac per provincias circumducebat. Atque hic quodam in convivio lascive demulcendi amatoris causa tanto se ejus amore teneri dicebat, ut quamvis nunquam hominis necem inspexisset, tamen quum esset gladiatorum spectaculum, voluptati illius sua ipsius voluptate postposita, cum ipso ludis neglectis abierit. (5) His oblectatus Lucius : Nihil, inquit, mali est, ipse enim cupiditati tuæ satisfaciam. Simulque unum de damnatis ex carcere adduci mandavit; eique in convivium accitus carnifex jussus est collum amputare. (6) Valerius Antias, non in amasii, sed meretricis gratiam factum ait. Livius in oratione ipsius Catonis ita scriptum asserit : sedente in convivio L. Quinctio, Gallum perfugam cum uxore et liberis ad fores venisse : hunc intromissum, et in gratiam amasii L. Quinctium sua eum manu interfecisse. (7) Hoc exaggerandi criminis causa a Catone dictum probabile est. Equidem non perfugam fuisse cæsum, sed

Κάτωνος· ὅτι δὲ οὐκ αὐτόμολος ἦν, ἀλλὰ δεσμώτης ὁ ἀναιρεθεὶς καὶ ἐκ τῶν καταδίκων, ἄλλοι τε πολλοὶ καὶ Κικέρων ὁ ῥήτωρ ἐν τῷ περὶ γήρως αὐτῷ Κάτωνι τὴν διήγησιν ἀναθεὶς εἴρηκεν.

XIX. Ἐπὶ τούτῳ Κάτων τιμητὴς γενόμενος καθαίρων τὴν σύγκλητον ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ὑπατικοῦ μὲν ἀξιώματος ὄντα, συνατιμοῦσθαι δὲ τοῦ ἀδελφοῦ δοκοῦντος αὐτῷ. (2) Διὸ καὶ προσελθόντες εἰς τὸν δῆμον ἀμφότεροι ταπεινοὶ καὶ δεδακρυμένοι μέτρια δεῖσθαι τῶν πολιτῶν ἐδόκουν, ἀξιοῦντες αἰτίαν εἰπεῖν τὸν Κάτωνα καὶ λόγον, ᾧ χρησάμενος οἶκον ἔνδοξον ἀτιμίᾳ τοσαύτῃ περιβέβληκεν. (3) Οὐδὲν οὖν ὑποστειλάμενος ὁ Κάτων προῆλθε καὶ καταστὰς μετὰ τοῦ συνάρχοντος ἠρώτησε τὸν Τίτον, εἰ γινώσκει τὸ συμπόσιον. Ἀρνουμένου δ' ἐκείνου διηγησάμενος εἰς ὁρισμὸν προεκαλεῖτο τὸν Λεύκιον, εἴ τι φησὶ τῶν εἰρημένων μὴ ἀληθὲς εἶναι. (4) Τοῦ δὲ Λευκίου σιωπήσαντος ὁ μὲν δῆμος ἔγνω δικαίαν γεγονέναι τὴν ἀτιμίαν καὶ τὸν Κάτωνα προέπεμψε λαμπρῶς ἀπὸ τοῦ βήματος, ὁ δὲ Τίτος τῇ συμφορᾷ τοῦ ἀδελφοῦ περιπαθῶν συνέστη μετὰ τῶν πάλαι μισούντων τὸν Κάτωνα καὶ πάσας μὲν, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν δημοσίων ἐκδόσεις καὶ μισθώσεις καὶ ὠνὰς ἠκύρωσε καὶ ἀνέλυσεν ἐν τῇ βουλῇ κρατήσας, πολλὰς δὲ καὶ μεγάλας δίκας κατ' αὐτοῦ παρεσκεύασεν, οὐκ οἶδ' ὅπως εὖ καὶ πολιτικῶς πρὸς ἄρχοντα νόμιμον καὶ πολίτην ἄριστον ὑπὲρ ἀνδρὸς οἰκείου μὲν, ἀναξίου δὲ καὶ τὰ προσήκοντα πεπονθότος ἀνήκεστον ἔχθραν ἀράμενος. (5) Οὐ μὴν ἀλλὰ τοῦ Ῥωμαίων ποτὲ δήμου θέαν ἔχοντος ἐν τῷ θεάτρῳ καὶ τῆς βουλῆς, ὥσπερ εἴωθε, κόσμῳ προκαθημένης ὀφθεὶς ὁ Λεύκιος ἐπ' ἐσχάτοις που καθήμενος ἀτίμως καὶ ταπεινῶς οἶκτον ἔσχε· καὶ τὸ πλῆθος οὐκ ἠνέσχετο τὴν ὄψιν, ἀλλ' ἐβόων μεταβῆναι κελεύοντες, ἕως μετέβη, δεξαμένων αὐτὸν εἰς ἑαυτοὺς τῶν ὑπατικῶν.

XX. Τὸ δ' οὖν φύσει τοῦ Τίτου φιλότιμον, ἄχρι μὲν ἱκανὴν εἶχεν ὕλην περὶ τοὺς εἰρημένους πολέμους διατρίβοντος, εὐδοκίμει· καὶ γὰρ ἐχιλιάρχησεν αὖθις μετὰ τὴν ὑπατείαν, οὐδενὸς ἐπείγοντος· ἀπαλλαγεὶς δὲ τοῦ ἄρχειν καὶ πρεσβύτερος ὢν ἠλέγχετο μᾶλλον ἐν οὐκ ἔχοντι πράξεις ἔτι τῷ λοιπῷ βίῳ σπαργῶντα πρὸς δόξαν καὶ νεανίζοντα τῷ πάθει κατέχειν ἑαυτὸν οὐ δυνάμενος· τοιαύτῃ γάρ τινι καὶ τὸ περὶ Ἀννίβαν φορᾷ ἐδόκει πράξας ἐπαχθὴς γενέσθαι τοῖς πολλοῖς. (2) Ὁ γὰρ Ἀννίβας οἰκοθεν μὲν ἐκ Καρχηδόνος ὑπεκδρὰς Ἀντιόχῳ συνῆν, ἐκείνου δὲ μετὰ τὴν ἐν Φρυγίᾳ μάχην εἰρήνης ἀγαπητῶς τυχόντος αὖθις φυγὼν καὶ πλανηθεὶς πολλὰ τέλος ἐν τῇ Βιθυνίᾳ κατέστη Προυσίαν θεραπεύων, οὐδενὸς Ῥωμαίων ἀγνοοῦντος, ἀλλὰ παρορώντων ἁπάντων δι' ἀσθένειαν καὶ γῆρας ὥσπερ ἐῤῥιμμένον ὑπὸ τῆς τύχης. (3) Τίτος δὲ πρεσβευτὴς δι' ἑτέρας δή τινας πράξεις ὑπὸ τῆς βουλῆς πρὸς τὸν Προυσίαν ἀφικόμενος καὶ τὸν Ἀννίβαν ἰδὼν αὐτόθι διαιτώμενον ἠγανάκτησεν, εἰ ζῇ, καὶ πολλὰ τοῦ Προυσίου δεομένου καὶ λιπαροῦντος

captivum atque condemnatum, id et alii multi, et Cicero orator in libro de Senectute testis est, ipsi quidem ejus rei narrationem Catoni tribuens.

XIX. Cato censor factus, senatum repurgans, eo ejecit L. Quinctium consularem : et vero ad fratrem quoque ejus pertinere ea nota videbatur. (2) Quamobrem uterque Quinctius sordida veste lacrimisque madidi ad populum progressi, id, quod iniquum non videbatur, petebant, uti causam ederet Cato et rationem qua usus illustrem familiam tanta ignominia affecisset. (3) Cato nihilo remissior factus, cum collega ad populum prodiit, quæsivitque ex Tito, an convivii illius acta cognita haberet. Negante Tito, ipse narravit, Luciumque, si quid dictum falso putaret, sponsione sese defendere jussit. (4) Hoc tacente, populus justam censuræ causam fuisse judicavit, Catonemque magnifice a tribunali deduxit. At T. Quinctius ob fratris casum ingenti dolore perculsus, cum iis, qui jam pridem oderant Catonem, facta coitione, omnes ab eo factas publicarum rerum locationes et emptiones rescidit, senatu in suam sententiam pertracto. Multa etiam et gravia contra eum judicia constituit : haud scio quam recte aut civiliter extremas contra legitimum magistratum civemque optimum propter necessarium indignum ipso atque merito punitum inimicitias exercens. (5) Verumtamen Romæ ludis quibusdam quum senatus, ut erat moris, primo loco splendide consedisset, L. Quinctium extremo loco abjecte et ignominiose sedentem ut vidit multitudo, miseratione commota non tulit eum aspectum; sed clamore sublato honestiorem ad sedem transire jusserunt et transeuntem consulares ad se receperunt.

XX. Porro autem quam diu sufficientem materiam, ut istis quæ diximus in bellis, habuit honoris cupiditas, qua flagrabat Quinctius, laudem ei attulit : itaque etiam denuo tribunus militum fuit, nulla ei necessitate incumbente. At postquam privatus esse cœpit ætate jam provectior, in reprehensiones incurrit, quod in reliqua etiam vitæ parte, quæ negotiorum expers erat, animi sui affectus gloriæ cupiditate gliscentes et sese juveniliter efferentes reprimere non posset. Hujusmodi ut videbatur impetu etiam contra Hannibalem elatus, multos offendit. (2) Is Hannibal quum Carthagine profugus apud Antiochum regem egisset, hoc post acceptam in Phrygia cladem cupide pacis conditiones accipiente, iterum solum vertens post multos errores tandem in Bithynia apud Prusiam substitit : nemine quidem Romanorum hoc ignorante, sed omnibus eum propter imbecillitatem et senectutem negligentibus, tanquam derelictum projectumque a fortuna hominem. (3) T. autem Quinctius aliis quibusdam de causis ad Prusiam legatus a senatu, ibi degentem Hannibalem videns, indigne tulit, eum hominem vita adhuc frui : ac Prusiæ multis de-

ὑπὲρ ἀνδρὸς ἱκέτου καὶ συνήθους οὐ παρῆκε, χρησμοῦ δέ τινος, ὡς ἔοικε, παλαιοῦ περὶ τῆς Ἀννίβου τελευτῆς οὕτως ἔχοντος,

Λίβυσσα κρύψει βῶλος Ἀννίβου δέμας,

ὁ μὲν ἄρα Λίβυην ὑπενόει καὶ τὰς ἐν Καρχηδόνι ταφὰς, ὡς ἐκεῖ καταβιωσόμενος· ἐν δὲ Βιθυνίᾳ τόπος ἐστὶ θινώδης ἀπὸ θαλάσσης καὶ πρὸς αὐτῷ κώμη τις οὐ μεγάλη Λίβυσσα καλεῖται· περὶ ταύτην ἔτυχε διατρίβων Ἀννίβας. (4) Ἀεὶ δὲ ἀπιστῶν τῇ τοῦ Προυσίου μαλακίᾳ καὶ φοβούμενος τοὺς Ῥωμαίους τὴν οἰκίαν ἔτι πρότερον ἐξόδοις ἑπτὰ καταγείοις συντετρημένην ἐκ τῆς ἑαυτοῦ διαίτης εἶχεν, ἄλλου κατ' ἄλλο τῶν ὑπονόμων, πόρρω δὲ πάντων ἀδήλως ἐκφερόντων. (5) Ὡς οὖν ἤκουσε τότε τὸ πρόσταγμα τοῦ Τίτου, φεύγειν μὲν ὥρμησε διὰ τῶν ὑπονόμων, ἐντυχὼν δὲ φυλακαῖς βασιλικαῖς ἔγνω δι' αὐτοῦ τελευτᾶν. (6) Ἔνιοι μὲν οὖν λέγουσιν, ὡς ἱμάτιον τῷ τραχήλῳ περιβαλὼν καὶ κελεύσας οἰκέτῃ ὄπισθεν ἐρείσαντα κατὰ τοῦ ἰσχίου τὸ γόνυ καὶ σφοδρῶς ἀνακλάσαντα συντεῖναι καὶ περιστρέψαι, μέχρι ἂν ἐκθλίψας τὸ πνεῦμα διαφθείρειεν αὐτόν· ἔνιοι δὲ μιμησάμενον Θεμιστοκλέα καὶ Μίδαν αἷμα ταύρειον πιεῖν. (7) Λίβιος δέ φησι φάρμακον ἔχοντα κεράσαι καὶ τὴν κύλικα δεξάμενον εἰπεῖν· « Ἀναπαύσωμεν ἤδη ποτὲ τὴν πολλὴν φροντίδα Ῥωμαίων, οἳ μακρὸν ἡγήσαντο καὶ βαρὺ μισουμένου γέροντος ἀναμεῖναι θάνατον. Οὐ μὴν οὐδὲ Τίτος ἀξιοζήλωτον ἀποίσεται νίκην οὐδὲ τῶν προγόνων ἀξίαν, οἳ Πύρρῳ πολεμοῦντι καὶ κρατοῦντι τὴν μέλλουσαν ὑποπέμψαντες κατεμήνυσαν φαρμακείαν. »

XXI. Οὕτω μὲν τὸν Ἀννίβαν ἀποθανεῖν λέγουσιν. Ἀπαγγελθέντων δὲ τούτων πρὸς τὴν σύγκλητον οὐκ ὀλίγοις ἐπαχθὴς ἔδοξεν ὁ Τίτος καὶ περιττὸς ἄγαν καὶ ὠμὸς, ὥσπερ ὄρνιν ὑπὸ γήρως ἀπτῆνα καὶ κολοῦρον ἀφειμένον ζῆν χειρώσηθ τὸν Ἀννίβαν ἀποκτείνας, οὐδενὸς ἐπείγοντος, ἀλλὰ διὰ δόξαν, ὡς ἐπώνυμος τοῦ θανάτου γένοιτο. (2) Καὶ τὴν Ἀφρικανοῦ Σκηπίωνος ἐκτιθέντες πραότητα καὶ μεγαλοψυχίαν ἔτι μᾶλλον ἐθαύμαζον, ὡς ἀήττητον ὄντα καὶ φοβερὸν ἐν Λιβύῃ καταπολεμήσας Ἀννίβαν οὔτε ἐξήλασεν οὔτε ἐξῃτήσατο παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ πρὸ τῆς μάχης εἰς λόγους ἐλθὼν ἐδεξιώσατο καὶ μετὰ τὴν μάχην σπενδόμενος οὐδὲν ἐπετόλμησεν οὐδ' ἐπενέβη τῇ τύχῃ τοῦ ἀνδρός. (3) Λέγεται δὲ αὖθις ἐν Ἐφέσῳ συμβαλεῖν αὐτούς· καὶ πρῶτον μὲν ἐν τῷ συμπεριπατεῖν τοῦ Ἀννίβου τὴν προσήκουσαν ἐν ἀξιώματι τάξιν εἶναι προλαβόντος ἀνέχεσθαι καὶ περιπατεῖν ἀφελῶς τὸν Ἀφρικανὸν, ἔπειτα λόγου περὶ στρατηγῶν ἐμπεσόντος καὶ τοῦ Ἀννίβου κράτιστον ἀποφηναμένου γεγονέναι τῶν στρατηγῶν Ἀλέξανδρον, εἶτα Πύρρον, τρίτον δὲ αὑτὸν, ἡσυχῇ μειδιάσαντα τὸν Ἀφρικανὸν εἰπεῖν, « Τί δ', εἰ μή σε ἐγὼ νενικήκειν; » καὶ τὸν Ἀννίβαν, « Οὐκ ἄν, ὦ Σκηπίων, φάναι, τρίτον ἐμαυτὸν, ἀλλὰ πρῶτον ἐποιούμην τῶν στρατηγῶν. » (4) Ταῦτα δὴ τοῦ Σκηπίωνος οἱ πολλοὶ θαυμάζοντες ἐκάκιζον τὸν Τίτον, ὡς ἀλλοτρίῳ νεκρῷ προσενεγκόντα τὰς

precanti pro supplice ac familiari suo, nihil concessit. Oraculum autem fertur antiquum de Hannibalis exitu tale fuisse :

Libyssa gleba corpus Hannibalis teget.

Itaque Hannibal de Libya dictum opinabatur, seque vitam Carthagine finiturum et ibi sepultum iri putabat. Est autem in Bithynia locus ex mari arenosus, juxtaque pagus non magnus, Libyssa nomine : hic habitabat Hannibal. (4) Semper vero Prusiæ mollitiei diffidens Romanosque metuens, domum jam antea septem subterraneis exitibus ex suo cubiculo perforatam habuit, cuniculis omnibus in diversa loca occulte et procul ab eo domicilio ducentibus. (5) Audito igitur Quinctii mandato, fugam per cuniculos tentavit : sed in regiam custodiam incidens, mortem sibi ipse consciscere decrevit. (6) Quidam perhibent veste collo circumjecta servo mandasse, ut genu suo in coxendicem fixo, corporeque ad summum supinato, vehementer eam traheret atque involveret, tantisper dum ipsum intercluso spiritu necaret ; itaque mortuum esse : alii, imitatum Midæ et Themistoclis interitum, sanguinem tauri hausisse. (7) Livius pharmacum, quod ad hos usus jam dudum præparatum haberet, infudisse scribit, sumptoque calice hæc dixisse : Liberemus tandem diuturna sollicitudine Romanos, qui invisi senis mortem exspectare longum putant atque grave ; neque vero Quinctius admiratione dignam referet victoriam, neque majorum laudibus consentaneam : qui Pyrrhum hostem eumque bello superiorem missis nunciis de futuro veneficio monuerunt.

XXI. Hunc fuisse vitæ finem Hannibalis memoriæ proditum est. Senatus postquam de his est factus certior, haud paucis importunus esse Quinctius est visus, nimisque curiosus et crudelis, qui veluti avem præ senio jam volandi facultate privatam atque cauda truncatam, cui cicuris vita sit permissa, Hannibalem interfecisset, nulla urgente necessitate, sed ut nomen sibi ex cæde ejus compararet. (2) Tanto magis Africani Scipionis clementiam et magnanimitatem referentes admirabantur, qui invictum ante et terribilem in Africa quum prœlio vicisset, neque expulerat neque dedi sibi a civibus eum poposcerat : quin et ante pugnam amice fuerat cum eo collocutus, et parta victoria pacem componens nihil contra eum tentaverat, neque fortunæ ejus insultaverat. (3) Hoc etiam traditum est, Ephesi eos iterum congressos : atque ibi honestiorem in deambulatione locum Hannibale sibi vindicante, æquo animo id tulisse Africanum et sine ullo indignationis indicio cum eo obambulasse. De ducibus inde quæstione oborta, atque Hannibale præstantissimum imperatorum fuisse Alexandrum dicente, inde Pyrrhum, tertio loco sese : placide subrisisse Scipionem et dixisse : Quid ergo, si te ego non vicissem? Ad hæc Hannibalem : Utique, Scipio, tum non tertium mihi, sed primum tribuissem locum. (4) Hæc plerique in Scipione laudantes, Quinctium reprehendebant qui homini ab

χεῖρας. (5) Ἔνιοι δὲ ἦσαν οἱ τὸ πεπραγμένον ἐπαινοῦντες καὶ τὸν Ἀννίβαν, ἕως ἔζη, πῦρ ἡγούμενοι δεόμενον τοῦ ῥιπίζοντος· μηδὲ γὰρ ἀκμάζοντος αὐτοῦ τὸ σῶμα Ῥωμαίοις καὶ τὴν χεῖρα φοβερὰν, ἀλλὰ τὴν δεινότητα καὶ τὴν ἐμπειρίαν γεγονέναι μετὰ τῆς ἐμφύτου πικρίας καὶ δυσμενείας, ὧν οὐδὲν ἀφαιρεῖν τὸ γῆρας, c ἀλλ' ὑπομένειν τὴν φύσιν ἐν τῷ ἤθει, τὴν δὲ τύχην οὐ διαμένειν ὁμοίαν, ἀλλὰ μεταπίπτουσαν ἐκκαλεῖσθαι ταῖς ἐλπίσι πρὸς τὰς ἐπιθέσεις τοὺς ἀεὶ τῷ μισεῖν πολεμοῦντας. (6) Καὶ τὰ ὕστερά πως ἔτι μᾶλλον ἐμαρτύρησε τῷ Τίτῳ, τοῦτο μὲν Ἀριστόνικος ὁ τοῦ κιθαρῳδοῦ διὰ τὴν Εὐμένους δόξαν ἐμπλήσας ἅπασαν ἀποστάσεων καὶ πολέμων τὴν Ἀσίαν, τοῦτο δὲ Μιθριδάτης μετὰ Σύλλαν καὶ Φιμβρίαν καὶ τοσοῦτον ὄλεθρον στρατευμάτων καὶ στρατηγῶν αὖθις ἐπὶ Λεύκολλον ἐκ γῆς ὁμοῦ καὶ θαλάττης ἀναστὰς τηλικοῦτος. (7) Οὐ μὴν οὐδὲ Γαΐου Μα- d ρίου ταπεινότερος Ἀννίβας ἦκειτο. Τῷ μὲν γὰρ βασιλεῖ φίλος ὑπῆρχε καὶ βίος ἦν συνήθης καὶ διατριβαὶ περὶ ναῦς καὶ ἵππους καὶ στρατιωτῶν ἐπιμέλεια· τὰς δὲ Μαρίου τύχας Ῥωμαῖοι γελῶντες ἀλωμένου καὶ πτωχεύοντος ἐν Λιβύῃ μετὰ μικρὸν ἐν Ῥώμῃ σφαττόμενοι καὶ μαστιγούμενοι προσεκύνουν. (8) Οὕτως οὐδὲν οὔτε μικρὸν οὔτε μέγα τῶν παρόντων πρὸς τὸ μέλλον ἐστὶν, ἀλλὰ μία τοῦ μεταβάλλειν τελευτὴ καὶ τοῦ εἶναι. (9) Διὸ καί φασιν ἔνιοι τὸν Τίτον οὐκ ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι, πεμφθῆναι δὲ πρεσβευτὴν μετὰ Λευκίου Σκηπίωνος, οὐδὲν ἄλλο τῆς πρεσβείας ἐχούσης ἔργον ἢ τὸν e Ἀννίβου θάνατον. (10) Ἐπεὶ δὲ οὐδεμίαν ἔτι τούτων κατόπιν οὔτε πολιτικὴν τοῦ Τίτου πρᾶξιν οὔτε πολεμικὴν ἱστορήκαμεν, ἀλλὰ καὶ τελευτῆς ἔτυχεν εἰρηνικῆς, ὥρα τὴν σύγκρισιν ἐπισκοπεῖν.

aliis prostrato manus intulisset. (5) Neque defuere tamen qui id factum laudarent, Hannibalem, quantisper vixisset, ignem esse rati, qui nihil quam exsuscitantem desideraret: neque enim ætate adhuc valido corpus ejus manumve Romanis terrori, sed calliditatem peritiamque cum innata acerbitate et odio fuisse: horum nihil senectute ademptum, sed perstare naturam in sua indole, fortunam vero mutari, quæ spe oblata ad aggrediendum adversarium eos incitet, qui perpetua odia hostiliter exercent. (6) Et vero quæ consecutæ sunt res, Quinctio patrocinatæ sunt. Nam et Aristonicus a citharœdo genus ducens, Eumenis fama abusus omnem Asiam seditionibus et bellis replevit, et Mithridates a Sulla et Fimbria superatus, tantamque militum ducumque suorum cladem passus, terra marique rursus contra Lucullum summis viribus insurrexit. (7) Imo antem ne C. Mario quidem abjectior tum Hannibal erat, quippe quum et regem amicum haberet vitamque et consuetudinem exercitam circa naves et equos, et multam militibus operam dedicaret. Et tamen Marii fortunam Romani deridentes vagantis et in Africa mendicantis, paullo post eundem Romæ jugulati flagrisque cæsi adoraverunt. (8) Adeo, si futura respicias, nihil in præsenti neque magnum est neque parvum, sed idem et mutationum fortunæ et vitæ est finis. (9) Idcirco etiam quidam hoc Quinctium non suo arbitrio egisse aiunt, sed legatum fuisse cum L. Scipione missum, nullo quidem, nisi Hannibalis morte, alio fine ei legationi proposito. (10) Sed quod nulla post hæc neque civilis neque bellica T. Quinctii actio nobis comperta est, atque is etiam in pace mortem obiit, restat ut comparationem ipsam inspiciamus.

ΦΙΛΟΠΟΙΜΕΝΟΣ ΚΑΙ ΤΙΤΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Μεγέθει μὲν οὖν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν οὔτε Φιλοποίμενα Τίτῳ παραβάλλειν οὔτε πάνυ πολλοὺς τῶν Φιλοποίμενος ἀμεινόνων ἀνδρῶν ἄξιόν ἐστι. (2) Τοῖς μὲν γὰρ Ἕλλησι πρὸς Ἕλληνας οἱ πόλεμοι, τῷ δὲ οὐχ Ἕλληνι καὶ ὑπὲρ Ἑλλήνων· καὶ ὅτε Φιλοποίμην ἀμηχανῶν τοῖς ἑαυτοῦ πολίταις ἀμύνειν πολεμουμένοις εἰς Κρήτην ἀπῆρε, τότε νικήσας Τίτος ἐν μέσῃ τῇ Ἑλ- f λάδι Φίλιππον ἠλευθέρου καὶ τὰ ἔθνη καὶ πόλεις ἁπάσας. (3) Εἰ δέ τις ἐξετάζοι τὰς μάχας ἑκατέρου, πλείους Ἕλληνας Φιλοποίμην Ἀχαιῶν στρατηγῶν ἢ Μακεδόνας Τίτος Ἕλλησι βοηθῶν ἀνεῖλε. (4) Τὰ τοίνυν ἁμαρτήματα τοῦ μὲν φιλοτιμίας, τοῦ δὲ φιλονεικίας γέγονε, καὶ πρὸς ὀργὴν ὁ μὲν εὐκίνητος ἦν, ὁ δὲ καὶ δυσπαραί- a τητος. (5) Τίτος μὲν γὰρ καὶ Φιλίππῳ τὸ ἀξίωμα τῆς βασιλείας ἐφύλασσε καὶ πρὸς Αἰτωλοὺς εὐγνωμόνησε, Φιλοποίμην δὲ τῆς πατρίδος δι' ὀργὴν ἀφείλετο τὴν περιοικίδα συντέλειαν. (6) Ἔτι δὲ ὁ μὲν τοῖς εὖ παθοῦσιν ἀεὶ βέβαιος, ὁ δὲ θυμῷ λῦσαι χάριν ἕτοιμος. Λα-

PHILOPOEMENIS ET TITI COMPARATIO.

Ac primum magnitudine beneficiorum in Græcos collatorum, neque Philopœmen, neque quisquam etiam ex iis Græcis, qui multi fuerunt eo præstantiores, æquari Quinctio potest. (2) Græcis enim contra Græcos bellum fuit, huic non Græco pro Græcis; et quo tempore Philopœmen civibus suis bello pressis auxilium ferendi facultate destitutus in Cretam abiit, eo Quinctius in media Græcia victo Philippo nationes et urbes omnes Græcas liberabat. (3) Si utriusque pugnas examines, plures Græcos Philopœmen, dum Achæorum esset prætor, quam Macedonas Quinctius Græcis opitulans interfecit. (4) Si peccata eorum componas, huic gloriæ cupiditatem, illi in contendendo pertinaciam fuisse invenies, eratque hic iritabilis, ille vero implacabilis. (5) Nam et Philippo regiam dignitatem servavit Quinctius atque Ætolis se lenem præbuit, et Philopœmen per iram a patria circumjacentes pagos abalienavit. (6) Præterea illa quibus benefecisset, eosdem constanti benevolentia complectebatur, hic iræ cedens facile gratiam abjiciebat. Nam de

κεδαιμονίων μὲν γὰρ εὐεργέτης πρότερον ὢν ὕστερον καὶ τὰ τείχη κατέσκαψε καὶ τὴν χώραν περιέκοψε καὶ τέλος αὐτὴν μετέβαλε καὶ διέφθειρε τὴν πολιτείαν. (7) Ἐδόκει δὲ καὶ τὸν βίον ὀργῇ προέσθαι καὶ φιλονεικίᾳ μὴ κατὰ καιρὸν, ἀλλ' ὀξύτερον τοῦ δέοντος εἰς Μεσσήνην ἐπειχθεὶς, οὐχ ὥσπερ Τίτος πάντα λογισμῷ καὶ πρὸς ἀσφάλειαν στρατηγήσας.

II. Ἀλλὰ πλήθει γε πολέμων καὶ τροπαίων ἡ Φιλοποίμενος ἐμπειρία βεβαιοτέρα. Τῷ μὲν γὰρ τὰ πρὸς Φίλιππον ἐκρίθη δυοῖν ἀγώνοιν, ὁ δὲ μυρίας μάχας κατορθώσας οὐδεμίαν ἀμφισβήτησιν τῇ τύχῃ πρὸς τὴν ἐπιστήμην ἀπολέλοιπεν. (2) Ἔτι δὲ ὁ μὲν τῇ Ῥωμαίων ἀκμὴν ἐχούσῃ δυνάμει χρησάμενος, ὁ δὲ τῆς Ἑλλάδος ἤδη φθινούσης ἐπακμάσας δόξαν ἔσχεν, ὥστε τοῦ μὲν ἴδιον, τοῦ δὲ κοινὸν ἔργον εἶναι τὸ κατορθούμενον· ὁ μὲν γὰρ ἦρχεν ἀγαθῶν, ὁ δ' ἄρχων ἀγαθοὺς ἐποίει. (3) Καὶ μὴν τό γε πρὸς Ἕλληνας τούτῳ γενέσθαι τοὺς ἀγῶνας οὐκ εὐτυχῆ μὲν, ἰσχυρὰν δὲ τῆς ἀρετῆς ἀπόδειξιν παρεῖχεν· οἷς γὰρ ὅμοια τἄλλα, τῷ προὔχειν ἀρετῇ κρατοῦσι. (4) Καὶ γὰρ δὴ πολεμικωτάτοις Ἑλλήνων Κρησὶ καὶ Λακεδαιμονίοις πολεμήσας, τῶν μὲν πανουργοτάτων δόλῳ, τῶν δ' ἀλκιμωτάτων τόλμῃ περιεγένετο. (5) Πρὸς δὲ τούτοις Τίτος μὲν ἐξ ὑποκειμένων ἐνίκα χρώμενος ὁπλισμοῖς καὶ τάξεσιν αἷς παρέλαβε, Φιλοποίμην δὲ αὐτὸς ἐπεισενεγκὼν καὶ μεταβαλὼν τὸν περὶ ταῦτα κόσμον, ὥστε τὸ νικητικώτατον ὑφ' οὗ μὲν οὐκ ἂν εὑρῆσθαι, τῷ δὲ ὑπάρχον βοηθεῖν. (6) Κατὰ χεῖρα τοίνυν Φιλοποίμενος μὲν ἔργα πολλὰ καὶ μεγάλα, θατέρου δὲ οὐδὲν, ἀλλὰ καὶ τῶν Αἰτωλῶν τις αὐτὸν Ἀρχέδημος ἐπέσκωπτεν, ὡς, ὅτε αὐτὸς ἐσπασμένος τὴν μάχαιραν ἔθει δρόμῳ πρὸς τοὺς μαχομένους καὶ τοὺς συνεστῶτας τῶν Μακεδόνων, τοῦ Τίτου τὰς χεῖρας εἰς τὸν οὐρανὸν ὑπτίας ἀνατείναντος ἑστῶτος καὶ προσευχομένου.

III. Καὶ μὴν Τίτῳ μὲν ἄρχοντι συνέβη καὶ πρεσβεύοντι πάντα πρᾶξαι τὰ καλὰ, Φιλοποίμην δὲ οὐ χείρονα παρέσχεν οὐδὲ ἀπρακτότερον ἑαυτὸν ἰδιώτην ἢ στρατηγὸν τοῖς Ἀχαιοῖς. (2) Ἰδιώτης μὲν γὰρ ὢν Νάβιν ἐξέβαλεν ἐκ Μεσσήνης καὶ Μεσσηνίους ἠλευθέρωσεν, ἰδιώτης δὲ Διοφάνην τὸν στρατηγὸν καὶ Τίτον ἐπερχομένους ἀπέκλεισε τῆς Σπάρτης καὶ Λακεδαιμονίους διέσωσεν. (3) Οὕτως ἡγεμονικὴν φύσιν ἔχων οὐ κατὰ τοὺς νόμους, ἀλλὰ καὶ τῶν νόμων ἄρχειν ἠπίστατο πρὸς τὸ συμφέρον, οὐ δεόμενος παρὰ τῶν ἀρχομένων λαβεῖν τὸ ἄρχειν, ἀλλὰ χρώμενος αὐτοῖς ὅπου καιρὸς εἴη, τὸν ὑπὲρ αὐτῶν φρονοῦντα μᾶλλον ἢ τὸν ὑπ' αὐτῶν ἡρημένον ἡγούμενος στρατηγόν. (4) Γενναῖα μὲν οὖν Τίτου τὰ πρὸς τοὺς Ἕλληνας ἐπιεικῆ καὶ φιλάνθρωπα, γενναιότερα δὲ Φιλοποίμενος τὰ πρὸς τοὺς Ῥωμαίους ὀχυρὰ καὶ φιλελεύθερα· ῥᾷον γὰρ χαρίζεσθαι τοῖς δεομένοις ἢ λυπεῖν ἀντιτείνοντα τοὺς δυνατωτέρους. (5) Ἐπεὶ δὲ οὕτως ἐξεταζομένων δυσθεώρητος ἡ διαφορὰ, σκόπει, μὴ τῷ μὲν Ἕλληνι τὸν ἐμπειρίας πολεμικῆς καὶ στρατηγίας στέφανον, τῷ δὲ Ῥωμαίῳ τὸν δικαιοσύνης καὶ χρηστότητος ἀποδιδόντες οὐ φαύλως διαιτᾶν δόξομεν.

Lacedæmoniis ante præclare meritus, post et mœnia eorum solo æquavit et agrum vastavit, et ipsam ad extremum reipublicæ formam mutavit atque perdidit. (7) Videtur etiam iræ indulgens atque contendendi studio vitam projecisse, non capta occasione, sed celerius, quam ex re erat, Messenen properans, non quemadmodum Flamininus omnia sua militiæ consilia prudenter et tuto administrans.

II. At enim Philopœmen multitudine bellorum atque tropæorum suam rei bellicæ peritiam evidentiorem fecit: duabus enim ab illo pugnis adversus Philippum debellatum est; hic innumeris prœliis feliciter factis nullam omnino fortunæ de victoria cum scientia disceptandi materiam reliquit. (2) Et alter opibus Romanorum maxime florentibus usus est, alter jam ad interitum vergentibus rebus Græcis efflоruit, ut huic propria laus factorum, illi cum suis communis esse videatur, quum quidem alter bonos duxerit, alter dux factus bonos et fortes suos effecerit. (3) Sane id quoque, quod hic cum Græcis suis decertavit, infelix quidem, validum tamen virtutis ei suæ demonstrandæ argumentum præbuit: nam inter eos, quibus pleraque omnia sunt æqualia, is demum excellere potest, qui reliquis virtute est superior. (4) Quo quidem pacto, cum bellicosissimis Græcorum Cretensibus ac Lacedæmoniis bella gerens, illos astutissimos dolo, fortissimos hos audacia vicit. (5) Super hæc, Quinctius jam ante constituta armaturæ et ordinum ratione usus est, Philopœmen novam intulit prioremque mutavit, ut id quod victoriam maxime continet, hic quum non exstaret invenisse, ille auxilio ejus tantum usus intelligatur. (6) Manu quoque propria Philopœmen multa et magna facinora edidit: alter nihil plane. Itaque eum cavillatus est Ætolus quidam Archedemus, quod dum ipse stricto gladio in pugnantes et confertos Macedones incurreret, Flamininus supinas interim cælo manus intenderet, stansque vota faceret.

III. Porro etiam Quinctius quæcunque præclare gessit, aut imperator aut legatus gessit: Philopœmen privatum se nihilo, quam quum dux esset, Achæis segniorem minusve utilem præstitit. (2) Privatus enim Nabidem Messena ejecit et Messenios liberavit: privatus Diophanem Achæorum prætorem et Quinctium Sparta exclusit Lacedæmoniosque servavit. (3) Adeo natura ad gerenda imperia factus, non secundum leges, sed ipsis etiam legibus præesse ad utilitatem communem norat, neque opus ei erat, ut a subditis imperator crearetur, sed ipsis, quoties res postulabat, utebatur; eum potius, qui curam ipsorum gereret, quam quem ipsi delegissent, ducem esse existimans. (4) Generosi sane fuit animi humanitas et benignitas, quam Quinctius Græcis exhibuit: generosioris, constantia et libertatis studium, quibus adversus Romanos usus est Philopœmen. Est enim facilius gratificari indigentibus, quam resistendo potentiores offendere. (5) Sed quoniam ita istis examinatis discrimen inter ipsos difficile est cernere, cogitandum tibi relinquo, si Græco rei bellicæ artiumque imperatoriarum peritiæ palmam, Romano justitiæ et bonitatis gloriam tribuamus, probene arbitrium tulerimus.

ΠΥΡΡΟΣ.

383 Θεσπρωτῶν καὶ Μολοσσῶν μετὰ τὸν κατακλυσμὸν b ἱστοροῦσι Φαέθοντα βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ Πελασγοῦ παραγενομένων εἰς τὴν Ἤπειρον· ἔνιοι δὲ Δευκαλίωνα καὶ Πύῤῥαν εἱσαμένους τὸ περὶ Δωδώνην ἱερὸν αὐτόθι κατοικεῖν ἐν Μολοσσοῖς. (2) Χρόνῳ δὲ ὕστερον Νεοπτόλεμος ὁ Ἀχιλλέως λαὸν ἀγαγὼν αὐτός τε τὴν χώραν κατέσχε καὶ διαδοχὴν βασιλέων ἀφ' αὑτοῦ κατέλιπε Πυῤῥίδας ἐπικαλουμένους· καὶ γὰρ αὐτῷ c Πύῤῥος ἦν παιδικὸν ἐπωνύμιον καὶ τῶν γνησίων παίδων ἐκ Λανάσσης τῆς Κλεοδαίου τοῦ Ὕλλου γενομένων ἕνα Πύῤῥον ὠνόμασεν. (3) Ἐκ τούτου δὲ καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. (4) Μετὰ δὲ τοὺς πρώτους τῶν διὰ μέσου βασιλέων ἐκβαρβαρωθέντων καὶ γενομένων τῇ τε δυνάμει καὶ τοῖς βίοις ἀμαυροτέρων, Θαῤῥύπαν πρῶτον ἱστοροῦσιν Ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις διακοσμήσαντα τὰς πόλεις ὀνομαστὸν γενέσθαι. (5) Θαῤῥύπου δὲ Ἀλκέτας υἱὸς ἦν, Ἀλκέτου δ' Ἀρύββας, Ἀρύββα δὲ καὶ Τρῳάδος Αἰακίδης. Οὗτος ἔγημε τὴν Μένωνος τοῦ Θεσσαλοῦ θυγατέρα Φθίαν, ἀνδρὸς εὐδοκίμου περὶ τὸν Λαμιακὸν πόλεμον d γενομένου καὶ μέγιστον ἀξίωμα τῶν συμμάχων μετὰ Λεωσθένην λαβόντος. Ἐκ δὲ τῆς Φθίας τῷ Αἰακίδῃ γίνονται θυγατέρες Δηιδάμεια καὶ Τρῳάς, υἱὸς δὲ Πύῤῥος.

II. Ἐπεὶ δὲ στασιάσαντες οἱ Μολοσσοὶ καὶ τὸν Αἰακίδην ἐκβαλόντες ἐπηγάγοντο τοὺς Νεοπτολέμου παῖδας, οἱ μὲν φίλοι τοῦ Αἰακίδου διεφθάρησαν καταληφθέντες, τὸν δὲ Πύῤῥον ἔτι νήπιον ὄντα καὶ ζητούμενον ὑπὸ τῶν πολεμίων ἐκκλέψαντες οἱ περὶ Ἀνδροκλείδην καὶ Ἄγγελον ἔφευγον οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον ἀναγκαίως ἐφελκόμενοι. (2) Καὶ διὰ τοῦτο τῆς e φυγῆς γινομένης αὐτοῖς δυσέργου καὶ βραδείας καταλαμβανόμενοι τὸ μὲν παιδίον ἐγχειρίζουσιν Ἀνδροκλείωνι καὶ Ἱππίᾳ καὶ Νεάνδρῳ, νεανίσκοις οὖσι πιστοῖς καὶ ῥωμαλέοις, ἀνὰ κράτος φεύγειν καὶ Μεγάρων ἔχεσθαι, χωρίου Μακεδονικοῦ, προστάξαντες· αὐτοὶ δὲ τὰ μὲν δεόμενοι, τὰ δὲ ἀπομαχόμενοι τοῖς διώκουσιν ἐμποδὼν ἦσαν ἄχρι δείλης ὀψίας. (3) Ἀποτραπομένων δὲ μόλις ἐκείνων μετέθεον τοὺς τὸν Πύῤῥον κομίζοντας. Ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος ἐγγὺς γενόμενοι τῆς ἐλπίδος ἐξαίφνης ἀπεκόπησαν ἐντυχόντες τῷ παρὰ τὴν πόλιν παραῤῥέοντι ποταμῷ, χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ, f πειρωμένοις δὲ διαβαίνειν παντάπασιν ἀπορωτάτῳ. Πολύ τε γὰρ ἐξέπιπτε ῥεῦμα καὶ θολερὸν ὄμβρων ἐπιγενομένων καὶ τὸ σκότος ἐποίει πάντα φοβερώτερα. (4) Καθ' αὑτοὺς μὲν οὖν ἀπέγνωσαν ἐπιχειρεῖν παιδίον φερόμενοι καὶ γύναια τὰ τρέφοντα τὸ παιδίον, αἰσθόμενοι δὲ τῶν ἐπιχωρίων τινὰς ἐν τῷ πέραν ἑστῶτας ἐδέοντο
384 συλλαβέσθαι πρὸς τὴν διάβασιν καὶ τὸν Πύῤῥον ἀνεδείκνυσαν βοῶντες καὶ ἱκετεύοντες. (5) Οἱ δὲ οὐ κατή- a

PYRRHUS.

Traditum est memoriæ, secundum diluvium Phaethontem, qui unus de eorum numero fuerit, qui cum Pelasgo in Epirum transiverunt, primum Thesprotis et Molossis imperasse; quidam Deucalionem et Pyrrham condito apud Dodonam templo in Molossis habitasse ferunt. (2) Postea temporis Neoptolemus, Achillis filius, populo adducto, eam regionem tenuit regumque successionem post se reliquit. Pyrrhidæ reges isti vocabantur; nam et ipse Pyrrhi in pueritia cognomen nactus fuit et legitimorum suorum ex Lanassa Cleodei filia, qui Hyllum patrem habuit, filiorum uni nomen id imposuit. (3) Exhinc Achilli honores in Epiro divini sunt habiti, quem ipsi sua lingua Aspetum cognominant. (4) Quum autem reges qui primis istis successere, ad Tharrhypam usque barbari fere, et quum vita, tum potentia ignobiles fuerint, hunc primum perhibent Græcis moribus litterisque et humanis legibus urbes composuisse, eaque re nomen sibi parasse. (5) Tharrhypæ filius fuit Alcetas, hujus Arybbas, hoc et Troade natus Æacides. Hic in matrimonio habuit Phthiam, filiam Menonis Thessali, illustris viri et cujus bello Lamiaco inter socios post Leosthenem summa fuit auctoritas. Phthia Æacidæ filias duas, Deidamiam et Troadem, peperit, filiumque Pyrrhum.

II. Sed postquam Molossi ejecto per seditionem Æacida Neoptolemi liberos in regnum reduxerunt, amicis Æacidæ, quotquot comprehensi fuissent, necatis, Pyrrhum adhuc infantem Androclides et Angelus inimicis eum investigantibus suffurati aufugerunt, servis paucis et mulierculis, quæ infantem nutrirent, necessario una abductis. (2) Quæ res quum fugam difficilem atque tardiorem efficeret, imminentibus hostibus infantem Androcleoni, Hippiæ et Neandro, fidis atque robustis juvenibus, tradiderunt, mandato ut quam possent maxime Megara, oppidum Macedoniæ, tenerent: ipsi vero partim deprecando, partim pugnando insequentes usque ad vesperam detinuerunt. (3) Vix tandem illis digressis, eos qui Pyrrhum gestabant, cursu assecuti sunt. Sol jam occubuerat, quum spe sua pæne potiti subito ea exciderunt, ubi ad fluvium, qui juxta urbem labitur, pervenerunt, aspectu horribilem et rapidum, nec ulla ratione, si qui tentarent transitum, permeabilem; turbidus enim aquaque plurima ex imbribus tumens fluebat, nocte etiam terrorem augente. (4) Quare diffisi transitum suo Marte tentare, quum quidem infans et nutriculæ fluvio essent committendi, ubi in altera ripa incolas quosdam stare animadverterunt, ut se in trajiciendo amne adjuvarent, simul Pyrrhum iis monstrantes, supplici clamore oraverunt. (5) Sed quum his clamantibus, illis præ rapiditate et strepitu aquæ

κουον διὰ ταχύτητα καὶ πάταγον τοῦ ῥεύματος, ἀλλ' ἦν διατριβή, τῶν μὲν βοώντων, τῶν δὲ μὴ συνιέντων, ἄχρι τις ἐννοήσας καὶ περιελὼν δρυὸς φλοιὸν ἐνέγραψε πόρπῃ γράμματα φράζοντα τήν τε χρείαν καὶ τὴν τύχην τοῦ παιδὸς, εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας καὶ χρησάμενος οἷον ἕρματι τῆς βολῆς ἀφῆκεν εἰς τὸ πέραν· ἔνιοι δέ φασι σαυνίῳ περιπήξαντας ἀκοντίσαι τὸν φλοιόν. (6) Ὡς δ' οὖν ἀνέγνωσαν οἱ πέραν τὰ γράμματα καὶ συνεῖδον τὴν ὀξύτητα τοῦ καιροῦ, κόπτοντες ξύλα καὶ πρὸς ἄλληλα συνδέοντες ἐπεραιοῦντο. (7) Καὶ κατὰ τύχην b ὁ πρῶτος αὐτῶν περαιωθεὶς Ἀχιλλεὺς τοὔνομα τὸν Πύῤῥον ἐδέξατο, τοὺς δὲ ἄλλους, ὡς ἔτυχον, οἱ ἄλλοι διεκόμιζον.

III. Οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν εἰς Ἰλλυριοὺς παρεγένοντο πρὸς Γλαυκίαν τὸν βασιλέα· καὶ καθεζόμενον εὑρόντες οἶκοι μετὰ τῆς γυναικὸς ἐν μέσῳ τὸ παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν. (2) Ὁ δὲ ἦν ἐπὶ γνώμης Κάσανδρον δεδοικὼς ἐχθρὸν ὄντα τοῦ Αἰακίδου καὶ σιωπὴν εἶχε πολὺν χρόνον βουλευόμενος. (3) Ἐν τούτῳ δὲ ὁ Πύῤῥος ἀπ' αὐτομάτου προσερπύσας καὶ λαβόμενος τοῦ ἱματίου ταῖς χερσὶ καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ Γλαυκίου γέλωτα πρῶτον, εἶτα οἶκτον παρέσχεν, ὥσπερ τις ἱκέτης δεόμενος καὶ δα- c κρύων. (4) Ἔνιοι δέ φασιν οὐ τῷ Γλαυκίᾳ προσπεσεῖν αὐτὸν, ἀλλὰ βωμοῦ θεῶν προσαψάμενον ἑστάναι πρὸς αὐτὸν περιβάλλοντα τὰς χεῖρας, καὶ τὸ πρᾶγμα τῷ Γλαυκίᾳ θεῖον φανῆναι. (5) Διὸ καὶ παραυτίκα τὸν Πύῤῥον ἐνεχείρισε τῇ γυναικὶ κελεύσας ἅμα τοῖς τέκνοις τρέφεσθαι καὶ μικρὸν ὕστερον ἐξαιτουμένων τῶν πολεμίων, Κασάνδρου δὲ καὶ διακόσια τάλαντα διδόντος, οὐκ ἐξέδωκεν, ἀλλὰ καὶ γενόμενον δυοκαίδεκα ἐτῶν καταγαγὼν εἰς τὴν Ἤπειρον μετὰ δυνάμεως βασιλέα κατέστησεν. (6) Ἦν δὲ ὁ Πύῤῥος τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἔχων ἢ σεμνότερον τὸ βασιλικὸν, πολ- d λοὺς δὲ ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. (7) Τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν ἀλεκτρυόνα θύων λευκὸν ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. (8) Οὐδεὶς δὲ ἦν πένης οὐδὲ ἄδοξος οὕτως, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. Ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. (9) Λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν θείαν, ὥστε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος καταχαέντος ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι. Ταῦτα μὲν οὖν ὕστερον. e

IV. Γενομένῳ δὲ περὶ ἑπταικαίδεκα ἔτη καὶ δοκοῦντι τὴν ἀρχὴν ἔχειν βεβαίως ἀποδημία τις συνέτυχε, τῶν Γλαυκίου παίδων ἑνὸς, οἷς συνετέθραπτο, γυναῖκα λαμβάνοντος. (2) Πάλιν οὖν οἱ Μολοττοὶ συστάντες ἐξέβαλον τοὺς φίλους αὐτοῦ καὶ τὰ χρήματα διήρπασαν καὶ Νεοπτολέμῳ παρέδωκαν ἑαυτούς. (3) Ὁ δὲ Πύῤῥος οὕτω τὴν ἀρχὴν ἀποβαλὼν καὶ γενόμενος πάντων ἔρημος Δημητρίῳ τῷ Ἀντιγόνου προσέμιξεν ἑαυτὸν

verba non percipientibus, tempus traheretur, quidam eo animadverso corticem de quercu detraxit, eique fibula inscripsit suam necessitatem infantisque fortunam : tum corticem lapidi, ut ad jactum pondus esset, circumligans, trans amnem jecit : alii jaculo affixum, itaque transmissum ferunt. (6) Oppidani, lectis litteris et festinatione opus esse cognito, cæsis arboribus atque colligatis trajecerunt. (7) Forte fortuna ei, qui primus trajecit atque Pyrrhum accepit, Achillis nomen fuit : reliquos ceteri, ut casus tulit, transportarunt.

III. Sic servati et insequentium manibus elapsi, in Illyricum ad Glauciam regem pervenerunt : hunc ubi domi cum uxore sedentem reperissent, puerum in medio ad terram deposuerunt. (2) At Glaucias, quod Casandrum Æacidæ inimicum metueret, hæsitavit et aliquamdiu silentium tenens deliberavit. (3) Interim Pyrrhus sponte sua prorepens vestem ejus apprehendit, eamque tenens præterea ad genua se regis erexit, ut risum primo, inde miserationem moverit, supplicis instar cum lacrimis deprecans. (4) Quidam non Glauciæ supplicasse, sed aram deorum manibus complexum astitisse aiunt, idque divinitus factum Glauciam putasse. (5) Proinde Pyrrhum statim uxori tradidit, interque suos liberos educari jussit : et paulo post hostibus eum exposcentibus, Casandro etiam ducenta talenta offerente, non dedidit, sed annos natum duodecim cum exercitu in Epirum reduxit et regem constituit. (6) Fuit Pyrrhus vultu regio quidem, sed terribiliore quam venerabiliore. Non habuit multos dentes, sed supra erat unum os continuum, in quo dentium intervalla tenuibus velut sulcis delineabantur. (7) E liene laborantibus salutem afferre credebatur, si gallum album mactans, supine illis jacentibus dextro pede leviter splenem premeret. (8) Neque fuit quisquam ita vel pauper, vel vilis, cui rogatus eam medicinam facere dedignaretur : gallum ipse Pyrrhus accipiebat atque immolabat, isque ei erat honor gratissimus. (9) Et ferunt pedis ejus pollicem vim divinam habuisse, atque etiam cremato post mortem corpore, hunc illæsum intactumque ab igne fuisse repertum. Sed hæc inferioris sunt temporis.

IV. Annum agens ætatis decimum et septimum, quum jam stabilissime videretur regnum tenere, ad nuptias unius de filiis Glauciæ, inter quos fuerat educatus, peregre est profectus. (2) Eam nacti occasionem Molossi, rursus seditione mota amicos ejus expulerunt, pecunias diripuerunt, seque Neoptolemo subjecerunt. (3) Sic regno exutus Pyrrhus et ab omnibus destitutus, ad Demetrium Antigoni filium se applicuit; nam Pyrrhi sororem Deidamiam, puellam adhuc

ἔχοντι τὴν ἀδελφὴν αὐτοῦ Δηϊδάμειαν· ἣν ἔτι μὲν οὖσαν κόρην ὠνόμαζον Ἀλεξάνδρου τοῦ Ῥωξάνης γυναῖκα, τῶν δὲ κατ' ἐκείνους δυστυχηθέντων ὥραν ἔχουσαν αὐτὴν ἔγημεν ὁ Δημήτριος. (4) Τῆς δὲ μεγάλης μάχης, ἣν ἐν Ἰψῷ πάντες οἱ βασιλεῖς ἠγωνίσαντο, παρὼν ὁ Πύρρος τοῖς περὶ Δημήτριον συμμετεῖχε 385μειράκιον ὢν ἔτι, καὶ τοὺς καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεφάνη λαμπρὸς ἐν τοῖς μαχομένοις. (5) Πταίσαντα δὲ Δημήτριον οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ Ἑλλάδι πόλεις πιστευθεὶς διεφύλαξε καὶ συμβάσεων αὐτῷ γενομένων πρὸς Πτολεμαῖον ἔπλευσεν εἰς Αἴγυπτον ὁμηρεύσων. (6) Καὶ Πτολεμαίῳ μὲν ἔν τε θήραις καὶ γυμνασίοις ἐπίδειξιν ἀλκῆς καὶ καρτερίας παρεῖχε, τὴν δὲ Βερενίκην ὁρῶν μέγιστον δυναμένην καὶ πρωτεύουσαν ἀρετῇ καὶ φρονήσει τῶν Πτολεμαίου γυναικῶν ἐθεράπευε μάλιστα· καὶ δεινὸς ὢν ὑπελθεῖν ἐπ' ὠφελείᾳ τοὺς κρείττονας, ὥσπερ ὑπερόπτης τῶν ταπεινοτέρων, κόσμιος δὲ καὶ σώφρων περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη λαβεῖν Ἀντιγόνην γυναῖκα τῶν Βερενίκης θυγατέρων, ἣν ἔσχεν ἐκ Φιλίππου πρὶν ἢ Πτολεμαίῳ συνοικεῖν.

V. Μετὰ δὲ τὸν γάμον τοῦτον ἔτι μᾶλλον εὐδοκιμῶν καὶ γυναικὸς ἀγαθῆς τῆς Ἀντιγόνης περὶ αὐτὸν οὔσης διεπράξατο χρήματα λαβὼν καὶ δύναμιν εἰς Ἤπειρον ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι. (2) Καὶ παρῆν οὐκ ἄκουσι πολλοῖς διὰ τὴν ἀπέχθειαν τοῦ Νεοπτολέμου χαλεπῶς καὶ βιαίως ἄρχοντος. Πλὴν ἀλλὰ δείσας, μὴ πρός τινα τῶν ἄλλων βασιλέων ὁ Νεοπτόλεμος τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς. (3) Χρόνου δὲ προϊόντος ἦσαν οἱ παροξύνοντες αὐτοὺς κρύφα καὶ κατ' ἀλλήλων ἐμποιοῦντες ὑποψίας. Ἡ μέντοι μάλιστα κινήσασα τὸν Πύρρον αἰτία λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. (4) Εἰώθεισαν οἱ βασιλεῖς ἐν Πασσαρῶνι, χωρίῳ τῆς Μολοττίδος, Ἀρείῳ Διὶ θύσαντες ὁρκωμοτεῖν τοῖς Ἠπειρώταις καὶ ὀρκίζειν, αὐτοὶ μὲν ἄρξειν κατὰ τοὺς νόμους, ἐκείνους δὲ τὴν βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. (5) Ταῦτ' οὖν ἑδρᾶτο ἀμφοτέρων τῶν βασιλέων παρόντων καὶ συνῆσαν ἀλλήλοις μετὰ τῶν φίλων δῶρα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ λαμβάνοντες. (6) Ἐνταῦθα δὴ Γέλων, ἀνὴρ πιστὸς Νεοπτολέμῳ, δεξιωσάμενος φιλοφρόνως τὸν Πύρρον ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. (7) Ταῦτα Μυρτίλος ὁ ἐπὶ τοῦ οἴνου παρὼν ᾔτει τὸν Πύρρον· ἐκείνου δὲ μὴ διδόντος, ἀλλ' ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ Μυρτίλος οὐκ ἔλαθε τὸν Γέλωνα. Καλέσας οὖν αὐτὸν ἐπὶ δεῖπνον, ὡς δέ φασιν ἔνιοι, καὶ χρησάμενος παρ' οἶνον ὥραν ἔχοντι λόγους προσήνεγκε παρακαλῶν ἐλέσθαι τὰ τοῦ Νεοπτολέμου καὶ φαρμάκοις διαφθεῖραι τὸν Πύρρον. (8) Ὁ δὲ Μυρτίλος ἐδέξατο μὲν τὴν πεῖραν ὡς ἐπαινῶν καὶ συμπεπεισμένος, ἐμήνυσε δὲ τῷ Πύρρῳ· καὶ κελεύσαντος ἐκείνου τὸν ἀρχιοινοχόον Ἀλεξικράτην τῷ Γέλωνι συνέστησεν, ὡς δὴ μεθέξοντα τῆς πράξεως αὐτοῖς· ἐβούλετο γὰρ ἐν πλείοσιν ὁ Πύρρος τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήμα-

Alexandro Roxanæ filio desponsatam, rebus eorum afflictis, Demetrius jam viro maturam duxerat. (4) In magno illo ad Ipsum prælio, quo omnes reges decertavere, Pyrrhus adfuit partes secutus Demetrii, juvenis adhuc, hostemque a sua parte fudit, illustrisque fuit ea ipsius pugna. (5) Neque vero Demetrium adversa usum fortuna deseruit, sed et urbes Græciæ sibi ab eo commissas custodiit, et Demetrii cum Ptolemæo facta pactione in Ægyptum obses ivit. (6) Ibi Ptolemæo in venationibus et gymnasiis robur suum tolerantiamque laborum probavit; Berenicen vero inter ejus uxores potentia, virtute et prudentia primas tenere cernens, impense coluit; et quum mire calleret sui commodi causa in gratiam potentiorum se insinuare, ac contra abjectiores contemneret, vitæ autem modestam et elegantem rationem teneret, de multis regiis juvenibus unus delectus est, cui Antigona, quam Berenice Philippo peperat, priusquam Ptolemæi uxor fieret, in matrimonium daretur.

V. Post has nuptias aucta gloria, bona usus Antigona uxore, effecit ut accepta pecunia et copiis in Epirum regni sui recuperandi causa mitteretur. (2) Plerique odio Neoptolemi, cujus grave erat et violentum regnum, adventum ejus non ingratum habuerunt: verumtamen metuens Pyrrhus, ne is ad regem aliquem alium se adjungeret, communicato regno fœdus cum eo et amicitiam iniit. (3) Aliquo tempore post non defuerunt qui eos occulte alterum adversus alterum irritarent atque suspiciones mutuas immitterent: sed causa, quæ præcipue Pyrrhum commovit, inde orta narratur. (4) Mos erat ut Passarone, Molossiæ loco, reges Jovi Areo sacrificantes juramento se Epirotis obstringerent, imperaturos se secundum leges, ac deinceps eos juramento adigerent se regnum secundum leges conservaturos esse. (5) Id tum præsente utroque cum amicis rege agebatur, donaque multa et accipiebant et largiebantur. (6) Ibi Gelo Neoptolemo fidus Pyrrhum amice complexus, duobus boum aratorum jugis donavit. (7) Hos a Pyrrho donum sibi petiit Myrtilus pocillator, et alii bobus illis dono datis, indigne repulsam tulit. Non fefellit Gelonem: is itaque Myrtilo ad cœnam vocato adeoque, ut quidam narrant, illato inter pocula stupro quod formosus esset, persuadere aggressus est, ut Neoptolemi partibus accederet, Pyrrhumque veneno necaret. (8) Myrtilus quum probari sibi et persuaderi consilium simulasset, Pyrrho renunciavit, jussuque ejus (volebat enim plures hujus flagitii exstare indices) Alexicratem pincernarum primum Geloni, tanquam insidiarum socium fu-

τος. (9) Οὕτω δὲ τοῦ Γέλωνος ἐξαπατωμένου συν- e
εξαπατώμενος ὁ Νεοπτόλεμος καὶ τὴν ἐπιβουλὴν ὁδῷ
βαδίζειν οἰόμενος οὐ κατεῖχεν, ἀλλ' ὑπὸ χαρᾶς ἐξέφερε
πρὸς τοὺς φίλους. . (10) Καί ποτε κωμάσας παρὰ τὴν
ἀδελφὴν Καδμείαν ἐχρῆτο λαλιᾷ περὶ τούτων οὐδένα
συνακούειν οἰόμενος· οὐδεὶς γὰρ ἦν πλησίον ἄλλος ἢ
Φαιναρέτη γυνὴ Σάμωνος τοῦ τὰ ποίμνια καὶ τὰ βου-
κόλια τῷ Νεοπτολέμῳ διοικοῦντος, αὕτη δὲ ἀπεστραμ-
μένη πρὸς τὸν τοῖχον ἐπὶ κλίνης τινὸς ἐδόκει καθεύδειν.
Συνήκοος δὲ πάντων γενομένη καὶ λαθοῦσα μεθ' ἡμέ-
ραν ἦκε πρὸς Ἀντιγόνην τὴν Πύρρου γυναῖκα καὶ πάντα
κατεῖπεν, ὅσα τοῦ Νεοπτολέμου πρὸς τὴν ἀδελφὴν f
ἤκουσε λέγοντος. (11) Πυθόμενος δὲ ὁ Πύρρος ἐκεῖ
μὲν ἡσυχίαν ἦγεν, ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον τὸν
Νεοπτολεμον ἀπέκτεινεν, αἰσθόμενος τῶν Ἠπειρωτῶν
τοὺς κρατίστους προσέχοντας αὐτῷ καὶ παρακελευομέ-
386νους ἀπαλλαγῆναι τοῦ Νεοπτολέμου καὶ μὴ μερίδα a
μικρὰν ἔχοντα βασιλείας ἀγαπᾶν, ἀλλὰ τῇ φύσει χρή-
σασθαι μειζόνων πραγμάτων ἀντιλαμβανόμενον καί
τινος ὑποψίας ἅμα προσγενομένης τὸν Νεοπτόλεμον
φθάσαι ἀνελεῖν.

VI. Μεμνημένος δὲ Βερενίκης καὶ Πτολεμαίου παιδίον
μὲν αὐτῷ γενόμενον ἐξ Ἀντιγόνης Πτολεμαῖον ὠνόμα-
σεν, οἰκίσας δὲ πόλιν ἐν τῇ χερρονήσῳ τῆς Ἠπείρου Βε-
ρενικίδα προσηγόρευσεν. (2) Ἐκ δὲ τούτου πολλὰ μὲν
περινοῶν καὶ μεγάλα τῇ γνώμῃ, ταῖς δὲ ἐλπίσι μάλι-
στα καὶ πρῶτον ἀντιλαμβανόμενος τῶν πλησίον εὗρεν
ἐμφῦναι τοῖς Μακεδόνων πράγμασιν ἐκ τοιασδέ τινος
προφάσεως. (3) Τῶν Κασάνδρου παίδων ὁ πρεσβύτε- b
ρος Ἀντίπατρος τήν τε μητέρα Θεσσαλονίκην ἀνεῖλε
καὶ τὸν ἀδελφὸν Ἀλέξανδρον ἤλαυνεν. Ὁ δὲ πρός τε
Δημήτριον ἔπεμψε δεόμενος βοηθεῖν καὶ Πύρρον ἐκάλει.
(4) Δημητρίου δὲ ὑπ' ἀσχολιῶν βραδύνοντος, ἐπελθὼν ὁ
Πύρρος ἤτησε μισθὸν τῆς συμμαχίας τήν τε Τυμφαίαν
καὶ τὴν Παραυαίαν τῆς Μακεδονίας καὶ τῶν ἐπικτήτων
ἐθνῶν Ἀμβρακίαν, Ἀκαρνανίαν, Ἀμφιλοχίαν. Προε-
μένου δὲ τοῦ νεανίσκου ταῦτα μὲν αὐτὸς εἶχε φρουραῖς
καταλαβών, τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ περιέκοπτε
τὸν Ἀντίπατρον. (5) Λυσίμαχος δὲ ὁ βασιλεὺς αὐτὸς
μὲν ἦν ἐν ἀσχολίαις προθυμούμενος Ἀντιπάτρῳ βοη-
θεῖν, εἰδὼς δὲ τὸν Πύρρον οὐδὲν ἀχαριστεῖν οὐδὲ ἀρ- c
νεῖσθαι Πτολεμαίῳ βουλόμενον, ἔπεμψε πλαστὰ γράμ-
ματα πρὸς αὐτὸν, ὡς Πτολεμαίου κελεύοντος ἀπαλλάτ-
τεσθαι τῆς στρατείας τριακόσια τάλαντα παρὰ τοῦ
Ἀντιπάτρου λαβόντα. (6) Λύσας δὲ τὴν ἐπιστολὴν ὁ
Πύρρος εὐθὺς τὸ ῥᾳδιούργημα τοῦ Λυσιμάχου συνεῖδεν·
οὐδὲ γὰρ ἦν ἡ συνήθης γεγραμμένη προσαγόρευσις « Ὁ
πατὴρ τῷ υἱῷ χαίρειν, » ἀλλὰ « Βασιλεὺς Πτολεμαῖος
βασιλεῖ Πύρρῳ χαίρειν. » (7) Λοιδορήσας δὲ τὸν Λυσί-
μαχον ὅμως ἐποιεῖτο τὴν εἰρήνην καὶ συνήεσαν ὡς κατὰ
σφαγίων ὁρκωμοτήσοντες. Ἐπεὶ δὲ κάπρου καὶ ταύρου d
καὶ κριοῦ προσαχθέντος ὁ κριὸς αὐτομάτως ἀπέθανε,
τοῖς μὲν ἄλλοις γελᾶν ἐπῆλθε, τὸν δὲ Πύρρον ὁ μάντις
Θεόδοτος ὀμόσαι διεκώλυσε, φήσας τὸ δαιμόνιον ἑνὶ

turum, commendavit. (9) Hoc pacto Gelone decepto, e
etiam Neoptolemus una falsus, insidiasque recta progredi
ratus, non continuit se, sed præ gaudio rem cum amicis
communicavit. (10) Et quodam tempore cum sorore Cad-
mia convivium agitans, idem effutivit, neminem alium
audire putans : neque enim aderat quisquam præter Phæ-
naretam, uxorem Samonis, qui Neoptolemi armentis et
gregibus præerat. Ea quodam in lectulo jacens, faciemque
parieti obvertens, quum dormire putaretur, insciis ipsis o-
mnia audivit : ac postridie, quæcumque audiisset Neopto- f
lemum sorori referentem, omnia Antigonæ Pyrrhi uxori
indicavit. (11) His cognitis, Pyrrhus in præsens quietum
se tenuit; post sacrificio celebrato Neoptolemum ad cœnam
vocatum interfecit; primos Epirotarum sibi favere intelli-
gens hortarique ut Neoptolemum tolleret, neque exigua a
parte regni contentus esset, sed naturam suam secutus ma-
jores res aggrederetur, simulque suspicione insidiarum acce-
dente, eum necare occuparet.

VI. Porro in memoriam Ptolemæi et Berenicæ filium
sibi ex Antigona natum Ptolemæum nominavit, et urbi, quam
in Epiri peninsula condiderat, Berenicidis nomen imposuit.
(2) Post hæc, multa jam et magna animo agitans, maxime
autem ac primo omnium vicinis rebus spe intentus, ut se
Macedonicis negotiis immisceret, hanc nactus est ansam.
(3) Antipater, Casandri filiorum major, matrem Thessaloni- b
cam occiderat et fratrem suum Alexandrum expulerat. Hic
et ad Demetrium auxilii petendi causa misit et Pyrrhum ac-
civit. (4) Demetrio igitur propter occupationes cunctante,
Pyrrhus auxilii præmium Tymphæam et Parauæam Mace-
doniæ et ex gentibus bello subactis Ambraciam, Acarna-
niam atque Amphilochiam poposcit : hæcque tradente ado-
lescente præsidiis tenuit, reliqua quæ Antipatro detraxit,
illi recuperavit. (5) Ceterum Lysimachus rex Antipatro opi-
tulari cupiens, quum et ipse occupationibus detineretur, Pyr-
rhum vero nosset nulla in re ingratum esse Ptolemæo velle, c
aut quicquam ei denegare; fictas Ptolemæi nomine litteras
ad Pyrrhum misit, quibus eum hic acceptis ab Antipatro
trecentis talentis bellum deponere juberet. (6) Epistola
aperta Pyrrhus statim fraudem Lysimachi deprehendit :
non enim usitata illa salutatio : Pater filio salutem : sed
ita scriptum erat : Rex Ptolemæus regi Pyrrho S. (7) Id et-
si exprobravit Lysimacho, tamen pax facta et conventum
est in unum locum, ut hostiis cæsis fœdus sanciretur.
Porco, tauro et ariete adductis, aries fortuito mortuus est :
id aliis ridentibus, Theodotus haruspex Pyrrhum, ne ju-
raret, prohibuit, dicens divinitus uni ex tribus regibus

προσημαίνειν τῶν τριῶν βασιλέων θάνατον. Ὁ μὲν οὖν Πύρρος οὕτως ἀπέστη τῆς εἰρήνης.

VII. Τῷ δὲ Ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν ἐχόντων, ὅμως ὁ Δημήτριος ἀφίκετο· καὶ δῆλος μὲν ἦν εὐθὺς ἥκων μὴ δεομένῳ καὶ φόβον παρεῖχεν, ὀλίγας δ' ἡμέρας συγγενόμενοι δι' ἀπιστίας ἐπεβούλευσαν ἀλλήλοις ἀμφότεροι. Καιρῷ δὲ χρησάμενος καὶ φθάσας ἀποκτίννυσιν ὁ Δημήτριος τὸ μειράκιον καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδονίας. (2) Ἦν μὲν οὖν καὶ πρότερον αὐτῷ πρὸς τὸν Πύρρον ἐγκλήματα καὶ καταδρομαὶ τῆς Θεσσαλίας ἐγεγόνεισαν ὑπ' ἐκείνου, καὶ τὸ σύμφυτον νόσημα ταῖς δυναστείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν αὐτοῖς ἐπίφοβον καὶ ἄπιστον παρεῖχε, καὶ μᾶλλον ἔτι μετὰ τὴν τῆς Δηιδαμείας τελευτήν. (3) Ἐπεὶ δὲ καὶ κατασχόντες ἀμφότεροι Μακεδονίας συνέπιπτον εἰς τὸ αὐτὸ καὶ μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορά, Δημήτριος μὲν ἐπ' Αἰτωλοὺς στρατευσάμενος καὶ κρατήσας Πάνταυχον αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Πύρρον καὶ Πύρρος ἐπ' ἐκεῖνον, ὡς ἤσθετο. (4) Γενομένης δὲ διαμαρτίας καθ' ὁδὸν ἀλλήλους παρῆλλαξαν, καὶ Δημήτριος μὲν ἐμβαλὼν εἰς Ἤπειρον ἐλεηλάτει, Πύρρος δὲ Πανταύχῳ περιπεσὼν εἰς μάχην κατέστη. (5) Καὶ τῶν στρατιωτῶν συμπεσόντων δεινὸς ἦν καὶ μέγας ἀγὼν, μάλιστα κατὰ τοὺς ἡγεμόνας. Ὁ τε γὰρ Πάνταυχος ἀνδρεία καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριστος ὢν ὁμολογουμένως τῶν περὶ Δημήτριον στρατηγῶν καὶ θάρσος ἔχων καὶ φρόνημα προὐκαλεῖτο τὸν Πύρρον εἰς
387 τὰς χεῖρας, ὅ τε Πύρρος οὐδενὶ τῶν βασιλέων ὑφιέ- a
μενος ἀλκῆς καὶ δόξης καὶ τὴν Ἀχιλλέως δόξαν αὐτῷ δι' ἀρετὴν μᾶλλον ἢ κατὰ γένος συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τὸν Πάνταυχον. (6) Ἦν δὲ δορατισμὸς τὸ πρῶτον, εἶτα ἐν χεροῖν γενόμενοι μετὰ τέχνης ἅμα καὶ βίας ἐχρῶντο τοῖς ξίφεσι. Λαβὼν δὲ ὁ Πύρρος ἓν τραῦμα, δοὺς δὲ δύο, τὸ μὲν εἰς τὸν μηρὸν, τὸ δὲ παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν Πάνταυχον· οὐ μὴν ἀνεῖλεν, ἀνηρπάγη γὰρ ὑπὸ τῶν φίλων. (7) Οἱ δὲ Ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες καὶ θαυμάσαντες τὴν ἀρετὴν ἐδιάσαντο καὶ διέκοψαν τὴν φάλαγγα τῶν Μακεδόνων καὶ φεύγοντας διώκοντες ἀπέκτειναν τε πολλοὺς b
καὶ πεντακισχιλίους ζῶντας εἷλον.

VIII. Ὁ δὲ ἀγὼν οὗτος οὐ τοσοῦτον ὀργῆς ὧν ἔπαθον οὐδὲ μίσους ἐνέπλησε τοὺς Μακεδόνας πρὸς τὸν Πύρρον, ὅσην δόξαν αὐτοῦ καὶ θαῦμα τῆς ἀρετῆς καὶ λόγον ἐνειργάσατο τοῖς ἰδοῦσι τὰ ἔργα καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην. (2) Καὶ γὰρ ὄψιν ᾤοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα τοῖς Ἀλεξάνδρου καὶ τῆς φορᾶς ἐκείνου καὶ βίας παρὰ τοὺς ἀγῶνας ἐν τούτῳ σκιάς τινας δρᾶσθαι καὶ μιμήματα, τῶν μὲν ἄλλων βασιλέων ἐν πορφύραις καὶ δορυφόροις καὶ κλίσει τραχήλου καὶ τῷ μεῖζον διαλέγεσθαι, μόνου δὲ Πύρρου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν Ἀλέξανδρον. (3) Τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης αὐτοῦ c

mortem portendi. Hoc modo a pace componenda Pyrrhus destitit.

VII. Demetrius autem rebus Alexandri jam constitutis advenit : et statim metum ei objiciebat, quod eo tempore venisset, quo præsentia ipsius non desiderabatur. Paucis diebus quum una fuissent, et alteri alter diffidens insidias tenderet, Demetrius capta occasione prævertit Alexandrum, eoque adolescente necato rex Macedoniæ est dictus. (2) Jam antea Pyrrho Demetrius alia quædam objecerat, et incursiones etiam ab eo in Thessaliam factæ erant, et avaritia, potentiæ innatum malum, vicinitatem suspectam ipsis atque infidam reddebat, maxime post mortem Deidamiæ. (3) Itaque ut Macedoniæ partem uterque tenentes mutuo commissi sunt, majoresque dissidium occasiones reperit; Demetrius contra Ætolos profectus, iis superatis et Pantaucho duce cum magno exercitu ibi relicto, ipse contra Pyrrhum, Pyrrhusque, ut se peti sensit, contra Demetrium e
duxit. (4) Verum in itinere errore factum est, ut mutuo non occurrerent, Demetrius in Epirum facta impressione prædatus est, Pyrrhus in Pantauchum incidit ac cum eo prœlium commisit. (5) Et militum et ipsorum multo magis imperatorum acre fuit illud certamen. Etenim Pantauchus, qui inter Demetrii duces sine controversia virtute, manu ac viribus corporis esset præstantissimus, audax, f
elatique vir animi, Pyrrhum ad pugnam provocarat, et Pyrrhus, qui nemini regum fortitudinis gloriæque palmam concederet, Achillisque nomen virtute magis quam natalibus sibi vindicare vellet, per primam aciem Pantaucho obviam prodierat. (6) Primum hastis res, inde cominus gladiis perite acriterque gesta est. Pyrrhus uno vulnere accepto, impositis duobus uno in femur, altero in collum dejecit Pantauchum, sed is ab amicis cædi ereptus est. (7) At Epirotæ victoria regis sui elati admiratique ejus virtutem, Macedonicam phalangem vi penetraverunt, instantesque fugientibus multos trucidarunt, quinque millia vivos ceperunt.

VIII. Certamen hoc non tam ira propter cladem acceptam aut odio in Pyrrhum Macedones implevit, quam gloriam ejus virtutisque admirationem et prædicationem apud eos excitavit, qui facinora ejus ipsi conspexerant et in pugna congressi fuerant. (2) Nam et vultu et celeritate et motu eum similem esse Alexandro arbitrabantur, ejusque in prœlio impetus atque violentiæ in hoc umbram atque imitationem cerni : reliquos reges purpuris, satellitibus, cervicis flexu, et altiore voce, Pyrrhum armis et manu Alexandrum repræsentare. (3) De ejus in acie c

καὶ δεινότητος ἔνεστι δείγματα λαβεῖν ἐκ τῶν γραμμάτων, ἃ περὶ τούτων ἀπολέλοιπε. (4) Λέγεται δὲ καὶ Ἀντίγονος ἐρωτηθείς, τίς ἄριστος τῶν στρατηγῶν, φάναι, « Πύρρος, ἂν γηράσῃ », περὶ τῶν καθ' αὑτὸν οὕτως ἀποφηνάμενος μόνον. (5) Ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύρρον, Σκηπίωνα δὲ δεύτερον, ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς περὶ Σκηπίωνος γέγραπται. (6) Καὶ ὅλως τοῦτο μελετῶν ἔοικε καὶ φιλοσοφῶν ἀεὶ διατελεῖν ὁ Πύρρος, ὡς μαθημάτων βασιλικώτατον, τὰς δὲ ἄλλας γλαφυρίας ἐν οὐδενὶ λόγῳ τίθεσθαι. (7) Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ἔν τινι πότῳ, πότερον φαίνεται αὐτῷ Πύθων αὐλητὴς ἀμείνων ἢ Καφισίας, εἰπεῖν, ὅτι Πολυσπέρχων στρατηγὸς, ὡς ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν προσῆκον. (8) Ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς καὶ πρᾷος ὀργήν, σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. (9) Ἀερόπου γοῦν ἀποθανόντος οὐκ ἤνεγκε μετρίως ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων, ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων χάριν οὐκ ἀπέδωκεν αὐτῷ. Τὰ μὲν γὰρ χρέα καὶ κληρονόμοις ἐστὶν ἀποδοῦναι τῶν δανεισάντων, αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. (10) Ἐν δὲ Ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον οἰομένων δεῖν μεταστῆσαι τὸν Πύρρον, « Αὐτοῦ μένων, ἔφη, μᾶλλον ἡμᾶς, ἐν ὀλίγοις ἢ περιὼν πρὸς ἅπαντας ἀνθρώπους κακῶς λεγέτω. » (11) Καὶ τοὺς παρ' οἶνον αὐτὸν λοιδορήσαντας, εἶτα ἐλεγχομένους ἠρώτησεν, εἰ ταῦτα εἶπον. Ἀποκριναμένου δὲ τῶν νεανίσκων ἑνὸς, « Ταῦτα, ὦ βαλιλεῦ· πλείονα δ' ἂν ἔτι τούτων εἰρήκειν, εἰ πλείων παρῆν οἶνος ἡμῖν, » γελάσας ἀφῆκε.

IX. Γυναῖκας δὲ πραγμάτων ἕνεκα καὶ δυνάμεως πλείονας ἔγημε μετὰ τὴν Ἀντιγόνης τελευτήν. Καὶ γὰρ Αὐτολέοντος τοῦ Παιόνων βασιλέως ἔλαβε θυγατέρα καὶ Βιρκένναν τὴν Βαρδύλλιος τοῦ Ἰλλυριῶν καὶ Λάνασσαν τὴν Ἀγαθοκλέους τοῦ Συρακοσίου προῖκα προσφερομένην αὐτῷ τὴν Κερκυραίων πόλιν ἡλωκυῖαν ὑπὸ Ἀγαθοκλέους. (2) Ἐκ μὲν οὖν Ἀντιγόνης Πτολεμαῖον υἱὸν ἔσχεν, ἐκ δὲ Λανάσσης Ἀλέξανδρον, Ἕλενον δὲ τὸν νεώτατον ἐκ Βιρκέννης. Καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις ἐθρέψατο καὶ διαπύρους εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους ὑπ' αὐτοῦ. (3) Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ὑφ' ἑνὸς αὐτῶν ἔτι παιδὸς ὄντος, τίνι καταλείψει τὴν βασιλείαν, εἰπεῖν, « Ὅς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ. » Τοῦτο δὲ οὐδὲν ἀποδεῖ τῆς τραγικῆς ἀρᾶς ἐκείνης· Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἀδελφούς. Οὕτως ἀμικτός ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις.

X. Μετὰ δὲ τὴν μάχην ταύτην ὁ Πύρρος ἐπανελθὼν οἴκαδε λαμπρὸς ὑπὸ δόξης καὶ φρονήματος ἔχαιρε· καὶ Ἀετὸς ὑπὸ τῶν Ἠπειρωτῶν προσαγορευόμενος, « Δι' ὑμᾶς, ἔλεγεν, ἀετός εἰμι· πῶς γὰρ οὐ μέλλω τοῖς ὑμετέροις ὅπλοις ὥσπερ ὠκυπτέροις ἐπαιρόμενος ; « (2)

ordinanda ducendoque exercitu peritia indicia sumere licet ex scriptis, quæ ea de re reliquit. (4) Fertur et Antigonum interrogatum quisnam optimus dux esset, respondisse : Pyrrhus, quando senuerit; is sane de suæ tantum ætatis ducibus judicavit. (5) Sed Hannibal omnium imperatorum peritia atque arte præstantissimum Pyrrhum, Scipionem secundum, se tertium pronunciavit, veluti in Vita Scipionis scripsimus. (6) Et vere hoc unum semper meditatus huicque soli rei studuisse videtur Pyrrhus, quum eam disciplinarum omnium maxime regiam censeret, reliquas illas ad ornatum et oblectationem facientes nullo in pretio haberet. (7) Traditum enim est eum inter pocula aliquando interrogatum, Pythonemne an Caphisiam meliorem tibicinem existimaret : Polysperchontem bonum esse ducem respondisse, quasi de his tantum regem quærere et cognoscere deceret. (8) Benignus erat adversus familiares suos et iræ temperans, inque gratia referenda promptus et diligens. (9) Aeropi sane mortem haud mediocriter tulit, fassus quidem humanitus ei accidisse, se vero incusans, quod, subinde moras nectendo gratiam ei non retulisset. Quippe æs alienum etiam hæredibus creditorum reddi potest; compensationes beneficiorum nisi sentiente benefactore fiant, bonis justisque sunt molestæ. (10) Quum Ambraciæ quidam Pyrrhum conviciis proscinderet, eumque alii relegandum putarent : Hic, inquit, potius apud paucos, quam oberrans apud omnes homines male nobis dicat. (11) Eos qui inter potandum ipsi obtrectassent ac delati deinde essent, interrogavit, itane de se fuissent locuti : et quum quidam ex illis adolescentibus respondisset, Omnino talia, rex sed et plura his dixissem, si plus vini habuissemus; risit, et missos eos fecit.

IX. Post mortem Antigonæ, negotiorum et potentiæ causa plures duxit uxores : Autoleontis Pæonum, et Bircennam Bardyllii Illyriorum, et Lanassam Agathoclis Syracusarum regis filias, quarum postrema dotis nomine Corcyræorum urbem a patre captam ei attulit. (2) Ex Antigona Ptolemæum filium habuit, ex Lanassa Alexandrum, ex Bircenna novissimum Helenum : hos omnes statim a prima ætate ad bellum acuens armis præclaros et feroces reddidit. (3) Dicitur enim uni filiorum suorum adhuc puero interroganti cuinam ex ipsis esset regnum relicturus, respondisse : Ei qui acutissimum habuerit gladium; quod profecto nihil differt ab exsecratione ista tragica :

Fratres acuto dividant ferro domum.

Adeo aliena concordiæ et fera est cupiditatis materia.

X. Ceterum pugna Pyrrhus domum reversus, gloria et animo elatus exsultavit, Epirotisque Aquilæ cognomen ipsi tribuentibus : Vobis, inquit, hoc debeo : qui enim non sim aquila, vestris armis pennarum instar sublevatus? (2) Paullo

Ὀλίγῳ δὲ ὕστερον πυθόμενος νοσεῖν τὸν Δημήτριον ἐπισφαλῶς, ἐνέβαλε μὲν ἐξαίφνης εἰς Μακεδονίαν ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν ποιησόμενος, παρ' ὀλίγον δὲ ἦλθε πάντων ὁμοῦ κρατῆσαι καὶ λαβεῖν ἀμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρι Ἐδέσης μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ συστρατευόντων. (3) Αὐτόν τε δὴ τὸν Δημήτριον ὁ κίνδυνος ἐξανέστησε παρὰ δύναμιν, οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ χρόνῳ πολλοὺς ἀθροίσαντες ἐρρωμένως καὶ προθύμως ἐπὶ τὸν Πύρρον ὥρμησαν. (4) Ὁ δὲ ληστρικώτερον ἀφιγμένος οὐκ ἔμεινεν, ἀλλὰ φεύγων μέρος τι τῆς στρατιᾶς ἀπέβαλε καθ' ὁδὸν ἐπιθεμένων τῶν Μακεδόνων. (5) Οὐ μὴν ὅτι ῥᾳδίως καὶ ταχὺ τὸν Πύρρον ἐξέβαλε τῆς χώρας ὁ Δημήτριος ἠμέλησεν, ἐγνωκὼς δὲ μεγάλων πραγμάτων ἀντιλαμβάνεσθαι καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι δέκα μυριάσι στρατοῦ καὶ ναυσὶ πεντακοσίαις οὐκ ἐβούλετο τῷ Πύρρῳ προσπταῖσαι οὐδὲ ἀπολιπεῖν Μακεδόσι πάροικον ἐργώδη καὶ χαλεπὸν, ἀλλ', ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν πρὸς αὐτὸν, διαλυθεὶς καὶ θέμενος εἰρήνην, οὕτως ἐπὶ τοὺς ἄλλους βασιλεῖς τραπέσθαι. (6) Γενομένων δὲ διὰ ταῦτα τῶν ὁμολογιῶν καὶ τῆς γνώμης ἅμα τῷ μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ Δημητρίου, φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν Πύρρον ἀγγέλους καὶ γράμματα θαυμάζειν φάσκοντες, εἰ τὸν αὑτοῦ προέμενος καιρὸν ἐν τῷ Δημητρίου πολεμῆσαι περιμένει, καὶ δυνάμενος Μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ πράττοντα καὶ ταραττόμενον, ἐκδέχεται καὶ σχολάζοντι καὶ μεγάλῳ γενομένῳ περὶ τῶν ἐν Μολοττοῖς ἱερῶν καὶ τάφων διαγωνίσασθαι, καὶ ταῦτα Κέρκυραν ἔναγχος ἁρπηρμένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. (7) Ἡ γὰρ Λάνασσα μεμψαμένη τὸν Πύρρον ὡς μᾶλλον προσέχοντα ταῖς βαρβάροις γυναιξὶν εἰς Κέρκυραν ἀπεχώρησε καὶ δεομένη γάμων βασιλικῶν ἐκάλει Δημήτριον, ἐπισταμένη μάλιστα τῶν βασιλέων εὐκόλως ἔχοντα πρὸς γάμους γυναικῶν. Ἐκεῖνος δὲ πλεύσας τῇ τε Λανάσσῃ συνῆλθε καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε.

XI. Ταῦτα πρὸς τὸν Πύρρον οἱ βασιλεῖς γράφοντες ἅμα καὶ δι' ἑαυτῶν ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν Δημήτριον ἐκίνουν. (2) Πτολεμαῖος μὲν γὰρ ἐπιπλεύσας μεγάλῳ στόλῳ τὰς Ἑλληνίδας ἀφίστη πόλεις, Λυσίμαχος δὲ τὴν ἄνω Μακεδονίαν ἐκ Θρᾴκης ἐμβαλὼν ἐπόρθει. (3) Πύρρος δὲ τούτοις ἅμα συνεξαναστὰς ἐπὶ Βέροιαν ἦλαυνε προσδοκῶν, ὅπερ συνέβη, Δημήτριον ὑπαντιάζοντα Λυσιμάχῳ τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. (4) Ἐκείνης δὲ τῆς νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπὸ Ἀλεξάνδρου καλεῖσθαι τοῦ μεγάλου καὶ παραγενόμενος κλινήρη μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ φιλοφροσύνης ἐπαγγελλομένου προθύμως βοηθήσειν. Αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν, « Καὶ πῶς ἂν, ὦ βασιλεῦ, νοσῶν δυνατὸς εἶης ἐμοὶ βοηθεῖν » ; Αὐτῷ φάναι τῷ ὀνόματι, καὶ περιβάντα Νισαῖον ἵππον ἡγεῖσθαι. (5) Ταύτην ἰδὼν τὴν ὄψιν ἐπερρώσθη· τάχει δὲ χρησάμενος καὶ διαδραμὼν τὰ

post quum audivisset, Demetrium periculose ægrotare, subito in Macedoniam irrupit, populandi nimirum et prædæ avertendæ causa : sed parum abfuit quin omnibus simul potiretur ipsumque citra ullam pugnam regnum occuparet, quippe usque ad Edessam progressus est, nemine prohibente, imo multis se dedentibus et castris ejus adjungentibus. (3) Ipsum quidem Demetrium tametsi viribus destitutum, illud periculum excitavit, amicique ejus et legati exiguo tempore magna multitudine contracta, Pyrrho animose obviam contenderunt. (4) Verum is, qui prædandi potius causa venisset, non constitit, sed fugam fecit, in qua partem sui exercitus aliquam a Macedonibus interceptam amisit. (5) Neque vero Demetrius quia facile et celeriter Pyrrhum Macedonia expulisset, ideo otio sese dedidit; verum magnas res aggressus, collectoque centies mille hominum exercitu et quingentarum navium classe paterni regni recipiendi causa, neque bello contra Pyrrhum vires suas atterere, neque eum Macedonibus difficilem et inquietum vicinum relinquendum judicavit, sed quia bello persequi non vacaret, pace cum eo facta, ita demum in reliquos reges arma convertendum. (6) Quum esset hac de causa conventum, simulque et instituta Demetrii et apparatus bellici magnitudo appareret, territi reges nuncios atque litteras in hanc sententiam scriptas ad Pyrrhum miserunt : mirari se, quod sua occasione dimissa exspectare velit, dum tempore Demetrio apto bellum gerere cogatur; ac quum eum variis negotiis distractum atque perturbatum in præsentia ejicere Macedonia possit, præstolari malit dum sibi cum otioso et viribus aucto pro fanis et sepulcris Molossiæ dimicandum sit, præsertim vero quum et Corcyra nuper et uxore sit a Demetrio spoliatus. (7) Etenim Lanassa Pyrrhum incusans, quod barbaris uxoribus, quam sibi, esset addictior, in Corcyram secesserat et regii conjugii cupida, Demetrium (quem præ reliquis regibus facile ad nuptias allici intelligebat) acciverat : isque eo navigarat, cum Lanassa rem habuerat, præsidiumque Corcyræ reliquerat.

XI. Hæc ad Pyrrhum reges scribentes, simul et ipsi bellum, Demetrio cunctante et se parante, movebant. (2) Ptolemæus enim magna advectus classe, urbes Græcas ad defectionem sollicitabat; Lysimachus in superiorem Macedoniam ex Thracia irrumpens, eam vastabat. (3) Simul etiam Pyrrhus insurgens ad Berœam ducebat, id quod evenit, futurum censens : nimirum ut Demetrio contra Lysimachum profecto, inferiorem regionem vacuam defensoribus offenderet. (4) Ea nocte per somnum imaginatus est se ab Alexandro Magno vocari : quumque accessisset, ab eo in lectulo decumbente amice atque benigne compellari, auxilium se ei gnaviter laturum promittente : interrogare deinde regem auso quinam ægrotans ipsum adjuvare posset? solo nomine id se præstiturum respondisse, simulque eum Nisæo equo conscenso, præivisse. (5) Hoc insomnio animum confirmavit, celeriterque exercitu per loca interjecta

μεταξὺ καταλαμβάνει τὴν Βέροιαν καὶ τὸ πλεῖστον αὐτόθι τῆς στρατιᾶς ἱδρύσας, τὰ λοιπὰ προσήγετο διὰ τῶν στρατηγῶν. (6) Ὁ δὲ Δημήτριος, ἐπεὶ ταῦτα ἤκουσε καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον ἤσθετο τῶν Μακεδόνων, ἔδεισε προῤῥωτέρω προαγαγεῖν, μὴ πλησίον δὴ γενόμενοι βασιλέως Μακεδόνος καὶ δόξαν ἔχοντος μεταβάλωνται πρὸς αὐτόν. (7) Ὅθεν ἐπιστρέψας ἐπὶ τὸν Πύῤῥον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν Μακεδόνων. Ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ b τῶν ἐκ τῆς Βεροίας ἀφικνούμενοι τὸν Πύῤῥον ἐνεκωμίαζον, ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις καὶ λαμπρὸν ἄνδρα, πρᾴως δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. (8) Ἦσαν δέ τινες, οὓς αὐτὸς ὁ Πύῤῥος ἐγκαθίει προσποιουμένους εἶναι Μακεδόνας καὶ λέγοντας, ὅτι νῦν καιρός ἐστι τῆς Δημητρίου βαρύτητος ἀπαλλαγῆναι πρὸς ἄνδρα δημοτικὸν καὶ φιλοστρατιώτην μεταβαλομένους τὸν Πύῤῥον. (9) Ἐκ τούτου τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατιᾶς καὶ τὸν Πύῤῥον ἐζήτουν περισκοποῦντες· ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος, ἄχρι οὗ πάλιν συμφρονήσας καὶ περιθέμενος ἐγνώσθη τῷ τε λόφῳ διαπρέποντι καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε τοὺς Μακεδόνας σύνθημα προστρέχοντας αἰτεῖν, c ἄλλους δὲ κλάδους δρυὸς ἀναστέφεσθαι διὰ τὸ καὶ τοὺς περὶ ἐκεῖνον ἐστεφανωμένους εἰσορᾶν. Ἤδη δὲ καὶ πρὸς αὐτόν τινες ἐτόλμων λέγειν τὸν Δημήτριον, ὡς ὑπεκστὰς καὶ προέμενος τὰ πράγματα καλῶς δόξει βεβουλεῦσθαι. (10) Τούτοις τοῖς λόγοις ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρατοπέδου καὶ φοβηθεὶς κρύφα διεξέπεσε καυσία τινὶ καὶ λιτῷ χλαμυδίῳ περιστείλας ἑαυτόν. Ἐπελθὼν δὲ ὁ Πύῤῥος ἀμαχεὶ παρέλαβε τὸ στρατόπεδον καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδόνων.

XII. Ἐπιφανέντος δὲ Λυσιμάχου καὶ κοινὸν ἔργον ἀμφοῖν ποιουμένου τὴν Δημητρίου κατάλυσιν καὶ νέμεσθαι τὴν βασιλείαν ἀξιοῦντος, οὕτω πάνυ βεβαίως d τοῖς Μακεδόσι πιστεύων ὁ Πύῤῥος, ἀλλ' ἀμφίβολος ἦν ἐν αὐτοῖς ἐδέξατο τοῦ Λυσιμάχου τὴν πρόκλησιν· καὶ διενείμαντο τὰς πόλεις καὶ τὴν χώραν πρὸς ἀλλήλους. (2) Τοῦτο δὲ ὤνησε μὲν ἐν τῷ παρόντι καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς, ὀλίγῳ δὲ ὕστερον ἔγνωσαν οὐκ ἀπαλλαγὴν ἔχθρας, ἀλλ' ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν. (3) Οἷς γὰρ οὐ πέλαγος, οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία πέρας ἐστὶ πλεονεξίας οὐδ' οἱ διαιροῦντες Εὐρώπην καὶ Ἀσίαν τέρμονες ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἁπτόμενοι καὶ ψαύοντες ἀλλήλων ἀτρεμοῖεν ἐν τοῖς παροῦσι μὴ ἀδικοῦντες, e οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ πολεμοῦσι μὲν ἀεὶ τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες, δυεῖν δὲ ὀνομάτων, ὥσπερ νομισμάτων, πολέμου καὶ εἰρήνης, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ δίκαιον. Ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντές εἰσιν ἢ τῆς ἀδικίας τὸ ἀργοῦν καὶ σχολάζον δικαιοσύνην καὶ φιλίαν προσαγορεύοντες. (4) Ἐδήλωσε δὲ ὁ Πύῤῥος· ἐμποδὼν γὰρ αὐξομένῳ τῷ Δημητρίῳ πάλιν ἱστάμενος καὶ κωλύων τὴν δύναμιν ὥσπερ ἐξ ἀῤῥωστίας μεγάλης ἀναλαμβά-

ducto Berœam occupavit : ibi maxima exercitus parte imposita, reliquas urbes opera legatorum in potestatem suam redegit. (6) Demetrius autem, his perceptis quum simul in castris suis tumultum Macedonum animadverteret, veritus est progredi, ne sui ad regem Macedonem illustremque gloria propius adducti, ad eum deficerent. (7) Itaque retro versus contra Pyrrhum, ut peregrinum et Macedonibus invisum, duxit, castraque ejus castris opposuit. Tum vero multi a Berœa in castra Demetrii venire, Pyrrhumque prædicare, ut armis invictum atque præclarum, clementer autem et humaniter victis usum. (8) Fuerunt autem quidam a Pyrrho submissi qui se Macedonas esse fingerent, ac nunc tempus esse, Demetrii importunitatem effugiendi et ad popularem militibusque benevolum Pyrrhum transeundi, dicerent. (9) His dictis plerique militum excitati, Pyrrhum circumspiciebant; nam quia forte tum cassidem deposuerat, non est agnitus, nisi postquam re intellecta imposita capiti cassidi cristis insignibus et cornibus hircinis agnoscendum se dedit. Ibi vero Macedones accurrere et tesseram petere : alii frondibus quernis contortis sese redimire, quum Pyrrhi etiam milites serta gerentes viderent : et jam nonnulli ipsi Demetrio dicere non verebantur, bene eum sibi consulturum, si Pyrrho cederet et a proposito desisteret. (10) Quibus ille sermonibus quum similem esse in exercitu motum sentiret, territus, occulte castris exiit, causia et vili palliolo amictus. Pyrrhus autem in castra ejus profectus, a militibus absque ullo certamine acceptus et rex Macedonum est nominatus.

XII. Supervenit Lysimachus, ejectumque Demetrium tam sua quam Pyrrhi opera jactans, dividi regnum secum postulavit; Pyrrhus, quia nondum satis firmam in Macedonibus haberet fiduciam, Lysimachi petitionem admisit, atque hi regionem tum, urbesque inter se sunt partiti. (2) Profuit hoc in præsentia bellumque composuit : sed paullo post senserunt, partitionem istam non inimicitiarum finem, sed querelarum et discordiarum principium fuisse. (3) Quorum enim cupiditatem neque mare, neque mons, neque vasta solitudo, non qui Europam ab Asia dividunt limites definiunt, ii non video, ubi vicinia se attingunt, quemadmodum suis contenti a maleficiis mutuis abstineant : imo insidiandi studium invidiamque innatam gerentes, perpetuo invicem infensi sunt; duobus autem belli et pacis nominibus veluti nomismate aliquo, promiscue, non juris, sed utilitatis ratione utuntur : quandoquidem etiam meliores sunt quum aperte bellum gerunt, quam quum vacantem et otiosam injustitiam justitiæ et amicitiæ nomine afficiunt. (4) Id Pyrrhus demonstravit. Rursus enim Demetrio se erigenti, viresque suas veluti gravi ex morbo colligenti obstans, auxilium

νουσαν ἐβοήθει τοῖς Ἕλλησι καὶ παρῆλθεν εἰς τὰς Ἀθήνας. (5) Ἀναβὰς δὲ εἰς τὴν ἀκρόπολιν καὶ θύσας τῇ f
θεῷ καὶ καταβὰς αὐθημερὸν ἀγαπᾶν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίστιν, ἂν μέντοι σω-
φρονῶσι, μηδένα τῶν βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν μηδὲ τὰς πύλας ἀνοίξειν. (6) Ἐκ τούτου καὶ πρὸς τὸν Δημήτριον εἰρήνην ἐποιήσατο καὶ μετ' ὀλίγον
390 χρόνον εἰς Ἀσίαν ἀπάραντος αὐτοῦ πάλιν πεισθεὶς ὑπὸ a
Λυσιμάχου Θετταλίαν ἀφίστη καὶ ταῖς Ἑλληνικαῖς φρουραῖς προσεπολέμει βελτίοσι χρώμενος τοῖς Μακεδόσι στρατευομένοις ἢ σχολάζουσι καὶ ὅλως αὐτὸς οὐκ εὖ πρὸς ἡσυχίαν πεφυκώς. (7) Τέλος δὲ Δημητρίου καταπολεμηθέντος ἐν Συρίᾳ Λυσίμαχος ἐπ' ἀδείας γενόμενος καὶ σχολάζων εὐθὺς ἐπὶ τὸν Πύρρον ὥρμησε. (8) Καὶ καθημένου περὶ τὴν Ἔδεσαν αὐτοῦ ταῖς ἀγοραῖς κομιζομέναις ἐπιπεσὼν καὶ κρατήσας, ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν, εἶτα γράμμασι καὶ λόγοις διέφθειρε b
τοὺς πρώτους τῶν Μακεδόνων ὀνειδίζων, εἰ ξένον ἄνδρα καὶ προγόνων ἀεὶ δεδουλευκότων Μακεδόσι δεσπότην ἑλόμενοι τοὺς Ἀλεξάνδρου φίλους καὶ συνήθεις ἀπωθοῦσι Μακεδονίας. (9) Ἀναπειθομένων δὲ πολλῶν δείσας ὁ Πύρρος ἀπηλλάγη μετὰ τῆς Ἠπειρωτικῆς καὶ συμμαχικῆς δυνάμεως ἀποβαλὼν Μακεδονίαν ᾧ τρόπῳ παρέλαβεν. (10) Ὅθεν οὐδ' αἰτιᾶσθαι τοὺς πολλοὺς ἔχουσιν οἱ βασιλεῖς μετατιθεμένους πρὸς τὸ συμφέρον· ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες ἀπιστίας καὶ προδοσίας διδασκάλους ὄντας καὶ πλεῖστα νομίζοντας ὠφελεῖσθαι τὸν ἐλάχιστα τῷ δικαίῳ χρώμενον.

XIII. Τότε δ' οὖν εἰς Ἤπειρον ἐκπεσόντι τῷ Πύρρῳ καὶ προεμένῳ Μακεδονίαν ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς παροῦσιν ἀπραγμόνως καὶ ζῆν ἐν εἰρήνῃ βασιλεύοντα c
τῶν οἰκείων· ὁ δὲ τὸ μὴ παρέχειν ἑτέροις κακὰ μηδὲ ἔχειν ὑφ' ἑτέρων ἄλυν τινὰ ναυτιώδη νομίζων ὥσπερ ὁ Ἀχιλλεὺς οὐκ ἔφερε τὴν σχολήν,

ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὐθι μένων, ποθέεσκε δ' ἀὐτήν τε πτόλεμόν τε.

(2) Δεόμενος δ' οὖν ἔλαβε πραγμάτων καινῶν τοιαύτην ὑπόθεσιν. Ῥωμαῖοι Ταραντίνοις ἐπολέμουν. Οἱ δὲ μήτε φέρειν τὸν πόλεμον δυνάμενοι μήτε θέσθαι θρασύτητι καὶ μοχθηρίᾳ δημαγωγῶν ἐβουλεύοντο ποιεῖσθαι Πύρρον ἡγεμόνα καὶ καλεῖν ἐπὶ τὸν πόλεμον ὡς σχολὴν d
ἄγοντα πλείστην τῶν βασιλέων καὶ στρατηγὸν ὄντα δεινότατον. (3) Τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν οἱ μὲν ἄντικρυς ἐνιστάμενοι πρὸς τὴν γνώμην ἐξέπιπτον ὑπὸ κραυγῆς καὶ βίας τῶν πολεμοποιῶν, οἱ δὲ ταῦτα ὁρῶντες ἀπέλειπον τὰς ἐκκλησίας. (4) Εἷς δέ τις ἀνὴρ ἐπιεικής, Μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ τὸ δόγμα κυροῦν ἔμελλον, ἐνστάσης καὶ τοῦ δήμου καθεζομένου, λαβὼν στέφανον τῶν ἑώλων καὶ λαμπάδιον, ὥσπερ οἱ μεθύοντες, αὐλητρίδος ὑφηγουμένης αὐτῷ, πρὸς τὴν ἐκκλησίαν ἐκώμαζεν. (5) Οἷα δὲ ἐν ὄχλῳ δημοκρατίας κόσμον οὐκ ἐχούσης οἱ μὲν ἐκρότουν ἰδόντες, οἱ δὲ ἐγέλων, ἐκώλυε δὲ οὐδείς, ἀλλὰ καὶ τὸ γύναιον e

Græcis tulit et idcirco Athenas venit. (5) Ibi quum in arcem ascendisset, Minervæque rem sacram fecisset, eodem adhuc die descendit et contentum quidem se populi favore et fide dixit, ipsi vero, si saperent, nullum in posterum regem in urbem intromitterent, neque portas ulli aperirent. (6) Secundum hæc et cum Demetrio pacem fecit et eo in Asiam profecto, rursus persuasus a Lysimacho Thessaliam ad defectionem ab eo pertraxit, et Græca præsidia oppugnavit, melioribus in bello quam in otio Macedonibus utens et omnino ipse natura ab otio alienus. (7) Tandem Demetrio in Syria debellato, Lysimachus metu liberatus et occupationibus, statim contra Pyrrhum sese vertit. (8) Ac primum quum ad Edessam castra haberet, in ejus commeatum, qui tum advehebatur, incidit, eoque capto ad penuriam Pyrrhum redegit : deinde litteris et colloquiis corrupit primores Macedonum, exprobrans iis, quod peregrinum hominem, cujus majores Macedonibus semper servivissent, dominum sibi constituissent et Macedonia Alexandri amicos et familiares extruderent. (9) Multis ita commotis metuens sibi Pyrrhus cum Epirotico et sociorum exercitu abiit, Macedonia eodem modo, quo potitus fuerat, amissa. (10) Itaque reges immerito populum culpant, si is utilitatis causa modo huic, modo alteri pareat : ipsos enim imitatur infidelitatisque ipsos et proditionis habet magistros, qui plurimum lucrari existimant eum, qui quam minime jus sequatur.

XIII. Tunc autem Pyrrho in Epirum rejecto, Macedoniaque exuto, rebus suis quiete uti regnumque in suos patrios catum tenere per fortunam licuit. At ille ni alios vexaret neque ab aliis infestaretur, eam nausea plenam socordiam judicans, exemplo Achillis otium non poterat perferre :

Verum invisa quies cor consumebat : et unum
pugnandi desiderium bellique tenebat.

(2) Novas igitur res expetenti hæc est materia oblata. Romani Tarentinos bello urgebant. Hi quum neque sustinere bellum, neque propter audaciam et improbitatem demagogorum deponere possent, Pyrrhum, ut cui omnium regum maxime vacaret, summusque esset imperator, vocandum ducemque belli faciendum statuerunt. (3) Qui inter cives ætate præstabant et prudentia, aut palam ei sententiæ repugnantes explosi sunt clamore et impetu eorum, qui bellum conflare studebant, aut hæc videntes concionibus abstinebant. (4) Unus quidam haud malus vir Meto, quum dies instaret, qua lex de vocando Pyrrho erat perferenda, populo in foro sedente, serto jam emarcescente capiti imposito et facula sumpta ebriorum more præcedente tibicina in concionem per ludicrum prodiit. (5) Eum, ut in turba hominum, ubi populare imperium non est ordinatum, quidam risu, quidam plausu exceperunt, prohibuit nemo, sed

αὐλεῖν κἀκεῖνον ᾄδειν ἐκέλευον εἰς μέσον προσελθόντα· καὶ τοῦτο ποιήσειν ἐπίδοξος ἦν. (6) Γενομένης δὲ σιωπῆς, « Ἄνδρες, ἔφη, Ταραντῖνοι, καλῶς ποιεῖτε, παίζειν καὶ κωμάζειν ἕως ἔξεστι τοῖς βουλομένοις μὴ φθονοῦντες. Ἐὰν δὲ σωφρονῆτε, καὶ πάντες ἀπολαύσετε ἔτι τῆς ἐλευθερίας, ὡς ἕτερα πράγματα καὶ βίον καὶ δίαιταν ἕξοντες ὅταν Πύρρος εἰς τὴν πόλιν παραγένηται. » (7) Ταῦτα ῥηθέντα τοὺς πολλοὺς ἔπεισε τῶν Ταραντίνων καὶ θορῦς διέδραμε τῆς ἐκκλησίας ὡς εὖ λεγομένων. Οἱ δὲ τοὺς Ῥωμαίους δεδιότες, μὴ γενομένης εἰρήνης ἐκδοθῶσι, τόν τε δῆμον ἐλοιδόρουν, εἰ φέρει f πράως ἐπικωμαζόμενος οὕτως ἀσελγῶς καὶ παροινούμενος, τόν τε Μέτωνα συστραφέντες ἐξέβαλον. (8) Οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου πρέσβεις ἔπεμψαν εἰς Ἤπειρον οὐχ αὐτῶν μόνων, ἀλλὰ καὶ τῶν Ἰταλιωτῶν δῶρα τῷ Πύρρῳ κομίζοντας καὶ λέγοντας, ὡς a ἡγεμόνος ἔμφρονος δέονται καὶ δόξαν ἔχοντος, δυνάμεις δὲ αὐτόθεν ὑπάρξουσι μεγάλαι παρά τε Λευκανῶν καὶ Μεσσαπίων καὶ Σαυνιτῶν καὶ Ταραντίνων εἰς δισμυρίους ἱππεῖς, πεζῶν δὲ ὁμοῦ πέντε καὶ τριάκοντα μυριάδας. (9) Ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν Πύρρον, ἀλλὰ καὶ τοῖς Ἠπειρώταις προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας.

XIV. Ἦν δέ τις Κινέας, Θεσσαλὸς ἀνήρ, τῷ μὲν φρονεῖν δοκῶν ἱκανὸς εἶναι, Δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς ἐδόκει μόνος εὖ μάλιστα τῶν τότε λεγόντων οἷον ἐν εἰκόνι τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν τοὺς ἀκούοντας. (2) Συνὼν δὲ τῷ Πύρρῳ b καὶ πεμπόμενος ἐπὶ τὰς πόλεις ἐβεβαίου τὸ Εὐριπίδειον, ὅτι

πᾶν ἐξαιρεῖ λόγος,
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

Ὁ γοῦν Πύρρος ἔλεγε πλείονας πόλεις ὑπὸ Κινέου τοῖς λόγοις ἢ τοῖς ὅπλοις ὑφ' ἑαυτοῦ προσῆχθαι· καὶ διετέλει τὸν ἄνδρα τιμῶν ἐν τοῖς μάλιστα καὶ χρώμενος. (3) Οὗτος οὖν τὸν Πύρρον ὡρμημένον τότε ὁρῶν ἐπὶ τὴν Ἰταλίαν εἰς λόγους ἐπηγάγετο τοιούτους ἰδὼν σχολάζοντα· « Πολεμισταὶ μέν, ὦ Πύρρε, Ῥωμαῖοι λέγονται καὶ πολλῶν ἐθνῶν μαχίμων ἄρχοντες· εἰ δὲ δοίη θεὸς περιγενέσθαι τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ; » (4) Καὶ ὁ Πύρρος, « Ἐρωτᾷς, εἶπεν, ὦ Κινέα, πρᾶγμα φαινόμενον· οὔτε βάρβαρος ἡμῖν ἐκεῖ πόλις οὔτε Ἑλληνὶς ἀξιόμαχος, c Ῥωμαίων κρατηθέντων, ἀλλ' ἕξομεν εὐθὺς Ἰταλίαν ἅπασαν, ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ που τινὶ μᾶλλον ἀγνοεῖν ἢ σοὶ προσήκει. » (5) Μικρὸν οὖν ἐπισχὼν ὁ Κινέας, « Ἰταλίαν δὲ, εἶπεν, ὦ βασιλεῦ, λαβόντες τί ποιήσομεν; » Καὶ ὁ Πύρρος οὔπω τὴν διάνοιαν αὐτοῦ καθορῶν, « Ἐγγὺς, εἶπεν, ἡ Σικελία χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἀλῶναι δὲ ῥᾴστη· στάσις γὰρ, ὦ Κινέα, πάντα νῦν ἐκεῖνα καὶ ἀναρχία πόλεων καὶ δημαγωγῶν ὀξύτης, Ἀγαθοκλέους ἐκλελοιπότος. » (6) « Εἰκότα, ἔφη, λέγεις, ὁ Κινέας· ἀλλ' d εἰ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν Σικελίαν; »

et mulierculam inflare tibiam et illum cancre in medium progressos jusserunt : atque is ita se facturum simulavit. (6) Inde orto silentio : Viri, inquit, Tarentini, bene facitis, quod ludere et jocari qui volunt, ejus rei facultatem, dum licet, non invidetis : quodsi sapitis, vos omnes quoque in præsentia hac utemini licentia, alias res, aliam vitam atque vitæ degendæ rationem habituri, ut primum in urbem Pyrrhus venerit. (7) Hæc verba plerique Tarentinorum approbarunt et recte eum locutum rumor per concionem spargebatur. At qui metuebant ne facta pace Romanis dederentur, populum criminati, quod per ebrietatem et lasciviam se ludificari tam æquo animo pateretur, coitione facta Metonem ejecerunt. (8) Ita demum lex perlata missique in Epirum legati non Tarentinorum modo, sed Italicorum etiam nomine Pyrrho munera ferentes et dicentes : ducem sibi bello prudentem et gloriosum opus esse, copias quidem suppetere magnas a Lucanis, Messapiis, Samnitibus et Tarentinis contractas, nempe equitum ad viginti millia, peditum millia trecenta quinquaginta. (9) Hæc non Pyrrhi modo animum erexerunt, sed et Epirotis cupiditatem ejus expeditionis injecerunt.

XIV. Erat Cineas quidam Thessalus, prudentia, ut existimabatur, magna, et qui solus vel maxime inter illius ætatis oratores Demosthenis, cujus auditor fuerat, in dicendo vim quasi in imagine quadam auditoribus in memoriam revocare videbatur. (2) Cum Pyrrho agens ab eoque ad civitates dimissus, re confirmavit illud, quod est ab Euripide dictum,

Oratio omnia efficit
quæcumque ferrum hostile possit consequi :

quando Pyrrhus etiam fassus est, plures Cineam urbes dicendo, quam se armis cepisse : ideoque plurimum eo utebatur summoque in honore habebat. (3) Is quum Cineas Pyrrhum expeditioni in Italiam intentum cerneret, forte otiosum nactus, ita compellavit : « Bellicosi, o Pyrrhe, Romani esse feruntur, multisque fortibus imperare gentibus : quodsi deus nobis de iis victoriam concesserit, ecquis ejus erit usus? (4) Ad hæc Pyrrhus : De re manifesta quæris, Cinea : victis Romanis, nulla neque barbara neque Græca urbs istis est, quæ resistere nobis possit ; itaque statim universam obtinebimus Italiam, cujus magnitudinem, bona et potentiam quemvis potius quam te ignorare consentaneum est. (5) Tum Cineas paululum moratus : Italia vero, inquit, occupata, quid agemus? Et Pyrrhus nondum, quid sibi is vellet, intelligens : Sicilia, ait, proxima est, manusque nobis protendit insula divitiis et hominibus abundans et captu facilis; ibi enim nunc defuncto Agathocle omnia seditionibus plena, licentiaque magistratuum et demagogorum ferocitate. (6) Probabilia dicis, respondit Cineas, sed eritne is nobis finis expeditionis, ut Siciliam capiamus?

« Θεὸς, ἔφη ὁ Πύῤῥος, νικᾶν διδῷ καὶ κατορθοῦν· τούτοις δὲ προαγῶσι χρησόμεθα πραγμάτων μεγάλων. (7) Τίς γὰρ ἂν ἀπόσχοιτο Λιβύης καὶ Καρχηδόνος ἐν ἐφικτῷ γενομένης, ἣν Ἀγαθοκλῆς ἀποδρὰς ἐκ Συρακουσῶν κρύφα καὶ περάσας ναυσὶν ὀλίγαις λαβεῖν παρ' οὐδὲν ἦλθεν; ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν οὐδεὶς ἀντιστήσεται τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις; » (8) « Οὐδέν, ὁ Κινέας εἶπεν· δῆλον γὰρ ὅτι καὶ Μακεδονίαν ἀναλαβεῖν καὶ τῆς Ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως ἀπὸ τηλικαύτης δυνάμεως. Γενομένων δὲ πάντων ὑφ' ἡμῖν τί ποιήσομεν; » (9) Καὶ ὁ Πύῤῥος ἐπιγελάσας, « Σχολὴν, ἔφη, ἄξομεν πολλὴν καὶ κώθων, ὦ μακάριε, καθημερινὸς ἔσται καὶ διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν. » (10) Ἐνταῦθα δὴ τοῦ λόγου καταστήσας τὸν Πύῤῥον ὁ Κινέας, « Εἶτα, ἔφη, τί νῦν ἐμποδὼν ἐστιν ἡμῖν βουλομένοις κώθωνι χρῆσθαι καὶ σχολάζειν μετ' ἀλλήλων, εἰ ταῦτα ἔχομεν ἤδη καὶ πάρεστιν ἀπραγμόνως, ἐφ' ἃ δι' αἵματος καὶ πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι πολλὰ καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες; » (11) Τούτοις τοῖς λόγοις ἡνίασε μᾶλλον ἢ μετέθηκε τὸν Πύῤῥον ὁ Κινέας, νοήσαντα μὲν ὅσην ἀπέλιπεν εὐδαιμονίαν, ὧν δὲ ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον.

Deus, inquit Pyrrhus, victoriam nobis atque successum concedat : ad magnas res ea, quasi exordio, utemur. (7) Quis enim Africa abstineat se et Carthagine, quum et hæc capi possit, quam Agathocles furtim Syracusis elapsus, paucis cum navibus trajecto mari propemodum cepisset? Quid vero attinet dicere, eorum, qui nunc nobis insultant, hostium his victis nullum nobis resistere posse? (8) Nihil, inquit Cineas; et vero perspicuum est, tanta te auctum potentia et Macedoniam recepturum, et imperium in Græcos stabile habiturum : verum his omnibus in nostram potestatem redactis, quid tum agemus? (9) Ibi sublato Pyrrhus risu : Multo, inquit, otio fruemur, et cyathus, optime vir, quotidianus erit et colloquiis invicem nos exhilarabimus. (10) Et hic quidem Cineas Pyrrhum disserentem intercipiens : Quid ergo obstat, inquit, quin jam nunc convivemur et inotio nos invicem oblectemus, quum jam in promptu id nobis sit, possimusque eo sine ullo labore frui, quod multo sanguine multisque ærumnis quæsitum imus, multa aliis mala illaturi, multa ipsi passuri? (11) Hac oratione Cineas Pyrrhum magis perturbavit, quam a proposito avertit : intelligentem sane, quantam in præsens felicitatem dimitteret, sed eorum, quæ cupiebat, spem deponere non valentem.

XV. Πρῶτον μὲν οὖν ἀπέστειλε τὸν Κινέαν τοῖς Ταραντίνοις στρατιώτας ἄγοντα τρισχιλίους· ἔπειτα πολλῶν ἱππηγῶν καὶ καταφράκτων καὶ πορθμείων παντοδαπῶν ἐκ Τάραντος κομισθέντων ἐνεβίβαζεν ἐλέφαντας εἴκοσι καὶ τρισχιλίους ἱππεῖς, πεζοὺς δὲ δισμυρίους καὶ δισχιλίους τοξότας καὶ σφενδονήτας πεντακοσίους. (2) Γενομένων δὲ πάντων ἑτοίμων ἀναχθεὶς ἔπλει· καὶ μέσον ἔχων τὸν Ἰόνιον ἁρπάζεται βορέᾳ ἀνέμῳ παρ' ὥραν ἐκραγέντι. Καὶ βιασθεὶς αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ κυβερνητῶν ἐξανέφερε καὶ προσανῆγε τῇ γῇ πολυπόνως καὶ παραβόλως, τοῦ δὲ ἄλλου στόλου συγχυθέντος καὶ τῶν νεῶν σκεδασθεισῶν αἱ μὲν ἀποσφαλεῖσαι τῆς Ἰταλίας ἐξεώσθησαν εἰς τὸ Λιβυκὸν καὶ Σικελικὸν πέλαγος, τὰς δὲ ὑπερβαλεῖν μὴ δυνηθείσας ἄκραν Ἰαπυγίαν νύξ τε κατελάμβανε καὶ πολλὴ καὶ χαλεπὴ θάλασσα παίουσα πρὸς χωρία δύσορμα καὶ τυφλὰ πάσας διέφθειρε πλὴν τῆς βασιλικῆς. (3) Αὕτη δὲ πλαγίου μὲν ἔτι ὄντος τοῦ κύματος ἠμύνετο καὶ διέφυγε μεγέθει καὶ ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης· ἐπεὶ δὲ περιελθὸν ἀπὸ τῆς γῆς ἀπήντα τὸ πνεῦμα καὶ κίνδυνον εἶχεν ἡ ναῦς ἀντίπρῳρος ἱσταμένη πρὸς κλύδωνα πολὺν διαῤῥαγῆναι, τὸ δὲ ἐφέντας αὖθις ἠγριωμένῳ πελάγει καὶ πνεύματι τροπὰς λαμβάνοντι παντοδαπὰς φέρεσθαι φοβερώτατον ἐφαίνετο τῶν παρόντων κακῶν, ἄρας ὁ Πύῤῥος αὐτὸν ἀφῆκεν εἰς θάλασσαν καὶ τῶν φίλων καὶ τῶν δορυφόρων εὐθὺς ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. (4) Ἡ δὲ νὺξ καὶ τὸ κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς χαλεπὴν ἐποίει τὴν βοήθειαν, ὥστε μόλις ἡμέρας ἤδη μαραινομένου τοῦ πνεύματος ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν, τῷ μὲν σώματι παντάπασιν ἀδυνάτως ἔχοντα, τόλμῃ δὲ καὶ ῥώμῃ τῆς ψυχῆς

XV. Primum itaque Cineam ad Tarentinos misit cum tribus millibus militum. Inde multis hippagogis, tectisque navibus et lembis Tarento allatis, viginti elephantos, equitum tria, peditum viginti, sagittariorum duo millia et funditores quingentos imposuit. (2) Omnibus paratis solvit, et medium jam Ionii maris tenens, Boreæ intempestive erumpentis flatu abreptus, ipse virtute et alacritate remigum atque gubernatorum non sine magno labore et periculo ad terram contendit; sed classe turbata, navibusque dissipatis, quædam ab Italia aberrantes in Africam et Siculum mare ejectæ sunt, quasdam, quum Iapygium promontorium superare non potuissent, nox obruit, ac mare tumidum et sæviens in loca importuosa et cæca impulit, omnesque perdidit, sola regia navi excepta. (3) Hæc, dum adhuc ex obliquo irruerunt fluctus, mole sua et robore maris impetum sustinuit : postquam mutato loco a terra etiam incubuit ventus, periculumque fuit ne navis proram ingenti procellæ obvertens subverteretur, neque vere inter præsentia mala quicquam terribilius videbatur, quam sævienti mari et vento omnes in partes se convertenti navim credere, Pyrrhus in aquam desiluit : summo studio et alacritate illico amici et stipatores in rege servando certatim laboraverunt. (4) At nox et unda ingenti fremitu asperaque repulsione auxilium difficile reddiderunt : itaque ut illuxit et ventus elanguit, ægre demum terram attigit, corporis viribus omnino collapsis, audacia tamen et animi robore contra hunc casum ob-

ἀνταίροντα πρὸς τὴν ἀπορίαν. (5) Ἅμα δὲ οἵ τε Μεσσάπιοι, καθ' οὓς ἐξεβράσθη, συνέθεον βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως καὶ προσεφέροντο τῶν σωζομένων ἐνίαι νεῶν, ἐν αἷς ἦσαν ἱππεῖς μὲν ὀλίγοι παντάπασι, πεζοὶ δὲ δισχιλίων ἐλάττους, ἐλέφαντες δὲ δύο.

XVI. Τούτους ἀναλαβὼν ὁ Πύρρος ἐβάδιζεν εἰς Τάραντα. Καὶ τοῦ Κινέου προαγαγόντος εἰς ἀπάντησιν, ὡς ἤσθετο, τοὺς στρατιώτας, παρελθὼν οὐδὲν ἀκόντων d οὐδὲ πρὸς βίαν ἔπραττε τῶν Ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς θαλάττης καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. (2) Τηνικαῦτα δὲ ὁρῶν τὸ πλῆθος ἄνευ μεγάλης ἀνάγκης μήτε σώζεσθαι δυνάμενον μήτε σώζειν, ἀλλ' οἷον ἐκείνου προπολεμοῦντος οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γενόμενον, ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν, πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν, ἐκάλει δὲ πρὸς τὰ ὅπλα καὶ περὶ τοὺς καταλόγους τῶν στρατευομένων e ἀπαραίτητος ἦν καὶ λυπηρός, ὥστε πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν ἀηθείᾳ τοῦ ἄρχεσθαι, δουλείαν τὸ μὴ πρὸς ἡδονὴν ζῆν καλοῦντας. (3) Ἐπεὶ δὲ Λαιβῖνος ὁ τῶν Ῥωμαίων ὕπατος ἠγγέλλετο πολλῇ στρατιᾷ χωρεῖν ἐπ' αὐτὸν ἅμα τὴν Λευκανίαν διαπορθῶν, οὐδέπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ, δεινὸν δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιιδεῖν τοὺς πολεμίους ἐγγυτέρω προϊόντας, ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας κήρυκα πρὸς τοὺς Ῥωμαίους, εἰ φίλον ἐστὶν αὐτοῖς πρὸ πολέμου δίκας λαβεῖν παρὰ τῶν Ἰταλιωτῶν αὐτῷ δικαστῇ f καὶ διαλλακτῇ χρησαμένους. (4) Ἀποκριναμένου δὲ τοῦ Λαιβίνου μήτε διαλλακτὴν Πύρρον αἱρεῖσθαι Ῥωμαίους μήτε δεδοικέναι πολέμιον, προελθὼν κατεστρατοπέδευσεν ἐν τῷ μεταξὺ πεδίῳ Πανδοσίας πόλεως καὶ Ἡρακλείας. (5) Πυθόμενος δὲ τοὺς Ῥωμαίους ἐγγὺς εἶναι καὶ πέραν τοῦ Σίριος ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ θέας ἕνεκα· καὶ κατιδὼν τά-
393ξιν τε καὶ φυλακὰς καὶ κόσμον αὐτῶν καὶ τὸ σχῆμα τῆς a στρατοπεδείας ἐθαύμασε, καὶ τῶν φίλων προσαγορεύσας τὸν ἐγγυτάτω, « Τάξις μέν, εἶπεν, ὦ Μεγάκλεις, αὕτη τῶν βαρβάρων οὐ βάρβαρος, τὸ δὲ ἔργον εἰσόμεθα. » (6) Καὶ διὰ φροντίδος ἔχων ἤδη τὸ μέλλον ἔγνω τοὺς συμμάχους ἀναμένειν, τοῖς δὲ Ῥωμαίοις, ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. (7) Οἱ δὲ ἅπερ ἐκεῖνος ἔγνω περιμένειν φθῆναι σπεύδοντες ἐνεχείρουν τῇ διαβάσει, καὶ τὰ πόρον μὲν οἱ πεζοί, πολλαχόθεν δὲ οἱ ἱππεῖς διεξελαύνοντες τὸν ποταμὸν, ὥστε δείσαντας τὴν κύκλωσιν ἀναχωρεῖν τοὺς Ἕλληνας, αἰσθόμενον δὲ τὸν Πύρρον καὶ διαταραχθέντα τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ παρεγ- b γυᾶν εὐθὺς εἰς τάξιν καθίστασθαι καὶ περιμένειν ἐν τοῖς ὅπλοις, αὐτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους ἀτάκτους λήψεσθαι τοὺς Ῥωμαίους. (8) Ἐπεὶ δ' ἑώρα θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ καὶ τοὺς ἱππεῖς ἐπελαύνοντας ἐν τάξει, συστρέψας ἐνέβαλε

firmatus. (5) Simul et Messapii, apud quos ejectus fuerat, prompte ad auxilium ei pro rebus præsentibus ferendum accurrerunt, quasdamque naves quæ vim tempestatis superaverant, adduxerunt, in quibus erant perpauci equites, peditum non duo integra millia, duoque elephanti.

XVI. His tum receptis Pyrrhus ad Tarentum accessit, Cineaque, ut de ejus adventu rescivit, milites obviam ei ducente, ingressus urbem, dum ex mari servatæ naves appellerent atque copiarum maxima pars conveniret, nihil invitis et nolentibus Tarentinis agit. (2) Tum vero intelligens, multitudinem eam sine magna vi neque servari posse neque semet ipsam servare, sed talem esse, quæ, illo pro ipsis propugnante, domi desidere malit, in balneis et conviviis occupata, gymnasia et ambulationes clausit, in quibus oberrantes verbis de bello recte administrando nugabantur, potationes quoque, comessationes, et convivia intempestiva sustulit, ad arma populum vocans, acerrimum et ita molestum vulgo delectum habuit, ut ex urbe multi discederent, quibus insolens erat imperata facere, et qui, non ex libidine sua vivere, servitutem appellabant. (3) Postquam Lævinum Romanorum consulem Lucaniam populari et multo cum exercitu contra ipsum ducere renunciatum est, Pyrrhus, etsi nondum sociorum auxilia convenissent, tamen indignum ratus, si hostes propius accedere pateretur, castra adversus eum movit, præmisso ad Romanos caduceatore qui quæreret, placeretne illis, antequam bellum inirent, ut se judice et arbitro ipsis satisfacerent Itali. (4) Respondit Lævinus, neque Pyrrhum Romanos arbitrum deligere, neque eum hostem timere. Itaque progressus, in campo inter Pandosiam et Heracleam castra fecit. (5) Inde quum Romanos prope adesse et trans fluvium Sirin castra habere audivisset, speculandi causa ad fluvium obequitavit : ordinibusque, excubiis, ornatu et castrorum figura inspectis, admiratus ea, Megacli, qui tunc amicorum proximus ei stabat, dixit, hunc barbarorum ordinem minime barbarum esse, sed facto se cogniturum. (6) Exinde de futuro sollicitus, sociorum auxilia exspectare statuit; Romanis, si quidem priores fluvium transire essent tentaturi, stationem ad ripam objecit. (7) Romani vero ea, quæ Pyrrhus operiebatur, prævertere properantes transgredi fluvium ausi sunt, missis per vadum peditibus, equitatu autem variis fluvii partibus trajiciente : ita ut Græci, ne circumvenirentur, stationem desererent, Pyrrhus, his cognitis perturbatus animo, ducibus peditum mandaret, ut aciem statim instruerent, militesque in armis tenerent : ipse cum tribus equitum millibus præivit, sperans adhuc in transitu amnis divulsos incompositosque Romanos se deprehensurum. (8) Verum ubi scuta supra fluvium plurima objecta, equites ordine incedere vidit, in adversum se hostem primus intulit,

πρῶτος αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι κεκοσμημένων περιττῶς καὶ τὴν δόξαν ἐπιδεικνύμενος ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς, μάλιστα δὲ ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι καὶ τοὺς καθ' αὑτὸν ἀμυνόμενος ἐῤῥωμένως οὐ συνεχεῖτο c τὸν λογισμὸν οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν, ἀλλ' ὥσπερ ἔξωθεν ἐφορῶν διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων ἐκασταχόσε καὶ παραβοηθῶν τοῖς ἐκδιάζεσθαι δοκοῦσιν. (9) Ἔνθα δὴ Λεοννάτος ὁ Μακεδὼν ἄνδρα κατιδὼν Ἰταλὸν ἐπέχοντα τῷ Πύῤῥῳ καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον, « Ὁρᾷς, εἶπεν, ὦ βασιλεῦ, τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας ἵππος ὁ λευκόπους φέρει; μέγα τι βουλευομένῳ καὶ δεινὸν ὅμοιός ἐστι. Σοὶ γὰρ ἑνορᾷ καὶ πρὸς σὲ τέταται πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δὲ ἄλλους ἐᾷ χαίρειν. Ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα. » (10) Καὶ d ὁ Πύῤῥος ἀπεκρίνατο· « Τὸ μὲν εἱμαρμένον, ὦ Λεοννάτε, διαφυγεῖν ἀδύνατον· χαίρων δὲ οὔτε οὗτος οὔτ' ἄλλος τις Ἰταλῶν εἰς χεῖρας ἡμῖν σύνεισιν. » (11) Ἔτι ταῦτα προσδιαλεγομένων ὁ Ἰταλὸς διαλαβὼν τὸ δόρυ καὶ συστρέψας τὸν ἵππον ὥρμησεν ἐπὶ τὸν Πύῤῥον. Εἶτα ἅμα παίει μὲν αὐτὸς τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον, παίει δὲ τὸν ἐκείνου παραβαλὼν ὁ Λεοννάτος. Ἀμφοτέρων δὲ τῶν ἵππων πεσόντων, τὸν μὲν Πύῤῥον οἱ φίλοι περισχόντες ἀνήρπασαν, τὸν δὲ Ἰταλὸν μαχόμενον διέφθειραν. Ἦν δὲ τῷ γένει Φρεντανὸς, ἴλης ἡγεμὼν, Ὅπλακος ὄνομα.

XVII. Τοῦτο δὲ ἐδίδαξε τὸν Πύῤῥον μᾶλλον φυλάττεσθαι· καὶ τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας μετεπέμπετο e τὴν φάλαγγα καὶ παρέταττεν, αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα παραδοὺς ἑνὶ τῶν ἑταίρων Μεγακλεῖ, τοῖς δὲ ἐκείνου τρόπον τινὰ κατακρύψας ἑαυτὸν ἐπῆγε τοῖς Ῥωμαίοις. (2) Δεξαμένων δὲ ἐκείνων καὶ συμβαλόντων χρόνον τε πολὺν εἱστήκει τὰ τῆς μάχης ἄκριτα καὶ τροπὰς ἑπτὰ λέγεται φευγόντων ἀνάπαλιν καὶ διωκόντων γενέσθαι. (3) Καὶ γὰρ ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ γεγενημένη τοῦ βασιλέως ὀλίγου ἐδέησεν ἀνατρέψαι τὰ πράγματα καὶ διαφθεῖραι τὴν νίκην. (4) Πολλῶν γὰρ ἐφιεμένων τοῦ Μεγακλέους ὁ πρῶτος πατάξας καὶ καταβαλὼν αὐτὸν ὄνομα Δέξιος ἁφαρπάσας τὸ κράνος καὶ τὴν χλαμύδα τῷ Λαιβίνῳ f προσίππευσεν, ἀναδεικνύων ἅμα καὶ βοῶν ἀνηρηκέναι τὸν Πύῤῥον. (5) Ἦν οὖν παρὰ τὰς τάξεις τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων τοῖς τε Ῥωμαίοις χαρὰ μετ' ἀλαλαγμοῦ καὶ τοῖς Ἕλλησιν ἀθυμία καὶ κατάπληξις, ἄχρι οὗ μαθὼν ὁ Πύῤῥος τὸ γιγνόμενον παρήλαυνε γυμνῷ τῷ προσώπῳ τὴν τε δεξιὰν a ὀρέγων τοῖς μαχομένοις καὶ τῇ φωνῇ σημαίνων ἑαυτόν. (6) Τέλος δὲ τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς Ῥωμαίους καὶ τῶν ἵππων, πρὶν ἐγγὺς γενέσθαι, δυσανασχετούντων καὶ παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν Θεσσαλικὴν ἵππον αὐτοῖς ταρασσομένοις ἐτρέψατο πολλῷ φόνῳ. (7) Διονύσιος μὲν οὖν ὀλίγῳ τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας πεσεῖν ἱστο-

quum armorum pulchritudine, ornamentorumque eximio splendore conspicuus, tum gloriæ suæ facta paria ostentans, eoque inprimis, quod manibus et corpore in prœlio laborans, fortiterque in obvios hostes pugnans, non perturbatus est animo nec mente excidit, ac quasi extra aleam prœlii positus omnia consideraret, bellum temperavit, subinde accurrens, et iis qui pelli videbantur auxilium ferens. (9) Ibi Leonnatus Macedo quum Italum quendam Pyrrho intentum, equoque in eum conversum omnes ejus motus observare et sequi conspexisset: Cernisne, inquit, o rex, barbarum illum equo albis pedibus, cetera nigro, insidentem? magnum aliquid meditari et arduum videtur; in te enim unum reliquis neglectis intuetur et adversum te consistit, ferociæ plenus: proinde ab eo tibi cave. (10) Huic ita Pyrrhus respondit: Fatum quidem, Leonnate, evitari non potest, sed neque iste, neque quisquam alius Italorum mecum impune congredietur. (11) Hæc illis adhuc colloquentibus, Italus ille equo converso, infensaque hasta contra Pyrrhum impetum fecit, simulque et regis equum feriit, et ipsius equus est a Leonnato confossus. Utriusque autem lapso equo, Pyrrhum amici eripuerunt, Italus pugnans interfectus est. Fuit is Frentanus natione, turmæque dux, Oplacus nomine.

XVII. Pyrrhum hoc in posterum cautiorem reddidit, et quum equitatum suum inclinari videret, phalangem accersiit atque instruxit: ipse sociorum suorum cuidam, Megacli nomine, arma sua et chlamydem tradidit, ejusque vicissim se habitu texit, atque ita aciem contra Romanos movit. (2) Quibus impetum excipientibus et prœlium committentibus, diu incerta fuit victoria, septenisque vicibus fugisse eosdem et hostem insecutos aiunt. (3) Et armorum mutatio quum suo tempore regi saluti fuisset, parum abfuit quin res ejus everteret, victoriamque perderet. (4) Nam multis Megaclem petentibus, primus eum Dexius quidam percussit atque stravit, et cassidem chlamydemque abripiens, ad Lævinum attulit, ostentans clamansque, Pyrrhum se interfecisse. (5) His exuviis per aciem circumlatis atque monstratis, apud Romanos gaudium et vociferatio læta, apud Græcos mœstitia et terror ortus est: donec Pyrrhus re percepta nuda facie accurrit, manusque intendens, et voce se pugnantibus agnoscendum præbuit. (6) Ad extremum quum elephanti maxime Romanos pellerent, equis eorum antequam ad hostem venissent belluas ægre ferentibus, sessoresque transversos auferentibus, turbatis Thessalicum equitatum immisit, eosque multa cum cæde fudit. (7) Dionysius refert paullo minores quindecim millibus Romanorum cecidisse, Hie-

ρεῖ Ῥωμαίων, Ἱερώνυμος δὲ μόνους ἑπτακισχιλίους, τῶν δὲ περὶ Πύρρον ὁ μὲν Διονύσιος μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος ἐλάττονας τῶν τετρακισχιλίων· κράτιστοι δὲ ἦσαν οὗτοι καὶ τῶν φίλων ὁ Πύρρος καὶ τῶν στρατηγῶν οἷς μάλιστα χρώμενος διετέλει καὶ πιστεύων ἀπέβαλεν. (8) Οὐ μὴν ἀλλὰ καὶ τὸ στρατόπεδον ἔλαβε τῶν Ῥωμαίων ἐκλιπόντων καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο καὶ χώραν πολλὴν διεπόρθησε, καὶ προῆλθεν ὅσον μὴ πλέον σταδίων τριακοσίων ἀποσχεῖν τῆς Ῥώμης. (9) Ἀφίκοντο δὲ αὐτῷ Λευκανῶν τε πολλοὶ καὶ Σαυνιτῶν μετὰ τὴν μάχην, οὓς ἐμέμψατο μὲν ὑστερήσαντας, ἧν δὲ δῆλος ἡδόμενος καὶ μέγα φρονῶν, ὅτι μόνοις τοῖς μεθ' αὑτοῦ καὶ Ταραντίνοις ἐκράτησε τῆς μεγάλης Ῥωμαίων δυνάμεως.

XVIII. Ῥωμαῖοι δὲ Λαιβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς· καίτοι λέγεται Γάϊον Φαβρίκιον εἰπεῖν, ὡς οὐχ Ἠπειρῶται Ῥωμαίους, ἀλλὰ Πύρρος νενικήκοι Λαιβῖνον, οἰόμενον οὐ τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας γεγονέναι τὴν ἧτταν· ἀναπληροῦντες δὲ τὰς τάξεις καὶ συντάττοντες ἑτέρας προθύμως καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ πολέμου λέγοντες ἔκπληξιν τῷ Πύρρῳ παρεῖχον. (2) Ἔδοξεν οὖν αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν, εἰ συμβατικῶς ἔχοιεν, ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν πόλιν καὶ κρατῆσαι παντάπασιν οὐ μικρὸν ἔργον οὐδὲ τῆς παρούσης δυνάμεως εἶναι, τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις κάλλιστα ἔχειν πρὸς δόξαν αὐτῷ μετὰ νίκην. (3) Πεμφθεὶς οὖν ὁ Κινέας ἐνετύγχανε τοῖς δυνατοῖς καὶ δῶρα παισὶν αὐτῶν καὶ γυναιξὶν ἔπεμψε παρὰ τοῦ βασιλέως. Ἔλαβε δὲ οὐδείς, ἀλλ' ἀπεκρίναντο πάντες καὶ πᾶσαι, ὅτι δημοσίᾳ σπονδῶν γενομένων καὶ τὰ παρ' αὐτῶν ὑπάρξει πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. (4) Πρὸς δὲ τὴν σύγκλητον ἐπαγωγὰ τοῦ Κινέου πολλὰ καὶ φιλάνθρωπα διαλεχθέντος ἄσμενοι μὲν οὐδὲν οὐδὲ ἑτοίμως ἐδέχοντο, καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων ἀφιέντος αὐτοῖς τοῦ Πύρρου καὶ συγκατεργάσασθαι τὴν Ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δὲ ἀντὶ τούτων ἑαυτῷ καὶ τοῖς Ταραντίνοις ἄδειαν, ἕτερον δὲ μηδὲν αἰτουμένου· δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν εἰρήνην ἡττημένοί τε μεγάλῃ μάχῃ καὶ προσδοκῶντες ἑτέραν ἀπὸ μείζονος δυνάμεως τῶν Ἰταλικῶν τῷ Πύρρῳ προσγεγονότων. (5) Ἔνθα δὴ Κλαύδιος Ἄππιος, ἀνὴρ ἐπιφανὴς, ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώσεως ὀμμάτων ἀπειρηκὼς πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος, ἀπαγγελλομένων τότε τῶν παρὰ τοῦ βασιλέως καὶ λόγου κατασχόντος, ὡς μέλλει ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρτέρησεν, ἀλλὰ τοὺς θεράποντας ἄρασθαι κελεύσας αὐτὸν ἐκομίζετο πρὸς τὸ βουλευτήριον ἐν φορείῳ δι' ἀγορᾶς. (6) Γενόμενον δὲ πρὸς ταῖς θύραις οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς ὑπολαβόντες καὶ περισχόντες εἰσῆγον, ἡ δὲ βουλὴ σιωπὴν αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς ἔσχεν.

XIX. Ὁ δὲ αὐτόθεν καταστὰς, « Πρότερον μέν, ἔφη, ronymus tantum septem millia; a Pyrrhi parte ille tredecim, hic non prorsus quattuor millia: fuerunt autem præstantissimi; præterea amicorum et ducum eos, quibus præcipue semper usus erat quibusque plurimum confidebat, Pyrrhus amisit. (8) At vero et castra Romanorum ab illis relicta cepit et urbes ad societatem belli pertraxit multaque regione vastata eo usque processit, ut trecentis tantum ab Urbe abesset stadiis. (9) Post pugnam multi ad eum ex Lucanis et Samnitibus venerunt; quorum etsi moram culpavit, tamen haud obscure lætitiam et animi elationem tulit, quod ipse solus cum Tarentinis magnam Romanorum potentiam superasset.

XVIII. Romani autem Lævino magistratum non abrogaverunt: tametsi C. ferunt Fabricium dixisse, non ab Epirotis Romanos, sed a Pyrrho Lævinum victum fuisse: quippe non copiarum, sed imperatoris culpa cladem acceptam. Enimvero refectis ordinibus et novis acerrime factis delectibus, quum de bello multa intrepide elateque dicerent, stupefecerunt Pyrrhum. (2) Itaque prius per legationem experiendum ratus, an ad pacificationem inclinarent, quum et urbem non facile, neque istis, quas habebat, copiis capi penitusque Romanos vinci posse, et fœdus pacemque post hanc victoriam gloriæ sibi summæ futuram judicaret. (3) Missus itaque Romam Cineas, cum proceribus collocutus est, eorumque liberis et uxoribus regis nomine munera obtulit: accepta sunt a nemine, sed ab omnibus et viris et mulieribus responsum, publice contracto fœdere suam quidem voluntatem regi non defore. (4) Ad senatum a Cinea multa humaniter et ad pelliciendum apposite dicta quum essent, quamvis et captos in pugna sine pretio se dimissurum Pyrrhus et in Italia subigenda iis auxilio futurum pollicerctur, nihilque eo nomine nisi societatem secum fieri et Tarentinis impunitatem dari peterct: nihil tamen libenter prompteque acceptum est. Haud obscure quidem ad pacem inclinabant plerique, quod et victi essent magno prœlio et aliud majus, auctis Italorum accessione Pyrrhi viribus, exspectarent. (5) Eo tempore Appius Claudius vir illustris, quum propter senectutem et oculorum defectum in republica versari jam ante desiisset, renunciatis ipsi regis postulatis, obtinenteque simul rumore, fore ut pacem senatus decerneret faciendam, non se continuit, quin a famulis lectica per forum in Curiam gestari se juberet. (6) Apud fores filii eum et generi exceptum in senatum introduxerunt; senatus reverentia tam honorati viri silentium tenuit.

XIX. Appius autem illico assurgens, hanc habuit oratio-

τὴν περὶ τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον, ω Ῥωμαῖοι, νῦν δὲ ἄχθομαι πρὸς τῷ τυφλὸς εἶναι μὴ καὶ κωφὸς ὢν, ἀλλ' ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν ἀνατρέποντα τῆς Ῥώμης τὸ κλέος. (2) Ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας ἀνθρώπους θρυλούμενος ἀεὶ λόγος, ὡς, εἰ παρῆν ἐκεῖνος εἰς Ἰταλίαν ὁ μέγας Ἀλέξανδρος καὶ συνηνέχθη νέοις ἡμῖν καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζουσιν, οὐκ ἂν ὑμνεῖτο νῦν ἀνίκητος, ἀλλ' ἢ φυγὼν ἂν ἢ που πεσὼν ἐνταῦθα τὴν Ῥώμην ἐνδοξοτέραν ἀπέλιπε; (3) Ταῦτα μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε Χάονας καὶ Μολοσσοὺς, τὴν ἀεὶ Μακεδόνων λείαν, δεδιότες καὶ τρέμοντες Πύρρον, ὃς τῶν Ἀλεξάνδρου δορυφόρων ἕνα γοῦν ἀεὶ περιέπων καὶ θεραπεύων διατετέλεκε καὶ νῦν οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον Ἕλλησιν ἢ φεύγων τοὺς ἐκεῖ πολεμίους πλανᾶται περὶ τὴν Ἰταλίαν, ἐπαγγελλόμενος ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυνάμεως, ἢ μέρος μικρὸν αὐτῷ Μακεδονίας οὐκ ἤρκεσε διαφυλάξαι. (4) Μὴ τοῦτον οὖν ἀπαλλάξειν νομίζετε ποιησάμενοι φίλον, ἀλλὰ ἐκείνους ἐπάξεσθαι καταφρονήσαντας ὑμῶν, ὡς πᾶσιν εὐκατεργάστων, εἰ Πύρρος ἅπεισι μὴ δοὺς δίκην ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν τοῦ ἐπεγγελάσαι Ῥωμαίοις Ταραντίνους καὶ Σαυνίτας. » (5) Τοιαῦτα τοῦ Ἀππίου διαλεχθέντος ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐτοῖς καὶ τὸν Κινέαν ἀποπέμπουσιν ἀποκρινάμενοι Πύρρον ἐξελθόντα τῆς Ἰταλίας οὕτως, εἰ δέοιτο, περὶ φιλίας καὶ συμμαχίας διαλέγεσθαι, μέχρι δὲ οὗ πάρεστιν ἐν ὅπλοις, πολεμήσειν αὐτῷ Ῥωμαίους κατὰ κράτος, κἂν μυρίους ἔτι Λαιβίνους τρέψηται μαχόμενος. (6) Λέγεται δὲ Κινέαν, ἐν ᾧ ταῦτα ἔπραττεν, ἅμα ποιησάμενον ἔργον καὶ σπουδάσαντα τῶν τε βίων γενέσθαι θεατὴν καὶ τῆς πολιτείας τὴν ἀρετὴν κατανοῆσαι καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις τά τε ἄλλα τῷ Πύρρῳ φράσαι καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη, περὶ δὲ τοῦ πλήθους δεδιέναι, μὴ πρός τινα φανῶσι Λερναίαν ὕδραν μαχόμενοι· διπλασίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν παρατεταγμένων πρότερον ἠθροῖσθαι καὶ πολλάκις εἶναι τοσούτους ἔτι τῶν Ῥωμαίων ὅπλα φέρειν δυναμένους.

XX. Ἐκ τούτου πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων οἱ περὶ Γάϊον Φαβρίκιον, οὗ πλεῖστον ἔφη Ῥωμαίους λόγον ἔχειν ὁ Κινέας ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος δὲ ἰσχυρῶς. (2) Τοῦτον οὖν ὁ Πύρρος ἰδίᾳ φιλοφρονούμενος ἔπειθε λαβεῖν χρυσίον, ἐπ' οὐδενὶ δῆθεν αἰσχρῷ, φιλίας δέ τι τοῦτο καὶ ξενίας ἐπονομάζων σύμβολον. (3) Ἀπωσαμένου δὲ τοῦ Φαβρικίου τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ βουλόμενος αὐτὸν ἐκπλῆξαι μήπω θεατὴν ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξόπισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις αὐλαίαν παρατείναντας. (4) Ἐγένετο δὴ ταῦτα καὶ σημείου δοθέντος ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε προνομαίαν ἀράμενον ὑπερέσχε τῆς κεφαλῆς τοῦ Φαβρικίου καὶ φωνὴν ἀφῆκε

nem : « Hactenus quidem, P. C., visus mei calamitatem graviter tuli, nunc autem hoc mihi molestum præterea est, quod non surditas mihi ad cæcitatem accessit : sed turpia vestra audio consilia et decreta, quibus gloriam Romanam evertitis. (2) Ubi nunc vestra illa, quæ per omnium hominum ora est vagata, oratio? Si Alexander, dicebatis, Magnus in Italiam venisset, ac cum nobis juvenibus aut patribus nostris ætate florentibus, rem habuisset, non invictus hodie cantaretur, sed aut fuga, aut morte sua Romæ gloriam auxisset. (3) Nunc ea inani futilitate et vana jactantia a vobis dicta fuisse ostenditis, Chaonas et Molossos, qui semper Macedonum præda fuerunt, timentes et Pyrrhum metuentes, qui uni certe satellitum Alexandri perpetuo se asseclam præbuit. Atque is nunc non auxilium Græcis, qui in Italia sunt, ferens, sed quos in Græcia habet hostes fugiens hic oberrat, hisque copiis imperium Italiæ se nobis paraturum promittit, quibus exiguam Macedoniæ partem servare sibi non valuit. (4) Nolite igitur existimare, amicitiæ pactione vos ab eo liberatum iri : quin imo illos alteros excietis, contemnentes vos, ut qui facillime a quovis subigamini, quum Pyrrhus ex Italia recedat non modo impune suas in vos injurias, sed et mercedi loco id secum auferens, quod Romanos Samnitibus atque Tarentinis deridendos propinaverit. » (5) Hæc oratio Appii animos suorum ad bellum excitavit. Itaque Cineas dimissus est, jussusque Pyrrho renunciare, ut ex Italia discederet, atque tum, si videretur, de amicitia et societate cum Romanis ageret : quam diu vero in armis esset futurus, Romanos totis viribus bellum contra eum gesturos, etiam si sexcentos adhuc Lævinos pugna vinceret. (6) Ferunt Cineam, interim dum legationem obiret, operæ pretium duxisse, uti in vitas Romanorum inspiceret et reipublicæ virtutes cognosceret, habitis cum præstantissimis Romanorum sermonibus : eumque inter alia Pyrrho dixisse, Romanum senatum sibi regum multorum concilium visum fuisse ; et de populi multitudine, vereri se, ne contra Lernæam aliquam hydram sit pugnandum ; nam et duplum eorum qui in acie prius stetissent, jam a consule collectum haberi, multotiesque totidem adhuc Romæ esse ferendis armis habiles.

XX. Sub hæc cum C. Fabricio de redimendis captivis legati ad Pyrrhum venerunt, quem apud Romanos plurimi fieri retulerat Cineas, virum quippe bonum, et bellica virtute nobilem, sed pauperrimum. (2) Hunc Pyrrhus privatim amice compellatum, ut abs se aurum acciperet, nullius rei turpis causa, sed in amicitiæ saltem hospitiique argumentum, hortatus est. (3) Quum Fabricius donum repudiasset, in præsentia destitit ; at postridie eum, quod nunquam elephantum vidisset, terrere volens, imperavit ut ipsis iterum congressis maximus elephantorum a tergo constitueretur aulæo producto. (4) Factum est ita : et dato signo, aulæo sublato bellua subito proboscidem supra caput Fabricii protulit, terribilemque et asperam vocem

φοβερὰν καὶ τραχεῖαν. Ὁ δὲ ῥήμα μεταστραφεὶς καὶ διαμειδιάσας πρὸς τὸν Πύρρον εἶπεν, « Οὔτε χθές με τὸ χρυσίον ἐκίνησεν οὔτε σήμερον τὸ θηρίον. » (5) Ἐν δὲ τῷ δείπνῳ λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ περὶ τῆς Ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως ὁ Κινέας ἐπιμνησθεὶς τοῦ Ἐπικούρου καὶ διῃλθεν ἃ λέγουσι περὶ θεῶν καὶ πολιτείας καὶ τέλους, τὸ μὲν ἐν ἡδονῇ τιθέμενοι, πολιτείαν δὲ φεύγοντες ὡς βλάβην καὶ σύγχυσιν τοῦ μακαρίου, τὸ δὲ θεῖον ἀπωτάτω χάριτος καὶ ὀργῆς καὶ τοῦ μέλειν ἡμῶν εἰς ἀπράγμονα βίον καὶ μεστὸν εὐπαθειῶν ἀποικίζοντες. (6) Ἔτι δὲ αὐτοῦ λέγοντος ἀνακραγὼν ὁ Φαβρίκιος, « Ὦ Ἡράκλεις, εἶπε, Πύρρῳ τὰ δόγματα μέλοι ταῦτα καὶ Σαυνίταις, ἕως πολεμοῦσι πρὸς ἡμᾶς. » (7) Οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ ἦθος ὁ
396 Πύρρος ἔτι μᾶλλον ὠρέγετο φιλίαν ἀντὶ πολέμου a πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι· κἀκεῖνον ἰδίᾳ παρεκάλει ποιησάμενον τὰς διαλύσεις ἕπεσθαι καὶ συζῆν μετ' αὐτοῦ πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν. (8) Ὁ δὲ ἡσυχῇ λέγεται πρὸς αὐτὸν εἰπεῖν· « Ἀλλ' οὐδὲ σοὶ τοῦτο, βασιλεῦ, λυσιτελές ἐστιν· αὐτοὶ γὰρ οἱ νῦν σε τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ' ἐμοῦ μᾶλλον ἐθελήσουσιν ἢ σοῦ βασιλεύεσθαι. » (9) Τοιοῦτος μὲν ὁ Φαβρίκιος. Ὁ δὲ Πύρρος οὐ πρὸς ὀργὴν οὐδὲ τυραννικῶς ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγειλε τοῦ Φαβρικίου τὴν μεγαλοφροσύνην καὶ τοὺς αἰχμαλώτους ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως, εἰ μὴ ψηφίσαιτο τὴν εἰρήνην b ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας καὶ τὰ Κρόνια διεορτάσαντες ἀποπεμφθεῖεν πάλιν πρὸς αὐτόν. Καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτὴν τῷ ὑπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης.

XXI. Μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος ἦκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν ἐπιστολὴν κομίζων, ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν Πύρρον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογηθείη λύσαντι τὸν πόλεμον ἀκινδύνως. (2) Ὁ δὲ Φαβρίκιος δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν Πύρρον κατὰ τάχος φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. (3) Εἶχε δὲ οὕτως τὰ γεγραμμένα· « Γάϊος Φαβρίκιος καὶ c Κόϊντος Αἰμίλιος ὕπατοι Ῥωμαίων Πύρρῳ βασιλεῖ χαίρειν. Οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτὴς οὔτε πολεμίων. Γνώσῃ δὲ τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνούς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. Οὐδὲ γὰρ ταῦτα τῇ σῇ χάριτι μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ καὶ δόλῳ δόξωμεν ὡς ἀρετῇ μὴ δυνάμενοι κατεργάσασθαι τὸν πόλεμον. » (4) Ἐντυχὼν δὲ τούτοις τοῖς γράμμασιν ὁ Πύρρος καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας τὸν μὲν ἰατρὸν ἐκόλασε, Φαβρικίῳ δὲ καὶ Ῥωμαίοις d ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους καὶ πάλιν ἔπεμψε τὸν Κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρήνην.

edidit. At Fabricius placide conversus atque subridens : Neque heri, inquit, aurum, neque hodie bellua me movit. (5) In cœna omnis generis sermonibus inductis, ac plurimis de Græcia et philosophis, forte Cineas Epicuri mentionem fecit, atque exposuit quemadmodum Epicurei, summum bonum in voluptate ponentes, rempublicam, veluti detrimentum et perturbationem felicitatis, fugerent; deum autem longissime ab ira et gratia, curaque rerum f humanarum in otiosa et voluptatum plena vita collocarent. (6) Nondum finierat sermonem, quum Fabricius alta voce exclamavit : Utinam, o superi, Pyrrho et Samnitibus, tantisper dum contra nos bellum gerunt, placita istorum hæc philosophorum cordi sint. (7) Pyrrhus, animi magnitudinem moresque Fabricii admiratus, pacem omisso bello cum Romanis facere cupiit, et privatim ei promisit, si quidem effecisset ut pax coiret, secum si vellet futurum, seque eum primo inter amicos et duces suos loco habiturum. (8) Ad hæc Fabricius submissa voce : Atqui, inquit, id ex re tua futurum non est : qui enim te nunc colunt et admirantur, ubi qualis ego sim experti fuerint, a me potius quem a te regi volent. (9) Talis erat Fabricius. Pyrrhus autem hunc sermonem non irato aut tyrannico animo accepit, sed et amicis suis de Fabricii magnanimitate retulit, et ei soli captivos permisit, ut, si senatus pacem non decrevisset, ii salutatis amicis et Saturnalibus celebratis, ad se remitterentur. Et vero sunt a senatu remissi, mortisque supplicium iis, qui non rediissent, constitutum.

XXI. Post hæc ad Fabricium delato imperio, quidam in castra ejus venit, epistolam ferens a regis medico scriptam, pollicente Pyrrhum se veneno necaturum, si Romani gratiam se ipsi, quod bellum citra periculum eorum dissolvisset, habituros reciperent. (2) Sed Fabricius indigne facinus hoc ferens, collega in eandem adducto sententiam, missis celeriter ad Pyrrhum litteris, cavere sibi ab istis insidiis jussit. (3) Exemplum litterarum hoc fuit : C. Fabricius, Q. Æmilius coss. Pyrrho regi S. Videris neque in amicis neque in hostibus judicandis felix : etenim lectis nostris ad te litteris cognosces, bonis te et justis viris bellum facere, malis et injustis credere. Neque vero hæc in tuam gratiam tibi indicamus, sed ne tuus casus calumniam adversus nos excitet et videamur bellum, quum virtute non potuissemus, fraude confecisse. (4) Lectis litteris deprehensisque insidiis Pyrrhus medicum supplicio affecit, Fabricio et Romanis referendæ gratiæ causa captivos dono dedit, simulque Cineam iterum misit, ut is de pace ageret. (5) Romani captivos

(5) Οἱ δὲ Ῥωμαῖοι, μήτε εἰ χάρις ἐστὶ παρὰ πολεμίου, μήτε εἰ μισθὸς τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄνδρας ἀξιώσαντες ἴσους ἀπέλυσαν αὐτῷ Ταραντίνων καὶ Σαυνιτῶν, περὶ δὲ φιλίας καὶ εἰρήνης οὐδὲν εἴων διαλέγεσθαι, πρὶν ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν ἐξ Ἰταλίας αἷς ἦλθε ναυσὶν ἀποπλεύσῃ πάλιν εἰς Ἤπειρον. (6) Ἐκ τούτου μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων ἀναλαβὼν τὴν στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πόλιν τοῖς Ῥωμαίοις συνάψας καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν ὑλώδη καὶ τραχὺν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων, ὥστε προσμίξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γενομένων καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισάμενος. (7) Τῇ δὲ ὑστεραίᾳ στρατηγῶν δι' ὁμαλοῦ τὴν μάχην θέσθαι καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πολεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῇ καὶ πολλὰ καταμίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις, ἐπῆγε μετὰ ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. (8) Οἱ δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα καὶ σπεύδοντες ὥσασθαι τοὺς ὁπλίτας, πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσσας τῶν ξιφῶν ἀγῶνας εἶχον ἀφειδοῦντες ἑαυτῶν καὶ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι. (9) Χρόνῳ δὲ πολλῷ λέγεται μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν γενέσθαι τὸν Πύρρον ἐπερείσαντα τοῖς ἀντιτεταγμένοις, τὸ δὲ πλεῖστον ἀλκῇ καὶ βίᾳ τῶν ἐλεφάντων κατειργάσατο, χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν μάχην τῶν Ῥωμαίων μὴ δυναμένων, ἀλλ' οἷον ἐφόδῳ κύματος ἢ σεισμοῦ κατερείποντος οἰομένων δεῖν ἐξίστασθαι μηδὲ ὑπομένειν ἀπράκτους ἀποθνήσκειν ἐν τῷ μηδὲν ὠφελεῖν πάντα πάσχοντας τὰ χαλεπώτατα. (10) Τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης ἑξακισχιλίους ἀποθανεῖν φησὶ τῶν Ῥωμαίων Ἱερώνυμος, τῶν δὲ περὶ Πύρρον ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀνενεχθῆναι τρισχιλίους πεντακοσίους καὶ πέντε τεθνηκότας. (11) Ὁ μέντοι Διονύσιος οὔτε δύο περὶ Ἄσκλον μάχας οὔτε ὁμολογουμένην ἦτταν ἱστορεῖ γενέσθαι Ῥωμαίων, ἅπαξ δὲ μέχρι δυσμῶν ἡλίου μαχεσαμένους μόλις ἀπαλλαγῆναι, τοῦ Πύρρου τρωθέντος ὑσσῷ τὸν βραχίονα καὶ τὴν ἀποσκευὴν ἅμα Σαυνιτῶν διαρπασάντων, ἀποθανεῖν δὲ καὶ Πύρρου καὶ Ῥωμαίων ἄνδρας ὑπὲρ μυρίους πεντακισχιλίους ἑκατέρων. (12) Διελύθησαν δὲ ἀμφότεροι· καὶ λέγεται τὸν Πύρρον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ, « Ἂν ἔτι μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολούμεθα παντελῶς. » (13) Πολὺ μὲν γὰρ ἀπολώλει μέρος ἧς ἄγων ἦκε δυνάμεως, φίλοι δὲ καὶ στρατηγοὶ πλὴν ὀλίγων ἅπαντες· μεταπέμπεσθαι δὲ οὐκ ἦσαν ἕτεροι, καὶ τοὺς αὐτόθι συμμάχους ἀμβλυτέρους ἑώρα, τοῖς δὲ Ῥωμαίοις ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιῤῥεούσης ἀναπληρούμενον εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον καὶ ταῖς ἥτταις οὐκ ἀποβάλλοντας τὸ

(5) Neque beneficii loco, neque mercedis nomine sceleris non commissi ab hoste accipiendos rati, totidem ei de Tarentinis et Samnitibus captos sine pretio reddiderunt : de amicitia et pace nullum admissuros sermonem responderunt, nisi ante armis et milite ex Italia amoto in Epirum quibus venisset navibus revexisset. (6) Inde Pyrrhus, rebus alterum flagitantibus prœlium, castra movit et ad Asculum oppidum signa cum Romanis contulit, ac redactus ad loca equitatui iniqua, apud amnem rapidum et cujus ripæ essent arbustis obsitæ quum elephantis aditus in Romanam aciem non pateret, multis utrimque vulneratis et cæsis, nox tandem prœlium diremit. (7) Postridie ut æquali loco pugnam committeret, elephantique in Romanos irruere possent, iniquiora loca præsidio occupavit, multisque velitibus et sagittariis inter elephantos admixtis, densis ordinibus exercitum ingentem multa cum vi in hostem duxit. (8) Romani qui flectere et ab altero latere irrumpere, ut superiori pugna, non possent, a fronte in planitie cum hostibus concurrerunt; quum vero ante elephantorum impetum phalangem fundere intenderent, vehemens fuit eorum pugna, gladiis contra sarissas contendentium, neque vitæ parcentium suæ, sed ut sauciarent aut dejicerent hostem, nihil sollicitorum quid ipsis fieret. (9) Quum diu esset pugnatum, pelli tandem cœperunt, ut fertur, ab ea parte, qua Pyrrhus ipse hostibus repugnabat; maxime autem elephantorum robore et impetu sunt pulsi, quum propter eos virtute sua uti non possent, sed veluti fluctu aut terræ motu ingruente, cedendum sibi intelligerent, neque sustinendum, ut infectis rebus occumberent nulloque fructu atrocissima quævis perferrent. (10) Fuga non longa fuit, castris in vicinia positis. Millia Romanorum sex cecidisse Hieronymus ait, a parte Pyrrhi millia tria quingentos quinque occubuisse, ita esse in regiis annotatum commentariis. (11) Dionysius neque duas ad Asculum pugnas, neque certam de Romanis victoriam refert : semel usque ad occasum solis quum pugnatum et brachium Pyrrho ad extremum pilo vulneratum esset, simulque Samnitibus impedimenta ejus diripientibus, ægre diremptos fuisse; ab utraque parte seorsum supra quindecim millia desiderata fuisse. (12) Utrique receptui cecinere; et Pyrrhum post hanc pugnam cuidam gratulanti respondisse ferunt : Si uno adhuc prœlio Romanos vincemus, funditus peribimus. (13) Etenim magnam eorum, quos secum adduxerat, militum copiam, amicos et duces prope omnes amiserat : alios quos evocaret, non habebat, socios Italicos remissius agere videbat; contra Romanis tanquam ex fonte domestico affluere milites, quibus quamprimum repararent exercitum et explerent

θαῤῥεῖν, ἀλλὰ καὶ ῥώμην καὶ φιλονεικίαν ὑπ' ὀργῆς ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας.

XXII. Ἐν τοιαύταις δὲ ὧν ἀπορίαις εἰς ἐλπίδας αὖ πάλιν καιναὶ ἐνέπεσε καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης. (2) Ἅμα γὰρ ἦκον ἐκ μὲν Σικελίας ἄνδρες Ἀκράγαντα καὶ Συρακούσας καὶ Λεοντίνους ἐγχειρίζοντες αὐτῷ καὶ δεόμενοι Καρχηδονίους τε συνεκβαλεῖν καὶ τῶν τυράννων ἀπαλλάξαι τὴν νῆσον, ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες, ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπόλωλε συμπεσὼν Γαλάταις μετὰ τῆς δυνάμεως καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα δεομένοις βασιλέως Μακεδόσι παραγένοιτο. (3) Πολλὰ δὴ τὴν τύχην μεμψάμενος, ὅτι πράξεων μεγάλων ὑποθέσεις εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε, καὶ νομίζων, ὡς ἀμφοτέρων ὑπαρχόντων, ἀπολλύναι θάτερον διηνέχθη τοῖς λογισμοῖς πολὺν χρόνον. (4) Εἶτα τοῖς Σικελικοῖς μειζόνων ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι δοκούσης, ἐπὶ ταῦτα τρέψας Κινέαν μὲν εὐθὺς ἐξέπεμψε προδιαλεξόμενον, ὥσπερ εἰώθει, ταῖς πόλεσιν, αὐτὸς δὲ τοῖς Ταραντίνοις δυσανασχετοῦσιν ἐμβαλὼν φρουρὰν καὶ ἀξιοῦσιν ἢ παρέχειν ἐφ' οἷς ἦκε συμπολεμοῦντα Ῥωμαίοις ἢ τὴν χώραν προέμενον αὐτῶν ἀπολιπεῖν τὴν πόλιν οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκρινάμενος, ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν καὶ περιμένειν τὸν ἑαυτοῦ καιρὸν ἐξέπλευσεν. (5) Ἀψαμένῳ δὲ αὐτῷ Σικελίας ἃ μὲν ἤλπισεν εὐθὺς ἀπήντα βέβαια καὶ παρεῖχον αἱ πόλεις ἑαυτὰς προθύμως, τῶν δὲ ἀγῶνος καὶ βίας δεηθέντων οὐδὲν ἀντεῖχε τὸ πρῶτον, ἀλλὰ τρισμυρίοις πεζοῖς καὶ δισχιλίοις πεντακοσίοις ἱππεῦσι καὶ διακοσίαις ναυσὶν ἐπιὼν τούς τε Φοίνικας ἐξῄρει καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν. (6) Τοῦ δ' Ἔρυκος ὀχυρωτάτου τῶν χωρίων ὄντος καὶ πολλοὺς ἀμυνόμενους ἔχοντος ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. Καὶ τῆς στρατιᾶς γενομένης ἑτοίμης, ἐνεδύσατο τὴν πανοπλίαν καὶ προσελθὼν ηὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα καὶ θυσίαν ἀριστεῖον, ἂν 398 τοῦ γένους καὶ τῶν ὑπαρχόντων ἄξιον ἀγωνιστὴν αὐτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν Ἕλλησι· τῇ δὲ σάλπιγγι σημήνας καὶ τοῖς βέλεσι τοὺς βαρβάρους ἀνασκεδάσας καὶ τὰς κλίμακας προσαγαγὼν πρῶτος ἐπέβη τοῦ τείχους. (7) Ἀντιστάντων δὲ πολλῶν ἀμυνόμενος τοὺς μὲν ἐξέωσε τοῦ τείχους ἐπ' ἀμφότερα καὶ κατέβαλε, πλείστους δὲ περὶ αὐτὸν τῷ ξίφει χρώμενος ἐσώρευσε νεκρούς. (8) Ἔπαθε δὲ αὐτὸς οὐδέν, ἀλλὰ καὶ προσιδεῖν δεινὸς ἐφάνη τοῖς πολεμίοις καὶ τὸν Ὅμηρον ἔδειξεν ὀρθῶς καὶ μετὰ ἐμπειρίας ἀποφαίνοντα τῶν ἀρετῶν μόνην τὴν ἀνδρείαν φορὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς φερομένην. (9) Ἁλούσης δὲ τῆς πόλεως ἔθυσέ τε τῷ θεῷ μεγαλοπρεπῶς καὶ θέας ἀγώνων παντοδαπῶν παρέσχε.

XXIII. Τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτίνων δὲ καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων, ἐνίους δὲ καὶ φόρου πεποιημένων ὑποτελεῖς, πολλῶν δὲ καὶ μαχίμων ὄντων, διὸ καὶ προσηγορεύθησαν Ἀρήιοι

legiones : adverso prœlio facto fiduciam eorum non immi-nui, sed et vires et cupiditatem belli ex ira augeri.

XXII. His in difficultatibus constitutus, novæ spes oblatæ sunt et negotia, quæ ancipitem cogitandi curam afferebant. (2) Simul enim ex Sicilia aderant qui Agrigentum, Syracusas, Leontinosque ipsi dederent orarentque ut eos in Carthaginiensibus ejiciendis, insulaque tyrannis liberanda adjuvaret : et ex Græcia nunciabatur, Ptolemæum Ceraunum in prœlio cum exercitu a Gallis cæsum, nuncque ipsum in Macedoniam rege carentem commodissime posse venire. (3) Multum itaque fortunam incusans, quæ in unum tempus ita magnarum rerum occasiones conjecisset, reputansque se, ubi duo suppeterent, alterum amittere, diu animo fluctuatus est. (4) Inde quum majorum rerum semina in rebus Siciliensibus propter Africam in proximo sitam jacere ipsi viderentur, ad has animum adjecit. Itaque Cinea statim in Siciliam præmisso, ut cum civitatibus more suo de rebus instantibus communicaret, Tarentinis præsidium imposuit : et indigne hoc ferentibus postulantibusque, ut vel bellum, qua de causa venisset, contra Romanos prosequeretur, vel Tarentina regione relicta urbem ipsis suam qualem accepisset, restitueret : nihil humanius responso, sed imperato uti quiescerent, suamque ipsius occasionem præstolarentur, inde solvit. (5) Quum Siciliam attigisset, statim quæ speraverat firma omnia invenit, civitatibus se illi studiose adjungentibus. Quæ etiam certamen et vim requirebant negotia, initio successerunt : triginta enim millibus peditum, bis mille quingentis equitibus, ducentisque navibus Pœnos adortus profligavit eorumque ditionem subegit. (6) Erycem oppidum et natura loci munitissimum, et multis propugnatoribus armatum, vi expugnare statuit : exercituque alacrem se exhibente, armatura sua indutus et ad mœnia accedens, Herculi ludos et sacrificium solenne vovit, si dignum genere et fortuna sua bellatorem Siciliam incolentibus Græcis ipsum demonstrasset. Dato inde tuba signo, jaculis barbaros depulit, scalisque admotis primus in murum evasit. (7) Et contra multorum vim se defendens, nonnullos ab utraque parte muro deturbavit, plures gladio interfecit, cumulumque circa se cadaverum stravit. (8) Ipse illæsus fuit et aspectu hostibus terribilis, ostenditque, Homerum recte et perite pronuntiasse, solam virtutum fortitudinem sæpe impetu furioso ferri furoreque agi. (9) Expugnato oppido Herculi sacra fecit splendidissima, atque omnis generis edidit ludorum spectacula.

XXIII. Barbari vero, qui circa Messanam habitabant, Mamertinorum nomine Græcis multum molestiæ exhibebant, stipendiarios etiam eorum quosdam habebant, erantque et multi numero, et bellicosi : unde Latina lingua

γλώσσῃ τῇ Λατίνων, τοὺς μὲν φορολόγους συλλαβὼν ἀπέκτεινεν, αὐτοὺς δὲ νικήσας μάχῃ πολλὰ τῶν φρουρίων ἐξέκοψε. (2) Καρχηδονίοις δὲ συμβατικῶς ἔχουσι καὶ χρήματα βουλομένοις τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν, ἀπεκρίνατο πλειόνων ἐφιέμενος μίαν εἶναι διάλυσιν καὶ φιλίαν πρὸς αὐτούς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν ὅρῳ χρῶνται τῇ Λιβυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας. (3) Εὐτυχίᾳ δὲ καὶ ῥώμῃ τῶν παρόντων ἐπαιρόμενος καὶ διώκων τὰς ἐλπίδας, ἐφ' αἷς ἀπ' ἀρχῆς ἔπλευσε, πρώτης δὲ Λιβύης ἐφιέμενος καὶ ναῦς ἔχων πολλὰς πληρωμάτων ἐπιδεεῖς ἤγειρεν ἐρέτας, οὐκ ἐπιεικῶς ἐντυγχάνων οὐδὲ πράως ταῖς πόλεσιν, ἀλλὰ δεσποτικῶς καὶ πρὸς ὀργὴν βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς ὢν οὐδὲ ἐν ἀρχῇ τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων τῷ πρὸς χάριν ὁμιλεῖν καὶ πάντα πιστεύειν καὶ μηδὲν ἐνοχλεῖν ὑπαγόμενος, εἶτα γινόμενος ἐκ δημαγωγοῦ τύραννος ἀχαριστίας τῇ χαλεπότητι καὶ ἀπιστίας προσωφλίσκανε δόξαν. (4) Οὐ μὴν ἀλλὰ ταῦτα μέν, ὡς ἀναγκαῖα συνεχώρουν, καίπερ δυσφοροῦντες· ἐπεὶ δὲ Θοίνωνα καὶ Σώστρατον, ἄνδρας ἡγεμονικοὺς ἐν Συρακούσαις, οἳ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν καὶ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτε ἄγειν σὺν αὑτῷ μήτε ἀπολείπειν βουλόμενος ἐν ὑποψίαις εἶχε, καὶ Σώστρατος μὲν ἀπέστη φοβηθείς, Θοίνωνα δὲ τὰ αὐτὰ φρονεῖν αἰτιασάμενος ἀπέκτεινεν, οὐ κατὰ μικρὸν οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων, ἀλλὰ δεινοῦ τινος μίσους ἐγγενομένου ταῖς πόλεσι πρὸς αὐτόν, αἱ μὲν προσετίθεντο Καρχηδονίοις, αἱ δὲ ἐπήγοντο Μαμερτίνους. (5) Ἀποστάσεις δὲ ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς καὶ σύστασιν ἰσχυρὰν ἐφ' αὐτὸν ἐδέξατο γράμματα Σαυνιτῶν καὶ Ταραντίνων μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς πρὸς τὸν πόλεμον, εἰργομένων δὲ τῆς χώρας ἁπάσης καὶ δεομένων βοηθεῖν. (6) Τοῦτο δὲ ἦν εὐπρέπεια μὴ φυγὴν εἶναι μηδὲ ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν αὐτόθι πραγμάτων, τὸ δὲ ἀληθὲς οὐ δυνάμενος κρατεῖν Σικελίας ὥσπερ νεὼς ταραχθείσης, ἀλλ' ἐκβασιν ζητῶν αὖθις ἔρρυψεν ἑαυτὸν εἰς Ἰταλίαν. (7) Λέγεται δ' ἀπαλλαττόμενος ἤδη πρὸς τὴν νῆσον ἀποβὰς εἰπεῖν τοῖς περὶ αὐτόν· « Οἵαν ἀπολείπομεν, ὦ φίλοι, Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν. » Καὶ τοῦτο μὲν, ὥσπερ εἰκάσθη, μετ' οὐ πολὺν χρόνον ἐγένετο.

XXIV. Τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας ἀπέβαλε τῶν νεῶν πολλὰς, ταῖς δ' ἄλλαις κατέφυγε πρὸς τὴν Ἰταλίαν, Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους προδιαβάντες ἀντιτάξασθαι μὲν ἐφοβήθησαν, ἐν δὲ ταῖς δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες ἅπαν τὸ στράτευμα συνετάραξαν. Ἔπεσε δὲ δύο θηρία καὶ συχνοὶ τῶν ὀπισθοφυλακούντων ἀπέθνησκον. (2) Αὐτὸς οὖν ἀπὸ τοῦ στόματος παρελάσας ἠμύνετο καὶ διεκινδύνευε πρὸς ἄνδρας ἠσκημένους μάχεσθαι καὶ

Martiales dicebantur. Horum Pyrrhus exactores deprehensos interemit, reliquos pugna vicit et castella multa eorum evertit. (2) Carthaginiensibus ad pacem propendentibus ac, si fœdus coiret, pecuniam se daturos et naves promittentibus, plura adhuc cupiens, respondit unam esse pacis et amicitiæ cum iis jungendæ rationem, ut tota Sicilia relicta, Africum mare Carthaginiensium et Græcorum limitem faciant. (3) Inde successu et viribus suis elatus, spesque eas, quibus inductus ab initio in Siciliam venerat, secutus, Africæ primum appetens, quum haberet naves, classiariis autem egeret, in his exigendis civitates non benigne, sed imperiose et iracunde vi cogens castigansque tractavit. Initio enim non talem se exhibuerat, sed facilitate consuetudinis, fide omnibus habita nullamque molestiam exhibendo animos ad se ut haud quisquam magis allexerat : post ex populari tyrannus factus, inhumanitate sua ingratitudinis de se et perfidiæ opinionem excitavit. (4) Verumtamen civitates, etsi invitæ, in his ut necessariis ipsi cedebant. At postquam Thœnonem et Sostratum, viros inter Syracusanos principes, qui et primum Pyrrho in Siciliam veniendi auctores fuerant et venienti urbem statim tradiderant, atque in plerisque rebus Siciliensibus eum adjuverant, suspectos habere cœpit, neque secum abducere neque in Sicilia relinquere ausus, quumque Sostratus sibi metuens ab eo defecisset, Thœnonem idem sentire criminatus ipse necasset : non paulatim neque singulatim res ipsius in Sicilia mutari cœperunt, sed gravi adversus eum per civitates odio exorto, aliæ Carthaginiensibus se adjunxerunt, aliæ Mamertinos acciverunt. (5) Quum ubivis defectiones, novarum rerum consilia et validam contra se conspirationem cerneret, a Samnitibus et Tarentinis litteras accepit, qui vix urbibus ipsis hostem arcebant, agris undique expulsi, auxiliumque Pyrrhi invocabant. (6) Hoc ille usus honesto prætextu, ne aufugere aut desperatis rebus ex Sicilia videretur discedere, quum quidem re vera eam veluti navim concussam regere non posset, sed egredi cuperet, rursus in Italiam se conjecit. (7) Fertur jam recedens ad insulam respexisse, suisque dixisse : Qualem nos, o amici, Carthaginiensibus et Romanis palæstram relinquimus. Idque, ut conjecerat, haud diu post evenit.

XXIV. In quem ex Sicilia abeuntem quum coitionem fecissent barbari, in ipso quidem freto cum Carthaginiensibus navali prœlio contendens, multis navibus amissis, cum reliquis in Italiam effugit, Mamertini autem haud pauciores decem millibus quum priores ad Italiam appulissent et acie concurrere non auderent, insessis locorum angustiis atque inde adorti totum exercitum conturbaverunt. Perierunt duo elephanti et multi eorum, qui novissimum duxerant agmen, occisi sunt. (2) Ipse Pyrrhus a fronte congressus cum hostibus feroci et pugnæ assueto, ictus

θυμοειδεῖς. Πληγεὶς δὲ τὴν κεφαλὴν ξίφει καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. Εἷς δὲ καὶ πολὺ πρὸ τῶν ἄλλων ἐπιδραμὼν, ἀνὴρ τῷ τε σώματι μέγας καὶ τοῖς ὅπλοις λαμπρὸς, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ καὶ προελθεῖν ἐκέλευεν αὐτὸν, εἰ ζῇ. (3) Παροξυνθεὶς δὲ ὁ Πύρρος ἐπέστρεψε βία τῶν ὑπασπιστῶν καὶ μετ' ὀργῆς αἵματι πεφυρμένος καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον ὠσάμενος δι' αὐτῶν καὶ φθάσας τὸν βάρβαρον ἔπληξε κατὰ τῆς κεφαλῆς τῷ ξίφει πληγὴν ῥώμῃ τε τῆς χειρὸς ἅμα καὶ βαφῆς ἀρετῇ τοῦ σιδήρου μέχρι τῶν κάτω διαδραμοῦσαν, ὥστε ἑνὶ χρόνῳ περιπεσεῖν ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. (4) Τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν ὥς τινα τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν Πύρρον. Ὁ δὲ τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν ἦκεν εἰς Τάραντα δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς κομίζων· ἀναλαβὼν δὲ τῶν Ταραντίνων τοὺς κρατίστους εὐθὺς ἐπὶ Ῥωμαίους ἦγεν ἐν τῇ Σαυνίτιδι στρατοπεδεύοντας.

XXV. Τῶν δὲ Σαυνιτῶν τά τε πράγματα διέφθαρτο καὶ τοῦ φρονήματος ὑφεῖντο κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ τῶν Ῥωμαίων. Ἐνῆν δέ τι καὶ πρὸς τὸν Πύρρον ὀργῆς διὰ τὸν εἰς Σικελίαν πλοῦν· ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ συνῆλθον. (2) Πάντας δὲ νείμας δίχα, τοὺς μὲν εἰς τὴν Λευκανίαν ἔπεμψεν ἀντιληψομένους τοῦ ἑτέρου τῶν ὑπάτων, ὡς μὴ βοηθοίη, τοὺς δὲ ἦγεν αὐτὸς ἐπὶ Μάνιον Κούριον περὶ πόλιν Βενεούεντον ἱδρυμένον ἐν ἀσφαλεῖ καὶ περιμένοντα τὴν ἐκ τῆς Λευκανίας βοήθειαν· ἔστι δ' ὅτε καὶ μάντεων αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων ἡσύχαζε. (3) Σπεύδων οὖν ὁ Πύρρος ἐπιθέσθαι τούτοις, πρὶν ἐκείνους ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους καὶ τῶν θηρίων τὰ μαχιμώτατα λαβὼν νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον. (4) Περιιόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν οὐκ ἀντέσχε τὰ φῶτα καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον· καὶ περὶ ταῦτα γινομένης διατριβῆς ἥ τε νὺξ ἐπέλιπε καὶ καταφανὴς ἦν ἅμ' ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος ἀπὸ τῶν ἄκρων, ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν. (5) Οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ Μανίῳ γενομένων καὶ τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος ἐξελθὼν ἐνέβαλε τοῖς πρώτοις καὶ τρεψάμενος ἐφόβησε πάντας, ὥστε καὶ πεσεῖν οὐκ ὀλίγους καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι καταληφθέντας. (6) Αὕτη τὸν Μάνιον ἡ νίκη κατήγαγε μαχούμενον εἰς τὸ πεδίον· καὶ συμβαλὼν ἐκ προδήλου τὸ μὲν ἐτρέψατο τῶν πολεμίων, ἔστι δ' ἧ βιασθεὶς ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατόπεδον τοὺς φύλακας ἐκάλει συχνοὺς ἐφεστῶτας τῷ χάρακι μετὰ τῶν ὅπλων καὶ ἀκμῆτας. (7) Οἱ δὲ ἐπιφανέντες ἐκ τόπων ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες ἠνάγκασαν ἀποστρέφεσθαι καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω ταραχὴν ἀπεργάσασθαι καὶ σύγχυσιν, ἡ τὸ νίκημα παρέδωκε τοῖς Ῥωμαίοις, ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας. Καὶ γὰρ φρόνημα καὶ

gladio caput quum aliquantulum prœlio excessisset, magis etiam hostium fiduciam auxit, quidamque corporis magnitudine et armorum splendore præcipuus, longe ante alios procurrens, voce minaci Pyrrhum, si viveret, progredi jussit. (3) Pyrrhus ira accensus invitis stipatoribus se convertit, utque erat sanguine conspersus, et terribili vultu, per medios se proripiens, barbarum antevertit, eique gladio caput ita percussit, ut ictus ille robore manus et ferri tinctura adjutus ad infimum usque corpus pertinuerit, unoque momento corporis per medium dissecti utrinque partes deciderint. (4) Id barbaros inhibuit ne procederent amplius : Pyrrhum enim tanquam deum aliquem admirabantur atque stupebant. Itaque reliquo itinere tuto confecto, cum viginti peditum, tribus equitum millibus Tarentum pervenit : Tarentinorumque delectu habito, recta contra Romanos in Samnio tunc castra habentes duxit.

XXV. Samnites, rebus perditis, animis fracti ob multas a Romanis acceptas clades, etiam Pyrrho ob profectionem Siciliensem nonnihil irati, pauci se ei addiderunt. (2) Divisis in duas partes copiis, alteraque missa in Lucaniam, quæ consulem detineret, ne collegæ suo auxilium ferre posset ; ipse adversus Manium Curium alterum consulem ivit, qui ad Beneventum castra habebat tuto loco et subsidium ex Lucania operiebatur : aliquoties etiam monitu augurum et haruspicum re gerenda supersederat. (3) Hunc Pyrrhus, antequam subsidium accederet, adoriri properans, cum fortissimis militum et pugnacissimis elephantis noctu ad ejus castra contendit. (4) Sed per longam et densis cinctam silvis viam proficiscentem lumina defecerunt et aberraverunt milites : id quum moram injecisset, nox defecit, et albente cœlo visus est ab hostibus per summitates montium accedere, motumque ea res et tumultum in castris Romanis excitavit. (5) Verumtamen Curius quum litasset et res certamen posceret, castris egressus in primos impetum fecit, hisque fugatis totum exercitum hostilem terruit ; itaque et multos necavit et quosdam elephantos cepit. (6) Hac victoria confirmatus in campum descendit, collatisque palam signis qua hostes fudit, qua vi belluarum pressus et ad castra repulsus custodes invocavit, qui in vallo astabant permulti et viribus integris. (7) Hi ex locis munitis prodeuntes, elephantos jaculis petitos coegerunt ut reverterent et per socios fugientes a tergo perturbationem efficerent et confusionem, quæ res et victoriam Romanis paravit et vires summi acquirendi imperii. Istis enim

δύναμιν καὶ δόξαν ὡς ἄμαχοι προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων Ἰταλίαν μὲν εὐθὺς, ὀλίγῳ δὲ ὕστερον Σικελίαν κατέσχον.

XXVI. Οὕτω μὲν ἐξέπεσε τῶν Ἰταλικῶν καὶ Σικελικῶν ἐλπίδων ὁ Πύρρος, ἓξαετῆ χρόνον ἀναλώσας περὶ τοὺς ἐκεῖ πολέμους καὶ τοῖς μὲν πράγμασιν ἐλαττωθείς, τὸ δὲ ἀνδρεῖον ἀνίκητον ἐν ταῖς ἥτταις διαφυλάξας καὶ νομισθεὶς ἐμπειρίᾳ μὲν πολεμικῇ καὶ χειρὶ καὶ τόλμῃ πολὺ πρῶτος εἶναι τῶν καθ' αὐτὸν βασιλέων, ἃ δὲ ταῖς πράξεσιν ἐκτᾶτο ταῖς ἐλπίσιν ἀπολλύναι, δι' ἔρωτα τῶν ἀπόντων οὐδὲν, εἰς ὃ δεῖ θέσθαι, τῶν ὑπαρχόντων σώσας. (2) Ὅθεν ἀπείκαζεν αὐτὸν ὁ Ἀντίγονος κυβευτῇ πολλὰ βάλλοντι καὶ καλὰ, χρῆσθαι δὲ οὐκ ἐπισταμένῳ τοῖς πεσοῦσι. (3) Κομίσας δὲ εἰς Ἤπειρον ὀκτακισχιλίους πεζοὺς καὶ πεντακοσίους ἱππεῖς, χρήματα δὲ οὐκ ἔχων ἐζήτει πόλεμον, ᾧ θρέψει τὸ στράτευμα. Καί τινων Γαλατῶν αὐτῷ προσγενομένων ἐνέβαλεν εἰς Μακεδονίαν, Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος, ὡς ἁρπαγῆ καὶ λεηλασίᾳ χρησόμενος. (4) Ἐπεὶ δὲ καὶ πόλεις ἐλάμβανε συχνὰς καὶ στρατιῶται δισχίλιοι μετέστησαν ὡς αὐτὸν, ἐλπίσας τι πλέον ὥρμησεν ἐπὶ τὸν Ἀντίγονον καὶ περὶ τὰ στενὰ προσπεσὼν συνετάραξε τὴν στρατιὰν ἅπασαν. (5) Οἱ δὲ ἐπὶ τῆς οὐραγίας τεταγμένοι Γαλάται τοῦ Ἀντιγόνου συχνοὶ τὸ πλῆθος ὄντες ὑπέστησαν εὐρώστως· καὶ καρτερᾶς μάχης γενομένης τούτων οἱ μὲν πλεῖστοι κατεκόπησαν, οἱ δὲ τῶν ἐλεφάντων ἡγεμόνες ἐγκαταλαμβανόμενοι παρέδωκαν ἑαυτοὺς καὶ τὰ θηρία πάντα. (6) Προσλαβὼν δὲ ὁ Πύρρος τηλικαῦτα καὶ τῇ τύχῃ μᾶλλον ἢ τοῖς λογισμοῖς χρώμενος ἐπῆγε τῇ φάλαγγι τῶν Μακεδόνων ἀναπεπλησμένῃ ταραχῆς καὶ φόβου διὰ τὴν ἧτταν. (7) Ὅθεν ἐμβολῆς μὲν ἔσχοντο καὶ μάχης πρὸς αὐτόν· τὴν δὲ δεξιὰν προτείνων καὶ στρατηγοὺς καὶ ταξιάρχους ἀνακαλούμενος ἅπαντας ὁμαλῶς ἀπέστησε τοὺς πεζοὺς τοῦ Ἀντιγόνου. (8) Κἀκεῖνος μὲν ὑποφεύγων ἅμα τῶν παραλίων τινὰς πόλεων κατέσχεν, ὁ δὲ Πύρρος ἐν εὐτυχήμασι τοσούτοις μέγιστον αὐτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχθαι τὸ περὶ τοὺς Γαλάτας, τὰ κάλλιστα καὶ λαμπρότατα τῶν λαφύρων ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς Ἰτωνίδος Ἀθηνᾶς τόδε τὸ ἐλεγεῖον ἐπιγράψας·

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατὸν· οὐ μέγα θαῦμα·
αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

(9) Μετὰ τὴν μάχην δὲ εὐθὺς ἀνελάμβανε τὰς πόλεις· τῶν δὲ Αἰγεῶν κρατήσας τά τε ἄλλα χαλεπῶς ἐχρήσατο τοῖς ἀνθρώποις καὶ φρουρὰν Γαλατικὴν ἐν τῇ πόλει κατέλιπε τῶν μετ' αὐτοῦ στρατευομένων. (10) Οἱ δὲ Γαλάται γένος ἀπληστότατον χρημάτων ὄντες ἐπέθεντο τῶν βασιλέων αὐτόθι κεκηδευμένων τοὺς τάφους ὀρύττειν, καὶ τὰ μὲν χρήματα διήρπασαν, τὰ δὲ ὀστᾶ πρὸς ὕβριν διέῤῥιψαν. (11) Τοῦτο κούφως ἔδοξε καὶ ὀλιγώρως ἐνεγκεῖν ὁ Πύρρος ἢ δι' ἀσχολίας τινὰς ὑπερ-

ex certaminibus animos potentiamque nacti, et pro invictis habiti, statim totam Italiam, mox etiam Siciliam occupaverunt.

XXVI. Hoc modo Pyrrhus Italicarum et Siciliensium rerum spe excidit, sexennio toto illis bellis impenso: ac quamvis succubuisset, tamen animum adhuc inter istas clades invictum servavit. Creditum est, peritia eum rei bellicæ, manu et audacia longe omnium ejus tempestatis regum primum fuisse: sed quæ agendo esset adeptus, ea propter spes eum amisisse, quum præ absentium cupiditate nihil eorum, quæ consecutus jam esset, quo tamen loco res collocare opus est, retinere posset. (2) Itaque Antigonus eum lusori comparavit, qui, quum optime caderent tesseræ, arte utendi iis quæ jecisset, destitueretur. (3) Enimvero quum in Epirum peditum octo millia, equites quingentos retulisset Pyrrhus neque pecuniam haberet, bellum quo aleret exercitum quærens, aliquot Gallis firmatus in Macedoniam, quam tum Antigonus Demetrii filius regno obtinebat, prædæ causa proficisci statuit. (4) Verum quum et urbes multas cepisset et duo millia militum ad ipsum defecissent, majus aliquid animo concipiens, contra ipsum Antigonum profectus est et apud fauces eum assecutus, totum exercitum in aciem deduxit. (5) Galli in extremo Antigoni agmine erant, ingenti numero: hi fortiter substiterunt hostem acrique commisso prœlio plerique occisi sunt, elephantorum duces deprehensi, se et belluas Pyrrho dediderunt. (6) Pyrrhus tanta accessione rebus suis auctis, fortunam magis quam consilium secutus contra phalangem Macedonicam duxit, tumultus plenam et terroris ob cladem acceptam. (7) Quare pugna abstinuerunt; Pyrrhus autem dextram intendens, omnes ex æquo duces et centuriones invocans, peditatum ab Antigono ad se traduxit. (8) Antigonus in fuga simul maritimas quasdam urbes occupavit; Pyrrhus autem in hoc rerum successu maxime ad gloriam sibi facere victoriam de Gallis judicans, spolia de illis pulcherrima et splendidissima legit, inque templo Minervæ Itonidis suspendit, hac inscriptione:

Hos clypeos donum tibi, Palias Itoni, Molossus
suspendit Pyrrhus de trucibus Galatis,
devicto Antigono. Res non ita mira: fuerunt
nunc bellatores Æacidæ atque manent.

(9) Post pugnam statim urbes recepit. Ægeas autem quum occupasset, non modo male tractavit cives, sed et præsidium Gallicum in urbe reliquit ex iis qui castra ipsius sequebantur. (10) Est autem nulla gens, quæ insatiabili pecuniæ cupiditate Gallos æquet. Itaque monumenta regum ibi sepultorum effodere aggressi, pecuniam diripuerunt, ossa per libidinem disjecerunt. (11) Leviter hoc tulisse et neglexisse visus est Pyrrhus, sive dilata propter occu-

θέμενος ἢ παρεὶς ὅλως διὰ φόβον τὸ κολάσαι τοὺς βαρβάρους· ὅθεν ἤκουσε κακῶς ὑπὸ τῶν Μακεδόνων. (12) Οὔπω δὲ τῶν πραγμάτων αὐτῷ βεβαιότητα καὶ σύστασιν ἐχόντων μόνιμον, ᾠρεῖτο τῇ γνώμῃ πάλιν πρὸς ἑτέρας ἐλπίδας. Καὶ τὸν μὲν Ἀντίγονον ἐφυβρίζων ἀναίσχυντον ἐκάλει μὴ λαμβάνοντα θοιμάτιον, ἀλλ' ἔτι τὴν πορφύραν φοροῦντα, Κλεωνύμου δὲ τοῦ Σπαρτιάτου παραγενομένου καὶ καλοῦντος αὐτὸν ἐπὶ τὴν Λακεδαίμονα προθύμως ὑπήκουσεν. (13) Ὁ δὲ Κλεώνυμος ἦν μὲν γένους βασιλικοῦ, δοκῶν δὲ βίαιος εἶναι καὶ μοναρχικὸς οὔτ' εὔνοιαν οὔτε πίστιν εἶχεν, ἀλλ' Ἄρευς ἐβασίλευε. Καὶ τοῦτο μὲν ἓν ἦν κοινὸν ἔγκλημα καὶ πρεσβύτερον αὐτῷ πρὸς τοὺς πολίτας. (14) Γυναῖκα a
401 δὲ καλὴν καὶ γένους βασιλικοῦ, Χιλωνίδα τὴν Λεωτυχίδου, πρεσβύτερος ὢν ἔγημεν ὁ Κλεώνυμος. Ἡ δὲ Ἀκροτάτῳ τῷ Ἄρεως ἐπιμανεῖσα, μειρακίῳ καθ' ὥραν ἀκμάζοντι, λυπηρὸν ἐρῶντι τῷ Κλεωνύμῳ καὶ ἄδοξον ὁμοῦ παρεῖχε τὸν γάμον· οὐδένα γὰρ ἐλάνθανε Σπαρτιατῶν καταφρονούμενος ὑπὸ τῆς γυναικός. (15) Οὕτω δὲ τῶν κατ' οἶκον ἀνιαρῶν τοῖς πολιτικοῖς προσγενομένων ὑπ' ὀργῆς καὶ βαρυθυμίας ἐπῆγε τῇ Σπάρτῃ τὸν Πύρρον ἔχοντα δισμυρίους καὶ πεντακισχιλίους πεζοὺς, δισχιλίους δ' ἱππεῖς, ἐλέφαντας δὲ εἰκοσιτέσσαρας, ὥστε τῷ μεγέθει τῆς παρασκευῆς εὐθὺς εἶναι κατάδηλον οὐ Κλεωνύμῳ τὴν Σπάρτην, ἀλλὰ τὴν Πελοπόν- b
νησον ἑαυτῷ κτώμενον, ἐπεὶ τῷ γε λόγῳ καὶ πρὸς αὐτοὺς ἔξαρνος ἦν τοὺς Λακεδαιμονίους πρεσβεύσαντας εἰς Μεγάλην πόλιν. (16) Ἔφη γὰρ ἐλευθερώσων τὰς ὑπ' Ἀντιγόνῳ πόλεις ἀφῖχθαι καὶ νὴ Δία τοὺς νεωτέρους παῖδας εἰς Σπάρτην, εἰ μή τι κωλύει, πέμψων ἐντραφησομένους τοῖς Λακωνικοῖς ἔθεσιν, ὡς τοῦτο πλέον ἔχοιεν ἤδη τῶν πάντων βασιλέων. (17) Ταῦτα πλαττόμενος καὶ παράγων τοὺς ἐντυγχάνοντας αὐτῷ καθ' ὁδὸν ὡς πρῶτον ἥψατο τῆς Λακωνικῆς ἁρπαγὴν ἐποιεῖτο καὶ ληλασίαν. (18) Ἐγκαλούντων δὲ τῶν πρέσβεων, c
ὅτι μὴ καταγγείλας πόλεμον ἐξενήνοχε πρὸς αὐτοὺς, « Ἀλλ' οὐδ' ὑμᾶς, ἔφη, τοὺς Σπαρτιάτας ἴσμεν ὅ τι ἂν μέλλητε ποιεῖν ἑτέροις προλέγοντας. » (19) Εἷς δὲ τῶν παρόντων, ὄνομα Μανδροκλείδας, εἶπε τῇ φωνῇ Λακωνίζων· « Αἰ μὲν ἐσσὶ τύ γε θεὸς, οὐδὲν μὴ πάθωμεν· οὐ γὰρ ἀδικεῦμεν· αἰ δ' ἄνθρωπος, ἔσσεται καὶ τεῦ καρβὼν ἄλλος. »

XXVII. Ἐκ τούτου κατέβαινεν ἐπὶ τὴν Λακεδαίμονα· καὶ τοῦ Κλεωνύμου κελεύοντος ἐξ ἐφόδου προσβαλεῖν φοβηθεὶς ὁ Πύρρος, ὡς λέγεται, μὴ διαρπάσωσιν οἱ στρατιῶται τὴν πόλιν ἐν νυκτὶ προσπεσόντες, ἐπέσχεν, εἰπὼν ὅτι ταὐτὸ ποιήσουσι μεθ' ἡμέραν. Αὐτοί τε γὰρ ἦσαν ὀλίγοι καὶ ἀπαράσκευοι διὰ τὸ αἰφνίδιον ὅτε Ἄρευς οὐκ ἐτύγχανε παρὼν, ἀλλ' ἐν Κρήτῃ d
Γορτυνίοις πολεμουμένοις βοηθῶν. (2) Καὶ τοῦτο δὴ μάλιστα τὴν πόλιν ἔσωσε δι' ἐρημίαν καὶ ἀσθένειαν καταφρονηθεῖσαν. Ὁ μὲν γὰρ Πύρρος οὐδένα μαχεῖσθαι νομίζων κατηυλίσατο, τοῦ δὲ Κλεωνύμου τὴν οἰκίαν οἵ τε φίλοι καὶ εἵλωτες οὕτως ἐκόσμησαν καὶ

pationes vindicta, sive barbarorum metu omissa: male quidem apud Macedones propterea audivit. (12) Rebus autem nondum stabilitis et confirmatis, rursus ad alias spes animum applicuit. Et Antigono quidem insultans, impudentem vocabat eum, quod nondum privatam vestem purpura regia deposita sumeret: ipse Cleonymo Spartano ad se profecto et contra Lacedæmonios auxilium imploranti prompte assensus est. (13) Is Cleonymus regio genere natus, quum violentus videretur et collegæ impatiens, nec favorem apud suos nec fidem habebat, sed Areus ejus loco regnum tenebat: hoc ei et publicum et antiquum crimen, quod civibus intenderet, erat. (14) Præterea autem Chilonidem Leotychidæ filiam, pulchram, ipsamque etiam regio genere editam, uxorem Cleonymus jam ætate provectior duxerat: hæc quum Acrotatum Arei filium, adolescentulum ætate et forma florentem, deperiret, conjugium Cleonymo amanti eam triste simul et ignominiosum faciebat: neque enim quisquam civium eum ab uxore ludibrio haberi ignorabat. (15) Itaque ut ad civilem injuriam dedecus etiam domesticum accessit, ira et mœrore percitus Pyrrhum cum viginti quinque peditum, duobus equitum millibus et viginti quattuor elephantis contra Spartanos adduxit: ut facile ex magnitudine apparatus bellici appareret, hunc non Cleonymo Spartam, sed sibi Peloponnesum quærere, quamquam verbis illud alterum infitiatus fuerat Megalopoli coram Lacedæmoniorum legatis. (16) Dixerat enim, se venisse, ut ab Antigoni dominatione urbes liberaret, atque adeo statuisse minores natu filios suos Spartam, nisi quid obstaret, mittere, ut Laconicis moribus instituti, eo jam ipso omnibus regibus præstarent. (17) Hæc fingens atque ita eos qui obviam facti fuissent decipiens, ut primum Laconicum agrum attigit, prædationes et direptiones exercuit. (18) Incusantibus inde legatis, quod bellum non indictum ante ipsis intulisset: Atqui, inquit, notum est, ne vos quidem, Spartani, aliis prædicere quid acturi sitis. (19) Unus ergo ex illis, nomine Mandroclides, Laconica lingua dixit: At tu si deus es, nihil nobis mali eveniet: nulla enim te afficimus injuria: sin homo es, aliquis te quoque superior exsistet.

XXVII. Post hæc Pyrrhus ad Lacedæmonem progressus, quum Cleonymus statim ex itinere juberet urbem oppugnare, veritus ipse, ut aiunt, ne noctu irruentes milites urbem diriperent, distulit, et idem se de die facturum dixit. Erant enim in urbe pauci iique ad subitam obsidionem imparati: aberat et Areus, Gortyniis in Creta bello implicatis opem ferens. (2) Id maxime urbi salutem attulit, quod ob paucitatem civium et imbecillitatem contemnebatur. Namque Pyrrhus neminem secum pugnaturum existimans, sub noctem castra fecit, et amici servique Cleonymi domum

παρεσκεύασαν, ὡς δειπνήσοντος τοῦ Πύρρου παρ' αὐτῷ. (3) Γενομένης δὲ νυκτὸς οἱ Λακεδαιμόνιοι πρῶτον μὲν ἐβουλεύσαντο τὰς γυναῖκας εἰς Κρήτην ἀποστέλλειν, αἱ δὲ ἀντέστησαν. Ἀρχιδαμία δὲ καὶ ξίφος ἔχουσα πρὸς τὴν γερουσίαν ἦλθεν ἐγκαλοῦσα τοῖς ἀνδράσιν ὑπὲρ τῶν γυναικῶν, εἰ ζῆν αὐτὰς ἀξιοῦσι τῆς Σπάρτης ἀπολομένης. (4) Ἔπειτα τῷ στρατοπέδῳ τῶν πολεμίων παράλληλον ἔγνωσαν ἐμβαλόντες τάφρον ἔνθεν καὶ ἔνθεν αὐτῆς στῆσαι τὰς ἁμάξας μέχρι τοῦ μέσου τῶν τροχῶν καταχώσαντες, ὅπως ἕδραν ἔχουσαι δυσεκβίαστον ἐμποδὼν ὦσι τοῖς θηρίοις. (5) Ἀρχομένοις δὲ ταῦτα πράττειν ἦκον αὐτοῖς τῶν παρθένων καὶ γυναικῶν αἱ μὲν ἐν ἱματίοις καταζωσάμεναι τοὺς χιτωνίσκους, αἱ δὲ μονοχίτωνες συνεργασόμεναι τοῖς πρεσβυτέροις. Τοὺς δὲ μάχεσθαι μέλλοντας ἐκέλευον ἡσυχάζειν, καὶ λαβοῦσαι μέτρον αὐταὶ καθ' αὑτὰς ἐξειργάσαντο τῆς τάφρου τὸ τρίτον μέρος. Ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἓξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος, ὡς δ' Ἱερώνυμος, ἔλαττον. (6) Ἅμα δ' ἡμέρᾳ κινουμένων τῶν πολεμίων τὰ ὅπλα τοῖς νέοις ὀρέγουσαι καὶ παραδιδοῦσαι τὴν τάφρον ἀμύνειν καὶ φυλάττειν ἐκέλευον, ὡς ἡδὺ μὲν νικᾶν ἐν ὀφθαλμοῖς τῆς πατρίδος, εὐκλεὲς δὲ θνήσκειν ἐν χερσὶ μητέρων καὶ γυναικῶν ἀξίως τῆς Σπάρτης πεσόντας. (7) Ἡ δὲ Χιλωνὶς ἐκποδὼν οὖσα καθ' ἑαυτὴν βρόχον εἶχεν ἐνημμένον, ὅπως ἐπὶ τῷ Κλεωνύμῳ μὴ γένοιτο τῆς πόλεως ἁλούσης.

XXVIII. Αὐτὸς μὲν οὖν ὁ Πύρρος ἐβιάζετο κατὰ στόμα τοῖς ὁπλίταις πρὸς ἀσπίδας πολλὰς τῶν Σπαρτιατῶν ἀντιπαρατεταγμένας καὶ τάφρον οὐ περατὴν οὐδὲ βάσιν ἀσφαλῆ τοῖς μαχομένοις παρέχουσαν ὑπὸ χαυνότητος. (2) Ὁ δὲ παῖς Πτολεμαῖος ἔχων δισχιλίους Γαλάτας καὶ Χαόνων λογάδας ἐξελίξας τὴν τάφρον ἐπειρᾶτο κατὰ τὰς ἁμάξας ὑπερβαίνειν· αἱ δὲ ὑπὸ βάθους καὶ πυκνότητος οὐ μόνον τούτοις τὴν ἔφοδον, ἀλλὰ καὶ τοῖς Λακεδαιμονίοις δύσεργον ἐποίουν τὴν βοήθειαν. (3) Ἀνασπώντων δὲ τῶν Γαλατῶν τοὺς τροχοὺς καὶ ὑποσυρόντων τὰς ἁμάξας εἰς τὸν ποταμόν, κατιδὼν τὸν κίνδυνον ὁ νεανίας Ἀκρότατος τήν τε πόλιν διαδραμὼν μετὰ τριακοσίων περιῆλθε τὸν Πτολεμαῖον οὐ συνορώμενος ὑπ' αὐτοῦ διά τινας συγκλινίας, ἕως προσέβαλε τοῖς ἐσχάτοις καὶ μεταβαλόντας ἠνάγκασε μάχεσθαι πρὸς ἑαυτὸν ὠθουμένους ὑπ' ἀλλήλων εἴς τε τὴν τάφρον καὶ παρὰ ταῖς ἁμάξαις πίπτοντας, ἄχρι οὗ φόνῳ πολλῷ μόλις ἀνεκόπησαν. (4) Ἐθεῶντο δὲ οἵ τε πρεσβύτεροι καὶ τῶν γυναικῶν τὸ πλῆθος ἀριστεύοντα τὸν Ἀκρότατον. Ἐπεὶ δὲ ἀπῆει πάλιν διὰ τῆς πόλεως ἐπὶ τὴν αὑτοῦ τάξιν αἵματος κατάπλεως καὶ γαῦρος ὑπὸ τῆς νίκης ἐπηρμένος, καὶ μείζων ἔδοξε γεγονέναι καὶ καλλίων ταῖς Λακαίναις καὶ τὴν Χιλωνίδα τοῦ ἔρωτος ἐζήλουν. (5) Τῶν δὲ πρεσβυτέρων τινὲς ἐπηκολούθουν βοῶντες· « Οἶχε, Ἀκρότατε, καὶ οἶφε τὰν Χιλωνίδα· μόνον παῖδας ἀγαθοὺς τᾷ Σπάρτᾳ ποίει. » (6) Κατὰ δὲ τὸν Πύρρον αὐτὸν ἰσχυρᾶς μάχης συνεστώσης ἄλλοι τε

ita adornabant atque apparabant omnia, ut qui Pyrrhum ibi cœnaturum putarent. (3) Facta nocte primum de exponendis in Cretam mulieribus consultaverunt Spartani : at mulieres repugnarunt, et earum una Archidamia gladio sumpto in senatum venit, nomine mulierum viros objurgans, quod eas, Sparta pereunte, vivere voluissent. (4) Inde ex adverso hostium castris fossam ducere statuerunt, cujus ab utraque extremitate plaustra collocarent, ad medias rotas defossa, quo, quum sedem haberent stabilem, elephantis impedimento essent. (5) Quum opus id inchoarent, virgines et mulieres partim palliatæ succinctis tunicis, partim tunicatæ tantum præsto adfuerunt et sese cum senioribus viris id opus facturas receperunt, eosque quibus pugnandum foret, quiescere jusserunt : atque ita mensura illis assignata, tertiam totius operis partem perfecerunt, cujus latitudo sex, altitudo quattuor cubitorum, longitudo octo jugerum Phylarcho auctore (Hieronymus minorem tradit) fuit. (6) Sub auroram hostibus se commoventibus, arma juvenibus porrigentes fossamque tradentes, defendere eam et tueri jusserunt : etenim et jucundam fore in conspectu patriæ partam victoriam, et gloriosum, mortem Sparta dignam oppetendo inter matrum et uxorum manus exspirare. (7) Chilonis autem seorsum ab aliis laqueum sibi aptaverat, quo Sparta capta mortem sibi consciscceret, ne in manus Cleonymi perveniret.

XXVIII. Ipse Pyrrhus a fronte cum phalangitarum agmine clypeatos Lacedæmoniorum magno numero sibi objectos perrumpere enitebatur, perque aggerem transitu difficilem et qui ob raritatem materiæ non pateretur pugnantes vestigia figere. (2) Filius autem Ptolemæus cum duobus Gallorum millibus et delectis Chaonibus ambita fossa juxta plaustra ad hostem perrumpere conabatur : illa vero et alte infixa, et densa juxta sese posita, non illis modo irruptionem, sed et Lacedæmoniis propugnationem difficilem reddebant. (3) Gallis autem rotas revellentibus atque plaustra in fluvium detrahentibus, periculum imminere cernens adolescens Acrotatus cum trecentis per urbem discurrens circumvenit Ptolemæum, non conspectus ab eo propter quasdam convalles, donec extremos adortus coegit ut se obverterent invicem sese trudentes inque fossam et circum plaustra cadentes et tandem magna cæde suorum repulsos. (4) Spectaverunt et seniores et mulierum multitudo Acrotatum egregie pugnantem : et quum sanguine oppletus victoriaque exsultans per urbem in suam rediret stationem, major quam ante pulchriorque Lacænis visus est invideruntque hunc Chilonidi amorem. (5) Quidam autem seniorum eum subsecuti, Vade, aiebant, Acrotate, et Chilonidem habe : tantum bonos Spartæ liberos gigne. (6) Circa ipsum vero Pyrrhum quum esset acre prælium, et aliorum

λαμπρῶς ἠγωνίζοντο καὶ Φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ἤσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἐκστάς τινι τῶν ἐπιτεταγμένων τῆς χώρας ἔπεσεν ἐντὸς τῶν ὅπλων, ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις.

XXIX. Νυκτὸς δὲ ἡ μάχη διεκρίθη· καὶ κοιμώμενος ὁ Πύρρος ὄψιν εἶδε τοιαύτην. Ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν Λακεδαίμονα καὶ φλέγεσθαι πᾶσαν, αὐτὸν δὲ χαίρειν. (2) Ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. (3) Οἱ μὲν οὖν ἄλλοι θαυμαστῶς ἐπείθοντο, Λυσιμάχῳ δὲ οὐκ ἤρεσκεν ἡ ὄψις, ἀλλ' ἔφη δεδιέναι, μὴ, καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία, καὶ τῷ Πύρρῳ προσημαίνῃ τὸ θεῖον ἀνείσοδον ἔσεσθαι τὴν πόλιν. (4) Ὁ δὲ Πύρρος εἰπὼν ὅτι ταῦτα μέν ἐστι πυλαϊκῆς ὀχλαγωγίας καὶ ἀσοφίαν ἔχοντα πολλὴν, ἐκεῖνο δὲ δεῖ τὰ ὅπλα διὰ χειρῶν ἔχοντας ὑποβάλλειν ἑαυτοῖς,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ Πύρρου,

ἐξανέστη καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. (5) Ἡμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι· καὶ παρῆσαν αἱ γυναῖκες ὀρέγουσαι βέλη καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. (6) Τήν τε τάφρον οἱ Μακεδόνες χοῦν ἐπειρῶντο πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο, καὶ πρὸς τοῦτο τῶν Λακεδαιμονίων βοηθούντων ὤρθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ Πύρρος ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. (7) Κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ Πύρρῳ καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον ἐξήλατο Κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα καὶ κατέβαλε δυσθανατῶν τὸν Πύρρον εἰς τόπους 403ὀλισθηροὺς καὶ κατάντεις. Θορυβουμένων δὲ περὶ τοῦτον τῶν ἑταίρων ἐπέδραμον οἱ Σπαρτιᾶται καὶ χρώμενοι τοῖς βέλεσιν ἐξέωσαν ἅπαντας. (8) Ἐκ δὲ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυεν οἰόμενος ἐνδώσειν τι τοὺς Λακεδαιμονίους, σχεδὸν ἁπάντων κατατετρωμένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. (9) Ἡ δ' ἀγαθὴ τύχη τῆς πόλεως εἴτε πεῖραν ἀρετῆς λαμβάνουσα τῶν ἀνδρῶν εἴθ' ἑαυτῆς, ὅσην ἐν ἀπόροις ἔχει δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶν Λακεδαιμονίων ἐχόντων τὰς ἐλπίδας Ἀμεινίαν τε Φωκέα, τῶν Ἀντιγόνου στρατηγῶν, ἐκ Κορίνθου βοηθήσοντα παρεισήγαγε μετὰ ξένων, καὶ τοῦτον ἄρτι δεδεγμένων ὁ βασιλεὺς αὐτοῖς Ἄρευς ἦκεν ἐκ Κρήτης δισχιλίους στρατιώτας κομίζων. (10) Αἵ τε δὴ γυναῖκες εὐθὺς ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν οὐδὲν ἔτι πολυπραγμονεῖν ἀξιοῦσαι τῶν πολεμικῶν, καὶ τοὺς παρ' ἡλικίαν ἐν τοῖς ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες αὐτοὺς ἐπὶ τὴν μάχην ἔταξαν.

nobilis fuit pugna et Phyllii præcipue : qui quum diu admodum restitisset plurimosque hostium irrumpentium stravisset, ut præ vulnerum multitudine se deficere sensit, quendam juxta se collocatorum in locum suum recepit, atque intra armatos suos concidit, ne corpore hostes potirentur.

XXIX. Nox prœlium diremit. Ea nocte per quietem Pyrrhus vidit se fulminibus Lacedæmonem ferire, totamque ardere eam, se gaudente. (2) Hoc gaudio expergefactus, duces in armis habere exercitum jussit amicisque insomnium exposuit, conjiciens se Spartam expugnaturum. (3) Quum id reliquis mirifice probaretur, soli Lysimacho secus visum est, dixitque is, vereri se ne, quemadmodum de cœlo tacta loca inaccessa manent, in Lacedæmonem quoque non intraturum Pyrrhum, deus præmonstraverit. (4) Pyrrhus autem respondit, nugas esse has otiosorum et ad garriendum convenientium hominum et multum habere stultitiæ; ipsi potius arma manibus tenentes hoc secum cogitarent,

Optimum id augurium esse, armis defendere Pyrrhum;

his dictis surrexit et sub diluculum copias in hostem duxit. (5) Lacedæmonii alacritate et virtute etiam viribus suis superiore propugnabant : astabant mulieres, tela, cibum et potum iis qui opus habebant, porrigentes, saucios ad se recipiebant. (6) Jam et fossam omnis generis materia super arma et cadavera mortuorum ingesta implere Macedones conabantur, et eo Lacedæmoniis accurrentibus, præter fossam et plaustra Pyrrhus equo admisso in urbem contendens cernebatur. (7) Edito ab iis qui eo erant collocati clamore, factoque concursu et mulierum clamore sublato, Pyrrhum jam perrumpere conantem, et objectis a fronte instantem, equus Cretico ictus sub ventrem telo exsiliens et cum morte ægre conflictans excussit inque locum lubricum et declivem abjecit. Turbatis circa eum sociis, Lacedæmonii accurrunt, telisque omnes repellunt. (8) Propterea Pyrrhus reliquos etiam a prœlio revocavit, Lacedæmonios, quorum plerique saucii erant, multi ceciderant, remissuros aliquid sperans. (9) Sed bona urbis Spartanæ fortuna seu virtutis virorum periculum faciens, seu ipsa quantam in rebus adversissimis vim haberet ostensura, Aminiam Phocensem, Antigoni legatum, Corintho cum mercenariis militibus auxilio Lacedæmoniis jam prope desperationem constitutis adduxit : atque his vixdum receptis, Areus rex cum duobus millibus militum ex Creta supervenit. (10) Itaque mulieres domum quæque suam confestim discesserunt, nihil jam bellicarum rerum sollicitæ et dimissis quoque qui præter ætatem necessitate urgente arma sumpserant, semet ipsi ad pugnam accinxerunt.

XXX. Τὸν δὲ Πύρρον ἔσχε μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας κρατῆσαι τῆς πόλεως· ὡς δὲ οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη καὶ τὴν χώραν ἐπόρθει διανοούμενος αὐτόθι χειμάσαι. (2) Τὸ δὲ χρεὼν ἦν ἄφυκτον. Ἐν γὰρ Ἄργει στάσις ἦν Ἀριστέου πρὸς Ἀρίστιππον. Ἐπεὶ δὲ ὁ Ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ Ἀντιγόνῳ, φθάσας ὁ Ἀριστέας ἐκάλει τὸν Πύρρον εἰς τὸ Ἄργος. Ὁ δὲ ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλίνδων καὶ ταῖς μὲν εὐτυχίαις ἐπ' ἄλλας χρώμενος ἀφορμαῖς, ἃ δὲ ἔπταιεν ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧττον οὔτε νίκην ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. (3) Εὐθὺς οὖν ἀνεζεύγνυεν ἐπὶ τὸ Ἄργος. Ὁ δὲ Ἄρευς ἐνέδρας τε πολλὰς ὑφεὶς καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ περιέκοπτε τοὺς Γαλάτας καὶ τοὺς Μολοσσοὺς ὀπισθοφυλακοῦντας. (4) Τῷ δὲ Πύρρῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν ἀλόβων γενομένων ὑπὸ τοῦ μάντεως ἀποβολή τινος τῶν ἀναγκαίων, παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς ἐκέλευσε τὸν υἱὸν Πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν, αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. (5) Ὀξείας δὲ περὶ τὸν Πτολεμαῖον μάχης γενομένης καὶ τῶν ἐπιλέκτων Λακεδαιμονίων, ὧν Εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸ αὐτοῦ συμπλεκομένων, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξύς, Ὄρυσσος ὄνομα, Κρὴς Ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν ἀγωνιζόμενον ἐκθύμως τὸν νεανίσκον ἐπάταξε καὶ κατέβαλε. (6) Πεσόντος δὲ ἐκείνου καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν οἱ Λακεδαιμόνιοι διώκοντες καὶ κραταιοῦντες ἔλαθον εἰς τὸ πεδίον ἐμβαλόντες καὶ ἀπολῃφθέντες ὑπὸ τῶν ὁπλιτῶν, ἐφ' οὓς ὁ Πύρρος ἄρτι τὸν θάνατον τοῦ παιδὸς ἀκηκοὼς καὶ περιπαθῶν ἐπέστρεψε τοὺς ἱππεῖς τῶν Μολοσσῶν. (7) Καὶ πρῶτος εἰσελάσας ἐνεπίμπλατο φόνου τῶν Λακεδαιμονίων, ἀεὶ μέν τις ἄμαχος καὶ δεινὸς ἐν τοῖς ὅπλοις φαινόμενος, τότε δὲ ὑπερβάλλων τόλμῃ καὶ βίᾳ τοὺς προτέρους ἀγῶνας. (8) Ἐπεὶ δὲ ἐπέβαλε τῷ Εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλαγίου παραστὰς μικρὸν ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας χεῖρα διακόψαι τοῦ Πύρρου, τὴν δὲ ἡνίαν πατάξας ἀπέκοψεν. (9) Ὁ δὲ Πύρρος ἅμα τῇ πληγῇ τοῦ δόρατος διελάσας ἐκεῖνον ἀπερρύη τοῦ ἵππου καὶ πεζὸς ἤδη πάντας ἐπὶ τῷ Εὐάλκῳ μαχομένους ἀπέκτεινε τοὺς λοχάδας. Καὶ μέγα τοῦτο τῇ Σπάρτῃ παρανάλωμα τοῦ πολέμου πέρας ἔχοντος ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρχόντων.

XXXI. Ὁ δὲ Πύρρος ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας καὶ λαμπρὸν ἐπιτάφιον ἀγωνισάμενος καὶ πολὺ τῆς λύπης ἐν τῷ πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ προῆγεν ἐπὶ τὸ Ἄργος. (2) Καὶ τὸν Ἀντίγονον ἤδη πυνθανόμενος ἐπὶ τῶν ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι περὶ τὴν Ναυπλίαν ἐστρατοπέδευσε. (3) Τῇ δ' ὑστεραίᾳ κήρυκα πρὸς τὸν Ἀντίγονον ἔπεμψε λυμεῶνά τε καλῶν καὶ προκαλούμενος εἰς τὸ πεδίον καταβάντα διαγωνίσασθαι περὶ τῆς βασιλείας. (4) Ὁ δὲ ἀπεκρίνατο

XXX. At vero Pyrrhum, quo erat animi robore et magnarum rerum cupiditate præditus, tanto major ob auxilia quæ accesserant incesserat urbem capiendi ardor: sed frustra eo tentato plagisque acceptis a proposito depulsus, missa obsidione agrum vastavit, ibique hiberna habere constituit. (2) Sed enim inevitabile est fatum. Argis Aristeæ et Aristippo factiones erant contrariæ. Quum ergo Aristippus amico videretur uti Antigono, prior Aristeas Pyrrhum Argos accivit. Pyrrhus ex una subinde spe in aliam delabens prosperosque successus, tanquam aliarum rerum occasiones, accipiens, adversas res aliis actionibus sarcire studens, neque cladem neque victoriam terminum sibi faciebat et se et alios vexandi. (3) Statim itaque Argos versum castra movit. Areus insidiis multis constitutis angustiisque viæ occupatis, Gallos et Molossos agmen claudentes intercipiebat. (4) Prædixerat Pyrrho vates ex hostiarum jecinoribus mutilis, fore ut aliquem suorum necessariorum amitteret; verum is intempestive tunc inter festinationem et tumultum cogitationibus perturbatis, Ptolemæum filium cum sociis subsidium suis ferre jussit; ipse celeriter ex angustiis exercitum extrahens progrediebatur. (5) Orto acri circa Ptolemæum prœlio delectisque Lacedæmoniis, quorum dux erat Eualcus, cum iis qui ante Ptolemæum pugnabant, manum conserentibus, Cretensis quidam Oryssus ex urbe Aptera, manu promptus cursuque celer, ex obliquo accurrit Ptolemæumque acriter pugnantem percussit atque dejecit. (6) Ut is cecidit, reliquos fugam dantes Lacedæmonii persequentes atque cedentes, in campum imprudentes devenerunt, a gravis armaturæ militibus avulsi. In hos Pyrrhus, recens audito filii interitu, vehementi mœrore affectus equitatum Molossorum vertit. (7) Primusque invectus cædæ Lacedæmoniorum se explevit: semper quidem in armis invictus terribilisque apparuit; tum vero majori, quam prioribus unquam pugnis, audacia et vi usus est. (8) Equum inde in Eualcum immisit: ille vere latere accedens parum abfuit quin manum, qua Pyrrhus frenum tenebat, gladio amputasset, habenas vero ictu præcidit. (9) Pyrrhus eodem temporis momento hasta eum transfixit et ab equo ipse defluxit: pedestrique exinde prœlio totam delectorum manum super Eualcum stravit. Hoc et magnum et quod vitari omnino potuisset bello jam finito, damnum Spartanis ducum suorum nimia cupiditas addidit.

XXXI. Porro Pyrrhus quum hoc modo quasi parentasset filio, certamenque in funere ejus præclarum celebrasset magnamque etiam luctus partem cum ira in hostes effudisset, ad Argos processit. (2) Et cognito Antigonum jam in verticibus montium supra campos consedisse, ad Naupliam castra posuit. (3) Postridie præcone ad Antigonum misso, pestem eum appellavit, et ut in campum degressus de regno secum dimicaret, provocavit. (4) Respondit Antigonus: suas

λαμπρῶς ἠγωνίζοντο καὶ Φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ᾔσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἐκστάς τινι τῶν ἐπιτεταγμένων τῆς χώρας ἔπεσεν ἐντὸς τῶν ὅπλων, ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις.

XXIX. Νυκτὸς δὲ ἡ μάχη διεκρίθη· καὶ κοιμώμενος ὁ Πύῤῥος ὄψιν εἶδε τοιαύτην. Ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν Λακεδαίμονα καὶ φλέγεσθαι πᾶσαν, αὐτὸν δὲ χαίρειν. (2) Ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. (3) Οἱ μὲν οὖν ἄλλοι θαυμαστῶς ἐπείθοντο, Λυσιμάχῳ δὲ οὐκ ἤρεσκεν ἡ ὄψις, ἀλλ' ἔφη δεδιέναι, μὴ, καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία, καὶ τῷ Πύῤῥῳ προσημαίνῃ τὸ θεῖον ἀνείσοδον ἔσεσθαι τὴν πόλιν. (4) Ὁ δὲ Πύῤῥος εἰπὼν ὅτι ταῦτα μέν ἐστι πυλαϊκῆς ὀχλαγωγίας καὶ ἀσοφίαν ἔχοντα πολλὴν, ἐκεῖνο δὲ δεῖ τὰ ὅπλα διὰ χειρῶν ἔχοντας ὑποβάλλειν ἑαυτοῖς,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ Πύῤῥου,

ἐξανέστη καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. (5) Ἠμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι· καὶ παρῆσαν αἱ γυναῖκες ὀρέγουσαι βέλη καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. (6) Τήν τε τάφρον οἱ Μακεδόνες χοῦν ἐπειρῶντο πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο, καὶ πρὸς τοῦτο τῶν Λακεδαιμονίων βοηθούντων ὤφθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ Πύῤῥος ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. (7) Κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ Πύῤῥῳ καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον ἐξήλατο Κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα καὶ κατέβαλε δυσθανατῶν τὸν Πύῤῥον εἰς τόπους
403 ὀλισθηροὺς καὶ κατάντεις. Θορυβουμένων δὲ περὶ τοῦτον τῶν ἑταίρων ἐπέδραμον οἱ Σπαρτιᾶται καὶ χρώμενοι τοῖς βέλεσιν ἐξέωσαν ἅπαντας. (8) Ἐκ δὲ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυεν οἰόμενος ἐνδώσει[illegible] τι τοὺς Λακεδαιμονίους, σχεδὸν ἁπάντων κατατετρ[illegible] μένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. (9) Ἡ[illegible] ἀγαθὴ τύχη τῆς πόλεως εἴτε πεῖραν ἀρετῆς λ[illegible] νουσα τῶν ἀνδρῶν εἴθ' ἑαυτῆς, ὅσην ἐν ἀπόρο[illegible] δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶ[illegible] δαιμονίων ἐχόντων τὰς ἐλπίδας Ἀμεινίαν τε [illegible] τῶν Ἀντιγόνου στρατηγῶν, ἐκ Κορίνθου βο[illegible] παρεισήγαγε μετὰ ξένων, καὶ τοῦτον ἄρτι δ[illegible] ὁ βασιλεὺς αὐτοῖς Ἄρευς ἧκεν ἐκ Κρήτη[illegible] στρατιώτας κομίζων. (10) Αἵ τε δὴ γυ[illegible] ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν οὐδὲν ἔτι πολ[illegible] ἀξιοῦσαι τῶν πολεμικῶν, καὶ τοὺς παρ' ἡ[illegible] ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες α[illegible] μάχην ἔταξαν.

nobilis fuit pugna et Phyllii præcipue : qui quum diu admodum restitisset plurimosque hostium irrumpentium stravisset, ut præ vulnerum multitudine se deficere sensit, quendam juxta se collocatorum in locum suum recepit, atque intra armatos suos concidit, ne corpore hostes potirentur.

XXIX. Nox prœlium diremit. Ea nocte per quietem Pyrrhus vidit se fulminibus Lacedæmonem ferire, totamque ardere eam, se gaudente. (2) Hoc gaudio expergefactus, duces in armis habere exercitum jussit amicisque insomnium exposuit, conjiciens se Spartam expugnaturum. (3) Quum id reliquis mirifice probaretur, soli Lysimacho secus visum est, dixitque is, vereri se ne, quemadmodum de cœlo tacta loca inaccessa manent, in Lacedæmonem quoque non intraturum Pyrrhum, deus præmonstraverit. (4) Pyrrhus autem respondit, nugas esse has otiosorum et ad garriendum convenientium hominum et multum habere stultitiæ; ipsi potius arma manibus tenentes hoc secum cogitarent,

Optimum id augurium esse, armis defendere Pyrrhum;

his dictis surrexit et sub diluculum copias in hostem duxit. (5) Lacedæmonii alacritate et virtute etiam viribus suis superiore propugnabant : astabant mulieres, tela, cibum et potum iis qui opus habebant, porrigentes, saucios ad se recipiebant. (6) Jam et fossam omnis generis materia super arma et cadavera mortuorum ingesta implere Macedones conabantur, et eo Lacedæmoniis accurrentibus, præter fossam et plaustra Pyrrhus equo admisso in urbem contendens cernebatur. (7) Edito ab iis qui eo erant co[illegible] clamore, factoque conc[illegible] Pyrrhum [illegible] instant[illegible] cun[illegible]

XXX. Τὸν δὲ Πύρρον ἔσχε μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας κρατῆσαι τῆς πόλεως· ὡς δὲ οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη καὶ τὴν χώραν ἐπόρθει διανοούμενος αὐτόθι χειμάσαι. (2) Τὸ δὲ χρεὼν ἦν ἄφυκτον. Ἐν γὰρ Ἄργει στάσις ἦν Ἀριστέου πρὸς Ἀρίστιππον. Ἐπεὶ δὲ ὁ Ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ Ἀντιγόνῳ, φθάσας ὁ Ἀριστέας ἐκάλει τὸν Πύρρον εἰς τὸ Ἄργος. Ὁ δὲ ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλίνδων καὶ ταῖς μὲν εὐτυχίαις ἐπ' ἄλλας χρώμενος ἀφορμαῖς, ἃ δὲ ἔπταιεν ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧτταν οὔτε νίκην ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. (3) Εὐθὺς οὖν ἀνεζεύγνυεν ἐπὶ τὸ Ἄργος. Ὁ δὲ Ἄρευς ἐνέδρας τε πολλὰς ὑφεὶς καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ περιέκοπτε τοὺς Γαλάτας καὶ τοὺς Μολοσσοὺς ὀπισθοφυλακοῦντας. (4) Τῷ δὲ Πύρρῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν ἀλόβων γενομένων ὑπὸ τοῦ μάντεως ἀποβολή τινος τῶν ἀναγκαίων, παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς ἐκέλευσε τὸν υἱὸν Πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν, αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. (5) Ὀξείας δὲ περὶ τὸν Πτολεμαῖον μάχης γενομένης καὶ τῶν ἐπιλέκτων Λακεδαιμονίων, ὧν Εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸ αὐτοῦ συμπλεκομένοις, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξύς, Ὄρυσσος ὄνομα, Κρὴς Ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν ἀγωνιζόμενον ἐκθύμως τὸν νεανίσκον ἐπάταξε καὶ κατέβαλε. (6) Πεσόν- ἐκείνου καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν [illegible] μόνοι διώκοντες καὶ κρατοῦντες ἔλαθον [illegible] ἐμβαλόντες καὶ ἀπολῃφθέντες ὑπὸ τῶν [illegible] ὁ Πύρρος ἄρτι τὸν θάνατον τοῦ παι[illegible] περιπαθῶν ἐπέστρεψε τοὺς ἱππεῖς τῶ[illegible] (7) Καὶ πρῶτος εἰσελάσας ἐνε[illegible] Λακεδαιμονίων, ἀεὶ μέν τις ἅμα[illegible] ὅπλοις φαινόμενος, τότε δὲ ὑπερ[illegible] τοὺς προτέρους ἀγῶνας. (8) [illegible] Εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλα[illegible] ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας [illegible] Πύρρου, τὴν δὲ ἡνίαν πατάξας [illegible] ἅμα τῇ πληγῇ τοῦ δόρα[illegible] τοῦ ἵππου καὶ πεζὸς ἤδη [illegible] Σπάρτῃ παρανάλωμα τοῦ [illegible] ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρ[illegible]

[illegible] ὥσπερ ἐναγισμόν τινα τῷ [illegible] ἐπιτάφιον ἀγωνισάμενος καὶ [illegible] πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ [illegible] (2) Καὶ τὸν Ἀντίγονον ἤδη [illegible] ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι [illegible] ἐστρατοπέδευσε. (3) Τῇ δ' ὑστε[illegible] τὸν Ἀντίγονον ἔπεμψε λυμεῶνά τε [illegible] καλούμενος εἰς τὸ πεδίον καταβάντα διαπερὶ τῆς βασιλείας. (4) Ὁ δὲ ἀπεκρίνατο

XXX. At vero Pyrrhum, quo erat animi robore et magnarum rerum cupiditate præditus, tanto major ob auxilia quæ accesserant incesserat urbem capiendi ardor: sed frustra eo tentato plagisque acceptis a proposito depulsus, missa obsidione agrum vastavit, ibique hiberna habere constituit. (2) Sed enim inevitabile est fatum. Argis Aristeæ et Aristippo factiones erant contrariæ. Quum ergo Aristippus amico videretur uti Antigono, prior Aristeas Pyrrhum Argos accivit. Pyrrhus ex una subinde spe in aliam delabens prosperosque successus, tanquam aliarum rerum occasiones, accipiens, adversas res aliis actionibus sarcire studens, neque cladem neque victoriam terminum sibi faciebat et se et alios vexandi. (3) Statim itaque Argos versum castra movit. Areus insidiis multis constitutis angustiisque viæ occupatis, Gallos et Molossos agmen claudentes intercipiebat. (4) Prædixerat Pyrrho vates ex hostiarum jecinoribus mutilis, fore ut aliquem suorum necessariorum amitteret; verum is intempestive tunc inter festinationem et tumultum cogitationibus perturbatis, Ptolemæum filium cum sociis subsidium suis ferre jussit; ipse celeriter ex angustiis exercitum extrahens progrediebatur. (5) Orto acri circa Ptolemæum prœlio delectisque Lacedæmoniis, quorum dux erat Eualcus, cum iis qui ante Ptolemæum pugnabant, manum conserentibus, Cretensis quidam Oryssus ex urbe Aptera, manu promptus cursuque celer, ex obliquo accurrit Ptolemæumque acriter pugnantem percussit atque dejecit. (6) Ut is cecidit, reliquos fugam dantes Lacedæmonii persequentes atque cedentes, in campum imprudentes devenerunt, a gravis armaturæ militibus avulsi. In hos Pyrrhus, recens audito filii interitu, vehementi mœrore affectus equitatum Molossorum vertit. (7) Primusque invectus cæde Lacedæmoniorum se explevit: semper quidem in armis invictus terribilisque apparuit; tum vero majori, quam prioribus unquam pugnis, audacia et vi usus est. (8) Equum inde in Eualcum immisit: ille vere latere accedens parum abfuit quin manum, qua Pyrrhus frenum tenebat, gladio amputasset, habenas vero ictu præcidit. (9) Pyrrhus eodem temporis momento hasta eum transfixit et ab equo ipse defluxit: pedestrique exinde prœlio totam delectorum manum super Eualcum stravit. Hoc et magnum et quod vitari omnino potuisset bello jam finito, damnum Spartanis ducum suorum nimia cupiditas addidit.

XXXI. Porro Pyrrhus quum hoc modo quasi parentasset filio, certamenque in funere ejus præclarum celebrasset magnamque etiam luctus partem cum ira in hostes effudisset, ad Argos processit. (2) Et cognito Antigonum jam in verticibus montium supra campos consedisse, ad Naupliam castra posuit. (3) Postridie præcone ad Antigonum misso, pestem eum appellavit, et ut in campum degressus de regno secum dimicaret, provocavit. (4) Respondit Antigonus: suas

τὴν μὲν αὐτοῦ στρατηγίαν οὐχ ὅπλων μᾶλλον ἢ καιρῶν εἶναι, τῷ δὲ Πύρρῳ πολλὰς ὁδοὺς ἀνεῳγέναι πρὸς θάνατον, εἰ ζῆν μὴ σχολάζει. (5) Πρὸς δὲ ἀμφοτέρους πρέσβεις ἦκον ἐξ Ἄργους ἀπαλλάττεσθαι δεόμενοι καὶ τὴν πόλιν ἐᾶν μηδετέρου γενομένην, εὖνουν δὲ οὖσαν ἀμφοτέρους. (6) Ὁ μὲν οὖν Ἀντίγονος ἐπείθετο καὶ τὸν υἱὸν ἐδίδου τοῖς Ἀργείοις ὅμηρον, ὁ δὲ Πύρρος ὡμολόγει μὲν ἀπαλλαγήσεσθαι, μὴ παρέχων δὲ πίστιν ὑποπτότερος ἦν. (7) Γίνεται δὲ σημεῖον αὐτῷ τε τῷ Πύρρῳ μέγα, τῶν γὰρ βοῶν τεθυμένων αἱ κεφαλαὶ κείμεναι χωρὶς ἤδη τάς τε γλώττας ὤφθησαν προβάλλουσαι καὶ περιλιχμώμεναι τὸν ἑαυτῶν φόνον, ἔν τε τῇ πόλει τῶν Ἀργείων ἡ τοῦ Λυκείου προφῆτις Ἀπολλωνὶς ἐξέδραμε βοῶσα νεκρῶν ὁρᾶν καὶ φόνου κατάπλεω τὴν πόλιν, τὸν δ' ἀετὸν ἐπὶ τὸν ἀγῶνα χωροῦντα εἶτα φροῦδον εἶναι.

XXXII. Σκότους δὲ πολλοῦ προσμίξας ὁ Πύρρος τοῖς τείχεσι καὶ πύλην εὑρὼν, ἣν Διαμπερὲς καλοῦσιν, ἀνεῳγμένην ὑπὸ τοῦ Ἀριστέου αὐτοῖς, ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς Γαλάτας τοὺς παρ' αὐτοῦ καὶ τὴν ἀγορὰν καταλαβεῖν ἐλάνθανε· τῆς δὲ πύλης τοὺς ἐλέφαντας οὐ δεχομένης καὶ διὰ τοῦτο τοὺς πύργους αὐτῶν ἀφαιρούντων, εἶτα πάλιν ἐν σκότει καὶ θορύβῳ περιτιθέντων καὶ γενομένης διατριβῆς, οἱ Ἀργεῖοι συναισθόμενοι πρὸς τὴν Ἀσπίδα καὶ τοὺς ὀχυροὺς τόπους ἀνέθεον καὶ τὸν Ἀντίγονον ἐκάλουν πέμποντες. (2) Ὁ δὲ αὐτὸς μὲν ἐγγὺς προσελάσας ἐφήδρευε, τοὺς δὲ στρατηγοὺς καὶ τὸν υἱὸν εἰσέπεμψε συχνὴν βοήθειαν ἄγοντας. Ἦκε δὲ καὶ Ἄρευς ἔχων χιλίους Κρῆτας καὶ Σπαρτιάτας τοὺς ἀλαφροτάτους. (3) Καὶ πάντες ἅμα τοῖς Γαλάταις προσβαλόντες εἰς πολὺν θόρυβον κατέστησαν αὐτούς. Ὁ δὲ Πύρρος εἰσιὼν μετ' ἀλαλαγμοῦ καὶ βοῆς παρὰ τὴν Κυλάραβιν, ὡς οἱ Γαλάται τοῖς περὶ αὐτὸν ἀντηλάλαξαν οὐκ ἰταμὸν οὐδὲ θαρραλέον, εἴκασε ταραττομένων εἶναι τὴν φωνὴν καὶ πονούντων. Ἐπῆγεν οὖν θᾶττον ὠθῶν τοὺς πρὸ αὐτοῦ τῶν ἱππέων δυσοδοῦντας ἐν τοῖς ὀχετοῖς, ὧν ἡ πόλις ἐστὶ μεστὴ, καὶ κινδυνεύοντας. (4) Ἦν δὲ καὶ ἀσάφεια πολλὴ τῶν δρωμένων καὶ παραγγελλομένων ἐν νυκτομαχίᾳ καὶ πλάναι καὶ διασπασμοὶ περὶ τοὺς στενωποὺς καὶ στρατηγίας οὐδὲν ἔργον ὑπὸ σκότους καὶ βοῆς ἀκρίτου καὶ στενότητος, ἀλλὰ διέτριβον ἄλλως περιμένοντες ἀμφότεροι τὴν ἡμέραν. (5) Ἤδη δὲ διαλάμποντος ἥ τε Ἀσπὶς ὅπλων περίπλεως πολεμίων ὀφθεῖσα τὸν Πύρρον διετάραξε καὶ τῆς ἀγορᾶς ἐν πολλοῖς ἀναθήμασι κατιδὼν λύκον χαλκοῦν καὶ ταῦρον οἷόν εἰς μάχην συνιόντας ἀλλήλοις ἐξεπλάγη χρησμόν τινα πρὸς ἑαυτὸν ἀνενεγκὼν παλαιὸν, ὡς ἀποθανεῖν αὐτῷ πεπρωμένον, ὅταν λύκον ἴδῃ ταύρῳ μαχόμενον. (6) Ταῦτα δὲ Ἀργεῖοι πάθους ὑπομνήματα παλαιοῦ γεγενῆσθαι παρ' αὐτοῖς λέγουσι· Δαναῷ γὰρ ὅτε πρῶτον ἐπέβη τῆς χώρας, κατὰ τὰ Πυράμια τῆς Θυρεάτιδος εἰς Ἄργος πορευομένῳ λύκον φανῆναι ταύρῳ μαχόμενον· θέμενον δὲ τὸν Δαναὸν, ὡς ὁ λύκος εἴη πρὸς αὐτοῦ, ξένον γὰρ ὄντα τοῖς ἐγχωρίοις ἐπιτίθεσθαι καθάπερ αὐτὸν, ἐφορᾶν τὴν μάχην, καὶ τοῦ λύκου κρα-

non armis magis, quam occasione, constare militiae rationes, Pyrrho, si non vacaret vivere, multas mortis patere vias. (5) Venerunt deinde ad utrumque legati Argivorum orantes uti discederent, Argosque paterentur neutri subditam, utrique amicam esse civitatem. (6) Antigonus assensit b filiumque suum Argivis obsidem dedit; Pyrrhus idem pollicitus, quia tamen fidem nullo testimonio confirmaret, suspectus habebatur. (7) Ostentum præterea ingens ipsi oblatum est. Bobus enim mactatis, capita eorum jam abscisa linguis exsertis circumlambere cruorem suum visa sunt; et Argis Apollinis Lycii vates Apollonis foras se proripuit cursu clamavitque videre se cadaveribus et cæde oppletam urbem, et aquilamque ad certamen progredientem deinde evanuisse.

XXXII. Multa de nocte Pyrrhus ad muros venit portamque, quæ Diamperes dicitur, ab Aristea sibi apertam inve- c nit et Gallos, quos secum habebat, induxit et forum occupavit, nemine civium hoc animadvertente. Quum vero elephantos porta ob angustiam cum turribus non admitteret hisque deponendis et rursus in tenebris imponendis moræ aliquantum fieret: senserunt rem Argivi concursuque ad Aspidem et alia munita urbis loca facto, Antigonum missis nunciis vocaverunt. (2) Ille immissis in urbem filio et ducibus cum magno auxilio, prope urbem in subsidio constitit. Venit et Areus cum mille Cretensibus et expeditissimis Spartanorum. (3) Hi universi cum Gallis congressi, ma- d gnam inter eos trepidationem fecerunt. Pyrrhus autem magno cum clamore juxta Cylarabin in urbem ingressus, ut Galli iis qui circum ipsum erant, clamorem reddiderunt, non ferocem eum, neque audacium, sed turbatorum et laborantium ratus, celerius equitatum, qui ante ipsum ibat, impulit, difficulter admodum se ex canalibus, quarum urbs plena est, expedientem periclitantemque. (4) Hac in nocturna pugna magna erat et eorum quæ agerentur et quæ duces suis mandarent incertitudo; errores et divulsiones ordinum circum angiporta fiebant, neque istis in tenebris, confuso clamore et angustia loci quicquam opera ducum præstare e poterat; itaque utrimque otiosi diem exspectabant. (5) Quum jam illucesceret, Pyrrhum et Aspis armorum plena hostilium perturbavit, et inter multa, quæ in foro suspensa sunt, monumenta lupum æneum taurumque ita fictos, ut imitarentur pugnam inituros, conspiciens perterritus est. Recordabatur enim secum antiqui oraculi, quod eo in loco mortem ipsi fato destinatam prædixerat, ubi lupum vidisset cum tauro certantem. (6) Id vero monumentum casus perantiqui apud se exstare Argivi ducunt. Danao enim, quum primum Argolicam regionem attingeret, ac juxta Pyramia f Thyreatici agri ad Argos iret, lupum cum tauro congressum visum fuisse: quumque is lupi omen ad se, quia more lupi peregrinos adoriretur, pertinere ratus finem certaminis ex-

τήσαντος Ἀπόλλωνι Λυκειῳ προσευξάμενον ἐπιχειρῆσαι καὶ περιγενέσθαι στάσει Γελάνορος, ὃς τότε τῶν Ἀργείων ἐβασίλευεν, ἐκπεσόντος. Τὸ μὲν οὖν ἀνάθημα a τοῦτον εἶχε τὸν λόγον.

XXXIII. Πρὸς δὲ τὴν ὄψιν ὁ Πύρρος ἅμα καὶ τῷ μηδὲν ὧν ἤλπισε προχωρεῖν ἀθυμῶν ἀναστρέφειν διενοεῖτο· τὰς δὲ πύλας στενὰς οὔσας φοβούμενος ἔπεμψε πρὸς τὸν υἱὸν Ἕλενον μετὰ τῆς πολλῆς δυνάμεως ἔξω καταλελειμμένον κελεύων τοῦ τείχους διασκάπτειν καὶ δέχεσθαι τοὺς ἐκπίπτοντας, ἂν ἐνοχλῶσιν οἱ πολέμιοι. (2) Σπουδῇ δὲ καὶ θορύβῳ τοῦ πέμφθέντος οὐδὲν σαφὲς ἀπαγγέλλοντος, ἀλλὰ καὶ διαμαρτίας γενομένης, τῶν θηρίων τὰ λοιπὰ καὶ στρατιώτας ἀναλαβὼν τοὺς κρατίστους ὁ νεανίσκος εἴσω διὰ τῶν πυλῶν ἐχώρει τῷ πατρὶ βοηθήσων. (3) Ἔτυχε δὲ ὁ Πύρρος ἀναστρέφων ἤδη. Καὶ μέχρι μὲν ἡ ἀγορὰ παρεῖχεν ὑπεξάγοντι χώ- b ραν καὶ μαχομένῳ ἐκ μεταβολῆς ἠμύνετο τοὺς ἐπιφερομένους· ἐπεὶ δὲ τῆς ἀγορᾶς εἰς τὸν στενωπὸν ἐξωσθεὶς τὸν ἐπὶ τὴν πύλην ἀνήκοντα συνέπιπτε τοῖς ἐπιβοηθοῦσιν ἐξ ἐναντίας προσφερομένοις, οἱ μὲν οὐχ ὑπήκουον ὑποχωρεῖν βοῶντος αὐτοῦ, τοὺς δὲ καὶ πάνυ προθύμους ὄντας εἶργον οἱ κατόπιν ἀπὸ τῆς πύλης ἐπιχεόμενοι. (4) Καὶ γὰρ ὁ μέγιστος ἐλέφας ἐν τῇ πύλῃ πλάγιος παραπεσὼν καὶ βρυχώμενος ἐμποδὼν ἔκειτο τοῖς ἀποτρεπτομένοις, καὶ τῶν προεισεληλυθότων ἕτερος, ᾧ Νίκων ὄνομα ἦν, ἀπορρυέντα τὸν ἐπιστάτην ὑπὸ τραυμάτων ζητῶν ἀναλαβεῖν καὶ φερόμενος πρὸς τοὐγκυντίον τοῖς c ὑπεξάγουσιν ἀνέμιξε φίλους ὁμοῦ καὶ πολεμίους ὠθουμένους ὑπ' αὐτοῦ· καὶ περιέπιπτον ἀλλήλοις, ἕως εὑρὼν νεκρὸν ἀνείλετο τῇ προβοσκίδι καὶ τοῖς ὀδοῦσιν ἀμφοτέροις ὑπολαβὼν ἀνέστρεψε πάλιν ὥσπερ ἐμμανὴς ἀνατρέπων καὶ διαφθείρων τοὺς ἐντυγχάνοντας. (5) Οὕτω δὲ θλιβομένων καὶ συμπιλουμένων πρὸς ἀλλήλους οὐδεὶς οὐδὲν ἑαυτῷ καθ' ἕνα χρῆσθαι δυνατὸς ἦν, ἀλλ' ὥσπερ ἓν σῶμα συγγεγομφωμένον ἑαυτῷ τὸ πᾶν πλῆθος ἐλάμβανε πολλὰς ἀποκλίσεις καὶ μεταβολὰς ἐπ' ἀμφότερα. (6) Καὶ μάχαι μὲν ἦσαν ὀλίγαι πρὸς τοὺς ἐναπολαμβανομένους ἀεὶ τῶν πολεμίων ἢ προσκειμένους d ὄπισθεν, πλεῖστα δὲ ἑαυτοὺς εἰργάζοντο κακά. Σπασάμενον γὰρ τὸ ξίφος ἢ κλίναντα λόγχην οὐκ ἦν ἀναλαβεῖν οὐδὲ καταθέσθαι πάλιν, ἀλλ' ἐχώρει δι' ὧν ἔτυχε τὰ τοιαῦτα καὶ περιπίπτοντες ἀλλήλοις ἔθνησκον.

XXXIV. Ὁ δὲ Πύρρος ἐφορῶν τὸν περιέχοντα χειμῶνα καὶ κλύδωνα τὴν μὲν στεφάνην, ᾗ διάσημον ἦν τὸ κράνος ἀφελὼν ἔδωκε τινὶ τῶν ἑταίρων, αὐτὸς δὲ τῷ ἵππῳ πεποιθὼς εἰς τοὺς ἑπομένους τῶν πολεμίων ἐνέβαλε καὶ δόρατι πληγεὶς διὰ τοῦ θώρακος οὐ καιρίαν πληγὴν οὐδὲ μεγάλην ἐπέστρεψε κατὰ τοῦ πατάξαντος, ὃς ἦν Ἀργεῖος, οὐ τῶν ἐπιφανῶν, ἀλλὰ πενιχρᾶς καὶ πρεσβυτέρας υἱὸς γυναικός. (2) Αὕτη τότε θεωμένη e τὴν μάχην ὥσπερ αἱ λοιπαὶ γυναῖκες ἀπὸ τοῦ τέγους ὡς ἐπέγνω συνεστῶτα τῷ Πύρρῳ τὸν υἱὸν ἐκπαθὴς γενομένη πρὸς τὸν κίνδυνον ἅρασα κεραμίδα ταῖς χερσὶν ἀμφοτέραις ἀφῆκεν ἐπὶ τὸν Πύρρον. (3) Ἐμπεσούσης

spectasset lupusque victor discessisset, tum votis Apollini Lycio factis aggressum ad rem propositam et Gelanore, qui tunc Argis regnabat, per factionem expulso regnum obtinuisse. Hæc erat hujus monumenti ratio.

XXXIII. Enimvero Pyrrhus propter hanc visionem simulque quod nihil eorum, quæ speraverat, succederet, consternatus, recedere decrevit : et quia portæ angustiam sibi incommodam metuebat, misit ad Helenum filium, quem cum magna exercitus parte extra urbem reliquerat, mandavitque ei ut muri partem subrueret perque ruinam suos fugientes reciperet, si hostes urgerent. (2) Eo autem, qui missus erat, præ festinatione et tumultu nihil perspicue renunciante et errore insuper accidente, Helenus cum reliquis elephantis et militum optimo quoque per portam ad ferendum patri auxilium contendit. (3) Jam retro cedere Pyrrhus cœperat : et quam diu forum ei abeundi simul et pugnandi spatium præbebat, conversus in persequentes se defendebat; postquam vero e foro in angiportum quod ad portam pertinet, compulsus, suos auxilio venientes contra se venire vidit in eosque incidit, clamantem, ut retro cederent, partim non exaudierunt, partim propter eos, qui a tergo apud portam instabant, quantumvis cuperent, non potuerunt gradum referre. (4) Nam et maximus elephantorum in porta ipsa in latus collapsus, atque rugiens sese recipientes prohibebat, et alius eorum qui ante fuerant ingressi, Nico nomine, delapsum propter vulnera rectorem requirens ac per adversos sese inferens, hostes pariter et amicos proruebat : donec inventum cadaver proboscide sustulit dentibusque imposuit, atque ita furenti similis revertens obvios quosque evertit atque necavit. (5) Sic itaque coactis in unum locum atque stipatis, nemini cuiquam viritim sese movendi facultas erat, sed tota multitudo, veluti unum aliquod corpus compactum, varie in utramque partem movebatur, varie inclinabatur. (6) Paucis admodum cum hostibus qui vel intercepti inter ipsos Pyrrhi ordines inclusi essent vel a tergo ingruerent, pugnandi copia fiebat; ipsi sese multis modis lædebant : nam qui semel strinxisset gladium aut intentasset hastam, recondere aut ad se recipere nullo modo poterat, sed per proximum quemque exigebat; itaque mutuis cædibus peribant.

XXXIV. Ibi Pyrrhus præsentem tempestatem atque fluctum cernens, apicem, qua galea ipsius insigniebatur, detractum amicorum cuidam tradidit et equo suo fidens in persequentes hostes impetum dedit : ubi per thoracem hasta ictus, vulnere neque letali neque magno, in eum qui sauciaverat sese convertit. Erat is Argivus haud nobili genere ortus, sed mulierculæ pauperis et jam vetulæ filius. (2) Ea de tecto, sicut et reliquæ mulieres, pugnam spectans, quum filium Pyrrho congressum cerneret, periculi magnitudine perterrita, utraque manu arreptam tegulam in Pyrrhum conjecit. (3) Quæ infra galeam capiti illapsa,

δὲ τῇ κεφαλῇ κατὰ τοῦ κράνους καὶ τῶν σφονδύλων πρὸς τὴν βάσιν τοῦ τραχήλου συντριβέντων αἵ τε ὄψεις συνεχύθησαν αὐτοῦ καὶ προήκαντο τὰς ἡνίας αἱ χεῖρες. Αὐτὸς δὲ κατενεχθεὶς παρὰ τὸν τοῦ Λικυμνίου σηκὸν ἔπεσεν ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. (4) Ζώπυρος δέ τις τῶν παρὰ Ἀντιγόνῳ στρατευομένων καὶ δύο ἢ τρεῖς ἕτεροι προσδραμόντες καὶ κατανοήσαντες εἰς τινα θυρῶνα παρείλκυσαν αὐτὸν ἀργόμενον ἐκ τῆς πληγῆς ἀναφέρεσθαι. (5) Σπασαμένου δὲ τοῦ Ζωπύρου μάχαιραν Ἰλλυρικὴν ὡς τὴν κεφαλὴν ἀποτεμοῦντος ἐνέβλεψε δεινὸν, ὥστε τὸν Ζώπυρον περίφοβον γενόμενον καὶ τὰ μὲν τρέμοντα ταῖς χερσὶ, τὰ δὲ ἐπιχειροῦντα, θορύβου δὲ καὶ ταραχῆς μεστὸν ὄντα, μὴ κατ' ὀρθὸν, ἀλλὰ παρὰ τὸ στόμα καὶ τὸ γένειον ἀποτέμνοντα βρα- a
406 δέως καὶ μόλις ἀποσπάσαι τὴν κεφαλήν. (6) Ἤδη δὲ σύνδηλον ἦν τὸ γεγονὸς πλείοσι καὶ προσδραμὼν ὁ Ἀλκυονεὺς ᾔτησε τὴν κεφαλὴν ὡς κατανοήσων. Λαβὼν δὲ ἀφίππευσε πρὸς τὸν πατέρα καὶ καθεζομένῳ μετὰ τῶν φίλων προσέβαλε. (7) Θεασάμενος δὲ καὶ γνοὺς ὁ Ἀντίγονος τὸν μὲν υἱὸν ἀπήλασε τῇ βακτηρίᾳ παίων καὶ καλῶν ἐναγῆ καὶ βάρβαρον, αὐτὸς δὲ τὴν χλαμύδα προσθέμενος τοῖς ὄμμασιν ἐδάκρυσεν Ἀντιγόνου τοῦ πάππου μνησθεὶς καὶ Δημητρίου τοῦ πατρὸς, οἰκείων παραδειγμάτων εἰς τύχης μεταβολήν. (8) Τὴν μὲν οὖν κεφαλὴν καὶ τὸ σῶμα τοῦ Πύρρου κοσμήσας b
ἔκαυσεν· ἐπεὶ δὲ ὁ Ἀλκυονεὺς τῷ Ἑλένῳ περιτυχὼν ταπεινῷ καὶ χλαμύδιον λιτὸν ἀμπεχομένῳ φιλανθρώπως ἐνέτυχε καὶ τῷ πατρὶ προσήγαγεν, ἰδὼν ὁ Ἀντίγονος, « Βελτίονα μὲν, εἶπεν, ὦ παῖ, ταῦτα τῶν πρότερων, ἀλλ' οὐδὲ νῦν ὀρθῶς τῷ μὴ περιελεῖν τὴν ἐσθῆτα ταύτην, ἢ μᾶλλον ἡμᾶς καταισχύνει τοὺς κρατεῖν δοκοῦντας. » (9) Ἐκ τούτου φιλοφρονησάμενος καὶ κοσμήσας τὸν Ἕλενον ἀπέστειλεν εἰς Ἤπειρον καὶ τοῖς φίλοις τοῦ Πύρρου πράως ἐνετύγχανε τοῦ στρατοπέδου καὶ τῆς δυνάμεως πάσης κύριος γενόμενος.

vertebras cervicis imæ comminuit : itaque Pyrrhus, obortas ante oculos caligine, manibus habenas dimisit, ipseque ad Licymnii sacrarium decidit, plerisque ignotus. (4) Zopyrus vero quidam, unus de iis qui sub Antigono militaverant, f cumque eo duo vel tres alii accurrentes, quum quis esset agnovissent, ad vestibulum quoddam attraxerunt, jam ab ictu vires colligentem. (5) Et Zopyrus gladio Illyrico stricto caput ei præcisurus, Pyrrho terribilem ei vultum obvertente ita consternatus est, ut, modo trepidans manibus, modo incessens, totus timore et consternatione repletus non recta cervicem ipsam amputarit, sed juxta os et mentum collo secato, tarde et ægre caput avellerit. (6) Jam et ad plures id factum emanaverat et Alcyoneus equo accurrens, caput sibi cognoscendæ rei causa præberi postulabat. Acceptum ad patrem Antigonum statim detulit, et apud eum cum amicis tum sedentem projecit. (7) Antigonus ut vidit, filium sceptro percussum abegit, barbarum et scelere contaminatum dicens : ipse Demetrii patris avique Antigoni (quæ domestica habebat commutatæ fortunæ exempla) recordatus, chlamyde oculis obducta flevit. (8) Caput etiam et corpus Pyrrhi honeste ornatum cremavit. Postea quum Alcyoneus in Helenum incidisset abjectum et vili palliolo amictum, eumque humaniter compellatum ad patrem adduceret : Hoc, inquit Antigonus, quam prius tuum factum, fili, melius habet : quanquam id quoque non satis recte actum est, quod vestitum ei hunc non detraxisti, qui nobis, qui vicisse judicamur, majori est dedecori, quam ei qui fert. (9) Porro autem Helenum amice acceptum ornatumque in Epirum remisit atque castris Pyrrhi omnibusque copiis in suam redactis potestatem, ejus amicis humanum se benignumque præbuit.

ΓΑΙΟΣ ΜΑΡΙΟΣ.

Γαΐου Μαρίου τρίτον οὐκ ἔχομεν εἰπεῖν ὄνομα, καθάπερ οὐδὲ Κοΐντου Σερτωρίου τοῦ κατασχόντος Ἰβηρίαν οὐδὲ Λευκίου Μομμίου τοῦ Κόρινθον ἑλόντος. Ὁ γὰρ Ἀχαϊκὸς τούτῳ γε τῆς πράξεως ἐπώνυμον γέγονεν, ὡς ὁ d
Ἀφρικανὸς Σκηπίωνι καὶ ὁ Μακεδονικὸς Μετέλλῳ. (2) Ἐξ οὗ καὶ μάλιστα Ποσειδώνιος ἐλέγχειν οἴεται τοὺς τὸ τρίτον ὄνομα Ῥωμαίοις κύριον εἶναι νομίζοντας, οἷον τὸν Κάμιλλον καὶ τὸν Μάρκελλον καὶ τὸν Κάτωνα· γίνεσθαι γὰρ ἂν ἀνωνύμους τοὺς ἀπὸ μόνων τῶν δυεῖν προσαγορευομένους. (3) Λανθάνει δὲ αὐτὸν, ὅτι τούτῳ τῷ λόγῳ πάλιν αὐτὸς ἀνωνύμους ποιεῖται τὰς γυναῖκας· οὐδεμιᾷ γὰρ γυναικὶ τίθεται τῶν ὀνομάτων τὸ πρῶτον, ὅπερ οἴεται κυρίως ὄνομα Ῥωμαίοις ὑπάρχειν ὁ Ποσειδώνιος· τῶν δὲ ἄλλων τὸ μὲν κοινὸν ἀπὸ συγγενείας,

MARIUS.

Caii Marii tertium nomen non exstat, sicuti neque Q. Sertorii, ejus qui Hispaniam obtinuit, neque L. Mummii, a quo Corinthus deleta est. (2) Quod enim hic Achaicus dicitur, id a re gesta cognomentum ei est factum, sicut Africani Scipioni et Macedonici Metello. (2) Hoc argumento Posidonius potissimum refutari eos censet, qui tertium nomen Romanis proprium esse putant, Camillum verbi causa, Marcellum, Catonem : nempe ea ratione effici ait, ut quibus duo tantum nomina essent, ii nomine vero carerent. (3) Atqui is non sensit hac ratione simul et illud astrui, nullam mulierem habere nomen : quandoquidem inter genera ista nominum primum quod Posidonius nomen proprium Romanis esse arbitratur, nulli mulieri imponitur. De reliquis duobus nominum generibus, alterum

τοὺς Πομπηΐους καὶ τοὺς Μαλλίους καὶ τοὺς Κορνηλίους, ὥσπερ ἂν Ἡρακλείδας τις εἴποι καὶ Πελοπίδας, τοῦτο δὲ πρασηγορικὸν ἐξ ἐπιθέτου πρὸς τὰς φύσεις ἢ τὰς πράξεις ἢ τὰ τοῦ σώματος εἴδη καὶ πάθη τίθεσθαι, τὸν Μακρῖνον καὶ τὸν Τουρκουάτον καὶ τὸν Σύλλαν, οἷόν ἐστιν ὁ Μνήμων ἢ ὁ Γρυπὸς ἢ ὁ Καλλίνικος. (4) Εἰς μὲν οὖν ταῦτα πολλὰς δίδωσιν ἐπιχειρήσεις ἡ τῆς συνηθείας ἀνωμαλία.

II. Τῆς δὲ ὄψεως τῆς Μαρίου λιθίνην εἰκόνα κειμένην ἐν Ῥαβέννῃ τῆς Γαλατίας ἐθεώμεθα πάνυ τῇ λεγομένῃ περὶ τὸ ἦθος στρυφνότητι καὶ πικρίᾳ πρέπουσαν. (2) Ἀνδρώδης γὰρ φύσει καὶ πολεμικὸς γενόμενος καὶ στρατιωτικῆς μᾶλλον ἢ πολιτικῆς παιδείας μεταλαβὼν ἄκρατον ἐν ταῖς ἐξουσίαις τὸν θυμὸν ἔσχε. (3) Λέγεται δὲ μήτε γράμματα μαθεῖν Ἑλληνικὰ μήτε γλώττῃ πρὸς μηδὲν Ἑλληνίδι χρῆσθαι τῶν σπουδῆς ἐχομένων, ὡς γελοῖον γράμματα μανθάνειν ὧν οἱ διδάσκαλοι δουλεύοιεν ἑτέροις· μετὰ δὲ τὸν δεύτερον θρίαμβον ἐπὶ ναοῦ τινος καθιερώσει θέας Ἑλληνικὰς παρέχων εἰς τὸ θέατρον ἐλθὼν καὶ μόνον καθίσας εὐθὺς ἀπαλλαγῆναι. (4) Ὥσπερ οὖν Ξενοκράτει τῷ φιλοσόφῳ σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι πολλάκις εἰώθει λέγειν ὁ Πλάτων, « Ὦ μακάριε Ξενόκρατες, θύε ταῖς Χάρισιν », οὕτως εἴ τις ἔπεισε Μάριον θύειν ταῖς Ἑλληνικαῖς Μούσαις καὶ Χάρισιν, οὐκ ἂν εὐπρεπεστάταις στρατηγίαις καὶ πολιτείαις ἀμορφοτάτην ἐπέθηκε κορωνίδα ὑπὸ θυμοῦ καὶ φιλαρχίας ἀώρου καὶ πλεονεξιῶν ἀπαρηγορήτων· εἰς ὠμότατον καὶ ἀγριώτατον γῆρας ἐξοκείλας. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτῶν εὐθὺς θεωρείσθω.

III. Γενόμενος δὲ γονέων παντάπασιν ἀδόξων, αὐτουργῶν δὲ καὶ πενήτων, πατρὸς μὲν ὁμωνύμου, μητρὸς δὲ Φουλκινίας, ὀψέ ποτε πόλιν εἶδε καὶ τῶν ἐν τῇ πόλει διατριβῶν ἐγεύσατο, τὸν δὲ ἄλλον χρόνον ἐν κώμῃ Κιρραιάτωνι τῆς Ἀρπίνης δίαιταν εἶχε, πρὸς μὲν ἀστεῖον καὶ γλαφυρὸν βίον ἀγροικοτέραν, σώφρονα δὲ καὶ ταῖς πάλαι Ῥωμαίων τροφαῖς ἐοικυῖαν. (2) Πρώτην δὲ στρατευσάμενος ἐπὶ Κελτίβηρας, ὅτε Σκηπίων Ἀφρικανὸς Νομαντίαν ἐπολιόρκει, τὸν στρατηγὸν οὐκ ἐλάνθανεν ἀνδρείᾳ τῶν ἄλλων νέων διαφέρων καὶ τὴν μεταβολὴν τῆς διαίτης, ἣν ὑπὸ τρυφῆς καὶ πολυτελείας διεφθαρμένοις ἐπῆγε τοῖς στρατεύμασιν ὁ Σκηπίων, εὐκολώτατα προσδεχόμενος. (3) Λέγεται δὲ καὶ πολέμιον ἄνδρα συστὰς καταβαλεῖν ἐν ὄψει τοῦ στρατηγοῦ. Διὸ ταῖς τε ἄλλαις προήγετο τιμαῖς ὑπ' αὐτοῦ καί ποτε λόγου μετὰ δεῖπνον ἐμπεσόντος ὑπὲρ στρατηγῶν καὶ τῶν παρόντων ἑνὸς εἴτε ἀληθῶς διαπορήσαντος εἴτε πρὸς ἡδονὴν ἐρομένου τὸν Σκηπίωνα, τίνα δὴ τοιοῦτον ἕξει μετ' ἐκεῖνον ἡγεμόνα καὶ προστάτην ὁ Ῥωμαίων δῆμος, ὑπερκατακειμένου τοῦ Μαρίου τῇ χειρὶ τὸν ὦμον ἠρέμα πατάξας ὁ Σκηπίων, « Τάχα δὲ τοῦτον, » εἶπεν. (4) Οὕτως εὐφυὴς ἦν ὁ μὲν ἐκ μειρακίου φανῆναι μέγας, ὁ δὲ ἀπὸ τῆς ἀρχῆς τὸ τέλος νοῆσαι.

IV. Τὸν δ' οὖν Μάριον ὑπὸ ταύτης λέγεται μάλιστα τῆς φωνῆς, ὥσπερ ὑπὸ θείας κληδόνος, ἐπαρθέντα ταῖς ἐλπίσιν ὁρμῆσαι πρὸς τὴν πολιτείαν καὶ τυχεῖν δημαρ-

commune esse a familia dictum, ut Pompeii, Manlii, Cornelii, sicuti Heraclidarum apud Græcos et Pelopidarum, alterum cognomentum tanquam epitheton a natura, aut actione aliqua, aut corporis figura seu vitio ductum, ut Macrini, Torquati, Sullæ, cujusmodi est Mnemon, vel Grypus, vel Callinicus. (4) Hac quidem de re disputandi multa argumenta inæqualitas consuetudinis suppeditat.

II. Vultum autem Marii in marmorea effigie Ravennæ in Gallia expressum vidimus, omnino austeritati et sævitiæ, quæ de eo prædicantur, convenientem. (2) Quippe fortis natura et bellicosus magisque ad bellum quam civilem vitam eruditus, potentiam adeptus immodica ira ferebatur. (3) Fertur neque didicisse litteras Græcas, neque sermone Græco ulla in re seria usus: ridiculum ratus ea discere, quorum magistri aliis servirent. Post secundum etiam triumphum, quum in templi cujusdam dedicatione Græca spectacula exhiberet, ingressum in theatrum, tantum consedisse, statimque rursus abiisse perhibent. (4) Quare Plato Xenocrati philosopho moribus austerioribus prædito sæpenumero solebat dicere: « Rem divinam, optime Xenocrates, fac Gratiis » : ita si Marius persuaderi sibi passus fuisset, ut Græcis Musis et Gratiis sacrificaret, haud profecto turpissimum pulcherrimis rebus bello paceque a se gestis finem imposuisset, per iram intempestivamque imperandi cupiditatem avaritiamque insatiabilem in crudelissimam provectus senectutem : quod in ipsis ejus actis statim perspicietur.

III. Natus perobscuris pauperibusque et qui opere faciundo se alerent parentibus, patre C. Mario, matre Fulcinia, sero urbem vidit et urbanam gustavit vitam, ante in villa agri Arpinatis Cirræatone vitam civili quidem ista et eleganti rudiorem, frugalem tamen et antiquæ Romanorum educationi similem exegerat. (2) Prima ejus militia fuit contra Celtiberos, quo tempore Scipio Africanus Numantiam obsedit : neque latuit imperatorem, fortitudine eum aliis juvenibus præstare, victusque mutationem quam luxu deliciisque corruptis militibus instituerat Scipio, facillime eum ferre. (3) Dicitur etiam hostem, inspiciente imperatore congressus, stravisse. Itaque et aliis honoribus a Scipione elatus est et in cœna aliquando de ducibus sermone oborto, cuidam convivarum, seu quod revera dubitaret, seu blandiendi causa interroganti, quemnam post ipsum populus Romanus similem esset ducem atque præsidem habiturus : Marii humerum leviter manu percutiens, Hunc fortasse, respondit. (4) Ea in utroque vis erat naturæ, ut hic statim in adolescentia sua magnus videri, ille ex initio finem cognoscere posset.

IV. Sane Marium hac voce potissimum, tamquam divino aliquo oraculo, erectum in amplam spem ferunt ad rempublicam se contulisse, operaque usum Cæcilii Me-

γίας Κεκιλίου Μετέλλου σπουδάσαντος, οὗ τὸν οἶκον ἐξ ἀρχῆς καὶ πατρόθεν ἐθεράπευεν. (2) Ἐν δὲ τῇ δημαρχίᾳ νόμον τινὰ περὶ ψηφοφορίας γράφοντος αὐτοῦ δοκοῦντα τῶν δυνατῶν ἀφαιρεῖσθαι τὴν περὶ τὰς κρίσεις ἰσχύν, ἐνιστάμενος Κόττας ὁ ὕπατος συνέπεισε τὴν βουλὴν τῷ μὲν νόμῳ μάχεσθαι, τὸν δὲ Μάριον καλεῖν λόγον ὑφέξοντα. (3) Καὶ τοῦ δόγματος τούτου γραφέντος εἰσελθὼν ἐκεῖνος οὐκ ἔπαθε νέου πάθος ἀπὸ μηδενὸς λαμπροῦ προεληλυθότος ἄρτι πρὸς τὴν πολιτείαν, ἀλλ' ἑαυτῷ διδοὺς ἤδη φρονεῖν ἡλίκον ἔδωκαν αἱ μετέπειτα πράξεις, ἠπείλησε τὸν Κότταν ἀπάξειν εἰς τὸ δεσμωτήριον, εἰ μὴ διαγράψειε τὸ δόγμα. (4) Τοῦ δὲ πρὸς Μέτελλον τραπομένου καὶ γνώμην ἐρωτῶντος, Μέτελλος μὲν ἀναστὰς συνηγόρει τῷ ὑπάτῳ, Μάριος δὲ τὸν ὑπηρέτην μεταπεμψάμενος ἐξῶθεν ἐκέλευσεν ἀπάγειν αὐτὸν τὸν Μέτελλον εἰς τὸ δεσμωτήριον. (5) Ἐκείνου δὲ τοὺς ἄλλους ἐπικαλουμένου δημάρχους ἐβοήθει μὲν οὐδείς, ἡ δὲ σύγκλητος εἵξασα προήκατο τὸ δόγμα. Καὶ λαμπρὸς ἐξελάσας ὁ Μάριος εἰς τὸ πλῆθος ἐκύρωσε τὸν νόμον, δόξας ἄκαμπτος μὲν εἶναι πρὸς φόβον, ἄτρεπτος δὲ ὑπ' αἰδοῦς, δεινὸς δὲ κατὰ τῆς βουλῆς ἀνίστασθαι χάριτι τῶν πολλῶν δημαγωγῶν. (6) Οὐ μὴν ἀλλὰ ταύτην μὲν ταχέως μετέστησεν ἑτέρῳ πολιτεύματι τὴν δόξαν. Νόμου γὰρ εἰσφερομένου περὶ σίτου διανομῆς τοῖς πολίταις ἐναντιωθεὶς ἐρρωμενέστατα καὶ κρατήσας εἰς τὸ ἴσον ἑαυτὸν κατέστησε τῇ τιμῇ πρὸς ἀμφοτέρους 408ὡς μηδετέροις παρὰ τὸ συμφέρον χαριζόμενος.

V. Μετὰ δὲ τὴν δημαρχίαν ἀγορανομίαν τὴν μείζονα παρήγγειλε. Δύο γάρ εἰσι τάξεις ἀγορανομιῶν, ἡ μὲν ἀπὸ τῶν δίφρων τῶν ἀγκυλοπόδων, ἐφ' ὧν καθεζόμενοι χρηματίζουσιν, ἔχουσα τοὔνομα τῆς ἀρχῆς, τὴν δ' ὑποδεεστέραν δημοτικὴν καλοῦσιν. (2) Ὅταν δὲ τοὺς ἐντιμοτέρους ἕλωνται, περὶ τῶν ἑτέρων πάλιν τὴν ψῆφον λαμβάνουσιν. Ὡς οὖν ὁ Μάριος φανερὸς ἦν λειπόμενος ἐν ἐκείνῃ, ταχὺ μεταστὰς αὖθις ᾐτει τὴν ἑτέραν. Δόξας δὲ θρασὺς εἶναι καὶ αὐθάδης ἀπέτυχε· καὶ δυσὶν ἐν ἡμέρᾳ μιᾷ περιπεσὼν ἀποτεύξεσιν, ὃ μηδεὶς ἔπαθεν ἄλλος, οὐδὲ μικρὸν ὑφήκατο τοῦ φρονήματος, ὕστερον δὲ οὐ πολλῷ στρατηγίαν μετελθὼν ὀλίγον ἐδέησεν ἐκπεσεῖν, ἔσχατος δὲ πάντων ἀναγορευθεὶς δίκην ἔσχε δεκασμοῦ. (3) Μάλιστα δὲ ὑποψίαν παρέσχε Κασσίου Σαβάκωνος οἰκέτης ὀφθεὶς ἐντὸς τῶν δρυφάκτων ἀναμεμιγμένος τοῖς φέρουσι τὰς ψήφους. Ὁ γὰρ Σαβάκων ἦν ἑταῖρος ἐν τοῖς μάλιστα Μαρίου. (4) Κληθεὶς οὖν οὗτος ὑπὸ τῶν δικαστῶν ἔφη διὰ τὸ καῦμα διψήσας ὕδωρ ψυχρὸν αἰτῆσαι καὶ τὸν οἰκέτην ἔχοντα ποτήριον εἰσελθεῖν πρὸς αὐτὸν, εἶτ' εὐθὺς οἴχεσθαι πιόντος. (5) Οὗτος μὲν οὖν ὑπὸ τῶν μετὰ ταῦτα τιμητῶν ἐξέπεσε τῆς βουλῆς ἐπιτήδειος εἶναι παθεῖν τοῦτο δόξας ἢ διὰ τὴν ψευδομαρτυρίαν ἢ διὰ τὴν ἀκρασίαν· ἐπὶ δὲ τὸν Μάριον καὶ Γάϊος Ἐρέννιος μάρτυς εἰσαχθεὶς οὐκ ἔφη πάτριον εἶναι καταμαρτυρεῖν πελατῶν, ἀλλὰ τὸν νόμον ἀφιέναι ταύτης τῆς ἀνάγκης τοὺς πάτρωνας· οὕτως γὰρ οἱ Ῥωμαῖοι τοὺς προστάτας κατελλι, cujus a patre tradita jam inde a puero usus fuerat clientela, tribunum plebis creatum fuisse. (2) Rogationem quandam in tribunatu suo tulit de ferendis suffragiis, quæ videbatur potentium in judiciis vires imminuere : itaque Cotta consul repugnans senatui persuasit, uti legem impugnarent Mariumque ad rogationis ejus rationem reddendam vocarent. (3) Facto decreto, Marius in senatum venit : neque vero id ei, quod juveni qui recens nullo præclaro facinore adjutus in rempublicam venisset, evenire consentaneum erat, accidit, sed eos sibi sumens jam tum spiritus, qui rebus deinde ab ipso gestis digni essent, Cottæ, nisi decretum abrogaret, carcerem minatus est. (4) Quum is ad Metellum conversus sententiam rogasset et Metellus consuli patrocinaretur, Marius lictorem intro vocavit ipsumque Metellum in carcerem abduci jussit. (5) Hoc reliquos tribunos plebis invocante, neque ullo auxilium ferente, senatus decretum rescidit. Marius magna cum gloria ad populum egressus legem pertulit; videbatur itaque is esse, qui neque metu flecti, neque reverentia cujusquam teneri se pateretur, sed ad gratiam plebis aucupandam acriter contra senatum insurgeret. (6) Quam tamen de sese opinionem mox alio facto exstinxit. Legi enim promulgatæ de distribuendo inter cives frumento quum se acerrime opposuisset, atque vicisset, æqualem sibi apud Patres et plebem honorem paravit, creditusque est neutri parti quicquam, nisi e republica esset, gratificari.

V. Post tribunatum, ædilitatem curulem ambiit. Duæ enim sunt ædilitates, altera curulis, quæ a sellis curulibus, in quibus sedentes munere funguntur, nomen gerit; altera inferior dignitate plebis dicitur. (2) Et curulibus ædilibus creatis, ita demum de plebeiis suffragia ineuntur. Itaque Marius quum curulem se non obtinere palam cerneret, statim alteram petiit, visusque ambitiosus esse et contumax, hac quaque excidit. Duas vero eodem die passus repulsas, quod nemini accidit alteri, nihil plane de animi sui elatione remisit; quin etiam paulo post præturam ambivit ac propemodum repulsus, postremo omnium loco prætor creatus, ambitus reus est factus. (3) Maxime suspicionem movit Cassii Sabaconis (qui sociorum Marii præcipuus erat) servus intra cancellos conspectus, permixtus iis qui suffragia ferebant. (4) Cassius a judicibus vocatus, se contracta ob æstum siti frigidam poposcisse, famulumque cum poculo septa intrasse et simul atque bibisset e vestigio abiisse dixit. (5) Sed tamen a censoribus postea senatu motus est; sive ob falsi testimonii dictionem, sive ob intemperantiam mereri id creditus. C. quoque Herennius testis adversus Marium adductus, patronum dicendi contra clientem testimonii necessitate antiquitus recepta Romanorum lege liberari re-

λοῦσι· τοῦ δὲ Ἐρεννίων οἴκου τοὺς Μαρίου γονεῖς καὶ Μάριον αὐτὸν ἐξ ἀρχῆς γεγονέναι πελάτας. (6) Ἀποδεξαμένων δὲ τὴν ἀπόῤῥησιν τῆς μαρτυρίας τῶν δικαστῶν αὐτὸς ἀντεῖπεν ὁ Μάριος πρὸς τὸν Ἐρέννιον, ὡς, ὅτε πρῶτον ἄρχων ἀνηγορεύθη, τὸν πελάτην ἐκβεβηκώς· ὅπερ ἦν οὐ παντάπασιν ἀληθές. Ἀρχὴ γὰρ οὐ πᾶσα τοῦ νέμειν προστάτην ἀπαλλάσσει τοὺς τυχόντας αὐτοὺς καὶ γένος, ἀλλ' ἢ τὸν ἀγκυλόποδα δίφρον ὁ νόμος δίδωσιν. (7) Οὐ μὴν ἀλλὰ ταῖς πρώταις ἡμέραις d ἐν τῇ δίκῃ κακῶς πράττων ὁ Μάριος καὶ χαλεποῖς χρώμενος τοῖς δικασταῖς, τῇ τελευταίᾳ παραλόγως ἀπέφυγεν ἴσων τῶν ψήφων γενομένων.

VI. Ἐν μὲν οὖν τῇ στρατηγίᾳ μετρίως ἐπαινούμενον ἑαυτὸν παρέσχε. Μετὰ δὲ τὴν στρατηγίαν κλήρῳ λαβὼν τὴν ἐκτὸς Ἰβηρίαν λέγεται καθᾶραι λῃστηρίων τὴν ἐπαρχίαν ἀνήμερον οὖσαν ἔτι τοῖς ἐθισμοῖς καὶ θηρώδη καὶ τὸ λῃστεύειν οὔπω τότε τῶν Ἰβήρων οὐχὶ κάλλιστον ἡγουμένων. (2) Ἐν δὲ τῇ πολιτείᾳ γενόμενος οὐκ εἶχεν οὔτε πλοῦτον οὔτε λόγον, οἷς ἦγον οἱ τότε μάλιστα τιμώμενοι τὸν δῆμον. (3) Αὐτὴν δὲ τὴν ἀνά- e τασιν τοῦ φρονήματος καὶ τὸ περὶ τοὺς πόνους ἐνδελεχὲς αὐτοῦ καὶ τὸ δημοτικὸν τῆς διαίτης ἔν τινι σπουδῇ τιθεμένων τῶν πολιτῶν, ηὐξάνετο τῇ τιμῇ πρὸς δύναμιν, ὥστε καὶ γάμον γῆμαι λαμπρὸν οἰκίας ἐπιφανοῦς τῆς Καισάρων Ἰουλίαν, ἧς ἦν ἀδελφιδοῦς Καῖσαρ ὁ χρόνοις ὕστερον Ῥωμαίων μέγιστος γενόμενος καί τι καὶ κατ' οἰκειότητα ζηλώσας Μάριον, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. (4) Τῷ δὲ Μαρίῳ καὶ σωφροσύνην μαρτυροῦσι καὶ καρτερίαν, ἧς δεῖγμα καὶ τὸ περὶ τὴν χειρουργίαν ἐστίν. (5) Ἰξιῶν γάρ, ὡς ἔοικε, μεγάλων ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς καὶ τὴν ἀμορφίαν f δυσχεραίνων ἔγνω παρασχεῖν ἑαυτὸν τῷ ἰατρῷ· καὶ παρέσχεν ἄδετος θάτερον σκέλος οὐδὲν κινηθεὶς οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς τινας ἀλγηδόνων ἐν ταῖς τομαῖς ἀνασχόμενος. Τοῦ δ' ἰατροῦ μετιόντος ἐπὶ θάτερον, οὐκέτι παρέσχε φήσας, « Ὁρῶ τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον. »

409 VII. Ἐπεὶ δὲ Κεκίλιος Μέτελλος ἀποδειχθεὶς ἐπὶ a τὸν κατὰ Ἰουγούρθα πόλεμον ὕπατος στρατηγὸς εἰς Λιβύην ἐπηγάγετο πρεσβευτὴν Μάριον, ἐνταῦθα πράξεων μεγάλων καὶ λαμπρῶν ἀγώνων ἐπιλαβόμενος τὸ μὲν αὔξειν τὸν Μέτελλον, ὥσπερ οἱ λοιποὶ, καὶ πολιτεύεσθαι πρὸς ἐκεῖνον εἴασε χαίρειν· ἀξιῶν δὲ οὐχ ὑπὸ Μετέλλου κεκλῆσθαι πρεσβευτὴς, ὑπὸ δὲ τῆς τύχης εἰς εὐφυέστατον καιρὸν ὁμοῦ καὶ μέγιστον εἰσάγεσθαι πράξεων θέατρον, ἐπεδείκνυτο πᾶσαν ἀνδραγαθίαν. (2) Καὶ πολλὰ τοῦ πολέμου δυσχερῆ φέροντος οὔτε τῶν μεγάλων τινὰ πόνων ὑποτρέσας οὔτε τῶν μικρῶν ἀπαξιώσας, ἀλλὰ τοὺς μὲν ὁμοτίμους εὐβουλίᾳ καὶ προνοίᾳ τοῦ συμφέροντος ὑπερβαλλόμενος, πρὸς δὲ τοὺς στρατιώτας b ὑπὲρ εὐτελείας καὶ καρτερίας διαμιλλώμενος εὔνοιαν ἔσχε πολλὴν παρ' αὐτοῖς. (3) Ὅλως μὲν γὰρ ἔοικε τοῦ κάμνειν ἑκάστῳ παραμυθία τὸ συγκάμνον ἑκουσίως εἶναι· δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην· ἥδιστον δὲ Ῥω-

spondit : Marii parentes, ipsumque ab ineunte ætate Marium Herenniæ domus clientes fuisse. (6) Accipientibus hanc testimonii recusationem judicibus ipse Marius contra Herennium dixit, se, quum magistratum primum accepisset, clientelam excessisse prætendens. Non erat hoc omnino verum : neque enim quivis magistratus eos qui illo funguntur eorumque stirpem ab eo, ut quis habeat patronum, liberat, sed curulis tantum. (7) Enimvero primis diebus in judicio quum male stetisset, expertusque esset difficiles judices Marius, ultima inopinato absolutus est suffragiis æqualibus inventis.

VI. In prætura mediocri laude parta, post hanc ulteriorem Hispaniam pro prætore sortitus obtinuit. Fertur eam provinciam, quum adhuc inhumanis viventem moribus atque belluinis accepisset, Hispanis etiamnum prædationes pulcherrimam omnium rem ducentibus, latrociniis expurgasse. (2) In republica autem versanti erant neque divitiæ nec facundia, quibus spectatissimi ejus tempestatis viri populum trahebant. (3) Ipsam tamen elationem animi in eo, laborum assiduitatem vitamque popularem civibus studiose amplectentibus, ad honores et potentiam evadebat : ita ut uxorem etiam ex illustri Cæsarum familia Juliam nactus sit, cujus fratre Cæsar is qui postea summus Romanorum exstitit, natus est, Marium ipse quoque ob propinquitatem nonnihil imitans, ut in ejus Vita ostensum est. (4) Mario præterea et temperantiæ et tolerantiæ testimonia perhibentur, et hujus quidem indicium exstat in eo, quod manibus chirurgi se fortiter subjecit. (5) Varicibus enim magnis quum utrumque ejus crus laboraret, deformitatem ægre ferens, medicum accersivit, eique non ligatus crus alterum præbuit, ac nihil ipse motus, nullo edito gemitu, constanti vultu tacitus incredibiles secturæ dolores pertulit. Ad alterum vero transeunte medico, non sustinuit, curationem hanc non dignam esse inquiens, cujus causa tanti cruciatus tolerarentur.

VII. A Cæcilio inde Metello, cui consuli bellum in Africa contra Jugurtham mandatum fuerat, legatus abductus, magnas ibi res et præclara certamina aggressus, Metelli gloriæ, id quod reliqui faciebant, augendæ favorique ejus conciliando studendum sibi nequaquam existimavit : neque a Metello se legatum, sed a fortuna in commodissimam occasionem maximumque facinorum theatrum introductum judicans, omnia virtutis opera exercuit. (2) Quumque bellum multa difficilia secum ferat, neque magnum ullum subterfugiendo laborem, neque parvum se indignum ducendo et æquales quidem consilio utiliumque rerum providentia superando, cum militibus frugalitate et laborum tolerantia certando, multam sibi civium benevolentiam conciliavit. (3) Omnino enim laboris hoc solatium homines habent, si quem alium sponte eundem perferre laborem conspiciant ; ita enim necessitas videtur sublata ; Romanis vero jucundis-

μαίῳ θέαμα στρατιώτῃ στρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον ἢ κατακείμενος ἐπὶ στιβάδος εὐτελοῦς ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργου συνεφαπτόμενος. (4) Οὐ γὰρ οὕτω τοὺς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τοὺς πόνου καὶ κινδύνου μεταλαμβάνοντας ἡγεμόνας θαυμάζουσιν, ἀλλὰ μᾶλλον ἀγαπῶσι τῶν ῥᾳθυμεῖν ἐπιτρεπόντων τοὺς συμπονεῖν ἐθέλοντας. (5) Ταῦτα πάντα ποιῶν ὁ Μάριος καὶ διὰ τούτων τοὺς στρατιώτας δημαγωγῶν ταχὺ μὲν ἐνέπλησε τὴν Λιβύην, ταχὺ δὲ τὴν Ῥώμην ὀνόματος καὶ δόξης, τῶν ἀπὸ στρατοπέδου τοῖς οἴκοι γραφόντων, ὡς οὐκ ἔστι πέρας οὐδὲ ἀπαλλαγὴ τοῦ πρὸς τὸν βάρβαρον πολέμου μὴ Γάϊον Μάριον ἑλομένοις ὕπατον.

VIII. Ἐφ' οἷς δῆλος ἦν ὁ Μέτελλος ἀχθόμενος· μάλιστα δὲ αὐτὸν ἠνίασε τὰ περὶ Τουρπίλλιον. Οὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν ἐκ πατέρων ξένος τῷ Μετέλλῳ καὶ τότε τὴν ἐπὶ τῶν τεκτόνων ἔχων ἀρχὴν συνεστράτευε· φρουρῶν δὲ Βάγαν, πόλιν μεγάλην, καὶ τῷ μηδὲν ἀδικεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ πραΰς καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι πιστεύων ἔλαθεν ὑποχείριος τοῖς πολεμίοις γενόμενος. Παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν, τὸν δὲ Τουρπίλλιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν. (2) Ἔσχεν οὖν αἰτίαν προδοσίας· καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος αὐτός τέ οἱ πικρὸς ἦν καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείστους, ὥστε ἄκοντα τὸν Μέτελλον ἐκβιασθῆναι καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. (3) Μετ' ὀλίγον δὲ τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρέως φέροντι, Μάριος δὲ χαίρων καὶ ποιούμενος ἴδιον τὸ ἔργον οὐκ ἠσχύνετο λέγειν περιὼν, ὡς αὐτὸς εἴη προστετριμμένος ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. (4) Ἐκ τούτου φανερῶς ἀπηχθάνοντο· καὶ λέγεταί ποτε τοῦ Μαρίου παρόντος οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν, « Σὺ δὴ καταλιπὼν ἡμᾶς, ὦ γενναῖε, πλεῖν ἐπ' οἶκου διανοῇ καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις, ἂν τῷμῷ παιδὶ τούτῳ συνυπατεύσῃς; » Ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον. (5) Οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι πολλὰς ἀναβολὰς ποιησάμενος ἔτι δώδεκα λειπομένων ἡμερῶν ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν ἀφῆκεν αὐτόν. (6) Ὁ δὲ πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδὸν ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελὼν ἔθυε πρὸ τοῦ πλοῦ. Καὶ λέγεται τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος καὶ κρείττονας ἐλπίδος ἁπάσης εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. (7) Ὁ δὲ τούτοις ἐπαρθεὶς ἀνήχθη. Καὶ τὸ πέλαγος τεταρταῖος οὐρίῳ πνεύματι περάσας αὐτίκα τε τῷ δήμῳ ποθεινὸς ὤφθη καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων εἰς τὸ πλῆθος ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ἠτεῖτο τὴν ἀρχὴν ὑπισχνούμενος ἢ κτενεῖν ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

IX. Ἀναγορευθεὶς δὲ λαμπρῶς εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν πολὺ τὸ ἄπορον καὶ δοῦλον καταγράφων, τῶν πρόσθεν ἡγεμόνων οὐ προσδέ-

simum est spectaculum dux in conspectu militum communi pane vescens, aut in vili toro quiescens, aut in fossa vel aggere faciendo operam communem præstans. (4) Non enim eos perinde duces in oculis ferunt, qui honorem aut pecuniam largiuntur, atque hos, qui laboris periculorumque in sese partem recipiunt, adeoque magis amant laborum societatem eos ineuntes, quam otio ipsorum indulgentes. (5) His omnibus Marius milites sibi devinciens, nomine suo et gloria celeriter Africam implevit, celeriter et Romam : scribebant enim suis domum milites, nullum belli contra Jugurtham finem futurum, nisi C. Marius consul crearetur.

VIII. Hæc Metellum haud obscure molestia afficiebant : præsertim vero Turpilii casus. Erat is Turpilius paternus Metelli hospes atque tum præfectus fabrorum militabat; qui quum Vagam urbem magnam præsidio teneret, dum oppidanis, quos nullo maleficio vexabat, sed humaniter iis ac benigne utebatur, incautus fidit, in manus hostium pervenit. Namque oppidani Jugurtham receperunt, Turpilium autem minime læserunt, sed deprecantibus pro eo, salvus dimissus est. (2) Huic proditionis accusato Marius in judicio præsens gravem se præbuit, multisque contra eum irritatis effecit ut capitali supplicio eum afficere coactus fuerit Metellus. (3) Paulo post falso crimine oppressum Turpilium apparuit : quumque alii Metello rem graviter ferenti socios se doloris præberent, Marius præ gaudio sibi hoc facinus vindicare atque ubique jactare non erubuit, diras se ultrices contra Metellum propter cædem hospitis excitavisse. (4) Apertæ post hæc fuerunt inimicitiæ; feruntque præsenti aliquando Mario Metellum veluti per contumeliam dixisse · Tu ergo, bone vir, relinquis nos, domumque ad petitionem consulatus contendis? nonne satis tibi erit collega hoc meo filio (erat is adhuc adolescentulus) consulatum gerere? (5) Verum enimvero Marium fatigantem de profectione diu remoratus, tandem residuis adhuc ante comitia consularia duodecim diebus dimisit. (6) Marius a castris ad mare Uticam duobus diebus unaque nocte confecto ingenti itinere perrexit, ibique antequam solveret, sacris operatus est. Ferunt ei haruspicem dixisse, incredibiles omnique spe meliores ei successus portendi. (7) His fretus solvit, et quatriduo mare secundo vento superavit; fuit et exspectatus ejus populo conspectus et ad multitudinem a tribuno plebis quodam productus, multa Metellum criminatus consulatum petiit, promittens se aut vivum Jugurtham aut mortuum in potestatem populi Romani redacturum.

IX. Magno consensu consul creatus, confestim delectum contra leges et consuetudinem instituit, multis capite censis atque servis scriptis, quum priores duces hos non

χομένων τοὺς τοιούτους, ἀλλ', ὥσπερ ἄλλο τι τῶν καλῶν, τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου τιθέναι δοκοῦντος. (2) Οὐ μὴν ταῦτά γε μάλιστα διέβαλλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι θρασεῖς ὄντες ὑπερηφίᾳ καὶ ὕβρει τοὺς πρώτους ἐλύπουν, σκῦλόν τε βοῶντος αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν εὐγενῶν καὶ πλουσίων μαλακίας καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον, οὐ μνήμασι νεκρῶν οὐδὲ ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι. (3) Πολλάκις δὲ καὶ τοὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρατηγοὺς, τοῦτο μὲν Βηστίαν, τοῦτο δὲ Ἀλβῖνον, ἀνθρώπους οἴκων μὲν ἐπιφανῶν, αὐτοὺς δὲ ἀπολέμους καὶ δι' ἀπειρίαν πταίσαντας ὀνομάζων ἐπυνθάνετο τῶν παρόντων, εἰ μὴ καὶ τοὺς ἐκείνων οἴονται προγόνους αὐτῷ μᾶλλον ἂν εὔξασθαι παραπλησίους ἐκγόνους ἀπολιπεῖν, ἅτε δὴ μηδὲ αὐτοὺς δι' εὐγένειαν, ἀλλ' ὑπ' ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξους γενομένους. (4) Ταῦτα δὲ οὐ κενῶς οὐδὲ ἀλαζονικῶς ἔλεγεν οὐδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βουλόμενος, ἀλλ' ὁ δῆμος αὐτὸν ἡδόμενός τε τῇ βουλῇ προπηλακιζομένῃ καὶ λόγου κόμπῳ μετρῶν ἀεὶ φρονήματος μέγεθος ἐξεκούφιζε καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων χαριζόμενον τοῖς πολλοῖς.

X. Ὡς δὲ διέπλευσεν εἰς Λιβύην, Μέτελλος μὲν ἥττων τοῦ φθόνου γενόμενος καὶ περιπαθῶν, ὅτι κατειργασμένου τὸν πόλεμον αὐτοῦ καὶ μηδὲν ὑπόλοιπον ἢ τὸ σῶμα τοῦ Ἰουγούρθα λαβεῖν ἔχοντος ἥκει Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, οὐχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν, ἀλλ' αὐτὸς μὲν ὑπεξεχώρησε, Ῥουτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε πρεσβευτὴς γεγονὼς τοῦ Μετέλλου. (2) Καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον· ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τοῦ κατορθώματος δόξαν, ὡς ὑπ' ἐκείνου Μέτελλος· ὃν τρόπον δὲ, ἀφηγήσομαι βραχέως, ἐπεὶ τὰ καθ' ἕκαστα μᾶλλον ἐν τοῖς περὶ Σύλλα γέγραπται. (3) Βόκχος ὁ τῶν ἄνω βαρβάρων βασιλεὺς ἦν πενθερὸς Ἰουγούρθα καὶ πολεμοῦντι μὲν οὐ πάνυ τι συλλαμβάνειν ἐδόκει προβαλλόμενος αὐτοῦ τὴν ἀπιστίαν καὶ τὴν αὔξησιν δεδοικώς· ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος ἐκεῖνον ὑπ' ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον καὶ κατῆρε πρὸς αὐτὸν, αἰσχύνῃ μᾶλλον ὡς ἱκέτην ἢ δι' εὔνοιαν ὑποδεξάμενος διὰ χειρὸς εἶχε, φανερῶς μὲν ὑπὲρ αὐτοῦ παραιτούμενος Μάριον καὶ γράφων, ὡς οὐκ ἂν ἐκδῷη καὶ παῤῥησιαζόμενος, κρύφα δὲ βουλεύων προδοσίαν ἐπ' αὐτῷ καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίου, χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον ἐπὶ στρατείας. (4) Ὡς δὲ πιστεύσας ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον ἡμέρας τε συχνὰς διηνέχθη τῷ λογισμῷ βουλευόμενος ἢ παραδοῦναι τὸν Ἰουγούρθαν ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι· τέλος δὲ τὴν προτέραν κυρώσας προδοσίαν ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. (5) Καὶ τοῦτο πρῶτον ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἣ μικρὸν ἔδέησεν

admisissent, sed arma, ut rem juxta aliis præclaram, eo honore dignis tantum dedissent, bona eorum pignoris loco esse arbitrati. (2) Non tamen hoc caput fuit reprehensionum, in quas incurrit Marius, sed ferocia ejus dicta, quæ superbe et contumeliose fundebat, nobiles offendebant, consulatum suum spolia de mollitie nobilium et divitum se habere clamans: se vulneribus suis, non mortuorum monumentis, aut alienis imaginibus sese ad populum jactare. (3) Sæpe etiam duces, qui eo bello in Africa rem infeliciter gesserant, et Bestiam et Albinum, nobiles viros, sed imbelles et ob imperitiam rei bellicæ cladem passos, nominatim perstringens, ex astantibus quærebat, nonne existimarent hórum majores optaturos Marii potius similes, quam quales reliquissent, posteros, quum ne ipsi quidem nobilitate generis, sed virtute et præclaris facinoribus gloriam essent adepti. (4) Hæc ille neque vana jactabat, neque procacitate aut inani exercendi odia contra potentiores studio impulsus, sed populus senatus ignominia gaudens orationisque fastu semper animi celsitudinem metiens, eum laudibus efferebat, incitabatque, ut populo gratificans optimatibus non parceret.

X. Postquam in Africam trajecit, Metellus invidiæ cedens impenseque dolens, quod bello jam a se confecto, eoque tantum restante, ut corpore Jugurthæ potiretur, Marius malam ipsi gratiam referendo auctus adesset ad præripiendam rei gestæ coronam atque intercipiendum triumphum; congredi cum ipso non sustinuit, sed alio concessit: Rutilius, Metelli legatus, Mario exercitum tradidit. (2) Et quidem in fine Marium ultio consecuta est: nam Sylla ei gloriam rei gestæ perinde atque ipse Metello, eripuit: quo modo id sit actum, paucis narrabo, quum singula sim in Vita Syllæ persecutus. (3) Bocchus rex Maurorum socer erat Jugurthæ. Huic bellum gerenti non ita multum opitulari videbatur, infidelitatem ejus causatus, et incrementa timens; fugientem ac vagantem necessitateque eo compulsum, ut in socero ultimam spem reponeret, ideoque ad se profectum, magis verecundia supplicis, quam favore motus recepit secumque habuit. Palam inde Jugurtham apud Marium deprecari et eum se non dediturum ei libere scribere: occulte proditionem contra hunc componere et ad se vocare L. Syllam Marii tum quæstorem, ut a quo isto in bello beneficiorum aliquid accepisset. (4) Ubi Sylla fidem habens promisso venit, Bocchus sententiam mutare, mutare institutum multosque dies ancipiti deliberatione teneri, tradereretne Jugurtham, an Syllam quoque detineret; tandem proditionem primo cogitatam, ratam habuit, Syllæque Jugurtham vivum tradidit. (5) Hoc primum fuit gravis istius et implacabilis inter Syllam et Marium dissidii initium, quod parum abfuit quin Romam everteret. (6) Multi enim

ἀνατρέψαι τὴν Ῥώμην. (6) Πολλοὶ γὰρ ἐβούλοντο τοῦ
411 Σύλλα τὸ ἔργον εἶναι τῷ Μαρίῳ φθονοῦντες, αὐτός τε a
Σύλλας σφραγῖδα ποιησάμενος ἐφόρει γλυφὴν ἔχουσαν
ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ.
Καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει, φιλότιμον ἄνδρα καὶ
πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν ἐρεθίζων
τὸν Μάριον, ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκεί-
νου καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ
Μετέλλῳ, τὰ δ' ἔσχατα καὶ τὸ πέρας αὐτοῦ Σύλλᾳ
προστιθέντων, ὡς παύσαιτο θαυμάζων καὶ προσέχων
ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος.

XI. Ταχὺ μέντοι τὸν φθόνον τοῦτον καὶ τὰ μίση καὶ
τὰς διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ μετέστησεν ὁ
κατασχὼν τὴν Ἰταλίαν ἀπὸ τῆς ἑσπέρας κίνδυνος, ἅμα b
τῷ πρῶτον ἐν χρείᾳ μεγάλου στρατηγοῦ γενέσθαι καὶ
περισκέψασθαι τὴν πόλιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον, οὐδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων ἢ πλουσίων οἴκων ἐπὶ τὰς ὑπατικὰς κατιόντων ἀρχαιρεσίας, ἀλλὰ ἀπόντα τὸν
Μάριον ἀναγορευσάντων. (2) Ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς τῆς Ἰουγούρθα συλλήψεως αἱ περὶ Τευτόνων καὶ Κίμβρων φῆμαι προσέπιπτον, ἀπιστίαν μὲν ἐν ἀρχῇ παρασχοῦσαι πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων στρατῶν, ὕστερον δὲ τῆς ἀληθείας ὑποδεέστεραι φανεῖσαι.
(3) Μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα σὺν ὅπλοις c
ἐχώρουν, ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ
πλείους συμπεριάγεσθαι, γῆς χρῄζοντες, ἣ θρέψει τοσοῦτον πλῆθος, καὶ πόλεων, ἐν αἷς ἱδρυθέντες βιώσονται, καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο Κελτοὺς τῆς Ἰταλίας τὴν ἀρίστην κατασχεῖν Τυρρηνῶν ἀφελομένους.
(4) Αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους μήκει τε χώρας, ἣν ἐπῆλθον, ἠγνοοῦντο, τίνες ὄντες ἀνθρώπων ἢ πόθεν ὁρμηθέντες ὥσπερ νέφος ἐμπέσοιεν Γαλατίᾳ καὶ
Ἰταλίᾳ. (5) Καὶ μάλιστα μὲν εἰκάζοντο Γερμανικὰ
γένη τῶν καθηκόντων ἐπὶ τὸν βόρειον ὠκεανὸν εἶναι τοῖς μεγέθεσι τῶν σωμάτων καὶ τῇ χαροπότητι τῶν ὀμμάτων καὶ ὅτι Κίμβρους ἐπονομάζουσι Γερμανοὶ τοὺς d
λῃστάς. (6) Εἰσὶ δὲ οἳ καὶ τὴν Κελτικὴν διὰ βάθος
χώρας καὶ μέγεθος ἀπὸ τῆς ἔξωθεν θαλάσσης καὶ τῶν
ὑπαρκτίων κλιμάτων πρὸς ἥλιον ἀνίσχοντα καὶ τὴν
Μαιῶτιν ἐπιστρέφουσαν ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας
λέγουσι κἀκεῖθεν, οὗ τὰ γένη μέμικται, τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς οὐδὲ συνεχῶς, ἀλλὰ ἔτους
ὥρᾳ καθ' ἕκαστον ἐνιαυτὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. (7)
Διὸ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων κοινῇ
Κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. (8) Ἄλλοι δέ φασι e
Κιμμερίων τὸ μὲν πρῶτον ὑφ' Ἑλλήνων τῶν πάλαι
γνωσθέντων οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον, ἀλλὰ
φυγὴν ἢ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν εἰς Ἀσίαν
ἀπὸ τῆς Μαιώτιδος διαπερᾶσαι Λυγδάμιος ἡγουμένου,
τὸ δὲ πλεῖστον αὐτῶν καὶ μαχιμώτατον ἐπ' ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν γῆν μὲν νέμεσθαι
σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη διὰ βάθος καὶ

invidia Marii adducti, Syllæ Jugurtham captum ascribant: et ipse Sylla traditum sibi a Bocchо Jugurtham annulum suum insculpsit, eoque sigillo semper est usus ambitiosum hominem, et socii gloriæ impatientem contentiosumque irritans Marium, irritantibus potissimum ejus adversariis, qui ut populi admirationem studiaque in Marium tollerent, Metello primas maximasque belli ejus laudes Syllæ finem ascribebant.

XI. Hanc invidiam odiaque in Marium et calumnias statim dissipavit atque removit periculum ab occidente Italiæ imminens. Nam ubi primum magno duce opus esse constitit et aliquem urbs circumspexit, quo veluti rectore usa bellì hanc tempestatem effugeret: nemo passus est, ut nobiles aut divites consulatum peterent, sed omnes Marium absentem consulem designarunt. (2) Etenim simul et Jugurtham captum esse renunciatum fuit, et de Teutonis atque Cimbris rumores allati, tanta multitudine tantoque robore adventantibus, ut fidem primo non invenerint, post rei gravitate minores apparuerint. (3) Quippe hominum armatorum et bellicosorum trecenta millia erant, mulierum et liberorum eos numerus longe amplior comitari ferebatur: bi agrum, qui eam multitudinem aleret, urbesque quas habitarent postulabant, sicuti ante Gallos audierant optimam Italiæ regionem Etruscis ademptam obtinuisse. (4) Ipsi quidem quia et nulla cum aliis commercia habebant, et longissimo itinere adveniebant, quinam homines essent, aut unde terrarum profecti nubium instar in Italiam et Galliam decubuissent, ignorabatur. (5) Maxime tamen conjiciebant, Germanorum esse nationes eorum qui ad septentrionalem Oceanum pertinent, sumpta ex magnitudine corporum, oculis cæsiis et quia latronibus Germani nomen Cimbrorum dederunt, conjectura. (6) Sunt etiam qui Celticam terram propter magnitudinem et latitudinem regionis Germaniam ab exteriore mari et partibus ad septentrionem vergentibus ad ortum solis juxta Mæotidem paludem reflecti, atque ibi Scythiam Ponticam contingere dicant, unde gentes eæ inter se permisceri. Hos non uno omnes impetu neque continenter, sed quotannis tempore æstivo sedibus suis exire, atque semper ad ulteriora progredi: hoc modo per multum tempus illos per continentem armis vagatos. (7) Itaque etsi multa sunt peculiaria adepti nomina, tamen Celtoscythas eum exercitum vocabant. (8) Quidam Cimmerios, quum primum in notitiam veterum Græcorum venissent, non magnam totius gentis fuisse partem, sed catervam profugorum aut seditiosorum, a Scythis vi domo pulsam in Asiam a Mæotide transivisse autumant, duce Lygdamide. Horum maximam et bellicosissimam partem in extremis ad mare exterius partibus sedes posuisse loco umbroso et silvestri, solisque radiis plane inaccesso propter densitatem

πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων εἴσω διήκειν, οὐρανοῦ δὲ εἰληχέναι καθ' ὃ δοκεῖ μέγα λαμβάνων ὁ πόλος ἔξαρμα διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱσταμένου σημείου f πρὸς τὴν οἴκησιν, αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· διὸ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. (9) Ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων οὐκ ἄπο τρόπου προσαγορευομένων. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον ἢ κατὰ βέ- a βαιον ἱστορίαν λέγεται. (10) Τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος ὑπὸ πολλῶν ἱστόρηται. Θυμὸν δὲ καὶ τόλμαν ἀνυπόστατοι καὶ χειρῶν ἔργα παρὰ τὰς μάχας ὀξύτητι καὶ βίᾳ πυρὸς ἐοικότες ἐπῆσαν, οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μὲν, ὅσους ἐπῆλθον, ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων, πολλῶν δὲ καὶ μεγάλων Ῥωμαϊκῶν στρατοπέδων καὶ στρατηγῶν, ὅσοι προεστήκεσαν τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἀνηρπασμένων ἀκλεῶς· οἳ καὶ μάλιστα τὴν φορὰν αὐτῶν κακῶς ἀγωνισάμενοι κατὰ τῆς Ῥώμης ἐπεσπάσαντο. (11) Νικήσαντες γὰρ οἷς ἐνέτυχον καὶ χρημάτων πολλῶν κρατήσαντες ἔγνωσαν μη- b δαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἀνατρέψωσι τὴν Ῥώμην καὶ διαπορθήσωσι τὴν Ἰταλίαν.

XII. Ταῦτα Ῥωμαῖοι πυνθανόμενοι πολλαχόθεν ἐκάλουν Μάριον ἐπὶ τὴν στρατηγίαν. Καὶ τὸ δεύτερον ὕπατος ἀπεδείχθη, τοῦ μὲν νόμου κωλύοντος ἅπαξ καὶ μὴ διαλιπόντα χρόνον ὡρισμένον αὖθις αἱρεῖσθαι, τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντας ἐκβαλόντος. (2) Ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἶξειν τῷ συμφέροντι τὸν νόμον οὔτε ἀλογωτέραν εἶναι τὴν παροῦσαν αἰτίαν ἐκείνης, δι' ἣν τὸν Σκηπίωνα παρὰ τοὺς νόμους ὕπατον ἀπέδειξαν οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν, ἀλλὰ τὴν Καρχηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. (3) Ταῦτα ἔδοξε· καὶ Μάριος ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος c διακομισθεὶς αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἣν ἔτους ἀρχὴν ἄγουσι Ῥωμαῖοι, τήν τε ὑπατείαν ἀνέλαβε καὶ τὸν θρίαμβον εἰσήλασεν, ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις Ἰουγούρθαν αἰχμάλωτον, οὗ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατῆσαι· οὕτω τις ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. (4) Ἀλλ' ἐξέστη γε πομπευθείς, ὡς λέγουσι, τότε τοῦ φρονεῖν· καὶ μετὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσών, ὡς οἱ μὲν αὐτοῦ βίᾳ πε- d ριέρρηξαν τὸν χιτωνίσκον, οἱ δὲ σπεύδοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἑλλόβιον ἅμα τὸν λοβὸν συναπέρρηξαν, ὠσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον κατεβλήθη, μεστὸς ὢν ταραχῆς καὶ διασεσηρώς, « Ἡράκλεις, εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον. » (5) Ἀλλὰ τοῦτον μὲν ἓξ ἡμέραις ζυγομαχήσαντα τῷ λιμῷ καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐκκρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας εἶχεν ἀξία δίκη τῶν ἀσεβημάτων. (6) Ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσοῦ μὲν ἑπτὰ καὶ τρισχιλίας λί-

nemorum, quæ usque ad Hercyniam silvam introrsum pertingant : cœli autem eam partem nactos esse dicunt, qua polus, ob parallelorum inclinationem sublimis, haud multum ab eo cœli puncto, quod incolarum vertici imminet, abesse videtur; dies autem brevitate atque longitudine noctibus pares, annum in duas partes partiri : inde occasionem Homericæ in Necyia de Cimmeriis fabulæ petitam. (9) Hos ergo barbaros affirmant Cimmerios ab initio, tunc non absone Cimbros dictos, tum in Italiam irrupisse. Verum hæc quidem conjectura magis quam certo narrantur. (10) Multitudinem sane non inferiorem, sed ampliorem rumore fuisse traditum est. Ferociam eorum et audaciam sustinere poterat nemo, inque pugnis manuum vi et celeritate igni similes erant : neque quisquam eorum impetum subsistere valebat. Ad quos veniebant in itinere, eorum bona agebant atque ferebant; Romanos autem multos duces cum magnis exercitibus Galliæ Transalpinæ præfectos turpiter deleverant; qui vel maxime rebus male gestis adversum impetum eorum Romam traxerunt : (11) nam quum obvios quoseque vicissent, et magnam vim bonorum parassent, statuerunt non nisi Roma eversa Italiaque vastata sedes sibi locare.

XII. Hæc quum ad Romanos afferrentur, Marium crebro ad gerendum bellum vocabant : et consulem iterum crearunt, quantumvis lex prohiberet, ne vel absens quisquam, vel iterum consul non interjecto eo, quod erat legibus definitum, temporis spatio fieret, populus autem eos, qui legem obtenderent, comitiis expulit. (2) Etenim non tunc primum legem eam utilitati cedere sentiebant, neque causam præsentem illa minus idoneam, ob quam Scipio contra leges consul erat factus : non metu amittendæ patriæ, sed Carthaginis cupiditate potiundæ impellente. (3) Hoc facto decreto, Marius ex Africa cum exercitu transvectus, ipsis Kalendis Januariis (quod initium anni Romanis est) et consulatum occepit et triumphum duxit, Jugurtham captivum incredibile Romanis spectaculum exhibens, quo vivo victoriam de hostibus nemo ne sperasset quidem : adeo ad omnem fortunam se accommodare callidus astutiam multam cum fortitudine conjunctam habebat. (4) Verum in triumpho inductus Jugurtha, de mentis statu dejectus est : ac post in carcerem conjectus, quum quidam vi ei tunicam eriperent, quidam auream inaurem revellere contendentes, simul auriculam avellissent, nudus in barathrum detrusus est : ibi perturbatus plane, vultu in risum verso : Hercules, inquit, quam frigidum vestrum est balneum. (5) Sex totos inde dies cum fame colluctatus et usque ad extremam horam cupiditate vitæ suspensus, dignas tandem flagitiis suis pœnas dedit. (6) In triumpho præterea illata narrant auri tria millia ac septem pondo, argenti non signati pondo quinque millia

τρας, ἀργύρου δὲ ἀσήμου πεντακισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε, νομίσματος δὲ δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυριάσιν ὀκτὼ καὶ εἴκοσι. (7) Μετὰ δὲ τὴν πομπὴν ὁ Μάριος σύγκλητον ἤθροισεν ἐν Καπετωλίῳ καὶ παρῆλθε μὲν εἴτε λαθὼν αὐτὸν εἴτε τῇ τύχῃ χρώμενος ἀγροικότερον ἐν τῇ θριαμβικῇ κατασκευῇ, ταχὺ δὲ τὴν βουλὴν ἀχθεῖσαν αἰσθόμενος ἐξανέστη καὶ μεταλαβὼν τὴν περιπόρφυραν αὖθις ἦλθεν.

XIII. Ἐν δὲ τῇ στρατείᾳ τὴν δύναμιν διεπόνει καθ' ὁδὸν ἐξασκῶν δρόμοις τε παντοδαποῖς καὶ μακραῖς ὁδοιπορίαις, ἑαυτῷ δὲ ἀχθοφορεῖν ἀναγκάζων καὶ αὐτουργεῖν τὰ πρὸς τὴν δίαιταν, ὥστε καὶ μετὰ ταῦτα τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα ποιοῦντας ἡμιόνους Μαριανοὺς καλεῖσθαι. (2) Καίτοι τινὲς αἰτίαν ἑτέραν τοῦ λόγου τούτου νομίζουσι. Σκηπίωνος γάρ, ὅτε Νομαντίαν ἐπολιόρκει, βουληθέντος ἐπιδεῖν μὴ μόνον τὰ ὅπλα μηδὲ τοὺς ἵππους, ἀλλὰ καὶ τοὺς ὀρεῖς καὶ τὰς ἁμάξας, ὅπως ἑκάστοις ἐξησκημένα καὶ παρεσκευασμένα τυγχάνοι, προαγαγεῖν τὸν Μάριον ἵππον τε κάλλιστα τεθραμμένον ὑπ' αὐτοῦ καὶ ἡμίονον εὐεξίᾳ καὶ πρᾳότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων· ἡσθέντος οὖν τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον Μαριανὸν ἡμίονον προσαγορεύειν.

XIV. Εὐτύχημα δὲ δοκεῖ τῷ Μαρίῳ μέγα γενέσθαι. Τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίρροιαν τῆς ὁρμῆς λαβόντων καὶ ῥυέντων πρότερον ἐπὶ τὴν Ἰβηρίαν χρόνον ἔσχε καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν καὶ τὰ φρονήματα πρὸς τὸ θαῤῥεῖν ἀναῤῥῶσαι, τὸ δὲ μέγιστον, αὐτὸς οἷος ἦν κατανοηθῆναι. (2) Τὸ γὰρ ἐν ἀρχῇ σκυθρωπὸν αὐτοῦ καὶ περὶ τὰς τιμωρίας δυσμείλικτον ἐθισθεῖσι μηδὲν ἁμαρτάνειν μηδὲ ἀπειθεῖν ἅμα τῷ δικαίῳ σωτήριον ἐφαίνετο, τήν τε τοῦ θυμοῦ σφοδρότητα καὶ τὸ τραχὺ τῆς φωνῆς καὶ ἀγριωπὸν τοῦ προσώπου συντρεφόμενον κατὰ μικρὸν οὐχ αὐτοῖς ἐνόμιζον εἶναι φοβερὸν, ἀλλὰ τοῖς πολεμίοις. (3) Μάλιστα δὲ ἡ περὶ τὰς κρίσεις ὀρθότης αὐτοῦ τοῖς στρατιώταις ἤρεσκεν· ἧς καὶ τοιόνδε τι δεῖγμα λέγεται. (4) Γάιος Λούσιος, ἀδελφιδοῦς αὐτοῦ, τεταγμένος ἐφ' ἡγεμονίας ἐστρατεύετο, τἆλλα μὲν ἀνὴρ οὐ δοκῶν εἶναι πονηρὸς, ἥττων δὲ μειρακίων καλῶν. Οὗτος ἦρα νεανίσκου τῶν ὑφ' αὑτῷ στρατευομένων, ὄνομα Τρεβωνίου, καὶ πολλάκις πειρῶν οὐκ ἐτύγχανε· τέλος δὲ νύκτωρ ὑπηρέτην ἀποστείλας μετεπέμπετο τὸν Τρεβώνιον· ὁ δὲ νεανίας ἦλθε μὲν, ἀντειπεῖν γὰρ οὐκ ἐξῆν καλούμενον, εἰσαχθεὶς δὲ ὑπὸ τὴν σκηνὴν πρὸς αὐτὸν ἐπιχειροῦντα βιάζεσθαι σπασάμενος τὸ ξίφος ἀπέκτεινε. (5) Ταῦτα ἐπράχθη τοῦ Μαρίου μὴ παρόντος· ἐπανελθὼν δὲ προῦθηκε τῷ Τρεβωνίῳ κρίσιν. Ἐπεὶ δὲ πολλῶν κατηγορούντων, οὐδενὸς δὲ συνηγοροῦντος, αὐτὸς εὐθαρσῶς καταστὰς διηγήσατο τὸ πρᾶγμα καὶ μάρτυρας ἔσχεν, ὅτι πειρῶντι πολλάκις ἀντεῖπε τῷ Λουσίῳ καὶ μεγάλων διδομένων

septingenta septuaginta quinque, signati CCLXXXVII mill. denariûm. (7) A triumpho Marius senatum in Capitolium vocavit et sive imprudens, sive fortuna inurbanius uteretur, triumphali habitu in senatum ipse venit : mox vero senatum id ægre ferre sentiens discessit prætextamque indutus rediit.

XIII. Proficiscens autem ad bellum, milites magnis laboribus exercuit, cursibus variis et longis itineribus fatigans cogensque ipsos impedimenta sua ferre et ad victum necessaria sibi parare, unde post hæc laboriosi et qui facili imperata prompte facerent, muli Mariani dicebantur. (2) Quidam ejus dicti aliam rationem afferunt. Scipioni Numantiam obsidenti cupiditatem incessisse non arma modo et equos, sed mulos etiam et carros suorum inspiciendi, quomodo singuli ea omnia parassent atque adornassent : adductum fuisse a Mario equum ab ipso optime nutritum et multum ceteris nitidiorem multo et mansuetudine atque robore præstantem; imperatorem Marii jumentis oblectatum, sæpe eorum meminisse : inde ortum ut qui per cavillum ob laborum assiduitatem, tolerantiam atque amorem laudaretur, Marianus mulus appellaretur.

XIV. Marii autem magna fortuna factum videtur, quod barbaris impetu eorum æstus marini in morem reciprocante prius in Hispaniam conversis, spatium ipse nactus est interim et exercendi milites et animos eorum confirmandi, et, quod erat summum, se, qualis esset, ipsis ad cognoscendum proponendi. (2) Nam austeritatem ejus in imperio inque suppliciis imponendis inexorabilem severitatem, ad nihil peccandum neque mandata detrectandum assuefactis et justam et salutarem apparuit esse : animique vehementia, vocis durities, torvitas vultus paulatim familiaris militibus ita facta est, ut non sibi ea, sed hostibus terrori esse censerent. (3) Præcipue autem judiciorum integritas militibus placuit : cujus hoc exemplum recitatur. (4) C. Lusius, Marii sorore natus, tribunus militum sub ipso erat : vir cetera non malus, nisi amore adolescentulorum formosorum vinci se passus fuisset. Amabat quendam eorum, quos sub se habebat, adolescentum, nomine Trebonium, et sæpe pudicitiam ejus tentarat; quod quum frustra esset, tandem noctu misso apparitore ad se vocavit : venienti (neque enim vocato non venire licebat) in tentorium quum ad se adducto vim facere conatus, gladio est ab eo cæsus. (5) Actum est hoc Mario absente : reversus Trebonium causam dicere jussit. Multis accusantibus, nemine patrocinante, audacter ipse Trebonius rem exposuit, testesque habuit, qui eum sæpe a Lusio tentatum, magnis etiam donis oblatis, nulla re, ut corpus prostitueret, adduci po-

ἐπ' οὐδενὶ προήκατο τὸ σῶμα, θαυμάσας ὁ Μάριος καὶ ἡσθεὶς ἐκέλευσε τὸν πάτριον ἐπὶ ταῖς ἀριστείαις στέφανον κομισθῆναι καὶ λαβὼν αὐτὸς ἐστεφάνωσε τὸν Τρεβώνιον ὡς κάλλιστον ἔργον ἐν καιρῷ παραδειγμάτων δεομένῳ καλῶν ἀποδεδειγμένον. (6) Τοῦτο εἰς τὴν Ῥώμην ἀπαγγελθὲν οὐχ ἥκιστα τῷ Μαρίῳ συνέπραξε τὴν τρίτην ὑπατείαν· ἅμα δὲ καὶ τῶν βαρβάρων ἔτους ὥρα προσδοκίμων ὄντων ἐβούλοντο μετὰ μηδενὸς ἄλλου στρατηγοῦ κινδυνεῦσαι πρὸς αὐτούς. (7) Οὐ μὴν ἦκον ὡς προσεδοκῶντο ταχέως, ἀλλὰ πάλιν διῆλθε τῷ Μαρίῳ ὁ τῆς ὑπατείας χρόνος. Ἐνισταμένων δὲ τῶν ἀρχαιρεσιῶν καὶ τοῦ συνάρχοντος αὐτοῦ τελευτήσαντος, ἀπολιπὼν ἐπὶ τῶν δυνάμεων Μάνιον Ἀκύλλιον αὐτὸς ἦκεν εἰς Ῥώμην. (8) Μετιόντων δὲ πολλῶν καὶ ἀγαθῶν τὴν ὑπατείαν Λούκιος Σατορνῖνος, ὁ μάλιστα τῶν δημάρχων ἄγων τὸ πλῆθος, ὑπὸ τοῦ Μαρίου τεθεραπευμένος ἐδημηγόρει κελεύων ἐκεῖνον ὕπατον αἱρεῖσθαι. (9) Θρυπτομένου δὲ τοῦ Μαρίου καὶ παραιτεῖσθαι τὴν ἀρχὴν φάσκοντος, ὡς δὴ μὴ δεομένου, προδότην αὐτὸν ὁ Σατορνῖνος ἀπεκάλει τῆς πατρίδος ἐν κινδύνῳ τοσούτῳ φεύγοντα τὸ στρατηγεῖν. (10) Καὶ φανερὸς μὲν ἦν ἀπιθάνως συνυποκρινόμενος τὸ προσποίημα τῷ Μαρίῳ, τὸν δὲ καιρὸν ὁρῶντες οἱ πολλοὶ τῆς ἐκείνου δεινότητος ἅμα καὶ τύχης δεόμενον ἐψηφίσαντο τὴν τετάρτην ὑπατείαν καὶ συνάρχοντα Κάτλον αὐτῷ Λουτάτιον κατέστησαν, ἄνδρα καὶ τιμώμενον ὑπὸ τῶν ἀρίστων καὶ τοῖς πολλοῖς οὐκ ἐπαχθῆ.

XV. Πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ Μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς Ἄλπεις· καὶ τειχίσας στρατόπεδον παρὰ τῷ Ῥοδανῷ ποταμῷ, συνήγαγεν εἰς αὐτὸ χορηγίαν ἄφθονον, ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη δι' ἔνδειαν τῶν ἀναγκαίων εἰς μάχην καταστῆναι. (2) Τὴν δὲ κομιδὴν ἐδεῖτο τῷ στρατεύματι μακρὰν καὶ πολυτελῆ πρότερον οὖσαν πρὸς τὴν θάλασσαν αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ ταχεῖαν. (3) Τὰ γὰρ στόματα τοῦ Ῥοδανοῦ πρὸς τὰς ἀνακοπὰς τῆς θαλάττης ἰλύν τε πολλὴν λαμβάνοντα καὶ θῖνα πηλῷ βαθεῖ συμπεπιλημένην ὑπὸ τοῦ κλύδωνος χαλεπὸν καὶ ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν. (4) Ὁ δὲ τρέψας ἐνταῦθα τὸν στρατὸν σχολάζοντα τάφρον μεγάλην ἐνέβαλε, καὶ ταύτῃ πολὺ μέρος τοῦ ποταμοῦ μεταστήσας περιήγαγεν εἰς ἐπιτήδειον αἰγιαλόν, βαθὺ μὲν καὶ ναυσὶ μεγάλαις ἔποχον, λεῖον δὲ καὶ ἄκλυστον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν. Αὕτη μὲν οὖν ἔτι ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν φυλάττει. (5) Τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα Κίμβροι μὲν ἔλαχον διὰ Νωρικῶν ἄνωθεν ἐπὶ Κάτλον χωρεῖν καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι, Τεύτονες δὲ καὶ Ἄμβρωνες διὰ Λιγύων ἐπὶ Μάριον παρὰ θάλατταν. (6) Καὶ Κίμβροις μὲν ἐγίνετο πλείων ἡ διατριβὴ καὶ μέλλησις, Τεύτονες δὲ καὶ Ἄμβρωνες ἅπαντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν ἐφαίνοντο πλήθει τε ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη φθόγγον τε καὶ θόρυβον οὐχ ἑτέροις

tuisse affirmarent. Miratus id factum oblectatusque Marius, coronam, quæ rebus præclare gestis more majorum dari solet, afferri jussit, eaque Trebonium ornavit, ut qui pulcherrimum facinus tempore exempla egregia postulante edidisset. (6) Hæc res Romam renunciata haud parum Mario ad tertium consulatum momenti attulit adipiscendum : simul etiam quum barbarorum adventus vere appetente exspectaretur, nulli alii duci bellum contra eos committendum videbatur. (7) Verum enim vero barbari exspectatione multo tardius venerunt, atque rursus Mario tempus consulatus sui exivit. Comitiis ergo instantibus, collega suo vita defuncto, exercitui M'. Aquillio præfecto, Romam se contulit. (8) Multis iisque egregiis viris consulatum ambientibus, L. Saturninus tribunus plebis, qui omnium suorum collegarum maxime populum ducebat et quem Marius demerendo suum fecerat, concione habita Marium creari consulem suasit. (9) Quum Marius consulatum, quod nihil opus sibi esset, simulate recusaret, patriæ proditorem Saturninus eum appellavit, qui tanto impendente periculo imperii administrationem subterfugeret. (10) Is quum simulantis partes inscite ageret, haud erat obscurum, eum se Mario accommodare, sed plerique tempus præsens virtutem hujus fortunamque requirere videntes, consulem eum quartùm constituerunt, collega addito Lutatio Catulo, qui et in honore apud optimates, neque plebi molestus erat.

XV. Marius, cognito prope adesse hostem, celeriter Alpibus superatis castra ad flumen Rhodanum munivit : inque ea magnam vim commeatus convexit, ne præter utilitatis rationem rerum necessariarum penuria in aciem descendere cogeretur. (2) Quum autem subvectio commeatus et longa ante et sumptuosa fuisset, mari brevem ipse atque expeditam effecit. (3) Etenim in ostiis Rhodani recursus maris limum multum congerebat, arenaque profundo cœno a fluctibus eo compacta, difficilem et laboriosam et angustam per ea ostia navibus frumentariis subvectionem reddebat. (4) Marius autem otium suorum militum huc convertens magnam fossam ad maris litus commodius perduxit, eoque aversa magno fluminis parte, alveum profundum et magnis navigiis habilem, cujusque ostia ad mare levia essent, neque undis agitata, perfecit. Vocatur etiam nunc fossa Mariana. (5) Barbari autem copias suas in duas partes distribuerunt, ita ut Cimbri per Noricum superne contra Catulum irent vique transitum eum aperirent; Teutones et Ambrones per Liguriam secundum mare ad Marium pergerent. (6) Cimbri aliquanto segnius iter suum confecerunt; Teutones autem et Ambrones, confestim peragrato quod in medio erat regionis, ingenti multitudine, horribili aspectu, voce et tumultuatione aliis gentibus dissimiles, Romanis se

δμοιοι. Περιβαλόμενοι δὲ τοῦ πεδίου μέγα καὶ στρατοπεδεύσαντες προὐκαλοῦντο τὸν Μάριον εἰς μάχην.

XVI. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐν δὲ τῷ χάρακι τοὺς στρατιώτας συνεῖχε καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων καὶ τοὺς προπίπτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους προδότας ἀπεκάλει τῆς πατρίδος· οὐ γὰρ ὑπὲρ θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὡσάμενοι διασώσουσι τὴν Ἰταλίαν. (2) Ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς δμοτίμους ἔλεγε, τοὺς δὲ στρατιώτας ὑπὲρ τοῦ χάρακος ἱστὰς ἀνὰ μέρος καὶ θεᾶσθαι κελεύων εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι τῶν πολεμίων καὶ τὴν φωνὴν ὑπομένειν ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη σκευήν τε καὶ κίνησιν αὐτῶν καταμανθάνειν ἅμα τῷ χρόνῳ τὰ φαινόμενα δεινὰ ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ τῆς ὄψεως. (3) Ἠγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων τὴν καινότητα τοῖς φοβεροῖς, ἐν δὲ τῇ συνηθείᾳ καὶ τὰ τῇ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. (4) Τῶν δὲ οὐ μόνον ἡ καθ' ἡμέραν ὄψις ἀφῄρει τι τοῦ θάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον οὐκ ἀνεκτὸν ὄντα θυμὸς αὐτοῖς παριστάμενος ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχάς, οὐ μόνον ἀγόντων καὶ φερόντων τὰ πέριξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος, ὥστε φωνὰς καὶ διαγανακτήσεις τῶν στρατιωτῶν πρὸς τὸν Μάριον ἐκφέρεσθαι· (5) « Τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν Μάριος εἴργει μάχης ὥσπερ γυναῖκας ὑπὸ κλεισὶ καὶ θυρωροῖς; Φέρε παθόντες ἀνδρῶν πάθος ἐλευθέρων ἐρώμεθα, πότερον ἄλλους ἀναμένει μαχουμένους ὑπὲρ τῆς Ἰταλίας, ἡμῖν δὲ λειτουργοῖς χρήσεται διὰ παντὸς, ὅταν δέηται τάφρους ὀρύσσειν καὶ πηλὸν ἐκκαθαίρειν καὶ ποταμούς τινας παρατρέπειν; ἐπὶ ταῦτα γὰρ, ὡς ἔοικεν, ἥκει τοῖς πολλοῖς πόνοις ἡμᾶς καὶ ταῦτα τῶν ὑπατειῶν ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν. (6) Ἢ τὰ Κάρβωνος αὐτὸν φοβεῖ καὶ Καιπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι, πολὺ μὲν αὐτοὺς τῆς Μαρίου δόξης καὶ ἀρετῆς ἀποδέοντας, πολὺ δὲ χείρονα στρατὸν ἄγοντας; Ἀλλὰ καὶ παθεῖν τι δρῶντας, ὡς ἐκεῖνοι, κάλλιον ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς. »

XVII. Ταῦτ' ἀκούων ὁ Μάριος ἥδετο καὶ κατεπράϋνεν αὐτοὺς ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδεχόμενος. (2) Καὶ γάρ τινα Σύραν γυναῖκα, Μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην ἐν φορείῳ κατακειμένην σεμνῶς περιήγετο καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης. (3) Ἦν πρότερον μὲν ἀπήλασεν ἡ σύγκλητος ἐντυχεῖν ὑπὲρ τούτων βουλομένην καὶ τὰ μέλλοντα προθεσπίζουσαν, ἐπεὶ δὲ πρὸς τὰς γυναῖκας εἰσιοῦσα διάπειραν ἐδίδου καὶ μάλιστα τῇ Μαρίου παρακαθίζουσα παρὰ τοὺς πόδας τῶν μονομάχων ἐπιτυχῶς προηγόρευε τὸν μέλλοντα νικᾶν, ἀναπεμφθεῖσα πρὸς Μάριον ὑπ' ἐκείνης

ostenderunt, magnaque planitie castris occupata Marium ad pugnam provocaverunt.

XVI. At Marius nihil eorum provocatione motus, milites suos castris continere, qui ferocius se gererent, acerbe objurgare, longiusque præ cupiditate præcurrentes atque pugnam committi postulantes, proditores patriæ appellare: non enim triumphi tropæive statuendi causa contentionem esse in præsentia, sed ut nimbo hoc et quasi fulmine belli profligato, Italia servetur. (2) Hæc quidem privatim tribunis militum paribusque dignitate dixit, milites vero per vices super vallo constituere et spectare hostes jubens, ad ferendum eorum aspectum vocemque plane barbaram et belluinam sustinendam, nec non armaturam eorum motusque in armis perspiciendum assuefecit: paulatim ea, quæ terribilia ante videbantur, quotidiano aspectu quasi familiaria reddens. (3) Existimabat enim, novitatem multa vana horrendis affingere; consuetudine autem effici ut ea etiam quæ horrenda sint natura, terrendi vim amittant. (4) Et vero non terrorem modo apud milites quotidianus ille aspectus exstinxerat, sed minæ barbarorum fastusque intolerabilis animos eorum excitaverat atque inflammaverat: quum non modo omnia circum barbari diriperent, sed et castra ipsa hostium petulanter atque ferociter accederent; itaque ad Marium hujusmodi voces militum indignationesque perferebantur: (5) « Quid ita tandem Marius ignavos nos judicans, veluti mulieres seris et janitoribus a prœlio arcet? Agedum faciamus, quod liberos decet viros percontemur, aliosne exspectet pro libertate pugnaturos, nobis vero semper ad fodiendas fossas, cœnum expurgandum, et avertenda flumina sit usurus operariis? nimirum in hunc finem multis nos istis laboribus exercuit, his suorum consulatuum egregiis factis ad cives redibit. (6) An vero eum casus Carbonis et Cæpionis ab hostibus victorum terrent, longe ipsi et gloria Mario inferiores et copiis instructi deterioribus? Imo aliquid agendo, sicut illi, perire, quam depopulationes sociorum otiose spectare pulchrius est. »

XVII. Hæc audienti Mario voluptati fuerunt: militesque verbis leniit, non se illis diffidere, sed oraculis quibusdam motum, victoriæ et locum et tempus exspectare opportunum indicans. (2) Etenim Syriam quandam mulierculam nomine Martham fatidicam, ut ferebatur, in lectica secum honorifice circumvehebat, jussuque ejus sacra faciebat. (3) Hanc senatus, quum de his loqui vellet et venientia vaticinaretur, repulerat; postquam vero ad matronas ingressa divinationis documenta dedit et maxime ad pedes uxoris Marii assidens, congressis forte duobus gladiatoribus, uter victurus esset, prædixit; ab hac ad maritum missa in

ἐθαυμάζετο. (4) Καὶ τὰ πολλὰ μὲν ἐν φορείῳ παρεκομίζετο, πρὸς δὲ τὰς θυσίας κατῄει φοινικίδα διπλῆν ἐμπεπορπημένη καὶ λόγχην ἀναδεδεμένην ταινίαις καὶ στεφανώμασι φέρουσα. (5) Τοῦτο μὲν οὖν τὸ δρᾶμα πολλοῖς ἀμφισβήτησιν παρεῖχεν, εἴτε πεπεισμένος ὡς ἀληθῶς εἴτε πλαττόμενος καὶ συνυποκρινόμενος ἐπιδείκνυται τὴν ἄνθρωπον. (6) Τὸ δὲ περὶ τοὺς γῦπας θαύματος ἄξιον Ἀλέξανδρος ὁ Μύνδιος ἱστόρηκε. Δύο γὰρ ἐφαίνοντο πρὸ τῶν κατορθωμάτων ἀεὶ περὶ τὰς στρατιὰς καὶ παρηκολούθουν γνωριζόμενοι χαλκοῖς περιδεραίοις· ταῦτα δὲ οἱ στρατιῶται συλλαβόντες αὐτοὺς περιῆψαν, εἶτ' ἀφῆκαν· ἐκ δὲ τούτου γνωρίζοντες ἡσπάζοντο [αὐτοὺς] καὶ φανέντων ἐπὶ ταῖς ἐξόδοις ἔχαιρον ὡς ἀγαθόν τι πράξοντες. (7) Πολλῶν δὲ σημείων προφαινομένων τὰ μὲν ἄλλα χαρακτῆρα κοινὸν εἶχεν, ἐκ δὲ Ἀμερίας καὶ Τουδέρτου, πόλεων Ἰταλικῶν, ἀπηγγέλθη νυκτὸς ὤφθαι κατὰ τὸν οὐρανὸν αἰχμάς τε φλογοειδεῖς καὶ θυρεοὺς διαφερομένους τὸ πρῶτον, εἶτα συμπίπτοντας ἀλλήλοις καὶ σχήματα καὶ κινήματα λαμβάνοντας οἷα γίνεται μαχομένων ἀνδρῶν, τέλος δὲ τῶν μὲν ἐνδιδόντων, τῶν δ' ἐπιφερομένων πάντας ἐπὶ δυσμὰς ῥυῆναι. (8) Περὶ τοῦτον δέ πως τὸν χρόνον ἀφίκετο καὶ Βατάκης ἐκ Πεσσινοῦντος ὁ τῆς Μεγάλης Μητρὸς ἱερεὺς ἀπαγγέλλων, ὡς ἡ θεὸς ἐκ τῶν ἀνακτόρων αὐτῷ ἐφθέγξατο, νίκην καὶ κράτος πολέμου Ῥωμαίοις ὑπάρχειν. (9) Τῆς δὲ συγκλήτου προσθεμένης καὶ τῇ θεῷ ναὸν ἐπινίκιον ἱδρύσασθαι ψηφισαμένης, τὸν Βατάκην εἰς τὸν δῆμον προελθόντα καὶ ταῦτα βουλόμενον εἰπεῖν ἐκώλυσε δημαρχῶν Αὖλος Πομπήιος, ἀγύρτην ἀποκαλῶν καὶ πρὸς ὕβριν ἀπελαύνων τοῦ βήματος· ὃ δὴ καὶ μάλιστα τῷ λόγῳ τοῦ ἀνθρώπου πίστιν παρέσχεν. (10) Οὐ γὰρ ἔφθη τῆς ἐκκλησίας λυθείσης ὁ Αὖλος εἰς οἶκον ἐπανελθεῖν καὶ πυρετὸς ἐξήνθησεν αὐτῷ τοσοῦτος, ὥστε πᾶσι καταφανῆ γενόμενον καὶ περιδόητον ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν.

admiratione fuit. (4) Plerumque lectica ferebatur, ad sacrificia descendebat duplici punicea veste induta, fibula constricta, hastamque fasciis et sertis redimitam gestans. (5) Multis id spectaculum disputandi ansam præbuit, quum alii fidem vati Marium vere habere, alii simulantem fabulamque agentem eam ostentare vulgo putarent. (6) Id mirum est, quod Alexander Myndius refert, duos vultures semper ante victoriam exercitum Marii visos fuisse sequi: cognitos eos esse æreis torquibus quos iis captis milites imposuissent, atque sic dimisissent: indeque agnitos eos milites salutare solitos, et quando in expeditione apparerent, veluti læto omine gavisos esse. (7) Quum multa alia ostenta exstitissent, communis fere omnia generis, renunciatum etiam hoc est ab Ameria et Tuderto, Italiæ urbibus, noctu in cœlo visas fuisse hastas ignitas clypeosque, primum in diversas partes se commovisse, inde concurrisse, formamque et motum pugnantium virorum exhibuisse: denique parte altera fugiente, altera insequente, omnes versus occidentem se proripuisse. (8) Sub idem tempus Bataces Matris deûm sacerdos Pessinunte Romam venit, nuncians deam ex adyto sibi locutam, magna victoria belloque esse Romanos superiores. (9) Senatu assentiente deæque ea parta ædem vovente, Batacen ad populum, ut eadem diceret, progressum A. Pompeius tribunus plebis prohibuit, circulatorem appellans, ac per contumeliam de suggesto pellens. Id vero maxime fidem verbis Batacæ conciliavit. Vix enim domum a concione rediit Pompeius, quum tanta subito eum febris invasit, ut intra septimum diem morte obierit, omnibus casu ejus cognito.

XVIII. Οἱ δὲ Τεύτονες ἐπεχείρησαν μὲν ἡσυχάζοντος τοῦ Μαρίου πολιορκεῖν τὸ στρατόπεδον, βέλεσι δὲ πολλοῖς ἐντυχόντες ἀπὸ τοῦ χάρακος φερομένοις καί τινας ἐξ αὐτῶν ἀποβαλόντες ἔγνωσαν εἰς τοὔμπροσθεν χωρεῖν ὡς ὑπερβαλοῦντες ἀδεῶς τὰς Ἄλπεις· καὶ συσκευασάμενοι παρήμειβον τὸ στρατόπεδον τῶν Ῥωμαίων τότε δὴ μάλιστα παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες· ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρακα τοῦ Μαρίου παραμείψασθαι συνεχῶς ὁδεύοντες. (2) Ἐπορεύοντο δὲ ἐγγὺς πυνθανόμενοι τῶν Ῥωμαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιστέλλοιεν, αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς. (3) Ἐπεὶ δὲ παρῆλλαξαν οἱ βάρβαροι καὶ προῆσαν, ἄρας καὶ αὐτὸς ἐπηκολούθει σχέδην, ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοὺς ἐκείνους ἱδρυόμενος, ὀχυραῖς δὲ χρώμενος στρατοπεδείαις καὶ χωρία καρτερὰ προβαλλόμενος, ὥστε ἐν ἀσφαλεῖ νυκτερεύειν. (4) Οὕτω δὴ προϊόντες ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι Σεξτίοις, ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν ἐν ταῖς Ἄλπεσιν εἶναι.

XVIII. Teutones, Mario castris sese continente, ipsa castra oppugnare adorti, multis a vallo jaculis petiti amissisque suorum nonnullis, statuerunt ulterius progredi, nullam fore in transeundis Alpibus difficultatem opinati. Itaque vasis collectis præter castra Romanorum abiverunt. Atque ibi demum eorum esse immensum numerum ex longitudine et mora profectionis apparuit: sex enim diebus continenti itinere præter castra Marii transierunt. (2) Proxime apud vallum incedentes per ludibrium Romanos interrogabant, ecquid mulieribus mandarent, se enim propediem apud eas futuros. (3) Postquam præterierunt atque processerunt barbari, ipse etiam Marius motis castris sensim eos insecutus est, castra semper prope eos in locis tutis ponens muniensque ut in tuto pernoctaret. (4) Postquam ad Aquas Sextias quas dicunt perventum est, unde haud longe jam Alpes aberant, ad prælium committendum se

Διὸ δὴ καὶ Μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι καὶ κατέλαβε τῷ στρατοπέδῳ τόπον ἰσχυρὸν μέν, ὕδωρ δὲ ἄφθονον οὐκ ἔχοντα, βουλόμενος, ὥς φασι, καὶ τούτῳ παροξῦναι τοὺς στρατιώτας. (5) Πολλῶν γέ τοι δυσχεραινόντων καὶ διψήσειν λεγόντων δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι ποτὸν ὤνιον αἵματος. (6) « Τί οὖν, ἔφασαν, οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτούς, ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν; » Κἀκεῖνος ἠρέμα τῇ φωνῇ, « Πρότερον, εἶπεν, ὀχυρωτέον ἡμῖν τὸ στρατόπεδον. »

XIX. Οἱ μὲν οὖν στρατιῶται καίπερ ἀσχάλλοντες ἐπείθοντο· τῆς δὲ θεραπείας τὸ πλῆθος οὔτ' αὐτοὶ ποτὲ τὸν οὔθ' ὑποζυγίοις ἔχοντες ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμόν, οἱ μὲν ἀξίνας, οἱ δὲ πελέκεις, ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. (2) Τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων· ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρὸν, οἱ δὲ ἐλούοντο. Ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος· καὶ μέρος τι περὶ ταῦτα (τοὺς βαρβάρους) εὐπαθοῦντας καὶ παντηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου κατέλαβον οἱ Ῥωμαῖοι. (3) Πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων τῷ τε Μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν περὶ τῶν οἰκετῶν δεδιότας καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος, ὑφ' οὗ προήττητο Ῥωμαῖοι μετὰ Μαλλίου καὶ Καιπίωνος πρότερον (Ἄμβρωνες ὠνομάζοντο καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' ἑαυτοὺς ἦσαν), ἀναΐξαντες ἐπὶ τὰς πανοπλίας ἐχώρουν. (4) Τὰ μὲν οὖν σώματα πλησμονῇ βεβαρημένοι, τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον, οὐκ ἀτάκτοις οὐδὲ μανιώδεσι φερόμενοι δρόμοις οὐδὲ ἄναρθρον ἀλαλαγμὸν ἱέντες, ἀλλὰ κρούοντες ῥυθμῷ τὰ ὅπλα καὶ συναλλόμενοι πάντες ἅμα τὴν αὐτῶν ἐφθέγγοντο πολλάκις προσηγορίαν Ἄμβρωνες, εἴτε ἀνακαλούμενοι σφᾶς αὐτούς, εἴτε τοὺς πολεμίους τῇ προδηλώσει προεκφοβοῦντες. (5) Τῶν δὲ Ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτοὺς Λίγυες, ὡς ἤκουσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνουν καὶ αὐτοὶ ταύτην πάτριον ἐπίκλησιν αὐτῶν εἶναι· σφᾶς γὰρ αὐτοὺς οὕτως ὀνομάζουσι κατὰ γένος Λίγυες. (6) Πυκνὸν οὖν καὶ παράλληλον ἀντήχει πρὶν εἰς χεῖρας συνελθεῖν τὸ ἀναφώνημα· καὶ τῶν στρατῶν ἑκατέροις ἀνὰ μέρος συναναφθεγγομένων καὶ φιλοτιμουμένων πρῶτον ἀλλήλους τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ κραυγή. (7) Τοὺς μὲν οὖν Ἄμβρωνας διέσπασε τὸ ῥεῖθρον· οὐ γὰρ ἔφθασαν εἰς τάξιν καταστῆναι διαβάντες, ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ δρόμου τῶν Λιγύων προσπεσόντων ἐν χερσὶν ἦν ἡ μάχη· τοῖς δὲ Λίγυσι τῶν Ῥωμαίων ἐπιβοηθούντων καὶ φερομένων ἄνωθεν ἐπὶ τοὺς βαρβάρους βιασθέντες ἐτράποντο. Καὶ πλεῖστοι μὲν αὐτοῦ περὶ τὸ ῥεῖθρον ὠθούμενοι κατ' ἀλλήλων ἔπαιοντο καὶ κατεπίμπλασαν φόνου καὶ νεκρῶν τὸν ποταμὸν, τοὺς δὲ διαβάντες οἱ Ῥωμαῖοι μὴ τολμῶντας ἀναστρέφειν ἔκτεινον ἄχρι τοῦ στρατοπέδου καὶ τῶν

Marius composuit, castra loco satis munito, sed aquae inope fecit, hoc ipso volens (ut aiunt) animos militum irritare. (5) Multis enim indignantibus et siti laborandum dicentibus manu amnem prope barbarorum castra fluentem monstrans, inde posse sanguine aquam redimi respondit. (6) Quaerentibus inde, cur non continuo eos, dum sanguinem adhuc humidum haberent, in hostem duceret : summissa voce, prius castra esse munienda dixit.

XIX. Huic mandato milites, quantumvis molesto, obtemperarunt; lixarum vero et calonum turba quum neque ipsi neque jumenta haberent, unde biberent, confertim ad fluvium descenderunt, cum urnis una secures, bipennes, gladios etiam et hastas, quidam ferentes, aquam vel pugna quaesituri. (2) Cum his primum pauci hostium congressi sunt; nam plerique aut lavabantur, aut a balneo jam prandebant : sunt enim iis in locis calidarum aquarum fontes; atque partem eorum, dum sese circa haec delectant et securius ob voluptatem et amoenitatem loci agunt, Romani assecuti erant. (3) Pluribus ad clamorem accurrentibus, neque Marius facile jam milites famulis suis metuentes retinere poterat et Ambrones (totius hostilis exercitus erant hi bellicosissimi, priusque Mallium et Caepionem cum legionibus fuderant) numero supra triginta millia seorsum ad arma concurrebant. (4) Erant horum corpora cibo atque potu repleta, animi feroces vinoque in exsultationem soluti, cursus non incompositus aut qualis est furiosorum, clamor quoque non confusus : sed in numerum arma collidentes salientesque suum subinde nomen Ambronas inclamabant, seu mutuo se ita cohortantes, seu ut hostibus nominis sui mentione terrorem injicerent. (5) Primi Italorum contra eos descendentes Ligures, quum eorum vociferationem audivissent et percepissent, ipsi quoque contra clamabant, hoc sibi nomen patrium esse : ita enim se ipsi Ligures generatim nominant. (6) Creber ergo alternis, antequam manus consererentur, reddebatur clamor : et exercitibus utrinque acclamantibus adversamque partem magnitudine vociferationis superare contendentibus, irritati sunt accensique ea re militum animi. (7) Ambronas amnis divellebat, quem qui transgressi sunt prius aciem instruere non poterant, quam Ligures in primos cursu invadentes pugnam committerent : Liguribus autem auxilium ferentes Romani quum ab edito loco in barbaros irruerent, pulsi sunt Ambrones, inque fuga plerique se mutuo trudentes ceciderunt suisque cadaveribus amnem repleverunt. Qui vero rursus transgressi sunt amnem, frontem convertere non ausos caedendo Romani usque ad castra et carros in-

ἁμαξῶν φεύγοντας. (8) Ἐνταῦθα δὲ αἱ γυναῖκες ἀπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων δεινὸν τετριγυῖαι καὶ περίθυμον ἠμύνοντο τοὺς φεύγοντας ὁμοίως καὶ τοὺς διώκοντας, τοὺς μὲν ὡς προδότας, τοὺς δὲ ὡς πολεμίους, ἀναπεφυρμέναι μαχομένοις καὶ χερσὶ γυμναῖς τούς τε θυρεοὺς τῶν Ῥωμαίων ἀποσπῶσαι καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι καὶ τραύματα καὶ διακοπὰς σωμάτων ὑπομένουσαι μέχρι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. (9) Τὴν μὲν οὖν παραποτάμιον μάχην οὕτω κατὰ τύχην μᾶλλον ἢ γνώμῃ τοῦ στρατηγοῦ γενέσθαι λέγουσιν.

XX. Ἐπεὶ δὲ πολλοὺς τῶν Ἀμβρώνων οἱ Ῥωμαῖοι διαφθείραντες ἀνεχώρησαν ὀπίσω καὶ σκότος ἐπέσχεν, οὐχ ὥσπερ ἐπ' εὐτυχήματι τοσούτῳ τὸν στρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι καὶ πότοι κατὰ σκηνὰς καὶ φιλοφροσύναι περὶ δεῖπνα καὶ, τὸ πάντων ἥδιστον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἥπιος, ἀλλ' ἐκείνην μάλιστα τὴν νύκτα φοβερὰν καὶ ταραχώδη διήγαγον. (2) Ἦν μὲν γὰρ αὐτοῖς ἀχαράκωτον τὸ στρατόπεδον καὶ ἀτείχιστον, ἀπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι καὶ συμμεμιγμένων τούτοις, ὅσοι διαπεφεύγεσαν, τῶν Ἀμβρώνων ὀδυρμὸς ἦν διὰ νυκτὸς, οὐ κλαυθμοῖς οὐδὲ στεναγμοῖς ἀνθρώπων ἐοικὼς, ἀλλὰ θηρομιγής τις ὠρυγὴ καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς καὶ θρήνοις ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφώνει. (3) Καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον, τοὺς δὲ Ῥωμαίους δέος αὐτόν τε τὸν Μάριον ἔκπληξις ἄκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχόμενον. (4) Οὐ μὴν ἐπῆλθον οὔτε νυκτὸς οὔτε τῆς ἐπιούσης ἡμέρας, ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι διετέλουν. (5) Ἐν τούτῳ δὲ Μάριος (ἦσαν γὰρ ἐκ κεφαλῆς τῶν βαρβάρων νάπαι περικλινεῖς καὶ κατάσκιοι δρυμοῖς αὐλῶνες) ἐνταῦθα Κλαύδιον Μάρκελλον ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν ἐνεδρεῦσαι κελεύσας κρύφα καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. (6) Τοὺς δὲ ἄλλους δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας ἅμ' ἡμέρᾳ συνέταττε πρὸ τοῦ χάρακος ἀγαγὼν καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. (7) Θεασάμενοι δὲ οἱ Τεύτονες οὐκ ἠνέσχοντο καταβαίνοντας αὐτοῖς ἐξ ἴσου διαγωνίζεσθαι τοὺς Ῥωμαίους, ἀλλὰ σὺν τάχει καὶ δι' ὀργῆς ὁπλισάμενοι τῷ λόφῳ προσέβαλον. (8) Ὁ δὲ Μάριος ἑκάστοτε διαπέμπων τοὺς ἡγεμόνας ἑστάναι καὶ καρτερεῖν παρεκάλει, πελασάντων δὲ εἰς ἐφικτὸν ἑξακοντίσαι τοὺς ὑσσοὺς, εἶτα χρῆσθαι ταῖς μαχαίραις καὶ τοῖς θυρεοῖς ἀντερείσαντας βιάζεσθαι· τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις οὔτε τόνον ἕξειν τὰς πληγὰς οὔτε ῥώμην τὸν συνασπισμὸν ἐν περιτροπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. (9) Ταῦτα ἅμα παρήνει καὶ δρῶν ἐωρᾶτο πρῶτος· οὐδενὸς γὰρ ἧσσητο χεῖρον τὸ σῶμα καὶ πάντας πολὺ τῇ τόλμῃ παρήλλαττεν.

XXI. Ὡς οὖν ἀντιστάντες αὐτοῖς οἱ Ῥωμαῖοι καὶ

secuti sunt. (8) Ibi mulieres gladiis securibusque armatæ occurrerunt terribili et feroci cum fremitu, et tam fugientibus quam persequentibus repugnarunt, illos proditorum loco, hos hostes habentes : permixtæque pugnantibus, nudisque manibus scuta Romanorum revellentes, et gladios comprehendentes, sauciari se et corpora diffindi sustinebant, pertinaci usque in mortem ira. (9) Hoc modo ad fluvium fortuito magis quam imperatoris voluntate rem gestam perhibent.

XX. Postquam multis Ambronum interfectis Romani in castra rediere et nox appetiit ; non ad pæanes pro tam prospero successu canendos, non ad compotationes per tentoria, neque cœnas et læta convivia ac ne ad mollem quidem somnum (quo nihil dulcius viris feliciter prœlio defunctis est) se converterunt milites : sed eam noctem tanto cum terrore et trepidatione, quanto vix aliam ullam, exegerunt. (2) Quippe neque munita aggere et vallo castra erant et permulta adhuc barbarorum millia invicta supererant, ad quos quum Ambrones quotquot fuga cædem evitaverant, sese recepissent, lamenta per noctem exaudita sunt non ejulatibus aut gemitibus hominum convenientia, sed belluino cuidam ululatui fremituique minis et questibus permixto ab ingenti multitudine edito : sonum montes circumpositi et cava fluminis reddebant. (3) Et horribilis per totam planitiem repercutiebatur clamor : Romanos metus ipsumque consternatio Marium incesserat, nocturnum aliquod incompositum et tumultuarium prœlium timentem. (4) Verum neque hac nocte, neque, quæ eam est insecuta, die barbari eos aggressi sunt, idque tempus apparando et instruendo extraxerunt. (5) Interim Marius supra hostium capita devexos quosdam saltus convallesque nemoribus tectas conspicatus, eo Claudium Marcellum cum tribus gravis armaturæ peditum millibus mittit, ut clam locis iis insessis, a tergo in hostes pugnantes inde erumperet. (6) Reliquos mature cibo atque somno refectos, sub auroram extra castra in aciem produxit, præmissis in campum equitibus. (7) Quod ubi viderunt Teutones, ne continuere quidem sese, dum cum Romanis in planitiem degressis æquo loco pugnandi facultas fieret : sed celeriter sumptis per iram armis adversum tumulum subiverunt. (8) Marius in omnes partes dimissis ducibus, stare loco suos jussit atque exspectare, dum intra teli jactum barbari accederent, tum vero pila ejacularentur, gladiis uterentur, scutisque oppositis eos propulsarent : etenim barbarorum loco iniquo succedentium neque ictus validos futuros, neque vim ullam testudinis actæ, singulis inæquali loco labantibus atque nutantibus. (9) Simul hæc aliis mandabat et ipse omnium primus exsequi conspiciebatur : etenim neque deterius ullo exercitatus ad militiam et longe omnibus audacia superior erat.

XXI. Quo factum est ut barbari, Romanis restitantibus

συμπεσόντες ἔσχον ἄνω φερομένους, ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον· καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. (2) Ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν Μάρκελλον, ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης ἀναστήσας τοὺς μετ' αὐτοῦ δρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου κτείνων τοὺς ἐσχάτους. (3) Οἱ δὲ τοὺς πρὸ αὑτῶν ἐπισπώμενοι ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν, οὐ πολύν τε χρόνον ἠνέσχοντο παιόμενοι διῳχθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφευγον. (4) Οἱ δὲ Ῥωμαῖοι διώκοντες αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας ἢ ζῶντας εἷλον ἢ κατέβαλον, σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα μὴ διεκλάπη, Μάριον λαβεῖν ἐψηφίσαντο. Καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχὼν οὐδὲν ἄξιον ἔχειν ὧν ἐστρατήγησεν ἐνομίσθη διὰ τὸ τοῦ κινδύνου μέγεθος. (5) Ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. Μασσαλιήτας μέντοι λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας. (6) Ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διιπετέσιν ἀγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς.

XXII. Μετὰ δὲ τὴν μάχην ὁ Μάριος τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν ἐπέλεξε, τῶν δὲ ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος ἔθυσε θυσίαν μεγαλοπρεπῆ. (2) Καὶ τοῦ στρατοῦ παρεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου περιζωσάμενος αὐτὸς, ὥσπερ ἔθος ἐστὶν, ἀναλαβὼν τὴν περιπόρφυρον καὶ λαβὼν δᾷδα καιομένην καὶ δι' ἀμφοτέρων τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανὸν ἔμελλεν ὑφήσειν τῇ πυρᾷ· καὶ προσελαύνοντες ἵπποις ἐωρῶντο φίλοι σὺν τάχει πρὸς αὐτὸν, ὥστε πολλὴν γενέσθαι σιωπὴν καὶ προσδοκίαν ἁπάντων. (3) Ἐπεὶ δὲ ἐγγὺς ἦσαν ἀποπηδήσαντες ἐδεξιοῦντο τὸν Μάριον εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον ἠρῆσθαι καὶ γράμματα περὶ τούτων ἀπέδοσαν. (4) Μεγάλης οὖν χαρᾶς τοῖς ἐπινικίοις προσγενομένης ὅ τε στρατὸς ὑφ' ἡδονῆς ἐνοπλίῳ τινὶ κρότῳ καὶ πατάγῳ συνηλάλαξαν καὶ τῶν ἡγεμόνων τὸν Μάριον αὖθις ἀναδούντων δάφνης στεφάνοις ἐνῆψε τὴν πυρὰν καὶ τὴν θυσίαν ἐπετελείωσεν.

XXIII. Ἡ δὲ μηθὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων

ac sursum contendentes reprimentibus, pulsi paulatim in campum retrocederent; et vix primi eorum ordines in planitie explicuerant, cum apud postremos clamor et turbatio exstitit. (2) Neque enim Marcellum occasio fefellit, sed ut primum vociferatio sursum per colles elata est, cum suis ex insidiis cum cursu atque clamore in terga hostium invasit extremosque cecidit. (3) Qui dum proximos quosque secum rapuerunt, totum barbarorum exercitum perturbarunt et utrinque quum cæderentur, non diu restiterunt; sed ordinibus relictis fugerunt. (4) Romani in terga instantes, supra centum millia hominum occidere aut cepere, tentoriis etiam et curribus et pecunia sunt potiti. Totam eam prædam, nisi quæ furtim subtracta sunt, Mario decreverunt. Idque splendidissimum donum ob periculi tamen magnitudinem non respondere meritis ejus in eo bello administrando visum est. (5) Sunt qui neque in prædæ istam donationem, neque numerum cæsorum consentiant. Massilienses quidem feruntur ossibus in ea pugna cæsorum vineta sepsisse, tellurem vero, consumptis in ea cadaveribus ac per hiemem imbribus delapsis, ita pinguem redditam, quippe putredine in profundum penetrante repletam, ut legitimo tempore abunde fructuum protulerit et quod Archilochus dixit, hoc modo agros pinguescere, id tum fuisse confirmatum. (6) Dicunt autem post magna prœlia immodicas pluvias se effundere solere, sive deus aliquis terram puris et cœlestibus aquis lustrat atque proluit, sive cadaveribus et putredine humidam gravemque emittentibus exhalationem, ita aer condensatur, alioquin facile etiam levissimis de causis mutationi obnoxius.

XXII. Secundum pugnam Marius de armis et spoliis barbaricis pulcherrima quæque et integra legit, quæ triumpho speciem magnificam præbere possent, reliqua omnia magnum super rogum congerens, magnifico apparatu sacrificium adornavit. (2) Et militibus armatis omnibus coronatisque juxta collocatis, præcinctus ipse, ut est moris, prætextataque veste indutus, facem accensam utraque manu ad cœlum tendens, jam rogum incensurus erat, cum amici admissis equis ad ipsum contendere visi sunt. Omnibus silentium tenentibus et quidnam rei esset exspectantibus, (3) ut ad Marium illi pervenerunt, ab equis desilientes, Mario dextras jungebant, quintum ei consulatum decretum nunciabant, literasque ea de re exhibebant. (4) Ita quum ingens illico lætitiæ de victoria conceptæ gaudium accederet, exercitus exsultans plausu quodam militari armorumque crepitu personavit: Marius a tribunis militum statim laureo serto redimitus, rogum incendit sacrificiumque perpetravit.

XXIII. Verum enimvero quæ nullam magnam hominum

των ἄκρατον εἰς ἡδονὴν καὶ καθαρὸν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποικίλλουσα τὸν ἀνθρώπινον βίον ἡ τύχη τις ἢ νέμεσις ἢ πραγμάτων ἀναγκαία φύσις οὐ πολλαῖς ὕστερον ἡμέραις ἐπήγαγε τῷ Μαρίῳ τὴν περὶ Κάτλου τοῦ συνάρχοντος ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ νέφος αὖθις ἕτερον φόβον καὶ χειμῶνα τῇ Ῥώμῃ περιστήσασα. (2) Ὁ γὰρ δὴ Κάτλος ἀντικαθήμενος τοῖς Κίμβροις τὰς μὲν ὑπερβολὰς τῶν Ἄλπεων ἀπέγνω φυλάσσειν, μὴ κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος ἀσθενὴς γένοιτο, καταβὰς δ' εὐθὺς εἰς τὴν Ἰταλίαν καὶ τὸν Ἀτισῶνα ποταμὸν λαβὼν πρὸ αὐτοῦ καὶ φραξάμενος πρὸς τὰς διαβάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν ἔζευξε τὸν πόρον, ὡς ἐπιβοηθεῖν εἴη τοῖς πέραν, εἰ πρὸς τὰ φρούρια βιάζοιντο διὰ τῶν στενῶν οἱ βάρβαροι. (3) Τοῖς δὲ τοσοῦτον περιῆν ὑπεροψίας καὶ θράσους κατὰ τῶν πολεμίων, ὥστε ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι μᾶλλον ἢ πράττοντές τι τῶν ἀναγκαίων γυμνοὶ μὲν ἠνείχοντο νειφόμενοι καὶ διὰ πάγων καὶ χιόνος βαθείας τοῖς ἄκροις προσέβαινον, ἄνωθεν δὲ τοὺς θυρεοὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτα ἀφιέντες αὐτοὺς ὑπεφέροντο κατὰ κρημνῶν ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. (4) Ὡς δὲ παραστρατοπεδεύσαντες ἐγγὺς καὶ κατασκεψάμενοι τὸν πόρον ἤρξαντο χοῦν καὶ τοὺς πέριξ λόφους ἀναῤῥηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόῤῥιζα καὶ κρημνῶν σπαράγματα καὶ γῆς κολωνοὺς ἐφόρουν εἰς τὸν ποταμὸν ἐκθλίβοντες τὸ ῥεῦμα καὶ τοῖς ἐρείδουσι τὰ ζεύγματα βάθροις ἐφιέντες βάρη μεγάλα συρόμενα κατὰ ῥοῦν καὶ τινάττοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖστοι τῶν στρατιωτῶν ἐξέλιπον τὸ μέγα στρατόπεδον καὶ ἀνεχώρουν. (5) Ἔνθα δὴ Κάτλος ἔδειξεν ἑαυτὸν, ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὐτοῦ δόξαν ἐν ὑστέρῳ τῆς τῶν πολιτῶν τιθέμενον. Ἐπεὶ γὰρ οὐκ ἔπειθε τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύντας, ἄρασθαι κελεύσας τὸν ἀετὸν εἰς τοὺς πρώτους τῶν ἀπερχομένων ὥρμησε δρόμῳ καὶ πρῶτος ἡγεῖτο βουλόμενος αὐτοῦ τὸ αἰσχρὸν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ' ἑπομένους τῷ στρατηγῷ ποιεῖσθαι τὴν ἀποχώρησιν. (6) Οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ Ἀτισῶνος φρούριον ἐπελθόντες ἔλαβον καὶ τοὺς αὐτόθι Ῥωμαίους ἀνδρῶν κρατίστους γενομένους καὶ προκινδυνεύσαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες ὑποσπόνδους ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦρον, ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην εἰς τὴν Κάτλου φασὶν οἰκίαν ὥσπερ ἀκροθίνιον τῆς νίκης κομισθῆναι· τὴν δὲ χώραν ἔρημον βοηθείας ἐπιχυθέντες ἐπόρθουν.

XXIV. Ἐπὶ τούτοις ἐκαλεῖτο Μάριος εἰς τὴν Ῥώμην καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν καὶ τῆς βουλῆς προθύμως ψηφισαμένης, οὐκ ἠξίωσεν, εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βουλόμενος, εἴτε πρὸς τὰ παρόντα θαῤῥύνων τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως

prosperitatem integram molestiæque expertem esse patitur, sed vitam humanam lætis adversa miscendo temperat sive fortuna, sive deorum invidia, sive necessitas, ea paucis post diebus Mario nuncium de collega Catulo attulit : perinde ac si sereno cœlo et tranquillo, alias rursus Romæ procellas tempestatesque immitteret. (2) Catulus enim Cimbris oppositus, quum de jugis Alpium tenendis desperasset, ne dividere in multas partes exercitum coactus vires ipse suas debilitaret, in Italiam statim descenderat, fluviumque Athesin propugnaculi loco sumpserat, trajectum utrinque validis munitionibus occupaverat, ponte utraque ripa juncta : ut, si barbari per fauces ad castella oppugnanda vi contenderent, iis qui trans flumen erant opitulari posset. (3) Verum tanta illis ferocia, tantus hostium contemptus aderat, ut robur potius audaciamque ostentantes, quam necessariæ quicquam rei agentes, nivem nudis corporibus incidentem pertulerint, perque glaciem et altam nivem ad summitates montium evaserint, inde scuta corporibus lata supponentes, per præcipitia lubrica et in immensam profunditatem abrupta sese dimiserint. (4) Postquam iidem prope hostem castra metati, fluviique transitu inspecto cœpere aggerem injicere, proximosque tumulos, Gigantum in morem, et arbores radicitus evulsas et scopulorum fragmenta, tumulosque terrestres in flumen immittere, ut aqua elisa extra alveum dimanaret; simulque secundo amne magna pondera demiserunt, quæ fulcra pontis ipsumque pontem illisa concuterent : ibi vero plerique militum timore perculsi, ex majoribus castris discesserunt. (5) Eo rerum statu Catulus demonstrans (quod est boni et omnibus numeris absoluti ducis officium) suam se gloriam post civium famam ponere, quum militibus uti manerent persuadere nequisset, sed magno cum metu discedere videret, aquilam tolli jussit, interque abeuntium primos accurrit ac ducem se præbuit : turpitudinem rei non patriæ, sed sibi imputari volens, idque agens, ut non fugisse, sed ducem secuti viderentur milites. (6) Barbari propugnaculum, quod erat trans Athesin, aggressi ceperunt, Romanosque illic inventos qui se optimos viros præstiterant, utque patria dignum fuerat pugnaverant, admirati, data fide dimiserunt, jurato æneo tauro, quem postea captum in Catuli domum veluti spoliorum primitias deductum ferunt; regionem autem præsidio carentem effuse populati sunt.

XXIV. Interim Marius revocatus Romam rediit : quumque omnes eum triumphaturum putarent, idque senatus lubens decrevisset, ipse renuit : sive quod milites et certaminis socios suo honore privare noluit, sive ut populum præsente periculo territum in spem bonam erigeret, depositurus quasi apud Fortunam urbis priorum suorum facinorum gloriam,

παρακατατιθέμενος τὴν τῶν πρώτων κατορθωμάτων δόξαν ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποδοθησομένην. (2) Διαλεχθεὶς δὲ τὰ πρέποντα τῷ καιρῷ καὶ πρὸς τὸν Κάτλον ἐξορμήσας τοῦτόν τε παρεθάρρυνε καὶ τοὺς αὐτοῦ μετεπέμπετο στρατιώτας ἐκ Γαλατίας. Ὡς δὲ c ἀφίκοντο, διαβὰς τὸν Ἠριδανὸν εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς Ἰταλίας τοὺς βαρβάρους. (3) Οἱ δὲ τοὺς Τεύτονας ἐκδέχεσθαι καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκοντες ἀνεβάλλοντο τὴν μάχην, εἴτε ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθορὰν, εἴτε βουλόμενοι δοκεῖν ἀπιστεῖν. (4) Καὶ γὰρ τοὺς ἀγγέλλοντας ἠκίζοντο δεινῶς καὶ τὸν Μάριον ἤτουν πέμψαντες ἑαυτοῖς καὶ τοῖς ἀδελφοῖς χώραν καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. (5) Ἐρομένου δὲ τοῦ Μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν κἀκείνων ὀνομάσαντων τοὺς Τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν, ὁ δὲ Μάριος ἔσκωψεν εἰπὼν, « Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς· d ἔχουσι γὰρ γῆν ἐκεῖνοι καὶ διὰ παντὸς ἕξουσι παρ' ἡμῶν λαβόντες. » (6) Οἱ δὲ πρέσβεις τὴν εἰρωνείαν συνέντες ἐλοιδόρουν αὐτὸν ὡς δίκην ὑφέξοντα, Κίμβροις μὲν αὐτίκα, Τεύτοσι δὲ, ὅταν παραγένωνται. « Καὶ μὴν πάρεισιν, ἔφη ὁ Μάριος, καὶ οὐχ ἕξει καλῶς ὑμῖν ἀπαλλαγῆναι πρότερον ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι. » Καὶ ταῦτα εἰπὼν ἐκέλευσε τοὺς βασιλεῖς τῶν Τευτόνων προαχθῆναι δεδεμένους· ἑάλωσαν γὰρ ἐν ταῖς Ἄλπεσι φεύγοντες ὑπὸ Σηκουανῶν.

XXV. Ὡς δὲ ἀπηγγέλθη ταῦτα τοῖς Κίμβροις, εὐθὺς ἐξ ἀρχῆς ἐχώρουν ἐπὶ τὸν Μάριον ἡσυχάζοντα καὶ διαφυλάττοντα τὸ στρατόπεδον. (2) Λέγεται δὲ εἰς e ἐκείνην τὴν μάχην πρῶτον ὑπὸ Μαρίου καινοτομηθῆναι τὸ περὶ τοὺς ὑσσούς. Τὸ γὰρ εἰς τὸν σίδηρον ἔμβλημα τοῦ ξύλου πρότερον μὲν ἦν δυσὶ περόναις κατειλημμένον σιδηραῖς, τότε δὲ ὁ Μάριος τὴν μὲν ὥσπερ εἶχεν εἴασε, τὴν δ' ἑτέραν ἐξελὼν ξύλινον ἧλον εὔθρυστον ἀντ' αὐτῆς ἐνέβαλε τεχνάζων προσπεσόντα τὸν ὑσσὸν τῷ θυρεῷ τοῦ πολεμίου μὴ μένειν ὀρθὸν, ἀλλὰ τοῦ ξυλίνου κλασθέντος ἧλου καμπὴν γίνεσθαι περὶ τὸν σίδηρον καὶ παρέλκεσθαι τὸ δόρυ διὰ τὴν στρεβλότητα τῆς αἰχμῆς ἐνεχόμενον. (3) Βοιῶριξ δὲ ὁ τῶν Κίμβρων βασιλεὺς ὀλιγοστὸς προσιππεύσας τῷ στρατοπέδῳ προὐ- f καλεῖτο τὸν Μάριον ἡμέραν ὁρίσαντα καὶ τόπον προελθεῖν καὶ διαγωνίσασθαι περὶ τῆς χώρας. (4) Τοῦ δὲ Μαρίου φήσαντος οὐδέποτε Ῥωμαίους συμβούλοις κεχρῆσθαι περὶ μάχης τοῖς πολεμίοις, οὐ μὴν ἀλλὰ χαριεῖσθαι τοῦτο Κίμβροις, ἡμέραν μὲν ἔθεντο τὴν ἀπ' ἐκείνης τρίτην, χώραν δὲ τὸ πεδίον τὸ περὶ Βερκέλλας, Ῥωμαίοις μὲν ἐπιτήδειον ἐνιππάσασθαι, τῶν δὲ ἀναχυσιν τῷ πλήθει παρασχεῖν. (5) Τηρήσαντες οὖν τὸν ὡρισμένον χρόνον ἀντιπαρετάσσοντο, Κάτλος μὲν ἔχων 420δισμυρίους καὶ τριακοσίους στρατιώτας, οἱ δὲ Μαρίου a δισχίλιοι μὲν ἐπὶ τρισμυρίοις ἐγένοντο, περιέσχον δὲ τὸν Κάτλον ἐν μέσῳ νεμηθέντες εἰς ἑκάτερον κέρας, ὡς Σύλλας, ἡγωνισμένος ἐκείνην τὴν μάχην, γέγραφε. (6) Καί φησι τὸν Μάριον ἐλπίσαντα τοῖς ἄκροις μάλιστα καὶ κατὰ κέρας συμπεσεῖν τὰς φάλαγγας, ὅπως ἴδιος ἡ

quam re iterum bene gesta ampliorem recepturus esset. (2) Collocutus inde ea quæ instantis essent temporis, ad Catulum contendit, eum confirmavit, suosque e Gallia milites accivit: his receptis transgressus Padum, barbaros ab interiori Italia arcere statuit. (3) At Cimbri exspectare se Teutonum adventum mirarique eorum moram ferebant, sive omnino cladem illorum ignorantes, sive non habere se pro vera simulantes. (4) Nam et nuncios ejus rei gravibus afficiebant suppliciis, et missis ad Marium legatis petebant, ut sibi fratribusque suis regionem ad urbes, quantum habitationi eorum satis esset, concederet. (5) Mario sciscitante legatos, quosnam fratres suos dicerent, iisque Teutonas respondentibus, risum omnes sustulerunt: et Marius salse, Omittite, inquit, fratres istos; obtinent enim obtinebuntque in perpetuum terram a nobis datam. (6) Legati subsannari se intelligentes, Mario convicium facere, minitarique eum statim Cimbris, post etiam Teutonibus, ut primum hi advenissent, pœnas daturum. Atqui adsunt, inquit Marius, et vos discedere hinc, nisi salutatis prius fratribus, non convenit. Simulque reges Teutonum, qui fugientes in Alpibus erant a Sequanis capti, vinctos produci jussit.

XXV. Quæ postquam Cimbris sunt renunciata, extemplo adversus Marium, quiete tum castra sua servantem, duxerunt. (2) Fama est ad eam primùm pugnam Marium novum quoddam circa pila inventum usurpasse. Nam quum ante superior pars hastilis, quæ in ferrum inseritur, duabus ferreis fibulis affigeretur, Marius alteram ferream retinens, loco alterius clavum ligneum fragilem supposuit: id enim machinabatur, ut pilum in scutum hostis delatum, non rectum staret, sed fracto ligneo clavo ferreus sese incurvaret atque cuspide fixa hastile per obliquum traheretur. (3) Bojorix autem, Cimbrorum rex, cum paucis suorum ad castra Romanorum adequitans, provocavit Marium, ut loco et die definito secum acie de ea regione decertaret. (4) Marius, nunquam Romanos solitos in consilium de faciendo prœlio hostem adhibere, sed tamen se hoc Cimbris daturum, respondit: ita dies certamini ab eo tertius dictus est; locus pugnæ, campus ad Vercellas, et equitatui Romano, et explicandæ barbarorum multitudini commodus. (5) Præstitutam diem observantes, utrique suos in aciem eduxerunt. A Romanis Catulus viginti millia trecentos milites habebat; Marius millia triginta duo: hos eum in utrumque cornu distribuisse omnes, ita ut mediam aciem Catulus teneret, Sylla, qui ei prœlio interfuit, scriptum reliquit. (6) Narrat Marium, quum a cornibus maxime se in hostem pugnaturum speraret, ut sibi suisque militibus totam victoriam vindicaret,

νίκη, τῶν ἐκείνου στρατιωτῶν γένοιτο καὶ μὴ μετάσχοι τοῦ ἀγῶνος ὁ Κάτλος μηδὲ προσμίξειε τοῖς πολεμίοις, κόλπωμα τῶν μέσων, ὥσπερ εἴωθεν ἐν μεγάλοις μετώποις, λαμβανόντων, οὕτω διαστῆσαι τὰς δυνάμεις· ὅμοια δὲ καὶ τὸν Κάτλον αὐτὸν ἀπολογεῖσθαι περὶ τούτων ἱστοροῦσι, πολλὴν κατηγοροῦντα τοῦ Μαρίου κακοήθειαν πρὸς αὐτόν. (7) Τοῖς δὲ Κίμβροις τὸ μὲν πεζὸν ἐκ τῶν b ἑρυμάτων καθ' ἡσυχίαν προῄει βάθος ἴσον τῷ μετώπῳ ποιούμενον· ἑκάστη γὰρ ἐπέσχε πλευρὰ σταδίους τριάκοντα τῆς παρατάξεως· οἱ δὲ ἱππεῖς μύριοι καὶ πεντακισχίλιοι τὸ πλῆθος ὄντες ἐξῆλασαν λαμπροὶ, κράνη μὲν εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις ἔχοντες, ἃς ἐπαιρόμενοι λόφοις πτερωτοῖς εἰς ὕψος ἐφαίνοντο μείζους, θώραξι δὲ κεκοσμημένοι σιδηροῖς, θυρεοῖς δὲ λευκοῖς στίλβοντες. Ἀκόντισμα δὲ ἦν ἑκάστῳ διβολία· συμπεσόντες δὲ μεγάλαις ἐχρῶντο καὶ βαρείαις μαχαίραις.

XXVI. Τότε δ' οὐχὶ κατὰ στόμα προσφέροντο τοῖς c Ῥωμαίοις, ἀλλ' ἐκκλίνοντες ἐπὶ δεξιὰ ὑπῆγον αὐτοὺς κατὰ μικρὸν ἐμβάλλοντες εἰς τὸ μέσον αὐτῶν τε καὶ τῶν πεζῶν ἐξ ἀριστερᾶς παρατεταγμένων. (2) Καὶ συνεῖδον μὲν οἱ τῶν Ῥωμαίων στρατηγοὶ τὸν δόλον, ἐπισχεῖν δὲ τοὺς στρατιώτας οὐκ ἔφθησαν, ἀλλ' ἑνὸς ἐκβοήσαντος, ὅτι φεύγουσιν οἱ πολέμιοι, πάντες ὥρμησαν διώκειν. (3) Καὶ τὸ πεζὸν ἐν τούτῳ τῶν βαρβάρων ἐπῄει καθάπερ πέλαγος ἀχανὲς κινούμενον. Ἐνταῦθα νιψάμενος ὁ Μάριος τὰς χεῖρας καὶ πρὸς τὸν οὐρανὸν ἀνασχὼν εὔξατο τοῖς θεοῖς κατὰ ἑκατόμβης· εὔξατο δὲ d καὶ Κάτλος ὁμοίως ἀνασχὼν τὰς χεῖρας καθιερώσειν τὴν Τύχην τῆς ἡμέρας ἐκείνης. (4) Τὸν δὲ Μάριον καὶ θύσαντα λέγεται τῶν ἱερῶν αὐτῷ δειχθέντων μέγα φθεγξάμενον εἰπεῖν, « Ἐμὴ ἡ νίκη. » (5) Γενομένης δὲ τῆς ἐφόδου πρᾶγμα νεμεσητὸν παθεῖν τὸν Μάριον οἱ περὶ Σύλλαν ἱστοροῦσι. Κονιορτοῦ γὰρ ἀρθέντος, οἷον εἰκὸς, ἀπλέτου καὶ τῶν στρατοπέδων ἀποκεχρυμμένων, ἐκεῖνον μὲν, ὡς τὸ πρῶτον ὥρμησε πρὸς τὴν δίωξιν, ἐπισπασάμενον τὴν δύναμιν ἀπολαβεῖν τῶν πολεμίων καὶ παρενεχθέντα τῆς φάλαγγος ἐν τῷ πεδίῳ διαφέρεσθαι πολὺν χρόνον, τῷ δὲ Κάτλῳ τοὺς βαρβάρους ἀπὸ τύχης συρραγῆναι καὶ γενέσθαι τὸν ἀγῶνα κατ' ἐκεῖνον e καὶ τοὺς ἐκείνου μάλιστα στρατιώτας, ἐν οἷς αὐτὸς ὁ Σύλλας τετάχθαι φησί· συναγωνίσασθαι δὲ τοῖς Ῥωμαίοις τὸ καῦμα καὶ τὸν ἥλιον ἀντιλάμποντα τοῖς Κίμβροις. (6) Δεινοὶ γὰρ ὄντες ὑπομεῖναι κρύη καὶ τόποις ἐντεθραμμένοι σκιεροῖς, ὡς λέλεκται, καὶ ψυχροῖς ἀνετρέποντο πρὸς τὸ θάλπος ἱδρῶτά τε μετὰ ἄσθματος πολὺν ἐκ τῶν σωμάτων ἀφιέντες καὶ τοὺς θυρεοὺς προβαλλόμενοι πρὸ τῶν προσώπων, ἅτε δὴ καὶ μετὰ τροπὰς θέρους τῆς μάχης γενομένης, ἃς ἄγουσι Ῥωμαῖοι πρὸ τριῶν ἡμερῶν τῆς νουμηνίας τοῦ νῦν μὲν Αὐγούστου, τότε δὲ Σεξτιλίου μηνός. (7) Ὤνησε δὲ καὶ πρὸς τὸ θαρρεῖν ὁ κονιορτὸς ἀποκρύψας τοὺς πολεμίους. Οὐ γὰρ f κατεῖδον ἐκ πολλοῦ τὸ πλῆθος, ἀλλὰ δρόμῳ τοῖς κατ' αὐτοὺς ἕκαστοι προσμίξαντες ἐν χερσὶν ἦσαν ὑπὸ τῆς

neque Catulus cum hoste congredi et in partem certaminis subire posset, copias suas ita digessisse, ut media acies, quemadmodum moris est fieri quum longa fronte acies instruitur, sinum recessumque faceret; et id ipsum tradunt Catulum sui purgandi causa attulisse, Marioque multam contra se malevolentiam objecisse. (7) At Cimbrorum peditatus ex castris progressus quadrato agmine sensim incedebat: nam latera singula aciei tricena stadia occupabant. Equites autem quindecim millia numero, splendidis in armis provehebantur: galeas ferebant rictibus terribilium ferarum et faciebus animalium rari aspectus assimilatas, quas alatis cristis in altum attollentes, eo majores videbantur: ornati erant thoracibus ferreis atque albis micabant scutis. Singuli jaculum cuspide bifurca habebant; cominus magnis gravibusque pugnabant gladiis.

XXVI. Ii tum non a fronte Romanos invadebant, sed ad dextram flectentes, sensim in eum locum qui inter ipsos et peditatum ad lævam in acie stantem erat medius, hostem subducebant. (2) Non fefellit Romanos duces ea fraus: sed milites retinere non potuerunt, quin ii, ut semel quispiam fugere barbaros vociferatus est, universi ad persequendum hostem se proriperent. (3) Interim peditatus Cimbricus, vasti maris in modum agitatus, in hostem ibat. Hic Marius manus lotas ad cœlum intendens, hecatomben diis promisit: similiter etiam Catulus elatis palmis dedicaturum se ejus diei Fortunam vovit. (4) Additur hoc, Marium, quum ei immolanti hostia esset monstrata, magna voce dixisse: Mea est victoria. (5) Cœpto prœlio, Mario casum indignatione quadam deorum accidisse Sylla narrat. Etenim sublato, ut par erat, immenso pulvere, qui exercituum conspectum adimeret, eum rapto secum suorum agmine ad persequendos, uti primum intenderat, hostes ab his aberrasse, prætervectumque eorum aciem diu in campis oberrasse: in Catulum autem forte fortuna hostes incidisse, pugnamque ipsius potissimum milites (in quibus et sese fuisse Sylla scribit) sustinuisse; Romanis porro æstum et solem Cimbris tum adversum auxilio fuisse. (6) Nam frigoris patientissimi, nimirum umbrosis, ut dictum est, et gelidis locis educati, a calore vincebantur, sudoremque toto corpore emittentes, et anheli, scuta faciebus objiciebant. Pugnatum est enim post solstitium æstivum, quem diem Romani a. d. III Kalendas Augusti, ut hodie vocant, illo tempore Sextilis, celebrant. (7) Fecit etiam ad audaciam pulvis hostes occultans; neque enim multitudinem ex longinquo satis poterant dispicere, sed incursu tantum in oppositos sibi facto, quisque reliquorum securi pugnabant. (8) Adeo

ὄψεως μὴ προεκφοβηθέντες. (8) Οὕτω δὲ ἦσαν διάπονοι τὰ σώματα καὶ κατηθληκότες, ὡς μήτε ἱδροῦντά τινα μήτε ἀσθμαίνοντα Ῥωμαίων ὀφθῆναι διὰ πνίγους τοσούτου καὶ μετὰ δρόμου τῆς συβράξεως γενομένης, ὡς
421 τὸν Κάτλον αὐτὸν ἱστορεῖν λέγουσι μεγαλύνοντα τοὺς a στρατιώτας.

XXVII. Τὸ μὲν οὖν πλεῖστον μέρος καὶ μαχιμώτατον τῶν πολεμίων αὐτοῦ κατεκόπη· καὶ γὰρ ἦσαν ὑπὲρ τοῦ μὴ διασπᾶσθαι τὴν τάξιν οἱ πρόμαχοι μακραῖς ἁλύσεσι πρὸς ἀλλήλους συνεχόμενοι διὰ τῶν ζωστήρων ἀναδεδεμένοις· τοὺς δὲ φεύγοντας ὥσαντες πρὸς τὸ χαράκωμα τραγικωτάτοις ἐνετύγχανον πάθεσιν. (2) Αἱ γὰρ γυναῖκες ἐπὶ τῶν ἁμαξῶν μελανείμονες ἐφεστῶσαι τούς τε φεύγοντας ἔκτεινον, αἱ μὲν ἄνδρας, αἱ δὲ ἀδελφούς, αἱ δὲ πατέρας, καὶ τὰ νήπια τῶν τέκνων ἀπάγχουσαι ταῖς χερσὶν ἐρρίπτουν ὑπὸ τοὺς τροχοὺς καὶ τοὺς πόδας τῶν ὑποζυγίων, αὐτὰς δὲ ἀπέσφαττον. (3) Μίαν δέ φασιν ἐξ ἄκρου ῥυμοῦ κρεμαμένην τὰ παιδία τῶν αὐτῆς σφυρῶν b ἀφημμένα βρόχοις ἑκατέρωθεν ἠρτῆσθαι· τοὺς δ' ἄνδρας ἀπορίᾳ δένδρων τοῖς κέρασι τῶν βοῶν, τοὺς δὲ τοῖς σκέλεσι προσδεῖν τοὺς αὐτῶν τραχήλους, εἶτα κέντρα προσφέροντας ἐξαλλομένων τῶν βοῶν ἐφελκομένους καὶ πατουμένους ἀπόλλυσθαι. (4) Πλὴν, καίπερ οὕτως αὐτῶν διαφθαρέντων, ἑάλωσαν ὑπὲρ ἓξ μυριάδας· αἱ δὲ τῶν πεσόντων ἐλέγοντο δὶς τοσαῦται γενέσθαι. (5) Τὰ μὲν οὖν χρήματα διήρπασαν οἱ Μαρίου στρατιῶται, τὰ δὲ λάφυρα καὶ τὰς σημαίας καὶ τὰς σάλπιγγας εἰς τὸ Κάτλου στρατόπεδον ἀνενεχθῆναι λέγουσιν· ᾧ καὶ μάλιστα c τεκμηρίῳ χρῆσθαι τὸν Κάτλον, ὡς κατ' αὐτὸν ἡ νίκη γένοιτο. (6) Καὶ μέντοι καὶ τοῖς στρατιώταις, ὡς ἔοικεν, ἐμπεσούσης ἔριδος, ἠρέθησαν οἷον διαιτηταὶ πρέσβεις Παρμητῶν παρόντες, οὓς οἱ Κάτλου διὰ τῶν πολεμίων νεκρῶν ἄγοντες ἐπεδείκνυντο τοῖς ἑαυτῶν ὑσσοῖς διαπεπαρμένους· γνώριμοι δ' ἦσαν ὑπὸ γραμμάτων, τοὔνομα τοῦ Κάτλου παρὰ τὸ ξύλον αὐτῶν ἐγχαράξαντος. (7) Οὐ μὴν ἀλλὰ τῷ Μαρίῳ προσετίθετο σύμπαν τὸ ἔργον ἥ τε προτέρα νίκη καὶ τὸ πρόσχημα τῆς ἀρχῆς. (8) Μάλιστα δὲ οἱ πολλοὶ κτίστην τε Ῥώμης τρίτον ἐκεῖνον d ἀνηγόρευον, ὡς οὐχ ἧττονα τοῦ Κελτικοῦ τοῦτον ἀπεωσμένον τὸν κίνδυνον, εὐθυμούμενοί τε μετὰ παίδων καὶ γυναικῶν ἕκαστοι κατ' οἶκον ἅμα τοῖς θεοῖς καὶ Μαρίῳ δείπνου καὶ λοιβῆς ἀπήρχοντο καὶ θριαμβεύειν μόνον ἠξίουν ἀμφοτέρους τοὺς θριάμβους. (9) Οὐ μὴν ἐθριάμβευσεν οὕτως, ἀλλὰ μετὰ τοῦ Κάτλου, μέτριον ἐπὶ τηλικαύταις εὐτυχίαις βουλόμενος παρέχειν ἑαυτόν· ἔστι δὲ ὅτι καὶ τοὺς στρατιώτας φοβηθεὶς παρατεταγμένους, εἰ Κάτλος ἀπείργοιτο τῆς τιμῆς, μηδὲ ἐκεῖνον ἐᾶν θριαμβεύειν.

XXVIII. Πέμπτην μὲν οὖν ὑπατείαν διεῖπε· τῆς δὲ ἕκτης, ὡς οὐδὲ εἷς πρώτης, ὠρέγετο θεραπείαις τὸν δῆμον ἀναλαμβάνων καὶ πρὸς χάριν ἐνδιδοὺς τοῖς πολλοῖς, οὐ μόνον παρὰ τὸν ὄγκον καὶ τὸ κοινὸν ἀξίωμα e τῆς ἀρχῆς, ἀλλὰ καὶ παρὰ τὴν αὐτοῦ φύσιν, ὑγρός τις εἶναι βουλόμενος καὶ δημοτικὸς, ἥκιστα τοιοῦτος πε-

autem laboribus et exercitationibus corpora sua duraverant, ut tanto in æstu, cum cursu confligentium et pugnantium Romanorum nemo sudare aut anhelare sit visus : id quod ipse Catulus, prædicans virtutem militum, narrasse fertur.

XXVII. Proinde eo in loco maxima et validissima pars Cimbrorum concisa est : etenim qui primum in acie locum tuebantur, longis catenis balteis infixis inter sese copulati atque connexi erant, ne divelli ordines possent; fugientes autem ad castra usque persecuti, in atrocissimum incidederunt spectaculum. (2) Mulieres barbarorum nigris indutæ vestibus supra carros stantes, fugientes suos, maritos aliæ, fratres aliæ aut patres cædebant : infantesque manibus strangulabant, mortuos sub rotas et pedes jumentorum projiciebant, seque inde ipsæ jugulabant. (3) Quandam ferunt de summo temone, utrinque laqueo appensis ad imos pedes infantibus pependisse : viros autem, quum arbores suspendiis non sufficerent, colla sua cornibus aut eruribus boum alligasse : stimulos inde bobus adhibuisse, ab iisque ita exsilientibus raptatos et obtritos periisse. (4) Verum ut hoc modo multi perierunt, ad sexaginta tamen millia capti sunt, centum et viginti millia cæsi. (5) Porro hostium opes Marii milites diripuerunt : spolia autem, signa militaria et tubæ, omnia in castra Catuli relata feruntur : eoque maxime argumento Catulum ostendisse, sibi laudem victoriæ deberi. (6) Quum vero inter milites ea de re contentio exstitisset, ad legatos Parmensium, qui tum forte aderant, arbitrium est delatum : quos Catuli milites per cadavera hostium circumduxerunt, transfixos eos suis pilis ostendentes : etenim pila facile literis agnoscebantur, quod Catulus nomen hastilibus prope cuspidem insculpserat. (7) Sed tamen Mario ut tota res gesta accepta ferretur, prior ejus victoria et majestas imperii effecerunt. (8) Præsertim vero vulgus tertium eum urbis conditorem nominabant, ut qui periculum Gallico non minus depulisset, seque domi cum uxoribus et liberis oblectantes singuli post deos Mario quoque libabant : solum etiam eum utrumque triumphum agere volebant. (9) Verum non ita, sed una cum Catulo triumphavit, moderatum se tanta in felicitate gerere volens : nonnihil etiam id metuens ne, si Catulus triumphi honore privaretur, milites refragarentur, ipsum quoque triumphare non permitterent.

XXVIII. Hæc Marius quintum consul gessit. Sextum consulatum summo studio, ut nemo facile primum majore, ambivit, populum demerendo, multitudinis gratiæ inserviendo, non contra dignitatem modo et majestatem magistratus ejus, sed præter naturam etiam suam popularem

φυκώς. (2) Ἀλλ' ἦν, ὡς λέγουσι, πρὸς πολιτείαν καὶ τοὺς ἐν ὄχλοις θορύβους ὑπὸ φιλοδοξίας ἀτολμότατος καὶ τὸ παρὰ τὰς μάχας ἀνέκπληκτον καὶ στάσιμον ἐν ταῖς ἐκκλησίαις ἀπέλειπεν αὐτὸν ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων ἐξιστάμενον. (3) Καίτοι λέγεται Καμερίνων ἄνδρας ὁμοῦ χιλίους διαπρεπῶς ἀγωνισαμένους ἐν τῷ πολέμῳ δωρησάμενος πολιτείᾳ, δοκοῦντος εἶναι τούτου παρανόμου καί τινων ἐγκαλούντων, εἰπεῖν, ὅτι τοῦ νόμου διὰ τὸν τῶν ὅπλων ψόφον οὐ κατακούσειεν. (4) Οὐ μὴν ἀλλὰ μᾶλλον ἔοικεν ἐκπλήσσεσθαι καὶ δεδιέναι f τὴν ἐν ταῖς ἐκκλησίαις κραυγήν. Ἐν μέν γε ταῖς ὅπλοις ἀξίωμα καὶ δύναμιν εἶχε διὰ τὴν χρείαν, ἐν δὲ τῇ πολιτείᾳ περικοπτόμενος τὰ πρωτεῖα κατέφευγεν ἐπὶ τὴν τῶν πολλῶν εὔνοιαν καὶ χάριν ὑπὲρ τοῦ μέγιστος γενέσθαι τὸ βέλτιστος εἶναι προϊέμενος. (5) Πᾶσι μὲν οὖν προσέκρουε τοῖς ἀριστοκρατικοῖς, μάλιστα δὲ ὀῤῥωδῶν 422τὸν Μέτελλον ἠχαριστημένον ὑπ' αὐτοῦ καὶ φύσει δι' a ἀρετὴν ἀληθῆ πολεμοῦντα τοῖς οὐ κατὰ τὸ βέλτιστον ὑποδυομένοις τὰ πλήθη καὶ πρὸς ἡδονὴν δημαγωγοῦσιν, ἐπεβούλευε τῆς πόλεως ἐκβαλεῖν τὸν ἄνδρα. (6) Καὶ πρὸς τοῦτο Γλαυκίαν καὶ Σατορνῖνον, ἀνθρώπους θρασυτάτους καὶ πλῆθος ἄπορον καὶ θορυβοποιὸν ὑπ' αὐτοῖς ἔχοντας, οἰκειωσάμενος εἰσέφερε νόμους δι' αὐτῶν· καὶ τὸ στρατιωτικὸν ἐπάρας κατεμίγνυε ταῖς ἐκκλησίαις καὶ κατεστασίαζε τὸν Μέτελλον. (7) Ὡς δὲ Ῥουτίλιος ἱστορεῖ, τὰ μὲν ἄλλα φιλαλήθης ἀνὴρ καὶ χρηστὸς, ἰδίᾳ δὲ τῷ Μαρίῳ προσκεκρουκὼς, καὶ τῆς ἕκτης ἔτυχεν ὑπατείας ἀργύριον εἰς τὰς φυλὰς καταβαλὼν πολὺ καὶ πριάμενος τὸν Μέτελλον ἐκκροῦσαι τῆς ἀρχῆς, Οὐαλ- b λέριον δὲ Φλάκκον ὑπηρέτην μᾶλλον ἢ συνάρχοντα τῆς ὑπατείας λαβεῖν. (8) Οὐδενὶ μέντοι τῶν πρὸ αὐτοῦ πλὴν μόνῳ Κορβίνῳ Οὐαλλερίῳ τοσαύτας ὑπατείας ἔδωκεν ὁ δῆμος, ἀλλ' ἐκείνῳ μὲν ἀπὸ τῆς πρώτης εἰς τὴν τελευταίαν ἔτη πέντε καὶ τεσσαράκοντα γενέσθαι λέγουσι, Μάριος δὲ μετὰ τὴν πρώτην τὰς πέντε ῥύμῃ μιᾷ τύχης διέδραμε.

XXIX. Καὶ μάλιστα περὶ τὴν τελευταίαν ἐφθονεῖτο πολλὰ συνεξαμαρτάνων τοῖς περὶ τὸν Σατορνῖνον. Ὢν ἦν καὶ ὁ Νωνίου φόνος, ὃν ἀντιπαραγγέλλοντα δημαρ- c χίαν ἀπέσφαξεν ὁ Σατορνῖνος. (2) Εἶτα δημαρχῶν ἐπῆγε τὸν περὶ τῆς χώρας νόμον, ᾧ προσεγέγραπτο τὴν σύγκλητον ὁμόσαι προσελθοῦσαν, ἢ μὴν ἐμμενεῖν οἷς ἂν ὁ δῆμος ψηφίσαιτο καὶ πρὸς μηδὲν ὑπεναντιώσεσθαι. (3) Τοῦτο τοῦ νόμου τὸ μέρος προσποιούμενος ἐν τῇ βουλῇ διώκειν ὁ Μάριος οὐκ ἔφη δέξασθαι τὸν ὅρκον οὐδὲ ἄλλον οἴεσθαι σωφρονοῦντα· καὶ γὰρ εἰ μὴ μοχθηρὸς ἦν ὁ νόμος, ὕβριν εἶναι τὰ τοιαῦτα τὴν βουλὴν διδόναι βιαζομένην, ἀλλὰ μὴ πειθοῖ μηδὲ ἑκοῦσαν. (4) Ταῦτα δὲ οὐχ οὕτως φρονῶν ἔλεγεν, ἀλλὰ τῷ Μετέλλῳ ἀπάτην περιτιθεὶς ἄφυκτον. Αὐτὸς μὲν γὰρ εἰς ἀρετῆς καὶ δεινότητος μερίδα τὸ ψεύσασθαι τιθέμενος λόγον οὐδένα τῶν πρὸς τὴν σύγκλητον ὡμολογημένων ἕξειν d ἔμελλε, τὸν δὲ Μέτελλον εἰδὼς βέβαιον ἄνδρα καὶ τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδα-

sese et facilem effingendo. (2) Fertur quidem cum in republica versaretur, turbas forenses præ ambitione maxime pertimuisse, constantiamque ei et animi robur, quo in bello utebatur, in concionibus defuisse, et facile quavis vel laude vel vituperatione circumagi potuisse. (3) Tametsi perhibent eum, quum mille Camerinos ob præclaram in prœlio navatam operam civitate donasset, factum id ut legibus contrarium culpantibus respondisse: præ strepitu armorum se legum vocem exaudire nequisse. (4) Verum magis videtur clamorem concionalem exhorruisse; quum enim armis patriæ utilis in militia auctoritate atque potentia valeret, in republica autem primas obtinere non posset, ad multitudinis favorem atque gratiam confugit, maximusque fieri quam optimus maluit. (5) Ea re quum omnium optimatum animos offendisset, tum vero Metellum, cui pessimam se retulisse gratiam noverat, metuebat, virum vera præditum virtute naturaque omnibus qui non optimo publico auram popularem captarent, sed plebem gratificando sibi obstringerent, infestum. (6) Huic itaque exsulium moliens, Glauciam et Saturninum, turbulentissimos homines, multitudineque egenorum et factiosorum civium stipatos, sibi conciliavit: eorumque opera leges promulgans, admixta in concionem militari turba, Metellum factione sua superavit. (7) Rutilius, bonus alioqui vir et verax, sed cui privatim cum Mario offensæ intercesserint, auctor est divisa tributim pecunia Marium sextum consulatum obtinuisse: simulque id, ut Metello repulso Valerius Flaccus sibi administer magis quam collega daretur. (8) Præter Valerium Corvinum nemini unquam populus Romanus tot consulatus detulit. Verum inter hujus primum sextumque consulatum annos quadraginta quinque intervenisse narrant: Marius a primo consulatu quinque reliquos uno fortunæ impetu exegit.

XXIX. Invisus autem fuit præsertim sextus ejus consulatus, quod in eo Saturnini multa mala facinora adjuvisset. Inter quæ etiam Nonii cædes fuit, quem tribunatus plebis competitorem Saturninus necaverat. (2) Idem factus deinde tribunus plebis legem tulit agrariam, cum hac clausula, uti senatus in concione juraret, se, quicquid populus jussisset, ratum habiturum nihilque impugnaturum. (3) Eam legis particulam in senatu Marius insectari se enixe simulans, nequaquam juraturum, dixit, neque vero quenquam sanum id facturum putare: etenim si lex non sit mala, vix ferendum esse, si senatus talia non sponte sua, sed invitus et coactus concederet. (4) Hoc non quasi ita sentiret, sed ut Metellum inevitabili fraude circumveniret, ideo dicebat. Ipse enim mendacium in virtutis et calliditatis parte putans, nullam eorum, quæ in senatu fassus fuisset, rationem erat habiturus: Metellum autem constantem virum et qui veritatem (ut est apud Pindarum) magnæ virtutis principium

ρον ἡγούμενον ἐβούλετο τῇ πρὸς τὴν σύγκλητον ἀρνήσει προληφθέντα καὶ μὴ δεξάμενον τὸν ὅρκον εἰς ἀνήκεστον ἐμβαλεῖν πρὸς τὸν δῆμον ἔχθραν. Ὃ καὶ συνέβη. (5) Τοῦ γὰρ Μετέλλου φήσαντος μὴ ὀμόσαι, τότε μὲν ἡ βουλὴ διελύθη, μετὰ δὲ ἡμέρας ὀλίγας τοῦ Σατορνίνου πρὸς τὸ βῆμα τοὺς συγκλητικοὺς ἀνακαλουμένου καὶ τὸν ὅρκον ὀμνύειν ἀναγκάζοντος, ὁ Μάριος παρελθών, γενομένης σιωπῆς καὶ πάντων εἰς ἐκεῖνον ἀνηρτημένων, μακρὰ χαίρειν φράσας τοῖς ἐν τῇ βουλῇ νεανιευθεῖσιν ἀπὸ φωνῆς, οὐχ οὕτω πλατὺ ἔφη φορεῖν τὸν τράχηλον, ὡς προαποφαίνεσθαι καθάπαξ εἰς πρᾶγμα τηλικοῦτον, ἀλλ' ὀμεῖσθαι καὶ τῷ νόμῳ πειθαρχήσειν, εἴπερ ἐστὶ νόμος· καὶ γὰρ τοῦτο προσέθηκε τὸ σοφὸν ὥσπερ παρακάλυμμα τῆς αἰσχύνης. (6) Ὁ μὲν οὖν δῆμος ἡσθεὶς ὀμόσαντος ἀνεκρότησε καὶ κατευφήμησε, τοὺς δὲ ἀρίστους κατήφεια δεινὴ καὶ μῖσος ἔσχε τοῦ Μαρίου τῆς μεταβολῆς. (7) Ὤμνυσαν οὖν ἅπαντες ἐφεξῆς δεδιότες τὸν δῆμον ἄχρι Μετέλλου· Μέτελλος δὲ, καίπερ ἀντιβολούντων καὶ δεομένων τῶν φίλων ὀμόσαι καὶ μὴ περιβαλεῖν ἑαυτὸν ἐπιτιμίοις ἀνηκέστοις, ἃ κατὰ τῶν μὴ ὀμνυόντων ὁ Σατορνῖνος εἰσέφερεν, οὐχ ὑφήκατο τοῦ φρονήματος οὐδὲ ὤμοσεν, ἀλλ' ἐμμένων τῷ ἤθει καὶ πᾶν παθεῖν δεινὸν ἐπὶ τῷ μηθὲν αἰσχρὸν ἐργάσασθαι παρεσκευασμένος ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς διαλεγόμενος τοῖς περὶ αὐτὸν, ὡς τὸ κακόν τι πρᾶξαι φαῦλον εἴη, τὸ δὲ καλὸν μὲν, ἀκινδύνως δὲ, κοινὸν, ἴδιον δὲ ἀνδρὸς ἀγαθοῦ τὸ μετὰ κινδύνων τὰ καλὰ πράσσειν. (8) Ἐκ τούτου ψηφίζεται Σατορνῖνος ἐπικηρῦξαι τοὺς ὑπάτους, ὅπως πυρὸς καὶ ὕδατος καὶ στέγης εἴργηται Μέτελλος· καὶ τὸ φαυλότατον αὐτοῖς τοῦ πλήθους παρῆν ἕτοιμον ἀποκτιννύναι τὸν ἄνδρα. (9) Τῶν δὲ βελτίστων περιπαθούντων καὶ συντρεχόντων πρὸς τὸν Μέτελλον, οὐκ εἶα στασιάζειν δι' αὐτὸν, ἀλλὰ ἀπῆλθεν ἐκ τῆς πόλεως ἔμφρονι λογισμῷ χρησάμενος. « Ἢ γὰρ ἀμεινόνων, ἔφη, τῶν πραγμάτων γενομένων καὶ τοῦ δήμου μετανοήσαντος ἀφίξομαι παρακαλούμενος, ἢ μενόντων ὁμοίων ἀπηλλάχθαι κράτιστον. » (10) Ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς Μέτελλος, ὃν δὲ τρόπον ἐν Ῥόδῳ φιλοσοφῶν διῃτήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται.

XXX. Μάριος δὲ τὸν Σατορνῖνον ἀντιτῆς ὑπουργίας ταύτης ἐπὶ πᾶν προϊόντα τόλμης καὶ δυνάμεως περιορᾶν ἀναγκαζόμενος ἔλαθεν οὐκ ἀνεκτὸν ἀπεργασάμενος κακὸν, ἀλλ' ἄντικρυς ὅπλοις καὶ σφαγαῖς ἐπὶ τυραννίδα καὶ πολιτείας ἀνατροπὴν πορευόμενον. (2) Αἰδούμενος δὲ τοὺς κρατίστους, θεραπεύων δὲ τοὺς πολλοὺς ἔργον ἀνελεύθερον ἐσχάτως ὑπέμεινε καὶ παλίμβολον. (3) Ἐλθόντων γὰρ ὡς αὐτὸν ὑπὸ νύκτα τῶν πρώτων ἀνδρῶν καὶ παρακαλούντων ἐπὶ τὸν Σατορνῖνον, ἑτέραις θύραις ἐκεῖνον ὑπεδέξατο, τούτων ἀγνοούντων· εἶτα πρόφασιν λέγων πρὸς ἀμφοτέρους κοιλίας διάῤῥοιαν νῦν μὲν ὡς τούτους, νῦν δὲ ὡς ἐκεῖνον ἐπὶ τῆς οἰκίας ἀνὰ μέρος διατρέχων συνέχρουε καὶ παρώξυνεν. (4) Οὐ μὴν ἀλλὰ καὶ τῆς βουλῆς καὶ τῶν ἱππέων συνισταμένων

duceret, sua in senatu recusatione perseverantem atque jurare detrectantem in extremum populi odium conjicere statuebat. Et successit res: (5) Metello enim juraturum se negante, senatus dimissus est. Paucis post diebus Saturninus ad tribunal senatores advocavit ac jurare jussit. Ibi Marius accedens, facto silentio cunctisque in ipsum intentis, valere jussis iis quæ verbo tenus in senatu jactaverat: nequaquam tam latum se habere collum dixit, uti de re ita magna semel lata sententia decideret; juraturum tamen se, et legi staturum, si quidem lex sit; has enim argutias quasi velum suæ impudentiæ obtenderat. (6) At populus jurante eo voluptate perfusus, plausum dedit eumque lætis acclamationibus collaudavit, apud optimates autem Marii mutatio mœstitiam odiumque ejus excitavit. (7) Metu tamen populi adducti, omnes ordine juraverunt usque ad Metellum; is ut idem faceret, nullis amicorum precibus moveri potuit, obtestantibus ne tantum discrimen (nam Saturninus jusjurandum dicere detrectantibus pœnas atroces rogatione sua minabatur) subire vellet: verum de animi magnitudine ingenioque suo nihil omnino dimotus, paratusque quidvis potius mali perferre, quam turpe aliquid committere, ex concione discessit, iis qui una ibant, exponens: turpe esse quicquam mali perpetrare, bene autem agere nullo periculo proposito, multorum; id vero proprium boni viri esse, etiam cum periculo suo honestatem in agendo sequi. (8) Secundum hæc Saturninus rogationem tulit, ut consules aqua et igni Metello interdicerent; et erant præsto pessimi ex multitudine, Metellum occidere parati. (9) Optimo autem quoque anxietate vehementer commoto et ad Metellum concurrente, non passus sui causa seditionem excitari, Roma a' iit, prudenti usus consilio: Aut enim, dicebat, rebus in melius mutatis populoque resipiscente, revocatus in patriam veniam, aut, si idem manebit status rerum, nihil fuerit melius, quam hinc discessisse. (10) Enimvero qua benevolentia acceptus quantoque in honore fuerit dum exsularet Metellus, utque Rhodi philosophiæ vacans tempus triverit, commodius in ejus Vita exponemus.

XXX. Marius autem quum hujus ministerii causa Saturnino ad summum audaciæ potentiæque evadenti connivere cogeretur, imprudens eo ad extremum periculi civitatem deduxit, ut palam armis atque cædibus ad evertendam rempublicam, occupandamque tyrannidem ille sit grassatus. (2) Quum vero optimates vereretur, et plebem demereri vellet, facinus prorsus illiberale et improbum patravit. (3) Primariis enim viris noctu ad se convenientibus et ad reprimendum Saturninum cohortantibus, eum ipse iis insciis per aliud ostium recepit: tum apud utrosque fluxum alvi causatus, modo ad Saturninum, modo ad alteros alternis per domum accurrendo, animos ab utraque parte accendit et inter se commisit. (4) Verum enim vero senatoribus et Equitibus coitionem facientibus atque indignantibus,

καὶ ἀγαναχτούντων ἐξήνεγκεν εἰς ἀγορὰν τὰ ὅπλα καὶ καταδιωχθέντας αὐτοὺς εἰς τὸ Καπετώλιον εἷλε δίψει· τοὺς γὰρ ὀχετοὺς ἀπέκοψεν, οἱ δ' ἀπειπόντες ἐκεῖνον ἐκάλουν καὶ παρέδωκαν σφᾶς αὐτοὺς διὰ τῆς λεγομένης δημοσίας πίστεως. (5) Ἐπεὶ δὲ παντοῖος γενόμενος d ὑπὲρ τοῦ σῶσαι τοὺς ἄνδρας οὐδὲν ὤνησεν, ἀλλὰ κατιόντες εἰς ἀγορὰν ἀνῃρέθησαν, ἐκ τούτου τοῖς τε δυνατοῖς ἅμα καὶ τῷ δήμῳ προσκεχρουκὼς, τιμητείας παραπεσούσης, ἐπίδοξος ὢν οὐ μετῆλθεν, ἀλλ' εἴασεν ἑτέρους ὑποδεεστέρους αἱρεθῆναι, δεδιὼς ἀποτυχεῖν. Ἄλλως δὲ αὐτὸς ἐκαλλωπίζετο πολλοῖς μὴ θέλειν ἀπεχθάνεσθαι τοὺς βίους αὐτῶν καὶ τὰ ἤθη πικρῶς ἐξετάζων.

XXXI. Δόγματος δὲ εἰσφερομένου Μέτελλον ἀπὸ τῆς φυγῆς ἀνακαλεῖσθαι, πολλὰ καὶ διὰ λόγων καὶ δι' ἔργων μάτην ἐναντιωθεὶς τέλος ἀπεῖπε· καὶ δεξαμένου τὴν γνώμην τοῦ δήμου προθύμως, οὐχ ὑπομένων κα- c τερχόμενον ἐπιδεῖν τὸν Μέτελλον, ἐξέπλευσεν εἰς Καππαδοκίαν καὶ Γαλατίαν, λόγῳ μὲν ἀποδώσων ἃς εὔξατο τῇ μητρὶ τῶν θεῶν θυσίας, ἑτέραν δὲ τῆς ἀποδημίας ἔχων ὑπόθεσιν λανθάνουσαν τοὺς πολλούς. (2) Ἀφυὴς γὰρ ὢν πρὸς εἰρήνην καὶ ἀπολίτευτος, ἡὐξημένος δὲ τοῖς πολέμοις, εἶτα κατὰ μικρὸν αὖθις ὑπὸ ἀργίας καὶ ἡσυχίας ἀπομαραίνεσθαι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν οἰόμενος ἐζήτει καινῶν πραγμάτων ἀρχάς. (3) Ἤλπιζε γὰρ τοὺς βασιλεῖς συνταράξας καὶ Μιθριδάτην ἐπίδοξον ὄντα πολεμήσειν ἀναστήσας καὶ παροξύνας εὐθὺς ἐπ' αὐτὸν ἡγεμὼν αἱρεθή- f σεσθαι καὶ νέων μὲν τὴν πόλιν θριάμβων, σκύλων δὲ Ποντικῶν καὶ πλούτου βασιλικοῦ τὸν οἶκον ἐμπλήσειν. (4) Διὸ καὶ Μιθριδάτου πάσῃ χρησαμένου θεραπείᾳ καὶ τιμῇ πρὸς αὐτὸν οὐ καμφθεὶς οὐδὲ ὑπείξας, ἀλλ' εἰπὼν, « Ἢ μεῖζον, ὦ βασιλεῦ, πειρῶ δύνασθαι Ῥωμαίων, ἢ ποίει σιωπῇ τὸ προστασσόμενον, » ἐξέπληξεν αὐτὸν ὡς φωνῆς μὲν πολλάκις, παῤῥησίας δὲ τότε πρῶτον ἀκούσαντα Ῥωμαϊκῆς.

XXXII. Ἐπανελθὼν δὲ εἰς Ῥώμην οἰκίαν ἐδείματο τῆς ἀγορᾶς πλησίον, εἴτε, ὡς αὐτὸς ἔλεγε, τοὺς θερα- 424πεύοντας αὐτὸν ἐνοχλεῖσθαι μὴ βουλόμενος μακρὰν a βαδίζοντας, εἴτε τοῦτο αἴτιον οἰόμενος εἶναι τοῦ μὴ πλείονας ἄλλων ἐπὶ θύρας αὐτοῦ φοιτᾶν. (2) Τὸ δ' οὐκ ἦν ἄρα τοιοῦτον, ἀλλ' ὁμιλίας χάριτι καὶ πολιτικαῖς χρείαις ἑτέρων λειπόμενος ὥσπερ ὄργανον πολεμικὸν ἐπ' εἰρήνης παρημελεῖτο. (3) Καὶ τοῖς μὲν ἄλλοις ἧττον ἤχθετο παρευδοκιμούμενος, σφόδρα δὲ αὐτὸν ἠνία Σύλλας ἐκ τοῦ πρὸς ἐκεῖνον αὐξανόμενος φθόνου τῶν δυνατῶν καὶ τὰς πρὸς ἐκεῖνον διαφορὰς ἀρχὴν πολιτείας ποιούμενος. (4) Ἐπεὶ δὲ καὶ Βόκχος ὁ Νομὰς σύμμαχος Ῥωμαίων ἀναγεγραμμένος ἔστησεν ἐν Καπετωλίῳ Νίκας τροπαιοφόρους καὶ παρ' αὐταῖς ἐν εἰκόσι χρυσαῖς Ἰουγούρθαν ἐγχειριζόμενον ὑπ' αὐτοῦ Σύλλᾳ, b τοῦτ' ἐξέστησεν ὀργῇ καὶ φιλονεικίᾳ Μάριον, ὡς Σύλλα περισπῶντος εἰς ἑαυτὸν τὰ ἔργα, καὶ παρεσκευάζετο βίᾳ τὰ ἀναθήματα καταβάλλειν. (5) Ἀντεφιλο-

arma in forum protulit, seditiosos in Capitolium armis persecutus, siti ad deditionem compulit: nam incisis aquarum fistulis siti confecti, eum arcessiverunt et se ei publica fide data tradiderunt. (5) Frustra autem ipso pro eorum salute omnia experto, in forum digressi, trucidati sunt. Hoc factum præter offensas Patrum, plebis etiam odium ei conflavit. Itaque quum censores essent creandi putareturque ambiturus utique, petitione ea supersedit metu repulsæ, passusque est alios se inferiores creari: ipse quidem gloriatus est noluisse se vitam et mores severe examinando multorum animos offendere.

XXXI. Quum de reducendo Metello esset relatum, ut verbis et factis diu repugnando, nihil obtinuit; desperato tandem negotio, quum populus lubens legem eam juberet, revertentis ab exsulio Metelli aspectum non ferens, ante adventum ejus in Cappadociam et Galatiam navigavit: vota Matri Deûm sacra se perfecturum verbis prætendens, sed aliam plerisque ignotam suæ peregrinationis habens causam. (2) Quippe natura a pace et republica alienus, bellis evectus ad potentiam atque gloriam, quum paulatim otio ea marcescere judicaret, novarum actionum exordia quærebat. (3) Sperabat enim fore ut, si inter reges discordiam excitasset, Mithridate, a quo jam tum bellum exspectabatur, irritato et ad arma converso, dux ipse contra eum statim deligeretur, atque ita et novis urbem triumphis, et domum suam manubiis Ponticis divitiisque regiis posset explere. (4) Idcirco, quamvis a Mithridate omni studio coleretur summoque in honore haberetur, nihil tamen flexus, nihilque remittens eum aperte monuit, ut vel potentiam Romana majorem sibi pararet, vel eorum imperata tacitus exsequeretur; quæ quidem vox Mithridatem exterruit, sæpius Romanorum sermonem, tunc autem primum libertatem in dicendo Romanam expertum.

XXXII. Romam reversus Marius, domum propinquam foro ædificavit: seu, quod ipse ferebat, ne molestiam iis qui honoris causa ipsum deducere solebant, exhiberet, sive ratus esse ab hac causa, ut non plures limina ipsius quam aliorum virorum frequentarent. (2) Verum hoc non ita erat. Consuetudine enim familiari utilitatibusque urbanis inferior aliis, veluti bellicum instrumentum in pace negligebatur. (3) Æquiore animo alios sibi proponi tulit, sed odio potentium erga se, Syllam augeri et dissensione ab ipso aditum ad rempublicam sibi parare iniquissime ferebat. (4) Ut vero Bocchus Numida socius a Romanis appellatus, in Capitolio Victorias tropæa gestantes dedicavit, interque has imago fuit aurea Bocchi Jugurtham Syllæ tradentis, ira studioque contendendi percitus, quasi suorum factorum gloriam Sylla ad se traheret, dejicere vi ea donaria intendit. (5) Acriter quidem Sylla repugnavit, sed

νείκει δὲ Σύλλας, καὶ τὴν στάσιν ὅσον οὔπω φερομένην εἰς μέσον ἐπέσχεν ὁ συμμαχικὸς πόλεμος ἐξαίφνης ἐπὶ τὴν πόλιν ἀναῤῥαγείς. (6) Τὰ γὰρ μαχιμώτατα τῶν Ἰταλικῶν ἐθνῶν καὶ πολυανθρωπότατα κατὰ τῆς Ῥώμης συνέστησαν καὶ μικρὸν ἐδέησαν συγχέαι τὴν ἡγεμονίαν, οὐ μόνον ὅπλοις ἐῤῥωμένα καὶ σώμασιν, ἀλλὰ καὶ τόλμαις στρατηγῶν καὶ δεινότησι χρησάμενα θαυμασταῖς καὶ ἀντιπάλοις.

XXXIII. Οὗτος ὁ πόλεμος τοῖς πάθεσι ποικίλος γενόμενος καὶ ταῖς τύχαις πολυτροπώτατος ὅσον Σύλλᾳ προσέθηκε δόξης καὶ δυνάμεως, τοσοῦτον ἀφεῖλε Μαρίου. (2) Βραδὺς γὰρ ἐφάνη ταῖς ἐπιβολαῖς ὄκνου τε περὶ πάντα καὶ μελλήσεως ὑπόπλεως, εἴτε τοῦ γήρως τὸ δραστήριον ἐκεῖνο καὶ θερμὸν ἐν αὐτῷ κατασβεννύντος, ἑξηκοστὸν γὰρ ἤδη καὶ πέμπτον ἔτος ὑπερέβαλεν, εἴτε, ὡς αὐτὸς ἔλεγε, περὶ νεῦρα γεγονὼς νοσώδης καὶ σώματι δύσεργος ὢν ὑπέμενε παρὰ δύναμιν αἰσχύνῃ τὰς στρατείας. (3) Οὐ μὴν ἀλλὰ καὶ τότε μάχῃ τε μεγάλῃ νικήσας ἑξακισχιλίους ἀνεῖλε τῶν πολεμίων καὶ λαβὴν οὐδαμῇ παρέσχεν αὐτοῖς, ἀλλὰ καὶ περιφρενούμενος ἠνέσχετο καὶ χλευαζόμενος καὶ καλούμενος οὐ παρωξύνθη. (4) Λέγεται δὲ, Πομπαιδίου Σίλωνος, ὃς μέγιστον εἶχε τῶν πολεμίων ἀξίωμα καὶ δύναμιν, εἰπόντος πρὸς αὐτὸν, Εἰ μέγας εἶ στρατηγὸς, ὦ Μάριε, διαγώνισαι καταβάς, » ἀποκρίνασθαι, « Σὺ μὲν οὖν, εἰ μέγας εἶ στρατηγὸς, ἀνάγκασόν με διαγωνίσασθαι μὴ βουλόμενον. » (5) Πάλιν δέ ποτε, τῶν μὲν πολεμίων καιρὸν ἐπιχειρήσεως παραδιδόντων, τῶν δὲ Ῥωμαίων ἀποδειλιασάντων, ὡς ἀνεχώρησαν ἀμφότεροι, συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, « Ἀπορῶ, φησὶ, πότερον εἶπω τοὺς πολεμίους ἀνανδροτέρους ἢ ὑμᾶς· οὔτε γὰρ ἐκεῖνοι τὸν νῶτον ὑμῶν οὔτε ὑμεῖς ἐκείνων τὸ ἰνίον ἰδεῖν ἐδυνήθητε. » (6) Τέλος δὲ ἀφῆκε τὴν στρατηγίαν ὡς ἐξαδυνατῶν τῷ σώματι διὰ τὴν ἀσθένειαν.

XXXIV. Ἐπεὶ δὲ ἤδη τῶν Ἰταλικῶν ἐγκεκλικότων ἐμνηστεύοντο πολλοὶ τὸν Μιθριδατικὸν πόλεμον ἐν Ῥώμῃ διὰ τῶν δημαγωγῶν, παρὰ πᾶσαν ἐλπίδα Σουλπίκιος δήμαρχος, ἀνὴρ θρασύτατος, παραγαγὼν Μάριον ἀπεδείκνυεν ἀνθύπατον στρατηγὸν ἐπὶ Μιθριδάτην. (2) Καὶ ὁ δῆμος διέστη, τῶν μὲν αἱρουμένων τὰ Μαρίου, τῶν δὲ Σύλλαν καλούντων καὶ τὸν Μάριον ἐπὶ θερμὰ κελευόντων εἰς Βαΐας βαδίζειν καὶ τὸ σῶμα θεραπεύειν ὑπό τε γήρως καὶ ῥευμάτων ἀπειρηκὸς, ὡς αὐτὸς ἔλεγε. (3) Καὶ γὰρ ἦν ἐκεῖ περὶ Μισηνοὺς τῷ Μαρίῳ πολυτελὴς οἰκία τρυφὰς ἔχουσα καὶ διαίτας θηλυτέρας ἢ κατ' ἄνδρα πολέμων τοσούτων καὶ στρατειῶν αὐτουργόν. (4) Ταύτην λέγεται μυριάδων ἑπτὰ ἡμίσους Κορνηλία πρίασθαι· χρόνου δ' οὐ πάνυ πολλοῦ γενομένου Λεύκιος Λεύκολλος ὠνεῖται μυριάδων πεντήκοντα καὶ διακοσίων· οὕτως ταχέως ἀνέδραμεν ἡ πολυτέλεια καὶ τοσαύτην ἐπίδοσιν τὰ πράγματα πρὸς τρυφὴν ἔλαβεν. (5) Οὐ μὴν ἀλλὰ Μάριος φιλοτίμως πάνυ καὶ μειρακιωδῶς ἀποτριβόμενος τὸ γῆρας καὶ τὴν ἀσθένειαν, ὀσημέραι κατέβαινεν εἰς τὸ πεδίον καὶ μετὰ

quominus ea contentio plane erumperet, socialí bello, quod subito exarserat, impeditum est. (6) Nam bellicosissimæ et maximæ per Italiam gentes contra Romanos conspiraverant, ac non multum abfuit quin principatum populi Romani everterent : tantæ illis armorum atque corporum vires, tam admirabilis et adæquans Romanis ducum audacia bellique peritia.

XXXIII. Id bellum cladibus ac fortunæ vicissitudinibus admodum varium, quantum Syllæ gloriæ atque potentiæ attulit, tantum Mario ademit. (2) Segnis enim Marius in hostibus invadendis, planeque tarditate et cunctatione detineri videbatur : sive jam senectus vim istam efficacitatemque et fervorem exstinxerat (nam tum annum sexagesimum quintum excesserat), sive, ut ipse dixit, nervorum morbo afflictus corpore ad agendum minus habili, pudoris tamen causa ultra vires ducis munus obibat. (3) Et tamen hostibus magno tum prœlio victis cæsisque sex millibus, nullam iis sui lædendi ansam præbuit : quin et munitione ab iis circumventus restitit, irrisusque et provocatus, irritari se non est passus. (4) Ferunt eum Pompædio Siloni, cujus inter hostes summa erat auctoritas atque potestas, quum is ad eum dixisset, ut, si quidem magnus esset dux, in planitiem ad pugnam suos deduceret, respondisse : Imo tu, si præclarus es imperator, eo me compelle, ut invitus tecum confligam. (5) Alio tempore quum occasio hostes invadendi ab ipsis esset oblata, Romani autem præ metu rem gerere non ausi fuissent, ut utrimque est discessum, suis in concionem advocatis, dubitare se dixit, hostesne, an ipsi molliores fuissent : nam neque illos horum terga, neque hos illorum occipitia intueri ausos. (6) Ad extremum vero tanquam ob imbecillitatem corporis inutilis, militia se abdicavit.

XXXIV. At vero postquam rebus jam Italorum inclinatis, multi opera eorum, quorum sermonibus plebs regebatur, bellum Mithridaticum Romæ ambierunt; Sulpicius tribunus plebis, homo extremæ audaciæ, præter omnium opinionem Marium in concionem adduxit, rogationemque tulit, ut is pro consule bellum contra Mithridatem gereret. (2) Hic populus in diversas abiit partes, aliis Marium probantibus, aliis Syllam vocantibus, Mariumque ad Baias ire, corpusque senio et fluxibus, quod ipse aiebat, confectum ibi curare jubentibus. (3) Erat ibi apud Misenum Mario domus magnifica, sumptuosior atque delicatior, quam quæ conveniret viro, qui tot bella totque expeditiones fecerat. (4) Hanc quum emeret Cornelia, septuaginta quinque millia drachmarum persolvisse traditur : non multo post L. Lucullus decies ducena et quinquagena millia denariorum pro eadem expendit : adeo brevi spatio sumptus excrevit et luxus auctus est. (5) Enimvero Marius arroganter admodum atque inepte senectutem et imbecillitatem amoliens, quotidie in Campum descendere, inter juvenes exerceri,

τῶν νεανίσκων γυμναζόμενος ἐπεδείκνυε τὸ σῶμα κοῦφον μὲν ὅπλοις, ἔποχον δὲ ταῖς ἱππασίαις, καίπερ οὐκ εὐσταλὴς γεγονὼς ἐν γήρᾳ τὸν ὄγκον, ἀλλ' εἰς σάρκα περιπληθῆ καὶ βαρεῖαν ἐνδεδωκώς. (6) Ἐνίοις μὲν οὖν ἥρεσκε ταῦτα πράττων καὶ κατιόντες ἐθεῶντο τὴν φιλοτιμίαν αὐτοῦ καὶ τὰς ἁμίλλας, τοῖς δὲ βελτίστοις b δρῶσιν οἰκτείρειν ἐπῆει τὴν πλεονεξίαν καὶ τὴν φιλοδοξίαν, ὅτι πλουσιώτατος ἐκ πένητος καὶ μέγιστος ἐκ μικροῦ γεγονὼς ὄρον οὐκ οἶδεν εὐτυχίας οὐδὲ θαυμαζόμενος ἀγαπᾷ καὶ ἀπολαύων ἐν ἡσυχίᾳ τῶν παρόντων, ἀλλ' ὥσπερ ἐνδεὴς ἁπάντων εἰς Καππαδοκίαν καὶ τὸν Εὔξεινον Πόντον ἄρας ἐκ θριάμβων καὶ δόξης ἐκφέρει τοσοῦτον γῆρας Ἀρχελάῳ καὶ Νεοπτολέμῳ τοῖς Μιθριδάτου σατράπαις διαμαχούμενος. (7) Αἱ δὲ πρὸς ταῦτα τοῦ Μαρίου δικαιολογίαι παντάπασιν ἐφαίνοντο ληρώδεις· ἔφη γὰρ ἐθέλειν τὸν υἱὸν ἀσκῆσαι παρὼν αὐτὸς ἐπὶ στρατείας.

XXXV. Ταῦτα τὴν πόλιν ἐκ πολλῶν χρόνων ὕπουλον γεγενημένην καὶ νοσοῦσαν ἀνέῤῥηξεν, εὐφυέστατον εὑρόντος ὄργανον Μαρίου πρὸς τὸν κοινὸν ὄλεθρον τὸ Σουλπικίου θράσος, ὃς διὰ τἆλλα πάντα θαυμάζων καὶ ζηλῶν τὸν Σατορνῖνον ἀτολμίαν ἐπεκάλει τοῖς πολιτεύμασιν αὐτοῦ καὶ μέλλησιν. (2) Αὐτὸς δὲ μὴ μέλλων ἑξακοσίους μὲν εἶχε περὶ αὑτὸν τῶν ἱππικῶν οἷον δορυφόρους καὶ τούτους ἀντισύγκλητον ὠνόμαζεν, ἐπελθὼν δὲ μεθ' ὅπλων ἐκκλησιάζουσι τοῖς ὑπάτοις, τοῦ μὲν ἑτέρου φυγόντος ἐξ ἀγορᾶς τὸν υἱὸν ἐγκαταλαβὼν ἀπέσφαξε, Σύλλας δὲ παρὰ τὴν οἰκίαν τοῦ Μαρίου διωκόμενος, οὐδενὸς ἂν προσδοκήσαντος, εἰσέπεσε καὶ τοὺς d μὲν διώκοντας ἔλαθε δρόμῳ παρενεχθέντας, ὑπ' αὐτοῦ δὲ Μαρίου λέγεται κατὰ θύρας ἑτέρας ἀσφαλῶς ἀποπεμφθεὶς διεκπεσεῖν εἰς τὸ στρατόπεδον. (3) Αὐτὸς δὲ Σύλλας ἐν τοῖς ὑπομνήμασιν οὐ φησι καταφυγεῖν πρὸς τὸν Μάριον, ἀλλ' ἀπαχθῆναι βουλευσόμενος ὑπὲρ ὧν Σουλπίκιος ἠνάγκαζεν αὐτὸν ἄκοντα ψηφίσασθαι περισχὼν ἐν κύκλῳ ξίφεσι γυμνοῖς καὶ συνελάσας πρὸς τὸν Μάριον, ἄχρι οὗ προελθὼν ἐκεῖθεν εἰς ἀγορὰν, ὡς ἠξίουν ἐκεῖνοι, τὰς ἀπραξίας ἔλυσε. (4) Γενομένων δὲ e τούτων ὅ τε Σουλπίκιος ἤδη κρατῶν ἐπεχειροτόνησε τῷ Μαρίῳ τὴν στρατηγίαν, ὅ τε Μάριος ἐν παρασκευῇ τῆς ἐξόδου καθειστήκει καὶ δύο χιλιάρχους ἐξέπεμψε παραληψομένους τὸ Σύλλα στράτευμα. (5) Σύλλας δὲ τοὺς στρατιώτας παροξύνας (ἦσαν δὲ τρισμυρίων καὶ πεντακισχιλίων οὐ μείους ὁπλῖται) προήγαγεν ἐπὶ τὴν Ῥώμην. Τοὺς δὲ χιλιάρχους, οὓς ἐπέπεμψε Μάριος, προσπεσόντες οἱ στρατιῶται διέφθειραν. (6) Πολλοὺς δὲ καὶ Μάριος ἐν Ῥώμῃ τῶν Σύλλα φίλων ἀνῃρήκει καὶ δούλοις ἐλευθερίαν ἐκήρυττεν ἐπὶ συμμαχίᾳ· λέγονται δὲ τρεῖς μόνοι προσγενέσθαι. Μικρὰ δ' ἀντιστὰς f εἰσελάσαντι τῷ Σύλλᾳ καὶ ταχέως ἐκβιασθεὶς ἔφυγε. (7) Τῶν δὲ περὶ αὐτὸν, ὡς πρῶτον ἐξέπεσε τῆς πόλεως, διασπαρέντων, σκότους ὄντος εἴς τι τῶν ἐπαυλίων αὐτοῦ Σολώνιον κατέφυγε. (8) Καὶ τὸν μὲν υἱὸν ἔπεμψεν ἐκ τῶν Μουκίου τοῦ πενθεροῦ χωρίων οὐ μακρὰν

corpus armis fractandis agile et ad equitationem habile ostentare; quanquam in senio nequaquam expeditus, sed obesus plane gravique corpore fuerit. (6) Quibusdam hæc ejus facta placebant, spectatoresque ejus se exercitationibus atque contentionibus præbebant. At optimis quibusque ista videntibus, miserari subibat hominis avaritiam atque ambitionem: qui ad summas divitias et dignationem maximam de loco abjecto evectus, finem felicitatis nullum cognosceret: neque contentus in admiratione esse ac per otium suis bonis frui, tanquam omnium rerum indigens extrema ætate post tantos triumphos tantamque gloriam in Cappadociam et Euxinum Pontum abiret, ut cum Archelao et Neoptolemo Mithridatis præfectis decertaret. (7) Ineptum enim omnino videbatur, quo ipse se defendebat, velle se præsente ipso filium in bello exerceri.

XXXV. Hæ demum contentiones civitatem, occultis dissidiis affectam atque seditionibus agitatam, diruperunt, quum ad communem perniciem aptissimum esset nactus instrumentum Sulpicianam audaciam Marius. Etenim Sulpicius cetera Saturnini laudans atque imitans, timiditatem in eo tantum et cunctationem reprehendebat. (2) Ipse nihil cunctatus equestris ordinis sexcentos viros satellitii loco secum habebat, Contrasenatum nominans: his stipatus armata manu in consules concionem habentes invasit, et alterius, qui se e foro subduxerat, filium ibi trucidavit: Sylla, ipse tunc consul, præter domum Marii fugiens instantibus inimicis, in eam, quod facturum nemo putasset, irrupit; cursuque prætervectis illis, ita ut quo se proripuisset non animadverterent, ab ipso Mario per aliam januam tuto dimissus, ad exercitum eo modo pervenisse perhibetur. (3) At ipse Sylla in Commentariis, se non confugisse ad Marium, sed quum de iis deliberaret, quæ eum Sulpicius gladiis strictis circumdatum præter animi sententiam uti probaret urgebat, eo modo de foro ad Marium usque compulsum fuisse, tandemque inde in forum rediisse, et quod illi postulabant, justitium sustulisse. (4) Porro autem his ita actis Sulpicius victor jam Mario imperium decernit, isque se ad expeditionem parans, duos tribunos militum mittit, qui Syllæ exercitum reciperent. (5) Erant in eo exercitu triginta et quinque legionariorum millibus haud pauciores; horum contra Marium irritavit animos Sylla, cumque iis ad Romam duxit, occisis jam ante militum impetu iis, quos miserat Marius, tribunis. (6) Marius quoque, multis Syllæ amicis in urbe trucidatis, servos proposita libertatis mercede ad arma vocavit (tres tantum ei se adjunxisse ferunt), Syllæ in urbem irrumpenti leviter restitit, mox pulsus aufugit. (7) Dissipatis (jam enim tenebræ obortæ erant) iis qui eum erant secuti pulsum, in prædium quoddam suum Solonium confugit. (8) Filio inde emisso, ut is de propinquis Mucii soceri sui prædiis com-

ὄντων τὰ ἐπιτήδεια ληψόμενον, αὐτὸς δὲ καταβὰς εἰς Ὥστίαν, φίλου τινὸς Νουμερίου πλοῖον αὐτῷ παρασκευάσαντος, οὐκ ἀναμείνας τὸν υἱὸν, ἀλλὰ Γράνιον ἔχων
426μεθ' αὑτοῦ τὸν πρόγονον ἐξέπλευσεν. (9) Ὁ δὲ νεα- a
νίας, ὡς ἦλθεν εἰς τὰ χωρία τοῦ Μουκίου, λαμβάνων τι καὶ σκευαζόμενος ἡμέρας καταλαβούσης οὐ παντάπασι τοὺς πολεμίους διέλαθεν, ἀλλ' ἦλθον ἱππεῖς ἐλαύνοντες καθ' ὑπόνοιαν ἐπὶ τὸν τόπον· οὓς ὁ τῶν ἀγρῶν ἐπιμελητὴς προϊδόμενος ἔκρυψε τὸν Μάριον ἐν ἁμάξῃ κυάμους ἀγούσῃ καὶ βοῦς ὑποζεύξας ἀπήντα τοῖς ἱππεῦσιν εἰς πόλιν ἐλαύνων τὴν ἅμαξαν. (10) Οὕτω δὲ πρὸς τὴν οἰκίαν τῆς γυναικὸς ὁ Μάριος διακομισθεὶς καὶ λαβὼν ὅσων ἐδεῖτο νυκτὸς ἐπὶ θάλασσαν ἦκε καὶ νεὼς ἐπιβὰς εἰς Λιβύην πλεούσης ἀπεπέρασεν.

XXXVI. Ὁ δὲ πρεσβύτης Μάριος, ὡς ἀνήχθη, πνεύματι φορῷ κομιζόμενος παρὰ τὴν Ἰταλίαν ἐφο- b
βήθη Γεμίνιόν τινα τῶν ἐν Ταρρακίνῃ δυνατῶν ἐχθρὸν αὐτοῦ καὶ τοῖς ναύταις προεῖπεν εἴργεσθαι Ταρρακίνης. (2) Οἱ δὲ ἐβούλοντο μὲν αὐτῷ χαρίζεσθαι, τοῦ δὲ πνεύματος εἰς πελάγιον μεθισταμένου καὶ κλύδωνα κατάγοντος πολὺν οὔτε τὸ πορθμεῖον ἐδόκει περικλυζόμενον ἀνθέξειν, τοῦ τε Μαρίου δυσφοροῦντος καὶ κακῶς ἔχοντος ὑπὸ ναυτίας μόλις ἀντιλαμβάνονται τῶν περὶ τὸ Κίρκαιον αἰγιαλῶν. (3) Τοῦ δὲ χειμῶνος αὐξανομένου καὶ τῶν σιτίων ἐπιλειπόντων, ἐκβάντες ἐπλάζοντο πρὸς οὐδένα σκοπὸν, ἀλλ', οἷα συμβαίνει ταῖς μεγάλαις ἀπορίαις, ἀεὶ φεύγειν ἐκ τοῦ παρόντος ὡς χαλεπωτάτου c
καὶ τὰς ἐλπίδας ἔχειν ἐν τοῖς ἀδήλοις· ἐπεὶ πολέμια μὲν ἐκείνοις ἡ γῆ, πολεμία δὲ ἡ θάλασσα, φοβερὸν δὲ ἦν ἀνθρώποις περιπεσεῖν, φοβερὸν δὲ μὴ περιπεσεῖν δι' ἔνδειαν τῶν ἀναγκαίων. (4) Οὐ μὴν ἀλλ' ὀψέ που βοτῆρσιν ὀλίγοις ἐντυγχάνουσιν, οἳ δοῦναι μὲν οὐδὲν ἔσχον αὐτοῖς δεομένοις, γνωρίσαντες δὲ τὸν Μάριον ἐκέλευον ἀπαλλάττεσθαι τὴν ταχίστην· ὀλίγον γὰρ ἔμπροσθεν αὐτόθι κατὰ ζήτησιν αὐτοῦ συχνοὺς ἱππέας ὀφθῆναι διεξελαύνοντας. (5) Ἐν παντὶ δὴ γεγονὼς ἀπορίας, μάλιστα δὲ νηστείᾳ τῶν περὶ αὐτὸν ἀπαγορευόντων, τότε μὲν ἐκτραπόμενος τῆς ὁδοῦ καὶ καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν ἐπιπόνως διενυκτέ- d
ρευσε. (6) Τῇ δ' ὑστεραίᾳ συνηγμένος ὑπ' ἐνδείας καὶ τῷ σώματι, πρὶν ἐκλελύσθαι παντάπασι, χρήσασθαι βουλόμενος ἐχώρει παρὰ τὸν αἰγιαλὸν ἐπιθαρσύνων τοὺς ἑπομένους καὶ δεόμενος μὴ προαποκάμνειν τῆς τελευταίας ἐλπίδος, ἐφ' ἣν ἑαυτὸν φυλάττει μαντεύμασι παλαιοῖς πιστεύων. (7) Νέος γὰρ ὢν ἔτι παντελῶς καὶ διατρίβων κατ' ἀγρὸν ὑποδέξασθαι τῷ ἱματίῳ καταφερομένην ἀετοῦ νεοττιὰν ἑπτὰ νεοττοὺς ἔχουσαν· ἰδόντας δὲ τοὺς γονεῖς καὶ θαυμάσαντας διαπυθάνεσθαι τῶν μάντεων, τοὺς δὲ εἰπεῖν, ὡς ἐπιφανέστατος ἀνθρώ- e
πων ἔσοιτο καὶ τὴν μεγίστην ἡγεμονίαν καὶ ἀρχὴν ἑπτάκις αὐτὸν λαβεῖν ἀναγκαῖον εἴη. (8) Ταῦτα οἱ μὲν ἀληθῶς τῷ Μαρίῳ συντυχεῖν οὕτω λέγουσιν· οἱ δὲ τούτους τότε καὶ παρὰ τὴν ἄλλην φυγὴν ἀκούσαντας αὐτοῦ καὶ πιστεύσαντας ἀναγράψαι πρᾶγμα κομιδῇ

meatum pararet, ad Ostiam descendit: operaque Numerii cujusdam amici sui naviculam nactus, non exspectato filii reditu, cum Granio privigno suo avectus est. (9) Marius junior quum in Mucianam villam venisset, et aliquid rerum necessariarum accepisset atque apparasset, orta luce hostes non plane fefellit, sed quidam suspicione ducti equites eo advenerunt. Villicus autem quum id prævidisset, Marium in curru fabis onerato abscondit, bobusque currui junctis, equitibus obviam ad urbem vexit. (10) Sic Marius in domum uxoris perlatus, sumptis quæ opus erant, noctu ad mare progressus, nactusque navim quæ Africam peteret, in eam trajecit.

XXXVI. Interim senior Marius secundo vento Italiæ oram legens, Geminium quendam, unum ex potentibus Tarracinæ, inimicum suum metuens, prædixerat nautis, ut Tarracinam vitarent. (2) Qui etsi obsequi cupiebant, tamen quum ventus a mari incubuisset, multique fluctus urgerent, ita ut et navis periclitaretur et Marius nauseam et jactationem vix perferret, ægre ad litus juxta Circeios appulerunt. (3) Augescente porro tempestate et cibariis deficientibus, navicula egressi nullo certo consilio vagabantur et, quod magnis fieri solet in difficultatibus, semper præsentia, tanquam maxime periculosa, fugientes, in incognitis spem collocabant: quum et terra hostilis esset et mare, periculosum in homines incidere, atque rursus periculosum ob rerum necessariarum inopiam, non pervenire ad homines. (4) Sero tandem paucos pastores quosdam offenderunt, qui, quod darent quidem petentibus, nihil habebant; Marium autem agnitum fugere quamprimum jubebant: etenim paulo ante ibidem equites, qui ipsum indagarent, plurimos visos fuisse. (5) Ita in extremum discrimen adductus Marius, maxime comitibus ob famem animos despondentibus, ab itinere digressus in densam silvam se eo die recepit misereque ibi pernoctavit. (6) Postridie victus penuria, corporeque utendum, priusquam plane conficeretur, statuens, juxta litus processit, verbis suorum animos confirmans, rogansque ne in ultima spe, ad quam servari sese antiquis divinationibus crederet, fatigati deficerent. (7) Sese tenera admodum ætate, quum in agro esset, nidum aquilæ cum septem pullis delapsum veste sua excepisse; id quum parentes ejus vidissent, superque eo miraculo conjectores consuluissent, responsum fuisse, fore ipsum hominum illustrissimum, fatoque septies ad eum summum magistratum atque imperium delatum iri. (8) Quidam vere hoc evenisse Mario affirmant: alii rem eam plane fabulosam ab iis qui tunc et per reliquam fugam hæc ex ipso au-

μυθῶδες. (9) Ἀετὸς γὰρ οὐ τίκτει πλείονα τοῖν δυεῖν, ἀλλὰ καὶ Μουσαῖον ἐψεῦσθαι λέγουσιν εἰπόντα περὶ τοῦ ἀετοῦ, ὡς

τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλυβάζει.

(10) Τὸ μέντοι πολλάκις ἐν τῇ φυγῇ καὶ ταῖς ἐσχάταις ἀπορίαις Μάριον εἰπεῖν, ὡς ἄχρι ἑβδόμης ὑπατείας πρόεισιν, ὁμολογούμενόν ἐστιν.

XXXVII. Ἤδη δὲ Μιντούρνης, πόλεως Ἰταλικῆς, ὅσον εἴκοσι σταδίων ἀπέχοντες ὁρῶσιν ἱππέων ὅλην πρόσωθεν ἐλαύνοντας ἐπ' αὐτοὺς καὶ κατὰ τύχην ὁλκάδας δύο φερομένας. Ὡς οὖν ἕκαστος ποδῶν εἶχε καὶ ῥώμης καταδραμόντες ἐπὶ τὴν θάλασσαν καὶ καταβαλόντες ἑαυτοὺς προσενήχοντο ταῖς ναυσί. (2) Καὶ λαβόμενοι τῆς ἑτέρας οἱ περὶ τὸν Γράνιον ἀπεπέρασαν εἰς τὴν ἀντικρὺς νῆσον· Αἰναρία καλεῖται· αὐτὸν δὲ Μάριον 427 βαρὺν ὄντα τῷ σώματι καὶ δυσμεταχείριστον οἰκέται a δύο μόλις καὶ χαλεπῶς ὑπὲρ τῆς θαλάττης ἐξάραντες εἰς τὴν ἑτέραν ἔθεντο ναῦν, ἤδη τῶν ἱππέων ἐφεστώτων καὶ διακελευομένων ἀπὸ γῆς τοῖς ναύταις κατάγειν τὸ πλοῖον ἢ τὸν Μάριον ἐκβαλόντας αὐτοὺς ἀποπλεῖν ὅπῃ χρήζοιεν. (3) Ἱκετεύοντος δὲ τοῦ Μαρίου καὶ δακρύοντος οἱ κύριοι τῆς ὁλκάδος ὡς ἐν ὀλίγῳ πολλὰς ἐπ' ἀμφότερα τῆς γνώμης τροπὰς λαβόντες ὅμως ἀπεκρίναντο τοῖς ἱππεῦσι μὴ προέσθαι τὸν Μάριον. (4) Ἐκείνων δὲ πρὸς ὀργὴν ἀπελασάντων, αὖθις ἑτέρων γενόμενοι λογισμῶν κατεφέροντο πρὸς τὴν γῆν· καὶ περὶ τὰς ἐκβολὰς τοῦ Λίριος ποταμοῦ διάχυσιν λιμνώδη λαμβάνοντος ἀγκύρας b βαλόμενοι παρεκάλουν αὐτὸν ἐκβῆναι καὶ τροφὴν ἐπὶ γῆς λαβεῖν καὶ τὸ σῶμα θεραπεῦσαι κεκακωμένον, ἄχρι οὗ φορὰ γένηται· γίγνεσθαι δὲ, τὴν εἰωθυῖαν ὥραν τοῦ πελαγίου μαραινομένου καὶ τῶν ἑλῶν αὔραν ἀναδιδόντων ἐπιεικῶς διαρκῆ. (5) Ταῦτα πεισθεὶς ὁ Μάριος ἔπραττε· καὶ τῶν ναυτῶν ἐξελομένων αὐτὸν ἐπὶ τὴν γῆν κατακλινεὶς ἔν τινι πόᾳ πορρωτάτω τοῦ μέλλοντος εἶχε τὴν διάνοιαν. Οἱ δ' εὐθὺς ἐπιβάντες ἐπὶ τὴν ναῦν καὶ τὰς ἀγκύρας ἀναλαβόντες ἔφευγον, ὡς οὔτε καλὸν ἐκδοῦναι τὸν Μάριον αὐτοῖς οὔτε σώζειν ἀσφαλές. (6) Οὕτω δὴ πάντων ἔρημος ἀπολειφθεὶς πολὺν μὲν χρόνον c ἄναυδος ἐπὶ τῆς ἀκτῆς ἔκειτο, μόλις δέ πως ἀναλαβὼν ἑαυτὸν ἐπορεύετο ταλαιπώρως ἀνοδίαις· καὶ διεξελθὼν ἕλη βαθέα καὶ τάφρους ὕδατος καὶ πηλοῦ γεμούσας, ἐπιτυγχάνει καλύβῃ λιμνουργοῦ γέροντος, ὃν περιπεσὼν ἱκέτευε γενέσθαι σωτῆρα καὶ βοηθὸν ἀνδρὸς, εἰ διαφύγοι τὰ παρόντα, μείζονας ἐλπίδων ἀμοιβὰς ἀποδώσοντος. (7) Ὁ δὲ ἄνθρωπος εἴτε πάλαι γινώσκων εἴτε πρὸς τὴν ὄψιν ὡς κρείττονα θαυμάσας ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ τὸ σκηνύδριον ἐξαρκεῖν, εἰ δέ τινας ὑποφεύγων πλάζοιτο, κρύψειν αὐτὸν ἐν τόπῳ μᾶλλον ἡσυχίαν ἔχοντι. (8) Τοῦ δὲ Μαρίου δεηθέντος οὕτω ποιεῖν, d ἀγαγὼν αὐτὸν εἰς τὸ ἕλος καὶ πτῆξαι κελεύσας ἐν χωρίῳ κοίλῳ παρὰ τὸν ποταμὸν ἐπέβαλε τῶν τε καλάμων πολλοὺς καὶ τῆς ἄλλης ἐπιφέρων ὕλης ὅση κούφη καὶ περιπεσεῖν ἀβλαβῶς δυναμένη.

dita credidissent, perscriptam asserunt. (9) Non enim duobus pullis plures aquilam parere, sed et Musæum mentitum fuisse, quum de aquila ita scriberet,

Ova parit tria, et excludit duo, nutrit at unum.

(10) Id sane in confesso est, Marium in fuga et extremis difficultatibus sæpe dixisse consulatum sibi septimum esse fatalem.

XXXVII. Quum jam a Minturnis, oppido Italiæ, ad viginti stadia abessent, turmam equitum conspiciunt a longinquo adversum se venientium, simulque forte fortuna duas onerarias naves prope litus. Itaque statim, quantum cursu quilibet et viribus poterat contendere, ad mare accurrerunt, in id insiluerunt, et ad naves adnataverunt. (2) Granius alteram arripuit, inque insulam oppositam (Ænariæ nomen est) trajecit: in alteram Marium corpore onustum ægre duo servi super mare elevatum portantes imposuerunt, quum jam in litore adessent equites, nautisque mandarent, ut aut subducerent navim, aut Mario ejecto irent quo vellent. (3) Contra Mario supplicante et flente, navis domini, quum parvo temporis spatio in utramque partem varie inclinassent animis, tamen responderunt equitibus se Marium non prodituros. (4) Inde, quum equites jam irati abiissent, mutata sententia terræ navim applicuerunt, et ad ostia Liris fluvii, qua is paludis in modum se effundit, ancoris jactis, Marium ut egrederetur in terram, atque inde cibum quæreret, corpusque male afflictum reficeret, dum ventus secundus spiraret, hortati sunt: fore autem tempus navigationi idoneum, ubi primum ventus a mari flans elanguisset, paludesque auram satis copiosam ederent. (5) His persuasus Marius et a nautis expositus in terram, in herba sese reclinavit, quam longissime ab eo, quod eventurum erat, cogitationibus abductis. Nautæ vero, statim ad navim reversi, evulsis ancoris fugerunt, neque prodere honeste Marium neque sine periculo suo servare eum se posse rati. (6) Hoc pacto Marius solus et omnium nudus, ut se destitutum vidit, aliquamdiu mutus in littore jacuit: vix tandem se collegit misereque per invia progressus, perque paludes profundas et fossas aqua cœnoque oppletas, ad tugurium senis, qui lacus foderet, perrexit. Ab hoc supplex petiit, uti se, hominem qui, si præsentia pericula evitasset, longe omni spe ampliorem gratiam esset relaturus, servaret atque adjuvaret. (7) Ille seu Marium jam olim nosset, sive quod ab ipso aspectu tanquam præstantem virum admiraretur, respondit: si requiescere cuperet, casulam ei id præstituram; sin alios fugiens erraret, quietiori in loco se eum abditurum. (8) Marium id petentem, ad paludes abduxit, inque cavernam prope fluvium subire jussit, atque calamis desuper et alia levi materia, quæ illapsa nihil damni afferret, ingesta operuit.

XXXVIII. Χρόνου δὲ οὐ πολλοῦ διαγενομένου ψόφος αὐτῷ καὶ θόρυβος ἀπὸ τῆς καλύβης προσέπεσεν. Ὁ γὰρ Γεμίνιος ἐκ Ταρρακίνης ἔπεμψε πολλοὺς ἐπὶ τὴν δίωξιν, ὧν ἔνιοι κατὰ τύχην ἐκεῖ προσελθόντες ἐξεφόβουν καὶ κατεβόων τοῦ γέροντος ὡς ὑποδεδεγμένου καὶ κατακρύβοντος πολέμιον Ῥωμαίων. (2) Ἐξαναστὰς οὖν ὁ Μάριος καὶ ἀποδυσάμενος καθῆκεν ἑαυτὸν εἰς τὴν λίμνην ὕδωρ παχὺ καὶ τελματῶδες ἔχουσαν. Ὅθεν οὐ διέλαθε τοὺς ζητοῦντας, ἀλλ' ἀνασπασθεὶς βορβόρου κατάπλεως γυμνὸς εἰς Μιντούρνας ἀνήχθη καὶ παρεδόθη τοῖς ἄρχουσιν. (3) Ἦν γὰρ εἰς ἅπασαν ἤδη πόλιν ἐξενηνεγμένον παράγγελμα περὶ τοῦ Μαρίου δημοσίᾳ διώκειν καὶ κτείνειν τοὺς λαβόντας. Ὅμως δὲ βουλεύσασθαι πρότερον ἐδόκει τοῖς ἄρχουσι· καὶ κατατίθενται τὸν Μάριον εἰς οἰκίαν Φαννίας γυναικὸς οὐκ εὐμενῶς δοκούσης ἔχειν πρὸς αὐτὸν ἐξ αἰτίας παλαιᾶς. (4) Ἦν γὰρ ἀνὴρ τῇ Φαννίᾳ Τίννιος· τούτου διαστᾶσα τὴν φερνὴν ἀπῄτει λαμπρὰν οὖσαν. Ὁ δὲ μοιχείαν ἐνεκάλει· καὶ γίνεται Μάριος ὑπατεύων τὸ ἕκτον διαστής. (5) Ἐπεὶ δὲ τῆς δίκης λεγομένης ἐφαίνετο καὶ τὴν Φαννίαν ἀκόλαστον γεγονέναι καὶ τὸν ἄνδρα τοιαύτην εἰδότα λαβεῖν καὶ συμβιῶσαι πολὺν χρόνον, ἀμφοτέρους δυσχεράνας τὸν μὲν ἄνδρα τὴν φερνὴν ἐκέλευσεν ἀποδοῦναι, τῆς δὲ γυναικὸς ἀτιμίας ἕνεκα τῇ καταδίκῃ χαλκοῦς τέσσαρας προσετίμησεν. (6) Οὐ μὴν ἥ γε Φαννία τότε πάθος γυναικὸς ἠδικημένης ἔλαβεν, ἀλλ' ὡς εἶδε τὸν Μάριον, πορρωτάτω γενομένη τοῦ μνησικακεῖν ἐκ τῶν παρόντων ἐπεμελεῖτο καὶ παρεθάρρυνεν αὐτόν. (7) Ὁ δὲ κἀκείνην ἐπῄνει καὶ θαρρεῖν ἔφασκε· σημεῖον γὰρ αὐτῷ γεγονέναι χρηστόν. Ἦν δὲ τοιοῦτον. Ὡς ἀγόμενος πρὸς τῇ οἰκίᾳ τῆς Φαννίας ἐγεγόνει, τῶν θυρῶν ἀνοιχθεισῶν ὄνος ἐνδοθεν ἐχώρει δρόμῳ πιόμενος ἀπὸ κρήνης ἐγγὺς ἀπορρέούσης· προσβλέψας δὲ τῷ Μαρίῳ λαμυρόν τι καὶ γεγηθὸς ἔστη πρῶτον ἐναντίον, εἶτα φωνὴν ἀφῆκε λαμπρὰν καὶ παρεσκίρτησε παρ' αὐτὸν ὑπὸ γαυρότητος. (8) Ἐξ οὗ συμβαλὼν ὁ Μάριος ἔφασκεν, ὡς διὰ θαλάσσης αὐτῷ μᾶλλον ἢ διὰ γῆς ὑποδείκνυσι σωτηρίαν τὸ δαιμόνιον· τὸν γὰρ ὄνον οὐ προσέχοντα τῇ ξηρᾷ τροφῇ πρὸς τὸ ὕδωρ ἀπ' αὐτοῦ τραπέσθαι. (9) Ταῦτα διαλεχθεὶς τῇ Φαννίᾳ καθ' αὐτὸν ἀνεπαύετο τὴν θύραν τοῦ δωματίου προσθεῖναι κελεύσας.

XXXIX. Βουλευομένοις δὲ τοῖς ἄρχουσι καὶ συνέδροις τῶν Μιντουρνησίων ἔδοξε μὴ μέλλειν, ἀλλὰ διαχρήσασθαι τὸν ἄνδρα. (2) Καὶ τῶν μὲν πολιτῶν οὐδεὶς ὑπέστη τὸ ἔργον, ἱππεὺς δὲ Γαλάτης τὸ γένος ἢ Κίμβρος (ἀμφοτέρως γὰρ ἱστορεῖται) λαβὼν ξίφος ἐπεισῆλθεν αὐτῷ. Τοῦ δὲ οἰκήματος ἐν ᾧ ἔτυχε μέρει κατακείμενος οὐ πάνυ λαμπρὸν φῶς ἔχοντος, ἀλλ' ὄντος ἐπισκίου, λέγεται τὰ μὲν ὄμματα τοῦ Μαρίου φλόγα πολλὴν ἐκβάλλοντα τῷ στρατιώτῃ φανῆναι, φωνὴν δὲ μεγάλην ἐκ τοῦ παλισκίου γενέσθαι· « Σὺ δὴ τολμᾷς, ἄνθρωπε, Γάϊον Μάριον ἀνελεῖν; » (3) Ἐξῆλθεν οὖν εὐθὺς ὁ βάρβαρος φυγῇ καὶ τὸ ξίφος ἐν μέσῳ καταβαλὼν

XXXVIII. Non ita multo post a tugurio strepitus et tumultus ad Marium pervenit. Nam Geminius a Tarracina multos emiserat, qui eum persequerentur: horum quidam ad tugurium illud casu delati, senem terrebant, hostem populi Romani ab eo receptum occultari vociferantes. (2) Marius ex caverna prorepens, in paludem sese immisit aquæ turbidæ et cœnosæ: itaque non latuit indagantes, sed ab iis ut erat nudus et cœno oppletus, abreptus, Minturnas abductus est et traditus magistratibus. (3) Jam enim toti ibi civitati mandatum erat, ut Marium publice persequerentur inventumque necarent. Tamen consultare prius ea de re cum magistratibus visum est, et Marium in domum Fanniæ custodiendum tradiderunt, quam Mario infensam esse antiqua de causa judicabant. (4) Nam a Tinnio marito suo repudiata quum dotem, quam satis amplam attulisset, reposceret, ille adulterium objiceret: ad Marium, sextum eo tempore consulatum gerentem, causæ cognitio delata fuerat. (5) Is, quum causis peroratis appareret Fanniam pudicitiæ parum fuisse temperantem, Tinnium vero cum id cognitum haberet, duxisse tamen eam inque matrimonio diu habuisse: utrisque succensens, virum dotem reddere jusserat, Fanniæ litem ignominiæ causa quattuor insuper æreis æstimaverat. (6) Verum Fannia nequaquam mulieris injuria affectæ animum tunc gessit, sed conspecto Mario, a memoria offensarum longissime sese abducens, quantum potuit, eum curavit atque confirmavit. (7) Ipse eam laudavit vicissim, bonoque esse animo jussit: bonum enim sibi omen oblatum. Id fuit hujusmodi. Quum ad domum Fanniæ adduceretur, foribus jam apertis, asinus foras ex ædibus cursu se proripuit, ut e fonte propinquo biberet: intuitusque Marium hilari vultu, primum e regione astitit, deinde vocem claram edidit atque gestiens juxta Marium saltavit. (8) Ex eo se conjecisse Marius dicebat, a mari potius quam a terra salutem sibi divinitus portendi: asinum enim sicco cibo non contentum, ab ipso ad aquam procurrisse. (9) Hæc tum cum Fannia locutus, januam domus operiri jussit, et sese quieti dedit.

XXXIX. Interim Minturnensium principibus atque decurionibus consultantibus, non cunctandum, sed statim esse necandum Marium placuit. (2) Quod quum nemo civium in se reciperent facius, eques quidam Gallus natione, sive Cimber (nam utrumque fertur), sumpto gladio ad Marium ingressus est, in cubiculo umbroso et lucem non admodum claram admittente recumbentem. Fertur ibi ex Marii oculis multas flammas emicare militi visum fuisse et loco valde umbroso magnam vocem exauditam in hæc verba: Tune, homo, C. Marium necare audes? (3) Itaque barbarus statim e domo profugit, abjectoque in medium gladio per fores se

ἐχώρει διὰ θυρῶν τοῦτο μόνον βοῶν, « Οὐ δύναμαι Γάϊον Μάριον ἀποκτεῖναι. » (4) Πάντας οὖν ἔκπληξις ἔσχεν, εἶτα οἶκτος καὶ μετάνοια τῆς γνώμης καὶ κατάμεμψις ἑαυτῶν, ὡς βούλευμα βεβουλευκότων ἄνομον καὶ ἀχάριστον ἐπ' ἀνδρὶ σωτῆρι τῆς Ἰταλίας, ᾧ μὴ βοηθῆσαι δεινὸν ἦν. « Ἴτω δ' οὖν ὅπη χρήζει φυγὰς ἀνατλησόμενος ἀλλαχόθι τὸ μεμορμένον. Ἡμεῖς δὲ d εὐχώμεθα μὴ νεμεσῆσαι θεοὺς Μάριον ἄπορον καὶ γυμνὸν ἐκ τῆς πόλεως ἐκβαλοῦσιν. « (5) Ὑπὸ τοιούτων λογισμῶν εἰσπεσόντες ἀθρόοι καὶ περισχόντες αὐτὸν ἐξῆγον ἐπὶ τὴν θάλασσαν. Ἄλλου δὲ ἄλλο τι προθύμως ὑπηρετοῦντος καὶ σπευδόντων ἁπάντων ἐγίνετο τριβὴ τοῦ χρόνου. (6) Τὸ γὰρ τῆς λεγομένης Μαρίκας ἄλσος, ὃ σέβονται καὶ παραφυλάττουσι μηδὲν ἐκεῖθεν ἐκκομισθῆναι τῶν εἰσκομισθέντων, ἐμποδὼν ἦν τῆς ἐπὶ θάλασσαν ὁδοῦ καὶ κύκλῳ περιιόντας ἔδει βραδύνειν, ἄχρι οὗ τῶν πρεσβυτέρων τις ἐμβοήσας ἔφη μηδεμίαν ἄβατον μηδ' ἀπόρευτον ὁδὸν εἶναι, δι' ἧς σώζεται Μάριος. Καὶ πρῶτος αὐτὸς λαβών τι τῶν κομιζομένων ἐπὶ e ναῦν διὰ τοῦ τόπου διεξῆλθε.

XL. Τοιαύτῃ προθυμίᾳ ταχὺ πάντων συμπορισθέντων καὶ Βηλαίου τινὸς ναῦν τῷ Μαρίῳ παρασχόντος, ὃς ὕστερον πίνακα τῶν πράξεων ἐκείνων γραψάμενος ἀνέθηκεν εἰς τὸ ἱερὸν, ὅθεν ἐμβὰς ὁ Μάριος ἀνήχθη, τῷ πνεύματι φέροντι χρώμενος ἐφέρετό πως κατὰ τύχην πρὸς Αἰναρίαν τὴν νῆσον, ὅπου τὸν Γράνιον καὶ τοὺς ἄλλους φίλους εὑρὼν ἔπλει μετ' αὐτῶν ἐπὶ Λιβύης. (2) Ὕδατος δὲ ἐπιλιπόντος αὐτοὺς ἀναγκαίως Σικελίᾳ κατὰ τὴν Ἐρυκίνην προσέσχον. Ἔτυχε δὲ περὶ τοὺς τόπους f ἐκείνους ὁ Ῥωμαίων ταμίας προφυλάσσων, καὶ μικροῦ μὲν αὐτὸν ἀποβάντα τὸν Μάριον εἷλεν, ἀπέκτεινε δὲ περὶ ἑκκαίδεκα τῶν ὑδρευομένων. (3) Μάριος δὲ κατὰ σπουδὴν ἀναχθεὶς καὶ διαπεράσας τὸ πέλαγος πρὸς Μήνιγγα τὴν νῆσον, ἐνταῦθα διαπυνθάνεται πρῶτον, ὡς ὁ παῖς αὐτοῦ διασέσωσται μετὰ Κεθήγου καὶ πορεύονται πρὸς τὸν βασιλέα τῶν Νομάδων Ἰάμψαν δεησόμενοι βοηθεῖν. (4) Ἐφ' οἷς μικρὸν ἀναπνεύσας ἐθάρ- 429 ρησεν ἀπὸ τῆς νήσου πρὸς τὴν Καρχηδονίαν προσβαλεῖν. a Ἐστρατήγει δὲ τῆς Λιβύης τότε Σεξτίλιος, ἀνὴρ Ῥωμαῖος, οὔτε φαῦλον οὐθὲν οὔτε χρηστὸν ἐκ Μαρίου προειληφὼς, ἀλλ' ὅσον ἀπ' οἴκτου τι προσδοκώμενος ὠφελήσειν. (5) Ἄρτι δὲ αὐτοῦ μετ' ὀλίγων ἀποβεβηκότος ὑπηρέτης ἀπαντήσας καὶ καταστὰς ἐναντίον εἶπεν, « Ἀπαγορεύει σοι Σεξτίλιος ὁ στρατηγὸς, ὦ Μάριε, Λιβύης μὴ ἐπιβαίνειν· εἰ δὲ μὴ, φησὶν ἀμυνεῖν τοῖς τῆς βουλῆς δόγμασιν ὡς Ῥωμαίων πολεμίῳ χρώμενος. » (6) Ταῦτα ἀκούσαντα τὸν Μάριον ὑπὸ λύπης καὶ βαρυθυμίας ἀπορία λόγων ἔσχε καὶ πολὺν χρόνον ἡσυχίαν ἦγε δεινὸν εἰς τὸν ὑπηρέτην ἀποβλέπων. (7) Ἐρομένου b δὲ ἐκείνου, τί φράζει καὶ τί λέγει πρὸς τὸν στρατηγὸν, ἀπεκρίνατο μέγα στενάζας, « Ἄγγελλε τοίνυν, ὅτι Γάϊον Μάριον ἐν τοῖς Καρχηδόνος ἐρειπίοις φυγάδα καθεζόμενον εἶδες, » οὐ κακῶς ἅμα τήν τε τῆς πόλεως ἐκείνης τύχην καὶ τὴν ἑαυτοῦ μεταβολὴν ἐν παραδείγματος

proripuit, id tantum vociferans : Non possum C. Marium interficere. (4) Primum ea re terror, miseratio inde apud omnes, et pœnitentia sententiæ exstitit, quam injustam et ingrato adversus Italiæ vindicem animo tulissent, cui opem non ferre improbum esset. Eat potius (dicebant) quocumque velit exsul, et fatum alibi locorum expleat : nos deos deprecemur, ne succenseant nobis, quod inopem nudumque urbe ejicimus Marium. (5) Has cogitationes secuti, frequentes ad Marium ingressi sunt, stipatumque ad mare eduxerunt. Et quamvis singuli prompte aliquid subministrarent atque universi festinarent, tamen aliquid temporis tractum est. (6) Nam Maricæ lucus, quem sacrum isti habent et quod ei invectum sit educere inde religioni ducunt, itinere ad mare obstabat circumirique non sine mora poterat. Tandem quidam seniorum, vociferatus nullam inviam esse viam aut religiosam, qua Marius ad salutem iret, primus eorum quæ ad navem deferebantur aliquid sumpsit, perque lucum translit, reliquis prompte subsequentibus.

XL. Tali studio quum omnia propere essent conquisita, Belæo quodam navem præbente, qui harum rerum picturam in tabula expressam postea in fano ibi dedicavit, Marius nave conscensa avectus est et vento secundo usus forte fortuna ad Ænariam insulam est delatus, ibique Granio et ceteris amicis receptis, cum his versus Africam solvit. (2) Aquæ autem defectu coacti, ad Siciliam apud agrum Erycinum appulerunt. Ea loca tum Romanus quæstor obtinebat : is ex aquatoribus Marii circiter sedecim homines occidit, et quin ipsum Marium navi egressum caperet, parum abfuit. (3) Marius ergo celeriter inde solvit transmisoque mari ad Meningem insulam pervenit : ibi primum inaudivit, filium suum cum Cethego salvos in Africam pervenisse et auxilii implorandi causa ad Hiempsalem Numidarum regem proficisci. (4) Quo paulum recreatus nuncio ab insula ad agrum Carthaginiensem trajicere ausus est. Prætor tum Africam regebat Sextilius, civis Romanus, nullo neque beneficio neque injuria a Mario affectus, sed qui miseratione ductus ei commodaturus sperabatur. (5) Hujus apparitor ad Marium vix dum cum paucis suorum in terram egressum pervenit, et contra assistens : Edicit tibi, inquit, Mari, prætor Sextilius, ne in Africa pedem ponas : si contra feceris, decretum senatus se executurum, teque ut populi Romani hostem tractaturum affirmat. (6) Hæc ut audivit Marius, mœrore et sollicitudine vocem opprimente aliquamdiu mutus astitit, torvo lictorem vultu intuens. (7) Interroganti vero quid prætori responderet, ab imo pectore gemitum edens : « Renuncia, inquit, ei vidisse te C. Marium exsulem in ruderibus Carthaginis sedentem, » haud male fortunam ejus urbis et suarum rerum mutationem in exemplum ei proponens. (8)

λόγῳ θέμενος. (8) Ἐν τούτῳ δὲ Ἰάμψας ὁ βασιλεὺς τῶν Νομάδων ἐπαμφοτερίζων τοῖς λογισμοῖς ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον Μάριον, ἀπιέναι δὲ βουλομένους ἔκτινος ἀεὶ προφάσεως κατεῖχε καὶ ὄκνος ἦν ἐπ' οὐδενὶ χρηστῷ ποιούμενος τὴν ἀναβολήν. (9) Οὐ μὴν ἀλλὰ συμβαίνει τι τῶν εἰκότων αὐτοῖς πρὸς σωτηρίαν. Ὁ γὰρ νέος Μάριος εὐπρεπὴς ὢν τὴν ὄψιν ἡνία τινὰ τῶν παλλακίδων τοῦ βασιλέως παρ' ἀξίαν πράττων· ὁ δὲ οἶκτος οὗτος ἀρχὴ καὶ πρόφασις ἦν ἔρωτος. (10) Τὸ μὲν οὖν πρῶτον ἀπετρίβετο τὴν ἄνθρωπον· ὡς δὲ οὔτε φυγῆς ἑτέραν ὁδὸν ἑώρα καὶ τὰ παρ' ἐκείνης σπουδαιότερον ἢ πρὸς ἡδονὴν ἀκόλαστον διεπράττετο, δεξάμενος τὴν φιλοφροσύνην καὶ συνεκπεμφθεὶς ὑπ' αὐτῆς ἀπέδρα μετὰ τῶν φίλων καὶ διέφυγε πρὸς τὸν Μάριον. (11) Ἐπεὶ δὲ ἀλλήλους ἠσπάσαντο πορευόμενοι παρὰ τὴν θάλασσαν ἐντυγχάνουσι σκορπίοις μαχομένοις· καὶ τὸ σημεῖον ἐφάνη τῷ Μαρίῳ πονηρόν. Εὐθὺς οὖν ἐπιβάντες ἁλιάδος εἰς Κέρκιναν διεπέρων, νῆσον ἀπέχουσαν οὐ πολὺ τῆς ἠπείρου· καὶ τοσοῦτον ἔφθασαν, ὅσον ἀνηγμένων αὐτῶν ἱππεῖς δρᾶσθαι παρὰ τοῦ βασιλέως ἐλαύνοντας ἐπὶ τὸν τόπον, ὅθεν ἀνήχθησαν. Τοῦτον οὐδενὸς ἐλάττονα κίνδυνον ἔδοξεν ἐκφυγεῖν ὁ Μάριος.

XLI. Ἐν δὲ Ῥώμῃ Σύλλας μὲν ἠκούετο τοῖς Μιθριδάτου πολεμεῖν στρατηγοῖς περὶ Βοιωτίαν, οἱ δὲ ὕπατοι στασιάσαντες ἐχώρουν εἰς ὅπλα. Καὶ μάχης γενομένης Ὀκτάβιος μὲν κρατήσας ἐξέβαλε Κίνναν ἐπιχειροῦντα τυραννικώτερον ἄρχειν καὶ κατέστησεν ἀντ' αὐτοῦ Κορνήλιον Μερουλᾶν ὕπατον, ὁ δὲ Κίννας ἐκ τῆς ἄλλης Ἰταλίας συναγαγὼν δύναμιν αὖθις διεπολέμει πρὸς αὐτούς. (2) Ταῦτα τῷ Μαρίῳ πυνθανομένῳ πλεῦσαι τὴν ταχίστην ἐφαίνετο· καὶ παραλαβὼν ἐκ τῆς Λιβύης Μαυρουσίων τινὰς ἱππότας καὶ τῶν ἀπὸ τῆς Ἰταλίας τινὰς καταφερομένων, συναμφοτέρους οὐ πλείονας χιλίων γενομένους, μεθ' ὧν ἀνήχθη, προσβαλὼν Τελαμῶνι τῆς Τυρρηνίας καὶ ἀποβὰς ἐκήρυττε δούλοις ἐλευθερίαν· καὶ τῶν αὐτόθι γεωργούντων καὶ νεμόντων ἐλευθέρων κατὰ δόξαν αὐτοῦ συντρεχόντων ἐπὶ τὴν θάλασσαν ἀναπείθων τοὺς ἀκμαιοτάτους ἐν ἡμέραις ὀλίγαις χεῖρα μεγάλην ἤθροισε καὶ τεσσαράκοντα ναῦς ἐπλήρωσεν. (3) Εἰδὼς δὲ τὸν μὲν Ὀκτάβιον ἄνδρα ἄριστον καὶ τῷ δικαιοτάτῳ τρόπῳ βουλόμενον ἄρχειν, τὸν δὲ Κίνναν ὑποπτόν τε τῷ Σύλλᾳ καὶ πολεμοῦντα τῇ καθεστώσῃ πολιτείᾳ, τούτῳ προσνέμειν ἑαυτὸν ἔγνω μετὰ τῆς δυνάμεως. (4) Ἔπεμψεν οὖν ἐπαγγελλόμενος ὡς ὑπάτῳ πάντα ποιήσειν τὰ προστασσόμενα. Δεξαμένου δὲ τοῦ Κίννα καὶ προσαγορεύσαντος αὐτὸν ἀνθύπατον, ῥάβδους δὲ καὶ τἆλλα παράσημα τῆς ἀρχῆς ἀποστείλαντος, οὐκ ἔφη πρέπειν αὐτοῦ ταῖς τύχαις τὸν κόσμον, ἀλλ' ἐσθῆτι φαύλῃ κεχρημένος καὶ κομῶν ἀφ' ἧς ἔφυγεν ἡμέρας ὑπὲρ ἑβδομήκοντα γεγονὼς ἔτη βάδην προῄει, βουλόμενος μὲν ἐλεεινὸς εἶναι, τῷ δὲ οἴκτῳ συμμέμικτο τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τὸ φοβερὸν καὶ διέφαινεν ἡ κατήφεια τὸν θυμὸν οὐ τεταπεινωμένον, ἀλλ' ἐξηγριωμένον ὑπὸ τῆς μεταβολῆς.

Interim Hiempsal Numidiæ rex in utramque partem cogitationibus alternans, Marium et socios in honore habebat quidem, sed discedere cupientes novis subinde prætextibus detinebat: neque erat obscurum, dilationem istam mali alicujus gratia fieri. (9) Verumtamen fortuitus casus, quales evenire aliquando solent, salutem ipsis attulit. Marius junior quum formosus esset, indignam ejus fortunam quædam ex pellicibus regiis moleste tulit: eaque commiseratio amoris fuit initium atque prætextus. (10) Eam quum initio Marius rejecisset, ubi nullam aliam effugiendi viam esse sensit, et ipsam quoque majori studio, quam quæ inhonestam tantum voluptatem affectaret, agere; amori locum dedit, ab eaque pellice emissus cum suis ad patrem confugit. (11) Postquam sese mutuo consalutavere, secundum litus maris profecti, in scorpios pugnantes inciderunt; id malum omen ratus Marius, statim cum suis in piscatorium navigium conscendit, inque insulam Cercinam, haud longe a continenti sitam, trajecit: vixque solverant, quum ad eum unde solverant locum equites a rege missi properare conspecti sunt. Haud ullum aliud majus periculum evitasse Marius videtur.

XLI. At vero Romæ Syllam contra Mithridatis duces bellum in Bœotiam gerere audiebatur: consules seditionem excitaverant et commissa pugna Octavius victor Cinnam tyrannidem affectantem urbe ejecerat, suffecto in ejus locum Cornelio Merula. Cinna autem collectis per Italiam copiis, consulibus rursus bellum faciebat. (2) Hæc ut Marius accepit, statuit quamprimum in Italiam navigare. Itaque assumptis ex Africa Maurusiis nonnullis equitibus aliisque ex Italia ad ipsum delatis quibusdam, ut omnium summa millenarium numerum haud superarent, solvit. Quumque ad Telamonem Etruriæ portum appulisset, egressus ibi in terram, servos ad libertatem vocavit, colonis et pastoribus liberis (qui opinione viri ducti ad mare concurrerant), qui ætate maxime erant militari, sibi persuadendo adjunctis, paucis diebus tantas contraxit copias, ut quadraginta impleret naves. (3) Octavium porro sciens optimum esse virum, ac qui magistratum vellet quam justissime gerere, Cinnam autem Syllæ suspectum et probe constitutæ reipublicæ arma inferentem, huic se cum suis copiis conjungere statuit. (4) Itaque missis nunciis, se ejus, tanquam consulis, imperata facturum recepit. Quum Cinna hoc probaret eumque proconsulem appellaret, lictoresque et reliqua ejus imperii insignia mitteret, ornatum hunc suæ fortunæ non convenire respondit: veste sordida utens comamque ab exsulii primo die alitam ferens, major septuagenario tum, pedes ad Cinnam accessit, miserabilem se ostendere cupiens: sed in miserando aspectu magis tamen terribilis ejus quem a natura habebat vultus emicabat et mœstitia animum nequaquam dejectum, sed mutatione fortunæ exasperatum ostendebat.

XLII. Ἀσπασάμενος δὲ τὸν Κίνναν καὶ τοῖς στρατιώταις ἐντυχὼν εὐθὺς εἶχετο τοῦ ἔργου καὶ μεγάλην μεταβολὴν τῶν πραγμάτων ἐποίησε. (2) Πρῶτον μὲν γὰρ ταῖς ναυσὶ τὰ σιτηγὰ περικόπτων καὶ τοὺς ἐμπόρους ληιζόμενος ἐκράτησε τῆς ἀγορᾶς. Ἔπειτα τὰς παραλίους πόλεις ἐπιπλέων ἥρει. Τέλος δὲ τὴν Ὥστίαν αὐτὴν λαβὼν ἐκ προδοσίας τά τε χρήματα διήρπασε καὶ τῶν ἀνθρώπων τοὺς πολλοὺς ἀπέκτεινε καὶ γεφυρώσας τὸν ποταμὸν ἀπέκοψε κομιδῇ τὰς ἐκ θαλάσσης εὐπορίας τῶν πολεμίων. (3) Ἅρας δὲ τῷ στρατῷ πρὸς τὴν πόλιν ἐχώρει καὶ τὸ καλούμενον Ἰανοῦκλον ὄρος κατέσχεν, οὐ τοσοῦτον ἀπειρίᾳ τοῦ Ὀκταβίου τὰ πράγματα βλάπτοντος, ὅσον ἀκριβείᾳ τῶν δικαίων προϊεμένου τὰ χρειώδη παρὰ τὸ συμφέρον, ὅς γε πολλῶν κελευόντων αὐτὸν ἐπ' ἐλευθερίᾳ καλεῖν τοὺς οἰκέτας οὐκ ἔφη δούλοις μεταδώσειν τῆς πατρίδος, ἧς Γάϊον Μάριον εἴργει τοῖς νόμοις ἀμύνων. (4) Ἐπεὶ δὲ Μέτελλος υἱὸς Μετέλλου τοῦ στρατηγήσαντος ἐν Λιβύῃ καὶ διὰ Μάριον ἐκπεσόντος ἦκεν εἰς Ῥώμην καὶ πολὺ τοῦ Ὀκταβίου στρατηγικώτερος ἐφαίνετο, καταλιπόντες οἱ στρατιῶται τὸν Ὀκτάβιον ἦκον ὡς ἐκεῖνον ἄρχειν δεόμενοι καὶ σώζειν τὴν πόλιν· εὖ γὰρ ἀγωνιεῖσθαι καὶ κρατήσειν ἐμπειρον ἡγεμόνα καὶ δραστήριον λαβόντες. (5) Ἀγανακτήσαντος δὲ τοῦ Μετέλλου καὶ κελεύοντος ἀπεῖναι πρὸς τὸν ὕπατον ᾤχοντο πρὸς τοὺς πολεμίους. Ὑπεξέστη δὲ καὶ Μέτελλος ἀπογνοὺς τὴν πόλιν. (6) Ὀκτάβιον δὲ Χαλδαῖοι καὶ θῦταί τινες καὶ σιβυλλισταὶ πείσαντες ἐν Ῥώμῃ κατέσχον, ὡς εὖ γενησομένων. (7) Ὁ γὰρ ἀνὴρ οὗτος δοκεῖ, τἆλλα Ῥωμαίων εὐγνωμονέστατος γενόμενος καὶ μάλιστα δὴ τὸ πρόσχημα τῆς ὑπατείας ἀκολάκευτον ἐπὶ τῶν πατρίων ἐθῶν καὶ νόμων ὥσπερ διαγραμμάτων ἀμεταβόλων διαφυλάξας, ἀῤῥωστίᾳ τῇ περὶ ταῦτα χρήσασθαι πλείονα συνὼν χρόνον ἀγύρταις καὶ μάντεσιν ἢ πολιτικοῖς καὶ πολεμικοῖς ἀνδράσιν. (8) Οὗτος μὲν οὖν, πρὶν εἰσελθεῖν τὸν Μάριον, ὑπὸ τῶν προπεμφθέντων ἀπὸ τοῦ βήματος κατασπασθεὶς ἐσφάττετο· καὶ λέγεται διάγραμμα Χαλδαϊκὸν ἐν τοῖς κόλποις αὐτοῦ φονευθέντος εὑρεθῆναι. Καὶ τὸ πρᾶγμα πολλὴν ἀλογίαν εἶχε, τὸ δυεῖν ἡγεμόνων ἐπιφανεστάτων Μάριον μὲν ὀρθῶσαι τὸ μὴ καταφρονῆσαι μαντικῆς, Ὀκτάβιον δὲ ἀπολέσαι.

XLIII. Οὕτω δὴ τῶν πραγμάτων ἐχόντων ἡ βουλὴ συνελθοῦσα πρέσβεις ἐξέπεμψε πρὸς Κίνναν καὶ Μάριον εἰσιέναι καὶ φείδεσθαι δεομένη τῶν πολιτῶν. (2) Κίννας μὲν οὖν ὡς ὕπατος ἐπὶ τοῦ δίφρου καθήμενος ἐχρημάτιζε καὶ φιλανθρώπους ἀποκρίσεις ἔδωκε τοῖς πρέσβεσι, Μάριος δὲ τῷ δίφρῳ παρειστήκει φθεγγόμενος μὲν οὐδέν, ὑποδηλῶν δὲ ἀεὶ τῇ βαρύτητι τοῦ προσώπου καὶ τῇ στυγνότητι τοῦ βλέμματος ὡς εὐθὺς ἐμπλήσων φόνων τὴν πόλιν. (3) Ἐπεὶ δὲ ἀναστάντες ἐβάδιζον, Κίννας μὲν εἰσῄει δορυφορούμενος, Μάριος δὲ παρὰ ταῖς πύλαις ὑποστὰς εἰρωνεύετο πρὸς ὀργὴν φυγὰς εἶναι λέγων καὶ τῆς πατρίδος εἴργεσθαι κατὰ τὸν νόμον, εἰ δὲ χρῄζοι τις αὐτοῦ παρόντος, ἑτέρᾳ ψήφῳ

XLII. Consalutato Cinna et compellatis militibus, statim rem gerere cœpit, magnamque mutationem rebus attulit. (2) Primum navigiis circumvectus frumenta avertit et mercatoribus spoliatis, omnem commeatum in suam potestatem redegit. Deinde ad urbes maritimas advectus iis potitus est. Tandem Ostiam proditione cepit, ibique direptis bonis, multis hominum interfectis, Tiberis ripas ponte junxit eoque effecit, ne quid rerum necessariarum a mari ad hostes posset subvehi. (3) Post hæc cum exercitu ad urbem profectus, Janiculum occupavit. Non tantum imperitia Octavius reipublicæ tunc damni dedit, quantum juris observandi nimia diligentia, propter quam contra commodum patriæ utilia negligebat. Etenim multis eum jubentibus proposita libertate servos ad arma vocare, nullo modo se patriam, qua Marium defendendarum legum causa arceret, servis traditurum. (4) Itaque quum Metellus (Metelli ejus, qui bello in Africa gesto Marii opera in exsulium pulsus fuit, filius) Romam venisset ac longe ad gerendum bellum Octavio aptior putaretur; milites relicto Octavio ad eum venerunt, orantes ut ipsorum ad servandam rempublicam dux esset: peritum enim et strenuum ducem nactos se præclare militaturos, victoriaque potituros. (5) Metello succensente et ad consulem reverti jubente, ad hostem se contulerunt. Proinde Metellus etiam ex urbe, de cujus salute desperabat, discessit. (6) At Octavium Chaldæi quidam et sacrificuli et Sibyllinorum oraculorum interpretes in urbe retinuerunt, persuadentes bonum fore rerum statum. (7) Namque is vir cum videatur cordatissimus Romanorum fuisse, qui dignitatem consulatus ab omni adulatione remotam juxta leges et mores majorum, tanquam immutabilia quædam decreta, conservaret, ea fuit in hic rebus imbecillitate, ut plus temporis inter præstigiatores et ariolos quam viros in republica et militia præclaros exegerit. (8) Atque is prius quam in urbem intravit Marius, a præmissis ab eo de tribunali detractus et jugulatus est. Aiunt in ejus interfecti sinu tabulam quandam Chaldaicam fuisse repertam, scrupulumque ea res multum injecit, quod observatio divinationis ex duobus clarissimis ducibus alterum restituit, alterum perdidit.

XLIII. Rebus ita habentibus senatus frequens missis legatis Cinnam et Marium, ut intrarent in urbem et civibus parcerent rogavit. (2) Et Cinna, tanquam consul, sella curuli sedens legatos audiit humaniterque respondit: Marius sellæ astans, tametsi nihil diceret, vultus tamen constanti gravitate tristitiaque oculorum innuebat, se statim cædibus urbem impleturum. (3) Quum ad urbem accessissent, Cinna stipatus satellitio introivit: Marius vero ad portam constitit iratoque animo jocans, exsulem se esse et lege lata ejectum patria dicebat: quodsi suam præsentiam desiderarent, alio decreto legem exsulium irrogantem abro-

λυτέον εἶναι τὴν ἐκβάλλουσαν, ὡς δὴ νόμιμός τις ὢν ἀνὴρ καὶ κατιὼν εἰς πόλιν ἐλευθέραν. (4) Ἐκάλει δὴ τὸ πλῆθος εἰς ἀγοράν· καὶ πρὸ τοῦ τρεῖς ἢ τέσσαρας φυλὰς ἐνεγκεῖν τὴν ψῆφον ἀφεὶς τὸ πλάσμα καὶ τὴν φυγαδικὴν ἐκείνην δικαιολογίαν, κατῆει δορυφόρους ἔχων λογάδας ἐκ τῶν προσπεφοιτηκότων δούλων, οὓς Βαρδυαίους προσηγόρευσεν. (5) Οὗτοι πολλοὺς μὲν ἀπὸ φωνῆς, πολλοὺς δὲ ἀπὸ νεύματος ἀνῄρουν προστάσσοντος αὐτοῦ· καὶ τέλος Ἀγχάριον, ἄνδρα βουλευτὴν καὶ στρατηγικὸν, ἐντυγχάνοντα τῷ Μαρίῳ καὶ μὴ προσαγορευθέντα καταβάλλουσιν ἔμπροσθεν αὐτοῦ ταῖς μαχαίραις τύπτοντες. (6) Ἐκ δὲ τούτου καὶ τῶν ἄλλων ὅσους ἀσπασαμένους μὴ προσαγορεύσειε μηδὲ ἀνταspάσαιτο, τοῦτο αὐτὸ σύμβολον ἦν ἀποσφάττειν εὐθὺς ἐν ταῖς ὁδοῖς, ὥστε καὶ τῶν φίλων ἕκαστον ἀγωνίας μεστὸν εἶναι καὶ φρίκης ὁσάκις ἀσπασόμενοι τῷ Μαρίῳ πελάζοιεν. (7) Κτεινομένων δὲ πολλῶν Κίννας μὲν ἀμβλὺς ἦν καὶ μεστὸς ἤδη τοῦ φονεύειν, Μάριος δὲ καθ' ἑκάστην ἡμέραν ἀκμάζοντι τῷ θυμῷ καὶ διψῶντι διὰ πάντων ἐχώρει τῶν ὑποσοῦν ἐν ὑποψίᾳ γεγονότων. Καὶ πᾶσα μὲν ὁδὸς, πᾶσα δὲ πόλις τῶν διωκόντων καὶ κυνηγετούντων τοὺς ὑποφεύγοντας καὶ κεκρυμμένους ἔγεμεν. (8) Ἠλέγχετο δὲ καὶ ξενίας καὶ φιλίας πίστις οὐδὲν ἔχουσα παρὰ τὰς τύχας βέβαιον· ὀλίγοι γὰρ ἐγένοντο παντάπασιν οἱ μὴ προδόντες αὐτοῖς τοὺς παρὰ σφᾶς καταφυγόντας. (9) Ἄξιον οὖν ἄγασθαι καὶ θαυμάσαι τοὺς τοῦ Κορνούτου θεράποντας, οἳ τὸν δεσπότην ἀποκρύψαντες οἴκοι, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις καὶ κοσμήσαντες ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. Ὑπενόησε δὲ οὐδεὶς, ἀλλ' οὕτω λαθὼν ὁ Κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

XLIV. Χρηστῷ δὲ καὶ Μάρκος Ἀντώνιος ὁ ῥήτωρ φίλῳ χρησάμενος ἠτύχησεν. Ὁ γὰρ ἄνθρωπος ἦν μὲν πένης καὶ δημοτικὸς, ὑποδεξάμενος δὲ πρῶτον ἄνδρα Ῥωμαίων καὶ φιλοφρονούμενος ἐκ τῶν παρόντων οἰκέτην ἐπεμψε πρός τινα τῶν ἐγγὺς καπήλων ληψόμενον οἶνον. (2) Διαγευομένου δὲ ἐπιμελέστερον καὶ βελτίονα μετρῆσαι κελεύοντος ἠρώτησεν ὁ κάπηλος, ὅ τι παθὼν οὐχὶ τὸν νέον, ὥσπερ εἴωθεν, ὠνεῖται καὶ δημοτικὸν, ἀλλὰ τοῦ σπουδαίου καὶ πολυτελοῦς. (3) Ἁπλῶς δέ πως ἐκείνου φράσαντος ὡς πρὸς συνήθη καὶ γνώριμον, ὅτι Μάρκον Ἀντώνιον ὁ δεσπότης ἑστιᾷ παρ' αὐτῷ κρυπτόμενον, ἀσεβὴς καὶ μιαρὸς ὢν ὁ κάπηλος ἅμα τῷ τὸν οἰκέτην ἀπελθεῖν αὐτὸς συνέτεινε πρὸς Μάριον ἤδη περὶ δεῖπνον ὄντα καὶ προσαχθεὶς ὡμολόγησε παραδώσειν αὐτῷ τὸν Ἀντώνιον. (4) Ἀκούσας οὖν ἐκεῖνος ἐκραγεῖν λέγεται μέγα καὶ ταῖς χερσὶν ὑφ' ἡδονῆς ἀνακροτῆσαι· καὶ μικροῦ μὲν ἐδέησεν ἐξαναστὰς αὐτὸς ἐπὶ τὸν τόπον φέρεσθαι, τῶν δὲ φίλων κατασχόντων Ἄννιον ἔπεμπε καὶ στρατιώτας μετ' αὐτοῦ κελεύσας κατὰ τάχος τὴν κεφαλὴν τοῦ Ἀντωνίου κομίζειν. (5) Ὡς οὖν ἦκον ἐπὶ τὴν οἰκίαν, ὁ μὲν Ἄννιος ὑπέστη παρὰ

garent, scilicet vir legum observans et qui in urbem liberam veniret. (4) Proinde in concionem advocata multitudine antequam tres aut quattuor tribus in suffragia missæ essent, deposita simulatione commentum suum judicii de exsulio missum faciens, cum stipatoribus quos ex servis qui se ad ipsum contulerant delegerat (Bardyæos appellavit), descendit. (5) Hi Mario vel voce, vel nutu jubente, plurimos occiderunt: inter quos etiam Ancharium, senatorii atque prætorii ordinis virum, quum is Marium adiisset, neque ab eo esset resalutatus, ante ipsum gladiis confossum straverunt. (6) Eodem præterea modo omnes alios, quos salutantes ille non compellasset aut resalutasset, id signum erat datum eis, statim in via trucidandi: quare et amicorum quilibet quum salutandi causa Marium adiret, anxietate et horrore perfundebatur. (7) Multis necatis, Cinna remissior jam et satur cædium erat: at Marius in dies ira increscente, sanguinemque sitiente omnes quocunque modo sibi suspectos invadebat. Itaque omnes semitæ, tota urbs eorum qui fugientes persequerentur, ac latitantes indagarent, plena erat. (8) Deprehensum quoque tunc est, hospitii amicitiæque fidem adversa fortuna nihil habere firmi: adeo tum pauci fuere, qui ad se confugientes inquisitoribus non proderent. (9) Digni itaque admiratione fuerunt Cornuti servi, qui quum domi herum suum occuluissent, aliud quoddam cadaver de mortuorum acervo arreptum collo trahentes, aureum annulum digito accommodantes, Marianis ita satellitibus ostenderunt, et ornato funere, quasi herile id esset, sepeliverunt; neque id quisquam sensit, eoque modo Cornutus clam opera servorum in Galliam evasit.

XLIV. M. autem Antonius orator quum in fidelem amicum incidisset, iniquitate fortunæ periit. Vir enim plebeius et pauper, quum primum inter Romanos virum eum suscepisset ac pro facultate tractaret humaniter, servum misit, ut de propinquo caupone vinum emeret. (2) Servus vinum quum gustaret accuratius meliusque posceret, a caupone rogatus, quidnam rei esset, cur non, ut ante, novum et commune vinum, sed generosum atque pretiosius emeret. (3) Simpliciter ei, tanquam familiari suo et noto, respondit, M. Antonium apud herum suum latentem cœnare: caupo, impius homo atque impurus, ut primum servus abiit, ad Marium cœnantem jam accurrit adductusque traditurum se ei M. Antonium promisit. (4) Fertur Marius ad eum nuncium magna voce exclamasse ac præ gaudio manibus plausum dedisse, parumque abfuit quin ipse eo contenderet: detentus ab amicis, Annium cum militibus misit, mandato, ut celeriter caput Antonii sibi afferret. (5) Qui postquam ad domum pervenerunt, Annius ad fores constitit, milites

τὰς θύρας, οἱ δὲ στρατιῶται διὰ κλιμάκων ἀναβάντες εἰς τὸ δωμάτιον καὶ θεασάμενοι τὸν Ἀντώνιον ἄλλος ἄλλον ἐπὶ τὴν σφαγὴν ἀνθ' ἑαυτοῦ παρεκάλει καὶ προύβάλλετο. (6) Τοιαύτη δέ τις ἦν, ὡς ἔοικε, τοῦ ἀνδρὸς ἡ τῶν λόγων σειρὴν καὶ χάρις, ὥστε ἀρξαμένου λέγειν καὶ παραιτεῖσθαι τὸν θάνατον ἅψασθαι μὲν οὐδεὶς ἐτόλμησεν οὐδὲ ἀντιβλέψαι, κάτω δὲ κύψαντες ἐδάκρυον ἅπαντες. (7) Διατριβῆς δὲ γενομένης ἀναβὰς ὁ Ἄννιος ὁρᾷ τὸν μὲν Ἀντώνιον διαλεγόμενον, τοὺς δὲ στρατιώτας ἐκπεπληγμένους καὶ κατακεκηλημένους ὑπ' αὐτοῦ· κακίσας οὖν ἐκείνους καὶ προσδραμὼν αὐτὸς ἀποτέμνει τὴν κεφαλήν. (8) Κάτλος δὲ Λουτάτιος Μαρίῳ συνάρξας καὶ συνθριαμβεύσας ἀπὸ Κίμβρων, ἐπεὶ πρὸς τοὺς δεομένους ὑπὲρ αὐτοῦ καὶ παραιτουμένους ὁ Μάριος τοσοῦτον μόνον εἶπεν, « Ἀποθανεῖν δεῖ » κατακλεισάμενος εἰς οἴκημα καὶ πολλοὺς ἄνθρακας ἐκζωπυρήσας
432ἀπεπνίγη. (9) Ῥιπτουμένων δὲ τῶν σωμάτων ἀκεφάλων καὶ πατουμένων ἐν ταῖς ὁδοῖς ἔλεος οὐκ ἦν, ἀλλὰ φρίκη καὶ τρόμος ἁπάντων πρὸς τὴν ὄψιν. (10) Ἡνία δὲ μάλιστα τὸν δῆμον ἡ τῶν καλουμένων Βαρδυαίων ἀσέλγεια. Τοὺς γὰρ δεσπότας ἐν ταῖς οἰκίαις σφάττοντες ἥσχυνον μὲν αὐτῶν παῖδας, ἐμίγνυντο δὲ βίᾳ ταῖς δεσποίναις, ἀκατάσχετοι δὲ ἦσαν ἁρπάζοντες καὶ μιαιφονοῦντες, ἕως οἱ περὶ Κίνναν καὶ Σερτώριον συμφρονήσαντες ἐπέθεντο κοιμωμένοις αὐτοῖς ἐν τῷ στρατοπέδῳ καὶ κατηκόντισαν ἅπαντας.

XLV. Ἐν τούτῳ δὲ ὥσπερ τροπαίας τινὸς ἀμειβούσης ἐφοίτων ἀγγελίαι πανταχόθεν, ὡς Σύλλας συνῃρηκὼς τὸν Μιθριδατικὸν πόλεμον καὶ τὰς ἐπαρχίας ἀνειληφὼς ἐπιπλέοι μετὰ πολλῆς δυνάμεως. (2) Καὶ τοῦτο βραχεῖαν ἐπίσχεσιν ἐποίησε καὶ παῦλαν ὀλίγην ἀφάτων κακῶν, ὅσον οὔπω τὸν πόλεμον ἥκειν ἐπ' αὐτοὺς οἰομένων. (3) Ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον Μάριος καὶ προελθὼν αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἔτους ἀρχῇ, Σέξτον τινὰ Λικίνιον κατεχρήμνισεν· ὁ κἀκείνοις καὶ τῇ πόλει τῶν αὖθις ἐδόκει κακῶν γεγονέναι σημεῖον μέγιστον. (4) Αὐτὸς δὲ ἤδη τοῖς τε πόνοις ἀπειρηκὼς καὶ ταῖς φροντίσιν οἷον ὑπέραντλος ὢν καὶ κατάπονος τὴν ψυχὴν πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων καὶ φόβων ὑπ' ἐμπειρίας δεινῶν καὶ καμάτου τρέμουσαν οὐκ ἀνέφερε, λογιζόμενος ὡς οὐ πρὸς Ὀκτάβιον οὐδὲ Μερουλᾶν σύγκλυδος ὁμίλου καὶ στασιώδους ὄχλου στρατηγοὺς ὁ κίνδυνος ἔσοιτο, Σύλλας δὲ ἐκεῖνος ἐπεισιν ὁ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι, νῦν δὲ Μιθριδάτην συνεσταλκὼς εἰς τὸν Εὔξεινον Πόντον. (5) Ὑπὸ τοιούτων θραυόμενος λογισμῶν καὶ τὴν μακρὰν ἄλην αὐτοῦ καὶ φυγὰς καὶ κινδύνους διὰ γῆς καὶ θαλάττης ἐλαυνομένου λαμβάνων πρὸ ὀφθαλμῶν εἰς ἀπορίας ἐνέπιπτε δεινὰς καὶ νυκτερινὰ δείματα καὶ ταραχώδεις ὀνείρους, ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν

admotis scalis ascenderunt conspectoque Antonio, unus alteri cædem perpetrandam injunxerunt. (6) Tanta vero aderat Antonii sermonibus vis demulcendi atque gratia, ut, quum is orsus fuisset dicere atque cædem deprecari, nemo
f militum tangere eum ausus fuerit, aut intueri, sed dejectis in terram oculis universi fleverint. (7) Moram fieri Annius sentiens, quum et ipse ascendisset, Antonium orantem, milites consternatos delinitosque ejus verbis vidit : his objurgatis, ipse accurrit ad Antonium caputque ei amputavit. (8) Catulus porro Lutatius, qui Marii pridem collega fuerat, triumphique de Cimbris consors, quum pro salute ipsius de precantibus id modo respondisset Marius : Moriendum ei est, in parte domus se inclusit multisque carbonibus ibi
a succensis, fumo sese suffocavit. (9) Trunca autem capitum cadavera passim projecta quum in compitis calcarentur, non misericordiam, sed horrorem atque tremorem aspectu suo movebant. (10) Maxime vero Bardyæorum libido molesta fuit. Dominos enim in ædibus propriis jugulantes, liberos eorum vitiaverunt et dominas per vim constuprabant : neque prius finem rapinarum atque cædium fecerunt, quam Cinna et Sertorius, re animadversa, dormientes eos in castris adorti universos jaculis confecerunt.

XLV. Interea, quasi conversione quadam venti alternante, undique nuncii afferebantur, Syllam confecto Mithridatico
b bello provinciisque receptis, magno cum exercitu Romam versus navigare. (2) Id infandorum cursum malorum aliquantum inhibuit, exiguamque quietem attulit, quum sane imminere jam bellum Romani arbitrarentur. (3) Proinde Marius septimum consul est creatus : progressusque ipsis Januarii Kalendis, quendam Sext. Licinium de saxo præcipitavit ; id quod Romanis urbique malorum, quæ post paulo evenerunt, evidens videbatur signum. (4) At vero Marius jam et laboribus confectus curisque animo quasi oppresso et
c fatigato, erigere mentem ad tantas novo bello recentibusque certaminibus et periculis atque laboribus (quorum omnium, jam ante ea expertus, molem noverat) cogitationes trepidantem, non valuit : veniebatque ei in animum non se cum Octavio aut Merula, promiscuæ turbæ factiosæque catervæ ducibus congressurum, sed Syllam adesse qui et ipsum ante Roma ejecisset, et nunc compulso ad Euxinum Pontum Mithridate adduceret exercitum. (5) His fractus cogitationibus longumque suum errorem, fugas et pericula, quæ mari terraque pulsus pertulerat, ante oculos sibi fingens, in anxietates incidit graves nocturnosque terrores et turbulenta somnia, semper aliquem audire putans, qui diceret :

Δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος.

d Terribile absentis adeo esse cubile leonis.

(6) Μάλιστα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας ἐνέ-

6) Maxime quoque insomnium metuens, potationibus se

βαλεν εἰς πότους ἑαυτὸν καὶ μέθας ἀώρους καὶ παρ' ἡλικίαν, ὥσπερ ἀπόδρασιν τῶν φροντίδων τὸν ὕπνον μηχανώμενος. (7) Τέλος δὲ ὡς ἦκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης, νέοι προσπίπτοντες αὐτῷ φόβοι, τὰ μὲν δέει τοῦ μέλλοντος, τὰ δὲ ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων, ῥοπῆς βραχείας ἐπιγενομένης εἰς νόσον κατηνέχθη πλευρῖτιν, ὡς ἱστορεῖ Ποσειδώνιος ὁ φιλόσοφος, αὐτὸς εἰσελθεῖν καὶ διαλεχθῆναι περὶ ὧν ἐπρέσβευεν ἤδη νοσοῦντι φάσκων αὐτῷ. (8) Γάϊος δέ τις Πείσων, ἀνὴρ ἱστορικὸς, ἱστορεῖ τὸν Μάριον ἀπὸ δείπνου περιπατοῦντα μετὰ τῶν φίλων ἐν λόγοις γενέσθαι περὶ τῶν καθ' ἑαυτὸν πραγμάτων ἄνωθεν ἀρξάμενον καὶ τὰς ἐπ' ἀμφότερα πολλάκις μεταβολὰς ἀφηγησάμενον εἰπεῖν, ὡς οὐκ ἔστι νοῦν ἔχοντος ἀνδρὸς ἔτι τῇ τύχῃ πιστεύειν ἑαυτόν· ἐκ δὲ τούτου τοὺς παρόντας ἀσπασάμενον καὶ κατακλιθέντα συνεχῶς ἡμέρας ἑπτὰ τελευτῆσαι. (9) Τινὲς δὲ τὴν φιλοτιμίαν αὐτοῦ φασιν ἐν τῇ νόσῳ παντάπασιν ἀποκαλυφθεῖσαν εἰς ἄτοπον ἐξοκεῖλαι παρακοπὴν οἰομένου τὸν Μιθριδατικὸν στρατηγεῖν πόλεμον, εἶτα, ὥσπερ ἐπ' αὐτῶν εἰώθει τῶν ἀγώνων, σχήματα παντοδαπὰ καὶ κινήματα σώματος μετὰ συντόνου κραυγῆς καὶ πυκνῶν ἀλαλαγμάτων ἀποδιδόντος. (10) Οὕτως δεινὸς αὐτῷ καὶ δυσπαραμύθητος ἐκ φιλαρχίας καὶ ζηλοτυπίας ἔρως ἐντετήκει τῶν πράξεων ἐκείνων. (11) Διὸ ἔτη μὲν ἑβδομήκοντα βεβιωκὼς, ὕπατος δὲ πρῶτος ἀνθρώπων ἑπτάκις ἀνηγορευμένος οἰκόν τε καὶ πλοῦτον ἀρκοῦντα βασιλείαις ὁμοῦ πολλαῖς κεκτημένος ὠδύρετο τὴν ἑαυτοῦ τύχην ὡς ἐνδεὴς καὶ ἀτελὴς ὢν ἐπόθει προαποθνήσκων.

XLVI. Πλάτων μὲν οὖν ἤδη πρὸς τῷ τελευτᾶν γενόμενος ὕμνει τὸν αὐτοῦ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος, εἶτα Ἕλλην, οὐ βάρβαρος οὐδὲ ἄλογον τῇ φύσει θηρίον γένοιτο, πρὸς δὲ τούτοις, ὅτι τοῖς Σωκράτους χρόνοις ἀπήντησεν ἡ γένεσις αὐτοῦ. (2) Καὶ νὴ Δία τὸν Ταρσέα λέγουσιν Ἀντίπατρον ὡσαύτως ὑπὸ τὴν τελευτὴν ἀναλογιζόμενον ὧν τύχοι μακαρίων μηδὲ τῆς εἰς Ἀθήνας οἴκοθεν εὐπλοίας ἐπιλαθέσθαι, καθάπερ φιλοχρήστου τῆς τύχης ἅπασαν δόσιν εἰς μεγάλην χάριν τιθέμενον καὶ σώζοντα τῇ μνήμῃ διὰ τέλους ἧς οὐδέν ἐστιν ἀνθρώπῳ ταμιεῖον ἀγαθῶν βεβαιότερον. (3) Τοὺς δὲ ἀμνήμονας καὶ ἀνοήτους ὑπεκρεῖ τὰ γινόμενα μετὰ τοῦ χρόνου· διὸ μηθὲν στέγοντες μηδὲ διατηροῦντες ἀεὶ κενοὶ μὲν ἀγαθῶν, πλήρεις δὲ ἐλπίδων πρὸς τὸ μέλλον ἀποβλέπουσι τὸ παρὸν προϊέμενοι. (4) Καίτοι τὸ μὲν ἂν ἡ τύχη κωλῦσαι δύναιτο, τὸ δὲ ἀναφαίρετόν ἐστιν· ἀλλ' ὅμως τοῦτο τῆς τύχης ὡς ἀλλότριον ἐκβάλλοντες ἐκεῖνο τὸ ἄδηλον ὀνειρώττουσιν, εἰκότα πάσχοντες. (5) Πρὶν γὰρ ἐκ λόγου καὶ παιδείας ἕδραν ὑποβαλέσθαι καὶ κρηπῖδα τοῖς ἔξωθεν ἀγαθοῖς συνάγοντες αὐτὰ καὶ συμφοροῦντες ἐμπλῆσαι τῆς ψυχῆς οὐ δύνανται τὸ ἀκόρεστον. (6) Ἀποθνήσκει δ' οὖν Μάριος ἡμέρας ἑπτακαίδεκα τῆς ἑβδόμης ὑπατείας ἐπιλαβών. Καὶ μέγα ἔσχε παραυτίκα τὴν Ῥώμην χάρμα καὶ θάρσος ὡς χαλεπῆς τυραννίδος

dedit, ebrietatique ab ætate sua alienæ indulsit, somnum veluti effugium sollicitudinum alliciens. (7) Tandem a mari allato nuncio et novis insuper terroribus accidentibus, partim metu futurorum, partim præsentium fastidio atque molestia levi addito momento, in morbum laterum incidit: ita enim Posidonius narrat, qui se ad eum jam decumbentem intrasse, et legationem suam obivisse ait. (8) C. vero quidam Piso historicus refert eum, quum a cœna inter amicos deambulans de rebus suis disseruisset et ab initio earum varias in utramque partem mutationes recensuisset, addidisse: non esse sani hominis, præterea se fortunæ credere: secundum hoc salutatis amicis, decubuisse septem continuis diebus et ita diem supremum obiisse. (9) Quidam in morbo plane ejus ambitionem detectam scribunt, inque absurdam vertisse insaniam: quum se bellum contra Mithridatem gerere imaginaretur et, ut militiæ solebat, varias figuras variosque motus corporis vehementi cum vociferatione crebroque clamore ederet. (10) Adeo ingentem ei et insatiabilem amorem istarum rerum ambitio et æmulatio in pectore infixerat. (11) Itaque qui septuaginta vitæ annos expleverat, primus omnium hominum septies consul factus fuerat, multisque suffecturas regibus opes paraverat; is fortunam suam lamentabatur quasi egenus et ante sibi moriendum esset, quam quæ cupiebat assecutus fuisset.

XLVI. Sane Plato jamjam moriturus, genium suum fortunamque laudavit, primum, quod homo; deinde quod Græcus, non barbarus, neque bruta bestia natus fuisset; denique, quod in ætatem Socratis nativitas sua incidisset. (2) Et Antipatrum profecto Tarsensem similiter perhibent, quum sub mortem reputaret quæ felicia sibi in vita evenissent, ne prosperam quidem a patria sua Athenas navigationem præterisse: nimirum propitiæ bonis fortunæ omnia dona in magno beneficio reponens et usque ad finem memoria tenens, qua nullum homini ad retinenda bona certius est ærarium. (3) Immemoribus enim et stolidis ea cum tempore effluunt: itaque quum nihil honorum retineant nihilque tueantur, in perpetuum his vacui, spe pleni futura præsentibus dimissis spectant. (4) Et vero quum illa possint a fortuna impediri, hæc eripi non queant; ii tamen dona fortunæ præsentia tanquam aliena abjiciunt, futura et incerta somniant, patientes quod eos pati consentaneum est. (5) Nam externa bona, priusquam rationis et disciplinæ opera istis sedem atque fundamentum locaverint, congerentes atque coacervantes, insatiabilem animi cupiditatem explere non possunt. (6) Mortuus est Marius decimo septimo consulatus septimi die: magnumque tum Romæ gaudium exortum animique civium in bonam spem erecti, gravi se tyran-

ἀπηλλαγμένην· ὀλίγαις δὲ ἡμέραις ἤσθοντο νέον ἀντηλλαγμένοι καὶ ἀκμάζοντα ἀντὶ πρεσβύτου δεσπότην· τοσαύτην ὁ υἱὸς αὐτοῦ Μάριος ὠμότητα καὶ πικρίαν ἐπεδείξατο τοὺς ἀρίστους καὶ δοκιμωτάτους ἀναιρῶν. (7) Δόξας δὲ καὶ τολμητὴς καὶ φιλοκίνδυνος εἶναι πρὸς τοὺς πολεμίους ἐν ἀρχῇ παῖς Ἄρεος ὠνομάζετο, ταχὺ δὲ τοῖς ἔργοις ἐλεγχόμενος αὖθις Ἀφροδίτης υἱὸς ἐκαλεῖτο. Τέλος δὲ κατακλεισθεὶς εἰς Πραινεστὸν ὑπὸ Σύλλα καὶ πολλὰ φιλοψυχήσας μάτην, ὡς ἦν ἄφυκτα d τῆς πόλεως ἁλισκομένης, αὐτὸς αὑτὸν ἀπέκτεινεν.

nide liberatos putantium. Paucis autem post diebus novum se et ætate vigentem dominum in locum senis accepisse viderunt : tantam sævitiam Marius junior, optimos laudatissimosque viros trucidando, ostendit. (7) Atque is quum audax bellicorumque periculorum adeundorum cupidus videretur, initio Martis filius dictus, mox factis ipsis qualis esset deprehensus, Veneris filius audivit. Ad extremum Præneste obsessus a Sylla, quum vitæ retinendæ causa multa frustra tentasset et capta urbe effugere non posset, mortem sibi ipse conscivit.

ΛΥΣΑΝΔΡΟΣ.

LYSANDER.

Ὁ Ἀκανθίων θησαυρὸς ἐν Δελφοῖς ἐπιγραφὴν ἔχει τοιαύτην· « Βρασίδας καὶ Ἀκάνθιοι ἀπ' Ἀθηναίων. » Διὸ καὶ πολλοὶ τὸν ἐντὸς ἑστῶτα τοῦ οἴκου παρὰ ταῖς θύραις λίθινον ἀνδριάντα Βρασίδου νομίζουσιν εἶναι. Λυσάνδρου δέ ἐστιν εἰκονικὸς εὖ μάλα κομῶντος ἔθει τῷ παλαιῷ καὶ πώγωνα καθειμένου γενναῖον. (2) Οὐ γὰρ, ὡς ἔνιοί φασιν, Ἀργείων μετὰ τὴν μεγάλην ἧτταν ἐπὶ πένθει καρέντων οἱ Σπαρτιᾶται πρὸς τὸ ἀντίπαλον αὐτοῖς τὰς κόμας ἀγαλλόμενοι τοῖς πεπραγμένοις ἀνῆκαν, οὐδὲ Βακχιαδῶν τῶν ἐκ Κορίνθου φυγόντων εἰς Λακεδαίμονα ταπεινῶν καὶ ἀμόρφων διὰ τὸ κείρασθαι τὰς κεφαλὰς φανέντων εἰς ζῆλον αὐτοὶ τοῦ κομᾶν ἦλθον, ἀλλὰ καὶ τοῦτο Λυκούργειόν ἐστι. (3) Καί φασιν εἰπεῖν αὐτὸν, ὡς ἡ κόμη τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ὁρᾶσθαι ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

Donum ab Acanthiis apud Delphos dedicatum hanc habet inscriptionem: « Brasidas et Acanthii de Atheniensibus. » Quamobrem multi lapideam statuam, quæ intra cellam juxta fores sita est, Brasidæ esse putant. Ea vero Lysandri est effigies, cæsariem more antiquo barbamque prolixam habentis. (2) Quod enim nonnulli dicunt, Argivis post magnam illam cladem crines tondentibus, Spartanos contra victoria exsultantes comam aluisse falsum est: sicut id quoque, quum Bacchiadæ Corintho expulsi Lacedæmonem exsules advenissent, abjecto et ob tonsa capita deformi habitu, cupiditatem Spartanis nutriendorum crinium incessisse. Enimvero Lycurgi instituto id quoque fecerunt, (3) quem dixisse ferunt, propter comam pulchros formosiores aspectu, deformes terribiliores effici.

II. Λέγεται δὲ ὁ Λυσάνδρου πατὴρ Ἀριστόκριτος οἰκίας μὲν οὐ γενέσθαι βασιλικῆς, ἄλλως δὲ γένους εἶναι τοῦ τῶν Ἡρακλειδῶν. (2) Ἐτράφη δὲ ὁ Λύσανδρος ἐν πενίᾳ καὶ παρέσχεν ἑαυτὸν εὔτακτον, ὡς εἴ τις ἄλλος, πρὸς τοὺς ἐθισμοὺς καὶ ἀνδρώδη καὶ κρείττονα πάσης ἡδονῆς, πλὴν εἴ τινα τιμωμένοις καὶ κατορθοῦσιν αἱ καλαὶ πράξεις ἐπιφέρουσι. (3) Ταύτης δὲ οὐκ αἰσχρόν ἐστιν ἡττᾶσθαι τοὺς νέους ἐν Σπάρτῃ. Βούλονται γὰρ εὐθὺς ἐξ ἀρχῆς πάσχειν τι τοὺς παῖδας αὐτῶν πρὸς δόξαν ἀλγυνομένους τε τοῖς ψόγοις καὶ μεγαλυνομένους ὑπὸ τῶν ἐπαίνων· ὁ δὲ ἀπαθὴς καὶ ἀκίνητος ἐν τούτοις ὡς ἀφιλότιμος πρὸς ἀρετὴν καὶ ἀργὸς καταφρονεῖται. (4) Τὸ μὲν οὖν φιλότιμον αὐτῷ καὶ φιλόνεικον ἐκ τῆς Λακωνικῆς παρέμεινε παιδείας ἐγγενόμενον, καὶ οὐδέν τι μέγα χρὴ τὴν φύσιν ἐν τούτοις αἰτιᾶσθαι. (5) Θεραπευτικὸς δὲ τῶν δυνατῶν μᾶλλον ἢ κατὰ Σπαρτιάτην φύσει δοκεῖ γενέσθαι καὶ βάρος ἐξουσίας διὰ χρείαν ἐνεγκεῖν εὔκολος· ὃ πολιτικῆς δεινότητος οὐ μικρὸν ἔνιοι ποιοῦνται μέρος. (6) Ἀριστοτέλης δὲ τὰς μεγάλας φύσεις ἀποφαίνων μελαγχολικὰς, ὡς τὴν Σωκράτους καὶ Πλάτωνος καὶ Ἡρακλέους, ἱστορεῖ καὶ Λύσανδρον οὐκ εὐθὺς, ἀλλὰ πρεσβύτερον ὄντα τῇ μελαγχολίᾳ περιπεσεῖν. (7) Ἴδιον δὲ αὐτοῦ μάλιστα τὸ καλῶς πενίαν φέροντα καὶ μηδαμοῦ κρατηθέντα μηδὲ διαφθαρέντα χρήμασιν αὐτὸν ἐμπλῆσαι τὴν πατρίδα πλούτου καὶ φιλοπλουτίας καὶ παῦσαι θαυμαζομένην ἐπὶ τῷ μὴ θαυμάζειν πλοῦτον, εἰσάγοντα χρυσίου καὶ ἀργυρίου πλῆθος μετὰ τὸν Ἀττικὸν πόλεμον, ἑαυτῷ δὲ μηδεμίαν δραχμὴν ὑπολειπόμενον. (8) Διονυσίου δὲ τοῦ τυράννου πέμψαντος αὐτοῦ ταῖς θυγατράσι πολυτελῆ χιτώνια τῶν Σικελικῶν, οὐκ ἔλαβεν, εἰπὼν φοβεῖσθαι μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. (9) Ἀλλ' ὀλίγον ὕστερον πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτὴς, προσπέμψαντος αὐτῷ δύο στολὰς ἐκείνου καὶ κελεύσαν-

II. Aristocritum Lysandri patrem familia non quidem regia, genere tamen Heraclidarum natum perhibent. (2) In paupertate Lysander educatus, ad exercitationes patrias sese, ut quisquam alius, obsequentem præbuit, virilemque et omnis voluptatis abstinentem, nisi quam honor ob rem bene gestam habitus afferebat. (3) Hujus voluptatis appetentem esse adolescentem, apud Spartanos in turpibus rebus non habebatur. Statim enim a puero ii liberos suos volebant aliqua gloriæ cupiditate affici et reprehensos dolere, laudatos animo efferri: qui non hoc modo afficeretur atque moveretur, eum virtutis nequaquam studiosum, sed ignavum judicabant. (4) Ergo gloriæ studium et pervicacia ei ab disciplina Laconica inhæsit, neque adeo ad naturam ejus hæc sunt referenda. (5) Videtur porro colendis potentibus magis se dedisse, quam Spartani esset moris, et (quam nonnulli civilis facultatis haud exiguam esse partem judicant) propter necessitatem potentium fastum facile pertulisse. (6) Aristoteles, ubi magnos viros natura fuisse melancholicos asserit, ut Socratem, ut Platonem, ut Herculem, Lysandrum ingravescente demum ætate in melancholiam incidisse tradit. (7) Id ei peculiare fuit, quod quum paupertatem ferret præclare, neque unquam capi aut corrumpi pecunia potuisset, patriam divitiis earumque cupiditate replevit, effecitque ne ob id ea, velut ante, in admiratione esset quia divitias non magni faceret: quum quidem post Atheniense bellum, ingesta in eam magna vi auri atque argenti, sibi ipse ne denarium quidem servavit. (8) Dionysio etiam tyranno filiabus ejus pretiosas Sicilienses tunicas mittente, non accepit, vereri se inquiens, ne filiabus eæ dedecori potius essent. (9) Et tamen brevi post tempore ad eundem tyrannum Lacedæmone legatus, quum is duabus missis stolis

τος ἣν βούλεται τούτων ἑλόμενον τῇ θυγατρὶ κομίζειν, αὐτὴν ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι καὶ λαβὼν ἀμφοτέρας ἀπῆλθεν.

III. Ἐπεὶ δὲ τοῦ Πελοποννησιακοῦ πολέμου μῆκος λαμβάνοντος καὶ μετὰ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων κακοπραγίαν αὐτίκα μὲν ἐπιδόξων ὄντων ἐκπεσεῖσθαι τῆς θαλάττης, οὐ πολλῷ δὲ ὕστερον ἀπαγορεύσειν παντάπασιν, Ἀλκιβιάδης ἀπὸ τῆς φυγῆς ἐπιστὰς τοῖς πράγμασι μεγάλην μεταβολὴν ἐποίησε καὶ κατέστησε τοὺς ναυτικοὺς ἀγῶνας εἰς ἀντίπαλον αὐτοῖς, δείσαντες οὖν e οἱ Λακεδαιμόνιοι πάλιν καὶ γενόμενοι ταῖς προθυμίαις καινοὶ πρὸς τὸν πόλεμον, ὡς ἡγεμόνος τε δεινοῦ καὶ παρασκευῆς ἐρρωμενεστέρας δεόμενον, ἐκπέμπουσιν ἐπὶ τὴν τῆς θαλάττης ἡγεμονίαν Λύσανδρον. (2) Γενόμενος δ' ἐν Ἐφέσῳ καὶ τὴν πόλιν εὑρὼν εὖνουν μὲν αὐτῷ καὶ λακωνίζουσαν προθυμότατα, πράττουσαν δὲ τότε λυπρῶς καὶ κινδυνεύουσαν ἐκβαρβαρωθῆναι τοῖς Περσικοῖς ἔθεσι διὰ τὰς ἐπιμιξίας, ἅτε δὴ τῆς Λυδίας περικεχυμένης καὶ τῶν βασιλικῶν στρατηγῶν αὐτόθι τὰ πολλὰ διατριβόντων, στρατόπεδον βαλόμενος καὶ τὰ πλοῖα πανταχόθεν ἕλκεσθαι κελεύσας ἐκεῖ τὰ φορτηγὰ f καὶ ναυπηγίαν τριήρων ἐκεῖ κατασκευασάμενος ταῖς μὲν ἐμπορίαις τοὺς λιμένας αὐτῶν ἀνέλαβεν, ἐργασίαις δὲ τὴν ἀγορὰν, χρηματισμῶν δὲ τοὺς οἴκους καὶ τὰς τέχνας ἐνέπλησεν, ὥστε πρῶτον ἀπ' ἐκείνου τοῦ χρόνου τὴν πόλιν ἐν ἐλπίδι τοῦ περὶ αὐτὴν νῦν ὄντος ἄγκου καὶ μεγέθους διὰ Λύσανδρον γενέσθαι.

IV. Πυθόμενος δὲ Κῦρον εἰς Σάρδεις ἀφῖχθαι τὸν 435 βασιλέως υἱὸν, ἀνέβη διαλεξόμενος αὐτῷ καὶ Τισαφέρ- a νου κατηγορήσων, ὃς ἔχων πρόσταγμα Λακεδαιμονίοις βοηθεῖν καὶ τῆς θαλάσσης ἐξελάσαι τοὺς Ἀθηναίους, ἐδόκει δι' Ἀλκιβιάδην ὑφιέμενος ἀπρόθυμος εἶναι καὶ γλίσχρως χορηγῶν τὸ ναυτικὸν φθείρειν. (2) Ἦν δὲ καὶ Κύρῳ βουλομένῳ τὸν Τισαφέρνην ἐν αἰτίαις εἶναι καὶ κακῶς ἀκούειν πονηρὸν ὄντα καὶ πρὸς αὐτὸν ἰδίᾳ διαφερόμενον. (3) Ἔκ τε δὴ τούτων καὶ τῆς ἄλλης συνδιαιτήσεως ὁ Λύσανδρος ἀγαπηθεὶς καὶ τῷ θεραπευτικῷ μάλιστα τῆς ὁμιλίας ἑλὼν τὸ μειράκιον ἐπέρρωσε πρὸς τὸν πόλεμον. (4) Ἐπεὶ δὲ ἀπαλλάττεσθαι βουλόμενον αὐτὸν ἑστιῶν ὁ Κῦρος ἠξίου μὴ διωθεῖσθαι τὰς παρ' b αὐτοῦ φιλοφροσύνας, ἀλλ' αἰτεῖν ὃ βούλοιτο καὶ φράζειν ὡς οὐδενὸς ἁπλῶς ἀποτευξόμενον, ὑπολαβὼν ὁ Λύσανδρος, « Ἐπεὶ τοίνυν, εἶπεν, οὕτως ἔχεις, ὦ Κῦρε, προθυμίας, αἰτοῦμαί σε καὶ παρακαλῶ προσθεῖναι τῷ μισθῷ τῶν ναυτῶν ὀβολὸν, ὅπως τετρώβολον ἀντὶ τριωβόλου λαμβάνωσιν. » (5) Ἡσθεὶς οὖν ὁ Κῦρος ἐπὶ τῇ φιλοτιμίᾳ τοῦ ἀνδρὸς μυρίους αὐτῷ δαρεικοὺς ἔδωκεν, ἐξ ὧν ἐπιμετρήσας τὸν ὀβολὸν τοῖς ναύταις καὶ λαμπρυνάμενος ὀλίγῳ χρόνῳ τὰς ναῦς τῶν πολεμίων κενὰς ἐποίησεν. (6) Ἀπεφοίτων γὰρ οἱ πολλοὶ πρὸς τοὺς πλέον διδόντας, οἱ δὲ μένοντες ἀπρόθυμοι καὶ στασιώδεις ἐγίνοντο καὶ κακὰ παρεῖχον ὁσημέραι τοῖς στρατηγοῖς. (7) c Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως περισπάσας καὶ κακώσας τοὺς πολεμίους, ὁ Λύσανδρος ὠρρώδει ναυμαχεῖν, δραmandasset uti utram vellet filiæ dono ferret, respondit, ipsam rectius dijudicaturam, et utraque accepta secum discessit.

III. Posteaquam tracto bello Peloponnesiaco quum opinio esset, ob cladem in Sicilia acceptam Athenienses continuo mari toto cessuros, atque paulo post plane de bello sustinendo desperaturos : Alcibiades ab exilio revocatus ac summæ belli præfectus, eam rerum mutationem effecit, ut jam cum hostibus mari decertare æquis viribus posse videretur. Proinde Spartani novo terrore oblato, studiis belli denuo accensis, quum intelligerent duce optimo validioreque apparatu opus esse, Lysandrum rei navali præfectum emiserunt. (2) Is quum Ephesum pervenisset urbemque sibi amicam et rèbus Laconicis enixe cupientem offendisset, sed adversa tum utentem fortuna, in periculoque constitutam ne barbarie morum Persicorum penitus occuparetur ob Persarum commercia (etenim Lydia urbi vicina est, ideoque regii in ea duces plerumque agebant) : castra ibi metatus, mandatoque ut naves onerariæ undique eo conducerentur, ibidemque triremium fabricationem instituens, Ephesiorum portus mercatibus, officinis forum, domos et artes quæstu faciendo occupavit : ut ab eo primum tempore Ephesus Lysandri opera in ejus, quem nunc tenet, splendoris atque majestatis spem sit ingressa.

IV. Inde quum Cyrum regis filium Sardes venisse accepisset, eo ascendit ad eum conveniendum et accusandum Tisaphernem. Namque is quum a rege jussus esset Lacedæmoniis opem ferre et mari Athenienses pellere, videbatur in gratiam Alcibiadis remissius agere, sumptusque maligne suppeditando navalem potentiam corrumpere. (2) Gratum vero erat Cyro, Tisaphernem culpari et male audire, improbum hominem ipsique privatim inimicum. (3) Ob hæc et reliquam in conversando comitatem, qua præcipue adolescentem demerebatur, Cyri favorem nactus, ad bellum eum cohortatus est exsequendum. (4) Quumque is eum discessurum convivio accepisset, atque orasset, ne suam liberalitatem aspernaretur, sed securus repulsæ peteret quod vellet, Lysander : Quando, inquit, tantopere mihi, Cyre, cupis, oro te atque hortor, ut obolum stipendio nautico adjicias, quo classiarii accipiant quaternos pro ternis. (5) Delectatusque ejus liberalitate Cyrus decem milia ei Daricorum dono dedit. Hac de pecunia Lysander obolum nautis viritim distribuit, splendideque agens, parvo tempore naves hostium classiariis vacuas effecit. (6) Plurimi enim ei qui plus numerabat, se adjungebant; qui vero manebant, officium inviti faciebant et seditiosi quotidie ducibus exhibebant negotia. (7) Verum Lysander, tametsi ita ad se pertractis, incommodoque affectis hostibus, prælium tamen navale

στήριον ὄντα τὸν Ἀλκιβιάδην καὶ νεῶν πλήθει περιόντα καὶ μάχας καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς ἐκεῖνο χρόνου πάσας ἀήττητον ἡγωνισμένον δεδοικώς.

V. Ἐπεὶ δὲ ὁ μὲν Ἀλκιβιάδης εἰς Φωκαίαν ἐκ Σάμου διέπλευσεν ἐπὶ τοῦ στόλου καταλιπὼν Ἀντίοχον τὸν κυβερνήτην, ὁ δὲ Ἀντίοχος οἷον ἐφυβρίζων τῷ Λυσάνδρῳ καὶ θρασυνόμενος ἐπέπλευσε δυσὶ τριήρεσιν εἰς τὸν λιμένα τῶν Ἐφεσίων καὶ παρὰ τὸν ναύσταθμον γέλωτι καὶ πατάγῳ χρώμενος σοβαρῶς παρήλαυνεν, ἀγανακτήσας ὁ Λύσανδρος καὶ κατασπάσας τὸ πρῶτον οὐ πολλὰς τῶν τριήρων ἐδίωκεν αὐτὸν, ἰδὼν δὲ αὖ τοὺς Ἀθηναίους βοηθοῦντας, ἄλλας ἐπλήρου καὶ τέλος ἐναυμάχουν συμπεσόντες. Ἐνίκα δὲ Λύσανδρος καὶ πεντεκαίδεκα τριήρεις λαβὼν ἔστησε τρόπαιον. (2) Ἐπὶ τούτῳ τὸν Ἀλκιβιάδην ὁ μὲν ἐν ἄστει δῆμος ὀργισθεὶς ἀπεχειροτόνησεν, ὑπὸ δὲ τῶν ἐν Σάμῳ στρατιωτῶν ἀτιμαζόμενος καὶ κακῶς ἀκούων ἀπέπλευσεν εἰς Χερρόνησον ἐκ τοῦ στρατοπέδου. (3) Ταύτην μὲν οὖν τὴν μάχην, καίπερ οὐ μεγάλην τῇ πράξει γενομένην, ἡ τύχη δι' Ἀλκιβιάδην ὀνομαστὴν ἐποίησεν. (4) Ὁ δὲ Λύσανδρος ἀπὸ τῶν πόλεων εἰς Ἔφεσον μεταπεμπόμενος οὓς ἑώρα μάλιστα ταῖς τε τόλμαις καὶ τοῖς φρονήμασιν ὑπὲρ τοὺς πολλοὺς ὄντας, ἀρχὰς ὑπέσπειρε τῶν ὕστερον ἐπ' αὐτοῦ γενομένων δεκαδαρχιῶν καὶ νεωτερισμῶν, προτρέπων καὶ παροξύνων ἑταιρικὰ συνίστασθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ὡς ἅμα τῷ καταλυθῆναι τοὺς Ἀθηναίους τῶν τε δήμων ἀπαλλαξομένους καὶ δυναστεύσοντας ἐν ταῖς πατρίσι. (5) Τούτων δὲ τὴν πίστιν ἑκάστῳ δι' ἔργων παρεῖχε τοὺς ἤδη γεγονότας φίλους αὐτῷ καὶ ξένους εἰς μεγάλα πράγματα καὶ τιμὰς καὶ στρατηγίας ἀνάγων καὶ συναδικῶν καὶ συνεξαμαρτάνων αὐτοὺς ὑπὲρ τῆς ἐκείνων πλεονεξίας, ὥστε προσέχειν ἅπαντας αὐτῷ καὶ χαρίζεσθαι καὶ ποθεῖν ἐλπίζοντας οὐδενὸς ἀτυχήσειν τῶν μεγίστων, ἐκείνου κρατοῦντος. (6) Διὸ καὶ Καλλικρατίδαν οὔτ' εὐθὺς ἡδέως εἶδον ἐλθόντα τῷ Λυσάνδρῳ διάδοχον τῆς ναυαρχίας οὔτε, ὡς ὕστερον διδοὺς πεῖραν ἀνὴρ ἐφαίνετο πάντων ἄριστος καὶ δικαιότατος, ἠρέσκοντο τῷ τρόπῳ τῆς ἡγεμονίας ἁπλοῦν τι καὶ Δώριον ἐχούσης καὶ ἀληθινόν. (7) Ἀλλὰ τούτου μὲν τὴν ἀρετὴν ὥσπερ ἀγάλματος ἡρωικοῦ κάλλος ἐθαύμαζον, ἐπόθουν δὲ τὴν ἐκείνου σπουδὴν καὶ τὸ φιλέταιρον καὶ χρειώδες ἐζήτουν, ὥστε ἀθυμεῖν ἐκπλέοντος αὐτοῦ καὶ δακρύειν.

VI. Ὁ δὲ τούτους τε τῷ Καλλικρατίδᾳ δυσμενεστέρους ἐποίει ἔτι μᾶλλον καὶ τῶν ὑπὸ Κύρου χρημάτων αὐτῷ δεδομένων εἰς τὸ ναυτικὸν τὰ περιόντα πάλιν εἰς Σάρδεις ἀνέπεμψεν, αὐτὸν αἰτεῖν, εἰ βούλοιτο, τὸν Καλλικρατίδαν καὶ σκοπεῖν, ὅπως θρέψοι τοὺς στρατιώτας κελεύσας. (2) Τέλος δὲ ἀποπλέων ἐμαρτύρατο πρὸς αὐτὸν, ὅτι θαλασσοκρατοῦν τὸ ναυτικὸν παραδίδωσιν. (3) Ὁ δὲ βουλόμενος ἐλέγξαι τὴν φιλοτιμίαν ἀλαζονικὴν καὶ κενὴν οὖσαν, « Οὐκοῦν, ἔφη, λαβὼν ἐν ἀριστερᾷ Σάμον καὶ περιπλεύσας εἰς Μίλητον ἐκεῖ μοι παράδος τὰς τριήρεις· δεδιέναι γὰρ οὐ χρὴ παραπλέοντας ἡμᾶς

formidabat, Alcibiadem metuens, acrem virum et numero navium superiorem, nullaque ad id usque tempus neque terra neque mari victum pugna.

V. Ut vero Alcibiades, præfecto classi Antiocho gubernatore, a Phocæa in Samum trajecit, Antiochus velut in contumeliam Lysandri audacter duabus triremibus ad portum Ephesinum advectus, præter stationem ipsam navium cum risu et plausu superbe navigavit : ibi indignatione concitus Lysander, paucis initio triremibus deductis, eum insecutus est, quumque ab Atheniensibus Antiocho auxilium ferri cerneret, pluribus instructis ipse quoque navibus advenit : inde navali prœlio commisso vicit, ac captis quindecim triremibus, tropæum erexit. (2) Ob hoc populus Atheniensis indignabundus imperium Alcibiadi abrogavit, isque a militibus in Samo contumeliose habitus, maleque audiens, ex castris in Chersonesum avectus est. (3) Hanc vero pugnam, etsi nihil magni gestum fuit, fortuna Alcibiadis nomine celebrem fecit. (4) Lysander autem a civitatibus sociis Ephesum evocatus, quos audaciores reliquis esse altioresque ducere spiritus animadvertit, apud eos occulta jecit eorum decemviratuum et novarum rerum, quas deinde perfecit, principia, hortans uti sodalitates instituerent animumque rebus attenderent : etenim simul atque Athenienses essent eversi, fore ut populi imperio sublato, ipsi in patrias suas principatum obtinerent. (5) Id re ipsa singulis confirmavit, eos cum quibus, amicitiam aut hospitium junxisset, ad magnas res, honores et imperia evehens, sociumque se eorum in explendis cupiditatibus, flagitiis atque fraudibus præstans : hinc omnes illum observare, colere atque diligere, sperantes, ipso summa rerum potito, maxima se quævis adepturos. (6) Quo factum est ut Callicratidas, Lysandro successor ad classem missus, neque initio acceptus esset ipsis et postea, quum edito specimine virum se optimum esse omnium atque justissimum demonstrasset, formam imperii sui simplicem Doricamque plane et ingenuam non probaret. (7) Verum hujus virtutem tanquam pulchritudinem heroicæ imaginis alicujus admirati, Lysandri favorem atque in amicos studium commoditatesque societatis ejus desiderabant, ut decedentem mœrore atque lacrimis prosequerentur.

VI. Et quidem horum adversus Callicratidam odia auxit Lysander : missisque sibi a Cyro ad persolvenda nautis stipendia pecuniis, quod superfuit, Sardes remisit, ipsum jubens Callicratidam petere a Cyro, si vellet, ac curare quomodo exercitum aleret. (2) Denique in patriam navigaturus coram Callicratidæ professus est, ei se classem mare omne in potestate sua habentem tradere. (3) Quam ille arrogantiam ut inanem esse atque jactantiorem ostenderet : Quin tu, inquit, ergo, ad lævam Samo relicta ad Miletum classem circumducis, eamque ibi mihi tradis; si enim mare in nostra est potestate, nihil attinet eo in cursu metuere nobis

τοὺς ἐν Σάμῳ πολέμιους, εἰ θαλασσοκρατοῦμεν. » (4) Πρὸς ταῦτα εἰπὼν ὁ Λύσανδρος, ὅτι οὐκ αὐτὸς, ἀλλ' ἐκεῖνος ἄρχοι τῶν νεῶν, ἀπέπλευσεν εἰς Πελοπόννησον ἐν πολλῇ τὸν Καλλικρατίδαν ἀπορίᾳ καταλιπών. (5) Οὔτε γὰρ οἴκοθεν ἀφῖκτο χρήματα κομίζων οὔτε τὰς πόλεις ἀργυρολογεῖν καὶ βιάζεσθαι μοχθηρὰ πραττούσας ὑπέμεινε. Λοιπὸν οὖν ἦν ἐπὶ θύρας ἰόντα τῶν βασιλέως στρατηγῶν, ὥσπερ Λύσανδρος, αἰτεῖν· πρὸς ὃ πάντων ἀφυέστατος ἐτύγχανεν ἀνὴρ ἐλευθέριος καὶ μεγαλόφρων καὶ πᾶσαν ὑφ' Ἑλλήνων ἧττον Ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι τοῦ κολακεύειν καὶ φοιτᾶν ἐπὶ θύρας ἀνθρώπων βαρβάρων πολὺ χρυσίον, ἄλλο δ' οὐδὲν καλὸν ἐχόντων. (6) Ἐκβιαζόμενος δὲ ὑπὸ τῆς ἀπορίας ἀναβὰς εἰς Λυδίαν εὐθὺς ἐπορεύετο εἰς τὴν οἰκίαν τοῦ Κύρου καὶ φράζειν προσέταξεν, ὅτι Καλλικρατίδας ὁ ναύαρχος ἥκει διαλεχθῆναι βουλόμενος αὐτῷ. (7) Τῶν δ' ἐπὶ θύραις τινὸς εἰπόντος, « Ἀλλ' οὐ σχολὴ νῦν, ὦ ξένε, Κύρῳ· πίνει γάρ, » ἀφελέστατά πως ὁ Καλλικρατίδας, « Οὐδέν, ἔφη, δεινόν· αὐτοῦ γὰρ ἑστὼς ἀναμενῶ, μέχρι πίῃ. » (8) Τότε μὲν οὖν δόξας ἀγροϊκός τις εἶναι καὶ καταγελασθεὶς ὑπὸ τῶν βαρβάρων ἀπῆλθεν· ἐπεὶ δὲ καὶ δεύτερον ἐλθὼν ἐπὶ θύρας οὐ παρείθη, βαρέως ἐνεγκὼν εἰς Ἔφεσον ᾤχετο πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον, ὀμνύων δὲ πρὸς τοὺς παρόντας, ἢ μήν, ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται, πάντα ποιήσειν ὑπὲρ τοῦ διαλυθῆναι τοὺς Ἕλληνας, ὡς φοβεροὶ τοῖς βαρβάροις εἶεν αὐτοὶ καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως.

VII. Ἀλλὰ Καλλικρατίδας μὲν ἄξια τῆς Λακεδαίμονος διανοηθεὶς καὶ γενόμενος τοῖς ἄκροις ἐνάμιλλος τῶν Ἑλλήνων διὰ δικαιοσύνην καὶ μεγαλοψυχίαν καὶ ἀνδρείαν, μετ' οὐ πολὺν χρόνον ἐν Ἀργινούσσαις καταναυμαχηθεὶς ἠφανίσθη. (2) Τῶν δὲ πραγμάτων ὑποφερομένων οἱ σύμμαχοι πρεσβείαν πέμποντες εἰς Σπάρτην ἠτοῦντο Λύσανδρον ἐπὶ τὴν ναυαρχίαν, ὡς πολὺ προθυμότερον ἀντιληψόμενοι τῶν πραγμάτων ἐκείνου στρατηγοῦντος. (3) Τὰ δὲ αὐτὰ καὶ Κῦρος ἀξιῶν ἐπέστελλεν. Ἐπεὶ δὲ νόμος ἦν οὐκ ἐῶν δὶς τὸν αὐτὸν ναυαρχεῖν ἐβούλοντό τε χαρίζεσθαι τοῖς συμμάχοις οἱ Λακεδαιμόνιοι, τὸ μὲν ὄνομα τῆς ναυαρχίας Ἀράκῳ τινὶ περιέθεσαν, τὸν δὲ Λύσανδρον ἐπιστολέα τῷ λόγῳ, τῷ δ' ἔργῳ κύριον ἁπάντων ἐξέπεμψαν. (4) Τοῖς μὲν οὖν πλείστοις τῶν πολιτευομένων καὶ δυναμένων ἐν ταῖς πόλεσι πάλαι ποθούμενος ἧκεν· ἤλπιζον γὰρ ἔτι μᾶλλον ἰσχύσειν δι' αὐτοῦ παντάπασι τῶν δήμων καταλυθέντων· τοῖς δὲ τὸν ἁπλοῦν καὶ γενναῖον ἀγαπῶσι τῶν ἡγεμόνων τρόπον ὁ Λύσανδρος τῷ Καλλικρατίδᾳ παραβαλλόμενος ἐδόκει πανοῦργος εἶναι καὶ σοφιστὴς, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου καὶ τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι μεγαλύνων, εἰ δὲ μή, τῷ συμφέροντι χρώμενος ὡς καλῷ καὶ τὸ ἀληθὲς οὐ φύσει τοῦ ψεύδους κρεῖττον ἡγούμενος, ἀλλ' ἑκατέρου τῇ χρείᾳ τὴν τιμὴν ὁρίζων. (5) Τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ'

ab hostibus qui in Samo sunt. (4) Lysander vero, non se, sed illum præesse navibus respondens, in Peloponnesum abiit, relicto in magnis difficultatibus Callicratida. (5) Nam neque domo pecuniam advexerat, neque exigere a civitatibus et extorquere, alioquin male affectis, sustinebat. Reliquum erat ut limina regiorum præfectorum accedens Lysandri exemplo peteret; verum ab ea re ingenio erat alienissimo, ingenuus vir et magnanimus, et qui Græcos a suis gentilibus cladem accipere minori turpitudine posse putabat, quam adulari et adire ad fores barbarorum, quibus præter auri copiam nihil adesset boni. (6) Tamen necessitate compulsus, in Lydiam ascendit, rectaque ad Cyri domum profectus, referri ei jussit, Callicratidam classis ducem adesse et colloqui cum eo velle. (7) Quum eorum qui ad fores stabant, quidam responderet : Non vacat, o hospes, in præsentia Cyro : bibit enim; simpliciter admodum Callicratidas : Nihil, inquit, est incommodi; adsistens enim juxta, exspectabo dum biberit. (8) Tunc igitur rusticus homo habitus et a barbaris derisus, discessit; ut vero iterum ad fores regias veniens non est admissus, indigne ferens, Ephesum abiit, multa imprecatus iis mala, qui primi se a barbaris illudi passi fuissent eosque propter divitias superbire docuissent : juravit etiam coram suis, se, quum primum Spartam rediisset, totum in reconciliandis Græcis futurum, ut barbaris ii deinde terrori essent, neque in posterum auxilia eorum contra sese mutuo requirerent.

VII. Sed is Callicratidas digna Lacedæmone meditatus primisque Græcorum justitia, magnanimitate et fortitudine non inferior, non multo post tempore apud Arginusas, navali pugna victus, interiit. (2) Inclinatis tum rebus, socii fœderis legatis Spartam missis petierunt ut Lysander classi præficeretur, eo duce longe alacrius bellum se gesturos innuentes. (3) Eadem et Cyrus per suos petebat. Sed quum lex obstaret, qua cautum erat ne quisquam bis classem duceret, Spartani ut sociis gratificarentur, Araco cuidam nomen navalis imperii contulerunt, cum eoque Lysandrum verbo legatum, re ipsa summæ rerum præfectum, emiserunt. (4) Fuit Lysandri adventus plerisque eorum qui in republica versabantur, inque civitatibus suis potentia valebant, jam pridem desideratus : sperabant enim suam potentiam populari imperio deleto auctiorem fore. At qui in imperatore simplex et candidum ingenium probabant, iis cum Callicratida comparatus Lysander, versutus homo et impostor videbatur; quippe fraudem plerumque in bello gerendo adhibebat, justitiam utilitati conjunctam magni faciens : sin minus, honesti loco commodum usurpans, verum falso non natura præstantius judicans, sed ex utilitate utrumque æstimans. (5) Qui Herculis stirpe ortos sine dolo bellum

Ἡρακλέους γεγονότας καταγελᾶν ἐκέλευεν· « Ὅπου γὰρ ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν. »

VIII. Τοιαῦτα δὲ αὐτοῦ καὶ τὰ περὶ Μίλητον ἱστόρηται. Τῶν γὰρ φίλων καὶ ξένων, οἷς ὑπέσχετο συγκαταλύσειν τε τὸν δῆμον καὶ συνεκβαλεῖν τοὺς διαφόρους, μεταβαλομένων καὶ διαλλαγέντων τοῖς ἐχθροῖς, φανερῶς μὲν ἥδεσθαι προσεποιεῖτο καὶ συνδιαλλάττειν, κρύφα δὲ λοιδορῶν αὐτοὺς καὶ κακίζων παρώξυνεν ἐπιθέσθαι τοῖς πολλοῖς. (2) Ὡς δὲ ᾔσθετο γινομένην τὴν ἐπανάστασιν, ὀξέως βοηθήσας καὶ παρεισελθὼν εἰς τὴν πόλιν οἷς πρώτοις ἐπιτύχοι τῶν νεωτεριζόντων ἐχαλέπαινε τῇ φωνῇ καὶ προσῆγε τραχυνόμενος ὡς ἐπιθήσων δίκην αὐτοῖς, τοὺς δὲ ἄλλους ἐκέλευε θαῤῥεῖν καὶ μηδὲν ἔτι προσδοκᾶν δεινὸν αὐτοῦ παρόντος. (3) Ὑπεκρίνετο δὲ ταῦτα καὶ διεποίκιλλε τοὺς δημοτικωτάτους καὶ κρατίστους βουλόμενος μὴ φεύγειν, ἀλλ' ἀποθανεῖν ἐν τῇ πόλει μείναντας. Ὃ καὶ συνέβη· πάντες γὰρ ἀπεσφάγησαν οἱ καταπιστεύσαντες. (4) Ἀπομνημονεύεται δὲ ὑπ' Ἀνδροκλείδου λόγος πολλὴν τινα κατηγορῶν τοῦ Λυσάνδρου περὶ τοὺς ὅρκους εὐχέρειαν. Ἐκέλευε γὰρ, ὥς φησι, τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾶν, ἀπομιμούμενος Πολυκράτη τὸν Σάμιον, οὐκ ὀρθῶς τύραννον στρατηγός· οὐδὲ Λακωνικὸν τὸ χρῆσθαι τοῖς θεοῖς ὥσπερ τοῖς πολεμίοις, μᾶλλον δὲ ὑβριστικώτερον· ὁ γὰρ ὅρκῳ παρακρουόμενος τὸν μὲν ἐχθρὸν ὁμολογεῖ δεδιέναι, τοῦ δὲ θεοῦ καταφρονεῖν.

IX. Ὁ δ' οὖν Κῦρος εἰς Σάρδεις μεταπεμψάμενος τὸν Λύσανδρον τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο, νεανιευσάμενος εἰς τὴν ἐκείνου χάριν καὶ εἰ μηδὲν ὁ πατὴρ διδῷη καταχορηγήσειν τὰ οἰκεῖα· κἂν ἐπιλίπῃ πάντα, κατακόψειν ἔφη τὸν θρόνον, ἐφ' ᾧ καθήμενος ἐχρημάτιζε, χρυσοῦν καὶ ἀργυροῦν ὄντα. (2) Τέλος δὲ εἰς Μηδίαν ἀναβαίνων πρὸς τὸν πατέρα τούς τε φόρους ἀπέδειξε τῶν πόλεων λαμβάνειν ἐκεῖνον καὶ τὴν αὐτοῦ διεπίστευσεν ἀρχήν· ἀσπασάμενος δὲ καὶ δεηθεὶς μὴ ναυμαχεῖν Ἀθηναίοις, πρὶν αὐτὸν ἀφικέσθαι πάλιν, ἀφίξεσθαι δὲ ναῦς ἔχοντα πολλὰς ἔκ τε Φοινίκης καὶ Κιλικίας, ἀνέβαινεν ὡς βασιλέα. (3) Λύσανδρος δὲ μήτε ναυμαχεῖν ἀγχωμάλῳ πλήθει δυνάμενος μήτε ὀργὸς καθέζεσθαι μετὰ νεῶν τοσούτων, ἀναχθεὶς ἐνίας προσηγάγετο τῶν νήσων Αἴγινάν τε καὶ Σαλαμῖνα προσμίξας κατέδραμεν. (4) Εἰς δὲ τὴν Ἀττικὴν ἀποβὰς καὶ τὸν Ἄγιν ἀσπασάμενος, κατέβη γὰρ ἐκ Δεκελείας πρὸς αὐτὸν, ἐπέδειξε τῷ πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέων ἧ βούλοιτο κρατῶν τῆς θαλάττης. (5) Οὐ μὴν ἀλλὰ τοὺς Ἀθηναίους αἰσθόμενος διώκοντας αὐτὸν ἄλλῳ δρόμῳ διὰ νήσων ἔφευγεν εἰς τὴν Ἀσίαν. Καὶ τὸν Ἑλλήσποντον ἔρημον καταλαβὼν ἐπεχείρει Λαμψακηνοῖς αὐτὸς ἐκ θαλάττης ταῖς ναυσὶ, Θώραξ δὲ τῷ πεζῷ στρατῷ συνανύσας εἰς τὸ αὐτὸ προσέβαλε τοῖς τείχεσιν. (6) Ἑλὼν δὲ τὴν πόλιν κατὰ κράτος διαρπάσαι τοῖς στρατιώταις ἔδωκεν. Ὁ δὲ τῶν Ἀθηναίων στόλος ὀγδοήκοντα καὶ

gerere volebant, eos rideri jussit : nam ubi pellis leonina non sufficeret, ibi vulpinam assuendam esse.

VIII. Ejus generis est, quod traditum est cum Milesiis eum egisse. Quum amici et hospites ejus cives Milesii, quibus pollicitus fuerat summam in populi potestate abolenda et pelleudis adversariis operam, mutata sententia cum inimicis in gratiam rediissent : palam quidem delectari se ea reconciliatione in eamque consentire simulavit, occulte vero eos objurgavit et ad invadendam multitudinem stimulavit. (2) Deinde ut sensit motam seditionem, celeriter auxilii ferendi causa Miletum intravit, et in quos primum incidisset novarum rerum auctores, eos maledictis increpavit, atque graviter adortus est suppliciumque iis minatus reliquos bono animo esse jussit, nihilque ipso præsente mali metuere. (3) Hanc vero personam eam ob causam tulit, ne qui erant quammaxime populares et præstantissimi, ex urbe fugerent, sed ibi perirent : quod evenit; quotquot enim fide ipsi habita in urbe manserunt, trucidati sunt. (4) Androclidas sermonem ejus retulit, qui magnam Lysandri in jurando levitatem arguit : dixisse enim, pueros talis, viros jurejurando decipiendos esse; Polycratem Samium imitatus, non recte quidem tyrannum imperator : neque Laconicum est, deos eodem quo hostes modo tractare, imo autem in deos contumelia major est : qui enim jurejurando fallit hostem, hunc se metuere, deum contemnere fatetur.

IX. Enimvero Cyrus Lysandro Sardes accito et dedit multa et pollicitus est, in gratiam ejus id quoque jactans, si pater nihil esset daturus, de suo se impensas facturum, et omnibus absumptis, solium suum (solebat autem ex auro et argento confecto in solio sedens rebus publicis vacare) concisurum. (2) Tandem quum ad patrem in Mediam proficisceretur, Lysandrum ad recipienda ab urbibus tributa substituit, suumque ei imperium commisit : eoque salutato et orato ne ante suum reditum (addu cturum enim se multas ex Phœnice et Cilicia naves) cum Atheniensibus bello navali decerneret, ad regem abiit. (3) Lysander quum multitudine hostibus impar, neque prœlium committere posset neque tot cum navibus otiosus esse vellet, avectus, nonnullas insulas in suam potestatem redegit. Æginam quoque et Salaminam adivit et incursionibus vexavit. (4) In Atticam inde egressus salutato Agide (nam ab Decelea is ad eum descenderat) pedestribus copiis tum præsentibus ostendebat navium apparatus, quasi summam imperii maritimi tenens navigare posset quo vellet. (5) At quum de Atheniensibus eum insequentibus certior factus esset, alio cursu per insulas instituto in Asiam fugit. Quumque Hellespontum desertum invenisset, Lampsacum urbem a mari oppugnare cœpit : eodem simul cum terrestribus copiis Thorax perrexit easque muris admovit. (6) Expugnatam vi urbem Lysander militibus diripiendam dedit. Ceterum Atheniensium classis, centum et octoginta triremibus con-

ἑκατὸν τριήρων ἐτύγχανε μὲν ἄρτι καθωρμισμένος εἰς
438 Ἐλαιοῦντα τῆς Χερρονήσου, πυνθανόμενοι δὲ ἀπο- a
λωλέναι τὴν Λάμψακον εὐθὺς εἰς Σηστὸν καταίρουσι.
Κἀκεῖθεν ἐπισιτισάμενοι παρέπλευσαν εἰς Αἰγὸς ποτα-
μούς, ἀντιπέρας τῶν πολεμίων ἔτι ναυλοχούντων περὶ
τὴν Λάμψακον. (7) Ἐστρατήγουν δὲ τῶν Ἀθηναίων
ἄλλοι τε πλείους καὶ Φιλοκλῆς ὁ πείσας ποτὲ ψηφί-
σασθαι τὸν δῆμον ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν
ἁλισκομένων κατὰ πόλεμον, ὅπως δόρυ φέρειν μὴ
δύνωνται, κώπην δὲ ἑλαύνωσι.

X. Τότε μὲν οὖν ἀνεπαύοντο πάντες ἐλπίζοντες
εἰς τὴν ὑστεραίαν ναυμαχήσειν. Ὁ δὲ Λύσανδρος
ἄλλα μὲν διενοεῖτο, προσέταττε δὲ ναύταις καὶ κυβερ-
νήταις, ὡς ἀγῶνος ἅμα ἡμέρᾳ γενησομένου, περὶ ὄρ-
θρον ἐμβαίνειν εἰς τὰς τριήρεις καὶ καθέζεσθαι κόσμῳ b
καὶ σιωπῇ δεχομένους τὸ παραγγελλόμενον, ὡς δ' αὕ-
τως καὶ τὸ πεζὸν ἐν τάξει παρὰ τὴν θάλατταν ἡσυχά-
ζειν. (2) Ἀνίσχοντος δὲ τοῦ ἡλίου καὶ τῶν Ἀθηναίων
μετωπηδὸν ἁπάσαις ἐπιπλεόντων καὶ προκαλουμένων,
ἀντιπρώρους ἔχων τὰς ναῦς καὶ πεπληρωμένας ἔτι
νυκτὸς οὐκ ἀνήγετο, πέμπων δὲ ὑπηρετικὰ παρὰ τὰς
πρώτας τῶν νεῶν ἀτρεμεῖν ἐκέλευε καὶ μένειν ἐν τάξει
μὴ θορυβουμένους μηδ' ἀντεκπλέοντας. (3) Οὕτω δὲ
περὶ δείλην ἀποπλεόντων ὀπίσω τῶν Ἀθηναίων οὐ
πρότερον ἐκ τῶν νεῶν τοὺς στρατιώτας ἀφῆκεν, εἰ μὴ
δύο καὶ τρεῖς τριήρεις, ἃς ἔπεμψε κατασκόπους, ἐλθεῖν
ἰδόντας ἀποβεβηκότας τοὺς πολεμίους. (4) Τῇ δ' ὑστε- c
ραίᾳ πάλιν ἐγίνοντο ταῦτα καὶ τῇ τρίτῃ μέχρι τετάρ-
της, ὥστε πολὺ τοῖς Ἀθηναίοις θράσος ἐγγενέσθαι καὶ
καταφρόνησιν ὡς δεδιότων καὶ συνεσταλμένων τῶν πο-
λεμίων. (5) Ἐν τούτῳ δὲ Ἀλκιβιάδης (ἐτύγχανε γὰρ
περὶ Χερρόνησον ἐν τοῖς ἑαυτοῦ τείχεσι διαιτώμενος)
ἵππῳ προσελάσας πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων
ἠτιᾶτο τοὺς στρατηγοὺς πρῶτον μὲν οὐ καλῶς οὐδ'
ἀσφαλῶς στρατοπεδεύειν ἐν αἰγιαλοῖς δυσόρμοις καὶ
ἀναπεπταμένοις· ἔπειτα πόρρωθεν ἐκ Σηστοῦ τὰ ἐπιτή- d
δεια λαμβάνοντας ἁμαρτάνειν, δέον εἰς λιμένα καὶ
πόλιν Σηστὸν δι' ὀλίγου περιπλεύσαντας ἀπωτέρω γε-
νέσθαι τῶν πολεμίων ἐφορμούντων στρατεύματι μο-
ναρχουμένῳ καὶ πάντα πρὸς φόβον ὀξέως ἀπὸ συνθήμα-
τος ὑπηρετοῦντι. (6) Ταῦτα δὲ αὐτοῦ διδάσκοντος οὐκ
ἐπείθοντο, Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἀπεκρίνατο φήσας
οὐκ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν.

XI. Ὁ μὲν οὖν Ἀλκιβιάδης ὑποπτεύσας τι καὶ προ-
δοσίας ἐν αὐτοῖς ἀπηλλάττετο. (2) Πέμπτῃ δὲ ἡμέρᾳ
τῶν Ἀθηναίων ποιησαμένων τὸν ἐπίπλουν καὶ πάλιν
ἀπερχομένων, ὥσπερ εἰώθεσαν, ὀλιγώρως πάνυ καὶ κα-
ταφρονητικῶς, ὁ Λύσανδρος ἐκπέμπων τὰς κατασκό- e
πους ναῦς ἐκέλευσε τοὺς τριηράρχους, ὅταν ἴδωσι τοὺς
Ἀθηναίους ἐκβεβηκότας, ἐλαύνειν ἀποστρέψαντας ὀπίσω
τάχει παντὶ καὶ γενομένους κοτὰ μέσον τὸν πόρον
ἀσπίδα χαλκῆν ἐπάρασθαι πρῴραθεν ἐπίπλου σύμβο-
λον. (3) Αὐτὸς δὲ τοὺς κυβερνήτας καὶ τριηράρχους
ἐπιπλέων ἀνεκαλεῖτο καὶ παρώρμα συνέχειν ἕκαστον

stans, recens ad Elæuntem Chersonesi urbem in stationem
subierat. Hi audita Lampsaci calamitate, statim Sestum
appulerunt, atque ibi alimentis assumptis, ad Ægospota-
mos navigaverunt, hostium classe adhuc e regione apud
Lampsacum stante. (7) Duces erant Atheniensium quum
alii multi, tum Philocles, ille qui pridem populo persuase-
rat, ut qui eo bello ex hostibus caperetur, ei dextræ manus
pollex amputaretur, ut hastam ferre nequiret, remum du-
cere posset.

X. Ea die utrinque cessatum, et in sequentem diem na-
vale prœlium exspectatum est. At Lysander alias animo cogi-
tationes volvens, nautis et gubernatoribus, tanquam, prima
luce pugnam commissurus, mandavit ut sub auroram in
naves conscenderent, in iisque ordine et silentio servato se-
derent atque ipsius jussum exspectarent : eodem modo pe-
destres etiam copias jussit explicatis in littore ordinibus
quiescere. (2) Orto sole et Atheniensibus tota cum classe
in conspectum a fronte adnavigantibus atque provocantibus,
naves in hostes obversas, quas classiariis nocte ad-
huc durante impleverat, continuit : missisque ad primas
naves lembis ministratoriis, quiescere jussit, ordinibusque
servatis nihil turbari, neque contra hostem provehi. (3)
Quum cœlo jam vesperascente Athenienses recessissent, non
ante milites ex navibus dimisit, quam duæ aut tres trire-
mes, quas speculatum emiserat, reversæ sunt, quum ho-
stem navibus egressum vidissent. (4) Idem postridie, tertio
etiam et usque ad quartum diem egit : unde Atheniensium
aucta est fiducia, contemptioque exstitit hostium, quos metu
perterritos animis cecidisse putabant. (5) Interim Al-
cibiades, qui tum in suis castellis in Chersoneso agebat,
equo ad castra Atheniensium advectus, duces repre-
hendit : primum quod in littore importuoso et aperto
neque recte neque tuto castra posuissent; deinde in eo
peccatum, quod ex Sesto commeatum petere cogerentur :
ex re potius fuisse, si sensim ad portum et urbem Sestum
navigassent, atque ab hostibus se longius removissent, qui
cum copiis unius imperio parentibus, ejusque metu omnia
celeriter dato quovis signo exsequentibus stationem contra
haberent. (6) Hæc docenti nemo obtemperavit. Tydeus
etiam contumeliose non illum, sed alios imperare respon-
dit.

XI. Itaque Alcibiades, concepta etiam proditionis de
ipsis suspicione, discessit. (2) Quinto die Atheniensibus
classem admoventibus, rursusque, ut solebant, contemptis
plane hostibus recedentibus, Lysander speculatoriis navi-
bus emissis, mandavit ut, quum vidissent egressos navibus
Athenienses, retro quam possent celerrime aveherentur,
et ubi in medium trajectum pervenissent, æreum scutum
invadendi hostis signum de prora attollerent. (3) Ipse gu-
bernatores et præfectos triremium circumvectus lembo

ἐν τάξει τὸ πλήρωμα καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας· ὅταν δὲ σημανθῇ, μετὰ προθυμίας καὶ ῥώμης ἐλαύνειν ἐπὶ τοὺς πολεμίους. (4) Ὡς δὲ ἥ τε ἀσπὶς ἀπὸ τῶν νεῶν ἤρθη καὶ τῇ σάλπιγγι τὴν ἀναγωγὴν ἐσήμαινεν ἀπὸ τῆς ναυαρχίδος, ἐπέπλεον μὲν αἱ νῆες, ἡμιλλῶντο δὲ οἱ πεζοὶ παρὰ τὸν αἰγιαλὸν ἐπὶ τὴν ἄκραν. (5) Τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα f ταύτῃ πεντεκαίδεκα σταδίων ἐστὶ καὶ ταχέως ὑπὸ σπουδῆς καὶ προθυμίας τῶν ἐλαυνόντων συνῄρητο. (6) Κόνων δὲ πρῶτος ὁ τῶν Ἀθηναίων στρατηγὸς ἀπὸ τῆς γῆς ἰδὼν ἐπιπλέοντα τὸν στόλον ἐξαίφνης ἀνεβόησεν ἐμβαίνειν καὶ περιπαθῶν τῷ κακῷ τοὺς μὲν ἐκάλει, τῶν δὲ 439 ἐδεῖτο, τοὺς δὲ ἠνάγκαζε πληροῦν τὰς τριήρεις. (7) Ἦν a δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς, ἐσκεδασμένων τῶν ἀνθρώπων· ὡς γὰρ ἐξέβησαν, εὐθὺς ἅτε μηδὲν προσδοκῶντες ἠγόραζον, ἐπλανῶντο περὶ τὴν χώραν, ἐκάθευδον ὑπὸ ταῖς σκηναῖς, ἠριστοποιοῦντο, ποῤῥωτάτω τοῦ μέλλοντος ἀπειρίᾳ τῶν ἡγουμένων ὄντες. (8) Ἤδη δὲ κραυγῇ καὶ ῥοθίῳ προσφερομένων τῶν πολεμίων, ὁ μὲν Κόνων ὀκτὼ ναυσὶν ὑπεξέπλευσε καὶ διαφυγὼν ἀπεπέρασεν εἰς Κύπρον πρὸς Εὐαγόραν· ταῖς δὲ ἄλλαις ἐπιπεσόντες οἱ Πελοποννήσιοι τὰς μὲν κενὰς παντάπασιν ἦρουν, τὰς δ' ἔτι πληρουμένας ἑκόπτον. (9) Οἱ δὲ ἄνθρωποι πρός τε ταῖς ναυσὶν ἀπέθνησκον ἄνοπλοι καὶ σποράδες ἐπιβοηθοῦντες ἔν τε τῇ γῇ φεύγοντες b ἀποβάντων τῶν πολεμίων ἐκτείνοντο. (10) Λαμβάνει δὲ ὁ Λύσανδρος τρισχιλίους ἄνδρας αἰχμαλώτους μετὰ τῶν στρατηγῶν, ἅπαν δὲ τὸ ναύσταθμον ἄνευ τῆς παράλου καὶ τῶν μετὰ Κόνωνος ἐκφυγουσῶν. (11) Ἀναδησάμενος δὲ τὰς ναῦς καὶ διαπορθήσας τὸ στρατόπεδον μετ' αὐλοῦ καὶ παιάνων ἀνέπλευσεν εἰς Λάμψακον, ἔργον ἐλαχίστῳ πόνῳ μέγιστον ἐξειργασμένος καὶ συνῃρηκὼς ὥρᾳ μιᾷ χρόνου μήκιστον καὶ ποικιλώτατον πάθεσί τε καὶ τύχαις ἀπιστότατον τῶν πρὸ αὐτοῦ πολέμων, ὃς μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων c μεταβολὰς ἀμείψας καὶ στρατηγοὺς ὅσους οὐδεὶς οἱ σύμπαντες οἱ πρὸ αὐτοῦ τῆς Ἑλλάδος ἀναλώσας ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συνῄρητο· διὸ καὶ θεῖόν τινες ἡγήσαντο τοῦτο τὸ ἔργον.

XII. Ἦσαν δέ τινες οἱ τοὺς Διοσκόρους ἐπὶ τῆς Λυσάνδρου νεὼς ἑκατέρωθεν, ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, ἄστρα τοῖς ὁπλίταις ἐπιλάμψαι λέγοντες. (2) Οἱ δὲ καὶ τὴν τοῦ λίθου πτῶσιν ἐπὶ τῷ πάθει τούτῳ σημεῖόν φασι γενέσθαι· κατηνέχθη γὰρ, ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος εἰς Αἰγὸς ποταμούς. Καὶ δείκνυται μὲν ἔτι νῦν, d σεβομένων αὐτὸν τῶν Χερρονησιτῶν· λέγεται δὲ Ἀναξαγόραν προειπεῖν, ὡς τῶν κατὰ τὸν οὐρανὸν ἐνδεδεμένων σωμάτων, γενομένου τινὸς ὀλισθήματος ἢ σάλου, ῥῖψις ἔσται καὶ πτῶσις ἑνὸς ἀποῤῥαγέντος· εἶναι δὲ καὶ τῶν ἄστρων ἕκαστον οὐκ ἐν ᾗ πέφυκε χώρᾳ· λιθώδη γὰρ ὄντα καὶ βαρέα λάμπειν μὲν ἀντερείσει καὶ περικλάσει τοῦ αἰθέρος, ἕλκεσθαι δὲ ὑπὸ βίας σφιγγόμενα δίνῃ καὶ τόνῳ τῆς περιφορᾶς, ὥς που καὶ τὸ πρῶτον

hortatus est, ut quilibet socios navales et classicos milites in ordine contineret, datoque signo alacriter et summa vi in hostem contenderent. (4) Ubi a navibus scutum sublatum est et a prætoria navi tuba classicum cecinit, naves contra Athenienses subvectæ sunt, et in littore terrestres copiæ certatim ad promontorium contenderunt. (5) Est ibi inter utramque continentem quindecim stadiorum intercapedo: id spatii studio et alacritate remigum cito fuit confectum. (6) Primus a terra hostilem classem advenire vidit Conon, dux Atheniensium, subitoque elata voce conscendere naves jussit: et summum ex infortunio suorum dolorem capiens hortando alios, alios rogando, quosdam vi ad triremes compulit. (7) Verum nihil ejus studium profecit, dissipatis hominibus: quippe ut primum navibus fuerant egressi, nihil tale veriti aut res necessarias emebant, aut per agrum vagabantur, aut in tentoriis dormiebant, aut cœnabant: imperitia enim ducum eos quam longissime a cogitatione eorum quæ eventura erant abduxerat. (8) Hostibus jam cum clamore et impetu advehentibus, Conon cum octo navibus avectus evasit et in Cyprum ad Euagoram regem perfugit. Reliquas adorti Peloponnesii, partim omnino vacuas ceperunt, partim adhuc in eas conscendentibus hostibus diffiderunt. (9) Homines partim ad naves inermes et promiscui contendentes cæsi sunt, partim in terra, egressis eodem hostibus, necati. (10) Tria millia hominum cum ipsis ducibus cepit Lysander et universam classem, navi paralo et illis quæ cum Conone fugerant exceptis. (11) Castris hostium direptis navibusque ad suas alligatis ad tibiæ cantum et pæanes Lampsacum revertit, quum quidem maximam rem minimo labore, unaque hora longissimum bellum confecisset. Quod bellum fortuna maxime varia dubiisque et inconstantibus eventibus, ut nullum ante, diu gestum, infinitisque rerum mutationibus et certaminibus omnis generis, absumptis, quot ne omnibus quidem reliquis Græciæ bellis perierant, ducibus, unius tandem viri consilio et peritia consummatum est, ita ut quidam ad deos id Lysandri facinus retulerint.

XII. Fuere qui juxta Lysandri navem, quum primum ex portu contra hostes proveheretur, ab una parte Castoris, ab altera Pollucis stellam ad gubernacula affulsisse dicerent. (2) Quidam lapidis quoque casu eam cladem præmonstratam fuisse asserunt. Decidit enim de cœlo, quæ communis est opinio, ingens lapis ad Ægos flumen, ostenditurque adhuc et ab iis qui Chersonesum inhabitant, colitur. Ferunt Anaxagoram prædixisse, si qua corporum in cœlo fixorum incidisset labefactatio aut trepidatio, fore ut unum eorum avelleretur raptimque dejiceretur; neque stellas in iis esse locis, ubi quæque ortæ essent: nam lapideas natura sua et graves lucere quidem eas percusso et refracto in ipsis æthere, circumagi autem constricta vertigine et vehementia motus cœlestis, quemadmodum ab initio, quum

ἐκρατήθη μὴ πεσεῖν δεῦρο, τῶν ψυχρῶν καὶ βαρέων ἀποκρινομένων τοῦ παντός. (3) Ἔστι δέ τις πιθανωτέρα δόξα ταύτης εἰρηκότων ἐνίων, ὡς οἱ διάττοντες ἀστέρες οὐ ῥύσις εἰσὶν οὐδ' ἐπινέμησις αἰθερίου πυρὸς ἐν ἀέρι κατασβεννυμένου περὶ τὴν ἕλξιν αὐτὴν οὐδὲ ἀέρος εἰς τὴν ἄνω χώραν πλήθει λυθέντος ἔκπρησις καὶ ἀνάφλεξις, ῥῖψις δὲ καὶ πτῶσις οὐρανίων σωμάτων οἷον ἐνδόσει τινὶ τόνου καὶ περιτρόπου κινήσεως ἐκπαλῶν φερομένων οὐ πρὸς τὸν οἰκούμενον τόπον τῆς γῆς, ἀλλὰ τῶν πλείστων ἐκτὸς εἰς τὴν μεγάλην ἐκπιπτόντων θάλατταν· διὸ καὶ λανθάνουσι. (4) Τῷ δ' Ἀναξαγόρᾳ μαρτυρεῖ καὶ Δαίμαχος ἐν τοῖς Περὶ εὐσεβείας ἱστορῶν, ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε συνεχῶς κατὰ τὸν οὐρανὸν ἑωρᾶτο πύρινον σῶμα παμμέγεθες, ὥσπερ νέφος φλογοειδὲς, οὐ σχολάζον, ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὡς τὰ ὑπὸ σάλου καὶ πλάνης ἀπορῥηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀστράπτειν, ὥσπερ οἱ διάττοντες ἀστέρες. (5) Ἐπεὶ δὲ ἐνταῦθα τῆς γῆς ἔβρισε καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον οὐδ' ἴχνος τοσοῦτον, λίθος δὲ κείμενος, ἄλλως μὲν μέγας, οὐθὲν δὲ μέρος, ὡς εἰπεῖν, ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων. (6) Ὅτι μὲν οὖν εὐγνωμόνων ὁ Δαίμαχος ἀκροατῶν δεῖται δῆλός ἐστιν· εἰ δὲ ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκοντας ἐκ τινος ἀκρωρείας ἀποκοπεῖσαν πνεύμασι καὶ ζάλαις πέτραν, ὑποληφθεῖσαν δ', ὥσπερ οἱ στρόβιλοι, καὶ φερομένην, ᾗ πρῶτον ἐνέδωκε καὶ διελύθη τὸ περιδινῆσαν, ἐκριφῆναι καὶ πεσεῖν. (7) Εἰ μὴ νὴ Δία πῦρ μὲν ἦν ὄντως τὸ φαινόμενον ἐπὶ πολλὰς ἡμέρας, σβέσις δὲ καὶ φθορὰ μεταβολὴν ἀέρι παρέσχεν εἰς πνεύματα βιαιότερα καὶ κινήσεις, ὑφ' ὧν συνέτυχε καὶ τὸν λίθον ἐκριφῆναι. Ταῦτα μὲν οὖν ἑτέρῳ γένει γραφῆς διακριβωτέον.

XIII. Ὁ δὲ Λύσανδρος, ἐπεὶ τῶν τρισχιλίων Ἀθηναίων, οὓς ἔλαβεν αἰχμαλώτους, ὑπὸ τῶν συνέδρων θάνατος κατέγνωστο, καλέσας Φιλοκλέα τὸν στρατηγὸν αὐτῶν ἠρώτησεν αὐτὸν, τίνα τιμᾶται δίκην ἑαυτῷ τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις. (2) Ὁ δὲ οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς ἐκέλευσε μὴ κατηγορεῖν ὧν οὐδεὶς ἐστι δικαστὴς, ἀλλὰ νικῶντα πράττειν ἅπερ ἂν νικηθεὶς ἔπασχεν· εἶτα λουσάμενος καὶ λαβὼν χλανίδα λαμπρὰν πρῶτος ἐπὶ τὴν σφαγὴν ἠγεῖτο τοῖς πολίταις, ὡς ἱστορεῖ Θεόφραστος. (3) Ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. (4) Ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄστυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. (5) Καταλύων δὲ τοὺς δήμους καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαι-

frigida et gravia ab universitate sejungerentur, retenta fuissent, ne in terram delaberentur. (3) Qua quidem opinione alia est verosimilior eorum, qui stellarum trajectiones non fluxum aut distributionem ignis ætherii esse, qui incensus in aere statim restinguatur, neque aeris præ multitudine rupti et in superiora loca elati incensionem et inflammationem, sed jactationem esse et lapsum cœlestium corporum quæ circularis conversionis violentiâ veluti elisa et per, obliquum lata ideo non conspiciantur, quia fere non ineant terræ partem quæ incolitur, sed in Oceanum extra ambientem decidant. (4) Anaxagoræ quidem testimonium fert Daimachus, in opere *de Pietate* scribens, antequam is lapis decideret, septuaginta et quinque continenter diebus visum fuisse in cœlo corpus igneum prægrande et nubis inflammatæ simile, non otiosum, sed quod variis et fractis veluti motibus ferretur, ita ut ejus jactatione avulsa et dilata in varias partes fragmenta ignea fulserint stellarum salientium modo. (5) Id postquam in terram tandem eo locorum decubuerit metuque et terrore liberati incolæ convenerint ad spectaculum, nullum in eo ignis opus, nullum vestigium apparuisse, sed magnum lapidem, qui tamen vix exiguam ignitæ istius molis portiunculam expleret. (6) Liquet sane, Daimachum benignis auditoribus opus habere : si tamen vera est ejus narratio, omnino eos redarguit, qui saxum a promontorio aliquod venti vi avulsum et abreptum turbinis in morem, ut venti vehementia remisit ac procella id circumvehens desiit, abjectum decidisse aiunt. (7) Nisi ita potius judicandum sit, id quod per multos dies apparuit, re ipsa ignem fuisse, qui exstinctus in aere mutationem in ventos validiores atque motus excitarit : ab his et lapidem eum projectum. Verum hæc diligentius alio scriptionis genere persequenda sunt.

XIII. Lysander porro, quum in concilio decretum esset, Atheniensium tria millia captivos morte mulctandos esse, Philoclem eorum ducem ad se vocans interrogavit, quodnam sibi ipse supplicium statueret, qui civibus suis hujusmodi contra Græces decreti auctor fuisset. (2) Philocles nihil calamitate fractus, non esse ei opus accusatione respondit, nullo exstante causæ judice : ageret proinde victor ea quæ victo ferenda fuissent. Inde lotus, toga candida sumpta, primus civium ad necem ivit. Auctor est Theophrastus. (3) Inde circum urbes navigans Lysander, quotquot Athenienses reperit, eos omnes ire Athenas jussit, jugulaturum, quoscunque extra urbem offendisset, addens. (4) Id agebat, ut omnibus in urbem compulsis, statim ibi caritas annonæ et fames oboriretur, atque ipse in ea obsidenda tanto minus negotii haberet. (5) Per urbes autem populari administratione aliisque reipublicæ formis sublatis,

μόνιον κατέλιπε, δέκα δὲ ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιριῶν. (6) Καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. (7) Οὔτε γὰρ ἀριστίνδην οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλ' ἑταιρίαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθροὺς οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. (8) Ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες ὄξος ἐνέχεαν· εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρόν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος.

XIV. Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολὺν καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας, ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἀγιδι καὶ Παυσανίᾳ τοῖς βασιλεῦσιν ὡς ταχὺ συναιρήσων τὴν πόλιν. (2) Ἐπεὶ δὲ ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς πάλιν εἰς Ἀσίαν διεπέρασε· καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων, Σαμίους δὲ πάντας ἐκβαλὼν παρέδωκε τοῖς φυγάσι τὰς πόλεις. (3) Σηστὸν δ' Ἀθηναίων ἐχόντων ἀφελόμενος οὐκ εἴασεν οἰκεῖν Σηστίους, ἀλλὰ τοῖς γενομένοις ὑπ' αὐτῷ κυβερνήταις καὶ κελευσταῖς ἔδωκε τὴν πόλιν καὶ τὴν χώραν νέμεσθαι· πρὸς δὲ καὶ πρῶτον ἀντέκρουσαν οἱ Λακεδαιμόνιοι καὶ τοὺς Σηστίους αὖθις ἐπὶ τὴν χώραν κατήγαγον. (4) Ἀλλ' ἐκεῖνά γε τοῦ Λυσάνδρου πάντες ἡδέως οἱ Ἕλληνες, Αἰγινήτας τε διὰ πολλοῦ χρόνου τὴν αὐτῶν πόλιν ἀπολαμβάνοντας καὶ Μηλίους καὶ Σκιωναίους ὑπ' αὐτοῦ συνοικιζομένους, ἐξελαυνομένων Ἀθηναίων καὶ τὰς πόλεις ἀποδιδόντων. (5) Ἤδη δὲ καὶ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος κατέπλευσεν εἰς τὸν Πειραιᾶ καὶ παρεστήσατο τὴν πόλιν ἀναγκασθεῖσαν ἐφ' οἷς ἐκεῖνος ἐκέλευε ποιήσασθαι τὰς διαλύσεις. (6) Καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε, « Ἁλώκαντι ταὶ Ἀθᾶναι »· Λυσάνδρῳ δ' ἀντέγραψαν οἱ ἔφοροι, « Ἀρκέει τό γα ἁλῶκειν. » (7) Ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. Τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων οὕτως εἶχε· « Τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω· Καββαλόντες τὸν Πειραιᾶ καὶ τὰ μακρὰ σκέλη καὶ ἐκβάντες ἐκ πασῶν τᾶν πολίων τὰν αὐτῶν γᾶν ἔχοντες, ταῦτά κα δρῶντες τὰν εἰράναν ἔχοιτε, αἱ χρήδοιτε, καὶ τοὺς φυγάδας ἀνέντες. Περὶ τᾶν ναῶν τῶ πλήθεος, ὁκοῖόν τί κα τηνεῖ δοκέῃ, ταῦτα ποιέετε. » (8) Ταύτην δὲ προσε-

singulis unum Lacedæmonium prætorem reliquit et decem præfectos ex iis, quas per oppida instituerat, sodalitatibus. (6) Hæc et in hostium et sociorum in urbibus agens lentaque navigatione urbes invisens, sibi ipsi quodammodo principatum Græciæ machinabatur. (7) Non enim optimates, non ditissimos quosque ad magistratum evehebat, sed sociis suis atque hospitibus eam dignitatem, jusque supplicii et honoris deferendi donabat. Et ipse multis cædibus interfuit sociisque in adversariis pellendis suam operam navavit, specimen Lacedæmonii imperii nequaquam commodum Græcis exhibens. (8) Quid quod Theopompus comœdiarum scriptor nugari mihi videtur, Lacedæmonios mulierculis cauponantibus comparans, quod, quum Græcis suavissimum libertatis potum gustandum dedissent, pro eo acetum infuderint: nam ipse etiam primus gustus gravis fuit et amarus, Lysandro neque populis summam rerum permittente et rempublicam paucis quibusdam, et ferocissimo cuique inter paucos et contentionis cupidissimo tradente.

XIV. His agendis quum non multum temporis impendisset, præmissis Lacedæmonem qui advenire ipsum cum ducentis navibus nunciarent, in Attica ad Agidem et Pausaniam reges pervenit, sperans se cum his statim urbe potiturum. (2) Sed quum resisterent Athenienses, navibus in Asiam rursus trajecit. Ibi in omnibus urbibus rerum publicarum formis æque sublatis ac decemviratibus constitutis, multis ubique cæsis, aut exilii causa solum vertentibus. Samios omnes extorres egit, urbesque eorum exsulibus concessit. (3) Sestum Atheniensibus quum eripuisset, non passus est eam a Sestiis habitari, sed gubernatoribus suis et remigum magistris urbem agrosque tribuit; quod primum Lacedæmonii improbaverunt, Sestiosque in patriam restituerunt. (4) Verum eas actiones Lysandri omnes Græci cum gaudio viderunt, Æginetas longo post tempore in patriam suam reduci, Melios et Scionæos, pulsis ab eo Atheniensibus, postliminio reverti. (5) Quum jam Athenienses in urbe fame laborare inaudivisset, ad Piræeum venit, coegitque eos acceptis quas ipse vellet conditionibus deditionem facere. (6) Lacedæmonios invenias qui dicant Lysandrum Ephoris scripsisse: Captæ sunt Athenæ; et hos rescripsisse: Sufficit esse captas. (7) Sed hoc confictum est rei exornandæ causa. Verum Ephororum decretum ita habuit: Magistratus Lacedæmoniorum ita decreverunt: dejecto Piræeo et longis muris, omnes urbes relinquentes, vestro agro contenti, hoc pacto, si vobis placuerit, pacem habete, receptis etiam exsulibus. De navium numero, quidquid illic visum fuerit id facite. » (8) Hanc scytalam

δέξαντο τὴν σκυτάλην οἱ Ἀθηναῖοι, Θηραμένους τοῦ Ἀγνωνος συμβουλεύσαντος· ὅτε καί φασιν ὑπὸ τῶν νέων τινὸς δημαγωγῶν Κλεομένους ἐρωτώμενον, εἰ τολμᾷ c τἀναντία Θεμιστοκλεῖ πράττειν καὶ λέγειν παραδιδοὺς τὰ τείχη τοῖς Λακεδαιμονίοις, ἃ Λακεδαιμονίων ἀκόντων ἐκεῖνος ἀνέστησεν, εἰπεῖν· « Ἀλλ' οὐδέν, ὦ μειράκιον, ὑπεναντίον ἐγὼ πράττω Θεμιστοκλεῖ· τὰ γὰρ αὐτὰ τείχη κἀκεῖνος ἐπὶ σωτηρίᾳ τῶν πολιτῶν ἀνέστησε καὶ ἡμεῖς ἐπὶ σωτηρίᾳ καταβαλοῦμεν. Εἰ δὲ τὰ τείχη τὰς πόλεις εὐδαίμονας ἐποίει, πασῶν ἔδει πράττειν κάκιστα τὴν Σπάρτην ἀτείχιστον οὖσαν. »

XV. Ὁ δ' οὖν Λύσανδρος, ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας πλὴν δώδεκα καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνός, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν d εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. (2) Δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον ἐφη τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη τῶν ἡμερῶν, ἐν αἷς ἔδει καθηρῆσθαι, παρῳχημένων· ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν ὡς τὰς ὁμολογίας λελυκότων. (3) Ἔνιοι δὲ καὶ προτεθῆναί φασιν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις, ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰσηγήσασθαι τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. (4) Εἶτα μέντοι συνουσίας γενομένης τῶν ἡγεμόνων παρὰ πότον καὶ τινὸς Φωκέως ᾄσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν e πάροδον, ἧς ἡ ἀρχὴ,

> Ἀγαμέμνονος ὦ κόρα,
> ἦλυθον, Ἠλέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν·

πάντας ἐπικλασθῆναι καὶ φανῆναι σχέτλιον ἔργον τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι πόλιν. (5) Ὁ δ' οὖν Λύσανδρος, ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν, τὰ τείχη κατέσκαπτε καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. (6) Εὐθὺς δὲ f καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δὲ ἐν Πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν καὶ Καλλίβιον ἁρμοστὴν, ἄνδρα Σπαρτιάτην, ἐπιστήσας. (7) Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον τὸν ἀθλητὴν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ Ξενοφῶν πεποίηκε, τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλεν, ὁ δὲ τῶν σκελῶν συναράμενος ἀνέτρεψεν αὐτὸν, 442 οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετί- a μησε φήσας αὐτὸν οὐκ ἐπίστασθαι [τὸν Καλλίβιον] ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν μὲν Αὐτόλυκον οἱ τριάκοντα τῷ Καλλιβίῳ χαριζόμενοι μικρὸν ὕστερον ἀνεῖλον.

XVI. Ὁ δὲ Λύσανδρος ἀπὸ τούτων γενόμενος αὐτὸς μὲν ἐπὶ Θράκης ἐξέπλευσε, τῶν δὲ χρημάτων

acceperunt Athenienses, Theramene Hagnonis filio suadente; quo tempore a juvene quodam demagogo Cleomene interroga- c tus, ecquid Themistocli contrarium facere et dicere auderet, muros Lacedæmoniis tradens, quos ille invitis Spartanis exstruxisset; respondisse fertur : Ego vero, adolescens, nihil plane Themistoclis sententiæ repugnans facio : eosdem enim muros et is propter salutem civium ædificavit, et nos propter eorundem salutem demoliemur. Quodsi felicitas urbium e muris penderet, Spartam quæ muris omnino caret, omnium miserrimam esse oportebat.

XV. Enimvero Lysander, navibus Atheniensium præter duodecim omnibus acceptis, murisque Atheniensium, decimo sexto Munychionis die (quo die barbaros ante apud Salaminem navali prælio vicerant), statim etiam rempu- d blicam mutare aggressus est. (2) Atheniensibus autem contumaciter resistentibus misit ad populum qui dicerent, non stetisse civitatem pactis : stare enim muros elapsis diebus, quibus dejectos esse oportuisset; itaque se de illis, ut pactionis ruptoribus, denuo sententias suorum auditurum. (3) Ac sunt qui re vera apud socios propositam fuisse rogationem de agenda in servitutem civitate Atheniensium referant : ac censuisse quidem Erianthum Thebanum, urbem evertendam, agrumque pecoribus ad pascua relinquendum esse. (4) Post ducibus ad compotationem collectis, quum quidam Phocensis ex Euripidis Electra chori primam in e scena vocem retulisset :

> Electra Agamemnone nata, casam
> ad tuam agrestem veni; —

fractos omnium fuisse miseratione animos, visumque cunctis indignum facinus, si tam illustris urbs, quæ tantos protulisset viros, exscinderetur. (5) Proinde Lysander, Atheniensibus nihil non concedentibus, multas ex urbe tibicinas evocavit, omnes etiam quas in castris habebat conduxit, et ad tibiæ sonitum muros dejecit, triremesque cremavit, coronatis et ludentibus sociis, perinde ac si illa dies libertatis f initium esset. (6) Statim etiam rempublicam mutavit, triginta in urbe, decem in Piræeo constitutis præfectis, impositoque in arcem præsidio, eique Callibio Spartano prætoris vice præposito. (7) Qui Callibius quum Autolyco athletæ, in quem convivium suum Xenophon composuit, sublato baculo ictum intentasset, isque eum pedibus apprehensum a in solum prostravisset, Lysander non modo non succensuit Autolyco, sed et Callibium increpavit, quod ignoraret se liberis hominibus imperare. Ceterum Autolycum in Callibii gratiam triginta præfecti paullo post interfecerunt.

XVI. Lysander, his confectis, in Thraciam navigavit : pecuniæ quod supererat, dona et coronas (quæ ei permulti

τὰ περιόντα καὶ ὅσας δωρεὰς αὐτὸς ἡ στεφάνους ἐδέξατο, πολλῶν, ὡς εἰκὸς, διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς Ἑλλάδος, ἀπέστειλεν εἰς Λακεδαίμονα διὰ Γυλίππου τοῦ στρατηγήσαντος περὶ Σικελίαν. (2) Ὁ δὲ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας καὶ ἀφελὼν συχνὸν ἀργύριον ἐξ ἑκάστου πάλιν συνέῤῥαψεν, ἀγνοήσας ὅτι γραμματίδιον ἐνῆν ἑκάστῳ τὸν ἀριθμὸν σημαῖνον. (3) Ἐλθὼν δ' εἰς Σπάρτην ἃ μὲν ὑφῄρητο κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας, τὰ δὲ ἄγγεῖα παρέδωκε τοῖς ἐφόροις καὶ τὰς σφραγῖδας ἐπέδειξεν. (4) Ἐπεὶ δὲ ἀνοιξάντων καὶ ἀριθμούντων διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀργυρίου καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φράζει θεράπων τοῦ Γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος ὑπὸ τῷ Κεραμεικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. Ἦν γὰρ, ὡς ἔοικε, τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος διὰ τοὺς Ἀθηναίους γλαῦκες.

XVII. Ὁ μὲν οὖν Γύλιππος αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. (2) Οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν οὐχ ἥκιστα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἅπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον ὥσπερ κῆρας ἐπαγωγίμους· οἱ δὲ προὔθεσαν γνώμην. (3) Καὶ Θεόπομπος μέν φησι Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. (4) Τοῦτο δὲ ἦν σιδηροῦν, πρῶτον μὲν ὄξει καταβαπτόμενον ἐκ πυρὸς, ὅπως μὴ καταχαλκεύοιτο, ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἀδρανὲς γίνοιτο, ἔπειτα βαρύσταθμον καὶ δυσπαρακόμιστον καὶ ἀπὸ πολλοῦ τινος πλήθους καὶ ὄγκου μικρὰν τινα ἀξίαν δυνάμενον. (5) Κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. (6) Τῶν δὲ Λυσάνδρου φίλων ὑπεναντιουμένων καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσάγεσθαι νόμισμα τοιοῦτον, ἂν δέ τις ἀλῷ κεκτημένος ἰδίᾳ, ζημίαν ὥρισαν θάνατον, ὥσπερ τοῦ Λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῃρεῖτο τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποιεῖτο, τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. (7) Οὐ γὰρ ἦν δημοσίᾳ τιμώμενον ὁρῶντας ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. (8) Ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιῤῥέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων

offerebant, viro nimirum potentissimo et quodammodo Græciæ domino) Gylippo, qui in Sicilia bellum gesserat, Lacedæmonem ferenda dedit. (2) Gylippus, ut aiunt, commissuras vasorum inferne aperiens ac de singulis multum argenti auferens, compegit iterum ea, ignorans in uno quolibet schedulam esse pecuniæ numerum indicantem. (3) Ut venit Spartam, pecuniam furtivam sub tegulis domus suæ abdidit, vasa Ephoris tradidit, sigilla integra ostendens. (4) Quibus apertis atque numeratis quum pecunia schedulis non responderet, dubitatione Ephoris objecta, per ambages indicium fecit famulus Gylippi, in Ceramico, (*quasi dicas* tegularum loco) multas noctuas cubare dicens. Nam eo tempore, ut consentaneum est, plerumque nomisma signabatur noctua propter Athenienses.

XVII. Ita Gylippus post præclara sua et magna facta turpi et sordido perpetrato facinore effecit ut Sparta ejiceretur. (2) At qui erant prudentia inter Spartanos primi, eo magis pecuniæ vim metuentes, quæ non vilissimos etiam cives corrupisset, Lysandro maledicebant, obtestabanturque Ephoros, ut omne aurum et argentum, tanquam illecebras pestiferas, urbe exterminarent. Re in concilio proposita, (3) Sciraphidas (ita enim Theopompus habet, Ephorus Phlogidam dicit) sententiam tulit, non esse in civitatem recipiendum argenteum aut aureum nummum, sed a majoribus tradito utendum. (4) Etenim antiquitus ferreo utebantur nummo: et quidem ferrum prius ignitum aceto restinguebatur, ne recudi posset aut fundi, sed propter tincturam omni acie et robore careret: erat et ponderosa ea pecunia et translatu difficilis, quum magni acervi atque ponderis exiguum esset pretium. (5) Atque omnino consentaneum est priscos ferreis et æreis obeliscis usos pro nomismate: atque inde remansisse ut minutissimi nummi, oboli dicantur, et drachma (*sonans* quantum manu comprehenditur) sex obolorum sit: tot enim oboli manu comprehendi possunt una. (6) Ceterum Lysandri amicis resistentibus et hoc agentibus, ut pecunia in urbe remaneret, decretum factum est, publice eam recipiendam: quod si quisquam privatim aureum aut argenteum nomisma possidere deprehenderetur, morte puniendum. Quasi vero Lycurgus nummi genus, non cupiditatem ejus possidendi, metuerit: quæ quidem non ita tollebatur edicto, ne quis privatim haberet, ut excitabatur, permisso ut eam respublica possideret, quo ad utilitatem ejus etiam dignitas atque æmulatio addebatur. (7) Neque enim qui publice magni fieri pecuniam viderent, privatim etiam contemnere poterant, aut domesticis rebus inutilem arbitrari quæ publice tanto honore et studio coleretur. (8) Et vero multo citius mores ex publicis studiis in vitam privatam se insinuant, quam ut singulorum lapsus et affectus urbem malis rebus

πονηρῶν. (9) Τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον, εἰκὸς, αἱ δὲ ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. (10) Οἱ δὲ ταῖς μὲν οἰκίαις τῶν πολιτῶν, ὅπως οὐ πάρεισιν εἰς αὐτὰς 443 νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον, a αὐτὰς δὲ τὰς ψυχὰς ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον ὡς σεμνοῦ δή τινος καὶ μεγάλου τοῦ πλουτεῖν ἅπαντας. Περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα Λακεδαιμονίων.

XVIII. Ὁ δὲ Λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν Δελφοῖς αὑτοῦ χαλκῆν εἰκόνα καὶ τῶν ναυάρχων ἑκάστου καὶ χρυσοῦς ἀστέρας τῶν Διοσκόρων, οἱ πρὸ τῶν Λευκτρικῶν ἠφανίσθησαν. (2) Ἐν δὲ τῷ Βρασίδου καὶ Ἀκανθίων θησαυρῷ τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος δυεῖν πηχῶν, ἣν Κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. (3) Ἀναξανδρίδης δὲ ὁ Δελφὸς b ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα Λυσάνδρου κεῖσθαι τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας, οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. (4) Τότε δ' οὖν ὁ Λύσανδρος ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθεὶς ἐδόκει φρονήμασι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. (5) Πρῶτον μὲν γὰρ, ὡς ἱστορεῖ Δοῦρις, Ἕλλήνων ἐκείνῳ καὶ βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς δὲ πρῶτον παιᾶνες ᾄσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε·

Τὸν Ἑλλάδος ἀγαθέας,
στραταγὸν ἀπ' εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὦ, c
ἰὴ Παιάν.

(6) Σάμιοι δὲ τὰ παρ' αὑτοῖς Ἡραῖα Λυσάνδρια καλεῖν ἐψηφίσαντο. Τῶν δὲ ποιητῶν Χοιρίλλον μὲν ἀεὶ περὶ αὐτὸν εἶχεν ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς, Ἀντιλόχῳ δὲ ποιήσαντί μετρίους τινὰς εἰς αὐτὸν στίχους ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πῖλον. (7) Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήματι Λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτοῦ τὸν Νικήρατον ἐστεφάνωσεν, ὁ δὲ Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. (8) Πλάτων δὲ νέος ὢν τότε καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ d βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο τοῖς ἀγνοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. (9) Ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους ἑξάκις Πύθια νενικηκὼς ἐπηγγέλλετο τῷ Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτὸν, « Ἢ δοῦλον; » εἶπεν.

XIX. Ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ Λυσάνδρου τοῖς πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὴς μόνον. Ὑπεροψίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θεραπεύοντας ἐγγενομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς οὔτε

impleant. (9) Consentaneum est enim cum toto in pejus vergente, una etiam partes abripi, quum quod ab una particula adversus totius naturam peccatur, impediri atque corrigi facile a sanis membris queat. (10) At Lacedæmonii civium domibus, ne in eas nomisma ingrederetur, metum et legem custodiæ loco constituerunt : quum vero eam opinionem excitassent in civium animis, magnam esse et præclaram rem, quod universi divites essent, eos a pecuniæ cupiditate intactos atque immotos præstare nullo modo potuerunt. Verum nos eo nomine etiam alio quodam commentario Spartanos reprehendimus.

XVIII.[a] Lysander ex manubiis æream sui statuam Delphis posuit et uniuscujusque præfectorum navibus, et stellas Castorum aureas, quæ ante Leuctricam pugnam de medio sublatæ sunt. (2) In Brasidæ et Acanthiorum donariis triremis sita fuit bicubitalis, ex auro et ebore confecta, quam Cyrus Lysandro ob partam victoriam gratulans misit. (3) Anaxandrides Delphicus scriptum reliquit, depositum etiam ibi Lysandri fuisse talentum scilicet argenti et minas quinquaginta duas, undecimque stateres : quæ cum iis, quæ de paupertate viri in confesso sunt, non conveniunt. (4) Enimvero Lysander quum tunc ad majorem quam ullus unquam Græcus homo potentiam pervenisset, fastu tamen videtur majori, quam pro sua potentia elatus fuisse. (5) Primo enim ei Græcorum et aræ sunt a civitatibus positæ, ut Duris tradit, tanquam deo, et sacrificia peracta in ejus honorem : primo omnium Græcorum pæanes sunt cantati, quorum unius hoc initium commemoratur :

Celebrabimus inclutæ
Græciæ Lacedæmone
prognatum ducem ab ampla :
Io Pæan!

(6) Samii festum Junonis suum Lysandria vocandum sanxerunt. Ex poetis ipse Chœrilum semper secum habuit, qui carmine res ejus gestas exornaret : Antilocho, quod de ipso mediocres aliquot versus scripsisset, oblectatus pileum argento replevit. (7) Antimacho Colophonio et Nicerato quodam Heracleota Lysandria poemate decertantibus ipso judice, Niceratum coronavit, Antimachus indignatione motus poema suum abolevit. (8) Plato autem, juvenis tum, miratus Antimachum graviter ferre quod in re poetica esset superatus, consolatus eum est ostenditque, ignorationem iis quibus inesset tantum nocere, sicut cæcitatem iis modo, qui capti luminibus essent. (9) Verum Aristonous citharœdus quum sexies vicisset Pythia et Lysandro blandiens esset pollicitus, si rursus vicisset, Lysandri sese esse pronuntiaturum, tum ille « Num servum? » inquit.

XIX. Ac Lysandri quidem ambitio primariis viris et eodem in dignitatis gradu constitutis molesta tantum erat. Postquam vero præter illam ambitionem magnus fastus asseclarum culpa et importunitas ejus mores incessit, neque

τιμωρίας μέτρον ἦν παρ' αὐτῷ δημοτικὸν, ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας ἀνυπεύθυνοι δυναστεῖαι πόλεων καὶ τυραννίδες ἀνεξέταστοι, θυμοῦ δὲ μία πλήρωσις ἀπολέσθαι τὸν ἀπεχθόμενον· οὐδὲ γὰρ φυγεῖν ἐξῆν. (2) Ἀλλὰ καὶ Μιλησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς, μὴ φύγωσι, καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βουλόμενος ὤμοσε μὴ ἀδικήσειν· πιστεύσαντας δὲ καὶ προελθόντας ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς παρέδωκεν οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας (3) Ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δημοτικῶν φόνος οὐκ ἀριθμητὸς, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος, ἀλλὰ πολλαῖς μὲν ἔχθραις, πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦντος. (4) Ὅθεν εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος εἰπὼν, ὡς οὐκ ἂν ἡ Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. Τὸ δὲ αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θεόφραστος εἰπεῖν Ἀρχέστρατον. (5) Ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ τρυφὴ σὺν αὐθαδείᾳ τὸ μάλιστα δυσχεραινόμενον· τὴν δὲ Λυσάνδρου δύναμιν ἡ τοῦ τρόπου χαλεπότης φοβερὰν ἐποίει καὶ βαρεῖαν. (6) Οἱ δὲ Λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν· ἐπεὶ δὲ Φαρνάβαζος ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος ἀπέστειλεν εἰς τὴν Σπάρτην κατηγόρους, ἀγανακτήσαντες οἱ ἔφοροι τῶν μὲν φίλων αὐτοῦ καὶ συστρατήγων ἕνα Θώρακα λαβόντες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν, ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν ἥκειν κελεύοντες. (7) Ἔστι δὲ ἡ σκυτάλη τοιοῦτον· ἐπὰν ἐκπέμπωσι ναύαρχον ἢ στρατηγὸν οἱ ἔφοροι ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἀπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι· ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. (8) Ὅταν οὖν ἀπόῤῥητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον ὥσπερ ἱμάντα μακρὸν καὶ στενὸν ποιοῦντες περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. (9) Τοῦτο δὲ ποιήσαντες ἃ βούλονται καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον· ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. (10) Δεξάμενος δὲ ἐκεῖνος ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι δύναται, τῶν γραμμάτων συναφὴν οὐκ ἐχόντων, ἀλλὰ διεσπασμένων, τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥστε τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. (11) Καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον.

XX. Ὁ δὲ Λύσανδρος, ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον, διεταράχθη καὶ μάλιστα τὰς τοῦ Φαρναβάζου δεδιὼς κατηγορίας ἐσπούδασεν εἰς λόγους αὐτῷ ὡς λύσων συνελθεῖν τὴν διαφοράν. (2) Καὶ συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας

honoris jam neque supplicii modum populârem servabat; sed et amicitiæ præmia et hospitii imperia in civitates nullis legibus obnoxia tyrannidesque effrenatæ erant, et iram aliter, nisi occiso eo quem odisset, explere non poterat, nulla effugiendi permissa facultate. (2) Sed et postea temporis Milesiorum populi proceres, quia metuebat ne effugerent, simulque eos qui se abdiderant, elicere cupiens, jurejurando confirmavit, nemini se vim facturum: quumque fidem habuissent atque in medium processissent, viri haud pauciores octingentis, his qui paucorum in republica principatui studebant utrosque trucidandos tradidit. (3) Et per alias quoque urbes innumeri eorum qui popularem reipublicæ administrationem præferebant, cæsi sunt: quum non sui modo odii causa, sed et in gratiam frequentium inimicitiarum cupiditatumque amicorum, quos passim habebat, illos tolleret. (4) Itaque Eteoclis Lacedæmonii vox probata est, qui Græciam non potuisse duos Lysandros perferre, dixit: quod idem de Alcibiade Archestratum pronuntiasse Theophrastus ait. (5) Verum hujus petulantia et contumacia libidini juncta maxime odio fuit: Lysandri potentiam morum acerbitas gravem terribilemque reddidit. (6) Quæ de eo afferebantur querelæ, earum nullam fere rationem habebant Lacedæmonii. Sed postquam Pharnabazus injuria ab eo affectus, regionem ipsius populante, Spartam misit qui eum accusarent: ibi demum Ephori indignatione correpti, Thoracem, qui ex amicis ejus et collegis in bello gerendo unus fuerat, deprehensum quod privatim argentum possideret, interfecerunt: ipsum Lysandrum scytala missa revocarunt. (7) Quod de scytala dixi, tale est: quum classis aut exercitus ducem emittunt Ephori, duo teretia ligna habent longitudinis et crassitiei exacte ejusdem, ut dissecta accurate coeant; horum unum duci proficiscenti peregre dant, ipsi alterum retinent; ligna hæc scytalas nominant. (8) Post ubi arcanam aliquam aut magnam rem ei indicare volunt, schedam longam lori instar atque arctam efficiunt, suæ eam circumvolvunt scytalæ, ita quidem, ut nullo vacuo relicto spatio tota scytalæ superficies eo libello integatur. (9) Ita circumplicata scheda, inscribunt quidquid visum fuerit: libellum inde scytalæ detractum seorsum ad ducem mittunt. (10) Is ubi accepit, scytalæ suæ (aliter enim legi nequaquam potest, litteris non cohærentibus, sed in apices varie divulsis) circumligat, atque ita curvitate ista in rectum ordinem restituta et primis cum sequentibus conjunctis circumferens oculos per circularem eum ambitum perpetuitatem epistolæ invenit. (11) Nomine autem ligni etiam ista epistola scytala dicitur, ut commensurato mensuræ nomen tribuitur.

XX. Eam tum in Hellesponto Lysander scytalam quum accepisset, perturbatus animo et maxime Pharnabazi metuens accusationes, operam dedit, ut eum conveniret, sperans se litem compositurum. (2) Et congressus oravit eum, uti alias de ipso ad Ephoros scriberet literas, nullam se injuriam

ἑτέραν ἐπιστολὴν ὡς οὐδὲν ἠδικημένον οὐδ' ἐγκαλοῦντα. Πρὸς Κρῆτα δὲ ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. (3) Ὑποσχόμενος γὰρ ἅπαντα ποιήσειν φανερῶς μὲν ἔγραψεν οἷαν ὁ Λύσανδρος ἠξίωσεν ἐπιστολήν, κρύφα δὲ εἶχεν ἑτέραν αὐτόθι γεγραμμένην. Ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν ἐναλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην. (4) Ἀφικόμενος οὖν ὁ Λύσανδρος εἰς Λακεδαίμονα καὶ πορευθεὶς, ὥσπερ ἔθος ἐστί, πρὸς τὸ ἀρχεῖον ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμματα τοῦ Φαρναβάζου, πεπεισμένος ἀνῃρῆσθαι τὸ μέγιστον αὐτοῦ τῶν ἐγκλημάτων· ἠγαπᾶτο γὰρ ὁ Φαρνάβαζος ὑπὸ τῶν Λακεδαιμονίων προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως στρατηγῶν γεγενημένος. (5) Ἐπεὶ δ' ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιστολὴν ἔδειξαν αὐτῷ καὶ συνῆκεν,

Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἰμύλος μόνον,

τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν· ἡμέραις δὲ ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς ἄρχουσιν ἔφη δεῖν αὐτὸν εἰς Ἄμμωνος ἀναβῆναι καὶ τῷ θεῷ θῦσαι θυσίας, ἃς ηὔξατο πρὸ τῶν ἀγώνων. (6) Ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασὶν αὐτῷ πολιορκοῦντι τὴν Ἀφυταίων πόλιν ἐν Θράκῃ κατὰ τοὺς ὕπνους παραστῆναι τὸν Ἄμμωνα· διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς, ὡς τοῦ θεοῦ προστάξαντος, ἐκέλευσε τοὺς Ἀφυταίους Ἄμμωνι θύειν καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι. (7) Τοῖς δὲ πλείστοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν θεὸν, ἄλλως δὲ τοὺς ἐφόρους δεδοικὼς καὶ τὸν οἴκοι ζυγὸν οὐ φέρων οὐδ' ὑπομένων ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεώς τινος, ὥσπερ ἵππος ἐκ νομῆς ἀφέτου καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνην καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. Ἦν μὲν γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.

XXI. Μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων ἐξέπλευσεν. (2) Οἱ δὲ βασιλεῖς ἀποδημήσαντος αὐτοῦ συμφρονήσαντες, ὅτι ταῖς ἑταιρίαις τὰς πόλεις κατέχων διὰ παντὸς ἄρχει καὶ κύριός ἐστι τῆς Ἑλλάδος, ἔπρασσον ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. (3) Οὐ μὴν ἀλλὰ πάλιν πρὸς ταῦτα κινήματος γενομένου καὶ πρῶτον τῶν ἀπὸ Φυλῆς Ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ Λύσανδρος ἔπεισε τοὺς Λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν καὶ τοὺς δήμους κολάζειν. (4) Καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον καὶ στρατηγὸν αὐτῶν Λύσανδρον. (5) Οἱ δὲ βασιλεῖς φθονοῦντες, καὶ δεδιότες μὴ πάλιν ἕλῃ τὰς Ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. (6) Ἐξῆλθε δὲ ὁ Παυσανίας λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ Λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν Ἀθηνῶν. (7) Τοῦτον μὲν οὖν διεπράξατο ῥᾳδίως καὶ τοὺς

accepisse neque quidquam ipsi objicere. Sed non animadvertit Lysander se contra Cretensem, Pharnabazum, quod aiunt, cretissare. (3) Pollicitus enim Pharnabazus omnia se facturum, palam epistolam qualem Lysander petierat scripsit: occulte autem diversam a sese ante scriptam secum habebat, atque inter obsignandum permutatis epistolis, quæ aspectu nihil differebant, eam quam occulte scripserat, Lysandro tradidit. (4) Lysander Spartam perrexit, adque curiam de more progressus Ephoris litteras Pharnabazi reddidit, haud dubie maximum crimen se diluisse putans; erat enim carus Lacedæmoniis Pharnabazus, quod ex omnibus regis præfectis promptissimam in bello operam ipsis navasset. (5) Postquam Ephori lectam epistolam ipsi exhibuerunt, sensitque

Non esse Ulixem scilicet blandum modo,

tunc confusus plane perturbatusque abiit. Paucis interpositis diebus ad Ephoros se contulit, sibique ad templum Ammonis ascendendum et sacrificia deo ante prœlia vota peragenda dixit. (6) Quidam pro re vera narrant, obsidenti ipsi Aphytin urbem in Thracia, in somno Ammonem apparuisse: ideoque eum soluta obsidione, quasi deo ita jubente, et Aphytæis mandasse uti Ammoni rem sacram facerent, et ipsum placandi numinis ejus causa in Africam contendisse. (7) Plerique vero prætextu eo usum censent, quum et Ephoros metueret et jugum in patria non ferret, neque sub magistratu esse sustineret, atque ideo profectionis et vagandi occasionem quæreret, veluti equus ex liberis pascuis pratoque rursus ad præsepe et solitos labores abductus. Quam autem Ephorus hujus peregrinationis causam refert, eam mox indicabo.

XXI. Ægre impetrata abeundi venia ab Ephoris, navi evectus est. (2) At reges per absentiam ejus quam animadverterent eum sodalitiis urbes occupasse, planeque ita totam in sua potestate habere Græciam, consilia iniverunt de ejiciendis ejus amicis, reque publica populis reddenda. (3) Verum motibus hanc ob rem exsistentibus et primum Atheniensibus a Phyla triginta tyrannos adortis victoriaque potitis, reversus celeriter Lysander Lacedæmoniis persuasit, ut paucorum in rebus publicis potestati opitularentur, populique vim reprimerent. (4) Atque primum triginta tyrannis centum talenta miserunt ad bellum gerendum ducemque ipsis Lysandrum. (5) Sed regis invidia ducti, veritique, ne is rursus Athenas caperet, statuerunt ad id bellum debere alterum ipsorum proficisci. (6) Profectus Pausanias, verbo quidem, ut triginta virorum potestatem contra populum defenderet, re ipsa ut bellum pace solveret, ne iterum Lysander per amicos Athenas obtineret. (7) Quod voluit facile effecit, reconciliatisque Atheniensibus et seditione

Ἀθηναίους διαλλάξας καὶ καταπαύσας τὴν στάσιν, ἀφείλετο τοῦ Λυσάνδρου τὴν φιλοτιμίαν. (8) Ὀλίγῳ δὲ ὕστερον ἀποστάντων πάλιν τῶν Ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν, ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνασθαι, τῷ δὲ Λυσάνδρῳ προσεθήκατο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ Σπάρτῃ συμφέρον αὐθεκάστως στρατηγοῦντος.

XXII. Ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιτείνοντας. Ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων καὶ δικαιότερα τῶν Λακεδαιμονίων οἰομένοις λέγειν δείξας τὴν μάχαιραν, « Ὁ ταύτης, ἔφη, κρατῶν βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. » (2) Μεγαρέως δὲ ἀνδρὸς ἔν τινι συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, « Οἱ λόγοι σου, εἶπεν, ὦ ξένε, πόλεως δέονται. » (3) Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας ἠρώτα, πότερον ὀρθοῖς τοῖς δόρασιν ἢ κεκλιμένοις διαπορεύηται τὴν χώραν αὐτῶν. (4) Ἐπεὶ δὲ τῶν Κορινθίων ἀφεστώτων παρερχομένους πρὸς τὰ τείχη τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, « Οὐκ αἰσχύνεσθε, ἔφη, τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωοὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν; » (5) Ἐπεὶ δὲ Ἄγις ὁ βασιλεὺς ἐτελεύτησεν ἀδελφὸν μὲν Ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον Λεωτυχίδαν, ἐραστὴς τοῦ Ἀγησιλάου γεγονὼς ὁ Λύσανδρος ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας ὡς Ἡρακλείδην ὄντα γνήσιον. (6) Ὁ γὰρ Λεωτυχίδας διαβολὴν εἶχεν ἐξ Ἀλκιβιάδου γεγονέναι συνόντος κρύφα τῇ Ἄγιδος γυναικὶ Τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν Σπάρτῃ διέτριβεν. (7) Ὁ δὲ Ἄγις, ὥς φασι, χρόνου μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν, ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν παρά γε τὸν λοιπὸν χρόνον. (8) Ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὑτοῦ τὸν Λεωτυχίδαν καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους ἀπέθανεν.

446 (9) Οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ Λεωτυχίδᾳ· τὸν δ' Ἀγησίλαον, λαμπρὸν ὄντα τἆλλα καὶ συναγωνιστῆ τῷ Λυσάνδρῳ χρώμενον, ἔβλαπτε Διοπείθης, ἀνὴρ εὐδόκιμος ἐπὶ χρησμολογίᾳ, τοιόνδε μάντευμα προσφέρων εἰς τὴν χωλότητα τοῦ Ἀγησιλάου·

> Φράζεο δὴ, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
> μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία.
> Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι
> θερσιβρότου τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

(10) Πολλῶν οὖν ὑποκατακλινομένων πρὸς τὸ λόγιον καὶ τρεπομένων πρὸς τὸν Λεωτυχίδαν, ὁ Λύσανδρος οὐκ ὀρθῶς ἔφη τὸν Διοπείθη τὴν μαντείαν ὑπολαμβάνειν· οὐ γὰρ, ἂν προσπταίσας τις ἄρχῃ Λακεδαιμονίων, δυσχεραίνειν τὸν θεὸν, ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γεγονότες βασιλεύσουσι σὺν Ἡρα-

sedata, Lysandri ambitionem delevit. (8) Sed non multo post tempore iterum desciscentibus Atheniensibus culpatus est, quod paucorum imperio refrenato populo rursus lasciviendi et ferociendi potestatem dedisset. Lysandro autem gloriæ fuit ea res, qui non in gratiam aliorum, aut ostentandi sui causa, sed reipublicæ Spartanæ emolumenti causa suo arbitrio imperia obiret.

XXII. Fuit Lysander etiam in sermone ferox et adversariis eo terrorem obtulit. Siquidem Argivis de finibus agri cum Spartanis litigantibus et sua argumenta quam illorum justiora esse confirmantibus, gladium ostendens : Hunc, inquit, qui tenet, optime de finibus disserit. (2) Megarensi cuidam in concilio libere in ipsum invehenti : Tua, inquit, verba, o hospes, civitate opus habent. (3) Bœotios utri parti studerent fluctuantes interrogavit : Rectisne an demissis hastis se per ipsorum regionem ire vellent. (4) Corinthii quum defecissent ideoque admovisset ipse eorum mœnibus exercitum, ubi sensit Lacedæmonios murum aggredi non audere et lepus forte fossam transilire visus est : Non pudet, inquit, eos hostes metuere, quorum ob ignaviam muris lepores indormiunt? (5) Agis rex vita functus, fratrem Agesilaum et filium, ut putabatur, Leotychidam reliquit. Lysander Agesilao, quem diligebat, auctor fuit regni petendi, ut qui vere Herculis sanguine esset ortus. (6) Leotychidam enim rumor erat Alcibiadis filium esse, qui quo tempore Spartæ exsul vixit, cum Agidis uxore Timæa adulterii consuetudinem furtivam habuisse credebatur. (7) Et Agidem ferunt temporis subducta ratione deprehendisse, uxorem non ex se gravidam esse : ideoque Leotychidam nihil cuiusse, et in posterum haud obscure suum negasse. (8) Postquam ægrotans Heræam perlatus est, jam moriturus, partim adolescentis ipsius, partim amicorum precibus concessit, ac multis præsentibus eum esse filium pronuntiavit, rogatisque qui aderant, ut ejus rei testes apud Lacedæmonios essent, mortuus est. (9) Atque hi quidem id Leotychidæ testimonium ferebant. Agesilao vero, alioquin viro illustri et Lysandri opera utenti, Diopithes obstitit, divinandi facultate nobilis, qui in claudicationem ejus hoc oraculum proferebat :

> Sparta, cave, quamvis alte te gloria tollat,
> excelsa regnum ne claudum prodeat ex te;
> namque insperatos cogeris ferre labores,
> pestiferosque diu belli subsistere fluctus.

(10) Id oraculum quum animos multorum inclinasset et ad Leotychidam convertisset, Lysander non recte accipere oraculum Diopithem asseruit : neque enim ob id deum indignari, si quis pede læsus Spartæ imperet, sed tum fore claudum regnum, si spurii et male nati inter Heraclidas

κλείδαις. (11) Τοιαῦτα λέγων καὶ δυνάμενος πλεῖστον ἔπεισε· καὶ γίνεται βασιλεὺς Ἀγησίλαος.

XXIII. Εὐθὺς οὖν αὐτὸν ἐξώρμα καὶ προὔτρεπεν ὁ Λύσανδρος εἰς τὴν Ἀσίαν στρατεύειν, ὑποτιθεὶς ἐλπίδας ὡς καταλύσοντι Πέρσας καὶ μεγίστῳ γενησομένῳ, πρός τε τοὺς ἐν Ἀσίᾳ φίλους ἔγραψεν αἰτεῖσθαι κελεύων παρὰ Λακεδαιμονίων στρατηγὸν Ἀγησίλαον ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. (2) Οἱ δὲ ἐπείθοντο καὶ πρέσβεις ἔπεμπον εἰς Λακεδαίμονα δεομένους· ὃ δοκεῖ τῆς βασιλείας οὐκ ἔλαττον Ἀγησιλάῳ καλὸν ὑπάρξαι διὰ Λύσανδρον. (3) Ἀλλ' αἱ φιλότιμοι φύσεις ἄλλως μὲν οὐ κακαὶ πρὸς τὰς ἡγεμονίας εἰσὶ, τὸ δὲ φθονεῖν τοῖς ὁμοίοις διὰ δόξαν οὐ μικρὸν ἐμπόδιον τῶν καλῶν πράξεων ἔχουσι· ποιοῦνται γὰρ ἀνταγωνιστὰς τῆς ἀρετῆς οἷς πάρεστι χρῆσθαι συνεργοῖς. (4) Ἀγησίλαος μὲν οὖν ἐπηγάγετο Λύσανδρον ἐν τοῖς τριάκοντα συμβούλοις ὡς μάλιστα καὶ πρώτῳ τῶν φίλων χρησόμενος. (5) Ἐπεὶ δὲ εἰς τὴν Ἀσίαν παραγενομένων πρὸς ἐκεῖνον μὲν οὐκ ἔχοντες οἱ ἄνθρωποι συνήθως βραχέα καὶ σπανίως διελέγοντο, τὸν δὲ Λύσανδρον ἐκ πολλῆς τῆς πρόσθεν ὁμιλίας οἵ τε φίλοι θεραπεύοντες οἵ τε ὕποπτοι δεδοικότες ἐφοίτων ἐπὶ θύρας καὶ παρηκολούθουν, οἷον ἐν τραγῳδίαις ἐπιεικῶς συμβαίνει περὶ τοὺς ὑποκριτὰς, τὸν μὲν ἀγγέλου τινὸς ἢ θεράποντος ἐπικείμενον πρόσωπον εὐδοκιμεῖν καὶ πρωταγωνιστεῖν, τὸν δὲ διάδημα καὶ σκῆπτρον φοροῦντα μηδὲ ἀκούεσθαι φθεγγόμενον, οὕτω περὶ τὸν σύμβουλον ἦν τὸ πᾶν ἀξίωμα τῆς ἀρχῆς, τῷ δὲ βασιλεῖ τοὔνομα τῆς δυνάμεως ἔρημον ἀπελείπετο. (6) Γενέσθαι μὲν οὖν ἔδει ἴσως τινὰ τῆς ἐκμελοῦς ταύτης φιλοτιμίας ἐπαφὴν καὶ συσταλῆναι τὸν Λύσανδρον ἄχρι τῶν δευτερείων· τὸ δὲ παντελῶς ἀποῤῥῖψαι καὶ προπηλακίσαι διὰ δόξαν εὐεργέτην ἄνδρα καὶ φίλον οὐκ ἦν ἄξιον Ἀγησιλάῳ προσεῖναι. (7) Πρῶτον μὲν οὖν οὐ παρεῖχεν αὐτῷ πράξεων ἀφορμὰς οὐδὲ ἔταττεν ἐφ' ἡγεμονίας· ἔπειτα ὑπὲρ ὧν αἴσθοιτό τι πράττοντα καὶ σπουδάζοντα τὸν Λύσανδρον, ἀεὶ τούτους πάντων ἀπράκτους καὶ τῶν ἐπιτυχόντων ἔλαττον ἔχοντας ἀπέπεμπε, παραλύων ἡσυχῇ καὶ διαψύχων τὴν ἐκείνου δύναμιν. (8) Ἐπεὶ δὲ τῶν πάντων διαμαρτάνων ὁ Λύσανδρος ἔγνω τοῖς φίλοις τὴν παρ' αὐτοῦ σπουδὴν ἐνακτίωμα γινομένην, αὐτός τε τὸ βοηθεῖν ἐξέλιπε κἀκείνων ἐδεῖτο μὴ προσιέναι μηδὲ θεραπεύειν αὐτὸν, ἀλλὰ τῷ βασιλεῖ διαλέγεσθαι καὶ τοῖς δυναμένοις ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς μᾶλλον ἐν τῷ παρόντι. (9) Ταῦτα ἀκούοντες οἱ πολλοὶ τοῦ μὲν ἐνοχλεῖν αὐτὸν περὶ πραγμάτων ἀπείχοντο, τὰς δὲ θεραπείας οὐ κατέλιπον, ἀλλὰ προσφοιτῶντες ἐν τοῖς περιπάτοις καὶ γυμνασίοις ἔτι μᾶλλον ἢ πρότερον ἡνίων τὸν Ἀγησίλαον ὑπὸ φθόνου
447 τῆς τιμῆς, ὥστε τοῖς πολλοῖς στρατιώταις ἡγεμονίας a
50 πραγμάτων καὶ διοικήσεις πόλεων ἀποδιδοὺς τὸν Λύσανδρον ἀπέδειξε κρεωδαίτην. (10) Εἶτα οἷον ἐφυβρίζων πρὸς τοὺς Ἴωνας, « Ἀπιόντες, ἔφη, νῦν τὸν ἐμὸν κρεωδαίτην θεραπευέτωσαν. » (11) Ἔδοξεν οὖν τῷ Λυσάνδρῳ διὰ λόγων πρὸς αὐτὸν ἐλθεῖν· καὶ γίνεται

id teneant. (11) Hæc ille locutus, quum plurimum apud populum posset, persuasit, rexque Agesilaus est constitutus.

XXIII. Proinde statim hunc Lysander ad expeditionem in Asiam suscipiendam incitavit et in spem adduxit, fore ut Persarum rege debellato, summam potentiam obtineret: amicos etiam, quos in Asia habebat, per litteras jussit, ut ad bellum contra barbaros Agesilaum a Spartanis ducem poscerent: (2) iique obtemperarunt missisque Lacedæmonem legatis obtinuerunt; id beneficium haud minus ipso regno Agesilaus a Lysandro videtur accepisse. (3) Enimvero ambitiosa ingenia, alias ad imperia gerenda non inepta, quod æqualibus gloriæ causa invident, id non exiguo in rebus præclare gerendis impedimento est: eos enim virtutis suæ adversarios reddunt, quibus adjutoribus uti poterant. (4) Etenim Agesilaus inter triginta consiliarios Lysandrum secum abduxit, ut eo primo atque præcipuo omnium amicorum uteretur. (5) Verum ut est in Asiam perventum, homines pauca atque raro cum Agesilao, nondum familiariter sibi noto, collocuti sunt: ad Lysandrum vero ob diuturnam consuetudinem et colentes amici et inimici metuentes crebro venerunt et frequentes euntem comitati sunt. Utque in tragœdiis usuvenire solet histrionibus, ut qui nuncii aut famuli personam sustinet, is primas partes gerat atque laudetur, quum interim diademate atque sceptro ornatus alius ne audiatur quidem: ita omnis imperii majestas tum apud consiliarium cernebatur, regi ipsi solum potestatis suæ nomen aderat. (6) Erat sane nimia hæc reprimenda ambitio et detrahendus ad secundum dignitatis locum Lysander: sed gloriæ causa hominem de se bene meritum et amicum abjicere atque ignominiose tractare, id vero indignum Agesilao fuit. (7) Principio occasiones agendi Lysandro nullas præbuit, nulli præfecit negotio: deinde quibus studium suum et operam navare eum videbat, semper eos rebus infectis, minusque alio quovis consecutos dimisit, sensim ita Lysandri destruens et quasi refrigerans potentiam. (8) Lysander ubi omnia se frustra agere suamque amicis obesse operam sensit, auxilium ferre desiit, ipsosque oravit, ne se adirent, neve colerent, sed regem ipsum compellarent, aut alios, qui magis quam ipse eo tempore se observantibus prodesse possent. (9) Hoc audito plerique de negotiis quidem suis eum interpellandi finem fecerunt, ab officio tamen colendi non destiterunt; sed in ambulationibus et gymnasiis crebro ad eum salutandi causa accedentes, magis quam ante Agesilai æmulationem ab ambitione profectam moverunt: itaque quum multos etiam milites rebus gerendis aut urbibus gubernandis præficeret, Lysandrum *creodætam* (i. e. divisorem carnium) constituit. (10) Et quasi insultans Ionibus: Eant, inquit, nunc et Creodætam meum colant. (11) Ob hæc Lysander cum Agesilao colloqui statuit: planeque Laconico more verba

βραχὺς καὶ Λακωνικὸς αὐτῶν διάλογος. « Ἦ καλῶς ἥδεις, ὦ Ἀγησίλαε, φίλους ἐλαττοῦν. » Καὶ ὅς· « Ἂν γε ἐμοῦ βούλωνται μείζονες εἶναι· τοὺς δὲ αὔξοντας τὴν ἐμὴν δύναμιν καὶ μετέχειν αὐτῆς δίκαιον. » « Ἀλλ' ἴσως μέν, Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται· δέομαι δέ σου καὶ διὰ τοὺς ἐκτὸς ἀνθρώπους, οἳ πρὸς ἡμᾶς ἀποβλέπουσιν, ἐνταῦθά με τῆς ἑαυτοῦ στρατηγίας τάξον, ὅπου τεταγμένον ἥκιστα μὲν ἐπαχθῆ, μᾶλλον δὲ χρήσιμον ἔσεσθαι ἑαυτῷ νομίζεις. »

XXIV. Ἐκ τούτου πρεσβευτὴς εἰς Ἑλλήσποντον ἐπέμπετο· καὶ τὸν μὲν Ἀγησίλαον δι' ὀργῆς εἶχε, οὐκ ἠμέλει δὲ τοῦ τὰ δέοντα πράττειν, Σπιθριδάτην δὲ τὸν Πέρσην προσκεκρουκότα Φαρναβάζῳ, γενναῖον ἄνδρα καὶ στρατιὰν ἔχοντα περὶ αὐτόν, ἀποστήσας ἦγαγε πρὸς τὸν Ἀγησίλαον. (2) Ἄλλο δὲ οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον, ἀλλὰ τοῦ χρόνου διελθόντος ἀπέπλευσεν εἰς τὴν Σπάρτην ἀτίμως, ὀργιζόμενος μὲν τῷ Ἀγησιλάῳ, μισῶν δὲ καὶ τὴν ὅλην πολιτείαν ἔτι μᾶλλον ἢ πρότερον καὶ τὰ πάλαι δοκοῦντα συγκεῖσθαι καὶ μεμηχανῆσθαι πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ἐγνωκὼς ἐγχειρεῖν τότε καὶ μὴ διαμέλλειν. (3) Ἦν δὲ τοιάδε. Τῶν ἀναμιχθέντων Δωριεῦσιν Ἡρακλειδῶν καὶ κατελθόντων εἰς Πελοπόννησον πολὺ μὲν ἐν Σπάρτῃ καὶ λαμπρὸν ἤνθησε γένος, οὐ παντὶ δὲ αὐτῶν τῆς βασιλικῆς μετῆν διαδοχῆς, ἀλλ' ἐβασίλευον ἐκ δυεῖν οἴκων μόνον Εὐρυπωντίδαι καὶ Ἀγιάδαι προσαγορευόμενοι, τοῖς δὲ ἄλλοις οὐδὲν ἑτέρου πλέον ἔχειν ἐν τῇ πολιτείᾳ διὰ τὴν εὐγένειαν ὑπῆρχεν, αἱ δὲ ἀπ' ἀρετῆς τιμαὶ πᾶσι προὔκειντο τοῖς δυναμένοις. (4) Τούτων οὖν γεγονὼς ὁ Λύσανδρος, ὡς εἰς δόξαν τῶν πράξεων ἦρθη μεγάλην καὶ φίλους ἐκέκτητο πολλοὺς καὶ δύναμιν, ἤχθετο τὴν πόλιν ὁρῶν ὑπ' αὐτοῦ μὲν αὐξανομένην, ὑφ' ἑτέρων δὲ βασιλευομένην οὐδὲν βέλτιον αὐτοῦ γεγονότων, καὶ διενοεῖτο τὴν ἀρχὴν ἐκ τῶν δυεῖν οἴκων μεταστήσας εἰς κοινὸν ἀποδοῦναι πᾶσιν Ἡρακλείδαις, ὡς δὲ ἔνιοί φασιν, οὐχ Ἡρακλείδαις, ἀλλὰ Σπαρτιάταις, ἵνα μὴ ἧ τῶν ἀφ' Ἡρακλέους, ἀλλὰ τῶν οἷος Ἡρακλῆς τὸ γέρας ἀρετῇ κρινομένων, ἣ κἀκεῖνον εἰς θεῶν τιμὰς ἀνήγαγεν. (5) Ἤλπιζε δὲ τῆς βασιλείας οὕτω δικαζομένης οὐδένα πρὸ αὐτοῦ Σπαρτιάτην ἂν αἱρεθήσεσθαι.

XXV. Πρῶτον μὲν οὖν ἐπεχείρησε καὶ παρεσκευάσατο πείθειν δι' ἑαυτοῦ τοὺς πολίτας καὶ λόγον ἐξεμελέτα πρὸς τὴν ὑπόθεσιν γεγραμμένον ὑπὸ Κλέωνος τοῦ Ἁλικαρνασέως. (2) Ἔπειτα τὴν ἀτοπίαν καὶ τὸ μέγεθος τοῦ καινοτομουμένου πράγματος ὁρῶν ἰταμωτέρας δεόμενον βοηθείας, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν αἴρων ἐπὶ τοὺς πολίτας λόγια πυθόχρηστα καὶ χρησμοὺς συνετίθει καὶ κατεσκεύαζεν, ὡς οὐδὲν ὠφελησόμενος ὑπὸ τῆς Κλέωνος δεινότητος, εἰ μὴ φόβῳ τινὶ θεοῦ καὶ δεισιδαιμονίᾳ προεκπλήξας καὶ χειρωσάμενος ὑπαγάγοι πρὸς τὸν λόγον τοὺς πολίτας. (3) Ἔφορος μὲν οὖν φησιν αὐτὸν, ὡς τήν τε Πυθίαν ἐπιχειρήσας διαφθεῖραι καὶ τὰς Δωδωνίδας αὖθις ἀναπείθων διὰ Φερεκλέους ἀπέτυχεν, εἰς Ἄμμωνος ἀναβῆναι καὶ διαλέγεσθαι τοῖς προφήταις

commutarunt. Egregie, dicebat Lysander, amicos deprimere scis, Agesilae. Si quidem, inquit Agesilaus, me ipso esse majores studeant : qui vero meam augent potentiam, in partem ejus venire hos æquum est. Tum ille : Sed facilius hoc, inquit, tibi dictu quam mihi factu est : ceterum oro etiam propter alienos homines, qui in nos intuentur, ut in ea me tui imperii parte colloces, ubi me minime molestum, magis autem utilem tibi fore judicas.

XXIV. Exinde ab Agesilao in Hellespontum missus legatus, etsi infensus ei erat, tamen officium facere non neglexit : Spithridatemque Persam, qui simultates cum Pharnabazo exercebat, virum strenuum copiisque instructum, ad defectionem impulit et ad Agesilaum traduxit. (2) Nihil aliud eo in bello perfecit, et exacto tempore Spartam non sine ignominia rediit, infensus Agesilao ac majus priori odium in totam rempublicam gerens, ideoque ea, quæ jam pridem ad immutandum ejus statum et res novandas machinatus fuerat atque composuerat, omni mora sublata persequi statuens. (3) Erant autem hujusmodi. Heraclidarum, qui Doriensibus permixti in Peloponnesum redierant, magnum et splendidum Lacedæmone florebat genus : verum non omnes ad regiam successionem admittebantur, sed ex duabus tantum familiis (Eurypontidas vocabant et Agiadas) reges creabantur; ceteris nobilitas sua nullam in republica præstantiam parabat, sed virtutis præmia omnibus, qui ea poterant adipisci, communia erant. (4) Lysander autem quum et ipse genere Heraclidarum natus esset, rebusque gestis magnam gloriam sibi potentiamque et multos amicos paravisset : graviter tulit urbem a se auctam ab aliis nulla re ipso præstantioribus regi, statuitque regiam dignitatem duabus istis familiis ademptam, omnibus Heraclidis communem efficere. Quidam non Heraclidis, sed omnibus ex æquo Spartanis dicunt : ut non ab Hercule genus ducentes, sed virtutem Herculis, qua is divinos honores invenit, imitantes eo honore afficerentur. (5) Omnino autem si ea lege reges designarentur, nullum sibi Spartanum prælatum iri sperabat.

XXV. Primum itaque intendebat civibus id quod volebat persuadere, orationemque ea de re scriptam a Cleone Halicarnasseo meditabatur. (2) Postea novitatem negotii magnitudinemque perspiciens audacius requirere auxilium, velut sublata in tragœdia machina, sortes Delphicas et oracula adversum cives composuit et apparavit : quos nisi objecta prius animis religione perterruisset et superstitione inducta ad orationem audiendam commovisset, Cleonis eloquentiam parum sibi profuturam sentiebat. (3) Ephorus quidem auctor est, eum Pythiam corrumpere frustra conatum, frustra etiam sollicitatis per Phereclem Dodonidibus, ad Ammonis templum profectum, multo adhibito auro cum vatibus esse

πολὺ χρυσίον διδόντα, τοὺς δὲ δυσχεραίνοντας εἰς Σπάρτην τινὰς ἀποστεῖλαι τοῦ Λυσάνδρου κατηγορήσοντας· ἐπεὶ δὲ ἀπελύθη, τοὺς Λίβυας ἀπιόντας εἰπεῖν, « Ἀλλ' 448 ἡμεῖς γε βέλτιον, ὦ Σπαρτιᾶται, κρινοῦμεν, ὅταν a ἥκητε πρὸς ἡμᾶς εἰς Λιβύην οἰκήσοντες », ὡς δὴ χρησμοῦ τινος ὄντος παλαιοῦ Λακεδαιμονίους ἐν Λιβύῃ κατοικῆσαι. (4) Τὴν δὲ ὅλην ἐπιβουλὴν καὶ σκευωρίαν τοῦ πλάσματος οὐ φαύλην οὖσαν οὐδὲ ἀφ' ὧν ἔτυχεν ἀρξαμένην, ἀλλὰ πολλὰς καὶ μεγάλας ὑποθέσεις ὥσπερ ἐν διαγράμματι μαθηματικῷ προσλαβοῦσαν καὶ διὰ λημμάτων χαλεπῶν καὶ δυσπορίστων ἐπὶ τὸ συμπέρασμα προϊοῦσαν ἡμεῖς ἀναγράψομεν ἀνδρὸς ἱστορικοῦ καὶ φιλοσόφου λόγῳ κατακολουθήσαντες.

XXVI. Ἦν γύναιον ἐν Πόντῳ κύειν ἐξ Ἀπόλλωνος φάμενον, ᾧ πολλοὶ μὲν, ὡς εἰκὸς ἦν, ἠπίστουν, πολλοὶ δὲ καὶ προσεῖχον, ὥστε καὶ τεκούσης παιδάριον ἄῤῥεν ὑπὸ πολλῶν καὶ γνωρίμων σπουδάζεσθαι τὴν ἐκτροφὴν b αὐτοῦ καὶ τὴν ἐπιμέλειαν· ὄνομα δὲ τῷ παιδὶ Σιληνὸς ἐκ δή τινος αἰτίας ἐτέθη. (2) Ταύτην λαβὼν ὁ Λύσανδρος ἀρχὴν τὰ λοιπὰ παρ' ἑαυτοῦ προσετεκταίνετο καὶ συνύφαινεν οὐκ ὀλίγοις χρώμενος οὐδὲ φαύλοις τοῦ μύθου συναγωνισταῖς, οἳ τήν τε φήμην τῆς γενέσεως τοῦ παιδὸς εἰς πίστιν ἀνυπόπτως προσῆγον ἄλλον τε λόγον ἐκ Δελφῶν ἀντικομίσαντες εἰς τὴν Σπάρτην κατέβαλον, καὶ διέσπειραν, ὡς ἐν γράμμασιν ἀπορῥήτοις ὑπὸ τῶν ἱερέων φυλάττοιντο παμπάλαιοι δή τινες χρησμοὶ, καὶ λαβεῖν οὐκ ἔξεστι τούτους οὐδ' ἐντυχεῖν θεμιτὸν, εἰ μή τις ἄρα γεγονὼς ἐξ Ἀπόλλωνος ἀφίκοιτο τῷ πολλῷ χρόνῳ καὶ σύνθημα τοῖς φυλάττουσι τῆς γενέσεως γνώριμον c παρασχὼν κομίσαιτο τὰς δέλτους, ἐν αἷς ἦσαν οἱ χρησμοί. (3) Τούτων δὲ προκατεσκευασμένων ἔδει τὸν Σιληνὸν ἐλθόντα τοὺς χρησμοὺς ἀπαιτεῖν ὡς Ἀπόλλωνος παῖδα, τοὺς δὲ συμπράττοντας τῶν ἱερέων ἐξακριβοῦν ἕκαστα καὶ διαπυνθάνεσθαι περὶ τῆς γενέσεως, τέλος δὲ πεπεισμένους δῆθεν ὡς Ἀπόλλωνος υἱῷ δεῖξαι τὰ γράμματα, τὸν δὲ ἀναγνῶναι πολλῶν παρόντων ἄλλας τε μαντείας καὶ ἧς ἕνεκα πέπλασται τὴν περὶ τῆς βασιλείας, ὡς ἄμεινον εἴη καὶ λῴων Σπαρτιάταις ἐκ τῶν ἀρίστων πολιτῶν αἱρουμένοις τοὺς βασιλέας. (4) Ἤδη d δὲ τοῦ Σιληνοῦ μειρακίου γεγονότος καὶ πρὸς τὴν πρᾶξιν ἥκοντος ἐξέπεσε τοῦ δράματος ὁ Λύσανδρος ἀτολμίᾳ τῶν ὑποκριτῶν καὶ συνεργῶν ἑνὸς, ὡς ἐπ' αὐτὸ τὸ ἔργον ἦλθεν, ἀποδειλιάσαντος καὶ ἀναδύντος. Οὐ μὴν ἐφωράθη γε τοῦ Λυσάνδρου ζῶντος οὐθὲν, ἀλλὰ μετὰ τὴν τελευτήν.

XXVII. Ἐτελεύτησε δὲ πρὶν ἐξ Ἀσίας ἐπανελθεῖν τὸν Ἀγεσίλαον, ἐμπεσὼν εἰς τὸν Βοιωτικὸν πόλεμον ἢ μᾶλλον ἐμβαλὼν τὴν Ἑλλάδα. (2) Λέγεται γὰρ ἀμφοτέρως· καὶ τὴν αἰτίαν οἱ μέν τινες ἐκείνου ποιοῦσιν, οἱ δὲ Θηβαίων, οἱ δὲ κοινὴν, Θηβαίοις μὲν ἐγκαλοῦντες τὴν e ἐν Αὐλίδι τῶν ἱερῶν διαῤῥῖψιν καὶ ὅτι τῶν περὶ Ἀνδροκλείδην καὶ Ἀμφίθεον χρήμασι βασιλικοῖς διαφθαρέντων ἐπὶ τῷ Λακεδαιμονίοις Ἑλληνικὸν περιστῆσαι πόλεμον, ἐπέθεντο Φωκεῦσι καὶ τὴν χώραν αὐτῶν ἐπόρθησαν·

collocutum; sed eos indigne ferentes, misisse Spartam qui Lysandrum accusarent: absoluto eo, Afros discedentes dixisse: At nos, o Spartani, rectius judicabimus, quum ad nos in Africa habitatum venietis; nimirum antiquitus fuisse prædictum, fore ut Lacedæmonii in Africa sedes ponerent. (4) Nos omnem fraudem insidiosamque commenti machinationem, quæ nequaquam levis fuit, aut ut fors ferebat incepta, sed multis gravibusque immixta, veluti in mathematicis demonstrationibus fieri solet, propositionibus per difficiles atque arduas præmissas ad conclusionem processit, secuti narrationem viri in historia et philosophia clari exponemus.

XXVI. Fuit in Ponto muliercula quædam, quæ se ex Apolline gravidam ferens, multis, ut consentaneum erat, fidem non fecit: quidam tamen fidem ei adhibuerunt, ut quum puerum peperisset, magno is a multis et claris hominibus studio educatus sit: puero aliqua de causa Sileni nomen inditum fuit. (2) Hoc initio sumpto Lysander reliqua ipse affinxit fabulamque pertexuit, multis et non vulgaribus in ea usus adjutoribus, qui et procreationis ejus pueri fidem haud dubiam facerent et alium rumorem Delphis allatum Spartæ seminarent: nempe ibi a sacerdotibus Delphis inter arcanas litteras asservari oracula quædam vetustissima, quæ nefas esset cuiquam accipere aut legere, nisi quis tandem Apolline natus Delphos adveniens, custodibus sacrorum certum et perspicuum suæ originis signum perhiberet, atque ita tabulas, in quibus oracula ista scripta essent, auferret. (3) His ita præparatis res ita composita est, ut Silenus Delphos adveniret, seque filium Apollinis diceret atque oracula ista peteret; sacerdotes, qui fabulæ subserviebant, diligenter de ejus procreatione perquirerent, singulisque examinatis, tandem quasi re comperta ut filio Apollinis oracula ostenderent: Silenus multis præsentibus quum multa alia recitaret vaticinia, tum id cujus gratia commentum totum erat institutum, de regibus Spartanorum, Spartanis videlicet melius fore atque utilius, si ex optimis civium reges suos deligant. (4) Quum jam adolevisset Silenus et ad agendum negotium accederet, Lysander excidit actione fabulæ, timiditate unius histrionum suorum, qui, ut ad rem ipsam ventum fuit, formidine perculsus personam suam subterfugit. Nihil tamen vivente Lysandro deprehensum est, sed post mortem demum ejus.

XXVII. Priusquam enim ex Asia rediret Agesilaus, mortuus est Lysander quum in bellum Bœoticum incidisset, aut potius id in Græciam intulisset. (2) Utrumque enim fertur: et quidam ejus belli causam Lysandro, quidam Thebanis, quidam utrisque ascribunt; Thebanis vitio datur, quod in Aulide sacrificia dissiparint, quod Androclida et Amphitheo regis Persarum pecunia corruptis, ut contra Lacedæmonios bellum apud Græcos excitarent, Phocenses adorti et

Λύσανδρον δέ φασιν ὀργῇ φέρειν, ὅτι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου Θηβαῖοι μόνοι, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγανάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε, μάλιστα δὲ ἐπὶ τῷ παρασχεῖν ἀρχὴν Ἀθηναίοις ἐλευθερώσεως ἀπὸ τῶν τριάκοντα τυράννων, οὓς Λύσανδρος μὲν κατέστησε, Λακεδαιμόνιοι δὲ δύναμιν καὶ φόβον αὐτοῖς προστιθέντες ἐψηφίσαντο τοὺς φεύγοντας ἐξ Ἀθηνῶν ἀγωγίμους εἶναι f πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι. (3) Πρὸς ταῦτα γὰρ ἀντεψηφίσαντο Θηβαῖοι ψηφίσματα πρέποντα καὶ ἀδελφὰ ταῖς Ἡρακλέους καὶ Διονύσου πράξεσιν, οἰκίαν μὲν ἀνεῳχθαι πᾶσαν καὶ πόλιν ἐν Βοιωτίᾳ τοῖς δεομένοις Ἀθηναίων, τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ
449 βοηθήσαντα ζημίαν ὀφείλειν τάλαντον, ἂν δέ τις Ἀθή- a ναζε διὰ τῆς Βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζῃ, μήτε ὁρᾶν τινα Θηβαίων μήτε ἀκούειν. (4) Καὶ οὐκ ἐψηφίσαντο μὲν οὕτως Ἑλληνικὰ καὶ φιλάνθρωπα, τὰς δὲ πράξεις τοῖς γράμμασιν ὁμοίας οὐ παρέσχον, ἀλλὰ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ Φυλὴν καταλαβόντες ἐκ Θηβῶν ὡρμήθησαν, ὅπλα καὶ χρήματα καὶ τὸ λαθεῖν καὶ τὸ ἄρξασθαι Θηβαίων αὐτοῖς συμπαρασκευασάντων. Αἰτίας μὲν οὖν ταύτας ἔλαβε κατὰ τῶν Θηβαίων ὁ Λύσανδρος.

XXVIII. Ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργὴν διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας, παρώξυνε τοὺς ἐφόρους καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ' αὐτούς καὶ λαβὼν τὴν ἡγεμονίαν ἐξεστράτευσεν. (2) Ὕστερον b δὲ καὶ Παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλαν. Ἀλλὰ Παυσανίας μὲν κύκλῳ περιελθὼν διὰ τοῦ Κιθαιρῶνος ἐμβάλλειν ἔμελλεν εἰς τὴν Βοιωτίαν, Λύσανδρος δὲ διὰ Φωκέων ἀπήντα στρατιώτας ἔχων πολλούς· καὶ τὴν μὲν Ὀρχομενίων πόλιν ἑκουσίως προσχωρήσασαν ἔλαβε, τὴν δὲ Λεβάδειαν ἐπελθὼν διεπόρθησεν. (3) Ἔπεμψε δὲ τῷ Παυσανίᾳ γράμματα κελεύων εἰς Ἁλίαρτον ἐκ Πλαταιῶν συνάπτειν, ὡς αὐτὸς ἅμ' ἡμέρᾳ πρὸς τοῖς τείχεσι τῶν Ἁλιαρτίων γενησόμενος. (4) Ταῦτα τὰ γράμματα πρὸς τοὺς Θηβαίους ἀπηνέχθη, τοῦ κομίζοντος εἰς κατασκόπους τινὰς ἐμπεσόντος. Οἱ c δὲ, προσβοηθηκότων αὐτοῖς Ἀθηναίων, τὴν μὲν πόλιν ἐκείνοις διεπίστευσαν, αὐτοὶ δὲ περὶ πρῶτον ὕπνον ἐξορμήσαντες ἔφθασαν ὀλίγῳ τὸν Λύσανδρον ἐν Ἁλιάρτῳ γενόμενοι καὶ μέρει τινὶ παρῆλθον εἰς τὴν πόλιν. (5) Ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἔγνω τὴν στρατιὰν ἰδρύσας ἐπὶ λόφου περιμένειν τὸν Παυσανίαν· ἔπειτα προϊούσης τῆς ἡμέρας ἀτρεμεῖν οὐ δυνάμενος, λαβὼν τὰ ὅπλα καὶ τοὺς συμμάχους παρορμήσας ὀρθίῳ τῇ φάλαγγι παρὰ τὴν ὁδὸν ἦγε πρὸς τὸ τεῖχος. (6) Τῶν δὲ Θηβαίων οἱ μὲν ἔξω μεμενηκότες ἐν ἀριστερᾷ τὴν πόλιν λαβόντες ἐβάδιζον ἐπὶ τοὺς ἐσχάτους τῶν πολεμίων ὑπὸ τὴν κρήνην τὴν Κισσοῦσαν προσαγορευομένην, ἔνθα μυθολογοῦσι d τὰς τιθήνας νήπιον ἐκ τῆς λοχείας ἀπολοῦσαι τὸν Διόνυσον· καὶ γὰρ οἰνωπὸν ἐπιστίλβει τὸ χρῶμα καὶ διαυγὲς καὶ πιεῖν ἥδιστον. (7) Οἱ δὲ Κρήσιοι στύρακες οὐ πρόσω περιπεφύκασιν, ἃ τεκμήρια τῆς Ῥαδαμάνθυος

agrum eorum populati sint. Lysandrum vero iratum Thebanis fuisse ferunt, quod ii soli decimam manubiarum partem petiissent, reliquis confœderatis omnibus quiescentibus; quod a Lysandro missam Lacedæmonem pecuniam indignati essent; maxime autem, quod Atheniensibus recuperatæ libertatis ansam præbuissent: etenim Lysander triginta tyrannos Atheniensibus imposuerat et Lacedæmonii eorum potentiam atque terrorem auxerant, lata lege, ut quicunque Athenis profugisset, undique abduci posset; qui abducentem prohibuisset, is contra fœdus Spartanum egisse judicaretur. (3) Contra hæc decretum fecerunt Thebani honestum Herculisque et Bacchi factis germanum, patere omnes domos et urbes per universam Bœotiam Atheniensibus, iis indigentibus: qui exulem abduci videns non opitularetur, talento mulctandum: si quis per Bœotiam Athenas versus arma contra tyrannos ferret, id neminem Thebanorum neque videre neque audire debere. (4) Neque vero qui decretum adeo Græcum atque humanum fecerunt, factis ea quæ sciverant non sunt exsecuti; imo Thrasybulus cum sociis Phylen occupans, a Thebis profectus est, arma, pecuniam, latendique et incipiendæ rei facultatem Thebanis præbentibus. Has in Thebanos iræ causas nactus est Lysander.

XXVIII. Qui quum propter melancholiam, quæ per senectutem ingravescebat, iræ prorsus indulgeret, animos Ephorum irritavit, persuasitque ut præsidium contra Thebanos emitterent; dux creatus cum exercitu profectus est. (2) Post eum Pausanias quoque rex cum exercitu missus, ambitu per Cithæronias fauces ducens in Bœotiam irrumpere statuit; Lysander per Phocidem multis cum militibus profectus, Orchomenum voluntaria deditione recepit, Lebadiam vi captam diripuit. (3) Missis deinde ad Pausaniam litteris, eum a Platæis ad Haliartum jussit accedere: se enim quoque prima luce apud muros ejus urbis futurum. (4) Hæ literæ, capto ab exploratoribus tabellario, in manus Thebanorum pervenerunt: atque ii Atheniensibus auxilio venientibus urbe sua commissa, prima noctis vigilia profecti, Lysandro paulum prævento ad Haliartum perrexerunt et cum parte copiarum in urbem ingressi sunt. (5) Lysander quum initio statuisset positis in colle castris Pausaniæ adventum præstolari, augescente die quietis impatiens, milites arma capere jussit, eosque cohortatus, rectam phalangem juxta viam ad muros adduxit. (6) Thebani vero, qui extra mœnia consederant, Haliarto ad lævam relicta in extremos hostium invaserunt, infra fontem qui Cissusa cognominatur. Ibi nutrices Bacchum in lucem editum abluisse fabulantur: nam et vini colorem aqua habet et perlucida est potuque suavissima. (7) Haud procul inde Cretenses styraces nascuntur: quod certum esse signum Haliartii perlubent,

αὐτόθι κατοικήσεως Ἁλιάρτιοι ποιοῦνται καὶ τάφον αὐτοῦ δεικνύουσιν Ἀλεᾶ καλοῦντες. (8) Ἔστι δὲ καὶ τὸ τῆς Ἀλκμήνης μνημεῖον ἐγγύς· ἐνταῦθα γὰρ, ὥς φασι, ἐκηδεύθη συνοικήσασα Ῥαδαμάνθυι μετὰ τὴν Ἀμφιτρύωνος τελευτήν. (9) Οἱ δὲ ἐν τῇ πόλει Θηβαῖοι μετὰ τῶν Ἁλιαρτίων συντεταγμένοι τέως μὲν ἡσύχαζον· ἐπεὶ δὲ τὸν Λύσανδρον ἅμα τοῖς πρώτοις προσπελάζοντα τῷ τείχει κατεῖδον, ἐξαπίνης ἀνοίξαντες τὰς πύλας καὶ προσπεσόντες αὐτόν τε μετὰ τοῦ μάντεως κατέβαλον καὶ τῶν ἄλλων ὀλίγους τινάς· οἱ γὰρ πλεῖστοι ταχέως ἀνέφυγον πρὸς τὴν φάλαγγα. (10) Τῶν δὲ Θηβαίων οὐκ ἀνιέντων, ἀλλὰ προσκειμένων αὐτοῖς, ἐτράποντο πάντες ἀνὰ τοὺς λόφους φεύγειν καὶ χίλιοι πίπτουσιν αὐτῶν. (11) Ἀπέθανον δὲ καὶ Θηβαίων τριακόσιοι πρὸς τὰ τραχέα καὶ καρτερὰ τοῖς πολεμίοις συνεκπεσόντες. Οὗτοι δὲ ἦσαν ἐν αἰτίᾳ τοῦ λακωνίζειν, ἣν σπουδάζοντες ἀπολύσασθαι τοῖς πολίταις καὶ σφῶν αὐτῶν ἀφειδοῦντες ἐν τῇ διώξει παραναλώθησαν.

XXIX. Τῷ δὲ Παυσανίᾳ τὸ πάθος ἀγγέλλεται καθ' ὁδὸν ἐκ Πλαταιῶν εἰς Θεσπιὰς πορευομένῳ· καὶ συνταξάμενος ἦκε πρὸς τὸν Ἁλίαρτον. Ἦκε δὲ καὶ Θρασύβουλος ἐκ Θηβῶν ἄγων τοὺς Ἀθηναίους. (2) Βουλευομένου δὲ τοῦ Παυσανίου τοὺς νεκροὺς ὑποσπόνδους ἀπαιτεῖν, δυσφοροῦντες οἱ πρεσβύτεροι τῶν Σπαρτιατῶν αὐτοί τε καθ' ἑαυτοὺς ἠγανάκτουν καὶ τῷ βασιλεῖ προσιόντες ἐμαρτύραντο μὴ διὰ σπονδῶν ἀναιρεῖσθαι Λύσανδρον, ἀλλὰ δι' ὅπλων περὶ τοῦ σώματος ἀγωνισαμένους καὶ νικήσαντας οὕτω τὸν ἄνδρα θάπτειν, ἡττωμένοις δὲ καλὸν ἐνταῦθα κεῖσθαι μετὰ τοῦ στρατηγοῦ. (3) Ταῦτα τῶν πρεσβυτέρων λεγόντων ὁρῶν ὁ Παυσανίας μέγα μὲν ἔργον ὑπερβαλέσθαι μάχῃ τοὺς Θηβαίους ἄρτι κεκρατηκότας, ἐγγὺς δὲ τῶν τειχῶν τὸ σῶμα τοῦ Λυσάνδρου παραπεπτωκὸς, ὥστε χαλεπὴν ἄνευ σπονδῶν καὶ νικῶσιν εἶναι τὴν ἀναίρεσιν, ὑπέπεμψε κήρυκα καὶ σπεισάμενος ἀπήγαγε τὴν δύναμιν ὀπίσω. (4) Τὸν δὲ Λύσανδρον, ᾗ πρῶτον κομίζοντες ὑπὲρ τοὺς ὅρους ἐγένοντο τῆς Βοιωτίας, ἐν φίλῃ καὶ συμμαχίδι χώρᾳ τῇ Πανοπαίων κατέθεσαν, οὗ νῦν τὸ μνημεῖόν ἐστι παρὰ τὴν ὁδὸν εἰς Χαιρώνειαν ἐκ Δελφῶν πορευομένοις. (5) Ἐνταῦθα δὴ τῆς στρατιᾶς καταυλισαμένης λέγεταί τινα τῶν Φωκέων ἑτέρῳ μὴ παρατυχόντι τὸν ἀγῶνα διηγούμενον εἰπεῖν, ὡς οἱ πολέμιοι προσπέσοιεν αὐτοῖς τοῦ Λυσάνδρου τὸν Ὁπλίτην ἤδη διαβεβηκότος. (6) Θαυμάσαντα δὲ Σπαρτιάτην ἄνδρα τοῦ Λυσάνδρου φίλον ἐρέσθαι τίνα λέγοι τὸν Ὁπλίτην· οὐ γὰρ εἰδέναι τοὔνομα· « Καὶ μὴν ἐκεῖ γε, φάναι, « τοὺς πρώτους ἡμῶν οἱ πολέμιοι κατέβαλον. Τὸ γὰρ παρὰ τὴν πόλιν ῥεῖθρον Ὁπλίτην καλοῦσιν. » (7) Ἀκούσαντα δὲ τὸν Σπαρτιάτην ἐνδακρῦσαι καὶ εἰπεῖν, ὡς ἄφευκτόν ἐστιν ἀνθρώπῳ τὸ πεπρωμένον. Ἦν γὰρ, ὡς ἔοικε, τῷ Λυσάνδρῳ δεδομένος χρησμὸς οὕτως ἔχων·

Ὁπλίτην κελάδοντα φυλάξασθαί σε κελεύω
γῆς τε δράκοντ' ὀπίσω τε ἰὸν ὀλίον κατόπισθεν ἰόντα.

habitasse apud ipsos Rhadamanthum, cujus etiam sepulcrum ostendunt, Alea vocantes. (8) Prope est etiam Alcmenæ monumentum : ibi enim sepultam ferunt, quum post Amphitryonis mortem Rhadamanthum maritum habuisset. (9) Qui vero Haliartum intraverant Thebani, una cum oppidanis acie instructa, tantisper se continuerunt, dum Lysander cum primis muro appropinquare cerneretur : ibi repente aperta porta eruperunt adortique hostem, Lysandrum una cum vate et aliis non multis interfecerunt : reliqui celeriter ad phalangem refugerunt. (10) Thebanis autem instantibus acriter, omnes fuga ad tumulos conversi sunt, milleque homines interfecti. (11) Occubuerunt etiam trecenti Thebani, qui hostem insequendo in aspera et iniqua loca se conjecerant. Hi quum ad Lacedæmonios inclinare putarentur, ut eo se crimine apud cives liberarent, persequendo hostem avidius neque salutis suæ curam gerentes, perierunt.

XXIX. Pausaniæ, quum a Platæis Thespias iret, ea de re allatus est nuncius. Itaque composito agmine ad Haliartum accessit : eodem et Thrasybulus a Thebis Athenienses adduxit. (2) Cogitante Pausania de induciis repetendorum cadaverum causa faciendis, ægre id ferentes seniores Spartanorum et ipsi inter se conquerebantur et ad regem aggressi obtestabantur ne per inducias Lysandri corpus auferretur, armis de eo certandum partaque victoria id humandum, victis autem pulchrum fore juxta ducem mortem oppetisse. (3) Dicentibus hæc senioribus, Pausanias Thebanos modo victores superari rem esse admodum difficilem intelligens, ad hæc Lysandrum proxime murum cecidisse ait, ut victores etiam haud facile sine induciis cadaver auferre possent : itaque submisso præcone et induciis factis, exercitum abduxit. (4) Spartani Lysandrum auferentes, ut primum finibus Bœotiæ superatis in Panopæorum, sociorum tum et confœderatorum, agrum pervenerunt, ibi humaverunt : et adhuc monumentum ejus exstat in via quæ a Chæronea Delphos ducit. (5) Ibi quum exercitus castra fecisset, quendam Phocensem alteri, qui non interfuerat, pugnam eam exponentem dixisse ferunt, hostes impetum in ipsos fecisse, quum jam Hopliten transivisset Lysander. (6) Id quendam Spartanum amicum Lysandri admiratum fuisse et quisnam ille Hoplites esset quæsivisse : sibi enim id nomen ignotum haberi. At vero, respondisse Phocensem, ibi hostes primos nostros dejecerunt : amni enim, qui apud urbem defluit, Hoplitæ nomen est. (7) Spartanum his auditis illacrimasse, dicentem : Adeo tandem homini fatum inevitabile est! Etenim oraculum Lysandro datum ferebatur tale :

Hoplitam te commoneo vitare strepentem,
terrigenamque draconem a tergo qui subit astu.

(8) Τινὲς δὲ τὸν Ὁπλίτην οὐ πρὸς Ἁλιάρτῳ ῥεῖν λέγουσιν, ἀλλὰ πρὸς Κορώνειαν χειμάῤῥουν εἶναι τῷ Φιλάρῳ ποταμῷ συμφερόμενον παρὰ τὴν πόλιν, ὃν πάλαι μὲν Ὁπλίαν, νῦν δὲ Ἰσόμαντον προσαγορεύουσιν. (9) Ὁ δὲ ἀποκτείνας τὸν Λύσανδρον Ἁλιάρτιος ἀνὴρ ὄνομα Νεόχωρος ἐπίσημον εἶχε τῆς ἀσπίδος δράκοντα· καὶ τοῦτο σημαίνειν ὁ χρησμὸς εἰκάζετο. (10) Λέγεται δὲ καὶ Θηβαίοις ὑπὸ τὸν Πελοποννησιακὸν πόλεμον ἐν Ἰσμηνίῳ γενέσθαι χρησμὸν ἅμα τήν τε πρὸς Δηλίῳ μάχην καὶ τὴν πρὸς Ἁλιάρτῳ ταύτην ἐκείνης ὕστερον d ἔτει τριακοστῷ γενομένην προμηνύοντα. Ἦν δὲ τοιοῦτος·

Ἐσχατιὰν πεφύλαξο λύκου καμάκεσσι δοκεύων
καὶ λόφον Ὀρχαλίδην, ὃν ἀλώπηξ οὔποτε λείπει.

(11) Τὸν μὲν οὖν περὶ Δήλιον τόπον ἐσχατιὰν προσεῖπε, καθ' ἣν ἡ Βοιωτία τῇ Ἀττικῇ σύνορός ἐστιν, Ὀρχαλίδην δὲ λόφον, ὃν νῦν Ἀλώπεκον καλοῦσιν, ἐν τοῖς πρὸς τὸν Ἑλικῶνα μέρεσι τοῦ Ἁλιάρτου κείμενον.

XXX. Τοιαύτης δὲ τῷ Λυσάνδρῳ τῆς τελευτῆς γενομένης παραχρῆμα μὲν οὕτως ἤνεγκαν βαρέως οἱ Σπαρτιᾶται, ὥστε τῷ βασιλεῖ κρίσιν προγράψαι θα- e νατικήν· ἣν οὐχ ὑποστὰς ἐκεῖνος εἰς Τεγέαν ἔφυγε κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. (2) Καὶ γὰρ ἡ πενία τοῦ Λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα φανερωτέραν ἐποίησε τὴν ἀρετὴν ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως θεραπείας τε πόλεων καὶ βασιλέως τοσαύτης μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱστορεῖ Θεόπομπος, ᾧ μᾶλλον ἐπαινοῦντι πιστεύσειεν ἄν τις ἢ ψέγοντι, ψέγειν γὰρ ἥδιον ἢ ἐπαινεῖν. (3) Χρόνῳ δὲ ὕστερον Ἔφορός φησιν ἀντιλογίας τινὸς συμμαχικῆς ἐν Σπάρτῃ f γενομένης τὰ γράμματα διασκέψασθαι δεῆσαν, ἃ παρ' ἑαυτῷ κατέσχεν ὁ Λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν Ἀγησίλαον. (4) Εὑρόντα δὲ τὸ βιβλίον, ἐν ᾧ γεγραμμένος ἦν ὁ περὶ τῆς πολιτείας λόγος, ὡς χρὴ τῶν Εὐρυποντιδῶν καὶ Ἀγιαδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ὁρμῆσαι μὲν εἰς τοὺς πολίτας τὸν λόγον ἐξενεγκεῖν καὶ παραδεικνύναι τὸν Λύσανδρον, οἷος ὢν
451πολίτης διαλάθοι, Λακρατίδαν δὲ, ἄνδρα φρόνιμον a καὶ τότε προεστῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου καὶ εἰπεῖν, ὡς δεῖ μὴ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν οὕτω συντεταγμένον πιθανῶς καὶ πανούργως. (5) Οὐ μὴν ἀλλὰ τάς τε ἄλλας τιμὰς ἀπέδοσαν αὐτῷ τελευτήσαντι καὶ τοὺς μνηστευσαμένους τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν τοῦ Λυσάνδρου πένητος εὑρεθέντος ἀπειπαμένους ἐζημίωσαν, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες ἐγκατέλιπον. (6) Ἦν γὰρ, ὡς ἔοικεν, ἐν Σπάρτῃ καὶ ἀγαμίου δίκη καὶ ὀψιγαμίου καὶ κακογαμίου· b ταύτῃ δὲ ὑπῆγον μάλιστα τοὺς ἀντὶ τῶν ἀγαθῶν καὶ οἰκείων τοῖς πλουσίοις κηδεύοντας. Τὰ μὲν οὖν περὶ Λύσανδρον οὕτως ἱστορήσαμεν ἔχοντα.

(8) Alii Hoplitam non apud Haliartum fluere, sed juxta Coroneam rivum esse, qui apud urbem in fluvium Philarum illabatur, antiquitus Hoplias, nunc Isomantus dictus. (9) Haliartius autem civis, qui Lysandrum interfecit, nomine Neochorus, insigne in clypeo gestabat draconem, idque indicare oraculum videbatur. (10) Memoriæ traditum est, Thebanis sub bellum Peloponnesiacum in Ismenio oraculum esse datum, quod et pugnam apud Delium, et quæ trigesimo ab ea anno facta est, hanc apud Haliartum prædixerit : idque ita habet,

Vita extrema, lupis dum instas hostilibus, oræ
Et tumulum Orchaliden, vulpes quem haud deserit unquam.

(11) Locum qui est ad Delium agri extremitatem dixit, quod ibi Bœotia Atticam attingit : Orchaliden collem, quem nunc Alopecum (*Vulpem*) dicunt, in partibus Haliarti versus Heliconem situm.

XXX. Lysandrum hoc modo exstinctum confestim ita graviter tulerunt Spartani, ut Pausaniæ regi capitis judicium constituerint : quod ille subire non ausus, Tegeam fugit, ibique supplex in templo Minervæ vitam peregit. (2) Quippe Lysandri paupertas post obitum demum patefacta eo illustriorem ejus virtutem reddidit, quod ex tantis divitiis tantaque potentia, tanto urbium atque regis Persarum studio, ne minimum quidem rei familiaris augmentum fecerat : id enim Theopompus scribit, cui laudanti quam reprehendenti facilius crediderim, quando ad vituperandum sumus quam ad laudandum procliviores. (3) Aliquanto post tempore, ut Ephorus narrat, quum Lacedæmone confœderatorum disceptatio exstitisset, ita ut inspicere litteras, quas domi habuerat Lysander, oporteret, Agesilaus in ædes ipsius venit. (4) Quumque orationem ejus de republica scriptam quodam in libro reperisset, qua persuadere conabatur regnum Eurypontidis et Agiadis eripiendum atque in medio omnibus ponendum, deligendosque reges ex optimis civium esse, voluit ad cives eam efferre et demonstrare, qualis omnibus inscientibus Lysander fuisset civis. Lacratidas autem vir, prudens tuncque inter Ephoros primus, Agesilaum inhibuit, non effodiendum esse Lysandrum dicens, sed orationem potius, tam probabiliter atque callide compositam, juxta defodiendam. (5) Verumtamen et reliquos ei honores Spartani defuncto habuerunt et eos qui cum filiabus ipsius sponsalia fecerant, sed postea morte ejus pauperiem arguente abnuebant, mulcta affecerunt, quod ii quem divitem rati colnissent, eum justum et virum bonum paupertatis argumento compertum desererent. (6) Fuit enim, ut consentaneum est, apud Spartanos et cœlibatus et sero et male contractarum nuptiarum judicium : hoc autem maxime eos persequebantur, qui pro bonis et agnatis affinitatem cum divitibus coivissent. Hæc ergo sunt quæ de Lysandro commemoranda habuimus.

ΣΥΛΛΑΣ.

Λεύκιος δὲ Κοσνήλιος Σύλλας γένει μὲν ἦν ἐκ πατρικίων, οὓς εὐπατρίδας ἄν τις εἴποι, τῶν δὲ προγόνων αὐτοῦ λέγουσι Ῥουφῖνον ὑπατεῦσαι, καὶ τούτῳ δὲ τῆς τιμῆς ἐπιφανεστέραν γενέσθαι τὴν ἀτιμίαν. Εὑρέθη γὰρ ἀργυρίου κοίλου κεκτημένος ὑπὲρ δέκα λίτρας, τοῦ νόμου μὴ διδόντος· ἐπὶ τούτῳ δὲ τῆς βουλῆς ἐξέπεσεν. (2) Οἱ δὲ μετ' ἐκεῖνον ἤδη ταπεινὰ πράττοντες διετέλεσαν, αὐτός τε Σύλλας ἐν οὐκ ἀφθόνοις ἐτράφη τοῖς πατρῴοις. (3) Γενόμενος δὲ μειράκιον ὥκει παρ' ἑτέροις ἐνοίκιον οὐ πολὺ τελῶν, ὡς ὕστερον ὠνειδίζετο παρ' ἀξίαν εὐτυχεῖν δοκῶν. (4) Σεμνυνομένῳ μὲν γὰρ αὐτῷ καὶ μεγαληγοροῦντι μετὰ τὴν ἐν Λιβύῃ στρατείαν λέγεταί τις εἰπεῖν τῶν καλῶν τε κἀγαθῶν ἀνδρῶν, « Καὶ πῶς ἂν εἴης σὺ χρηστὸς, ὃς τοῦ πατρός σοι μηδὲν καταλιπόντος τοσαῦτα κέκτησαι; » (5) Καίτοι γὰρ οὐκ ἔτι τῶν βίων ἐν ἤθεσιν ὀρθίοις καὶ καθαροῖς μενόντων, ἀλλ' ἐγκεκλικότων καὶ παραδεδεγμένων τρυφῆς καὶ πολυτελείας ζῆλον, εἰς ἴσον ὅμως ὄνειδος ἐτίθεντο τοὺς ὑπάρχουσαν εὐπορίαν ἀπολέσαντας καὶ τοὺς πενίαν πατρῴαν μὴ διαφυλάξαντας. (6) Ὕστερον δὲ ἤδη κρατοῦντος αὐτοῦ καὶ πολλοὺς ἀποκτιννύντος, ἀπελευθερικὸς ἄνθρωπος δοκῶν κρύπτειν ἕνα τῶν προγεγραμμένων καὶ κατακρημνίζεσθαι διὰ τοῦτο μέλλων ὠνείδισε τὸν Σύλλαν, ὅτι πολὺν χρόνον ἐν μιᾷ συνοικίᾳ διητῶντο φέροντες ἐνοίκιον, αὐτὸς μὲν τῶν ἄνω δισχιλίους νούμμους, ἐκεῖνος δὲ τῶν ὑποκάτω τρισχιλίους, ὥστε τῆς τύχης αὐτῶν τὸ μεταξὺ χιλίους εἶναι νούμμους, οἳ πεντήκοντα καὶ διακοσίας δραχμὰς Ἀττικὰς δύνανται. (7) Ταῦτα μὲν οὖν ἱστοροῦσι περὶ τῆς παλαιᾶς τοῦ Σύλλα τύχης.

II. Τοῦ δὲ σώματος αὐτοῦ τὸ μὲν ἄλλο εἶδος ἐπὶ τῶν ἀνδριάντων φαίνεται, τὴν δὲ τῶν ὀμμάτων γλαυκότητα δεινῶς καὶ πικρὰν καὶ ἄκρατον οὖσαν ἡ χρόα τοῦ προσώπου φοβερωτέραν ἐποίει προσιδεῖν. (2) Ἐξήνθει γὰρ τὸ ἐρύθημα τραχὺ καὶ σποράδην καταμεμιγμένον τῇ λευκότητι· πρὸς ὃ καὶ τοὔνομα λέγουσιν αὐτῷ γενέσθαι τῆς χρόας ἐπίθετον, καὶ τῶν Ἀθήνησι γεφυριστῶν ἐπέσκωψέ τις εἰς τοῦτο ποιήσας,

Συκάμινον ἔσθ' ὁ Σύλλας, ἀλφίτῳ πεπασμένον.

452(3) Τοῖς δὲ τοιούτοις τῶν τεκμηρίων οὐκ ἄτοπόν ἐστι χρῆσθαι περὶ ἀνδρὸς, ὃν οὕτω φιλοσκώμμονα φύσει γεγονέναι λέγουσιν, ὥστε νέον μὲν ὄντα καὶ ἄδοξον ἔτι μετὰ μίμων καὶ γελωτοποιῶν διαιτᾶσθαι καὶ συνακολασταίνειν, ἐπεὶ δὲ κύριος ἁπάντων κατέστη, συναγαγόντα τῶν ἀπὸ σκηνῆς καὶ θεάτρου τοὺς ἰταμωτάτους ὀσημέραι πίνειν καὶ διαπληκτίζεσθαι τοῖς σκώμμασι, τοῦ τε γήρως ἀωρότερα πράττειν δοκοῦντα καὶ πρὸς τὸ καταισχύνειν τὸ ἀξίωμα τῆς ἀρχῆς πολλὰ τῶν δεομένων ἐπιμελείας προϊέμενον. (4) Οὐ γὰρ ἦν τῷ Σύλλᾳ περὶ δεῖπνον ὄντι χρήσασθαι σπουδαῖον οὐδὲν, ἀλλ' ἐνεργὸς ὢν καὶ σκυθρωπότερος παρὰ τὸν ἄλλον χρόνον ἀθρόαν ἐλάμβανε

SYLLA.

Cornelius Sylla patricio genere editus est. Ex majoribus ejus Rufinum consulatum gessisse dicunt, sed ignominia ejus quam honor illustrior fuit. Nam quum deprehensum esset eum, quod legibus prohibebatur, argenteorum vasorum supra decem libras possedisse, senatu ejectus est. (2) Ab illo cetera progenies humili in fortuna manserunt: et ipse Sylla in patrimonio non amplo educatus est. (3) Adolescens apud alios habitavit, pro habitatione mercedem non magnam solvens: quod ei postea temporis probri loco objectum est, quum fortuna quam dignus esset prosperiore uti videretur. (4) Post Africanam expeditionem jactanti se glorioseque verbis efferenti dixisse quidam optimatum fertur: Qui tu bonus esse possis, qui quum tibi nihil a patre sit relictum, tantas opes habes? (5) Quum enim pauci rectis inculpatisque moribus essent, sed vulgo jam ad vitium inclinavissent et luxus splendorisque cupiditate correpti essent, eodem tamen in vitio esse censebantur cum his qui bona sua prodegissent, ii qui in paterna paupertate non permansissent. (6) Postmodo etiam, quum jam rerum potitus multas cædes faceret, quidam libertus de saxo præcipitandus quod proscriptorum quendam occultasse putaretur, exprobravit ipsi, quod diu eadem domo usi fuissent, cujus ipse duobus millibus nummorum superiorem partem, Sylla tribus millibus nummûm inferiorem conduxisset: nimirum inter eorum fortunas mille nummos, hoc est drachmas Atticas ducentas quinquaginta, interesse. (7) Hæc de antiqua Syllæ fortuna perhibentur.

II. Corporis ipsius figuram ex statuis licet cernere. Oculos habuit immodice cæsios atque truces, quos et ipse faciei color terribiliores efficiebat. (2) Emicabat enim aspera rubedo, albedini sparsim intermixta; atque inde nomen coloris ei impositum ferunt et Atheniensium scurrarum quidam hoc versu id notavit

Morum farina spargito, Syllam vides.

(3) Talibus de eo viro uti indiciis non est absurdum, quem adeo natura ad dicacitatem propensum fuisse ferunt, ut juvenis adhuc et inglorius inter mimos et scurras conversatus fuerit, sociumque se tibicinum præbuerit, ac postmodo rerum potitus conducto a scena et theatro petulantissimo quoque, quotidie inter eam turbam compotando et salibus certando vacaverit, præter et ætatem senectam et imperii majestatem, multorum cum gravium negotiorum neglectione. (4) Neque enim Sylla cœnans quicquam seriæ rei admittebat: qui quum reliquo tempore impiger esset et austerior, ut pri-

μεταβολὴν, ὁπότε πρῶτον ἑαυτὸν εἰς συνουσίαν καταβάλοι καὶ πότον, ὥστε μιμῳδοῖς καὶ ὀρχησταῖς τιθασὸς εἶναι καὶ πρὸς πᾶσαν ἔντευξιν ὑποχείριος καὶ κατάντης. (6) Ταύτης δὲ τῆς ἀνέσεως ἔοικε γεγονέναι νόσημα καὶ ἡ πρὸς τοὺς ἔρωτας εὐχέρεια καὶ ῥύσις αὐτοῦ τῆς φιλησονίας, ἧς οὐδὲ γηράσας ἐπαύσατο. [Μητροβίου δὲ τῶν ἀπὸ σκηνῆς τινος ἐρῶν διετέλεσεν.] (6) Καὶ συνήντησεν αὐτῷ τὸ τοιοῦτον· ἀρξάμενος γὰρ ἔτι νέος ὢν ἐρᾶν κοινῆς μὲν, εὐπόρου δὲ γυναικὸς, ὄνομα Νικοπόλεως, καὶ διὰ συνήθειαν καὶ χάριν, ἣν ἀφ' ὥρας εἶχεν, εἰς ἐρωμένου σχῆμα περιελθὼν, ἀπελείφθη κληρονόμος ὑπὸ τῆς ἀνθρώπου τελευτώσης. (7) Ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιὰν, ἀγαπηθεὶς ὥσπερ υἱὸς ὑπ' αὐτῆς· καὶ μετρίως μὲν ἀπὸ τούτων ηὐπόρησεν.

III. Ἀποδειχθεὶς δὲ ταμίας ὑπατεύοντι Μαρίῳ τὴν πρώτην ὑπατείαν συνεξέπλευσεν εἰς Λιβύην πολεμήσων Ἰουγούρθαν. (2) Γενόμενος δὲ ἐπὶ στρατοπέδου τά τε ἄλλα παρεῖχεν ἑαυτὸν εὐδόκιμον καὶ καιρῷ παραπεσόντι χρησάμενος εὖ, φίλον ἐποιήσατο τὸν τῶν Νομάδων βασιλέα Βόκχον. (3) Πρεσβευτὰς γὰρ αὐτοῦ ληστήριον Νομαδικὸν ἐκφυγόντας ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς δῶρα καὶ πομπὴν ἀσφαλῆ παρασχὼν ἀπέστειλεν. (4) Ὁ δὲ Βόκχος ἐτύγχανε μὲν ἔτι γε πάλαι γαμβρὸν ὄντα μισῶν καὶ φοβούμενος τὸν Ἰουγούρθαν, τότε δὲ ἡττημένῳ καὶ πεφευγότι πρὸς αὐτὸν ἐπιβουλεύων ἐκάλει τὸν Σύλλαν, δι' ἐκείνου μάλιστα βουλόμενος τὴν σύλληψιν καὶ παράδοσιν τοῦ Ἰουγούρθα γενέσθαι ἢ δι' αὐτοῦ. (5) Κοινωσάμενος δὲ τῷ Μαρίῳ καὶ λαβὼν στρατιώτας ὀλίγους ὁ Σύλλας τὸν μέγιστον ὑπέδυ κίνδυνον, ὅτι βαρβάρῳ καὶ πρὸς τοὺς οἰκειοτάτους ἀπίστῳ πιστεύσας ὑπὲρ τοῦ παραλαβεῖν ἕτερον ἑαυτὸν ἐνεχείρισεν. (6) Οὐ μὴν ἀλλὰ ὁ Βόκχος ἀμφοτέρων κύριος γενόμενος καὶ καταστήσας ἑαυτὸν εἰς ἀνάγκην τοῦ παρασπονδῆσαι τὸν ἕτερον, καὶ πολλὰ διενεχθεὶς τῇ γνώμῃ, τέλος ἐκύρωσε τὴν πρώτην προδοσίαν καὶ παρέδωκε τῷ Σύλλᾳ τὸν Ἰουγούρθαν. (7) Ὁ μὲν οὖν θριαμβεύων ἐπὶ τούτῳ Μάριος ἦν, ἡ δὲ δόξα τοῦ κατορθώματος, ἣν ὁ Μαρίου φθόνος Σύλλᾳ προσετίθει, παρελύπει τὸν Μάριον ἡσυχῇ. (8) Καὶ γὰρ αὐτὸς ὁ Σύλλας φύσει τε μεγάλαυχος ὢν καὶ τότε πρῶτον ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἔν τινι λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις καὶ τοῦ τιμᾶσθαι γευόμενος εἰς τοῦτο φιλοτιμίας προῆλθεν, ὥστε γλυψάμενος ἐν δακτυλίῳ φορεῖν εἰκόνα τῆς πράξεως καὶ ταύτῃ γε χρώμενος ἀεὶ διετέλεσεν. Ἦν δὲ ἡ γραφὴ Βόκχος μὲν παραδιδοὺς, Σύλλας δὲ παραλαμβάνων τὸν Ἰουγούρθαν.

IV. Ἡνία μὲν οὖν ταῦτα τὸν Μάριον· ἔτι δὲ ἡγούμενος ἐλάττοντα τοῦ φθονεῖσθαι τὸν Σύλλαν ἐχρῆτο πρὸς τὰς στρατείας, τὸ μὲν δεύτερον ὑπατεύων πρεσβευτῇ, τὸ δὲ τρίτον χιλιάρχῳ, καὶ πολλὰ δι' ἐκείνου τῶν χρησίμων κατωρθοῦτο. (2) Πρεσβεύων τε γὰρ ἡγεμόνα Τεκτοσάγων Κόπιλλον εἶλε, καὶ χιλιαρχῶν μέγα καὶ πολυάνθρωπον ἔθνος Μαρσοὺς ἔπεισε φίλους γενέσθαι καὶ συμμάχους Ῥωμαίων. (3) Ἐκ δὲ τούτων τὸν

mum convivio se dedisset et compotationi, ita subito mutabatur, ut mimis et histrionibus obnoxius esset omnique consuetudini patens et inserviens. (5) Hujus remissionis vitio etiam factum videtur, ut amoribus tam facile caperetur atque omni genere libidinum difflueret, a quibus eum ne senium quidem retraxit. [Metrobium quendam scenicum semper amavit.] (6) Atque contigit ei hujuscemodi quid: quum mulierem, Nicopolin nomine, meretricem quidem vulgarem, sed divitem, juvenis adhuc adamare cœpisset, ab ea deinde ob consuetudinem et juvenilem ejus venustatem amasius habitus atque testamento heres ejus relictus est. (7) Novercæ etiam hereditatem adiit, quæ eum non minori quam filium amore complexa fuerat. Inde mediocres ei opes fuerunt.

III. Quæstor creatus, cum Mario primum tum consulatum gerente in Africam ad bellum Jugurthinum navigavit. (2) Postquam in castra venit, quum aliis in rebus laudem meruit, tum occasione oblata recte usus, Numidarum regem Bocchum amicitia sibi junxit. (3) Hujus enim legatos, quum ii Numidarum latronum manus evasissent, humaniter acceptos tractatosque donisque affectos, addito tuto comitatu, regi remisit. (4) Bocchus autem, qui jam pridem generum suum Jugurtham in odio atque suspicione habuisset, victo ei et ad ipsum confugienti insidiatus, Syllam ad se vocavit; ab hoc enim quam a se Jugurtham capi atque Romanis tradi malebat. (5) Sylla re cum Mario communicata et paucis acceptis militibus in summum se dedit periculum, quum se barbaro et domesticis suis infideli crederet, capiendique alterius causa in manus ejus traderet. (6) Verum Bocchus quum in sua utrumque potestate haberet, atque omnino alterum eorum perfidiose tractare cogeretur, diu animi dubius, tandem proditionem priorem prætulit, Jugurthamque Syllæ tradidit. (7) Ea de re Marius quidem triumphavit: at gloria facti, quam Marii invidia Syllæ tribuebat, occulte urebatur. (8) Nam ipse quoque Sylla, homo natura arrogans, tum primum ex abjecta atque obscura vita emergens, inque aliquo inter cives numero haberi incipiens gustumque honoris percipiens, eo ambitionis processit, ut rei imaginem in annulo sculptam pro sigillo semper usurpaverit. Sculptura autem Bocchus tradens et Sylla accipiens Jugurtham expressus erat.

III. Quæ etsi Mario erant molesta, tamen Sylla, quem minorem adhuc, quam cui invideretur, censebat, in militia usus est, consul iterum legato, tertium tribuno militum, multaque ejus opera utiliter confecit negotia. (2) Nam Sylla legatus Copillum Tectosagum ducem cepit, et tribunus militum Marsos, magnam atque populosam gentem, ad societatem Romanorum perduxit. (3) Ob hæc animadvertens se Mario

453 Μάριον αἰσθόμενος ἀχθόμενον αὐτῷ καὶ μηκέτι προϊέ a
μενον ἡδέως πράξεων ἀφορμὰς, ἀλλὰ ἐνιστάμενον τῇ
αὐξήσει, Κάτλῳ τῷ συνάρχοντι τοῦ Μαρίου προσένειμεν ἑαυτὸν, ἀνδρὶ χρηστῷ μὲν, ἀμβλυτέρῳ δὲ πρὸς τοὺς
ἀγῶνας. Ὑφ' οὗ τὰ πρῶτα καὶ μέγιστα πιστευόμενος εἰς δύναμιν ἅμα δόξῃ προήει. (4) Καὶ πολέμῳ μὲν αἱρεῖ πολὺ μέρος τῶν ἐν ταῖς Ἄλπεσι βαρβάρων, ἐπιλιπούσης δὲ τῆς ἀγορᾶς ἀναδεξάμενος τὴν ἐπιμέλειαν τοσαύτην ἐποίησε περιουσίαν, ὥστε τῶν Κάτλου στρατιωτῶν ἐν ἀφθόνοις διαγόντων καὶ τοῖς Μαρίου προσπαρασχεῖν· ἐφ' ᾧ φησιν αὐτὸς ἰσχυρῶς ἀνιᾶσαι τὸν Μάριον. (5) Ἡ μὲν οὖν ἔχθρα βραχεῖαν οὕτω καὶ μειρακιώδη λαβοῦσα τὴν πρώτην ὑπόθεσιν καὶ ἀρχὴν, εἶτα χωροῦσα δι' αἵ- b
ματος ἐμφυλίου καὶ στάσεων ἀνηκέστων ἐπὶ τυραννίδα καὶ σύγχυσιν ἁπάντων πραγμάτων ἀπέδειξε τὸν Εὐριπίδην σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοσημάτων διακελευσάμενον φυλάττεσθαι τὴν φιλοτιμίαν ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις.

V. Ὁ δὲ Σύλλας οἰόμενος αὐτῷ τὴν ἀπὸ τῶν πολεμικῶν δόξαν ἐπὶ τὰς πολιτικὰς πράξεις διαρκεῖν καὶ δοὺς ἑαυτὸν ἀπὸ τῆς στρατείας εὐθὺς ἐπὶ τὴν τοῦ δήμου πρᾶξιν, ἐπὶ στρατηγίαν πολιτικὴν ἀπεγράψατο καὶ διεψεύσθη· τὴν δ' αἰτίαν τοῖς ὄχλοις ἀνατίθησι. (2) Φησὶ γὰρ αὐτοὺς τὴν πρὸς Βόκχον εἰδότας φιλίαν καὶ προσ- c
δεχομένους, εἰ πρὸ τῆς στρατηγίας ἀγορανομοίη, κυνηγέσια λαμπρὰ καὶ Λιβυκῶν θηρίων ἀγῶνας, ἑτέρους ἀποδεῖξαι στρατηγοὺς, ὡς αὐτὸν ἀγορανομεῖν ἀναγκάσοντας. (3) Ἔοικε δὲ τὴν ἀληθῆ τῆς ἀποτεύξεως αἰτίαν οὐχ ὁμολογῶν ὁ Σύλλας ἐλέγχεσθαι τοῖς πράγμασιν. Ἐνιαυτῷ γὰρ κατόπιν ἔτυχε τῆς στρατηγίας τοῦ δήμου τὸ μέν τι θεραπείᾳ, τὸ δὲ καὶ χρήμασι προσαγαγόμενος. (4) Διὸ δὴ καὶ στρατηγοῦντος αὐτοῦ καὶ πρὸς Καίσαρα μετ' ὀργῆς εἰπόντος, ὡς χρήσεται τῇ ἰδίᾳ πρὸς αὐτὸν ἐξουσίᾳ, γελάσας ὁ Καῖσαρ, « Ὀρθῶς, ἔφη, τὴν ἀρχὴν d
ἴδιαν νομίζεις· ἔχεις γὰρ αὐτὴν πριάμενος. » (5) Μετὰ δὲ τὴν στρατηγίαν εἰς τὴν Καππαδοκίαν ἀποστέλλεται τὸν μὲν ἐμφανῆ λόγον ἔχων πρὸς τὴν στρατείαν Ἀριοβαρζάνην καταγαγεῖν, αἰτίαν δὲ ἀληθῆ Μιθριδάτην ἐπισχεῖν πολυπραγμονοῦντα καὶ περιβαλλόμενον ἀρχὴν καὶ δύναμιν οὐκ ἐλάττονα τῆς ὑπαρχούσης. (6) Ἰδίαν μὲν οὖν δύναμιν οὐ πολλὴν ἐπήγετο, χρησάμενος δὲ τοῖς συμμάχοις προθύμοις καὶ πολλοὺς μὲν αὐτῶν Καππαδοκῶν, πλείονας δ' αὖθις Ἀρμενίων προσβοηθοῦντας ἀποκτείνας, Γόρδιον μὲν ἐξήλασεν, Ἀριοβαρζάνην δὲ ἀπέ- e
δειξε βασιλέα. (7) Διατρίβοντι δὲ αὐτῷ παρὰ τὸν Εὐφράτην ἐντυγχάνει Πάρθος Ὀρόβαζος, Ἀρσάκου βασιλέως πρεσβευτὴς, οὕπω πρότερον ἀλλήλοις ἐπιμεμιγμένων τῶν γενῶν· ἀλλὰ καὶ τοῦτο τῆς μεγάλης δοκεῖ Σύλλα τύχης γενέσθαι, τὸ πρώτῳ Ῥωμαίων ἐκείνῳ Πάρθους συμμαχίας καὶ φιλίας δεομένους διὰ λόγων ἐλθεῖν. (8) Ὅτε καὶ λέγεται τρεῖς δίφρους προθέμενος, τὸν μὲν Ἀριοβαρζάνῃ, τὸν δὲ Ὀροβάζῳ, τὸν δὲ αὐτῷ, μέσος ἀμφοῖν καθεζόμενος χρηματίζειν. Ἐφ' ᾧ τὸν μὲν Ὀρόβαζον ὕστερον ὁ τῶν Πάρθων βασιλεὺς ἀπέκτεινε, τὸν δὲ

a invisum esse, neque ab eo præterea sibi rerum gerendarum occasionem suppeditari, sed incrementis eum suis obstare, Catulo Marii collegæ se adjunxit, viro bono, sed ad certamina segniori. Ab eo præcipuis et maximis negotiis præfectus, ad potentiam et gloriam progressus fecit. (4) Nam et prœlio magnam barbarorum qui insederant Alpes partem superavit; et quum commeatus deficeret, cura ea suscepta tantam fecit copiam, ut abundantes rebus Catuli milites etiam Marianis suppeditarent. Idque ægerrime tulisse Marium ipse ait. (5) Horum itaque inimicitia levi ab initio et puerili causa profecta inde per civilem sanguinem et exitiosas seditiones ad tyrannidem et omnium rerum confusionem progressa, ostendit sapientem fuisse Euripidem et civilium malorum gnarum, qui vitandam ambitionem et honorum contentionem præcipit, tanquam pestilentissimum et nocentissimum iis, qui ei obtemperant, genium.

V. Sylla porro bellicam gloriam sibi etiam in rebus civilibus suffecturam ratus, statim ut militaribus officiis defunctus est, populo se commisit : prætoramque urbanam ambiens, repulsam tulit. Ipse multitudini culpam ascribit. (2) Ait enim, quum amicitiam ipsius cum Boccho cognitam haberent, ratos ipsum, si ante prætoram ædilitatem gereret, venationes splendidas et bestiarum Africanarum spectacula exhibiturum : ideoque alios fecisse prætores, ut ipsum ædilitatem petere cogerent. (3) Sed videtur res ipsa ostendere Syllam repulsæ veram causam dissimulasse. Anno enim posteriore, multitudine partim demerendo, partim pecunia corrumpendo sibi conciliata, prætoram obtinuit. (4) Itaque quum prætoram gerens Cæsari minaretur, usurum se sua in illum potestate, ridens Cæsar : Recte, inquit, dicis tuam esse potestatem, emisti enim eam. (5) A prætura in Cappadociam missus est, eo prætextu ut Ariobarzanem in regnum reduceret, in re autem hoc erat, ut Mithridatem, qui dominationem et potentiam ea quam in præsentia possidebat, haud minorem ad se trahebat multaque moliebatur, reprimeret. (6) Eo Sylla quum exiguas adduxisset copias, sociorum prompta usus opera, multis Cappadocum, pluribus Armeniorum qui illos adjuvabant cæsis, Gordium profligavit, Ariobarzanemque regem constituit. (7) Quum circa Euphratem ageret Sylla, venit ad eum Orobazus Parthus, Arsacæ regis legatus : quum in eum usque diem nihil commercii inter utramque gentem fuisset Et videtur hoc ipsum magna fortuna Syllæ accidisse, ut cum ipso Romanorum primo Parthi amicitiæ et societatis jungendæ causa colloquerentur. (8) Quum quidem, ut perhibent, tribus sellis positis, medio inter Ariobarzanem et Orobazum loco assidens legatos audivit; quam ob rem postea Orobazum Parthorum rex necavit : Syllam alii, quod barbaros fastose tractasset,

Σύλλαν οἱ μὲν ἐπῄνεσαν ἐντρυφήσαντα τοῖς βαρβάροις, οἱ δὲ ὡς φορτικὸν ᾐτιάσαντο καὶ ἀκαίρως φιλότιμον. (9) Ἱστορεῖται δέ τις ἀνὴρ τῶν μετὰ Ὀροβάζου κατα- f
δεβηκότων Χαλδαῖος εἰς τὸ τοῦ Σύλλα πρόσωπον ἀπι-
δὼν καὶ ταῖς κινήσεσι τῆς τε διανοίας καὶ τοῦ σώματος οὐ παρέργως ἐπιστήσας, ἀλλὰ πρὸς τὰς τῆς τέχνης ὑποθέσεις τὴν φύσιν ἐπισκεψάμενος εἰπεῖν, ὡς ἀναγκαῖον εἴη τοῦτον τὸν ἄνδρα μέγιστον γενέσθαι, θαυμάζειν δὲ καὶ νῦν, πῶς ἀνέχεται μὴ πρῶτος ὢν ἁπάντων. (10)
451 Ἀναχωρήσαντι δὲ αὐτῷ δίκην ἔλαχε δώρων Κηνσωρῖ- a
νος ὡς πολλὰ χρήματα συνειλοχότι παρὰ τὸν νόμον ἐκ φίλης καὶ συμμάχου βασιλείας. Οὐ μὴν ἀπήντησεν ἐπὶ τὴν κρίσιν, ἀλλ' ἀπέστη τῆς κατηγορίας.

VI. Ἡ μέντοι πρὸς Μάριον αὐτῷ στάσις ἀνερρίπι-
ζετο καινὴν ὑπόθεσιν λαβοῦσα τὴν Βόκχου φιλοτιμίαν, ὃς τόν τε δῆμον ἅμα θεραπεύων ἐν Ῥώμῃ καὶ τῷ Σύλλᾳ χαριζόμενος ἀνέθηκεν εἰκόνας ἐν Καπιτωλίῳ τροπαιοφόρους καὶ παρ' αὐταῖς χρυσοῦν Ἰουγούρθαν ὑφ' ἑαυτοῦ Σύλλᾳ παραδιδόμενον. (2) Ἐφ' ᾧ τοῦ Μαρίου βαρυθυμουμένου καὶ καθαιρεῖν ἐπιχειροῦντος, ἑτέρων δὲ ἀμύνειν τῷ Σύλλᾳ καὶ τῆς πόλεως ὅσον οὔπω διακεκαυ- b
μένης ὑπ' ἀμφοῖν, ὁ συμμαχικὸς πόλεμος πάλαι τυφόμενος ἐπὶ τὴν πόλιν ἀναλάμψας τότε τὴν στάσιν ἐπέσχεν. (3) Ἐν τούτῳ, μεγίστῳ καὶ ποικιλωτάτῳ γενο-
μένῳ καὶ πλεῖστα κακὰ καὶ βαρυτάτους παρασχόντι κινδύνους Ῥωμαίοις, Μάριος μὲν οὐδὲν ἀποδεῖξαι μέγα δυνηθεὶς ἤλεγχε τὴν πολεμικὴν ἀρετὴν ἀκμῆς καὶ ῥώμης δεομένην, Σύλλας δὲ πολλὰ δράσας ἄξια λόγου δόξαν ἔσχεν ἡγεμόνος μεγάλου μὲν παρὰ τοῖς πολίταις, μεγίστου δὲ παρὰ τοῖς φίλοις, εὐτυχεστάτου δὲ καὶ παρὰ τοῖς ἐχθροῖς. (4) Ἀλλ' οὐκ ἔπαθε ταὐτὸ Τιμοθέῳ τῷ τοῦ Κόνωνος, ὃς, εἰς τὴν τύχην αὐτοῦ τὰ κατορθώματα τῶν ἐχθρῶν τιθεμένων καὶ γραφόντων ἐν πίναξι κοιμώ- c
μενον ἐκεῖνον, τὴν δὲ Τύχην δικτύῳ τὰς πόλεις περι-
βάλλουσαν, ἀγροικιζόμενος καὶ χαλεπαίνων πρὸς τοὺς ταῦτα ποιοῦντας ὡς ἀποστερούμενος ὑπ' αὐτῶν τῆς ἐπὶ ταῖς πράξεσι δόξης, ἔφη ποτὲ πρὸς τὸν δῆμον ἐπανήκων ἐκ στρατείας εὖ κεχωρηκέναι δοκούσης· « Ἀλλὰ ταύτης γε τῆς στρατείας οὐδέν, Ἀθηναῖοι ἄνδρες, τῇ τύχῃ μέτεστι. » (5) Πρὸς Τιμόθεον μὲν οὖν φασιν οὕτω φανέντα φιλότιμον ἀντιμειρακιεύεσθαι τὸ δαιμόνιον, ὥστε μηδὲν ἔτι πρᾶξαι λαμπρὸν, ἀλλὰ ὅλως ἀποτυγχάνοντα ταῖς πράξεσι καὶ προσκρούοντα τῷ δήμῳ τέλος ἐκπεσεῖν τῆς πόλεως· Σύλλας δὲ οὐ μόνον ἡδέως προσ- d
ιέμενος τὸν τοιοῦτον εὐδαιμονισμὸν καὶ ζῆλον, ἀλλὰ καὶ συναύξων καὶ συνεπιθειάζων τὰ πραττόμενα τῆς τύχης ἐξῆπτεν, εἴτε κόμπῳ χρώμενος εἴθ' οὕτως ἔχων τῇ δόξῃ πρὸς τὸ θεῖον. (6) Καὶ γὰρ ἐν τοῖς ὑπομνήμασι γέγραφεν, ὅτι τῶν καλῶς αὐτῷ βεβουλεῦσθαι δοκούντων αἱ μὴ κατὰ γνώμην, ἀλλὰ πρὸς καιρὸν ἀποτολμώμεναι πράξεις ἔπιπτον εἰς ἄμεινον. (7) Ἔτι δὲ καὶ δι' ὧν φησι πρὸς τύχην εὖ πεφυκέναι μᾶλλον ἢ πρὸς πόλεμον, τῇ τύχῃ τῆς ἀρετῆς πλέον ἔοικε νέμειν, καὶ ὅλως ἑαυτὸν τοῦ δαίμονος ποιεῖν, ὅς γε καὶ τῆς πρὸς Μέτελλον

laudaverunt; alii superbiam intempestivamque ambitionem vitio verterunt. (9) Traditum memoriæ est, Chaldæum quendam, qui cum Orobazo ad Syllam venerat, inspecta Syllæ facie, motibusque corporis ejus et animi curiose observatis, naturam ipsius secundum artis suæ præcepta considerasse atque dixisse : Necesse est hunc virum maximum fieri : atque adeo miror, qui jam nunc ferre possit se non primas inter omnes obtinere. (10) Reverso Censorinus repetundarum diem dixit, quod multam pecuniam contra leges ex regno societate populo Romano juncto exportasset. Neque tamen ad judicium venit, sed ab accusatione destitit.

VI. Ceterum discordia Syllæ cum Mario nova occasione, quam Bocchi ambitio obtulit, excanduit. Is enim ut et populum Romanorum demereretur et Syllæ rem gratam faceret, imagines tropæum ferentes in Capitolio dedicavit et juxta aureum Jugurtham Syllæ a se traditum. (2) Irritatus graviter Marius quum dejicere eas vellet, alii autem Syllam adjuvarent et jam factionibus civitas eorum studiis inflammaretur : bellum sociale, quod diu gliscens tum exarsit contra Romam, seditionem inhibuit. (3) Eo in bello, quod et maximum fuit et maxime varium ac mala plurima et pericula gravissima Romanis attulit, Marius quum nullum egregium facinus edere posset, ostendit bellicam virtutem ætate atque viribus integris opus habere : Sylla autem multis præclare gestis rebus, apud cives magni, apud socios maximi, apud hostes fortunatissimi imperatoris nomen invenit. (4) Verum hoc non eo modo, quo Timotheus Cononis filius, tulit. Is quum ab inimicis suis victorias ab ipso partas fortunæ ascribi videns (pingebant enim eum dormientem, Fortunamque interim urbes reti ipsius implicantem) inurbane se gereret iratusque ejus rei auctoribus esset, quasi gloria actionum suarum ab iis spoliaretur : aliquando ad populum ex bello quod bene administratum videbatur reversus dixit : Hujus certe rei a me gestæ, Athenienses, nulla pars fortunæ imputanda est. (5) Atque ambitione Timothei irritatam Fortunam effecisse aiunt, ut is in posterum nullum insigne facinus ederet; sed omni successu destitutus, in offensas populi incideret, adque extremum patria excideret. At Sylla fortunatum se dici, fortunæque causa in admiratione hominum esse non modo delectatus est, sed et auxit eam opinionem studensque divinitatis fidem adjungere, facta sua fortunæ accepta retulit, sive ita se jactans sive ita de fortuna sentiens. (6) Nam et in commentariis scriptum reliquit, res quas non ex consilio suo gessisset, sed subita occasione data aggressus fuisset, melius sibi cecidisse, quam eas de quibus probe consilia inivisse videretur. (7) Jam quum dicit magis ad fortunam quam ad bellum se natum fuisse, videtur sane plus fortunæ quam virtuti tribuisse, et omnino omnia sua ei deæ tribuisse. quando et concordiam suam cum Metello, ejusdem dignita-

ὁμονοίας, ἰσότιμον ἄνδρα καὶ κηδεστὴν, αὐτυχίαν τινὰ θείαν αἰτιᾶται· πολλὰ γὰρ αὐτῷ πράγματα παρέξειν ἐπίδοξον ὄντα πρᾳότατον ἐν τῇ κοινωνίᾳ γενέσθαι τῆς ἀρχῆς. (8) Ἔτι δὲ Λευκόλλῳ μὲν ἐν τοῖς ὑπομνήμασιν ὧν ἐκείνῳ τὴν γραφὴν ἀνατέθεικε, παραινεῖ μηδὲν οὕτως ἡγεῖσθαι βέβαιον, ὡς ὅ τι ἂν αὐτῷ προστάξῃ νύκτωρ τὸ δαιμόνιον. (9) Ἐκπεμπομένου δὲ αὐτοῦ μετὰ δυνάμεως εἰς τὸν συμμαχικὸν πόλεμον, ἱστορεῖ χάσμα τῆς γῆς μέγα γενέσθαι περὶ Λαβέρνην, ἐκ δὲ τούτου πῦρ ἀναβλῦσαι πολὺ καὶ φλόγα λαμπρὰν στηρίξαι πρὸς τὸν οὐρανόν. Εἰπεῖν δὴ τοὺς μάντεις, ὡς ἀνὴρ ἀγαθὸς ὄψει διάφορος καὶ περιττὸς ἄρξας ἀπαλλάξει τῇ πόλει παραχὰς τὰς παρούσας. (10) Τοῦτον δὲ αὐτὸν εἶναί φησιν ὁ Σύλλας· τῆς μὲν γὰρ ὄψεως ἴδιον εἶναι τὸ περὶ τὴν κόμην χρυσωπὸν, ἀρετὴν δὲ οὐκ αἰσχύνεσθαι μαρτυρῶν ἑαυτῷ μετὰ πράξεις καλὰς οὕτω καὶ μεγάλας. (11) Ταῦτα μὲν οὖν περὶ τῆς θειότητος. Τὸν δὲ ἄλλον τρόπον ἀνώμαλός τις ἔοικε γεγονέναι καὶ διάφορος πρὸς ἑαυτὸν, ἀφελέσθαι πολλὰ, χαρίσασθαι πλείονα, τιμῆσαι παραλόγως, παραλόγως ἐφυβρίσαι, θεραπεύειν ὧν δέοιτο, θρύπτεσθαι πρὸς τοὺς δεομένους, ὥστε ἀγνοεῖσθαι, πότερον ὑπερόπτης φύσει μᾶλλον ἢ κόλαξ γέγονε. (12) Τὴν μὲν γὰρ ἐν ταῖς τιμωρίαις ἀνωμαλίαν, ἐξ ὧν ἔτυχεν αἰτιῶν ἀποτυμπανίζοντος αὐτοῦ καὶ πάλιν τὰ μέγιστα τῶν ἀδικημάτων πράως φέροντος καὶ διαλλαττομένου μὲν ἐπὶ τοῖς ἀνηκέστοις μετὰ εὐκολίας, τὰ δὲ μικρὰ καὶ φαῦλα προσκρούσματα σφαγαῖς καὶ δημεύσεσιν οὐσιῶν μετιόντος, οὕτως ἄν τις διαιτήσειεν, ὡς φύσει μὲν ὀργὴν χαλεπὸν ὄντα καὶ τιμωρητικὸν, ὑφιέμενον δὲ τῆς πικρίας λογισμῷ πρὸς τὸ συμφέρον. (13) Ἐν αὐτῷ γε τούτῳ τῷ συμμαχικῷ πολέμῳ τῶν στρατιωτῶν αὐτοῦ στρατηγικὸν ἄνδρα πρεσβευτὴν, Ἀλβῖνον ὄνομα, ξύλοις καὶ λίθοις διαχρησαμένων, παρῆλθε καὶ οὐκ ἐπεξῆλθεν ἀδίκημα τοσοῦτον, ἀλλὰ καὶ σεμνυνόμενος διδίδου λόγον, ὡς προθυμοτέροις διὰ τοῦτο χρήσαιτο πρὸς τὸν πόλεμον αὐτοῖς ἰωμένοις τὸ ἁμάρτημα δι' ἀνδραγαθίας. (14) Τῶν δ' ἐγκαλούντων οὐδὲν ἐφρόντιζεν, ἀλλὰ ἤδη καταλῦσαι Μάριον διανοούμενος καὶ τοῦ πρὸς τοὺς συμμάχους πολέμου τέλος ἔχειν δοκοῦντος ἀποδειχθῆναι στρατηγὸς ἐπὶ Μιθριδάτην ἐθεράπευε τὴν ὑφ' ἑαυτῷ στρατιάν· καὶ παρελθὼν εἰς τὴν πόλιν ὕπατος μὲν ἀποδείκνυται μετὰ Κοΐντου Πομπηίου, πεντήκοντα ἔτη γεγονὼς, γαμεῖ δὲ γάμον ἐνδοξότατον Καικιλίαν τὴν Μετέλλου θυγατέρα τοῦ ἀρχιερέως. (15) Ἐφ' ᾧ πολλὰ μὲν εἰς αὐτὸν ἦδον οἱ δημοτικοὶ, πολλοὶ δὲ τῶν πρώτων ἐνεμέσων, οὐκ ἄξιον ἡγούμενοι τῆς γυναικὸς ὃν ἄξιον ὑπατείας ἔκριναν, ὥς φησιν ὁ Τίτος. (16) Οὐ μόνην δὲ ταύτην ἔγημεν, ἀλλὰ πρώτην μὲν ἔτι μειράκιον ὢν Ἰλίαν ἔσχε τὴν καὶ θυγάτριον αὐτῷ τεκοῦσαν, εἶτα μετ' ἐκείνην Αἰλίαν· τρίτην δὲ Κλοιλίαν, ἣν ἀπεπέμψατο μὲν ὡς στεῖραν, ἐντίμως καὶ μετ' εὐφημίας καὶ δῶρα προσθείς. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἀγαγόμενος τὴν Μετέλλαν ἔδοξε διὰ τοῦτο τὴν Κλοιλίαν οὐ καλῶς αἰτιάσασθαι. (17) Τὴν μέντοι Μετέλλαν ἐν πᾶσι

tis viro et suo socero, prosperitatem quandam divinitus oblatam agnoscit : eum enim quum putaret sibi plurimum molestiæ exhibiturum, in societate magistratus mansuetissimum habuisse. (8) Lucullum etiam in commentariis quæ ei inscripsit, hortatur ne quidquam perinde firmum existimet atque id, quod ei per somnium numen præcepisset. (9) Sibi autem cum copiis ad sociale bellum emisso scribit hiatum terræ ingentem apud Lavernam visum : ex eo ignem copiosum flammamque claram cœlum versus emicasse : a vatibus vero responsum, fore ut quidam vir bonus faciei dignitate eximia conspicuus atque virtute præstans principatum adeptus, urbem præsentibus tumultibus liberaret. (10) Hunc se esse Sylla asserit : quod enim de facie dixerint, aureo comæ suæ colore id repræsentari, neque id sibi dedecori ducere, quod virtutis suæ sibi ipse tot et tantis rebus gestis testimonium ferat. (11) Hæc de superstitione ejus. Ceterum ea in moribus ipsius fuit inæqualitas, ut secum ipsi non convenerit. Multa eripiebat, donabat plura, inopinatis et honoribus et contumeliis homines afficiebat, colebat quorum opera indigebat, fastidiosus erat in eos qui ipsum implorabant, ut haud constet, naturane contemptor hominum magis, an adulator fuerit. (12) De inæqualitate enim in irrogandis suppliciis, quod levissimis de causis alios crudelissime interfecit, aliorum gravissima peccata æquo animo tulit; quod facilem se et placabilem infensissimis præbuit exiguas et leves offensas cædibus et bonorum publicatione ultus est, hoc modo aliquis recte statuerit : eum, quum natura esset iracundus et vindictæ cupidus, utilitatis ratione morum aliquando sævitiam repressisse. (13) In eo ipso quidem sociali bello quum milites ejus legatum Albinum, prætoriæ dignitatis virum, lapidibus et fustibus occidissent, inultum id facinus reliquit : quin et hoc se jactans dixit, habuisse se eo alacriores milites, virtute peccatum eluentes. (14) Incusantes autem nihil curavit : sed jam de Mario evertendo et, quia finitum sociale bellum videbatur, obtinendo contra Mithridatem imperio, milites suos obsequio sibi devinxit; Romam inde reversus, consul creatur cum Q. Pompeio, annos tum natus quinquaginta, et in matrimonium ducit uxorem nobilissimam Cæciliam Metelli pontificis maximi filiam. (15) De quibus nuptiis multa sunt a plebeiis cantata, multique eas primarii viri reprehendebant, indignum uxore ea Syllam judicantes, quem consulatu dignati essent, ut dicit Livius. (16) Non tamen unam hanc duxit uxorem. Primam adolescens adhuc Iliam, quæ ei filiolam peperit, post hanc Æliam; tertiam, Cœliam, ut sterilem, honeste tamen et donis datis, repudiavit. Paucis post diebus Metellam ducens, visus est falso Cœliam accusasse. (17) Certe Metellam in omni re usque ad extremum coluit; ita

θεραπεύων διετέλεσεν, ὥστε καὶ τὸν Ῥωμαίων δῆμον, ὅτε τοὺς περὶ Μάριον φυγάδας ἐπεθύμει καταγαγεῖν, ἀρνουμένου τοῦ Σύλλα δεόμενον ἐπιβοήσασθαι τὴν Μετέλλαν. (18) Ἐδόκει δὲ καὶ τοῖς Ἀθηναίοις ἑλὼν τὸ ἄστυ προσενεχθῆναι τραχύτερον, ὅτι τὴν Μετέλλαν ἀπὸ τοῦ τείχους γεφυρίζοντες ἐλοιδόρησαν. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

VII. Τότε δὲ τὴν ὑπατείαν πρὸς τὰ μέλλοντα μικρὸν ἡγούμενος ἐπτόητο τῇ γνώμῃ πρὸς τὸν Μιθριδατικὸν πόλεμον. (2) Ἀντανίστατο δὲ αὐτῷ Μάριος ὑπὸ δοξομανίας καὶ φιλοτιμίας, ἀγηράτων παθῶν, ἀνὴρ τῷ τε σώματι βαρὺς καὶ ταῖς ἔναγχος ἀπειρηκὼς στρατείαις διὰ γῆρας ἐκδήμων καὶ διαποντίων πολέμων ἐφιέμενος. (3) Καὶ τοῦ Σύλλα πρὸς τὰς ἐπιλιπεῖς πράξεις ὁρμήσαντος εἰς τὸ στρατόπεδον, αὐτὸς οἰκουρῶν ἐτεκταίνετο τὴν ὀλεθριωτάτην ἐκείνην καὶ ὅσα σύμπαντες οἱ πόλεμοι τὴν Ῥώμην οὐκ ἔβλαψαν ἀπεργασαμένην στάσιν, ὡς καὶ τὸ δαιμόνιον αὐτοῖς προεσήμηνε. (4) Πῦρ μὲν γὰρ αὐτόματον ἐκ τῶν τὰ σημεῖα δοράτων ὑποφερόντων ἀνέλαμψε καὶ κατεσβέσθη μόλις, κόρακες δὲ τρεῖς τοὺς νεοσσοὺς εἰς τὴν ὁδὸν προσαγαγόντες κατέφαγον, τὰ δὲ λείψανα πάλιν εἰς τὴν νεοσσιὰν ἀνήνεγκαν. (5) Καὶ μυῶν δὲ ἐν ἱερῷ χρυσὸν ἀνακείμενον διαφαγόντων μίαν οἱ ζάκοροι πάγῃ θήλειαν λαμβάνουσιν, ἡ δὲ ἐν αὐτῇ τῇ πάγῃ τεκοῦσα πέντε κατανάλωσε τὰ τρία. (6) Τὸ δὲ πάντων μέγιστον, ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέχοντος ἦχησε φωνὴ σάλπιγγος ὀξὺν ἀποτείνουσα καὶ θρηνώδη φθόγγον, ὥστε πάντας ἔκφρονας γενέσθαι καὶ καταπτῆξαι διὰ τὸ μέγεθος. (7) Τυῤῥηνῶν δὲ οἱ λόγιοι μεταβολὴν ἑτέρου γένους ἀπεφαίνοντο καὶ μετακόσμησιν ἀποσημαίνειν τὸ τέρας. Εἶναι μὲν γὰρ ὀκτὼ τὰ σύμπαντα γένη διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσιν ἀλλήλων, ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνων ἀριθμὸν ὑπὸ τοῦ θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. (8) Καὶ ὅταν αὐτὴ σχῇ τέλος, ἑτέρας ἐνισταμένης κινεῖσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανοῦ θαυμάσιον, ὡς δῆλον εἶναι τοῖς πεφροντικόσι τὰ τοιαῦτα καὶ μεμαθηκόσιν εὐθύς, ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι καὶ θεοῖς ἧττον ἢ μᾶλλον τῶν προτέρων μέλοντες. (9) Τά τε γὰρ ἄλλα φασὶν ἐν τῇ τῶν γενῶν ἀμείψει λαμβάνειν μεγάλας καινοτομίας καὶ τὴν μαντικὴν ποτὲ μὲν αὔξεσθαι τῇ τιμῇ καὶ κατατυγχάνειν ταῖς προαγορεύσεσι, καθαρὰ καὶ φανερὰ σημεῖα τοῦ δαιμονίου προπέμποντος, αὖθις δ' ἐν ἑτέρῳ γένει τα-
πεινὰ πράττειν αὐτοσχέδιον οὖσαν τὰ πολλὰ καὶ δι' ἀμυδρῶν καὶ σκοτεινῶν ὀργάνων τοῦ μέλλοντος ἁπτομένην. (10) Ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυῤῥηνῶν καὶ πλέον τι τῶν ἄλλων εἰδέναι δοκοῦντες ἐμυθολόγουν. Τῆς δὲ συγκλήτου τοῖς μάντεσι περὶ τούτων σχολαζούσης καὶ καθημένης ἐν τῷ ναῷ τῆς Ἐνυοῦς, στρουθὸς εἰσέπτη πάντων ὁρώντων τέττιγα φέρων τῷ στόματι, καὶ τὸ μὲν ἐκβαλὼν μέρος αὐτοῦ κατέλιπε, τὸ δὲ ἔχων ἀπῆλθεν. (11) Ὑφωρῶντο δὴ στάσιν οἱ τερατοσκόποι καὶ διαφορὰν τῶν κτηματικῶν πρὸς τὸν ἀστικὸν ὄχλον

ut populus quoque Romanus, quum a Sylla impetrare non posset ut qui cum Mario in exilium iverant, iis reditus concederetur, Metellæ auxilium imploraverit. (18) Athenienses quoque urbe capta propterea durius accepisse videtur, quod ii Metellam de muris fuerant conviciis insectati. Sed hæc posterius.

VII. Tunc vero consulatum ad ea quæ animo præceperat, non satis momenti allaturum existimans ad Mithridaticum bellum animum adjecit. (2) Contra eum Marius insurrexit, insano gloriæ amore atque ambitione (quos affectus ne senectus quidem exstinguit) eo adductus, ut gravi vir corpore, et qui nuper ætatis causa bellicis laboribus succubuisset, peregrina adeoque transmarina bella appeteret. (3) Is tum, Sylla ad exercitum profecto, ut reliquias belli conficeret, domi exitiosissimam illam, et quæ plures quam universa bella Romæ calamitates intulit, seditionem concitavit. Quod sane Romanis divinitus præsignificatum est. (4) Ignis enim sponte sua ex contis quibus signa feruntur militaria, emicuit, vixque exstingui potuit: corvi tres pullos suos in viam productos voraverunt, ac reliquias in nidum retulerunt. (5) Et quum mures in templo sacrum aurum corrosissent, unam æditui laqueo ceperunt, eaque laqueo etiamnum detenta quinque musculos enixa, tres de iis voravit. (6) Maximum vero omnium fuit ostentum, quod sereno cœlo ac per sudum acuta et lugubris tubæ vox exaudita fuit, cujus ad magnitudinem omnes perterriti obstupuerunt. (7) Etrusci autem vates, portendi mutationem sæculi et exordium alterius ætatis mundi dicebant. Esse enim sæcula omnino octo, moribus et vitæ rationibus diversa: unicuilibet harum ætatum definitum a deo certum tempus magni anni circuitu comprehensum. (8) Una porro ætate completa initioque alterius, terram vel cœlum miraculum aliquod edere: unde harum rerum studiosis atque peritis statim constet homines aliis exinde et moribus et vitæ rationibus esse usuros, diisque magis minusve quam priores curæ futuros. (9) Nam quum cetera in illis sæculorum vicibus magnas mutationes subire dicunt, tum divinandi artem modo incrementum honoris adipisci, prædictionesque futurorum certas fieri, pura et perspicua signa diis submittentibus; modo alia in ætate exiguo in pretio haberi, quum ex tempore plerumque ex obscurisque indiciis de futuro conjecturam faciat. (10) Hæc Etruscorum doctissimi et qui hac arte ceteris præstare putabantur disserebant. Quum senatus hariolis hac de re vacaret, inque æde Bellonæ consedisset, omnibus inspicientibus passer cicadam ore gerens intro advolavit, partemque cicadæ ibi reliquit, cum altera abiit. (11) Itaque conjectores seditionem inter agrorum possessores et urbanam forensemque turbam portendi videri respon-

καὶ ἀγοραῖον· φωνήεντα γὰρ τοῦτον εἶναι καθάπερ τέττιγα, τοὺς δὲ χωρίτας καὶ ἀρουραίους.

VIII. Μάριος δὴ προσλαμβάνει δημαρχοῦντα Σουλπίκιον, ἄνθρωπον οὐδενὸς δεύτερον ἐν ταῖς ἄκραις κακίαις, ὥστε μὴ ζητεῖν, τίνος ἐστὶν ἑτέρου μοχθηρότερος, ἀλλὰ πρὸς τί μοχθηρότατος ἑαυτοῦ. (2) Καὶ γὰρ ὠμότης καὶ τόλμα καὶ πλεονεξία περὶ αὐτὸν ἦν ἀπερίσκεπτος αἰσχροῦ καὶ παντὸς κακοῦ, ὅς γε τὴν Ῥωμαίων πολιτείαν ἐξελευθερικοῖς καὶ μετοίκοις πωλῶν ἀναφανδὸν ἠρίθμει τιμὴν διὰ τραπέζης ἐν ἀγορᾷ κειμένης. (3) Ἕτερφε δὲ τρισχιλίους μαχαιροφόρους καὶ πλῆθος ἱππικῶν νεανίσκων πρὸς ἅπαν ἑτοίμων περὶ αὐτὸν εἶχεν, οὓς ἀντισύγκλητον ὠνόμαζε. (4) Νόμον δὲ κυρώσας μηδένα συγκλητικὸν ὑπὲρ δισχιλίας δραχμὰς ὀφείλειν αὐτὸς ἀπέλιπε μετὰ τὴν τελευτὴν ὀφλήματος μυριάδας τριακοσίας. (5) Οὗτος εἰς τὸν δῆμον ἀφεθεὶς ὑπὸ τοῦ Μαρίου καὶ συνταράξας πάντα τὰ πράγματα, βίᾳ καὶ σιδήρῳ νόμους ἔγραφεν ἄλλους τε μοχθηροὺς καὶ τὸν διδόντα Μαρίῳ τοῦ Μιθριδατικοῦ πολέμου τὴν ἡγεμονίαν. (6) Ἀπραξίας δὲ διὰ ταῦτα τῶν ὑπάτων ψηφισαμένων ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσι περὶ τὸν νεὼν τῶν Διοσκούρων ὄχλον ἄλλους τε πολλοὺς καὶ τὸ Πομπηίου τοῦ ὑπάτου μειράκιον ἐπὶ τῆς ἀγορᾶς ἀνεῖλεν· αὐτὸς δὲ Πομπήιος λαθὼν ἐξέφυγε. (7) Σύλλας δ' εἰς τὴν οἰκίαν τοῦ Μαρίου συνδιωχθεὶς ἠναγκάσθη προελθὼν τὰς ἀπραξίας λῦσαι· καὶ διὰ τοῦτο τὸν Πομπήιον ἐπάρχοντα παύσας ὁ Σουλπίκιος οὐκ ἀφείλετο τοῦ Σύλλα τὴν ὑπατείαν, ἀλλὰ τὴν ἐπὶ Μιθριδάτην στρατείαν μόνον εἰς Μάριον μετήνεγκε καὶ πέμπει χιλιάρχους εὐθὺς εἰς Νῶλαν παραληψομένους τὸ στράτευμα καὶ πρὸς τὸν Μάριον ἄξοντας.

IX. Φθάσαντος δὲ τοῦ Σύλλα διαφυγεῖν εἰς τὸ στρατόπεδον καὶ τῶν στρατιωτῶν, ὡς ἐπύθοντο ταῦτα, καταλευσάντων τοὺς χιλιάρχους, οἱ περὶ τὸν Μάριον αὖθις ἐν τῇ πόλει τοὺς Σύλλα φίλους ἀνῄρουν καὶ χρήματα διήρπαζον αὐτῶν. (2) Ἦσαν δὲ μεταστάσεις καὶ φυγαί, τῶν μὲν εἰς πόλιν ἀπὸ στρατοπέδου, τῶν δ' ἐκεῖσε διαφοιτώντων ἐκ τῆς πόλεως. (3) Ἡ δὲ σύγκλητος ἦν μὲν οὐχ αὑτῆς, ἀλλὰ τοῖς Μαρίου καὶ Σουλπικίου διῳκεῖτο προστάγμασι, πυθομένη δὲ τὸν Σύλ-
457λαν ἐπὶ τὴν πόλιν ἐλαύνειν ἔπεμψε δύο τῶν στρατηγῶν, Βροῦτον καὶ Σερουίλιον, ἀπαγορεύοντας αὐτῷ βαδίζειν. (4) Τούτους θρασύτερον Σύλλα διαλεχθέντας ὥρμησαν μὲν ἀνελεῖν οἱ στρατιῶται, τὰς δὲ ῥάβδους κατέκλασαν καὶ τὰς περιπορφύρους ἀφείλοντο καὶ πολλὰ περιυβρισμένους ἀπέπεμψαν, αὐτόθεν τε δεινὴν κατήφειαν, ὁρωμένους τῶν στρατηγικῶν παρασήμων ἐρήμους, καὶ τὴν στάσιν οὐκέτι καθεκτήν, ἀλλ ἀνήκεστον ἀπαγγέλλοντας. (5) Οἱ μὲν οὖν περὶ τὸν Μάριον ἐν παρασκευαῖς ἦσαν· ὁ δὲ Σύλλας ἄγων ἓξ τάγματα τέλεια μετὰ τοῦ συνάρχοντος ἀπὸ Νώλης ἐκίνει, τὸν μὲν στρατὸν ὁρῶν πρόθυμον ὄντα χωρεῖν εὐθὺς ἐπὶ τὴν πόλιν, ἐνδοιάζων δὲ τῇ γνώμῃ παρ' ἑαυτῷ καὶ δεδοικὼς τὸν κίνδυνον. Ὁ δὲ μάντις Ποστούμιος θύσαν-

derunt : hanc enim vocalem esse instar cicadæ, illos vero rusticanos atque agrestes.

VIII. Enimvero Marius sibi adjungit Sulpicium, tribunum plebis, hominem extrema malitia omnibus superiorem ac de quo non id quæreretur, quonam alio deterior esset, sed qua in re se ipsum pravitate superaret. (2) Nam tanta in eo crudelitas, audacia atque avaritia erat, neque de turpitudine aut malo quicquam pensi habebat : is civitatem Romanam libertis et inquilinis vendens, pretium posita in foro mensa palam numerabat. (3) Idem tria millia sicariorum alebat, stipatusque erat caterva juvenum equestris ordinis ad omne facinus paratorum, quos Contrasenatum appellabat. (4) Quumque legem tuliset, ne quis senator supra duo millia denariûm deberet, repertum est eum, quum moreretur, ære alieno obstrictum fuisse ad centies et vicies sestertiûm. (5) Is tum a Mario in populum immissus, omnia vi et ferro perturbans, quum alias rogationes improbas tulit, tum eam, qua Mario bellum contra Mithridatem decernebatur. (6) Consulibus eam ob causam justitium indicentibus, in concionem apud Castoris ædem habentes turbam adduxit, multosque et inter hos Pompeii consulis filium adolescentem in foro interfecit. Pompeius ipse clam effugit. (7) At Sylla in domum usque Marii ab urgentibus inimicis compulsus, coactus est in forum prodire et justitium tollere; ob id Sulpicius quum Pompeio consulatum abrogasset, eum Syllæ non ademit, belli tantum contra Mithridatem administrationem ad Marium transtulit, et confestim tribunos militum Nolam mittit, qui exercitum sibi tradi curarent et ad Marium traducerent.

IX. At vero Sylla prior ad exercitum profugerat : itaque milites re audita tribunos istos lapidibus obruerunt. Propter hoc Mariani Romæ amicos Syllæ necaverunt, eorumque bona diripuerunt. (2) Erant vero migrationes et fugæ ex urbe in castra, atque ex castris in urbem transeuntium. (3) At senatus, qui non in sua, sed in Marii et Sulpicii erat potestate, quum Syllam ad urbem adducere exercitum audiret, missis duobus prætoribus, Bruto et Servilio, edixit ne progrederetur. (4) Hos ferocius Syllam compellantes etiam occidere milites statuerunt : fascibus quidem confractis, et prætextis direptis, multam per contumeliam habitos dimiserunt, indignum et pudoris plenum præbentes spectaculum, quum prætoriis insignibus spoliati conspicerentur, et seditionem omni jam remedio superiorem esse renuntiantes. (5) Itaque Marius in apparatu erat. At Sylla cum sex integris legionibus et collega a Nola castra movebat. Quumque militum eos videret esse animos, ut recta ad ipsam urbem ire vellent, periculi tamen consideratione dubius animi teneretur : sacrificante ipso Postumius vates exta cum in-

τος αὐτοῦ καταμαθὼν τὰ σημεῖα καὶ τὰς χεῖρας ἀμφοτέρας τῷ Σύλλᾳ προτείνας ἠξίου δεθῆναι καὶ φυλάττεσθαι μέχρι τῆς μάχης, ὡς, εἰ μὴ πάντα ταχὺ καὶ καλῶς συντελεσθείη, τὴν ἐσχάτην δίκην ὑποσχεῖν βουλόμενος. (6) Λέγεται δὲ καὶ κατὰ τοὺς ὕπνους αὐτῷ Σύλλᾳ φανῆναι θεὸν, ἣν τιμῶσι Ῥωμαῖοι παρὰ Καππαδοκῶν μαθόντες, εἴτε δὴ Σελήνην οὖσαν εἴτε Ἀθηνᾶν εἴτε Ἐνυώ. Ταύτην ὁ Σύλλας ἔδοξεν ἐπιστᾶσαν ἐγχειρίσαι κεραυνὸν αὐτῷ καὶ τῶν ἐχθρῶν ἕκαστον ὀνομάζουσαν τῶν ἐκείνου, βάλλειν κελεῦσαι, τοὺς c δὲ πίπτειν βαλλομένους καὶ ἀφανίζεσθαι. (7) Θαρσήσας δὲ τῇ ὄψει καὶ φράσας τῷ συνάρχοντι μεθ' ἡμέραν ἐπὶ τὴν Ῥώμην ἤγειτο. (8) Καὶ περὶ Πικίνας αὐτῷ πρεσβείας ἐντυχούσης καὶ δεομένης μὴ βαδίζειν εὐθὺς ἐξ ἐφόδου, πάντα γὰρ ἔσεσθαι τὰ δίκαια τῆς βουλῆς ψηφισαμένης, ὡμολόγησε μὲν αὐτοῦ καταστρατοπεδεύσειν καὶ διαμετρεῖν ἐκέλευε χώρας, ὥσπερ εἰώθει, τῷ στρατοπέδῳ τοὺς ἡγεμόνας, ὥστε τοὺς πρέσβεις ἀπελθεῖν πιστεύσαντας· ἐκείνων δὲ ἀπελθόντων εὐθὺς ἐκπέμψας Λεύκιον Βάσιλλον καὶ Γάϊον Μόμμιον καταλαμβάνει τὴν πύλην δι' αὐτῶν καὶ τὰ τείχη τὰ περὶ τὸν λόφον τὸν Αἰσκυλῖνον, εἶτ' αὐτὸς ἁπάσῃ σπουδῇ συνῆπτε. (9) Τῶν δὲ περὶ τὸν Βάσιλλον εἰς τὴν πόλιν d ἐμπεσόντων καὶ κρατούντων ὁ πολὺς καὶ ἄνοπλος ὄχλος ἀπὸ τῶν τεγῶν κεράμῳ καὶ λίθῳ βάλλοντες ἐπέσχον αὐτοὺς τοῦ πρόσω χωρεῖν καὶ συνέστειλαν εἰς τὸ τεῖχος. (10) Ἐν τούτῳ δὲ ὁ Σύλλας παρῆν ἤδη καὶ συνιδὼν τὸ γινόμενον ἐβόα τὰς οἰκίας ὑφάπτειν καὶ λαβὼν δᾷδα καιομένην ἐχώρει πρῶτος αὐτὸς καὶ τοὺς τοξότας ἐκέλευε χρῆσθαι τοῖς πυροβόλοις ἄνω τῶν στεγασμάτων ἐφιεμένους, κατ' οὐδένα λογισμὸν, ἀλλ' ἐμπαθὴς ὢν καὶ τῷ θυμῷ παραδεδωκὼς τὴν τῶν πρασσομένων ἡγεμονίαν, ὅς γε τοὺς ἐχθροὺς μόνον ἑώρα, φίλους δὲ καὶ συγγενεῖς καὶ οἰκείους εἰς οὐδένα λόγον θέμενος οὐδ' e οἵκτον, κατῄει διὰ πυρὸς, ᾧ τῶν αἰτίων καὶ μὴ διάγνωσις οὐκ ἦν. (11) Τούτων δὲ γινομένων Μάριος ἐξωσθεὶς πρὸς τὸ τῆς Γῆς ἱερὸν ἐκάλει διὰ κηρύγματος ἐπ' ἐλευθερίᾳ τὸ οἰκετικόν· ἐπελθόντων δὲ τῶν πολεμίων κρατηθεὶς ἐξέπεσε τῆς πόλεως.

X. Σύλλας δὲ τὴν βουλὴν συναγαγὼν καταψηφίζεται θάνατον αὐτοῦ τε Μαρίου καὶ ὀλίγων ἄλλων, ἐν οἷς Σουλπίκιος ἦν ὁ δήμαρχος. (2) Ἀλλὰ Σουλπίκιος μὲν ἀπεσφάγη προδοθεὶς ὑπὸ θεράποντος, ὃν ὁ Σύλλας ἠλευθέρωσεν, εἶτα κατεκρήμνισε, Μαρίῳ δ' ἐπεκήρυξεν ἀργύριον, οὐκ εὐγνωμόνως οὐδὲ πολιτικῶς, ᾧ γε μικρὸν f ἔμπροσθεν ὑποχείριον εἰς τὴν οἰκίαν δοὺς ἑαυτὸν ἀσφαλῶς ἀφείθη. (3) Καίτοι Μαρίῳ τότε μὴ διέντι Σύλλαν, ἀλλ' ἀποθανεῖν ὑπὸ Σουλπικίου προεμένῳ πάντων κρατεῖν ὑπῆρχεν, ἀλλ' ὅμως ἐφείσατο· καὶ μεθ' ἡμέρας ὀλίγας τὴν αὐτὴν λαβὴν παρασχὼν οὐκ ἔτυχε τῶν ὁμοίων. (4) Ἐφ' οἷς ὁ Σύλλας τὴν μὲν σύγκλητον ἀδήλως ἠνίασεν· ἡ δὲ παρὰ τοῦ δήμου δυσμένεια καὶ νέμεσις αὐτῷ φανερὰ δι' ἔργων ἀπήντα. (5) Νώ- a νιον μέν γε τὸν ἀδελφιδοῦν αὐτοῦ καὶ Σερουήιον ἀρχὰς

spexisset, utraque ad Syllam porrecta manu, ligari sese et in vinculis teneri tantisper dum pugna committeretur jussit, nisi celeriter omnia et feliciter Sylla expediisset, extremum supplicium subiturum. (6) Ferunt etiam per quietem Syllæ apparuisse deam, quam Romani colunt a Cappadocibus edocti, sive ea Luna est, sive Minerva, sive Bellona. Hanc itaque Sylla imaginatus est in somnis sibi astare atque fulmen porrigere, nominatimque recensentem singulos ipsius inimicos, jubere ut eos feriret: illos autem ictos cecidisse atque e medio sublatos fuisse. (7) Hoc viso ad fiduciam erectus, die orto re cum collega communicata, Romam versus duxit. (8) Apud Picinas legati ad ipsum pervenerunt, orantes ne ita cum impetu ad urbem adiret: jus enim eum suum omne senatu decernente consecuturum. Pollicitus est, ibi se castra facturum, ducesque locum castris pro more dimetiri jussit: itaque fidem ejus responso habentes legati abierunt. Digressis iis, confestim L. Basillo et C. Mummio missis portam et muros apud collem Esquilinum occupavit, ipse summa celeritate eos subsecutus est. (9) Basillus cum suis in urbem capta porta irrupit. Sed multitudo civium inermis a tectis tegulis lapidibusque conjectis eum ne progredi posset prohibuerunt et ad murum represserunt. (10) Interim Sylla supervenit, cernensque quid ageretur rei, domos incendi alta voce jussit, primusque arrepta face incedens sagittariis, ut ignita tela tectis injicerent, mandat, nullo usus consilio, sed præ animi fervore iræ totam rem committens: itaque hostibus tantum intentus, nulla amicorum aut necessariorum ratione habita, nullius misericordia tactus, incendio viam sibi faciebat, eodem sontes atque insontes loco et conditione ponens. (11) Dum hæc fiebant, Marius ad fanum Telluris compulsus, servos sub conditione libertatis advocavit; sed victus ab hostibus eo irrumpentibus, urbe excidit.

X. Proinde Sylla senatu convocato Marium et Sulpicium tribunum plebis cum aliis paucis quibusdam capitis damnat. (2) Sulpicius a servo proditus, interfectus est: servum Sylla manumissum tamen prius, de saxo præcipitavit. Marium autem qui necasset, ei pecuniam præmii loco edixit: quod neque grati hominis, neque civile fuit, quippe paulo ante Mario domi ejus in manus se quum tradidisset, incolumis ab eo dimissus fuerat. (3) Et quidem si Marius Syllam non dimisisset, sed Sulpicio necandum tradidisset, potiri rerum poterat; pepercit tamen, paucisque post diebus in idem discrimen adductus, non eodem modo a Sylla est tractatus. (4) Obscure hoc senatum offendit; populi vero indignationem atque invidiam aperte re ipsa sensit. (5) Quum enim Nonius consobrinus ejus et Servius magistratum ambirent, per contumeliam repulsi sunt, alios populo

μετιόντας ἀποψηφισάμενοι καὶ καθυβρίσαντες ἑτέρους κατέστησαν ἄρχοντας, οὓς μάλιστα τιμῶντες ὤοντο λυπεῖν ἐκεῖνον. (6) Ὁ δὲ τούτοις τε προσεποιεῖτο χαίρειν, ὡς τοῦ δήμου τῷ ποιεῖν ἃ βούλοιτο δι' αὐτὸν ἀπολαύοντος τῆς ἐλευθερίας, καὶ θεραπεύων τὸ τῶν πολλῶν μῖσος ὕπατον κατέστησεν ἀπὸ τῆς ἐναντίας στάσεως Λεύκιον Κίνναν ἀραῖς καὶ ὅρκοις καταλαβὼν εὐνοήσειν τοῖς ἑαυτοῦ πράγμασιν. (7) Ὁ δὲ ἀναβὰς εἰς τὸ Καπιτώλιον ἔχων ἐν τῇ χειρὶ λίθον ὤμνυεν, εἶτα ἐπαρασάμενος ἑαυτῷ μὴ φυλάττοντι τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἐκπεσεῖν τῆς πόλεως, ὥσπερ ὁ λίθος διὰ τῆς χειρὸς, κατέβαλε χαμᾶζε τὸν λίθον οὐκ ὀλίγων παρόντων. (8) Παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς ἐπεχείρει τὰ καθεστῶτα κινεῖν καὶ δίκην ἐπὶ τὸν Σύλλαν παρεσκεύασε καὶ κατηγορεῖν ἐπέστησεν Οὐεργίνιον, ἕνα τῶν δημάρχων, ὃν ἐκεῖνος ἅμα τῷ δικαστηρίῳ χαίρειν ἐάσας ἐπὶ Μιθριδάτην ἀπῆρε.

XI. Λέγεται δὲ ὑπὸ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ὁ Σύλλας ἀπὸ τῆς Ἰταλίας ἐκίνει τὸν στόλον, ἄλλα τε πολλὰ Μιθριδάτῃ διατρίβοντι περὶ τὸ Πέργαμον ἐπισκῆψαι δαιμόνια καὶ Νίκην στεφανηφόρον καθιεμένην ὑπὸ τῶν Περγαμηνῶν ἐπ' αὐτὸν ἔκ τινων ὀργάνων ἄνωθεν ὅσον οὔπω τῆς κεφαλῆς ψαύουσαν συντριβῆναι καὶ τὸν στέφανον ἐκπεσόντα κατὰ τοῦ θεάτρου φέρεσθαι χαμᾶζε διαθρυπτόμενον, ὥστε φρίκην μὲν τῷ δήμῳ, ἀθυμίαν δὲ πολλὴν Μιθριδάτῃ παρασχεῖν, καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. (2) Αὐτὸς μὲν γὰρ Ἀσίαν τε Ῥωμαίων καὶ Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημένος ἐν Περγάμῳ καθῆστο πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις, τῶν δὲ παίδων ὁ μὲν ἐν Πόντῳ καὶ Βοσπόρῳ τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοικήτων ἀρχὴν κατεῖχεν οὐδενὸς παρενοχλοῦντος, Ἀριαράθης δὲ Θράκην καὶ Μακεδονίαν ἐπήει στρατῷ μεγάλῳ προσαγόμενος, ἄλλους δὲ οἱ στρατηγοὶ τόπους ἐχειροῦντο δυνάμεις ἔχοντες, ὧν ὁ μέγιστος Ἀρχέλαος ταῖς μὲν ναυσὶν ὁμοῦ τι συμπάσης ἐπικρατῶν τῆς θαλάττης τάς τε Κυκλάδας νήσους ἐδουλοῦτο καὶ τῶν ἄλλων, ὅσαι Μαλέας ἐντὸς ἵδρυνται, καὶ τὴν Εὔβοιαν αὐτὴν εἶχεν, ἐκ δὲ Ἀθηνῶν ὁρμώμενος τὰ μέχρι Θετταλίας ἔθνη τῆς Ἑλλάδος ἀφίστη μικρὰ προσκρούσας περὶ Χαιρώνειαν. (3) Ἐνταῦθα γὰρ αὐτῷ Βρέττιος Σούρβας ἀπήντησε, πρεσβευτὴς μὲν ὢν Σεντίου, τοῦ στρατηγοῦ τῆς Μακεδονίας, ἀνὴρ δὲ τόλμῃ καὶ φρονήσει διαφέρων. (4) Οὗτος Ἀρχελάῳ δίκην ῥεύματος φερομένῳ διὰ τῆς Βοιωτίας ἐπὶ πλεῖστον ἀντιστὰς καὶ τρισὶ μάχαις διαγωνισάμενος περὶ Χαιρώνειαν ἐξέωσε καὶ συνέστειλε πάλιν ἐπὶ τὴν θάλατταν. (5) Λευκίου δὲ Λευκούλλου κελεύσαντος αὐτὸν ὑποχωρεῖν ἐπιόντι Σύλλᾳ καὶ τὸν ἐψηφισμένον ἐκείνῳ ἐᾶν πόλεμον, εὐθὺς ἐκλιπὼν τὴν Βοιωτίαν ὀπίσω πρὸς Σέντιον ἀπήλαυνε, καίπερ αὐτῷ τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων καὶ τῆς Ἑλλάδος οἰκείως ἐχούσης πρὸς μεταβολήν

constituente, quibus si summos honores impertirent, Syllam male habere arbitrabantur. (6) At Sylla grata sibi hæc accidere simulabat, quod populus per ipsum libertate agendi quæ vellet frueretur : utque odia multitudinis mitigaret, contrariæ factionis hominem Cinnam consulem creavit, prius sacramento et devotionibus obstrictum, velle Syllanis rebus favere. (7) Atque is Cinna in Capitolium ascendit, lapidemque manu tenens juravit : exsecratus deinde in caput suum, ut, nisi benevolentiam erga Syllam conservaret, sic urbe excideret, quemadmodum manu ejus lapis, multis coram testibus lapidem in terram projecit. (8) Consulatu accepto statim novas res agitare cœpit, Syllamque in jus vocare statuit et accusatorem Verginium tribunum plebis subornavit. Sylla accusatore et judicio valere jusso ad bellum Mithridaticum abiit.

XI. Ferunt iis diebus quibus Sylla exercitum ex Italia abduxit, Mithridati apud Pergamum agenti quum alia multa divinitus signa ingruisse, tum Victoriam sertum gerentem desuper quibusdam machinis in ipsum a Pergamenis demissam, quum tantum non caput jam ejus contingeret, fractam fuisse coronamque excidisse, et laceratam per theatrum deorsum ad terram delatam esse : quæ res et horrorem populo et multam anxietatem Mithridati incusserit, tametsi res ejus isto tempore, etiam spe lætioribus successibus ferrentur. (2) Etenim ipse Romanis Asia, Bithynia et Cappadocia regibus adempta, Pergami sedebat, opes, imperia et tyrannides inter amicos dividens. Filiorum alter regnum in Ponto et Bosporo usque ad deserta supra Maeotin loca avitum obtinebat, nemine interpellante; Ariarathes autem Thraciam et Macedoniam magno subigebat exercitu : reliqui duces ejus alii alia loca cum copiis suis in potestatem redigebant. Horum maximus erat Archelaus, qui navibus totum fere mare obtinebat, Cyclades insulas, reliquasque quotquot intra Maleam sunt positæ, ipsamque Eubœam sub se habebat : et Athenis profectus populos Græciæ usque ad Thessaliam omnes ad defectionem a Romanis pertraxerat, apud Chæroneam tantum nonnihil adversi passus. (3) Ibi enim Brutium Suram, legatum quidem Sentii, qui Macedoniam prætor obtinebat, sed virum audacia et prudentia præstantem, habuit obvium. (4) Qui, quum fluminis quasi impetu per Bœotiam rueret Archelaus, diu ipsum inhibuit, tribusque apud Chæroneam factis prœliis repressit et ad mare denuo rejecit. (5) L. autem Lucullo jubente ut Syllæ venienti cederet bellumque decretum ipsi relinqueret, statim Bœotia excedens ad Sentium rediit : quamvis et spem successus rerum ab eo gestarum vinceret et virtus ejus ef-

διὰ τὴν ἐκείνου καλοκαγαθίαν. Ἀλλὰ γὰρ Βρεττίῳ μὲν ταῦτα λαμπρότατα τῶν πεπραγμένων.

XII. Σύλλας δὲ τὰς μὲν ἄλλας πόλεις εὐθὺς εἶχεν ἐπιπρεσβευομένας καὶ καλούσας, ταῖς δὲ Ἀθήναις διὰ τὸν τύραννον Ἀριστίωνα βασιλεύεσθαι ἠναγκασμέναις ἄθρους ἐπέστη, καὶ τὸν Πειραιᾶ περιλαβὼν ἐπολιόρκει μηχανήν τε πᾶσαν ἐφιστὰς καὶ μάχας παντοδαπὰς ποιούμενος. (2) Καίτοι χρόνον οὐ πολὺν ἀνασχομένῳ παρῆν ἀκινδύνως ἑλεῖν τὴν ἄνω πόλιν ὑπὸ λιμοῦ συνηγμένην ἤδη τῇ χρείᾳ τῶν ἀναγκαίων εἰς τὸν ἔσχατον καιρόν· ἀλλ' ἐπειγόμενος εἰς Ῥώμην καὶ δεδιὼς τὸν 459ἐκεῖ νεωτερισμὸν πολλοῖς μὲν κινδύνοις, πολλαῖς δὲ μάχαις, μεγάλαις δὲ δαπάναις κατέσπευδε τὸν πόλεμον, ᾧ γε δίχα τῆς ἄλλης παρασκευῆς ἡ περὶ τὰ μηχανήματα πραγματεία ζεύγεσι μυρίοις ὁρικοῖς ἐχορηγεῖτο καθ' ἡμέραν ἐνεργοῖς οὖσι πρὸς τὴν ὑπηρεσίαν. (3) Ἐπιλειπούσης δὲ τῆς ὕλης διὰ τὸ κόπτεσθαι πολλὰ τῶν ἔργων περικλώμενα τοῖς αὐτῶν βρίθεσι καὶ πυρπολεῖσθαι βαλλόμενα συνεχῶς ὑπὸ τῶν πολεμίων, ἐπεχείρησε τοῖς ἱεροῖς ἄλσεσι καὶ τήν τε Ἀκαδημίαν ἔκειρε δενδροφορωτάτην προαστείων οὖσαν καὶ τὸ Λύκειον. (4) Ἐπεὶ δὲ καὶ χρημάτων ἔδει πολλῶν πρὸς τὸν πόλεμον, ἐκίνει τὰ τῆς Ἑλλάδος ἄσυλα, τοῦτο μὲν ἐξ b Ἐπιδαύρου, τοῦτο δὲ ἐξ Ὀλυμπίας τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν ἀναθημάτων μεταπεμπόμενος. (5) Ἔγραψε δὲ καὶ τοῖς Ἀμφικτύοσιν εἰς Δελφοὺς, ὅτι τὰ χρήματα τοῦ θεοῦ βέλτιον εἴη κομισθῆναι πρὸς αὐτόν· ἢ γὰρ φυλάξειν ἀσφαλέστερον, ἢ καὶ ἀποχρησάμενος ἀποδώσειν οὐκ ἐλάττω· καὶ τῶν φίλων ἀπέστειλε Κάφιν τὸν Φωκέα κελεύσας σταθμῷ παραλαβεῖν ἕκαστον. (6) Ὁ δὲ Κάφις ἧκε μὲν εἰς Δελφοὺς, ὤκνει δὲ τῶν ἱερῶν θιγεῖν καὶ πολλὰ τῶν Ἀμφικτυόνων παρόντων ἀπεδάκρυσε τὴν ἀνάγκην. Ἐνίων δὲ φασκόντων ἀκοῦσαι φθεγγομένης τῆς ἐν τοῖς ἀνακτόροις κιθάρας, εἴτε πιστεύσας c εἴτε τὸν Σύλλαν βουλόμενος ἐμβαλεῖν εἰς δεισιδαιμονίαν, ἐπέστειλε πρὸς αὐτόν. (7) Ὁ δὲ σκώπτων ἀντέγραψε θαυμάζειν τὸν Κάφιν, εἰ μὴ συνίησιν ὅτι χαίροντος, οὐ χαλεπαίνοντος εἴη τὸ ᾄδειν· ὥστε θαρροῦντα λαμβάνειν ἐκέλευσεν, ὡς ἡδομένου τοῦ θεοῦ καὶ διδόντος. (8) Τὰ μὲν οὖν ἄλλα διέλαθε τούς γε πολλοὺς Ἕλληνας ἐκπεμπόμενα, τὸν δὲ ἀργυροῦν πίθον, ὃς ἦν ὑπόλοιπος ἔτι τῶν βασιλικῶν, διὰ βάρος καὶ μέγεθος οὐ δυναμένων ἀναλαβεῖν τῶν ὑποζυγίων, ἀναγκαζόμενοι κατακόπτειν οἱ Ἀμφικτύονες εἰς μνήμην ἐβάλοντο, τοῦτο μὲν Τίτον Φλαμινῖνον καὶ Μάνιον Ἀκύλιον, τοῦτο δὲ Αἰμίλιον Παῦλον, ὧν ὁ μὲν Ἀντίοχον ἐξελάσας τῆς Ἑλ- d λάδος, οἱ δὲ τοὺς Μακεδόνων βασιλεῖς καταπολεμήσαντες οὐ μόνον ἀπέσχοντο τῶν ἱερῶν τῶν Ἑλληνικῶν, ἀλλὰ καὶ δῶρα καὶ τιμὴν αὐτοῖς καὶ σεμνότητα πολλὴν προσέθεσαν. (9) Ἀλλ' ἐκεῖνοι μὲν ἀνδρῶν τε σωφρόνων καὶ μεμαθηκότων σωπᾶν τοῖς ἄρχουσι παρέχειν τὰς χεῖρας ἡγούμενοι κατὰ νόμον αὐτοί τε ταῖς ψυχαῖς βασιλικοὶ καὶ ταῖς δαπάναις εὐτελεῖς ὄντες μετρίοις ἐχρῶντο καὶ

fecisset ut plerique Græcorum ad defectionem spectarent. Verum hoc inter facinora Brutii fuit nobilissimum.

XII. Sylla autem in Græciam veniens, ceteras urbes f legatis missis se ei dedentes recepit; Athenas vero ab Aristione tyranno regis partes sequi coactas, omni vi adortus est et Piræeum munitionibus clausum omnis generis machinis admotis, variis modis oppugnavit. (2) Poterat absque periculo suo ipsam arcem penuria rerum necessariarum jam in extremas difficultates adductam capere, si paululum temporis exspectare voluisset: verum Romam redire properans, novasque ibi res metuens, multis periculis, multis a dimicationibus, ingentibus sumptibus bellum acceleravit, qui ne dicam de reliquo apparatu, ad machinarum molitionem ministerio jugorum decies mille mulinorum in eo munere quotidie occupatorum utebatur. (3) Quum materia deficeret (nam et multæ machinæ suo pondere frangebantur, et ab hostibus assidue ignem injicientibus cremabantur) sacros lucos aggressus Academiam, quæ plurimas omnium suburbanorum arbores ferebat, et Lyceum cecidit. (4) Et quum pecunia opus esset multa ad bellum, sacris Græciæ thesauris manum injecit, donaria quæ pulcherrima et pretiosissima Epidauri et Olympiæ erant, ad se advehi mandans. (5) Scripsit et Amphictyonibus Delphos, ex re esse ut ad se mittantur pecuniæ deo sacræ: se enim vel rectius servaturum eas, vel, si consumpsisset, tantundem redditurum. Misitque eo Caphin Phocensem amicum suum, ut singula ponderata acciperet. (6) Hic ubi Delphos pervenit, tangere sacras res veritus, multis lacrimis coram Amphictyonibus necessitatem istam deploravit. Et quibusdam dicentibus auditum citharæ, quæ in sacrario est, so- c num, Syllæ de eo prodigio sive credens ipse, sive ut religionem ei objiceret, perscripsit. (7) Ei per jocum rescripsit Sylla, mirari se Caphin, qui non intelligat canere non dolentis sed lætantis esse: proinde bono animo esset acciperetque quæ deus hilaris daret. (8) At reliqua donaria quum nescientibus plerisque Græcorum Delphis averherentur, dolium argenteum, quod unum de donis a regibus datis restabat, quia id propter magnitudinem et pondus jumenta integrum ferre nequibant, coacti conscindere Amphictyones, T. Flaminini et M'. Acilii atque Pauli Æmilii recordati sunt, quorum ille quum Græcia Antiochum ejecisset, hi Macedo- d num reges debellavissent, non modo sacris Græcorum thesauris abstinuerant, sed et dona et honorem et splendorem multiplicem addiderant. (9) Enimvero illi legitimo imperio viros modestos, et qui taciti mandata magistratuum exsequi didicissent, rexerant; ipsique regiis animis præditi, atque frugales, mediocribus et definitis sumptibus utebantur,

τεταγμένοις ἀναλώμασι τὸ κολακεύειν τοὺς στρατιώτας αἴσχιον ἡγούμενοι τοῦ δεδιέναι τοὺς πολεμίους· οἱ δὲ τότε στρατηγοὶ βίᾳ τὸ πρωτεῖον, οὐκ ἀρετῇ, κτώμενοι καὶ μᾶλλον ἐπ' ἀλλήλους δεόμενοι τῶν ὅπλων ἢ τοὺς πολεμίους ἠναγκάζοντο δημαγωγεῖν ἐν τῷ στρατηγεῖν, εἶθ' ὧν εἰς τὰς ἡδυπαθείας τοῖς στρατευομένοις ἀνήλισκον ὠνδύμενοι τοὺς πόνους αὐτῶν ἔλαθον ὤνιον ὅλην τὴν πατρίδα ποιήσαντες ἑαυτούς τε δούλους τῶν κακίστων ἐπὶ τῷ τῶν βελτιόνων ἄρχειν. (10) Ταῦτα ἐξήλαυνε Μάριον, εἶτ' αὖθις ἐπὶ Σύλλαν κατῆγε, ταῦτα Ὀκταουίου τοὺς περὶ Κίνναν, ταῦτα Φλάκκου τοὺς περὶ Φιμβρίαν αὐτόχειρας ἐποίησεν. (11) Ὧν οὐχ ἥκιστα Σύλλας ἐνέδωκε τὰς ἀρχὰς ἐπὶ τῷ διαφθείρειν καὶ μετακαλεῖν τοὺς ὑπ' ἄλλοις ταττομένους καταχορηγῶν εἰς τοὺς ὑφ' αὑτῷ καὶ δαπανώμενος, ὥστε ἅμα τοὺς ἄλλους μὲν εἰς προδοσίαν, τοὺς δὲ ὑφ' αὑτῷ εἰς ἀσωτίαν διαφθείρων χρημάτων δεῖσθαι πολλῶν, καὶ μάλιστα πρὸς τὴν πολιορκίαν ἐκείνην.

XIII. Δεινὸς γάρ τις ἄρα καὶ ἀπαραίτητος εἶχεν αὐτὸν ἔρως ἐλεῖν τὰς Ἀθήνας, εἴτε ζήλῳ τινὶ πρὸς τὴν πάλαι σκιαμαχοῦντα τῆς πόλεως δόξαν εἴτε θυμῷ τὰ 460σκώμματα φέροντα καὶ τὰς βωμολοχίας, αἷς αὐτόν τε καὶ τὴν Μετέλλαν ἀπὸ τῶν τειχῶν ἑκάστοτε γεφυρίζων καὶ κατορχούμενος ἐξηρέθιζεν ὁ τύραννος Ἀριστίων, ἄνθρωπος ἐξ ἀσελγείας ὁμοῦ καὶ ὠμότητος ἔχων συγκειμένην τὴν ψυχὴν καὶ τὰ χείριστα τῶν Μιθριδατικῶν συνεῤῥυηκότα νοσημάτων καὶ παθῶν εἰς ἑαυτὸν ἀνειληφὼς καὶ τῇ πόλει μυρίους μὲν πολέμους, πολλὰς δὲ τυραννίδας καὶ στάσεις διαπεφευγυῖα πρότερον ὥσπερ νόσημα θανατηφόρον εἰς τοὺς ἐσχάτους καιροὺς ἐπιτιθέμενος· ὃς, χιλίων δραχμῶν ὠνίου τοῦ μεδίμνου τῶν πυρῶν ὄντος ἐν ἄστει τότε, τῶν ἀνθρώπων σιτουμένων τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον, ὑποδήματα δὲ καὶ ληκύθους ἑφθὰς ἐσθιόντων, αὐτὸς ἐνδελεχῶς πότοις μεθημερινοῖς καὶ κώμοις χρώμενος καὶ πυῤῥιχίζων καὶ γελωτοποιῶν πρὸς τοὺς πολεμίους τὸν μὲν ἱερὸν τῆς θεοῦ λύχνον ἀπεσβηκότα διὰ σπάνιν ἐλαίου περιεῖδε, τῇ δὲ ἱεροφάντιδι πυρῶν ἡμίεκτον προσαιτούσῃ πεπέρεως ἔπεμψε, τοὺς δὲ βουλευτὰς καὶ ἱερεῖς ἱκετεύοντας οἰκτεῖραι τὴν πόλιν καὶ διαλύσασθαι πρὸς Σύλλαν τοξεύμασι βάλλων διεσκέδασεν. (2) Ὀψὲ δὲ ἤδη που μόλις ἐξέπεμψεν ὑπὲρ εἰρήνης δύο ἢ τρεῖς τῶν συμποτῶν, πρὸς οὓς οὐδὲν ἀξιοῦντας σωτήριον, ἀλλὰ τὸν Θησέα καὶ τὸν Εὔμολπον καὶ τὰ Μηδικὰ σεμνολογουμένους ὁ Σύλλας, « Ἅπιτε, εἶπεν, ὦ μακάριοι, τοὺς λόγους τούτους ἀναλαβόντες, ἐγὼ γὰρ οὐ φιλομαθήσων εἰς Ἀθήνας ὑπὸ Ῥωμαίων ἐπέμφθην, ἀλλὰ τοὺς ἀφισταμένους καταστρεψόμενος. »

XIV. Ἐν δὲ τούτῳ λέγεται τινὰς ἐν Κεραμεικῷ πρεσβυτῶν ἀκούσαντας διαλεγομένων πρὸς ἀλλήλους καὶ κακιζόντων τὸν τύραννον, ὡς μὴ φυλάττοντα τοῦ τείχους τὴν περὶ τὸ Ἑπτάχαλκον ἔφοδον καὶ προσβολὴν, ἣ μόνη δυνατὸν εἶναι καὶ ῥᾴδιον ὑπερβῆναι τοὺς πολεμίους, ἀπαγγεῖλαι ταῦτα πρὸς τὸν Σύλλαν. (2)

adulari milites, quam metuere hostem, turpius censentes: Syllæ vero tempestate quum ad imperia gerenda non tam virtute, quam vi perveniretur, armorumque contra cives major quam adversus hostes usus esset, in bello administrando simul militibus blandiri opus habebant, neque animadvertebant, quæ in voluptates militum impenderent, ut eorum operas redimerent, his ipsis suam patriam se venalem reddere, utque melioribus imperare possent, ideo pessimorum servos fieri. (10) Hæ res Marium urbe ejecerunt, rursusque eundem contra Syllam reduxerunt: hæ Cinnæ in Octavii, hæ Fimbriæ in Flacci cædem manus converterunt. (11) Cui rei magnam profecto Sylla occasionem præbuit, corrumpendi et ab aliis ad se traducendi milites gratia ita prodigus ac profusus in suos: quo effectum est ut ad proditionem hostes, suos ad intemperantiam corrumpendo adducens, magna pecuniæ vi opus habuerit, præsertim ea in obsidione.

XIII. Gravis enim et obstinata eum ejus urbis capiendæ cupiditas incesserat, sive quod æmulatione quadam cum antiqua illius urbis gloria umbratilem pugnam suscipiebat, sive irritatus scurrilibus insectationibus, quibus ipsum et Metellam Aristio tyrannus subinde a muris deridendo et insultando exasperaverat. Erat is tyrannus homo cujus animus ex procacitate et crudelitate erat conflatus, et qui, recepto ad se Mithridaticæ factionis perditissimo quoque, Athenas, quæ infinita ante bella, seditiones et tyrannides innumeras evaserant, tunc quasi pestilens aliqua lues in extremum periculum conjecerat. Hic quum mille denariis medimnus tritici veniret et Parthenio herba, quæ circa arcem proveniebat, homines vescerentur, calceosque et utres elixos comederent, continenter diurnis compotationibus et comessationibus vacabat, hostesque saltando et ridiculis ineptiis exagitabat: interim sacram Minervæ lampadem penuria olei exstingui passus, antistitæ sacrorum unciam medimni tritici petenti, tantum piperis misit, sacerdotes et senatores suppliciter ab ipso petentes, ut miseraretur urbem et cum Sylla pacem iniret, jaculis immissis disturbavit. (2) Vix tandem duos aut tres de suis compotoribus emisit ad Syllam, qui de pace agerent. Hi quum nihil salutare urbi postularent, sed Theseum modo, Eumolpumque et belli Medici res gestas jactarent: Facessite hinc, inquit Sylla, præclari homines, cum istis vestris sermonibus: non enim discendi causa a Romanis huc missus sum, sed ut defectores subigam.

XIV. Interim quorundam senum in Ceramico colloquentium, qui tyrannum reprehendebant, quod murum qui est apud Heptachalcum (quo unico loco facile adire hostes et evadere in urbem possent) non custodiret, sermonem exaudivere quidam et Syllæ de eo renunciaverunt. (2)

Ὁ δὲ οὐ κατεφρόνησεν, ἀλλὰ ἐπελθὼν νυκτὸς καὶ θεασάμενος τὸν τόπον ἁλώσιμον, εἴχετο τοῦ ἔργου. (3) Λέγει δὲ αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασι τὸν πρῶτον ἐπιβάντα τοῦ τείχους Μάρκον Τήιον ἀντιστάντος αὐτῷ πολεμίου δόντα πληγὴν ἐκ καταφορᾶς τῷ κράνει περικλάσαι τὸ ξίφος, οὐ μὴν ὑφέσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν. (4) Κατελήφθη μὲν οὖν ἡ πόλις ἐκεῖθεν, ὡς Ἀθηναίων οἱ πρεσβύτατοι διεμνημόνευον. (5) Αὐτὸς δὲ Σύλλας τὸ μεταξὺ τῆς Πειραϊκῆς πύλης καὶ τῆς ἱερᾶς κατασκάψας καὶ συνομαλύνας περὶ μέσας νύκτας ἐσήλαυνε φρικώδης ὑπό τε σαλπιγξι καὶ κέρασι πολλοῖς, ἀλαλαγμῷ καὶ κραυγῇ τῆς δυνάμεως ἐφ' ἁρπαγὴν καὶ φόνον ἀφειμένης ὑπ' αὐτοῦ καὶ φερομένης διὰ στενωπῶν ἐσπασμένοις τοῖς ξίφεσιν, ὥστε ἀριθμὸν μηδένα γενέσθαι τῶν ἀποσφαγέντων, ἀλλὰ τῷ τόπῳ τοῦ ῥυέντος αἵματος ἔτι νῦν μετρεῖσθαι τὸ πλῆθος. (6) Ἄνευ γὰρ τῶν κατὰ τὴν ἄλλην πόλιν ἀναιρεθέντων ὁ περὶ τὴν ἀγορὰν φόνος ἐπέσχε πάντα τὸν ἐντὸς τοῦ Διπύλου Κεραμεικόν· πολλοῖς δὲ λέγεται καὶ διὰ πυλῶν κατακλύσαι τὸ προάστειον. (7) Ἀλλὰ τῶν οὕτως ἀποθανόντων, τοσούτων γενομένων, οὐκ ἐλάσσονες ἦσαν οἱ σφᾶς αὐτοὺς διαφθείραντες οἴκτῳ καὶ πόθῳ τῆς πατρίδος ὡς ἀναιρεθησομένης· τοῦτο γὰρ ἀπογνῶναι καὶ φοβηθῆσαι τὴν σωτηρίαν ἐποίησε τοὺς βελτίστους οὐδὲν ἐν τῷ Σύλλᾳ φιλάνθρωπον οὐδὲ μέτριον ἐλπίσαντας. (8) Ἀλλὰ γὰρ τοῦτο μὲν Μειδίου καὶ Καλλιφῶντος τῶν φυγάδων δεομένων καὶ προκυλινδουμένων αὐτοῦ, τοῦτο δὲ τῶν συγκλητικῶν, ὅσοι συνεστράτευον, ἐξαιτουμένων τὴν πόλιν, αὐτός τε μεστὸς ὢν ἤδη τῆς τιμωρίας ἐγκώμιόν τι τῶν παλαιῶν Ἀθηναίων ὑπειπὼν ἔφη χαρίζεσθαι πολλοὺς μὲν ὀλίγοις, ζῶντας δὲ τεθνηκόσιν. (9) Ἐλεῖν δὲ τὰς Ἀθήνας αὐτός φησιν ἐν τοῖς ὑπομνήμασι Μαρτίαις καλάνδαις, ἥτις ἡμέρα συμπίπτει μάλιστα τῇ νουμηνίᾳ τοῦ Ἀνθεστηριῶνος μηνός, ἐν ᾧ κατὰ τύχην ὑπομνήματα πολλὰ τοῦ διὰ τὴν ἐπομβρίαν ὀλέθρου καὶ τῆς φθορᾶς ἐκείνης δρῶσιν, ὡς τότε καὶ περὶ τὸν χρόνον ἐκεῖνον μάλιστα τοῦ κατακλυσμοῦ συμπεσόντος. (10) Ἑαλωκότος δὲ τοῦ ἄστεος ὁ μὲν τύραννος εἰς τὴν ἀκρόπολιν καταφυγὼν ἐπολιορκεῖτο, Κουρίωνος ἐπὶ τούτῳ τεταγμένου· καὶ χρόνον ἐγκαρτερήσας συχνὸν αὐτὸς ἑαυτὸν ἐνεχείρισε δίψει πιεσθείς. (11) Καὶ τὸ δαιμόνιον εὐθὺς ἐπεσήμηνε· τῆς γὰρ αὐτῆς ἡμέρας τε καὶ ὥρας ἐκεῖνόν τε Κουρίων κατῆγε καὶ νεφῶν ἐξ αἰθρίας συνδραμόντων πλῆθος ὄμβρου καταῤῥαγὲν ἐπλήρωσεν ὕδατος τὴν ἀκρόπολιν. (12) Εἶχε δὲ καὶ τὸν Πειραιᾶ μετ' οὐ πολὺν χρόνον ὁ Σύλλας καὶ τὰ πλεῖστα κατέκαυσεν, ὧν ἦν καὶ ἡ Φίλωνος ὁπλοθήκη, θαυμαζόμενον ἔργον.

XV. Ἐν δὲ τούτῳ Ταξίλης ὁ Μιθριδάτου στρατηγὸς ἐκ Θράκης καὶ Μακεδονίας καταβεβηκὼς δέκα μυριάσι πεζῶν καὶ μυρίοις ἱππεῦσι καὶ τεθρίπποις ἐνενήκοντα δρεπανηφόροις ἐκάλει τὸν Ἀρχέλαον ἔτι ναυλοχοῦντα περὶ τὴν Μουνυχίαν καὶ μήτε τῆς θαλάττης βουλόμενον ἀποστῆναι μήτε πρόθυμον ὄντα συμπλέκεσθαι τοῖς

Isque minime negligendum ratus, noctu eo accessit, quumque capi eum locum posse vidisset, rem aggressus est. (2) Ipse in commentariis Sylla scribit, M. Teium, qui primus in murum evaserat, quum hosti occurrenti ictum intentasset violentius, gladium in ejus casside fregisse : nihilominus tamen non cessisse loco, sed mansisse eumque constanter tenuisse. (4) Ab ea parte urbem captam fuisse Atheniensium antiquissimi memoriæ tradiderunt. (5) Ipse autem Sylla suffosso complanatoque eo, quod est inter Piraicam et Sacram portam, muri spatio, circa mediam noctem ingressus est tubarum cornuumque multorum cantu perterrens Athenienses, militesque cum vociferatione et conclamatione ad cædes atque direptionem dimittens. Ii strictis gladiis per angiporta ferebantur, ita ut numerus cæsorum iniri plane non posset, sed copia sanguinis fluentis hodie quoque loci spatio æstimetur. (6) Nam præter eos qui in aliis urbis partibus cæsi sunt, occidio quæ apud forum exstitit, quantum Ceramici intra Dipylum est, occupavit : multi per portas etiam in suburbium eluvionem sanguinis exundasse aiunt. (7) Et tamen iis, qui hoc modo perierunt, pauciores non fuerunt qui se ipsos interfecerunt, patriæ miseratione compulsi, quam funditus excisum iri putabant (hoc ipsum enim optimum quemque ad desperationem et timendum de salute adduxit), nihil humani aut moderati a Sylla exspectantes. (8) Enimvero et Midia atque Calliphonte exsulibus orantibus genibusque ejus provolutis, et senatoribus qui castra sequebantur, pro urbe deprecantibus, Sylla satur jam vindictæ, cum collaudatione quadam priscorum Atheniensium multos se paucis istis atque vivos mortuis condonare dixit. (9) Captas Athenas a se ipse in commentariis ait Kalendis Martiis : qui dies fere in novilunium Anthesterionis mensis incidit : quo mense Athenienses forte multa in memoriam istius ex imbribus calamitatis atque exitii agunt, quod diluvium in illud potissimum tempus incidisse putant. (10) Capta urbe tyrannus in arcem confugit, obsessioque Curioni mandata est. Qui quum diu perseverasset, siti tandem compulsus deditionem fecit. (11) Statimque signa divinitus exstiterunt ; eodem enim die atque hora, qua Aristionem Curio ab arce deduxit, sereno cœlo nubium concursu facto, largus imber decidit, arcemque aqua opplevit. (12) Paulo post Piræeum quoque recepit Sylla, ibique plurima combussit, atque inter ea Philonis armamentarium, opus admirabile.

XV. Interim Taxiles, Mithridatis dux, cum centum millibus peditum, decem millibus equitum, nonaginta falcatis curribus ex Thracia et Macedonia descendens, ad se Archelaum vocabat, qui naves adhuc in statione apud Munichiam tenens, neque decedere mari volebat, neque ad pugnam cum Romanis conserendam satis animi habebat,

Ῥωμαίοις, ἀλλὰ τρίβειν χρόνῳ τὸν πόλεμον καὶ τὰς c
εὐπορίας αὐτῶν ἀφαιρεῖν. (2) Ἃ δὴ πολὺ μᾶλλον ἐκεί-
νου συνορῶν ὁ Σύλλας ἀνέζευξεν εἰς Βοιωτίαν ἐκ χω-
ρίων γλίσχρων καὶ μηδὲ ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄν-
των. (3) Καὶ τοῖς πολλοῖς ἐδόκει σφάλλεσθαι τὸν λο-
γισμὸν, ὅτι τὴν Ἀττικὴν τραχεῖαν οὖσαν καὶ δύσιππον
ἀπολιπὼν ἐνέβαλεν ἑαυτὸν πεδιάσι καὶ ἀναπεπταμέ-
ναις ταῖς περὶ τὴν Βοιωτίαν χώραις, ὁρῶν ἐν ἅρμασι
καὶ ἵπποις τὴν βαρβαρικὴν οὖσαν ἀλκήν. Ἀλλὰ φεύ-
γων, ὥσπερ εἴρηται, λιμὸν καὶ σπάνιν ἠναγκάζετο
διώκειν τὸν ἐκ τῆς μάχης κίνδυνον. (4) Ἔτι δὲ Ὀρ-
τήσιος αὐτὸν ἐφόβει, στρατηγικὸς ἀνὴρ καὶ φιλόνεικος, d
ὃν ἐκ Θετταλίας ἄγοντα τῷ Σύλλᾳ δύναμιν ἐν τοῖς στε-
νοῖς οἱ βάρβαροι παρεφύλαττον. (5) Διὰ ταῦτα μὲν
εἰς τὴν Βοιωτίαν ἀνέζευξεν ὁ Σύλλας· Ὀρτήσιον δὲ
Κάφις, ἡμέτερος ὤν, ἑτέραις ὁδοῖς ψευσάμενος τοὺς
βαρβάρους διὰ τοῦ Παρνασσοῦ κατῆγεν ὑπ' αὐτὴν τὴν
Τιθόραν, οὔπω τοσαύτην πόλιν οὖσαν, ὅση νῦν ἐστιν,
ἀλλὰ φρούριον ἀπορρῶγι κρημνῷ περικοπτόμενον, εἰς
ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγον-
τες ἀνεσκευάσαντο καὶ διεσώθησαν. (6) Ἐνταῦθα
καταστρατοπεδεύσας Ὀρτήσιος ἡμέρας μὲν ἀπεκρού-
σατο τοὺς πολεμίους, νύκτωρ δ' ἐπὶ Πατρωνίδα ταῖς e
δυσχωρίαις καταβὰς ἀπαντήσαντι τῷ Σύλλᾳ μετὰ τῆς
δυνάμεως συνέμιξε.

XVI. Γενόμενοι δὲ κοινῇ καταλαμβάνονται βουνὸν
ἐκ μέσων ἑστῶτα τῶν Ἐλατικῶν πεδίων εὔγεων καὶ
ἀμφιλαφῆ καὶ παρὰ τὴν ῥίζαν ὕδωρ ἔχοντα· Φιλο-
βοιωτὸς καλεῖται καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν θέσιν
ἐπαινεῖ θαυμασίως ὁ Σύλλας. (2) Στρατοπεδεύσαντες
δὲ παντάπασιν ὀλίγοι τοῖς πολεμίοις κατεφάνησαν,
ἱππεῖς μὲν γὰρ οὐ πλείους πεντακοσίων καὶ χιλίων
ἐγένοντο, πεζοὶ δὲ πεντακισχιλίων καὶ μυρίων ἐλάττους.
(3) Ὅθεν ἐκβιασάμενοι τὸν Ἀρχέλαον οἱ λοιποὶ στρα-
τηγοὶ καὶ παρατάξαντες τὴν δύναμιν ἀνέπλησαν ἵππων,
ἁρμάτων, ἀσπίδων, θυρεῶν τὸ πεδίον. Τὴν δὲ κραυ- f
γὴν καὶ ἀλαλαγμὸν οὐκ ἔστεγεν ὁ ἀὴρ ἐθνῶν τοσούτων
ἅμα καθισταμένων εἰς τάξιν. (4) Ἦν δὲ ἅμα καὶ τὸ
κομπῶδες καὶ σοβαρὸν αὐτῶν τῆς πολυτελείας οὐκ ἀρ-
γὸν οὐδὲ ἄχρηστον εἰς ἔκπληξιν, ἀλλ' αἵ τε μαρμαρυγαὶ
τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς
αἵ τε βαφαὶ τῶν Μηδικῶν καὶ Σκυθικῶν χιτώνων ἀνα-
μεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι πυροειδῆ καὶ a
φοβερὰν ἐν τῷ σαλεύεσθαι καὶ διαφέρεσθαι προσέβαλ-
λον ὄψιν, ὥστε τοὺς Ῥωμαίους ὑπὸ τὸν χάρακα συ-
στέλλειν ἑαυτοὺς καὶ τὸν Σύλλαν μηδενὶ λόγῳ τὸ θάμβος
αὐτῶν ἀφελεῖν δυνάμενον βιάζεσθαί τε ἀποδιδράσκον-
τας οὐ βουλόμενον ἡσυχίαν ἄγειν καὶ φέρειν βαρέως
ἐφυβρίζοντας ὁρῶντα κομπασμῷ καὶ γέλωτι τοὺς βαρ-
βάρους. (5) Ὤνησε μέντοι τοῦτο μάλιστα πάντων
αὐτόν. Οἱ γὰρ ἐναντίοι καταφρονήσαντες ἐτράποντο
πρὸς ἀταξίαν πολλὴν, οὐδὲ ἄλλως ὑπήκοοι τῶν στρατη-
γῶν διὰ πολυαρχίαν ὄντες· καὶ ὀλίγοι μὲν ἐν τῷ χά-
ρακι διεκαρτέρουν, ὁ δὲ πλεῖστος ὄχλος ἁρπαγαῖς καὶ b

trahere tantum bellum et hostem commeatu intercludere statuebat. (2) Quod ipsum multo magis conspicatus Sylla, ex locis sterilibus, et quæ vix in pace satis alimentorum possent præbere, castra in Bœotiam transtulit. (3) Ac videbatur plerisque male consuluisse rebus suis, quod Attica, quæ aspera et equitatui incommoda esset, relicta in campestria et aperta Bœotiæ loca se conjecisset, quum videret barbarorum omnem vim in equis et curribus positam. Sed is famem et penuriam, ut retulimus, fugiens, discrimen pugnæ potius subire cogitabat. (4) Attulerat etiam Hortensius metum, artibus imperatoriis præditus vir et certandi cupidus, cui ex Thessalia copias ad Syllam adducenti barbari in angustiis insidiabantur. (5) Hæ Syllæ traducendi in Bœotiam exercitus causæ fuerunt. Sed Caphis, popularis noster, Hortensium deceptis barbaris alio itinere per Parnassum ad ipsam Tithoram deduxit : quæ tum non tanta, quanta est hodie, urbs fuit, sed castellum præcipiti rupi impositum, in quod et olim Phocenses Xerxem adventantem fugientes convasatis rebus evaserant. (6) Ibi Hortensius castris positis, interdiu hostes repulit : noctu per angustias ad Patronidem descendens occurrenti Syllæ cum exercitu se conjunxit.

XVI. Conjunctis ita copiis collem occupaverunt, qui mediis ex campis Elaticis exsurgit fertilis atque arboribus tectus, et ad radices aquam habet : Philobœoto est nomen, ejusque situm et naturam mirifice prædicat Sylla. (2) Plane parvam eam manum esse hostes judicaverunt, quum castrametatos vidissent : et erant equites haud supra mille quingentos, peditum non omnino quindecim millia. (3) Propterea Archelaum coegerunt reliqui duces, ut in aciem copias educeret. Ita equis, curribus, aspidibus, scutis totus opplebatur campus. Clamorem vero et strepitum tot simul populorum in aciem prodeuntium vix sustinebat aer. (4) Neque jactantia et splendoris ostentatio ad incutiendum terrorem inanis erat vel inutilis, quum et nitor armorum auro argentoque decoratorum et tincturæ Medicarum Scythicarumque tunicarum æri ferroque splendenti intermixtæ inter agitandum igneum terribilemque aspectum objicerent. Itaque Romani intra vallum se contrahebant; Sylla vero quum neque ulla oratione metum eximere iis posset, neque detrectantes pugnare cogere vellet, quievit, et barbarorum per ludibrium atque risum insultantium superbiam ægre tulit. (5) Quanquam id quidem apprime rebus Syllæ utile fuit. Hostes enim contemptis Romanis pleraque nullo ordine agere confuse cœperunt, jam ante ob imperantium multitudinem non admodum dicto ducum audientes. Pauci in castris remanserunt, maxima turba rapinis b

πορθήμασι δελεαζόμενος ὁδὸν ἡμερῶν πολλῶν ἀπὸ τοῦ στρατοπέδου διεσπείρετο καὶ τήν τε τῶν Πανοπαίων πόλιν ἐκκόψαι λέγονται καὶ τὴν Λεβαδέων διαρπάσαι καὶ συλῆσαι τὸ μαντεῖον, οὐδενὸς στρατηγοῦ πρόσταγμα δόντος. (6) Ὁ δὲ Σύλλας, ἐν ὄμμασιν αὐτοῦ πόλεων ἀπολλυμένων, δυσανασχετῶν καὶ λυπούμενος οὐκ εἴα τοὺς στρατιώτας σχολάζειν, ἀλλὰ προσάγων αὐτοὺς ἠνάγκαζε τόν τε Κηφισὸν ἐκ τοῦ ῥείθρου παρατρέπειν καὶ τάφρους ὀρύσσειν, ἀνάπαυλαν οὐδενὶ διδοὺς καὶ τῶν ἐνδιδόντων ἀπαραίτητος ἐφεστὼς κολαστής, ὅπως ἀπαγορεύσαντες πρὸς τὰ ἔργα διὰ τὸν πόνον ἀσπάσωνται τὸν κίνδυνον. (7) Ὃ καὶ συνέβη. Τρίτην γὰρ ἡμέραν ἐργαζόμενοι τοῦ Σύλλα παρεξιόντος ἐδέοντο μετὰ κραυγῆς ἄγειν ἐπὶ τοὺς πολεμίους. (8) Ὁ δὲ οὐ μάχεσθαι βουλομένων, ἀλλὰ μὴ βουλομένων πονεῖν ἔφησεν εἶναι τὸν λόγον· εἰ δὲ ὄντως ἔχουσιν ἀγωνιστικῶς, ἐκέλευσεν ἤδη μετὰ τῶν ὅπλων ἐλθεῖν ἐκεῖσε, δείξας αὐτοῖς τὴν πρότερον μὲν γενομένην ἀκρόπολιν τῶν Παραποταμίων, τότε δὲ ἀνῃρημένης τῆς πόλεως λόφος ἐλείπετο πετρώδης καὶ περίκρημνος, τοῦ Ἡδυλίου διωρισμένος ὄρους ὅσον ὁ Ἄσσος ἐπέχει ῥέων, εἶτα συμπίπτων ὑπὸ τὴν ῥίζαν αὐτὴν τῷ Κηφισῷ καὶ συνεκτραχυνόμενος ὀχυρὰν ἐνστρατοπεδεῦσαι τὴν ἄκραν ποιεῖ. (9) Διὸ καὶ τοὺς χαλκάσπιδας ὁρῶν τῶν πολεμίων ὠθουμένους ἐπ' αὐτὴν ὁ Σύλλας ἐβούλετο φθῆναι καταλαβὼν τὸν τόπον, καὶ κατέλαβε χρησάμενος τοῖς στρατιώταις προθύμοις. (10) Ἐπεὶ δὲ ἀποκρουσθεὶς ἐκεῖθεν ὁ Ἀρχέλαος ὥρμησεν ἐπὶ τὴν Χαιρώνειαν, οἱ δὲ συστρατευσάμενοι τῶν Χαιρωνέων ἐδέοντο τοῦ Σύλλα μὴ προέσθαι τὴν πόλιν, ἐκπέμπει τῶν χιλιάρχων ἕνα Γαβίνιον μετὰ τάγματος ἑνὸς καὶ τοὺς Χαιρωνεῖς ἀφίησι βουληθέντας μέν, οὐ μὴν δυνηθέντας φθῆναι τὸν Γαβίνιον. (11) Οὕτως ἦν ἀγαθὸς καὶ προθυμότερος εἰς τὸ σῶσαι τῶν σωθῆναι δεομένων. Ὁ δὲ Ἰόβας οὐ Γαβίνιόν φησι πεμφθῆναι, ἀλλὰ Ἐρίκιον. Ἡ μὲν οὖν τόλις ἡμῶν παρὰ τοσοῦτον ἐξέφυγε τὸν κίνδυνον.

XVII. Ἐκ δὲ Λεβαδείας καὶ τοῦ Τροφωνίου φῆμαί τε χρησταὶ καὶ νικηφόρα μαντεύματα τοῖς Ῥωμαίοις ἐξεπέμποντο. (2) Περὶ ὧν οἱ μὲν ἐπιχώριοι πλείονα λέγουσιν· ὡς δὲ Σύλλας αὐτὸς ἐν τῷ δεκάτῳ τῶν ὑπομνημάτων γέγραφε, Κόϊντος Τίτιος, οὐκ ἄφαντος ἀνὴρ τῶν ἐν τῇ Ἑλλάδι πραγματευομένων, ἦκε πρὸς αὐτὸν ἤδη τὴν ἐν Χαιρωνείᾳ νενικηκότα μάχην ἀπαγγέλλων, ὅτι καὶ δευτέραν ὁ Τροφώνιος αὐτόθι μάχην καὶ νίκην προσημαίνει ἐντὸς ὀλίγου χρόνου. (3) Μετὰ δὲ τοῦτον ἀνὴρ τῶν ἐν τάξει στρατευομένων ὄνομα Σαλουήνιος ἀνήνεγκε παρὰ τοῦ θεοῦ τέλος οἷον αἱ κατὰ τὴν Ἰταλίαν πράξεις ἐμελλον ἕξειν. (4) Ἀμφότεροι δὲ ταὐτὰ περὶ τῆς τοῦ θεοῦ ὁμφῆς ἔφραζον· τῷ γὰρ Ὀλυμπίῳ Διὶ καὶ τὸ κάλλος καὶ τὸ μέγεθος παραπλήσιον ἰδεῖν ἔφασαν. (5) Ἐπειδὴ δὲ διέβη τὸν Ἄσσον ὁ Σύλλας, παρελθὼν ὑπὸ τὸ Ἡδύλιον τῷ Ἀρχελάῳ παρεστρατοπέδευσε βεβλημένῳ χάρακα καρτερὸν ἐν μέσῳ τοῦ Ἀκοντίου καὶ τοῦ Ἡδυλίου πρὸς τοῖς λεγομένοις Ἀσσίοις. Ὁ μέντοι

et populationibus illecta multorum dierum itinere sparsim a castris diffluxit: ferunturque tum et Panopæam excidisse, et Lebadeam diripuisse, oraculumque despoliasse nullius ducis jussu. (6) Sylla vero ægerrime ferens ante oculos suos urbes everti, otiari milites non est passus, sed et Cephisum avertere suo alveo imperavit et fossas eruere, nulla cuiquam quiete concessa et gravi supplicio segnes afficiens: id enim agebat, ut laboribus illis lassati, mallent aleam prœlii subire. (7) Neque id fefellit. Tertium enim diem operati, quum Sylla inspiciendorum operum causa accessisset, edito clamore precati sunt, ut se contra hostes duceret. (8) Respondit Sylla, non pugnare cupientium, sed laborem detrectantium esse eam vociferationem; sin vere decertandi cupiditas adesset, statim cum armis eo contenderent; ostendebat autem collem, ubi olim arx Parapotamiorum fuerat, tunc post eversam urbem collis supererat saxosus atque præcipites circum dejectus habens, tantum ab Hedylio monte avulsus, quantum Assus interfluens occupat spatii, qui sub ipsam radicem in Cephisum incidens, unaque rapidior factus, cacumen castris tutum atque munitum reddebat. (9) Itaque Sylla cernens Chalcaspides hostium ad eum contendentes, statuit antevertere, collemque eum alacritate militum adjutus occupavit. (10) Posteaquam vero inde repulsus Archelaus adversus Chæroneam se convertit, Sylla, orantibus qui in castris erant Chæronensibus ne urbem suam destitueret, Gabinium tribunum militum cum legione una eo mittit, dimissis etiam Chæronensibus: sed ii quamvis anniterentur, non potuerunt tamen Gabinio prævertere. (11) Adeo bonus ille vir erat, et ad salutem ferendam iis ipsis qui eam petebant celerior. Juba non Gabinium, sed Ericium missum scribit. Tantulum abfuit quin patria nostra in periculum veniret.

XVII. A Lebadia autem et oraculo Trophonii omina secunda et vaticinia victoriam promittentia Romanis mittebantur. (2) De quibus incolæ plura dicunt. Ipse Sylla libro commentariorum decimo scriptum reliquit: Q. Titium, virum haud ignobilem inter eos qui in Græcia negotiabantur, ad se victoria jam apud Chæroneam potitum venisse et annuntiasse Trophonium prædicere, iterum ipsum non multo post tempore eodem in loco prœlio victurum. (3) Post hunc Salvenius, unus e cohorte prætoria, renuntiavit quem finem rerum Italicarum deus præmonstrasset. (4) Uterque autem idem de visione dei afferebat: nimirum visam sibi fuisse formam atque magnitudinem Jovi Olympio parem. (5) Sylla trajecto Asso præter Hedylium montem progressus, contra Archelaum castra posuit, qui tunc inter Acontium et Hedylium ad Assios valle

τόπος, ἐν ᾧ κατεσκήνωσεν, ἄχρι νῦν Ἀρχέλαος ἀπ' ἐκείνου καλεῖται. (6) Διαλιπὼν δὲ μίαν ἡμέραν ὁ Σύλλας Μουρήναν μὲν ἔχοντα τάγμα καὶ σπείρας δύο πρὸς τὸ τοῖς πολεμίοις ἐνοχλῆσαι παρατατομένοις ἀπέλιπεν, αὐτὸς δὲ παρὰ τὸν Κηφισὸν ἐσφαγιάζετο καὶ τῶν ἱερῶν γενομένων ἐχώρει πρὸς τὴν Χαιρώνειαν, ἀναλη-ψόμενός τε τὴν αὐτόθι στρατειὰν καὶ κατοψόμενος τὸ καλούμενον Θούριον ὑπὸ τῶν πολεμίων προκατειλημένον. (7) Ἔστι δὲ κορυφὴ τραχεῖα καὶ στροβιλῶδες ὄρος, ὃ καλοῦμεν Ὀρθόπαγον· ὑπὸ δὲ αὐτὸ τὸ ῥεῦμα τοῦ Μόλου καὶ Θουρίου νεὼς Ἀπόλλωνος. (8) Ὠνόμασται δὲ ὁ θεὸς ἀπὸ Θουροῦς, τῆς Χαίρωνος μητρὸς, ὃν οἰκιστὴν γεγονέναι τῆς Χαιρωνείας ἱστοροῦσιν. Οἱ b δέ φασι τὴν Κάδμῳ δοθεῖσαν ὑπὸ τοῦ Πυθίου καθηγεμόνα βοῦν ἐκεῖ φανῆναι καὶ τὸν τόπον ἀπ' αὐτῆς οὕτω προσαγορευθῆναι· θὼρ γὰρ οἱ Φοίνικες τὴν βοῦν καλοῦσι. (9) Προσιόντος δὲ τοῦ Σύλλα πρὸς τὴν Χαιρώνειαν, ὁ τεταγμένος ἐν τῇ πόλει χιλίαρχος ἐξωπλισμένους ἄγων τοὺς στρατιώτας ἀπήντησε στέφανον δάφνης κομίζων. (10) Ὡς δὲ δεξάμενος ἠσπάσατο τοὺς στρατιώτας καὶ παρώρμησε πρὸς τὸν κίνδυνον, ἐντυγχάνουσιν αὐτῷ δύο τῶν Χαιρωνέων ἄνδρες, Ὁμολοΐχος καὶ Ἀναξίδαμος, ὑφιστάμενοι τοὺς τὸ Θούριον κατασχόντας ἐκκόψειν, ὀλίγους στρατιώτας παρ' ἐκείνου λαβόντες. Ἀτραπὸν γὰρ εἶναι τοῖς βαρβάροις ἄδηλον c ἀπὸ τοῦ καλουμένου Πετρώχου παρὰ τὸ Μουσεῖον ἐπὶ τὸ Θούριον ὑπὲρ κεφαλῆς ἄγουσαν, ᾗ πορευθέντες οὐ χαλεπῶς ἐπιπεσεῖσθαι καὶ καταλεύσειν ἄνωθεν αὐτοὺς ἢ συνώσειν εἰς τὸ πεδίον. (11) Τοῦ δὲ Γαβινίου τοῖς ἀνδράσι μαρτυρήσαντος ἀνδρείαν καὶ πίστιν ἐκέλευεν ἐπιχειρεῖν ὁ Σύλλας, αὐτὸς δὲ συνέταττε τὴν φάλαγγα καὶ διένειμε τοὺς ἱππότας ἐπὶ κέρως ἑκατέρου, τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, τὸ δ' εὐώνυμον ἀποδοὺς Μουρήνᾳ. (12) Γάλβας δὲ καὶ Ὁρτήσιος οἱ πρεσβευταὶ σπείρας ἐπιτάκτους ἔχοντες ἔσχατοι παρενέβαλον ἐπὶ τῶν ἄκρων φύλακες πρὸς τὰς κυκλώσεις· ἐῶρῶντο γὰρ οἱ πο- d λέμιοι κατασκευάζοντες ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς ποδώκεσιν εἰς ἐπιστροφὴν τὸ κέρας εὐκαμπὲς καὶ κοῦφον, ὡς μακρὰν ἀνάξοντες καὶ κυκλωσόμενοι τοὺς Ῥωμαίους.

XVIII. Ἐν δὲ τούτῳ τῶν Χαιρωνέων Ἐρίκιον ἄρχοντα παρὰ τοῦ Σύλλα λαβόντων καὶ περιελθόντων ἀδήλως τὸ Θούριον, εἶτα ἐπιφανέντων, θόρυβος ἦν πολὺς καὶ φυγὴ τῶν βαρβάρων καὶ φόνος ὑπ' ἀλλήλων ὁ πλεῖστος. (2) Οὐ γὰρ ὑπέμειναν, ἀλλὰ κατὰ πρανοῦς φερόμενοι τοῖς τε δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν καὶ κατεχρήμνιζον ὠθοῦντες ἀλλήλους, ἄνωθεν ἐπικειμένων τῶν πολεμίων καὶ τὰ γυμνὰ παιόντων, ὥστε e τρισχιλίους πεσεῖν περὶ τὸ Θούριον. (3) Τῶν δὲ φευγόντων τοὺς μὲν εἰς τάξιν ἤδη καθεστὼς ὁ Μουρήνας ἀπετέμνετο καὶ διέφθειρεν ὑπαντιάζων, οἱ δὲ ὠσάμενοι πρὸς τὸ φίλιον στρατόπεδον καὶ τῇ φάλαγγι φύρδην ἐμπεσόντες ἀνέπλησαν δέους καὶ ταραχῆς τὸ πλεῖστον μέρος καὶ διατριβὴν τοῖς στρατηγοῖς ἐνεποίησαν

robusto munierat. Locus in quo castra habuit ab eo etiamnunc Archelaus dicitur. (6) Intermisso uno die Sylla Murenam cum legione et duabus cohortibus reliquit, quis hostes aciem instruentes vexaret. Ipse hostia apud Cephisum mactata quum sacra litasset, ad Chæroneam ivit, ut copias quæ ibi erant ad se reciperet, et Thurium, quod hostes præoccupaverant, contemplaretur. (7) Est autem Thurium vertex asper montis in metæ formam fastigiati, qui Ὀρθόπαγος a nobis dicitur : infra ipsum amnem Moli et Thurii Apollinis templum. (8) Nomen deo fecit Thuro, Chæronis mater, ejus qui Chæroneam condidisse traditur. Alii bovem, quam Cadmo ducem Pythius Apollo dedit, ibi apparuisse ferunt, atque inde locum cognominatum : est enim Thor Phœnicum lingua bos. (9) Ut ad Chæroneam accessit Sylla, tribunus militum qui urbem præsidio tenuerat, milites in armis obviam Syllæ eduxit laureum sertum ferens. (10) Quo accepto quum milites consalutasset et ad fortitudinem esset cohortatus, compellaverunt duo Chæronenses viri, Homoloichus et Anaxidamus, promittentes se velle Thurii præsidium paucis ab ipso datis militibus dejicere. Esse enim callem barbaris ignotum, qui a Petrochoo juxta Musæum supra verticem in Thurium adducat : eo se accessuros atque inde facto impetu hostes aut saxis obruturos aut in planitiem depulsuros. (11) Gabinio his viris testimonium fortitudinis fideique ferente, rem aggredi Sylla jussit. Ipse interim phalangem instruxit, equitibus in utrumque cornu distributis, de quibus ipse dextrum ducebat, lævum Murenæ attribuebat. (12) Galba et Hortensius legati cum cohortibus subsidiariis novissimi in extremis locum occupabant, curaturi ne ab hoste circumveniri acies posset. Apparebant enim hostes multis equitibus levisque armaturæ militibus cursu celeribus cornu efficere, quod inverti et flecti facile posset, ut eo in longum porrecto Romanos circumdarent.

XVIII. Interim Chæronenses illi cum Ericio, quem ipsis Sylla præfecerat, occulte Thurium circumivere, subitoque hostibus se ostendentes, magnum apud eos tumultum fugamque, in qua ipsi sese mutuo plurimi necabant, concitarunt. (2) Non enim substiterunt, sed per declive ruentes, in suas ipsorum inciderunt, invicemque per præcipitia sese deturbarunt, desuper impetum facientibus hostibus et nuda corpora ferientibus. Ita tria barbarorum millia apud Thurium cæsa sunt. (3) Fugientes partim Murena composito jam agmine occurrens trucidavit, partim ad castra sociorum erumpentes, in phalangem promiscue se ingesserunt, maximamque suorum partem terrore et trepidatione repleverunt et ducibus moram creaverunt, quæ non minima

οὐχ ἥκιστα βλάψασαν αὐτούς. (4) Ὀξέως γὰρ ὁ Σύλλας ταρασσομένοις ἐπαγαγὼν καὶ τὸ μέσον διάστημα τῷ τάχει συνελὼν ἀφείλετο τὴν τῶν δρεπανηφόρων ἐνέργειαν. Ἔρρωται γὰρ μάλιστα μήκει δρόμου σφοδρότητα καὶ ῥύμην τῇ διεξελάσει διδόντος, αἱ δὲ ἐκ βραχέος ἀφέσεις ἄκρακτοι καὶ ἀμβλεῖαι, καθάπερ βελῶν τάσιν οὐ λαβόντων. (5) Ὃ δὴ καὶ τότε τοῖς βαρβάροις ἀπήντα· καὶ τὰ πρῶτα τῶν ἁρμάτων ἀργῶς ἐξελαυνόμενα καὶ προσπίπτοντα νωθρῶς ἐκκρούσαντες οἱ Ῥωμαῖοι μετὰ κρότου καὶ γέλωτος ἄλλα ἤτουν, ὥσπερ εἰώθασιν ἐν ταῖς θεατρικαῖς ἱπποδρομίαις. (6) Τοὐντεῦθεν αἱ πεζαὶ δυνάμεις συνερράγησαν, τῶν μὲν
464 βαρβάρων προβαλλομένων τὰς σαρίσσας μακρὰς καὶ a
πειρωμένων τῷ συνασπισμῷ τὴν φάλαγγα διατηρεῖν ἐν τάξει, τῶν δὲ Ῥωμαίων τοὺς μὲν ὑσσοὺς αὐτοῦ καταβαλόντων, σπασαμένων δὲ τὰς μαχαίρας καὶ παρακρουομένων τὰς σαρίσσας, ὡς τάχιστα προσμίξειαν αὐτοῖς δι' ὀργήν. (7) Προτεταγμένους γὰρ ἑώρων τῶν πολεμίων μυρίους καὶ πεντακισχιλίους θεράποντας, οὓς ἐκ τῶν πόλεων κηρύγμασιν ἐλευθεροῦντες οἱ βασιλέως στρατηγοὶ κατελόχιζον εἰς τοὺς ὁπλίτας. (8) Καί τις ἑκατοντάρχης λέγεται Ῥωμαῖος εἰπεῖν, ὡς ἐν Κρονίοις μόνον εἰδείη τῆς παῤῥησίας δούλους μετέχοντας. Τούτους μὲν οὖν διὰ βάθος καὶ πυκνότητα βραδέως ἐξωθου- b
μένους ὑπὸ τῶν ὁπλιτῶν καὶ παρὰ φύσιν μένειν τολμῶντας αἵ τε βελοσφενδόναι καὶ οἱ γρόσφοι, χρωμένων ἀφειδῶς τῶν κατόπιν Ῥωμαίων, ἀπέστρεφον καὶ συνετάραττον.

XIX. Ἀρχελάου δὲ τὸ δεξιὸν κέρας εἰς κύκλωσιν ἀνάγοντος, Ὀρτήσιος ἐφῆκε τὰς σπείρας δρόμῳ προσφερομένας, ὡς ἐμβαλῶν πλαγίοις. (2) Ἐπιστρέψαντος δὲ ταχέως ἐκείνου τοὺς περὶ αὐτὸν ἱππεῖς δισχιλίους, ἐκθλιβόμενος ὑπὸ πλήθους προσεστέλλετο τοῖς ὀρεινοῖς, κατὰ μικρὸν ἀποῤῥηγνύμενος τῆς φάλαγγος καὶ περιλαμβανόμενος ὑπὸ τῶν πολεμίων. (3) Πυθόμενος δὲ ὁ Σύλλας ἀπὸ τοῦ δεξιοῦ μήπω συμπεπτωκότος εἰς μά- c
χην ἐδίωκε βοηθῶν. Ἀρχέλαος δὲ τῷ κονιορτῷ τῆς ἐλάσεως ὅπερ ἦν τεκμηράμενος Ὀρτήσιον μὲν εἶα χαίρειν, αὐτὸς δὲ ἐπιστρέψας ὥρμησεν ὅθεν ὁ Σύλλας πρὸς τὸ δεξιόν, ὡς ἔρημον ἄρχοντος αἱρήσων. (4) Ἅμα δὲ καὶ Μουρήνᾳ Ταξίλης ἐπῆγε τοὺς χαλκάσπιδας, ὥστε τῆς κραυγῆς διχόθεν φερομένης καὶ τῶν ὀρῶν ἀνταποδιδόντων τὴν περιήχησιν ἐπιστήσαντα τὸν Σύλλαν διαπορεῖν, ὁποτέρωσε χρὴ προσγενέσθαι. (5) Δόξαν δὲ τὴν ἑαυτοῦ τάξιν ἀναλαμβάνειν, Μουρήνᾳ μὲν ἀγωρὸν ἔπεμψεν Ὀρτήσιον ἔχοντα τέσσαρας σπείρας, αὐτὸς δὲ τὴν πέμπτην ἕπεσθαι κελεύσας ἐπὶ τὸ δεξιὸν ἠπείγετο καὶ καθ' ἑαυτὸν μὲν ἀξιομάχως ἤδη d
τῷ Ἀρχελάῳ συνεστηκὸς, ἐκείνου δὲ ἐπιφανέντος πανταπασιν ἐξεβιάσαντο καὶ κρατήσαντες ἐδίωκον πρός τε τὸν ποταμὸν καὶ τὸ Ἀκόντιον ὄρος προτροπάδην φεύγοντας. (6) Οὐ μὴν ὅ γε Σύλλας ἠμέλησε Μουρήνα κινδυνεύοντος, ἀλλὰ ὥρμησε τοῖς ἐκεῖ βοηθεῖν, ἰδὼν δὲ νικῶντας, τότε τῆς διώξεως μετεῖχε. (7) Πολλοὶ μὲν

cladis fuit causa. (4) Sylla enim in perturbatos confestim irruens, celeriter superato quod erat interjectum inter acies spatio, usum omnem falcatis curribus ademit; ii enim maxime longitudine cursus vehementiam et impetum ad perrumpendum præbente valent, e propinquo autem emissi, nihil efficiunt et languidi sunt, sicut jacula nullo libramento conjecta. (5) Idem tunc barbaris usu venit : et quum primi currus tardius incitati nulla vi ad hostes ferrentur, Romani eos cum plausu et risu avertentes, alios, ut ludis Circensibus solent, mitti jubebant. (6) Proinde pedestres copiæ prœlium conseruerunt. Barbari sarissas longas protendentes, testudinis in morem stipata acie conabantur phalangis suæ ordinem tueri; Romani projectis pilis, strictis gladiis irruebant, et sarissas repellebant, ira accensi quamprimum conserere manum cupientes. (7) Videbant enim primam hostium aciem tenere servorum quindecim millia, quos ab urbibus ad libertatem per edictum vocatos regii duces inter gravis armaturæ milites collocaverant. (8) Ac fertur quidam centurio Romanus dixisse : nunquam sibi nisi Saturnalibus visos servos libertate frui. Eos sane hostes quum propter altitudinem et densitatem ordinum tarde pellerentur et præter ingenium suum subsistere auderent, falaricæ et pila, quorum Romani in secunda acie constituti magnam copiam emittebant, averterunt atque perturbarunt.

XIX. Quum vero Archelaus dextrum cornu ad circumdandos Romanos educeret, Hortensius cohortes excurrere et a latere in hostem impetum facere jussit. (2) Quibus quum celeriter objecisset Archelaus bis mille, quos secum habebat, equites, multitudine pressus Hortensius ad montes se subduxit, ac paulatim a phalange divulsus, ab hostibus cingi cœpit. (3) Quod ubi Syllæ renuntiatum est, a dextro cornu, quod nondum conflixerat cum hoste, raptim suis auxilio accurrit. Sed Archelaus id quòd erat ex orto pulvere conjiciens, omisso Hortensio, ad dextrum cornu, unde Sylla discesserat, se convertit, ut id duce absente expugnaret. (4) Simul et Taxiles Chalcaspidas in Murenam adduxit. Itaque sublato duabus e partibus clamore Sylla subsistens ambigebat utri parti accederet. (5) Quum autem visum esset ad suum cornu redire, Murenæ Hortensium cum quattuor cohortibus auxilio mittens, ipse cum quinta ad dextrum cornu contendit. Ibi quum Romani sua sponte Archelao fortiter repugnassent, imperatore viso hostem protinus fuderunt, effuseque fugientes ad fluvium et Acontium montem persecuti sunt. (6) Neque vero Sylla Murenæ in periculo constituti oblitus est : sed tum demum persequendis hostibus se dedit, quum et ab illa parte suos, quibus subvenire intenderat, vincere vidit. (7) Multi barbarorum in

οὖν ἐν τῷ πεδίῳ τῶν βαρβάρων ἀνῃροῦντο, πλεῖστοι δὲ τῷ χάρακι προσφερόμενοι κατεκόπησαν, ὥστε μυρίους διαπεσεῖν εἰς Χαλκίδα μόνους ἀπὸ τοσούτων μυριάδων. (8) Ὁ δὲ Σύλλας λέγει τέσσαρας καὶ δέκα ἐπιζητῆσαι τῶν αὐτοῦ στρατιωτῶν, εἶτα καὶ τούτων δύο πρὸς τὴν ἑσπέραν παραγενέσθαι. (9) Διὸ καὶ τοῖς τροπαίοις ἐπέγραψεν Ἄρη καὶ Νίκην καὶ Ἀφροδίτην, ὡς οὐχ ἧττον εὐτυχίᾳ κατορθώσας ἢ δεινότητι καὶ δυνάμει τὸν πόλεμον. (10) Ἀλλὰ τοῦτο μὲν τὸ τρόπαιον ἕστηκε τῆς πεδιάδος μάχης, ἣ πρῶτον ἐνέκλιναν οἱ περὶ Ἀρχέλαον μέχρι παρὰ τὸ Μόλου ῥεῖθρον, ἕτερον δέ ἐστι τοῦ Θουρίου κατὰ κορυφὴν βεβηκὸς ἐπὶ τῇ κυκλώσει τῶν βαρβάρων γράμμασιν Ἑλληνικοῖς ἐπισημαῖνον Ὁμολοΐχον καὶ Ἀναξίδαμον ἀριστεῖς. (11) Ταύτης τὰ ἐπινίκια τῆς μάχης ἦγεν ἐν Θήβαις περὶ τὴν Οἰδιπόδιον κρήνην κατασκευάσας θυμέλην. Οἱ δὲ κρίνοντες ἦσαν Ἕλληνες ἐκ τῶν ἄλλων ἀνακεκλημένοι πόλεων, ἐπεὶ πρός γε Θηβαίους ἀδιαλλάκτως εἶχε, καὶ τῆς χώρας αὐτῶν ἀποτεμόμενος τὴν ἡμίσειαν τῷ Πυθίῳ καὶ τῷ Ὀλυμπίῳ καθιέρωσεν ἐκ τῶν προσόδων κελεύσας ἀποδίδοσθαι τὰ χρήματα τοῖς θεοῖς, ἅπερ αὐτὸς εἰλήφει.

465 XX. Μετὰ ταῦτα πυνθανόμενος Φλάκκον ἀπὸ τῆς ἐναντίας στάσεως ὕπατον ἠρημένον διαπερᾶν τὸν Ἰόνιον μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ Μιθριδάτην, ἔργῳ δὲ ἐπ' ἐκεῖνον αὐτόν, ὥρμησεν ἐπὶ Θετταλίας ὡς ἀπαντήσων. (2) Γενομένῳ δὲ αὐτῷ περὶ πόλιν Μελίτειαν ἀφικνοῦνται πολλαχόθεν ἀγγελίαι πορθεῖσθαι τὰ κατόπιν αὖθις οὐκ ἐλάττονι στρατιᾷ βασιλικῇ τῆς πρότερον. (3) Δορύλαος γὰρ εἰς Χαλκίδα καταχθεὶς παρασκευῇ νεῶν πολλῇ, ἐν αἷς ἦγεν ὀκτὼ μυριάδας ἠσκημένας καὶ συντεταγμένας ἄριστα δὴ τῆς Μιθριδατικῆς στρατιᾶς, εὐθὺς εἰς Βοιωτίαν ἐνέβαλε καὶ κατεῖχε τὴν χώραν, προθυμούμενος εἰς μάχην ἐπισπάσασθαι τὸν Σύλλαν, οὐ προσέχων Ἀρχελάῳ διακωλύοντι καὶ λόγον περὶ τῆς προτέρας μάχης διαδιδοὺς, ὡς οὐκ ἄνευ προδοσίας μυριάδες τοσαῦται διαφθαρεῖεν. (4) Οὐ μὴν ἀλλὰ ὁ Σύλλας ταχέως ὑποστρέψας ἀπέδειξε τῷ Δορυλάῳ τὸν Ἀρχέλαον ἄνδρα φρόνιμον καὶ τῆς Ῥωμαίων ἐμπειρότατον ἀρετῆς, ὥστε μικρὰ αὐτὸν τῷ Σύλλᾳ περὶ τὸ Τιλφώσσιον ἐμπεσόντα πρῶτον εἶναι τῶν οὐκ ἀξιούντων κρίνεσθαι διὰ μάχης, ἀλλὰ δαπάναις καὶ χρόνῳ τρίβειν τὸν πόλεμον. (5) Ὅμως δὲ θάρσος τι τῷ Ἀρχελάῳ παρεῖχεν ὁ πρὸς Ὀρχομενῷ τόπος, ἐν ᾧ κατεστρατοπέδευσαν, εὐφυέστατος ὢν ἱπποκρατοῦσιν ἐναγωνίσασθαι. (6) Τῶν γὰρ Βοιωτίων πεδίων ὅ τί πέρ ἐστι κάλλιστον καὶ μέγιστον, τοῦτο τῆς Ὀρχομενίων ἐξηρτημένον πόλεως μόνον ἀναπέπταται ἄδενδρον ἄχρι τῶν ἑλῶν, ἐν οἷς ὁ Μέλας καταναλίσκεται ποταμὸς, ἀνατέλλων μὲν ὑπὸ τὴν πόλιν τῶν Ὀρχομενίων πολὺς καὶ πλώιμος ἐν πηγαῖς μόνος τῶν Ἑλληνικῶν ποταμῶν, αὐξόμενος δὲ ὑπὸ τροπὰς θερινὰς, ὥσπερ ὁ Νεῖλος, καὶ φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ. (7) Πόρρω δὲ οὐ πρόεισιν, ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς εἰς

campo cæsi sunt; plurimi, quum ad castra contenderent: ita quidem ut de tot hominum millibus decem tantum millia Chalcidem perfugerint. (8) Sylla de suis militibus quattuordecim modo desideratos a se fuisse scribit: atque ex his duos sub vesperam rediisse. (9) Id circo tropæis inscripsit Martem, Fortunam et Venerem, fassus ad victoriam non minus prosperam sibi fortunam, quam peritiam et vires conduxisse. (10) Id tropæum de campestri pugna statuit, qua primum Archelaus usque ad Molum amnem recessit. Alterum est tropæum in Thurii vertice positum de circumdatis ibi barbaris, quod Græcis litteris Homoloicho et Anaxidamo primam ejus facti laudem tribuit. (11) De hac victoria Thebis edidit certamina, scena apud fontem Œdipodis exstructa. Judices certaminum ex aliis Græciæ urbibus convocavit. Implacabili enim ira Thebanos prosequebatur, agrique eis partem dimidiam ademptam Pythio et Olympio diis consecravit, ex reditibus persolvi eam pecuniam diis jubens, quam ipse abstulerat.

XX. Secundum hæc quum Flaccum contrariæ factionis consulem creatum audiret, cum exercitu Ionium mare transmittere, verbo quidem adversus Mithridatem, sed revera contra ipsum, in Thessaliam contendit, tanquam Flacco occursurus. (2) Quum ad Meliteam pervenisset, undique multi nuncii allati sunt, a tergo omnia vastari ab exercitu regio, qui non minor esset priore. (3) Etenim Dorylaus Chalcidem magna classe appulerat, octoginta hominum millia adducens, ita instructos atque exercitatos, ut nulli melius in omnibus Mithridatis copiis essent. Atque is statim in Bœotiam facta impressione regionem obtinebat, Syllam ad pugnam allicere quantumvis reclamante Archelao cupiens, rumoremque de priori pugna serens, haud sine proditione tam multa hominum millia periisse. (4) Sed Sylla celeriter reversus, Dorylao ostendit, Archelaum prudentem esse virum Romanæque virtutis peritissimum. Nam Dorylaus quum apud Tilphossium in Syllam incidisset atque paululum modo eum esset expertus, primus deinde eorum fuit, qui non pugna decernendum, sed tempore et impendiis ducendum bellum consulerent. (5) Addidit tamen Archelao aliquid animi loci apud Orchomenum natura, in quo castra fecerant, iis qui equitatu præstarent, ad decernendum aptissimus. (6) Quod enim Bœotii campi pulcherrimum est et amplissimum, ad Orchomeniorum urbem pertinet: iique soli campi arboribus vacui usque ad paludes extenduntur, in quas Melas absorbetur. Is fluvius infra urbem Orchomenum ortus, solusque omnium Græciæ amnium statim in ipsis fontibus largus atque navigabilis, sub solstitium æstivum Nili instar augetur, eademque quæ Nilus producit, nisi quod fructibus et incrementis carent. (7) Haud procul tamen excurrit, sed majori

λίμνας τυφλὰς καὶ ὑλώδεις ἀφανίζεται, μέρος δὲ οὐ πολὺ τῷ Κηφισῷ συμμίγνυται, περὶ ὃν μάλιστα τόπον ἡ λίμνη δοκεῖ τὸν αὐλητικὸν ἐκφέρειν κάλαμον.

XXI. Ἐπεὶ δὲ ἐγγὺς κατεστρατοπέδευσαν, ὁ μὲν Ἀρ- d χέλαος ἡσύχαζεν, ὁ δὲ Σύλλας ὥρυττε τάφρους ἑκατέρωθεν, ὅπως, εἰ δύναιτο, τῶν στερεῶν καὶ ἱππασίμων ἀποτεμόμενος τοὺς πολεμίους ὤσειεν εἰς τὰ ἕλη. (2) Τῶν δὲ οὐκ ἀνασχομένων, ἀλλ' ὡς ἀφείθησαν ὑπὸ τῶν στρατηγῶν, ἐντόνως καὶ ῥύδην ἐλαυνόντων, οὐ μόνον οἱ περὶ τὰ ἔργα τοῦ Σύλλα διεσκεδάσθησαν, ἀλλὰ καὶ τοῦ παρατεταγμένου συνεχύθη τὸ πλεῖστον φυγόντος. (3) Ἔνθα δὴ Σύλλας αὐτὸς ἀποπηδήσας τοῦ ἵππου καὶ σημεῖον ἀναρπάσας ὠθεῖτο διὰ τῶν φευγόντων εἰς τοὺς πολεμίους βοῶν· « Ἐμοὶ μὲν ἐνταῦθά που καλὸν, ὦ Ῥωμαῖοι, τελευτᾶν, ὑμεῖς δὲ τοῖς πυνθανομένοις, ποῦ e προδεδώκατε τὸν αὐτοκράτορα, μεμνημένοι φράζειν, ὡς ἐν Ὀρχομενῷ. » (4) Τούτους τε δὴ τὸ ῥηθὲν ἐπέστρεψε καὶ τῶν ἐπὶ τοῦ δεξιοῦ κέρως σπειρῶν δύο προσεβοήθησαν, ἃς ἐπαγαγὼν τρέπεται τοὺς πολεμίους. (5) Ἀναγαγὼν δὲ μικρὸν ὀπίσω καὶ δοὺς ἄριστον αὐτοῖς, αὖθις ἀπετάφρευε τὸν χάρακα τῶν πολεμίων. Οἱ δὲ αὖθις ἐν τάξει μᾶλλον ἢ πρότερον προσεφέροντο. (6) Καὶ Διογένης μὲν ὁ τῆς Ἀρχελάου γυναικὸς υἱὸς ἀριστεύων ἐπὶ τοῦ δεξιοῦ περιόπτως ἔπεσεν, οἱ δὲ τοξόται, τῶν Ῥωμαίων ἐκβιαζομένων, οὐκ ἔχοντες ἀναστροφὴν ἀθρόοις τοῖς ὁϊστοῖς ἐκ χειρὸς ὥσπερ ξίφεσι παίοντες ἀνέκοπτον αὐτοὺς, τέλος δὲ κατακλεισθέντες εἰς τὸν f χάρακα μοχθηρῶς ὑπὸ τραυμάτων καὶ φόνου διενυκτέρευσαν. (7) Ἡμέρας δὲ πάλιν τῷ χάρακι τοὺς στρατιώτας προσαγαγὼν ὁ Σύλλας ἀπετάφρευεν. Ἐξελθόντας δὲ τοὺς πολλοὺς ὡς ἐπὶ μάχην συμβαλὼν τρέπεται, καὶ πρὸς τὸν ἐκείνων φόβον οὐδενὸς μένοντος, 466 αἱρεῖ κατὰ κράτος τὸ στρατόπεδον. (8) Καὶ κατέπλη- a σαν ἀποθνήσκοντες αἵματος τὰ ἕλη καὶ νεκρῶν τὴν λίμνην, ὥστε μέχρι νῦν πολλὰ βαρβαρικὰ τόξα καὶ κράνη καὶ θωράκων σπάσματα σιδηρῶν καὶ μαχαίρας ἐμβεβαπτισμένας τοῖς τέλμασιν εὑρίσκεσθαι, σχεδὸν ἐτῶν διακοσίων ἀπὸ τῆς μάχης ἐκείνης διαγεγονότων. (9) Τὰ μὲν οὖν περὶ Χαιρώνειαν καὶ πρὸς Ὀρχομενῷ τοιαῦτα λέγεται γενέσθαι.

XXII. Κίννα δὲ καὶ Κάρβωνος ἐν Ῥώμῃ τοῖς ἐπιφανεστάτοις ἀνδράσι χρωμένων παρανόμως καὶ βιαίως πολλοὶ τὴν τυραννίδα φεύγοντες ὥσπερ εἰς λιμένα τοῦ Σύλλα τὸ στρατόπεδον κατεφέροντο καὶ περὶ αὐτὸν ὀλίγου χρόνου σχῆμα βουλῆς ἐγεγόνει. (2) Καὶ Με- b τέλλα μόλις διακλέψασα ἑαυτὴν καὶ τοὺς παῖδας ἦκεν ἀγγέλλουσα τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις ὑπὸ τῶν ἐχθρῶν ἐμπεπρῆσθαι καὶ δεομένη τοῖς οἴκοι βοηθεῖν. (3) Ἀπορουμένῳ δ' αὐτῷ καὶ μήτε τῆς πατρίδος ἀμελεῖν ὑπομένοντι κακουμένης μήτε, ὅπως ἄπεισιν ἀτελὲς λιπὼν τοσοῦτον ἔργον, τὸν Μιθριδατικὸν πόλεμον, ἐπινοοῦντι, παραγίνεται Δηλιακὸς ἔμπορος Ἀρχέλαος ἐλπίδας τινὰς καὶ λόγους κρύφα παρὰ τοῦ βασιλικοῦ κομίζων Ἀρχελάου. (4) Καὶ τὸ πρᾶγμα Σύλλας

parte statim in paludes cæcas et herbis tectas absorbetur : pars haud magna Cephiso miscetur, quo maxime loco palus fertur calamos fistulis aptos edere.

XXI. Prope jam collatis castris, Archelao nihil movente, Sylla actis utrimque fossis hostes locis solidis et equitatui commodis excludere inque loca palustria adigere conabatur. (2) Qui quum id permittere nollent emissique a ducibus magno cum impetu in Romanos irruerent, non modo ii qui in opere erant, dissipati sunt, sed et ordines aciei plerique disjecti fugam ceperunt. (3) Ibi Sylla equo desiliens, arrepto signo, per suos fugientes in hostem se proripuit, vociferans : Mihi quidem, Quirites, hic occumbere expedit : vos interrogati quo loco imperatorem vestrum prodideritis, apud Orchomenum memineritis respondere. (4) Inhibuit hoc dictum fugam et duæ a dextro cornu cohortes auxilio venerunt, quibus adductis hostem repulit. (5) Tum aliquantulum retro suos abducens prandiumque præbens, rursum fossa circumvenire castra hostium intendit. Rursum hostes meliori quam ante ordine impetum fecerunt. (6) Ibi Diogenes Archelai privignus in dextro cornu præclara edens virtutis opera cadit : sagittarii quum Romanorum vim non sustinerent, neque locus esset quo se reciperent, cominus eos frequentibus sagittis tanquam gladiis ferientes repulerunt : tandem in castra inclusi noctem ob vulnera et cædes difficilem exegerunt. (7) Facta die, rursus milites suos ad hostium castra adduxit Sylla et fossas egit : eosque multa manu ad pugnam exeuntes commisso prœlio fudit, quumque hi tantum reliquis terrorem incussissent, ut manere nemo auderet, castra cepit. (8) Sanguine et cadaveribus barbarorum qui tum cæsi sunt paludes lacusque repleti sunt, atque adeo hodie etiam, elapsis ab ea pugna annis prope ducentis, barbarici arcus, galeæ, thoracum ferreorum fragmenta et gladii lacubus immersi reperiuntur. (9) Hoc modo res apud Chæroneam et Orchomenum gesta fertur.

XXII. Cinna autem et Carbone Romæ præclarissimos viros vi et injuria afficientibus, multi tyrannidem fugientes in Syllæ castra tanquam portum aliquem confugiebant, ac brevi temporis spatio senatus quædam forma circa ipsum exstitit. (2) Metella etiam quum sese et liberos haud absque difficultate furtim subduxisset, venit marito annuntians domum ejus et villas ab inimicis incensas, oransque uti rebus domesticis subveniret. (3) Incerto tum animi Sylla, quum neque patriam afflictam destituere vellet, neque rationem inveniret discedendi tanto opere, bello Mithridatico, non confecto, Deliacus quidam mercator Archelaus ad eum venit, sermonibus quibusdam Archelai regii ducis renuntiatis in bonam spem eum deducens. (4) Id adeo gratum fuit

οὕτως ἠγάπησεν, ὥστε αὐτὸς εἰς λόγους σπεῦσαι τῷ Ἀρχελάῳ συνελθεῖν· καὶ ξυνῆλθον ἐπὶ θαλάττῃ περὶ Δήλιον, οὗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστιν. (5) Ἀρξαμένου δὲ τοῦ Ἀρχελάου διαλέγεσθαι καὶ τὸν Σύλλαν ἀξιοῦντος ἀφέντα τὴν Ἀσίαν καὶ τὸν Πόντον ἐπὶ τὸν ἐν Ῥώμῃ πόλεμον πλεῖν χρήματα λαβόντα καὶ τριήρεις καὶ δύναμιν ὅσην βούλοιτο παρὰ τοῦ βασιλέως, ὑπολαβὼν ὁ Σύλλας Μιθριδάτου μὲν ἀμελεῖν ἐκέλευεν, αὐτὸν δὲ βασιλεύειν ἀντ' ἐκείνου σύμμαχον Ῥωμαίων γενόμενον καὶ παραδόντα τὰς ναῦς. (6) Ἀφοσιουμένου δὲ τοῦ Ἀρχελάου τὴν προδοσίαν, « Εἶτα, ἔφη, σὺ μέν, ὦ Ἀρχέλαε, Καππαδόκης ὢν καὶ βαρβάρου βασιλέως δοῦλος, εἰ δὲ βούλει, φίλος, οὐχ ὑπομένεις ἐπὶ τηλικούτοις ἀγαθοῖς τὸ αἰσχρὸν, ἐμοὶ δὲ ἡγεμόνι Ῥωμαίων ὄντι καὶ Σύλλᾳ τολμᾷς διαλέγεσθαι περὶ προδοσίας, ὥσπερ οὐκ ἐκεῖνος ὢν Ἀρχέλαος, ὁ φυγὼν μὲν ἐκ Χαιρωνείας ὀλιγοστὸς ἀπὸ μυριάδων δυοκαίδεκα, κρυφθεὶς δὲ δύο ἡμέρας ἐν τοῖς Ὀρχομενίων ἕλεσιν, ἄβατον δὲ τὴν Βοιωτίαν ὑπὸ νεκρῶν πλήθους ἀπολελοιπώς; » (7) Ἐκ τούτου μεταβαλὼν ὁ Ἀρχέλαος καὶ προσκυνήσας ἐδεῖτο παύσασθαι τοῦ πολέμου καὶ διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην. (8) Δεξαμένου δὲ τοῦ Σύλλα τὴν πρόκλησιν ἐγένοντο συνθῆκαι, Μιθριδάτην μὲν Ἀσίαν ἀφεῖναι καὶ Παφλαγονίαν, ἐκστῆναι δὲ Βιθυνίας Νικομήδει, Καππαδοκίας Ἀριοβαρζάνῃ, καταβαλεῖν δὲ Ῥωμαίοις δισχίλια τάλαντα καὶ δοῦναι ναῦς ἑβδομήκοντα χαλκήρεις μετὰ τῆς οἰκείας παρασκευῆς, Σύλλαν δὲ ἐκείνῳ τήν τε ἄλλην ἀρχὴν βεβαιοῦν καὶ σύμμαχον Ῥωμαίων ψηφίζεσθαι.

XXIII. Τούτων δμολογηθέντων, ἀναστρέψας ἐβάδιζε διὰ Θετταλίας καὶ Μακεδονίας ἐπὶ τὸν Ἑλλήσποντον ἔχων μεθ' αὑτοῦ τὸν Ἀρχέλαον ἐν τιμῇ. Καὶ νοσήσαντος ἐπισφαλῶς περὶ Λάρισσαν, ἐπιστήσας τὴν πορείαν ὡς ἑνὸς τῶν ὑπ' αὐτὸν ἡγεμόνων καὶ συστρατήγων ἐπεμελήθη. (2) Ταῦτά τε δὴ διέβαλε τὸ περὶ Χαιρώνειαν ἔργον ὡς οὐχὶ καθαρῶς ἀγωνισθὲν καὶ ὅτι τοὺς ἄλλους Μιθριδάτῃ φίλους, οὓς εἶχεν αἰχμαλώτους, ἀποδιδοὺς ὁ Σύλλας Ἀριστίωνα μόνον τὸν τύραννον ἀνεῖλε διὰ φαρμάκων, Ἀρχελάῳ διάφορον ὄντα· μάλιστα δ' ἡ δοθεῖσα γῇ τῷ Καππαδόκῃ μυρίων πλέθρων ἐν Εὐβοίᾳ καὶ τὸ Ῥωμαίων φίλον αὐτὸν καὶ σύμμαχον ὑπὸ Σύλλα ἀναγραφῆναι. (3) Περὶ μὲν οὖν τούτων αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασιν ἀπολογεῖται. Τότε δὲ πρεσβευτῶν παρὰ τοῦ Μιθριδάτου παραγενομένων καὶ τὰ μὲν ἄλλα φασκόντων δέχεσθαι, Παφλαγονίαν δὲ ἀξιούντων μὴ ἀφαιρεθῆναι, τὰς δὲ ναῦς οὐδὲ ὅλως δμολογηθῆναι, χαλεπήνας ὁ Σύλλας, « Τί φατε; εἶπε, Μιθριδάτης Παφλαγονίας ἀντιποιεῖται καὶ περὶ τῶν νεῶν ἔξαρνός ἐστιν, ὃν ἐγὼ προσκυνήσειν ἐνόμιζον, εἰ τὴν δεξιὰν αὐτῷ καταλείποιμι χεῖρα, δι' ἧς τοσούτους Ῥωμαίων ἀνεῖλεν; ἑτέρας μέντοι τάχα φωνὰς ἀφήσει, διαβάντος εἰς Ἀσίαν ἐμοῦ· νῦν δὲ ἐν Περγάμῳ καθήμενος ὃν οὐχ ἑώρακε διαστρατηγείτω πόλεμον. » (4) Οἱ μὲν οὖν πρέσβεις φοβηθέντες ἡσύ-

Syllæ, ut nihil prius duxerit, quam cum ipso Archelao colloqui. Convenerunt apud Delium prope mare, ubi Apollinis fanum est. (5) Ibi quum Archelaus initio colloqui facto Syllam hortaretur, ut acceptis a rege pecuniis, triremibus et quantis vellet copiis ad bellum Romanum proficisceretur, Asia et Ponto omissis : Sylla excipiens sermonem, Archelaum Mithridate relicto ipsum illius loco regnum occupare, traditisque navibus socium Romanorum fieri jussit. (6) Abominante proditionem homine, Tu ergo, inquit, Cappadox quum sis, Archelae, et barbari regis servus, aut, si ita vis, amicus, rem turpem tanta proposita utilitate non admittis, me vero Romanum ducem, et quidem Syllam, audes de proditione appellare? quasi vero non iste sis Archelaus, qui cum perpaucis ex centum viginti millibus tuorum superstitibus a Chæronea fugit, biduum in lacubus apud Orchomenum delituit, Bœotiam propter cadaverum multitudinem inviam effecit. (7) Mutato inde consilio Archelaus Syllæ supplicavit oravitque ut bellum desineret et cum Mithridate pacta jungeret. (8) Idque Sylla his conditionibus annuit, si Mithridates, Asia et Paphlagonia missis factis, Nicomedi Bithyniam, Cappadociam Ariobarzani concederet, bis mille talenta Romanis numeraret, septuaginta naves æratas cum instrumento daret; Sylla autem reliqua ipsi regna stabiliret ac socium populi Romani nuncuparet.

XXIII. His ita conventis, Sylla per Thessaliam et Macedoniam ad Hellespontum perrexit una cum Archelao : quem et in honore habuit et periculoso morbo correptum apud Larissam, itinere interrupto perinde atque suorum aliquem collegarum aut ducum curavit. (2) Quum hoc criminationi occasionem dedit, apud Chæroneam mala fide pugnatum fuisse : tum quod reliquos Mithridatis amicos, quos captivos habebat, reddens, solum Aristionem tyrannum veneno sustulit, Archelai inimicum : maxime autem, quod Archelao in Eubœa decem millia jugerum agri dedit, eumque populi Romani amicum et socium pronuntiavit. (3) Verum hæc ipse in commentariis Sylla refellit. Quum legati a Mithridate eodem pervenissent, qui Mithridatem probare ceteras conditiones referebant, Paphlagoniam tamen ne eriperet ei orabant, de navibus quoque convenisse negabant : stomachatus Sylla, Quid narratis? inquit; Mithridates de Paphlagonia contendit et naves tradere recusat, quem ego flexis genibus acturum gratias censebam, si dextram ipsi manum non amputassem qua tot Romanos necavit? næ is mox alias voces emittet, ubi in Asiam ego trajecero; nunc Pergami sedens de bello non viso quantum libet deliberet. (4) His territi legati obticuerunt. Archelaus autem

χαζον, ὁ δὲ Ἀρχέλαος ἐδεῖτο τοῦ Σύλλα καὶ κατεπράϋνε τὴν ὀργὴν, ἁπτόμενος τῆς δεξιᾶς αὐτοῦ καὶ δακρύων. Τέλος δ' ἔπεισεν ἀποσταλῆναι αὐτὸς πρὸς τὸν Μιθριδάτην· διαπράξεσθαι γὰρ ἐφ' οἷς βούλεται τὴν εἰρήνην, εἰ δὲ μὴ πείθοι, κτενεῖν αὐτὸς αὐτόν. (5) Ἐπὶ τούτοις ἐκπέμψας ἐκεῖνον, αὐτὸς εἰς τὴν Μαιδικὴν ἐνέβαλε καὶ τὰ πολλὰ διαπορθήσας πάλιν ἀνέστρεψεν εἰς Μακεδονίαν καὶ τὸν Ἀρχέλαον ἐδέξατο περὶ Φιλίππους ἀγγέλλοντα καλῶς ἔχειν πάντα· δεῖσθαι δὲ πάντως αὐτῷ τὸν Μιθριδάτην εἰς λόγους ἐλθεῖν. (6) Αἴτιος δ' ἦν μάλιστα Φιμβρίας, ὃς τὸν ἀπὸ τῆς ἑτέρας στάσεως ἄρχοντα Φλάκκον ἀνελὼν καὶ τῶν Μιθριδατικῶν στρατηγῶν κρατήσας ἐπ' αὐτὸν ἐκεῖνον ἐβάδιζε. Ταῦτα γὰρ δείσας ὁ Μιθριδάτης μᾶλλον εἵλετο τῷ Σύλλᾳ φίλος γενέσθαι.

XXIV. Συνῆλθον οὖν τῆς Τρωάδος ἐν Δαρδάνῳ, Μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσίας ἐνήρεις καὶ τῆς πεζῆς δυνάμεως ὁπλίτας μὲν δισμυρίους, ἱππεῖς δὲ ἑξακισχιλίους καὶ συχνὰ τῶν δρεπανηφόρων, Σύλλας δὲ τέσσαρας σπείρας καὶ διακοσίους ἱππεῖς. (2) Ἀπαντήσαντος δὲ τοῦ Μιθριδάτου καὶ τὴν δεξιὰν προτείναντος, ἠρώτησεν αὐτὸν, εἰ καταλύσεται τὸν πόλεμον ἐφ' οἷς ὡμολόγησεν Ἀρχέλαος· σιωπῶντος δὲ τοῦ βασιλέως, ὁ Σύλλας, « Ἀλλὰ μὴν, ἔφη, τῶν δεομένων ἐστὶ τὸ προτέρους λέγειν, τοῖς δὲ νικῶσιν ἐξαρκεῖ τὸ σιωπᾶν. » (3) Ἐπεὶ δὲ ἀρξάμενος τῆς ἀπολογίας ὁ Μιθριδάτης ἐπειρᾶτο τοῦ πολέμου τὰ μὲν εἰς δαίμονας τρέπειν, τὰ δὲ αὐτοὺς αἰτιᾶσθαι τοὺς Ῥωμαίους, ὑπολαβὼν ὁ Σύλλας ἔφη πάλαι μὲν ἑτέρων ἀκούειν, νῦν δ' αὐτὸς ἐγνωκέναι τὸν Μιθριδάτην δεινότατον ὄντα ῥητορεύειν, ὃς ἐπὶ πράξεσιν οὕτω πονηραῖς καὶ παρανόμοις λόγων ἐχόντων εὐπρέπειαν οὐκ ἠπόρηκεν. (4) Ἐξελέγξας δὲ τὰ πεπραγμένα πικρῶς ὑπ' αὐτοῦ καὶ κατηγορήσας πάλιν ἠρώτησεν, εἰ ποιεῖ τὰ συγκείμενα δι' Ἀρχελάου. Φήσαντος δὲ ποιεῖν, οὕτως ἠσπάσατο καὶ περιλαβὼν ἐφίλησεν αὐτὸν, Ἀριοβαρζάνην δὲ αὖθις καὶ Νικομήδην τοὺς βασιλεῖς προσαγαγὼν διήλλαξεν. (5) Ὁ μὲν οὖν Μιθριδάτης ἑβδομήκοντα ναῦς παραδοὺς καὶ τοξότας πεντακοσίους εἰς Πόντον ἀπέπλευσεν, ὁ δὲ Σύλλας αἰσθόμενος ἀχθομένους τοὺς στρατιώτας τῇ διαλύσει (τὸν γὰρ ἔχθιστον τῶν βασιλέων καὶ δεκαπέντε μυριάδας ἡμέρᾳ μιᾷ τῶν ἐν Ἀσίᾳ Ῥωμαίων κατασφαγῆναι παρασκευάσαντα δεινὸν ἡγοῦντο μετὰ πλούτου καὶ λαφύρων ὁρᾶν ἐκπλέοντα τῆς Ἀσίας, ἣν ἔτη τέσσαρα λεηλατῶν καὶ φορολογῶν διετέλεσεν) ἀπελογεῖτο πρὸς αὐτοὺς, ὡς οὐκ ἂν ἅμα Φιμβρίᾳ καὶ Μιθριδάτῃ πολεμεῖν, εἰ συνέστησαν ἀμφότεροι κατ' αὐτοῦ, δυνηθείς.

XXV. Ὁρμήσας δὲ ἐκεῖθεν ἐπὶ Φιμβρίαν πρὸς Θυατείροις στρατοπεδεύοντα καὶ πλησίον καταζεύξας τάφρον τῷ στρατοπέδῳ περιέβαλεν. (2) Οἱ δὲ τοῦ Φιμβρίου στρατιῶται μονοχίτωνες ἐκ τοῦ στρατοπέδου προϊόντες ἠσπάζοντο τοὺς ἐκείνου καὶ συνελάμβανον αὐτοῖς τῶν ἔργων προθύμως. (3) Ὁρῶν δὲ ὁ Φιμβρίας τὴν μεταβολὴν καὶ τὸν Σύλλαν ὡς ἀδιάλλακτον δεδοικὼς, αὐτὸς

Syllæ manum prensans atque lacrimans et flagitans iram leniit, tandemque persuasit ut ad Mithridatem ipse mitteretur : se enim ex sententia Syllæ pacem compositurum, ac nisi id obtinuisset, sua se manu eum occisurum. (5) Ita misso Archelao Sylla in Mædicam irrupit, populatusque magnam regionis ejus partem, in Macedoniam rediit. Apud Philippos Archelaus eum convenit, omnia recte habere nuntians : cupere autem omnino Mithridatem cum ipso colloqui. (6) In causa potissimum fuit Fimbria, qui diversæ factionis duce Flacco interfecto, ipsum Mithridatem victis ejus ducibus petebat : hunc rex metuens, maluit cum Sylla amicitiam jungere.

XXIV. Convenerunt Dardani in Troade : Mithridates cum navibus remis instructis ducentis terrestribusque copiis, nempe viginti millibus gravis armaturæ militum et equitum sex millibus, multisque falcatis curribus; Sylla cum quattuor cohortibus et ducentis equitibus. (2) Obviam procedentem Mithridatem et dextram protendentem Sylla interrogavit, pacemne iis quibus receperat Archelaus conditionibus acciperet : et tacente rege, Atqui, inquit, eorum qui petunt est, ut priores verba faciant, victori satis est tacuisse. (3) Ut vero rex orsus sui purgationem belli partem diis, partem ipsis Romanis imputare conatus est, ita ei subjecit Sylla : Equidem et audivi ex multis et nunc ipse experior, summa te vi dicendi præstare, quum honestis in speciem sermonibus pro factis pessimis et injustissimis non destituare. (4) Facta proinde ejus crudelia demonstrans atque culpans, rursus interrogavit si ea, quæ cum Archelao convenissent, facere vellet : quum is annuisset, ita demum salutavit, amplexusque osculum junxit, Ariobarzanem inde et Nicomedem reges adduxit et cum eo conciliavit. (5) Ita Mithridates traditis septuaginta navibus et quingentis sagittariis, in Pontum navigavit; Sylla autem militibus suis pacificationem eam ægre ferentibus (quippe infensissimum regem et qui centum quinquaginta Romanorum millia per Asiam uno die ut jugularentur effecerat, indignum putabant videre cum spoliis et opibus ex Asia navigantem, quam continuos quattuor annos rapinis et exactionibus vexaverat) ita se purgavit, ut diceret non potuisse se cum Fimbria simul et Mithridate, si hi copias adversus ipsum conjunxissent, bellum gerere.

XXV. Inde versus Fimbriam duxit castra apud Thyatira habentem, et jacto prope eum vallo, castris fossam circumduxit. (2) At Fimbriani milites solis tunicis induti ex castris progressi Syllanos consalutaverunt, et in opere faciendo strenue eos adjuverunt. (3) Fimbria defectionem suorum cernens Syllæque iram implacabilem veritus, ipse sibi in castris mortem conscivit. Sylla totam Asiam viginti milli-

ἑαυτὸν ἐν τῷ στρατοπέδῳ διέφθειρε, Σύλλας δὲ κοινῇ μὲν ἐζημίωσε τὴν Ἀσίαν δισμυρίοις ταλάντοις, ἰδίᾳ
468δὲ τοὺς οἴκους ἐξέτριψεν ὕβρει καὶ πολιορκίᾳ τῶν ἐπι- a
σταθμευόντων. (4) Ἐτέτακτο γὰρ ἑκάστης ἡμέρας τῷ
καταλύτῃ τὸν ξένον διδόναι τέσσαρα τετράδραχμα καὶ παρέχειν δεῖπνον αὐτῷ καὶ φίλοις, ὅσους ἂν ἐθέλῃ καλεῖν, ταξίαρχον δὲ πεντήκοντα δραχμὰς λαμβάνειν τῆς ἡμέρας, ἐσθῆτα δὲ ἄλλην μὲν οἰκουρῶν, ἄλλην δὲ εἰς ἀγορὰν προερχόμενος.

XXVI. Ἀναχθεὶς δὲ πάσαις ταῖς νυυσὶν ἐξ Ἐφέσου τριταῖος ἐν Πειραιεῖ καθωρμίσθη· καὶ μυηθεὶς ἐξεῖλεν ἑαυτῷ τὴν Ἀπελλίκωνος τοῦ Τηίου βιβλιοθήκην, ἐν ᾗ τὰ πλεῖστα τῶν Ἀριστοτέλους καὶ Θεοφράστου βιβλίων ἦν, οὔπω τότε σαφῶς γνωριζόμενα τοῖς πολλοῖς. (2) Λέγεται δὲ, κομισθείσης αὐτῆς εἰς Ῥώμην, Τυραννίωνα b
τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλὰ καὶ παρ' αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον εὐπορήσαντα τῶν ἀντιγράφων εἰς μέσον θεῖναι καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. (3) Οἱ δὲ πρεσβύτεροι Περιπατητικοὶ φαίνονται μὲν καθ' ἑαυτοὺς γενόμενοι χαρίεντες καὶ φιλολόγοι, τῶν δὲ Ἀριστοτέλους καὶ Θεοφράστου γραμμάτων οὔτε πολλοῖς οὔτ' ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸν Νηλέως τοῦ Σκηψίου κληρονόμον, ᾧ τὰ βιβλία κατέλιπε Θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους παραγενομένοις. (4) Σύλλα δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας c
ἐνέπεσεν, ὅ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. (5) Διαπλεύσας οὖν εἰς Αἴδηψον ἐχρῆτο τοῖς θερμοῖς ὕδασι ῥᾳθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. (6) Περιπατοῦντος δὲ πρὸς τὴν θάλατταν ἁλιεῖς τινες ἰχθῦς αὐτῷ παγκάλους προσήνεγκαν. Ἡσθεὶς δὲ τοῖς δώροις καὶ πυθόμενος, ὡς ἐξ Ἁλαιῶν εἶεν, « Ἔτι γὰρ ζῇ τις Ἁλαίων; » ἔφη· ἐτύγχανε γὰρ, ὅτε τὴν πρὸς Ὀρχομενῷ μάχην νενικηκὼς ἐδίωκε τοὺς πολεμίους, ἅμα τρεῖς πόλεις τῆς Βοιωτίας, Ἀνθηδόνα, Λάρυμναν, Ἁλαίας ἀνῃρηκώς. (7) Τῶν δ' ἀνθρώπων ὑπὸ δέους ἀφώνων γενομένων, διαμειδιάσας ἐκέλευσεν ἀπεῖναι χαίροντας ὡς οὐ μετὰ φαύλων οὐδ' ἀξίων ὀλιγωρίας ἥκοντας παραιτητῶν. Ἁλαῖοι μὲν ἐκ τούτου λέγουσι θαῤῥήσαντες αὖθις εἰς τὴν πόλιν συνελθεῖν.

XXVII. Σύλλας δὲ διὰ Θετταλίας καὶ Μακεδονίας καταβὰς ἐπὶ θάλατταν παρεσκευάζετο χιλίαις ναυσὶ καὶ διακοσίαις ἀπὸ Δυῤῥαχίου διαβάλλειν εἰς Βρεντέσιον. (2) Ἡ δ' Ἀπολλωνία πλησίον ἐστὶ καὶ πρὸς αὐτῇ τὸ Νύμφαιον, ἱερὸς τόπος ἐκ χλοερᾶς νάπης καὶ λειμώνων ἀναδιδοὺς πυρὸς πηγὰς σποράδας ἐνδελεχῶς ῥέοντος. (3) Ἐνταῦθά φασι κοιμώμενον ἁλῶναι σάτυρον, οἷον οἱ πλάσται καὶ γραφεῖς εἰκάζουσιν, ἀχθέντα δὲ ὡς Σύλλαν ἐρωτᾶσθαι δι' ἑρμηνέων πολλῶν, ὅστις εἴη· φθεγξα- e
μένου δὲ μόλις οὐδὲν συνετῶς, ἀλλὰ τραχεῖάν τινα καὶ μάλιστα μεμιγμένην ἵππου τε χρεμετισμῷ καὶ τράγου βηκασμῷ φωνὴν ἀφέντος, ἐκπλαγέντα τὸν Σύλλαν ἀποδιοπομπήσασθαι. (4) Μέλλοντος δὲ τοὺς στρατιώτας διαπεραιοῦν καὶ δεδιότος, μὴ τῆς Ἰταλίας ἐπι-

bus talentorum mulctavit : privatim autem luxu atque vexatione eorum quos in stativis posuerat domos exhausit. (4) Cogebatur enim hospes ei quem excipiebat hospitio quotidie sedecim denarios pendere, eidemque et amicis quotquot is vocasset, cœnam præbere : centurio in diem quinquagenos accipiebat denarios, et aliam vestem qua domi, aliam qua in publicum progrediens uteretur.

XXVI. Omnibus post hæc navibus solvit ab Epheso, tertioque die in Piræeum appulit. Ibi sacris initiatus, Apellicónis Teii bibliothecam sibi exemit, in qua plerique Aristotelis et Theophrasti habebantur libri, nondum plane vulgo cogniti. (2) Fertur, ea bibliotheca Romam perlata, Tyrannionem grammaticum plerosque libros inter manus habuisse : ab eo adeptum exemplaria Andronicum Rhodium in medium protulisse, atque edidisse eos, qui hodie circumferuntur, indices. (3) Et quidem apparet superioris ætatis Peripateticos ipsos elegantis ingenii variæque eruditionis fuisse, Aristotelis autem libros et Theophrasti neque multos neque accurate legisse, quod hi a Nelei Scepsii, cui libros Theophrastus reliquerat, hærede ad rudes et sordidos homines pervenissent. (4) Porro Syllæ Athenis commoranti dolor cum torpore et gravitate pedes invasit, quem Strabo podagræ balbutiem vocat. (5) Itaque trajecit Ædepsum, ibique thermis usus est, otio indulgens et inter histriones agens. (6) Quum ad mare aliquando deambularet, piscatores quidam perpulchros ad eum pisces attulerunt : delectatus eo munere, quum Halæenses esse qui obtulissent audiret, Vivitne, inquit, ergo adhuc hodie quisquam Halæensium? Quo enim tempore potitus apud Orchomenum victoria hostes insequebatur, tres simul Bœotiæ urbes exciderat, Anthedonem, Larymnam et Halæas. (7) Quum præ metu obmutuissent illi, subridens, abire eos et bono animo esse jussit : venisse enim ad se non cum levibus aut contemnendis deprecatoribus. Ea primum voce confirmati Halæenses feruntur rursus in patriam suam convenisse.

XXVII. Hinc per Thessaliam et Macedoniam ad mare profectus Sylla statuit a Dyrrhachio mille et quingentis navibus Brundusium trajicere. (2) Prope est Apollonia et apud eam Nymphæum locus sacer, qui ex viridi herba et pratis fontes ignis perennis sparsim emittit. (3) Ibi ferunt dormientem Satyrum, ea forma qua fingi et pingi eos videmus, captum et ad Syllam adductum fuisse : hunc interrogatum per multos interpretes quisnam esset, ægre vocem edidisse, non quæ intelligi posset, sed asperam quandam ac mixtam equino ex hinnitu et hirci balatu : eaque territum Syllam, abominatum a se dimisisse. (4) Transfretaturus autem quum metueret ne milites Italia apprehensa se-

λαβόμενοι κατὰ πόλεις ἕκαστοι διαῤῥυῶσι, πρῶτον μὲν ὤμοσαν ἀφ' αὑτῶν παραμενεῖν καὶ μηδὲν ἑκουσίως κακουργήσειν τὴν Ἰταλίαν, ἔπειτα χρημάτων δεόμενον πολλῶν δρῶντες ἀπήρχοντο καὶ συνεισέφερον ὡς ἕκαστος εἶχεν εὐπορίας. (5) Οὐ μὴν ἐδέξατο τὴν ἀπαρχὴν ὁ Σύλλας, ἀλλ' ἐπαινέσας καὶ παρορμήσας διέβαινεν, ὥς φησιν αὐτὸς, ἐπὶ πεντεκαίδεκα στρατηγοὺς πολεμίους πεντήκοντα καὶ τετρακοσίας σπείρας ἔχοντας, ἐκδηλότατα τοῦ θεοῦ τὰς εὐτυχίας προσημαίνοντος αὐτῷ. (6) Θύσαντος μὲν γὰρ εὐθέως ἦ διέβη περὶ Τάραντα δάφνης στεφάνου τύπον ἔχων ὁ λοβὸς ὤφθη καὶ λημνίσκων δύο κατηρτημένων. (7) Μικρὸν δὲ πρὸ τῆς διαβάσεως ἐν Καμπανίᾳ περὶ τὸ Ἤφαιον ὄρος ἡμέρας ὤφθησαν δύο τράγοι μεγάλοι συμφερόμενοι καὶ πάντα δρῶντες καὶ πάσχοντες, ἃ συμβαίνει μαχομένοις ἀνθρώποις. (8) Ἦν δ' ἄρα φάσμα· καὶ κατὰ μικρὸν αἰρόμενον ἀπὸ γῆς διεσπείρετο πολλαχοῦ τοῦ ἀέρος εἰδώλοις ἀμαυροῖς ὅμοιον, εἶτα οὕτως ἠφανίσθη. (9) Καὶ μετ' οὐ πολὺν χρόνον ἐν τῷ τόπῳ τούτῳ Μαρίου τοῦ νέου καὶ Νορβανοῦ τοῦ ὑπάτου μεγάλας δυνάμεις ἐπαγαγόντων, ὁ Σύλλας οὔτε τάξιν ἀποδοὺς οὔτε λοχίσας τὸ οἰκεῖον στράτευμα, ῥώμῃ δὲ προθυμίας κοινῆς καὶ φορᾷ τόλμης ἀποχρησάμενος ἐτρέψατο τοὺς πολεμίους καὶ κατέκλεισεν εἰς Καπύην πόλιν τὸν Νορβανὸν ἑπτακισχιλίους ἀποκτείνας. (10) Τοῦτο αἴτιον αὐτῷ γενέσθαι φησὶ τοῦ μὴ διαλυθῆναι τοὺς στρατιώτας κατὰ πόλεις, ἀλλὰ συμμεῖναι καὶ καταφρονῆσαι τῶν ἐναντίων πολλαπλασίων ὄντων. (11) Ἐν δὲ Σιλβίῳ φησὶν οἰκέτην Ποντίου θεοφόρητον ἐντυχεῖν αὐτῷ λέγοντα παρὰ τῆς Ἐνυοῦς κράτος πολέμου καὶ νίκην ἀπαγγέλλειν, εἰ δὲ μὴ σπεύσειεν, ἐμπεπρῆσθαι τὸ Καπιτώλιον, ὃ καὶ συμβῆναι τῆς ἡμέρας ἐκείνης, ἧς ὁ ἄνθρωπος προηγόρευσεν· ἦν δὲ αὕτη πρὸ μιᾶς νόνων Κυντιλίων, ἃς νῦν Ἰουλίας καλοῦμεν. (12) Ἔτι δὲ Μάρκος Λεύκολλος, εἷς τῶν ὑπὸ Σύλλᾳ στρατηγούντων, περὶ Φιδεντίαν ἑκκαίδεκα σπείρας πρὸς πεντήκοντα τῶν πολεμίων ἀντιταχθεὶς τῇ μὲν προθυμίᾳ τῶν στρατιωτῶν ἐπίστευεν, ἀνόπλους δὲ τοὺς πολλοὺς ἔχων ὤκνει. (13) Βουλευομένου δὲ αὐτοῦ καὶ διαμέλλοντος, ἀπὸ τοῦ πλησίον πεδίου λειμῶνα ἔχοντος αὔρα φέρουσα μαλακὴ πολλὰ τῶν ἀνθέων ἐπέβαλε τῇ στρατιᾷ καὶ κατέσπειρεν αὐτομάτως ἐπιμένοντα καὶ περιπίπτοντα τοῖς θυρεοῖς καὶ τοῖς κράνεσιν αὐτῶν, ὥστε φαίνεσθαι τοῖς πολεμίοις ἐστεφανωμένους. (14) Γενόμενοι δὲ ὑπὸ τούτου προθυμότεροι συνέβαλον καὶ νικήσαντες ὀκτακισχιλίους ἐπὶ μυρίοις ἀπέκτειναν καὶ τὸ στρατόπεδον εἷλον. (15) Οὗτος ὁ Λεύκολλος ἀδελφὸς ἦν Λευκόλλου τοῦ Μιθριδάτην ὕστερον καὶ Τιγράνην καταπολεμήσαντος.

XXVIII. Ὁ δὲ Σύλλας ἔτι πολλοῖς στρατοπέδοις καὶ μεγάλαις δυνάμεσι περικεχυμένους αὐτῷ τοὺς πολεμίους ὁρῶν πανταχόθεν ἥπτετο δυνάμει καὶ δι' ἀπάτης προκαλούμενος εἰς διαλύσεις τὸν ἕτερον τῶν ὑπάτων Σκηπίωνα. (2) Δεξαμένου δ' ἐκείνου, σύλλογοι μὲν ἐγίνοντο καὶ κοινολογίαι πλείονες, ἀεὶ δέ τινα παραγωγὴν καὶ πρόφασιν ἐμβάλλων ὁ Σύλλας διέφθειρε τοὺς περὶ Σκη-

cundum oppida ab ipso dilaberentur, primum ipsi ultro juraverunt, mansuros se cum Sylla, neque sua sponte ullo Italiam maleficio affecturos: deinde magna pecuniæ vi indigere imperatorem cernentes, ex suis pecuniis pro facultatibus quisque suis symbolas contulerunt. (5) Non accepit eas primitias Sylla, sed collaudavit milites cohortatusque eos ut ex re videbatur, transmisit, ut ipse narrat, contra quindecim hostiles duces cum quinquaginta et quingentis cohortibus. Successum evidentissime dii præmonstrarunt. (6) Statim enim atque in Italiam pervenerat, apud Tarentum sacrificanti, fibra jecinoris laureæ coronæ duorumque dependentium lemniscorum imaginem habere conspecta est. (7) Et paulo ante, quum in Italiam transmisit, in Campania apud Hephæstum montem interdiu duo magni hirci decertare visi sunt, atque omnino pugnantium hominum gestus exprimere. (8) Fuit autem phasma, et paulatim a terra elatum, sparsim per aerem dissipatum abiit obscuris simile imaginibus, atque ita evanuit. (9) Neque multo post iisdem in locis Mario juniore et Norbano consule magnas contra Syllam copias adducentibus, Sylla neque acie instructa, neque ordinibus exercitus sui constitutis, robore tantum communis universorum alacritatis audaciæque impetu usus, hostem fudit, septemque hominum millibus cæsis, Norbanum Capuam compulit atque inclusit. (10) Hac victoria testatur ipse effectum fuisse ne milites sui per oppida se dividerent, sed conjuncti hostes, quorum vix aliquanta parte numerum æquabant, contemnerent. (11) Atque idem Silvii ait ad se venisse Pontii servum divino furore concitum, dixisseque eum, a Bellona ipsi vim et victoriam belli denuntiari, sed, nisi maturaverit, Capitolium statim incensum fore; id quod ea, quam dixerat, die accidit; nimirum pridie Nonas Quintiles, quas nunc Julias vocamus. (12) M. etiam Lucullus, unus ex legatis Syllæ, quum apud Fidentiam cohortes sedecim quinquaginta hostilibus oppositas haberet, militum quidem animis fidebat, sed quum multi inermes essent, cunctabatur. (13) Dum animi dubius hæret, aura mollis a prato in propinqua sito planitie multos flores adveheus in exercitum dejecit, qui illapsi scutis et galeis fortuito inhæserunt, ita ut hostibus coronati viderentur. (14) Inde aucta fiducia prœlium conseruerunt, hostiumque octodecim millibus cæsis, castra etiam ceperunt. (15) Is Lucullus frater fuit ejus Luculli, qui Mithridatem postea et Tigranem debellavit.

XXVIII. Ceterum Sylla multos sibi adhuc et magnos hostium undique circumfusos exercitus videns, fortiter sibi agendum per astum quoque ratus, alterum consulum Scipionem ad pacificationem invitavit. (2) Neque id abnuit ille. Quum essent aliquot colloquia habita, semper aliquas procrastinandi occasiones inveniens et prætextum Sylla interim suorum militum, qui ducis exemplo ad omnem frau-

πίωνα τοῖς ἑαυτοῦ στρατιώταις ἡσκημένοις πρὸς ἀπάτην καὶ γοητείαν ἅπασαν, ὥσπερ αὐτὸς ὁ ἡγεμών. (3) Εἰσ- e
ιόντες γὰρ εἰς τὸν χάρακα τῶν πολεμίων καὶ ἀναμι-
γνύμενοι τοὺς μὲν εὐθὺς ἀργυρίῳ, τοὺς δὲ ὑποσχέσεσι,
5 τοὺς δὲ κολακεύοντες καὶ ἀναπείθοντες προσήγοντο. (4)
Τέλος δὲ τοῦ Σύλλα μετὰ σπειρῶν εἴκοσι προσελθόντος
ἐγγὺς, οἱ μὲν ἠσπάσαντο τοὺς τοῦ Σκηπίωνος, οἱ δὲ ἀν-
τασπασάμενοι προσεχώρησαν· ὁ δὲ Σκηπίων ἔρημος ἐν
τῇ σκηνῇ ληφθεὶς ἠφείθη, Σύλλας δὲ ταῖς εἴκοσι σπεί-
10 ραις ὥσπερ ἠθάσιν ὄρνισι τεσσαράκοντα τὰς τῶν πολε-
μίων παλεύσας ἀπήγαγεν εἰς τὸ στρατόπεδον ἅπαντας.
(5) Ὅτε καὶ Κάρβωνά φασιν εἰπεῖν, ὡς ἀλώπεκι καὶ
λέοντι πολεμῶν ἐν τῇ Σύλλα ψυχῇ κατοικοῦσιν ὑπὸ τῆς f
ἀλώπεκος ἀνιῷτο μᾶλλον. (6) Ἐκ τούτου περὶ Σίγνιον
15 Μάριος ὀγδοήκοντα καὶ πέντε σπείρας ἔχων προὐκαλεῖτο
Σύλλαν. Ὁ δὲ καὶ πάνυ πρόθυμος ἦν διαγωνίσασθαι
κατ' ἐκείνην τὴν ἡμέραν· ἐτύγχανε γὰρ ὄψιν ἑωρακὼς
τοιάνδε κατὰ τοὺς ὕπνους. Ἐδόκει τὸν γέροντα Μά-
ριον τεθνηκότα πάλαι τῷ παιδὶ Μαρίῳ παραινεῖν φυλά-
20 ξασθαι τὴν ἐπιοῦσαν ἡμέραν ὡς μεγάλην αὐτῷ δυστυχίαν
φέρουσαν. (7) Διὰ τοῦτο μὲν δὴ πρόθυμος ὁ Σύλλας
470ἦν μάχεσθαι καὶ μετεπέμπετο τὸν Δολοβέλλαν ἄπωθεν a
στρατοπεδεύοντα. Τῶν δὲ πολεμίων ἐφισταμένων ταῖς
ὁδοῖς καὶ ἀποφραττόντων, οἱ τοῦ Σύλλα προσμαχόμενοι
25 καὶ ὁδοποιοῦντες ἔκαμνον· καὶ πολὺς ὄμβρος ἅμα τοῖς
ἔργοις ἐπιγενόμενος μᾶλλον ἐκάκωσεν αὐτούς. (8)
Ὅθεν οἱ ταξίαρχοι προσιόντες τῷ Σύλλᾳ ἐδέοντο τὴν
μάχην ἀναβαλέσθαι, δεικνύντες ἅμα τοὺς στρατιώτας
ἐῤῥιμμένους ὑπὸ κόπου καὶ προσαναπαυομένους χαμᾶζε
30 τοῖς θυρεοῖς κεκλιμένοις. (9) Ἐπεὶ δὲ συνεχώρησεν
ἄκων καὶ πρόσταγμα καταζεύξεως ἔδωκεν, ἀρχομένων
αὐτῶν τὸν χάρακα βάλλειν καὶ τάφρον ὀρύσσειν πρὸ
τῆς στρατοπεδείας, ἐπήλαυνε σοβαρῶς ὁ Μάριος προϊπ- b
πεύων ὡς ἀτάκτους καὶ τεθορυβημένους διασκεδάσων.
35 (10) Ἐνταῦθα τῷ Σύλλᾳ τὴν κατὰ τοὺς ὕπνους φωνὴν
ὁ δαίμων συνετέλει. Ὀργὴ γὰρ αὐτοῦ τοῖς στρατιώταις
παρέστη καὶ παυσάμενοι τῶν ἔργων τοὺς μὲν ὑσσοὺς
κατέπηξαν ἐπὶ τῇ τάφρῳ, σπασάμενοι δὲ τὰ ξίφη καὶ
συναλαλάξαντες ἐν χερσὶν ἦσαν τῶν πολεμίων. (11)
40 Οἱ δὲ οὐ πολὺν ὑπέστησαν χρόνον, ἀλλὰ γίνεται πολὺς
φόνος αὐτῶν τραπέντων. Μάριος δὲ φεύγων εἰς Πραι-
νεστὸν ἤδη τὰς πύλας εὗρε κεκλεισμένας· καλωδίου δὲ
ἄνωθεν ἀφεθέντος ἐνζώσας ἑαυτὸν ἀνελήφθη πρὸς τὸ
τεῖχος. (12) Ἔνιοι δέ φασιν, ὧν καὶ Φενεστέλλας ἐστὶν,
45 οὐδὲ αἰσθέσθαι τῆς μάχης τὸν Μάριον, ἀλλ' ἐξ ἀγρυπνιῶν c
καὶ κόπων ὑπὸ σκιᾷ τινι χαμαὶ κατακλινέντα τοῦ συν-
θήματος δοθέντος ἐνδοῦναι πρὸς ὕπνον, εἶτα μόλις ἐξε-
γείρεσθαι τῆς φυγῆς γενομένης. (13) Ἐν ταύτῃ τῇ μάχῃ
Σύλλας φησὶν εἰκοσιτρεῖς μόνους ἀποβαλεῖν, ἀποκτεῖναι
50 δὲ τῶν πολεμίων δισμυρίους καὶ λαβεῖν ζῶντας ὀκτα-
κισχιλίους. (14) Καὶ τἆλλα δὲ ὁμοίως εὐτυχεῖτο διὰ
τῶν στρατηγῶν, Πομπηίου, Κράσσου, Μετέλλου, Σερ-
ουιλίου. Οὐδὲν γὰρ ἦ μικρὰ προσκρούσαντες οὗτοι
μεγάλας συνέτριψαν δυνάμεις τῶν πολεμίων, ὥστε τὸν

dem et imposturam erant exercitati, opera Scipionis exercitum corrupit. (3) Ingressi enim hostium castra et conversati, alios statim argento, alios promissionibus, quosdam adulando et suadendo Syllæ conciliarunt. (4) Tandem quum Sylla cum viginti cohortibus ad castra accessisset, milites Scipionis eum salutarunt, seque ei conjunxerunt. Scipio solus in tentorio deprehensus et dimissus est. Ita Sylla viginti suis cohortibus tanquam ad alliciendum assuefactis aviculis, quadraginta hostiles aucupatus, universos in castra abduxit. (5) Quum quidem Carbo etiam dixisse fertur: sibi adversus leonem et vulpem in animo Syllæ habitantes certanti plus a vulpe molestiæ quam a leone exhiberi. (6) Secundum hæc apud Signium Marius octoginta quinque cohortibus stipatus Syllam ad prœlium provocavit; neque vero quicquam hic quam eo die pugna decernere malebat. Viderat enim per insomnium Marium patrem dudum mortuum filio mandare ut in sequentem diem caveret, quippe magnam ipsi calamitatem afferentem. (7) Ob hoc Sylla pugnæ cupidus, Dolobellam castra alio loco habentem ad se vocabat. Ceterum hostibus itinera obsidentibus et viam obstruentibus, Syllani pugna viam faciendo fatigabantur, simulque cum labore ingens imber effusus incommodum augebat. (8) Quare centuriones ad Syllam accedentes, orabant ut prœlium differret: ostendentes simul milites præ defatigatione prostratos, humique inclinatis scutis quietis captandæ causa jacentes. (9) Ut invitus quamlibet Sylla concessit castraque locare jussit: jam vallum jacere et fossam ducere militibus incipientibus, Marius citato equo primus omnium advehitur, ferox quasi turbatos incompositosque Syllanos dissipaturus. (10) Sed eo tempore quod in somnis Syllæ divinitus erat prædictum, factum est. Syllani enim milites ira correpti, missis operibus defixisque apud fossam pilis, gladiis strictis clamoreque militari sublato cum hostibus manum conseruerunt. (11) Neque hi impetum eorum diu sustinuerunt, sed effuse fugientes magna sunt affecti clade. Marius quum Præneste fuga pervenisset, portas jam clausas offendit; et demisso per murum fune sese cingens, ita in urbem assumptus est. (12) Quidam atque inter hos Fenestella, ne sensisse quidem eam pugnam Marium aiunt, sed ut erat vigiliis et laboribus defessus, dato signo humi in umbra se reclinasse et somno dedisse, ac vix fuga facta demum evigilasse. (13) Eo prœlio hostium viginti millibus cæsis, octo millibus captis, se non nisi viginti tres suorum desiderasse scribit Sylla. (14) Eademque etiam legati ejus Pompeius, Crassus, Metellus ac Servilius usi sunt fortuna: qui aut nulla, aut levia passi incommoda, magnas hostium copias deleve-

μάλιστα τὴν ἐναντίαν στάσιν συνέχοντα Κάρβωνα νύκτωρ ἀποδράντα τὴν ἑαυτοῦ στρατιὰν εἰς Λιβύην d ἐκπλεῦσαι.

XXIX. Τὸν μέντοι τελευταῖον ἀγῶνα καθάπερ ἔφεδρος ἀθλητὴς καταπόνῳ προσενεχθεὶς ὁ Σαυνίτης Τελεσῖνος ἐγγὺς ἦλθε τοῦ σφῆλαι καὶ καταβαλεῖν ἐπὶ θύραις τῆς Ῥώμης. (2) Ἔσπευδε μὲν γὰρ ἅμα Λαμπωνίῳ τῷ Λευκανῷ χεῖρα πολλὴν ἀθροίσας ἐπὶ Πραινεστὸν ὡς ἐξαρπασόμενος τῆς πολιορκίας τὸν Μάριον· ἐπεὶ δὲ ἤσθετο Σύλλαν μὲν κατὰ στόμα, Πομπήιον δὲ κατ' οὐρὰν βοηδρομοῦντας ἐπ' αὐτὸν, εἰργόμενος τοῦ πρόσω καὶ ὀπίσω πολεμιστὴς ἀνὴρ καὶ μεγάλων ἀγώνων ἔμπειρος ἅρας νυκτὸς ἐπ' αὐτὴν ἐχώρει παντὶ τῷ στρατοπέδῳ τὴν Ῥώμην. (3) Καὶ μικροῦ μὲν ἐδέησεν ἐμπεσεῖν εἰς ἀφύλακτον· ἀποσχὼν δὲ τῆς Κολλίνης πύλης δέκα σταδίους ἐπηυλίσατο τῇ πόλει μεγαλοφρονῶν καὶ ταῖς ἐλπίσιν ἐπηρμένος ὡς τοσούτους ἡγεμόνας καὶ τηλικούτους κατεστρατηγηκώς. (4) Ἅμα δ' ἡμέρᾳ τῶν λαμπροτάτων νέων ἐξιππασαμένων ἐπ' αὐτὸν ἄλλους τε πολλοὺς καὶ Κλαύδιον Ἄππιον, εὐγενῆ καὶ ἀγαθὸν ἄνδρα, κατέβαλε. (5) Θορύβου δὲ, οἷον εἰκὸς, ὄντος ἐν τῇ πόλει καὶ βοῆς γυναικείας καὶ διαδρομῶν ὡς ἁλισκομένων κατὰ κράτος, πρῶτος ὤφθη Βάλβος ἀπὸ Σύλλα προσελαύνων ἀνὰ κράτος ἱππεῦσιν ἑπτακοσίοις. Διαλιπὼν δὲ ὅσον ἀναψύξαι τὸν ἱδρῶτα τῶν ἵππων, εἶτ' αὖθις ἐγχαλινώσας διὰ ταχέων ἐξήπτετο τῶν πολεμίων. (6) Ἐν τούτῳ δὲ καὶ Σύλλας ἐφαίνετο καὶ τοὺς πρώτους εὐθὺς ἀριστᾶν κελεύων εἰς τάξιν καθίστη. (7) Πολλὰ δὲ Δολοβέλλα καὶ Τουρκουάτου δεομένων ἐπισχεῖν καὶ μὴ κατακόπους ἔχοντα τοὺς ἄνδρας ἀποκινδυνεῦσαι περὶ τῶν ἐσχάτων (οὐ γὰρ Κάρβωνα καὶ Μάριον, ἀλλὰ Σαυνίτας καὶ 471 Λευκανοὺς, τὰ ἔχθιστα τῇ Ῥώμῃ καὶ τὰ πολεμικώτατα φῦλα, συμφέρεσθαι), παρωσάμενος αὐτοὺς ἐκέλευσε σημαίνειν τὰς σάλπιγγας ἀρχὴν ἐφόδου, σχεδὸν εἰς ὥραν δεκάτην ἤδη τῆς ἡμέρας καταστρεφούσης. (8) Γενομένου δὲ ἀγῶνος, οἷος οὐχ ἕτερος, τὸ μὲν δεξιὸν, ἐν ᾧ Κράσσος ἐτέτακτο, λαμπρῶς ἐνίκα, τῷ δὲ εὐωνύμῳ πονοῦντι καὶ κακῶς ἔχοντι Σύλλας παρεβοήθει λευκὸν ἵππον ἔχων θυμοειδῆ καὶ ποδωκέστατον· ἀφ' οὗ γνωρίσαντες αὐτὸν δύο τῶν πολεμίων διετείνοντο τὰς λόγχας ὡς ἀφήσοντες. (9) Αὐτὸς μὲν οὖν οὐ προενόησε, τοῦ δ' ἱπποκόμου μαστίξαντος τὸν ἵππον ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον περὶ τὴν οὐρὰν τοῦ ἵππου τὰς αἰχμὰς συμπεσούσας εἰς τὴν γῆν παγῆναι. (10) Λέγεται δὲ ἔχων τι χρυσοῦν Ἀπόλλωνος ἀγαλμάτιον ἐκ Δελφῶν ἀεὶ μὲν αὐτὸ κατὰ τὰς μάχας περιφέρειν ἐν τῷ κόλπῳ, ἀλλὰ καὶ τότε τοῦτο καταφιλεῖν οὕτω δὴ λέγων· « Ὦ Πύθιε Ἄπολλον, τὸν εὐτυχῆ Σύλλαν Κορνήλιον ἐν τοσούτοις ἀγῶσιν ἅρας λαμπρὸν καὶ μέγαν ἐνταῦθα ῥίψεις ἐπὶ θύραις τῆς πατρίδος ἀγαγών, αἴσχιστα τοῖς ἑαυτοῦ συναπολούμενον πολίταις; » (11) Τοιαῦτά φασι τὸν Σύλλαν θεοκλυτοῦντα τοὺς μὲν ἀντιβολεῖν, τοῖς δὲ ἀπειλεῖν, τῶν δὲ ἐπιλαμβάνεσθαι· τέλος δὲ τοῦ εὐωνύμου συντριβέντος ἀναμιχθέντα τοῖς φεύγουσιν εἰς τὸ στρατόπεδον κατα- c

runt, adeo ut Carbo, qui maxime unus contrariam factionem continebat, noctu a suis castris profugerit, Africamque mari petierit.

XXIX. Extremo certamine Telesinus Samnis, ut athletæ fesso instans tertiarius, Syllam adortus, parum abfuit quin sterneret ante ipsas jam Romæ portas. (2) Is Telesinus cum Lamponio Lucano magna manu conducta, Prænestе contendit, ut obsidioni Marium eriperet: mox intellecto contra se Syllam a fronte, Pompeium a tergo venire, progressu simul et egressu prohibitus, ut erat homo bellicosus et magnorum certaminum peritus, noctu motis castris cum universo exercitu Romam petiit. (3) Haud procul abfuit quin in urbem custodiæ vacuam irrupisset: castris prope Collinam portam a stadiis decem positis, stationem ante urbem habuit, elatus animo atque spe plenus, quod tantos totque duces arte bellica circumvenisset. (4) Ineunte die quum nobilissimi juvenes equites ab urbe contra ipsum venissent, quum alios, tum Appium Claudium, nobilem bonumque virum, dejecit. (5) Orto inde, ut par erat, tumultu Romæ clamoreque muliebri et discursu veluti capta jam urbe, primus a Sylla veniens Balbus visus est, equites septingentos citato cursu adducens; isque tantum moræ interponens, dum a sudore equi refrigerarentur, mox iterum frenatos propere in hostem admisit. (6) Interim et Sylla advenit, jussisque primis prandere, statim exinde ordines instruxit. (7) Dolobellam et Torquatum multa orantes ut inhiberet exercitum, neque defatigatis militibus de summa rerum decertaret (non enim cum Carbone aut Mario, sed Samnitibus et Lucanis, infensissimis Romæ hostibus, rem esse), aversatus, classicum canere jussit, jam sub decimam horam die inclinante. (8) Haud ullum eo acrius fuit certamen. Dextrum cornu, quod a Crasso ducebatur, quum egregie vinceret, lævo laboranti et male habenti Sylla auxilium tulit, albo equo celerrimo et feroci vectus. In eum hinc agnitum duo hostium milites hastas ad emittendum intenderunt. (9) Quod quum ipse non præsensisset; equisone equum flagello incitante, tantum evasit, ut cuspides apud caudam equi una collapsæ in terram defigerentur. (10) Ferunt eum Apollinis imaguncu-lam auream Delphis allatam semper in prœliis solitum in sinu circumferre: tunc etiam exosculatum esse, ita locutum: Itane, Apollo Pythie, Cornelium Syllam Felicem quum in tot prœliis extuleris illustrem, nunc ad portas patriæ adductum projicies, turpissime cum suis perditum civibus? (11) Ita deos comprecatum, suorum alios obtestatum, aliis minatum, quosdam inhibuisse dicunt: attrito ad extremum sinistro cornu, fugientibus permistum in castra eva-

φυγεῖν πολλοὺς ἀποβαλόντα τῶν ἑταίρων καὶ γνωρίμων. (12) Οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐκ τῆς πόλεως ἐπὶ θέαν προελθόντες ἀπώλοντο καὶ κατεπατήθησαν, ὥστε τὴν μὲν πόλιν οἴεσθαι διαπεπρᾶχθαι, παρ' ὀλίγον δὲ καὶ τὴν Μαρίου πολιορκίαν λυθῆναι, πολλῶν ἐκ τῆς τροπῆς ὠσαμένων ἐκεῖ καὶ τὸν ἐπὶ τῇ πολιορκίᾳ τεταγμένον Ὀφέλλαν Λουκρήτιον ἀναζευγνύναι κατὰ τάχος κελευόντων, ὡς ἀπολωλότος τοῦ Σύλλα καὶ τῆς Ῥώμης ἐχομένης ὑπὸ τῶν πολεμίων.

XXX. Ἤδη δὲ νυκτὸς οὔσης βαθείας ἦκον εἰς τὸ τοῦ Σύλλα στρατόπεδον παρὰ τοῦ Κράσσου δεῖπνον αὐτῷ καὶ τοῖς στρατιώταις μετιόντες· ὡς γὰρ ἐνίκησε τοὺς πολεμίους, εἰς Ἀντεμναν καταδιώξαντες ἐκεῖ κατεστρατοπέδευσαν. (2) Ταῦτ' οὖν πυθόμενος ὁ Σύλλας, καὶ ὅτι τῶν πολεμίων οἱ πλεῖστοι διολώλασιν, ἦκεν εἰς Ἀντεμναν ἅμ' ἡμέρᾳ καὶ τρισχιλίων ἐπικηρυκευσαμένων πρὸς αὐτὸν ὑπέσχετο δώσειν τὴν ἀσφάλειαν, εἰ κακόν τι τοὺς ἄλλους ἐργασάμενοι πολεμίους ἔλθοιεν πρὸς αὐτόν. Οἱ δὲ πιστεύσαντες ἐπέθεντο τοῖς λοιποῖς καὶ πολλοὶ κατεκόπησαν ὑπ' ἀλλήλων. (3) Οὐ μὴν ἀλλὰ καὶ τούτους καὶ τῶν ἄλλων τοὺς περιγενομένους εἰς ἑξακισχιλίους ἀθροίσας παρὰ τὸν ἱππόδρομον ἐκάλει τὴν σύγκλητον εἰς τὸ τῆς Ἐνυοῦς ἱερόν· ἅμα δ' αὐτός τε λέγειν ἐνήρχετο καὶ κατέκοπτον οἱ τεταγμένοι τοὺς ἑξακισχιλίους. (4) Κραυγῆς δὲ, ὡς εἰκὸς, ἐν χωρίῳ μικρῷ τοσούτων σφαττομένων φερομένης καὶ τῶν συγκλητικῶν ἐκπλαγέντων, ὥσπερ ἐτύγχανε λέγων ἀτρέπτῳ καὶ καθεστηκότι τῷ προσώπῳ προσέχειν ἐκέλευσεν αὐτοὺς τῷ λόγῳ, τὰ δ' ἔξω γινόμενα μὴ πολυπραγμονεῖν· νουθετεῖσθαι γὰρ αὐτοῦ κελεύσαντος ἐνίους τῶν πονηρῶν. (5) Τοῦτο καὶ τῷ βραδυτάτῳ Ῥωμαίων νοῆσαι παρέστησεν, ὡς ἀλλαγὴ τὸ χρῆμα τυραννίδος, οὐκ ἀπαλλαγὴ γέγονε. (6) Μάριος μὲν οὖν ἀπ' ἀρχῆς χαλεπὸς ὢν ἐπέτεινεν, οὐ μετέβαλε τῇ ἐξουσίᾳ τὴν φύσιν· Σύλλας δὲ μετρίως τὰ πρῶτα καὶ πολιτικῶς ὁμιλήσας τῇ τύχῃ καὶ δόξαν ἀριστοκρατικοῦ καὶ δημωφελοῦς ἡγεμόνος παρασχὼν, ἔτι δὲ καὶ φιλόγελως ἐκ νέου γενόμενος καὶ πρὸς οἶκτον ὑγρὸς, ὥστε ῥᾳδίως ἐπιδακρύειν, εἰκότως προσετρίψατο ταῖς μεγάλαις ἐξουσίαις διαβολὴν, ὡς τὰ ἤθη μένειν οὐκ ἐώσαις ἐπὶ τῶν ἐξ ἀρχῆς τρόπων, ἀλλ' ἔμπληκτα καὶ χαῦνα καὶ ἀπάνθρωπα ποιούσαις. (7) Τοῦτο μὲν οὖν εἴτε κίνησίς ἐστι καὶ μεταβολὴ φύσεως ὑπὸ τύχης, εἴτε μᾶλλον ὑποκειμένης ἀποκάλυψις ἐν ἐξουσίᾳ κακίας, ἑτέρα τις ἂν διορίσειε πραγματεία.

XXXI. Τοῦ δὲ Σύλλα πρὸς τὸ σφάττειν τραπομένου καὶ φόνων οὔτε ἀριθμὸν οὔτε ὅρον ἐχόντων ἐμπιπλάντος τὴν πόλιν, ἀναιρουμένων πολλῶν καὶ κατ' ἰδίας ἔχθρας, οἷς οὐδὲν ἦν πρᾶγμα πρὸς Σύλλαν, ἐφιέντος αὐτοῦ καὶ χαριζομένου τοῖς περὶ αὐτὸν, ἐτόλμησε τῶν νέων εἷς, Γάϊος Μέτελλος, ἐν τῇ συγκλήτῳ τοῦ Σύλλα πυθέσθαι, τί πέρας ἔσται τῶν κακῶν, καὶ ποῖ προελθόντος αὐτοῦ δεῖ πεπαῦσθαι τὰ γινόμενα προσδοκᾶν. « Παραιτούμεθα γὰρ, εἶπεν, οὐχ οὓς σὺ ἔγνωκας

sisse, amissis sociorum suorum atque familiarium multis. (12) Non pauci etiam eorum, qui ex urbe spectatum processerant, cæsi aut obtriti sunt : omninoque tum actum de urbe videbatur, et parum abfuit quin Marius etiam obsidione liberaretur. Etenim multi ex fuga Prænestе perlati Lucretium Ofellam obsidioni præfectum hortabantur, ut statim castra moveret, Sylla scilicet jam sublato et Roma ab hostibus occupata.

XXX. Jam multa nocte in castra Syllæ quidam a Crasso missi venerunt, cœnam ipsi suisque petentes : hi victos hostes Antemnas usque insecuti, ibi castra fecerant. (2) Hoc et periisse majorem hostium partem audito, Sylla mane Antemnas pervenit : atque tribus hostium millibus per legatos veniam ab eo petentibus, impunitatem ea conditione promisit, si imposito prius reliquis hostibus damno, ita ad se venirent. Atque hi fidem promissis habentes, reliquos adorti multique tum hostium mutuis cædibus absumpti sunt. (3) At vero Sylla et his, et qui ex reliquis superstites erant, circiter sex hominum millia, apud Circum congregatis, senatum in ædem Bellonæ vocavit : simulque et ipse dicere orsus est et quibus mandatum erat sex millia ista trucidaverunt. (4) Sublato, ut erat consentaneum tanta multitudine in angusto loco cæsa, clamore, ac perterritis senatoribus, ipse, ut tum verba faciebat, constanti et nihil mutato vultu, animum eos orationi suæ adhibere jussit, neque curare quid foris fieret : quosdam enim modo malos homines suo jussu castigari. (5) Non erat quisquam Romanorum adeo stupidus, ut non ex ea re intelligeret, translatam esse, non sublatam tyrannidem. (6) Sane Marius quum esset jam inde ab initio sævus, intendit, non mutavit potentia animi naturam. At Sylla quum mediocriter primum et civiliter fortunam tulisset opinionemque de sese ducis optimatum partibus faventis, populique utilitatem spectantis excitasset, ad hæc a puero et ad risum pronus et ad misericordiam mobilis fuisset, ut facile illacrimaret : magnis scilicet potentiis intulit criminationem, quod hominum ingenia non paterentur in prioribus perseverare moribus, sed vecordiam inferrent et vastitatem et feritatem. (7) Quod ipsum motusne sit et mutatio naturæ a fortuna proveniens, an vero latentis alicujus vitii per licentiam revelatio, alio loco disputandum est.

XXXI. Quum cædibus edendis Sylla sese dedisset, eæque neque numero jam neque termino contentæ urbem implerent, multorum ipso, quibus nihil secum fuisset rei, privatorum odiorum causa necis potestatem amicis suis donante : quidam ex junioribus, C. Metellus, in senatu Syllam percontari ausus est : ecquis tandem esset finis malorum futurus, ac quonam usque ipso progresso sperandum esset fore ut a cædibus desisteretur. Non enim hoc jam a Sylla peti, ut quos neci destinasset, iis parceret, sed dubita-

ἀναιρεῖν τῆς τιμωρίας, ἀλλὰ τῆς ἀμφιβολίας οὓς ἔγνωκας σώζειν. » (2) Ἀποκριναμένου δὲ τοῦ Σύλλα μηδέπω b
γινώσκειν οὓς ἀφίησιν, ὑπολαβὼν ὁ Μέτελλος, « Οὐκοῦν, ἔφη, δήλωσον οὓς μέλλεις κολάζειν. » Καὶ ὁ Σύλλας ἔφη τοῦτο ποιήσειν. (3) Ἔνιοι δὲ οὐ τὸν Μέτελλον, ἀλλὰ Φουφίδιόν τινα τῶν πρὸς χάριν ὁμιλούντων τῷ Σύλλᾳ τὸ τελευταῖον εἰπεῖν λέγουσιν. (4) Ὁ δ' οὖν Σύλλας εὐθὺς ὀγδοήκοντα προέγραψεν οὐδενὶ τῶν ἐν τέλει κοινωσάμενος. Ἀγανακτούντων δὲ πάντων, μίαν ἡμέραν διαλιπὼν ἄλλους προέγραψεν εἴκοσι καὶ διακοσίους, εἶτα τρίτῃ πάλιν οὐκ ἐλάττους. (5) Ἐπὶ δὲ τούτοις δημηγορῶν εἶπεν ὅσους μεμνημένος τυγχάνει προγράφειν, τοὺς δὲ νῦν διαλανθάνοντας αὖθις προγράψειν. (6) Προέγραψε δὲ τῷ μὲν ὑποδεξαμένῳ καὶ διασώσαντι τὸν προγεγραμμένον ζημίαν τῆς φιλανθρωπίας ὁρίζων θάνατον, οὐκ ἀδελφὸν, οὐχ υἱὸν, οὐ γονεῖς ὑπεξελόμενος· τῷ δὲ ἀποκτείναντι γέρας δύο τάλαντα τῆς ἀνδροφονίας, κἂν δοῦλος δεσπότην κἂν πατέρα υἱὸς ἀνέλῃ. (7) Ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε, τῶν γὰρ προγεγραμμένων ἠτίμωσε καὶ υἱοὺς καὶ υἱωνοὺς καὶ τὰ χρήματα πάντων ἐδήμευσε. (8) Προεγράφοντο δὲ οὐκ ἐν Ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ πόλει τῆς Ἰταλίας· καὶ φονευομένων οὔτε ναὸς ἦν καθαρὸς θεοῦ οὔτε ἑστία ξένιος οὔτε οἶκος πατρῷος, ἀλλὰ καὶ παρὰ γυναιξὶ γαμεταῖς ἄνδρες ἐσφάττοντο καὶ παρὰ μητράσι παῖδες. (9) Ἦσαν δὲ οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων, ἀλλὰ καὶ λέγειν ἐπῄει τοῖς κολάζουσιν, ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη, τόνδε δὲ κῆπος, ἄλλον ὕδατα θερμά. (10) Κόϊντος δὲ Αὐρήλιος, ἀνὴρ ἀπράγμων καὶ τοσοῦτον αὐτῷ μετεῖναι τῶν κακῶν νομίζων, ὅσον ἄλλοις συναλγεῖν ἀτυχοῦσιν, εἰς ἀγορὰν ἐλθὼν ἀνεγίνωσκε τοὺς προγεγραμμένους· εὑρὼν δὲ ἑαυτὸν, « Οἴμοι τάλας, εἶπε, διώκει με τὸ ἐν Ἀλβανῷ χωρίον. » Καὶ βραχὺ προελθὼν ὑπό τινος ἀπεσφάγη καταδιώξαντος.

XXXII. Ἐν τούτῳ δὲ Μάριος μὲν ἁλισκόμενος ἑαυτὸν διέφθειρε, Σύλλας δὲ εἰς Πραινεστὸν ἐλθὼν πρῶτα μὲν ἰδίᾳ κατ' ἄνδρα κρίνων ἐκόλαζεν, εἶτα ὡς οὐ σχολῆς οὔσης πάντας ἁθρόως εἰς ταὐτὸ συναγαγών, μυρίους καὶ δισχιλίους ὄντας, ἐκέλευσεν ἀποσφάττειν μόνῳ τῷ ξένῳ διδοὺς ἄδειαν. (2) Ὁ δὲ εὐγενῶς πάνυ φήσας πρὸς αὐτὸν, ὡς οὐδέποτε σωτηρίας χάριν εἴσεται τῷ φονεῖ τῆς πατρίδος, ἀναμιχθεὶς ἐκὼν συγκατεκόπη τοῖς πολίταις. (3) Ἔδοξε δὲ καινότατον γενέσθαι τὸ περὶ Λεύκιον Κατιλίναν. Οὗτος γὰρ οὔπω τῶν πραγμάτων κεκριμένων ἀνῃρηκὼς ἀδελφὸν ἐδεήθη τοῦ Σύλλα τότε προγράψαι τὸν ἄνθρωπον ὡς ζῶντα· καὶ προεγράφη. (4) Τούτου δὲ τῷ Σύλλα χάριν ἐκτίνων Μάρκον τινὰ Μάριον τῶν ἐκ τῆς ἐναντίας στάσεως ἀποκτείνας, τὴν μὲν κεφαλὴν ἐν ἀγορᾷ καθεζομένῳ τῷ Σύλλᾳ προσήνεγκε, τῷ δὲ περιῤῥαντηρίῳ τοῦ Ἀπόλλωνος ἐγγὺς ὄντι προσελθὼν ἀπενίψατο τὰς χεῖρας.

473 XXXIII. Ἔξω δὲ τῶν φονικῶν καὶ τὰ λοιπὰ τοὺς a
ἀνθρώπους ἐλύπει. Δικτάτωρα μὲν γὰρ ἑαυτὸν ἀνη-

tionem tolleret eorum, quos superstites esse vellet. (2) Respondenti tum Syllæ, nondum sibi constare, quibus parcendum ducat, ita subjecit : Ergo quos statueris occidere, indica; idque se facturum Sylla recepit. (3) Quidam posterius hoc dictum non Metello, sed Fufidio, uni ex Syllæ asseclis, tribuunt. (4) Enimvero Sylla continuo, re cum nullo ex magistratibus communicata, octoginta viros proscripsit. Indigne omnibus hoc ferentibus, uno die interjecto alios ducentos et viginti proscripsit, tertio die rursus totidem. (5) Ac de his proscriptionibus in concione dixit : eos modo a se proscriptos, quorum recordari potuisset; reliquos qui nunc memoria excidissent, proscripturum deinceps. (6) Qui proscriptum excepisset atque servasset, ei humanitatis præmium supplicium capitis statuit, non fratre, non filio, non parentibus exceptis : præmium occisori duo talenta, etiam si dominum servus, aut patrem filius jugulasset. (7) Id omnium injustissimum videtur, quod proscriptorum filios et nepotes honoribus exclusit et bona publicavit. (8) Neque Romæ solum, sed per omnes Italiæ urbes proscriptio vagata est. Non ædes deorum, non hospitales penates, non paternæ domus a cædibus puræ fuerunt; quin et coram uxoribus mariti et coram matribus filii jugulabantur. (9) Jam qui propter iram aut inimicitias necabantur, vix minimam partem eorum æquabant, qui propter opes occiderentur : quippe ipsis percussoribus subibat dicere : ædes splendidas jugulasse hunc, illum hortos, alium thermas. (10) Et Q. Aurelius, vir otio totus deditus, qui non alia ratione ad se ista mala pertinere existimabat, quam ut aliorum calamitates miseraretur, in forum progressus tabulam proscriptionis legit; in qua quum suum quoque nomen reperisset : Eheu, inquit, me miserum, prædium in Albano meum me persequitur. Et paululum inde progressus, ab insequente quodam est trucidatus.

XXXII. Interim Marius quum in eo esset ut caperetur, sibi mortem conscivit. Proinde Sylla Præneste profectus, primum viritim causis cognitis plectebat oppidanos : post tanquam otium non esset, in unum omnes conductos duodecim hominum millia necari jussit, soli hospiti impunitate concessa. (2) Verum is generose admodum Syllæ quum respondisset : numquam se patriæ interfectori gratias ob salutem oblatam acturum, sponte sua civibus suis se permiscuit, cumque iis est interfectus. (3) Nihil magis insolens fuit, quam L. Catilinæ facinus. Is quum rebus adhuc incertis fratrem occidisset, tum demum a Sylla impetravit ut eum tanquam vivum proscriberet. (4) Cujus rei causa Syllæ gratiam referens, M. quendam Marium, contrariæ factionis hominem, jugulavit, caputque ejus ad Syllam in foro sedentem attulit, aggressusque ad Apollinis quod proxime erat vas lustrale manus abluit.

XXXIII. Præter has cædes fuerunt et alia quæ populum lædebant. Dictatorem enim se ipsum Sylla constituit, ab

γόρευσε δι' ἐτῶν ἑκατὸν εἴκοσι τοῦτο τὸ γένος τῆς ἀρχῆς ἀναλαβών. (2) Ἐψηφίσθη δὲ αὐτῷ πάντων ἄδεια τῶν γεγονότων, πρὸς δὲ τὸ μέλλον ἐξουσία θανάτου, δημεύσεως, κληρουχιῶν, κτίσεως, πορθήσεως, ἀφελέσθαι βασιλείαν, ᾧ βούλοιτο χαρίσασθαι. (3) Τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι, καὶ γυναιξὶν εὐμόρφοις καὶ λυρῳδοῖς καὶ μίμοις καὶ καθάρμασιν ἐξελευθερικοῖς ἐθνῶν χώρας καὶ πόλεων χαριζομένου προσόδους, ἐνίοις δὲ γάμους ἀκουσίως ζευγνυμένων γυναικῶν. (4) Πομπήιόν γέ τοι βουλόμενος οἰκειώσασθαι τὸν Μάγνον ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν, Αἰμιλίαν δὲ, Σκαύρου θυγατέρα καὶ Μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας Μανίου Γλαβρίωνος ἐγκύμονα συνῴκισεν αὐτῷ· ἀπέθανε δὲ ἡ κόρη παρὰ τῷ Πομπηίῳ τίκτουσα. (5) Λουκρητίου δὲ Ὀφέλλα τοῦ Μάριον ἐκπολιορκήσαντος αἰτουμένου καὶ μετιόντος ὑπατείαν, πρῶτον μὲν ἐκώλυεν· ὡς δὲ ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων ἀπέσφαξε τὸν ἄνδρα καθεζόμενος αὐτὸς ἐπὶ βήματος ἐν τῷ Διοσκουρείῳ καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. (6) Τῶν δ' ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων καὶ προσαγαγόντων τῷ βήματι σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας αὐτὸς ἔφη κελεῦσαι τοῦτο καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν.

XXXIV. Ὁ μέντοι θρίαμβος αὐτοῦ τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σοβαρὸς γενόμενος μείζονα κόσμον ἔσχε καὶ καλὸν θέαμα τοὺς φυγάδας. (2) Οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐστεφανωμένοι παρείποντο σωτῆρα καὶ πατέρα τὸν Σύλλαν ἀποκαλοῦντες, ἅτε δὴ δι' ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. (3) Ἤδη δὲ συνῃρημένων ἁπάντων ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας ἢ τὰς ἀνδραγαθίας κατηριθμεῖτο καὶ πέρας ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις Εὐτυχῆ προσαγορεύεσθαι· τοῦτο γὰρ ὁ Φῆλιξ βούλεται μάλιστα δηλοῦν· αὐτὸς δὲ τοῖς Ἕλλησι γράφων καὶ χρηματίζων ἑαυτὸν Ἐπαφρόδιτον ἀνηγόρευε. (4) Καὶ παρ' ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται· ΛΕΥΚΙΟΣ ΚΟΡΝΗΛΙΟΣ ΣΥΛΛΑΣ ΕΠΑΦΡΟΔΙΤΟΣ. (5) Ἔτι δὲ τῆς Μετέλλης παιδία τεκούσης δίδυμα, τὸ μὲν ἄῤῥεν Φαῦστον, τὸ δὲ θῆλυ Φαῦσταν ὠνόμασε· τὸ γὰρ εὐτυχὲς καὶ ἵλαρὸν Ῥωμαῖοι φαῦστον καλοῦσιν. (6) Οὕτω δὲ ἄρα οὐ ταῖς πράξεσιν ὡς τοῖς εὐτυχήμασιν ἐπίστευεν, ὥστε, παμπόλλων μὲν ἀνῃρημένων ὑπ' αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχὴν καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον, αὐτὸς δὲ μὴ προσελθεῖν, ἀλλ' ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον ὥσπερ ἰδιώτης ἀναστρέφεσθαι. (7) Καί τις παρὰ γνώμην αὐτοῦ θρασὺς ἀνὴρ καὶ πολέμιος ἐπίδο-

annis centum viginti id genus magistratus reducens. (2) Decretum ei est, ut quidquid hactenus fecisset, id impune fecisset : in posterum data potestas necis, publicationis, agri dividendi, condendi et evertendi urbes, regna quibus vellet adimendi aut donandi. (3) Publicata bona adeo superbe ac tyrannice divendebat pro tribunali sedens, ut largiendo quam adimendo fuerit molestior : quippe mulieribus formosis, citharœdis, mimis, perditissimisque libertis populorum agros et urbium reditus dabat : quibusdam etiam invitas mulieres nuptum dabat. (4) Pompeium Magnum ut sibi necessitate devinciret, dimittere uxorem suam jussit : et Æmiliam, Scauri et Metellæ, quæ Syllæ uxor erat, filiam, prægnantem tum M'. Glabrioni ademit Pompeioque conjunxit. Ea in partu apud Pompeium obiit. (5) Lucretium Ofellam, eum qui Marium obsidione ceperat, consulatum petentem primo prohibuit : deinde quum is multorum favore fretus in forum veniret, misso centurione interfici jussit, ipse pro tribunali ad Castoris sedens et de sublimi eædem spectans. (6) Quum ab iis qui aderant captus centurio ad ipsum adduceretur, silentio tumultuantibus indicto, suo jussu illum cæsum dixit, missumque fieri centurionem jussit.

XXXIV. Triumphus ejus quum magnifico sumptu et raro aspectu regiorum spoliorum esset splendidus, plus tamen dignitatis habuit et pulchrius spectaculum præbuit propter exules. (2) Nobilissimi enim et potentissimi civium sertis redimiti currum sequebantur, servatorem et parentem Syllam vocantes, quippe cujus opera in patriam redirent uxoresque et liberos reciperent. (3) Omnibus celerrime confectis, rerum gestarum rationes in foro edens, haud minori diligentia fortunæ quam virtutis opera recensuit et ad extremum ob tam prosperos eventus Felicem se cognominari jussit. Græcis scribens aut responsa dans, Epaphroditum se (i. e. *Veneri carum et quasi Venustum*) appellavit. (4) Estque ita in tropæis ejus scriptum apud nos : L. Cornelius Sylla Epaphroditus. (5) Et quum Metella gemellos peperisset, masculo Faustum, femellæ Faustam nomen fecit. (6) In tantum autem felicitati potius quam actionibus confisus est, ut quum et permultos necasset et tam multas magnasque in urbem mutationes intulisset, tamen dictatura se abdicaverit, populoque comitiorum consularium concessa potestate, ipse non accesserit, sed in foro tanquam privatus obambularit, ut qui vellet in jus trahere ipsum posset. (7) Et quidem M. Lepidus, ferox homo et Syllæ inimicus, videbatur haud dubie contra vo-

ξος ἦν ὕπατος αἱρεθήσεσθαι, Μάρκος Λέπιδος, οὐ δι' ἑαυτὸν, ἀλλὰ Πομπηίῳ σπουδάζοντι καὶ δεομένῳ τοῦ δήμου χαριζομένου. (8) Διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν Πομπήιον ὁ Σύλλας ἰδὼν ἀπιόντα καλέσας πρὸς ἑαυτὸν, « Ὡς καλὸν, ἔφη, σοῦ τὸ πολίτευμα, ὦ νεανία, τὸ Κάτλου πρότερον ἀναγορεῦσαι Λέπιδον, τοῦ πάντων ἀρίστου τὸν ἐμπληκτικώτατον. Ὥρα μέντοι σοι μὴ καθεύδειν ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σαυ-
474 τοῦ τὸν ἀνταγωνιστήν. » (9) Τοῦτο μὲν οὖν ὁ Σύλλας a ὥσπερ ἀπεθέσπισε· ταχὺ γὰρ ἐξυβρίσας ὁ Λέπιδος εἰς πόλεμον κατέστη τοῖς περὶ τὸν Πομπήιον.

XXXV. Ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς· καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε παμπληθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι, πίνεσθαι δὲ οἶνον ἐτῶν τεσσαράκοντα καὶ παλαιότερον. (2) Διὰ μέσου δὲ τῆς θοίνης πολυημέρου γενομένης ἀπέθνησκεν ἡ Μετέλλα νόσῳ· καὶ τῶν ἱερέων τὸν Σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ Σύλλας ἔτι ζῶ- b σαν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. (3) Καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε, τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς προεισενηνοχὼς παρέβη μηδενὸς ἀναλώματος φεισάμενος. (4) Παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα πότοις καὶ συνδείπνοις τρυφὰς καὶ βωμολοχίας ἔχουσι παρηγορῶν τὸ πένθος. (5) Ὀλίγων δὲ μηνῶν διαγενομένων ἦν μὲν θέα μονομάχων, οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ Σύλλα καθεζομένη c γυνὴ τὴν ὄψιν εὐπρεπὴς καὶ γένους λαμπροῦ· Μεσσάλα γὰρ ἦν θυγάτηρ, Ὀρτησίου δὲ τοῦ ῥήτορος ἀδελφὴ, Οὐαλλερία δὲ τοὔνομα· συνεβεβήκει δὲ αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. (6) Αὕτη παρὰ τὸν Σύλλαν ἐξόπισθεν παραπορευομένη τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο καὶ κροκύδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. Ἐμβλέψαντος δὲ τοῦ Σύλλα καὶ θαυμάσαντος, « Οὐδὲν, ἔφη, δεινὸν, αὐτόκρατορ· ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν. » (7) Τοῦτο ἤκουσεν οὐκ ἀηδῶς ὁ Σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν ὑποκεκνισμένος· ἠρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα καὶ γένος καὶ βίον ἐμάνθανεν. (8) Ἐκ δὲ τούτων ῥίψεις ὀμμάτων ἐπ' ἀλλήλους ἐγίνοντο d καὶ παρεπιστροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων διαδόσεις, τέλος δὲ ὁμολογίαι καὶ συνθέσεις περὶ γάμων, ἐκείνῃ μὲν ἴσως ἄμεμπτοι, Σύλλας δὲ εἰ καὶ τὰ μάλιστα σώφρονα καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ μειρακίου δίκην παραβληθείς, ὑφ' ὧν τὰ αἴσχιστα καὶ ἀναιδέστατα πάθη κινεῖσθαι πέφυκεν.

XXXVI. Οὐ μὴν ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας συνῆν μίμοις γυναιξὶ καὶ κιθαρισταῖς καὶ θυμε-

luntatem ipsius consulatum obtenturus; non quidem per se, sed quod populus Pompeium studiosum ejus pro eoque intercedentem demerere voluit. (8) Itaque Sylla Pompeio, quum is victoria lætus concione abiret, ad se vocato, Egregie, inquit, o juvenis, factum a te est, quod in consulibus designandis Catulo Lepidus, optimo viro stolidissimus, præferretur: tempus jam nunc est tibi vigilare, qui vires adversarii tui auxeris. (9) Atque hoc quasi vaticinatus est Sylla. Lepidus enim statim libidine elatus, Pompeianis partibus bellum fecit.

XXXV. Sylla quum omnium facultatum decimam partem Herculi consecraret, magnifica populo epula exhibuit: tantumque fuit apparatus supervacanei, ut quotidie magna copia cibariorum in fluvium abjiceretur, vinum quadraginta et plurium etiam annorum biberetur. (2) Quum epula hæc per plures dies producerentur, medio tempore Metella ex morbo decessit. Cum autem sacerdotes ipsum ad eam accedere, funereque uxoris domum inquinari prohiberent, nuntium ei adhuc viventi remisit et in aliam domum transferri jussit. (3) Cui legi quum motus superstitione perdiligenter satisfecisset, aliam a sese funerum impensis antea latam neglexit, nulli sumptui parcens. (4) Neglexit item quæ de conviviorum frugalitate sanxerat: quum ipse luctum suum compotationibus et conviviis, quibus et luxus et scurræ adessent, leniret. (5) Paucis post mensibus quum gladiatorum spectaculum exhiberetur, ut erat tum theatrum ordinibus nondum distinctum, sed promiscue mulieres virique sedebant, prope Syllam sedit Valeria et formæ elegantis et familiæ splendidæ mulier, Messalæ nimirum filia, Hortensiique oratoris soror, nuper a marito suo repudiata. (6) Hæc a tergo Syllæ transiens, manu ei immissa filum de toga extraxit, et ad sedem suam rediit. Quum Sylla admiratione motus respiceret: Nihil, inquit ea, o dictator, mali est: volo enim ipsa quoque aliquantulum de tua felicitate participare. (7) Non injucundum id Syllæ dictum fuit, statimque haud obscure titillationem indicavit: misit enim qui de nomine, genere vitaque ejus percontarentur. (8) Hinc mutui intuitus, crebræque utrimque facici obversiones et blandi risus, ad extremum pactiones etiam nuptiales, quæ ut Valeriæ fortassis vitio dari non possint, at Sylla tamen, etsi pudicam et nobilem, non tamen initio usus pudico et honesto duxit: aspectu videlicet et lasciva facetia, unde affectus moveri turpissimi atque impudentissimi solent, pueri instar ductus.

XXXVI. Et vero quantumvis hanc domi uxorem haberet, tamen inter mimas, citharistas et histriones agebat, super

λικοῖς ἀνθρωποις ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων. (2) Οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν, Ῥώσκιος ὁ κωμῳδὸς καὶ Σῶριξ ὁ ἀρχιμῖμος καὶ Μητρόβιος ὁ λυσιῳδός, οὗ καίπερ ἐξώρου γενομένου διετέλει μέχρι παντὸς ἐρᾶν οὐκ ἀρνούμενος. (3) Ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος, ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν εἰς φθεῖρας μετέβαλε πᾶσαν, ὥστε πολλῶν δι' ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον, ἀλλὰ πᾶσαν ἐσθῆτα καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς· τοσοῦτον ἐξήνθει. (4) Διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν ἐκκλύζων τὸ σῶμα καὶ ἀπορρυπτόμενος. Ἦν δὲ οὐδὲν ὄφελος· ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. (5) Λέγεται δὲ τῶν μὲν πάνυ παλαιῶν Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑστέρων Ἀλκμᾶνα τὸν μελοποιὸν καὶ Φερεκύδην τὸν θεολόγον καὶ Καλλισθένη τὸν Ὀλύνθιον ἐν εἱρκτῇ φρουρούμενον, ἔτι δὲ Μούκιον τὸν νομικόν. (6) Εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δὲ ἄλλως ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην Εὔνουν ὄνομα μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον ὑπὸ φθειριάσεως ἀποθανεῖν.

XXXVII. Ὁ δὲ Σύλλας οὐ μόνον προέγνω τὴν ἑαυτοῦ τελευτήν, ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. (2) Τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων πρὸ δυεῖν ἡμερῶν ἢ ἐτελεύτα γράφων ἐπαύσατο· καί φησι τούς τε Χαλδαίους αὐτῷ προειπεῖν, ὡς δέοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι, λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα καὶ δεόμενον τοῦ πατρὸς παύσασθαι τῶν φροντίδων, ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ' αὐτῆς. (3) Οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. Δέκα μὲν γὰρ ἡμέραις ἔμπροσθεν τῆς τελευτῆς τοὺς ἐν Δικαιαρχείᾳ στασιάζοντας διαλλάξας νόμον ἔγραψεν αὐτοῖς, καθ' ὃν πολιτεύσονται· πρὸ μιᾶς δὲ ἡμέρας πυθόμενος τὸν ἄρχοντα Γράνιον, ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ' ἀναμένει τὴν αὐτοῦ τελευτήν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον· καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν, τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας πλῆθος αἵματος ἐξέβαλεν. (4) Ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης διαγαγὼν τὴν νύκτα μοχθηρῶς ἀπέθανε, δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. (5) Ἡ γὰρ Οὐαλλερία μετὰ τὴν τελευτὴν αὐτοῦ θυγάτριον ἀπεκύησεν, ὃ Ποστοῦμαν ἐκάλουν· τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους οὕτω Ῥωμαῖοι προσαγορεύουσιν.

XXXVIII. Ὥρμησαν μὲν οὖν πολλοὶ καὶ συνέστη-

toris cum eis de die potans. (2) Atque id genus hominum tunc apud ipsum plurimum valebat, Roscius comœdus, Sorex mimorum princeps, Metrobiusque histrio : quem etiamsi ætate jam adultiorem perpetuo tamen a se amari non infitiabatur. (3) Inde factum est ut morbum vili ex causa ortum aluerit, diuque non animadvertit ulcus in visceribus sibi natum : unde et tota caro corrupta ita in pediculos abiit, ut quamvis dies noctesque multi eos decuterent, tamen dempti minima pars eorum qui subinde enascebantur essent ; omnisque vestis, omne balneum, omne lavacrum et cibus exundatione istarum sordium oppleretur. (4) Itaque interdiu sæpe in aquam descendebat abluendi et detergendi corporis causa. Sed nihil proficiebat, quum ea mutatio celeritate prævaleret, multitudoque omnem purgationem superaret. (5) Ex antiquissimis ferunt Acastum Peliæ filium morbo pediculari exstinctum fuisse : ex posterioribus Alcmanem lyricum, Pherecydem theologum, Callisthenem Olynthium, in carcere inclusum, atque Mucium etiam jurisconsultum. (6) Præterea, si quidem facienda est mentio eorum, qui nulla re bona memoriam tamen sibi peperierunt, Eunum fugitivum, qui servilis per Siciliam belli auctor fuit, quum captus Romam esset perductus, ibi phthiriasi obiisse traditum est.

XXXVII. Ceterum Sylla non modo præsagiit suum obitum, sed et quodammodo de eo scriptum reliquit. (2) Nam vigesimum secundum commentariorum librum biduo antequam moreretur scribens, finem operi fecit : refertque et Chaldæos ipsi prædixisse, quod post exactam præclare vitam esset in ipso felicitatis vigore discessurus, et filium suum, qui paulo ante Metellam fato functus fuerat, per insomnium sibi sordida in veste apparuisse et orasse ut finem curis statueret, secumque ad matrem Metellam abiret, et ibi una vitam sollicitudinum et negotiorum vacuam degeret. (3) Neque tamen a tractandis negotiis publicis abstinuit. Decem enim ante mortem diebus composuit Puteolanorum seditionem, legesque iis præscripsit quibus rempublicam administrarent. Pridie quam fato concederet, quum audiret Granium prætorem æs alienum grande, quod ærario debebat, non persolvere, sed mortem ipsius opperiri, vocatum ad sese in cubiculum a famulis suis suffocari jussit. Eo clamore Sylla et agitatione corporis quum vomicam rupisset, multum ejecit sanguinis. (4) Atque exinde deficientibus viribus nocte difficulter superata mortuus est, relictis ex Metella duobus filiis infantibus. (5) Nam Valeria post mortem ejus filiam peperit, quam Postumam dixerunt : qui enim post obitum patrum nati sunt, hos vocant Romani Postumos.

XXXVIII. Proinde quum plerique facta cum Lepido coi-

σαν πρὸς Λέπιδον ὡς εἴρξοντες τὸ σῶμα κηδείας τῆς d tione cadaver Syllæ justis funebribus prohibere molirentur,
νενομισμένης. Πομπήιος δὲ, καίπερ ἐγκαλῶν τῷ Pompeius, tametsi Syllæ succenseret, quod solum ex
Σύλλᾳ (μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων omnibus amicis eum in testamento præteriisset, quibusdam
παρέλιπε), τοὺς μὲν χάριτι καὶ δεήσει, τοὺς δὲ ἀπειλῇ gratia et precibus, aliis minando permotis cadaver Romam
διακρουσάμενος εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα καὶ deduxit, funerique et securitatem et honorem contulit. (2)
ταῖς ταφαῖς ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. (2) Ferunt tantam a mulieribus aromatum vim Syllæ ingestam,
Λέγεται δὲ τοσοῦτο πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς ut præter ea quæ in decem et ducentis feretris illata sunt,
γυναῖκας αὐτῷ, ὥστε ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ justæ magnitudinis imago Syllæ efficta sit, atque lictoris
διακοσίοις διακομιζομένων πλασθῆναι μὲν εἴδωλον εὐ- ex thure pretioso et cinnamomo. (3) Ceterum quum ab
μέγεθες αὐτοῦ Σύλλα, πλασθῆναι δὲ καὶ ῥαβδοῦχον ἔκ e aurora dies iste nubilus fuisset pluviæque exspectarentur,
τε λιβανωτοῦ πολυτελοῦς καὶ κινναμώμου. (3) Τῆς δὲ nona demum hora funus elatum est. (4) Ibi ventus vehe-
ἡμέρας συννεφοῦς ἔωθεν οὔσης ὕδωρ ἐξ οὐρανοῦ προσ- mens in rogum incubuit, multaque flamma excitata quum
δοκῶντες, ἑνάτης ἦραν μόλις ὥρας τὸν νεκρόν. (4) Ἀνέ- vix rogo absumpto ignique sopito corpus cremavit, imber
μου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν καὶ φλόγα ingens defusus est et usque ad noctem duravit, ut videatur
πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθὲν, ὅσον ἤδη fortuna ejus viri etiam sepulturam præsens adjuvisse.
τῆς πυρᾶς μαραινομένης καὶ τοῦ πυρὸς ἀπιόντος ἐκχυ- (5) Monumentum Syllæ in campo Martio est: inscriptionem
θῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτὸς, ab ipso ferunt conceptam et relictam, cujus hoc est caput:
ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συνθάπτειν πα- se neque ab ullo amicorum beneficiis neque ab ullo ini-
ραμένουσαν. (5) Τὸ μὲν οὖν μνημεῖον ἐν τῷ πεδίῳ mico maleficiis superatum fuisse.
τοῦ Ἄρεώς ἐστι· τὸ δὲ ἐπίγραμμά φασιν αὐτὸν ἐπιγρα-
ψάμενον καταλιπεῖν, οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν
φίλων τις αὐτὸν εὖ ποιῶν οὔτε τῶν ἐχθρῶν κακῶς
ὑπερεβάλετο.

ΣΥΓΚΡΙΣΙΣ ΛΥΣΑΝΔΡΟΥ ΚΑΙ ΣΥΛΛΑ.

COMPARATIO LYSANDRI CUM SYLLA.

Ἐπεὶ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν Syllæ etiam vita exposita, ad comparationem ipsorum
ἤδη πρὸς τὴν σύγκρισιν. (2) Τὸ μὲν οὖν ἀφ' ἑαυτῶν accedamus. (2) Commune iis fuit, quod uterque a se ipso
αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλοις γενέσθαι κοινὸν ἀμ- incrementi initium petens, magni viri evaserunt. Id vero
φοτέροις ὑπῆρξεν, ἴδιον δὲ Λυσάνδρου τὸ βουλομένων f Lysander proprium habuit, quod voluntate civium, etiam-
τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν, num salvo reipublicæ statu, eos, quos gessit, magistratus
βιάσασθαι δὲ μηδὲν ἀκόντων μηδ' ἰσχῦσαι παρὰ τοὺς obtinuit, nihil vi aut contra leges extorsit.
νόμους.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς, At per dissidium vel pessimus est in honore,

ὥσπερ ἐν Ῥώμῃ τότε, διεφθαρμένου τοῦ δήμου καὶ νο- sicut tum Romæ corrupto populo, et laborante republica
476σοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν a alius post alium potitus est rerum. (3) Neque mirum fuit
ἀνίστατο δυνάστης. (3) Καὶ οὐδὲν ἦν θαυμαστὸν, εἰ Syllam principatum obtinuisse, quum Glauciæ et Saturnini
Σύλλας ἦρχεν, ὅτε Γλαυκίαι καὶ Σατορνῖνοι Μετέλλους Metellos urbe expulerint, consulum filii in concione obtrun-
ἤλαυνον ἐκ τῆς πόλεως, ὑπάτων δὲ ἀπεσφάττοντο παῖ- cati sint, argento et auro arma cives redemerint, emptis mi-
δες ἐν ἐκκλησίαις, ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα πα- litibus, ferro et igni leges pertulerint, oppressis adversariis.
ρελάμβανον ὠνούμενοι. τοὺς στρατευομένους, πυρὶ δὲ (4) Neque in eo sum, ut culpem eum qui hac rerum con-
καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν βιαζόμενοι τοὺς ἀντι- ditione summam potentiam sibi paraverit: sed ex eo quod
λέγοντας. (4) Οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοιούτοις πρά- princeps omnium aliquis fuerit, minime arguo eum fuisse
γμασι μέγιστον ἰσχῦσαι διαπραξάμενον, ἀλλὰ σημεῖον optimum, nimirum adeo male affecta civitate. (5) At Lysan-
οὐ τίθεμαι τοῦ βέλτιστον εἶναι τὸ γενέσθαι πρῶτον οὕτω der a civitate Spartana, tunc maxime bonis legibus utente
πονηρὰ πραττούσης τῆς πόλεως. (5) Ὁ δὲ ἀπὸ τῆς et modesta, ad maxima imperia maximasque res gerendas
Σπάρτης εὐνομουμένης τότε μάλιστα καὶ σωφρονούσης b missus, fere optimorum optimus, primusque inter primos ha-
ἐπὶ τὰς μεγίστας ἐκπεμπόμενος ἡγεμονίας καὶ πράξεις bitus est. (6) Itaque et sæpe magistratum, quo se abdicave-
σχεδὸν ἀρίστων ἄριστος ἐκρίνετο καὶ πρώτων πρῶτος. rat, a civibus recepit, permanente honore, quo virtuti primo
(6) Ὅθεν ὁ μὲν πολλάκις τὴν ἀρχὴν ἀποδοὺς τοῖς πολί-
ταις ἀνέλαβε πολλάκις· διέμενε γὰρ ἡ τιμὴ τῆς ἀρετῆς

ἔχουσα τὸ πρωτεῖον· ὁ δὲ ἅπαξ αἱρεθεὶς στρατεύματος ἡγεμὼν ἔτη συνεχῶς δέκα, νῦν μὲν ὕπατον, νῦν δ' ἀνθύπατον, νῦν δὲ δικτάτωρα ποιῶν ἑαυτὸν, ἀεὶ δὲ ὢν τύραννος, ἐν τοῖς ὅπλοις ἔμενεν.

II. Ἐπεχείρησε μὲν οὖν ὁ Λύσανδρος, ὡς εἴρηται, μεταστῆσαι τὰ περὶ τὴν πολιτείαν, πρᾳότερον δὲ καὶ νομιμώτερον ἢ Σύλλας· πειθοῖ γὰρ, οὐ δι' ὅπλων οὐδὲ πάντα συλλήδδην ἀναιρῶν, ὥσπερ ἐκεῖνος, ἀλλ' αὐτὴν ἐπανορθούμενος τὴν κατάστασιν τῶν βασιλέων· ὃ καὶ φύσει που δίκαιον ἐδόκει, τὸν ἐξ ἀρίστων ἄριστον ἄρχειν ἐν πόλει τῆς Ἑλλάδος ἡγουμένῃ δι' ἀρετὴν, οὐ δι' εὐγένειαν. (2) Ὥσπερ γὰρ κυνηγὸς οὐ ζητεῖ τὸ ἐκ κυνὸς, ἀλλὰ κύνα, καὶ ἱππικὸς ἵππον, οὐ τὸ ἐξ ἵππου· τί γὰρ, ἂν ἐξ ἵππου ἡμίονος γένηται; οὕτως ὁ πολιτικὸς ἁμαρτήσεται τοῦ παντὸς, ἐὰν μὴ ζητῇ τὸν ἄρχοντα τίς ἐστιν, ἀλλὰ ἐκ τίνος. (3) Αὐτοί γέ τοι οἱ Σπαρτιᾶται βασιλεύοντας ἐνίους ἀφεῖλοντο τὴν ἀρχὴν, ὡς οὐ βασιλικοὺς, ἀλλὰ φαύλους καὶ τὸ μηδὲν ὄντας. Εἰ δὲ κακία καὶ μετὰ γένους ἄτιμον, οὐδ' ἀρετὴ δι' εὐγένειαν, ἀλλ' ἀφ' ἑαυτῆς ἔντιμον. (4) Αἱ τοίνυν ἀδικίαι τῷ μὲν ὑπὲρ φίλων, τῷ δ' ἄχρι φίλων ἐπράχθησαν. Λύσανδρος μὲν γὰρ ὁμολογεῖται τὰ πλεῖστα διὰ τοὺς ἑταίρους ἐξαμαρτεῖν καὶ τὰς πλείστας σφαγὰς ὑπὲρ τῆς ἐκείνων ἀπεργάσασθαι δυναστείας καὶ τυραννίδος· Σύλλας δὲ καὶ Πομπηίου περιέκοψε τὸ στρατιωτικὸν φθονήσας καὶ Δολοβέλλα τὴν ναυαρχίαν ἐπεχείρησε δοὺς ἀφελέσθαι καὶ Λουκρήτιον Ὀφέλλαν ἀντὶ πολλῶν καὶ μεγάλων ὑπατείαν μνώμενον ἐν ὀφθαλμοῖς ἀποσφάξαι προσέταξε, φρίκην καὶ δέος ἐμποιῶν πρὸς αὐτὸν ἀνθρώποις ἅπασι διὰ τῆς τῶν φιλτάτων ἀναιρέσεως.

III. Ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς ἡδονὰς καὶ τὰ χρήματα σπουδὴ δείκνυσι τοῦ μὲν ἡγεμονικὴν, τοῦ δὲ τυραννικὴν τὴν προαίρεσιν οὖσαν. (2) Ὁ μὲν γὰρ οὐδὲν ἀκόλαστον οὐδὲ μειρακιῶδες ἐν ἐξουσίᾳ καὶ δυνάμει τηλικαύτῃ φαίνεται διαπεπραγμένος, ἀλλ', εἰ δή τις ἄλλος, ἐκπεφευγὼς τουτὶ τὸ περίακτον· Οἶκοι λέοντες, ἐν ὑπαίθρῳ δὲ ἀλώπεκες· οὕτω σώφρονα καὶ Λακωνικὴν καὶ κεκολασμένην ἐπεδείκνυτο πανταχοῦ τὴν δίαιταν. (3) Ὁ δὲ οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζε διὰ τὴν πενίαν οὔτε γηράσας διὰ τὴν ἡλικίαν, ἀλλὰ τοὺς περὶ γάμων καὶ σωφροσύνης εἰσηγεῖτο νόμους τοῖς πολίταις αὐτὸς ἐρῶν καὶ μοιχεύων, ὥς φησι Σαλούστιος. (4) Ὅθεν οὕτω τὴν πόλιν πτωχὴν καὶ κενὴν ἐποίησε χρημάτων, ὥστε ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀργυρίου πωλεῖν τὴν ἐλευθερίαν καὶ τὴν αὐτονομίαν, καίτοι τοὺς πολυαργυρωτάτους οἴκους καὶ μεγίστους δημέραι δημεύοντος αὐτοῦ καὶ ἀποκηρύττοντος. (5) Ἀλλὰ μέτρον οὐδὲν ἦν τῶν ῥιπτουμένων καὶ καταχορηγουμένων εἰς τοὺς κόλακας. Τίνα γὰρ εἰκὸς εἶναι λογισμὸν ἢ φειδὼ πρὸς τὰς παρ' οἶνον συνουσίας αὐτοῦ καὶ χάριτας, ὃς ἐν φανερῷ ποτε τοῦ δήμου περιεστῶτος οὐσίαν μεγάλην διαπιπράσκων τιμῆς τῆς τυχούσης εἰς ἕνα τῶν φίλων ἐκέλευε κατακηρύσσειν, ἑτέρου δὲ τὴν τιμὴν ὑπερβαλομένου καὶ τοῦ κήρυκος τὸ προστεθὲν ἀγορεύσαντος διηγανάκτησε «Δει-

deferebantur. Sylla semel exercitui dux præfectus, integrum in armis decennium exegit, modo consulem sese, modo proconsulem, inde dictatorem creans, quum tyrannus esset perpetuo.

II. Jam Lysander reipublicæ administrationem, ut demonstravimus, immutare aggressus, mitius legibusque convenientius quam Sylla egit; non enim vi armorum, sed persuadendo id agere instituit: neque, ut Sylla, omnia simul evertere, sed regum tantum emendare constitutionem, præsertim quum alioqui natura id probare videretur, ut in ea urbe, quæ virtutis nomine princeps Græciæ esset, optimorum optimus non propter nobilitatem generis, sed virtutis causa regno potiretur. (2) Ut enim venator non id quod cane natum sit, sed canem requirit, et rei equestri deditus non quod equo prognatum sit, sed equum: quid enim si mulus ab equo procreetur? ita is, qui in republica versatur, in totum falsus fuerit, si non quis sit, sed ex quibus ortus princeps, quærat. (3) Quando ipsi etiam Spartani quosdam reges abdicare coegerunt, ut indignos regno et nullius pretii homines. Quod si vitia etiam in nobilibus genere inhonesta sunt, neque ex nobilitate virtus, sed per se ipsam honorem meretur. (4) Porro peccata Lysandri in amicorum gratiam fuerunt perpetrata, Sylla ne ab amicorum quidem injuriis abstinuit. In confesso est enim, Lysandrum pleraque propter amicos peccavisse, utque his potentiam et tyrannidem pararet, plerasque cædes perpetrasse: contra Sylla et exercitum Pompeio invidens imminuit et Dolabellæ classem, quam dederat, auferre conatus est; et Lucretium Ofellam pro multis ac magnis officiis consulatum petentem, coram jugulari jussit; ut horrorem omnibus suique metum nece amicissimorum incuteret.

III. Pecuniæ autem et voluptatis studium clarius adhuc demonstrat in altero principis, in altero tyranni voluntatem fuisse. (2) Nihil enim neque libidinose, neque juvenili licentia, tanta in potestate constitutus Lysander egisse appareret, sed evitavit, si quisquam alius, tritum illud:

Domi leones, at foris vulpeculæ;

modestam Laconicamque et frugalem ubique servans vitæ rationem. (3) Atqui Syllam neque juvenem, ut cupiditatibus moderaretur, paupertas compulit, neque ætate provectum senectus; sed, ut ait Sallustius, leges civibus de nuptiis et temperantia, amori ipse et adulteriis deditus, tulit. (4) Itaque ad id paupertatis et pecuniæ indigentiæ urbem redegit, ut Romani sociis et amicis civitatibus libertatem suisque legibus vivendi potestatem argento vendiderint: quamvis locupletissimas ipse maximasque domus quotidie publicaret atque sub hasta venderet. (5) Sed enim nulla erat eorum quæ dissipabantur et in adulatores insumebantur mensura. Quam enim, putas, ille rationem aut parsimoniam adhibuisset in largiendo iis, quibus ob convivia et adulationes cupiebat, qui populi aliquando astante corona, palam quum amicorum cuidam magnas facultates vili pretio addixisset et præco jussus proclamasset, alioque pretium augente, additamen-

νά γε, ὦ φίλοι πολῖται, καὶ τυραννικὰ πάσχω, » φάμενος, « εἰ τὰ ἐμά μοι λάφυρα διαθέσθαι μὴ ἔξεστιν ὡς βούλομαι. » (6) Λύσανδρος δὲ καὶ τὰς αὐτῷ δοθείσας δωρεὰς μετὰ τῶν ἄλλων ἀπέπεμψε τοῖς πολίταις. Καὶ οὐκ ἐπαινῶ τὸ ἔργον· ἴσως γὰρ ἔβλαψε τῇ κτήσει τῶν χρημάτων τὴν Σπάρτην οὗτος ὅσον οὐκ ἔβλαψε τῇ ἀφαιρέσει τὴν Ῥώμην ἐκεῖνος· ἀλλὰ τεκμήριον τοῦτο ποιοῦμαι τῆς ἀφιλοπλουτίας τοῦ ἀνδρός. (7) Ἴδιον δέ τι πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάτερος ἔπαθε· Σύλλας μὲν γὰρ ἀκόλαστος ὢν καὶ πολυτελὴς ἐσωφρόνιζε τοὺς πολίτας, Λύσανδρος δ' ὢν αὐτὸς ἀπείχετο παθῶν ἐνέπλησε τὴν πόλιν, ὥστε ἁμαρτάνειν τὸν μὲν αὐτὸν ὄντα χείρονα τῶν ἰδίων νόμων, τὸν δὲ αὐτοῦ χείρονας ἀπεργαζόμενον τοὺς πολίτας· δεῖσθαι γὰρ ἐδίδαξε τὴν Σπάρτην ὧν αὐτὸς ἔμαθε μὴ προσδεῖσθαι. Καὶ τὰ μὲν πολιτικὰ ταῦτα.

IV. Πολέμων δὲ ἀγῶσι καὶ στρατηγικαῖς πράξεσι καὶ πλήθει τροπαίων καὶ μεγέθει κινδύνων ἀσύγκριτος ὁ Σύλλας. (2) Ὁ μέντοι γε δύο νίκας ἐξηνέγκατο ναυμαχίαις δυσί· προσθήσω δὲ αὐτῷ καὶ τὴν Ἀθηνῶν πολιορκίαν, ἔργῳ μὲν οὐ μεγάλην, τῇ δὲ δόξῃ λαμπροτάτην γενομένην. (3) Τὰ δ' ἐν Βοιωτίᾳ καὶ Ἁλιάρτῳ δυστυχίᾳ μὲν ἴσως ἐπράχθη τινί, κακοβουλίᾳ δὲ προσέοικεν, οὐκ ἀναμείναντος ὅσον οὔπω παροῦσαν ἐκ Πλαταιῶν τὴν μεγάλην βασιλέως δύναμιν, ἀλλὰ θυμῷ καὶ φιλοτιμίᾳ παρὰ καιρὸν ὠσαμένου πρὸς τὸ τεῖχος, ὥστε τοὺς τυχόντας ἀνθρώπους ἐκπηδήσαντας ἐν οὐδενὶ λόγῳ καταβαλεῖν αὐτόν. (4) Οὐ γὰρ ὡς Κλεόμβροτος ἐν Λεύκτροις ἀντερείδων ἐπικειμένοις τοῖς πολεμίοις οὐδὲ ὡς Κῦρος οὐδὲ ὡς Ἐπαμινώνδας κατέχων ἐγκεκλικότας καὶ τὸ νίκημα βεβαιούμενος πληγῇ καιρίᾳ περιέπεσεν· ἀλλ' οὗτοι μὲν βασιλέων καὶ στρατηγῶν θάνατον ἀπέθνησκον, Λύσανδρος δὲ πελταστοῦ καὶ προδρόμου δίκην ἀκλεῶς παραναλώσας ἑαυτὸν ἐμαρτύρησε τοῖς παλαιοῖς Σπαρτιάταις, ὅτι καλῶς ἐφυλάττοντο τὰς τειχομαχίας, ἐν αἷς οὐχ ὑπ' ἀνδρὸς μόνον τοῦ τυχόντος, ἀλλὰ καὶ ὑπὸ παιδὸς καὶ γυναικὸς ἀποθανεῖν ἂν συντύχοι πληγέντα τὸν κράτιστον, ὥσπερ τὸν Ἀχιλλέα φασὶν ὑπὸ τοῦ Πάριδος ἐν ταῖς πύλαις ἀναιρεθῆναι. (5) Σύλλας μὲν οὖν ὅσας ἐκ παρατάξεως ἐνίκησε νίκας καὶ κατέβαλε μυριάδας πολεμίων οὐδὲ ἀριθμῆσαι ῥᾴδιόν ἐστιν· αὐτὴν δὲ τὴν Ῥώμην δὶς εἷλε καὶ τὸν Πειραιᾶ τῶν Ἀθηνῶν οὐ λιμῷ καθάπερ Λύσανδρος, ἀλλὰ πολλοῖς ἀγῶσι καὶ μεγάλοις ἐκβαλὼν Ἀρχέλαον ἐκ τῆς γῆς ἐπὶ τὴν θάλατταν κατέσχεν. (6) Ἔστι δὲ μέγα καὶ τὸ τῶν ἀντιστρατήγων. Τρυφὴν γὰρ οἶμαι καὶ παιδιὰν πρὸς Ἀντίοχον διαναυμαχεῖν τὸν Ἀλκιβιάδου κυβερνήτην καὶ Φιλοκλέα τὸν Ἀθηναίων ἐξαπατᾶν δημαγωγόν,

Ἄδοξον, ἄκραν γλῶσσαν ἠχονημένον·

οὓς οὐκ ἂν ἱπποκόμῳ Μιθριδάτης οὐδὲ ῥαβδούχῳ Μάριος ἠξίωσε παραβαλεῖν τῶν ἑαυτοῦ. (7) Τῶν δὲ πρὸς Σύλλαν ἀνταραμένων δυναστῶν, ὑπάτων, στρατηγῶν,

tum itidem edixisset, indignatione accensus : Gravia, inquit, o mei cives, patior et tyrannide premor, si mea mihi spolia non ut volo vendere licet. (6) Lysander vero cum ceteris etiam sibi dono data munera domum misit. Quod tametsi non laudo (fortasse enim magis ille pecuniam inferendo Spartæ nocuit, quam spoliando Romam alter), tamen certissimum signum spretarum ab eo divitiarum judico. (7) Singulari autem quadam ratione de sua uterque patria meruit : nam et Sylla homo intemperans luxuique deditus, moderatos cives suos effecit; et Lysander, a quibus abstinuit sese affectibus, iis urbem implevit. Peccavit igitur et Sylla, quod suis ipse legibus deterior fuit, et alter, quod se ipso deteriores cives reddidit; docuit enim Spartam ea desiderare, quibus ipse opus non habere didicerat. Hæc de rebus civilibus.

IV. Sed quod ad bellica certamina et imperatoria scientia gestas res, multitudinem tropæorum et periculorum aditorum magnitudinem attinet, non est quod Syllæ comparandum quispiam Lysandrum cogitet. (2) Hic enim bis navali prœlio vicit : addam etiam Athenarum obsidionem, quam re ipsa non magnam, gloria splendidissimam redegit. (3) Clades quidem in Bœotia et ad Haliartum acceptæ etsi infortunio cuidam possint ascribi, videntur tamen pravis ejus consiliis potius acceptæ ferendæ : qui a Platæis adventantes ac tantum non præsentes regis magnas copias noluerit exspectare, sed ira ambitioneque transversus actus intempestive ad muros agmen rapuerit, ita ut nullius nominis homines eruptione facta facillime eum straverint. (4) Non enim ut Cleombrotus apud Leuctra hostibus urgentibus resistens, neque ut Cyrus, aut Epaminondas inclinatos suos retinens, victoriamve confirmans, plaga mortifera occubuit : verum hi regibus ducibusque dignam mortem oppetierunt; Lysander autem quum velitis aut præcursoris in morem vitam suam projecisset, testatum fecit priscos Spartanos prudenter ab oppugnatione murorum se abstinuisse : quod ibi non a viro modo quovis, sed etiam a muliere aut puero ictum perire fortissimum quemque contingat, sicut Achillem ferunt in porta a Paride occisum. (5) Et profecto ne numero quidem comprehendi potest, quoties Sylla collatis signis vicerit, quam multa hostium millia occiderit : Romam ipsam bis cepit et Piræeum non, uti Lysander, fame, sed multis et magnis certaminibus, repulso in terram ex mari Archelao, cepit. (6) Laudem etiam augent duces hostium. Ludum enim esse jocumque puto, navali pugna cum Antiocho Alcibiadis gubernatore certare, aut Philocli imponere, Atheniensi oratori,

Acutam habenti linguam, alias ignobili :

quos neque cum equisone Mithridates, neque cum lictore suo Marius componi dignatus fuisset. (7) Verum ex iis qui contra Syllam bellum gesserunt principibus, consulibus;

δημαγωγῶν, ἵνα τοὺς ἄλλους ἐάσω, τίς ἦν Ῥωμαίων Μαρίου φοβερώτερος ἢ Μιθριδάτου βασιλέων δυνατώτερος ἢ Λαμπωνίου καὶ Τελεσίνου τῶν Ἰταλικῶν μαχιμώτερος; ὧν ἐκεῖνος τὸν μὲν ἐξέβαλε, τὸν δὲ ὑπέταξε, τοὺς δὲ ἀπέκτεινε.

V. Τὸ δὲ πάντων μέγιστον, ὡς ἐγὼ νομίζω, τῶν εἰ-
478ρημένων ἐκεῖνό ἐστιν, ὅτι Λύσανδρος μὲν κατώρθου a πάντα τῶν οἴκοι συναγωνιζομένων, Σύλλας δὲ φυγὰς ὢν καὶ κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, καθ' ὃν χρόνον ἠλαύνετο μὲν αὐτοῦ γυνή, κατεσκάπτετο δὲ οἰκία, φίλοι δὲ ἀπέθνησκον, αὐτὸς ἐν Βοιωτίᾳ ταῖς ἀναριθμήτοις μυριάσι παρατασσόμενος καὶ κινδυνεύων ὑπὲρ τῆς πατρίδος ἵστη τρόπαιον, καὶ Μιθριδάτῃ συμμαχίαν διδόντι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθροὺς οὐδὲν οὐδαμῇ μαλακὸν ἐνέδωκεν οὐδὲ φιλάνθρωπον, ἀλλ' οὐδὲ προσεῖπεν οὐδὲ τὴν δεξιὰν ἐνέβαλε πρότερον ἢ πυθέσθαι παρόντος, ὅτι καὶ τὴν Ἀσίαν ἀφίησι καὶ τὰς ναῦς παραδίδωσι καὶ τοῖς βασιλεῦσιν ἐξίσταται καὶ Βιθυνίας καὶ Καππαδοκίας. (2) Ὢν οὐδὲν ὅλως δοκεῖ Σύλλας κάλλιον ἔργον b οὐδὲ ἀπὸ μείζονος εἰργάσθαι φρονήματος, ὅτι τὸ κοινὸν τοῦ οἰκείου πρόσθεν θέμενος καὶ καθάπερ οἱ γενναῖοι κύνες οὐκ ἀνεὶς τὸ δῆγμα καὶ τὴν λαβὴν πρότερον ἢ τὸν ἀνταγωνιστὴν ἀπειπεῖν, τότε πρὸς τὴν τῶν ἰδίων ἄμυναν ὥρμησεν. (3) Ἐπὶ πᾶσι δὲ καὶ τὸ περὶ τὰς Ἀθήνας ἔχει τινὰ ῥοπὴν εἰς ἦθους σύγκρισιν· εἴγε Σύλλας μὲν ὑπὲρ τῆς Μιθριδάτου δυνάμεως καὶ ἡγεμονίας πολεμήσασαν αὐτῷ τὴν πόλιν ἑλὼν ἐλευθέραν ἀφῆκε καὶ αὐτόνομον, Λύσανδρος δὲ τοσαύτης ἡγεμονίας καὶ ἀρχῆς ἐκπεσοῦσαν οὐκ ᾤκτειρεν, ἀλλὰ καὶ τὴν δημοκρα- c τίαν ἀφελόμενος ὠμοτάτους αὐτῇ καὶ παρανόμους ἀπέδειξε τοὺς τυράννους. (4) Ὥρα δὴ σκοπεῖν, μὴ πολὺ τἀληθοῦς διαμαρτάνομεν ἀποφαινόμενοι πλέονα μὲν κατωρθωκέναι Σύλλαν, ἐλάττονα δὲ ἐξημαρτηκέναι Λύσανδρον, καὶ τῷ μὲν ἐγκρατείας καὶ σωφροσύνης, τῷ δὲ στρατηγίας καὶ ἀνδρείας ἀποδιδόντες τὸ πρωτεῖον.

prætoribus, tribunis plebis, quisnam (mitto enim reliquos) Mario terribilior, aut inter reges Mithridate potentior, aut ex Italis Telesino fuit Lamponioque bellicosior? quos ille partim expulit, partim subjugavit, partim occidit.

V. Et quod omnia, meo arbitratu, prædicta superat, Lysander omnia suis domi adjuvantibus gessit: Sylla autem exsul victusque inimicorum factione, quo tempore uxor ejus exterminabatur, domus solo æquabatur, amici cædebantur, ipse in Bœotia cum innumeris hostium millibus congressus, atque pro patria discrimen subiens, tropæum statuit, Mithridati quoque societatem offerenti et copias adversum inimicos, neque facilem se, neque humanum præbuit, imo ne allocutus quidem est, aut dextram junxit, prius quam ille coram affirmaret, se Asiam relinquere, classem tradere, regibus et Bithynia et Cappadocia decedere. (2) Quod mihi videtur omnium Syllæ factorum præclarissimum ac fortissimum fuisse, quippe rempublicam privatis rebus anteponens, generosorum canum instar mordicus arreptam feram ad extremum usque tenentium, non prius e manibus emisit adversarium, quam eum sibi de victoria concedere vidisset, atque ita demum ad ulciscendos suos hostes se contulit. (3) Præter omnia vero Athenarum occupatio plurimum ad horum comparandos mores facit: quum Sylla urbem quæ pro Mithridatis potentia et principatu propugnavisset, captam a se, liberam atque suis legibus viventem dimiserit; Lysander autem tanto principatu et imperio spoliatam non modo miseratus non sit, sed et populi in republica potestate exuerit, crudelissimisque et injustis tyrannis subjecerit. (4) Restat ergo uti consideremus, proximene vero statuerimus, si plures res præclare a Sylla gestas, pauciora esse Lysandri peccata pronuntiemus, et huic continentiæ temperantiæque, illi peritiæ militaris et fortitudinis primam laudem deferamus.

ΚΙΜΩΝ.

CIMON.

Περιπόλτας ὁ μάντις ἐκ Θετταλίας εἰς Βοιωτίαν e
Ὀφέλταν τὸν βασιλέα καὶ τοὺς ὑπ' αὐτῷ λαοὺς καταγαγὼν γένος εὐδοκιμῆσαν ἐπὶ πολλοὺς χρόνους κατέλιπεν, οὗ τὸ πλεῖστον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον ἐξελάσαντες τοὺς βαρβάρους. (2) Οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι καταναλώθησαν ἐν ταῖς Μηδικαῖς ἐπιδρομαῖς καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν ἀφειδήσαντες ἑαυτῶν· λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα Δάμων, παρωνύμιον δὲ Περιπόλτας, πολὺ δή τι καὶ σώματος f
κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων νέους, ἄλλως δ' ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. (3) Τούτου Ῥωμαῖος ἡγεμὼν σπείρας τινὸς ἐν Χαιρωνείᾳ διαχειμαζούσης ἐρασθεὶς ἅρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πειρῶν καὶ διδοὺς, δῆλος a
ἦν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. (4) Τοῦτο δὴ δεδιὼς ὁ Δάμων καὶ τὴν πεῖραν αὐτὴν δι' ὀργῆς πεποιημένος ἐπεβούλευε τῷ ἀνδρὶ καὶ συνίστη τῶν ἡλικιωτῶν τινας ἐπ' αὐτὸν οὐ πολλοὺς ἕνεκα τοῦ λαθεῖν, ἀλλ' οἱ σύμπαντες ἑκκαίδεκα γενόμενοι χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νυκτὸς, ἐμπιόντες δὲ ἄκρατον ἅμ' ἡμέρᾳ προσπίπτουσι τῷ Ῥωμαίῳ κατ' ἀγορὰν θύοντι καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους ἐκ τῆς πόλεως μετέστησαν. (5) Γενομένης δὲ ταραχῆς ἡ τῶν Χαιρωνέων βουλὴ συνελθοῦσα θάνατον αὐτῶν κατέγνω· καὶ τοῦτο b
ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς Ῥωμαίους. (6) Ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστὶ, κοινῇ δειπνούντων οἱ περὶ τὸν Δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον ἀπέσφαξαν αὐτοὺς καὶ πάλιν ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως. (7) Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Λεύκιος Λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. Ἐπιστήσας δὲ τὴν πορείαν καὶ τῶν γεγονότων προσφάτων ὄντων ἐξέτασιν ποιησάμενος εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην· c
καὶ τοὺς στρατιώτας ἀναλαβὼν ἀπήγαγε μεθ' ἑαυτοῦ. (8) Τὸν δὲ Δάμωνα λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν καὶ τῇ πόλει προσκείμενον ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι φιλανθρώποις οἱ πολῖται, κατελθόντα δὲ γυμνασίαρχον κατέστησαν· εἶτ' ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ διέφθειραν. (9) Ἐπὶ πολὺν δὲ χρόνον εἰδώλων τινῶν ἐν τῷ τόπῳ προφαινομένων καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἐνῳκοδόμησαν τοῦ πυριατηρίου· καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες οἴονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. (10) Τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ (διασώζονται γὰρ ἔνιοι, μάλιστα τῆς Φωκίδος περὶ Στεῖριν) αἰολίζοντες ἀσβολωμένους κα- d

Peripoltas vates quum Opheltam regem subditosque ei populos ex Thessalia in Bœotiam deduxisset, genus a se multis deinde temporibus nobile reliquit: cujus major pars Chæroneam, quam primam urbem ejectis barbaris tenuerunt, inhabitavit. (2) Plerique ejus generis quum essent natura fortes atque bellicosi, Medicis incursionibus et Gallicis certaminibus vitæ suæ non parcentes occubuerunt. Relictus fuit puer orbus parentibus Damon nomine, cognomento Peripoltas, longe et corporis pulchritudine et animi magnitudine suæ ætatis adolescentibus præstantior, cetera rudis ingenioque asper. (3) Hujus jam ex ephebis egressi amore Romanus quidam, cohortis præfectus, quæ tum forte Chæroneæ hiemabat, correptus, quum nihil tentando donandoque proficeret, haud obscure videbatur vim facturus: quum quidem patriæ nostræ res ea tempestate essent afflictæ, eaque ob paupertatem et exiguitatem contemneretur. (4) Id metuens Damon indigneque attentatam pudicitiam ferens, insidias Romano struxit: et æqualium sedecim tantum, quo facilius fallerent, paucis ascitis quum noctu facies fuligine illevissent, merumque bibissent, prima luce in Romanum sacra in foro facientem impetum dederunt, ipsumque cum paucis aliis trucidaverunt, atque inde ex urbe abierunt. (5) Orto tumultu, Chæronensis senatus coiit eosque capitis damnavit: faciebat hoc ad civitatis apud Romanos excusationem. (6) Vesperi principibus urbis una pro more cœnantibus, Damon cum suis in curiam irrupit, iisque cæsis rursum ex urbe profugit. (7) Forte tum iisdem diebus L. Lucullus cum exercitu cujusdam rei agendæ causa præteriit: inhibitoque itinere, quum de recenti ista re diligenter inquisivisset, civitatemque nullius mali auctorem, magisque et ipsam una injuria affectam intellexisset, milites qui ibi agebant in hiberna secum abduxit. (8) Damonem vero latrociniis agrum et incursionibus vastantem, legationibus humanisque decretis in urbem cives reduxerunt, gymnasioque præfecerunt: post unctum in balneo interfecerunt. (9) Diu exinde spectra eo loco quum viderentur gemitusque exaudiretur, uti a majoribus nostris accepimus, fores balnei obstructæ sunt; et adhuc qui ad locum eum accedunt, visa quædam vocesque terrificas ferri putant. (10) Supersunt autem quidam Damonis genere nati, maxime juxta Stirin in Phocide, quos Æolico d

λοῦσι διὰ τὸ τὸν Δάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χριτάμενον ἐξελθεῖν.

II. Ἐπεὶ δ' ἀστυγείτονες ὄντες Ὀρχομένιοι καὶ διάφοροι τοῖς Χαιρωνεῦσιν ἐμισθώσαντο Ῥωμαϊκὸν συκοφάντην, ὁ δ' ὥσπερ ἑνὸς ἀνθρώπου τὸ τῆς πόλεως ὄνομα κατενεγκὼν ἐδίωκε φόνου τῶν ὑπὸ τοῦ Δάμωνος ἀνῃρημένων, ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς Μακεδονίας (οὔπω γὰρ εἰς τὴν Ἑλλάδα Ῥωμαῖοι στρατηγοὺς διεπέμποντο), οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως ἐπεκαλοῦντο τὴν Λουκούλλου μαρτυρίαν, γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς Λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις κινδυνεύουσα περὶ τῶν μεγίστων, ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες εἰκόνα τοῦ Λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν Διόνυσον ἀνέστησαν, ἡμεῖς δ', εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς τοὺς νῦν ὄντας, εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων τὰς πράξεις τοῦ ἀνδρὸς, τἀληθῆ διεξιόντες. (2) Ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις· ἀληθοῦς δὲ μαρτυρίας οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λαβεῖν ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὑτοῦ διήγησιν. (3) Ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μικρὸν αὐτοῖς δυσχερὲς, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως μήτ' ἐξακριβοῦν· τὸ μὲν γὰρ αἰσχρὰν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν· οὕτως, ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἀμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἐπιδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον ὥσπερ ὁμοιότητα τὴν ἀλήθειαν. (4) Τὰς δ' ἐκ πάθους τινὸς ἢ πολιτικῆς ἀνάγκης ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας ἐλλείμματα μᾶλλον ἀρετῆς τινος ἢ κακίας πονηρεύματα νομίζοντας οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς, ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς οὐδ' ἀναμφισβήτητον εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν.

III. Ὁ δ' οὖν Λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ Κίμωνι παραβλητέος εἶναι. Πολεμικοὶ γὰρ ἀμφότεροι καὶ πρὸς τοὺς βαρβάρους λαμπροὶ, πρᾷοι δὲ τὰ πολιτικὰ καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀναπνοὴν ταῖς πατρίσι παρασχόντες, ἕκαστος δέ τις αὐτῶν στήσαντες τρόπαια καὶ νίκας ἀνελόμενοι περιβοήτους. (2) Οὔτε γὰρ Ἑλλήνων Κίμωνος οὔτε Ῥωμαίων Λουκούλλου πρότερος οὐδεὶς οὕτω μακρὰν πολεμῶν προῆλθεν, ἔξω λόγου τιθεμένων τῶν καθ' Ἡρακλέα καὶ Διόνυσον, εἴ τέ τι Περσέως πρὸς Αἰθίοπας ἢ Μήδους καὶ Ἀρμενίους ἢ Ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμη φερόμενον εἰς τοὺς νῦν ἀφῖκται. (3) Κοινὸν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας, ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. (4) Μάλιστα δ' ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας ὑγρότης καὶ δαψίλεια καὶ τὸ

idiomate, quod fuligine illitus Damon ad cædem Romanorum prorupit, Asbolomenos (i. e. fuliginatos) appellant.

II. Ceterum Orchomenii vicini et adversarii Chæronensibus, Romanum rabulam conduxerunt, qui totam Chæronensium civitatem, tanquam unum aliquem hominem, de cæde eorum qui a Damone fuerunt trucidati postulavit: judex fuit Macedoniæ prætor, quod eo tempore nondum in Græciam Romani prætores mittebant. Chæronensium autem patroni Lucullum testem laudaverunt, eique quum scripsisset prætor atque is veritati testimonium tulisset, absoluta est civitas, quum quidem summo esset versata in discrimine. Itaque Chæronenses, quibus tum Lucullus salutem attulit, statuam ei lapideam in foro juxta Bacchum posuerunt, nos autem, quamvis multis ætatibus posteriores, tamen id ad nos quoque qui nunc vivimus pertinere beneficium rati, multo etiam pulchriorem imaginem judicantes esse eam, qua mores ingeniumque quam qua corpus et facies exprimitur, in hac clarissimorum virorum comparatione Luculli res gestas vera narratione exponemus. (2) Satis enim inest in memoria gratia: pro vero autem testimonio falsam et commentitiam de se narrationem ne ipse quidem sibi rependi voluisset. (3) Proinde ut eos qui pulcherrimas et elegantissimas formas depingunt, si quid illis adsit minus venustum, neque omittere plane volumus, neque exprimere exactius; quod hoc turpem, illud propositæ formæ dissimilem aspectum esset præbiturum: ita, quando difficile est, imo plane fieri nequit, ut hominis vita inculpata prorsus atque ab omni parte pura sit, in iis quæ laudem merentur, est veritas, tanquam similitudo, plane exprimenda. (4) Si quæ autem vitia et errores seu ex affectu aliquo seu civili necessitate incurrerunt in ipsas actiones, existimare debemus, defectus potius virtutis esse, quam nequitiæ vitia, atque ideo nequaquam nimio studio aut operose in historia exagitare: sed quasi pudore humanæ naturæ moveri, quæ nullum præclarum ingenium sincerum et perfectæ virtuti deditum protulerit.

III. Ac nobis cogitantibus cuinam Lucullum conferremus, Cimonis in mentem venit. Fuit enim uterque bellicosus et rebus contra barbaros gestis illustris: uterque in civilibus rebus mansuetus et qui præsertim patriæ a seditionibus intestinis respirandi facultatem daret: uterque tropæa statuit et victorias retulit insignes. (2) Non enim inter Græcos Cimone, de Romanis Lucullo prior quispiam tam longe bellum gerendo progressus est: si, quæ de Hercule et Baccho feruntur, omittamus, aut si qua de Persei apud Æthiopas, Medos et Armenios, aut Iasonis rebus gestis fide digna jam inde a priscis temporibus ad nos memoria propagata sunt. (3) Commune id etiam utrique fuit, quod bellum non perfecerunt plane, fregeruntque, non deleverunt hostem. (4) Maxime autem in conviviis et humaniter tractandis

νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ παραπλήσιον ἐπ' ἀμφοτέρων ἰδεῖν ὑπάρχει. (5) Παραλείπομεν δ' ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν.

IV. Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται. (2) Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικὸς τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. (3) Καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ (τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον) λέγεται φονευθεὶς ἐκεῖ, μνῆμα δ' αὐτοῦ τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων ἐν τοῖς Κιμωνείοις δείκνυται παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. (4) Ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τῶν δήμων, οἱ δὲ περὶ τὸν Μιλτιάδην Λακιάδαι. (5) Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὀφλὼν δίκην καὶ πρὸς τὴν ἔκτισιν εἱρχθεὶς ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ, Κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ πόλει καὶ κακῶς ἤκουεν ὡς ἄτακτος καὶ πολυπότης καὶ τῷ πάππῳ Κίμωνι προσοικὼς τὴν φύσιν, ὃν δι' εὐήθειαν φασι Κοάλεμον προσαγορευθῆναι. (6) Στησίμβροτος δ' ὁ Θάσιος περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονὼς φησιν αὐτὸν οὔτε μουσικὴν οὔτε ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι, δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθὸν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα· ταῦτα γὰρ ἔστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. (7) Ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. Καὶ γὰρ οὐδ' ἄλλως τὴν Ἐλπινίκην εὐτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς Πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγράφον· καὶ διὰ τοῦτό φασιν ἐν τῇ Πλησιαναξτίῳ τότε καλουμένῃ, Ποικίλῃ δὲ νῦν στοᾷ γράφοντα τὰς Τρωάδας τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον ἐν εἰκόνι τῆς Ἐλπινίκης. (8) Ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ' ἡμιθέων ἀρεταῖς.

(9) Εἰσὶ δ' οἳ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν· ἐπεὶ δὲ Καλλίας τῶν εὐπόρων τις Ἀθήνησιν ἐρασθεὶς προσῆλθε

hominibus facilitas et liberalitas, victusque ratio nova et laxa in utroque conspici potest. (5) Sed prætereamus ceteras similitudines, quas non est difficile ipsa ex narratione colligere.

IV. Cimo Miltiadis filius matrem Hegesipylam habuit, Thraciæ regis Olori filiam, ut in Archelai et Melanthii carminibus in Cimonem scriptis traditur. (2) Propterea Thucydides etiam, historiarum conditor, Cimonis cognatus, Olorum patrem habuit, qui ad Olorum regem veluti progenitorem nomen referret, aurique secturas in Thracia possedit. (3) In Scapte Hyle (Thraciæ locus est, *quasi effossam silvam diceres*) necatus fertur: monumentum vero reliquiarum ejus in Atticam relatarum inter Cimonea ostenditur, juxta Elpinicæ, quæ Cimonis soror fuit, sepulcrum. (4) Verum Thucydides Halimusius fuit, si curias spectes, Miltiades Laciades. (5) Enimvero Miltiades quinquaginta damnatus talentis et, dum satisfaceret, in vinculis habitus, in carcere periit; Cimon autem, adolescentulus admodum relictus cum sorore sua Elpinica virgine adhuc et innupta, initio male Athenis audivit quod, incompositæ vitæ bibaxque esset, naturaque Cimonem avum referret, cui ob fatuitatem Coalemi cognomentum fuerat inditum. (6) Stesimbrotus Thasius, qui iisdem fere quibus Cimon temporibus vixit, neque in musica eum, neque ulla alia liberali disciplina, quæ tum apud Græcos passim in usu erant, institutum fuisse affirmat: a facundia etiam Attica leporeque dicendi plane fuisse alienum: indole fuisse admodum generosa atque aperta, animoque magis Peloponnesio quam Attico, et quod de Hercule Euripides dicit,

Incultum, ineptum, in maximis rebus bonum:

hoc enim licet addere iis quæ Stesimbrotus scripsit. (7) Juvenis adhuc creditus est cum sorore Elpinica rem habere. Fuit quidem ea, ut fertur, nec alias pudicitiæ temperans, ut quæ et Polygnotum pictorem admiserit: atque ob id eum aiunt quum Trojanas mulieres in porticu, quæ nunc Pœcile dicitur, olim Plisianactios, depingeret, Laodicen Elpinices forma expressisse. (8) Is Polygnotus non artificio quæstum faciebat, neque operam pingendæ porticui locaverat, sed gratis liberalitatemque suam urbi ostentandi causa: id quod et alii scriptores narrant et ita Melanthius poeta:

Namque suo sumptu divorum templa forumque
Cecropium heroum virtutibus exornavit.

(9) Sunt qui non furtim Elpinicam cum Cimone, sed palam contractis nuptiis consuetudinem habuisse dicant, quum ob paupertatem nullum sua nobilitate dignum inveniret maritum: quum autem Callias, unus ex locupletibus Athenien-

τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίνειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην. (10) Οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι. Καὶ γὰρ Ἀστερίας τῷ γένει Σαλαμινίας καὶ πάλιν Μνήστρας τινὸς ὁ ποιητὴς Μελάνθιος μνημονεύει πρὸς τὸν Κίμωνα παίζων δι' ἐλεγείας ὡς σπουδαζομένων ὑπ' αὐτοῦ. (11) Δῆλος δ' ἐστὶ καὶ πρὸς Ἰσοδίκην τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ' αὐτῷ συμβιώσασαν, ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτὸν, ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον οὐκ ἄπο τρόπου τοῖς χρόνοις εἰκάζων.

V. Τὰ δ' ἄλλα πάντα τοῦ ἤθους ἀγαστὰ καὶ γενναῖα τοῦ Κίμωνος. Οὔτε γὰρ τόλμῃ Μιλτιάδου λειπόμενος οὔτε συνέσει Θεμιστοκλέους δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι, καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. (2) Ὅτε γὰρ τὸν δῆμον ἐπιόντων Μήδων Θεμιστοκλῆς ἔπεισε προέμενον τὴν πόλιν καὶ τὴν χώραν ἐκλιπόντα πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι καὶ διαγωνίσασθαι κατὰ θάλατταν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων, ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. (3) Ἀναθεὶς δὲ τὸν χαλινὸν καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων καὶ προσευξάμενος τῇ θεῷ κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος. (4) Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ὡς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας, οὐλη καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. (5) Φανεὶς δὲ καὶ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. (6) Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο καὶ μεστὸς ὢν τοῦ Θεμιστοκλέους ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς διὰ πραότητα καὶ ἀφέλειαν. (7) Οὐχ ἥκιστα δὲ αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυίαν ἐνορῶν τῷ ἤθει καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

VI. Ἐπεὶ δὲ Μήδων φυγόντων ἐκ τῆς Ἑλλάδος ἐπέμφθη στρατηγὸς, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ τε καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατείαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας καὶ βασι-

sibus, amore ejus captus accessisset, paratus mulctam Miltiadi irrogatam ærario publico pendere, et ipsam assensisse et Cimonem eam Calliæ nuptum dedisse. (10) Quanquam satis apparet amoribus mulierum plane deditum fuisse Cimonem. Melanthius enim poeta quadam elegia de ipso ludens, Asteriæ Salaminiæ et Mnestræ cujusdam, mulierum ab illo cultarum, meminit. (11) Et id manifestum est, in Isodicen quoque filiam Euryptolemi, Megaclis filii, legitimam suam uxorem vehementiore amore affectum fuisse, ejusque mortem ægerrime tulisse: si quidem ex elegiis, quæ consolandi luctus causa ad eum scriptæ sunt (Archelaum physicum earum auctorem Panætius philosophus existimat, haud absurde sumpta a ratione temporis conjectura licet colligere.

V. In ceteris ingenio fuit Cimon præstanti atque generoso. Nam neque audacia Miltiadi cedens, neque sapientia Themistocli, utroque justior fuisse censetur: quumque ne minimum quidem iis virtute bellica inferior esset, dici vix potest quantum eos civili prudentia superaverit, juvenis etiamnum et bellorum rudis. (2) Quo enim tempore Medis ingruentibus Themistocles populo persuasit ut, urbe regioneque relicta, ante Salaminam arma in naves imponerent, navalique prœlio decertarent: quum multitudo ad ejus conatus magnitudinem obstupesceret, primus Cimon inspicientibus omnibus per Ceramicum hilari vultu cum sociis in arcem ascendit, frenum equestre manu gestans, dedicaturus id Minervæ, quasi non jam equestri robore, sed classiariis civitas indigeret. (3) Consecrato freno, unum de scutis quæ circum templum erant suspensa arripuit, votisque Minervæ factis ad mare descendit: quum quidem ea re haud paucos ad audendum excitasset. (4) Neque vero forma turpi fuit, ut Ion perhibuit poeta, sed magnus, crispaque et multa cæsarie caput exornatus. (5) Quum autem in certamine Salaminio fortiter se præclareque gessisset, statim apud cives gloriam sibi paravit atque favorem, multique ad ipsum convenientes hortabantur, ut jam nunc Marathone digna cogitaret atque ageret. (6) Quum itaque ad rempublicam se contulisset, magno civium favore exceptus est: qui satietate jam Themistoclis capti, ad summos eum honores atque magistratus evexerunt, gratum multitudini idoneumque propter mansuetudinem et simplicitatem. (7) Haud minimum ad eam rem ei Aristides Lysimachi filius contulit, qui indolem ipsius ex moribus conspicatus, tanquam adversarium eum Themistoclis vehementiæ audaciæque constituit.

VI. Medis ex Græcia fugatis, missus ipse dux copiarum navalium, quum nondum penes Athenienses summa rerum esset, sed Pausaniam ii Lacedæmoniosque adhuc sequerentur, in expeditionibus cives semper et in ordine mirabili continuit et multo omnibus aliis alacritate priores habuit. Inde ubi Pausanias cum barbaris de proditione collocutus, ad regem litteras dedit, socios autem aspere et superbe

λεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πρᾴως τοὺς ἀδικουμένους καὶ φιλανθρώπως ἐξομιλῶν ἔλαθεν οὐ δι' ὅπλων τὴν τῆς Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. (2) Προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. Οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης καὶ ταραττομένης τῆς Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν. (3) Λέγεται δὲ παρθένον τινὰ Βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα Κλεονίκην, ἐπ' αἰσχύνῃ τοῦ Παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ' ἀνάγκης καὶ φόβου προέσθαι τὴν παῖδα, τὴν δὲ τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, διὰ σκότους καὶ σιωπῇς τῇ κλίνῃ προσιοῦσαν ἤδη τοῦ Παυσανίου καθεύδοντος ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν· τὸν δὲ ὑπὸ τοῦ ψόφου ταραχθέντα σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον, ὥς τινος ἐπ' αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ καταβαλεῖν τὴν παρθένον, ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν οὐκ ἐᾶν τὸν Παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν τόδε τὸ ἡρῷον,

Στεῖχε δίκης ἄσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

(4) Ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι μετὰ τοῦ Κίμωνος ἐξεπολιόρκησαν αὐτόν. Ὁ δ' ἐκπεσὼν τοῦ Βυζαντίου, καὶ τῷ φάσματι ταραττόμενος, ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς Ἡράκλειαν καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς Κλεονίκης παρῃτεῖτο τὴν ὀργήν. (5) Ἡ δ' εἰς ὄψιν ἐλθοῦσα ταχέως ἔφη παύσασθαι τῶν κακῶν αὐτὸν ἐν Σπάρτῃ γενόμενον, αἰνιττομένη, ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. Ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱστόρηται.

VII. Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως Ἠιόνα πόλιν παρὰ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. (2) Πρῶτον μὲν οὖν αὐτοὺς μάχῃ τοὺς Πέρσας ἐνίκησε καὶ κατέκλεισεν εἰς τὴν πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην τὸν βασιλέως στρατηγὸν ἀπογνόντα τὰ πράγματα τῇ πόλει πῦρ ἐνεῖναι καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. (3) Οὕτω δὲ λαβὼν τὴν πόλιν ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκαταφθαρέντων, τὴν δὲ χώραν εὐφυεστάτην οὖσαν καὶ καλλίστην οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. (4) Καὶ τοὺς Ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀνατθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ,

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠιόνι Στρυμόνος ἀμφὶ ῥοὰς

tractavit, multaque per potestatem et fastum libidinose fecit: Cimon, eos qui essent injuria affecti humaniter ad se recipiendo, clementerque conversando, sensim non armis, sed oratione et moribus suis blandis Græciæ principatum ad sese traxit. (2) Plerique enim sociorum, Pausaniæ insolentiam fastumque non ferentes, huic et Aristidi se conjungebant. Hi simul et hos ad se recipiebant, et missis Spartam literis, ephoris indicabant, male audire Spartam, perturbarique Græciam, ideo revocandum esse domum Pausaniam. (3) Traditum est, a Pausania Byzantiam quandam virginem, Cleonicen nomine, nobilibus natam parentibus, ad stuprum accersitam fuisse, parentes necessitate et metu victos eam tradidisse: virginem exoratis cubiculi custodibus uti lumen exstinguerent, silentio per tenebras ad lectum Pausaniæ jam sopiti accessisse, interque eundum in lucernam incidisse, casuque eam evertisse: Pausaniam strepitu excitatum, arrepto gladio, quasi hoste aliquo irruente, virginem feriisse: ipsam ex vulnere mortuam, nunquam deinde Pausaniæ non ademisse quietem, verum noctu subinde ei in somnis apparuisse iratam, atque hoc eum versu heroico compellasse:

Vade ad supplicium: dat maxima damna libido.

(4) Hoc facinus gravissime ferentes socii, Cimone duce Byzantii Pausaniam obsederunt. Is Byzantio elapsus perturbatusque, ut aiunt, isto viso, Heracleam confugit ad oraculum quo manes evocantur: excitaque Cleonices anima, ejus iram placare intendit. (5) Illa autem apparuit dixitque fore ut mox, ubi Spartam pervenisset, a malis liberaretur, obscure nimirum exitum ejus innuens. Hæc a multis sunt memoriæ prodita.

VII. Cimon autem, quum se jam sociæ civitates ipsi adjunxissent, dux in Thraciam navigavit, ibi audito Persas quosdam nobiles viros et regi junctos sanguine, Eiona urbem ad fluvium Strymonem tenere, vicinisque inde Græcis esse molestos. (2) Ac primum ipsos barbaros prœlio victos in urbem compulit: deinde Thracas, qui supra Strymonem habitabant, unde barbaris commeatus subvehebatur, sedibus suis expulit, totamque regionem custodiens ipse eo difficultatis obsessos Medos compulit, ut Butes, regius dux, rebus desperatis urbem incenderit, seque una cum amicis et opibus perdiderit. (3) Hoc modo urbem quum cepisset Cimon, quamvis nihil admodum prædæ nactus fuerit, plerisque rebus una cum hoste incendio absumptis, regionem tamen fertilissimam eam pulcherrimamque Atheniensibus habendam dedit. (4) Concessumque est ei a populo, ut lapideas Mercurii statuas ipse poneret: quarum primæ hæc est inscriptio:

Hi quoque erant fortes, qui Medo ex hoste creatos
Strymonis ad ripas mœnibus Eionis,

λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην·

τῷ δὲ δευτέρῳ,

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν·

483 τῷ δὲ τρίτῳ,

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον·
ὃν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι παλαίσθαι
κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

VIII. Ταῦτα καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. (2) Οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινὸς οὔτε Μιλτιάδης ἔτυχεν, ἀλλὰ τούτῳ γε θαλλοῦ στέφανον αἰτοῦντι Σωχάρης ὁ Δεκελεὺς ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφείς, « Ὅταν γὰρ, ἔφη, μόνος ἀγωνισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου. » (3) Διὰ τί τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους, τούτου δὲ καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν ἐπὶ τὴν ἐκείνων αὐτοὶ στρατεύσαντες, καὶ προσεκτήσαντο χώρας αὐτήν τε τὴν Ἰόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες; (4) Ἔῳκισαν δὲ καὶ Σκῦρον ἑλόντος Κίμωνος ἐξ αἰτίας τοιαύτης. Δόλοπες ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς· ληιζόμενοι δὲ τὴν θάλασσαν ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ τὸ Κτήσιον ὁρμισαμένους συλήσαντες εἶρξαν. (5) Ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι πέμπουσι γράμματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πόλιν ὑπ' αὐτῶν ἐνδιδομένην. (6) Παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ Κίμων τοὺς μὲν Δόλοπας ἐξήλασε καὶ τὸν Αἰγαῖον ἠλευθέρωσε, πυνθανόμενος δὲ τὸν παλαιὸν Θησέα τὸν Αἰγέως φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ δ' ἀποθανόντα δόλῳ διὰ φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. (7) Καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις τὰ Θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄστυ καὶ τιμᾶν ὡς ἥρωα πρεπόντως, ἀλλ' ἠγνόουν ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων οὐδ' ἐώντων ἀναζητεῖν. (8) Τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὐτοῦ τριήρη τὰ ὀστᾶ καὶ τἆλλα κοσμήσας μεγαλοπρεπῶς κατήγαγεν εἰς τὴν αὐτοῦ δι' ἐτῶν σχεδὸν ὀκτακοσίων. (9) Ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. Ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. Πρώτην γὰρ

f illata flagrante fame et Mavorte cruento,
extremas primi res docuere pati.

Secundæ hæc :

Pro tam præclaris meritis largitur honorem
hunc populus patrils Cecropidûm ducibus
Cernentem hæc aliquem de posteritate juvabit
ardua pro magna laude pericla sequi.

a Tertiæ ita habebat :

Hac olim bellatores ex urbe Menestheus
ad Trojam Atridis duxit in auxilium,
quarum præ reliquis quem cantat Homerus Achivis
compositis acies instruere ordinibus.
Illo Cecropidas justum est se nomine ferre :
se pugnæ præbent ordinibusque duces.

VIII. Quæ omnia tametsi nusquam Cimonis nomen proferunt, tamen ejus ætatis hominibus videbantur immensi esse honoris. (2) Nihil enim neque Themistocli tale, neque Miltiadi contigit. Et huic quidem frondeam coronam petenti b Sochares Decelensis media ex concione assurgens contradixit, ingratam quidem, sed tamen populo tum temporis probatam vocem edens : Quando, inquit, o Miltiades, solus ipse pugnaveris ac barbaros viceris, tum et solus honorem pete. (3) Quid ergo causæ fuit, quod Cimonis factum hoc tanti fecerunt? an quia reliquis ducibus id modo consecuti sunt, ut depulsis hostibus nihil mali acciperent, sub Cimone ipsis quoque hostibus cladem, facta in eos expeditione, attulerunt et terram occupaverunt, deductis Eionem et Amphipolim coloniis? (4) Scyrum quoque colonia ducta est, quum eam hac occasione Cimon cepisset. Habitabant in ea insula Dolopes, agriculturæ parum dediti, c sed qui jam inde ab initio maritima latrocinia exercere assueti, neque ab advenis illorum portus intrantibus et negotiantibus vim abstinerent : et ita Thessalos quosdam negotiatores, quum ii apud Ctesium naves subduxissent, spoliatos in vincula conjecerant. (5) Hi quum e vinculis effugissent, effecerunt ut Scyril in jus vocati apud Amphictyones pecunia mulctarentur, causamque suam obtinuissent, quum multitudo nollet ad persolvendam, quæ rapta fuerat, pecuniam conferre, sed eos qui diripuissent atque tenerent, reddere juberet : hi sibi metuentes, Cimonem missis litteris jussed runt cum navibus venire, accepturum ipsis tradentibus Scyrum in suam potestatem. (6) Cimon hoc modo insula potitus, Dolopas ejecit, Ægæumque mare prædonibus liberavit. Audiverat etiam priscum illum Theseum Ægei filium, Athenis profugum in ea insula dolo Lycomedis regis sibi ab eo metuentis periisse : ejus sepulcrum invenire cupiebat. (7) Erat enim oraculo Atheniensibus mandatum, ut Thesei reliquias in urbem reportarent, heroicisque honoribus colerent : verum eæ ubi sitæ essent, ignorabatur, Scyriis dissimulantibus neque inquirendi facultatem concedentibus. (8) Tunc igitur ægre et magno studio invento loculo, ossa Cimon in suam triremem imposuit, magnificeque ornata Athenas reportavit, octingentesimo fere post- e quam Theseus Athenis fugerat anno. (9) Hoc illi maximum populi favorem conciliavit. Itaque et memoriæ causa judicium tragœdorum, quod celebre factum est, constituerunt.

διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος Ἀψεφίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος, ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. (10) Ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε. (11) Νικήσαντος δὲ τοῦ Σοφοκλέους λέγεται τὸν Αἰσχύλον περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα χρόνον οὐ πολὺν Ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

484 IX. Συνδειπνῆσαι δὲ τῷ Κίμωνί φησιν ὁ Ἴων παντάπασι μειράκιον ἥκων εἰς Ἀθήνας ἐκ Χίου παρὰ Λαομέδοντι· καὶ τῶν σπονδῶν γενομένων παρακληθέντος ᾆσαι καὶ ᾄσαντος οὐκ ἀηδῶς ἐπαινεῖν τοὺς παρόντας ὡς δεξιώτερον Θεμιστοκλέους· ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν οὐδὲ κιθαρίζειν, πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι· τοὐντεῦθεν, οἷον εἰκὸς ἐν πότῳ, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. (2) Ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι τῷ μὲν Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτούς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ἠτιῶντο τὴν διανομὴν ὡς ἄνισον. Ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν ἀγαπήσειν Ἀθηναίους. (3) Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. (4) Καὶ τότε μὲν ὁ Κίμων ἀπῄει γελοῖος εἶναι δοκῶν διανομεὺς, τῶν μὲν συμμάχων ψέλια χρυσᾶ καὶ μανιάκας καὶ στρεπτοὺς καὶ κάνδυας καὶ πορφύραν φερομένων, τῶν δ' Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. (5) Μικρὸν δὲ ὕστερον οἱ τῶν ἁλωκότων φίλοι καὶ οἰκεῖοι καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον, ὥστε τῷ Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

X. Ἤδη δ' εὐπορῶν ὁ Κίμων ἐφόδια τῆς στρατηγίας, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. (2) Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας, καὶ δεῖπνον οἶκοι παρ' αὐτῷ λιτὸν μέν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ' ἡμέραν, ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει καὶ διατροφὴν εἶχεν ἀπράγμονα μόνοις τοῖς δημοσίοις σχολάζων. (3) Ὡς δ' Ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βου-

Quum enim primam fabulam Sophocles juvenis adhuc doceret, orto inter spectatores dissidio et rixa, princeps civitatis Apsephion certaminis ejus nullos delegit arbitros, sed Cimonem una cum collegis in theatrum progressum, quum is deo rite libasset, retinuit, juramentoque adactos coegit considere atque judicare; erant autem decem viri unus ex quavis tribu. (10) Fuit id certamen vel propter judicum auctoritatem ardentius. (11) Sophocles vicisse traditur, Æschylusque ægerrime id tulisse, pauloque post irato animo in Siciliam concessisse, ubi et mortuus et juxta Gelam sepultus est.

IX. Ion se, quum adolescens admodum ex Chio Athenas venisset, cœnavisse apud Laomedontem cum Cimone ait: jussumque hunc peractis libationibus canere, præstitisse id non ineleganter, eamque ob rem ab iis qui aderant laudatum utpote Themistocle exercitatiorem. Is enim non se canere aut ludere fidibus didicisse aiebat, sed urbis ad magnitudinem et divitias evehendi artem callere. Exinde, ut inter pocula fieri assolet, deducto ad res Cimonis gestas sermone, maximisque earum commemoratis, unum ait ab ipso suorum strategematum recitatum, quod prudentissimum ipse judicaret. (2) Socios quum a Sesto et Byzantio, multos barbaros cepissent, partitionem sibi commisisse. Tum se ab una parte captivis, ab altera vestibus et instrumento omni eorum posito, quum inique in divisione versatus diceretur, optionem sociis dedisse utram ipsi vellent partem eligendi, reliqua Athenienses contentos futuros. (3) Auctore Herophyto Samio, uti Persarum potius bona quam corpora acciperent, illi ornamenta accepere, Atheniensibus captivos reliquerunt: (4) quum quidem ipse in præsentia risui haberetur, quod inepte prædam partitus esset: nempe sociis armillas aureas et torques et candyas et tunicas purpureas auferentibus, quum Athenienses nuda corpora, eaque male ad laborem instituta acciperent. (5) Paulo post captivorum amicos et propinquos ex Phrygia et Lydia adventantes, singulos captivorum magna redemisse pecunia, ita ut quattuor mensium stipendia in classem inde nactus, ac præterea ex pretio redemptionum multum auri in ærarium sit relatum.

X. Cimon abunde in militares usus jam auctus opibus, ea quæ præclare ab hostibus paravisse visus est, honestius in cives impendebat. (2) Nam et sepes agrorum suorum sustulit, ut et hospites et ex civibus qui opus haberent fructibus eorum impune possent frui: cœnam etiam domi suæ frugalem eam, sed multis tamen sufficientem quotidie apparabat, ut quicunque pauperum vellet, eam adiret alimentaque nullo labore parta habens, tantum publicis vacaret negotiis. (3) Aristoteles non omnibus Atheniensibus, sed curialibus suis Laciadis, quicunque ex iis ut

λομένῳ τὸ δεῖπνον. (4) Αὐτῷ δὲ νεανίσκοι παρείποντο δύο ἢ τρεῖς ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια· καὶ
b τὸ γινόμενον ἐφαίνετο σεμνόν. (5) Οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνe βαλλον εἰς τὰς χεῖρας. (6) Ὧν δὴ καὶ Κρατῖνος ὁ κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων·

Κἀγὼ γὰρ ἤχουν Μητρόβιος ὁ γραμματεὺς
σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ
καὶ πάντ' ἀρίστῳ τῶν Πανελλήνων πρὸ τοῦ
Κίμωνι λιπαρὸν γῆρας εὐωχούμενος
αἰῶνα πάντα συνδιατρίψειν. Ὁ δὲ
λιπὼν βέβηκε πρότερος.

(7) Ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός φησι τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μέν, ὡς χρῷτο, χρῆσθαι δέ, ὡς τιμῷτο, Κριτίας δὲ τῶν τριάκοντα γενόμενος ἐν ταῖς f ἐλεγείαις εὔχεται

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀγεσίλα τοῦ Λακεδαιμονίου.

(8) Καίτοι Λίχαν γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον ἢ
485ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν· ἡ δὲ a
Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. (9) Οἱ μὲν γὰρ, ἐφ' οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τό τε σπέρμα τῆς τροφῆς εἰς τοὺς Ἕλληνας ἐξέδωκαν ὑδάτων τε πηγαίων... καὶ πυρὸς ἔναυσιν χρήζουσιν ἀνθρώποις ἐδίδαξαν, ὁ δὲ τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινὸν, ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς καὶ ὅσα ὧραι καλὰ φέρουσι χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. (10) Οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο b
τοῦ ἀνδρὸς προαιρέσεως ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης, ὅς γε καὶ Θεμιστοκλεῖ πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν ἀντέβαινε μετ' Ἀριστείδου καὶ πρὸς Ἐφιάλτην ὕστερον χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν διηνέχθη, λημμάτων δὲ δημοσίων τοὺς ἄλλους πλὴν Ἀριστείδου καὶ Ἐφιάλτου πάντας ἀναπιμπλαμένους ὁρῶν, αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε. (11) Λέγεται γέ τοι Ῥοισάκην τινὰ βάρβαρον ἀποστάτην βασιλέως ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας καὶ σπαραττόμενον ὑπὸ τῶν συκοφαντῶν c
καταφυγεῖν πρὸς Κίμωνα καὶ θεῖναι παρὰ τὴν αὐλειον αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρείων ἐμπλησάμενον Δαρεικῶν, τὴν δὲ χρυσῶν· ἰδόντα δὲ τὸν Κίμωνα καὶ μειδιάσαντα πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται Κίμωνα μισθωτὸν ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φί-

vellent, cœnam eum parasse scribit. (4) Comitabantur Cimonem assiduo duo vel tres adolescentes: ii, si quis senior ex civibus Cimonem compellaret malis vestibus indutus, cum eo vestimenta mutabant. Videbaturque ea res habere haud parum splendoris. (5) Iidem adolescentes, multum secum pecuniæ ferentes, honestioribus in foro psuperibus occulte nummos in manus immittebant. (6) Quarum rerum videtur in Archilochis mentionem fecisse Cratinus comicus ita scribens:

Et ipse ego scriba Metrobius optaveram
divino et hospitali apprime cum viro
primoque Graiorum omnigenis virtutibus
Cimone senium exigere suaviter meum,
convivilisque ætatem terere: at hunc prius
fatum abstulit.....

(7) Porro Gorgias Leontinus Cimonem divitias paravisse ut eis uteretur, usum autem ut in honore haberetur, asseruit. Critias autem, qui de triginta tyrannis unus fuit, in elegis suis sibi optat

Divitias Scopadûm, donandi animumque Cimonis,
vincere et Agesilam ceu Lacedæmonium.

(8) Licham quidem Spartanum nulla alia re inter Græcos celebre nomen adeptum novimus, quam quod peregrinos ludis gymnicis hospitio acceperit. Cimonis vero liberalitas etiam priscam illam Atheniensium hospitalitatem humanitatemque superavit. (9) Ii enim, quod non immerito gloriæ sibi ducunt Athenæ, et semen frumenti inter Græcos vulgarunt, et fontanarum aquarum ignisque accendendi communitatem opus habentibus demonstrarunt: at iste domum suam civibus Prytanei instar communicando, in prædiis omnium fructuum primitias, et quæcunque anni tempestates secum commoda ferunt, utenda et accipienda omnibus hospitibus præbendo, fabulosam illam quæ Saturni fuerit temporibus omnium rerum communionem in vitam iterum reduxit. (10) Quodsi qui hæc adulationem esse, et auræ popularis captationem calumniati sunt, facile eos reliquum vitæ institutum ejus viri redarguit, optimatium partibus studentis et Laconicum morem tenentis: quando is et Themistocli populi in republica potestatem ultra quam conveniret extollenti, una cum Aristide se opposuit, et postea Ephialti, in gratiam populi Areopagiticum senatum tollere aggresso, adversarius fuit. Quum vero quæstu ex bonis publicis reliquos excepto Aristide et Ephialte omnes corruptos videret, ipse ad finem usque in republica tractanda a muneribus capiendis sibi cavit, omniaque continenter gratis et integre egit atque dixit. (11) Rœsacem quendam barbarum, qui a rege defecisset, perhibent cum magna pecunia Athenas pervenisse: hunc a calumniatoribus vexatum, ad Cimonem confugisse, atque apud foreș duas pateras deposuisse, unam argenteis plenam Daricis, aureis alteram. Cimonem his visis subrisisse, quæsivisseque ex eo, Cimonemne mercede conductum an amicum habere mallet: quum

λον, « Οὐκοῦν, φάναι, ταῦτ' ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς ὅταν δέωμαι φίλος γενόμενος. »

XI. Ἐπεὶ δὲ οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν, ἄνδρας δὲ καὶ ναῦς ὡς ἐτάχθησαν οὐ παρεῖχον, ἀλλ ἀπαγορεύοντες ἤδη πρὸς τὰς στρατείας καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ' ἡσυχίαν d ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν οὔτ' ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν, Κίμων δὲ τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ f βουλομένων στρατεύεσθαι καὶ ναῦς κενὰς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰκεῖα διατρίβειν, γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους, τῶν δ' Ἀθηναίων e ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων καὶ διαπονῶν ταῖς στρατείαις ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. (2) Πλέοντας γὰρ αὐτοὺς συνεχῶς καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῆς αὐτῶν ἀστρατείας ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες.

XII. Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον ἢ f Κίμων. (2) Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δὲ ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν, ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. (3) Πυθόμενος δὲ τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ 486 πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν καὶ βουλόμενος a αὐτοῖς ἅπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἅρας ἀπὸ Κνίδου καὶ Τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις, ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πολεμίοις. (4) Ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει καὶ προσέβαλλε τοῖς τείχεσιν. (5) Οἱ δὲ Χῖοι συμπλέοντες αὐτῷ, πρὸς b δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκείμενα τοῖς οἰστοῖς ἐξήγγελλον τοῖς Φασηλίταις. Τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς

is amicum respondisset, Ista ergo, dixisse, aufer tecum : contracta enim inter nos amicitia, utar iis ubi opus fuerit.

XI. Quum socii tributa quidem penderent, naves autem virosque non ut fuerat constitutum præberent, sed fessi jam militiæ, neque jam bello opus esse, sed agricultura vitaque quieta putarent (quippe jam summotis nihilque molestiæ afferentibus barbaris), ideoque et naves non instruerent, neque militem mitterent : ceteri Atheniensium duces ad præstanda ea ipsos adigebant, ac qui non satisfecissent, eos in jus trahendo ac puniendo molestum imperium suum atque triste reddebant : Cimon vero diversam viam in suo obeundo munere ingressus, nulli Græcorum vim faciebat, sed pecuniam ab iis, quos militiæ pigebat, accipiens navesque hominum vacuas, eos otio delinitos rebus domesticis occupari, agricolas fieri et quæstui deditos homines pro bellatoribus effici per luxum et vecordiam sinebat, ipse Athenienses alios subinde atque alios in classem conscribens et expeditionibus exercens, parvo temporis spatio, sociorum dominos, quorum stipendiis atque pecuniis alebantur, effecit. (2) Quippe ii assidue navigantes et arma tractantes illos, ex ipsorum militiæ detrectatione se nutrientes et exercentes, metuere et adulari assuefacti, non animadvertebant paulatim se de sociis stipendiarios et servos redigi.

XII. Et vero nemo quisquam regis Persarum perinde atque Cimon sipiritus fregit atque coercuit. (2) Non enim missum eum fecit, postquam est is Græcia expulsus, sed insecutus e vestigio barbaros, antequam ii respirare et se colligere possent, quædam Asiæ loca vastavit atque diripuit, quædam ad defectionem a barbaris ad Græcos pertraxit, ita quidem, ut universam ab Ionia ad Pamphyliam usque Asiam armis Persarum liberaverit. (3) Ut renuntiatum postea est ei, regis duces magno cum exercitu multisque navibus stationem apud Pamphyliam tenere, ut per metum eos omni quod est intra Chelidonias insulas mari excluderet, a Cnido et Triopio cum ducentis triremibus profectus est. Erant hæ ab initio inde ad celeritatem et ut circumagi possent a Themistocle optime paratæ, sed tum Cimon eas et latiores effecit, et transitus per tabulata paravit, ut multis instructæ classiariis majorem in pugna vim haberent. (4) Proinde ad urbem Phaselin advectus, quæ quum Græca esset, classem tamen recipere, aut a rege desciscere nolebat, agrum vastavit, muros oppugnavit. (5) Erant in classe Cimonis Chii, quibus antiquitus cum Phaselitis intercedebat amicitia. Ii modo Cimonem mitigabant, modo sagittis affixos libellos in urbem trajiciendo, Phaselitis omnia significarunt. Postremo pacem inter eos hac conciliaverunt lege, ut Phaselitæ decem talentis persolutis Cimoni, ei se in militia contra barbaros auxiliarios adjungerent atque

βαρβάρους. (6) Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν καὶ τοῦ πεζοῦ Φερενδάτην, Καλλισθένης δ' Ἀριομάνδην τὸν Γωβρύου κυριώτατον ὄντα τῆς δυνάμεως παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. (7) Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη βιάζεσθαι παρεσκευασμένος, ἂν ἐκόντες μὴ ναυμαχῶσιν. (8) Οἱ δὲ πρῶτον μέν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν, ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. (9) Ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες ἐξέπιπτον οἱ πρῶτοι καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον, οἱ δὲ καταλαμβανόμενοι διεφθείροντο μετὰ τῶν νεῶν. (10) Ὃ καὶ δῆλόν ἐστιν, ὅτι παμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μὲν, ὡς εἰκὸς, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

XIII. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας, ὅμως δὲ ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. (2) Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς κρατερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. (3) Πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ἥρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. (4) Κίμων δ' ὥσπερ ἀθλητὴς δεινὸς ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον ἐπηγωνίσατο ταῖς νίκαις· καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν, οὐδὲ εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων· ἢ καὶ μᾶλλον ἐκπλαγέντες ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. (5) Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηὶ καὶ χαλκεμβόλῳ μὴ πλέειν. (6) Καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα καὶ τριάκοντα μόναις Ἐφιάλτην ἐπέκεινα πλεῦσαι Χελιδονίων καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντ-

sequerentur. (6) Regiæ classis præfectum Ephorus Tithrausten nominat, terrestrium copiarum Pherendaten. Callisthenes tradit, Ariomandem Gobryæ filium, summæ rerum præfectum, naves in statione apud Eurymedontem fluvium tenuisse, nihil minus quam pugnare cum Græcis cupientem, sed Phœnicias naves octoginta a Cypro adventantes exspectantem. (7) Hisce ut anteverteret Cimon, in altum provectus est, certus animi vim inferre hosti, si is navale prœlium subterfugisset. (8) Barbari primum, ne vim paterentur, intra fluvium sese receperunt; Atheniensibus autem ingruentibus, ita demum contra provecti sunt, navibus, ut Phanodemus auctor est, sexcentis, Ephorus trecentis quinquaginta scribit. (9) Nihil tantis dignum copiis barbari mari saltem egerunt, sed statim ad terram reversi, primi eorum navibus exsilierunt, et pedestribus se copiis juxta instructis permiscuerunt; qui deprehensi sunt, una cum navibus perierunt. (10) Satisque manifestum est, permultas barbarorum naves instructas fuisse: quando multis haud dubie elapsis, multis perfractis, ducentæ tamen captæ ab Atheniensibus sunt.

XIII. Pedestribus autem copiis ad mare descendentibus, magni quidem laboris opus videbatur Cimoni, vi egressum in terram parare, Græcosque defessos cum integris longeque superioribus numero hostibus committere: cernens tamen suos robore et animo ex victoria parto elatos alacresque ad congrediendum cum barbaris, exposuit gravis armaturæ milites. Hi etiamnum a navali prœlio calentes cum vociferatione in hostem impetum fecerunt. (2) Persis eos subsistentibus, atque haud segniter repugnantibus, acris pugna exstitit: et ab Atheniensibus præstantes quidam summæque dignitatis viri ceciderunt. (3) Fusos multo certamine barbaros interficiebant, deinde capiebant et ipsos et tentoria, omnis generis opum referta. (4) Cimon vero, ut athleta præstans, duabus uno die potitus victoriis superatoque terrestri pugna Salaminio, navali Plataico facinore, certamen aliud quasi additamentum victoriis et tropæum quærens subiit. Octoginta enim, quarum supra est mentio facta, Phœnicias naves, quæ pugnæ non interfuerant, audiens Hydrum appulisse, celeriter eo cum classe navigavit. Nihil dum certi de majoribus suorum ducum copiis ii comperant, verum diffidebant adhuc animosque exspectatione suspensos habebant, quo magis perterriti et naves omnes amiserunt et eorum major pars una perierunt. (5) Id factum regis animum ita dejecit, ut nobilem illam pacis conditionem acceperit, uti semper equi curriculo a Græco mari abstineret, intra Cyaneas et Chelidonias insulas navi longa et ærata ne navigaret. (6) Callisthenes quidem non hoc pactum esse regem scribit, sed ita clade accepta perterritum fuisse, ut hoc faceret: adeoque procul a Græcia se continuisse, ut quinquaginta navibus Pericles, triginta Ephialtes ultra Chelidonias provecti, nullam sibi obviam classem barbaricam

τῆσαι παρὰ τῶν βαρβάρων. (7) Ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ συνήγαγε Κράτερος, ἀντίγραφα συνθηκῶν ὡς γενομένων κατατέτακται. (8) Φασὶ δὲ καὶ βωμὸν Εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. (9) Πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἷς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. (10) Λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι, συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων ἐρεισθῆναι διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. (11) Πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς, αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ, τὴν μὲν ἀγορὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς κατάρρυτον ἀποδείξας ἄλσος, ἠσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

XIV. Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χερρόνησον ἐκλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο καταφρονοῦντες τοῦ Κίμωνος μετ' ὀλίγων παντάπασι τριήρων Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς τέσσαρσι μὲν ναυσὶ, τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν, ἐξελάσας δὲ τοὺς Πέρσας καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χερρόνησον. (2) Ἐκ δὲ τούτου Θασίους μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε καὶ τὴν πόλιν ἐξεπολιόρκησε καὶ τὰ χρυσεῖα τὰ πέραν Ἀθηναίοις προσεκτήσατο καὶ χώραν, ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. (3) Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας καὶ πολλὴν ἀποτεμέσθαι παρασχὼν, ὡς ἐδόκει, μὴ θελήσας αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι, καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. (4) Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς οὐκ Ἰώνων ἔφη προξενεῖν οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην, ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. (5) Μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτός φησι τὴν Ἐλπινίκην ὑπὲρ τοῦ Κίμωνος δεομένην ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος), τὸν δὲ μειδιάσαντα, « Γραῦς εἶ, φάναι, γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα· » πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

XV. Ἐκείνην μὲν οὖν ἀπέφυγε τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ παρὼν μὲν ἐκράτει καὶ συνέστελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίστοις καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν, ὡς δὲ πάλιν ἐπὶ

habuerint. (7) In decretis tamen quæ Craterus congessit, fœderum exemplaria ut reapse conventorum posita habentur. (8) Ferunt etiam Pacis aram propterea ab Atheniensibus positam, summosque Calliæ, qui legatus pacificationi præfuit, honores habitos. (9) Præda autem divendita, populus quum alias opibus crevit, tum ex ea murum arcis qui meridiem spectat ædificavit. (10) Longorum etiam murorum, quos Crura appellant, structuram posterioribus quidem temporibus perfectam, primum tamen tum fundamenta jacta esse dicunt: quæ in locos palustres et luteos quum incidissent, Cimonis opera firmiter suffulta fuisse, quippe qui ad paludes multa glarea et saxis gravibus siccandas sumptus præberet. (11) Primus etiam liberalibus, ut vocabantur, et amœnis locis, in quæ se animi causa reciperent cives, urbem exornavit, quæ paulo post mirum in modum grata fuerunt. Nam et forum platanis consevit, et Academiam ex squalida et aquis carente irriguum lucum effecit, apertis ad cursum spatiis et opacis deambulationibus adornatum.

XIV. Quum Persarum quidam Chersoneso decedere nollent, sed Thraces supra accolentes sibi asciscerent, spreto Cimone, qui cum perpaucis triremibus Athenis solverat, facto in eos impetu, quattuor suis navibus tredecim ipsorum naves cepit, ejectisque Persis et superatis Thracibus, totam Chersonesum Atheniensium ditionis fecit. (2) Inde Thasios, qui ab Atheniensibus defecerant, navali pugna vicit, captis tribus et triginta hostium navibus, urbem expugnavit, aurique metalla, quæ ii in opposita continente possederant, Atheniensibus propria reddidit, agrumque, cui imperabant, Thasiis ademit. (3) Inde quum facile in Macedoniam irrumpere, agrumque sibi vindicare posset, quia id facere nolebat, culpatus est a rege Alexandro donis acceptis ita egisse, coitioneque inimicorum facta, in jus pertractus est. (4) Apud judices causam suam agens: Non Ionibus, inquit, neque Thessalis divitibus patrocinor, id quod alii faciunt, ut ab iis colantur muneribusque afficiantur, sed Lacedæmoniis, imitans eorum diligensque frugalitatem et temperantiam, quæ ego ante omnes divitias pono; lætor tamen, quod hostilibus bonis urbem ditaverim. (5) Stesimbrotus ubi hujus judicii meminit, Elpinicen ait deprecatum pro fratre ad Periclem (is enim erat accusatorum vehementissimus) accessisse: eumque subridentem respondisse: Vetula jam es, o Elpinice, et provectiori ætate, quam ut hujusmodi res conficere possis. Verumtamen in judicio eum in Cimonem fuisse benignissimum, semelque tantum, ut accusatione sibi mandata defungeretur, surrexisse.

XV. Eo in judicio Cimon absolutus est. Quod ad res civiles ab eo tractatas præterea attinet, præsens quidem superabat, compescebatque populum in optimates insurgentem summamque rerum ad sese trahentem: postquam rursus ad

488στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον τά τε πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον, Ἐφιάλτου προεστῶτος ἀφεῖλοντο τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὰς κρίσεις πλὴν ὀλίγων ἁπάσας, καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη καὶ Περικλέους δυναμένου καὶ τὰ τῶν πολλῶν φρονοῦντος. (2) Διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι καὶ τὴν ἐπὶ Κλεισθένους ἐγείρειν ἀριστοκρατίαν, κατεδόων συνιστάμενοι καὶ τὸν δῆμον ἐξηρέθιζον ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι καὶ Λακωνισμὸν ἐπικαλοῦντες. (3) Εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύληται περὶ Κίμωνος, ὅτι

> Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής·
> κἀνίοτ' ἀν ἀπεκοιμᾶτ' ἀν ἐν Λακεδαίμονι
> κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

(4) Εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον ὅτι νήφοντος αὐτοῦ καὶ προσέχοντος οὐδεὶς ἂν οὔτε τῶν πρότερον οὔτε τῶν ὕστερον Ἑλλήνων παρῆλθε τὰς πράξεις.

XVI. Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· διὸ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. (2) Διόδωρος δ' ὁ Περιηγητὴς καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν Θεσσαλὸν ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους. (3) Ἠξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμούντων καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων. (4) Οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν Σπαρτιατῶν ἀπολαύοντες· αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς καὶ τὰ συμμαχικὰ πολυπραγμονοῦσιν οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. Τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν Ἑλληνικῶν διεπράττετο, πράως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. (5) Ἔπειτα δυνατώτεροι γενόμενοι καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον ὁρῶντες ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν, « Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι. » Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. (6) Ἡ δ' οὖν ἰσχύσασα μάλιστα κατ' αὐτοῦ τῶν διαβολῶν αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ μεγίστου δὴ τῶν μνημονευομένων πρότερον ἥ τε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς καὶ τῶν Ταϋγέτων τιναχθέντων κορυφαί τινες ἀπερράγησαν, αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειψεν ὁ σεισμός.

a expeditionem ab urbe solvit, multitudo absolutam nacta licentiam, ordinem reipublicæ institutionesque majorum, quibus prius usi fuerant, Ephialte rerum potiente evertit, omniaque paucis exceptis judicia Areopago ademit, sibique jus cognoscendarum causarum arrogans, urbem sub immodicum populi imperium redegit, jam tum Periclè potentiam adepto multitudinisque rebus favente. (2) Itaque ut Cimon Athenas reversus indigne tulit circumscriptam esse senatus dignitatem, conatusque est rursus eo judicia revocare, optimatumque in republica potestatem quæ Clisthenis tempore obtinuit reducere : inimici facta coitione eum clamoribus oppresserunt, populique adversus ipsum animos irritaverunt, crimen vitiatæ sororis in memoriam revocando Laconismumque objiciendo. (3) Et feruntur triti Eupolidis de Cimone hi versus :

> Malus haud erat : sed potor atque negligens :
> nam pernoctabat interim Lacedæmone,
> solam relinquens Elpinicen hic suam.

(4) Equidem si socors ille ebriosusque tot urbes cepit, tot victorias reportavit, utique sobrius et attentus rebus si fuisset, nemo rebus gestis eum neque priorum neque posteriorum Græcorum antecelluisset.

XVI. Fuit autem jam inde ab initio Lacedæmoniorum studiosus. Et narrat Stesimbrotus, duobus eum gemellis sibi ex Clitoria uxore natis, alteri Lacedæmonio, Eleo alteri nomen posuisse, ideoque iis Periclem sæpe maternum genus exprobravisse. (2) Diodorus Periegetes et hos et tertium nomine Thessalum, ex Isodica Cimoni natos refert, filia Euryptolemi, Megaclis nepte. (3) Evectus est autem Cimon opera Lacedæmoniorum jam tum Themistocli repugnantium cupientiumque ut is juvenis Athenis prævaleret. (4) Fuit que id initio gratum Atheniensibus benevolentiæ Spartanorum erga ipsum haud exiguos fructus percipientibus. Quum enim prima incrementa adhuc facerent, sociorumque rebus intenti essent, honores et gratiam Cimonis ægre non ferebant. Nam per eum pleræque res Græcæ agebantur, quum ipsius consuetudo et apud socios mansueta et Lacedæmoniis grata esset. (5) Aucti jam opibus, quum Cimonem haud obscure Spartanis addictum cernerent, moleste id tulerunt. Passim enim Spartanorum laudes coram Atheniensibus prædicabat et præcipue, ut ait Stesimbrotus, sicubi eos reprehenderet aut cohortaretur, dicere solebat : At vero Lacedæmonii non tales sese gerunt. Ea re in offensas invidiamque civium incurrit. (6) Quæ vero maxime omnium eum pressit calumnia, hujusmodi habuit originem. Archidamo Zeuxidami filio quartum Spartæ annum regnante, terræ motu, quo non major ullis superioribus temporibus accidisse memoratur, Lacedæmoniorum terra concussa multos hiatus accepit, Taygetoque tremefacto, quidam ejus vertices abrupti deciderant : ipsam urbem, quinque exceptis domibus, terræ motus dejecerat. (7) In media porticu quum si-

(7) Ἐν δὲ μέσῃ τῇ στοᾷ γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων λέγεται μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. Τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν Σεισματίαν προσαγορεύουσι. (8) Ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα περιρωμένους σώζειν, ἐκέλευσε τῇ σάλπιγγι σημαίνειν, ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. (9) Ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. Οἱ γὰρ Εἵλωτες ἐκ τῶν ἀγρῶν συνέδραμον πανταχόθεν ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. Ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες ἀνεχώρησαν ἐπὶ τὰς πόλεις καὶ φανερῶς ἐπολέμουν τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις συνεπιθεμένων. (10) Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας δεόμενοι βοηθεῖν, ὃν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι στρατιὰν ἐπαιτεῖν. (11) Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν μηδ' ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ' ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνά φησι Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος ἀναπείσαντα τὸν δῆμον ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. (12) Ὁ δ' Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα τοὺς Ἀθηναίους ἐκίνησε παρακαλῶν μήτε τὴν Ἑλλάδα χωλὴν μήτε τὴν πόλιν ἑτερόζυγα περιιδεῖν γεγενημένην.

XVII. Ἐπεὶ δὲ βοηθήσας τοῖς Λακεδαιμονίοις ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος αὐτῷ πρὶν ἐντυχεῖν τοῖς πολίταις εἰσαγαγόντι τὸ στράτευμα· καὶ γὰρ θύραν κόψαντος ἀλλοτρίαν οὐκ εἰσιέναι πρότερον ἢ τὸν κύριον κελεῦσαι. (2) Καὶ ὁ Κίμων, « Ἀλλ' οὐχ ὑμεῖς, εἶπεν, ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων πύλας κόψαντες, ἀλλὰ κατασχίσαντες εἰσεβιάσασθε μετὰ τῶν ὅπλων ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς μεῖζον δυναμένοις. » (3) Οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν Κορίνθιον ἐν δέοντι καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. (4) Οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν Ἰθώμῃ Μεσσηνίους καὶ Εἵλωτας, ἐλθόντων δὲ τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες ἀπεπέμψαντο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. (5) Οἱ δὲ πρὸς ὀργὴν ἀπελθόντες ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον καὶ τὸν Κίμωνα μικρᾶς ἐπιλαβόμενοι προφάσεως ἐξωστράκισαν εἰς ἔτη δέκα· τοσοῦτον γὰρ ἦν χρόνου τεταγμένον ἅπασι τοῖς ἐξοστρακιζομένοις. (6) Ἐν δὲ τούτῳ τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες, ἐν Ταν ά γρᾳ καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων δὲ μετὰ τῶν ὅπλων ἦκεν εἰς

mul ephebi et impuberes exercerentur, paulo ante terræ motum lepus prætercurrisse fertur : eum adolescentuli ut erant uncti quum per jocum insequerentur, interim in puberes qui remanserant, gymnasium incidit omnesque oppressit. Sepulcrum eorum hodie etiam a terræ motu Sismatiæ nomen habet. (8) Ibi tum Archidamus celeriter conspicatus quod urbi immineret periculum, vidensque in eo cives esse, ut pretiosissimas quasque res ex ædium ruinis eruerent, tuba signum dare quasi irruerent hostes jussit, ut quam primum cives ad ipsum armati convenirent. (9) Id unum eo tempore Spartæ salutem attulit. Helotæ enim undique ex agris concurrerant, ut qui a terræ motu superstites essent Spartanos opprimerent. Ubi eos in armis esse et stare in acie viderunt, in oppida sua recesserunt, bellumque aperte fecerunt, multis ad ejus societatem vicinorum pertractis, et Messeniis una etiam Lacedæmonios invadentibus. (10) Eam ob rem Spartani Periclidam Athenas petitum auxilium mittunt, quem comice exagitans Aristophanes ait, pallentem in veste punicea inque ara sedentem enixe auxilium petisse. (11) Ephialte autem repugnante obtestanteque ne iis succurrerent Athenienses, neque urbem Athenis æmulam erigerent, sed jacere eam fastumque Spartanum calcari sinerent, Cimonem ait Critias, patriæ incremento utilitati Lacedæmoniorum posthabito, populo diversum persuasisse, multisque cum armatis ad opem ferendam exivisse. (12) Ion sermonem etiam commemorat, quo maxime Athenienses permoverit : hortatum enim esse, neve Græciam claudam fieri, neve urbem jugali suo orbari paterentur.

XVII. Quum autem suppetias Lacedæmoniis ferens per agrum Corinthium inter faceret, Lachartus eum reprehendit, quod Corinthum cum exercitu intrasset, non compellatis ea de re prius civibus : moris enim esse, ut qui alienum ostium pulsarent, non ante, quam dominus ædium juberet, introirent. (2) Cui Cimon : Enimvero, inquit, Lacharte, vos Cleonas et Megara portis non pulsatis, sed perruptis arma intulistis, omnia iis qui plus possunt aperta esse debere rati. (3) Ita haud alieno tempore quum Corinthium libero et gravi sermone redarguisset, cum copiis transivit. (4) Rursum deinde Lacedæmonii contra Messenios, qui Ithomæ erant, et Helotas auxilium Atheniensium petierunt : atque quum ii venissent, audaciam eorum et armorum splendorem suspectum habuere, solosque omnium auxiliariorum tanquam novis rebus intentos a se remiserunt. (5) Irato animo domum reversi sunt Athenienses, palamque iis quos Lacedæmoniis favere scirent infensi, Cimonem levi occasion earrepta decennali exsilio (tantum enim temporis omnibus ostracismo ejectis definitum erat) puniverunt. 6) Interea temporis quum Lacedæmonii Delphis a Phocensibus liberatis redeuntes, ad Tanagram castra fecissent, et Athenienses obviam iis pugnandi causa ivissent, Cimon armatus ad hos

τὴν αὐτοῦ φυλὴν τὴν Οἰνηίδα πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ τῶν πολιτῶν. (7) Ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. (8) Κἀκεῖνος μὲν ᾠχετο δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν ἔσχον, ἐῤῥωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. (9) Οἱ δὲ λαβόντες αὐτοῦ τὴν πανοπλίαν εἰς τὸν λόχον ἔθεντο· καὶ μετ' ἀλλήλων συστάντες ἐκθύμως ἑκατὸν ὄντες ἔπεσον, πολὺν αὐτῶν πόθον καὶ μεταμέλειαν ἐφ' οἷς ἠτιάθησαν ἀδίκως ἀπολιπόντες τοῖς Ἀθηναίοις. (10) Ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μὲν, ὡς εἰκὸς, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. Νενικημένοι γὰρ ἐν Τανάγρᾳ μάχῃ μεγάλῃ καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν Πελοποννησίων ἐπ' αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος αὐτῷ Περικλέους. (11) Οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ' οἱ θυμοὶ καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι συμφέρον, ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

XVIII. Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθὼν ἔλυσε τὸν πόλεμον καὶ διήλλαξε τὰς πόλεις. (2) Γενομένης δ' εἰρήνης ὁρῶν τοὺς Ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι μηδὲ περὶ τὰς νήσους ἢ Πελοπόννησον ἀναστρεφόμενοι ναυσὶ πολλαῖς αἰτίας ἐμφυλίων πολέμων καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις ὡς ἐπ' Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκστρατευσόμενος, ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. (3) Ἤδη δὲ παρεσκευασμένων ἁπάντων καὶ τοῦ στρατοῦ παρὰ ταῖς ναυσὶν ὄντος ὄναρ εἶδεν ὁ Κίμων· ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτὸν, ἐκ δὲ τῆς ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον εἰπεῖν,

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσιν.

(4) Οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, Ἀστύφιλος ὁ Ποσειδωνιάτης, μαντικὸς ἀνὴρ καὶ συνήθης τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν· κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ' οὐκ ἄν τις μᾶλλον ἢ τελευτήσας φίλος γένοιτο· τὸ δὲ μίγμα τῆς φωνῆς Μῆδον ἀποδηλοῖ τὸν ἐχθρὸν· ὁ γὰρ Μῆδων στρατὸς Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. (5) Μετὰ δὲ ταύτην τὴν ὄψιν αὐτοῦ τῷ Διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον, τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα καὶ τοῦ ποδὸς περὶ τὸν

pervenit, cives suos in ulciscendis Lacedæmoniis adjuturus atque inter tribules suos Œneidas constitit. (7) Verum Quingenti viri quum id percepissent adductique inimicorum sermonibus, qui eum aciei perturbandæ urbique Lacedæmonios inducendi causa adesse vociferabantur, in metum conjicerentur, mandaverunt ducibus, ne Cimonem in aciem reciperent. (8) Ita repulsus abiit; cohortatus tamen ante Euthippum Anaphlystium reliquosque sociorum, qui animis ad Spartanos inclinare putabantur, ut fortiter in hostem pugnarent, et de hoc crimine civibus suis ipso facto sese purgarent. (9) Illi armatura Cimonis ad se recepta, in centuriam compositi acerrime contra hostem prœliati, omnes occiderunt centum numero, magnumque Atheniensibus desiderium et pœnitentiam injuste objectorum criminum reliquerunt. (10) Unde factum est ut contra Cimonem quoque ira non esset diuturna, quum quibus ab illo affecti erant, ut par erat, meritorum recordantibus, tum ipsis temporibus adjuvantibus. Victi enim ad Tanagram magno prœlio et primo vere exercitum ex Peloponneso hostilem affuturum existimantes, Cimonem ab exilio revocarunt: idque de ejus reditu decretum Pericles scripsit. (11) Adeo tum civiles discordiæ, animique erant moderati et publicæ utilitatis causa placabiles: ac quæ omnibus est superior affectibus ambitio patriæ bonis concedebat.

XVIII. Cimon in patriam reversus, statim composuit bellum, urbesque inter se in gratiam reposuit. (2) Pace facta, quum cerneret Athenienses quiescere non posse, sed opes incrementaque belligerando expetere, ne Græcis ii molesti essent, aut multis navibus circa insulas aut Peloponnesum vagantes occasiones intestinorum socialiumve bellorum contra urbem præberent, ducentas triremes instruxit, rursus in Cyprum Ægyptumque classem ducturus, ut simul et in certaminibus contra barbaros exerceret Athenienses, et juste partas ii ex hostibus natura comparatis divitias in Græciam referrent. (3) Paratis jam omnibus, exercituque ad naves congregato, insomnium Cimoni apparuit hoc: canis irata ipsum allatrare visa est, et vocem inde ex humana et canino latratu confusam edere in hæc verba:

Vade, mihique meis catulisque futurus amicus.

(4) Qum in dubio esset quidnam hoc sibi vellet, Astyphilus Posidoniates, divinus homo et Cimonis familiaris, mortem ei prædici asseruit, hoc usus argumento: canis homini, quem allatrat, inimicus est; inimico autem nemo carus aut amicus est, nisi si moritur; porro mixta vox Medum hostem designat, cujus copiæ ex Græcis et barbaris mixtæ sunt. (5) Post hoc insomnium quum Baccho sacrificaret atque augur hostiam jugulasset, sanguinem jam concretum formicarum agmen paulatim ad Cimonem detulit, et pollici pedis ejus illevit: diu id nemo sensit; tandem et

μέγαν δάκτυλον περιέπλαττον ἐπὶ πολὺν χρόνον λανθάνοντες. Ἅμα δέ πως ὅ τε Κίμων τῷ γιγνομένῳ προσέσχε καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν οὐκ ἔχοντα κεφαλήν. (6) Ἀλλ', οὐ γὰρ ἦν ἀνάδυσις τῆς στρατείας, ἐξέπλευσε καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν ἔπλει. (7) Καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν βασιλικὸν στόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ πόλεις καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν, οὐδὲν μικρὸν, ἀλλ' ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν, καὶ μάλιστα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς βαρβάροις μεγάλην, ὑποδεδεγμένου βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον στρατηγήσειν. (8) Θεμιστοκλῆς μὲν οὖν ἥκιστα λέγεται τὰς Ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν ἔπεμψεν εἰς Ἄμμωνος ἄνδρας ἀπόῤῥητόν τινα μαντείαν ποιησομένους παρὰ τῷ θεῷ· γιγνώσκει γὰρ οὐδεὶς, ὑπὲρ ὧν ἐπέμφθησαν, οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν, ἀλλ' ἅμα τῷ προσελθεῖν ἐκέλευσεν ἀπεῖναι τοὺς θεοπρόπους· αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. (9) Ταῦτ' ἀκούσαντες οἱ θεοπρόποι κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δ' ἐν τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνάναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες ἔγνωσαν ἠνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος.

491 XIX. Ἀπέθανε δὲ πολιορκῶν Κίτιον, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. (2) Τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ· καὶ συνέβη μήτε τῶν πολεμίων μήτε συμμάχων αἰσθομένων ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι στρατηγουμένους ὑπὸ Κίμωνος, ὥς φησι Φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. (3) Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς ἐπράχθη στρατηγοῦ τῶν Ἑλλήνων, ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διασχόντος, συνερράγησαν εἰς τὸν πόλεμον, ἀναπνοὴ μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. (4) Ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχέος ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως στρατηγούς· καὶ λαμπρὸν οὐδὲν οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες ᾤχοντο τοὺς Περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμάχοις καὶ φίλαις πόλεσιν ἀπολιπόντες, ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων σταδίων ἐντὸς ὤφθη στρατηγοῦντος Κίμωνος. (5) Ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τῶν μνημά-

Cimon animum advertit, et aruspex jecur attulit, capite carens. (6) Nihilo minus Cimon (non enim erat expeditionem institutam subterfugere) cum classe abiit, missisque Ægyptum versus sexaginta navibus, reliquis ipse rursus provectus. (7) Regiam classem ex navibus Phœniciis et Ciliciis constantem prœlio navali superavit, urbesque in ora maritima circumvectus recepit, rebusque Ægyptiis animum intendit, nihil humile, sed totius Persici regni eversionem agitans, maxime ad hoc instigatus, quum Themistoclem a barbaris susceptum in magna ibi esse gloria et potestate audiret, eumque pollicitum regi bellum contra Græcos molienti ducem se futurum. (8) Eamque sane ferunt haud minimam Themistocli, cur mortem sibi consciscet, causam fuisse, quod de rebus Græcis desperasset, intelligens nequaquam se Cimonis felicitate et virtute superiorem futurum. Sed Cimon magnorum certaminum exorsus principia, classem apud Cyprum tenens, ad Ammonem misit, qui occulta quapiam de re oraculum peterent: neque enim cuiquam constat cujus rei gratia deum consuluerit, neque oraculum ei est redditum, sed qui sciscitatum venerant, eos statim abire deus jussit, quod jam ipsum Cimonem secum esse diceret. (9) Legati his auditis quum ad mare rediissent, ut pervenerunt ad Græcorum castra quæ tum in Ægypto erant, Cimonem fato defunctum perceperunt; numeroque dierum supputato ad dei effatum, deprehenderunt obscure Cimonis mortem fuisse indicatam, qui jam ad deos concessisset.

XIX. Mortuus est autem Cimon in obsidione Citii, ex morbo, ut plerique perhibent; quidam aiunt ex vulnere, quod pugnans contra barbaros accepisset, obiisse. (2) Moriens suos jussit statim in patriam cum classe redire, occultato ipsius obitu: atque ita factum est ut Cimon, mortem ejus et hostibus et sociis ignorantibus, incolumes suos in patriam reduxerit trigesimo quam mortuus fuerat die, ut Phanodemus scribit. (3) Post mortem Cimonis nemo quisquam Græcorum ducum quicquam contra barbaros insignis facinoris edidit, sed ad intestina bella a demagogis et iis qui bellum excitare studebant, pertracti, interque se commissi, nemine manus in medio distinente, respirandi facultatem Persarum regi concedentes, Græcorum vires ipsi ultra quam verbis efferri possit attriverunt. (4) Longo post tempore Agesilaus exercitum in Asiam trajecit, bellumque breve ducibus in ora maritima regis fecit: nullaque magna aut insigni ibi re gesta, rursum alio ab initio ortis inter Græcos seditionibus ac turbis retractus, abiit, exactores tributorum Persicos in confœderatis et sociis urbibus relinquens: quum quidem duce Cimone ne tabellarius quidem Persicus ibi fuisset conspectus, neque equus intra quadringentesimum stadium ad mare venisset. (5) Reliquias Cimonis in Atticam fuisse reportatas, monumenta docent, quæ etiamnum Ci-

των τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ φησίν, ἐν λοιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. Τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών.

monea dicuntur. Honorant et Citienses quoddam Cimonis sepulcrum, ut Nausicrates rhetor ait : quod peste et sterilitate laborantibus oraculum præcepisset uti non negligerent Cimonem, sed numinis instar alicujus colerent atque venerarentur. Talis quidem Græcorum erat dux.

ΛΟΥΚΟΥΛΛΟΣ.

Τῷ δὲ Λευκούλλῳ πάππος μὲν ἦν ὑπατικὸς, θεῖος δὲ πρὸς μητρὸς Μέτελλος ὁ Νομαδικὸς ἐπικληθείς. Τῶν δὲ γονέων ὁ μὲν πατὴρ ἑάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν ὡς οὐ βεβιωκυῖα σωφρόνως. (2) Αὐτὸς δ' ὁ Λούκουλλος ἔτι μειράκιον ὤν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο τὸν τοῦ πατρὸς κατήγορον κρῖναι Σερουίλιον αὔγουρα, λαβὼν ἀδικοῦντα δημοσίᾳ. Καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη Ῥωμαίοις καὶ τὴν δίκην ἐκείνην ὥσπερ ἀριστείαν διὰ στόματος ἔσχον. (3) Ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον, ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾶν ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. (4) Οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνην φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας καὶ πεσεῖν, ἀπέφυγεν ὁ Σερουίλιος. (5) Ὁ δὲ Λούκουλλος ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτταν, ὥστε καὶ Σύλλας τὰς αὐτοῦ πράξεις ἀναγράφων ἐκείνῳ προσεφώνησεν ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. (6) Ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων τὴν μὲν ἀγορὰν

LUCULLUS.

Luculli avus vir consularis fuit, avunculus Metellus Numidicus. Ex parentibus pater peculatus postulatus est, mater Cæcilia infamis fuit ob suspicionem violatæ pudicitiæ. (2) Ipse Lucullus adolescens etiamnum priusquam rempublicam attingeret aut ullam dignitatem ambiret, nihil antiquius habuit, quam Servilium augurem patris sui accusatorem publico crimine accusare. Idque factum Romani præclarum existimarunt, inque omnium ore fuit. (3) Et alioquin etiam absque peculiari causa haud vitio dabatur accusandi munus, volebantque plane Romani, adolescentes iis qui deliquissent, ut catuli generosi solent feris, infestos esse. (4) Verum causa illa magna contentione acta, ita ut quidam saucia-rentur, aliqui occiderentur, evasit tamen Servilius. (5) Lucullus magnam utriusque sermonis facultatem sibi paravit, ita ut et Sylla rerum suarum commentarios ei inscripserit, tanquam rectius composituro historiam. (6) Non enim ad usum tantum orationem aptam atque promptam habebat, sicuti aliorum facundia forum,

Θύννος βολαῖος πέλαγος ὡς διεστρόβει,

γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς, αὖος, ἀμουσίᾳ τεθνηκώς· ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν ἔτι καὶ μειράκιον ὤν. (7) Γενόμενος δὲ πρεσβύτερος ἤδη παντάπασιν ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν καὶ ἀναπαύεσθαι τὸ θεωρητικὸν αὐτῆς ἐγείρας, καταλύσας δ' ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς Πομπήιον διαφορᾶς. (8) Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον καὶ Σισεννᾶν τὸν ἱστορικὸν ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης δμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. (9) Τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Μάρκον εὐνοίας πολλῶν τεκμηρίων ὄντων μάλιστα Ῥωμαῖοι

Thynnus velut perturbat impetu fretum,

concitabat, extra forum erat « exsucca inelegantiaque emortua : » sed a puero liberali etiam, quam vocamus, et elegantiori se disciplinæ ornamenti causa dediderat. (7) Ætate jam provectior, post obita varia certamina, totum se otio philosophico dedit, inque contemplationibus rerum acquievit, tempestive animi ardorem reprimens, ex contentione cum Pompeio natum. (8) Additur et hoc de eruditione ejus, juvenem adhuc cum Hortensio causidico Sisennaque historico per jocum primum, serio deinde contendisse ac professum, seu oratione seu carmine Latino Græcove proposito utrum sors tulisset, bellum sese Marsicum descripturum. Videtur orationem Græcam sortitus fuisse; exstat enim adhuc Græca ejus belli historia. (9) Quum multa certissima ejus in fratrem Marcum benevolentiæ signa, tum id

τοῦ πρώτου μνημονεύουσι· πρεσβύτερος γὰρ ὢν αὐτοῦ λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκείνου καιρὸν ἀναμείνας οὕτως ἐπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

II. Νέος δ' ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως, μᾶλλόν γε μὴν αὐτὸν δι' εὐστάθειαν καὶ πραότητα Σύλλας προσηγάγετο καὶ χρώμενος ἀπ' ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. (2) Δι' ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν Πελοποννήσῳ περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ' ἐκείνου προσηγορεύθη καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. (3) Ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ' Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον ἄξοντα ναῦς ἐκεῖθεν. (4) Ἦν μὲν οὖν ἀκμὴ χειμῶνος, ἐξέπλευσε δὲ τρισὶν Ἑλληνικοῖς μυοπάρωσι καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς πρὸς μέγα πέλαγος καὶ ναῦς πολεμίας πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας παραβαλλόμενος. (5) Οὐ μὴν ἀλλὰ καὶ Κρήτην κατάρας ᾠκειώσατο καὶ Κυρηναίους καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. (6) Δεομένων γὰρ, ὡς ἔοικεν, ὅπως τε νόμους γράψῃ καὶ τὸν δῆμον αὐτὸν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος, ἔφη χαλεπὸν εἶναι Κυρηναίοις οὕτως εὐτυχοῦσι νομοθετεῖν. Οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον εὖ πράσσειν δοκοῦντος, οὐδ' αὖ πάλιν δεκτικώτερον ἐπιστασίας συσταλέντος ὑπὸ τῆς τύχης. Ὃ καὶ τότε Κυρηναίους νομοθετοῦντι Λουκούλλῳ πράους παρέσχεν. (7) Ἐπεῖθεν δ' ἀναχθεὶς ἐπ' Αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων, αὐτὸς δὲ διασωθεὶς κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. (8) Ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν οἴκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. (9) Δαπάνην δὲ καὶ σύνταξιν οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν οὐδὲ ὤνιον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. (10) Λέγεται δὲ μήτ' εἰς Μέμφιν ἀναβῆναι μήτ' ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ, ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

III. Ἐπεὶ δ' ἀπέλιπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι

primo loco Romani commemorant, quod adultior eo, noluit tamen magistratum solus ambire, sed exspectato illius tempore ita populum sui studiosum effecit, ut cum eo, absens ipse, ædilis crearetur

II. Bello Marsico juvenis audacter multa prudenterque egit, gravitatem tamen ejus magis mansuetudinemque amplexus Sylla ejusque opera nunquam non est arduis in rebus usus, in quibus fuit cura pecuniæ cudendæ. (2) Maximam enim ejus nomismatis partem, quod ad bellum Mithridaticum est in Peloponneso factum, Lucullus signavit, ab eoque est Lucullieum dictum, diuque perduravit, propter varios in bello usus celerrime permutatum. (3) Quum Atheniensi agro capto Sylla terra potiretur, commeatu autem ab hostibus, qui mare classe obtinebant, intercluderetur, Lucullum in Ægyptum et Africam, ut inde naves adduceret, emisit. (4) Avectus est media hieme Lucullus cum tribus Græcis myoparonibus et totidem Rhodiis dicrotis, in magnum a mari vasto et hostilibus navibus per occupatum mare passim vagantibus periculum se conjiciens. (5) Sed tamen et Cretam adivit eamque in suam potestatem redegit et Cyrenæorum statum quum reperisset ob continentes tyrannides atque bella perturbatum, recepit eos, remque publicam constituit, dicti Platonici civitatem admonens, quod ille iis effatus erat. (6) Quum enim, ut aiunt, ab ipso Cyrenæi petiissent, uti leges ferret populumque ipsum componeret forma reipublicæ moderata, difficile esse responderat Cyrenæis rebus tam secundis utentibus leges statuere. Nihil enim difficilius regi posse, quam hominem prospera utentem fortuna, nihilque vicissim facilius admittere disciplinam, quam eum qui rebus adversis esset fractus. Quod ipsum eo tempore Cyrenæos, uti obsequerentur Lucullo leges ferenti, adegit. (7) Inde Ægyptum versus navigans, piratis ingruentibus plerasque naves amisit, ipse autem incolumis magno cum splendore Alexandriam intravit. (8) Obviam enim ei tota classis profecta est, ut regi solet, ornata magnifice; atque Ptolemæus puer quum alias mirificam in eo tractando humanitatem exercuit, tum in regia domicilium victumque præbuit, quum nullus unquam ante peregrinus dux ibi fuisset acceptus. (9) Sumptum quoque ei et stipendium non quantum aliis, sed quadruplum dedit: tametsi Lucullus neque præter necessaria accepit quicquam et dona octoginta talentorum pretio sibi missa repudiavit. (10) Idem neque Memphim adivit, neque quicquam eorum quæ in Ægypto mirabilia celebrantur lustravit: otiosi enim animo indulgentis spectatoris ea esse censebat, non ejus qui imperatorem sub dio ad hostium propugnacula morantem reliquisset.

III. Ptolemæus metu Mithridatis cum Romanis amicitiam jungere repudians, naves tamen quæ in Cyprum usque

Κύπρου πομποὺς παρέσχε καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων ἐδωρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο, δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς ἐπιβουλευθείη κατὰ θάλατταν. (2) Ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ b τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσοι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα καὶ ταῖς πόλεσιν ἔγραψε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. (1) Εἶτα πλοῦ φανέντος, ἐξαπίνης κατασπάσας τὰς ναῦς ἀνήχθη καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπαιρομένοις εἰς Ῥόδον ἐσώθη. (4) Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κώους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους c συστρατεύειν. Ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε συλλαβὼν Ἐπίγονον τὸν τύραννον αὐτῶν. (5) Ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς καὶ συνεσταλμένος εἰς Πιτάνην. Ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. (6) Ὁ δὲ ταῦτα συνορῶν, ναυτικῷ δὲ λειπόμενος, πρὸς Λού- d κουλλον ἔπεμπεν ἥκειν τῷ στόλῳ δεόμενος καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων, ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγοι Ῥωμαίους, Μιθριδάτης εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων, οὗ ληφθέντος οὐδένα τῆς δόξης οἴεσθαι πλέον ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα καὶ διαδιδράσκοντος ἐπιλαβόμενον· ὑφ' ἑαυτοῦ μὲν ἐξεωσμένον τῆς γῆς, ὑπ' ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα, τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν ὑμνουμένας ἀριστείας ἐν οὐδενὶ λόγῳ θήσεσθαι Ῥωμαίους. (7) Καὶ οὐδὲν ἦν ἄπο τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον, ὡς, εἰ Φιμβρίᾳ τότε πεισθεὶς ὁ Λούκουλ- e λος οὐ μακρὰν ὢν περιήγαγεν ἐκεῖσε τὰς ναῦς καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. (8) Ἀλλ' εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν μιαρὸν ὄντα καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτοῦ Μιθριδάτου καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν, ἀλλὰ Μιθριδάτῃ μὲν ἐκπλεῦσαι παρέσχε καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως, αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρωάδος βασιλικὰς ναῦς ἐπιφανείσας f κατεναυμάχησεν, αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα

deducerent Lucullo dedit: eumque in discessu amplexus, quum officiose salutasset, smaragdum auro inclusum dono dedit admodum magni pretii. Lucullus autem tantisper recusavit, donec ei rex sculpturam ostendit, quæ faciem suam repræsentabat: ita demum, veritus ne, si omnino repudiaret, infensum animum gerere crederetur, in marique insidiis impeteretur, accepit. (2) Inter navigandum acceptis navibus ab urbibus maritimis, nisi si quæ piraticam exercebant, ita in Cyprum pervenit. Ibi quum audivisset hostes in promontoriis cum classe ipsum exspectare, naves omnes subduxit ac tanquam ibi usque ad ver mansurus, circum urbes de hibernis et commeatu nuntios misit. (3) Ubi primum navigando aptum diem est nactus, repente deductis navibus ex insula solvit, interdiuque demissis, noctu erectis velis usus, Rhodum incolumis pervenit. (4) Rhodiis ei naves præbentibus, Cois et Cnidiis persuasit, ut a regiis ducibus defectione facta ipsum in Samiis oppugnandis adjuvarent. Ipse Chio regios expulit, et capto Epigono tyranno, Colophoniorum urbem liberavit. (5) Eo tempore Mithridates forte Pergamo jam relicto, Pitanen compulsus erat: atque ibi terrestri obsidione cinctus a Fimbria, undique classes suas ad se evocabat atque contrahebat, omnem in mari spem habens, quod cum Fimbria, viro audace atque victore, congredi et bellum gerere desperasset. (6) Fimbria quum hoc sentiret ac classe destitueretur, missis nuntiis Lucullum hortatus est ut cum classe veniret, seque in capiendo infestissimo rege adjuvaret, neve Mithridatem, ingens et tot certaminibus laboribusque præmium petitum, qui in manibus esset et plagis septus, effugere pateretur; quem si cepissent, utique ejus summam fore gloriam, qui fugam ejus impediisset, elabique conantem arripuisset: a se nunc eum terra pulsum, si ab illo etiam mari excluderetur, utriusque fore rei bene gestæ laudem, et porro Syllæ celebres istas apud Orchomenum et Chæroneam victorias, nullo nomine apud Romanos futuras. (7) Horum ille nihil absurde dixit; satis enim omnibus erat perspicuum, si tum Fimbriæ obtemperasset Lucullus et, ut erat in propinquo, statim naves Pitanæ circumdedisset portumque classe obsedisset, bellum finitum omnesque immensis ærumnis liberatos fuisse. (8) Sed Lucullus, sive quod fidem Syllæ debitam omni publico privatoque commodo antiquiorem duceret, sive Fimbriam aversaretur, hominem nefarium, et qui nuper imperandi cupiditate motus amicum ducemque suum interfecisset, sive divina quadam fortuna Mithridati parcens, eumque sibi debellandum reservans, non paruit, passusque est Mithridatem Fimbriæ vires deridentem Pitana abnavigare. Ipse primum apud Lectum Troadis promontorium regias naves forte oblatas pugna vicit, deinde Neoptolemum majoribus cum copiis apud Tenedum stationem

μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων Ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει Δαμαγόρας, ἀνὴρ εὔνους τε Ῥωμαίοις καὶ
494θαλασσίων ἀγώνων ἐμπειρότατος. (9) Ἐπελαύνοντος a δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου καὶ κελεύσαντος εἰς ἐμβολὴν ἀγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δαμαγόρας τὸ βάρος τῆς βασιλικῆς καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρῳρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας ἐκέλευσεν ἐπὶ πρύμναν ὥσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. (10) Ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφειν καὶ πολλὰ δράσας ἄξια λόγου τρέπεται τοὺς πολεμίους καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

IV. Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χερρόνησον ἤδη μέλ- b λοντι διαβαίνειν συμβαλὼν τόν τε πόρον ἀσφαλῆ παρεῖχε καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. (2) Ἐπεὶ δὲ συνθηκῶν γενομένων Μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾷον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. (3) Μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν μετρίας ἐφ' οἷς περὶ Μάνιον ἐξήμαρτον, ὡς δ' ἑώρα κακοδαιμονοῦντας, c ἐπιπλεύσας ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη καὶ πολιορκίαν συστησάμενος ἐξέπλευσε μὲν ἡμέρας καὶ φανερῶς εἰς Ἐλαίαν, ὑπέστρεψε δὲ λεληθότως καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν ἡσύχαζεν. (4) Ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς ἔλαβέ τε παμπόλλους ζῶντας καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν, ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. (5) Τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώ- d ποις παρεῖχον, οὐ πάνυ μετέσχε θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. (6) Οὐ μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφὴν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δι' εὔνοιαν ἀνέθηκε καὶ τελευτῶν ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήιον. (7) Καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

V. Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν ὑπάτευσε μετὰ Μάρκου Κόττα περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. (2) Πολλῶν οὖν αὖθις e ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. (3) Διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἤχθετο πράξεων ὑποθέσεις μεγάλων οὐκ ἔχουhabere conspicatus, ante alios omnes contra eum ivit, vectus quinqueremi Rhodiaca, quam Damagoras, vir Romanorum studiosus navaliumque certaminum peritissimus, gubernabat. (9) Quum Neoptolemus magno impetu obvium se ferret atque in rostrum navis invehi gubernatorem juberet, Damagoras molem navis regiæ æreique rostri vim metuens, adversa prora occurrere non est ausus, celeriterque inversa navi, puppim obvertit, atque ibi depressa navi ictum accepit minime noxium, quippe qui iis partibus navis, quæ mari tegebantur, infligeretur. (10) Interim sociis advectis, Lucullus obverti proram jubet, et multis præclare factis, in fugam hostes conjicit, Neoptolemumque insequitur.

IV. Inde Syllæ apud Chersonesum jam trajecturo se conjungit, tutumque ei trajectum præstat et in transmittendo exercitu adjuvat. (2) Postea pace facta Mithridates ad Euxinum Pontum navibus abiit, Sylla viginti millibus talentorum Asiam mulctans, exactioni ejus pecuniæ et nomismati cudendo Lucullum præfecit. Is in tam gravi severoque obeundo ministerio tanta non modo integritate et justitia, sed humanitate etiam versatus est, ut afflictis Syllæ inclementia urbibus aliquantum solatii attulerit. (3) Mitylenæos, qui palam defecerant, quum ad bonam mentem reducere atque ob ea quæ in Manium commiserant, leniter castigare vellet, ut vidit insanire, classe admota prœlio vicit intraque muros compulit. Inde obsidione urbem cingens, interdiu ac propalam Elæam navigavit, occulte reversus, positis apud urbem insidiis se continuit. (4) Postquam Mitylenæi audacter nulloque ordine eruperunt, tanquam castra Romanorum deserta direpturi, subito eos adortus, quingentos se defendere ausos necavit, ingentemque prædam et sex millia hominum captivorum avexit. (5) Bono quodam fato, dum in Asiaticis rebus expediendis tempus terit, a malis illis, quibus et variis et plurimis Italiam Sylla Mariusque impleverunt, abfuit. (6) Neque tamen a Sylla minus quam reliqui amici consecutus est, qui et commentarios ei, ut retulimus, suos inscripsit, benevolentiæ causa, et moriens filii sui tutorem eum, præterito Pompeio, instituit. (7) Quæ res primum Pompeio et Lucullo discordiarum videtur æmulationisque præbuisse initium, juvenibus et gloriæ cupiditate flagrantibus.

V. Paulo post mortem Syllæ Lucullus cum M. Cotta consul fuit, circa centesimam septuagesimam sextam Olympiadem. (2) Eo tempore multis Mithridaticum bellum resuscitantibus, Cotta non finitum esse id bellum, sed requievisse dixit. (3) Quare ut sortiti sunt provincias, Lucullus Galliam Comatam sibi obtigisse inique tulit, quod ea nullam magnarum rerum gerendarum materiam haberet.

σαν. (4) Μάλιστα δ' αὐτὸν εὐδοκιμῶν Πομπήιος ἐν Ἰβηρίᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς ἐπίδοξος ὢν, εἰ συμβαίη παύσασθαι τὸν Ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. (5) Διὸ καὶ χρήματα αἰτοῦντος αὐτοῦ καὶ γράφοντος, ὡς, εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰβηρίαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα καὶ μηδ' ἀφ' ἡστινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν ὑπαστεύοντος αὐτοῦ· πάντα γὰρ ἐπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως παρόντι μετὰ τοσαύτης στρατιᾶς. (6) Καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν Κέθηγος ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. (7) Τοῦτον μὲν οὖν ἀντικρυς ἐπολέμει· Λεύκιον δὲ Κόϊντον, ἄλλον δημαγωγὸν, ἐπαναστάντα τοῖς Σύλλα πολιτεύμασι καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος καὶ δημοσίᾳ νουθετῶν ἀπέστησε τῆς πείρας καὶ κατεστόρεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

VI. Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκταούϊος ἠγγέλθη τεθνηκώς. Σπαργώντων δὲ πολλῶν πρὸς τὴν ἐπαρχίαν καὶ Κέθηγον ὡς δυνατώτατον ὄντα διαπράξασθαι θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλλος Κιλικίας οὐ πολὺν εἶχε λόγον, οἰόμενος δ', εἰ λάβοι ταύτην, ἐγγὺς οὖσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτην, πᾶσαν ἔστρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. (2) Καὶ τελευτῶν ἔργον οὐ σεμνὸν οὐδ' ἐπαινετὸν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. (3) Πραικία τις ἦν ὄνομα τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνέδην ἑταιρούσης γυναικὸς, ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. (4) Ὡς δὲ καὶ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις· οὐδὲ γὰρ ἐπράττετο τι δημοσίᾳ Κεθήγου μὴ σπουδάζοντος οὐδὲ Πραικίας μὴ κελευούσης παρὰ Κεθήγῳ. (5) Ταύτην οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην ὀρᾶσθαι μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθός) εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην καὶ προμνώμενον αὐτῷ Κιλικίαν. (6) Ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον, Πομπηίου μὲν ἔτι Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλου περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. (7) Οὐ μὴν ἀλλὰ Κόττας ὁ

(4) Maxime autem Pompeius in Hispania præclaris facinoribus laudem adeptus ipsum urebat, quem præ omnibus aliis putabat, finito Hispanico bello, imperatorem contra Mithridatem delectum iri. (5) Itaque quum is pecuniam posceret ac, nisi mitteretur, omissa Hispania et Sertorio, in Italiam se cum copiis venturum per literas minaretur, summo studio Lucullus in id incubuit, ut pecunia ei mitteretur, ne se consule vel levissimam redeundi occasionem haberet; metuebat enim ne, si cum tanto exercitu veniret, omnes res urbanas esset in sua potestate habiturus. (6) Nam qui tunc in republica primas obtinebat, Cethegus, omnia in gratiam vulgi dicendo agendoque, Lucullo inimicus erat, vitam ipsius abominanti, turpibus amoribus libidinibusque et sceleribus deditam. (7) Hunc Lucullus palam impugnabat. L. vero Quinctium, alium tribunum plebis, insurgentem contra Syllæ instituta rerumque statum præsentem labefactare aggressum, sæpe privatim allocutus publiceque castigans a proposito detraxit, ambitionemque ejus restinxit, quam fieri potuit prudentissime et saluberrime initium magni mali reprimens.

VI. Interim de morte Octavii, qui Ciliciæ præfuerat, renuntiatum est. Cujus provinciæ obtinendæ cupiditate quum flagrarent multi, Cethegumque, ut qui ad eam consequendam conferre posset plurimum, demererentur, Lucullus, tametsi non magni faceret Ciliciam, ratus tamen, si ea potiretur, quod prope erat Cappadocia, neminem alium contra Mithridatem cum imperio missum iri, omnem movit lapidem, ne ea alii concederetur. (2) Et ad extremum neque honestum neque laudabile, ceterum utile ad id quod intendebat, factum necessitate quadam contra suam ipsius naturam patravit. (3) Erat Romæ Præcia quædam, forma et protervitate per urbem celeberrima, quæ quum publico scorto nihil præstaret modestia, eo tamen quod qui cum ipsa consuetudinem haberent et colloquerentur, eorum opera in amicorum conatibus promovendis et honoribus in republica adipiscendis utebatur, ad reliquam gratiam laudem studii amicorum adepta et efficax credita, plurimum potentiæ sibi paraverat. (4) Hæc postquam Cethegum florentem tum gloria resque urbanas suo arbitrio moderantem in suam potestatem redegit, amoreque ipsius corrupto se adjunxit, omnis tum civitatis potestas ad Præciam pervenit; neque enim publice quicquam actum est absque Cethegi opera, neque is injussu Præciæ fecit quicquam. (5) Hanc ubi Lucullus donis adulandoque suam fecit (et erat mulieri superbæ ac splendoris avidæ in ea petitione haud exigua merces, quod Lucullo opem ferre videretur), statim habuit Cethegum laudatorem suum, ac qui ei Ciliciam provinciam conciliaret. (6) Hanc semel nactus, nihil deinde neque Præciæ neque Cethegi opera indiguit, sed uno omnes ore ducem eum Mithridatici belli delegerunt, nemini hoc rectius committi posse rati. Nam et Pompeius Sertoriano adhuc bello detinebatur, et Metellus jam ob senectutem re militari se abdicaverat, qui duo soli de laude imperatoris videbantur cum Lucullo posse contendere. (7) Obtinuit tamen Cotta ejus

συνάρχων αὐτοῦ πολλὰ λιπαρήσας τὴν σύγκλητον ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων καὶ προπολεμήσων Βιθυνίας.

VII. Λούκουλλος δὲ τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. (2) Οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες αὐτόν τε τὸν Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. (3) Οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λούκουλλος ἐξέκοψε καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐρεθιζόμενοι στρατεύεσθαι. (4) Τὰ δὲ τῶν πολεμίων οὕτως εἶχε. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν, εἶτ' ἐκπεσὼν καταγελάστως καὶ νουθετηθείς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνάμεις παρασκευήν. (5) Ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων τε διαχρύσων καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκήν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἠλαύνετο Ῥωμαϊκὰ καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο καὶ γεγυμνασμένους μᾶλλον ἢ κεκοσμημένους ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκὴν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους ἄνευ τῶν δρεπανηφόρων τεθρίππων· ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσορόφοις σκηνίσιν οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παραρτυσάμενος ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων οὐ μόνον τούτων, ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαϊκῶν δανειστῶν καὶ τελωνῶν· οὓς ὕστερον μὲν ὥσπερ Ἅρπυίας τὴν τροφὴν ἁρπάζοντας αὐτῶν ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων, οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

VIII. Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον αὐτοῦ καιρὸν εἶναι νομίζων ὁ Κόττας παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. (2) Καὶ πολλῶν ἀπαγγελλόντων ἤδη Λούκουλλον ἐν Φρυγίᾳ στρατοπεδεύειν ἐπιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβῃ Λούκουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. (3) Πληγεὶς δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἑξήκοντα μὲν ἀπώ[illegible]ρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους, [illegible] σθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκού[illegible]

collega multis precibus a senatu, ut ad custodiendam Propontidem propugnandumque pro Bithynia cum navibus mitteretur.

VII. Lucullus cum una legione in Italia conscripta in Asiam trajecit, ubi reliquas etiam copias recepit. Erant autem milites illi jam pridem omnes luxu avaritiaque perditi, qui vero Fimbriani vocabantur, intractabiles etiam, quod jam pridem parere imperio desuevissent. (2) Hi erant qui cum Fimbria Flaccum consulem et ducem suum necaverunt atque ipsum Fimbriam Syllæ prodiderant: contumaces et improbi homines, fortes tamen bellique et tolerantes et periti. (3) Verum brevi temporis spatio Lucullus et ferociam eorum præcidit et reliquos correxit, tunc primum, ut videtur, bonum ducem nactos, quum alias blandis verbis ducerentur voluptatibusque propositis ad officia militaria illicerentur. (4) Res autem hostium hac erant conditione. Mithridates, quum ab initio, ut plerique sophistarum, ostentabundus, copiis futilibus sed aspectu splendidis et gloriosis superbus tumidusque in Romanos insurrexisset, ac turpiter explosus castigatusque esset, ut denuo bellum in Romanos paraturus erat, copias utili et rebus gerendis accommodato apparatu instruxit. (5) Omnigenas enim istas multitudines multilinguesque minas barbarorum missas faciens et arma aurata gemmisque exornata, quæ prædam magis hostibus quam robur possidentibus adderent, gladios Romanos fabricatus est et scuta valida, equos exercitatos magis quam ornatos conduxit, peditum centum viginti millia, ad phalangem Romanam compositos, equitum sedecim millia, atque quadrigas falcatas centum: naves etiam non tentoriis auro tectis aut pellicum balneis gynæceisque luxuriosis instructas, sed armis, telis et pecunia onustas adornavit: ita Bithyniam invasit, urbibus eum prompte accipientibus, non Bithynicis modo, sed et per totam Asiam morbus recidivus defectionis vagabatur, civitatibus intolerabiliter a fœneratoribus et publicanis Romanorum vexatis, quos postea temporis, tanquam Harpyias alimenta eorum rapientes, Lucullus expulit: tunc monendo meliores efficere conabatur, populosque a defectione inhibebat, nemine propemodum quiescente.

VIII. His intento Lucullo, suum id esse tempus Cotta arbitratus, ad pugnam cum Mithridate conserendam se paravit. (2) Multis autem nuntiantibus jam Lucullum adventantem in Phrygia esse, ratus se triumphum tantum non in manibus habere, ne partem ejus Lucullus capere posset, prœlium acceleravit. (3) Verum terra marique victus, amissis sexaginta cum classiariis et remigibus navigiis, peditumque quattuor millibus, ipse Chalcedone inclusus et obsessus

κούλλου χεῖρας ἀπέβλεπεν. (4) Ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον ἀμελήσαντα Κόττα πρόσω χωρεῖν παροριμῶντες ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν, καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος ἀγανακτούντων, εἰ μὴ μόνον αὐτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται νικᾶν ἀμαχεὶ δυναμένοις· Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ' ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. (5) Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ στρατηγήσαντος, εἶτ' ἀποστάντος καὶ Ῥωμαίοις συστρατεύοντος διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. (6) Καὶ τοῦτ' εἰπὼν ἐπὶ Μιθριδάτην προῆγε πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. (7) Καταστὰς δ' εἰς ἔποψιν τῶν πολεμίων καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης καὶ τρίβειν τὸν χρόνον, Μαρίου δ', ὃν Σερτώριος ἐξ Ἰβηρίας ἀπεστάλκει Μιθριδάτῃ μετὰ δυνάμεως στρατηγὸν, ἀπαντήσαντος αὐτῷ καὶ προκαλουμένου, κατέστη μὲν εἰς τάξιν ὡς διαμαχούμενος, ἤδη δὲ ὅσον οὔπω συμφερομένων ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀπορραγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον, τὸ μὲν σχῆμα πίθῳ μάλιστα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικὸς, ὥστε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. Τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. (8) Ὁ δὲ Λούκουλλος οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς οὐδὲ πλούτου θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον ἀντικαθημένων πολεμίων τοσαύτας, ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε, μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ καταλέλοιπε σῖτον. (9) Ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινεν. (10) Εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν ἢ τεσσάρων ἡμερῶν ἐπιλείψοντα τὸν σῖτον τοὺς πολεμίους. Καὶ πολὺ μᾶλλον εἶχετο τοῦ χρόνου καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύοι ταῖς ἐκείνων ἀπορίαις.

IX. Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν καὶ δέκα νεῶν ἐστέρηντο. Βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου νύκτα δυσφανῆ καὶ νοτερὰν ἔχων ἐκίνει καὶ φθάνει τῆς πόλεως ἀντικρυς ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. (2) Ὁ δὲ Λούκουλλος αἰσθόμενος καὶ διώξας ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσύντακτος εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρᾳκίαν λεγομένην κώμην ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα

Luculli auxilium deinde opperiebatur. (4) Non defuerunt qui Lucullum, neglecto Cotta, juberent recta progredi, regnumque Mithridatis desertum occupare, et militum præsertim ea vox erat, indignantium quod Cotta non modo se ipsum suosque pravis consiliis perdidisset, sed et ipsis victoriam sine ulla pugna obtinere sperantibus impedimento esset. His Lucullus in concione respondit, malle se unum Romanum ex hostium manu eripere, quam omnibus hostium bonis potiri. (5) Quum Archelaus, qui in Bœotia copias regis duxerat et ad Romanos inde defecerat eorumque castra sequebatur, contenderet Lucullum, si modo visus in Ponto fuisset, toto statim regno potiturum, Lucullus nequaquam sese venatoribus timidiorem esse et, feris omissis, inania earum lustra sectari velle dixit. (6) His dictis, contra Mithridatem duxit peditum millia triginta, equites bis mille et quingentos. (7) Ut in hostium conspectum venit, admiratus eorum multitudinem, statuit a pugna abstinere et tempus ducere; Mario tamen, quem Sertorius ex Hispania cum copiis Mithridati auxilio miserat, occurrente ac provocante, in aciem suos eduxit. Jamjam conflicturis exercitibus, subito aer, quum nulla evidens mutatio præcessisset, abruptus est, ingensque moles flammea in medium acierum delata est, forma dolii simillima, colore argenti candentis; quo viso utrique perterriti dirimebantur. Accidisse hoc ferunt in Phrygia apud Otryas quas vocant. (8) Ceterum Lucullus, ratus nullo humano apparatu aut opibus posse tam multa hominum millia, quot secum habebat Mithridates, diutius ali hostibus præsentibus, unum de captivis in medium adduci jussit, primumque percontatus est, quotnam cum ipso alii in eodem tentorio fuissent, tum quantum cibi reliquissent. (9) Hunc, ut respondit, secedere et alium adduci mandavit, iterumque alium, et de iisdem rebus inquisivit. Ipse multitudine alimentorum ad numerum eorum qui alebantur comparata, perspexit fore ut post tertium aut quartum diem hostes cibus deficeret. Itaque multo magis tempus traxit, inque castra magnam frumenti vim convexit, ut in copia rerum penuriæ hostium insidiaretur.

IX. Interim Mithridates Cyzicenos multum accisos, quippe qui in pugna apud Chalcedonem decem naves et tria hominum millia amiserant, clam Lucullo opprimere intendens, noctem nactus obscuram atque pluviam, statim a cœna motis castris, summa luce e regione urbis apud Adrasteæ montem copias collocavit. (2) Lucullus id sensit insecutusque hostem, contentus se non incomposito agmine in hostem incidisse, apud Thracium pagum cum exercitu consedit, in loco ad vias et ea loca, unde Mithridati opus erat

πεφυκότι καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. (2) Διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ' ἅμα τῷ θέσθαι τὸ στρατόπεδον καὶ ἀπὸ τῶν ἔργων γενέσθαι συναγαγὼν αὐτοὺς ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. (4) Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβών, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές, ἀγνοοῦντας δὲ ὅπη Λούκουλλος εἴη καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. (5) Καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ' ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. Δεικνύντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παρεμβεβληκότας, « Ὁρᾶτε τούτους; » ἔφασαν· Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν. » (6) Οἱ δ' ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου μηδ', εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. (7) Οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς ὑπ' Ἀρχελάου Δημῶναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. Τούτων δ' ἀπιστούντων καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἦκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός· (8) πυνθανομένων δ' αὐτῶν, ποῦ λέγει τὸν Λούκουλλον εἶναι, κατεγέλα παίζειν αὐτοὺς οἰόμενον, ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων, οἱ δ' ἀνεθάρσησαν. (9) Τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. Ἔλαθον δὲ νυκτὸς διαπεράσαντες καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

X. Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαρρῦναι τοὺς Κυζικηνοὺς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι καὶ τῆς τῶν Φερρεφαττίων ἑορτῆς ἐνεστώσης οἱ μὲν ἠπόρουν βοῦς μελαίνης πρὸς τὴν θυσίαν καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν, ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ θεῷ νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ, κατ' ἐκείνην δὲ τὴν ἡμέραν ἀποχριθεῖσα τῆς ἀγέλης μόνη διενήξατο πρὸς τὴν πόλιν καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὐτήν. (2) Ὄναρ δ' ἡ θεὸς Ἀριστογόρᾳ τῷ τοῦ δήμου γραμματιστῇ παραστᾶσα, « Καὶ μὴν ἔγωγε, εἶπεν, ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. Φράσον οὖν θαρρεῖν τοῖς πολίταις. » (3) Θαυμαζόντων δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα κατιόντος ἀκρίτου πνεύματος, αἵ τε μηχαναὶ τοῦ βασιλέως παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ τοῦ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον, εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ' ἄλλα συνέτριψε μηχανήsubvehi commeatum, obtinenda commodissime sito. (3) Itaque et quid futurum esset animo præcipiens, non celavit milites, sed simul atque castris factis ab operibus faciendis destiterunt, concione vocata jactavit apud eos, se ipsis intra paucos dies victoriam absque sanguine traditurum. (4) Cyzicenos Mithridates denis a terra castris cinxerat, et euripo qui urbem a continente dirimit, navibus occupato, utrinque oppugnabat, satis quidem fiduciæ eo in periculo habentes, ac gravissima quæque Romanorum causa ferre paratos, ignorantes tamen ubi Lucullus esset, perturbatosque eo, quod nihil de eo cognovissent. (5) Erant quidem castra Luculli conspicua et aperta, sed Mithridatici eos deceperant, Romanos in loco superiore sibi assidentes demonstrando, Armeniorumque esse et Medorum auxilia Mithridati a Tigrane missa dicendo. (6) Itaque tanta belli mole circumjecta perterrebantur, ne si venisset quidem Lucullus, locum ei opis ferendæ relictum esse putantes. (7) Verum primus ab Archelao Cyzicum missus Demonax de præsentia Luculli cives certiores reddidit. Ei quum fidem non haberent, sed consolandi causa fictum sermonem retulisse putarent, captivus puer, qui ab hostibus perfugerat, in urbem venit. (8) Isque interrogatus ubinam Lucullus esset, primum jocari eos putans risit; postquam serio quæri sensit, manu castra Romanorum demonstravit: ita animos Cyziceni receperunt. (9) Quia etiam Dascylitis palus lembis satis magnis navigabatur, maximum lemborum Lucullus inde subtraxit, quadrigaque ad mare devexit militesque ei quotquot recipi poterat imposuit. Hi noctu, insciis hostibus, in urbem invecti sunt.

X. Videntur etiam dii, Cyzicenorum fortitudinem admirati, eorum animos quum aliis conspicuis signis confirmasse, tum instantibus Proserpinalibus quum nigra vacca destituti ad sacrificium e farina unam finxissent aræque admovissent, sacra bos, quæ deæ alebatur et uti reliqua etiam Cyzicenorum armenta in opposita pascebatur continente, illo die a ceteris bobus sese dejunxit solaque ad urbem tranavit, ut ei sacrificio sese sisteret. (2) In somnis quoque dea Aristagoræ scribæ publico visa est dicere: Utique adero et contra Ponticum tubicinem Africum ego tibicinem adducam; dic igitur civibus, uti bono sint animo. (3) Quum ea vox miraculo esset Cyzicenis, summo mane ingente vento oborto mare inhorruit, et machinæ regiæ muris admotæ, præclara Niconidæ Thessali opera, stridore ac fragore primum quid futurum esset indicaverunt. Inde incredibili vi Notus erupit et brevi horæ momento quum reliquas machinas, tum

ματα ὥρας βραχεῖ μορίῳ καὶ τὸν ξύλινον πύργον ἑκατὸν πηχῶν ὕψος ὄντα διασείσας κατέβαλεν. (4) Ἱστορεῖται δὲ τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρερρωγὸς λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. Καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

XI. Μιθριδάτην δ', ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμόν, ἡνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. (2) Ταχὺ δ' ἐξερρύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον ἐν αἰσθήσει γενομένου τῶν ἀπορίων, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν, ἅτε δὴ μὴ θεατρικῶς μηδ' ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλά, τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου καὶ ὅπως ὑφαιρήσει τὴν τροφὴν ἅπαντα πραγματευομένου. (3) Διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. (4) Πυθόμενος δ' ὁ Λούκουλλος ἔτι νυκτὸς ἦκεν εἰς τὸ στρατόπεδον, πρωὶ δὲ χειμῶνος ὄντος ἀναλαβὼν σπείρας δέκα καὶ τὴν ἵππον ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν, τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἁρπάζειν τὰ φορτία καὶ σκυλεύειν τοὺς φονευομένους. (5) Πολλῶν δ', ὡς εἰκός, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δὲ μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας παρεξῆλθε παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. (6) Σαλουστίου δὲ θαυμάζω τότε πρῶτον ὤφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκηπίωνος νικήσαντας Ἀντίοχον ᾤετο μήτε τοὺς ἐναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους ἐγνωκέναι κάμηλον. (7) Ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωστο τὴν ταχίστην, ἀνθολκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν· καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. (8) Ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δὲ στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπήγαγον. Ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμόν, εἷλέ τε παμπόλλους καὶ δισμυρίους ἀπέκτεινε. (9) Λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

XII. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. (2) Εἰς δὲ Τρωάδα καταχθεὶς ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ

ligneam turrim in centum cubitos erectam vi deturbavit. (4) Traditum est etiam Ilii multis per quietem Minervam apparuisse sudore manantem partemque pepli laceratam ostentantem, dicentemque se recens ab auxilio Cyzicenis lato redire : ostenderuntque statuam Ilienses, in qua ejus rei argumenta et inscriptiones inessent.

XI. Mithridatem autem, qui hactenus a suis ducibus delusus, quanta sui laborarent fame ignorabat, Cyzicenos non expugnari ægre ferebat. (2) Ut vero rescivit necessariorum difficultatem, qua pressi vel carnibus humanis vescebantur milites, ambitio ejus atque pervicacia plane in ventos abiit. Non enim ad ostentationem aut vana edenda spectacula Lucullus bellum gerebat, sed in ipsum, quod aiunt, ventrem insiliebat et omnia alimentorum subtrahendorum causa moliebatur. (3) Ea causa castellum quoddam ipso oppugnante, Mithridates arrepta occasione in Bithyniam equos prope omnes cum jumentis emisit et peditum eos qui nullo erant usui. (4) Hoc audito, ipsa ea nocte Lucullus in castra rediit. Sub auroram tempestate sæviente, cum decem cohortibus et equitatu hostes insecutus est, ita nive et laboribus conflictatus, ut multi militum frigore victi signa deseruerint. Cum reliquis hostes apud Rhyndacum fluvium assecutus, tantam edidit stragem, ut mulieres ab Apollonia egressæ impedimenta diripuerint, cæsosque spoliaverint. (5) Multis utique cæsis, equorum sex millia, jumentorum infinitus numerus, quindecim virorum millia capti sunt : quos omnes Lucullus præter castra hostium duxit. (6) Sallustium autem miror, qui tunc primum visos Romanis camelos asserat, nisi forte putabat neque antea ab iis qui Antiochum duce Scipione vicerant, nec qui nuper apud Orchomenum et Chæroneam cum Archelao decertaverant, conspectum esse camelum. (7) Mithridates, quum fugere quam primum decrevisset, ut detineret ab insecutione Lucullum moramque injiceret, Aristonicum classis præfectum in mare Græcum cum navibus ire jussit. Hunc jamjam soluturum per proditionem Lucullus in suam potestatem redegit, cumque eo aureorum decem millia, quibus ille partem Romani exercitus corrupturus fuerat. (8) Secundum hoc Mithridates mari aufugit, duces pedestres copias terra abduxerunt. Hos Lucullus apud Granicum amnem adortus, permultos cepit et viginti millia obtruncavit. (9) Dicuntur ex tota militum et eorum qui castra secuti fuerant multitudine, haud multo pauciores trecentis millibus periisse.

XII. Lucullus primo Cyzicum intravit voluptateque ibi et honoribus se dignis perfunctus est. Inde ad Hellespontum profectus classem adornavit. (2) Quum in Troadem perve-

τῆς Ἀφροδίτης, κατακοιμηθεὶς δὲ νύκτωρ ἐδόκει τὴν θεὰν ὁρᾶν ἐφεστῶσαν αὐτῷ καὶ λέγουσαν·

Τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

nisset, in Veneris templo tentorium fixit; noctu autem in somnis deam sibi visus est videre astantem atque dicentem,

Quid dormis, animose leo? haud procul hinnulei absunt.

(3) Ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας διηγεῖτο τὴν ὄψιν ἔτι νυκτὸς οὔσης. Καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς ἀπαγγέλλοντες ὤφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. (4) Εὐθὺς οὖν ἀναχθεὶς τούτους μὲν εἷλε καὶ b τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν, ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρὸς Νέας. (5) Οἱ δὲ ἔτυχον ὁρμοῦντες καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων προσερηρεισμένας τῇ γῇ καὶ βεβηκυίας ἀσφαλῶς. (6) Οὐ μὴν ἀλλὰ μόλις ἥ προσβολήν τινα ἡ νῆσος εἶχεν ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν νεῶν καὶ φεύγοντας ἐκ τῆς γῆς ἀλλήλοις τε c συγκρούειν τὰ πλοῖα καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. (7) Πολλοὶ μὲν οὖν διεφθάρησαν, ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος ὁ παρὰ Σερτωρίου στρατηγός· ἦν γὰρ ἑτερόφθαλμος καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

(3) Surrexit illico, amicisque convocatis insomnium exposuit, nocte adhuc durante. Simul aderant quidam ab Ilio qui renuntiarent visas apud Achæorum portum tredecim regias triremes Lemnum tendentes. (4) Statim igitur cum classe avectus, illas cepit, eorumque ducem Isidorum interfecit, inde ad Neas insulam profectus reliquos petiit. (5) Hi quum jam stationem tenerent, navibus omnibus ad terram contractis, de tabulatis propugnaverunt, plagasque Luculli militibus imposuerunt, quum neque circumnavigando locus aptus esset, neque navibus in alto fluctuantibus vim facere hostilibus navibus terræ firmiter innitentibus possent. (6) Ægre tamen, qua insula applicari naves utcunque patiebatur, militum optimos exposuit : hi a tergo hostes adorti partim interfecerunt, partim coegerunt abscissis retinaculis fugientes a terra suas invicem naves collidere et in Luculli naves incidere. (7) Permulti ibi perierunt : inter captivos adductus est etiam Marius, quem a Sertorio missum fuisse supra demonstravimus; nam quia altero oculorum carebat, mandatum initio a Lucullo fuerat, ne quis unoculus necaretur : nimirum uti prius probris contumeliisque vexatus, ita tandem cæderetur.

XIII. Γενόμενος δ' ἀπὸ τούτων ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. Ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνστησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει d πρὸς Νικομήδειαν. (2) Ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθρᾴκῃ μυούμενος καὶ πανηγυρίζων καθυστέρησε· Μιθριδάτην δὲ ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα πρὶν ἐπιστρέφειν Λούκουλλον εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολὺς, ὑφ' οὗ τὰ μὲν ἁφηρπάγη, τὰ δ' ἐβυθίσθη τῶν σκαφῶν, πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. (3) Αὐτὸς δὲ, τῆς ὁλκάδος, ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισταμένης τοῖς κυβερνήταις πρός τε τὴν θάλασσαν e ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς ληστρικὸν μυοπάρωνα καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν ἐξεσώθη. (4) Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία· ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν ἐκώλυσε πέμψας γράμματα καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖν τῆς θαλάττης. Καὶ τοῦτο ὑπῆρξεν αὐτῷ, τοῦ θεοῦ f

XIII. His confectis Lucullus ad insequendum Mithridatem festinavit. Speravit enim hunc a Voconio (quem ut fuga regem intercluderet, cum navibus Nicomediam miserat) obsessum, a se adhuc apud Bithyniam inventum iri. (2) Sed Voconius in Samothrace sacris initiando et vacando, occasionem rei gerendæ neglexerat. Mithridatem autem cum classe avectum, festinantemque ante reditum Luculli in Pontum abire, ingens tempestas adorta est, navigiisque partim direptis, partim subversis, omne litus maritimum ejectis vi undarum fragmentis per aliquot dies constratum fuit. (3) Ipse quum oneraria navis qua vehebatur, neque ad terram commode applicari ob molem posset, quæ eam rectoribus intractabilem tanto maris æstu fluctuumque incertitudine reddebat et gravior jam esset plusque aquæ hausisset, quam ut tuto in mari versari quiret, in piraticum myoparonem conscendit, corpusque suum prædonibus commisit, ac præter omnium spem cum summo periculo Heracleam Ponticam salvus evasit. (4) Quod autem arroganter Lucullus senatui, quum is tria talentorum millia ad sumptus in classem faciendos decrevisset, missis litteris responderat, nolle se id fieri, jactaveratque se citra tanta impendia tantumque apparatum, sociorum tantum navibus Mithridatem mari pulsurum, id ejus dictum Nemesis non ut superbius ulta est, sed, quod

συναγωνισαμένου. Λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

XIV. Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβάλλεσθαι τὸν πόλεμον οὐ φροντίσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον, προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ δραχμῆς, a τὸ δὲ ἀνδράποδον τεττάρων ὤνιον εἶναι, τὴν δὲ ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δὲ ἀναλίσκειν· διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων. (2) Ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων ἠτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δὲ οὐδεμίαν ᾑρηκεν οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. « Ἀλλὰ καὶ νῦν, ἔφασαν, Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις ἐντείναι τὴν πολιορκίαν, κατασχεῖν, ἀπολιπόντας ἡμᾶς ἄγει περὶ τὴν Τιβαρηνῶν καὶ b Χαλδαίων ἐρημίαν Μιθριδάτῃ πολεμήσοντας. » (3) Ἀλλὰ ταῦτα μὲν οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηναν, ὑπερεώρα καὶ οὐκ ἐφρόντιζεν, ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδυτῆτα κατηγόρουν αὐτοῦ διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἑῶντος δ' αὔξεσθαι Μιθριδάτην. (4) « Αὐτὸ γάρ, ἔφη, τοῦτο καὶ βούλομαι καὶ κάθημαι τεχνάζων, μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. (5) Ἢ οὐχ ὁρᾶτε c πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος καὶ ὄρη πολλὰ καὶ βαθέα καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν· ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων, καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ἣ Πάρθους τε περικόπτει τῆς Ἀσίας καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποκτιννύει, θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. (6) Οὗτος d οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. Οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεόμενον ἐφ' ἡμᾶς, εὐπρεπεστέραν δὲ οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντα ὑπουργεῖν αὐτῷ. (7) Τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον, καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα συνελαύνειν ἐπὶ τὰς Τιγράνου χεῖρας, ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσα-

dixerat, id dei ope præstitit. Nam Dianæ Priapinæ ira fertur Mithridatem tempestas invasisse, ulciscentis templum suum a Ponticis direptum et simulacrum ablatum.

XIV. Porro Lucullus spretis multorum, qui differre bellum jubebant, monitionibus, per Bithyniam et Galatiam in Mithridatis regnum irrupit. Et ab initio ita laborabat penuria commeatus, ut triginta Galatarum millia secuti sint exercitum, singuli medimnum frumenti humeris portantes: progressus autem et omnibus in suam potestatem redactis, tantam omnium rerum copiam paravit, ut in castris bos denario, mancipium quattuor denariis veniret : reliquam prædam milites contemptim aut dimittebant, aut consumebant : neque enim vendebatur quicquam, quum omnes opibus affluerent. (2) Sed quum Themiscyras usque et campos juxta Thermodontem fluvium excursionibus cum equitatu progressus esset, per quantum spatium regionem vastare ac populari licebat; Lucullum incusavere milites, quod tam multis potitus urbibus, nullam vi cepisset, nullam ipsis diripiendam dedisset : Jam nunc (dicebant) Amiso urbe opulenta et si quis acriter oppugnaret expugnatu haud difficili omissa, ducit nos, ut cum Mithridate de Tibarenorum et Chaldæorum solitudinibus decertemus. (3) Verum has querelas Lucullus sprevit atque nihil curavit; minime ratus fore, ut tantæ, quantam deinde expertus est, insaniæ militibus causam præberent. Iis potius sese purgabat, qui vitio dabant tarditatem, quod pagis et oppidis non multo dignis pretio occupandis multum temporis exigeret, interimque Mithridatem vires acquirere pateretur. (4) Hoc ipsum est, dicebat, quod volo, idque hic desidens molior, ut potens rursum fiat ille, contractisque justis copiis nos accedentes non fugiat, sed subsistat. (5) Non videtis eum a tergo magnas et immensæ vastitatis solitudines habere? prope est Caucasus aliique multi ingentesque montes, in quibus spatii ad sexcentos reges pugnam subterfugientes excipiendos et occultandos satis est. A Cabiris porro iter non multorum dierum est in Armeniam : Armeniam Tigranes tenet, rex regum, qui suis copiis Parthis Asiam adimit, urbium Græcarum habitatores in Mediam abripit, Syriam Palæstinamque obtinet, reges a Seleuco ortos interficit, filias eorum et uxores abducit. (6) Is Mithridatis necessarius est et gener. Non negliget eum, ubi ad ipsum se contulerit supplicem, sed bellum nobis faciet, periculumque est ne, dum Mithridatem expellimus, Tigranem provocemus, jam pridem occasionem nos invadendi quærentem, nunquam vero nacturum honestiorem quam si regi propinquo opitulari cogatur. (7) Quorsum vero attinet id ut fiat nos efficere et Mithridati ostendere, quorum auxilio uti ab bellum contra nos gerendum debeat, nolentemque eum et dedecori sibi ducentem, eo compellere, ut opem Tigranis imploret? Non præstat, concesso ei ad

τοῦ πρώτου μνημονεύουσι· πρεσβύτερος γὰρ ὢν αὐτοῦ λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκείνου καιρὸν ἀναμείνας οὕτως ἐπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

II. Νέος δ' ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως, μᾶλλόν γε μὴν αὐτὸν δι' εὐστάθειαν καὶ πραότητα Σύλλας προσηγάγετο καὶ χρώμενος ἀπ' ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. (2) Δι' ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν Πελοποννήσῳ περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ' ἐκείνου προσηγορεύθη καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. (3) Ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ' Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον ἄξοντα ναῦς ἐκεῖθεν. (4) Ἦν μὲν οὖν ἀκμὴ χειμῶνος, ἐξέπλευσε δὲ τρισὶν Ἑλληνικοῖς μυοπάρωσι καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς πρὸς μέγα πέλαγος καὶ ναῦς πολεμίας πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας παραβαλλόμενος. (5) Οὐ μὴν ἀλλὰ καὶ Κρήτην κατάρας ᾠκειώσατο καὶ Κυρηναίους καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. (6) Δεομένων γὰρ, ὡς ἔοικεν, ὅπως τε νόμους γράψῃ καὶ τὸν δῆμον αὐτὸν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος, ἔφη χαλεπὸν εἶναι Κυρηναίοις οὕτως εὐτυχοῦσι νομοθετεῖν. Οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον εὖ πράσσειν δοκοῦντος, οὐδ' αὖ πάλιν δεκτικώτερον ἐπιστασίας συσταλέντος ὑπὸ τῆς τύχης. Ὃ καὶ τότε Κυρηναίους νομοθετοῦντι Λουκούλλῳ πράους παρέσχεν. (7) Ἐπεῖθεν δ' ἀναχθεὶς ἐπ' Αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων, αὐτὸς δὲ διασωθεὶς κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. (8) Ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν οἰκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. (9) Δαπάνην δὲ καὶ σύνταξιν οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. (10) Λέγεται δὲ μήτ' εἰς Μέμφιν ἀναβῆναι μήτ' ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ, ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

III. Ἐπεὶ δ' ἀπέλιπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι

primo loco Romani commemorant, quod adultior eo, noluit tamen magistratum solus ambire, sed exspectato illius tempore ita populum sui studiosum effecit, ut cum eo, absens ipse, ædilis crearetur

II. Bello Marsico juvenis audacter multa prudenterque egit, gravitatem tamen ejus magis mansuetudinemque amplexus Sylla ejusque opera nunquam non est arduis in rebus usus, in quibus fuit cura pecuniæ cudendæ. (2) Maximam enim ejus nomismatis partem, quod ad bellum Mithridaticum est in Peloponneso factum, Lucullus signavit, ab eoque est Luculleum dictum, diuque perduravit, propter varios in bello usus celerrime permutatum. (3) Quum Atheniensi agro capto Sylla terra potiretur, commeatu autem ab hostibus, qui mare classe obtinebant, intercluderetur, Lucullum in Ægyptum et Africam, ut inde naves adduceret, emisit. (4) Avectus est media hieme Lucullus cum tribus Græcis myoparonibus et totidem Rhodiis dicrotis, in magnum a mari vasto et hostilibus navibus per occupatum mare passim vagantibus periculum se conjiciens. (5) Sed tamen et Cretam adivit eamque in suam potestatem redegit et Cyrenæorum statum quum reperisset ob continentes tyrannides atque bella perturbatum, recepit eos, remque publicam constituit, dicti Platonici civitatem admonens, quod ille iis effatus erat. (6) Quum enim, ut aiunt, ab ipso Cyrenæi petiissent, uti leges ferret populumque ipsum componeret forma reipublicæ moderata, difficile esse responderat Cyrenæis rebus tam secundis utentibus leges statuere. Nihil enim difficilius regi posse, quam hominem prospera utentem fortuna, nihilque vicissim facilius admittere disciplinam, quam eum qui rebus adversis esset fractus. Quod ipsum eo tempore Cyrenæos, uti obsequerentur Lucullo leges ferenti, adegit. (7) Inde Ægyptum versus navigans, piratis ingruentibus plerasque naves amisit, ipse autem incolumis magno cum splendore Alexandriam intravit. (8) Obviam enim ei tota classis profecta est, ut regi solet, ornata magnifice; atque Ptolemæus puer quum alias mirificam in eo tractando humanitatem exercuit, tum in regia domicilium victumque præbuit, quum nullus unquam ante peregrinus dux ibi fuisset acceptus. (9) Sumptum quoque ei et stipendium non quantum aliis, sed quadruplum dedit: tametsi Lucullus neque præter necessaria accepit quicquam et dona octoginta talentorum pretio sibi missa repudiavit. (10) Idem neque Memphim adivit, neque quicquam eorum quæ in Ægypto mirabilia celebrantur lustravit: otiosi enim animo indulgentis spectatoris ea esse censebat, non ejus qui imperatorem sub dio ad hostium propugnacula morantem reliquisset.

III. Ptolemæus metu Mithridatis cum Romanis amicitiam jungere repudians, naves tamen quæ in Cyprum usque

Κύπρου πομποὺς παρέσχε καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων ἐδωρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο, δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς ἐπιβουλευθείη κατὰ θάλατταν. (2) Ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ b τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσοι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα καὶ ταῖς πόλεσιν ἔγραψε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. (1) Εἶτα πλοῦ φανέντος, ἐξαπίνης κατασπάσας τὰς ναῦς ἀνήχθη καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπαιρομένοις εἰς Ῥόδον ἐσώθη. (4) Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κώους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους c συστρατεύειν. Ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε συλλαβὼν Ἐπίγονον τὸν τύραννον αὐτῶν. (5) Ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς καὶ συνεσταλμένος εἰς Πιτάνην. Ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. (6) Ὁ δὲ ταῦτα συνορῶν, ναυτικῷ δὲ λειπόμενος, πρὸς Λούκουλλον ἔπεμπεν ἥκειν τῷ στόλῳ δεόμενος καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων, ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγοι Ῥωμαίους, Μιθριδάτης εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων, οὗ ληφθέντος οὐδένα τῆς δόξης οἴεσθαι πλέον ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα καὶ διαδιδράσκοντος ἐπιλαβόμενον· ὑφ' ἑαυτοῦ μὲν ἐξεωσμένον τῆς γῆς, ὑπ' ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα, τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν ὑμνουμένας ἀριστείας ἐν οὐδενὶ λόγῳ θήσεσθαι Ῥωμαίους. (7) Καὶ οὐδὲν ἦν ἄπο τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον, ὡς, εἰ Φιμβρίᾳ τότε πεισθεὶς ὁ Λούκουλλος οὐ μακρὰν ὢν περιήγαγεν ἐκεῖσε τὰς ναῦς καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. (8) Ἀλλ' εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν μιαρὸν ὄντα καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτοῦ Μιθριδάτου καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν, ἀλλὰ Μιθριδάτῃ μὲν ἐκπλεῦσαι παρέσχε καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως, αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρωάδος βασιλικὰς ναῦς ἐπιφανείσας f κατεναυμάχησεν, αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα

deducerent Lucullo dedit: eumque in discessu amplexus, quum officiose salutasset, smaragdum auro inclusum dono dedit admodum magni pretii. Lucullus autem tantisper recusavit, donec ei rex sculpturam ostendit, quæ faciem suam repræsentabat: ita demum, veritus ne, si omnino repudiaret, infensum animum gerere crederetur, in marique insidiis impeteretur, accepit. (2) Inter navigandum acceptis navibus ab urbibus maritimis, nisi si quæ piraticam exercebant, ita in Cyprum pervenit. Ibi quum audivisset hostes in promontoriis cum classe ipsum exspectare, naves omnes subduxit ac tanquam ibi usque ad ver mansurus, circum urbes de hibernis et commeatu nuntios misit. (3) Ubi primum navigando aptum diem est nactus, repente deductis navibus ex insula solvit, interdiuque demissis, noctu erectis velis usus, Rhodum incolumis pervenit. (4) Rhodiis ei naves præbentibus, Cois et Cnidiis persuasit, ut a regiis ducibus defectione facta ipsum in Samiis oppugnandis adjuvarent. Ipse Chio regios expulit, et capto Epigono tyranno, Colophoniorum urbem liberavit. (5) Eo tempore Mithridates forte Pergamo jam relicto, Pitanen compulsus erat: atque ibi terrestri obsidione cinctus a Fimbria, undique classes suas ad se evocabat atque contrahebat, omnem in mari spem habens, quod cum Fimbria, viro audace atque victore, congredi et bellum gerere desperasset. (6) Fimbria quum hoc sentiret ac classe destitueretur, missis nuntiis Lucullum hortatus est ut cum classe veniret, seque in capiendo infestissimo rege adjuvaret, neve Mithridatem, ingens et tot certaminibus laboribusque præmium petitum, qui in manibus esset et plagis septus, effugere pateretur; quem si cepissent, utique ejus summam fore gloriam, qui fugam ejus impediisset, elabique conantem arripuisset: a se nunc eum terra pulsum, si ab illo etiam mari excluderetur, utriusque fore rei bene gestæ laudem, et porro Syllæ celebres istas apud Orchomenum et Chæroneam victorias, nullo nomine apud Romanos futuras. (7) Horum ille nihil absurde dixit; satis enim omnibus erat perspicuum, si tum Fimbriæ obtemperasset Lucullus et, ut erat in propinquo, statim naves Pitanæ circumdedisset portumque classe obsedisset, bellum finitum omnesque immensis ærumnis liberatos fuisse. (8) Sed Lucullus, sive quod fidem Syllæ debitam omni publico privatoque commodo antiquiorem duceret, sive Fimbriam aversaretur, hominem nefarium, et qui nuper imperandi cupiditate motus amicum ducemque suum interfecisset, sive divina quadam fortuna Mithridati parcens, eumque sibi debellandum reservans, non paruit, passusque est Mithridatem Fimbriæ vires deridentem Pitana abnavigare. Ipse primum apud Lectum Troadis promontorium regias naves forte oblatas pugna vicit, deinde Neoptolemum majoribus cum copiis apud Tenedum stationem

μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων Ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει Δαμαγόρας, ἀνὴρ εὖνους τε Ῥωμαίοις καὶ 494θαλασσίων ἀγώνων ἐμπειρότατος. (9) Ἐπελαύνοντος a δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου καὶ κελεύσαντος εἰς ἐμβολὴν ἀγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δαμαγόρας τὸ βάρος τῆς βασιλικῆς καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρῳρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας ἐκέλευσεν ἐπὶ πρύμναν ὥσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. (10) Ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφειν καὶ πολλὰ δράσας ἄξια λόγου τρέπεται τοὺς πολεμίους καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

IV. Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χερρόνησον ἤδη μέλ- b λοντι διαβαίνειν συμβαλὼν τόν τε πόρον ἀσφαλῆ παρεῖχε καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. (2) Ἐπεὶ δὲ συνθηκῶν γενομένων Μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾷον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. (3) Μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν μετρίας ἐφ' οἷς περὶ Μάνιον ἐξήμαρτον, ὡς δ' ἑώρα κακοδαιμονοῦντας, c ἐπιπλεύσας ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη καὶ πολιορκίαν συστησάμενος ἐξέπλευσε μὲν ἡμέρας καὶ φανερῶς εἰς Ἐλαίαν, ὑπέστρεψε δὲ λεληθότως καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν ἡσύχαζεν. (4) Ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς ἔλαβέ τε παμπόλλους ζῶντας καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν, ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. (5) Τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώ- d ποις παρεῖχον, οὐ πάνυ μετέσχε θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. (6) Οὐ μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφὴν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δι' εὔνοιαν ἀνέθηκε καὶ τελευτῶν ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήιον. (7) Καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

V. Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν ὑπάτευσε μετὰ Μάρκου Κόττα περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. (2) Πολλῶν οὖν αὖθις e ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. (3) Διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἤχθετο πράξεων ὑποθέσεις μεγάλων οὐκ ἔχουhabere conspicatus, ante alios omnes contra eum ivit, vectus quinqueremi Rhodiaca, quam Damagoras, vir Romanorum studiosus navaliumque certaminum peritissimus, gubernabat. (9) Quum Neoptolemus magno impetu obvium se ferret atque in rostrum navis invehi gubernatorem juberet, Damagoras molem navis regiæ æreique rostri vim metuens, adversa prora occurrere non est ausus, celeriterque inversa navi, puppim obvertit, atque ibi depressa navi ictum accepit minime noxium, quippe qui iis partibus navis, quæ mari tegebantur, infligeretur. (10) Interim sociis advectis, Lucullus obverti proram jubet, et multis præclare factis, in fugam hostes conjicit, Neoptolemumque insequitur.

IV. Inde Syllæ apud Chersonesum jam trajecturo se conjungit, tutumque ei trajectum præstat et in transmittendo exercitu adjuvat. (2) Postea pace facta Mithridates ad Euxinum Pontum navibus abiit, Sylla viginti millibus talentorum Asiam mulctans, exactioni ejus pecuniæ et nomismati cudendo Lucullum præfecit. Is in tam gravi severoque obeundo ministerio tanta non modo integritate et justitia, sed humanitate etiam versatus est, ut afflictis Syllæ inclementia urbibus aliquantum solatii attulerit. (3) Mitylenæos, qui palam defecerant, quum ad bonam mentem reducere atque ob ea quæ in Manium commiserant, leniter castigare vellet, ut vidit insanire, classe admota prœlio vicit intraque muros compulit. Inde obsidione urbem cingens, interdiu ac propalam Elæam navigavit, occulte reversus, positis apud urbem insidiis se continuit. (4) Postquam Mitylenæi audacter nulloque ordine eruperunt, tanquam castra Romanorum deserta direpturi, subito eos adortus, quingentos se defendere ausos necavit, ingentemque prædam et sex millia hominum captivorum avexit. (5) Bono quodam fato, dum in Asiaticis rebus expediendis tempus terit, a malis illis, quibus et variis et plurimis Italiam Sylla Mariusque impleverunt, abfuit. (6) Neque tamen a Sylla minus quam reliqui amici consecutus est, qui et commentarios ei, ut retulimus, suos inscripsit, benevolentiæ causa, et moriens filii sui tutorem eum, præterito Pompeio, instituit. (7) Quæ res primum Pompeio et Lucullo discordiarum videtur æmulationisque præbuisse initium, juvenibus et gloriæ cupiditate flagrantibus.

V. Paulo post mortem Syllæ Lucullus cum M. Cotta consul fuit, circa centesimam septuagesimam sextam Olympiadem. (2) Eo tempore multis Mithridaticum bellum resuscitantibus, Cotta non finitum esse id bellum, sed requievisse dixit. (3) Quare ut sortiti sunt provincias, Lucullus Galliam Comatam sibi obtigisse inique tulit, quod ea nullam magnarum rerum gerendarum materiam haberet.

σαν. (4) Μάλιστα δ' αὐτὸν εὐδοκιμῶν Πομπήιος ἐν Ἰβηρίᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς ἐπίδοξος ὢν, εἰ συμβαίη παύσασθαι τὸν Ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. (5) Διὸ καὶ χρήματα αἰτοῦντος αὐτοῦ καὶ γράφοντος, ὡς, εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰβηρίαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα καὶ μηδ' ἀφ' ἡστινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν ὑπαστεύοντος αὐτοῦ· πάντα γὰρ ἐπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως παρόντι μετὰ τοσαύτης στρατιᾶς. (6) Καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν Κέθηγος ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. (7) Τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει· Λεύκιον δὲ Κόϊντον, ἄλλον δημαγωγὸν, ἐπαναστάντα τοῖς Σύλλα πολιτεύμασι καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος καὶ δημοσίᾳ νουθετῶν ἀπέστησε τῆς πείρας καὶ κατέστορεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

VI. Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκταούϊος ἠγγέλθη τεθνηκώς. Σπαργώντων δὲ πολλῶν πρὸς τὴν ἐπαρχίαν καὶ Κέθηγον ὡς δυνατώτατον ὄντα διαπράξασθαι θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλλος Κιλικίας οὐ πολὺν εἶχε λόγον, οἰόμενος δ', εἰ λάβοι ταύτην, ἐγγὺς οὔσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτην, πᾶσαν ἔστρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. (2) Καὶ τελευτῶν ἔργον οὐ σεμνὸν οὐδ' ἐπαινετὸν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. (3) Πραικία τις ἦν ὄνομα τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνέδην ἑταιρούσης γυναικὸς, ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. (4) Ὡς δὲ καὶ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις· οὐδὲ γὰρ ἐπράττετο τι δημοσίᾳ Κεθήγου μὴ σπουδάζοντος οὐδὲ Πραικίας μὴ κελευούσης παρὰ Κεθήγῳ. (5) Ταύτην οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην δρᾶσθαι μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθός) εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην καὶ προμνώμενον αὐτῷ Κιλικίαν. (6) Ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον, Πομπηίου μὲν ἔτι Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλου περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. (7) Οὐ μὴν ἀλλὰ Κόττας ὁ

(4) Maxime autem Pompeius in Hispania præclaris facinoribus laudem adeptus ipsum urebat, quem præ omnibus aliis putabat, finito Hispanico bello, imperatorem contra Mithridatem delectum iri. (5) Itaque quum is pecuniam posceret ac, nisi mitteretur, omissa Hispania et Sertorio, in Italiam se cum copiis venturum per literas minaretur, summo studio Lucullus in id incubuit, ut pecunia ei mitteretur, ne se consule vel levissimam redeundi occasionem haberet; metuebat enim ne, si cum tanto exercitu veniret, omnes res urbanas esset in sua potestate habiturus. (6) Nam qui tunc in republica primas obtinebat, Cethegus, omnia in gratiam vulgi dicendo agendoque, Lucullo inimicus erat, vitam ipsius abominanti, turpibus amoribus libidinibusque et sceleribus deditam. (7) Hunc Lucullus palam impugnabat. L. vero Quinctium, alium tribunum plebis, insurgentem contra Syllæ instituta rerumque statum præsentem labefactare aggressum, sæpe privatim allocutus publiceque castigans a proposito detraxit, ambitionemque ejus restinxit, quam fieri potuit prudentissime et saluberrime initium magni mali reprimens.

VI. Interim de morte Octavii, qui Ciliciæ præfuerat, renuntiatum est. Cujus provinciæ obtinendæ cupiditate quum flagrarent multi, Cethegumque, ut qui ad eam consequendam conferre posset plurimum, demererentur, Lucullus, tametsi non magni faceret Ciliciam, ratus tamen, si ea potiretur, quod prope erat Cappadocia, neminem alium contra Mithridatem cum imperio missum iri, omnem movit lapidem, ne ea alii concederetur. (2) Et ad extremum neque honestum neque laudabile, ceterum utile ad id quod intendebat, factum necessitate quadam contra suam ipsius naturam patravit. (3) Erat Romæ Præcia quædam, forma et protervitate per urbem celeberrima, quæ quum publico scorto nihil præstaret modestia, eo tamen quod qui cum ipsa consuetudinem haberent et colloquerentur, eorum opera in amicorum conatibus promovendis et honoribus in republica adipiscendis utebatur, ad reliquam gratiam laudem studii amicorum adepta et efficax credita, plurimum potentiæ sibi paraverat. (4) Hæc postquam Cethegum florentem tum gloria resque urbanas suo arbitrio moderantem in suam potestatem redegit, amoreque ipsius corrupto se adjunxit, omnis tum civitatis potestas ad Præciam pervenit; neque enim publice quicquam actum est absque Cethegi opera, neque is injussu Præciæ fecit quicquam. (5) Hanc ubi Lucullus donis adulandoque suam fecit (et erat mulieri superbæ ac splendoris avidæ in ea petitione haud exigua merces, quod Lucullo opem ferre videretur), statim habuit Cethegum laudatorem suum, ac qui ei Ciliciam provinciam conciliaret. (6) Hanc semel nactus, nihil deinde neque Præciæ neque Cethegi opera indiguit, sed uno omnes ore ducem eum Mithridatici belli delegerunt, nemini hoc rectius committi posse rati. Nam et Pompeius Sertoriano adhuc bello detinebatur, et Metellus jam ob senectutem re militari se abdicaverat, qui duo soli de laude imperatoris videbantur cum Lucullo posse contendere. (7) Obtinuit tamen Cotta ejus

συνάρχων αὐτοῦ πολλὰ λιπαρήσας τὴν σύγκλητον ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων καὶ προπολεμήσων Βιθυνίας.

VII. Λούκουλλος δὲ τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. (2) Οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες αὐτόν τε τὸν Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. (3) Οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λούκουλλος ἐξέκοψε καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐρεθιζόμενοι στρατεύεσθαι. (4) Τὰ δὲ τῶν πολεμίων οὕτως εἶχε. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν, εἶτ' ἐκπεσὼν καταγελάστως καὶ νουθετηθείς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνάμεις παρασκευήν. (5) Ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων τε διαχρύσων καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκήν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἠλαύνετο Ῥωμαϊκὰ καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο καὶ γεγυμνασμένους μᾶλλον ἢ κεκοσμημένους ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκὴν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους ἄνευ τῶν δρεπανηφόρων τεθρίππων· ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσορόφοις σκηνίσιν οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παραρτυσάμενος ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων οὐ μόνον τούτων, ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαίων δανειστῶν καὶ τελωνῶν· οὓς ὕστερον μὲν ὥσπερ Ἅρπυίας τὴν τροφὴν ἁρπάζοντας αὐτῶν ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων, οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

VIII. Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον αὐτοῦ καιρὸν εἶναι νομίζων ὁ Κόττας παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. (2) Καὶ πολλῶν ἀπαγγελλόντων ἤδη Λούκουλλον ἐν Φρυγίᾳ στρατοπεδεύειν ἐπιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβῃ Λούκουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. (3) Πληγεὶς δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἑξήκοντα μὲν ἀπώλεσεν αὐτάνδρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους, αὐτὸς δὲ κατακλεισθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκούμενος εἰς τὰς Λου-

collega multis precibus a senatu, ut ad custodiendam Propontidem propugnandumque pro Bithynia cum navibus mitteretur.

VII. Lucullus cum una legione in Italia conscripta in Asiam trajecit, ubi reliquas etiam copias recepit. Erant autem milites illi jam pridem omnes luxu avaritiaque perditi, qui vero Fimbriani vocabantur, intractabiles etiam, quod jam pridem parere imperio desuevissent. (2) Hi erant qui cum Fimbria Flaccum consulem et ducem suum necaverunt atque ipsum Fimbriam Syllæ prodiderant: contumaces et improbi homines, fortes tamen bellique et tolerantes et periti. (3) Verum brevi temporis spatio Lucullus et ferociam eorum præcidit et reliquos correxit, tunc primum, ut videtur, bonum ducem nactos, quum alias blandis verbis ducerentur voluptatibusque propositis ad officia militaria illicerentur. (4) Res autem hostium hac erant conditione. Mithridates, quum ab initio, ut plerique sophistarum, ostentabundus, copiis futilibus sed aspectu splendidis et gloriosis superbus tumidusque in Romanos insurrexisset, ac turpiter explosus castigatusque esset, ut denuo bellum in Romanos paraturus erat, copias utili et rebus gerendis accommodato apparatu instruxit. (5) Omnigenas enim istas multitudines multilinguesque minas barbarorum missas faciens et arma aurata gemmisque exornata, quæ prædam magis hostibus quam robur possidentibus adderent, gladios Romanos fabricatus est et scuta valida, equos exercitatos magis quam ornatos conduxit, peditum centum viginti millia, ad phalangem Romanam compositos, equitum sedecim millia, atque quadrigas falcatas centum: naves etiam non tentoriis auro tectis aut pellicum balneis gynæceisque luxuriosis instructas, sed armis, telis et pecunia onustas adornavit: ita Bithyniam invasit, urbibus eum prompte accipientibus, non Bithynicis modo, sed et per totam Asiam morbus recidivus defectionis vagabatur, civitatibus intolerabiliter a fœneratoribus et publicanis Romanorum vexatis, quos postea temporis, tanquam Harpyias alimenta eorum rapientes, Lucullus expulit: tunc monendo meliores efficere conabatur, populosque a defectione inhibebat, nemine propemodum quiescente.

VIII. His intento Lucullo, suum id esse tempus Cotta arbitratus, ad pugnam cum Mithridate conserendam se paravit. (2) Multis autem nuntiantibus jam Lucullum adventantem in Phrygia esse, ratus se triumphum tantum non in manibus habere, ne partem ejus Lucullus capere posset, prœlium acceleravit. (3) Verum terra marique victus, amissis sexaginta cum classiariis et remigibus navigiis, peditumque quattuor millibus, ipse Chalcedone inclusus et obsessus

κούλλου χεῖρας ἀπέβλεπεν. (4) Ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον ἀμελήσαντα Κόττα πρόσω χωρεῖν παρορμῶντες ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν, καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος ἀγανακτούντων, εἰ μὴ μόνον αὐτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται νικᾶν ἀμαχεὶ δυναμένοις· Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ' ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. (5) Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ στρατηγήσαντος, εἶτ' ἀποστάντος καὶ Ῥωμαίοις συστρατεύοντος διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων δμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. (6) Καὶ τοῦτ' εἰπὼν ἐπὶ Μιθριδάτην προῆγε πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. (7) Καταστὰς δ' εἰς ἔποψιν τῶν πολεμίων καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης καὶ τρίβειν τὸν χρόνον, Μαρίου δ', ὃν Σερτώριος ἐξ Ἰβηρίας ἀπεστάλκει Μιθριδάτῃ μετὰ δυνάμεως στρατηγόν, ἀπαντήσαντος αὐτῷ καὶ προκαλουμένου, κατέστη μὲν εἰς τάξιν ὡς διαμαχούμενος, ἤδη δὲ ὅσον οὔπω συμφερομένων ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀπορράγέντος, ὥφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον, τὸ μὲν σχῆμα πίθῳ μάλιστα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικός, ὥστε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. Τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. (8) Ὁ δὲ Λούκουλλος οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς οὐδὲ πλούτου θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον ἀντικαθημένων πολεμίων τοσαύτας, ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε, μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ καταλέλοιπε σῖτον. (9) Ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον δμοίως ἀνέκρινεν. (10) Εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν ἢ τεσσάρων ἡμερῶν ἐπιλείψοντα τὸν σῖτον τοὺς πολεμίους. Καὶ πολὺ μᾶλλον εἴχετο τοῦ χρόνου καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύοι ταῖς ἐκείνων ἀπορίαις.

IX. Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν καὶ δέκα νεῶν ἐστέρηντο. Βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου νύκτα δυσφανῆ καὶ νοτερὰν ἔχων ἐκίνει καὶ φθάνει τῆς πόλεως ἄντικρυς ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. (2) Ὁ δὲ Λούκουλλος αἰσθόμενος καὶ διώξας ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσυντάκτοις εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρᾳκίαν λεγομένην κώμην ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα

Luculli auxilium deinde opperiebatur. (4) Non defuerunt qui Lucullum, neglecto Cotta, juberent recta progredi, regnumque Mithridatis desertum occupare, et militum præsertim ea vox erat, indignantium quod Cotta non modo se ipsum suosque pravis consiliis perdidisset, sed et ipsis victoriam sine ulla pugna obtinere sperantibus impedimento esset. His Lucullus in concione respondit, malle se unum Romanum ex hostium manu eripere, quam omnibus hostium bonis potiri. (5) Quum Archelaus, qui in Bœotia copias regis duxerat et ad Romanos inde defecerat eorumque castra sequebatur, contenderet Lucullum, si modo visus in Ponto fuisset, toto statim regno potiturum, Lucullus nequaquam sese venatoribus timidiorem esse et, feris omissis, inania earum lustra sectari velle dixit. (6) His dictis, contra Mithridatem duxit peditum millia triginta, equites bis mille et quingentos. (7) Ut in hostium conspectum venit, admiratus eorum multitudinem, statuit a pugna abstinere et tempus ducere; Mario tamen, quem Sertorius ex Hispania cum copiis Mithridati auxilio miserat, occurrente ac provocante, in aciem suos eduxit. Jamjam conflicturis exercitibus, subito aer, quum nulla evidens mutatio præcessisset, abruptus est, ingensque moles flammea in medium acierum delata est, forma dolii simillima, colore argenti candentis; quo viso utrique perterriti dirimebantur. Accidisse hoc ferunt in Phrygia apud Otryas quas vocant. (8) Ceterum Lucullus, ratus nullo humano apparatu aut opibus posse tam multa hominum millia, quot secum habebat Mithridates, diutius ali hostibus præsentibus, unum de captivis in medium adduci jussit, primumque percontatus est, quotnam cum ipso alii in eodem tentorio fuissent, tum quantum cibi reliquissent. (9) Hunc, ut respondit, secedere et alium adduci mandavit, iterumque alium, et de iisdem rebus inquisivit. Ipse multitudine alimentorum ad numerum eorum qui alebantur comparata, perspexit fore ut post tertium aut quartum diem hostes cibus deficeret. Itaque multo magis tempus traxit, inque castra magnam frumenti vim convexit, ut in copia rerum penuriæ hostium insidiaretur.

IX. Interim Mithridates Cyzicenos multum accisos, quippe qui in pugna apud Chalcedonem decem naves et tria hominum millia amiserant, clam Lucullo opprimere intendens, noctem nactus obscuram atque pluviam, statim a cœna motis castris, summa luce e regione urbis apud Adrasteæ montem copias collocavit. (2) Lucullus id sensit insecutusque hostem, contentus se non incomposito agmine in hostem incidisse, apud Thracium pagum cum exercitu consedit, in loco ad vias et ea loca, unde Mithridati opus erat

πεφυκότι καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. (3) Διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ' ἅμα τῷ θέσθαι τὸ στρατόπεδον καὶ ἀπὸ τῶν ἔργων γενέσθαι συναγαγὼν αὐτοὺς ἐμεγαλιγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. (4) Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβών, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές, ἀγνοοῦντας δὲ ὅπη Λούκουλλος εἴη καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. (5) Καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄσκοπτος, ἀλλ' ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. Δεικνύντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παρεμβεβληκότας, « Ὁρᾶτε τούτους; » ἔφασαν· Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν. » (6) Οἱ δ' ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου μηδ', εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. (7) Οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς ὑπ' Ἀρχελάου Δημῶναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. Τούτων δ' ἀπιστούντων καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἦκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός· (8) πυνθανομένων δ' αὐτῶν, ποῦ λέγει τὸν Λούκουλλον εἶναι, κατεγέλα παίζειν αὐτοὺς οἰόμενον, ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων, οἱ δ' ἀνεθάρσησαν. (9) Τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. Ἔλαθον δὲ νυκτὸς διαπεράσαντες καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

X. Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαρρῦναι τοὺς Κυζικηνούς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι καὶ τῆς τῶν Φερρεφαττίων ἑορτῆς ἐνεστώσης οἱ μὲν ἠπόρουν βοῦς μελαίνης πρὸς τὴν θυσίαν καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν, ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ θεῷ νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ, κατ' ἐκείνην δὲ τὴν ἡμέραν ἀποχριθεῖσα τῆς ἀγέλης μόνη διενήξατο πρὸς τὴν πόλιν καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὐτήν. (2) Ὄναρ δ' ἡ θεὸς Ἀριστογόρᾳ τῷ τοῦ δήμου γραμματιστῇ παραστᾶσα, « Καὶ μὴν ἔγωγε, εἶπεν, ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. Φράσον οὖν θαρρεῖν τοῖς πολίταις. » (3) Θαυμαζόντων δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα κατιόντος ἀκρίτου πνεύματος, αἵ τε μηχαναὶ τοῦ βασιλέως παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ τοῦ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον, εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ' ἄλλα συνέτριψε μηχανήσubvehi commeatum, obtinenda commodissime sito. (3) Itaque et quid futurum esset animo præcipiens, non celavit milites, sed simul atque castris factis ab operibus faciendis destiterunt, concione vocata jactavit apud eos, se ipsis intra paucos dies victoriam absque sanguine traditurum. (4) Cyzicenos Mithridates denis a terra castris cinxerat, et euripo qui urbem a continente dirimit, navibus occupato, utrinque oppugnabat, satis quidem fiduciæ eo in periculo habentes, ac gravissima quæque Romanorum causa ferre paratos, ignorantes tamen ubi Lucullus esset, perturbatosque eo, quod nihil de eo cognovissent. (5) Erant quidem castra Luculli conspicua et aperta, sed Mithridatici eos deceperant, Romanos in loco superiore sibi assidentes demonstrando, Armeniorumque esse et Medorum auxilia Mithridati a Tigrane missa dicendo. (6) Itaque tanta belli mole circumjecta perterrebantur, ne si venisset quidem Lucullus, locum ei opis ferendæ relictum esse putantes. (7) Verum primus ab Archelao Cyzicum missus Demonax de præsentia Luculli cives certiores reddidit. Ei quum fidem non haberent, sed consolandi causa fictum sermonem retulisse putarent, captivus puer, qui ab hostibus perfugerat, in urbem venit. (8) Isque interrogatus ubinam Lucullus esset, primum jocari eos putans risit; postquam serio quæri sensit, manu castra Romanorum demonstravit: ita animos Cyziceni receperunt. (9) Quia etiam Dascylitis palus lembis satis magnis navigabatur, maximum lemborum Lucullus inde subtraxit, quadrigaque ad mare devexit militesque ei quotquot recipi poterat imposuit. Hi noctu, insciis hostibus, in urbem invecti sunt.

X. Videntur etiam dii, Cyzicenorum fortitudinem admirati, eorum animos quum aliis conspicuis signis confirmasse, tum instantibus Proserpinalibus quum nigra vacca destituti ad sacrificium e farina unam finxissent aræque admovissent, sacra bos, quæ deæ alebatur et uti reliqua etiam Cyzicenorum armenta in opposita pascebatur continente, illo die a ceteris bobus sese dejunxit solaque ad urbem tranavit, ut ei sacrificio sese sisteret. (2) In somnis quoque dea Aristagoræ scribæ publico visa est dicere: Utique adero et contra Ponticum tubicinem Africum ego tibicinem adducam; dic igitur civibus, uti bono sint animo. (3) Quum ea vox miraculo esset Cyzicenis, summo mane ingente vento oborto mare inhorruit, et machinæ regiæ muris admotæ, præclara Niconidæ Thessali opera, stridore ac fragore primum quid futurum esset indicaverunt. Inde incredibili vi Notus erupit et brevi horæ momento quum reliquas machinas, tum

ματα ὥρας βραχεῖ μορίῳ καὶ τὸν ξύλινον πύργον ἑκατὸν πηχῶν ὕψος ὄντα διασείσας κατέβαλεν. (4) Ἱστορεῖται δὲ τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρερῥωγὸς λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. Καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

XI. Μιθριδάτην δ', ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμόν, ἡνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. (2) Ταχὺ δ' ἐξερρύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον ἐν αἰσθήσει γενομένου τῶν ἀποριῶν, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν, ἅτε δὴ μὴ θεατρικῶς μηδ' ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ, τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου καὶ ὅπως ὑφαιρήσει τὴν τροφὴν ἅπαντα πραγματευομένου. (3) Διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. (4) Πυθόμενος δ' ὁ Λούκουλλος ἔτι νυκτὸς ἦκεν εἰς τὸ στρατόπεδον, πρωὶ δὲ χειμῶνος ὄντος ἀναλαβὼν σπείρας δέκα καὶ τὴν ἵππον ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν, τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἁρπάζειν τὰ φορτία καὶ σκυλεύειν τοὺς φονευομένους. (5) Πολλῶν δ', ὡς εἰκὸς, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δὲ μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας παρεξῆλθε παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. (6) Σαλουστίου δὲ θαυμάζω τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκηπίωνος νικήσαντας Ἀντίοχον ᾤετο μήτε τοὺς ἕναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους ἐγνωκέναι κάμηλον. (7) Ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωστο τὴν ταχίστην, ἀνθολκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν· καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. (8) Ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δὲ στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπήγαγον. Ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλέ τε παμπόλλους καὶ δισμυρίους ἀπέκτεινε. (9) Λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

XII. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν 499 ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. (2) Εἰς δὲ Τρωάδα καταχθεὶς ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ

ligneam turrim in centum cubitos erectam vi deturbavit. (4) Traditum est etiam Ilii multis per quietem Minervam apparuisse sudore manantem partemque pepli laceratam ostentantem, dicentemque se recens ab auxilio Cyzicenis lato redire: ostenderuntque statuam Ilienses, in qua ejus rei argumenta et inscriptiones inessent.

XI. Mithridatem autem, qui hactenus a suis ducibus delusus, quanta sui laborarent fame ignorabat, Cyziconos non expugnari ægre ferebat. (2) Ut vero rescivit necessariorum difficultatem, qua pressi vel carnibus humanis vescebantur milites, ambitio ejus atque pervicacia plane in ventos abiit. Non enim ad ostentationem aut vana edenda spectacula Lucullus bellum gerebat, sed in ipsum, quod aiunt, ventrem insiliebat et omnia alimentorum subtrahendorum causa moliebatur. (3) Ea causa castellum quoddam ipso oppugnante, Mithridates arrepta occasione in Bithyniam equos prope omnes cum jumentis emisit et peditum eos qui nullo erant usui. (4) Hoc audito, ipsa ea nocte Lucullus in castra rediit. Sub auroram tempestate sæviente, cum decem cohortibus et equitatu hostes insecutus est, ita nive et laboribus conflictatus, ut multi militum frigore victi signa deseruerint. Cum reliquis hostes apud Rhyndacum fluvium assecutus, tantam edidit stragem, ut mulieres ab Apollonia egressæ impedimenta diripuerint, cæsosque spoliaverint. (5) Multis utique cæsis, equorum sex millia, jumentorum infinitus numerus, quindecim virorum millia capti sunt: quos omnes Lucullus præter castra hostium duxit. (6) Sallustium autem miror, qui tunc primum visos Romanis camelos asserat, nisi forte putabat neque antea ab iis qui Antiochum duce Scipione vicerant, nec qui nuper apud Orchomenum et Chæroneam cum Archelao decertaverant, conspectum esse camelum. (7) Mithridates, quum fugere quam primum decrevisset, ut detineret ab insecutione Lucullum moramque injiceret, Aristonicum classis præfectum in mare Græcum cum navibus ire jussit. Hunc jamjam soluturum per proditionem Lucullus in suam potestatem redegit, cumque eo aureorum decem millia, quibus ille partem Romani exercitus corrupturus fuerat. (8) Secundum hoc Mithridates mari aufugit, duces pedestres copias terra abduxerunt. Hos Lucullus apud Granicum amnem adortus, permultos cepit et viginti millia obtruncavit. (9) Dicuntur ex tota militum et eorum qui castra secuti fuerant multitudine, haud multo pauciores trecentis millibus periisse.

XII. Lucullus primo Cyzicum intravit voluptateque ibi et honoribus se dignis perfunctus est. Inde ad Hellespontum profectus classem adornavit. (2) Quum in Troadem per ve-

τῆς Ἀφροδίτης, καταχοιμηθεὶς δὲ νύκτωρ ἐδόκει τὴν θεὰν ὁρᾶν ἐφεστῶσαν αὐτῷ καὶ λέγουσαν·

Τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

nisset, in Veneris templo tentorium fixit; noctu autem in somnis deam sibi visus est videre astantem atque dicentem,

Quid dormis, animose leo? haud procul hinnulei absunt.

(3) Ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας διηγεῖτο τὴν ὄψιν ἔτι νυκτὸς οὔσης. Καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς ἀπαγγέλλοντες ὤφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. (4) Εὐθὺς οὖν ἀναχθεὶς τούτους μὲν εἶλε καὶ b τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν, ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρὸς Νέας. (5) Οἱ δὲ ἔτυχον ὁρμοῦντες καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων προσερηρεισμένας τῇ γῇ καὶ βεβηκυίας ἀσφαλῶς. (6) Οὐ μὴν ἀλλὰ μόλις ἡ προσβολήν τινα ἡ νῆσος εἶχεν ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν νεῶν καὶ φεύγοντας ἐκ τῆς γῆς ἀλλήλοις τε c συγκρούειν τὰ πλοῖα καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. (7) Πολλοὶ μὲν οὖν διεφθάρησαν, ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος ὁ παρὰ Σερτωρίου στρατηγός· ἦν γὰρ ἑτερόφθαλμος καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

(3) Surrexit illico, amicisque convocatis insomnium exposuit, nocte adhuc durante. Simul aderant quidam ab Ilio qui renuntiarent visas apud Achæorum portum tredecim regias triremes Lemnum tendentes. (4) Statim igitur cum classe avectus, illas cepit, eorumque ducem Isidorum interfecit, inde ad Neas insulam profectus reliquos petiit. (5) Hi quum jam stationem tenerent, navibus omnibus ad terram contractis, de tabulatis propugnaverunt, plagasque Luculli militibus imposuerunt, quum neque circumnavigando locus aptus esset, neque navibus in alto fluctuantibus vim facere hostilibus navibus terræ firmiter innitentibus possent. (6) Ægre tamen, qua insula applicari naves utcunque patiebatur, militum optimos exposuit : hi a tergo hostes adorti partim interfecerunt, partim coegerunt abscissis retinaculis fugientes a terra suas invicem naves collidere et in Luculli naves incidere. (7) Permulti ibi perierunt : inter captivos adductus est etiam Marius, quem a Sertorio missum fuisse supra demonstravimus; nam quia altero oculorum carebat, mandatum initio a Lucullo fuerat, ne quis unoculus necaretur : nimirum uti prius probris contumeliisque vexatus, ita tandem cæderetur.

XIII. Γενόμενος δ' ἀπὸ τούτων ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. Ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνστησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει d πρὸς Νικομήδειαν. (2) Ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθράκῃ μυούμενος καὶ πανηγυρίζων καθυστέρησε· Μιθριδάτην δὲ ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα πρὶν ἐπιστρέφειν Λούκουλλον εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολύς, ὑφ' οὗ τὰ μὲν ἁφηρπάγη, τὰ δ' ἐδυθίσθη τῶν σκαφῶν, πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. (3) Αὐτὸς δὲ, τῆς ὁλκάδος, ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισταμένης τοῖς κυβερνήταις πρός τε τὴν θάλασσαν e ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς ληστρικὸν μυοπάρωνα καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν ἐξεσώθη. (4) Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία· ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν ἐκώλυσε πέμψας γράμματα καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖν τῆς θαλάττης. Καὶ τοῦτο ὑπῆρξεν αὐτῷ, τοῦ θεοῦ f

XIII. His confectis Lucullus ad insequendum Mithridatem festinavit. Speravit enim hunc a Voconio (quem ut fuga regem intercluderet, cum navibus Nicomediam miserat) obsessum, a se adhuc apud Bithyniam inventum iri. (2) Sed Voconius in Samothrace sacris initiando et vacando, occasionem rei gerendæ neglexerat. Mithridatem autem cum classe avectum, festinantemque ante reditum Luculli in Pontum abire, ingens tempestas adorta est, navigiisque partim direptis, partim subversis, omne litus maritimum ejectis vi undarum fragmentis per aliquot dies constratum fuit. (3) Ipse quum oneraria navis qua vehebatur, neque ad terram commode applicari ob molem posset, quæ eam rectoribus intractabilem tanto maris æstu fluctuumque incertitudine reddebat et gravior jam esset plusque aquæ hausisset, quam ut tuto in mari versari quiret, in piraticum myoparonem conscendit, corpusque suum prædonibus commisit, ac præter omnium spem cum summo periculo Heracleam Ponticam salvus evasit. (4) Quod autem arroganter Lucullus senatui, quum is tria talentorum millia ad sumptus in classem faciendos decrevisset, missis litteris responderat, nolle se id fieri, jactaveratque se citra tanta impendia tantumque apparatum, sociorum tantum navibus Mithridatem mari pulsurum, id ejus dictum Nemesis non ut superbius ulta est, sed, quod

συναγωνισαμένου. Λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

XIV. Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβάλλεσθαι τὸν πόλεμον οὐ φροντίσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον, προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ δραχμῆς, a τὸ δὲ ἀνδράποδον τεττάρων ὤνιον εἶναι, τὴν δὲ ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δὲ ἀναλίσκειν· διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων. (2) Ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων ἠτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δὲ οὐδεμίαν ἥρηκεν οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. « Ἀλλὰ καὶ νῦν, ἔφασαν, Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις ἐντείναι τὴν πολιορκίαν, κατασχεῖν, ἀπολιπόντας ἡμᾶς ἄγει περὶ τὴν Τιβαρηνῶν καὶ b Χαλδαίων ἐρημίαν Μιθριδάτῃ πολεμήσοντας. » (3) Ἀλλὰ ταῦτα μὲν οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηναν, ὑπερεώρα καὶ οὐκ ἐφρόντιζεν, ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδυτῆτα κατηγόρουν αὐτοῦ διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἐῶντος δ' αὔξεσθαι Μιθριδάτην. (4) « Αὐτὸ γάρ, ἔφη, τοῦτο καὶ βούλομαι καὶ κάθημαι τεχνάζων, μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. (5) Ἢ οὐχ ὁρᾶτε c πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος καὶ ὄρη πολλὰ καὶ βαθέα καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν· ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων, καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ᾗ Πάρθους τε περικόπτει τῆς Ἀσίας καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποκτιννύει, θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. (6) Οὗτος d οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. Οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεόμενον ἐφ' ἡμᾶς, εὐπρεπεστέραν δὲ οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντα ὑπουργεῖν αὐτῷ. (7) Τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἔστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον, καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα συνελαύνειν ἐπὶ τὰς Τιγράνου χεῖρας, ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσα-

dixerat, id dei ope præstitit. Nam Dianæ Priapiñæ ira fertur Mithridatem tempestas invasisse, ulciscentis templum suum a Ponticis direptum et simulacrum ablatum.

XIV. Porro Lucullus spretis multorum, qui differre bellum jubebant, monitionibus, per Bithyniam et Galatiam in Mithridatis regnum irrupit. Et ab initio ita laborabat penuria commeatus, ut triginta Galatarum millia secuti sint exercitum, singuli medimnum frumenti humeris portantes: progressus autem et omnibus in suam potestatem redactis, tantam omnium rerum copiam paravit, ut in castris bos denario, mancipium quattuor denariis veniret : reliquam prædam milites contemptim aut dimittebant, aut consumebant : neque enim vendebatur quicquam, quum omnes opibus affluerent. (2) Sed quum Themiscyras usque et campos juxta Thermodontem fluvium excursionibus cum equitatu progressus esset, per quantum spatium regionem vastare ac populari licebat; Lucullum incusavere milites, quod tam multis potitus urbibus, nullam vi cepisset, nullam ipsis diripiendam dedisset : Jam nunc (dicebant) Amiso urbe opulenta et si quis acriter oppugnaret expugnatu haud difficili omissa, ducit nos, ut cum Mithridate de Tibarenorum et Chaldæorum solitudinibus decertemus. (3) Verum has querelas Lucullus sprevit atque nihil curavit; minime ratus fore, ut tantæ, quantam deinde expertus est, insaniæ militibus causam præberent. Iis potius sese purgabat, qui vitio dabant tarditatem, quod pagis et oppidis non multo dignis pretio occupandis multum temporis exigeret, interimque Mithridatem vires acquirere pateretur. (4) Hoc ipsum est, dicebat, quod volo, idque hic desidens molior, ut potens rursum fiat ille, contractisque justis copiis nos accedentes non fugiat, sed subsistat. (5) Non videtis eum a tergo magnas et immensæ vastitatis solitudines habere? prope est Caucasus aliique multi ingentesque montes, in quibus spatii ad sexcentos reges pugnam subterfugientes excipiendos et occultandos satis est. A Cabiris porro iter non multorum dierum est in Armeniam : Armeniam Tigranes tenet, rex regum, qui suis copiis Parthis Asiam adimit, urbium Græcarum habitatores in Mediam abripit, Syriam Palæstinamque obtinet, reges a Seleuco ortos interficit, filias eorum et uxores abducit. (6) Is Mithridatis necessarius est et gener. Non negliget eum, ubi ad ipsum se contulerit supplicem, sed bellum nobis faciet, periculumque est ne, dum Mithridatem expellimus, Tigranem provocemus, jam pridem occasionem nos invadendi quærentem, nunquam vero nacturum honestiorem quam si regi propinquo opitulari cogatur. (7) Quorsum vero attinet id ut fiat nos efficere et Mithridati ostendere, quorum auxilio uti ab bellum contra nos gerendum debeat, nolentemque eum et dedecori sibi ducentem, eo compellere, ut opem Tigranis imploret? Non præstat, concesso ei ad

σθαι καὶ ἀναθαρρῦναι, Κόλχοις καὶ Τιβαρηνοῖς καὶ Καππάδοξιν, ὧν πολλάκις κεκρατήκαμεν, μάχεσθαι μᾶλλον ἢ Μήδοις καὶ Ἀρμενίοις; »

XV. Ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ Λούκουλλος περί τε τὴν Ἀμισὸν διέτριψε μαλακῶς, τῇ πολιορκίᾳ χρώμενος, καὶ μετὰ χειμῶνα Μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας ἐβάδιζεν ἐπὶ Μιθριδάτην καθήμενον ἐν Καβείροις καὶ διανοούμενον ὑφίστασθαι τοὺς Ῥωμαίους, ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάρρει μάλιστα. (2) Καὶ διαβὰς τὸν Λύκον ποταμὸν εἰς τὸ πεδίον προὐκαλεῖτο τοὺς Ῥωμαίους. Γενομένης δ' ἱππομαχίας ἔφυγον οἱ Ῥωμαῖοι· Πομπώνιος δ' ἀνὴρ οὐκ ἄδοξος ἑάλω τετρωμένος καὶ πρὸς τὸν Μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. Πυθομένου δὲ τοῦ βασιλέως, εἰ σωθεὶς ὑπ' αὐτοῦ γενήσεται φίλος, « Ἄν γε δὴ, ἔφη, Ῥωμαίοις διαλλαγῇς· εἰ δὲ μὴ, πολέμιος. » Τοῦτον μὲν θαυμάσας ὁ Μιθριδάτης οὐκ ἠδίκησε. (3) Τοῦ δὲ Λουκούλλου τὰ μὲν πεδία, τῶν πολεμίων ἱπποκρατούντων δεδιότος, τὴν δ' ὀρεινὴν ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην Ἕλληνες εἴς τι σπήλαιον καταφυγόντες, ὧν ὁ πρεσβύτερος Ἀρτεμίδωρος ὑπέσχετο τὸν Λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ καὶ φρούριον ἔχοντι τοῖς Καβείροις ἐπικρεμάμενον. (4) Πιστεύσας δ' ὁ Λούκουλλος ἅμα τῇ νυκτὶ πυρὰ καύσας ἐκίνει· καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς τὸ χωρίον εἶχε καὶ μεθ' ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων ἱδρύων τὸν στρατὸν ἐν τόποις, οἳ μάχεσθαι βουλομένῳ προσαγωγὴν ἐδίδοσαν καὶ τὸ μὴ βιασθῆναι παρεῖχον ἡσυχάζοντι. (5) Γνώμην μὲν οὖν οὐδέτερος εἶχεν ἔν γε τῷ παρόντι διακινδυνεύειν· ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων ὑποτεμνομένους ἀπαντῆσαι τοὺς Ῥωμαίους· ἐκ δὲ τούτου συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. Τέλος δ' ἐνίκων οἱ βασιλικοί· καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ Ῥωμαῖοι καθορῶντες ἠσχαλλον καὶ συνέτρεχον πρὸς τὸν Λούκουλλον, ἄγειν σφᾶς δεόμενοι καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. (6) Ὁ δὲ βουλόμενος αὐτοὺς μαθεῖν, ἡλίκον ἐστὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνῳ παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος, ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον καὶ τοῖς πρώτοις ἀπαντήσας τῶν φευγόντων ἵστασθαι προσέταξεν καὶ ἀναστρέφειν μετ' αὐτοῦ. (7) Πεισθέντων δὲ τούτων καὶ οἱ λοιποὶ μεταβαλόμενοι καὶ συστάντες ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμίους καὶ καταδιώκουσιν εἰς τὸ στρατόπεδον. (8) Ἐπανελθὼν δὲ Λούκουλλος ἀτιμίαν τινὰ τοῖς φεύγουσι νενομισμένην προσέβαλε, κελεύσας ἐν χιτῶσιν ἀζώστοις ὀρύξαι δώδεκα ποδῶν τάφρον, ἐφεστώτων καὶ θεωμένων τῶν ἄλλων στρατιωτῶν.

XVI. Ἦν δέ τις ἐν τῷ Μιθριδάτου στρατοπέδῳ Δανδαρίων δυνάστης Ὀλθακὸς (γένος δ' εἰσὶν οἱ Δαν-

colligendum sese et domesticis copiis instruendum otio cum Colchis, Tibarenis et Cappadocibus, quos vicimus sæpenumero, quam cum Medis et Armeniis congredi?

XV. His rationibus ductus Lucullus apud Amisum commoratus est, obsidionem de industria minus urgens. Hieme elapsa, eam Murenæ mandavit, ipse contra Mithridatem duxit, qui tum in Cabiris castra habebat, Romanosque subsistere statuerat, quadraginta peditum millibus, et quibus maxime fidebat, equitum quattuor millibus collectis. (2) Iis cum copiis Lycum amnem transgressus, Romanos ad pugnam in campum provocavit. Facto prœlio equestri, Romani fugerunt. Ea in pugna Pomponius, vir haud ignobilis, saucius captus atque vulneribus graviter affectus ad Mithridatem adductus est. Is, quum rex quæsivisset, amiscusne ipsi futurus esset, si ab ipso salute donaretur, respondit: si quidem rex cum Romanis in gratiam rediret, alias se hostem permansurum; eumque Mithridates constantiæ ergo admiratus incolumem dimisit. (3) Secundum hæc Lucullo planitiem, quod equitatu hostis prævaleret, vitante, et montanum etiam iter longum silvestre ac difficile capessere verente, Græci quidam forte fortuna capti sunt, quum in speluncam quandam confugissent. Ex his major natu Artemidorus pollicitus est se ducturum et locaturum Lucullum in loco exercitui opportuno, et ubi arx Cabiris imminens esset. (4) Fidem habuit Lucullus, noctuque incensis ignibus castra movit, superatisque tuto angustiis locum tenuit: ita die facto superior hostibus conspectus est, milites collocans eo in loco, unde et in hostem educere copias commode posset et, si quietem prætulisset, non urgeretur. (5) Neutri tum imperatorum in præsentia prælio decernere stabat sententia. Ceterum cervum ferunt regiis venantibus, Romanos intercipiendæ prædæ causa occurrisse: eo ab initio commissum prælium et utrinque accedentibus multis, tandem superiores evasisse regios; Romanos ex castris suorum fugam conspicatos indigne tulisse, concursuque ad Lucullum facto, educi se, et signum pugnæ dari postulasse. (6) Ibi Lucullus ut suos doceret, quantum in pugna et periculo conspectus et præsentia cordati ducis posset, reliquis quietem agere jussis, ipse in campum descendit, primisque fugientium se offerens, stare et secum adversus hostem reverti jussit. (7) Hi quum dicto paruissent, reliqui etiam coierunt et se hosti opposuerunt, parvoque eum labore fuderunt et ad castra usque insecuti sunt. (8) Reversus Lucullus eos qui fugam fecerant, ignominia pro more affecit, jussos fossam duodecim pedum agere discinctos, astante et spectante reliquo exercitu.

XIV. Erat in Mithridatis castris Olthacus Dandariorum regulus (sunt autem Dandarii populus ex iis barbaris, qui

δάριοι βαρβάρων τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων), ἀνὴρ, ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ διαπρεπὴς ἅπαντα καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. (2) Οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον. (3) Ἐπαινέσαντος δὲ τοῦ βασιλέως καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφιππάσατο πρὸς Λούκουλλον· ὁ δ' ἄσμενος ἐδέξατο· λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ στρατοπέδῳ· καὶ ταχὺ πειρώμενος ἠσπάζετο τήν τε ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρές, ὥστε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. (4) Ἐπεὶ δ' ἐδόκει καιρὸν ἔχειν ὁ Δανδάριος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγαγεῖν τοὺς παῖδας, αὐτὸς δὲ, μεσημβρίας οὔσης καὶ τῶν στρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνὴν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν ἄνδρα συνήθη καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ στρατηγῷ κομίζειν φάσκοντα. (5) Κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ ὁ πολλοὺς ἀνῃρηκὼς στρατηγοὺς ὕπνος Λούκουλλον ἔσωσεν. Ἐτύγχανε γὰρ καθεύδων· καὶ Μενέδημος, εἷς τῶν κατευναστῶν, παρὰ ταῖς θύραις ἑστὼς οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν Ὀλθακὸν, ἄρτι Λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων δεδωκότος ἑαυτόν. (6) Ἐπεὶ δ' οὐκ ἀπῄει κελεύοντος, ἀλλ' ἔφη καὶ κωλύοντος εἰσελεύσεσθαι περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ Μενέδημος εἰπὼν μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι Λούκουλλον, ἀπεώσατο τὸν ἄν-
502θρωπον ἀμφοτέραις ταῖς χερσίν. (7) Ὁ δὲ δείσας a
ὑπεξῆλθε τοῦ χάρακος καὶ λαβὼν τὸν ἵππον ἀπῆλασεν εἰς τὸ Μιθριδάτου στρατόπεδον ἄπρακτος. Οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρὸς ὥσπερ τοῖς φαρμάκοις καὶ τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν.

XVII. Ἐκ τούτου Σωρνάτιος μὲν ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν· καὶ καταδιωχθεὶς ὑπὸ Μενάνδρου, τῶν Μιθριδάτου στρατηγῶν ἑνὸς, ἀντέστη καὶ συμβαλὼν φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. (2) Αὖθις δὲ πεμφθέντος Ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ στρατιῶται σῖτον, οὐ περιεῖδε Μιθριδάτης, ἀλλ' ἀπέστειλε Μενέμαχον καὶ Μύρωνα πολλῶν μὲν ἱππέων, πολλῶν b
δὲ πεζῶν ἡγουμένους. Οὗτοι πάντες, ὡς λέγεται, πλὴν δυεῖν κατεκόπησαν ὑπὸ τῶν Ῥωμαίων. (3) Καὶ Μιθριδάτης μὲν ἔκρυπτε τὴν συμφορὰν, ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικρὰν, προσκεκρουκότων ἀπειρίᾳ τῶν στρατηγῶν, Ἀδριανὸς δὲ λαμπρὸς παρημείβετο τὸ στρατόπεδον πολλὰς κατάγων ἁμάξας σίτου καὶ λαφύρων γεμούσας, ὥστε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς στρατιώταις. (4) Ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν· ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ' ἡσυ-

apud Mæotin paludem habitant), vir manu promptus audaciaque bellica insignis, ad hæc consilii de rebus maximis prudentis, et in consuetudine colendoque alios accuratus. (2) Is quum perpetuam cum quodam gentili regulo de præstantia virtutis controversiam æmulationemque habuisset, Mithridati magnum facinus recepit, Lucullum se interfecturum. (3) Laudavit institutum rex, consultoque nonnullis ipsum ignominiis affecit, ut simulandæ iræ prætextum haberet. Olthacus ad Lucullum eques se contulit, atque ab eo ob nominis in castris celebritatem statim receptus, moxque facto periculo, sagacitatem ejus et diligentiam ita amplexus est, ut mensis eum conciliisque aliquando adhiberet. (4) Dandarius ut occasionem facinoris oblatam credidit, pueris ut equum extra vallum abducerent mandato, meridie, militibus meridiantibus et quieti deditis, ad prætorium accessit, existimans se, ut hominem imperatori familiarem, et de re non levis momenti communicaturum cum eo dicentem, a nemine aditu prohibitum iri. (5) Et intrasset sane libere, nisi qui multos duces perdidit, Lucullum servasset somnus; dormiebat enim tum forte. Et Menedemus cubicularius ad limina stans, alieno tempore ipsum venire dicebat, quod Lucullus recens a longis vigiliis gravibusque laboribus somno se dedisset. (6) Nolentem discedere, sed minantem vel invito eo introiturum, ut de re gravi et necessaria colloqueretur, manu utraque Menedemus repulit, ad iram conversus, nihilque salute Luculli magis esse necessarium dicens. (7) Sic Olthacus sibi metuens, extra vallum abiit, equoque recepto, in castra Mithridatis re infecta rediit. Adeo rebus etiam perinde atque medicamentis momentum, vel ad salutem vel ad exitium, temporis articulus confert.

XVII. Secundum hæc Sornatius cum decem cohortibus frumentatum missus, insequenti Mithridatis legato Menandro se opposuit, manuque conserta magnam cædem hostium edidit et ad effusam reliquos fugam compulit. (2) Misso rursum a Romanis frumentatum Adriano cum copiis, ut abunde alimentorum militibus esset, Mithridates id non sprevit, sed Menemachum Myronemque cum multo equitatu peditatuque contra eum misit; hi omnes, ut fertur, duobus exceptis a Romanis concisi sunt. (3) Eam quidem cladem Mithridates texit, non tantam fuisse, sed exiguam imperitia ducum acceptam fuisse simulans. Sed Adrianus magno cum splendore præter hostium castra suos reduxit, unaque multas commeatu spoliisque onustas quadrigas: quæ res ipsi trepidationem, militibus ingentem attulit terrorem atque perturbationem. (4) Itaque omnino inde discedere statuerunt. Quum vero regis familiares per otium et secure sua bona transferenda alio darent et reliquis ne idem fa-

χίαν, τοὺς δ' ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δὲ ἀπέσφαττον. Ὅπου καὶ Δορύλαος στρατηγὸς οὐδὲν ἕτερον ἔχων ἢ τὴν πορφύραν περὶ αὑτὸν ἀπώλετο διὰ ταύτην, Ἑρμαῖος δὲ ὁ θύτης κατεπατήθη περὶ τὰς πύλας. (5) Αὐτὸς δ' ὁ Μιθριδάτης, οὔτε ὀπαδοῦ τινος οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου τοῖς πολλοῖς ἀναμεμιγμένος οὐδ' ἵππου τῶν βασιλικῶν εὐπορήσας, ἀλλ' ὀψέ που κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον Πτολεμαῖος ὁ εὐνοῦχος ἵππον ἔχων αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. (6) Ἤδη γὰρ αὐτὸν οἱ Ῥωμαῖοι κατεῖχον ἐπικείμενοι καὶ τάχει μὲν οὐκ ἀπελείποντο τοῦ λαβεῖν αὐτὸν, ἀλλ' ἦλθον ἔγγιστα τούτου, φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα Ῥωμαίους ἀφείλετο καὶ Λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. (7) Ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑπεκφέρων τὸν ἄνδρα ἵππος, ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως εἴτ' ἀπὸ ταὐτομάτου παρεισπεσόντος εἴτε τοῦ βασιλέως ἐπίτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον καὶ διαμαχόμενοι πρὸς ἀλλήλους καθυστέρησαν. (8) Καὶ οὐ τοῦτο μόνον αὐτῶν ἀπέλαυσε τῆς πλεονεξίας Λούκουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀποῤῥήτων τοῦ βασιλέως ὄντα Καλλίστρατον ὁ μὲν ἄγειν ἐκέλευσεν, οἱ δ' ἄγοντες αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεζωσμένον ἀπέκτειναν. Οὐ μὴν ἀλλὰ τούτοις μὲν ἀπέτρεψε τὸν χάρακα πορθῆσαι.

XVIII. Τὰ δὲ Κάβειρα λαβὼν καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα θησαυρούς τε μεγάλους εὗρε καὶ δεσμωτήρια, πολλῶν μὲν Ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμένων, οἷς πάλαι τεθνάναι δοκοῦσιν οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν καὶ δευτέραν τινὰ γέννησιν ἡ Λουκούλλου χάρις παρέσχεν. (2) Ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ Μιθριδάτου Νύσσα σωτήριον ἅλωσιν· αἱ δ' ἀπωτάτω τοῦ κινδύνου καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι δοκοῦσαι περὶ Φαρνακίαν ἀδελφαὶ καὶ γυναῖκες οἰκτρῶς ἀπώλοντο, Μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς Βακχίδην εὐνοῦχον. (3) Ἦσαν δὲ μετὰ πολλῶν ἀδελφαί τε δύο τοῦ βασιλέως, Ῥωξάνη καὶ Στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι, καὶ γαμεταὶ δύο, γένος Ἰωνίδες, Βερενίκη μὲν ἐκ Χίου, Μονίμη δὲ Μιλησία. (4) Ταύτης ὁ πλεῖστος ἦν λόγος ἐν τοῖς Ἕλλησιν, ὅτι τοῦ βασιλέως πειρῶντος αὐτὴν καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος ἀντέσχε, μέχρις οὗ γάμων ἐγένοντο συνθῆκαι καὶ διάδημα πέμψας αὐτῇ βασίλισσαν ἀνηγόρευσεν. (5) Αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον ἀνιάρως εἶχε καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν, ὡς δεσπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν, πόῤῥω δέ που τῆς Ἑλλάδος ἀπῳκισμένη τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς ὄναρ σύνεστι, τῶν δ' ἀληθινῶν

cerent obstarent, milites animis ad iram concitatis vi ad exitus perruperunt, et direptis opibus, ipsos trucidaverunt. Ubi Dorylaus quoque dux propter purpuram solam, quum nihil aliud secum haberet, occisus est, et Hermæus sacerdos in foribus castrorum pedibus conculcatus periit. (5) Ipse Mithridates, nullo neque comite neque equisone præsente, turbæ immixtus e castris se proripuit, ne unum quidem de regiis equum nactus: eum sero in fugæ illius fluctu conspicatus Ptolemæus eunuchus, ab equo suo desiluit regemque ei imposuit. (6) Jam enim eum persequendo consecuti Romani erant neque celeritas iis defuit ad eum capiendum, sed proxime ipsi imminebant; verum cupiditas opum militarisque avaritia Romanis tam multis certaminibus magnisque periculis diu petitam prædam, Lucullo que suarum victoriarum præmium abstulit. (7) Equus enim qui regem ferebat jam ab insequentibus apprehendi poterat, nisi Romani mulum auro onustum, qui sive casu, sive consilio regis inter ipsum et hostes intervenerat, spoliando, colligendo ac de præda contendendo morati, ejus capiendi occasionem dimisissent. (8) Neque hoc tantum avaritia militum damnum Lucullo dedit, sed et Callistratum, qui a secretis regis erat, adduci ad se jussum, illi, quum in zona quingentos aureos habere sensissent, jugularunt. Nihilominus castra eis diripienda concessit.

XVIII. Cabiris captis multisque aliis arcibus, magnos reperit thesauros et in vincula conditos multos Græcos, multos etiam regis cognatos: quibus jam pridem mortem certam exspectantibus, non salutem, sed novam quasi vitam et alios natales Luculli beneficentia exhibuit. (2) Capta est etiam, id quod salutem ei attulit, Nyssa Mithridatis soror. Quæ enim longissime a periculo et in quiete captivæ detineri videbantur apud Pharnaciam sorores ejus et uxores, misere perierunt, immisso ipsis a rege ex fuga Bacchide eunucho. (3) Erant autem cum multis aliis sorores regis Roxane et Statira, quæ ad quadragesimum annum virgines permanserant, duæque uxores ex Ionia ortæ, Berenice Chia et Monime Milesia. (4) De Monima sermo inter Græcos est celebris, a rege attentatam, missis etiam quindecim aureorum millibus, non ante tamen obsecutam, quam pactio nuptialis intercesserit, missoque eam diademate reginam Mithridates appellaverit. (5) Eademque semper molestam sibi vitam egit, corporisque sui pulchritudinem deploravit, quæ pro marito dominum, pro conjugio custodiam barbaricam conciliasset, longeque a Græcia remota, verisque quibus ibi erat usa bonis spoliata, sperata

ἐκείνων ἀπεστέρηται. (6) Καὶ δὴ τοῦ Βακχίδου παραγενομένου καὶ προστάξαντος αὐταῖς ἀποθνήσκειν, ὡς ἑκάστῃ δοκοίη ῥᾷστον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα τῷ τραχήλῳ περιῆψε καὶ ἀνήρτησεν ἑαυτήν. Ταχὺ δ' ἀποῤῥαγέντος, « Ὦ κατηραμένον, ἔφη, ῥάκος, οὐδὲ πρὸς τοῦτό μοι χρήσιμον ἔσῃ; » Κἀκεῖνο μὲν ἀπέῤῥιψε προσπτύσασα, τῷ δὲ Βακχίδῃ τὴν σφαγὴν παρέσχεν. (7) Ἡ δὲ Βερενίκη κύλικα φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης, μετέδωκε. Καὶ συνεξέπιον μὲν ἀμφότεραι, ἤρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις εἰς τὸ ἀσθενέστερον σῶμα, τὴν δὲ Βερενίκην οὐχ ὅσον ἔδει πιοῦσαν οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσα τοῦ Βακχίδου σπεύδοντος ἀπεπνίγη. (8) Λέγεται δὲ καὶ τῶν ἀγάμων ἀδελφῶν ἐκείνων τὴν μὲν ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν ἐκπιεῖν τὸ φάρμακον, τὴν δὲ Στάτειραν οὔτε δύσφημόν τι φθεγξαμένην οὔτ' ἀγεννὲς, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφὸν, ὅτι περὶ τοῦ σώματος κινδυνεύων οὐκ ἠμέλησεν αὐτῶν, ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίστους ἀποθανεῖν. Ταῦτα μὲν οὖν φύσει χρηστὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν Λούκουλλον.

XIX. Ἐλάσας δ' ἄχρι Ταλαύρων, ἔνθεν ἡμέρᾳ τετάρτῃ πρότερον ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. (2) Καταστρεψάμενος δὲ Χαλδαίους καὶ Τιβαρηνοὺς καὶ τὴν μικρὰν Ἀρμενίαν παραλαβὼν καὶ φρούρια καὶ πόλεις παραστησάμενος Ἄππιον μὲν ἔπεμψε πρὸς Τιγράνην ἐξαιτῶν Μιθριδάτην, αὐτὸς δ' ἦλθε πρὸς Ἀμισὸν ἔτι πολιορκουμένην. (3) Αἴτιος δ' ἦν Καλλίμαχος ὁ στρατηγὸς ἐμπειρίᾳ μηχανικῆς παρασκευῆς καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖστα λυπήσας Ῥωμαίους, ὧν ὕστερον ἔδωκε δίκην. (4) Τότε δ' ὑπὸ Λουκούλλου καταστρατηγηθεὶς, ὑφ' ἣν ἔθος εἶχεν ὥραν τῆς ἡμέρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς στρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος αἰφνιδίως καὶ κατασχόντος οὐ πολὺ μέρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν ὑφῆψεν εἴτε φθονῶν ὠφεληθῆναι Ῥωμαίους εἴτε ῥᾳστώνην φυγῆς ἑαυτῷ μηχανώμενος. (5) Οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων, ἀλλὰ ὡς ἡ φλὸξ ἀναδραμοῦσα πολλὴ τὰ τείχη περιέσχε, οἱ μὲν στρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγὴν, ὁ δὲ Λούκουλλος οἰκτείρων ἀπολλυμένην τὴν πόλιν ἔζωθεν ἐβοήθει πρὸς τὸ πῦρ καὶ σβεννύναι παρεκάλει, μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιτουμένων τὰ χρήματα καὶ μετὰ βοῆς ὅπλα κρουόντων, ἕως ἐκβιασθεὶς ἐπέτρεψεν ὡς αὐτήν γε τὴν πόλιν ἐξαιρησόμενος τοῦ πυρός. (6) Οἱ δὲ τοὐναντίον ἔπραξαν· πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων καὶ πανταχοῦ φῶς ἐπιφέροντες αὐτοὶ τὰ πλεῖστα τῶν οἰκημάτων καθεῖλον, ὥστε τὸν Λούκουλλον εἰσελθόντα μεθ' ἡμέραν, δακρύσαντα πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη Σύλλαν μακαρίσας μάλιστα τῇ σήμερον ἡμέρᾳ τὴν τἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς Ἀθήνας. « Ἐμὲ δ', ἔφη, τούτου ζηλωτὴν γενόμενον εἰς τὴν Μομμίου δόξαν ὁ δαίμων περιέστη-

felicitate quasi per somnium frueretur. (6) Ibi quum Bacchides adesset et quo quæque modo se facillime et minimo cum dolore morituram putaret, eum deligere juberet, diadema capiti detractum collo circumposuit, seque suspendit. Quo celeriter rupto, Exsecrandum, inquit, pannum, ne ad hunc quidem usum aptus es? idque conspuit et abjecit, jugulumque Bacchidæ præbuit. (7) Berenice autem poculo parato, matri, quæ ei aderat, oranti partem bibendam dedit. Et una quidem ambæ ebiberunt, satisque fuit ad ætate confectum corpus exstinguendum veneno virium, Berenice autem, quum non satis hausisset et cum morte luctaretur, Bacchides suffocando mortem acceleravit. (8) Ferunt etiam innuptarum regis sororum, quas supra nominavi, alteram multis in caput fratris exsecratam, venenum ebibisse, Statiram nullam maledicam aut ignobilem vocem emisisse, sed collaudato fratre, quod in discrimine vitæ suæ, ipsarum ut liberæ et libidinis inexpertæ morerentur curam gessisset, ita periisse. Hæc Lucullum miti et humano hominem ingenio, dolore affecerunt.

XIX. Progressus usque ad Talauros quum quarto jam die Mithridates in Armeniam ad Tigranem aufugisset, retro iter convertit, unde venisset. (2) Chaldæis autem et Tibarenis, minorique Armenia subactis, ac multis castellis oppidisque ad suas partes pertractis, misso ad Tigranem Appio, qui dedi sibi Mithridatem postularet, ad obsidionem Amisi revertit. (3) Cur ea etiam tum duraret, in causa fuit Callimachus urbis dux, qui peritia machinarum bellicarum calliditateque qua quis tempore obsidionis uti posset, summa præditus, plurimas Romanis exhibebat molestias: quorum factorum postea temporis pœnas dedit. (4) Tunc arte Luculli deceptus, qui ea ipsa hora, qua is abducere et reficere solebat milites, impetu subito facto muri haud magnam partem ceperat, urbe incensa, aufugit, sive quod prædam Romanis invideret, sive fugam sibi expediens. (5) Nemo enim fugam ex urbe facientibus intentus erat, sed tametsi flamma copiosa ad ipsos quoque muros pertineret, nihilo minus ad direptionem milites se comparabant. Lucullum autem urbis miseratione permotum, et extrinsecus ad restinguendum incendium opem ferre jubentem, nemo militum curabat, sed omnibus flagitantibus, ut bona incolarum ad diripiendum sibi darentur ac cum vociferatione arma pulsantibus, vi tandem compulsus est, ut in direptionem consentiret, sperans vel hac ratione urbem incendio ereptum iri. (6) Milites contra omnia accensis facibus perscrutantes, et ubique lumen inferentes, plerasque ipsi ædes cremaverunt. Itaque Lucullus interdiu in urbem ut venit, illacrimans amicis dixit, secum sæpe jam Syllæ fortunam prædicasse, tum eo die maxime felicitatem ejus admirari, quod non voluerit modo, sed et potuerit Athenas ab excidio servare: se, quum ejus vestigiis insistere cupivisset, adverso fato Mummii famam

σεν. » (7) Οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων ἀναλαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. Καὶ τὸ μὲν πῦρ ὄμβροι κατέσβεσαν ἔκ τινος θείας τύχης περὶ τὴν ἅλωσιν αὐτὴν συμπεσόντες, τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε καὶ τοὺς φεύγοντας Ἀμισηνῶν ἐδέξατο καὶ τῶν ἄλλων Ἑλλήνων κατῴκισε τοὺς βουλομένους, εἴκοσι καὶ ἑκατὸν σταδίων χώραν προσορίσας. (8) Ἦν δ' ἡ πόλις Ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς, ἐν οἷς ἤκμαζεν ἡ δύναμις αὐτῶν καὶ κατεῖχε τὴν θάλασσαν οἰκισθεῖσα. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν Ἀρίστωνος τυραννίδα βουλομένων φεύγειν εἰσπλεύσαντες αὐτοῦ κατῴκουν καὶ μετεῖχον τῆς πολιτείας, οἷς συνέβη τὰ οἰκεῖα κακὰ φεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. (9) Ἀλλὰ τούς γε σωθέντας αὐτῶν ὁ Λούκουλλος ἀμφιέσας καλῶς καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. (10) Τότε καὶ Τυραννίων ὁ γραμματικὸς ἑάλω· Μουρήνας δ' αὐτὸν ἐξητήσατο καὶ λαβὼν ἀπηλευθέρωσεν ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. Οὐ γὰρ ἠξίου Λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον δοῦλον γενέσθαι πρότερον, εἶτ' ἀπελεύθερον. Ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης ἡ τῆς δοκούσης ἐλευθερίας δόσις. Ἀλλὰ Μουρήνας μὲν οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων.

XX. Λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν Ἀσίᾳ πόλεις, ὅπως, τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν, ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν ἄῤῥητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν πορθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδίᾳ μὲν υἱοὺς εὐπρεπεῖς θυγατέρας τε παρθένους, δημοσίᾳ δ' ἀναθήματα, γραφὰς, ἱεροὺς ἀνδριάντας ἀναγκαζομένων. (2) Αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις δουλεύειν, τὰ δὲ πρὸ τούτου χαλεπώτερα, σχοινισμοὶ καὶ κιγκλίδες καὶ ἵπποι καὶ στάσεις ὕπαιθροι, καύματος μὲν ἐν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων ἢ πάγον, ὥστε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. (3) Τοιαῦτα μὲν κακὰ Λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν, ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. Πρῶτον μὲν γὰρ ἑκατοστὴν ἐκέλευσε καὶ μὴ πλέον εἰς τοὺς τόκους λογίζεσθαι, δεύτερον δὲ τοὺς μακροτέρους τοῦ ἀρχαίου τόκους ἀπέκοψε, τὸ δὲ τρίτον καὶ μέγιστον, ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα καρποῦσθαι τὸν δανειστήν· ὁ δὲ τόκον κεφαλαίῳ συνάψας ἐστέρητο τοῦ παντός· ὥστ' ἐν ἐλάττονι χρόνῳ τετραετίας διαλυθῆναι τὰ χρέα πάντα καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις. (4) Ἦν δὲ τοῦτο κοινὸν δάνειον ἐκ τῶν δισμυρίων ταλάντων, οἷς τὴν Ἀσίαν ἐζημίωσεν ὁ Σύλλας· καὶ διπλοῦν ἀπεδόθη τοῖς δανείσασιν ὑπ' ἐκείνων ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. (5) Ἐκεῖνοι μὲν οὖν ὡς δεινὰ πεπονθότες ἐν Ῥώμῃ τοῦ Λουκούλλου κατεδόων καὶ χρήμασιν ἀνίστασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν μέγα δυνάμενοι καὶ πολλοὺς ὑπόχρεως

assecutum esse. (7) Conatus tamen est urbem eam ex præsenti calamitate sublevare: quumque imbres bona quadam fortuna in ipso excidio oborti incendium restinxissent, pleraque ædificia ipse præsens instauravit, Amisenos exsules reduxit, habitandamque urbem aliis Græcis, si quibus esset volentibus, dedit, centum et viginti stadiis ad agri prioris fines adjectis. (8) Fuit ea urbs Atheniensium colonia, ab iis deducta eo potissimum tempore, quo opibus florebant et imperium maris obtinebant. Propterea multi eorum qui Aristonis tyrannidem fugere volebant, eo profecti sunt, ibique ædes et jus civitatis habuerunt, elapsique patriæ periculis, in partem alienæ calamitatis venerunt. (9) Superstites tamen eorum Lucullus honeste vestivit, singulosque ducentis donatos denariis dimisit. (10) Captus est tunc etiam Tyrannio grammaticus; hunc Murena ab imperatore precibus impetravit, acceptumque libertate donavit, parum liberaliter dono eo usus. Neque enim Lucullus virum eruditionis causa eximium habitum servum prius fieri, deinde manumitti voluisset. Nam donum libertatis quæ videretur Murenæ, ademptio veræ libertatis erat. Sed non hac tantum in re Murena imperatoris sui virtute multo inferior fuit.

XX. Lucullus quum a rebus bellicis otium esset nactus, ad Asiæ civitates se contulit, ut jura in eas legesque reduceret, quibus ea provincia diu jam caruerat, infandisque et incredibilibus calamitatibus afflicta fuerat. Ita enim a publicanis et fœneratoribus agebatur ferebaturque, ut privatim filios formosos, virginesque filias, publice donaria, tabulas, sacrasque imagines vendere cogerentur. (2) Finis autem ipsis erat, ut addicti in servitutem abducerentur, ante tamen graviora perpessi, funes, carceres, stationes sub dio ardente sole, frigoris tempore in luto aut glacie, ita ut servitus levamen onerum istorum et pax quædam esse videretur. (3) Hujusmodi in civitatibus mala Lucullus offendens, parvo temporis spatio cives iis circumventos liberavit. Primum fœnoris nomine non amplius centesima exigi mandavit, deinde omnes usuras, quæ sortem excesserant, rescidit: postremo id quod maximum fuit, creditorem quadrantem redituum annuorum debitoris accipere jussit, ac si quis usuram cum sorte conjunxisset, eum utrumque amittere. Itaque intra quadriennium effectum hac ratione est, ut omnia debita dissolverentur et bona libera dominis redderentur. (4) Debitum autem commune fuit viginti millium talentorum, quam Asiæ mulctam Sylla irrogaverat, ejusque duplum fœneratores acceperunt quum summam ipsi usque ad centum viginti talentorum millia auxissent. (5) Hi tanquam atroci affecti injuria, Romæ Lucullum traducebant, et quosdam tribunos plebis contra eum pecunia data excitabant, quum possent permultum, multosque sibi eorum qui rempublicam administrabant obstrictos haberent.

πεποιημένοι τῶν πολιτευομένων. (6) Ὁ δὲ Λούκουλλος οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν, εὐδαιμονιζούσαις τοὺς ἡγεμόνος τοιούτου τυχόντας.

XXI. Ἄππιος δὲ Κλώδιος ὁ πεμφθεὶς πρὸς Τιγράνην (ἦν δὲ ὁ Κλώδιος ἀδελφὸς τῆς τότε Λουκούλλῳ συνοικούσης) πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου Σύρου τὸ γένος, ἐκτρέπεται τῆς μακρᾶς ἐκείνης καὶ σοφιστικῆς, ἐῤῥῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς, καὶ δι' ἡμερῶν ὀλίγων τὸν Εὐφράτην περάσας εἰς Ἀντιόχειαν ἦκε τὴν ἐπὶ Δάφνης. (2) Ἐπεὶ δὲ Τιγράνην αὐτοῦ κελευσθεὶς περιέμενεν (ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν Φοινίκῃ πόλεων καταστρεφόμενος), πολλοὺς μὲν ὠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ Ἀρμενίου δυναστῶν, ὧν εἷς ἦν καὶ Ζαρβιηνὸς ὁ τῆς Γορδυηνῆς βασιλεύς, πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων διαπεμπομέναις πρὸς αὐτὸν ὑπέσχετο τὴν Λουκούλλου βοήθειαν ἐν τῷ παρόντι κελεύσας ἡσυχάζειν. (3) Ἦν γὰρ οὐκ ἀνασχετὸς ἡ τῶν Ἀρμενίων ἀρχὴ τοῖς Ἕλλησιν, ἀλλὰ χαλεπή· καὶ μάλιστα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων, ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν, οὐ μόνον ὄντων περὶ αὐτὸν, ἀλλὰ καὶ δι' αὐτὸν γεγονέναι δοκούντων. (4) Ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεστρέψατο καὶ τὴν Πάρθων, ὡς ἄλλος οὐδείς, δύναμιν ἐταπείνωσεν, Ἑλλήνων δὲ τὴν Μεσοποταμίαν ἐνέπλησε, πολλοὺς μὲν ἐκ Κιλικίας, πολλοὺς δ' ἐκ Καππαδοκίας ἀνασπάστους κατοικίζων. (5) Ἐκίνησε δ' ἐξ ἠθῶν καὶ Ἄραβας τοὺς Σκηνίτας μεταγαγὼν καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δι' ἐκείνων ταῖς ἐμπορίαις. (6) Βασιλεῖς δὲ πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτὸν, τέσσαρες δὲ, οὓς ἀεὶ περὶ αὐτὸν εἶχεν ὥσπερ ὀπαδοὺς ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις, καθημένῳ δὲ καὶ χρηματίζοντι περιεστῶτας ἐπηλλαγμένας δι' ἀλλήλων ταῖς χερσὶν, ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων ἐξομολόγησις εἶναι δουλείας, οἷον ἀποδομένων τὴν ἐλευθερίαν καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον ἢ ποιῆσαι. (7) Ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας οὐδ' ἐκπλαγεὶς Ἄππιος, ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἦκειν ἔφη Μιθριδάτην ἀπάξων ὀφειλόμενον τοῖς Λουκούλλου θριάμβοις ἢ καταγγέλλων Τιγράνῃ πόλεμον, ὥστε τὸν Τιγράνην, καίπερ ἐν διαχύσει τοῦ προσώπου καὶ μειδιάματι πεπλασμένῳ πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παῤῥησίᾳ τοῦ νεανίσκου φωνῆς σχεδὸν ἐλευθέρας ἀκούοντα διὰ πέντε καὶ εἴκοσιν ἐτῶν· τοσαῦτα γὰρ ἐβασίλευσε, μᾶλλον δὲ ὕβρισεν. Ἀπεκρίνατο μὲν οὖν τῷ Ἀππίῳ μὴ προήσεσθαι Μιθριδάτην καὶ Ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. (8) Λουκούλλῳ

(6) Lucullum non modo ii quibus bene fecerat populi diligebant, sed et reliquæ eum provinciæ desiderabant, beatos dicentes qui eum ducem essent nacti.

XXI. Appius autem Clodius ad Tigranem missus (hujus Clodii sororem Lucullus in matrimonio habebat) primum a ductoribus regiis per ambages longas minimeque necessarias circumductus, monstrante verum iter liberto, natione Syro, de prolixa ista atque fallace via deflexit, jussisque valere barbaris ductoribus, paucis diebus trajecto Euphrate Antiochiam, quæ ad Daphnen cognominatur, venit. (2) Jussus ibi Tigranem opperiri, qui ob quasdam adhuc in Phœnice urbes subigendas aberat. Interim Appius multos sibi conciliavit eorum, qui simulate tantum Armenio parebant: inter quos et Zarbienus fuit, Gordyenæ rex. b Multis quoque in servitutem a Tigrane redactis urbibus, quæ ad ipsum clam nuntios miserant, auxilium a Lucullo promisit atque in præsentia modo quiescere jussit. (3) Erat enim Tigranis regnum Græcis intolerabile, præcipue ob spiritus ingentes et fastum regis nimium, ad quem res eum secundæ extulerant, quum quæ vulgo expetenda ac summa judicantur, ea non modo adeptus, sed sua ipsius opera omnia consecutus videretur. (4) Vili enim et contempto c usus initio, multos populos domuerat, Parthorum, ut nemo quisquam ante, potentiam fregerat, Græcis Mesopotamiam repleverat, multis eo ex Cilicia et Cappadocia ex sedibus suis abductis. (5) Arabes etiam Scenitas a patria sua abduxerat, inque propinquo collocaverat, ut eorum opera in mercaturis uteretur. (6) Multi erant reges, quibus administris utebatur: quattuor autem semper habebat secum tanquam stipatores vel apparitores, qui equitante ipso pedites juxta currerent tunicati, sedenti et responsa danti astarent consertis inter se brachiis, qui maxime habitus servitutis videbatur esse confessio, quasi tradita libertate d corpora domino ad patiendum magis quam ad agendum parata exhiberent. (7) Hæc spectacula, hæ pompæ nihil perterruerunt Appium, sed ut primum loquendi facultas data est, palam dixit se Mithridatis, qui Luculli debeatur triumpho, abducendi causa venisse, alioquin bellum se Tigrani indicere. Et quidem Tigranes, tametsi conatus fuerat hilari vultu simulatoque risu legationem audire, non fefellit tamen libertate sermonis ejus juvenis vultum immutans, quippe qui vigesimo et quinto demum (tot enim annis regnum tenuit, siquidem per libidinem omnia agere regnare est) anno liberam vocem audivisset. Respondit autem e Appio, se Mithridatem non traditurum et, si Romani bellum

δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ βασιλέων ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν, οὐδ' αὐτὸς ἀντιγράφων αὐτοκράτορα προσεῖπεν. Ἔπεμψε δὲ δῶρα τῷ Ἀππίῳ λαμπρὰ, καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. (9) Ἐκ τούτων ὁ Ἄππιος οὐκ ἐθέλων δοκεῖν ἔχθρα τινὶ διωθεῖσθαι φιάλην δεξάμενος μίαν ἀπέπεμψε τὰ λοιπὰ καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα.

XXII. Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδὲ ἰδεῖν ἠξίωσεν οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὲ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτὸν εἰς τὰ βασίλεια. (2) Καὶ δὴ λόγων γενομένων ἀπορρήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. (3) Ἦν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς καὶ πολυμαθὴς, ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. (4) Τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης πεμφθέντα πρεσβευτὴν ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτὸν δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους ἤρετο, « Σὺ δ' αὐτὸς, ὦ Μητρόδωρε, τί μοι περὶ τούτων παραινεῖς; » Κἀκεῖνος εἴτε πρὸς τὸ Τιγράνου συμφέρον εἴτε Μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς ἔφη κελεύειν, ὡς δὲ σύμβουλος ἀπαγορεύειν. (5) Ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῷ Μιθριδάτῃ καὶ κατεῖπεν ὡς οὐδὲν ἐργασομένῳ τὸν Μητρόδωρον ἀνήκεστον. Ὁ δ' εὐθὺς ἀνῄρητο· καὶ μετάνοια τὸν Τιγράνην εἶχεν οὐ παντελῶς ὄντα τῷ Μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ροπήν τινα τῷ πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα. (6) Πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα, καὶ τοῦτ' ἐφωράθη τῶν ἀπορρήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρον ἀπολέσθαι διατεταγμένον. Ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν, ὃν ζῶντα προὔδωκεν. (7) Ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ, εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. Λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι, δεομένων δ' αὐτόθι σοφιστεύειν ὑπεριδεῖν καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωροίη, μεταστάντα δὲ πρὸς Κλεοπάτραν τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν ἐν διαβολῇ γενέσθαι ταχὺ καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἰργόμενον ἀποκαρτερῆσαι· ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας καὶ κεῖσθαι περὶ Σαφὰν, ἐκεῖ τι χωρίον οὕτω καλούμενον.

XXIII. Λούκουλλος δὲ τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκὼς οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν, ἀλλὰ πομπαῖς καὶ πανηγύρεσιν ἐπινικίοις καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν Ἐφέσῳ καθήμενος ἐδημαγώγει τὰς πόλεις. Αἱ δ' ἀμειβόμεναι Λουκούλλειά τε ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρὸς

intulissent, defensurum. (8) Lucullo iratus, quod regem ipsum modo, non regem regum in epistola appellasset, rescribens imperatoris nomine dignatus non est. Appio dona splendida obtulit, eaque illo repudiante, alia superaddidit. (9) Quare Appius, ne hostili animo ea rejecisse videretur, unam phialam accepit, remissisque ceteris, celeriter ad imperatorem rediit.

XXII. Porro Mithridatem Tigranes quum ne conspectu quidem aut alloquio dignatus ante fuisset, regem necessarium tantisque opibus exutum, sed contumeliose ac superbe procul a se in locis palustribus et insalubribus quasi in custodia morantem neglexisset, tum primum honorifice et amice ad se in regiam vocavit. (2) In colloquio autem quod ibi fecerunt secreto suspiciones mutuas composuerunt, malo suorum amicorum, quibus causas offensarum imputabant. (3) Fuit inter hos Metrodorus Scepsius, vir eximie doctus et non infacundus, cujus tanta in amicitia Mithridatis fuerat vis, ut pater regis cognominaretur. (4) Hunc, ut fertur, ab illo legatum ad se auxilii contra Romanos petendi causa missum Tigranes interrogaverat: Tu vero, Metrodore, quidnam mihi hac in re consilii das? Ille sive Tigranis utilitatem spectans, sive quod salvum nolebat Mithridatem: Ut legatus, inquit, suadeo; ut consiliarius dissuadeo. (5) Id tum Mithridati Tigranes retulit, non existimans Metrodoro periculum gravius inde exstiturum; sed statim is jussu regis occisus est, pœnituitque Tigranem, quod, tametsi non plane causa exitii Metrodoro fuisset, odio tamen Mithridatis stimulos addidisset. (6) Dudum enim Metrodoro infensum occulte fuisse Mithridatem, secretis ejus literis captis deprehensum est, in quibus etiam Metrodorus cædi destinabatur. Mortuum Tigranes magnificentissima sepultura affecit, quem vivum prodiderat. (7) Amphicrates præterea rhetor apud Tigranem obiit, siquidem propter Athenas mentio ejus facienda est. Is Amphicrates patria profugus Seleuciam, quæ est ad Tigrin fluvium, pervenisse traditur: orantibusque civibus, ut ibi oratoriam profiteretur, recusasse arroganterque respondisse, delphinem a pelvi non capi: inde ad Cleopatram Mithridatis filiam, Tigranis uxorem, se contulisse, statimque in suspiciones incurrisse prohibitumque Græcorum commercio vitam inedia finiisse, sepultum tamen et hunc a Cleopatra honorifice apud Saphan, qui est ejus regionis locus.

XXIII. Interim Lucullus quum Asiam summa pace optimisque legibus composuisset, ne ea quidem neglexit, quæ ad voluptatem gratiamque facerent: itaque festivitatibus, ludis triumphalibus, certaminibusque gladiatoriis et athleticis Ephesi editis urbes oblectavit. Atque eæ gratiæ referendæ causa, Lucullia in honorem ejus egerunt: veraque

καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ παρεῖχον. (2) Ἐπεὶ δ' Ἄππιός τε ἦκε καὶ πολεμητέον πρὸς Τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς Πόντον καὶ τοὺς στρατιώτας ἀναλαβὼν ἐπολιόρκει Σινώπην, μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς Κίλικας, οἳ πολλοὺς μὲν ἀνελόντες τῶν Σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες διὰ νυκτὸς ἔφυγον. (3) Αἰσθόμενος δ' ὁ Λούκουλλος καὶ παρελθὼν εἰς τὴν πόλιν ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταλειφθέντας ἀπέκτεινε, τοῖς δ' ἄλλοις e ἀπέδωκε τὰ οἰκεῖα καὶ τῆς πόλεως ἐπεμελήθη μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. (4) Ἐδόκει τινὰ κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα « Πρόελθε, Λούκουλλε, μικρόν· ἥκει γὰρ Αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος. » Ἐξαναστὰς δὲ τὴν μὲν ὄψιν οὐκ εἶχε συμβαλεῖν εἰς ὅ τι φέροι, τὴν δὲ πόλιν εἶλε κατ' ἐκείνην τὴν ἡμέραν καὶ τοὺς ἐκπλέοντας τῶν Κιλίκων διώκων δρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδριάντα κείμενον, ὃν ἐκκομίζοντες οἱ Κίλικες οὐκ ἔφθησαν ἐμβαλέσθαι· τὸ δ' ἔργον ἦν Σθένιδος τῶν καλῶν. Φράζει οὖν τις, ὡς Αὐτολύκου τοῦ κτίσαντος τὴν Σινώπην ὁ ἀνδριὰς εἴη. (5) Λέγεται δ' ὁ Αὐτό- f λυκος γενέσθαι τῶν ἐπὶ τὰς Ἀμαζόνας ἐκ Θετταλίας Ἡρακλεῖ συστρατευσάντων, Δημάχου παῖς· ἐκεῖθεν δ' ἀποπλέων ἅμα Δημολέοντι καὶ Φλογίῳ τὴν μὲν ναῦν ἀπολέσαι περιπεσοῦσαν τῆς Χερρονήσου κατὰ τὸ καλούμενον Πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς τὴν Σινώπην, ἀφελέσθαι τοὺς a Σύρους τὴν πόλιν· Σύροι γὰρ αὐτὴν κατεῖχον ἀπὸ Σύρου γεγονότες τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. (6) Ταῦτ' ἀκούων ὁ Λούκουλλος ἀνεμιμνήσκετο τῆς Σύλλα παραινέσεως· παρῄνει δὲ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅ τι ἂν ἀποσημανθῇ διὰ τῶν ἐνυπνίων. (7) Πυνθανόμενος δὲ Μιθριδάτην τε καὶ Τιγράνην εἰς Αυκαονίαν καὶ Κιλικίαν ὅσον οὔπω διαβιβάζειν δύναμιν ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν Ἀσίαν, ἐθαύμαζε τὸν Ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι Ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρῆτο Μιθριδάτῃ b πρὸς τὸν πόλεμον οὐδ' ἐῤῥωμένοις τοῖς ἐκείνου τὰ παρ' αὐτοῦ συνῆπτεν, ἀπολέσθαι δ' ἐάσας καὶ συντριβῆναι νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν.

XXIV. Ἐπειδὴ δὲ καὶ Μαχάρης ὁ Μιθριδάτου παῖς ἔχων τὸν Βόσπορον ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος, ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, Σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν Ποντικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων, αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζούς, ἱππεῖς δὲ τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον c ὁρμῇ τινι δοκῶν παραβόλῳ καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμὸν ἐμβαλεῖν αὐτὸν εἰς ἔθνη μάχιμα καὶ μυριάδας ἱππέων πολλὰς καὶ ἀχανῆ χώραν βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανειφομένοις ὄρεσι περιεχομένην, ὥστε τοὺς μὲν στρατιώτας οὐδ' ἄλλως ὄντας εὐτάκτους ἄκοντας

eum, quæ honore gratior fuit, benevolentia sunt prosecutæ. (2) Posteaquam Appius rediit et bellum contra Tigranem gerendum apparuit, rursus in Pontum abiit, militibusque receptis, Sinopen, aut verius Cilices Mithridaticos qui eam obtinebant, oppugnavit; ii multis Sinopensium necatis urbeque incensa, noctu aufugere intenderunt. (3) Quod ubi Lucullus sensit, in urbem intravit et octo Cilicum millia ibi deprehensa interfecit: reliquis sua bona restituit, urbisque curam suscepit, tali potissimum motus insomnio. (4) Per quietem imaginatus erat, quendam sibi astare ac dicere: Progredere paulisper, Luculle, adest enim Autolycus alloqui te cupiens. Quum surrexisset, neque intelligeret quorsum id insomnium tenderet, ea die Sinopen cepit, ac Cilices qui navigiis effugerant insequens, in littore statuam jacentem vidit, quam Cilices quum urbe exportassent, tantum tamen spatii eis non erat datum ut in naves imponerent. Statua ea ex præcipuis Sthenidis operibus fuit. Ibi quidam Lucullo indicavit, esse statuam eam Autolyci, ejus qui Sinopen condiderat. (5) Is Autolycus, ut traditur, Deimachi filius, unus eorum fuit, qui Herculem bello Amazonas petentem ex Thessalia comitati fuerunt; inde revertens navigio cum Demoleonte et Phlogio, ad Chersonesum eo in loco qui Pedalion (*hoc est* gubernaculum) dicitur, navim fregit, atque incolumnis cum armis et sociis Sinopen delatus, urbem eam Syris (hi enim tum tenebant, orti a Syro, Apollinis, ut ferebatur, filio et Sinopes Asopidis filiæ) eripuerunt. (6) His auditis Lucullus præceptum Syllanum memoria recoluit: nam in commentariis Sylla monet, nihil magis fide dignum et certum putandum, quam quod insomniis monstratur. (7) Quum accepisset Mithridatem et Tigranem jam tantum non in Lycaoniam et Ciliciam traducere copias, ut priores in Asiam invaderent, mirari se Armenium dixit, qui quum in animo habuisset Romanos adoriri, non integro et validis viribus utenti Mithridati se adjunxerit, sed passus eum perire atque frangi, nunc frigidas spes secutus bellum ordiatur et cum eo qui resurgere nequeat, se ipse quoque in ruinæ det periculum.

XXIV. Quum vero Machares, Mithridatis filius, Bospori rex, coronam Lucullo mille aureis confectam misisset, orans ut inter populi Romani amicos reciperetur, prius bellum jam confectum existimans, Sornatium ad præsidium Ponti cum sex millibus militum reliquit: ipse cum duodecim peditum, equitum non integris tribus millibus ad alterum bellum contendit. Et videbatur sane impetu nimis audaci parumque sano consilio se ipsum immittere in gentes bellicosas, multa equitum millia vastamque habentibus regionem, quæ profundis fluminibus montibusque semper nivosis cingeretur, Ideo et milites, alioqui dicto non satis audientes, invitu eum

ἕπεσθαι καὶ ζυγομαχοῦντας, ἐν δὲ Ῥώμῃ καταβοᾶν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγοὺς, ὡς πόλεμον ἐκ πολέμου δώκει Λούκουλλος οὐδὲν τῆς πόλεως δεομένης, ἀλλ' ὑπὲρ τοῦ στρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. (2) Οὗτοι μὲν οὖν ἐξειργάσαντο χρόνῳ τὴν αὐτῶν ὑπόθεσιν· Λούκουλλος δὲ συντόνως ὁδεύσας ἐπὶ τὸν Εὐφράτην καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος εὑρὼν ἠσχάλλεν, ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης συνάγοντι πορθμεῖα καὶ πηγνυμένῳ σχεδίας. (3) Ἀρξάμενον δ' ἀφ' ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα καὶ μειούμενον διὰ τῆς νυκτὸς ἅμ' ἡμέρᾳ κοῖλον ὀφθῆναι παρέσχε τὸν ποταμόν. (4) Οἱ δ' ἐπιχώριοι νησῖδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ' αὐταῖς προσεκύνουν τὸν Λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον, ἐκείνῳ δ' ἑκουσίως χειροήθη καὶ πρᾷον αὐτὸν ἐνδιδόντος τοῦ ποταμοῦ καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν. (5) Χρησάμενος οὖν τῷ καιρῷ διεβίβαζε τὴν στρατιὰν, καὶ γίνεται σημεῖον αὐτῷ χρηστὸν ἅμα τῇ διαβάσει. (6) Βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιστα θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι· χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι χαράγματα φέρουσαι τῆς θεοῦ λαμπάδα, καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐστιν οὐδὲ μικρᾶς πραγματείας. (7) Τούτων μία, τοῦ στρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν ἱερὰν τῆς θεοῦ νομιζομένην ἐπ' αὐτῆς ἑστη καὶ καταβαλοῦσα τὴν κεφαλὴν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ Λουκούλλῳ παρέσχεν αὐτήν. (8) Ἔθυσε δὲ καὶ τῷ Εὐφράτῃ ταῦρον διαβατήρια. Κἀκείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο, τῇ δ' ὑστεραίᾳ καὶ ταῖς ἑφεξῆς προῆγε διὰ τῆς Σωφηνῆς, οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους προσχωροῦντας αὐτῷ καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους, ἀλλὰ καὶ τῶν στρατιωτῶν φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ βουλομένων λαβεῖν « Ἐκεῖνο, ἔφη, μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστὶ, » δείξας τὸν Ταῦρον ἄπωθεν ὄντα· « ταῦτα δ' ἀπόκειται τοῖς νικῶσι. » Συντείνας δὲ τὴν πορείαν καὶ τὸν Τίγριν διαβὰς ἐνέβαλεν εἰς τὴν Ἀρμενίαν.

XXV. Τιγράνῃ δ', ὡς ὁ πρῶτος ἀγγελίας ἥκοντα Λούκουλλον οὐκ ἐχαίρησεν, ἀλλ' ἀπετέτμητο τὴν κεφαλὴν, οὐδεὶς ἄλλος ἔφραζεν, ἀλλ' ἀγνοῶν καθῆστο περιαιόμενος ἤδη τῷ πολεμίῳ πυρὶ λόγους ἀκούων πρὸς χάριν, ὡς μέγαν ἂν ὄντα Λούκουλλον στρατηγὸν, εἰ πρὸς Ἔφεσῳ Τιγράνην ὑποσταίη καὶ μὴ φεύγων εὐθὺς ἐξ Ἀσίας οἴχοιτο τὰς τοσαύτας μυριάδας ἰδών. (2) Οὕτως οὔτε σώματος παντός ἐστι πολὺν ἄκρατον ἐνεγκεῖν οὔτε διανοίας τῆς τυχούσης ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. (3) Πρῶτος δ' αὐτῷ τῶν φίλων ἐτόλμησε Μιθροβαρζάνης φράσαι τὸ ἀληθές. Οὐδ' οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς

et reluctantes secuti sunt, et Romæ tribuni plebis criminabantur eum publice, testabanturque bellum ex bello quærere, nulla reipublicæ necessitate ductum, sed imperiorum obeundorum cupiditate nunquam arma depositurum, neque finem facturum opes publico periculo parandi. (2) Et hi quidem tandem id quod quærebant assecuti sunt. Lucullus autem continenti itinere quum ad Euphratem pervenisset eumque tumentem et a tempestate turbidum offendisset, doluit sibi moram fieri et negotia facessi in navigiis conducendis ratibusque fabricandis esse. (3) Sed aqua sub vesperam subsidens, per noctem ita decrevit, ut cavus sub auroram alveus cerneretur. (4) Accolæ porro fluminis, quum in trajectu insulas quasdam exiguas apparentes conspexissent, ad quas fluvius tenui aqua flueret, Lucullum venerati sunt, cui ibi, quod raro ante evenerat, obtigisset, ut fluvius ultro se ei lenem transitumque facilem atque expeditum præberet. (5) Hac occasione ille usus, copias trajecit: estque ei bonum in transitu omen oblatum. (6) Boves ibi pascuntur Dianæ Persicæ (quam præcipue deam barbari trans Euphratem habitantes colunt) sacræ, quibus ad sacrificia tantum utuntur, alias libere pascuntur, insignitæ lampade, quod deæ est signum; et quum usus earum una est, haud sine magno labore capi abducique possunt. (7) Harum tunc una exercitu Euphratem transeunte, in saxum quoddam deæ sacrum se recepit, ibique stans caput perinde atque vinculo tracta demisit, seque Lucullo mactandam præbuit. (8) Idem Euphrati taurum sacrificavit, gratias eo pro transitu agens, eamque ibi diem requievit. Postridie et quæ deinceps sunt secutæ diebus, per Sophenen progressus est absque omnium injuria, accedentibus ei et ultro exercitum excipientibus universis; quin et militibus, quum ii castellum quoddam opulentum occupare cuperent, commonstrato eminus Tauro, Istud, inquit, potius castellum excindendum vobis est: hoc victores manet. Magnis inde itineribus Tigrin transgressus, in Armeniam irrupit.

XXV. At Tigrani, qui primo adventus Luculli indici caput amputaverat, nemo porro quicquam renuntiare: itaque ille, quum jam hostili circum igni ureretur, inscius omnium sedere, adulationibusque suorum aures præbere, qui magni imperatoris nomen meriturum Lucullum diceret, si apud Ephesum Tigranis adventum subsisteret, neque primo tam immensi exercitus conspectu territus ex Asia fugam faceret. (2) Adeo neque cujusvis est corporis multum vini ferre, neque vulgaris animi in tanto rerum secundarum affluxu de potestate rationis non exire. (3) Primus ei amicorum Mithrobarzanes ausus est dicere veritatem. Sed ne huic quidem bene sua libertas cessit. Statim enim ad-

παῤῥησίας. Ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν Λούκουλλον
σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευ-
σθεὶς τὸν μὲν στρατηγὸν ἄγειν ζῶντα, τοὺς δ' ἄλλους
καταπατῆσαι. (4) Λουκούλλῳ δὲ τῆς στρατιᾶς ἡ μὲν
ἤδη κατεζεύγνυεν, ἡ δὲ ἔτι προσήει. Τῶν δὲ σκοπῶν c
αὐτῷ φρασάντων ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε
μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ.
Καὶ αὐτὸς μὲν καθίστατο τὴν στρατοπεδείαν, Σεκστί-
λιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους
ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας,
κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως
ἂν πύθηται τοὺς μετ' αὐτοῦ κατεστρατοπεδευκότας.
(5) Ἐβούλετο μὲν οὖν ὁ Σεκστίλιος ταῦτα ποιεῖν,
ἐβιάσθη δ' ὑπὸ τοῦ Μιθροβαρζάνου θρασέως ἐπελαύ-
νοντος εἰς χεῖρας ἐλθεῖν. (6) Καὶ γενομένης μάχης ὁ
μὲν Μιθροβαρζάνης ἔπεσεν ἀγωνιζόμενος, οἱ δ' ἄλλοι
φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. (7) Ἐκ
τούτου Τιγράνης μὲν ἐκλιπὼν Τιγρανόκερτα, μεγάλην d
πόλιν ἐκτισμένην ὑπ' αὐτοῦ, πρὸς τὸν Ταῦρον ἀνεχώ-
ρησε καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε·
Λούκουλλος δὲ τῇ παρασκευῇ χρόνον οὐ διδοὺς Μου-
ρήναν μὲν ἐξέπεμψεν ἐνοχλήσοντα καὶ περικόψοντα
τοὺς ἀθροιζομένους πρὸς τὸν Τιγράνην, Σεκστίλιον δὲ
πάλιν Ἀράβων χεῖρα μεγάλην ἀνείρξοντα βασιλεῖ
προσιοῦσαν. (8) Ὁμοῦ δὲ Σεκστίλιος μὲν ἐπιπεσὼν
στρατόπεδον ποιουμένοις τοῖς Ἄραψι, τοὺς πλείστους
διέφθειρε, Μουρήνας δ' ἑπόμενος Τιγράνῃ τραχὺν αὐ-
λῶνα καὶ στενόπορον στρατῷ μακρῷ διεκβάλλοντι
καιροῦ παρασχόντος ἐπιτίθεται. Καὶ φεύγει μὲν
αὐτὸς Τιγράνης προέμενος τὴν ἀποσκευὴν ἅπασαν, e
ἀποθνήσκουσι δὲ πολλοὶ καὶ πλείονες ἁλίσκονται τῶν
Ἀρμενίων.

XXVI. Οὕτω δὲ τούτων προχωρούντων, ἅρας ὁ
Λούκουλλος ἐπορεύετο πρὸς Τιγρανόκερτα καὶ περι-
στρατοπεδεύσας ἐπολιόρκει τὴν πόλιν. (2) Ἦσαν δ' ἐν
αὐτῇ πολλοὶ μὲν Ἕλληνες τῶν ἀναστάτων ἐκ Κιλικίας,
πολλοὶ δὲ βάρβαροι τοῖς Ἕλλησιν ὅμοια πεπονθότες,
Ἀδιαβηνοὶ καὶ Ἀσσύριοι καὶ Γορδυηνοὶ καὶ Καππά-
δοκες, ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κο-
μίσας ἐκεῖ κατοικεῖν ἠνάγκασεν. (3) Ἦν δὲ καὶ χρη-
μάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων, παντὸς ἰδιώτου
καὶ δυνάστου τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔ-
ξησιν καὶ κατασκευὴν τῆς πόλεως. (4) Διὸ καὶ συν-
τόνως ἐπολιόρκει ὁ Λούκουλλος αὐτὴν, οὐκ ἀνέξεσθαι
τὸν Τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ'
ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος.
(5) Πολλὰ δὲ Μιθριδάτης ἀπηγόρευσεν ἀγγέλους πέμπων
509καὶ γράμματα μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἱπ- a
πεῦσι περικόπτειν τὴν ἀγοράν· πολλὰ δὲ Ταξίλης ἥκων
παρ' αὐτοῦ καὶ συστρατεύων ἐδεῖτο τοῦ βασιλέως φυ-
λάττεσθαι καὶ φεύγειν ὡς ἄμαχον πρᾶγμα τὰ Ῥω-
μαίων ὅπλα. (6) Καὶ τά γε πρῶτα πράως ἤκουε
τούτων. Ἐπεὶ δὲ πανστρατιᾷ μὲν αὐτῷ συνῆλθον
Ἀρμένιοι καὶ Γορδυηνοί, πανστρατιᾷ δὲ Μήδους καὶ

versus Lucullum missus est cum tribus equitum millibus
ingentique peditum multitudine, jussusque ducem vivum
adducere, ceteros obterere. (4) Luculli tum milites partim
castra jam faciebant, partim in itinere adhuc erant. Ita-
que ut retulerunt exploratores de barbarorum adventu,
veritus ne ii exercitum ipsius divulsum invicem et incom-
positum adorti turbarent, inhibito itinere, Sextilium lega-
tum cum mille sexcentis equitibus legionariisque et levis
armaturæ militibus haud multo pluribus ire contra hostem,
propeque eum, dum ipsum castra locasse audivis et, subsi-
stere jussit. (5) Et peregisset mandata Sextilius, nisi Mi-
throbarzanes ferociter impetum dans coegisset confligere.
(6) Facto prœlio Mithrobarzanes pugnans cecidit, ceteri
barbari in fuga prope universi perierunt. (7) Proinde Ti-
granes, relictis Tigranocertis, magna urbe et quam ipse
condiderat, ad Taurum recessit, ibique omnes suas copias
contraxit. Lucullus autem, ut tempus apparandi hosti eri-
peret, Murenam emisit, qui ad Tigranem confluentes la-
cesseret et carperet, Sextilium autem, ut Arabum magnam
manum ad regem proficiscentem prohiberet. (8) Simul
Sextilius Arabes castra facientes adortus, plerosque eorum
delevit, et Murena Tigranem in aspera angustaque convalle
assecutus, illas copias longo ordine traducentem, occasione
arrepta, ita adortus est, ut Tigranes apparatu omni relicto
fugerit, Armenii multi occisi, plures capti fuerint.

XXVI. Hunc in modum rebus succedentibus, castra
Lucullus movit et Tigranocerta obsidione cinxit. (2) Erant
ea in urbe multi Græcorum qui ex Cilicia traducti fuerant,
multique idem atque Græci passi barbari, Adiabeni, Assyrii,
Gordyeni, Cappadoces, quorum patrias solo æquaverat Ti-
granes, ipsos ibi habitare coegerat. (3) Erat et opum refer-
tissima donariorumque ea urbs, quum nemo non regulus
privatusve ad exornandam et amplificandam eam regi ali-
quid opis attulisset. (4) Quare continenter eam Lucullus
oppugnabat, Tigranem haud toleraturum existimans, sed
præter animi etiam sui sententiam ira motum eo ad prœlium
venturum. Neque vana fuit hæc opinio. (5) Enimvero et
Mithridates crebro et nuntiis et literis missis, a pugna de-
hortatus Tigranem fuerat equitatuque hostem commeatu
excludere jusserat; Taxilesque ab eodem missus et castra
secutus multis regem oraverat, ut invicta Romanorum
arma vitaret, et initio quidem benignas aures Tigranes
præbuerat. (6) Sed postquam ex omni Armenia et Gor-
dyena collectæ advenerunt copiæ, Medique et Adiabeni

Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἦκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δὲ ἀπὸ τῆς Κασπίας Ἀλβανοὶ καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι χάριτι καὶ δώροις πεισθέντες ἀπήντησαν, ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν μεστὰ μὲν ἦν τὰ συμπόσια τοῦ βασιλέως, μεστὰ δὲ τὰ συμβούλια, παρεκινδύνευσε μὲν ὁ Ταξίλης ἀποθανεῖν ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ Μιθριδάτης φθονῶν ἀποτρέπειν μεγάλου κατορθώματος. (7) Ὅθεν οὐδ' ἀνέμεινεν αὐτὸν ὁ Τιγράνης, μὴ μετάσχοι τῆς δόξης, ἀλλ' ἐχώρει παντὶ τῷ στρατῷ σφόδρα δυσφορῶν, ὡς λέγεται, πρὸς τοὺς φίλους, ὅτι πρὸς Λούκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς Ῥωμαίων στρατηγοὺς ἐν ταὐτῷ γενομένους. (8) Καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες οὐδ' ἄλογον ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους καὶ φάλαγγας ὁπλιτῶν καὶ μυριάδας ἱππέων ἀποβλέποντος. (9) Τοξόται μὲν γὰρ καὶ σφενδονῆται δισμυρίους ἦγεν, ἱππεῖς δὲ πεντακισμυρίους καὶ πεντακισχιλίους, ὧν ἑπτακισχίλιοι καὶ μύριοι κατάφρακτοι ἦσαν, ὡς Λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον, ὁπλιτῶν δὲ, τῶν μὲν εἰς σπείρας, τῶν δ' εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας, ὁδοποιοὺς δὲ καὶ γεφυρωτὰς καὶ καθαρτὰς ποταμῶν καὶ ὑλοτόμους καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας τρισμυρίους καὶ πεντακισχιλίους, οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον.

XXVII. Ὡς δ' ὑπερβαλὼν τὸν Ταῦρον ἄθρους κατεφάνη καὶ κατεῖδε πρὸς τοῖς Τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα τῶν Ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο καὶ τοῖς Ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες ἐδείκνυσαν τοὺς Ἀρμενίους· Λουκούλλῳ δὲ σκοποῦντι περὶ τῆς μάχης οἱ μὲν ἄγειν ἐπὶ Τιγράνην ἐάσαντα τὴν πολιορκίαν συνεβούλευον, οἱ δὲ μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους μηδ' ἀνεῖναι τὴν πολιορκίαν. (2) Ὁ δ' εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν διεῖλε τὴν στρατιάν. Καὶ Μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν, αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβών, ἐν αἷς οὐ πλείονες ἦσαν μυρίων ὁπλιτῶν, καὶ τοὺς ἱππεῖς ἅπαντας καὶ σφενδονήτας καὶ τοξότας περὶ χιλίους ἐχώρει. (3) Καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ καταστρατοπεδεύσας παντάπασι μικρὸς ἐφάνη Τιγράνῃ καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν. Οἱ μὲν γὰρ ἔσκωπτον, οἱ δ' ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ διεβάλλοντο κλῆρον· τῶν δὲ στρατηγῶν καὶ βασιλέων ἕκαστος ἠτεῖτο προσιὼν αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. (4) Βουλόμενος δέ τι καὶ αὐτὸς ὁ Τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς εἶπε τὸ θρυλούμενον, « Εἰ μὲν ὡς πρεσβευταὶ, πολλοὶ πάρεισιν, εἰ δ' ὡς στρατιῶται, ὀλίγοι. » (5) Καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες διετέλεσαν. Ἅμα

universi a regibus adducti sunt, tum a mari Babylonio Arabum, a Caspio Albanorum et Iberorum, aliorumque ad Araxen habitantium sine regibus, gratiaque et donis ad bellum conductorum magni exercitus adfuerunt, speque et fiducia et barbaricis minis regia convivia ac consilia repleta fuerunt: ibi et Taxiles pugnam dissuadere ausus in periculum de vita venit, et Mithridatem Tigranes per invidiam tam præclarum facinus avertere suspicabatur. (7) Quare Tigranes ne illum quidem exspectavit, ne socium gloriæ haberet, sed cum omnibus copiis adversus Romanos profectus est, admodum iniquo coram amicis animo, ut perhibent, ferens, quod cum solo Lucullo, non cum omnibus Romanorum ducibus uno in loco conjunctis esset congressurus. (8) Neque usque adeo insanam ejus fuisse temeritatem dixerit qui eum comitantes tot nationes, tot reges, tot armatas phalanges, tot equitum millia consideret. (9) Ducebat enim viginti sagittariorum et funditorum millia, equitum quinquaginta quinque millia et ex his septendecim millia cataphractos, ut ipse Lucullus ad senatum perscripsit: ad hæc gravis armaturæ militum, qui partim in cohortes, partim in phalanges disponerentur, centum quinquaginta millia, eorum qui vias expedirent, pontes fabricarentur, flumina purgarent, materiam cæderent, aliaque ministeria obirent, triginta quinque millia, qui a tergo pugnantium constituti, terrorem hostibus, suis fiduciam præberent.

XXVII. Postquam cum his tantis copiis Taurum montem superavit exercitumque Romanum circumsidentem Tigranocerta despexit, multitudo quidem barbarorum quæ in urbe erat, vociferationem ingentem et plausum ad aspectum suorum edidit, Romanisque a muris minata Armenios monstravit. At Lucullo de pugna deliberanti quidam, ut omissa obsidione in hostem duceret, suadebant; quidam, non esse a tergo tot hostes relinquendos, neque solvendam obsidionem, dicebant. (2) Imperator utramvis non recte, utramque autem bene habere sententiam respondit: divisisque copiis, Murenam cum sex peditum millibus ad obsidionem reliquit. Ipse cum viginti quatuor cohortibus, quæ haud ultra decem armatorum millia continebant, universoque equitatu et funditoribus ac sagittariis circiter mille, hosti obviam contendit. (3) Positisque juxta fluvium in planitie ampla castris, plane imparatus a copiis Tigrani visus est, jocique materiam ejus adulatoribus præbuit. Quidam paucitatem subsannabant, quidam de prædæ divisione sortem jaciebant per jocum; duces autem et reges singuli ad regem adibant, orantes ut sibi rem gerendam committeret, et ipse spectator sederet. (4) Et Tigranes, ut ipse etiam festivi aliquid et faceti proferret, id, quod deinde vulgo jactatum est, dixit: Si legati venerint, multos; sin milites, paucos Romanos esse. (5) Hoc modo illi tunc ludendo ridendoque tempus exegerunt. Prima luce armatum exercitum Lucul-

δ' ἡμέρᾳ Λούκουλλος ὡπλισμένην τὴν δύναμιν ἐξῆγε.
510Καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στρά- a
τευμα· τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ
τὰς δύσεις, ᾗ μάλιστα περάσιμον ἦν, ἀντιπαρεξάγων
5 τὴν δύναμιν καὶ σπεύδων ἔδοξεν ἀποχωρεῖν τῷ Τιγρά-
νῃ. (6) Καὶ καλέσας τὸν Ταξίλην ἅμα γέλωτι, « Τοὺς
ἀμάχους, ἔφη, Ῥωμαίων ὁπλίτας οὐχ ὁρᾷς φεύγον-
τας; » Καὶ ὁ Ταξίλης, Βουλοίμην ἄν, εἶπεν, ὦ βα-
σιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων, ἀλλ'
10 οὔτ' ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν ὁδοιπο-
ροῦντες οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται καὶ κρά-
νεσι γυμνοῖς, ὥσπερ νῦν τὰ σκύτινα τῶν ὅπλων σκεπά-
σματα περισπάσαντες, ἀλλὰ μαχουμένων ἐστὶν ἡ λαμ- b
πρότης αὕτη καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους. »
15 (7) Ταῦτα λέγοντος ἔτι τοῦ Ταξίλου, καταφανὴς ἦν
πρῶτος ἀετὸς ἐπιστρέφοντος τοῦ Λουκούλλου καὶ τάξιν
αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβα-
σιν· καὶ μόλις ὥσπερ ἐκ μέθης τινὸς ἀναφέρων ὁ Τι-
γράνης δὶς ἢ τρὶς ἐξέκραγε, « Ἐφ' ἡμᾶς οἱ ἄνδρες; »
20 ὥστε θορύβῳ πολλῷ τὸ πλῆθος εἰς τάξιν καθίστασθαι,
βασιλέως μὲν αὐτοῦ τὸ μέσον ἔχοντος, τῶν δὲ κεράτων
τὸ μὲν ἀριστερὸν τῷ Ἀδιαβηνῷ, τὸ δὲ δεξιὸν τῷ Μήδῳ
παραδόντος, ἐφ' οὗ καὶ τῶν καταφράκτων ἐν προτά- c
γμασι τὸ πλεῖστον ἦν. (8) Λουκούλλῳ δὲ μέλλοντι δια-
25 βαίνειν τὸν ποταμὸν ἔνιοι τῶν ἡγεμόνων παρῄνουν φυ-
λάττεσθαι τὴν ἡμέραν μίαν οὖσαν τῶν ἀποφράδων, ἃς
μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ
Καιπίωνος ἀπώλετο στρατιὰ συμβαλοῦσα Κίμβροις. Ὁ
δ' ἀπεκρίνατο τὴν μνημονευομένην φωνήν· « Ἐγὼ γάρ,
30 ἔφη, καὶ ταύτην εὐτυχῆ ποιήσω Ῥωμαίοις τὴν ἡμέ-
ραν. » Ἦν δὲ πρὸ μιᾶς νωνῶν Ὀκτωβρίων.

XXVIII. Ταῦτα δ' εἰπὼν καὶ θαῤῥεῖν κελεύσας τόν
τε ποταμὸν διέβαινε καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους
ἠγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποστίλ-
35 βοντα, κροσσωτὴν δὲ ἐφεστρίδα, τὸ δὲ ξίφος αὐτόθεν
ὑποφαίνων γυμνὸν, ὡς εὐθὺς εἰς χεῖρας ἴεσθαι δέοι ἐκη- d
βόλοις ἀνδράσι καὶ συναιρήσει τὴν διατοξεύσιμον χώραν
τῷ τάχει τῆς ἐπαγωγῆς. (2) Ἐπεὶ δὲ τὴν κατάφραν
κτον ἵππον, ἧς πλεῖστος ἦν λόγος, κατεῖδε κατατεταγμέ-
40 νην ὑπὸ λόφῳ τινὶ τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλα-
τεῖαν ἔχοντι, πρόσβασιν δὲ τεττάρων σταδίων οὐ παν-
τάπασι χαλεπὴν οὐδ' ἀποκεκομμένην, Θρᾷκας μὲν ἱπ-
πεῖς καὶ Γαλάτας, οὓς εἶχεν, ἐκέλευσεν ἐκ πλαγίου
προσφερομένους παρακρούεσθαι ταῖς μαχαίραις τοὺς
45 κοντούς. (3) Μία γὰρ ἀλκὴ τῶν καταφράκτων κοντός· e
ἄλλο δ' οὐδὲν οὔθ' ἑαυτοῖς οὔτε τοῖς πολεμίοις χρῆσθαι
δύνανται διὰ βάρος καὶ σκληρότητα τῆς σκευῆς, ἀλλ'
ἐγκατῳκοδομημένοις ἐοίκασιν. (4) Αὐτὸς δὲ δύο σπεί-
ρας ἀναλαβὼν ἠμιλλᾶτο πρὸς τὸν λόφον, ἐῤῥωμένως ἑπο-
50 μένων τῶν στρατιωτῶν διὰ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις
ὁρᾶν πρῶτον κακοπαθοῦντα πεζὸν καὶ προσβιαζόμενον.
(5) Γενόμενος δ' ἄνω καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χω-
ρίου μέγα βοήσας, « Νενικήκαμεν, ἔφη, νενικήκαμεν,
ὦ συστρατιῶται. » Καὶ τοῦτο εἰπὼν ἐπῆγε τοῖς κατα-

lus eduxit; utque erant orientem versus hostium castra,
qua fluvius ad occasum inclinat et facillime transitur, eo
suos propere ducens, visus est Tigrani cedere. (6) Itaque
is Taxilem evocavit ridensque, Non, ait, cernis invictos
istos Romanorum milites fugere? Cui Taxiles: Utinam vero,
inquit, o rex, id præter exspectationem bona tibi fortuna
evadat! Sed enim isti homines neque splendido utuntur ve-
stitu, iter facturi, neque clypeis tersis, nudisque galeis (uti
nunc armorum coriacea integumenta detraxerunt) ince-
dunt: is potius pugnam ademtium splendor est, jamque
hostem invadentium. (7) Nondum finierat sermonem Taxi-
les, quum Lucullus convertere primam aquilam et cohortes
manipulatim ad transeundum flumen componere visus est;
ac Tigranes quasi ex crapula vix tandem ad se redliens, bis
terve exclamavit: In nos viri isti properant? Itaque multo
cum tumultu copiæ instructæ sunt; mediam aciem rex te-
nuit, sinistrum cornu Adiabeno, dextrum, cujus in fronte
maxima pars cataphractorum erat, Medo commisit. (8)
Lucullum transiturum fluvium quidam ex ducibus monue-
rant, uti eum diem caveret: esse enim unum ex nefastis,
quos atros vocant; eodem enim die exercitus Romanorum
cum duce Cæpione a Cimbris fuerat exstinctus. Sed Lucul-
lus respondit (quæ deinde vox in ore omnium fuit): Atqui
ego hunc quoque diem Romanis fortunatum efficiam. Erat
autem pridie Nonas Octobres.

XXVIII. His dictis, bonoque animo uti essent suos horta-
tus, fluvium transiit primusque in hostem duxit, thoracem
ferreis squamis compactum rutilantem indutus, paludamen-
tumque fimbriatum, strictoque illico gladio innuens, præ-
ripiendum celeritate impetus spatium, quo missilibus uti
poterant, manumque statim conserendam cum hoste emi-
nus jaculis pugnare consueto. (2) Cataphractos autem
equites, quibus maxime fidebat hostis, cernens instructos sub
colle quodam, qui superne in latum planus esset, ascen-
sumque quingentorum passuum haberet non admodum dif-
ficilem, neque præruptum, Thraces equites Galatasque quos
secum habebat, ex obliquo cum illis congredi jussit, conto-
rumque ictus gladiis avertere. (3) Omnis enim vis cata-
phracti in conto est sita, neque ullo alio modo aut sibi pro-
desse, aut hostem possunt lædere, mole et duritie armo-
rum tanquam muro inclusi. (4) Ipse cum duabus cohortibus
ad collem contendit, alacriter sequentibus ducem militibus,
quem ipsum in armis primum labores perferre peditem at-
que in collem enitentem cernebant. (5) Ubi collem tenuit,
stans in conspicuo omnibus loco, maxima voce: Vicimus,
inquit, o commilitones, vicimus. His dictis, in cataphractos

φράκτοις κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα παίειν τῶν πολεμίων κνήμας τε καὶ μηροὺς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστίν. (6) Οὐ μὴν ἐδέησέ τι ταύτης τῆς μάχης· οὐ γὰρ ἐδέξαντο τοὺς Ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φεύγοντες αἴσχιστα πάντων ἐνέωσαν ἑαυτούς τε καὶ τοὺς ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα πρὶν ἄρξασθαί τινος ἐκείνους μάχης, ὥστε μήτε τραύματος γενομένου μήθ' αἵματος ὀφθέντος ἡττᾶσθαι τὰς τοσαύ-
511 τας μυριάδας. (7) Ὁ δὲ πολὺς φόνος ἤδη φευγόντων a ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν· οὐ γὰρ ἐδύναντο πυκνότητι καὶ βάθει τῶν τάξεων ὑφ' αὑτῶν ἐμποδιζόμενοι. (8) Τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγε· καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περιεσπάσατο τὸ διάδημα τῆς κεφαλῆς κἀκείνῳ δακρύσας παρέδωκε σώζειν ἑαυτὸν, ὅπως δύναται, καθ' ἑτέρας ὁδοὺς κελεύσας. Ὁ δὲ νεανίας ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε, τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. Οὗτος ἁλοὺς κατὰ τύχην ἀνήχθη πρὸς Λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμάλωτον καὶ τὸ διά-
b δημα γενέσθαι τοῦ Τιγράνου. (9) Λέγεται δὲ τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δ' ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν· Ῥωμαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. (10) Ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ Περὶ θεῶν γραφῇ μνησθεὶς οὐ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. (11) Στράβων δ', ἕτερος φιλόσοφος, ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. (12) Λιούιος δ' εἴρηκεν, ὡς οὐδέποτε Ῥωμαῖοι πολεμίοις ἀποδέοντες τοσούτῳ πλήθει παρετάξαντο· σχεδὸν γὰρ οὐδ' εἰκοστὸν, ἀλλ' ἔλαττον ἐγένοντο μέρος c οἱ νικῶντες τῶν ἡσσημένων. (13) Ῥωμαίων δ' οἱ δεινότατοι στρατηγοὶ καὶ πλεῖστα πολέμοις ὡμιληκότες ἐπῄνουν μάλιστα τοῦ Λουκούλλου τὸ δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους δυσὶ τοῖς ἐναντιωτάτοις, τάχει καὶ βραδυτῆτι, καταστρατηγῆσαι. Μιθριδάτην μὲν γὰρ ἀκμάζοντα χρόνῳ καὶ τριβῇ κατανάλωσε, Τιγράνην δὲ τῷ σπεῦσαι συνέτριψεν, ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων τῇ μελλήσει μὲν ἐν ἔργῳ, τῇ τόλμῃ δ' ὑπὲρ ἀσφαλείας χρησάμενος

XXIX. Διὸ καὶ Μιθριδάτης οὐ συνέτεινεν ἐπὶ τὴν d μάχην, τῇ συνήθει τὸν Λούκουλλον εὐλαβείᾳ καὶ παραγωγῇ πολεμήσειν οἰόμενος, ἀλλὰ καθ' ἡσυχίαν ἐπορεύετο πρὸς τὸν Τιγράνην. Καὶ πρῶτον μὲν ὀλίγοις τῶν Ἀρμενίων ἐντυχὼν καθ' ὁδὸν ἐπτοημένοις καὶ περιφόβοις ἀπιοῦσιν εἶκασε τὸ πάθος, εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἀπαντώντων πυθόμενος τὴν ἧτταν ἐζήτει τὸν Τιγράνην. (2) Εὑρὼν δὲ πάντων ἔρημον καὶ ταπεινὸν οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη θεραπείαν τε τὴν ἐπομένην αὐτῷ βασιλικὴν ἔδωκε καὶ κατεθάρρυνε πρὸς τὸ μέλλον. Οὗτοι μὲν οὖν αὖθις ἑτέρας δυνάμεις συνῆγον. (3) Ἐν δὲ τῇ πόλει τοῖς Τιγρανοκέρτοις τῶν Ἑλλήνων πρὸς e

duxit, mandato suis, ne pilis uterentur, sed statim gladiis femora et tibias hostium (hæc enim sola armis nuda sunt cataphracto) ferirent. (6) Sed nihil eo pugnæ genere opus habuit. Non enim excepit Romanos hostis, sed clamore sublato, turpissima fuga se atque equos graves in peditatum conjecit, antequam is pugnæ initium fecisset. Quo factum est ut nullo vulnere, nullo sanguine facto multa ista millia vincerentur. (7) Magna fugientium cædes fuit, aut verius fugam molientium: nam ob ordinum densitatem atque altitudinem ipsi sese mutuo impediebant. (8) Tigranes initio cum paucis provectus fugit: filiumque cernens eadem uti fortuna, diadema capiti detraxit, eique flens porrexit, jubens ut qua posset alia via insisteret, suæque saluti consuleret. Adolescens se redimire eo non ausus, famulorum uni, quem maxime fidum habebat, asservandum tradidit. is forte fortuna captus, et ad Lucullum est adductus; ita cum ceteris etiam Tigranis diadema captum est. (9) Ferunt supra centum millia peditum ea clade absumpta, equitum perpaucos admodum evasisse. Ex Romanis vulnerati sunt centum, amissi quinque. (10) Antiochus philosophus in volumine de Diis pugnæ hujus mentionem faciens, nullam hujus similem a sole conspectam fuisse affirmat. (11) Strabo, et ipse philosophus, in historicis commentariis ait, Romanos sui tum puduisse, seque ipsos derisisse, qui armis contra talia mancipia opus habuissent. (12) Livius scribit, nunquam Romanos adeo numero inferiores hostibus, signis collatis dimicasse: nam victores victis comparati, ne vigesimam quidem partem explevissent. (13) Romanorum vero præstantissimi belloque exercitatissimi duces id in Lucullo maxime laudaverunt, quod duos maximos illustrissimosque reges duabus diversissimis artibus, celeritate nimirum et tarditate, vicisset. Mithridatem enim florentem bellum terendo confecit, Tigranem celeritate attrivit; fuitque ei hoc cum paucis ejus tempestatis ducibus commune, quod cunctatione in re gerenda, audacia ad se tuendum usus est.

XXIX. Et hæc ipsa Mithridati causa fuit, cur non ad pugnam festinaret, quod Lucullum caute ut semper et cunctanter acturum crederet. Itaque lente ad eum accedens, primum quum in Armenios quosdam metu perculsos in via incidisset, qui tum domum se recipiebant, conjecit cladem acceptam; post pluribus jam nudis sauciisque occurrentibus, certior de clade factus, Tigranem quæsivit. (2) Quem ut destitutum plane abjectumque reperit, non profecto vicissim ei insultavit, sed equo descendit communemque fortunam deplorans, regium ei suum comitatum adjunxit, speque futurorum consolatus est. Proinde hi novis copiis contrahendis intenti erant. (3) Interim Lucullus Tigranocerta, Græcis urbem Lucullo ob discordiam cum barbaris ortam traden-

τοὺς βαρβάρους στασιασάντων καὶ τῷ Λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων προσβαλὼν εἷλε· καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε, τὴν δὲ πόλιν διαρπάσαι παρέδωκε τοῖς στρατιώταις μετὰ τῶν ἄλλων χρημάτων ὀκτακισχίλια τάλαντα νομίσματος ἔχουσαν. Χωρὶς δὲ τούτων ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν ἀπὸ τῶν λαφύρων. (4) Πυνθανόμενος δὲ πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, οὓς ὁ Τιγράνης πανταχόθεν ἠθροίκει μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. (5) Τοὺς δ' Ἕλληνας εἰς τὰς αὐτῶν πατρίδας ἔπεμψε, προσθεὶς ἐφόδια, καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν, ὥστε συνέβη μιᾶς πόλεως διαλυθείσης πολλὰς ἀνοικίζεσθαι πάλιν κομιζομένας τοὺς αὐτῶν οἰκήτορας, ὑφ' ὧν ὡς εὐεργέτης ὁ Λούκουλλος καὶ κτίστης ἠγαπᾶτο. (6) Προὐχώρει δὲ καὶ τἆλλα κατ' ἀξίαν τἀνδρὶ τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ὀρεγομένῳ μᾶλλον ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. (7) Ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ στρατιὰ καὶ τὸ πλεῖστον ἡ τύχη μετεῖχε, ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπίδειξις, οἷς ὁ Λούκουλλος τότε χωρὶς ὅπλων ἐχειροῦτο τοὺς βαρβάρους. (8) Καὶ γὰρ Ἀράβων βασιλεῖς ἦκον πρὸς αὐτὸν ἐγχειρίζοντες τὰ σφέτερα καὶ τὸ Σωφηνῶν ἔθνος προσεχώρει· τὸ δὲ Γορδυηνῶν οὕτω διέθηκεν, ὥστε βούλεσθαι τὰς πόλεις ἐκλιπόντας ἀκολουθεῖν ἐκείνῳ μετὰ παίδων καὶ γυναικῶν ἑθελοντὰς ἐξ αἰτίας τοιᾶσδε. (9) Ζαρβιηνὸς γὰρ ὁ τῶν Γορδυηνῶν βασιλεὺς, ὥσπερ εἴρηται, δι' Ἀππίου κρύφα Λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν Τιγράνου τυραννίδα βαρυνόμενος· μηνυθείς δ' ἀπεσφάγη καὶ παῖδες αὐτοῦ καὶ γυνὴ συναπώλοντο πρὶν ἢ Ῥωμαίους εἰς Ἀρμενίαν ἐμβαλεῖν. (10) Τούτων οὐκ ἠμνημόνησεν ὁ Λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν Γορδυηνῶν, ταφὰς προὔθετο τοῦ Ζαρβιηνοῦ καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ Τιγράνου κοσμήσας λαφύροις αὐτὸς παρὼν ὑφῆψε καὶ χοὰς ἐπήνεγκε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς ἑταῖρον ἑαυτοῦ καὶ Ῥωμαίων σύμμαχον ἀνακαλούμενος. (11) Ἐκέλευσε δὲ καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι· πάμπολλα γὰρ εὑρέθη καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς τοῦ Ζαρβιηνοῦ βασιλείοις, σίτου δ' ἀπέκειντο μυριάδες τριακόσιαι μεδίμνων, ὥστε καὶ τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ τὸν Λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν ἐκ τοῦ δημοσίου ταμιείου μὴ λαβὼν αὐτὸν ἐξ αὐτοῦ διώκει τὸν πόλεμον.

XXX. Ἐνταῦθα καὶ παρὰ τοῦ Πάρθων βασιλέως ἦκε πρεσβεία παρ' αὐτὸν εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. Ἦν δ' ἀσμένῳ ταῦτα τῷ Λουκούλλῳ· καὶ πάλιν ἀντέπεμψε παρ' ἑαυτοῦ πρεσβείαν πρὸς τὸν Πάρθον, οἳ κατεφώρασαν αὐτὸν ἐπαμφοτερίζοντα τῇ γνώμῃ καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ Τιγράνῃ τὴν Μεσοποταμίαν. (2) Ὡς οὖν ταῦθ' ὁ Λούκουλλος ἤσθετο, Τιγράνην μὲν ἔγνω καὶ Μιθριδάτην παρελθεῖν ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶ-

tibus, admoto exercitu cepit, thesaurisque qui in urbe erant receptis, urbem diripiendam militibus dedit, in qua præter ceteras opes, octo millia talentorum nomismatis reperta sunt. Præter hæc octingentos viritim denarios de manubiis divisit. (4) Et quum audivisset multos in urbe histriones relictos, quos Tigranes ad edendos in theatro a se dedicando ludos undique conduxerat, illis ad ludos et spectacula pro victoria exhibita usus est. (5) Græcos viaticis donatos in patrias suas dimisit, itemque barbaros, qui eo coacti commigraverant: unde factum est ut una ab urbe disjecta multæ suis recuperatis civibus iterum habitari cœperint, atque hæ benefactorem suum conditoremque Lucullum coluerunt. (6) Reliqua etiam ita successerunt, uti dignum erat viro laudes justitia et humanitate potius quam bellica gloria sectanti. (7) Quippe illarum partem haud exiguam exercitus, maximam fortuna sibi vindicabat; hæ animum mansuetum probeque institutum ostendebant, iisque tum Lucullus citra armorum usum barbaros subegit. (8) Nam et Arabum reges ad eum venerunt se suaque ipsi dedentes, et Sopheni se ipsi adjunxerunt: Gordyenos quoque ita affecit, ut urbibus desertis sponte sua ipsum cum uxoribus et liberis sequi voluerint. Cujus rei hæc fuit causa. (9) Zarbienus, Gordyenorum rex, Tigranis tyrannidem non ferens, clam Appii, ut demonstravimus, opera cum Lucullo de societate egerat; is, re ad Tigranem delata, antequam in Armeniam Romani pervenissent, cum uxore et liberis jugulatus fuit. (10) Hæc non oblitus Lucullus in Gordyenam profectus est; Zarbieno funus fecit rogumque veste et auro regali pompa et spoliis Tigranis exornatum ipse succendit, libavitque ejus manibus ipse, Zarbieni necessariis præsentibus, socium eum populi Romani amicumque appellans. (11) Jussit et monumentum ei pretiosissimum exstrui; nam in regia Zarbieni magna vis auri argentique reperta fuit et ter millies mille medimni frumenti, ut et milites præda ditaverit et admirationi Lucullus fuerit, qui ne denarium quidem ex ærario publico sumens, bellum bello partis opibus gereret.

XXX. Venit eodem et a rege Parthiæ legatio, ad societatem et amicitiam provocans. Gratum id Lucullo fuit, et ipse vicissim suos ad regem legatos misit, qui eum in utramque partem inclinare et clam auxilii præmium Mesopotamiam a Tigrane petere deprehenderunt. (2) Ea re cognita, Lucullus statuit, Mithridate et Tigrane, ut jam de victoria concedentibus, omisso, Parthorum vires facta in eos expedi-

σθαι δὲ τῆς Πάρθων δυνάμεως καὶ στρατεύειν ἐπ' αὐτούς, καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου τρεῖς ἐφεξῆς ὥσπερ ἀθλητὴς βασιλεῖς καταπαλαῖσαι καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμονιῶν ἀήττητος καὶ νικῶν διεξελθεῖν. (3) Ἔπεμψεν οὖν εἰς Πόντον τοῖς περὶ Σωρνατίον ἡγεμόσιν ἐπιστείλας ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτόν, ὡς ἐκ τῆς Γορδυηνῆς ἀναβησόμενος. (4) Οἱ δὲ καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώτας, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν, οὐδενὶ τρόπῳ πειθοῦς οὐδ' ἀνάγκης εὑρόμενοι προσαγαγέσθαι μαρτυρομένους καὶ βοῶντας, ὡς οὐδ' αὐτόθι μενοῦσιν, ἀλλ' οἰχήσονται τὸν Πόντον ἔρημον ἀπολιπόντες. (5) Ταῦτα πρὸς Λούκουλλον ἀπαγγελθέντα καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας, ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν καὶ σχολῆς δεομένους, ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παῤῥησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν καὶ μιμητέον αὐτοὺς ἔφασαν εἶναι· πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι.

XXXI. Τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ Λούκουλλος τὴν ἐπὶ Πάρθους στρατείαν ἀφῆκεν, αὖθις δ' ἐπὶ τὸν Τιγράνην ἐβάδιζε θέρους ἀκμάζοντος. (2) Καὶ τὸν Ταῦρον ὑπερβαλὼν ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων· τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. (3) Οὐ μὴν ἀλλὰ καταβὰς καὶ δὶς ἢ τρὶς ἀνατολμήσαντας ἐπ' αὐτὸν τοὺς Ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας καὶ τὸν παρεσκευασμένον τῷ Τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. (4) Ἐπεὶ δὲ προκαλούμενος εἰς μάχην αὐτούς, περιταφρεύων τὸν χάρακα καὶ πορθῶν ἐν ὄψει τὴν χώραν, οὐκ ἐκίνει πεπληγότας πολλάκις, ἀναστὰς ἐβάδιζεν ἐπ' Ἀρτάξατα τὸ Τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτῷ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν, οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προήσεσθαι τὸν Τιγράνην. (5) Λέγεται δ' Ἀννίβαν τὸν Καρχηδόνιον, Ἀντιόχου καταπολεμηθέντος ὑπὸ Ῥωμαίων, μεταβάντα πρὸς Ἀρτάξαν τὸν Ἀρμένιον ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρησίμων καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον καὶ ἥδιστον ἀργοῦντα καὶ παρορώμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι καὶ τὸν Ἀρτάξαν ἐπαγαγόντα δεῖξαι καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. (6) Ἡσθέντος δὲ τοῦ βασιλέως καὶ δεηθέντος ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως μητρόπολιν ἀποδειχθῆναι τῆς Ἀρμενίας. (7) Ἐπὶ ταύτην τοῦ Λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο Τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβὼν ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς Ῥωμαίοις ἐν μέσῳ λαβὼν τὸν Ἀρσανίαν ποταμόν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς Ῥωμαίοις τὴν ἐπ' Ἀρταξάτων πορευομένοις. (8) Θύσας δὲ τοῖς θεοῖς Λούκουλλος, ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατὸν ἐν δώδεκα σπείραις προτεταγμέναις, ταῖς δ' ἄλλαις ἐπιτεταγμέναις πρὸς τὰς

tione experiri : præclarum existimans, si uno belli impetu tres deinceps reges sicut athleta vicisset invictusque et quidem victor cum tribus toto orbe terrarum potentissimis regibus depugnasset. (3) Eo consilio in Pontum misit ad Sornatium reliquosque præfectos, mandans eis ut sibi per Gordyenen ascendenti cum exercitu obviam venirent. (4) Ibi demum militum, qui jam pridem intractabiles se imperiaque obtrectantes præbuerant, plane detecta est protervitas, quum neque monendo neque vi ad officium a præfectis adduci possent, sed testarentur clamarentque, se ne in Ponto quidem mansuros, verum deserto regno abituros. (5) Hæc ut Lucullo sunt renuntiata, istos quoque milites corruperunt, qui jam ante divitiis et luxu perditi quum militiam detrectarent atque otium quærerent, postquam de alterorum libertate compererunt, viros eos dixerunt eorumque exemplo agendum : multis enim se jam salutem et requiem meruisse factis.

XXXI. Hi et alii etiam deteriores sermones ubi ad Lucullum delati sunt, expeditionem in Parthos dimisit, et æstate vigente, rursum contra Tigranem duxit. (2) Superato Tauro quum vidisset jam primum virere campos (ut ob aeris frigiditatem eæ regiones tardius æstatem habent), indoluit. (3) Descendit tamen et bis terve ausis congredi Armenis fusis, libere pagos populatus est, frumentumque Tigrani convectum auferens, penuriam, a qua ipse sibi metuerat, hostibus induxit. (4) Ceterum ubi provocando ad pugnam, castra eorum munitionibus cingendo, inque ipsorum conspectu agros vastando, Armenios toties ictos elicere non potuit, motis castris Artaxata petiit, regiam Tigranis, ubi et liberi ejus infantes et legitimæ uxores erant, ratus ea nequaquam Tigranem capi non tentato Marte passurum. (5) Ferunt Hannibalem Carthaginiensem, quum Antiocho a Romanis debellato ad Artaxam Armenium venisset, quum alia multa utilia docuisse, tum regionis ejus opportunissimo loco conspecto et amœnissimo, qui otiosus tum neglectusque jacebat, urbis in eo figuram descripsisse, eamque Artaxæ eo adducto monstrasse et ut urbem ibi conderet, auctorem fuisse. (6) Regi id pergratum fuisse et ab Hannibale uti ædificationi præesset impetravisse : itaque urbem miræ et magnitudinis et pulchritudinis conditam, a rege nomen habuisse et totius Armeniæ caput constitutam. (7) Hanc tum Lucullo petente, non continuit se Tigranes, sed assumpto exercitu quartis castris ad Arsaniam fluvium pervenit, quem transire Romanos ad Artaxata accessuros oportebat; ibi castra castris opposuit. (8) Lucullus quum rem divinam veluti certus victoriæ fecisset, exercitum trajecit, præmissis duodecim cohortibus, totidemque, ne ab hostibus circum-

κυκλώσεις τῶν πολεμίων. (9) Πολλοὶ γὰρ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι, πρὸ δ' αὐτῶν ἱπποτοξόται Μάρδοι καὶ λογχοφόροι Ἴβηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίστευεν ὡς μαχιμωτάτοις. (10) Οὐ μὴν ἐπράχθη τι λαμπρὸν ἀπ' αὐτῶν, μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ' ἑκατέρωσε τῆς φυγῆς σχισθέντες ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. (11) Ἅμα δὲ τῷ τούτους διασπαρῆναι τῶν περὶ τὸν Τιγράνην ἐξιππασαμένων ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ Λούκουλλος ἔδεισε. Καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ' αὐτὸς ἀντέστη τοῖς Ἀτροπατηνοῖς κατ' αὐτὸν οὖσι μετὰ τῶν ἀρίστων, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν φοβήσας ἐτρέψατο. (12) Τριῶν δ' ὁμοῦ παρατεταγμένων βασιλέων αἴσχιστα δοκεῖ φυγεῖν ὁ Ποντικὸς Μιθριδάτης οὐδὲ τὴν κραυγὴν τῶν Ῥωμαίων ἀνασχόμενος. (13) Γενομένης δὲ τῆς διώξεως μακρᾶς καὶ δι' ὅλης νυκτὸς οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες ἀπεῖπον οἱ Ῥωμαῖοι. (14) Φησὶ δ' ὁ Λιούιος ἐν μὲν τῇ προτέρᾳ μάχῃ πλείονας, ἐν δὲ ταύτῃ γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων.

XXXII. Ἐκ τούτου Λούκουλλος μὲν ἐπηρμένος καὶ τεθαρρηκὼς ἄνω προάγειν διενοεῖτο καὶ καταστρέφεσθαι τὸν βάρβαρον· ὥρᾳ δ' ἰσημερίας φθινοπωρινῆς οὐκ ἂν ἐλπίσαντι χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖστα κατανείφοντες, ἐν δὲ ταῖς αἰθρίαις πάχνην ἐπιφέροντες καὶ πάγον, ὑφ' οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι διὰ ψυχρότητος ὑπερβολὴν, χαλεπαὶ δ' αὐτῶν αἱ διαβάσεις ἐκρηγνυμένου τοῦ κρυστάλλου καὶ διακόπτοντος τὰ νεῦρα τῶν ἵππων τῇ τραχύτητι. (2) Τῆς δὲ χώρας ἡ πολλὴ συνηρεφὴς οὖσα καὶ στενόπορος καὶ ὑλώδης ἀεὶ καθύγραινεν αὐτοὺς χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις καὶ κακῶς ἐν τόποις ψυχροτέροις νυκτερεύοντας. (3) Οὐ πολλὰς οὖν ἡμέρας ἀκολουθήσαντες τῷ Λουκούλλῳ μετὰ τὴν μάχην ἠναντιοῦντο, πρῶτον δεόμενοι καὶ τοὺς χιλιάρχους προσπέμποντες, ἔπειτα θορυβωδέστερον συνιστάμενοι καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες, ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. (4) Καίτοι πολλὰ προσελιπάρει Λούκουλλος ἀξιῶν αὐτοὺς μακροθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς, ἄχρις οὗ τὴν ἐν Ἀρμενίοις Καρχηδόνα λαβόντες ἀνδρὸς ἐχθίστου, τὸν Ἀννίβαν λέγων, ἔργον ἀνατρέψωσιν. (5) Ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν Ταῦρον εἰς τὴν λεγομένην Μυγδονικὴν κατέβαινε χώραν πάμφορον καὶ ἀλεεινὴν καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν, ἣν οἱ μὲν βάρβαροι Νίσιβιν, οἱ δ' Ἕλληνες Ἀντιόχειαν Μυγδονικὴν προσηγόρευον. (6) Ταύτην εἶχεν ἀξιώματι μὲν ἀδελφὸς Τιγράνου Γούρας, ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ Καλλίμαχος ὁ καὶ περὶ Ἀμισὸν πλεῖστα πράγματα Λουκούλλῳ παρασχών. (7) Βαλόμενος δὲ

venirentur, in subsidium retentis. (9) Etenim multi equites et delecti milites erant oppositi atque ante hos Mardi equites sagittarii et hastati Iberi, quibus utpote pugnacissimis inter peregrinos maxime fidebat Tigranes. (10) Neque tamen ullum ab his præclarum est facinus editum: quum parumper cum Romanis equitibus decertassent, pedites invadentes non sustinuerunt, sed in diversas partes fugientes equitibus insequendi occasionem præbuerunt. (11) His dissipatis, Tigranis cum suo equitatu provehentis splendore atque multitudine territus Lucullus, equites ab insecutione hostium revocavit et primus ipse Atropatenos, qui cum præstantissimis militum manu proximi erant, invasit, eosque ipso terrore, antequam manum consereret, fugavit. (12) Ibi quum tres reges simul contra Lucullum in acie starent, turpissime omnium fertur fugisse Mithridates, qui ne clamorem quidem Romanorum sustineret. (13) Insequendo hostem et per totam eam noctem non cædendo tantum, sed et captivos abducendo et pecuniam spoliaque congerendo Romani defatigati sunt. (14) Livius priori pugna plures, hac nobiliores hostium captos cæsosque dicit.

XXXII. Auctus exinde animo fiduciaque Lucullus, pergere in superiores regiones planeque evertere opes barbari statuit. Verum circa æquinoctium autumnale gravis tempestas necopinato incidit, pleraque nive obruens et sereno cœlo pruinam glaciemque dejiciens: itaque et potu difficiles ob frigus immodicum equis fluvii reddebantur et transitu, quum perrupta glacies asperitate sua nervos eorum dissecaret. (2) Pleræque etiam regionis ejus partes, ut erant nemorosæ, arctæ saltuosæque, subinde milites nive decussa in itineribus madefaciebant et in udis locis pernoctantes affligebant. (3) Itaque diebus haud multis a pugna Lucullum secuti expeditionem deprecabantur, primum missis tribunis supplicantes, mox tumultuosius congressi, per castra noctu clamore sublato, indice defectionem spectantis exercitus. (4) Lucullus quum eos multis esset cohortatus ad patientiam, utque tantisper durarent, dum Carthagine in Armenia capta, infensissimi hominis (Hannibalem ita vocabat) opus delerent. (5) Postquam nihil obtinuit, retro eos abduxit aliisque in jugis Taurum transgressus, in Mygdoniam descendit, regionem fertilem apricamque et in qua urbs erat magna atque populosa, quam barbari Nisibin, Antiocheam Mygdonicam Græci nominabant. (6) Hanc obtinebat imperio Guras Tigranis frater, arte autem et peritia machinarum Callimachus, qui et apud Amisum plurimum Lucullo exhibuerat negotii. (7) Quam

στρατόπεδον καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. (8) Καὶ Γούρα μὲν ἑαυτὸν ἐγχειρίσαντι φιλανθρώπως ἐχρήσατο, Καλλιμάχῳ δὲ ὑπισχνουμένῳ θήκας ἀποῤῥήτους μεγάλων χρημάτων ἀνακαλύψειν οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι δίκην ὑφέξοντα τοῦ πυρὸς, ᾧ τὴν Ἀμισηνῶν διαλυμηνάμενος πόλιν ἀφείλετο φιλοτιμίαν αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς Ἕλληνας.

XXXIII. Μέχρι τοῦδε φαίη τις ἂν Λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν. Ἐντεῦθεν δ' ὥσπερ πνεύματος ἐπιλιπόντος προσβιαζόμενος πάντα καὶ παντάπασιν ἀντικρούων ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγαθοῦ, δόξαν δὲ καὶ χάριν οὐδεμίαν αἱ πράξεις ἔσχον, ἀλλὰ καὶ τὴν προϋπάρχουσαν ἐγγὺς ἦλθε δυσπραγῶν καὶ διαφερόμενος μάτην ἀποβαλεῖν. (2) Τῶν δ' αἰτιῶν αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέσχεν, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον ἀρχῆς ἀτιμίαν καὶ κατάλυσιν ἡγούμενος· τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκὼς, ἀλλὰ πάντων καταφρονῶν καὶ μηδενὸς ἀξίους πρὸς αὐτὸν ἡγούμενος. (3) Ταῦτα γὰρ ὑπάρξαι Λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς· καὶ γὰρ μέγας καὶ καλὸς καὶ δεινὸς εἰπεῖν καὶ φρόνιμος ὁμαλῶς ἐν ἀγορᾷ καὶ στρατοπέδῳ δοκεῖ γενέσθαι. (4) Σαλούστιος μὲν οὖν φησι χαλεπῶς διατεθῆναι τοὺς στρατιώτας πρὸς αὐτὸν εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς Κυζίκῳ καὶ πάλιν πρὸς Ἀμισῷ δύο χειμῶνας ἑξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. Ἡνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. Ἡ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον ἢ παρὰ τοῖς συμμάχοις ὕπαιθροι σκηνοῦντες, εἰς δὲ πόλιν Ἑλληνίδα καὶ φίλην οὐδ' ἅπαξ εἰσῆλθε μετὰ στρατοπέδου Λούκουλλος. (5) Οὕτω δὲ διακειμένοις αὐτοῖς τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς Ῥώμης οἱ δημαγωγοὶ προφάσεις φθόνῳ τοῦ Λουκούλλου κατηγοροῦντες ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἕλκοντος τὸν πόλεμον καὶ μονονοὺ κατέχοντος ἐν ταὐτῷ Κιλικίαν, Ἀσίαν, Βιθυνίαν, Παφλαγονίαν, Γαλατίαν, Πόντον, Ἀρμενίαν, τὰ μέχρι Φάσιδος, νῦν δὲ καὶ τὰ Τιγράνου βασίλεια πεπορθηκότος, ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς, οὐ καταπολεμῆσαι πεμφθέντος. (6) Τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν στρατηγῶν Λεύκιον Κόϊντον, ὑφ' οὗ μάλιστα πεισθέντες ἐψηφίσαντο πέμπειν διαδόχους τῷ Λουκούλλῳ τῆς ἐπαρχίας· ἐψηφίσαντο δὲ καὶ τῶν ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι στρατείας.

XXXIV. Τούτοις δὲ τηλικούτοις οὖσι προσγίνεται τὸ μάλιστα Λουκούλλῳ διειργασμένον τὰς πράξεις, Πόπλιος Κλώδιος, ἀνὴρ ὑβριστὴς καὶ μεστὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. Ἦν δὲ τῆς Λουκούλλου γυναικὸς ἀδελφὸς, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν ἀκολαστοτάτην οὖσαν. (2) Τότε δὲ τῷ Λουκούλλῳ συστρατεύων οὐχ ὅσης αὐτὸν ἠξίου τιμῆς ἐτύγχανεν· ἠξίου

obsidione quum cinxisset et omne genus oppugnandi tentasset, brevi temporis spatio expugnavit. (8) Ac Gura sese dedente humaniter usus, Callimacho magnam vim reconditæ pecuniæ monstraturum se pollicenti non gessit morem, sed in compedibus jussit avehi, daturum pœnas incendii Amiseni, qua urbe vastata Lucullo suæ liberalitatis humanitatisque Græcis demonstrandæ occasionem præripuerat.

XXXIII. Hactenus in bello gerendo adfuisse Lucullo fortunam haud inepte quispiam dixerit. Ex illo autem, quasi vento secundo concidente, vi omnia agens et ubique offendens, virtutem sane et æquanimitatem bono duce dignam ostendit, gloria tamen et gratia actiones caruerunt: parumque abfuit quin frustra et infeliciter laborando partam quoque jam ante gloriam amitteret. (2) Cui ipse rei haud minimam causam præbuit, a colenda multitudine militari alienus, idque omne ad dedecus et interitum magistratus spectare existimans, quod in gratiam subditorum fieret et, quod maximi fuit momenti, ne cum potentibus quidem et dignitate paribus conveniens, sed omnes contemnens et nihili præ se faciens. (3) His inter tot virtutes Lucullus vitiis laborasse dicitur, cetera magnus, honestus facundusque et prudens domo militiæque habitus. (4) Sallustius auctor est, initio statim belli milites odium adversus eum concepisse, quum eos apud Cyzicum rursumque apud Amisum duas continuas hiemes in hibernis in castris continuisset. Reliquæ etiam hiemes molestia eos afficiebant, partim in hostico, partim apud socios sub cælo exactæ, nec unquam in sociam aut Græcam urbem cum exercitu Lucullus intraverat. (5) Hoc modo affectis militibus, maximas in urbe tribuni plebis occasiones præbuerunt, invidia Luculli calumniantes, eum imperii opumque cupiditate ductum bellum trahere atque interea tantum non possidere Ciliciam, Asiam, Bithyniam, Paphlagoniam, Galatiam, Pontum, Armeniam, et usque ad Phasin porrectas regiones: nunc etiam regiam Tigranis diripuisse, perinde ac si non ad debellandos, sed spoliandos reges missus esset. (6) Hæc enim sunt quæ tribunorum plebis unus L. Quinctius dictitasse traditur. Hunc maxime auctorem habuit populus Lucullo provinciæ successorem decernendi, multosque qui sub eo militabant exauctorandi.

XXXIV. Accessit ad hæc incommoda id quod potissimum res Luculli perdidit, P. Clodius, homo petulans, omnisque superbiæ et ferociæ plenus, frater uxoris Luculli, cum qua et incestam consuetudinem, ut erat impudicissima, habere ferebatur. (2) Luculli in castris eo tempore erat. Is quum non in tanto, quantum sibi poscebat, honore haberetur (primus enim haberi cupiens, multis ob morum per-

δὲ πρῶτος εἶναι, καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον ὑποικούρει τὴν Φιμβριανὴν στρατιὰν καὶ παρώξυνε κατὰ τοῦ Λουκούλλου λόγους χρηστοὺς εἰς οὐκ ἄχοντας οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι διαδιδούς. (3) Οὗτοι γὰρ ἦσαν, οὓς καὶ πρότερον ἀνέπεισε Φιμβρίας ἀποκτείναντας τὸν ὕπατον Φλάκκον αὐτὸν ἑλέσθαι στρατηγόν. Διὸ καὶ τὸν Κλώδιον ἡδέως ἐδέχοντο καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγαναχτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι, πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον, οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς Λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους ἐκπωμάτων χρυσῶν καὶ διαλίθων γεμούσας, οἱ δὲ Πομπηίου στρατιῶται δῆμος ὄντες ἤδη που μετὰ γυναικῶν καὶ τέκνων κάθηνται γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ Μιθριδάτην καὶ Τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας οὐδὲ τῆς Ἀσίας τὰ βασίλεια καταῤῥίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν Ἰβηρίᾳ καὶ δραπέταις ἐν Ἰταλίᾳ πολεμήσαντες. « Τί οὖν, εἰ δεῖ μηδέποτε παύσασθαι στρατευομένους, οὐχὶ τοιούτῳ στρατηγῷ καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσομεν, ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος ὁ τῶν στρατευομένων πλοῦτος; » (4) Τοιαύταις αἰτίαις τὸ Λουκούλλου στράτευμα διαφθαρὲν οὔτ' ἐπὶ Τιγράνην ἠκολούθησεν οὔτ' ἐπὶ Μιθριδάτην εὐθὺς ἐξ Ἀρμενίας εἰς Πόντον ἐμβαλόντα καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα, πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι περὶ τὴν Γορδυηνὴν διέτριβον ὅσον οὔπω Πομπήιον ἢ τιν' ἄλλον τῶν ἡγεμόνων Λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες.

XXXV. Ἐπεὶ δὲ Μιθριδάτης ἤγγελτο Φάβιον νενικηκὼς ἐπὶ Σωρνάτιον καὶ Τριάριον βαδίζειν, αἰσχυνθέντες εἵποντο τῷ Λουκούλλῳ. (2) Τριάριος δ' ὡς ἕτοιμον ἁρπάσαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον ἐγγὺς ὄντα, φιλοτιμούμενος ἡττᾶται μάχῃ μεγάλῃ. Λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους Ῥωμαίων ἀποθανεῖν, ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα, χιλίαρχοι δ' εἴκοσι καὶ τέσσαρες· τὸ δὲ στρατόπεδον εἷλε Μιθριδάτης. (3) Ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕστερον ἡμέραις Τριάριον μὲν ὑπὸ τῶν στρατιωτῶν ζητούμενον πρὸς ὀργὴν ἐξέκλεψε, Μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ Τιγράνην περιμένοντος ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω πρὶν ἀμφοτέρους συνελθεῖν πάλιν ἁπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν Τιγράνην. (4) Πορευομένῳ δ' αὐτῷ καθ' ὁδὸν οἱ Φιμβριανοὶ στασιάσαντες ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς στρατείας καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. (5) Οὐδὲν οὖν ἐστιν ὅ τι τῶν παρ' ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν ἀντιβολῶν καθ' ἕνα καὶ κατὰ σκηνὰς περιιὼν ταπεινὸς καὶ δεδακρυμένος, ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. Οἱ δ' ἀπετρίβοντο τὰς δεξιώσεις καὶ κενὰ προσεῤῥίπτουν βαλάντια καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον, ἀφ' ὧν μόνος ἠπίστατο πλουσιώτερος.

versitatem postponebatur), Fimbrianos milites occulte sollicitavit et contra Lucullum incitavit, sermones apud homines quibus dicendo pellici neque invitis neque insuetis erat, gratos spargens. (3) Erant hi milites, qui ante Fimbriam sibi persuadere passi fuerant, uti Flacco consule cæso, ipsum ducem assumerent. Quare tunc quoque Clodium lætis animis acceperunt militumque amicum appellarunt : nimirum qui se vicem eorum dolere simularet, nullum bellorum laborumque tantorum finem reperientium, sed contra omnes populos dimicando, omnes terras penetrando vitam terentium, nullum ejus militiæ præmium dignum ferentium, tantum Luculli currus et camelos aureis et gemmatis poculis refertos comitantium. At vero, dicebant, Pompeiani milites bello defuncti cum uxoribus et liberis suis jam Romæ sedent, terram felicem possidentes inque urbibus habitantes, non Mithridate et Tigrane in vastas solitudines compellendis, neque regias Asiæ evertendo, sed exsulibus in Hispania et fugitivis in Sicilia debellatis otium nacti. Quorsum ergo, inquit, attinet nos nullum militiæ finem facere? Quin nos quod reliquum est corporum animorumque ei reservamus duci, cui nullum pulchrius decus esse videtur, quam ditare milites? (4) His criminationibus corruptus exercitus Lucullum neque contra Tigranem euntem sequi voluit, neque adversus Mithridatem, qui statim ex Armenia in Pontum irrumpens regnum suum recuperabat : sed hiemem causantes, in Gordyena morabantur, mox Pompeium aliumve Lucullo datum successorem adfuturum sperantes.

XXXV. Posteaquam renuntiatum est Mithridatem Fabio superato adversus Sornatium et Triarium tendere, pudore moti milites Lucullum secuti sunt. (2) At Triarius victoriæ gloriam Lucullo jam appropinquanti præripere cupiens, cum hoste congressus magnaque pugna victus est. Etenim ultra septem millia Romanorum cæsa dicuntur, inque his centum quinquaginta centuriones, quattuor et viginti tribuni militum, et castra Mithridates cepit. (3) Paucis post diebus Lucullus supervenit et Triarium ab iratis militibus quæsitum subduxit, Mithridate autem pugnam detrectante et Tigranem exspectante, qui jam magnis cum copiis adventabat, statuit prius quam ii rursus inter se conjungerentur, Tigrani occurrere et cum eo pugnare. (4) In itinere Fimbriani milites coitione facta a signis discesserunt, senatusconsulto se exauctoratos esse, neque Lucullum, aliis decreta provincia, cum imperio esse, præterea dicentes. (5) Nihil adeo indignum Lucullo fuit quod eo tempore non sustinuerit : singulos et circum tentoria iens universos tristi vultu ac lacrimans deprecatus est, nonnullos etiam prensavit. Milites autem dextram ejus a se rejicere, marsupia vacua projicere, solum jubere contra hostes pugnare, qui

τεῖν. (6) Οὐ μὴν ἀλλὰ τῶν ἄλλων στρατιωτῶν δεο-
516μένων ἐκβιασθέντες οἱ Φιμβριανοὶ συνέθεντο παρα- a
μεῖναι τὸ θέρος, ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ
κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. (7)
Ταῦτ' ἔδει στέργειν ἐξ ἀνάγκης τὸν Λούκουλλον ἢ
προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα.
Συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος οὐδὲ
προάγων πρὸς μάχην, ἀλλ' εἰ παραμένοιεν ἀγαπῶν καὶ
περιορῶν πορθουμένην ὑπὸ τοῦ Τιγράνου τὴν Καππα-
δοκίαν καὶ πάλιν ὑβρίζοντα Μιθριδάτην, ὃν αὐτὸς
ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι·
καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν
ἐν Πόντῳ πραγμάτων, ὡς δὴ βεβαίως ἐχομένων. (8)
Καὶ δὴ παρόντες ἑώρων οὐδ' αὐτοῦ κύριον, ἀλλὰ πα- b
ροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν στρατιωτῶν,
οἷς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας,
ὥστε τοῦ θέρους λήγοντος ἐνδύντες τὰ ὅπλα καὶ σπα-
σάμενοι τὰς μαχαίρας προεκαλοῦντο τοὺς μηδαμοῦ
παρόντας, ἀλλ' ἀπηρκότας ἤδη πολεμίους. Ἀλαλά-
ξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χά-
ρακος, ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον, ὃν
ὡμολόγησαν τῷ Λουκούλλῳ παραμένειν. (9) Τοὺς δ'
ἄλλους ἐκάλει διὰ γραμμάτων Πομπήιος· ἤδη γὰρ
ἀποδέδεικτο τοῦ πρὸς Μιθριδάτην καὶ Τιγράνην πολέμου c
στρατηγὸς χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημα-
γωγῶν, ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίστοις ἄδικα πά-
σχειν ἐδόκει Λούκουλλος οὐ πολέμου διαδόχους, ἀλλὰ
θριάμβου λαμβάνων οὐδὲ τῆς στρατηγίας ἀναγκαζόμε-
νος, ἀλλὰ τῶν ἐπάθλων τῆς στρατηγίας ἐξίστασθαι καὶ
παραχωρεῖν ἑτέροις.

XXXVI. Ἔτι δὲ μᾶλλον ἐφάνη τὸ γενόμενον τοῖς
ἐκεῖ παροῦσι νεμεσητόν. Οὔτε γὰρ τιμῆς ὁ Λούκουλ-
λος οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν, οὐδ'
εἶα τινὰ Πομπήιος βαδίζειν πρὸς αὐτὸν οὐδὲ προσέχειν d
οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων,
ἀλλ' ἐκώλυεν ἐκτιθεὶς διαγράμματα καὶ φοβερὸς παρὼν
ἀπὸ μείζονος δυνάμεως. (2) Ὅμως δὲ ἔδοξε τοῖς φίλοις
συναγαγεῖν αὐτούς· καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς
Γαλατίας καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως καὶ συν-
ήσθησαν ἐπὶ τοῖς κατωρθωμένοις ἑκατέρῳ, πρεσβύτερος
μὲν ὢν ὁ Λούκουλλος, ἀξίωμα δ' ἦν τὸ Πομπηίου μεῖζον
ἀπὸ πλειόνων στρατηγῶν καὶ δυεῖν θριάμβων. (3)
Ῥάβδοι δ' ἀμφοτέρων προηγοῦντο δαφνηφόροι διὰ τὰς
νίκας. Καὶ τοῦ γε Πομπηίου μικρὰν ὁδὸν διὰ τόπων
ἀνύδρων καὶ αὐχμηρῶν ὁδεύσαντος, τὰς δάφνας ξηρὰς
περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου e
ῥαβδοφόροι φιλοφρονούμενοι τοῖς ἐκείνου μετέδωκαν ἐκ
τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἐχόντες. Καὶ τὸ
γινόμενον εἰς οἰωνὸν ἐτίθεντο χρηστὸν οἱ Πομπηίου
φίλοι· τῷ γὰρ ὄντι τὴν ἐκείνου στρατηγίαν αἱ τούτου
πράξεις ἐκόσμησαν. (1) Ἐκ δὲ τῶν λόγων πρὸς οὐδὲν
ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλλον ἀλλοτριωθέντες
πρὸς ἀλλήλους ἀπῆλθον· καὶ τὰς ἀπὸ Λουκούλλου γε-
νομένας διατάξεις ἠκύρωσεν ὁ Πομπήιος, στρατιώτας

solus inde ditescere nosset. (6) Tandem reliquorum militum victi precibus, polliciti sunt ea æstate se cum Lucullo mansuros, atque ita, si nemo pugnaturus occurrisset, a militia liberos futuros. (7) Has conditiones necessitate compulsus accepit, ne destitutus regionem eam barbaris traderet; proinde non vi eos continuit neque ad prœlium duxit, contentus eos non discedere. Interim et Cappadociam a Tigrane vastari videre cogebatur Mithridatemque rursus ferocire, quem a se debellatum ipse senatui scripserat, jamque legati ad res Ponticas, ut plane confecto bello, componendas ei aderant. (8) Ii sane coram inspexere, Lucullum non Ponti modo, sed ne sui quidem esse compotem, qui ludibrio militibus haberetur atque contumelia afficeretur. Tanta enim ii in imperatorem petulantia abundabant, ut sub exitum æstatis arma induti, strictis gladiis hostes absentes procul jamque belli fessos provocarint, ac clamore militari sublato umbratilique pugna edita, ex castris discesserint, testati tempus, ad quod se Lucullo obstrinxissent, exiisse. (9) Reliquos per litteras ad se Pompeius vocabat, dux belli contra Mithridatem et Tigranem gratia populi et adulatione tribunorum plebis jamjam creatus. Enimvero gravi injuria affici Lucullum senatus optimique censebant, cui non bellum, sed triumphus a successore eriperetur, neque imperium, sed præmia rerum gestarum alii cogeretur tradere.

XXXVI. Auxit indignitatem rei apud præsentes, quod neque honorum neque suppliciorum militarium potestas Lucullo relinquebatur, neque quenquam ad eum accedere Pompeius sinebat, illiusve obtemperare edictis, quæ cum decem legatis fecerat; verum ipse edicto proposito id vetabat, terroremque ob majores quas secum habebat, copias incutiebat. (2) Effecerunt tamen amici, ut in pago quodam Galatiæ congrederentur. Amice ibi se consalutarunt, invicemque de rebus præclare gestis gratulati sunt. Lucullus natu major erat, Pompeii ob imperia plura duosque triumphos actos major dignitas. (3) Et quum utrique ob partas victorias fasces laureati præferrentur, Luculli lictores Pompeii lauros, ut longum iter per loca sicca et squalida erat profectus, exaruisse cernentes, honoris causa de suis lauris recentibus viridibusque largiti sunt: id quod boni ominis loco acceperunt Pompeiani. Et vero Pompeii imperium rebus gestis Luculli exornatum est. (4) Id tamen colloquium ad benevolentiam recolligendam nihil contulit, verum animis magis invicem abalienatis discesserunt. Pompeius Luculli constitutiones rescidit, milites etiam omnes

δὲ τοὺς ἄλλους ἀπαγαγὼν, μόνους αὐτῷ χιλίους ἑξακοσίους ἀπέλιπε συνθριαμβεύσοντας οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. (5) Οὕτω τις ἦν ἀφυὴς ἢ δυστυχὴς ὁ Λούκουλλος πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιστον· ὡς, εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης, οὐκ ἂν εἶχεν ἡ Ῥωμαίων ἡγεμονία τὸν Εὐφράτην τῆς Ἀσίας
517 ὅρον, ἀλλὰ τὰ ἔσχατα καὶ τὴν Ὑρκανίαν θάλασσαν, a τῶν μὲν ἄλλων ἐθνῶν Τιγράνῃ προηττημένων, τῆς δὲ Πάρθων δυνάμεως οὐχ ὅση κατὰ Κράσσον ἐξεφάνη τοσαύτης καὶ κατὰ Λούκουλλον οὔσης οὐδ' ὁμοίως συνεστώσης, ἀλλ' ὑπ' ἐμφυλίων καὶ προσοίκων πολέμων οὐδ' Ἀρμενίους ὑβρίζοντας ἐῤῥωμένης ἀμύνεσθαι. (6) Νῦν δέ μοι δοκεῖ Λούκουλλος ὢν ὠφέλησε δι' αὑτοῦ τὴν πατρίδα βλάψαι μείζονα δι' ἑτέρων. Τὰ γὰρ ἐν Ἀρμενίᾳ τρόπαια Πάρθων πλησίον ἑστῶτα καὶ Τιγρανόκερτα καὶ Νίσιβις καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς Ῥώμην κομισθεὶς καὶ τὸ Τιγράνου διάδημα πομπευθὲν αἰχμάλωτον ἐπῆρε Κράσσον ἐπὶ τὴν Ἀσίαν, ὡς λάφυρα b καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. (7) Ταχὺ μέντοι τοῖς Πάρθων τοξεύμασιν ἐντυχὼν ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὐτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XXXVII. Ὁ δὲ Λούκουλλος ἀναβὰς εἰς Ῥώμην πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν Μάρκον ὑπὸ Γαΐου Μεμμίου κατηγορούμενον ἐφ' οἷς ἔπραξε ταμιεύων Σύλλα προστάξαντος. (2) Ἐκείνου δ' ἀποφυγόντος, ἐπὶ τοῦτον αὐτὸν ὁ Μέμμιος μεταβαλόμενος παρώξυνε τὸν δῆμον καὶ ὡς πολλὰ νενοσφισμένῳ καὶ μηκύναντι c τὸν πόλεμον ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. (3) Ἐλθόντος δ' εἰς ἀγῶνα τοῦ Λουκούλλου μέγαν οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ μόλις ἔπεισαν τὸν δῆμον ἐπιτρέψαι θριαμβεῦσαι, οὐχ, ὥσπερ ἔνιοι, μήκει τε πομπῆς καὶ πλήθει τῶν κομιζομένων ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον, ἀλλὰ τοῖς μὲν ὅπλοις τῶν πολεμίων οὖσι παμποίκιλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι τὸν Φλαμίνειον ἱππόδρομον διεκόσμησε· καὶ θέα τις ἦν αὐτὴ καθ' ἑαυτὴν οὐκ εὐκαταφρόνητος, ἐν δὲ τῇ πομπῇ τῶν τε καταφράκτων ἱππέων ὀλίγοι καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον, ἑξήκοντα δὲ φίλοι καὶ στρατηγοὶ τῶν d βασιλικῶν, μακραὶ δὲ χαλκέμβολοι νῆες ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν, αὐτοῦ τε Μιθριδάτου χρύσεος ἑξάπους κολοσσὸς, καὶ θυρεός τις διάλιθος καὶ φορήματα εἴκοσι μὲν ἀργυρῶν σκευῶν, χρυσῶν δ' ἐκπωμάτων καὶ ὅπλων καὶ νομίσματος δύο καὶ τριάκοντα. (4) Ταῦτα μὲν οὖν ἄνδρες παρεκόμιζον· ἡμίονοι δ' ὀκτὼ κλίνας χρυσᾶς ἔφερον, ἓξ δὲ καὶ πεντήκοντα κεχωνευμένον ἀργύριον, ἄλλοι δ' ἑκατὸν ἑπτὰ νομίσματος ἀργυροῦ μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. (5) Ἐν δὲ δέλτοις ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ' αὐτοῦ Πομπηίῳ πρὸς τὸν πειρατικὸν πόλεμον

ademit, mille ac sexcentis tantum relictis, qui triumphantem comitarentur, qui ipsi quoque inviti eum secuti sunt. (5) Adeo ad id quod in regendo exercitu summum est, vel ingenium Lucullo, vel fortuna defuit, atque hoc unum si ad ceteras ejus viri tot tantasque virtutes accessisset, fortitudinem, diligentiam, prudentiam, justitiam, non equidem Euphrates Romani in Asia imperii terminus, sed extremitates et Hyrcanium mare fuisset, quippe et devicti jam reliqui a Tigrane populi erant, neque Parthorum, quanta Crasso bellum movente apparuit, potentia tanta fuit sub Lucullo, neque æque constituta, quum bellis civilibus finitimisque attriti, ne Armeniorum quidem insultus defenderent. (6) Nunc mihi Lucullus aliquanto plus per alios damni patriæ dedisse videtur, quam ipse profuerit. Tropæa enim in Armenia fixa, Parthis vicina, item Tigranocerta Nisibisque captæ, et opes inde amplæ Romam advectæ, captumque Tigranis diadema in triumpho invectum, Crassum cupiditate belli in Asia gerendi inflammarunt, barbaros nihil aliud quam prædam esse opinantem. (7) Tametsi mox ille Parthicas sagittas expertus ostendit non vecordia sua aut mollitie barbaros, sed se a Lucullo audacia et peritia victum. Verum de his post agemus.

XXXVII. Lucullus quum Romam pervenisset, primum Marcum fratrem offendit a C. Memmio ob res in quæstura sub Sylla gestas in jus vocatum. (2) Marco absoluto, in ipsum Lucium se convertit Memmius, eumque multa peculatum et bellum consulto traxisse clamitans, populum ne triumphum ei concederet irritavit. (3) Magnum aggresso certamen Lucullo, primi et potentissimi civium tribubus se permiscentes, multis precibus enixoque studio populum ad decernendum ei triumphum adegerunt. Fuit is Luculli triumphus, non, ut aliorum, longa pompa eorumque quæ inveherentur multitudine stupendus et amplus, sed armis hostium, quorum erat ingens copia, regiisque machinis Flamininum Circum exornavit: quod ipsum vel solum spectaculum haud parum splendoris habuit; in pompa autem, non ita multi equites cataphracti, decemque currus falcati ducti, ad hæc sexaginta regii amici atque duces, naves longæ æreis rostris aptæ centum et decem translatæ sunt, præterea Mithridatis colossus aureus sex pedes longus, clypeus gemmatus, item decem argenteorum poculorum feretra, aureorum, armorumque et nomismatis triginta duo. (4) Hæc viri gestabant. Muli porro octo lectos aureos portabant, quinquaginta et sex argento infecto onusti incedebant, alii centum et decem nomisma argentumque, cujus summa fuit circiter centies et octies sestertium. (5) In tabulis signata erat summa pecuniæ, quam ad bellum Pirati-

καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμιείου καὶ χωρὶς ὅτι στρατιώτης ἕκαστος ἐνακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. (6) Ἐπὶ τούτοις τήν τε πολιν εἱστίασε λαμπρῶς καὶ τὰς περιοικίδας κώμας, ἃς οὐίκους καλοῦσι.

XXXVIII. Τῆς δὲ Κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, Σερουιλίαν ἔγημεν, ἀδελφὴν Κάτωνος, οὐδὲ τοῦτον εὐτυχῆ γάμον. Ἐν γὰρ οὐ προσῆν αὐτῷ τῶν Κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή· τἄλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαστον ἠναγκάζετο φέρειν αἰδούμενος Κάτωνα, τέλος δὲ ἀπεῖπεν. (2) Ἐλπίδας δὲ θαυμαστὰς τῇ βουλῇ παρασχών, ὡς ἐχούσῃ τὸν ἄνδρα τοῦτον ἀντίταγμα πρὸς τὴν Πομπηίου τυραννίδα καὶ τῆς ἀριστοκρατίας πρόμαχον ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν, εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν εἴθ', ὡς φασιν ἔνιοι, μεστὸς ὢν δόξης καὶ πρὸς τὸ βᾶστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον ἐκ πολλῶν ἀγώνων καὶ πόνων
518 οὐκ εὐτυχέστατον τέλος λαβόντων. (3) Οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολὴν τὸ Μαρίου πάθος μὴ παθόντος, ὃς ἐπὶ ταῖς Κιμβρικαῖς νίκαις καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν οὐκ ἠθέλησεν αὐτὸν ἀνεῖναι τιμῇ τοσαύτῃ ζηλωτὸν, ἀλλ' ἁπληστίᾳ δόξης καὶ ἀρχῆς νέος ἀνδράσι γέρων ἀντιπολιτευόμενος εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων ἐξώκειλε· βέλτιον δ' ἂν καὶ Κικέρωνα γηρᾶσαι μετὰ Κατιλίναν ὑποστειλάμενον καὶ Σκηπίωνα Καρχηδόνι προσθέντα Νομαντίαν, εἶτα παυσάμενον· εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν· τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικοὺς οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀποπιπούσης ἐλέγχεσθαι. (4) Οἱ δὲ περὶ τὸν Κράσσον καὶ Πομπήιον ἐχλεύαζον τὸν Λούκουλλον εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὐτὸν, ὥσπερ οὐ τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ' ἡλικίαν ὄντος ἢ τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν.

XXXIX. Ἔστι δ' οὖν τοῦ Λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας, ἀναγνῶναι τὰ μὲν πρῶτα πολιτείας καὶ στρατηγίας, τὰ δ' ὕστερα πότους καὶ δεῖπνα καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. (2) Εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι καὶ οἰκοδομὰς πολυτελεῖς καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδὴν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος, ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν, ὅπου καὶ νῦν, ἐπίδοσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ Λουκουλλιανοὶ κῆποι τῶν βασιλικῶν ἐν τοῖς πολυτελεστάτοις ἀριθμοῦνται. (3) Τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι καὶ τροχοὺς θαλάσσης καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ Στωϊκὸς Τουβέρων θεασάμενος Ξέρξην αὐτὸν ἐκ τηβέννου

cum gerendum Pompeio dederat, et quam in aerarium publicum intulerat, et seorsum dati militibus singulis nongeni quinquageni denarii. (5) Post hæc et civibus epulum splendidum et vicis circumjacentibus præbuit.

XXXVIII. Porro Clodiæ, impudicæ malaque mulieri nuntio remisso, Serviliam Catonis sororem duxit. Sed ne hæ quidem nuptiæ ei felices fuerunt. Una enim carebat sola Clodiæ maculis, scilicet infamia ex fratribus, alioquin pariter libidinosa atque impudica. Catonis tamen reverentia toleravit aliquamdiu, ad extremum ipsam quoque repudiavit. (2) Quum autem senatus incredibilem de eo spem concepisset, quasi is vir tyrannidi Pompeianæ esset reluctaturus et pro optimatum principatu propugnaturus, quippe qui gloria potentiaque tanta fretus certamini par esset, ipse rempublicam destituit ab eaque totum se traduxit, sive quod jam ita laborantem cerneret, ut servari posse desperaret, sive quod, ut multorum fert sententia, plenus jam gloriæ, post multas ærumnas haud felicissimum finem consecutas vitæ genus quietum et mollissimum sibi delegisset. (3) Non desunt enim, qui eam viri istius mutationem laudent, quod non Marii exemplum secutus sit, qui post Cimbricas victorias magnamque illam præclaris facinoribus quæsitam gloriam noluit in tanti honoris felicitate requiescere, sed inexpleta gloriæ imperiique cupiditate abductus, senex cum junioribus in republica contendens, in facta turpia turpioresque factis affectus se præcipitavit. Rectius quoque sentiunt Ciceronem senectuti suæ consulturum fuisse, si post oppressum Catilinam se in otio continuisset, et Scipionem, si eversæ Carthagini addita Numantia quievisset. Esse enim quendam etiam politici ambitus finem, et ut in athleticis, ita in civilibus etiam certaminibus reprehendi, qui ætate viribusque deficientibus ea subeant. (4) At Crassus et Pompeius Lucullum subsannabant, qui se deliciis sumptuosis voluptatibusque dedisset, quasi vero non id genus vitæ a tanti viri ætate provectiore alienum esse perinde atque administratio reipublicæ et bellorum deberet.

XXXIX. Equidem Luculli vita simile quiddam antiquæ comœdiæ referebat: nam priora reipublicæ et bellorum functiones obitas habent, posteriora cœnas, convivia, ac tantum non comessationes, faces et omnia ludicra. (2) In ludicris enim ego sumptuosa ista ædificia, ambulationumque et balneorum apparatus, magis etiam picturas et statuas impensasque in eas artes factas ingentes pono; nam in has res pecuniam, quam bello gerendo ingentem fecerat, profundebat. Cui rei argumento vel maximo esse possit, quod hodie etiam, quum tanta luxus incrementa fecerit, Luculliani horti inter Cæsarios pretiosissimi habentur. (3) Jam illa in ora maris et apud Neapolim ædificia, quum exhausta inferne terra colles pensiles effecisset, euripos et piscosos transitus ædibus suis circumduxisset, habitationes in mari exstruxisset, ut inspexit Tubero Stoicus, Xerxem eum togatum nominavit. (4) Habebat autem in

προσηγόρευσεν. (4) Ἦσαν δ' αὐτῷ περὶ Τοῦσκλον ἐγ- d
χώριοι δίαιται καὶ κατασκευαὶ περιωπῶν καὶ ἀναπε-
πταμένων ἀνδρώνων καὶ περιπάτων, ἐν αἷς ὁ Πομπήιος
γενόμενος ἐμέμφετο τὸν Λούκουλλον, ὅτι πρὸς θέρος
ἄριστα διαθεὶς τὴν ἔπαυλιν ἀοίκητον ἐν χειμῶνι πε-
ποίηκε. (5) Γελάσας οὖν ἐκεῖνος, « Εἶτα, ἔφη, σοὶ
δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πε-
λαργῶν, ὥστε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς
διαίτας; » (6) Στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ
θέας καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλα-
μύδας ἀπεκρίνατο σκεψάμενος, ἂν ἔχῃ, δώσειν, εἶτα
μεθ' ἡμέραν ἠρώτησεν αὐτὸν, ὁπόσων δέοιτο, τοῦ δὲ e
ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύ-
τας· εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ
νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα
πλείονα τῶν φαινομένων ἐστί.

XL. Νεόπλουτα δ' ἦν τοῦ Λουκούλλου τὰ δεῖπνα τὰ
καθ' ἡμέραν οὐ μόνον στρωμναῖς ἁλουργέσι καὶ διαλί-
θοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις,
ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς
διαπεπονημένων παρασκευαῖς ζηλωτὸν ἀνελευθέροις
ποιοῦντος ἑαυτόν. (2) Ὁ γοῦν Πομπήιος εὐδοκίμησε
νοσῶν· τοῦ μὲν ἰατροῦ κίχλην αὐτὸν λαβεῖν κελεύσαντος, f
τῶν δ' οἰκετῶν οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων θέρους
ὥρᾳ κίχλην ἢ παρὰ Λουκούλλῳ σιτευομένην, οὐκ εἴασε
λαβεῖν ἐκεῖθεν, ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρὸν, « Οὐκοῦν,
εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησεν; »
ἄλλο τι παρασκευάσαι τῶν εὐπορίστων ἐκέλευσε. (3)
Κάτων δ' ἦν αὐτῷ φίλος καὶ οἰκεῖος, οὕτω δὲ τὸν βίον
519αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε, νέου τινὸς a
ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ
εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ
Κάτων, « Οὐ παύσῃ, ἔφη, σὺ πλουτῶν μὲν ὡς Κράσ-
σος, ζῶν δ' ὡς ὁ Λούκουλλος, λέγων δὲ ὡς ὁ Κάτων; »
Ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ
οὐ λέγουσιν.

XLI. Ὁ μέντοι Λούκουλλος οὐχ ἡδόμενος μόνον,
ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ ὅῆλος ἦν ἐκ τῶν
ἀπομνημονευομένων. (2) Λέγεται γὰρ Ἕλληνας
ἀνθρώπους ἀναβάντας εἰς Ῥώμην ἑστιᾶν ἐπὶ πολλὰς
ἡμέρας, τοὺς δ' ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύ- b
νεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι' αὐτοὺς καθ'
ἡμέραν τοσούτων ἀναλισκομένων· τὸν οὖν Λούκουλλον
εἰπεῖν μειδιάσαντα πρὸς αὐτούς· « Γίνεται μέν τι τού-
των καὶ δι' ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες· τὰ μέντοι πλεῖστα
γίνεται διὰ Λούκουλλον. » (3) Ἐπεὶ δὲ μόνου δει-
πνοῦντος αὐτοῦ μία τράπεζα καὶ μέτριον παρεσκευάσθη
δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον
οἰκέτην. Τοῦ δὲ φήσαντος, ὡς οὐκ ᾤετο μηδενὸς
κεκλημένου πολυτελοῦς τινος αὐτὸν δεήσεσθαι· « Τί
λέγεις; εἶπεν· οὐκ ἤδεις ὅτι σήμερον παρὰ Λου-
κούλλῳ δειπνεῖ Λούκουλλος; » (4) Ὄντος δὲ περὶ c
τούτου, ὡς εἰκὸς, ἐν τῇ πόλει λόγου πολλοῦ, προσῆλθον
αὐτῷ κατ' ἀγορὰν σχολὴν ἄγοντι Κικέρων καὶ Πομ-

Tusculanis habitationes rusticanas et ædificia, ex quibus tanquam specula circumspicere vicina poterat, cubiculis et ambulationibus vento perviis. In eas quum Pompeius venisset, reprehendit Lucullum quod ad æstatem optime accommodasset ædes, sed ita ut hieme habitari non possent. (5) Cui Lucullus subridens, Adeone, inquit, minus tibi gruibus et ciconiis sapere videor, ut secundum anni tempus non mutem locum? (6) Prætori cuidam, qui spectaculum edere quam splendidissime cupiens ad ipsum venerat petitum chlamydes aliquot, quibus chorum exornaret, inspecturum respondit an tot habeat, et si habeat, daturum, postridie ex eo quæsivit, quotnam cuperet, centumque satis esse respondentem, ducentas accipere jussit. Cui rei Horatius hoc epiphonema attexuit :

Exilis domus est, ubi non et multa supersunt
et dominos fallunt.

XL. Novum autem genus divitiarum in quotidianis cœnis Lucullus ostentabat, non modo veste stragula purpurea, poculis gemmatis, choris et acroamatis, sed et omnibus generibus ciborum cupediarumque summo artificio apparatarum varietate, illiberalium excitans æmulationem. (2) Itaque Pompeio laudi datum est, quod quum æstate ægrotanti ipsi medicus suasisset ut turdo vesceretur, famulusque negasset eo tempore inveniri turdum nisi altilem apud Lucullum posse, ab eo peti prohibuisset medicoque dixisset : Ergo nisi Lucullus deliciis operam daret, Pompeius non viveret? atque aliud comparatu facile dari jussisset. (3) Cato etiam, qui et amicus Luculli et necessarius fuit, ita vivendi rationem ejus improbavit, ut cuidam juveni in senatu de frugalitate et temperantia prolixum importunumque sermonem intempestive habenti, assurgens dixerit : Non cessabis tandem, Crassi instar dives, vivens ut Lucullus, Catoniano more disserere? Quidam hoc ita dictum fatentur, a Catone vero dictum negant.

XLI. Ceterum Lucullum non delectatum modo hoc vitæ instituto, sed et gloriatum, ex his, quæ ejus dicta memoriæ tradita sunt, apparet. (2) Græci quidam (ita enim narrant) Romam venerant, quos quum per aliquot dies Lucullus convivio accepisset, Græcanica verecundia tandem moti, quum invitarentur, recusarunt, quod propter se tantos quotidie sumptus fieri nollent. His Lucullus subridens, Sane, inquit, Græci, nonnihil horum propter vos fit, sed pleraque propter Lucullum. (3) Solus quum cœnaret essetque una tantum mensa et mediocris cœna apposita, succensuit et ad se vocatum servum, qui ei rei præfectus erat, objurgavit. Quumque is diceret, se non existimasse opus fore sumptuosa cœna, quum nemo esset invitatus : Quid, inquit, hoc rei est? an nesciebas hodie Lucullum cum Lucullo cœnaturum? (4) Ea de re quum, uti fieri solet, multus esset in urbe sermo, ad ipsum in foro forte otiosum sedentem Pompeius et Cicero accesserunt (ex his

πήιος, ὁ μὲν ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης, Πομπηίῳ δ' ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. Ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν ἠρώτησεν, ὅπως ἔχει πρὸς ἔντευξιν· τοῦ δὲ φήσαντος, ὡς ἄριστα, καὶ παρακαλοῦντος ἐντυγχάνειν, « Ἡμεῖς, ἔφη, βουλόμεθα δειπνῆσαι παρὰ σοὶ τήμερον οὕτως, ὅπως ἐστί σοι παρεσκευασμένα. » (5) Θορυπτομένου δὲ τοῦ Λουκούλλου καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντος, οὐκ ἔφασαν ἐπιτρέψειν οὐδ' εἶων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν αὐτῷ γινομένων, πλὴν τοσοῦτο μόνον αἰτουμένῳ συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν ἐναντίον ἐκείνων, ὅτι τήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει· τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. Καὶ τοῦτο σεσοφισμένος ἐλελήθει τοὺς ἄνδρας. (6) Ἑκάστῳ γὰρ, ὡς ἔοικε, δειπνητηρίῳ τεταγμένον ἦν τίμημα δείπνου καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν, ὥστε τοὺς δούλους ἀκούσαντας, ὅπου βούλεται δειπνεῖν, εἰδέναι, πόσον δαπάνημα καὶ ποῖόν τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. Εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι πέντε μυριάδων· καὶ τότε τοσούτου τελεσθέντος ἐξέπληξε τοὺς περὶ τὸν Πομπήιον ἐν τῷ μεγέθει τῆς δαπάνης τὸ τάχος τῆς παρασκευῆς. Εἰς ταῦτα μὲν οὖν ὑβριστικῶς ἐχρῆτο τῷ πλούτῳ καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ.

XLII. Σπουδῆς δ' ἄξια καὶ λόγου τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. Καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς συνῆγε, ἥ τε χρῆσις ἦν φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαστηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας ὥσπερ εἰς Μουσῶν τι καταγώγιον ἐκεῖσε φοιτῶντας καὶ συνδιημερεύοντας ἀλλήλοις ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. (2) Πολλάκις δὲ καὶ συνεσχόλαζεν αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις καὶ τοῖς πολιτικοῖς συνέπραττεν ὅτου δέοιντο· καὶ ὅλως ἑστία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶκος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. (3) Φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος, ἴδιον δὲ τῆς
520 Ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης τὸν Ἀσκαλωνίτην Ἀντίοχον, ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν ἀντετάττετο τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν. (4) Καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν ᾧ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον Λουκούλλῳ περιτέθεικεν, αὐτῷ δὲ τὸν ἐναντίον· Λούκουλλος δ' ἀναγέγραπται τὸ βιβλίον. (5) Ἦσαν δ', ὥσπερ εἴρηται, φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως· οὐδὲ γὰρ αὖ πάμπαν ἀπηλλάχει τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον

Ciceroni cum Lucullo summa intercedebat familiaritas; cum Pompeio etsi bello Mithridatico discordia inciderat, solebant tamen amice sæpenumero convenire atque colloqui), et Cicero salutatum percontatus est, essetne ei commodum conferre sermones. Quum respondisset esse sibi lubentissimo, utque accederent hortaretur, Volumus, inquit Cicero, hodie tecum cœnare, ea tamen lege, ut nihil propter nos apparetur. (5) Lucullo simulanter excusante oranteque ut in alium diem differrent, non destituros ab incepto dixerunt, neque passi sunt cum servis eum colloqui, ne quid amplius solito fieri præciperet: id tantum ab ipsis obtinuit, ut coram ipsis diceret uni servorum, se hodie in Apolline cœnaturum. Erat autem is Apollo cœnaculum unum de pretiosis, eoque astu illis imposuit. (6) Nam unumquodque cœnaculum, ut apparuit, definitum cœnæ sumptum habebat suumque apparandi modum, ut famuli audientes ubi esset cœnaturus, statim quo sumptu, quo ornatu apparari deberet cœna scirent. Sumptus autem cœnæ in Apolline erat ducenta sestertia, talisque tum præbita cœna Pompeio præter sumptuum magnitudinem apparatus celeritatem admirandam proposuit. Hos ille in usus opibus abutebatur, tanquam vere captivis atque barbaricis.

XLII. Ceterum id ejus factum et commemoratione est et laude dignum, quod multos beneque scriptos libros conduxit, usumque eorum possessione laudabiliorem instituit. Omnibus enim bibliotheca Luculli et quæ juxta erant ambulationes atque scholæ patebant, eoque se Græci, tanquam in Musarum aliquod deversorium, libere recipiebant et inter se conversabantur, abjectis læto animo reliquis curis et negotiis. (2) Ipse frequenter in ambulationes eas se contulit, ac cum viris doctis disputavit, rebus quoque civilibus, sicubi opus erat, non defuit. Omnino autem Græcis Romam venientibus hospitii Prytaneique publici usum Luculli domus præstabat. (3) Philosophiæ omnia genera Lucullus amplexus est et familiaria habuit, Academiam vero jam inde ab initio miro studio et amore coluit, non novam illam, quanquam tum maxime Philonis opera disputationibus Carneadis florebat, sed veterem, cujus tum princeps erat Antiochus Ascalonita, vir magna dicendi vi præditus. Hunc Lucullus quum omni studio amicum suum domesticumque effecisset, Philonis auditoribus, inter quos erat etiam Cicero, opponebat. (4) Et conscripsit Cicero volumen de Academica secta perelegans, eique Lucullum titulum fecit, in quo de eo, utrum comprehendi aliquid scirive possit disputans, affirmantis partes Lucullo, sibi negantis tribuit. (5) Erant, uti diximus, summa invicem amicitia juncti Cicero et Lucullus, idemque in republica sentiebant. Neque enim totum se a republica Lucullus abstraxerat, sed dimisso de principatu

δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτε ἀκίνδυνον οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι· τούτους γὰρ οἱ τὴν Πομπηίου δύναμιν ὑφορώμενοι προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα· κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους, εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηίου τινὰ δέοι σπουδὴν ἢ φιλοτιμίαν ἐπηρεάσαι. (6) Καὶ τάς τε διατάξεις ἃς ἐκεῖνος ἐποιήσατο τῶν βασιλέων κρατήσας, ἐξέκρουσε καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος, ἐκώλυσε δοθῆναι συμπράττοντος Κάτωνος, ὥστε Πομπήιον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, c μᾶλλον δὲ συνωμοσίαν, καταφυγεῖν καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν βίᾳ κυρῶσαι τὰ δόγματα τοὺς περὶ τὸν Κάτωνα καὶ Λούκουλλον ἐκβαλόντα τῆς ἀγορᾶς. (7) Ἀγαναχτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προῆγον οἱ Πομπηιανοὶ Βέττιόν τινα συνειληφέναι λέγοντες ἐπιβουλεύοντα Πομπηίῳ. (8) Κἀκεῖνος ἀναχρινόμενος ἐν μὲν τῇ συγκλήτῳ κατηγόρησεν ἑτέρων τινῶν, ἐν δὲ τῷ δήμῳ Λούκουλλον ὠνόμασεν, ὡς ὑπ' ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήιον. (9) Οὐδεὶς δὲ τῷ λόγῳ προσέσχεν, ἀλλὰ καὶ παραυτίκα δῆλος ἦν ὁ ἄνθρωπος ἐπὶ d συκοφαντίᾳ καὶ διαβολῇ προηγμένος ὑπ' αὐτῶν, καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ' ὀλίγας ἡμέρας ριφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ, λεγομένου μὲν αὐτομάτως τεθνάναι, σημεῖα δ' ἀγχόνης καὶ πληγῶν ἐχόντος, ἐδόκει ὑπ' αὐτῶν ἀνῃρῆσθαι τῶν παρεσκευακότων.

XLIII. Ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν Λούκουλλον. Ἐπεὶ δὲ Κικέρων ἐξέπεσε τῆς πόλεως καὶ Κάτων εἰς Κύπρον ἀπεστάλη, παντάπασιν ἐξελύθη. (2) Καὶ πρό γε τῆς τελευτῆς λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτῷ κατὰ μικρὸν ἀπομαραινομένην. Νέπως δὲ Κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν οὐδὲ νόσου e παραλλάξαι τὸν Λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων Καλλισθένους διαφθαρέντα· τὰ δὲ φάρμακα δοθῆναι μέν, ὡς ἀγαπῶτο μᾶλλον ὁ Καλλισθένης ὑπ' αὐτοῦ, τοιαύτην ἔχειν δοκοῦντα τὴν δύναμιν, ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμὸν, ὥστ' ἔτι ζῶντος αὐτοῦ τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. (3) Οὐ μὴν ἀλλ' ὡς ἀπέθανε, καθάπερ ἂν ἐν ἀκμῇ τῆς στρατηγίας καὶ τῆς πολιτείας αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεστάτων νεανίσκων ἐβιάζετο f θάπτειν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, ὅπου καὶ Σύλλαν ἔθαψεν. (4) Οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεόμενος καὶ παραιτούμενος ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ Τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. (5) Πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ' ὡς ἡλικίᾳ καὶ δόξῃ μικρὸν ἀπελείφθη καὶ τῷ χρόνῳ τῆς τελευτῆς φιλαδελφότατος γενόμενος.

certamine tot periculis totque contumeliis obnoxio, Crasso id Catonique tractandum reliquit; hos enim, postquam ipse primas sibi partes vindicare desiit, propugnatores senatus habebant ii, quibus Pompeii potentia erat suspecta. Amicorum causa in forum venire solebat, in senatum, quoties Pompeii conatui alicui obsistendum duceret. (6) Nam et constitutiones, quas is devictis regibus fecerat, rescidit, et quum is de divisione quadam inter milites retulisset, ne fieret, effecit, usus opera et auxilio Catonis. His motus causis Pompeius ad Crassi et Cæsaris amicitiam aut rectius conjurationem confugit, urbeque armatis militibus repleta, per vim leges suas pertulit, Catone et Lucullo foro pulsis. (7) Quam rem quum optimates iniquo animo ferrent, Vettium quendam produxere Pompeiani, captum dicentes quum Pompeio insidiaretur. (8) Atque is quæstione habita in senatu quosdam alios, apud populum vero Lucullum nominavit, a quo ad occidendum Pompeium submissus fuisset. (9) Nemo ei indicio fidem habuit, statimque apparuit eum calumniandi causa a Pompeianis subornatum fuisse, magisque id paucis post diebus deprehensum est. Nam cadaver Vettii ex carcere projectum inventum est, et ab iis ipsis qui eum subornaverant atque casu mortuum fuisse dicebant, quum tamen strangulationis et verberum vestigia conspicerentur, satis patuit eum cæsum esse.

XLIII. Eo magis in posterum se a republica abduxit Lucullus. Postquam Cicero in exsilium actus et Cato in Cyprum missus est, plane otio se totum dedit. (2) Ferunt ante obitum mente ex morbo quodam alienata, paulatim desipuisse. Cornelius Nepos non senectutem neque morbum delirii causam fuisse ait, sed venenum ei a Callisthene liberto exhibitum, propinatum ab hoc, ut se magis diligeret, quod videretur eam vim habere; sed id rationem ejus ita labefactasse et disturbasse, ut vivi adhuc tutelam frater gesserit. (3) Mortuum perinde ac si in media reipublicæ bellive administratione decessisset, dolens populus, concursu facto, quum esset corpus a nobilissimis adolescentibus in forum prolatum, in campum Martium efferre, ibique, ut et Syllam, sepelire contendit. (4) Quod quum omnibus insperatum accidisset, neque facili apparatu fieri posset, frater ejus populum exoravit, ut funus ei fieri in prædio Tusculano, sicuti comparatum erat, sineret. (5) Non multum ipse etiam temporis supervixit, atque paulo inferior ætate gloriaque fratris in vita amantissimus tempus quoque mortis ab obitu ejus non multum distans sortitus est.

ΚΙΜΩΝΟΣ ΚΑΙ ΛΟΥΚΟΥΛΛΟΥ ΣΥΓΚΡΙΣΙΣ.

521 Μάλιστα δ' ἄν τις εὐδαιμονίσειε τοῦ τέλους Λού-
κουλλον, ὅτι πρὸ τῆς μεταβολῆς, ἣν ἤδη κατὰ τῆς πο-
λιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρω-
μένον, ἔφθη προαποθανὼν καὶ καταλύσας ἐν νοσούσῃ
μὲν, ἔτι δ' ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον. (2) Καὶ
τοῦτό γε πάντων αὐτῷ πρὸς Κίμωνα κοινότατόν ἐστι.
Καὶ γὰρ ἐκεῖνος οὔπω συντεταραγμένων τῶν Ἑλλη-
νικῶν, ἀλλ' ἀκμὴν ἐχόντων ἐτελεύτησεν, ἐπὶ στρατο-
πέδου μέντοι καὶ στρατηγῶν, οὐκ ἀπειρηκὼς οὐδ' ἁλύων
οὐδὲ τῶν ὅπλων καὶ τῶν στρατηγιῶν καὶ τῶν τροπαίων
ἔπαθλον ποιούμενος εὐωχίας καὶ πότους, ὥσπερ Πλάτων
ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα τοῖς εὖ βεβιωκόσι
φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου μέθην αἰώνιον.
(3) Σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους
ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας εὐπρεπέστατον ἀνδρὶ
πρεσβύτῃ καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας πά-
ραμύθιον· τὸ δ' ἐφ' ἡδονὴν, ὡς τέλος, καταστρέψαντα
τὰς καλὰς πράξεις ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων
καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν οὐκ ἄξια
τῆς καλῆς Ἀκαδημίας οὐδὲ τὸν Ξενοκράτη ζηλοῦντος,
ἀλλ' ἐγκεκλικότος πρὸς τὸν Ἐπίκουρον. (4) Ὃ καὶ
θαυμαστόν ἐστιν· ὑπεναντίως γὰρ ἡ νεότης τοῦ μὲν
ἐπίψογος καὶ ἀκόλαστος γεγονέναι δοκεῖ, τοῦ δὲ πεπαι-
δευμένη καὶ σώφρων. Βελτίων οὖν, ᾧ πρὸς τὸ βέλτιον
ἡ μεταβολή· χρηστοτέρα γὰρ ἡ φύσις, ἐν ᾗ γηρᾷ μὲν
τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. (5) Καὶ μὴν
ὁμοίως γε πλουτήσαντες οὐχ ὁμοίως διέθεντο τὸν
πλοῦτον. Οὐ γὰρ ἄξιον ὁμιλῶσαι τῷ νοτίῳ τείχει τῆς
ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη
χρήμασι, τοὺς ἐν Νεαπόλει θαλάμους καὶ τὰς περι-
κλύστους ἀπόψεις, ἃς Λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν
ἐξωκοδόμει λαφύρων· οὐδέ γε τῇ Κίμωνος τραπέζῃ τὴν
Λουκούλλου παραβαλεῖν τῇ δημοκρατικῇ καὶ φιλαν-
θρώπῳ τὴν πολυτελῆ καὶ σατραπικήν. Ἡ μὲν γὰρ
ἀπὸ μικρᾶς δαπάνης πολλοὺς καθ' ἡμέραν διέτρεφεν,
ἡ δ' εἰς ὀλίγους τρυφῶντας ἀπὸ πολλῶν παρεσκευάζετο
χρημάτων. (6) Εἰ μὴ νὴ Δία τῶν πραγμάτων ἐποίει
διαφορὰν ὁ χρόνος. Ἄδηλον γὰρ, εἰ καὶ Κίμων ἀπὸ
τῶν πράξεων καὶ στρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολί-
τευτον γῆρας ἀφεὶς αὑτὸν ἔτι μᾶλλον ἂν ἐχρήσατο σο-
βαρᾷ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ· καὶ γὰρ φιλο-
πότης καὶ πανηγυρικὸς καὶ τὰ πρὸς γυναῖκας, ὡς
προείρηται, διαβεβλημένος. (7) Αἱ δ' ἐπὶ τὰς πράξεις
καὶ τοὺς ἀγῶνας κατορθώσεις ἡδονὰς ἑτέρας ἔχουσαι
τῶν χειρόνων ἐπιθυμιῶν ἀσχολίαν ποιοῦσι καὶ λήθην
ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. Εἰ γοῦν καὶ
Λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ στρατηγῶν,
οὐδ' ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εὑρεῖν
μοι δοκεῖ διαβολὴν ἐπ' αὐτόν. Καὶ ταῦτα μὲν περὶ
τῆς διαίτης.

CIMONIS ET LUCULLI COMPARATIO.

Finem vitæ Lucullum eo maxime beatum dicas nactum, a
quod ante mutationem eam, quam Romanæ reipublicæ per
bella civilia machinabatur fatum, in laborante quidem,
sed tamen adhuc libera patria exspiravit. (2) Qua in re
apprime ei cum Cimone convenit, qui et ipse nondum
conturbatis Græciæ rebus, sed ipso initio intestinorum tu-
multuum decessit. Hic quidem in castris et imperium
gerens, non laboribus confectus, neque otio et deliciis de-
ditus neque postquam armorum, imperiorum, tropæo-
rumque præmia convivia sibi et compotationes statuisset;
quo nomine Plato Orpheum subsannat, quod his, qui b
vitam suam recte egissent, præmii loco apud Manes æter-
nam crapulam paratam dixisset. (3) Otium quidem, re-
quies studiumque litterarum voluptatem contemplatio-
nemque rerum afferens, convenientissima est seni labori-
busque domi et militiæ defuncto recreatio. At voluptati,
tanquam is finis rerum præclare gestarum esset, se dare
et post bellicos civilesque magistratus Veneris sacris stu-
dere ludendo luxuriandoque, id vero indignum præclara
Academia est, neque ejus qui Xenocratem imitetur, sed
qui ad Epicurum inclinet. (4) Quo magis miror Cimonis c
juventutem vitiosam et intemperantem, Luculli contra
bene institutam modestamque considerans, et quidem is
melior habendus est, cui mutatio in melius accidit; est
enim ea natura præstantior, in qua deteriora consenescunt,
meliora vigent atque adolescunt. (5) Jam quum eadem ra-
tione opes paraverint, dissimiliter plane iis usi sunt. Nam
thalami Luculliani speculæque circumfluæ apud Neapolim
ex manubiis barbaricis ædificatæ, ne conferendæ quidem
sunt cum australi muro arcis, qui pecunia a Cimone ad- d
vecta absolutus est. An vero Luculli magnificas et regias
cœnas cum Cimonis frugali et populari comparandas victu
putas? quando hic multos quotidie parvo impendio aluit,
illæ ingenti sumptu paucorum luxuriæ servierunt. (6) Nisi
tamen temporum ratio diversitati huic causam præbuit.
Est enim in incerto, utrum Cimon, si post res gestas sene-
ctutem a militia reipublicæque cura vacantem attigisset,
luxuriosa et voluptati dedita vita fuerit Lucullum superaturus, quippe ebriosus vitæque dissolutæ et mulierosus
etiam, ut supra narratum est. (7) Præclara autem domi mi- e
litiæque facinora, quum suas peculiares habeant voluptates,
mentem a turpioribus cupiditatibus avocant earumque in-
ducunt politicis et honorum cupidis ingeniis oblivionem.
Quod si Lucullus in belli administratione mortuus fuisset,
existimo sane neminem adeo calumniandi et reprehendendi
studiosum esse, qui quicquam in eo viro quod culparet in-
venire potuisset. Atque hæc de vitæ ratione.

Π. Ἐν δὲ τοῖς πολεμικοῖς ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνισταὶ δῆλον· ὥσπερ δὲ τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ [illegible] ἅμα καὶ παγκρατίῳ στεφανουμένους ἔθει τινὶ * * παραδοξονίκας καλοῦσιν, οὕτω Κίμωνα ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ στεφανώσας τὴν Ἑλλάδα δίκαιός ἐστιν ἔχειν τινὰ προεδρίαν ἐν τοῖς στρατηγοῖς. (2) Καὶ μὴν Λουκούλλῳ μὲν ἡ πατρὶς, Κίμωνι δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. Καὶ ὁ μὲν ἀρχούσῃ τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων, ὁ δ' ἄλλοις ἐπομένην παραλαβὼν ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε, Πέρσας μὲν ἀναγκάσας ἡττηθέντας ἐκβῆναι τῆς θαλάσσης, Λακεδαιμονίους δὲ πείσας ἑκόντας ἐκστῆναι. (3) Εἰ τοίνυν μέγιστον ἔργον ἡγεμόνος εὐπείθειαν ἐργάσασθαι δι' εὔνοιαν, Λούκουλλος μὲν ὑπὸ τῶν στρατιωτῶν κατεφρονήθη, Κίμων δ' ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη· παρ' οὗ μὲν γὰρ ἀπέστησαν, πρὸς ὃν δὲ μετέστησαν. (4) Καὶ ὁ μὲν ὢν ἄρχων ἐξῆλθεν ὑπὸ τούτων ἀπολειφθεὶς ἐπανῆλθεν, ὁ δὲ μεθ' ὧν ἑτέροις ποιήσων τὸ προστατόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα κατέπλευσε τρία τὰ πάντων δυσκολώτατα διαπεπραγμένος ὁμοῦ τῇ πόλει, πρὸς μὲν τοὺς πολεμίους εἰρήνην, παρὰ δὲ τῶν συμμάχων ἡγεμονίαν, πρὸς δὲ Λακεδαιμονίους ὁμόνοιαν. (5) Μεγάλας τοίνυν ἐπιχειρήσαντες b ἀμφότεροι καταλύειν ἡγεμονίας καὶ καταστρέφεσθαι τὴν Ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων, ὁ μὲν καθάπαξ διὰ τὴν τύχην· ἐτελεύτησε γὰρ στρατηγῶν καὶ εὐημερῶν· τὸν δ' οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παρ' αὐτὸν αἰτίας, εἶτ' ἠγνόησεν εἶτ' οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἀφ' ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. (6) Ἦ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐστι; καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται καὶ τελευτῶντες ἐξωστράκισαν, ἵν' αὐτοῦ δέκα ἐτῶν, ὡς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. (7) Αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις c ὀλίγα τοῖς πολλοῖς συνᾴδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι, τὰ δὲ πολλὰ προσδιαζόμεναι τῷ κατευθύνειν διαστρεφομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοί, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρρήσεις. Ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον.

ΙΙΙ. Πολὺ δ' ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος καὶ τὸν Τίγριν διαβὰς καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα καὶ Σινώπην καὶ Νίσιβιν, ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν d βόρεια μέχρι Φάσιδος, τὰ δ' ἑῷα μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον καὶ τὴν Ἐρυθρὰν θάλασσαν οἰκειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλέων, συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. (2) Τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γὰρ ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος εὐθὺς ἀντετάττοντο τοῖς Ἕλλησι καὶ τήν γε πολλὴν

II. In rebus terra marique gestis utrumque bonum fuisse pugnatorem in confesso est : sed ut ex athletis eos qui eadem die lucta simul atque pancratio coronam meruerunt [vetusta] quadam consuetudine παραδοξονίκας (i. e. *præter opinionem victores*) nominant, sic Cimon, quum una die victoriæ navalis terrestrisque simul coronas Græciæ imposuerit, primum inter imperatores locum meretur. (2) Quid quod Lucullo patria imperium mandavit, Cimon patriæ imperium peperit. Alter patriæ sociis jam imperanti, hostilem ditionem adjecit, alter aliis subjectam patriam simul et illorum ducem et hostium victricem reddidit, quum et Persas profligavit et Lacedæmonios ut Athenis de imperio concederent persuasit. (3) Sin illud ducis præcipuum opus est, ut milites benevolentia sibi obstrictos, dicto audientes habeat, Lucullus quidem a militibus contemptus, Cimon sociis admirationi fuit : ab illo defecerunt, ad hunc transiverunt. (4) Ille cum quibus imperator domo exierat, ab iis desertus rediit; hic missus ut aliorum imperatis pareret, horum dux domum revertit, quum tria difficillima patriæ suæ confecisset, pacem cum hostibus, principatum inter socios, concordiam cum Spartanis. (5) Uterque magnum regnum evertere aggressus totamque subigere Asiam, imperfectum id quod cœperant, reliquerunt. Cimon quidem nulla alia de causa, quam quod ita fortunæ visum fuisset : bellum enim adhuc gerens prosperoque rerum successu mortuus est. Lucullum non facile est omni culpa liberare, sive nesciverit, sive noluerit offensis et reprehensionibus militum suorum mederi, unde tantum in ipsum odium tandem exarsit. (6) An vero hoc cum Cimone habet commune? quippe cives eum quoque in judicium pertraxerunt ac denique ostracismo urbe pulerunt, ut vocem ejus, quod ait Plato, decennio non audirent. (7) Nam qui ingenio eo sunt, ut optimatum in republica principatui studeant, in paucis multitudini concinunt ejusque in gratiam agunt; ideo quum corruptos et perversos cives corrigere vehementius contendunt, perinde molesti iis sunt, ut medicorum vincula corpori, quibus luxatos artus in suam redigunt sedem. Itaque eo crimine utrumque absolvere fortasse debemus.

III. Enimvero longe progressus est armis Lucullus, qui et primus Romanorum cum exercitu Taurum montem transiit et Tigrim, qui regias Asiæ civitates in ipso regum conspectu cepit et incendit, Tigranocerta, inquam, Cabira, Sinopen, et Nisibin, qui boreales regiones usque ad Phasin fluvium, orientales Media tenus, australes et Rubrum mare Arabicorum regum opera subjugavit, qui vires regum attrivit ac tantum non ipsos manu cepit, ferarum instar in silvas invias solitudinesque inaccessas elapsos. (2) Magnum argumentum hoc est, quod Persæ quasi nulla magna clade a Cimone affecti, statim arma contra Græcos

δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν, Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο, ἀλλ' ὁ μὲν ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηίῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη κἀκεῖ κατέστρεψε, Τιγράνης δ' αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέρριψε Πομπηίῳ καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήιον, ἀλλὰ τοῖς ὑπὸ Λουκούλλου τεθριαμβευμένοις. (3) Ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας ὡς ἀφῃρημένος πρότερον. Μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ' ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. (4) Ἔτι τοίνυν Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου καταλαβὼν ἐπενέβη καὶ ὑπὸ πεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥᾳδίως ἐνίκησε, Λουκούλλῳ δὲ Τιγράνης ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν συνέπεσε. (5) Πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λούκουλλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. (6) Ὥστε πάντη μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. Ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέρους ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ' ἃ φυλάττεσθαι χρὴ προμηνῦον· ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

tulerunt, magnamque Græci exercitus partem in Ægypto victam deleverunt: Tigranes et Mithridates post Lucullum nihil quicquam egerunt; hic enim attritus viribus certaminibusque prioribus fractus, ne semel quidem exercitum extra castra in conspectum Pompeii producere ausus fuit, sed in Bosporum fugit atque ibi vitam finivit; Tigranes nudum se et inermem ad Pompeii pedes projecit, eodemque diadema capiti suo detractum deposuit, non suis jam rebus, sed iis de quibus triumphaverat Lucullus, favorem quærens. (3) Satis quidem habuit insignia regni recipere, fassus prius ea amisisse. Itaque ut athleta, sic et dux præstantior is habendus est, qui successori adversarium infirmiorem tradit. (4) Præterea Cimon Persas, quorum a Themistocle, Pausania et Leotychida magnis cladibus affectorum perpetuisque fugis jactatorum et vires fractæ erant et collapsi animi, adortus, facile corpora vicit, quum animi jam ante concidissent: Lucullus Tigranem integrum et multis victoriis superbum aggressus est. (5) Numerus vero eorum quos Cimon vicit, non est dignus qui cum ea multitudine comparetur, quæ contra Lucullum convenerat. (6) Inde efficitur ut, omnibus his collectis, sententiam de hac contentione ferre sit perdifficile: quando et deos utrique videmus propitios fuisse, et alteri quæ res gerendæ, alteri quid vitandum esset prædixisse. Itaque et numinum suffragiis constat bonum divinique ingenii utrumque fuisse.

This book should be returned to the Library on or before the last date stamped below.

A fine of five cents a day is incurred by retaining it beyond the specified time.

Please return promptly.

DUE APR 1 1924